BACCHÆ. Servâris Patrios Ritus & Sancta Deorum
  Fœdera, ſi *Penthêi* triſtia Fata legas.
CYCLOPS. Quàm certa immanes maneat Vindicta Tyrannos,
  Id Lux *Ætnæi* rapta gigantis habet.
HERACLIDÆ. *Demophoon* profugos defendens *Herculé* natos,
  Veræ id Amicitiæ eſt & Pietatis opus.
HELENA. Mirum *Helenæ* Fatum, caſúſque Minoris *Atridæ*,
  Cuncta Dei fieri mente manúque probant.
ION. Nil puris ſanctiſque Animis ſperare negatur,
  Nulla Malis certa eſt Sors, tibi dicit *Ion*.
HERCULES Furens. Quàm malè apud Vulgus Veteris ſtet Gratia Facti,
  [d] Exemplo *Alcides* comprobat ipſe ſuo.
ELECTRA. Monſtrat Adulterii Pœnas *Ægiſthbia* cædes,
  Mirus & in Patrem Virginis ardet Amor.
DANAE. Irrita ſævorum *Danae* conſulta Parentum,
  Quæque ſit Aurifluo Vis in Amore, docet.

Sors rerum Inſtabilis: Virtus & ſola beabit:
  Iſta Cothurnati dicere Vatis Opus.
I nunc, atque voca Nugas & dulce Venenum,
  Quicquid *Apollinei* Vatis ab ore fluit.

[a] *Gaſpar Stiblinus* ferè hoc Diſtichum habet.

[b] *Gaſpar Stiblinus* totum hoc Diſtichum fecit.

[c] *Gaſpar Stiblinus* hos Pentametrum habet & ſequens Diſtichum, & paucis mutatis tria ſequentia.

[d] *Gaſpar Stiblinus* hoc ferè Pentametrum.

EURI-

EURIPIDIS
Tragœdiarum Omnium
Quæ extant & quarum Fragmenta Reſervantur Nomina.

Ægeus	Fragmenta Tom. 2. v. 17
Æolus	Fragm. v. 69
ALCESTIS	v. 1163. Tom. 1. fol. 264
Alcmæonidæ	Fragm. v. 6
Alexandra	Fragm. v. 73
Alcmaon	Fragm. v. 32
Alcmena	Fragm. v. 29
Alope	Fragm. v. 10
ANDROMACHE	v. 1288. Tom. 1. fol. 296
Andromeda	Fragm. v. 78
Antigone	Fragm. v. 44
Antiope	Fragm. v. 116
Archelaus	Fragm. v. 76
Auge	Fragm. v. 23
Autolycus	Fragm. v. 32
BACCHÆ	v. 1390. Tom. 2. fol. 171
Bellerophon	Fragm. v. 140
Buſiris	Fragm. v. 2
Chryſippus	Fragm. v. 16
Creſphontes	Fragm. v. 44
Creſſa	Fragm. v. 31
Cretenſes	Fragm. v. 22
CYCLOPS	v. 705. Tom. 2. fol. 208
Danae	Fragm. v. 135. fol. 439
Didymi	Fragm. v. 1
Dictys	Fragm. v. 47
ELECTRA	v. 1359. Tom. 2. fol. 400
Erechtheus	Fragm. v. 125
Euryſtheus	Fragm. v. 16
Glaucus	Fragm. v. 10
HECUBA	v. 1293. Tom. 1. fol. 1
HELENA	v. 1708. Tom. 2. fol. 260
Helena Repetitio	Fragm. v. 3
HERACLIDÆ	v. 1055. Tom. 2. fol. 230
HERCULES Furens	v. 1428. Tom. 2. fol. 355
HIPPOLYTUS Coronatus	v. 1465. Tom. 1. f. 216
Hippolytus Opertus	Fragm. v. 53
Hypſipyle	Fragm. v. 20
Ino	Fragm. v. 91
ION	v. 1622. Tom. 2. fol. 307
IPHIGENIA Aulidenſis	v. 1629. Tom. 2. fol. 31
IPHIGENIA Taurica	v. 1499. ibid. fol. 70
Ixion	Fragm. v. 9
Lamia	Fragm. v. 2
Licymnius	Fragm. v. 6
MEDEA	v. 1419. Tom. 1. fol. 174
Melanippe	Fragm. v. 70
Meleager	Fragm. v. 49
Niobe	Fragm. *Addend.* fol. 521
Oedipus	Fragm. v. 45
Oeleus	Fragm. v. 8
Oeneus	Fragm. v. 23
Oenomaus	Fragm. v. 26
ORESTES	v. 1693. Tom. 1. fol. 45
Palamedes	Fragm. v. 40
Peleus	Fragm. v. 10
Peliades	Fragm. v. 14
Penelope	Fragm. v. 2
Phaethon	Fragm. v. 40
Philoctetes	Fragm. v. 42
PHOENISSÆ	v. 1754. Tom. 1. fol. 110
Phœnix	Fragm. v. 28
Phryxus	Fragm. v. 44
Pirithous	Fragm. v. 13
Pliſthenes	Fragm. v. 18
Polyidus	Fragm. v. 16
Proteſilaus	Fragm. v. 10
Rhadamanthus	Fragm. v. 9
RHESUS	v. 996. Tom. 2. fol. 108
Sciron	Fragm. v. 6
Scyria	Fragm. v. 10
Siſyphus	Fragm. v. 43
Sthenobœa	Fragm. v. 23
Syleus	Fragm. v. 23
SUPPLICES	v. 1234. Tom. 2. fol. 1
Telephus	Fragm. v. 27
Temenus	Fragm. v. 40
Tennes	Fragm. v. 12
Theriſtæ Satyri	Fragm. *Addend.* fol. 520
Theſeus	Fragm. v. 32
Thyeſtes	Fragm. v. 5
TROADES	v. 1334. Tom. 2. fol. 136
Troes	Fragm. v. 6
Xantriæ	Fragm. v. 1

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

¶ Hinc apparet Omnes *Euripidis* Tragœdiarum, quæ extant, Verſus eſſe —— —— 26035
Omnes *Fragmentorum* & *Addendorum* à me collectos —— —— —— 2068
Quibus ſi adjungas *Incertorum* numerum 449. efficient —— —— —— 2517
Omnes ſimul numerati, præter ea, quæ ſunt inter Errata, exurgent ad —— —— 28552

Quin Fabularum Nomina hic ſupereſſe videmus 84. Quare qui 75. tantùm illi aſcribunt, erroris monendi; & illis potius credendum, qui 92 ſtatuunt.

ΥΠΟ-

ΥΠΟΘΕΣΙΣ

ΕΚΑΒΗΣ.

ΜΕΤΑ τὴν Τροίας ἅλωσιν ἀπάραντες οἱ Ἕλληνες, καθωρμίσθησαν ἐν τῇ ἀντιπέραν Χερρονήσῳ τῆς Θρᾴκης, ἧς Πολυμήστωρ ἦρχεν· ὅπου δὴ ϗ κενοτάφιον ἔχωσαν Ἀχιλλεῖ, ἐν Τροίᾳ ταφέντι. διατρίψαντες δ' ἐκεῖ ἡμέρας δή τινας, ἐφ' ᾧ τὰ αὐτῶν εὖ διαθήσονται, ἐπεὶ ἀναχθήσεσθαι ἔμελλον, φανὲν τὸ τοῦ Ἀχιλλέως εἴδωλον ἐπὶ τοῦ τάφου, ἐπέσχε τοὺς Ἀχαιοὺς τῆς ἀναγωγῆς, αἰτοῦν γέρας αὐτῷ δοθῆναι τὴν παῖδα Πριάμου Πολυξένην, τὴν ϗ πρότερον κατεγγυηθεῖσαν αὐτῷ ὑπὸ τοῦ πατρός· δι' ἣν ϗ ὑπὸ Πάριδος ϗ Δηιφόβου τοξευθεὶς ὤλετο, ὅτε τὰς ἐγγύας πρὸς τοῦτον πληροῦν ἔμελλε Πρίαμος. Ἕλληνες μὲν οὖν ὧν εὖ ἔπαθον ὑπ' αὐτοῦ μεμνημένοι, ϗ τιμῶντες τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἐψηφίσαντο σφάξαι τὴν Πολυξένην ἐπὶ τῷ τάφῳ τοῦ ἥρωος. ἔπεμψαν δὲ τὸν Λαέρτου Ὀδυσσέα πρὸς τὴν μητέρα αὐτῆς Ἑκάβην, ὡς ἂν τήν τε παρθένον λάβῃ, ϗ τῷ ποικίλῳ τῶν λόγων (τοιοῦτος γὰρ ἦν ὁ ἀνὴρ) πείσῃ Ἑκάβην, μὴ δυσχερῶς φέρειν ἐπὶ τῇ τῆς παιδὸς ἀφαιρέσει. ἐλθὼν οὖν Ὀδυσσεὺς, τήν τε κόρην συναιρομένην εὗρεν αὐτῷ τῆς σπουδῆς, ϗ πείθουσαν τὴν μητέρα, ὡς τεθνήξεται μᾶλλον αὐτῇ προσῆκον, ἢ τὸ ζῆν παρ' ἀξίαν. σφαγείσης δὲ τῆς παρθένου, Ἑκάβη θεράπαιναν αὐτῆς ἔπεμψε παρὰ τὰς ἀκτὰς, ἐφ' ᾧ ὕδωρ ἐκεῖθεν κομίσαι πρὸς λουτρὸν Πολυξένης. εὗρε δὲ Πολύδωρον ἐκεῖ κείμενον. ἁλοῦσαν γὰρ ὡς ἔγνω τὴν Τροίαν Πολυμήστωρ, σφάξας αὐτὸν, ἔρριψεν εἰς τὴν θάλασσαν, ὡς ἂν αὐτὸς ἔχῃ τὸν χρυσὸν, ὃν πρὸς αὐτὸν μετὰ τοῦ παιδὸς Πολυδώρου πρώην Πρίαμος ἔπεμψε λάθρα, ἐπειδὴ ἑώρα τὸ Ἴλιον πρὸς κίνδυνον ἤδη χωροῦν. ἦν δὲ ὁ χρυσὸς οὗτος πολὺς ἄγαν, ϗ ἱκανὸς ὀρθῶσαι ϗ αὖθις τὸ γένος τοῦ Πριάμου· ὡς οὖν τοῦτον εὗρεν ἡ δούλη κείμενον ἐπ' ἀκταῖς, ἀνελομένη, ϗ τῷ πέπλῳ εἱλίξασα, κομίζει πρὸς τὴν Ἑκάβην, ϗ ἣ τὸν τῆς Πολυξένης νεκρὸν, πρὶν ἐκκαλύψασθαι τοῦτον, τὸν νομίσασα, ἐπειδὴ ἔγνω Πολύδωρον, ἀθλίως τι ἔσχε. ϗ ὅπως ἀμυνεῖται Πολυμήστορα, μηχανᾶται τοιόνδε. κοινωσαμένη πρότερον τὴν περὶ τούτου γνώμην Ἀγαμέμνονι, πέμπει τὴν αὐτῆς δούλην εἰς Πολυμήστορα, αὐτόν τε ϗ τὰ τέκνα πρὸς ἑαυτὴν μετακαλουμένη περί τινος ἀναγκαίου πρὸς αὐτὸν κοινώσασθαι. οὗτος μὲν οὖν ἀγνοῶν, ὅτι Πολύδωρος εὕρηται παρὰ τὰς ἀκτὰς, ϗ ἅμα καί τινων ὑποκλαπεὶς μετὰ τῶν παίδων πρὸς αὐτὴν ἀφικνεῖται. Ἑκάβη ϗ πρὸς αὐτὸν τούτου χάριν ἔφη κεκληκέναι, ἵνα χρυσοῦ θησαυροὺς κεκρυμμένους ὑπ' αὐτῆς ἐν Ἰλίῳ μηνύσῃ. εἰσάγει δὲ ϗ τῆς σκηνῆς ἔνδον εἰποῦσα, ὡς ἂν ϗ ἕτερ' ἄττα αὐτῷ δῶσι χρήματα, μεθ' ὧν ἐξῆλθε τῆς Τροίας. ἐνεκέκρυπτο δὲ εἴσω πλεῖστος γυναικῶν ὄχλος· σὺν αἷς τοῦτον εἰσελθόντα Ἑκάβη, ὀφθαλμῶν τε στερεῖ, ϗ τὰ τέκνα αὐτοῦ ἀποσφάττει. δικάσαντος δὲ αὐτοῖς τοῦ Ἀγαμέμνονος ὕστερον, ϗ τοῦ Πολυμήστορος πολλὰ περὶ τῆς σφαγῆς Πολυδώρου διαπλασσομένου, Ἑκάβη περιεγένετο, ἐλέγξασα αὐτὸν ὡς τοῦ χρυσοῦ χάριν, ϗ οὐχ ὧν προὔτεινε, τὸν παῖδα ἀνεῖλε, σύμψηφον ἔχουσα ϗ Ἀγαμέμνονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀντιπέραν τῆς Θρᾴκης Χερρονήσῳ· ὁ δὲ Χορὸς συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων Τρῳάδων, συμμαχουσῶν τῇ Ἑκάβῃ.

Ἄλλως ἐκ τῶν Πλουτάρχου Παραλλήλων.

ΠΡίαμος Πολύδωρον ἐξέθετο εἰς Θρᾴκην μετὰ χρυσοῦ πρὸς Πολυμήστορα τὸν γαμβρόν· ὡς ἐγγὺς ἦν τοῦ πορθεῖσθαι ἡ πόλις. Ὃς δὲ μετὰ τὴν ἅλωσιν ἀπέκτεινε τὸν παῖδα, ὡς ἂν κερδήσῃ τὸν χρυσόν. Ἑκάβη δὲ ἐπὶ τοὺς τόπους παραγενομένη, ϗ σοφισαμένη, ὡς χρυσὸν δώσουσα, ἅμα ταῖς αἰχμαλωτίσι, ταῖς * κερκίσιν ἐξετύφλωσεν, ὡς Εὐριπίδης ὁ Τραγῳδοποιός.

* Ita pro χερσὶν lego.

ARGUMENTUM

HECUBÆ.

CAptâ jam *Trojâ*, *Græci* quùm indè ſolviſſent, in *Cherſoneſum*, quæ eſt è regione *Thraciæ*, appulerunt; cui *Polymeſtor* imperabat: Ubi etiam & honorarium tumulum extruebant *Achilli*, in *Trojâ* (licet) ſepulto. Illic quùm rerum ordinandarum cauſâ dies aliquot egiſſent & jam è porto eſſent ſoluturi, *Achillis* Umbra ſuper tumulum viſa *Græcos* à Navigatione detinuit, poſtulans, ut ſibi Palmarii loco *Priami* filia daretur *Polyxena*, quæ & ante illi à Patre ejus fuerat deſponſata, cujuſque gratiâ à *Paride* & *Deiphobo* ſagittis confoſſus periit, quùm jam *Priamus* Sponſalia peracturus eſſet. *Græci* itaque Beneficiorum illius Memores & Viri Virtutem magni æſtimantes, decreverunt *Polyxenam* ad Herois ſepulcrum immolandam. Miſerunt porrò *Ulyſſem Laertæ* filium ad Matrem ejus *Hecubam*, ut & Virginem deduceret, ſimúlque vafritie facundiæ ſuæ (talis enim erat ille Vir) *Hecubæ* perſuaderet, nè filiæ ablationem nimis impotentèr ferret. *Ulyſſes* ergo ubi adveniſſet, Puellam offendit, ejúſque ſtudio faventem, Matrique ſuadentem, ſibi convenientius Mortem oppetere futurum, quàm præter Dignitatem vivere. Mactatâ jam Virgine, *Hecuba* ancillam ſuam ad littus mittit; ut aquam ad *Polyxenæ* ablutionem adportaret. Illa *Polydorum* ibi jacentem reperit: *Polymeſtor* enim, cognito *Trojæ* excidio, occiderat illum atque in Mare abjecerat; ut ipſe auro potiretur, quod unà cum *Polydoro* filio *Priamus* haud ita pridem clanculùm ad eum miſerat; poſtquam vidiſſet *Ilium* ad periculum jam vergere. Erat autem ea vis Auri ingens valdè; adeò ut etiam ad reſtaurandam *Priami* familiam poſſet ſufficere. Hunc itaque, ut in littore jacentem Ancilla reperit, receptum ac peplo involutum ad *Hecubam* defert. Illa *Polyxenæ* hoc eſſe cadaver ſuſpicata, donec retegeretur, ubi *Polydorum* eſſe cognovit, miſeréque ſe habebat, & ut *Polymeſtorem* ulciſceretur, tale quid excogitat. Communicatâ priùs cum *Agamemnone* ſententiâ, Ancillam ſuam ad *Polymeſtorem* mittit, ipſúmque & liberos ejus ad ſe accerſens, velle enim cum illo colloqui de re quâdam maximi momenti. At ille, neſciens, *Polydorum* in littore fuiſſe inventum, ſimúlque aliis quibuſdam fraudibus inductus, unà cum liberis ad illam accedit. *Hecuba* ideò eum vocatum dicit, ut (illi) Theſauros quoſdam à ſe in *Ilio* defoſſos indicaret: Introducit porrò in tentorium ſuum, dicens, quòd & alias quaſdam opes illi daret, quas ex *Trojâ* ſecum attuliſſet. Erat autem intùs abdita ingens Mulierum turba, quibus adjuta, illum ingreſſum *Hecuba* oculis privat & liberos ejus necat. *Agamemnone* poſteà utriuſque cauſam judicante, quùm multa *Polymeſtor* de cæde *Polydori* ſimularet, *Hecuba* coràm convicit; eum Auri gratiâ, non eorum, quæ fingebat, Puerum ſuſtuliſſe; & in eandem ſecum ſententiam tulit *Agamemnonem*.

Scena Fabulæ ponitur in *Cherſoneſo*, quæ eſt è regione *Thraciæ*: Chorus conſtat ex *Trojanis* Captivis Mulieribus, quæ *Hecubæ* fuerunt auxilio.

Alitèr ex Plutarchi *Parallelis*.

PRiamus *Polydorum* emiſit in *Thraciam* cum Auro ad *Polymeſtorem* Generum, quandò propè erat, ut Urbs deſtrueretur. Ille poſt Deſtructionem urbis necavit Puerum, ut auro potiretur. *Hecuba* quùm eſſet in iis locis, decepto eo, quaſi Aurum datura, unà cum Captivis, textoriis radiis excæcavit; ut *Euripides* Tragicus.

Alia aliorum Poetarum de hâc Fabulâ Oeconomia; nam apud * Hyginum, *in* Ilionâ, Polymeſtor *ab uxore* Ilionâ Priami *filiâ deceptus*, Deiphilum *filium ſuum pro* Polydoro *obtruncat; ipſum tandem, in Virum auctum* Polydorus.

* *Hyginus* Fab. cix. fol. 26.

ΕΥΡΙΠΙ-

ΕΥΡΙΠΙΔΟΥ ΕΚΑΒΗ.

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ.	PERSONÆ hujus Fabulæ ſunt hæ.
ΠΟΛΥΔΩΡΟΥ εἴδωλον.	POLYDORI Umbra.
ΕΚΑΒΗ.	HECUBA.
Χορὸς ἐκ ΤΡΩΑΔΩΝ αἰχμαλωτίδων.	Chorus TROADUM captivarum.
ΠΟΛΥΞΕΝΗ.	POLYXENA.
ΟΔΥΣΣΕΥΣ.	ULYSSES.
ΤΑΛΘΥΒΙΟΣ.	TALTHYBIUS.
ΘΕΡΑΠΑΙΝΑ Ἑκάβης.	Ancilla HECUBÆ.
ΑΓΑΜΕΜΝΩΝ.	AGAMEMNON.
ΠΟΛΥΜΗΣΤΩΡ.	POLYMESTOR.
Προλογίζει δὲ ὁ Πολύδωρος.	Prologum autem agit Polydorus.

BIBL. ... ROMA VITTORIO E...

ARGUMENTUM Actûs Primi.

POLYDORI Umbra Prologum agens Fabulæ totius mentem aperit, quod erat Poetæ hujus ſingulare Artificium: Queritur enim de Trojæ *excidio, de ſuo lamentabili fato, de calamitoſâ* Hecubæ *fortunâ, quæ uno die conſpectura erat geminum liberorum funus. Hinc ſomniis territa præſagit* Hecuba *cladem liberorum, abominanſque infauſtum omen interpretem quærit: Quùm Chorus illi nunciat* Polyxenam Græcorum *ſententiis cædi deſtinatam.* Hecuba *in luctus & lamenta ſolvitur, nec* Polyxenam *celat de exercitûs decreto: quam adeò non exanimat ea res; ut non ſuam, ſed matris potiùs, vicem deploret, quæ, ſe amiſsâ, omninò orba ſit futura.*

ΠΟΛΥΔΩΡΟΥ εἴδωλον.

Ἰαμβοί.

Πο. ἫΚΩ, νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
Λιπών, ἵν᾽ ᾅδης χωρὶς ᾤκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως
Πριάμου τε πατρός· ὅς μ᾽, ἐπεὶ Φρυγῶν πόλιν
Κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,
Δείσας, ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς,
Πολυμήστορος πρὸς δῶμα Θρηκίου ξένου,
Ὃς τήνδ᾽ ἀρίστην Χερρονησίαν πλάκα
Σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
Πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
Πατὴρ, ἵν᾽ εἴποτ᾽ Ἰλίου τείχη πέσοι,

VEnio defunctorum latebras & caliginis portis
Relictis, (ubi Pluto in ſedibus collocatus eſt ſeorſim à diis)
Polydorus, Hecubæ filius *filia* Ciſſei
Priamique patris: qui me, poſtquam Trojanorum urbem
Periculum invaſit, haſtâ nè caderet Græcâ,
Metuens, clam-emiſit ex Trojanâ terrâ
Polymeſtoris ad domum Thracii hoſpitis,
Qui præſtantiſſimam Cherroneſiam plagam
Seminat, equeſtrem populum regens haſtâ;
Multum verò mecum auri emittit occultè
Pater: ut ſi quando Ilii mœnia caderent,

ΣΧΟΛΙΑ.

Ἡ ὑπόθεσις τοῦ δράματος ἄρχεται ἐκ μονοπροσωπικῆς προόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τν. ὧν ὁ τελευταῖος, Φθείρει θεῶν τις τὴν πάρος δ᾽ εὐπραξίαν. Ἐπὶ τῷ τέλει κορωνίς. Ἀφεὶς ὁ Πολύδωρος τὸ σῶμα ἑαυτοῦ, καὶ μόνη ψυχὴ ὤν, αἰωρεῖται ἐπάνω τῆς μητρὸς αὐτοῦ, καὶ λέγει εἰς ἐπήκοον αὐτῆς τήν τε σφαγὴν αὐτοῦ, καὶ τὴν ἐσομένην τῇ ἀδελφῇ αὐτοῦ Πολυξένῃ ὑφ᾽ Ἑλλήνων. Ἐποίησε δὲ τοῦτο ὁ ποιητὴς ἐξεπίτηδες, ἵνα δῆλα πᾶσι ποιήσῃ τὰ κατὰ τὸν Πολύδωρον, ὃ καὶ ἐν ἀρχῇ πάντων τῶν αὐτοῦ δραμάτων ποιεῖν εἴωθεν.

Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπών. Ἥκω] τὸ ἥκω, Ἀττικόν ἐστιν. οἱ γὰρ Ἀττικοί, ἀντὶ τοῦ εἰπεῖν ἦκον, ἥκω λέγουσιν. ῥέπει δὲ τοῦτο πρὸς τὸ παρεληλυθὸς, καθόσον τὸ εἶμι, πρὸς τὸ μέλλον. Σκότου] γράφεται καὶ τὸ σκότος οὐδετέρως, καὶ ὁ σκότος· καὶ τῷ μὲν οὐδετέρῳ χρῶνται οἱ κοινοί, τῷ δὲ ἀρσενικῷ οἱ Ἀττικοί. Ἅιδης] ἢ διὰ τὸν ἐν ᾅδου τόπον νοητέον, ἵν᾽ ᾖ τὸ ᾤκισται ἀντὶ τοῦ κατῴκισται ὑπὸ τῶν νεκρῶν, ἢ ὑπὸ τοῦ Πλούτωνος, καὶ Περσεφόνης. ἢ ἀντὶ τοῦ ὁ Πλούτων. ᾅδης γὰρ καὶ Πλούτων ὁ αὐτὸς λέγονται. τὸ δὲ ᾤκισται, ἢ ἀντὶ τοῦ κατῴκισται, ἢ ἀντὶ τοῦ κατοικεῖται, κατ᾽ ἀντιχρονισμὸν, ὅταν κατοικεῖται εἴποις, εἰ τόπον τὸν ᾅδην μόνον νοήσεις. Κίνδυνος] κινδυνεύω, ἀντὶ τοῦ ἐν δεινῷ εἰμι. καὶ κινδυνεύω ποιεῖν τόδε, ὅταν οὐ θέλω δηλονότι, ἀλλ᾽ ὑπὸ τῆς ἀνάγκης εἰς τοῦτο συνηλαυνόμενος. καὶ κινδυνεύω πείσεσθαι τόδε, ἀφ᾽ οὗ κίνδυνος ἐστὶ τῶν δύο τούτων σημαινομένων· κίνδυνος γὰρ αὐτὸ τὸ δεινόν· καὶ κίνδυνος πείσεσθαί τινα τόδε, ὅταν οὐκ αὐτὸ δηλοῖ τὸ δεινὸν, ἀλλὰ τὴν ἐπὶ τὸ δεινὸν συνελαύνουσαν ἀνάγκην. Πλάξ] οὐ μόνον ἡ πεδιάδης γῆ, ὥσπερ κἀνταῦθα. (οὐ γὰρ οἶδέν τι ἀρίστην αὐτὴν προσαγορεύειν, εἰ πεδιάδης ἦν,) ἀλλ᾽ ἔστι τὸ πλάκα ἀντὶ τοῦ γῆν, δῆλον δὲ ἐκ τοῦ Σπείρει.

ANNOTATIONES.

1. Ἥκω νεκρῶν κευθμῶνα.] Infernus locus remotiſſimus à deorum domicilio; ut appareat, in centro terræ eſſe ſceleratorum carnificinam, omnium ſordium & fœtorum receptaculum, cui horribilis caligo, æternæque tenebræ incumbant. Locum ipſum optimè deſcribit *Homerus* Iliad. θ. V. 13. ad 16.
Ἤ μιν ἑλὼν ῥίψω ἐς τάρταρον, &c.
Virgilius idem expreſſit, Æn. 6. V. 577.
——*Tum Tartarus ipſe*
Bis patet in præceps tantum, tenditque ſub umbras,
Quantus ad æthereum cœli ſuſpectus Olympum,
Senecæ Troas ejuſdem eſt Argumenti.

4. Ὅς μ᾽, ἐπεὶ Φρυγῶν πόλιν.] *Virgilius* Æneid. 3. V. 49. uſque ad V. 56
Hunc Polydorum, auri quondam cum pondere magno,
Infelix Priamus, &c.

Vid. etiam *Ovid.* Metamorph. l. 13. ubi *Polydori* cædes deſcribitur:
Eſt ubi Troja *fuit,* Phrygiæ *contraria tellus,*
Biſtoniis *habitata viris, &c.*

V. 7. Θρηκίου] Nonnulla exemplaria habent Θρῃκίου. Utroque modo ſtabit Verſus; cum in quinto loco, ut in primo & tertio, *Anapæſtus* poni ſolet; ab *Euripide* etiam aliquando in ſecundo & quarto.

V. 8. Ὃς τὴν ἀρίστην Χερρονησίαν] *Cherroneſus,* vel *Cherſoneſus,* eſt Terra Inſulæ in modum mari cincta & *Latinè* Peninſula dicitur. *Quinque* autem inſigniores memorantur *Cherſoneſi,* quarum celeberrima *Peloponneſus*; ſecunda, quæ à viciná Continente *Thracia* dicitur, de quâ Poeta jam loquitur; tertia *Cimbrica*; quarta *Taurica*; quinta, quam *Auream* cognominant, ſuper *Gangem* ſita. Vid. *Hofmanni* Lexicon Univerſale in hâc voce.

Τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.
Νεώτατος δ' ἦν Πριαμιδῶν· ὃ καί με γῆς
Ὑπεξέπεμψεν· οὔτε γὰρ φέρειν ὅπλα,
Οὔτ' ἔγχος οἷός τ' ἦν, νέῳ βραχίονι.
Ἕως μὲν οὖν γῆς ὄρθ' ἔκειθ' ὁρίσματα,
Πύργοι τ' ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονὸς,
Ἕκτωρ τ' ἀδελφὸς οὑμὸς ηὐτύχει δορὶ,
Καλῶς παρ' ἀνδρὶ Θρηκὶ, πατρῴῳ ξένῳ,
Τροφαῖσιν, ὥς τις πτόρθος, ηὐξόμην τάλας.
Ἐπεὶ δὲ Τροία θ', Ἕκτορός τ' ἀπόλλυται
Ψυχὴ, πατρῴα θ' ἑστία κατεσκάφη,
Αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ,
Σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου·
Κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν
Ξένος πατρῷος, καὶ κτανὼν, ἐς οἶδμ' ἁλὸς
Μεθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
Κεῖμαι δ' ἐπ' ἀκταῖς, ἄλλοτ' ἐν πόντου σάλῳ,
Πολλοῖς διαύλοις κυμάτων φορούμενος,
Ἄκλαυστος, ἄταφος. νῦν δ' ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀΐσσω, σῶμ' ἐρημώσας ἐμὸν,
Τριταῖον ἤδη φέγγος αἰωρούμενος,
Ὅσονπερ ἐν γῇ τῇδε Χερρονησίᾳ
Μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.
Πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες, ἥσυχοι
Θάσσουσ' ἐπ' ἀκταῖς τῆσδε Θρηϊκίας χθονός.
Ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς
Κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικὸν,
Πρὸς οἶκον εὐθύνοντας ἐναλίαν πλάτην.
Αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
Τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν·
Καὶ τεύξεται τοῦδ', οὐδ' ἀδώρητος φίλων
Ἔσται πρὸς ἀνδρῶν. ἡ πεπρωμένη δ' ἄγει
Θανεῖν ἀδελφὴν τὴν ἐμὴν τῇδ' ἡμέρᾳ.
Δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
Μήτηρ, ἐμοῦ τε, τῆς τε δυστήνου κόρης.
Φανήσομαι γὰρ, ὡς τάφου τλήμων τύχω,

Viventibus filiis non eſſet penuria victûs.
Minimus autem natu eram Priamidarum, quare etiam me ex terrâ
Clam-emiſit; neque enim ferre arma
Neque haſtam potis eram, puerili brachio.
Quandiu quidem igitur terræ recti ſtabant termini,
Turreſque illæſæ Trojanæ erant terræ,
Hectorque frater meus feliciter rem gerebat haſtâ,
Bene apud virum Thracem, patrium hoſpitem,
Alimentis, quaſi quiſpiam ſurculus, creſcebam miſer.
Poſtquam verò Troja, Hectoriſque periit
Anima, & paternus focus everſus eſt,
Ipſe verò ad aram Deo-ædificatam cadit
Mactatus Achillis à filio ſanguinario:
Interficit me auri miſerum gratiâ
Hoſpes paternus: & quum interfeciſſet, in pelagus
Abjecit, ut ipſe aurum in domo haberet.
Jaceo autem in littore, interdum in maris æſtu
Multis circuitibus undarum agitatus,
Indefletus, inſepultus. nunc verò propter matrem charam
Hecubam proſilio, corpore relicto meo,
Tertiam jam lucem verſans in ſublimi,
Quandiu ſcilicet in terrâ hâc Cherroneſiâ
Mater mea infelix ex Trojâ adeſt.
Omnes verò Achivi naves tenentes, quieti
Sedent in littore hujus Thraciæ terræ.
Pelei namque filius ſuper tumulum apparens
Continuit Achilles totum exercitum Græcum,
Domum verſus dirigentes marinum remum.
Petit verò ſororem meam Polyxenam
Tumulo charam victimam & honorarium accipere:
Et potietur hoc, neque indonatus amicis
Erit à viris. fatum verò impellit
Mori ſororem meam hâc die.
Duorum verò liberorum duo cadavera aſpiciet
Mater, meûmque, & hujus infelicis puellæ.
Apparebo enim, ut ſepulturam infelix conſequar

Βίου] βίος σημαίνει πέντε. τὴν τέχνην, ὡς τὸ ἐμπορικὸν βίον ἢ φιλόσοφον ζῆν. τὸν πόρον, ὡς τὸ χρυσοῦ βίου ἐστί. τὸν παρόντα ἑνὸς ἑκάστου χρόνον τῆς ζωῆς. τὴν οὐσίαν καὶ τὰς πρὸς τὸ ζῆν συντελούσας ἀφορμάς. [καὶ δὴ καὶ τὸ γένος ἀνθρώπων, ὡς Ἀριστοτέλης ἐν τῷ περὶ κόσμου, συνεπιμαρτυρεῖ δὲ καὶ βίος ἅπας τὴν ἄνω χώραν ὑπὸ δὲ θεῶν. τὸ δὲ βιὸς βαρυτονούμενον τὸ τόξον σημαίνει.] 14 Ὅπλα τὰ φυλακτήρια, οἷον θώραξ, κράνος. ἔγχος δὲ καὶ ἀσπίδα, ἀμυντήρια. 16 Ἕως μὲν οὖν γῆς] δεύτερον προοίμιον. Τὸ γῆς, μὴ νομίσῃς διὰ τὴν περὶ τὴν Τροίαν γῆν, ὡς οἴονταί τινες κακῶς, ἀλλὰ δι' αὐτὴν τὴν Τροίαν. ἵνα ἢ τὰ ὁρίσματα, ἀντὶ τοῦ οἱ πύργοι. περιορισμὸς γὰρ τῆς ἐν τῇ πόλει γῆς, οἱ πύργοι. ὥστε τῆς γῆς ὁρίσματα, καὶ τὸ πύργοι Τρωϊκῆς χθονὸς, ταυτόν ἐστιν. ὅτι δὲ ἐστὶ ταυτὸν, καὶ οὐχ ὡς ἐκεῖνοι φασὶ, μαρτυρεῖ τὸ, ἐπεὶ δὲ Τροία, ὃ ἐπήγαγε πρὸς τὰ δύο, δηλῶν ὡς ταυτοσήμαντά ἐστιν. Ἔκειτο δὲ ἔτι ἐπειδὴ οἱ θεμέλιοι τῶν τειχῶν ἐν τῇ γῇ κεῖνται. 19 Θρηϊκίῳ, ὁ Θρᾷξ, τοῦ Θρᾳκὸς, καὶ ἀπὸ τούτου Θρηΐκιος, κατὰ παραγωγὴν, ὁμοφωνουμένου τοῦ ι, καὶ τρεπομένου τοῦ α εἰς η. Ξένος κυρίως ὁ φίλος, ὃν ἐπὶ τῆς πατρίδος τις ποιήσηται ἀπὸ ξένης ἐλθόντα. ἁπλῶς δὲ καὶ ὁ φίλος. 20 Τροφαῖσιν ηὐξόμην] ἀντὶ τοῦ ἀνετρεφόμην. Πατρῴα] ἡ τοῦ πατρός. τὸ κτητικὸν ἀντὶ μόνης τῆς κτητικῆς, ἵν' ἡ καλῶς ἔχειν τὸ ἐπαγόμενον, αὐτὸς δέ. Ἑστία] ἑστία λέγεται ἡ ὅλη κατοικία, ἀπὸ μέρους τὸ πᾶν, ἀπὸ τοῦ εὕω τὸ φωτίζω, καὶ φλογίζω. ἢ ἀπὸ τοῦ ἕζω τὸ κάθημαι. Τῷ θεοδμήτῳ] ἐπεὶ ὅτι θεόδμητος ἦν ὁ βωμὸς τῆς Ἀθηνᾶς, ἢ τοῦ Διὸς Ἑρκείου, ὡς ἔνιοι, διὰ τοῦτο θεοδμήτῳ λέγει, ἀλλὰ διὰ τὴν θεῶν περὶ τὴν Τροίαν δημιουργηθέντι. ἢ διὰ θείως καὶ θαυμαστῶς κτισθέντι. Πιτνεῖ] ἀντὶ τοῦ ἔπεσε, τουτέστιν ἐφονεύθη. Πολλοῖς διαύλοις κυμάτων] ὥσπερ ἑρμηνεία ἐστὶ, πρὸς τὸ πόντου σάλῳ. οὐδὲν γὰρ ἄλλο ἐστὶν ἢ τῆς θαλάσσης ταραχὴ, ἀλλ' ἡ συνεχεῖς κυμάτων στροφαί. Ἀχιλλέως] διὰ τὸ μέτρον ἀφῃρέθη τὸ ἓν λ. ὅμως καὶ σὺν τοῖς δύο γράφεται, καὶ ἔστι συνίζησις. Τριταῖον] τὰ τρία, καὶ τέσσαρα, καὶ ἑξῆς ὀνόματα ἀριθμοῦ δηλωτικά. τὸ τρίτον δὲ καὶ τέταρτον, καὶ ἑξῆς ὀνόματα τάξεως δηλωτικά. ἔστι γὰρ τρίτον μὲν τὸ ἔχον ὄπισθεν, πρῶτον καὶ δεύτερον. εἰσὶ δὲ ταῦτα τριγενῆ, ἀπὸ τῶν θηλυκῶν τούτων, τριταῖος καὶ τεταρταῖος παράγονται, ὡς Ἀθηναῖος, Μυκηναῖος, ἢ τοιοῦτό τι. ἔστιν οὖν ἄλλο τρίτον, καὶ ἄλλο τριταῖον. ὥσπερ ἄλλο Ἀθῆναι, καὶ ἄλλο Ἀθηναῖος. ἐνταῦθα δὲ τὸ τριταῖον, ἀντὶ τοῦ τρίτον λέγεται. λαμβάνεται δὲ τὸ τρίτον, τὸ τέταρτον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης, καὶ ἐπὶ μορίων, ἃ ἁρμοδιώτερον λέγεται ἔχοντα ἐν συνθέσει τὸ μόριον, οἷον τριτημόριον, τεταρτημόριον, καὶ ἑξῆς. ἔχουσι δὲ ἐρωτηματικά, τὸ πόσα, τὸ πόστον, τὸ ποσταῖον, καὶ τὸ ποστημόριον. καὶ πρὸς μὲν τὸ πόσα ἀπαιτεῖ τὸ τρία τυχὸν, ἢ τέσσαρα. πρὸς δὲ τὸ πόστον, τὸ τρίτον, ἢ τέταρτον ἐπὶ τάξεως. πρὸς δὲ τὸ ποσταῖον, τὸ τριταῖον ἢ τεταρταῖον. οἷον πρὸς δὲ τὸ ποσταῖον ἀπ' οὐρανοῦ πάρει; ἀποκρίσει τὸ τριταῖος τυχὸν, ἢ τεταρταῖος. ἤγουν τρίτην ἡμέραν ἔχω, ἀφ' οὗ πάρειμι, ἢ τετάρτην. πρὸς δὲ τὸ ποστημόριον, τὸ δεύτερον, τὸ τρίτον, τὸ τέταρτον ἐπὶ μορίων, ἢ τὸ δεύτερον τὸ τριτημόριον, τὸ τεταρτημόριον. ζητεῖ δὲ τὸ μὲν πόσα, διωρισμένον ποσόν. τὸ δὲ πόστον, τάξιν. τὸ δὲ ποσταῖον, συμβαῖνόν τι ἐν τάξει, τὸ δὲ ποστημόριον, μέρος. ἐπεὶ δὲ τὸ ποσὸν διαιρεῖται, καὶ τὸ μὲν αὐτοῦ ἐστι συνεχὲς, τὸ δὲ διωρισμένον, εὗρεν ἡ φύσις καὶ ἐπὶ τοῦ συνεχοῦς ἕτερον ἐρωτηματικὸν, τὸ πηλίκον. ὥστε πρὸς μὲν τὸ πόσα ἀπαιτεῖ διωρισμένον ποσὸν, πρὸς δὲ τὸ πηλίκον, συνεχές. Εὐθύνοντας.] ἤγουν ἀπευθύνοντας. πρὸς τὸ σημαινόμενον δὲ, ἀπεδόθη.

ANNOTATIONES.

V. 23. Αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ] Quomodò *Priamus Neptolemi* manu ad aram fuerit cæſus. Vid. *Virgil. Æn.* 2. V. 550.

——*Hæc dicens Altaria ad ipſa trementem*
Traxit, &c.——

Δούλης

Δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ.
Τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην
Τύμβου κυρῆσαι, κεἰς χέρας μητρὸς πεσεῖν.
Τοὐμὸν μὲν οὖν, ὅσον περ ἤθελον τυχεῖν,
Ἔσται. γεραιᾷ δ' ἐκποδὼν χωρήσομαι
Ἑκάβῃ. περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ' ἐμόν.
Φεῦ ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων,
Δοῦλον ἦμαρ εἶδες· ὡς πράσσεις κακῶς,
Ὅσον περ εὖ ποτ'. ἀντισηκώσας δέ σε
Φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

Ancillæ ante pedes in appulsu maris adjectus.
Nam ab illis, quibus est potestas apud inferos, impetravi,
Ut tumulo potirer & in manus matris inciderem.
Meum igitur, quantum volebam consequi,
Erit. Sed ab anu procul secedam
Hecubâ: profert enim ipsa pedem sub tentorium
Agamemnonis, phantasma metuens meum.
Ah mater, quæ ex regiis ædibus,
Servilem diem vidisti, ut tam infeliciter agis
Quàm feliciter olim! At te, æquo libramine usus,
Perdit deorum aliquis pro pristinâ felicitate.

Κλυδωνίῳ] κλυδώνιον, τὸ κῦμα τῆς θαλάσσης, ὃ περὶ τὸν αἰγιαλὸν ὁρμῶν ὥσπερ ἐπικλύζεται. Τυχεῖν] τὸ τυχεῖν ἀεὶ γενικῇ συντάσσεται. ἐνταῦθα δὲ τὸ ὅσον, οὐ πρὸς τὸ τυχεῖν λέγεται, ἀλλὰ πρὸς τὸ προηγησάμενον τὸ ἐμόν. Γεραιᾷ] τὸ γεραιᾷ οὐ πρὸς τὸ ἐκποδὼν ἐστὶν, ὡς οἴονταί τινες, ἐντίθεασι ποιοῦντες, ἐπειδὴ τὸ ἐκποδὼν γενικῇ συντάσσεται, ἀλλὰ πρὸς τὸ χωρήσομαι. ὅσον γὰρ φανοῦμαι, ἀφαιρῶ σοι χώραν, τὴν γὰρ ἀφαίρεσιν ποιῶ. μάλα, οὐ πρὸς τὸ χρήματα συντάσσοντες τὸ σοὶ, ὥς τινες τῶν ἀμαθῶν οἴονται, ἀλλὰ πρὸς τὸ ἀφαιρῶ, οὕτω καὶ τὸ χωρήσομαι τῇ Ἑκάβῃ ἐκποδὼν, ἀντὶ τοῦ τὴν ὁρμὴν τῆς ἀποστασίας ποιῶ. περᾷ δὲ ὑπὸ τὴν σκηνὴν τοῦ Ἀγαμέμνονος, ἵν' αὐτόθι τῇ Κασάνδρᾳ ἐντύχῃ, ἥτις μαντεύσεται αὐτῇ περὶ τούτου τοῦ φαντάσματος. Φθείρει] τὸ ἀφανίζειν, καὶ τὸ βλάπτειν. καθὸ λέγεται, ἐφθάρθαι τὰ διηγήματα.

ANNOTATIONES.

55. Φεῦ, ὦ μῆτερ] In Scansione τὸ φεῦ omninò otiosum est reputandum; ut plus centies apud hunc Poetam videre licet, ubi semper φεῦ ante ὦ quasi coalescit μονοσυλλάβως, eâdem prorsus ratione, ac apud *Homerum*;

Ἢ οὐκ οἶσθ' ——

Item *Iliad.* l. v. 533. Ἢ λάθετ', ἢ οὐκ ἐνόησεν. &c.

Item *Theocrit. Idyll.* i. v. 116. Ἢ οὐ μέμνασ', ὅτ' ἐγών, &c.

Sed de hâc re videsis *Rod. Wintertoni* Notas in *Hesiodum.*

Et apud *Virgil.* *Vos undecunque modis*, &c.

Et *Alcmani.* *Eamne, dicto celebranti per agros urbesque ferè omnes.*

Et *Propertium.* *Hoc eodem stilo stillat uterque tumor.* L. 2. Eleg. 7.

ΠΑΡΑΦΡΑΣΙΣ.

Ἐγὼ ὁ Πολύδωρος, ὁ γεγονὼς ἐκ τῆς Ἑκάβης τῆς θυγατρὸς τοῦ Κισσέως, πατρός τε τοῦ Πριάμου, ἦλθον ἄρτι, ἀφεὶς τὸν ἀπόκρυφον τόπον τῶν νεκρῶν, καὶ τὰς πύλας τοῦ ἀφεγγοῦς τόπου, ὅπου ὁ ᾅδης φωλεύων ἐστὶν, ὡς ἀπὸ μερισμοῦ δηλονότι, ἄνευ τῶν οὐρανίων θεῶν. ὅστε ὁ Πρίαμος, ἐπεὶ κατέλαβεν τὴν Τροίαν φόβος καὶ ὑπώπτευσεν καταβληθῆναι ὑπὸ τοῦ Ἑλληνικοῦ πολέμου, φοβηθεὶς, ἔξω ἔπεμψεν ἐμὲ τῆς Τρωϊκῆς γῆς, πρὸς τὸ οἴκημα τοῦ Πολυμήστορος τοῦ φίλου τοῦ Θρᾳκικοῦ. ὃς Πολυμήστωρ γεωργεῖ τὴν ἀρίστην καὶ ἐπαινετὴν πεδιάδα τῆς Χερρονήσου, τὸν ἱππικὸν καὶ πολεμικὸν λαὸν διεξάγων διὰ τοῦ δόρατος. πολὺν δὲ χρυσὸν ἐξέπεμψεν ὁ πατὴρ σὺν ἐμοὶ κρυφίως, ἵνα ἐάν ποτε καταβληθῇ τὰ τείχη τῆς Τροίας, μὴ εἴη τοῖς ζῶσι παισὶ στέρησις καὶ ἔνδεια τοῦ βίου, ἤγουν τῶν συντελούντων πρὸς τὴν ζωήν. νεώτατος δ' ἦν τῶν παίδων τοῦ Πριάμου, διὸ καὶ κρυφίως ἔξω ἔπεμψεν ἐμὲ τῆς γῆς. οὔτε γὰρ δυνατὸς ἦν βαστάζειν ὅπλα, οὔτε ἔγχος, διὰ τοῦ ἁπαλοῦ καὶ τρυφεροῦ βραχίονος. ἐν ὅσῳ οὖν χρόνῳ τὴν ὀρθίαν εἶχον στάσιν τὰ ὅρια τῆς γῆς, οἵ τε πύργοι τῆς Τρωϊκῆς χθονὸς ἦσαν ἀκατάβλητοι, καὶ ὁ Ἕκτωρ ὁ ἐμὸς ἀδελφὸς εὐτύχει ἐν τῷ πολέμῳ, καλῶς παρὰ τῷ Πολυμήστορι τῷ πατρικῷ φίλῳ, ἐν τροφαῖς ὥσπερ τις κλάδος, ηὐξανόμην ὁ τάλας. ἐπεὶ δὲ ἡ Τροία ἀπώλετο, καὶ ἡ ζωὴ τοῦ Ἕκτορος ἀπώλετο κατὰ κοινοῦ, καὶ ἡ οἰκία ἡ πατρικὴ ἠφανίσθη, αὐτός τε ὁ πατὴρ ὁ Πρίαμος ἔπεσεν, ἤτοι ἐφονεύθη ἐν τῷ βωμῷ τῷ θεοκατασκευάστῳ, σφαγεὶς ἐκ τοῦ παιδὸς τοῦ Ἀχιλλέως τοῦ ἄγαν φονικοῦ, τοῦ Νεοπτολέμου δηλονότι, ἔκτεινεν ἐμὲ τὸν ταλαίπωρον ὁ πατρικὸς φίλος, ἕνεκα τοῦ χρυσοῦ, καὶ κτανὼν ἔρριψεν εἰς τὸ κῦμα τῆς θαλάσσης, ὅπως ἔχῃ τὸν χρυσὸν ἐν τοῖς δόμοις. κεῖμαι δὲ ἐν τῷ αἰγιαλῷ ἄλλοτε ἐν τῷ κλυδωνίῳ, καὶ τῇ ταραχῇ τοῦ πόντου φερόμενος πολλοῖς δρόμοις κυμάτων ἄταφος, ἤτοι ἐστερημένος ταφῆς. νῦν δὲ ὁρμῶ, ἤ τοι φέρομαι ἐπάνω τῆς μητρὸς τῆς Ἑκάβης τῆς φιλοστόργου, ἔρημον ἀφεὶς τὸ ἐμὸν σῶμα, μετεωριζόμενος τρίτην ταύτην ἡμέραν ἤδη, ὅσον ἀφ' ἡμῶν δηλονότι ἐν τῇδε τῇ γῇ τῇ Χερρονησίᾳ πάρεστιν ἡ ἐμὴ μήτηρ ἐκ τῆς Τροίας ἡ ἀθλία. πάντες δὲ οἱ Ἀχαιοὶ ἔχοντες καὶ οἰκοῦντες τὰς ναῦς, κάθηνται ἡσύχως ἐπὶ ταῖς ἀκταῖς τῆς χθονὸς τῆς Θρᾳκικῆς. ὁ υἱὸς γὰρ τοῦ Πηλέως ὁ Ἀχιλλεὺς, φανεὶς ἐπάνω τοῦ ἑαυτοῦ τάφου, ἐπέσχε πάντας τοὺς Ἕλληνας, κινοῦντας πρὸς τὸν οἶκον τὴν κώπην τὴν θαλασσίαν. Ζητεῖ δὲ τὴν Πολυξένην σφάγιον ἐπὶ τῷ τάφῳ, ἤτοι ἐπάνω τοῦ τάφου, φίλον καὶ προσφιλὲς αὐτῷ δηλονότι. καὶ ἐπιτυχὴς γενήσεται τοῦδε, οὐδὲ ἔσται ἀγέραστος παρὰ τῶν ἀνδρῶν τῶν φίλων, ἤτοι τῶν Ἑλλήνων. ἡ μοῖρα δὲ συνελαύνει καὶ φέρει θανεῖν ἀδελφὴν τὴν ἐμὴν κατὰ ταύτην τὴν ἡμέραν. θεάσεται δὲ ἡ μήτηρ δύο σώματα νεκρὰ, δύο παίδων, ἐμοῦ καὶ τῆς κόρης τῆς δυστυχοῦς. φανήσομαι δὲ τῷ αἰγιαλῷ ὁ ἄθλιος, ἔμπροσθεν τῶν ποδῶν τῆς δούλης, ἵνα τύχω ἐνταφιασμοῦ. τοὺς γὰρ ἐν τῷ ᾅδῃ δυναμένους Πλούτωνα καὶ Προσερπίνην ἐξῃτησάμην καὶ ἱκέτευσα ἐπιτυχεῖν τύμβου, ἤτοι ἐνταφιασμοῦ, καὶ πεσεῖν εἰς τὰς χεῖρας τῆς μητρός. τὸ ἐμὸν μὲν ὅσον περ ἤθελον τυχεῖν ἔσται, ὡς τὸ τυχεῖν τούτου δηλονότι. ὑποχωρήσω δὲ μακρὰν τῇ γεραιᾷ Ἑκάβῃ. διαπερᾷ γὰρ καὶ κινεῖ αὕτη τὸν πόδα ὑποκάτω τῆς σκηνῆς τοῦ Ἀγαμέμνονος, φοβουμένη τὸ ἐμὸν φάντασμα, τουτέστι τὸ ὄναρ, ὃ εἶδε περὶ ἐμοῦ. φεῦ, ὦ μῆτερ, ἥτις ἐκ τῶν βασιλικῶν οἴκων εἶδες ἡμέραν δούλειον, ἤτοι δουλείας, λίαν δυστυχεῖς, ὅσον περ ποτὲ ηὐτύχεις δηλονότι. ἀντισταθμήσας δέ τις τῶν θεῶν ἀπὸ τῆς προτέρας εὐτυχίας, ἔφθειρέ σε.

ΕΚΑΒΗ.

Ἀνάπαισοι.

Εκ. Ἄγετ', ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,
Ἄγετ' ὀρθοῦσαι τὴν ὁμόδουλον
Νῦν, Τρῳάδες, ὑμῖν, πρόσθεν δ' ἄνασσαν.
Λάβετε, φέρετε,
Πέμπετ', ἀείρετέ μου δέμας,

Hec. Ducite, ô puellæ, anum ante domum,
Ducite erigentes conservam
Nunc, Trojanæ, vobis, antè verò reginam.
Prehendite, gestate,
Deducite, attollite meum corpus

Ἄγετ' ὦ παῖδες τὴν γραῦν πρὸ δόμων] τὰ τοιαῦτα εἴδη καλεῖται συστήματα ἐξ ὁμοίων, κατὰ περιοχὴν αὐτοῖς. σύστημα δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶ, μέτρων συναγωγὴ, ἤτοι δύο ἢ πλειόνων, ἢ ὁμοίων, ἢ ἀνομοίων. ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν, Λακωνικὸν καλούμενον. διὰ τὸ τὸν Λάκωνα Ἀλκμᾶνα τούτῳ πρῶτον χρήσασθαι. εἰσὶ δὲ τὰ μὲν τῶν κώλων δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων καταληκτικὰ δίμετρα, ἤτοι ἑφθημιμερῆ. ὃ μέτρον καλεῖται παροιμιακὸν, διὰ τὸ πολλὰς παροιμίας τούτῳ τῷ μέτρῳ γεγράφθαι. τὸ μὲν τοι ἑκκαιδέκατον κῶλον, τὸ λδ', καὶ τὸ τριακοστὸν ἕκτον, μονόμετρά ἐστιν ἀκατάληκτα, ὃ καὶ ἀναπαιστικὴ ὀνομάζεται βάσις. τὰ δὲ πάντα κῶλα τοῦ συστήματος, εἰσὶ λθ' σὺν τῷ τελευταίῳ, πέμψατε δαίμονες ἱκετεύω, ἐπὶ ταῖς ἀποθέσεσι παρακειμένου, ἐπὶ τῇ τελευταίᾳ κορωνίς.

Γεραιᾶς χειρὸς προσλαζύμεναι.
Κἀγὼ σκολιῷ σκίμπωνι χερὸς
Διερειδομένα, σπεύσω βραδύπουν
Ἤλυσιν ἄρθρων προτιθεῖσα.
Ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ,
Τί ποτ' *αἴρομ' ἔννυχος οὕτω *al. ἀείρομαι.
Δείμασι, φάσμασιν; ὦ πότνια χθὼν,
Μελανοπτερύγων μῆτερ ὀνείρων,
Ἀποπέμπομαι ἔννυχον ὄψιν,
Ἃν περὶ παιδὸς ἐμοῦ
Τοῦ σωζομένου κατὰ Θρῄκην,
Ἀμφὶ Πολυξένης τε φίλης
Θυγατρὸς, δι' ὀνείρων εἶδον.
Εἶδον γὰρ φοβερὰν ὄψιν,
Ἔμαθον, ἐδάην.
Ὦ χθόνιοι θεοὶ, σώσατε παῖδ' ἐμὸν,
Ὃς μόνος, οἴκων ἄγκυρά τ' ἐμῶν,
Τὴν χιονώδη Θρῄκην κατέχει,
Ξείνου πατρῴου φυλακαῖσιν.
Ἔσται τι νέον·
Ἥξει τι μέλος γοερὸν γοεραῖς.
Οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
Φρίσσει, ταρβεῖ.
Ποῦ ποτε θείαν Ἑλένου ψυχὴν,
Ἢ Κασσάνδρας ἐσίδω, Τρῳάδες,
Ὥς μοι κρίνωσιν ὀνείρους;
Εἶδον γὰρ βαλιὰν ἔλαφον
Λύκου αἵμονι χαλᾷ σφαζομένην,
Ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν ἀνάγκᾳ

Senilem manum apprehendentes.
Et ego curvo ſcipione manum
Annixa accelerabo tardigradum
Greſſum articulorum promovens.
O fulgur Jovis, ô tenebroſa Nox,
Quid tandem excitor de nocte ſic
Terroribus, ſpectris? ô veneranda Terra,
Nigras-alas-habentium mater ſomniorum,
Abominor nocturnam viſionem,
Quam de filio meo
Qui ſervatur in Thraciâ,
De Polyxenâque charâ
Filiâ, per inſomnia vidi.
Vidi enim terribile viſum,
Didici, cognovi.
O terreni Dii, ſervate filium meum,
Qui ſolus, domûs anchoraque meæ,
Nivalem Thraciam incolit
Hoſpitis paterni ſub tutelâ.
Erit aliquid novum;
Veniet aliquod carmen lugubre lugentibus.
Non unquam mea mens ſic indeſinenter
Horruit, metuit.
Ubi tandem divinam Heleni animam
Aut Caſſandræ aſpiciam, ô Troades,
Ut mihi interpretentur ſomnia?
Vidi enim variam Cervam
Lupi cruento ungue mactatam,
Ex meis genibus avulſam per vim

Λαζύμεναι.] ἔστι καὶ λάζυμαι, καὶ λάζομαι, τὸ λαμβάνω. τὸ μὲν, ἀπὸ τοῦ λάζυμι. τὸ δὲ, ἀπὸ τοῦ λάζω. τὸ δὲ λάζω δύο σημαίνει, τὸ λαμβάνω, καὶ τὸ ὑβρίζω. καὶ τὸ μὲν λαμβάνω γίνεται ἀπὸ τοῦ ἕλω τὸ λαμβάνω, καὶ τοῦ ἄγω ἄξω, ὃ δηλοῖ τὸ φέρω. τροπῇ τοῦ διπλοῦ εἰς διπλοῦν, ἐλάζω καὶ λάζω. τὸ δὲ ὑβρίζω, ἐκ τοῦ λίαν ζέειν. ἀπὸ γοῦν τοῦ λάζομαι παθητικοῦ, τοῦ δηλοῦντος τὸ λαμβάνω, γέγονε τὸ λαζοίατο παρὰ τῷ ποιητῇ· οἷον ὀδὰξ λαζοίατο γαῖαν. καὶ δῆλον ἐντεῦθεν, ὅτι διαφορεῖται κατὰ τὴν σύνταξιν. Βραδύπουν] ὁ βραδὺς τοὺς πόδας. ἐνταῦθα δὲ τὴν κίνησιν λέγει βραδύπουν, τὸν πόδα τιθεὶς ἀντὶ τῆς πορείας. Ἤλυσιν] πορείαν. εἰώθασιν οἱ ποιηταὶ μετατιθέναι τοὺς χρόνους. τὸ γὰρ ὀλωμένην, ἢ ὀλομένην, ὀλομένην λέγουσιν. οὕτω καὶ τὴν ἤλυσιν, ἤλυσιν. Ὦ στεροπὰ Διὸς] ἀντὶ τοῦ ὦ ἡμέρα ἡ δίκην ἀστραπῆς λάμπουσα. ἢ ἐπειδὴ πρὸς τὴν τοιαύτην ὄψιν ἐδυσχέραινε, ποιεῖ τὸν λόγον πρὸς τὴν ἀστραπὴν τοῦ Διὸς, ἵνα ἀποστρέψῃ αὐτὴν, καὶ ἀφανίσῃ. τὸ δὲ αἴρομαι, ἀντὶ τοῦ ἐπαίρομαι, καὶ μετεωρίζομαι, καὶ ἀσυστατικὸς εἰμι. ἔννυχος δὲ εἶπε, πρὸς τὸ αἴρομαι, δέον ἐννύχως εἰπεῖν. [71] Μῆτερ ὀνείρων] Μητέρα τῶν ὀνείρων εἶπε τὴν γῆν, ἢ ὅτι διὰ ἀντιφράξεως τῆς σκιᾶς αὐτῆς ἡ νὺξ γίνεται, καθ' ἣν οἱ ἄνθρωποι καθεύδοντες τοὺς ὀνείρους βλέπουσιν. ἢ καθ' ἑτέρους, ὅτι ἐκ μὲν τῆς γῆς αἱ τροφαὶ, ἐκ δὲ τῶν τροφῶν οἱ ὕπνοι, ἐκ δὲ τῶν ὕπνων οἱ ὄνειροι. τῆς γῆς ἄρα οἱ ὄνειροι. μελανοπτερύγας δὲ τοὺς ὀνείρους εἶπεν, ὅτι ἐν τῷ σκότει δοκοῦσιν ἵπτασθαι, ἀσταται γάρ εἰσι. [74] Τοῦ σωζομένου] οὐκ εἶπε τοῦ ὄντος, ἀλλὰ τοῦ σωζομένου. ὃ γὰρ ἐβούλετο, τὸ σώζεσθαι τὸν παῖδα δηλονότι, τοῦτο καὶ λέγει. Ὦ χθόνιοι] χθόνιοι, καὶ οἱ ἐπιχθόνιοι, ἤτοι οἱ ἐπάνω τῆς γῆς, τουτέστιν οἱ ἐγχώριοι, καὶ ἐντόπιοι. καὶ οἱ ὑποχθόνιοι, ἤτοι οἱ ὑποκάτω τῆς γῆς. Ὃς μόνος] ἢ πρὸς τὸ μόνος ὑποστικτέον, ἵν' ᾖ τὸ τέλειον ἀρχὸν, οὕτως· ὃς μόνος ὑπάρχων ἐμοὶ ἀπὸ τῶν ἐμῶν παίδων, καὶ ἄγκυρα τῶν ἐμῶν οἴκων. ἐπειδὴ εἰκός ἐστιν αὐτὸν ἀνακτήσασθαι τὴν ἡμῶν ἀρχὴν, κατέχει τὴν χιονώδη Θρᾴκην. ἢ τὸ ἄγκυρα πρὸς τὸ οἴκων, καὶ πρὸς τὸ ἐμῶν ἐκληπτέον, οὕτως, ὃς μόνος ἄγκυρα ὢν τῶν οἴκων, καὶ τῶν ἐμῶν, ἤτοι τῶν κατ' ἐμὲ πραγμάτων, κατέχει τὴν Θρᾴκην, ἢ οἴκων ἄγκυρα, τουτέστι τελευταία ἄγκυρα, ἀπὸ μεταφορᾶς τῶν ναυτιλλομένων, οἳ τὰς ἄλλας ῥίψαντες ἀγκύρας, ἂν μηδὲν δὲ αὐτῶν ἀνύσωσιν, ἐπὶ τῇ τελευταίᾳ τὰς ἐλπίδας ἔχουσιν. [84] Ἥξει τι νέον] νέον, τὸ νεαρὸν καὶ τὸ χαλεπὸν, ὡς ἐνταῦθα. Γοερὸν] τὸ γοερὸν, καὶ ὁ γόος, καὶ τὸ κωκύειν, ποιαὶ φωναί εἰσι, καὶ ταυτά εἰσι τῇ τε ἐννοίᾳ, καὶ τῇ προφορᾷ. συγγενῆ γὰρ εἰσι τὸ γ καὶ τὸ κ. μέσον γὰρ ἐστι τὸ γ τοῦ κ καὶ χ. Οὔ ποτ' ἐμὰ φρὴν] οὔποτε φησὶν ἡ ἐμὴ φρὴν οὕτως φρίσσει. εἶτα ἐπάγει, ἀλίαστος, ἤγουν ἀφύκτως· τουτέστιν ὃ φοβεῖται ἡ ἐμὴ φρὴν οὐ δύναται τοῦτο φυγεῖν. τὸ ταρβεῖν δὲ ταυτὸν τῷ φρίσσειν. ἢ οὔποτε ὁ ἐμὸς λογισμὸς ταρβεῖ, ὡς ἔξω φόβου καὶ κακῶν εἶναι. Ἑλένου ψυχὰν] Ἑλένου καὶ Κασσάνδρας ἐν ναῷ Ἀπόλλωνος ὄντων, ἐλθόντες ὄφεις, καὶ τὰ αὐτῶν περιλείξαντες ὦτα, οὕτως ὀξυηκόους εἰργάσαντο, ὡς μόνους τὰς τῶν θεῶν ἀκούειν βουλὰς, καὶ μάντεις ἄκρους εἶναι. εἶπε δὲ ψυχὴν Ἑλένου, ἐπειδὴ τεθνηκὼς ἦν. Κασσάνδραν δὲ, καὶ οὐ Κασσάνδρας. ἐπειδὴ ζῶσα ἦν. [Ἐνταῦθα μὲν δὴ ὁ Ἀρσένιος λίαν ἐσφάλη, ἔτι γὰρ περιῆν ὁ Ἕλενος, καὶ πολύγε ὕστερον, οἷα μετὰ τὴν τοῦ Νεοπτολέμου ἀναίρεσιν τὴν Ἀνδρομάχην γεγαμηκώς.] Ἐσίδω] οὐκ εἶπεν, ὄψομαι ὁριστικῶς, ἀλλ' ἐσίδω ὑποτακτικῶς. ἀεὶ γὰρ τὰ ἀπορρηματικὰ, τουτέστι τὰ ἀπορίαν ἐμφαίνοντα, ὑποτακτικοῖς συντάσσονται. οἷον τί γένωμαι, καὶ ποῖ τράπωμαι. ἔστι δὲ χρὴ γινώσκειν καὶ ταῦτα τὰ κῶλα, ἐν οἷς ἡ διμοιρία, ὡς τὰ πολλά. ἐν γὰρ τοῖς ἀναπαιστικοῖς μονόμετρα μόνον διὰ μέσου εὕρηνται, οὐ μὴν καὶ δίμετρα καταληκτικὰ, εἰ μὴ ἐν μόναις ταῖς ἀποθέσεσι. διὰ τοῦτο οὖν οὕτως ὠρθώθη παρ' ἡμῶν. εἰ δέ τις μέμφοιτο τὰς προθέσεις, ἀλλ' ἴσμεν ὡς οὐκ ἂν ἔχοι τις ἄλλως ταυτὶ διορθῶσαι.

ANNOTATIONES.

V. 87. Ἑλένου ψυχὰν] Animam Heleni dicit Poeta, non quòd mortuus is eſſet, ut *Scholiaſtes* malè putabat, ſed quòd Anima eſt potior pars hominis, præcipuè Vatis; & eſt Periphraſis. De *Heleno* autem quòd longè poſt hæc inter vivos fuerit, Vid. *Virgil. Æn.* l. 3. v. 294. &c.

Οἰκτρῶς.

Οἰκτρῶς. καὶ τόδε δεῖμά μοι
Ἤλυθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς
Φάντασμ' * Ἀχιλλῆος. *al. Ἀχιλῆος.
Ἤτει δὲ γέρας, τῶν πολυμόχθων
Τινὰ Τρωϊάδων.
Ἀπ' ἐμᾶς οὖν, ἀπ' ἐμᾶς τόδε παιδὸς
Πέμψατε, δαίμονες, ἱκετεύω.

Miſerabiliter. Et hoc terriculamentum mihi
Venit ſuper ſummum tumuli verticem
Spectrum Achillis.
Petebat verò munus, calamitoſarum
Quandam Troadum.
A meâ igitur, à meâ hoc filiâ
Avertite, Dii, ſupplico.

Καὶ τόδε δεῖμα] καὶ τόδε ὃ μέλλω εἰπεῖν, φοβερόν ἐστι, τὸ φάντασμα τοῦ Ἀχιλλέως, τὸ φανὲν δηλονότι ὑπὲρ τῆς ἄκρας κορυφῆς τοῦ τύμβου, δεῖμα καὶ φόβος ἦλθεν ἐμοί.

ΠΑΡΑΦΡΑΣΙΣ.

Ἄγετ' ὦ παῖδες τὴν γραῦν πρὸ δόμων] ὦ παῖδες, ὦ δοῦλαι, ἄγετε τὴν γραῦν, ἐμὲ δηλονότι, πρὸ τῶν δόμων, ἤτοι ἔξω τοῦ οἴκου. ἄγετε ὦ Τρῳάδες ὀρθοῦσαι, ἀντὶ τοῦ ἀνορθοῦσαι καὶ ἀναβαστάζουσαι, τὴν ὁμόδουλον ὑμῶν νῦν, πρότερον δὲ καὶ προτέραν ἄνασσαν. λάβετε, ὡς γραῦν δηλονότι. φέρετε, ὡς ἄψυχον, ὥσπερ τινά. πέμπετε, ἀντὶ τοῦ προπέμπετε, ὡς ἄνασσαν δηλονότι. αἴρετε, ἀντὶ τοῦ αἴρετε καὶ ἀνακουφίζετε τὸ δέμας ἐμοῦ. προσλαζύμεναι, ἤτοι λαμβανόμεναι καὶ ἐχόμεναι τῆς γεραιᾶς χειρὸς ἐμοῦ δηλονότι. καὶ ἐγὼ ἐρειδομένη καὶ στηριζομένη διὰ τῆς χειρὸς σκίμπωνι σκολιῷ, ἤτοι ῥάβδῳ ἐπικαμπεῖ, καὶ βακτηρίᾳ ἐπιρειστικῇ, σπεύσω, προσθήσω καὶ ποιήσω ἤλυσιν καὶ πορείαν τῶν ἄρθρων, καὶ τῶν ἁρμονικῶν, ἤτοι τῶν ποδῶν, βραδύπουν καὶ ἀργήν. ὦ στεροπὰ καὶ ἀστραπὴ Διός, ἀντὶ τοῦ ὦ ἡμέρα, ὦ νὺξ σκοτία καὶ σκοτεινή. τί ποτε, ἀντὶ τοῦ διατί ἀείρομαι καὶ μετεωρίζομαι ἔννυχος καὶ νυκτερινή, ἐν δείμασι καὶ ἐν φόβοις, ἐν φάσμασι, καὶ φαντάσμασιν. ὦ χθὼν πότνια καὶ σεβασμία, μῆτερ τῶν ὀνείρων τῶν μελανοπτερύγων καὶ ἀσαφῶν, ἀποπέμπομαι καὶ ἀποδιώκω τὴν νυκτερινὴν ὄψιν (λέγει δὲ τὸ ὄναρ,) ἣν εἶδον διὰ τῶν ὀνείρων, περὶ τοῦ παιδός, ἤγουν ἕνεκα τοῦ παιδὸς τοῦ φυλαττομένου κατὰ τὴν Θρᾴκην, καὶ περὶ τῆς Πολυξένης τῆς προσφιλοῦς θυγατρός. εἶδον γὰρ ὄψιν φοβεράν, ἤτοι φόβου ποιητικήν. ἔμαθον, ἔγνων, ἀκριβῶς ἔγνων. ὦ θεοὶ χθόνιοι, ἀντὶ τοῦ καταχθόνιοι ἢ ἐγχώριοι, σώσατε τὸν ἐμὸν παῖδα, ἤγουν τὸν Πολύδωρον, ὃς ἄγκυρα τῶν ἐμῶν μόνος, ἤτοι στήριγμα, καὶ φύλαξ τῶν ἐμῶν οἴκων, κατοικεῖ τὴν χιονώδη Θρᾴκην, ἐν ἐπιτηρήσει τοῦ φίλου τοῦ πατρῴου καὶ πατρικοῦ, ἤτοι τοῦ Πολυμήστορος. Ἔσται καὶ γενήσεταί τι παράδοξον, ἡμῖν δηλονότι. ἥξει τι μέλος γοερὸν, καὶ θρηνῶδες ταῖς γοεραῖς, ἡμῖν δηλονότι. οὔποτε, ἀντὶ τοῦ οὐδέποτε ἡ ἐμὴ γνώμη οὕτως ὑπῆρξε, δηλονότι ἄφυκτος, φρίσσει, ταρβεῖ. ποῦ ἄρα ἐσίδωμαι, ὦ Τρῳάδες, τὴν θείαν ψυχὴν τοῦ Ἑλένου προφητικῶς, ἀντὶ τοῦ τὸν Ἕλενον, ἢ τῆς Κασάνδρας, ἵνα διακρίνωσιν ἐμοὶ τοὺς ὀνείρους. εἶδον γὰρ ἔλαφον κατάστικτον, καὶ ταχεῖαν, σφαζομένην ἐν ὄνυχι λύκου αἱματηρῷ, ἀποσπασθεῖσαν τῶν ἐμῶν γονάτων, ἀφαιρεθεῖσαν σὺν ἀνάγκῃ καὶ βίᾳ οἰκτρῶς, καὶ ἐλεεινῶς. καὶ τόδε καὶ τοῦτο, λέγω τὸ φάντασμα τοῦ Ἀχιλλέως, ὑπὲρ τῆς ἄκρας κορυφῆς τοῦ τύμβου, δεῖμα καὶ φόβος ἦλθεν ἐμοί.

Χο. Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην,
Τὰς δεσποσύνους σκηνὰς * προλιποῦσα, *al. προλιποῦσ' ob verſ.
Ἵν' ἐκληρώθην καὶ προσετάχθην
Δούλη, πόλεως ἀπελαυνομένα
Τῆς Ἰλιάδος λόγχης αἰχμῇ,
Δοριθήρατος πρὸς Ἀχαιῶν,
Οὐδὲν παθέων ἀποκουφίζουσ',
Ἀλλ' ἀγγελίας βάρος ἀραμένα
Μέγα, σοί τε γύναι κῆρυξ ἀχέων.
Ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ
Λέγεται δόξαι, σὴν παῖδ' * Ἀχιλλεῖ *al. Ἀχιλεῖ ob verſ.
Σφάγιον θέσθαι. τύμβου δ' ἐπιβὰς
Οἶσθ' ὅτε χρυσέοις ἐφάνη σὺν ὅπλοις,
Τὰς ποντοπόρους δ' ἔσχε σχεδίας,
Λαίφη προτόνοις ἐπερειδομένας,
Τάδε θωΰσσων.
Ποῖ δὴ Δαναοὶ τὸν ἐμὸν τύμβον
Στέλλεσθ' ἀγέραστον ἀφέντες·
Πολλῆς δ' ἔριδος συνέπεσε κλύδων·
Δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων
Στρατὸν αἰχμητὴν, τοῖς μὲν διδόναι
Τύμβῳ σφάγιον· τοῖς δ' οὐχὶ δοκοῦν.
Ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν,

Ch. Hecuba, ſeduló ad te fugi,
Herilia tentoria deſerens,
Ubi forte data ſum & ordinata
Serva, ex urbe abacta
Iliade, haſtæ acie,
Haſtâ capta ab Achivis,
Nihil te malis levans,
Sed nuntii onus portans
Grande, tibique, mulier, præco dolorum.
Nam in Achivorum pleno concilio
Dicitur decretum eſſe, tuam filiam Achilli
Victimam fieri. Tumulum nanque quum aſcendiſſet,
Scis quando aureis apparuit cum armis,
Pontigradas verò continuit rates
Vela rudentibus ſuffulta habentes,
Hæc clamans: ——
Quonam Græci meum tumulum
Proficiſcimini inhonoratum relinquentes?
Magnæ verò contentionis orta eſt tempeſtas:
Sententia verò proceſſit bifariàm in Græcorum
Exercitu bellicoſo; illis quidem ut daretur
Tumulo victima; illis verò non videbatur.
Erat verò quidem tuum ſtudens bonum

Ἑκάβη σπουδῇ πρός σ' ἐλιάσθην] τὰ τοιαῦτα εἴδη τῶν χορῶν, καλεῖται συστήματα ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους, ὡς εἴρηται. ἔστι δὲ καὶ τοῦτο τὸ μέτρον ἀναπαιστικὸν, Λακωνικὸν καλούμενον. εἰσὶ δὲ τὰ μὲν τῶν κώλων, δίμετρα ἀκατάληκτα. τὰ δὲ τῶν ἀποδόσεων καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, ὃ μέτρον καλεῖται παροιμιακὸν, ὡς εἴρηται. τὸ μέντοι ἑκκαιδέκατον κῶλον τὸ κε, τὸ μ, τὸ ν, καὶ τὸ νε, μονόμετρα εἰσὶν ἀκατάληκτα. τὰ δὲ πάντα κῶλα τοῦ συστήματος, νς, ὧν τὸ τελευταῖον Διερῆς ναυσὶ μελαναυγεῖς ἐπὶ ταῖς ἀποθέσεσι παράγραφοι. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Ἐλιάσθην] προσέδραμον, ἦλθον. γίνεται δὲ ἀπὸ τοῦ ἁλῶ, τὸ πλανῶ, καὶ ἐκκλίνω. ὅθεν ἀλύζω, καὶ κατὰ μετάθεσιν λιάζω. ὁ παθητικὸς πρῶτος ἀόριστος, ἐλιάσθην. 113 Σχεδίας] ναῦς αὐτοσχεδίαστος, ἀπὸ ξύλων μόνων ἀπείστως συντεθειμένη. νῦν δὲ τὰς ναῦς λέγει τῶν Ἑλλήνων σχεδίας· σχεδία δὲ κατὰ τοὺς παλαιοὺς, ἡ σὺν τάχει γινομένη ναῦς. Προτόνοις] πρότονος, τὸ σχοινίον, δι' οὗ δεσμοῦσι τὸν ἱστόν. τὸ δὲ ἐπερειδομένας, ἀντὶ τοῦ ἀπερειδούσας σχοινίοις τὰ λαίφη. τὸ λαῖφος δὲ, καὶ τὸ ἐπερειδομένας, καθ' ὅλον καὶ μέρος. οὐ γὰρ πᾶσαι ναῦς ἐρείδεται τοῖς προτόνοις, ἀλλὰ μόνα τὰ λαίφη, δι' ὧν αὕτη φέρεται ἀνέμων ἐμπνεόντων. 117 Στέλλεσθε] πορεύεσθε. τὸ στέλλω σημαίνει δ'. στέλλω τὸ κοσμῶ, ἀφ' οὗ καὶ στολή. στέλλω τὸ πέμπω, ἀφ' οὗ καὶ ἀποστολή. στέλλω τὸ πλέω, ἀφ' οὗ καὶ στόλος, ὁ πολλῶν ἀπόπλους νεῶν. στέλλω καὶ τὸ κρύπτω, ἀφ' οὗ καὶ τὸ περιστείλαντες, ἀντὶ τοῦ κατὰ γῆν κρύψαντες, ἤγουν θάψαντες. Πολλῆς δὲ ἔριδος] πολλῆς φιλονεικίας συνέρρευσε ταραχή. 121 Σπεύδων] σπουδὴν ποιούμενος, ἤτοι ἐσπούδαζεν. σπεύδω ἐγὼ, ὅπερ σπουδάζω ἐστίν.

ANNOTATIONES.

V. 114. Λαίφη προτόνοις] Hoc in loco Ordo & Numerus Verſuum valdè immutatur, ut ex Aldinâ Editione, Hervagianâ & etiam Stephanianâ videre eſt, ſi eas cum Scholiis conferamus. Arſenius enim in Scholiis numerat 56 Verſus tantùm in hoc Syſtemate, nempe ab Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην ad — Διερῆς ναυσὶ μελαναυγεῖ. cùm in Hervagianâ & Aldinâ editione ad 57 Verſus aſſurgant, in Stephanianâ autem ad 55 tantùm. Quia tamen hic error per tot Editiones propagatus, etiam notatis ad Marginem figuris ubique confirmatur, non eſt jam hæc Camarina temerè movenda.

Τῷ

Τῆς μαντιπόλου Βάκχης ἀνέχων
Λέκτρ' Ἀγαμέμνων.
Τὼ Θησείδα δ', ὄζω Ἀθηνῶν,
Δισσῶν μύθων ῥήτορες ἦσαν.
Γνώμῃ δὲ μιᾷ συνεχωρείτην,
Τὸν Ἀχίλλειον τύμβον στεφανοῦν
Αἵματι χλωρῷ. τὰ δὲ Κασσάνδρας
Λέκτρ' οὐκ ἐφάτην τῆς Ἀχιλλείας (al. Ἀχιλλέως)
Πρόσθεν θήσειν ποτὲ λόγχης.
Σπουδαὶ δὲ λόγων κατατεινομένων
Ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων
Κόπις, ἡδυλόγος, δημοχαριστὴς,
Λαερτιάδης πείθει στρατιὰν,
Μὴ τὸν ἄριστον Δαναῶν πάντων
Δούλων σφαγίων οὕνεκ' ἀπωθεῖν·
Μηδέ τιν' εἰπεῖν παρὰ Περσεφόνῃ
Στάντα φθιμένων,
Ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς
Τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων,
Τροίας πεδίων ἀπέβησαν.
Ἥξει δ' Ὀδυσσεὺς ὅσον οὐκ ἤδη, (al. Ὀδυσσεὺς)
Πῶλον ἀφέλξων σῶν ἀπὸ μαστῶν,
Ἔκ τε γεραιᾶς χερὸς ὁρμήσων. (al. χειρὸς)
Ἀλλ' ἴθι ναοὺς, ἴθι πρὸς βωμοὺς,
Ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων,
Κήρυσσε θεοὺς τούς τ' οὐρανίδας,
Τούς θ' ὑπὸ γαίας. ἢ γάρ σε λιταὶ
Διακωλύσουσ' ὀρφανὸν εἶναι (al. ὀρφανὴν)
Παιδὸς μελέας, ἢ δεῖ σ' ἐπιδεῖν
Τύμβου προπετῆ φοινισσομένην
Αἵματι παρθένον, ἐκ χρυσοφόρου
Δειρῆς, νασμῷ μελαναυγεῖ.

Fatidicæ Bacchæ qui habet
Thalamum Agamemnon.
Theſidæ verò, rami Athenarum,
Duorum ſermonum autores erant:
Sententiâ autem unâ conveniebant,
Achilleum tumulum coronandum eſſe
Sanguine virenti. Caſſandræ verò
Torum non dicebant Achillis
Præponendum eſſe unquam haſtæ.
Studia verò ſermonum controverſorum
Erant paria quodammodo, prius quam verſutus
Rhetor, ſuaviloquus, gratiam populi captans,
Laertiades perſuadet exercitui,
Non optimum Græcorum omnium,
Serviles propter victimas repellere:
Ne quis dicat apud Proſerpinam
Stans ex mortuis,
Quod ingrati Danai erga Danaos
Mortuos pro Græcis
Trojæ ex campis deceſſerint.
Veniet verò Ulyſſes jamjam
Puellam abſtracturus tuis à mammis,
Exque anili manu abducturus.
Sed vade ad templa, abi ad altaria,
Accede Agamemnonis ſupplex ante genua:
Invoca deos, & eos qui ſunt in cœlo,
Et eos qui ſunt ſub terrâ. Aut enim te preces
Prohibebunt, orba ne ſis
Filiâ miſerâ, aut oportet te aſpicere
Ad tumulum cadentem cruentatam
Sanguine virginem, ex aurifero
Collo, flumine nigricante.

Τῆς μαντιπόλου βάκχης] τῆς μαντικῆς Κασσάνδρας. Βάκχην δὲ αὐτὴν λέγει, ἐπειδὴ οἱ μαντευόμενοι ἔνθεοι ὑπὸ θεῶν γινόμενοι μαντεύονται. καθάπερ αἱ Βάκχαι τῷ Διονύσῳ πληγεῖσαι, ἄνω καὶ κάτω φέρονται ὥσπερ μαινόμεναι· καὶ ὁ Λυκόφρων περὶ τῆς Κασσάνδρας, Ἡ δ' ἔνθεον χάσασα βακχεῖον στόμα. Ἀνέχων] πιστὸς καὶ περιποιούμενος. καὶ γὰρ οἱ ἀνέχοντές τι καὶ ἀναχωρίζοντες φροντίδος τοῦτο ἀξιοῦντες ἔχουσιν. ἀνέχω τὸ ἀναδίδωμι, καὶ ἀναπέμπω. ὡς τὸ ἀνέσχεν ἡ γῆ βοτάνας, καὶ ἀνέσχεν ὁ ἥλιος ἀντὶ τοῦ ἀνέτειλε. καὶ ἀνέχειν ἐπὶ προσευχῆς τὰς χεῖρας, ἀντὶ τοῦ ἀνατείνειν. [125] Τὼ Θησείδα] οἱ τοῦ Θησέως παῖδες Ἀκάμας καὶ Δημοφῶν. οἳ ἦσαν Ἀθηναῖοι τὸ γένος, ἐστράτευσαν ἐπὶ τὸ Ἴλιον, οὐχ ἡγεμόνες τινῶν. δι' ὃ καὶ Ὅμηρος λέγει τὸν Μενεσθέα μόνον ἡγεῖσθαι τῶν Ἀθηναίων. ἀλλ' ἐπὶ τὴν ἀπολύτρωσιν τῆς Αἴθρας τούτους ἐστρατευκέναι φασίν. Ἑλλανικὸς δὲ λέγει διὰ τοῦτο αὐτοὺς ἀπελθεῖν ἐκεῖσε, ὅπως εἰ μὲν ἕλοιεν Ἕλληνες τὴν Τροίαν, λάφυρον αὐτὴν καὶ γέρας λάβωσιν. εἰ δὲ μὴ, κἂν λυτρώσωνται δώροις. Δισσῶν μύθων] ἤγουν διπλῶν, ὡς ὅτε ἀνηλεῶς δεῖ πρὸς τὴν παῖδα διατεθεῖναι. ἀρκεῖ γὰρ τὸ αἰχμάλωτον εἶναι, ὅτ' αὐτὴν Ἀχιλλέως προσελθεῖν αἴτησιν, μεγάλως τὸν στρατὸν ὠφεληκότος. [127] Γνώμῃ δὲ] μιᾷ διαθέσει, σκοπῷ. Συνεχωρείτην] συνέτρεχον, συνήρχοντο, συνεφαίνοντο. Στεφανοῦν] ὥστε τιμᾶν ἀπὸ μεταφορᾶς τῶν νικώντων, καὶ ἐστεφανωμένων. Χλωρῷ] προσφάτῳ, νεαρῷ. [129] Τὰ δὲ Κασσάνδρας λέκτρα] τὸ συγκαθεύδειν τὴν Κασσάνδραν τῷ Ἀγαμέμνονι, ἀπὸ τοῦ ὀργάνου τὸν ἐνεργοῦντα, οὐ δίκαιον εἶναι ἔλεγον προτιμᾶσθαι τῆς ἀνδρείας τοῦ Ἀχιλλέως. [134] Κόπις] ῥήτωρ, σοφιστής, παρὰ τὸ κόπτειν τοὺς λόγους. Ἡ δὲ κοπὶς, Περσικὸν ξίφος, ὃ ἀκινάκης λέγεται. Ποικιλόφρων] φρόνιμος. Δημοχαριστὴς] τῷ δήμῳ χαριζόμενος ἐν τῷ λέγειν. [144] Πῶλον] τὴν παῖδα λέγει μεταφορικῶς. Ἀπὸ μαζῶν] εἰκότως πρὸς τὸ πάθος ἐπήγαγε τὸ ἀπὸ μαζῶν. οἱ γὰρ πῶλοι γάλακτι τρέφονται. ἢ τὸ ἀπὸ μαζῶν, ἀντὶ τοῦ ἀπὸ τοῦ σοῦ στήθους· καὶ τῆς σῆς πρὸς αὐτὴν φύσεως, ἢ φυσικῆς θεραπείας. μαστὸς καὶ μαζὸς διαφέρει. μαστὸς ὁ γυναικεῖος, ἀπὸ τοῦ μεστὸς εἶναι γάλακτος· μαζὸς δὲ ὁ τῶν ἀνδρῶν, ἀπὸ τοῦ [illegible]. [146] Ἀλλ' ἴθι ναοὺς] ἀλλὰ ἄπελθε εἰς τοὺς ναούς. ἐπαναφορά, ἄπιθι πρὸς τοὺς βωμούς. διαφέρει δὲ ναὸς, βωμοῦ. ναὸς μὲν, ἔνθα τὰ εἴδωλά εἰσι. βωμὸς δὲ, ἔνθα αἱ θυσίαι γίνονται. [148] Κήρυσσε] ἐπικάλει. [150] Ὀρφανὸν] ἀντὶ τοῦ ὀρφανὴν, ἀττικῶς. ὡς καὶ Ἀριστοφάνης, οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν. οὐ χρὴ τοίνυν ὀρφανὰν γράφειν, ὡς ἔν τισιν εὕρηται. οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ. Προπετῆ] προκειμένην. Νασμῷ] ῥεύματι. Μελαναυγεῖ] μέλαιναν ὄψιν ἔχοντι.

ANNOTATIONES.

V. 143. Ὅσον οὐκ ἤδη] ad verbum, *tantum non jam*, i.e. mox, ſtatim; eâdem phraſi utitur *Xenophon* 6to Ἑλληνικῶν, καὶ γὰρ ἐλέγετο, ὅτι Ἰφικράτης ὅσον οὐκ ἤδη παρείη. Dicebatur enim, *Iphicratem* jamjam adfuturum. Ex Notis *Gaſp. Stiblini.*

V. 145. al. χερὸς ὁρμήσων] ἀντὶ τοῦ μεθ' ὁρμῆς ἀφήσων. *Æmil. Port.*

V. 150. ὀρφανὸν] in Textum hoc verbum jam admittimus, rejecto τῷ ὀρφανὴν inter varias lectiones, Authore & Fautore ipſo *Scholiaſte.* Eſt autem Atticum, ut κόσμιος γυνὴ, pro κοσμία.

ΠΑΡΑΦΡΑΣΙΣ.

Ἐκέλσα σπουδῇ πρὸς σ' ἀλιάσθην] ὦ Ἑκάβη σὺν σπουδῇ ὥρμησα πρὸς σέ, καταλιποῦσα τὰς δεσποτικὰς σκηνάς, ὅπου διὰ κλήρου ἐδόθην καὶ ἐτάχθην δούλη, ἀποδιωκομένη ἀπὸ τῆς πόλεως τῆς Ἰλίου τῇ ὀξύτητι τοῦ δόρατος, αἰχμάλωτος γινομένη παρὰ τῶν Ἀχαιῶν. ἀλιάσθην δηλονότι κατὰ κοινοῦ, οὐδὲν ἀπὸ τῶν παθῶν ἐλαφρύνουσα καὶ ἐλαττοῦσα, ἀλλὰ ἐπιφέρουσα μέγα βάρος μηνύματος, σοί τι, ὦ γύναι, ἦλθον κῆρυξ καὶ ἄγγελος ἀχέων καὶ θλίψεων. ἐν γὰρ τῇ συνελεύσει τῶν Ἀχαιῶν τῇ πεπληρωμένῃ, πεπράχθαι καὶ φημίζεται κεκυρῶσθαι, θύσαι καὶ ποιῆσαι τὴν σὴν θυγατέρα θῦμα τῷ Ἀχιλλεῖ. γινώσκεις δὲ, ὅτι ἐπιβὰς ὁ Ἀχιλλεὺς, δηλονότι τοῦ τύμβου τοῦ ἑαυτοῦ, ἐφάνη σὺν ὅπλοις χρυσοῖς, ἐπέσχε δὲ τὰς ναῦς τὰς ἐν τῷ πόντῳ τὴν πορείαν ποιουμένας, ἐσφενδονήσας τὰ ἅρμενα ἐν σχοινίοις, τάδε βοῶν· ὦ Δαναοὶ, ποῦ πορεύεσθε, ἀφέντες τὸν ἐμὸν τύμβον ἄτιμον; συνέβη δὲ, καὶ ἐπῆλθε ταραχὴ πολλῆς φιλονεικίας, δόξα δὲ, καὶ γνώμη, καὶ ὑπόληψις, ἐχώρει καὶ ἐκινεῖτο εἰς τὸν στρατὸν τῶν πολεμιστῶν. τοῖς μὲν δοκοῦν ἦν δηλονότι, διδόναι σφάγιον τῷ τύμβῳ, τὴν θυγατέρα δηλονότι. τοῖς δὲ, οὐχ-

οἱ

καὶ δὲ νεώτεροι συντελοῦσιν ἔπος, τοῖς μὲν δοκοῦσι ἀντὶ τοῦ δοκοῦντος, ἤ τις ἄριστος ὤν, διδόναι τῷ τύμβῳ σφάγιον, τὴν Πολυξένην δηλονότι. τοῖς δὲ, οὐχί. ἦν δὲ ὁ μὲν σπεύδων εἰς τὸ σὸν ἀγαθὸν ὁ Ἀγαμέμνων, ἄτε πιστὴν τὴν κοίτην τῆς μαντικῆς Κασάνδρας. οἱ υἱοὶ δὲ τοῦ Θησέως, Ἀκάμας καὶ Δημοφῶν, οἱ κλάδοι τῶν Ἀθηνῶν, ἦσαν διηνεγκεῖς λόγων διπλῶν. συνέτρεχον δὲ βουλῇ μιᾷ, ὥστε στεφανοῦν τὸν τάφον τοῦ Ἀχιλλέως ἐν αἵματι προσφάτῳ καὶ παρθενικῷ. τὴν δὲ κοίτην τῆς Κασάνδρας οὐκ ἔλεγον προτιμήσειν τῆς ἀνδρείας τοῦ Ἀχιλλέως. αἱ ἅμιλλαι δὲ τῶν κατατεινομένων λόγων, ἤτοι τῶν ἀγωνιστικῶς λεγομένων καὶ ἐριστικῶς, πῶς καὶ κατά τινα τρόπον ἦσαν ἴσαι, μέχρις οὗ κατέπεισε τὴν στρατιὰν ὁ Ὀδυσσεὺς ὁ ποικίλα φρονῶν, ὁ κόπις καὶ ὁ λάλος, ἤτοι ὁ ῥήτωρ ὁ ἡδὺς κατὰ τοὺς λόγους, ὁ τῷ δήμῳ χαριζόμενος, λέγων δηλονότι, μὴ τὸν ἄριστον πάντων τῶν Ἀχαιῶν Ἀχιλλέα ἀπωθεῖν καὶ περιφρονεῖν χάριν σφαγίων δουλικῶν, μηδέ τινα τῶν ἀποθανόντων σταθέντα πλησίον τῆς Περσεφόνης εἰπεῖν, ὅτι οἱ Δαναοὶ ἀπῆλθον τοῦ τόπου τῆς Τροίας, ἀχάριστοι φανέντες τοῖς Ἕλλησι τοῖς ἀποθανοῦσιν ὑπὲρ τῶν Ἑλλήνων. ἀφιγμένος δὲ συντόμως ὁ Ὀδυσσεὺς, ἀποσπάσων τὴν πῶλον, ἤτοι τὴν Πολυξένην ἀπὸ τοῦ σοῦ κόλπου, καὶ παρορμήσων καὶ παρακινήσων ἐκ τῆς γεραιᾶς χειρὸς τῆς σῆς. ἀλλ' ἄπιθι πρὸς ναοὺς, ἴθι πρὸς βωμοὺς, κάθησο προσκλιτεία τοῦ Ἀγαμέμνονος διὰ τῶν γονάτων αὐτοῦ δηλονότι. ἐπικάλει τούς τε ἐν τῷ οὐρανῷ θεοὺς, τούς τε ὑποκάτω τῆς γῆς. ἢ γὰρ αἱ λιταὶ ἐμποδίσουσιν ἐστερημένην παιδὸς μελέας, καὶ ἀθλίας. ἢ ὀφείλει δὲ ἰδεῖν τὴν παρθένον προκειμένην τοῦ τύμβου, βαπτομένην ἐκ τῆς χρυσοφόρου δειρῆς ἐν ῥεύματι μελαναυγεῖ, καὶ μέλαιναν ὄψιν ἔχοντι αἵματος.

Εκ. Οἲ ἐγὼ μελέα. τί ποτ' ἀπύσω;
Ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
Δειλαία, δειλαίου γήρως,
Δουλείας τᾶς οὐ τλατᾶς,
Τᾶς οὐ φερτᾶς. ὤμοι μοι.
Τίς ἀμύνει μοι; ποία γέννα;
Ποία δὲ πόλις;
Φροῦδος πρέσβυς, φροῦδοι παῖδες.
Ποίαν, ἢ ταύταν ἢ κείναν,
Στείχω; ποῖ δ' ἥσω; ποῦ τις θεῶν
Ἢ δαιμόνων ἐπαρωγός;
Ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες,
Ὦ κάκ' ἐνεγκοῦσαι πήματα,
Ἀπωλέσατ', ὠλέσατ'. οὐκέτι μοι
Βίος ἀγαστὸς ἐν φάει.
Ὦ τλάμων ἄγησαί μοι
Πούς, ἄγησαι τᾷ γραίᾳ
Πρὸς τάνδ' αὐλάν. ὦ τέκνον, ὦ παῖ
Δυστανοτάτας ματέρος,
Ἔξελθ', ἔξελθ' οἴκων. ἄϊε ματρὸς
Αὐδάν, ὦ τέκνον, ὡς εἰδῇς
Οἵαν οἵαν
Ἀΐω φάμαν περὶ σᾶς ψυχᾶς.
Πο. Ἰὼ μᾶτερ, μᾶτερ, τί βοᾷς; τί νέον
Κηρύξασ', οἴκων μ' ὥστ' ὄρνιν
Θάμβει τῷδ' ἐξέπταξας;

Hec. Heu me miſeram, quidnam vociferabor?
Quam vocem, quem luctum?
Infelix, ob miſeram ſenectutem,
Servitutem hanc non tolerandam,
Non ferendam. Hei mihi mihi.
Quis defendit me? quæ gens?
Quæ verò urbs?
Interiit ſenex, interierunt liberi.
Quà, an hàc an illàc
Ibo? ubi ſedebo? ubi quis deorum
Aut dæmonum *erit* auxiliator?
O mala quæ attuliſtis Troades,
O mala quæ attuliſtis nocumenta,
Extinxiſtis, perdidiſtis, non amplius mihi
Vita grata in luce.
O calamitoſe duc me
Pes, ſis dux anui
Ad hanc aulam; ô nata, ô filia
Afflictiſſimæ matris
Egredere, egredere domo; audi matris
Vocem, ô filia, ut agnoſcas
Qualem qualem
Audio famam de tuâ vitâ.
Pol. Ah mater mater, quid clamas? quid novi
Nuntians ex ædibus me quaſi avem
Cum terrore hoc evolare feciſti?

Οἲ ἐγὼ μελέα] σύστημα κατὰ περικοπὴν ὁμοιομερές. ἐξ ὁμοίων γὰρ σύγκειται ἀναπαιστικῶν κώλων. ἔστι δὲ καὶ τοῦτο κατὰ προκειμένους ἀντισύν· τὰ δὲ κῶλα πάντα αὐτοῦ κγ, ὧν τελευταῖον Σᾶς ψυχᾶς ἀΐω φάμαν. εἰσὶ δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων καταληκτικά, τὸ μέντοι ζ κῶλον, καὶ τὸ ιζ μονόμετρα ἀκατάληκτα, τὰ δὲ ιε τροχαϊκὸν φαλ(αικ)όν. τίθενται γὰρ καὶ τὰ τοιαῦτα συστήματα ἐν μέσῳ τῶν ἀναπαιστικῶν ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει ἀστερίσκος. Οἲ ἐγὼ μελέα] φεῦ. μελέα εἰμὶ ἐγὼ δηλονότι, τί ἄρα βοήσω; ποίαν κραυγὴν, ποῖον θρῆνον; δειλαία εἰμὶ δηλονότι, ἕνεκα τοῦ ἀθλίου γήρως, ἕνεκα τῆς δουλείας τῆς οὐ φορητῆς, ὤμοι μοι τίς βοηθήσει ἐμοί; ποῖον τέκνον, ποία πόλις; ἀφανὴς ὁ Πρίαμος, ἀφανεῖς οἱ παῖδες. [16] Ποίαν ἢ ταύταν ἢ κείναν. τοῦτο λέγει ἀπορεῖσα τί ποιήσω, καὶ τίνα βοηθὸν πρὸς τὰ παρόντα ἐπικαλέσω. οὕτω δὲ χρὴ γράφειν ταῦτα τὰ κῶλα, καὶ τὰ ἑξῆς, ὡς διωρθώθη παρ' ἡμῶν, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. τὸ δ' ἔτ' ἐπαρωγὸς, λείπει καὶ ἀντὶ τοῦ ἔστιν ἔσται, καὶ ἀντὶ τοῦ ἔσται. ὁ γὰρ ἀπόστροφος, ὡς φασὶ, καὶ ἀντὶ διέστιθε φωνήεντος, ὡς τὸ βούλομ' ἐγώ. καὶ ἀνθ' ὧδε, οὐ τοῦτ' ἔστιν. Ποίαν ἢ ταύταν] ποίαν ὁδὸν, δηλονότι πορευθῶ, ἢ ταύτην ἢ ἐκείνην. ποῖ δὲ ἥσω καὶ ὁρμήσω, ποῦ τις ἀπὸ τῶν θεῶν, ἢ ἀπὸ τῶν δαιμόνων ἔσται βοηθός. ὦ Τρῳάδες αἱ ἀπαγγείλασαι κακὰ, ὦ Τρῳάδες αἱ ἐνεγκοῦσαι κακὰ πήματα, ὠλέσατε καὶ ἐφθείρατε ἐμὲ δηλονότι, οὐδαμῶς ἔστι μοι ἐν τῷ φωτὶ βίος θαυμαστός. ὦ τλήμων ποὺς, ὁδηγὸς γενοῦ ἐμοὶ τῇ γραίᾳ πρὸς τὴν τῶν αἰχμαλώτων σκηνήν. ὦ τέκνον, ὦ παῖ μητρὸς ἀθλιωτάτης, ἔξελθε ἀπὸ τῶν οἴκων, ἄκουε ὦ τέκνον τὴν φωνὴν τῆς σῆς μητρὸς, ἵνα ἀκούσῃς οἵαν ἀγγελίαν ἀκούω περὶ τῆς σῆς ψυχῆς, ἕνεκα τῆς σῆς ζωῆς. [164] Ἥσω] ὁρμήσω. ἵημι τὸ ὁρμῶ καὶ πορεύομαι, ὁ μέλλων ἥσω. καὶ ψιλοῦται. ἵημι δὲ τὸ πέμπω, δασύνεται. Θεῶν ἢ δαιμόνων] θεὸς, ὑψηλότερόν τι τάγμα ἡγοῦντο τῶν δαιμόνων. ὃν γὰρ λόγον ἔχουσιν οἱ ἥρωες πρὸς τοὺς λοιποὺς ἀνθρώπους, ὑψηλότεροί τινες δοκοῦντες καὶ ὑπερέχοντες, τὸν αὐτὸν λόγον καὶ οἱ θεοὶ πρὸς τοὺς δαίμονας, ὑψηλότεροί τινες δοκοῦντες τούτων εἶναι. λέγονται δὲ καταχρηστικῶς θεοὶ, καὶ οἱ δαίμονες. Τρῳάδες] Τρὼς, ὃ κλίνεται Τρωός. καὶ Τρῳαὶ γυναῖκες, αἳ καὶ Τρῳάδες λέγονται, καὶ Τρωϊάδες ποιητικῶς. Περὶ σᾶς ψυχᾶς] ψυχὴ λέξις ὁμώνυμος οὖσα, σημαίνει τὴν ἐν τῷ ἀνθρώπῳ λογικὴν ψυχὴν, καὶ τὴν ἐν τοῖς ζώοις τοῖς ἀλόγοις, καὶ τοῖς φυτοῖς. ἔτι δὲ τὴν ζωὴν, ὡς ἐνταῦθα Εὐριπίδης φησὶ, καὶ ἀλλαχοῦ ἐπεὶ δὲ Τροία θ' Ἕκτορός τ' ἀπώλετο ψυχὴ, ἤγουν ἡ ζωὴ, καὶ τὴν φύσιν ὡς παρὰ Σοφοκλεῖ, ὅς τις τῆς ἐμῆς ψυχῆς γέγονε ἀντὶ τοῦ τῆς ἐμῆς φύσεως. [178] Ἰὼ μᾶτερ μᾶτερ] σύστημα ἕτερον κατὰ περικοπὴν ἀμοιβαῖον, ὁμοιομερές. ἐξ ὁμοίων γὰρ σύγκειται ἀναπαιστικῶν κώλων. εἰσὶ δὲ πάντα τὰ κῶλα λθ. ὧν τελευταῖον, Κρείσσων σιωπή κεύθρησιν. εἰσὶ δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα. τὰ δὲ τῶν ἀποθέσεων καταληκτικά. τὸ δὲ δ, καὶ τὸ ια, τὸ ιδ, τὸ ιϛ, τὸ κζ, καὶ τὸ λγ μονόμετρα, καὶ πενθημιμερῆ. τὸ μέντοι ε τροχαϊκόν ἐστι πενθημιμερές, καὶ τὸ λδ ὁμοίως ἑφθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει, κορωνίς. τέλος γὰρ ἔχει τὰ ἀναπαιστικά. Ἰὼ μᾶτερ] ὦ μᾶτερ, διατί βοᾷς, διατί νεωστὶ κηρύξασα καὶ βοήσασα ἐκπλῆξαι ἐποίησας, ἤτοι συντόμως ἐξελθεῖν ἐμὲ τῶν οἴκων τῷδε τῷ θάμβει, καὶ ταύτῃ τῇ ἐκπλήξει, ὡς καὶ κατὰ ὄρνιν. [180] Θάμβει] τῷ θαύματι, καὶ ἐκπλήξει, ὡς καταπλαγεῖσαν ὑπὸ τοῦ σοῦ λόγου, πτοηθῆναί με ἐποίησας.

ANNOTATIONES.

V. 164. ἥσω] lego ἴσω, ab ἴω inuſitato, pro εἴμι, eo; ità quidem Scholiaſtes.

V. 165. Ἢ δαιμόνων ἐπαρωγός;] lego cum *Scholiaſte* Ἢ δαιμόνων ἔσται—

Εκ. Ὦ τ

Ἑκ. Ὤ μοι τέκνον.
Πο. Τί με δυσφημεῖς, φροίμιά μοι κακά;
Ἑκ. Αἰ αἰ σᾶς ψυχᾶς.
Πο. Ἐξαύδα, μὴ κρύψῃς δαρόν.
Δειμαίνω δειμαίνω μᾶτερ,
Τί ποτ' ἀναστένεις;
Ἑκ. Ὦ τέκνον, τέκνον μελέας ματρός.
Πο. Τί τόδ' ἀγγέλλεις;
Ἑκ. Σφάξαι σ' Ἀργείων κοινά
Συντείνει πρὸς τύμβον γνώμα
Πηλείδᾳ γέννα.
Πο. Οἴ μοι μᾶτερ, πῶς φθέγγῃ
Ἀμέγαρτα κακῶν;
Μάνυσόν μοι, μάνυσόν μοι, μᾶτερ.
Ἑκ. Αὐδῶ, παῖ, δυσφήμους φάμας.
Ἀγγέλλουσ' Ἀργείων δόξαι
Ψήφῳ, τᾶς σᾶς περί μοι ψυχᾶς.
Πο. Ὦ δεινὰ παθοῦσ', ὦ παντλάμων,
Ὦ δύστανε μᾶτερ βιοτᾶς,
Οἵαν οἵαν αὖ σοι λώβαν ἐχθίσταν,
Ἀρρήταν τ' ὦρσέ τις δαίμων.
Οὐκ ἔτι σοι παῖς ἅδ'. οὐκέτι δὴ
Γήρᾳ δειλαίῳ δειλαία συνδουλεύσω.
Σκύμνον γάρ μ' ὡς τ' οὐριθρέπταν
Μόσχον δειλαία δειλαίαν
Ἐσόψει χειρὸς ἀναρπαστὰν
Σᾶς ἀπολαιμότομόν τ' Ἀΐδᾳ
Γᾶς ὑποπεμπομέναν σκότον·
Ἔνθα νεκρῶν μέτα
Ἁ τάλαινα κείσομαι.
Καὶ σὲ μὲν, μᾶτερ δύστανε,
Κλαίω πανοδύρτοις θρήνοις.
Τὸν ἐμὸν δὲ βίον, λώβαν, λύμαν
Τ' οὐ μετακλαίομαι· ἀλλὰ θανεῖν μοι
Ξυντυχία κρείσσων *ἐκύρησεν.

* al. ἐκύρηξεν

Hec. Hei mihi filia.
Pol. Quid me appellas ominoſa voce, dum proœmia mihi mala?
Hec. Hei hei tuæ vitæ:
Pol. Eloquere, ne celes diu.
Metuo metuo mater,
Quid tandem ingemiſcis?
Hec. O filia, filia miſeræ matris.
Pol. Quid hoc dicis?
Hec. Mactare te Argivorum communi
Urget ad tumulum ſententia
Pelidæ ſoboles.
Pol. Hei mihi mater, ut refers
Immenſa mala?
Indica mihi, indica mihi, mater.
Hec. Loquor, filia, infandam famam:
Nuntiant Argivorum decretum eſſe
Calculo de tua mihi vita.
Pol. O gravia patiens, ô omnino infelix,
O miſera mater vitæ:
Qualem qualem rurſus tibi noxam infeſtiſſimam
Infandámque excitavit quiſpiam dæmon.
Non amplius tibi filia hæc, non amplius ſanè
Senectuti miſeræ miſera ſimul ſerviam.
Catulam enim me tanquam, aut montipaſtam
Vitulam miſera miſeram
Videbis manu abreptam
Tua decollatámque Plutoni
Terræ miſſam ſub tenebras:
Ubi cum mortuis
Infelix jacebo.
Et te quidem mater miſera
Deploro perquam lamentabilibus fletibus.
Meam autem vitam, probrum & cladem
Nihil deploro, ſed mori mihi
Caſus melior contigit.

Ἰώ μοι μοι τέκνον] διατί δυσφημεῖς καὶ ἀπευλογεῖς ἐμέ, λέγουσα δηλονότι ἐμοὶ κακὰ προοίμια. Αἰ αἰ] δυσφημῶ δηλονότι, περὶ τῆς σῆς ψυχῆς, ἤτοι ἕνεκα τῆς σῆς ζωῆς. Ἐξαύδα] ἐξάγγελλε καὶ φανερῶς λέγε, μὴ κρύψῃς ἐπὶ πολύ. 185 Δειμαίνω] φοβοῦμαι ὦ μῆτερ, διατί ἄρα ἀναστενάζεις. Ὦ τέκνον] ὦ τέκνον μητρὸς ἀθλίας. Τί τόδ' ἀγγέλλεις] διατί ἀγγέλλεις καὶ κηρύσσεις, ἤτοι λέγεις τόδε, τουτέστι, τί ἐστι τόδε ὃ ἀγγέλλεις. 189 Σφάξαι σ' Ἀργείων] ἡ γέννα τοῦ Πηλείδα, ἤγουν ὁ υἱὸς τοῦ Ἀχιλλέως ὁ Νεοπτόλεμος, κοινῇ γνώμῃ τῶν Ἀργείων, συντείνει καὶ σπουδάζει σφάξαι σε πρὸς τὸν τάφον τοῦ πατρὸς αὐτοῦ δηλονότι. Ἄλλως. κοινὴ γνώμη τῶν Ἀργείων συντείνει πρὸς τύμβον γνώμα, ἢ σπουδάζει σφάξαι σε πρὸς τὸν τύμβον τοῦ Πηλείδου, ἤγουν τοῦ Ἀχιλλέως. τὸ γέννα, ἢ κλητικὴν διὰ τὴν Πολυξένην νοητέον, ἢ δοτικὴν πρὸς τὸ Πηλείδα. κρεῖττον δὲ ἐστι τὸ πρότερον. 192 Οἴ μοι μᾶτερ] οἴ μοι ὦ μῆτερ, πῶς φθέγγῃ ἀμέγαρτα, καὶ ἀφθόνητα τῶν κακῶν, ἀφθόνητα διὰ τὸ λίαν κακά. τοῖς γὰρ τοιούτοις οὐδεὶς φθονεῖ. Μάνυσόν μοι, ἀντὶ τοῦ εἰπὲ ὦ μῆτερ. Αὐδῶ παῖ] λέγω παῖ φήμας δυσφήμους, ἤτοι πράγματα κακὴν φήμην καὶ ἀγγελίαν ἔχοντα ἀγγέλλουσιν ἐμοί, κυρωθῆναι τῇ ψήφῳ τῶν Ἀργείων ἕνεκα τῆς σῆς ζωῆς. 196 Δόξαι ψήφῳ] ἤγουν ἐκκλησιάσαντες οἱ Ἀχαιοὶ κακὰ περὶ σοῦ ἐψηφίσαντο. Ὦ δεινὰ παθοῦσα] ὦ παθοῦσα δεινὰ καὶ χαλεπά, ὦ παντλήμων καὶ παναθλία, ὦ μῆτερ, ἕνεκα τῆς δυστήνου καὶ ἀθλίας βιοτῆς καὶ ζωῆς. 200 Οἵαν οἵαν] θαυμαστικόν. λώβην καὶ ὕβριν ἐχθίστην καὶ λίαν μεμισημένην, ἀρρήτην καὶ ἄρρητον, ἤτοι πολλὴν καὶ μεγάλην, ἐπήγαγε σοι δαίμων τίς. οὐδαμῶς ἐστι σοι ἡ παῖς ἥδε, ἤγουν ἐγώ. οὐκέτι δὴ συνδουλεύσω ἡ ἀθλία τῷ γήρᾳ τῷ σῷ δηλονότι. Λώβαν] οἱ γράφοντες λώβαν ἐχθίσταν, ἀγνοοῦσι τὰ μέτρα. σὺ δὲ μαθὼν μὴ γράφε τοῦτο. δίμετρον γὰρ ὀφείλει εἶναι τὸ κῶλον, ὡς καὶ τὰ λοιπά, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. Σκύμνον γὰρ] σκύμνος τὸ τοῦ λέοντος γέννημα, μόσχος τὸ τῶν βοῶν, νεβρὸς τὸ τῶν ἐλάφων, ἀρνειὸς τὸ τῶν προβάτων. ὡς σκύμνον γὰρ καὶ ὡς οὐριθρέπτην μόσχον ὄψει με, ὦ δειλαία, τὴν δειλαίαν αἰφνιδίως ἀναρπασθεῖσαν τῆς σῆς χειρός, καὶ ὑπὸ τὸν σκότον τῆς γῆς τοῦ ᾅδου πεμπομένην, ἀποτεμνομένην τὸν λαιμόν. 205 Μόσχον] ἢ πρὸς τὸ δειλαίαν συνάπτε, ἢ πρὸς τὸ σκύμνον. ἵν' ᾖ λεοντιδέα σκύμνον, διὰ τὸ νέον. σκύμνον δέ, διὰ τὸ βασιλικόν. ἔστι δὲ τὸ ἀΐδα καὶ τοῦ σκότου τῆς γῆς τὸ αὐτό. 211 Καὶ σὲ μὲν] καὶ σὲ μὲν, ὦ μῆτερ ἀθλία, κλαίω ἐν θρήνοις παγκλαύστοις. τὸν ἐμὸν δὲ βίον καὶ τὴν ζωήν, ὕβριν καὶ βλάβην οὖσαν, οὐ θρηνῶ, ἀλλ' ἡ συντυχία, ἤγουν ἡ συνάντησις τοῦ θανεῖν, ἐκύρησε καὶ ὑπῆρξεν ἐμοὶ κρείσσων ταύτης τῆς ζωῆς. Ἀλλὰ θανεῖν μοι] ἤγουν τὸ τοῦ νῦν θανάτου σύμβαμα προσηνέστερον ἐμοὶ συνέβη τῆς ζωῆς. καὶ εἰ μὲν τὸ ἐκύρησε διὰ τοῦ υ ψιλοῦ, καὶ η γράφεις, οὕτως ἀφεῖς. εἰ δὲ διὰ τοῦ η καὶ υ ψιλοῦ, οὕτως. ἀλλὰ ἡ συντυχία, καὶ ἡ ξύμβασις ἐκήρυξεν * εἰπεῖν, ἐκήρυξεν εἶπον κατὰ ἀντιχρονισμόν. οὕτω δὲ λέγων, ἢ μέγα τὸ κρεῖσσον γράψεις πρὸς τὸ πρῶτον, ἢ μικρὸν πρὸς τὸ δεύτερον. Τὸν ἐμὸν δὲ] τὴν ἐμὴν δὲ ζωὴν ἀποτελουμένην δηλονότι, τὴν βλάβην καὶ τὴν φθορὰν τὴν ἐμήν, οὐ μόνον οὐ μεταβαλλομένη κλαίω, ἀλλὰ καὶ τὸ ἀποθανεῖν παρ' ἐμοὶ συνάντημα ἐστὶ κρεῖττον τῆς ζωῆς δηλονότι.

* εἰπεῖν] hic videtur ſuperfluum eſſe & inductum ex ſcriptorum incuria, quod εἶπεν poſt aliud ἐκήρυξε ſequatur.

ANNOTATIONES.

V. 181. *Scholiaſtes* legit Ἰώ μοι μοι τέκνον.
V. 200. ἐχθίσταν] *Scholiaſtes* hoc verbum non agnoſcit; quod ſi ejicias, τε etiam poſt ἀρρήταν omittetur.

ARGUMENTUM Actûs Secundi.

ULYSSES *ad* Hecubam *venit, exercitûs authoritate* Polyxenam *ad cædem abducturus.* Hecuba *pro filiæ vitâ plorat, arguit, obteſtatur; in omnia denique ſe vertit.* Ulyſſes *è contrà cauſam exercitûs & ſuam ſtrenuè defendit.* Hecuba *vult, ut Filia ſe demittat & ſupplex ad Genua accidat* Ulyſſi. *Illa verò Regia Virago longè hoc ſe & priſtinâ Dignitate indignum judicat & mortem calamitoſo ſervitio præfert.* Hecuba, *deſperatâ jam Filiæ ſalute, ſimul optat occumbere: Quo illi negato,* Polyxena *extremos complexus matri dat. Mutuis paulùm valedictionibus hærent pientiſſima ſimul & afflictiſſima Mater & Filia jamjam moritura. Mirè hic optimus Poeta affectus movet & εὐπρεπείᾳ pariter ac ἠθοποιΐᾳ conſulit. Virgo abducitur; Mater plorat & præ doloris impotentiâ collabitur.* Chorus *ſervilem ſuam conditionem multa mala ſibi augurans meditatur.*

ΟΔΥΣΣΕΥΣ. ΕΚΑΒΗ.

Ἴαμβοι.

Χο. ΚΑΙ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδὸς,
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.
Οδ. Γύναι, δοκῶ μέν σ' εἰδέναι γνώμην στρατοῦ,
Ψῆφόν τε τὴν κρανθεῖσαν· ἀλλ' ὅμως φράσω.
Ἔδοξ' Ἀχαιοῖς παῖδα σὴν Πολυξένην
Σφάξαι πρὸς ὀρθὸν χῶμ' Ἀχιλλείου τάφου.
Ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
Τάσσουσιν εἶναι. θύματος δ' ἐπιστάτης,
Ἱερεύς τ' ἐπέστη τοῦδε, παῖς Ἀχιλλέως.
Οἶσθ' οὖν ὃ δρᾶσον; μήτ' ἀποσπασθῇς βίᾳ,
Μήτ' εἰς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί.
Γίνωσκε δ' ἀλκὴν, καὶ παρουσίαν κακῶν
Τῶν σῶν. " Σοφόν τι κἀν κακοῖς, ἃ δεῖ φρονεῖν.
Εκ. Αἶ, αἶ, παρέστηχ' ὡς ἔοικ' ἀγὼν μέγας,
Πλήρης στεναγμῶν, οὐδὲ δακρύων κενός.
Κ' ἀγὼ γὰρ οὐκ ἔθνησκον, οὗ μ' ἐχρῆν θανεῖν.
Οὐδ' ὤλεσέν με Ζεὺς, τρέφει δ', ὅπως ὁρῶ
Κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.
Εἰ δ' ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους
Μὴ λυπρὰ, μηδὲ καρδίας δηκτήρια
Ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεὼν,
Ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.
Οδ. Ἔξεστ', ἐρώτα· τοῦ χρόνου γὰρ οὐ φθονῶ.
Εκ. Οἶσθ', ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος,
Δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο

Chorus. Et quidem Ulyſſes venit celeritate pedis,
Hecuba, novum aliquod tibi ſignificaturus verbum.
Ulyſſes. O mulier exiſtimo quidem te ſcire ſententiam exercitûs,
Calculúmque qui obtinuit: attamen dicam.
Viſum eſt Græcis filiam tuam Polyxenam
Mactare ad excelſum aggerem Achillei ſepulchri.
Nos verò comites & adductores puellæ
Ordinârunt eſſe: Sacrificii verò præfectus
Sacerdóſque ſtatutus eſt hujus filius Achillis.
Scis igitur quid facies? neque avellaris vi,
Neque ad manuum certamen congrediaris mecum:
Sed agnoſce vires & præſentiam malorum
Tuorum. " Scitum eſt, etiam in malis ſapere quæ oportet.
Hec. Ah, Ah, inſtat (ut videtur) certamen ingens,
Plenum gemituum, nec lacrymarum inane.
Et ego enim non mortua ſum, ubi me oportuerat mori,
Neque perdidit me Jupiter: Nutrit verò, ut videam
Malis mala alia majora infelix ego.
Si verò licet ſervis liberos
Non acerba neque cor mordentia
Percontari, te quidem interrogari oportebat,
Nos verò audire qui quærimus hæc.
Ul. Licet, interroga: tempus enim non invideo.
Hec. Scis quando veniſti Ilii explorator
Lacero amictu, deformis: & ab oculis

Καὶ μὴν Ὀδυσσεὺς] αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σ κ η. ὧν τελευταῖος, αἴγλας Τερίας εἶλε τὴν εὐδαίμονα, ἐπὶ τῷ τέλει μὲν τῶν ἀποθέσεων παράγραφος. ἐπὶ τῷ τέλει δὲ πάντων τῶν στίχων κορωνὶς, δηλοῦσα τῶν ὑποκειμένων. Καὶ μὴν] καὶ μὴν, ὦ Ἑκάβη, ἔρχεται ὁ Ὀδυσσεὺς σὺν σπουδῇ ποδὸς σημανῶν, καὶ δηλώσων, ἤγουν λέξων μᾶλλον πρὸς σὲ ἔπος τι νέον. Γύναι] νομίζω σε, ὦ γύναι, γινώσκειν τὴν ψῆφον, καὶ τὴν ἀπόφασιν τοῦ στρατοῦ, τὴν κυρωθεῖσαν καὶ τελειωθεῖσαν, ἀλλ' ὅμως λέξω. Τὴν κρανθεῖσαν] κύρωσιν ἐνεστὼς, κρανῶ μέλλων, κεκέρακα παρακείμενος, ἐκράνθην δεύτερος ἀόριστος, κρανθεὶς μετοχή. λέγεται δὲ κρᾶσις ἐπὶ τῶν ὑγρῶν, οἷον οἴνου καὶ ὕδατος, καὶ τῶν τοιούτων. μῖξις δὲ, ἐπὶ ξηρῶν, σίτου, κριθῆς, καὶ τῶν ὁμοίων. [220] Ἔδοξ' Ἀχαιοῖς] ἀρεστὸν ἐφάνη τοῖς Ἕλλησι, σφάξαι τὴν σὴν παῖδα πρὸς τὸν ὑψηλὸν τάφον τοῦ Ἀχιλλέως. ἐμὲ δὲ πομπὸν καὶ ἀγωγὸν τῆς κόρης ἔταξαν ὑπάρχειν. ἡγεμὼν δὲ καὶ σφαγεὺς τοῦ σφαγίου τοῦδε, † ἐγώ γε ὁ Νεοπτόλεμος ὁ παῖς τοῦ Ἀχιλλέως. [225] Οἶσθ' οὖν ὃ δρᾶσον] οἱ Ἀττικοὶ χρῶνται τοῖς προστακτικοῖς ἀντὶ ὑποτακτικῶν ἀπαγορευτικῶν, καὶ αὐτοῖς τοῖς προστακτικοῖς ἀντὶ ὁριστικῶν. τοῦ μὲν οὖν προτέρου, τὸ Ἀριστοφάνους ἐν Θεσμοφοριαζούσαις παράδειγμα, μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἡμέρας. τοῦ δευτέρου δὲ Μένανδρος, οἶσθ' ὃ ποίησον, ἀντὶ τοῦ ὃ ποιήσεις. τὸν αὐτὸν τρόπον καὶ Εὐριπίδης, οἶσθ' οὖν ὃ δρᾶσον, ἀντὶ τοῦ δράσεις, ἐξήγησαν. γινώσκεις οὖν ὃ ποιήσεις, ὅρα ἵνα μὴ ἀφαιρεθῇς τὴν κόρην βίᾳ, μήτε ἔξω τοῦ πρέποντος εἰς ἀγῶνα καὶ ἔριν τῶν ἐμῶν χειρῶν ἔλθῃς. γίνωσκε δὲ τὴν δύναμιν τὴν ἐμὴν, ἢ τὴν τῶν ἀρχόντων ἰσχὺν, καὶ τὴν ἐπέλευσιν τῶν σῶν κακῶν. συνετόν ἐστι καὶ ἐν τῇ δυστυχίᾳ φρονεῖν ἃ πρέπει. [229] Αἶ αἶ, παρέστηχ' ὡς] φεῦ φεῦ, ἐνέστηκε καὶ ἐπῆλθεν, ὡς φαίνεται, ἀγωνία μεγάλη, ἔμπλεως θρήνων, καὶ οὐκ ἀμέτοχος, ἀλλὰ πεπληρωμένη, δακρύων. καὶ γὰρ ἐγὼ οὐκ ἔθανον, ὅτε χρεία ἦν ἀποθανεῖν, ἐγκειμένης τὴν εὐδαιμονίαν, ἣν εἶχον πρότερον. οὐδ' ἔφθειρέ με ἡ μοῖρα, ἀλλὰ σώζει με, ὅπως βλέπω ἕτερα κακὰ μείζονα τῶν κακῶν, ὧν εἶδον. Εἰ δ' ἔστι.] εἰ δ' ἔξεστι τοῖς δεδουλωμένοις ἐρωτῆσαι τοὺς ἐλευθέρους, ἤγουν τοὺς δεσπότας, μὴ λυπηρὰ καὶ τὴν καρδίαν δάκνοντα. σοὶ μὲν ἤτοι πρὸς σὲ χρεὼν καὶ πρέπον ἐστὶν εἰρῆσθαι, ἀπ' ἐμοῦ δηλονότι. ἡμᾶς δὲ τοὺς ἐρωτῶντας ἀκοῦσαι ταῦτα. ἢ οὕτως, σοὶ μὲν κείνοις ἀποκρίνασθαι πρέπον ἐστὶ, ἡμᾶς δὲ ἀκροάσασθαι τοὺς ἐρωτῶντας ταῦτα. [238] Ἔξεστ', ἐρώτα] ἐνδεδομένον ἐστὶν, ἐρώτα. τῆς βραδύτητος γὰρ ἕνεκα οὐ φθονῶ σοι. Οἶσθ' ἡνίκα] γινώσκεις ὁπότε ἦλθες τῆς Τροίας κατάσκοπος, δυσπραγίᾳ καὶ περιβολῇ εὐτελεστάτων ἐνδυμάτων, κακὴν ὄψιν ἔχων τὴν τῶν ἱματίων, καὶ οἱ σταλαγμοὶ τοῦ φόνου κατέβρεχον τὴν σὴν ὄψιν, ἤτοι τὸν σὸν πώγωνα.

† ἐγώ γε otioſum, & tolli debet: vel ſic lege — ἐγώ γε εἰμί. vel — οὐκ ἔγωγε, ἀλλ' ὁ Νεοπ. —

ANNOTATIONES.

V. 219. Κρανθεῖσαν] al. κρανθεῖσαν.
V. 225. δρᾶσον] δράσεις, legit Scholiaſtes, rectè quidem: Nos autem Circumflexum apponimus, quia prior ſyllaba eſt longa.

V. 232. lege ἔθνησκον ob Verſum, aut ε producatur ob Liquidam ſequentem.

Φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;
Οδ. Οἶδ'. οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
Εκ. Ἔγνω δέ σ' Ἑλένη, καὶ μόνη κατεῖπέ μοι;
Οδ. Μεμνήμεθ' εἰς κίνδυνον ἐλθόντες μέγαν.
Εκ. Ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
Οδ. Ὥς τ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
Εκ. Ἔσωσα δῆτά σ', ἐξέπεμψά τε χθονός;
Οδ. Ὥς τ' εἰσορᾶν νῦν φέγγος ἡλίου τόδε.
Εκ. Τί δῆτ' ἔλεξας, δοῦλος ὢν ἐμὸς τότε;
Οδ. Πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.
Εκ. Οὔκουν κακύνῃ τοῖσδε τοῖς βουλεύμασιν,
Ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες, οἷα φὴς παθεῖν.
Δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ;
"Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
"Ζηλοῦτε τιμάς, μηδὲ γινώσκοισθέ μοι,
"Οἳ τοὺς φίλους βλάπτοντες, οὐ φροντίζετε,
"Ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
Ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι,
Εἰς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
Πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποκτονεῖν
Πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
Ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων,
Εἰς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
Ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρὴ τάφῳ προσφάγματα·
Κείνη γὰρ ὤλεσέν μιν, εἰς Τροίαν τ' ἄγει.
Εἰ δ' αἰχμαλώτων χρή τιν' ἔκκριτον θανεῖν,
Κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε.
Ἡ Τυνδαρὶς γὰρ εἶδος ἐκπρεπεστάτη,
Ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ἧττον ηὑρέθη.
Τῷ μὲν δικαίῳ, τόνδ' ἁμιλλῶμαι λόγον.
Ἃ δ' ἀντιδοῦναι δεῖ σ' ἀπαιτούσης ἐμοῦ,
Ἄκουσον· ἥψω τῆς ἐμῆς, ὡς φής, χερός,
Καὶ τῆσδε γραίας προσπίτνων παρηΐδος.
Ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγώ,
Χάριν τ' ἀπαιτῶ τὴν τόθ', ἱκετεύω τέ σε,
Μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,

Mortis guttæ tuam irrigabant barbam?
Novi: Non enim hæc res ſuperficiem pectoris attigit mei.
Hec. Agnovit vero te Helena, & ſoli nuntiavit mihi?
Ul. Meminimus in periculum nos veniſſe magnum.
Hec. Attigiſti vero genua mea humilis exiſtens?
Ul. Et quidem adeò ut immoreretur in tuâ veſte manus mea.
Hec. Servavi te igitur emiſique e terra?
Ul. Adeo ut etiam nunc aſpiciam lucem ſolis hanc.
Hec. Quid tunc dicebas ſervus meus exiſtens tum?
Ul. Multorum ſermonum inventa, ut non morerer.
Hec. Annon ergo malus argueris ex tuis ipſius conſiliis;
Qui ex me bene paſſus es, qualia dicis te paſſum eſſe:
Facis verò nihil nobis benè, ſed malè quantum potes?
" Ingratum veſtrum genus, quicunque populares-Rhetoricando
" Spectamini honores: Utinam non cognoſcamini mihi:
" Qui nihil penſi habetis amicos lædere,
" Si multitudini ad gratiam dicatis aliquid.
Verùm quidnam ſophiſma hoc prætexentes
Adverſus hanc puellam calculum tulerunt mortis?
Utrum fatum ipſos induxit homines interficere
Ad tumulum, ubi mactare boves magis decet?
An eos qui interfecerunt eum, viciſſim interficere volens,
Adverſus hanc Achilles jure intendit cædem?
Atqui nullum ipſi hæc fecit malum.
Helenam illum petere oportet ſepulchro victimam:
Illa enim perdidit ipſum ad Trojam ducens.
Si verò captivam oportet aliquam ſelectam mori,
Pulchritudine excellentem, non noſtrûm hoc:
Helena enim formâ eſt præſtantiſſima,
Injurioſáque non minus quàm nos eſſe comperta eſt.
Ex æquitate quidem, hoc ſermone tecum contendo.
Quæ verò rependere oportet te, repetente me,
Audi. Tetigiſti meam (quemadmodum dicis) manum,
Et hanc anilem, accidens, genam:
Viciſſim attingo tua hæc eadem ego:
Beneficiumque repoſco prius, & ſupplico tibi
Ne meam filiam ex manibus auferas,

Φόνου σταλαγμοὶ] μὴ λάβῃ εἰς τὸ φόνου ἔξωθεν τὸ ἕνεκα, ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ σταλαγμοί. τὰ γὰρ δάκρυα ἃ τότε ὁ Ὀδυσσεὺς ἐδάκρυε φοβηθεὶς, φόνου δάκρυα ἦν. ἔκλαιε γὰρ, ἐπεὶ δὲ τὸν περὶ ψυχῆς ἔτρεχεν. ὅθεν καὶ ἐν τῇ συνηθείᾳ, αἱμάτινα δάκρυα φαμὲν, ἤγουν φονικά. ἀπίθανον δὲ τὸ πλάσμα, καὶ οὐχ ἁρμόδιον. οὐ γὰρ ἂν ἐσίγησεν Ἑκάβη, πολέμιον θεασαμένη κατοπτεύοντα τὰ κατὰ τοὺς Τρῶας πράγματα. Οἶδα] γινώσκω· οὐ γὰρ ἐξ ἐπιπολῆς ἥψατο τῆς καρδίας μου τὸ πρᾶγμα. 241 Ἔγνω] ἡ Ἑλένη δέ σε μόνη ἐγνώρισε, καὶ ἀνήγγειλέ μοι. Μεμνήμεθα] ἐνθυμούμεθα τὰ μέγιστα κινδυνεύσαντες. Ἥψω] ἔψαυσας δὲ τῶν ἐμῶν γονάτων ἐλεεινὸς ὤν. Γονάτων] οἱ δεόμενοι ἥπτοντο τῶν γονάτων, ἢ τῆς χειρὸς, ἢ τῶν παρειῶν. Ὥς τ' ἐνθανεῖν] ναὶ ἡψάμην οὕτως, ὥστε δόξαι νεκρωθῆναι ἐν τοῖς σοῖς ἐνδύμασι τὴν ἐμὴν χεῖρα ὑπὸ τοῦ δέους. Ἔσωσα] ἐρρυσάμην σε, καὶ ἐξέπεμψά σε ἀπὸ τῆς πόλεως. Ὥς τ' εἰσορᾶν] ναὶ, ὥστε βλέπειν με τὸ φῶς τοῦ ἡλίου. Τί δῆτ' ἔλεξας] τί λοιπὸν ἔλεξας, δοῦλος ὑπάρχων ἐμὸς τότε; Πολλῶν] ἔλεξα δηλονότι πολλὰ ἐνθυμήματα καὶ μηχανὰς λόγων, ὥστε μὴ ἀποθανεῖν. 251 Οὐκοῦν] οὐκοῦν κακὸς φαίνῃ κατὰ ταῦτα τὰ βουλεύματα, ὃς ἐξ ἐμοῦ ἔπαθες ὁποῖα λέγεις παθεῖν· ποιεῖς δὲ οὐδὲν καλὸν εἰς ἡμᾶς, ἀλλὰ κακὸν ὅσον δύνῃ. ἀγνῶμον ὑπάρχει τὸ γένος ὑμῶν, ὅσοι μακαρίζετε τὰς ἀπὸ τοῦ δήμου συμβαινούσας τοῖς ῥήτορσι τιμὰς, δι' ὧν ἀρέσκειν αὐτῷ σπεύδετε ἐκ τοῦ τὰ συμφέροντα αὐτῷ ἀγορεύειν. εἴθε μηδ' ἐγινώσκεσθε ὑπὸ ἐμοῦ, οἱ βλάπτοντες τοὺς φίλους οὐ φροντίζετε, καὶ ἐκ [illegible] ἐὰν λέγητε τῷ δήμῳ τὰ πρὸς ἡδονὴν καὶ ἀποδοχὴν αὐτῶν. Ἀτὰρ τί σοφιζόμενοι καὶ ἐφευρόντες, ἔδοξεν ὑμῖν εἰκότως τὴν περὶ τῆς ἐμῆς παιδὸς σφαγὴν βουλεύσασθαι. 258 Ἀτὰρ] τί δὴ σόφισμα, ἤτοι σοφὸν καὶ φρόνιμον ἡγούμενοι καὶ νομίζοντες τοῦτο οἱ Ἕλληνες, [illegible] ἤτοι ἐψηφίσαντο καὶ ἔταξαν τὴν κρίσιν τοῦ φόνου εἰς τήνδε τὴν παῖδα. ἆρα τὸ πρέπον ἤγαγεν αὐτοὺς ἐπὶ τὸ ἀνθρώπους κτείνειν πρὸς τὸν τάφον, ὅπου πρέπει μᾶλλον βοῦς θύειν. ἢ θέλων ὁ Ἀχιλλεὺς ἀνταποκτεῖναι τὸν κτείνοντα αὐτὸν δηλονότι, δικαίως ἐπάγει τὸν φόνον εἰς τήνδε. Τείνει φόνον] τείνει ὁ Ἀχιλλεὺς φόνον εἰς τήνδε, ἀντὶ τοῦ ἐπάγει. καὶ τείνει ὁ λόγος εἰς τόδε, ἀντὶ τοῦ ἐφορᾷ. 264 Ἀλλ' οὐδὲν] ἀλλ' οὐδὲν κακὸν πεποίηκεν αὐτὸν τὸν Ἀχιλλέα ἥδε ἡ Πολυξένη. τὴν Ἑλένην χρὴ αὐτὸν ζητεῖν σφάγιον τῷ τάφῳ. ἐκείνη γὰρ ὤλεσεν αὐτὸν τὸν Ἀχιλλέα, καὶ ἤγαγεν εἰς τὴν Τροίαν. εἰ δὲ πρέπει θανεῖν τινὰ ἐπίλεκτον, ὑπερφέρουσάν τε, ἤτοι τὸ πλέον ἔχουσαν τῶν αἰχμαλώτων κατὰ τὸ κάλλος, οὐχ ἡμῶν τόδε, τὸ ὑπερφέρειν τῷ κάλλει δηλονότι· ἡ θυγάτηρ τοῦ Τυνδάρεω Ἑλένη ὡραιοτάτη καὶ εὐειδεστάτη ἐστὶ κατὰ τὸ εἶδος, καὶ ἐφωράθη ἀδικοῦσα τὸν Ἀχιλλέα οὐδὲν ἔλαττον ἡμῶν. 271 Τῷ μὲν δικαίῳ] ἤτοι τῇ δικαιολογίᾳ καὶ κατὰ τὸ δίκαιον τόνδε τὸν λόγον κατὰ ἀγῶνα λέγω. ἅ τινα δὲ χρεὼν ἀντιδοῦναί σε, ἀπαιτούσης, ἤτοι χάριν ζητούσης ἐμοῦ, ἄκουσον, ἔψαυσας τῆς ἐμῆς χειρὸς, ὡς λέγεις, καὶ τῆσδε γηραιᾶς παρειᾶς προσπίπτων καὶ παρακαλῶν, ὀπίσω ἅπτομαί σου κἀγὼ τῶν γονάτων καὶ τῆς παρειᾶς, καὶ ἀπαιτῶ τὴν ὑπάρξασάν σοι παρ' ἐμοῦ τότε χάριν, καὶ ἱκετεύω καὶ παρακαλῶ σε, μὴ ἀφελκύσῃς τὸ τέκνον βιαίως ἐκ τῶν χειρῶν μου.

ANNOTATIONES.

V. 263. τείνει φόνον] Canterus Novar. Lection. l. 5. c. 25. legit τίνει φόνον [illegible] Homicidam. Nec τίνειν φόνον eſt pœnas repoſcere, ſed luere: quare ſed vix [illegible], quod occiſi alicujus manes τίνειν φόνον [illegible] τείνειν retineo.

Μὴ

Μὴ δὲ κτάνητε· τῶν τεθνηκότων ἅλις.
Ταύτῃ γέγηθα, κἀπιλήθομαι κακῶν·
Ἥδ᾽ ἀντὶ πολλῶν ἐστί μοι παραψυχή,
Πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
" Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν, ἃ μὴ χρεών.
" Οὐδ᾽ εὐτυχοῦντας, εὖ δοκεῖν πράξειν ἀεί.
" Κἀγὼ γὰρ ἦν ποτ᾽, ἀλλὰ νῦν οὐκ εἴμ᾽ ἔτι.
" Τὸν πάντα δ᾽ ὄλβον ἦμαρ ἕν μ᾽ ἀφείλετο.
Ἀλλ᾽, ὦ φίλον γένειον, αἰδέσθητί με·
Οἴκτειρον, ἐλθὼν δ᾽ εἰς Ἀχαϊκὸν στρατὸν,
Παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος.
Γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε,
Βωμῶν ἀποσπάσαντες, ἀλλ᾽ ᾠκτείρατε.
" Νόμος δ᾽ ἐν ὑμῖν τοῖς τ᾽ ἐλευθέροις ἴσος
" Καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.
Τὸ δ᾽ ἀξίωμα κἂν κακῶς λέγῃ τὸ σὸν,
Πείσει. " Λόγος γὰρ ἔκ τ᾽ ἀδοξούντων ἰὼν,
" Κἀκ τῶν δοκούντων αὐτὸς, οὐ ταυτὸν σθένει.
Χο. Οὐκ ἔστιν οὕτω στεῤῥὸς ἀνθρώπου φύσις,
Ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
Κλύουσα θρήνους, οὐκ ἂν ἐκβάλοι δάκρυ.
Οδ. Ἑκάβη, διδάσκου, μηδὲ τῷ θυμουμένῳ
Τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.
Ἐγὼ τὸ μὲν σὸν σῶμ᾽, ὑφ᾽ οὗπερ ηὐτύχουν,
Σώζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω.
Ἃ δ᾽ εἶπον εἰς ἅπαντας, οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης, ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
Σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ.

Neque interficiatis: Mortuorum ſatis eſt.
Hâc gaudeo, & obliviſcor malorum:
Hæc pro multis, eſt mihi conſolatio,
Civitas, nutrix, baculus, dux viæ.
" Non oportet victores imperare quæ non decent:
" Neque eos, qui felices ſunt, putare ſe felices fore ſemper.
" Nam & ego eram olim, ſed nunc non amplius ſum.
" Univerſam verò felicitatem dies una mihi eripuit.
Sed ô charum mentum, reverearis me:
Miſerere; vadens verò ad Græcorum exercitum
Admone quàm interficere invidioſum ſit
Mulieres (quas primùm non interfeciſtis)
Ab altaribus avellentes: ſed miſerti eſtis.
" Lex enim inter vos & liberis æqua
" Et ſervis de ſanguine poſita eſt.
Porrò dignitas etiam ſi malè dicat tua
Perſuadebit. " Sermo enim ab incelebribus profectus
" Et à celebribus idem, non idem valet.
Cho. Non eſt adeo rigida hominis natura
Quæ luctuum tuorum & longarum complorationum
Audiens fletus, non poſſit ejicere lacrymas.
Ul. O Hecuba, diſce, neque præ tuâ irâ
Me bene dicentem, infenſum reddas in animo.
Ego quidem tuum corpus, per quod felix fui,
Servare paratus ſum, & non aliter dico.
Quæ verò dixi apud omnes, non negabo:
Trojâ captâ, viro primario exercitûs
Tuam filiam dandam eſſe victimam poſtulanti.

Μὴ δὲ κτάνητε] ἀρκούντως ἔχει τὸ πρᾶγμα, ἕνεκα τῶν τεθνηκότων, ἐν τῷ πολέμῳ δηλονότι. ἐπειδὴ ὁ μὲν Ὀδυσσεὺς μόνος ἔμελλε λαβεῖν τὴν Πολυξένην ἐκ τῆς Ἑκάβης. τὸ δὲ θανεῖν αὐτὴν κοινῇ πᾶσι τοῖς Ἕλλησιν ἔδοξε. διὰ τοῦτο πρὸς μὲν τὸν Ὀδυσσέα ἱκετικῶς εἶπε τὸ μὴ ἀποσπάσῃς. πρὸς δὲ τοὺς ἄλλους, τὸ κτάνητε. Ταύτῃ γέγηθα. ἐπὶ ταύτῃ χαίρω, καὶ ἐπιλανθάνομαι τῶν κακῶν. ἥδ᾽ ἀντὶ πολλῶν πραγμάτων δηλονότι, ἐστί μοι παραμυθία καὶ παρηγορία, πόλις, τροφὸς, βακτηρία, ἡγεμὼν, καὶ ὁδηγὸς ὁδοῦ. 282 Οὐ τοὺς κρατοῦντας] τοὺς ἄρχοντας οὐ πρέπει κρατεῖν τῶν πραγμάτων ἐκείνων, δηλονότι ἃ μὴ χρεὼν, ἤτοι οὐ πρέπον κρατεῖσθαι. οὐδὲ τοὺς εὐτυχοῦντας δοκεῖν καὶ νομίζειν πράττειν ἀεὶ εὖ, ἤτοι εὐτυχεῖν. ἄλλως, οὐ τοὺς κρατοῦντας καὶ ἄρχοντας ἀνάγκη καὶ κακῶς βουλῆς χρὴ ἔχεσθαι, ἀλλὰ πρὸς τὸ δίκαιον τείνειν καὶ τοὺς μὴ πρέποντα [illegible]. οὐδὲ τοὺς εὐτυχοῦντας ὑπολαμβάνειν ἀεὶ εὐτυχήσειν. εἶπε δὲ ἄμφω διὰ τοὺς Ἕλληνας ὡς εὐτυχεῖς ὄντας, καὶ ἄδικα περὶ τῆς Πολυξένης βουλευσαμένους.

284 Κἀγὼ γὰρ ἦν] καὶ ἐγὼ γὰρ ὑπῆρχον εὐδαίμων ποτὲ, ἀλλὰ νῦν οὐχ ὑπάρχω. πάντα δέ μοι τὸν πλοῦτον μία ἡμέρα ἀφείλετο. Οὐκ εἰμ᾽ ἔτι] ἡ γὰρ εὐτυχία οὐκ ἔστιν ἄλλο, ἢ τὸ εἶναι. ἡ δὲ δυστυχία οὐκ ἄλλο γ᾽ οὐδὲν, ἢ μὴ εἶναι. τὸ ἔτι δὲ εἶπεν, ὡς πρὸς τὸν πρόσθεν χρόνον. τὰ γὰρ παρόντα, τῶν πάλαι ὕστερά ἐστι, καὶ ἐφεξῆς. 286 Ἀλλ᾽, ὦ φίλον γένειον] ἀπὸ μέρους τὸ πᾶν. γένειον αἱ κατὰ τὰς σιαγόνας τρίχες, γένυς δὲ ἡ σιαγών. ἀλλ᾽ ὦ Ὀδυσσεῦ οἴκτειρον καὶ ἐλέησον. ἀπελθὼν δ᾽ εἰς τὸν στρατὸν τῶν Ἑλλήνων, παραίνεσον, καὶ εἰπὲ ὅτι μέμψις καὶ δυσφημία ἐστὶν, ἀποκτείνειν καὶ φονεύειν τὰς γυναῖκας, ἃς κατ᾽ ἀρχὰς οὐκ ἐφονεύσατε, ἀφελκύσαντες ἀπὸ τῶν βωμῶν, ἀλλ᾽ ἠλεήσατε. Παρηγόρησον] παραίνεσον. ἔστιν ἀγορᾶς, ἀφ᾽ οὗ ἀγορεύω ῥῆμα. ἐξ οὗ σύγκειται τὸ, τι δημηγορῶ, καὶ παρηγορῶ, καὶ συνηγορῶ καὶ τὰ τοιαῦτα. Φθόνος] καταχρηστικῶς ἀντὶ τοῦ μέμψις. διαφέρει δὲ φθόνος μέμψεως. ὅτι ὁ μὲν φθόνος, εἰς τοὺς καλοὺς καὶ ἀγαθοὺς ἀπὸ τῶν κακῶν. φθονοῦνται γὰρ τὰ καλὰ τοῖς κακοῖς. ἡ δὲ μέμψις ἀπὸ τῶν καλῶν εἰς τοὺς κακούς τε καὶ πονηρούς. 290 Βωμῶν ἀποσπάσαντες] ἤγουν τοῦτο τὸ τοὺς τοῖς βωμοῖς καταφυγόντας μὴ κτείνειν, νόμιμον ἡγούμεθα ὁμοίως δοῦλοι καὶ ἐλεύθεροι. Νόμος δ᾽ ἐν ὑμῖν] νόμος δ᾽ ἐν ὑμῖν τοῖς Ἕλλησι κεῖται περὶ φόνου, ὅμοιος τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις. ἡ δὲ σὴ ἀξία καὶ ἐὰν κακῶς λέγῃ, καταπείσει. λόγος γὰρ ὁ ἐξιὼν ἐκ τῶν ἀδοξούντων καὶ ἀτίμων, καὶ ἐκ τῶν δοκούντων, ἤτοι τῶν ἐνδόξων καὶ ἐντίμων, οὐ τὴν αὐτὴν ἔχει δύναμιν. Νόμος] νόμος δὲ κεῖται ἐν ὑμῖν τοῖς Ἕλλησι περὶ φόνου ἴσος τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις, ἤγουν ἐν ἴσῳ κακῷ τίθετον τὸν τοῦ δούλου φόνον, ὃν αὐτὸς δηλονότι ὑπό τινος φονευθήσεται, καὶ τὸν τοῦ ἐλευθέρου. Οὐκ ἔστιν οὕτω στεῤῥὸς] οὐκ ἔστι φύσις ἀνθρώπου οὕτω στεῤῥὰ καὶ σκληρὰ, ἥτις ἀκούσασα τοὺς θρήνους τῶν σῶν γόων καὶ τῶν πολλῶν ὀδυρμάτων, οὐκ ἂν ἐκπέμψοι δάκρυον. Στεῤῥὸς] οἱ Ἀττικοὶ τὰς εἰς ος καὶ εἰς ον λήγουσας εὐθείας, διὰ τοῦ ος λέγουσιν. οἷον ὁ οὐρανὸς, ἡ ὁδὸς, ἡ στεῤῥός. Ἑκάβη διδάσκου] ὦ Ἑκάβη διδάσκου, ἤτοι μάνθανε, μὴ δὲ τῷ θυμουμένῳ μέρει τῆς ψυχῆς δηλονότι, ἤτοι ὑπὸ τοῦ θυμοῦ, τὸν εὖ λέγοντα, ἐμὲ δηλονότι, ποιοῦ δυσμενῆ καὶ ἐχθρὸν ἐν τῇ φρενὶ, καὶ ἐν τῷ λογισμῷ. Μὴ δὲ τῷ θυμουμένῳ] εἰς τρία μεριζομένης τῆς ψυχῆς, † εἰς λογικὸν, θυμικὸν, καὶ ἐπιθυμητικὸν, ὅτε μὲν ἐστὶ τὸ λογικὸν, καθαρὸν, διακρίνει καὶ λογίζεται τὰ πρέποντα, καὶ καλῶς ἔχοντα. σκοτίζεται δὲ ὑπὸ τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ, καὶ ὑπὸ ἄλλου τινὸς συμπτώματος. κἀντεῦθεν οὐ συγχωρεῖται λογίζεσθαι τὰ δέοντα. Τῷ θυμουμένῳ] οἱ μὲν τῷ θυμουμένῳ, τῷ θυμικῷ φασὶ τῆς ψυχῆς μέρει· τρία δὲ μέρη τῆς ψυχῆς, λογικὸν, θυμικὸν, καὶ ἐπιθυμητικόν. καὶ τὸ μὲν θυμικὸν, ἔχειν παρὰ τὴν καρδίαν. τὸ δὲ ἐπιθυμητικὸν περὶ τὸ ἧπαρ. τὸ δὲ λογιστικὸν παρὰ τὸν ἐγκέφαλον, ὃ καὶ λόγον αὐτοκράτορα ἔχει πρὸς ἐκεῖνα. ἐγὼ δὲ ἐνταῦθα θυμουμένῳ λέγω, τῷ θυμῷ. ὥσπερ γὰρ φαμὲν βουλόμενον οὐ μόνον τὸν θέλοντα, ἀλλὰ καὶ τὴν βούλησιν αὐτὴν, καὶ μαινόμενον, οὐ μόνον τὸν μανίαν ἔχοντα, ἀλλὰ καὶ τὴν μανίαν αὐτὴν, οὕτω καὶ θυμούμενον, οὐ μόνον τὸν θυμῷ κατεχόμενον, ἀλλὰ καὶ τὸν θυμὸν αὐτόν. Ἐγὼ τὸ μὲν σὸν] οἱ μὲν τῆς Ἑκάβης λόγοι παρακλήσει ἐοίκασιν. οἱ δὲ τοῦ Ὀδυσσέως, ἀνασκευῇ. ἐγὼ τὸ μὲν σὸν σῶμα, ὑφ᾽ οὗπερ εὖ ἔπραττον, ἕτοιμός εἰμι καὶ πρόθυμος ῥύσασθαι. ἃ δ᾽ εἶπον ἐνώπιον πάντων οὐκ ἀρνήσομαι λέγων, προσθήσεσθαι(?) τῆς Τροίας, δοῦναι θῦμα τὴν σὴν παῖδα τῷ Ἀχιλλεῖ, αἰτοῦντι αὐτὴν δηλονότι. Κοὐκ ἀρνήσομαι] τῷ ἀρνεῖσθαι, ἐναντίον τὸ ὁμολογεῖν. ὥστε τὸ οὐκ ἀρνεῖσθαι, ταυτὸν τῷ ὁμολογεῖν. Τῷ πρώτῳ] τὸ πρῶτον λαμβάνεται ἐνίοτε μὲν ἐπὶ τάξεως, ἐνίοτε δὲ ἐπὶ ἀριθμήσεως. ἐνταῦθα δὲ, ἐπὶ τάξεως λέγεται.

† Vid. Heraclitum de his prolixius agentem, p. 74. Ἀπὸ τῆς γαστρὸς πρώτας ἀρξάμενος, &c.

“ Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
“ Ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ,
“ Μηδὲν φέρηται τῶν κακιόνων πλέον.
Ἡμῖν δ' Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
Θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ' ἀνήρ.
“ Οὔκουν τόδ' αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
“ Χρώμεσθ', ἐπεὶ δ' ὄλωλε, μὴ χρώμεσθ' ἔτι;
Εἶεν, τί δῆτ' ἐρεῖ τις, ἢν τις αὖ φανῇ
Στρατοῦ τ' ἄθροισις, πολεμίων τ' ἀγωνία;
Πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
Τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον;
“ Καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ' ἡμέραν,
“ Κ' εἰ σμίκρ' ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι.
“ Τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
“ Τὸν ἐμὸν ὁρᾶσθαι. διὰ μακροῦ γὰρ ἡ χάρις.
Εἰ δ' οἰκτρὰ πάσχειν φῂς, τάδ' ἀντάκουέ μου.
Εἰσὶν παρ' ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
Γραῖαι γυναῖκες, ἠδὲ πρεσβῦται, σέθεν,
Νύμφαι τ' ἀρίστων νυμφίων τητώμεναι,
Ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
Τόλμα τάδ', ἡμεῖς δ' εἰ κακῶς νομίζομεν,
Τιμᾶν τὸν ἐσθλὸν, ἀμαθίαν ὀφλήσομεν.
“ Οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
“ Ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας
“ Θαυμάζεθ', ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
“ Ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.
Χο. Αἰαῖ, τὸ δοῦλον ὡς κακὸν * πεφυκέναι, (* al. πέφυκ' ἀεί.)
Τολμᾷ θ', ἃ μὴ χρὴ, τῇ βίᾳ νικώμενον.
Εκ. Ὦ θύγατερ, οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα
Φροῦδοι, μάτην ῥιφθέντες ἀμφὶ σοῦ φόνου.
Σὺ δ' εἴ τι μείζω δύναμιν ἢ μήτηρ ἔχεις,
Σπούδαζε, πάσας ὥστ' ἀηδόνος στόμα
Φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
Πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ,

“ In hoc enim laborant multæ urbes,
“ Quando quis bonus & ſtrenuus exiſtens vir
“ Nihil aufert ignavis amplius.
Nobis autem Achilles dignus honore, ô mulier,
Mortuus pro terrâ Græcâ honeſtiſſimè vir.
“ An non hoc turpe eſt, ſi videntem quidem amico
“ Utimur: quum vero interiit, non utimur amplius?
Agedum quidnam dicat quis, ſi quæ iterum appareat
Exercitûſque collectio hoſtiúmque certamen?
Utrum certabimus, an conſulemus vitæ,
Mortuum videntes non habitum in honore?
“ Atqui mihi quidem viventi in dies,
“ Etſi pauca habeam, omnia ſufficient:
“ Sepulchrum autem optârim honoratum
“ Meum conſpici. In longum enim *tempus durat* hoc officium.
Si verò miſeranda paſſam te dicis, hæc viciſſim audi a me.
Sunt apud nos non minùs infelices
Vetulæ mulieres & Vetuli, quàm tu,
Sponſæque præſtantiſſimis ſponſis orbatæ,
Quorum iſte occulit corpora Trojanus pulvis.
Perfer hæc. Nos verò ſi malè ſtatuimus
Honorare fortem, inſcitiæ rei erimus.
“ Sed vos barbari neque amicos pro amicis
“ Ducitis, neque honeſtè mortuos
“ Admiramini. Itaque quidem Græcia feliciter agit,
“ Vos autem perfertis conſentanea veſtris conſiliis.
Ch. Ah ah, quàm mala ſemper eſt ſervilis conditio:
Suſtinétque, quæ non oportet, per victa.
Hec. O filia, mei quidem ſermones in aerem
Irriti ſunt fruſtrà projecti de tuâ cæde:
Tu verò ſi majorem potentiam quàm mater habes,
Annitere, omnigenos, velut luſciniæ os,
Sonos emittens, ne priveris vitâ.
Procide verò miſerabiliter hujus Ulyſſis ad genu,

Ἐν τῷδε γὰρ] διὰ τοῦτο γὰρ δυσπραγοῦσιν αἱ πλεῖσται πόλεις, ὅταν τις ἀγαθὸς καὶ ἀνδρεῖος ἀνὴρ, ἀπολαύῃ πλεῖον οὐδὲν, τῶν φαύλων τε καὶ δειλῶν. ἐν ἡμῖν δὲ ὁ Ἀχιλλεὺς ἄξιός ἐστι τιμῆς καὶ δόξης, ὦ γύναι, θανὼν ὑπὲρ τῆς Ἑλλάδος ἐνδοξότατα. ἐπεὶ ἄτιμον καὶ ἀπρεπὲς ἐστιν, εἰ ζῶντι μὲν ἐκείνῳ ἐχρώμεθα φίλῳ, ἀφ' οὗ δὲ ἐτελεύτησε, μηκέτι χρώμεθα φίλῳ δηλονότι. Εἶεν] ἔστω ταῦτα. Τί δῆτα ἐρεῖ τις] κατ' ἔνστασιν καὶ ἀντιπαράστασιν, τί ἐρεῖ τις ἐὰν πάλιν γένηται σύναγμα στρατοῦ, καὶ ἀνάγκη τῶν πολεμίων, πότερον μαχεσόμεθα, ἢ φιλοζωήσομεν, καὶ δειλιάσομεν, τὸν ἀποθανόντα βλέποντες οὐ δοξαζόμενον; ἀλλὰ καὶ ἐμοῦ ἐν ὅσῳ μὲν ζῶ, κατὰ τὸν καιρὸν τῆς ζωῆς μου, πάντα ἱκανὰ καὶ ἀρκοῦντα μέλλουσιν εἶναι, κἂν μικρὰ ταῦτα ὦσι. τὸν ἐμὸν δὲ τάφον βουλοίμην ἂν ὁρᾶσθαι τιμώμενον. ἐπὶ πολὺ γὰρ ἡ χάρις, ἤγουν ἡ τιμὴ διὰ μακροῦ χρόνου γίνεται, καὶ πολυχρονία ταῖς διαδοχαῖς αὐξανομένη. ὁ γὰρ ὁρῶν τὸν τάφον τιμώμενον, πρὸς τὸν ἐγκείμενον ἀνάγει τὸν νοῦν, ἡγούμενος αὐτὸν μηδ' ἂν μετὰ θάνατον οὕτως τιμᾶσθαι, εἰ μὴ πολλῆς τιμῆς ἄξιος ἦν σπουδῆς. Εἰ δ' οἰκτρὰ πάσχειν] εἰ δὲ λέγεις πάσχειν ἐλεεινά, ἀντάκουε μου τάδε. ὑπάρχουσι παρ' ἡμῖν γραῖαι γυναῖκες, οὐχ ἧσσον ἐλεεινότεραι σοῦ, καὶ νύμφαι στερούμεναι τῶν νυμφίων, οὓς ἡ Τρωικὴ γῆ καλύπτει. ὑπόμενε ταῦτα. ἡμεῖς δὲ εἰ κακῶς νόμον τιθέαμεν δοξάζειν τὸν ἀνδρεῖον, μωρίαν χρεωστήσομεν. Πρεσβῦται] οὐχ ὡς ἀκούουσί τινες, συγκριτικὸν ὂν πρεσβύτεραι, κατὰ συγκοπὴν πρεσβῦται γέγονεν, ἐθέλοντες συντάξαι τὸ σέθεν. ἀλλὰ τὸ πρεσβῦται ἀντὶ τοῦ γέροντες ἐστὶ διὰ μέσου, τὸ δὲ σέθεν, πρὸς τὸ ἧσσον συντακτέον. ἵν' οὕτως ἔχῃ, εἰσὶ παρ' ἡμῖν γραῖαι γυναῖκες ἄθλιαι οὐχ ἧσσον σοῦ. καὶ γέροντες, καὶ τὰ ἑξῆς. Νύμφαι] νύμφη ἡ ἄρτι εἰς γάμον ἐρχομένη, ἥτις ποιητικῶς νυὸς λέγεται. νύμφαι δὲ καὶ τῶν πηγῶν ὕδατα, καὶ οἱ ἔφοροι τούτων δαίμονες παρ' Ἕλλησιν. ἐνταῦθα δὲ νύμφαι ἁπλῶς, αἱ ἄνδρας ἔχουσαι. Οἱ βάρβαροι] ὑπομένειν φησὶ ταῦτα. ἡμεῖς δὲ ἐὰν οἰόμεθα κακῶς δοξάζειν τοὺς ἀγαθούς, ἀμαθεῖς δόξομεν. ὑμεῖς δὲ οἱ βάρβαροι, μήτε τοὺς φίλους ὑπολαμβάνετε φίλους, μήτε τοὺς ἐνδόξως καὶ καλῶς ἀποθανόντας τιμᾶτε. καὶ διὰ τοῦτο ἡ μὲν Ἑλλὰς εὐδαιμονεῖ. ταῖς γὰρ καλαῖς βουλαῖς, ἔργα καλὰ ἕπεται. ὑμεῖς δὲ διάκεισθε κατὰ τὰ βουλεύματα ὑμῶν. Αἰαῖ τὸ δοῦλον] ὅμοιον τῷ παρὰ Σοφοκλεῖ, κρεῖσσον γὰρ θανεῖν μοι κάτ' ἂν ἢ ζῆν τυφλός. ὥσπερ γὰρ ἐκεῖ ὀφείλων θεῖναι τὸ κρεῖττον ἐπὶ τοῦ ῥήματος, ἵν' ᾖ κρεῖττον μοί ἐστι, ἢ ζῆν τυφλόν, ὁ δὲ τέθεικεν ἐπὶ τοῦ ὀνόματος. οὕτω κἀνταῦθα, ὀφείλων τάξαι τὸ πάνυ κακὸν ἐπὶ τοῦ πεφυκέναι, ὁ δὲ τέθεικεν ἐπὶ τοῦ ὀνόματος. καὶ φησὶ τὸ δοῦλον πάνυ κακόν. εἶτα ἐπάγει πεφυκέναι. ἤγουν ὥστε εἰς ὕπαρξιν ἐλθεῖν, οὐ μόνον τινὸς κακὸν κατὰ τὴν ἑαυτοῦ φύσιν. γράφεται καὶ πέφυκ' ἀεὶ τὸ δοῦλον λίαν, πέφυκε κακὸν ἀεί. Ἄλλως. τὸ χρεῶδες τοῦ δούλου, λίαν κακόν ἐστιν. ὑπομένει γὰρ ἃ μὴ χρεὼν ὁ ἄνθρωπος ἐκεῖνος, ὑπὸ τῆς ἀνάγκης νικώμενος. Ὦ θύγατερ] οἱ ἐμοὶ μὲν λόγοι οἱ περὶ τοῦ σοῦ φόνου, φροῦδοι καὶ ἀφανεῖς εἰσι ῥιφθέντες πρὸς τὸν αἰθέρα. σὺ δὲ εἰ ἔχεις δύναμιν μείζονα τι καὶ κατά τι παρὰ ἐμὲ ἡ μήτηρ, σπούδαζε, ὡς στόμα ἀηδόνος, ἀφιεῖσα πάσας φθογγάς, ὥστε μὴ στερηθῆναι τῆς ζωῆς. πίπτε δὲ ἐλεεινῶς πρὸς τὸ γόνυ τόδε τοῦ Ὀδυσσέως, καὶ πεῖθε, ἤτοι πειρῶ πείθειν. ἔχεις δὲ πρόφασιν καὶ ἀφορμήν. ἔστι γὰρ καὶ τῷδε τέκνα. ὥστε οἰκτεῖραι καὶ ἐλεῆσαι τὴν σὴν τύχην καὶ δυστυχίαν. Ἀμφὶ σοῦ φόνου] περὶ τοῦ σοῦ φόνου ὃν ἐτάχθης σὺ, δηλονότι, φονευθῆναι. οὐδεὶς γάρ τις λέγει, ἢ ὃν αὐτὸς φονεύσειν ἔμελλεν, ἢ ὃν αὐτὸς ὑφ' ἑτέρου φονεύεται. Τοῦ δ' Ὀδυσσέως γόνυ] οἱ παλαιοὶ ἱκετεύοντες ἐδράττοντο τῆς γενειάδος, καὶ τῆς χειρὸς καὶ τοῦ γόνατος. τῆς μὲν γενειάδος, ὡς καταπαύσουσι, ἢ εἰπεῖν τι πρὸς ἄλλον ὑπὲρ τοῦ δεομένου, εἴγε δέηται τοῦτο ποιεῖν· τῆς δὲ χειρὸς, ὡς ἐνεργήσοντι· τοῦ δὲ ποδὸς, ὡς βαδίσοντι.

ANNOTATIONES.

V. 306. ἐν τῷδε γὰρ κάμνουσιν. &c.] *Euſtratius* in l. 1. *Ariſtot.* Nicomach. leg. —— ἐν τούτῳ πάσχουσιν, [illegible], ſed non æquè Cammere, quare hoc illi reponendum [illegible] ἁμαρτήματα μισούμενα, & noſtra lectio retinenda.

V. 326. ἀμαθίαν ὀφλήσομεν] Digni erimus, qui ſtupidiſſimi habeamur. De hac phraſi v.d. *Vigerum* p. 133.

Καὶ

Καὶ πεῖθ' (ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα
Καὶ τῷδε) τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.
Πο. Ὁρῶ σ' Ὀδυσσεῦ δεξιὰν ὑφ' εἵματος
Κρύπτοντα χεῖρα, καὶ πρόσωπον τοὔμπαλιν
Στρέφοντα, μή σου προσθίγω γενειάδος.
Θάρσει· πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία.
Ὡς ἕψομαί σοι, τοῦ τ' ἀναγκαίου χάριν,
Θανεῖν τε χρῄζουσ'. εἰ δὲ μὴ βουλήσομαι,
Κακὴ φανοῦμαι, καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν, ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων. τοῦτό μοι πρῶτον βίου.
Ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
Βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμου
Ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
Δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
Γυναιξί, παρθένοισί τ' ἀπόβλεπτος μέτα,
Ἴση θεοῖσι, πλὴν τὸ κατθανεῖν μόνον.
Νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
Θανεῖν ἐρᾶν τίθησιν, οὐκ εἰωθὸς ὄν.
Ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
Τύχοιμ' ἄν, ὅστις ἀργύρου μ' ὠνήσεται,
Τὴν Ἕκτορός τε χ' ἁτέρων πολλῶν κάσιν.
Προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
Σαίρειν τε δῶμα, κερκίσιν τ' ἐφεστάναι,
Λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει.
Λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
Χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
Οὐ δῆτ'. ἀφίημ' ὀμμάτων ἐλεύθερον
Φέγγος τόδ', Ἅιδῃ προστιθεῖσ' ἐμὸν δέμας.
Ἄγ' οὖν μ' Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων.
Οὔτ' ἐλπίδος γὰρ οὔτε του δόξης ὁρῶ
Θάρσος παρ' ἡμῖν, ὥς ποτ' εὖ πρᾶξαί με χρή.
Μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ,
Λέγουσα, μηδὲ δρῶσα. συμβούλου δέ μοι
Θανεῖν πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.

Et persuade (habes vero occasionem: sunt enim liberi
Et huic) tuas ut misereatur fortunæ.
Po. Video te, ô Ulysses, dextram sub veste
Occultantem manum, & faciem retractam
Vertentem, ne tuum attingam mentum.
Bono animo esto: effugisti meum supplicem Jovem:
Quoniam sequar te & necessitatis gratiâ,
Et mori volens. Si verò non velim,
Ignava videbor & amans vitæ mulier.
Quid enim me oportet vivere, cui Pater quidem erat Rex
Phrygum omnium? (hoc mihi primum vitæ.)
Deinde nutrita sum sub spe optimâ,
Regibus sponsa, æmulationem non parvam nuptiarum
Habens, ad cujus domum focúmque adventura essem:
Domina verò infelix Trojanas eram
Mulieres virginésque inter conspicua,
Similis deabus, præter mori solùm.
Nunc verò sum serva. Primùm quidem hoc me nomen
Mortem amare facit, non consuetum existens.
Deinde fortassis dominos sævo animo præditos
Possem nancisci, quicunque argento me emet,
Hectoris & aliorum multorum sororem,
Adigens me vero ad panificium in ædibus,
Verrerēque domum & radiis textoriis insistere,
Tristem agentem diem me coget.
Strata verò mea servus emptitius aliquis
Contaminabit, regibus antea digna judicata.
Non ità: relinquam ab oculis liberam
Lucem hanc, inferis offerens meum corpus.
Duc igitur me, Ulysses, & necato me ducens.
Neque enim spei, neque alicujus opinionis video
Fiduciam apud nos, quòd unquam feliciter agere me oporteat.
Mater, tu verò nobis nihil impedimento sis
Dicendo neque faciendo: sed assentiaris mihi
Mori, priusquam turpia non pro dignitate consequar.

Ἔχεις γὰρ πρόφασιν] πρόφασις κυρίως ὁ προτεινόμενος εὐπρόσωπος λόγος ἐπὶ κατηγορίᾳ τινί, ἀπὸ τούτου ἁπλῶς καὶ ἡ αἰτία. Ὁρῶ σ' Ὀδυσσεῦ] ὁρῶ ὑπὸ σοῦ ἱματίου, στρεφόμενον ἀπὸ ψυχῆς. δηλοῖ δὲ δύο, τὸ τὰ ὄπισθεν ὁρῶ, καὶ τὸ σκέπτομαι. ἐντεῦθεν ἐφύλαξεν ὁ Ευριπίδης τὸ ἡρωικὸν ἦθος. οὐ γὰρ ταπεινῶς, ἀλλὰ μετὰ παρρησίας τὴν Πολυξένην λέγειν εἰσήγαγεν. καὶ ὅρα ὅπως ὁ ποιητὴς εἰς τὸν κανόνα τῆς ἀληθείας [illegible] ἀπαλλαχθεῖσα χείρω χρήσθαι, ἐν τῷ λέγειν, ὡς πατὴρ μὲν ἦν ἄναξ. τῷ δὲ ἐνεστῶτι, νῦν δ' εἰμὶ δούλη. τῷ δὲ μέλλοντι, ἔπειτ' λέγων, ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας τύχοιμ' ἄν, καὶ τὰ λοιπά. Ὁρῶ σε Ὀδυσσεῦ κρύπτοντα τὴν δεξιὰν χεῖρα ὑποκάτω τοῦ ἱματίου, καὶ τὸ πρόσωπον στρέφοντα εἰς τοὐπίσω, ἵνα μὴ ἅψωμαι τῆς γενειάδος σου. [illegible] Θάρσει] ἤτοι ἄφοβος ἴσθι, ἐκπέφευγας τὴν ἐμὴν ἱκεσίαν. οἱ δὲ ἱκετεύοντες προτείνουσιν ἱκέσιον Δία ἱκέσιον. οἱ δὲ συνοικοῦντες, ἑρκεῖον. οἱ δὲ φίλοι, φίλιον. οἱ δὲ ἐν μιᾷ τάξει καὶ συμμορίᾳ καταλεγόμενοι, ἑταιρεῖον. οἱ δὲ ξένιον, ξένοι. οἱ δὲ ἐν ὅρκοις συμφωνίας ποιοῦντες, ὅρκιον. οἱ δὲ ἀδελφοί, ὁμόγνιον. Ὡς ἕψομαί σοι, ὅτι ἀκολουθήσω σοι, καὶ χάριν τοῦ ἀπαραιτήτου, καὶ θέλουσα ἀποθανεῖν. εἰ δὲ μὴ θελήσω, φανοῦμαι γυνὴ δειλὴ καὶ φιλόζωος. καὶ τὰ λοιπά. τί γάρ με πρέπει ζῆν, ᾗ τινι πατὴρ μὲν ἦν ἄναξ πάντων τῶν Φρυγῶν, καὶ Τρώων.

τοῦτο πρῶτον καὶ ἐξαίρετον ἐμοὶ τοῦ βίου καὶ τῆς ζωῆς. ἔπειτα ἀνετράφην ὑπὸ καλῶν ἐλπίδων, βασιλεῦσι νύμφη ἐσομένη δηλονότι, ἔχουσα ζῆλον γάμου οὐ μικρόν, εἰς οὗ τινος ἑστίαν καὶ οἰκίαν παραγενήσομαι. [359] Δέσποινα δὲ ἡ δύστηνος] ὑπῆρχον δὲ ἡ δύστηνος δέσποινα ἐν ταῖς Ἰδαίαις γυναιξίν, ἐν παρθένοις τε ἐπιφανής, ἰσότιμος ταῖς θεαῖς, πλὴν κατὰ τὸ θανεῖν μόνον. Πλὴν τὸ κατθανεῖν] μὴ λάβε κατὰ ἔξωθεν εἰς τό, πλὴν τὸ κατθανεῖν, ἀλλ' ὥσπερ [illegible] ἴσως ἐστὶν οὕτως ἐκείνῳ τὴν σύνεσιν, καὶ οὐ λαμβάνουσιν ἔξωθεν τὸ κατά. καὶ πάλιν ἐρῶ σοι ἕτερα. οὕτω κἀνταῦθα, εἰ καὶ τὸ πλὴν ἀντὶ τοῦ χωρίς, ποιεῖ τὴν ἀσάφειαν, ὅτι ἴση ταῖς θεαῖς, πλὴν τὸ κατθανεῖν μόνον, ἀντὶ τοῦ χωρὶς τοῦ κατθανεῖν ὑπάρχω ἐκείναις ἴση. ἄλλοι δὲ μὴ λαμβάνοντες κατά, γράφουσι τοῦτο πρὸς τὸ πλὴν ἀγνοοῦντες καὶ οὕτω τὴν σύνταξιν. καὶ μὴν ἑτέρους ψυχρολόγους ἐστὶν ἰδεῖν, τὸ πλὴν ἀντὶ τοῦ εἰ μὴ λέγοντας· ἴση ταῖς θεαῖς, εἰ μὴ τὸ κατθανεῖν μόνον ὑπῆρχεν αὐτῇ. Νῦν δ' εἰμὶ δούλη] νῦν δὲ ὑπάρχω δούλη. Πρῶτα μὲν] ἀντὶ τοῦ πρῶτον. Τὸ ὄνομα] ἤτοι τὸ καλεῖσθαι δούλην, οὐκ εἰωθὸς καὶ οὐ συνήθες ὄν, ποιεῖ ἐμὲ ἐπιθυμεῖν θανεῖν. [358] Εἰωθὸς] ἔθος, τὸ ἐξ ἔθους τι διαπράττεσθαι. ὁ μέλλων ἔσω, ὁ παρακείμενος εἶχα, ὁ μέσος εἴωθα. καὶ Ἀττικῶς εἴωθα. ἡ μετοχὴ εἰωθὼς τοῦ εἰωθότος, τὸ οὐδέτερον τὸ εἰωθός. ἔπειτα ἴσως ἂν τύχοιμι δεσποτῶν τινῶν καὶ ἀπηνῶν κατὰ τὰς φρένας. ὅς τις ἐκείνων λέγω, ἀγοράσει δι' ἀργυρίου ἐμὲ τὴν ἀδελφὴν τοῦ Ἕκτορος, καὶ ἑτέρων πολλῶν, προσθεὶς δὲ ἐν τοῖς δόμοις ἀνάγκην σιτοποιόν, ἤτοι ἀρτοποιητικήν, ἀναγκάσει ἐμὲ ἄγουσαν ἡμέραν λυπηράν, καὶ σαρῶ τὸ δῶμα, καὶ ἱστάναι ταῖς κερκίσιν, ἀντὶ τοῖς ὑφάσμασιν, ἀπὸ μέρους τὸ πᾶν. τὰ ἐμὰ δὲ λέχη (καὶ τὴν ἐμὴν κοίτην) μιανεῖ δοῦλος ὠνητός ποθεν, τυράννων καὶ βασιλέων πρότερον ἄξια ὄντα. οὐ δῆτα, ἤτοι οὐκ ἀνέξομαι ζῆν ἐν τούτοις, οὐ προτιμήσω ταῦτα τοῦ θανάτου. ἀφίημι τόδε τὸ φέγγος τῶν ὀμμάτων ἐλεύθερον, προστιθεῖσα τῷ θανάτῳ τὸ ἐμὸν σῶμα. [369] Ἄγ' οὖν μ' Ὀδυσσεῦ] ἄγε ἐμὲ λοιπὸν Ὀδυσσεῦ. οὔτε γὰρ θάρρος ἐλπίδος ὁρῶ, οὔτε δόξης, καὶ ὑπολήψεως τινός, ὅτι δέον ποτὲ πρᾶξαι καλῶς, καὶ εὐτυχῆσαι. Ὦ μῆτερ] σὺ δὲ μηδαμῶς γένῃ ἐμπόδιον ἐμοί, μηδὲ λέγουσα, μηδὲ δρῶσα. σὺν ἐμοὶ δὲ βούλου θανεῖν ἐμέ, πρὸ τοῦ τυχεῖν αἰσχρῶν παρ' ἀξίαν. ὅς τις γὰρ οὐ συνήθειαν ἔχει πεῖραν λαμβάνειν τῶν δυστυχιῶν, φέρει μὲν τιθεὶς ἐν τῷ ζυγῷ τὸν αὐχένα, ἤγουν ἐν τῇ ἀνάγκῃ τῆς δυστυχίας. ἄχθεται δὲ δηλονότι ὥσπερ βοῦς ἀγύμναστος ὑπὸ ζυγὸν τιθέμενος. θανὼν δὲ εἴη ἂν μᾶλλον εὐτυχέστερος ἢ ζῶν. τὸ γὰρ μὴ καλῶς ζῆν, μεγάλη ὀδύνη.

ANNOTATIONES.

V. 355. μέτα] i.e. παρθένοις μέτα, quod potior pro μετὰ παρθένοις, quare non est, quod hic Canterus legat μέγα, licet μέγ' [illegible] legatur alias. Non enim est utrubique par ratio.

V. 359. Ἔπειτ' ἴσως ἂν] Vid. exempla de duplici ἂν in Lexicis; quorum prior est [illegible], alterum [illegible].

Ὃς

" Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
" Φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ.
" Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
" Ἢ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος.
Χο. Δεινὸς χαρακτὴρ, κἀπίσημος ἐν βροτοῖς,
" Ἐσθλῶν γενέσθαι. κἀπὶ μεῖζον ἔρχεται
" Τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.
Εκ. Καλῶς μὲν εἶπας θύγατερ· ἀλλὰ τῷ καλῷ
Λύπη πρόσεστιν. εἰ δὲ δεῖ τῷ Πηλέως
Χάριν γενέσθαι παιδὶ, καὶ ψόγον φυγεῖν
Ὑμᾶς, Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε·
Ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως,
Κεντεῖτε. μὴ φείδεσθ'. ἐγὼ τίκτον Πάριν,
Ὃς παῖδα Θέτιδος ὤλεσεν τόξοις βαλών.
Οδ. Οὐ σ', ὦ γεραιὰ, κατθανεῖν Ἀχιλλέως
Φάντασμ', Ἀχαιοὺς ἀλλὰ τήνδ' ᾐτήσατο.
Εκ. Ὑμεῖς δέ μ' ἀλλὰ θυγατρὶ συμφονεύσατε,
Καὶ δὶς τόσον πόμ' αἵματος γενήσεται
Γαίᾳ, νεκρῷ τε τῷ τάδ' ἐξαιτουμένῳ.
Οδ. Ἅλις κόρης σῆς θάνατος. οὐ προσοιστέος
Ἄλλος πρὸς ἄλλῳ· μηδὲ τόνδ' ὀφείλομεν.
Εκ. Πολλή γ' ἀνάγκη. θυγατρὶ συνθανεῖν ἐμέ.
Οδ. Πῶς; οὐ γὰρ οἶδα δεσπότας κεκτημένος.
Εκ. Ὁποῖα κισσὸς δρυὸς, ὅπως τῆσδ' ἕξομαι.
Οδ. Οὐκ, ἤν γε πείθῃ τοῖσι σοῦ σοφωτέροις.
Εκ. Ὡς τῆσδ' ἑκοῦσα παιδὸς οὐ μεθήσομαι.
Οδ. Ἀλλ' οὐδ' ἐγὼ μὴν τήνδ' ἄπειμ' αὐτοῦ λιπών.
Πο. Μῆτερ, πιθοῦ μοι. καὶ σὺ παῖ Λαερτίου
Χάλα τοκεῦσιν εἰκότως θυμουμένοις.
Σύ δ' ὦ τάλαινα τοῖς κρατοῦσι μὴ μάχου.
Βούλει πεσεῖν πρὸς οὖδας, ἑλκῶσαί τε σὸν
Γέροντα χρῶτα, πρὸς βίαν ὠθουμένη,
Ἀσχημονῆσαί τ' ἐκ νέου βραχίονος
Σπασθεῖσ'; ἃ πείσῃ μὴ σύγ'. οὐ γὰρ ἄξιον.
Ἀλλ' ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
Δὸς, καὶ παρειὰν προσβαλεῖν παρηΐδι.

" Quicunque enim non consuevit gustare mala,
" Fert quidem: dolet verò collum supponens jugo.
" Mortuus verò fuerit fælicior
" Quàm vivens. Vivere enim non honestè, magna calamitas.
Ch. Mira nota & insignis inter homines est
" A bonis natum esse: & in majus procedit
" Nobilitatis nomen apud eos qui digni sunt.
Hec. Honestè quidem dixisti filia: sed huic honesto
Mœror adest. Si verò oportet Pelei
Rem gratam fieri filio, & probrum effugere,
Vos, ô Ulysses, hanc quidem non interficite,
Sed nos ducentes ad bustum Achillis
Confodite, ne parcatis: ego peperi Paridem,
Qui filium Thetidis, sagittis feriens, interemit.
Ul. Non te, ô anus, ad moriendum, Achillis
Spectrum, à Græcis, sed hanc, petivit.
Hec. Vos verò me cum filiâ simul interficite:
Et bis tantum poculum sanguinis fiet
Terræ, mortuóque hæc postulanti.
Ul. Satis puellæ tuæ mors (erit:) non addenda
Alia ad aliam: utinam nec hanc deberemus.
Hec. Ingens quidem necessitas est filiæ commori me.
Ul. Quomodo? non enim novi me dominos habere.
Hec. Ut hedera quercui, sic huic adhærebo.
Ul. At id non facies: si modò parueris te sapientioribus.
Hec. Hanc quidem volens filiam non dimittam.
Ul. Sed neque ego ipsum hanc abibo hic relinquens.
Pol. Mater ausculta mihi: & tu fili Laertis
Remissior sis parentibus jure commotis ad iram.
Tu verò ô misera cum victoribus ne pugna.
An vis cadere in terram, ac sauciare tuum
Senile corpus per vim protrusa?
Et dedecorari juvenili brachio
Avulsa? quæ patieris tu nequaquam. Non enim decet.
Sed ô chara mihi mater dulcissimam manum
Porrige, & genam junge genæ:

379 Δεινὸς χαρακτὴρ] ἐκπλαγεὶς πρὸς τοὺς τῆς Πολυξένης λόγους, ὡς μετὰ φρονήματος εἰρημένους γενναίου, φησὶ, μεγάλως χαρακτηρίζει καὶ δηλοποιεῖ τὸν εὐγενῆ ἡ εὐγένεια. πρὸς γὰρ τὴν εὐγενῆ αὐτοῦ φύσιν, καὶ τοὺς λόγους ποιεῖται. καὶ δῆλος τοῖς οὐκ εἰδόσιν αὐτὸν γίνεται. ἄλλως. ὅς τις ἐστὶν εὐγενὴς καὶ γένους λαμπροῦ, χαρακτηρίζει ἑαυτὸν καλοῖς λόγοις, καὶ ἤθεσι, καὶ δῆλος τοῖς οὐκ εἰδόσι τὴν ψυχὴν αὐτοῦ ἐντεῦθεν καθίσταται. καὶ τῆς εὐγενείας ὄνομα μεῖζον τοῦτο γίνεται, ὅταν οἱ διαδεξάμενοι τοῦτο, ἄξια τούτου δρῶσιν, ὁποῖόν τι καὶ νῦν γέγονεν. Κἀπίσημος κυρίως ἐπίσημον ἀργύριον, τὸ κεχαραγμένον. καὶ ἄσημον, τὸ μὴ κεχαραγμένον. παράσημον, τὸ παρακεχαραγμένον. ἀπὸ τούτων δὲ καὶ ἐπίσημος, ὁ διάδηλος ἁπλῶς. καὶ ἄσημος, ὁ ἄδηλος καὶ ἀφανής. καὶ παράσημος, ὁ βεβλαμμένος τι μέλος. ἄλλως. Δεινὸς χαρακτὴρ] ἐπιτήδειος χαρακτὴρ, ἤτοι σφραγὶς, καὶ σημεῖον, καὶ ἐπίσημος, ἤγουν διάδηλος ἐν βροτοῖς, τὸ γενέσθαι τινὰ δηλονότι ἀπὸ ἐσθλῶν καὶ εὐγενῶν. καὶ ἐπὶ μεῖζον ἔρχεται, ἤτοι αὐξάνει, καὶ πλέον γίνεται τὸ ὄνομα τῆς εὐγενείας τοῖς ἀξίοις, ἢ ὑπὸ τῶν πραττόντων ἀνάξια τῆς εὐγενείας. 382 Καλῶς μὲν εἶπας θύγατερ] τὸ καλῶς λέγειν, ἐνίοτε μὲν τὸ καλλιεπούντα ῥήματα λέγειν δηλοῖ. ἐνίοτε δὲ τὸ ὀρθῶς καὶ ἀληθῶς λέγειν, ὡς ἐνταῦθα. ὦ θύγατερ καλῶς μὲν εἶπας, ἀλλὰ τῷ καλῷ ἔνεστι καὶ λύπη. εἰ δὲ πρέπει γενέσθαι τι μὲν τῷ Ἀχιλλεῖ, καὶ φυγεῖν ὑμᾶς ὦ Ὀδυσσεῦ μέμψιν, τὴν Πολυξένην μὴ κτείνετε. ἐμὲ δὲ ἄγοντες πρὸς τὸν τάφον τοῦ Ἀχιλλέως, κεντεῖτε, καὶ σφάζετε, μὴ φείδεσθε ἐμοῦ δηλονότι. ἐγὼ γὰρ ἔτικτον τὸν Πάριν, ὃς ὤλεσε τὸν Ἀχιλλέα πλήξας, διὰ τόξου. Πρὸς πυράν] πυρὰ τὸ πῦρ τὸ ἐπὶ νεκρῷ ἁπτόμενον, καὶ ὁ τόπος, ἐν ᾧ τὸ πῦρ ἅπτεται. 389 Οὔ σ' ὦ γεραιὰ] οὐ σὲ ἀποθανεῖν, ὦ γραῖα, ᾐτήσατο τὸ φάντασμα τοῦ Ἀχιλλέως· ἀλλὰ ταύτην ᾐτήσατο. Ὑμεῖς δ' ἀλλὰ] ἀλλὰ κἂν ὑμεῖς σὺν τῇ θυγατρί με ἀποκτείνατε, καὶ διπλῆ πόσις αἵματος ταύτῃ τῇ γῇ γενήσεται, καὶ τῷ αἰτοῦντι Ἀχιλλεῖ. ἄλλως. οὐκ ἔστι τὸ ἀλλὰ ἀντὶ τοῦ κἂν, ὡς οἴονταί τινες. ἀλλὰ οὕτως ἔχει. εἰποῦσα γὰρ Ἑκάβη πρὸς Ὀδυσσέα, τὸ ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως κεντεῖτε. ἐπειδὴ αὐτοῦ ἤκουσεν ὡς οὐκ αὐτὴν, ἀλλὰ τὴν θυγατέρα Ἀχιλλεὺς ᾐτήσατο, εἶπεν· ὑμεῖς δὲ ἐπεὶ οὐ βούλεσθε ἐμὲ μόνην ἀποκτεῖναι, ἀλλὰ σὺν τῇ θυγατρὶ φονεύσατε. 394 Ἅλις σῆς] ἱκανῶς ἔχει ὁ θάνατος τῆς σῆς θυγατρὸς, οὐκ ἄξιον προσενεχθῆναι, καὶ ἕτερον σφαγιάσαι. εἴθε μηδὲ τόνδε ὀφείλομεν πληρῶσαι. Πολλή γ' ἀνάγκη] ἀνάγκη δεῖ συναποθανεῖν με τῇ θυγατρί. Πῶς;] πῶς λέγεις συναποθανεῖν. οὐ γὰρ οἶδα, ὅτι κέκτημαι δεσπότην σε, τοῦτό με ποιῆσαι ἀναγκάζοντα. 398 Ὁποῖα κισσὸς] ὥσπερ ὁ κισσὸς ἔχεται τῆς δρυὸς, οὕτως ἕξομαι αὐτῆς. Οὐκ] οὐχ ἕξῃ, εἰ πείσῃς τοῦτο, τὸ ἕξεσθαι δηλονότι τῆς θυγατρὸς, ἢν πείθῃ τοῖς φρονιμωτέροις σου. Οὐ μεθήσομαι] γίνωσκε, ὅτι οὐκ ἀποστήσομαι τῆς παιδὸς, οὐδ' ἀπολύσω αὐτὴν ἐθελοντής. 401 Ἀλλ' οὐδ'] ἐγὼ ἀπελεύσομαι ὑπολιπὼν τήνδε. Μῆτερ πιθοῦ μοι] ὦ μῆτερ πείσθητί μοι, καὶ σὺ Ὀδυσσεῦ ἐνδίδου τοῖς γεννήτορσιν ὀργιζομένοις ἀρμοδίως, σύ τε ὦ ἀθλία τοῖς ἄρχουσι μὴ πολέμει. θέλεις πεσεῖν πρὸς τὸ ἔδαφος, τραυματίσαι τὸ σὸν γεροντικὸν σῶμα, βιαίως ἀποπιεζομένη, καὶ ἀτιμασθῆναι ὑπὸ νεανικοῦ βραχίονος συρομένη, καὶ συρεῖσα, καὶ σύ γε μὴ πάθῃς ταῦτα. οὐ γὰρ ἄξιον παθεῖν. ἀλλ' ὦ προσφιλὴς μῆτερ, δός μοι τὴν γλυκυτάτην σου χεῖρα, καὶ τὴν παρειὰν προσεγγίσουσα τῇ ἐμῇ παρειᾷ, ὅτι οὐ μετὰ ταῦτα, ἀλλὰ νῦν τελευταῖον θεάσομαι τὸν κύκλον τοῦ ἡλίου. τέλος δὲ δὴ λαμβάνεις τῆς ἐμῆς προσαγορεύσεως καὶ λαλιᾶς. ὦ μῆτερ, ὦ τεκοῦσα, ἀπέρχομαι εἰς τὸν ᾅδην ἀνύμφευτος καὶ ἄμοιρος Ὑμεναίου, οὗ ἔδει τυχεῖν ἐμὲ λαχεῖν δηλονότι. 411 Ὦ θύγατερ, ἐγὼ δὲ δουλεύσω ἐν τῇ παρούσῃ ζωῇ.

ANNOTATIONES.

V. 399. Οὐκ' ἤν γε] Ita cum Cantero lego, rejecto Οὐ μὴν γε, quod prius obtinuerat, sola Scholiastæ authoritate victus. Vide Guil. Canterum Lection. Novar. l. 1. c. 9. p. 50.

Ὡς

Ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν πανύστατον,
Ἀκτῖνα, κύκλον θ' ἡλίου προσόψομαι.
Τέλος δέχου δὴ τῶν ἐμῶν προσφθεγμάτων,
Ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω.

Εκ. Ὦ θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν.
Πο. Ἄνυμφος, ἀνυμέναιος, ὧν μ' ἐχρῆν τυχεῖν.
Εκ. Οἰκτρὰ σὺ τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
Πο. Ἐκεῖ δ' ἐν ᾅδου κείσομαι χωρὶς σέθεν.
Εκ. Οἴμοι τί δράσω; ποῖ τελευτήσω βίον;
Πο. Δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.
Εκ. Ἡμεῖς δὲ, πεντήκοντ' ἄμμοροι δὴ τέκνων.
Πο. Τί σοι πρὸς Ἕκτορ', ἢ γέροντ' εἴπω πόσιν;
Εκ. Ἄγγελλε, πασῶν ἀθλιωτάτην ἐμέ.
Πο. Ὦ στέρνα, μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.
Εκ. Ὦ τῆς ἀώρου θύγατερ ἀθλίας τύχης.
Πο. Χαῖρ' ὦ τεκοῦσα, χαῖρε Κασσάνδρα τ' ἐμοί.
Εκ. Χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστιν χαρά.
Πο. Ὅ, τ' ἐν φιλίπποις Θρᾳξὶ Πολύδωρος κάσις.
Εκ. Εἰ ζῇ γ'. ἀπιστῶ δ'. ὧδε πάντα δυστυχῶ.
Πο. Ζῇ, καὶ θανούσης ὄμμα συγκλείσει τὸ σόν.
Εκ. Τέθνηκ' ἔγωγε, πρὶν θανεῖν, κακῶν ὕπο.
Πο. Κόμιζ' Ὀδυσσεῦ μ' ἀμφιθεὶς πέπλοις κάρα.
Ὡς πρὶν σφαγῆναί γ' ἐκτέτηκα καρδίαν
Θρήνοισι μητρὸς, τήν δ' ἔτ' ἐκτήκω γόοις.
Ὦ φῶς' προσειπεῖν γὰρ σὸν ὄνομ' ἔξεστί μοι.
Μέτεστι δ' οὐδὲν, πλὴν ὅσον χρόνον ξίφους
Βαίνω μεταξὺ, καὶ πυρᾶς Ἀχιλλέως.
Εκ. Οἲ ἐγὼ προλείπω. λύεται δέ μου μέλη.
Ὦ θύγατερ, ἅψαι μητρός. ἔκτεινον χέρα.
Δός. μὴ λίπῃς μ' ἄπαιδ'. ἀπωλόμην φίλαι.
Ὡς τὴν Λάκαιναν σύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι. διὰ καλῶν γὰρ ὀμμάτων
Αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.

Quoniam nunquam iterum, ſed nunc poſtremum
Iubar orbémque ſolis aſpiciam.
Finem accipe jam mearum compellationum.
O mater, ô quæ me peperiſti, abeo ad inferos.
Hec. O filia, nos vero in luce ſerviemus.
Pol. Expers connubii, expers nuptiarum quibus me conveniebat potiri.
Hec. Miſeranda tu filia: infelix verò ego mulier.
Pol. Illic verò apud inferos jacebo abſque te.
Hec. Hei mihi quid faciam? ubi finiam vitam?
Pol. Serva moriar, patre cum ſim libero.
Hec. Nos verò quinquaginta orbæ ſine liberis.
Pol. Quid tibi ad Hectorem aut ſenem dicam maritum?
Hec. Nuntia omnium miſerrimam me.
Pol. O pectora & mamillæ quæ me nutriviſtis ſuaviter.
Hec. O intempeſtivam filiæ miſeram fortunam.
Pol. Vale ô mater, vale & Caſſandra mihi.
Hec. Valent alii: matri verò non eſt valendo.
Pol. Et in equeſtribus Thracibus Polydore frater.
Hec. Si vivit modo, dubito verò: adeo per omnia infeliciter ago.
Pol. Vivit: & morientis oculum claudet tuum.
Hec. Mortua ſum ego certè ante mortem præ miſeriis.
Pol. Aufer me ô Ulyſſes obnubens veſtibus caput,
Nam priuſquam macter, contabefacta ſum in corde
Luctibus matris, hanc inſuper tabefacio fletibus.
O lux: alloqui enim tuum nomen licet mihi.
Sed nulla mihi copia tui eſt, niſi quantum temporis gladium
Incedo inter, & tumulum Achillis.
Hec. Heu mihi, deficio, ſolvuntur mihi membra.
O filia prehende matrem, extende manum,
Da, ne relinquas me orbam liberis: perii ô amicæ.
Utinam Lacedæmoniam ſororem Dioſcurorum
Helenam videam. per pulchros enim oculos
Turpiſſimè Trojam evertit felicem.

[419] Οἴμοι τί δράσω] οἴμοι τί ποιήσω, εἰς ποίαν τύχην καταλήξω, ποῖον τέλος ἕξω τοῦ βίου, πῶς πληρώσω τὸν βίον. Δούλη θανοῦμαι] ὤσα πατρὸς ἐλευθέρου, ἤτοι βασιλέως. ἐλεύθερος κατὰ ψυχὴν, καὶ ἐλεύθερος κατὰ σῶμα, ὁ καλῶς ἀνατραφεὶς, ἤτοι εὐτυχῶς, καὶ ἐλευθερίως. ὁμοίως καὶ δοῦλος. καὶ ἐπὶ μὲν τοῦ σώματος, ὁ ἐωνημένος, ἐπὶ δὲ ψυχῆς, ὁ κόλαξ. ἀπελεύθερος δὲ, ὁ ἀργυρώνητος μὲν πρότερον, εἶτα ἐλευθερωθείς. ὁ δὲ ἐλευθερώσας αὐτὸν πάτρων, καὶ κλίνεται πάτρωνος. [421] Ἡμεῖς δὲ] ἡμεῖς δὲ ἄμοιροι καὶ ἐστερημένοι πεντήκοντα τέκνων. δεκαεννέα ἐγέννησεν αὐτή. αὔξουσα δὲ τὸ πάθος ν λέγει, ἢ ὅτι συμπεριλαμβάνει καὶ τοὺς νόθους τοῦ Πριάμου παῖδας τοῖς παισὶν ἑαυτῆς, διὰ τὴν διάθεσιν τοῦ ἀνδρός. Τί σοι πρὸς Ἕκτορα] τί βούλει ἵνα εἴπω ἕνεκα σοῦ πρὸς τὸν Ἕκτορα. ἢ πρὸς τὸν γέροντα Πρίαμον τὸν σὸν ἄνδρα. μόνην πασῶν γυναικῶν ἀθλιωτάτην. [424] Ὦ στέρνα] περιπλεκομένη τὴν μητέρα, ταῦτά φησιν, ὦ τῆς πρὶν τοῦ προσήκοντος καιροῦ ἀθλίας τύχης. Χαῖρ' ὦ τεκοῦσα, χαῖρε Κασσάνδρα τ' ἐμοί] τὸ ἐμοὶ, οὐ πρὸς τὸ Κασσάνδρα ἐστίν. οὐ γὰρ ἦν οὕτω, διὰ τὸ ἢ ὤφειλε γεγράφθαι. ἀλλὰ πρὸς τὸ χαῖρε. συναπτέον δὲ καὶ πρὸς ἀμφότερα, χαῖρέ μοι ὦ τεκοῦσα. καὶ χαῖρέ μοι ὦ Κασσάνδρα. Χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστι] τὸ χαίρειν δηλονότι. χαίρει

γὰρ ἐμὸς ἀδελφὸς Πολύδωρος, ὁ ὑπάρχων ἐν τοῖς ἱππικοῖς Θρᾳξίν. [429] Εἰ ζῇ γε] χαρήσεται δηλονότι. ἀπιστῶ δὲ, ὅτι οὕτω κατὰ πάντα δυστυχῶ. Κόμιζ' Ὀδυσσεῦ] περικαλύψας τὴν κεφαλὴν ἱματίῳ, ὅτι πρὸ τοῦ σφαγῆναι ἐκτέτηκα τὴν καρδίαν. Κάρα] κοινῶς μὲν ἡ κεφαλὴ λέγεται, τοῦ κρατός. ἡ δὲ τραγῳδία καὶ τὸ κρᾶτα λέγει οὐδετέρως, ὡς τὸ κάρα. ἡ δὲ κάρα [illegible] νεωτέρων ἐστίν. Ἐκτέτηκα] κυρίως τὸ τήκεσθαι ἐπὶ χάλκου λέγεται, καὶ κηροῦ, καὶ τῶν κατ' ὀλίγον ἀναλισκομένων. καὶ ἀπὸ τούτου ἐπὶ τῶν καταπιπτόντων ὑπὸ λύπης, καὶ διαρρεομένων. Ὦ φῶς] προσειπεῖν γὰρ τὸ σὸν ὄνομα ἔξεστί μοι, ἤγουν ὁ καιρὸς ἐνδίδωσί μοι προσφωνῆσαι καὶ καλέσαι τὸ σὸν ὄνομα. Μέτεστι δ' οὐδὲν] μετουσία δὲ ἔστι μοι σοῦ οὐδὲν πλέον, ἢ καθ' ὅσον χρόνον ἵσταμαι μεταξὺ τοῦ ξίφους, καὶ τοῦ τάφου τοῦ Ἀχιλλέως. Οἲ ἐγὼ προλείπω] φεῦ ἐγὼ ἐκλείπω τὰ δὲ μέλη μου λύεται, πρὸ τοῦ ἀποθανεῖν λείπω τὴν ζωήν, αἱ δ' ἁρμονίαι λύονται τῶν μελῶν μου. ὦ θύγατερ πρόσψαυσαι τῆς σῆς μητρὸς, δὸς τὴν χεῖρα, μή με ἄτεκνον καταλείψῃς. ἀπωλόμην ὦ φίλαι γυναῖκες, οὕτω τὴν ἐκ τῆς Λακεδαιμονίας Ἑλένην θεασαίμην, τὴν ἀδελφὴν τοῦ Κάστορος καὶ Πολυδεύκους. διὰ γὰρ τῆς ὡραιότητος καὶ τοῦ προσώπου αὐτῆς κάλλους αἴσχιστα καθεῖλε καὶ κατέστρεψε τὴν πρὶν εὐδαίμονα Τροίαν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Αὔρα ποντιὰς αὔρα.
2 Ἅτε ποντοπόρους κομίζεις
3 Θοὰς ἀκάτους ἐπ' οἶδμα λίμνας·
4 Ποῖ με τὰν μελέαν πορεύσεις;
5 (Τῷ δουλόσυνος πρὸς οἶκον
6 Κτηθεῖσ' ἀφίξομαι;)
7 Ἢ Δωρίδος ὅρμον αἴας,

Strophe I.

Cho. 1 O aura, marina aura.
2 Quæ pontigradas portas
3 Celeres naves per fluctus paludis;
4 Quonam me miseram vehes?
5 (Cui ſerva, ad domum
6 Poſſeſſa veniam?)
7 An Doricæ in littus terræ?

Ποντιὰς αὔρα] αὔρα ἡ ὀξὺ ὑγρὸν ἐκπεφυσημένη, διὰ τοῦ υ. ἄβρα δὲ ἡ δούλη, διὰ τοῦ β. τὸ αὔρα εἰ καὶ ὁ καινὸν βραχύνει, ἀλλ' οὗτος μακρὸν τοῦτο ἦγαγε. ὡς καὶ τὸ φαῖδρα ἐν ἑτέροις. καὶ Ἀριστοφάνης, αὔρα τις ὀξύπνους μυσικωτάτη.

8 Ἡ

8 Ἢ Φθιάδος, ἔνθα τὸν καλλίστων
9 Ὑδάτων πατέρα
10 Φασὶν Ἀπιδανὸν
11 Πεδία λιπαίνειν;

Ἀντιστροφὴ α.

1 Ἢ νάσων, ἁλιήρει
2 Κώπᾳ πεμπομέναν τάλαιναν,
3 Οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
4 Ἔνθα πρωτόγονός τε φοῖνιξ,
5 Δάφνα θ' ἱεροὺς ἀνέσχε
6 Πτόρθους Λατοῖ φίλᾳ,
7 Ὠδῖνος ἄγαλμα δίας,
8 Σὺν Δηλιάσι τε κούραισιν,
9 Ἀρτέμιδός τε θεᾶς
10 Χρυσέαν ἄμπυκα,
11 Τόξα τ' εὐλογήσω;

Στροφὴ β.

1 Ἢ Παλλάδος ἐν πόλει,
2 Τᾶς καλλιδίφρου Ἀθα-
3 ναίας, ἐν κροκέῳ πέπλῳ
4 Ζεύξομαι ἅρματι πώλους,
5 Ἐν δαιδαλέαισι ποικίλ-
6 λουσ' ἀνθοκρόκοισι πήναις;
7 Ἢ Τιτάνων γενεάν,
8 Τὰν Ζεὺς ἀμφιπύρῳ κοιμίζει
9 Φλογμῷ Κρονίδας;

Ἀντιστροφὴ β.

1 Ὤι μοι τεκέων ἐμῶν.
2 Ὤι μοι πατέρων, χθονός
3 θ', ἃ καπνῷ κατερείπεται
4 Τυφομένα, δορίκτητος
5 Ὑπ' Ἀργείων. ἐγὼ δ' ἐν
6 Ξείνᾳ χθονὶ δὴ κέκλημαι
7 Δούλα, λιποῦσ' Ἀσίαν·
8 Εὐρώπας θεράπναν,
9 Ἀλλάξασ' Ἅιδα θαλάμους.

8 An Phthiadis, ubi pulcherrimarum
9 Aquarum patrem
10 Dicunt Apidanum
11 Campos pinguefacere?

Antiſtrophe I.

1 An in Inſulam maritimo
2 Remo tranſmiſſam infelicem,
3 Miſerandam vitam habentem in domo:
4 Ubi primitiva Palma
5 Lauruſque ſacros porrexit
6 Ramos Latonae charae
7 Partûs decorationem divini?
8 Cum Delienſibúſque puellis
9 Dianaeque deae
10 Auream vittam,
11 Arcuſque celebrabo cantu?

Strophe II.

1 Aut Palladis in urbe
2 Pulchrum-currum-habentis Miner-
3 vae, in croceâ veſte,
4 Pingendo jungam currui equos,
5 In artificioſis variegans
6 Croceo-floris decoris tapetibus?
7 Aut Titanum ſobolem, (*i. e.* pingam Gigantomachiam)
8 Quam Jupiter candente abſtulit
9 Flammâ Saturnius?

Antiſtrophe II.

1 Heu mihi ob liberos meos.
2 Heu mihi ob parentes terram-
3 que *patriam*, quae fumo conſumpta
4 Incenſa, bello capta
5 A Graecis. Ego verò in
6 Peregrinâ terrâ jam vocabor
7 Serva, relinquens Aſiam
8 Europae famulam,
9 Mutans cum inferis thalamos.

λέγων. ἔστι δὲ, γράφεται διὰ τὸ μέτρον ἄτε. τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται. περιόδους δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶν, ὅσα διαλλάττει ὁ ποιητὴς ἀνταποδίδοντι καὶ ἀνακυκλήσει. εἰσὶ δὲ τὰ παρόντα δύο στροφαί. τῆς μὲν οὖν προτέρας στροφῆς τὰ κῶλα ια', καὶ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' ἀντισπαστικὸν, δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς στερεοειδὲς, ἐξ ἐπιτρίτου α' καὶ βακχείου. τὸ β' ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δ' διιάμβου, καὶ συλλαβῆς ἀδιαφόρου. τὸ γ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος τροχαϊκῆς συζυγίας, ἤτοι διτροχαίου, καὶ ἰωνικοῦ ἡμίσεος, ἐν μόνῳ τοι τῷ τῆς στροφῆς κώλῳ πάλιν ἐστὶ β' ἐπ' ἀρτὶ ἰωνικῶ. τὸ δ' δίμετρον ὑπερκατάληκτον. καλεῖται δὲ αἰολικὸν, διὰ τὸ συγκεῖσθαι ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας. ἔστι δὲ τῶν ἀσυναρτήτων. τὸ ε' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαϊκῆς συζυγίας, ἤτοι διτροχαίου. τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ' ἰωνικὸν ὅμοιον τῷ ε'. τὸ η', ὅμοιον δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β', καὶ συλλαβῆς μιᾶς. τὸ θ' χοριαμβικὸν δίμετρον, καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ἐκ χοριάμβου καὶ ἀναπαίστου, ἤτοι τετραβράχου διὰ τὴν ἀδιαφορίαν. τὸ ι' χοριαμβικὸν ὅμοιον, ἡμιόλιον, ἐκ χοριάμβου, ἤγουν ἐπιτρίτου β', καὶ τροχαίου διὰ τὴν ἀδιαφορίαν. τὸ ια' τροχαϊκὸν, ἰθυφαλλικὸν, ἐπὶ τῷ τέλει τῆς στροφῆς, καὶ τῆς ἀντιστροφῆς παράγραφος μόνη. Τοῦ Ὀδυσσέως λαβόντος τὴν Πολυξένην, καὶ ἀπερχομένου, ἀνακλαίεται αὐτὴν ὁ χορὸς διὰ τὸ ἄδηλον, καὶ τὸ μὴ εἰδέναι τί μέλλει παθεῖν αὐτή. ὁ δὲ χορὸς ἐστὶν ἐκ Τρῳάδων γυναικῶν, καί φησι πρὸς τὸν τῆς θαλάσσης ἄνεμον. ἀπὸ κοινοῦ δὲ, δηλοῖ ποίους τὰς γυναῖκας ὁ ποιητής. φησὶ δὲ ταῦτα ὁ χορός. Ὦ αὔρα αὔρα ἡ ποντία θαλασσία, ἥτις τὰς ταχείας ναῦς, τὰς ἐν τῇ θαλάσσῃ τὴν πορείαν ποιουμένας, φέρεις ἐπὶ τὸ κῦμα τῆς θαλάσσης, ποῦ με τὴν ἀθλίαν ἄξεις, ἤτοι πορθμεύσαι ποιήσεις. 447 Πορεύσεις] πορεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον, ὡς ἐνταῦθα, καὶ παρὰ Πλάτωνι, ὃ δὴ πορεύεται τοὺς ἐνθένδε ἐκεῖσε πορεύσων. Τὸ δουλόσυνος πρὸς τίνος οἶκον δούλη κτηθεῖσα ἀφίξομαι, ἢ πορεύσεις με ἀπὸ κοινοῦ πρὸς τὸν ὅρμον τῆς Δωρίδος, ἢ εἰς τὸν ὅρμον τῆς Θετταλικῆς γῆς, ἤγουν εἰς τὰ Φάρσαλα, οὐ πρὸς τὸ ἀφίξομαι τὸ ἢ Δωρίδος ἐστὶν, ἀλλὰ πρὸς τὸ πορεύσεις. εἰ γὰρ καὶ ἐνταῦθα τὸ ἀφίξομαι νοεῖται, ἀλλὰ μετ' ὀλίγον ἐλέγχεται, ὅταν λέγῃ τὸ ἢ νήσων ἁλιήρει κώπᾳ πεμπομέναν. 455 Ἁλιήρει κώπᾳ] ἢ πορεύσεις με τὴν τάλαιναν πεμπομένην ἁλιήρει κώπῃ, ἐλεεινὴν ζωὴν ἔχουσαν ἐν οἴκοις, εἰς τὴν νῆσον, ἔνθα καὶ ὁ πρωτόγονος φοῖνιξ ἱεροὺς ἀνέβλαστε κλάδους χάριν τῆς Λητοῦς τῆς φίλης, εἰς τιμὴν τῆς ὠδῖνος τῆς δίας. τουτέστιν εἰς τὴν Δῆλον. τὸ φοῖνιξ καὶ τὸ κῆρυξ, μακρὰν ἔχει φύσει τὴν λήγουσαν, καὶ δῆλον ἀπὸ τῆς γενικῆς μακρὰν ἐχούσης τὴν παραλήγουσαν. 456 Τάλαιναν] ἔδει γὰρ πρὸς τὸ ἀφίξομαι ἰὼν, ὀφείλει εἰπεῖν πεμπομένη τάλαινα. νῦν δὲ ἐκ τούτου φαίνεται, ὅτι πρὸς τὸ πορεύσεις ἐστὶ τὸ ἢ Δωρίδος. τὸ δὲ, τοῦ δουλόσυνος πρὸς οἶκον κτηθεῖσ' ἀφίξομαι, διὰ μέσου. τὸ ἢ δὲ τὸ περὶ τῆς Δωρίδος, ἢ ἀντὶ τοῦ ἄρα, ἢ διαζευκτικόν. 458 Ἔνθα πρωτόγονος] φασὶ τὸν Δία πρὸς συνουσίαν ἐλθεῖν τῇ Λητοῖ. μαθοῦσαν δὲ τὴν Ἥραν τοῦτο, ζηλοτυπήσασαν κελεῦσαι μὴ ἐν τῇ γῇ γεννῆσαι δυνηθῆναι τὴν Λητώ. βιαζομένης δὲ αὐτῆς πρὸς τὴν ἀποκύησιν, συνέταξεν ὁ Ζεὺς Ἑρμῇ λαβόντα ἀπάξαι εἰς

ANNOTATIONES.

V. 458 Ἔνθα πρωτόγονός τε φοῖνιξ] De hâc fabulâ praeter *Scholiaſten* vid. *Homeri* Hymnos in *Apollinem* & *Dianam*; item *Callimachi* Hymnum in *Dianam*, & Theognidis in Principio. *Plin.* l. 16, ſcribit, ſuo tempore in *Delo* Palmam antiquiſſimam ab *Apollinis* aetate conſpectam eſſe: ſed de hujus verbi φοῖνιξ accentu, *Scholiaſtes* vult acutum eſſe debere in penultimâ, eo quod ultima probetur eſſe longa per longum augmentum in Genitivo: Quae ratio exigit φοίνιξ & κήρυξ de finali acui & non circumflecti, ut vulgo ſolent. V. 469. Ζεύξομαι ἅρματι πώλους, &c.] De hâc re vide Scholiaſten.

Δῆλον

Δῆλον. ἡ δὲ Δῆλος ἦν νῆσος, ὥς τινές φασιν, ἀναδοθεῖσα ἀπὸ θαλάσσης. ὡς δὲ ἄλλοι, κινουμένη πρότερον, τότε στηριχθεῖσα, καὶ δήλη γενομένη. εἰς ἣν Δῆλον ἡ Λητὼ ἀφικομένη, ἔτεκεν Ἀπόλλωνα καὶ Ἄρτεμιν, δύο φυτῶν ὑπὸ Διὸς τότε ἀναφυέντων, φοίνικος καὶ δάφνης. ἐτιμᾶτο οὖν ἐν τῇ νήσῳ Ἀπόλλων καὶ Ἄρτεμις, ὡς ἐκεῖ γεννηθέντες. ἱερὸς δὲ τοῦ πρόρθης φησὶν ὡς ἀναδοθέντας τότε Ἀπόλλωνος καὶ Ἀρτέμιδος χάριν, πρωτόγονον δὲ εἶπεν αὐτόν, ὡς πρότερον γεννηθέντα τῆς Δάφνης, καὶ ἡ Δάφνη κλάδους ἀνέφυσε, μελλούσης τεκεῖν τῆς Λητοῦς τὸν Ἀπόλλωνα. 458 Ἔνθα] ὅπου τὸν Ἀπιδανὸν τὸν γεννήτορα τῶν καλλίστων ὑδάτων λέγουσιν ἀρδεύειν τὰ πεδία. ἢ προδίδωσί με τὴν τάλαιναν πεμπομένην θαλασσίᾳ κώπῃ ἐλεεινὴν ζωὴν ἔχουσαν ἐν τοῖς οἴκοις τῶν δεσποτῶν, εἰς τὴν νῆσον τὴν Δῆλον, ὅπου πρωτοφανὴς φοῖνιξ, καὶ δάφνη πρωτόγονος ἱεροὺς ἀνεβλάστησαν κλάδους, χάριν τῆς Λητοῦς τῆς φίλης εἰς τιμὴν τὴν ὠδῖνος τῆς δίας ἢ τῆς ἀπὸ τοῦ Διός, ἢ τῆς θαυμαστῆς. Χρυσέαν ἄμπυκα] σὺν ταῖς ἀπὸ Δήλου νέαις τὸ χρυσοῦν κρήδεμνον καὶ τὰ τόξα ὑμνήσω τῆς Ἀρτέμιδος. Ἄμπυξ] κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν. ἀφ᾽ οὗ κατὰ μεταφορὰν, καὶ οἱ διάχρυσοι χαλινοί, ἄμπυκας λέγονται. Ἢ Παλλάδος] τῆς β ταύτης στροφῆς τὰ κῶλα θ. καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α ἰωνικὸν δίμετρον καταληκτικόν, ἑφθημιμερές. ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ β, ὅμοιον κατὰ πάντα. τὸ γ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, γλυκώνειον καλούμενον ἐξ ἐπιτρίτου δ καὶ ἰαμβικῆς συζυγίας, ἤτοι διϊάμβου. τὸ δ δίμετρον ἀκατάληκτον, πεντασυλλαβικὸν καλούμενον, ἀσυνάρτητον, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος. τὸ ε ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ διασπονδείου. τὸ ς χοριαμβικόν, δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ βακχείου. τὸ ζ ὅμοιον ἐξ ἐπιτρίτου γ, ἢ διασπονδείου καὶ ἀναπαίστου. δύναται δὲ εἶναι καὶ ἀντισπαστικόν. τὸ η ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ. εἰ δὲ βούλει σπονδείου, καὶ χοριάμβου. ἔχει δὲ τὸ τῆς ἀντιστροφῆς κῶλον, τὸν πρῶτον πόδα πεντασύλλαβον. ἐπὶ μὲν τῷ τέλει τῆς στροφῆς κορωνίς, δηλοῦσα τέλος εἶναι τὰς τοῦ χοροῦ ᾠδὰς καὶ στροφάς. Ἢ Παλλάδος ἐν πόλει] ἢ προδίδωσί με ἐν ταῖς Ἀθήναις, ὅπως ἐμβεβαμμένη ἀπὸ κρόκου ὑφάσματι τοῦ πέπλου τῆς καλλιδίφρου ἐχούσης Ἀθηνᾶς ἐξωγραφημένους ποιήσω διαφόρως ποικίλλουσα, καὶ καλλωπίζουσα ἐν ποικίλαις * μετάξαις ἀνθηραῖς. 462 Ζεύξομαι ἅρματι] ἔθος ἦν ἐν Ἀθήναις ὑφαίνειν τὰς ἀριστείας τῆς Θεοῦ πολεμικῆς οὔσης, καὶ ἃ κατὰ Γιγάντων κατειργάσατο μετὰ τοῦ Διός. ὕφαινον δὲ ἐν τοῖς παναθηναίοις. τὰ δὲ παναθήναια, ἑορτὴ τῆς Ἀθηνᾶς, πάντων Ἀθηναίων συνιόντων ἐκεῖσε, καὶ τῶν ἄλλων Ἑλλήνων πολλὰς ἡμέρας πανηγυριζόντων. ἀνετίθετο δὲ ὁ πέπλος τῇ Ἀθηνᾷ, εἰκότως δὲ εἶπε τὸ ζεύξομαι πρὸς τοὺς πώλους. (ζεύγνυνται γὰρ οἱ πῶλοι, εἴτε πρεσβεῦον εἰς τὸ ἢ Τιτάνων γενεάν, οὐ ζεύξομαι εἶπεν, ἀλλὰ ὑφανῶ· καὶ γὰρ κἀνταῦθα ὑφανῶ ἔδει εἰπεῖν, ἀλλ᾽ ἐτήρησε τὴν τροπήν. ὡς ἔφαμεν, πρὸς τοὺς πώλους. Τὰν Ζεὺς] ἣν τινα γενεὰν τῶν Τιτάνων θανατοῖ, ἤγουν ἐθανάτωσεν ὁ υἱὸς τοῦ Κρόνου κεραυνῷ καπνίσῳ. Ὦ μοι τεκέων] φεῦ ἕνεκα τῶν ἐμῶν τέκνων, φεῦ ἕνεκα τοῦ Πριάμου. πατέρα γὰρ τοῦτον τῶν τέκνων αὐτῆς καλεῖ. Χθονός τε] ἤγουν τῆς πατρίδος, ἣ καταβέβληται, καὶ ἀφανίζεται καιομένη, αἰχμάλωτος ὑπὸ τῶν Ἑλλήνων. Ἐγὼ δ᾽ ἐν ξείνᾳ γᾷ] κέκλημαι ἀντὶ τοῦ κεκλήσομαι δούλη, κατὰ ἀντιχρονισμόν, ἢ ἀντὶ τοῦ ἐκλήθην. ἀφ᾽ οὗ γὰρ τῆς πατρίδος ἐξελήλαται προδοθείσης, ἀπὸ τούτου τοῦ καιροῦ εἰς δουλείαν ἐπάχθη. τὸ δ᾽ ἐν ξείνῃ χθονί, ἢ οὗ ἔμελλεν ὡς ἔφαμεν ἀπελθεῖν νοητέον, ἢ διὰ τὴν Χερρόνησον, ἐν ᾗ πρὸς τὸ παρὸν εὑρίσκεται, καταλιποῦσα τὴν Ἀσίαν, ἤγουν τὸν τόπον τῆς Τροίας, τὴν δούλην τῆς Ἑλλάδος. τὸ ὅλον ἀντὶ μέρους. Λιποῦσ᾽ Ἀσίαν] ἐπειδὴ ἡ μὲν Τροία ἐν Ἀσίᾳ ἐστίν, οἱ δὲ ταύτην πορθήσαντες Ἕλληνες ἐν Εὐρώπῃ, διὰ τοῦτο τὴν Ἀσίαν δούλην τῆς Εὐρώπης λελοιπέναι φησί. τὸ δὲ θαλάμους, ἀντὶ τοῦ τὰς ἐμὰς εὐνάς, τουτέστι παλλακὶς ἐγεγόνειν. καὶ διὰ τοῦτο γάρ ἐστι τὸ ἀλλάξασα Ἅιδα θαλάμους, ἀντὶ τοῦ δοῦσα τὸ ἐμὸν λέχος τῷ σκυλεύσαντι, καὶ βιασθέντι συνεῦσαί με. Ἀλλάξασ᾽ Ἅιδα,] ἀντιστρόφως λέγεται, ἀντὶ τοῦ ἀλλαξαμένη Ἅιδην τῶν θαλάμων, τουτέστι τῶν οἴκων Ἅιδην κληρωσαμένη, ὅμοιον τῷ ὠνοῦμαι δραχμῆς ἢ τοιούτου τινὸς τόδε, ἤγουν διὰ δραχμῆς ὠνοῦμαι τόδε. καὶ τὸ ἀντίδος γὰρ ἐναλλάττειν ἐστίν. ἐν τοῖς τοιούτοις γὰρ τὸ μὲν κατὰ γενικὴν προσφερόμενον, ἀεὶ ἐστὶ τὸ διδόμενον. τὸ δὲ κατὰ αἰτιατικήν, τὸ λαμβανόμενον.

* μέταξα, i. e. ſericum.

ARGUMENTUM Actûs Tertii.

HIC *Poeta* Talthybium Agamemnonis *Præconem introducit Hiſtoriam de* Polyxenæ *immolatione narrantem, in quâ Generoſus illius animus & Virginalis Verecundia inprimis commendantur. Miro autem artificio per totam narrationem affectus ſparguntur. Hunc excipit* Hecubæ *luctus & querela de amiſſâ Filiâ, Marito, Regno, Patriâ: Chorus ex more hunc quoque Actum claudit.*

ΤΑΛΘΥΒΙΟΣ, ΧΟΡΟΣ, ΕΚΑΒΗ.

Ἴαμβοι.

Ταλ. ΠΟΥ τὴν ἄνασσαν δή ποτ᾽ οὖσαν Ἰλίου
Ἑκάβην ἂν ἐξεύροιμι, Τρῳάδες κόραι;
Χο. Αὕτη πέλας σου νῶτ᾽ ἔχουσ᾽ ἐπὶ χθονί,
Ταλθύβιε κεῖται, συγκεκλεισμένη πέπλοις.
Ταλ. Ὦ Ζεῦ, τί λέξω; πότερά σ᾽ ἀνθρώπους ὁρᾶν;
" Ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην
" Ψευδῆ, δοκοῦντας δαιμόνων εἶναι γένος,
" Τύχην δὲ πάντα τἀν βροτοῖς ἐπισκοπεῖν;
Οὐχ ἥδ᾽ ἄνασσα τῶν πολυχρύσων Φρυγῶν;
Οὐχ ἥδε Πριάμου τοῦ μέγ᾽ ὀλβίου δάμαρ;
Καὶ νῦν πόλις μὲν πᾶσ᾽ ἀνέστηκεν δορί,
Αὐτὴ δὲ, δούλη, γραῦς, ἄπαις, ἐπὶ χθονὶ
Κεῖται, κόνει φύρουσα δύστηνον κάρα.
" Φεῦ, φεῦ, γέρων μέν εἰμ᾽, ὅμως δέ μοι θανεῖν
" Εἴη, πρὶν αἰσχρᾷ περιπεσεῖν τύχῃ τινί.

Tal. Ubi reginam olim exiſtentem Ilii
Hecubam inveniam, ô Trojanæ puellæ?
Cho. Illa prope te tergum habens in terrâ,
ô Talthybie, jacet involuta veſtibus.
Tal. O Jupiter quid dicam? Utrum te homines reſpicere?
" An illos opinionem temerè hanc habere fruſtrà
" Falſam, exiſtimantes eſſe deorum genus,
" Fortunam verò omnia mortalia gubernare?
Annon hæc fuit regina abundantium-auro Phrygum?
Annon hæc Priami eximiè beati uxor?
Et nunc urbs quidem univerſa everſa eſt haſtâ:
Ipſa verò ſerva, anus, orba liberis, in terrâ
Jacet, Pulvere fœdans calamitoſum caput.
" Ah, ah, ſenex quidem ſum, attamen mihi mori
" Contingat potiùs quàm in turpem inaidam caſum aliquem:

Ποῦ τὴν ἄνασσαν] αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ῥυθμῶν, ὧν ὁ τελευταῖος, ὅτῳ κατ᾽ ἦχον τυγχάνει μηδὲν καινόν, ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. Ποῦ τὴν ἄνασσαν] ὦ Τρωϊκαὶ γυναῖκες, ποῦ ἂν εὕροιμι τὴν Ἑκάβην, τὴν ἤδη ὑπάρχουσαν βασίλισσαν τῆς Τροίας. Αὕτη πέλας σου, ὦ Ταλθύβιε, ἐρριμμένη κατὰ γῆς κεῖται, συγκεκαλυμμένη τοῖς ἱματίοις. Ὦ Ζεῦ τί λέξω] ὁρῶν ὁ Ταλθύβιος τὴν Ἑκάβην ἀθλίως οὕτως διακειμένην, ἐκπληττόμενος λέγει πρὸς τὸν Δία· πότερον, ὦ Ζεῦ, σὺ τοὺς ἀνθρώπους ἐφορᾷς, ἢ δοκοῦντες οἱ ἄνθρωποι εἶναι θεούς, ἔχουσι τὴν περὶ τούτου δόξαν ψευδῆ. τὸ δὲ τῆς τύχης διοικεῖ τὰ ἀνθρώπινα; οὕτω τὸ ψευδῆ πρὸς τὸ δόξαν συντακτέον, οὐ πρὸς δοκοῦντας, καθὼς οἴονταί τινες ἀγροικοῦντες, καὶ ἀντὶ τοῦ ψευδῶς τὸ ψευδῆ ἐκλαβόντες. τὸ ψευδῆ δὲ ἑρμηνευτικόν ἐστι τοῦ μάτην, καὶ τοῦ ἄλλως. 492 Οὐχ ἥδ᾽ ἄνασσα] ἤδη οὐκ ἦν δέσποινα τῶν πλουσίων Τρώων; ἤδη οὐκ ἦν γυνὴ Πριάμου τοῦ λίαν πλουσίου; καὶ νῦν ἡ μὲν πόλις ἀνάστατος γέγονεν ὑπὸ τοῦ πολέμου. αὕτη δὲ ἡ γραῦς Ἑκάβη δεδουλωμένη, καὶ παίδων ἐστερημένη κεῖται ἐν τῇ γῇ, μολύνουσα τὴν ἀθλίαν κεφαλὴν διὰ τῆς κόνεως. Φεῦ φεῦ, γέρων μὲν εἰμί] καὶ διὰ τοῦτο οὐ δέδοικα τὸ δυστυχεῖν, ὡς εἰ καὶ συμβήσονταί μοι δυστυχία ταχέως παρελθεῖν, διὰ τὸ ὀλίγον ἔτι εἶναι τὸ λοιπὸν τῆς ζωῆς, ὅμως δ᾽ εὔχομαι θανεῖν πρὸ τῆς δυστυχίας. ἢ τὸ γέρων μὲν εἰμί, διὰ τὸ τοῖς γέρουσι σπουδαιότερον εἶναι τὸ ζῆν. ἐπειδὴ ἐρῶσιν ὡς ἐγγὺς εἰσὶ τοῦ θανάτου.

'Ανίστασ' ὦ δύστηνε, καὶ μετάρσιον
Πλευρὰν ἔπαιρε, καὶ τὸ πάλλευκον κάρα.
Εκ. Ἔα. τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷ
Κεῖσθαι; τί κινεῖς μ', ὅστις εἶ, λυπουμένην;
Ταλ. Ταλθύβιος ἥκω, Δαναϊδῶν ὑπηρέτης,
Ἀγαμέμνονος πέμψαντος, ὦ γύναι, μέτα.
Εκ. Ὦ φίλτατ', ἆρα κἄμ' ἐπισφάξαι τάφῳ
Δοκοῦν Ἀχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις.
Σπεύδωμεν, ἐγκονῶμεν· ἡγοῦ μοι, γέρον.
Ταλ. Σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς, γύναι,
Ἥκω μεταστείχων σε. πέμπουσιν δέ με
Δισσοί τ' Ἀτρεῖδαι, καὶ λεὼς Ἀχαϊκός.
Εκ. Οἴ μοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένους
Μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
Ὄλωλας, ὦ παῖ, μητρὸς ἁρπασθεῖσ' ἄπο.
Ἡμεῖς δ' ἄτεκνοι τοὐπὶ σ', ὦ τάλαιν' ἐγώ.
Πῶς καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι,
Ἢ πρὸς τὸ δεινὸν ἤλθεθ', ὡς ἐχθράν, γέρον,
Κτείνοντες; εἰπέ, καίπερ οὐ λέξων φίλα.
Ταλ. Διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, γύναι,
Σῆς παιδὸς οἴκτῳ. νῦν τε γὰρ λέγων κακὰ
Τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ' ὅτ' ὤλλυτο.
Παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ
Πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς.
Λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς
Ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ.
Λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
Σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
Ἕσποντο. πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
Πάγχρυσον, αἴρει χειρὶ παῖς Ἀχιλλέως
Χοὰς θανόντι πατρί. σημαίνει δέ μοι
Σιγὴν Ἀχαιῶν παντὶ κηρῦξαι στρατῷ.
Κἀγὼ παραστάς, εἶπον ἐν μέσοις τάδε.

Surge, ô infelix, & sublime
Latus eleva, & prorſus canum caput.
Hec. Age. Quis hic corpus meum non ſinit
Jacere? Quid moves me, quiſquis es, afflictam?
Tal. Talthybius venio Danaidarum miniſter,
Agamemnone accerſente te ô mulier.
Hec. O chariſſime, numnam & me inſuper mactare ad tumulum
Juxta decretum Græcorum veniſti? quàm chara diceres!
Properemus, feſtinemus: duc me, ô ſenex.
Tal. Tuam filiam mortuam ut ſepelias, ô mulier,
Venio vocans te. Mittunt verò me
Gemini Atridæ, & populus Achaicus.
Hec. Heu mihi! quid dicis? non ergo quaſi morituros
Veniſti ad nos, ſed ſignificaturus mala?
Periiſti, ô filia, à matre abrepta:
Nos vero orbæ liberis, quatenus ad te ſpectat, ô miſera ego.
Quomodo vero ipſam confeciſtis? numnam reverentes?
An ad ſævitiam proceſſiſtis, ut hoſtem, O ſenex,
Interficientes? dic, quamvis non dicturus jucunda.
Tal. Duplices me poſtulas lacrymas conſequi, O mulier,
Filiæ tuæ miſeratione: nunc quidem nuntians mala
Rigabo hunc oculum, & ad ſepulchrum, quum periit, *rigabam.*
Aderat quidem tota turba Achaici exercitûs
Frequens ante tumulum tuæ filiæ ad mactationem.
Prehendens verò Achillis filius Polyxenam manu
Statuit in ſummo tumulo: propè verò ego.
Lectique Achæorum præcipui juvenes
Saltum vitulæ tuæ cohibituri manibus
Sequebantur. plenum verò in manibus accipiens poculum
Totum aureum, fundebat manu filius Achillis
Libationes mortuo patri. Significat verò mihi
Silentium Græcorum univerſo ut denuntiarem exercitui.
Et ego aſtans dixi in medio hæc:

'Ανίστασ' ὦ] ἐγέρθητι ὦ ἀθλία, καὶ μετέωρον τὴν πλευρὰν ἔγειρε, καὶ τὴν ἄγαν λευκὴν κεφαλήν. Ἔα] τὸ ἔα ἢ ἀντὶ τοῦ ἄφες, ἢ ἐπὶ ἐκπλήξεως λάμβανε, τίς ἐστιν οὗτος, ὅστις οὐκ ἀφίησι τὸ ἐμὸν σῶμα κεῖσθαι, τί με ὀχλεῖς καὶ παρενοχλεῖς, ὅστις ὑπάρχεις, λυπουμένην; Ταλθύβιος ὁ τῶν Ἀχαιῶν κῆρυξ ἥκω, μετακαλεσάμενός σε, ὦ γύναι, τοῦ Ἀγαμέμνονος. Ὦ φίλτατε, ἆρα καὶ ἐμὲ ἦλθες μετακαλέσων, ὥστε ἐπισφάξαι πρὸ τάφου κατὰ τὸ δοκοῦν τοῖς Ἕλλησι, λίαν προσφιλὲς λέξεις. δεῦρο, ἵνα σπεύσωμεν, ἐγείρωμεν κόνιν, προηγοῦ μοι καὶ προοδοποίει γέρον. Ἐγκονῶμεν] ἐγκονῶ τὸ σπεύδω, τουτέστι τὸ κόνιν ἐγείρω. οἱ γὰρ σπουδάζοντες κόνιν εἰώθασιν ἀνιστᾶν τοῖς ποσί. τὸ δὲ σπεύδωμεν, καὶ ἐγκονῶμεν, καὶ τὸ ἡγοῦ μοι γέρον, ἔμφασιν ἔχει τῆς πολλῆς προθυμίας, ἣν εἶχεν ἡ Ἑκάβη ἀποθανεῖν συνάμα τῇ θυγατρί. Σὴν παῖδα] τὴν σὴν θυγατέρα ἀποθανοῦσαν, ἵνα θάψῃς, ὦ γύναι, ἦλθον μετακαλούμενος. πέμπουσι δέ με ὁ Ἀγαμέμνων καὶ ὁ Μενέλαος οἱ Ἀτρεῖδαι, καὶ ὁ στρατὸς τῶν Ἑλλήνων. Οἴ μοι τί λέξεις] ἀντὶ τοῦ τί λέγεις. λοιπὸν οὐχ ὡς μέλλουσαν τεθνήξεσθαι ἀφίκου πρὸς ἐμέ, ἀλλὰ μηνύσων κακά; τέθνηκας, ὦ παῖ, ἀπὸ τῆς μητρὸς ἁρπασθεῖσα· ἐγὼ δὲ ἄτεκνος, ὅσον τὸ κατὰ σέ. Οὐκ ἄρα] ἐνταῦθα οὐκ ἐρωτηματικὸν τὸ ἆρα, ἀλλὰ συμπερασματικόν, καὶ ἀποφαντικόν ἐστιν. διὸ καὶ ὀξύνεται. τὸ ἆρα τὸ μὲν ἀπορηματικόν, ἤτοι κατ' ἐρώτησιν τιθέμενον, περισπᾶται, καὶ μακρὸν ὡς ἐπιπολὺ εὑρίσκεται. τὸ δὲ ἄρα τὸ συμπερασματικόν, καὶ ἀποφαντικόν, ἀεὶ βαρύνεται, καὶ βραχύνεται. εἴρηται δὲ ὡς ἐπιπολὺ, διότι καὶ βραχὺ [illegible] εὑρίσκεται. [515] Πῶς καί νιν] πῶς αὐτὴν ἐφονεύσατε. ἆρα εὐλαβούμενοι, ἢ πρὸς τὸ ἀπηνὲς ἤλθετε, τουτέστι δεινῶς καὶ ἀπηνῶς ἐφονεύσατε, ὡς ἐχθρὰν φονεύοντες. [521] Παρῆν μὲν ὄχλος] παρὼν ἦν πᾶν τὸ πλῆθος τῶν Ἑλλήνων. τὸ δὲ πᾶς καὶ τὸ πλήρης κατ' ἐπίτασιν λέγει, ἱστάμενον τοῦ τάφου τοῦ Ἀχιλλέως, πρὸς τὰς σφαγὰς τῆς σῆς θυγατρός. Πρὸ τύμβου] πῶς τοῦ Ἀχιλλέως ἐν Τροίᾳ τεθέντος, ὁ Ταλθύβιος λέγει πρὸ τύμβου τοῦ Ἀχιλλέως ἱστάναι τοὺς Ἕλληνας, ὄντας ἐν Χερρονήσῳ; καὶ φαμέν, ὅτι τὸ κενοτάφιον ἐν Χερρονήσῳ ἐποίησαν, ἢ εἰς Τροίαν ἀπῆλθον, καὶ ἔθυσαν τὴν κόρην. Λαβὼν δ' Ἀχιλλέως] λαβὼν δὲ ὁ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος τὴν Πολυξένην ἀπὸ τῆς χειρός, ἔστησεν ἐπὶ τοῦ ἀνωτάτου μέρους τοῦ τάφου. Πέλας δ' ἐγώ] πλησίον ἦν καὶ ἐγώ. ἐπειδὴ κῆρυξ ἦν ὁ Ταλθύβιος, διὰ τοῦτο πλησίον ἵστατο τοῦ Νεοπτολέμου, ἵνα ὅταν βουληθῇ εἰπεῖν ὁ Νεοπτόλεμος τι τοῖς Ἀχαιοῖς, δι' ἐκείνου εἴπῃ κήρυκος ὄντος, καὶ δυναμένου λέγειν εἰς ἐπήκοον πάντων. αὐτὸς γὰρ ἦν ὁ σιωπὴν παντὶ τῷ στρατῷ κηρύξας, ὡς καὶ αὐτὸς παρακατιὼν λέγει, ὑπὸ Νεοπτολέμου προσταχθείς. [525] Λεκτοί τ' Ἀχαιῶν] ἠκολούθουν δὲ καὶ ἐπίλεκτοι ἀπὸ τῶν Ἑλλήνων ἐκλελεγμένοι νέοι, τὸ πήδημα τῆς σῆς παιδὸς καθέξοντες, καὶ κρατήσοντες διὰ τῶν χειρῶν. Ἕσποντο] ἠκολούθησαν. τὸ θέμα ἕπω ἀόριστον, τὸ ἀκολουθῶ. ὁ β' ἀόριστος ἕσπον, καθ' ὁμοίωσιν τοῦ ἔχω. ὁ β' ἀόριστος ἔσχον. ὁ μέσος ἑσπόμην, τὸ γ' τῶν πληθυντικῶν ἕσποντο. Πλῆρες] ὁ δὲ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος λαβὼν διὰ τῆς χειρὸς ποτήριον πάγχρυσον, αἴρει θυσίας τῷ θανόντι πατρί, θυσίας, οἶνον δηλονότι, μέλι, γάλα, καὶ ἄλευρον. Αἴρει] διὰ τοῦτο πρὸ τοῦ θῦσαι τὴν Πολυξένην αἴρει χοάς, ἵνα ἀναχθεῖσα ὑπὸ τῆς χοῆς ἡ ψυχὴ πίῃ τοῦ αἵματος. [529] Χοαί] χοὴ λέγεται ἐπὶ ὑγρῶν, μέλιτος, ἐλαίου, καὶ ἀλεύρου, καὶ τῶν ἑτέρων. θυσία δὲ ἐπὶ σφαγῆς ζώων. Σημαίνει δ' ἐμοί] προστάττει. προσδηλοῖ μοι κηρῦξαι σιωπὴν παντὶ τῷ στρατῷ τῶν Ἑλλήνων. ἐπιτάσσει πῶς διὰ σημείων καὶ σχημάτων, οἷς ἔθος ἐστὶ τοῖς βασιλεῦσι διὰ νευμάτων πάντα πρὸς ἀξίωσιν, κατὰ μίμησιν τοῦ Διὸς νεύματι καὶ βουλήματι τὸ πᾶν διοικονομοῦντος. παρακατιὼν γάρ φησι, λογάσι δ' Ἀργείων στρατοῦ Νεανίαις εἴρξαι παρθένον λαβεῖν.

† ἀπ[illegible] ?

ANNOTATIONES.

V. 511. An λέξεις; certè verbo & ſenſui æquè quadrarent, ſed Scholiaſtes retinet λέξεις, & benè ſtabit. Quare retinendum. Quod verò [illegible] ſumi videtur etiamde mulieres in maſculino, id frequens eſt apud Poetam [illegible], ut videre licet in Notis noſtris ad Alceſt. V. 383 & 541. [illegible], quia in Numero generalius paulò videtur, adeóque genere dignitate gaudeat.

V. 514. τοὐπὶ σ'.] Non hoc pro τὸ ἐπὶ σοί, ſed pro τὸ [illegible].

V. 528. Αἴρει] [illegible] ſignificat, in hoc autem loco ſinere-facio, i. e. fundo, unde [illegible], ubi [illegible] obtinet locum τοῦ [illegible]. In Virgil. 1 Georg. V. 104. ruit pro eruit. —Cumulóſque ruit male pinguis arenæ.

Σιγᾶτ'

Σιγᾶτ' Ἀχαιοί, σῖγα πᾶς ἔστω λεώς·
Σίγα, σιώπα. νήνεμον δ' ἔστησ' ὄχλον.
Ὁ δ' εἶπεν· ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμός,
Δέξαι χοάς μου τάσδε κηλητηρίους,
Νεκρῶν ἀγωγούς. ἐλθὲ δ' ὡς πίῃς μέλαν
Κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
Στρατός τε, κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ.
Λῦσαί τε πρύμνας, καὶ χαλινωτήρια
Νεῶν, δὸς ἡμῖν, πρευμενοῦς τ' ἀπ' Ἰλίου
Νόστου τυχόντας, πάντας εἰς πάτραν μολεῖν.
Τοσαῦτ' ἔλεξε. πᾶς δ' ἐπηύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβών,
Ἐξεῖλκε κολεοῦ. λογάσι δ' Ἀργείων στρατοῦ
Νεανίαις ἔνευσε, παρθένον λαβεῖν.
Ἡ δ' ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
Ἑκοῦσα θνήσκω, μή τις ἅψηται χροὸς
Τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
Ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
Πρὸς θεῶν μεθέντες, κτείνατ'. “Ἐν νεκροῖσι γὰρ
“Δούλη κεκλῆσθαι, βασιλὶς οὖσ', αἰσχύνομαι.
Λαοὶ δ' ἐπερρόθησαν· Ἀγαμέμνων τ' ἄναξ
Εἶπεν μεθεῖναι παρθένον νεανίαις.
Οἱ δ' ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
Μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.
Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
Λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
Ἔρρηξε λαγόνος εἰς μέσον παρ' ὀμφαλόν,

Tacete vos Græci: tacitus univerſus ſit populus:
Sile, tace. tranquillam autem conſtitui turbam.
Ipſe verò dixit: O fili Pelii, pater verò meus,
Accipe libationes haſce propitiabiles,
Mortuos elicientes: veni vero ut bibas nigrum
Puellæ illibatum ſanguinem, quem tibi damus
Exercitúſque & ego: propitius verò nobis ſis,
Solvéque puppes, & retinacula
Navium: dáque nobis felicem, ab Ilio
Reditum nactos omnes in patriam venire.
Tantum dixit. Omnis autem adprecatus eſt exercitus.
Mox auratum enſem capulo accipiens
Extraxit vaginâ: lectis autem Græcorum exercitûs
Adoleſcentibus innuit virginem apprehendere.
Ipſa verò ut ſenſit, hunc ſignificavit ſermonem:
O meam qui excidiſtis Argivi urbem,
Volens morior: nè quis attingat corpus
Meum: præbebo enim cervicem forti pectore.
Solutam verò me, ut libera moriar,
Per Deum, mittentes, interficite. “Apud manes enim
“Servam vocari, regina quum ſim, pudet me.
Turba verò admurmurabant. Et Agamemnon rex
Dicebat ut dimitterent virginem adoleſcentibus.
Illi verò, ut celerrimè audiverunt ſummam vocem,
Dimiſerunt, cujus & ſummum erat Imperium.
Et illa poſtquam audivit dominorum dicta,
Apprehendens peplos ex ſummo humero,
Rupit ile circa medium juxta umbilicum,

Σιγᾶτ' Ἀχαιοί] σιωπᾶτε. σῖγα πᾶς ἔστω λεώς] μιμεῖται τὸ πολλάκις κηρύσσειν τὰ αὐτὰ τοὺς κήρυκας. τὸ σῖγα, εἰ μὲν ἔστι προστακτικὸν, ὀξυνεῖται. εἰ δὲ ἐπίρρημα, περισπᾶται. Πατὴρ δ' ἐμὸς] ἀντὶ τοῦ ἐμοῦ. Ἀττικὸν, τὰς κτητικὰς ἀντωνυμίας οὐ δέον ἔχειν κλητικὰς, διὰ τὸ μὴ τὰς αὐτὰς εἶναι τῶν προσώπων αἰτιατικαῖς. λαμβάνονται γοῦν αἱ εὐθεῖαι Ἀττικῶς, ἀντὶ τῶν κλητικῶν. αἱ δὲ κτητικαὶ πᾶσαι, εἴτε εὐθεῖαι εἶεν, εἴτε γενικῆς, εἴτε ἠγνοοῦν ἄλλης πτώσεως, ἤτοι ἑνικῆς, ἢ δυϊκῆς, ἢ πληθυντικῆς, εἰ μὲν πρωτοτύπου προσώπου εἶεν, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ πρώτου προσώπου λαμβάνονται. εἰ δὲ δευτέρου, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ β' προσώπου. εἰ δὲ γ', ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ τρίτου προσώπου. 535 Δέξαι χοάς μου] σπονδὴ, χοὴ, θυσία, διαφέρουσι. σπονδὴ, ἐπὶ τῶν ξηρῶν, οἷον καὶ κριθῆς. χοὴ ἐπὶ ὑγρῶν, οἴνου, μέλιτος, καὶ γάλακτος. θυσία, ἐπὶ ζώων, προβάτων, καὶ τῶν ὁμοίων. ἄλλοι δὲ, σπονδὴν καὶ χοὴν ταυτὸν λέγουσιν, ὃ καὶ κρεῖττον. Δέξαι χοὰς] λάβε μου ταύτας τὰς θυσίας τὰς θελκτηρίους, τὰς ἡδυντηρίους, τὰς προσαγούσας τὰς ψυχὰς τῶν νεκρῶν, ἢ τὰς κηλούσας τοὺς καταχθονίους δαίμονας. 536 Νεκρῶν ἀγωγοὺς] ἀναφερούσας τὰς ψυχάς. ἄγω ῥῆμα, τὸ κομίζω, καὶ φέρω. ἀγωγὸς, ὁ φέρων, καὶ ὁ κομίζων, καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ. ἀγώγιμον, τὸ φερόμενον, καὶ κομιζόμενον. ἀγωγὴ δὲ, ἡ τοῦ κομίζειν ἐνέργεια. Ἐλθὲ δ' ὡς πίῃς] ἐλθὲ δὲ ἵνα πίῃς τὸ καθαρὸν αἷμα τῆς παρθένου, ὅπερ σοι χαριζόμεθα, καὶ ὁ στρατὸς καὶ ἐγὼ, καὶ λῦσαι τὰς ναῦς, καὶ τὰ σίδηρα, καὶ τὰ σχοινία τῶν νεῶν. δὸς δὲ ἡμῖν εὐμενῶς ἀπὸ τῆς Τροίας ἐπιστροφῆς ἀγαθῆς ἐπιτυχοῦντας ἡμᾶς, εἰς τὴν πατρίδα ἀπελθεῖν. Δὸς δὲ ἡμῖν εἰπών, ὤφειλε τυχοῦσιν ἐπάξειν. ὁ δὲ, ὥσπερ ἐκ μεταμελείας ἀποδίδωσι τὸν λόγον κατ' αἰτιατικὴν πρὸς τὸ ἀπαρέμφατον. 542 Τοσαῦτ' ἔλεξε] τοσαῦτα εἶπε. ὅλος δὲ ὁ στρατὸς εὐχὴν ἐποιήσατο, ἤτοι ἐπ' ἐκείνῳ ηὔξατο, ἤγουν εἰς τὸ πληρῶσαι ἐκεῖνον τὴν εὐχὴν ἣν ηὔξατο. Εἶτ' ἀμφίχρυσον] ἔπειτα περικεχρυσωμένον ξίφος λαβὼν ἀπὸ τῆς λαβῆς, ἐξεῖλκε τῆς θήκης. Φάσγανον] τὸ ἐν σφαγαῖς γανύμενον, ἢ τὸ γεγανωμένον, ἤγουν στίλβον ξίφος. κολεὸς δὲ, ἡ ξιφοθήκη, ἀπὸ τοῦ ἐν αὐτῇ τὰ ὀλοὰ, ἤγουν τὰ ὀλέθρια ξίφη κεῖσθαι. Λογάσι δ' Ἀργείων] καὶ τοῖς ἐκλεκτοῖς νεανίαις τοῦ στρατοῦ τῶν Ἑλλήνων ἔνευσε τὴν κόρην κρατῆσαι. Ἡ δ' ὡς ἐφράσθη] αὕτη δὲ ἐπεὶ ἐφράσατο καὶ ἐνόησε, τοῦτον τὸν λόγον ἐδήλωσεν· ὦ Ἕλληνες οἱ πορθήσαντες τὴν ἐμὴν πόλιν, ἐθελουσίως θέλω τεθνήξεσθαι. ὅρα ἵνα μή τις ἅψηται καὶ προσεγγίσῃ τοῦ ἐμοῦ σώματος. παρέξομαι γὰρ τὸν λαιμὸν εὐκαρδίως τε καὶ εὐψύχως. ἀπολελυμένην δέ με πρὸς θεῶν ἀφέντες, κτείνατε, ἵνα ἐλευθέρα θάνω, καὶ μὴ δούλη δηλονότι. Ἐλεύθερος] ὁ ἀπολελυμένος, καὶ μὴ ὑπὸ δουλείας. ἀπελεύθερος δὲ ἐπὶ φειδωλείας, οὗ ἐναντίον ὁ ἐλευθέριος. ἡ δὲ σύνταξις οὕτω. πρὸς θεῶν μεθέντες, καὶ ἀφέντες με ἐλευθέραν, καὶ ἄδετον, κτείνατε, ὅπως θάνω ὡς ἐλευθέρα, καὶ οὐ δούλη. οὕτω μὲν ἐλευθέραν ἀντὶ τοῦ ἄδετον ἐκληπτέον. τὸ δὲ ἐλευθέρα, ἀντὶ τοῦ οὐ δούλη. ὡς δηλοῖ καὶ τὸ τῆς κατασκευῆς. εἰ γὰρ [illegible] τινῶν ταύτας ἀπέθνησκεν, δουλικῶς ἂν καὶ οὐκ ἐλευθέρως τεθνάναι ἔδοξεν. Ἐν νεκροῖς γὰρ] ἐν τοῖς νεκροῖς γὰρ καλεῖσθαι δούλη, καίπερ δέσποινα οὖσα, ἐντρέπομαι. 553 Λαοὶ δ' ἐπερρόθησαν] ὁ δὲ λαὸς ἤχησεν, ἀπὸ μεταφορᾶς τοῦ ἤχου τῶν ῥοθίων, ὁ δὲ βασιλεὺς Ἀγαμέμνων ἔλεξε τοῖς νέοις ἀφεῖναι τὴν παρθένον. Ἐπερρόθησαν] εἰκότως καὶ ἁρμοδίως εἴρηται ἐπὶ πλήθους, ἤγουν ἀσήμως ἤχησαν. ἐκ μεταφορᾶς δὲ τῶν κυμάτων ἡ λέξις· τὸ γὰρ πλῆθος ὁμοῦ βοῶσαν ἄγνωστον τοῖς ἀκούουσιν, ὅπερ καὶ λέγει. Οἱ δ' ὡς τάχιστ' ἤκουσαν] οὗτοι δ' ἐπεὶ ταχέως ἤκουσαν τὴν ἐσχάτην φωνὴν τοῦ βασιλέως, τέλος γὰρ πάσης ὑπεροχῆς ὁ βασιλεὺς (καὶ Πίνδαρος, τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσι) μεθῆκαν. ὤφειλε δὲ εἰπεῖν οὕτως. οἱ δὲ ἐπεὶ ἤκουσαν τὴν ὑστέραν φωνὴν, ἤγουν τὴν βασιλικὴν, μεθ' ἣν οὐδενὶ λέγειν ἔξεστιν, οὗ τινος βασιλέως μέγιστον ἦν κράτος, μεθῆκαν. ὁ δὲ ἀντιστρόφως, ἐπεὶ τάχιστα φησὶν ἤκουσαν, μεθῆκαν. ἔστι δὲ ὁ σχηματισμὸς οὗτος, οὐ ποιητικὸς, ἀλλ' Ἀττικὸς, καὶ συνήθης τοῖς ῥήτορσιν. ἄλλως. βουλόμενος οὕτως εἰπεῖν, οἱ δ' ὡς τάχιστα ἤκουσαν ὕστερον τὴν ὄπα τοῦ Ἀγαμέμνονος, ὑστέραν ἐπήγαγε πρὸς τὴν ὄπα, ἀντὶ τοῦ ἐπιρρήματος ὀνοματίσας. σύναπτε δὲ τὸ τάχιστα, πρὸς τὸ μεθῆκαν. ἄλλως. οὕτως ὤφειλεν εἰπεῖν. οἱ δ' ἐπεὶ ἤκουσαν ὑστάτην ὄπα, οὗ γὰρ καὶ μέγιστον ἦν κράτος, τάχιστα μεθῆκαν. ὁ δὲ ἀντιστρόφως. ἐπεὶ τάχιστ' ἤκουσαν, μεθῆκαν. ἔστι δ' ὁ σχηματισμὸς μᾶλλον ῥήτορσι συνήθης ἢ ποιηταῖς. 557 Κἀπεὶ τόδ' εἰσήκουσε] ἐπεὶ δὲ, ἀφ' οὗ δὲ ἤκουσε τοῦτο τὸ λόγιον τῶν δεσποτῶν, λαβοῦσα τὰ ἱμάτια, ἔσχισεν ἀπὸ τῆς ἄκρας ἐπωμίδος μέχρι τοῦ μέσου τῆς λαγόνος, καὶ ἔδειξε τὰ στήθη καθάπερ † ἀγάλματα κάλλιστα. καὶ καταβαλοῦσα πρὸς γῆν τὸ γόνυ, εἶπε λόγον ἀθλιώτατον πάντων τῶν λόγων δηλονότι. Ἐπωμίδος] ἐπωμὶς τὸ ὑπερέχον τοῦ βραχίονος· καὶ εἶδος ἐνδύματος. ἐνταῦθα δὲ τὸ πρότερον δοκεῖ λέγειν. 559 Εἰς μέσον] τὸ εἰς ἀντὶ τοῦ ἕως, καὶ παρὰ Δημοσθένει, τούτῳ φιλανθρώπως ἐχρώμην εἰς τήνδε τὴν ἡμέραν, ἀντὶ τοῦ μέχρι τῆσδε τῆς ἡμέρας. λάμβανε δὲ τοῦτο τὸ εἰς, καὶ πρὸς τὸ λαγόνας, κατὰ συνεκδοχήν.

† an. ἀγάλματος;

ANNOTATIONES.

V. 556. *Homeri illud exprimit* οὗ κράτος ἐστὶ μέγιστον.

Μαστούς τ' ἔδειξε, στέρνα θ' ὡς ἀγάλματος

Κάλλιστα. καὶ καθεῖσα πρὸς γαῖαν γόνυ,

Ἔλεξε πάντων τλημονέστατον λόγον·

Ἰδοὺ, τόδ' εἰ μὲν στέρνον, ὦ, νεανία

Παίειν προθυμῇ, παῖσον. εἰ δ' ὑπ' αὐχένα

Χρῄζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.

Ὁ δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κόρης,

Τέμνει σιδήρῳ πνεύματος διαρροάς.

Κρουνοὶ δ' ἐχώρουν. ἡ δὲ, καὶ θνήσκουσ', ὅμως

Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,

Κρύπτειν θ', ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

Ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,

Οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον,

Ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν, ἐκ χερῶν

Φύλλοις ἔβαλλον. οἱ δὲ πληροῦσιν πυρὰν

Κορμοὺς φέροντες πευκίνους. ὁ δ' οὐ φέρων,

Πρὸς τοῦ φέροντος τοιάδ' ἤκουεν κακά.

Ἕστηκας, ὦ κάκιστε, τῇ νεανίδι

Οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;

Οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ,

Ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς λέγων

Παιδὸς θανούσης. εὐτεκνωτάτην δέ σε

Πασῶν γυναικῶν, δυστυχεστάτην ὁρῶ.

Χο. Δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε,

Πόλει τε τῇ 'μῇ. θεῶν ἀναγκαῖον τόδε.

Εκ. Ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ, τι βλέψω κακῶν

Πολλῶν παρόντων, ἢν γὰρ ἅψωμαί τινος,

Τόδ' οὐκ ἐᾷ με. παρακαλεῖ δ' ἐκεῖθεν αὖ

Λύπη τις ἄλλη, διάδοχος κακῶν κακοῖς.

Mamillásque oſtendit, pectoráque quaſi ſtatuæ

Pulcherrima: & flectens ad terram genu,

Dixit omnium miſerabiliſſimum ſermonem:

Ecce, hoc ſi quidem pectus, O Juvenis,

Ferire cupis, ferito: ſi verò ſub cervice

Volueris, adeſt jugulus paratus hîc.

Ille verò & nolens & volens præ commiſeratione puellæ,

Secat ferro ſpiritûs meatus.

Fontes verò fluebant. Hæc verò etiam moriens, tamen

Magnam ſolicitudinem habuit decentèr ut caderet,

Et occultaret, quæ occultare oculos virorum convenit.

Poſtquam verò emiſit ſpiritum lethali ex mactatione,

Nemo eundem habebat Græcorum laborem:

Sed alii eorum mortuam, ex manibus

Frondibus petebant: alii verò implent pyram

Stipites adferentes pineos: qui verò nihil adferebat

Ab adferente talia audiebat convitia:

Stas, ô ignaviſſime, *ad honorem* hujus puellæ

Neque peplum neque ornatum in manibus habens?

Non vadis aliquid daturus valdè animoſæ

Generoſiſſimæque? Talia verò de tuâ dicebant

Filiâ mortuâ. feliciſſimam verò prole te

Omnium mulierum, infeliciſſimam video.

Chr. Sæva quædam clades Priamidis accenſa eſt,

Urbique meæ: deorum neceſſitas eſt hæc.

Hec. O filia: non ſcio ad quod reſpiciam malorum

Multis præſentibus: quum enim attingo aliquod,

Aliud non ſinit me; avocat verò indè rurſus

Mœror quis alius, ſucceſſor malorum in malis.

564 Ἰδοὺ τόδ'] ὦ νεανία. εἰ μὲν τόδε τὸ στέρνον παίειν προθυμῇ, παῖσον. εἰ δ' ὑπ' αὐχένα θέλεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε. 566 Ὁ δ' οὐ θέλων τὸ ἑξῆς, οὐ θέλων οἴκτῳ καὶ συμπαθείᾳ τῆς κόρης, τέμνει τὸν λαιμόν. ἐκ τούτου γὰρ πνεῖ τε καὶ ἀναπνεῖ, ῥέον τὸ αἷμα. Διαρροὰς] τὰς ἀρτηρίας, καὶ φλέβας τὰς τῆς ἀναπνοῆς. διαρροαὶ πνεύματος αἱ φλέβες, ἐν αἷς τὸ αἷμα διέρχεται ἐκ τῶν ἀρτηριῶν. διαφέρει δὲ ἀρτηρία φλεβὸς, τῷ τὴν μὲν ἀρτηρίαν ἔχειν πνεῦμα πολὺ, καὶ ὑποκάτω κεῖσθαι τῆς φλεβὸς, αἷμα δὲ ὀλίγον. τὴν δὲ φλέβα, αἷμα μὲν πολὺ, καὶ ἄνω κεῖσθαι τῆς ἀρτηρίας, πνεῦμα δὲ ὀλίγον. 568 Κρουνοὶ] σταλαγμοὶ δὲ τοῦ αἵματος, καὶ ἐκχύσεις προήρχοντο. ἡ δὲ καίτοι ἀποθνήσκουσα, πρόνοιαν εἶχεν, ὥς τε εὐπρεπῶς καὶ εὐσχήμως πεσεῖν καὶ κρύπτειν, ἃ πρέπον κρύπτειν τὰ ὄμματα τῶν ἀρρένων. Τὸ κρύπτω μετ' αἰτιατικῆς λέγεται καὶ πρὸς τὸ πρόσωπον, καὶ πρὸς τὸ πρᾶγμα, οἷον κρύπτω σε τὴν ἐμαυτοῦ βουλήν. Κρύπτειν δ' ἃ κρύπτειν] οὐκ ὀλίγοι πειραθέντες ἑρμηνεῦσαι τὸ χωρίον τοῦτο, τοσοῦτον ἀπέσχοντο τοῦ τ' ἀληθὲς εἰπεῖν ἐξάρχειν, ὅσον ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐπικεχειρηκότας φανῆναι κατὰ γνώμην σοφὸν ἐπῆλθε. δυοῖν γὰρ οὐσῶν τῶν αἰτιατικῶν, καὶ τῆς τοῦ καθεστῶτος ἐντεῦθεν ἐν σκότῳ βουλόμενοι συντετάχθαι, ἐναλλαγαῖς τε ἐχρήσαντο, καὶ προσθέσεσιν ἔξωθεν, εἰς ἃ χρεὼν τὰ ὄμματα τῶν ἀρσένων κρύπτεσθαι φάσκοντες. ἐγὼ δὲ οὐκ ἐκείνοις μεμφόμενος, καὶ τὸ δοκοῦν εἰπὼν ἐμαυτῷ, οἶμαι ἂν πάντας, ὅσοις ὀρθότητος ἐν λόγοις μέλει, ἐκ τοῦ εὐθέος ἀκούσαντας, ὃ μὴν τοῦθ' οὕτως ἔχειν ψηφίσασθαι. λέγων γὰρ ὁ Ταλθύβιος τὰ περὶ τῆς κόρης. εἶτα ἐπήνεγκεν· ἡ δὲ καὶ θνήσκουσα, ὅμως προὐνοεῖτο εὐσχήμως πεσεῖν, καὶ κρύπτειν ἐκεῖνα, ἃ χρεὼν δεῖ κρύπτειν τὰ ὄμματα τῶν ἀρσένων. ὥσπερ γὰρ ἀφαιρῶ σε τὴν χλαμύδα φαμὲν, καὶ στερῶ σε τὸ ἀργύριον, ὄντα καὶ ἀμφότερα αἰτιατικὰ, καὶ ὁ ἀφαιρούμενος, καὶ ὃ ἀφαιρεῖται, καὶ ὁ στερούμενος, καὶ ὃ στερεῖται, οὕτω καὶ κρύπτω σε τόδε λέγομεν, οἷον ἔχων τι κτῆμα, καὶ μόνος βουλόμενος ἀπολαύειν, κρύπτει τοῦτο τοὺς ἄλλους. καὶ ἡ Πολυξένη γυνὴ οὖσα, εἰ καὶ τὸν περὶ τοῦ θανεῖν ἔδει, ἀλλ' οὖν πρόνοιαν εἶχεν εὐσχημόνως πεσεῖν, καὶ τὰ αἰδοῦς ἄξια κρύπτειν, ἃ πρέπον δεῖ κρύπτειν τὰς τῶν ἀνδρῶν ὄψεις, καὶ μὴ [illegible]φαίνεσθαι. μάρτυς δὲ τούτου ἄλλα τε πολλὰ, καὶ τὸ τοῦ Σοφοκλέους. οὐ δὲ γάρ τι δεῖ κρύπτειν μ' ἔτι. καὶ ἄλλος· μήτοι με κρύψῃς τοῦτο. † ὅπερ μέλλω παθεῖν. Ἐπεὶ δ' ἀφῆκε] ἐπειδὴ ἐξέπνευσε τὴν ψυχὴν ὑπὸ θανατηφόρου σφαγῆς, οὐδεὶς ἀπὸ τῶν Ἀργείων εἶχε τὴν ὁμοίαν ἐργασίαν. ἀλλ' οἱ μὲν αὐτῶν περὶ τῆς αὐτὴν διὰ τὸ εὐθαρσὲς καὶ εὔψυχον, φύλλοις καὶ ἄνθεσιν ἔβαλλον. 574 φύλλοις ἔβαλλον] Ἐρατοσθένης φησὶ περὶ τῆς φυλλοβολίας, ὡς πάλαι χωρὶς ἄθλων ἀγωνιζομένων ἀνθρώπων, τῷ νικήσαντι καθάπερ ἔρανον εἰσφέροντες ἔρριπτον, τῶν θεατῶν ὅπως ἕκαστος ηὐπόρει. διὸ δὴ συνήθης ἐγένετο κύκλῳ περιπορευομένων, ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον. οἱ μὲν οὖν ἐμπορευόμενοι διάφορα δῶρα τῶν λοιπῶν, οἱ μὲν ἐγγὺς καθήμενοι, στεφάνους ἐπετίθεσαν. οἱ δὲ ἀνωτέρω, τοῦτο ὅπερ ἦν λοιπὸν, ἔβαλλον τοῖς ἄνθεσι, καὶ φύλλοις. καὶ νῦν μὲν ἐπὶ τοῖς ἐπιφανῶς ἀγωνιζομένοις, περιβάλλουσι ζώνας, πίλια(?), χιτωνίσκους, πετάσους, κρηπῖδας. διὸ συνήθης κύκλῳ περινοστοῦντας ἀγείρειν τὰ διδόμενα. ἕως μὲν οὖν ἐναγώνισμα κατὰ τὴν Ὀλυμπίαν ἦν, ἀτελὴς ἐγένετο ἡ τῶν δωρεῶν δόσις. πολυπλασιαζομένης δὲ τούτης, ταῦτα ἐμειοῦτο εἰς πολλὰ καταμεριζόμενα. καὶ τέλος ἡ φυλλοβολία κατελείφθη. ταῦτα οὖν περὶ τοὺς χρόνους Εὐριπίδου. ὀψὲ γάρ ποτε ὁ ἀγερμὸς τῆς φυλλοβολίας ἀπεδείχθη. φυλλοβολεῖται δὲ ἡ Πολυξένη, ὥσπερ ἐν ἀγῶνι νικήσασα. ἐφυλλοβολοῦντο γὰρ μετὰ τὸ νικῆσαι, καθὰ καὶ προείρηται. Οἱ δὲ] τινὲς δὲ ἐπλήρουν τὸν τάφον, βαστάζοντες δᾶδας ἐκ πεύκης. ὁ δὲ μὴ φέρων, παρὰ τοῦ φέροντος τοιάσδε κακηγορίας ἤκουε. ἕστηκας ὦ κάκιστε, οὔτε πέπλον, οὔτε καλλωπισμόν τινα διὰ χειρὸς φέρων ὑπὲρ τῆς νεανίδος, καὶ χάριν τῆς νεανίδος; οὐ πορεύσῃ δώσων τι τῇ μεγαλοψύχῳ καὶ εὐκαρδίῳ πεσούσῃ(?) καὶ κατὰ τὴν ψυχὴν ἀνδρείᾳ; τοιαῦτα ἔλεγον περὶ τῆς θυγατρός σου ἀποθανούσης. τὴν εὐγονωτάτην δὲ πασῶν γυναικῶν, ἀθλιωτάτην βλέπω. 579 Οὐκ εἶ τι δώσων] οἱ μὲν λέγουσι τὸ εἶ, ἀντὶ τοῦ πορεύσῃ. οἱ δὲ, ἀντὶ τοῦ ὑπάρχεις. οὕτως. Οὐκ εἶ, καὶ οὐχ ὑπάρχεις δώσων τι, τουτέστιν οὐ δώσεις. πρόφασις(?) δὲ Ἀττικὴ, βέλτιον δὲ τὸ πρότερον. 583 Δεινόν τι πῆμα] χαλεπή τις αὕτη βλάβη τῶν θεῶν (ἤγουν ἧς αἴτιοι οἱ θεοὶ, ἀπαραίτητος. λέγει δὲ τὸ τὴν ἑαυτῶν ἅλωσιν) ἐπῆλθε τοῖς Πριαμίδαις, καὶ τῇ πόλει τῇ ἐμῇ. τὸ δὲ ἐπέζεσεν, ἀντὶ τοῦ ἐπήρθη, καὶ ηὐξήθη, ἀπὸ μεταφορᾶς τοῦ ζέοντος ὕδατος ἐν τοῖς λέβησι, καὶ ἐπαιρομένου ἐν τῷ ζέειν. Ὦ θύγατερ οὐ γινώσκω εἰς ὅπερ τῶν κακῶν θεάσωμαι πολλῶν ὑπαρχόντων. ἐὰν γὰρ προσεγγίσω τινὸς, τὸ ἕτερόν με οὐκ ἀφίησιν. ἐφέλκεται δὲ ἀπὸ τοῦ ἑτέρου μέρους διάδοχος, κακῶν προτέρων δηλονότι κακοῖς ἑτέροις ἐπαγομένοις.

† τοῦτο, ὅπερ] an τοῦθ', ὅπερ? Verſus enim eſt.

ANNOTATIONES.

V. 581. εὐτεκνοτάτην] Delevi εὐτεκνοτάτην & εὐτεκνωτάτην repoſui, ut verſui convenientius verbum & verè *Euripideum*; nam paulò poſt ad V. 620. idem verbum occurrit εὐτεκνώτατε Πρίαμε.

Καὶ

Καὶ νῦν τὸ μὲν σὸν ὥστε μὴ στένειν πάθος,
Οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός.
Τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
Γενναῖος. "Οὔκουν δεινόν, εἰ γῆ μὲν κακὴ
"Τυχοῦσα καιροῦ θεόθεν, εὖ στάχυν φέρει,
"Χρηστὴ δ' ἁμαρτοῦσ' ὧν χρεὼν αὐτὴν τυχεῖν,
"Κακὸν δίδωσι καρπόν. ἀνθρώποις δ' ἀεὶ
"Ὁ μὲν πονηρός, οὐδὲν ἄλλο πλὴν κακός.
"Ὁ δ' ἐσθλός, ἐσθλός. οὐδὲ συμφορᾶς ὕπο
"Φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐστ' ἀεί·
"Ἆρ' οἱ τεκόντες διαφέρουσιν, ἢ τροφαί;
"Ἔχει γε μέντοι καὶ τὸ θρεφθῆναι καλῶς,
"Δίδαξιν ἐσθλοῦ. τοῦτο δ' ἤν τις εὖ μάθοι,
"Οἶδεν τό γ' αἰσχρόν, κανόνι τοῦ καλοῦ μαθών.
Καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην.
Σὺ δ' ἐλθέ, καὶ σήμηνον Ἀργείοις τάδε.
Μὴ θιγγάνειν μου μηδέν', ἀλλ' εἴργειν ὄχλον
"Τῆς παιδός. Ἐν τοι μυρίῳ στρατεύματι
"Ἀκόλαστος ὄχλος, ναυτική τ' ἀναρχία,
"Κρείσσων πυρός· κακὸς δ' ὁ μή τι δρῶν κακόν.
Σὺ δ' αὖ λαβοῦσα τεῦχος, ἀρχαία λάτρι,
Βάψασ', ἔνεγκε δεῦρο ποντίας ἁλός.
Ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμήν,
Νύμφην τ' ἄνυμφον, παρθένον τ' ἀπάρθενον,
Λούσω, προθῶμαί θ' ὡς μὲν ἀξία, πόθεν;
Οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω. τί γὰρ πάθω;
Κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα,
Αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
Ναίουσιν, εἴ τις τοὺς νεωστὶ δεσπότας
Λαθοῦσ' ἔχει τι κλέμμα τῶν αὑτῆς δόμων.
Ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
Ὦ πλεῖστ' ἔχων, κάλλιστά τ' εὐτεκνώτατε
Πρίαμε, γεραιά θ' ἥδ' ἐγὼ μήτηρ τέκνων.
Ὡς εἰς τὸ μηδὲν ἥκομεν, φρονήματος
Τοῦ πρὶν στερέντες. εἶτα δῆτ' ὀγκούμεθα,

Et nunc tuam quidem nè gemam cladem,
Haud queam delere ex mente:
Intemperantiam verò nè gemam, hoc tu amovisti, nunciata mihi
Generosa. "Non igitur mirum, si terra quidem mala,
"Nacta bonum cœlum divinitùs, bonam segetem fert:
"Bona verò, frustrata iis quæ conveniebat consequi,
"Malum profert fructum. Inter homines verò semper
"Malus nihil aliud quàm malus,
"Bonus autem bonus: neque præ calamitate
"Ingenium perdit, sed bonus est semper.
"Numnam parentes præstant, an educationes?
"Habet equidem quodammodo & educatio honesta
"Doctrinam honestatis. Illud verò siquis bene didicerit,
"Novit quod turpe est, ex regulâ honesti cognoscens.
Et hæc quidem mens ejaculata est frustra.
Tu verò, ô Talthybie, vade, & indica Argivis hæc:
Ne attingat meam quisquam, sed arceant multitudinem
A filiâ. "In infinito enim exercitu
"Indomita turba, nauticáque licentia
"Violentior igne. Malus verò *habetur* qui non aliquid facit mali.
Tu autem accipiens urnam, antiqua ministra,
Intingens, affer huc marinum salum,
Ut filiam lavacris postremis meam,
Sponsam sine sponso, virginémque non virginem
Lavem. Proponámque ut quidem digna est, unde?
Non possum: *faciam* ut possum. quid enim agam?
Ornatum colligens à captivis mulieribus
Quæ mihi assistentes hæc intra tentoria
Habitant: si quæpiam novos dominos
Latens, habet quoddam furtum ex suâ domo.
O species ædium, ô olim felix domus,
O plurima tenens pulcherrimáque, felicissime liberis
Priame, anúsque ego mater liberorum,
Quàm ad nihil devenimus, superbiâ
Priori spoliati. Deinde tamen tumescimus:

Καὶ νῦν τὸ μὲν σὸν πάθος οὐκ ἂν δυναίμην ἐξαλεῖψαι ἀπὸ τῆς φρενός, ὥστε μὴ στένειν αὐτὸ δηλονότι. τὸ δὲ λίαν στένειν ἐμέ, καὶ θρηνεῖν, ἀφεῖλες ἀγγελθεῖσά μοι γενναία, καὶ μεγαλόψυχος. [592] Οὔκουν δεινόν] οὐ θαυμαστόν φησιν, ὅταν κακὴ γῆ τυχοῦσα εὐκρασίας ἀέρων, στάχυν φέρῃ καλόν. ἡ δὲ ἀγαθὴ τούτων ἀποτυχοῦσα, καρπὸν κακὸν φέρει, ἐν δὲ τοῖς ἀνθρώποις τοῦτο οὐκ ἔστιν ἰδεῖν, ὅτι τὸ ἐκ φύσεως ὁ μάλιστα ποιεῖ. ὁ γὰρ κακὸς ἀεὶ κακός ἐστι, καὶ ὁ ἀγαθὸς ἀεὶ ἀγαθός, κἂν ἀτυχήμασι περιπέσῃ. ταῦτα δὲ φησί, θαυμάζουσα τὴν Πολυξένην. [599] Ἆρ' οἱ τεκόντες] ὥσπερ ἀπορήσασα ἡ Ἑκάβη τοῦτο φησίν, ἆρα τὸ γεννᾶν τινὰ ἀγαθῶν γονέων συντελεῖ πρὸς τὸ εἶναι τοῦτον χρηστόν, ἢ τὸ παιδευθῆναι, καὶ ἀγωγῆς ἐκ ἀγαθῶν λαχεῖν. ἐν δὲ τῷ λέγειν, ἔχει μέν τοι καὶ τὸ τραφῆναι καλῶς δίδαξιν ἐσθλοῦ, φαίνεται τὸ μὲν τῶν γονέων προτιμᾶν, τὸ δὲ τῆς παιδεύσεως ὡς δευτέρῳ τίθεσθαι. Ἆρ' οἱ τεκόντες] ἆρ' οἱ τεκόντες διαφορὰν ἔχουσιν, ἤτοι τὴν ἐναλλαγὴν ποιοῦσιν, ἢ αἱ ἀνατροφαί. [600] Ἔχει γε τι] ἀντὶ τοῦ παρέχει κατά τι καὶ τὸ ἀνατραφῆναι καλῶς, δίδαξιν καὶ γνῶσιν ἀγαθοῦ. τοῦτο δέ, ἤτοι τὸ καλῶς ἀνατραφῆναι, ἢ τὸ ἐσθλόν, ἐὰν μάθοι τις καλῶς, οἶδε τὸ αἰσχρὸν, μαθὼν τῇ διδασκαλίᾳ τοῦ καλοῦ. καὶ ταῦτα μὲν ὁ νοῦς ἀπέρριψε μάτην. σὺ δέ, ὦ Ταλθύβιε, ἄπελθε, καὶ εἰπὲ τοῖς Ἀργείοις τάδε, μὴ ἅπτεσθαι τῆς παιδός μου μηδένα, ἀλλὰ κωλύειν καὶ ἀποσοβεῖν τὸν ὄχλον. ἐν γὰρ πολλῷ στρατεύματι, ὄχλος ἀκόλαστος καὶ ἀπαίδευτος, ἡ ναυτική τε ἀναρχία καὶ ἀνυποταξία, κρείσσων καὶ ἰσχυροτέρα πυρός. [608] Κακὸς δ' ὁ μή τι δρῶν] κακὸς ὀνομάζεται παρὰ τοῖς ναύταις ὁ μὴ σὺν αὐτοῖς δρῶν τι κακόν, ἢ ὡς οὐχ ὅμοιος αὐτοῖς, καὶ τὰ αὐτῶν πράττων αἰσχρά. σὺ δέ, ὦ δούλη παλαιά, λαβοῦσα τὸ ἀγγεῖον βάψασα, ἤγουν γεμίσασα, κόμισον ὧδε, ὕδωρ δηλονότι, ἀπὸ τοῦ ἐνδοτάτου μέρους τῆς θαλάσσης. ἵνα τὴν ἐμὴν τὴν κακόνυμφον νύμφην, καὶ κακοπάρθενον παρθένον λούσω ἐν λουτροῖς πανυστάτοις. Βάψασα] βάπτειν ἐστὶ τὸ χαλᾶν τι εἰς ὕδωρ, ἢ εἰς ἕτερόν τι ὑγρόν. ὅμοιον δὲ τοῦτο τὸ ἔβαψα τοῦ ἄρτου, καὶ ἐπὶ τοῦ οἴνου. [612] Παρθένον τ' ἀπάρθενον] οἱ μὲν τὸ ἀπάρθενον, ἀντὶ τοῦ κακοπάρθενον φασίν. ἐμοὶ δὲ οὐχ οὕτω δοκεῖ, ἀλλ' εἰποῦσα νύμφην τ' ἄνυμφον, νύμφην μὲν ὡς μνηστευθεῖσαν τῷ Ἀχιλλεῖ, ἄνυμφον δὲ ὡς τῆς μνηστείας μὴ τελεσθείσης. ἐπήγαγε πρὸς μὲν τὴν νύμφην, τὸ ἀπάρθενον. πρὸς δὲ τὸ ἄνυμφον, τὸ παρθένον. Προθῶμαί τε] εἰς τὸ μέσον θήσω, ὡς μὲν ἀξία ἐστὶ δηλονότι. πόθεν] οὐδαμῶς δυναίμην. τὸ πόθεν, καὶ τὸ οὐδαμῶς ταυτὸ σημαίνει. διαφέρουσι δὲ κατὰ τοῦτο, ὅτι τὸ μὲν πόθεν, ἐμφαίνει ἐρώτησίν τινα. τὸ δὲ οὐδαμῶς, τελείαν ἀπόφασιν. ὡς δὲ ἔχω καὶ δύναμαι ποιήσω. πόθεν ταῦτα λέγει, ἀποβλέπουσα πρὸς τὴν πρόσθεν αὐτῇ προσοῦσαν εὐδαιμονίαν, καὶ τὴν νῦν ἀπορίαν. τό, τι Κόσμον τ' ἀγείρασα πρὸς τό, ὡς δ' ἔχω ἐστίν, ὅπως ὡς μὲν ἀξία ὑπάρχει δηλονότι, οὐκ ἂν δυναίμην λοῦσαι τε καὶ προθεῖναι. ὡς δὲ ἔχω ποιήσω τοῦτο, καὶ ἀγείρασα κόσμον ἀπὸ τῶν αἰχμαλωτίδων. [614] Τί γὰρ πάθω] ἤγουν τί ποιήσω; τὸ γὰρ ποιεῖν πάθος ἐστίν. ἐπειδὴ ὁ ποιῶν τι, πάσχει τρόπον τινά, κατ' αὐτὸ τὸ ποιεῖν. Κόσμον ἀγείρασ', καλλωπισμὸν ἀγείρασα παρὰ τῶν αἰχμαλωτίδων, αἳ οἰκοῦσιν ἔνδον τῶνδε τῶν σκηνῶν, σύνοικοι ἐμοί. ἐάν τις λαθοῦσα τοὺς νεωστὶ δεσπότας, ἤγουν τοὺς Ἕλληνας, ἔχει τι κλέμμα ἀπὸ τῶν ἑαυτῆς δόμων, κόσμον τῶν αἰχμαλωτίδων λέγει, χρυσία ἱμάτια, καὶ ἄλλ' ἄττα, ἵνα δὴ μή τις αὐτῷ ἐναντιωθῇ, ὡς αἰχμαλώτιδες, οὐδὲν ἐστ' ὅπου κέκτηνται φησίν, εἴ τις ἔλαθε τοὺς ἑαυτῆς δεσπότας ἔχειν τι τῶν οἰκείων, κλέψασα τοῦτο τοὺς δεσπότας, καὶ μὴ ὑπ' ἐκείνων ἀφαιρεθεῖσα. [619] Ὦ σχήματ' οἴκων] ὦ καλλωπισμοὶ τῶν οἴκων, ὦ δόμοι οἱ ποτὲ εὐτυχεῖς, ὦ Πρίαμε εὐτεκνώτατε, ὁ ἔχων πλεῖστα, † καὶ πολλά, καὶ κάλλιστα, ἡ γραῖά τε ἐγὼ αὐτὴ ἡ μήτηρ τῶν τέκνων, λίαν ἤλθομεν εἰς τὸ μηδέν, στερηθέντες τῆς προτέρας ὑπερηφανίας, εἶτα δῆτα καὶ ἐπαιρόμεθα,

† καὶ πολλά, post πλεῖστα superfluum.

ANNOTATIONES.

V. 619. Ὦ σχήματ' οἴκων] Vid. quæ notavimus ad Androm. v. 1. Ἀσιάτιδος γῆς σχῆμα, &c.

V. 623. Στερέντες] pro στερηθέντες ab inusitato στέρω. Νικᾶν τε στέρξαι καὶ τ' ἄλγεσιν ἄλγεα πάσχειν. Hesiod.

Ὦ

Ὁ μέν τις ἡμῶν, πλουσίοις ἐν δώμασιν,
Ὁ δ᾽ ἐν πολίταις τίμιος κεκλημένος.
„Τὰ δ᾽ οὐδέν. Ἄλλως φροντίδων βουλεύματα,
„Γλώσσης τε κόμποι. Κεῖνος ὀλβιώτατος,
„Ὅτῳ κατ᾽ ἦμαρ τυγχάνει μηδὲν κακόν.

Aliquis quidem noſtrûm divitibus in domibus,
Alius verò inter cives Honorabilis vocatus.
„Hæc nihil ſunt quam inania curarum conſilia
„Linguæque jactantiæ. Ille feliciſſimus,
„Cui de die in diem nihil accidit mali.

ὁ μέν τις ἐν δώμασι πλουσίοις, ὁ δὲ τίμιος κεκλημένος ἐν πολίταις. τὸ δὲ ὁ πλοῦτος καὶ τὸ τοιαῦτα, οὐδὲν εἰσι δηλονότι, μάταια αἱ στροφαὶ τῶν λογισμῶν, καὶ ἡ μεγαλορρημοσύνη. ἐκεῖνος δὲ ἐστὶν εὐτυχέστατος, ᾧ τινι καθ᾽ ἡμέραν, ἤγουν κατὰ τὴν ζωήν, μηδὲν ὑπάρχει κακόν. Ἄλλως. ὦ σχήματ᾽ οἴκων.] ἀποδοῦσα ἡ Ἑκάβη πρὸς τὴν προτέραν αὐτῆς τύχην, καὶ τὴν νῦν δουλείαν, φησί, τῶν πραγμάτων οὕτως ἐχόντων, καὶ τοῦ μὲν πρότερον εὐδαίμονος, νῦν δυστυχοῦς, τοῦ δὲ πρὶν δυστυχοῦς, νῦν εὐδαίμονος. εἶτα ἐπιφέρομεν, ὁ μὲν ἐν πλούτῳ, ὁ δὲ ἐν πολλῇ τιμῇ. ταῦτα δὲ πάντα, ὅ, τε πλοῦτος, καὶ ἡ δόξα, τά τ᾽ ἄλλα τἀνθρώπινα, οὐδέν ἐστιν, ἄνω καὶ κάτω τῆς τύχης Εὐρίπου δίκην ἰούσης. τὸ δὲ εἶτα, ἢ κατ᾽ ἐρώτησιν, ἢ ἀποφαντικόν, καὶ συλλογιστικόν, τὸ δὲ ἄλλως φροντίδων βουλεύματα, ἤτοι διανοήματα. τουτέστι ματαίως φροντίζουσι περὶ τούτων οἱ ἄνθρωποι. τὸ γὰρ φροντίδων βουλεύματα, ἀντὶ τοῦ φροντίδες, περιφραστικῶς.

ἘΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Ἐμοὶ χρῆν συμφοράν,
2 Ἐμοὶ χρῆν πημονὰν γενέσθαι,
3 Ἰδαίαν ὅτε πρῶτον ὕλαν
4 Ἀλέξανδρος εἰλατίναν
5 Ἐτάμεθ᾽, ἅλιον ἐπ᾽
6 Οἶδμα ναυστολήσων
7 Ἑλένας ἐπὶ λέκτρα, τὰν καλ-
8 λίσταν ὁ χρυσοφαὴς
9 Ἅλιος αὐγάζει.

Ἀντιστροφή.

1 Πόνοι γάρ, καὶ πόνων
2 Ἀνάγκαι κρείσσονες κυκλοῦνται.
3 Κοινὸν δ᾽ ἐξ ἰδίας ἀνοίας
4 Κακὸν τᾷ Σιμουντίδι γᾷ
5 Ὀλέθριον ἔμολε,
6 Συμφορά τ᾽ ἀπ᾽ ἄλλων.
7 Ἐκρίθη δ᾽ ἔρις, ἃν ἐν Ἴδᾳ
8 Κρίνει τρισσὰς μακάρων
9 Παῖδας ἀνὴρ βούτας.

Strophe.

Ch. 1 Mihi oportebat infelicitatem,
2 Mihi oportebat cladem accidere:
3 Idæam quando primum ſylvam
4 Alexander abietinam
5 Secabat, ſalum per
6 Tumidum navigaturus
7 Helenæ ad thalamos, quam pul-
8 cherrimam auricomus
9 Sol radiis ſuis aſpicit.

Antiſtrophe.

1 Labores enim & laboribus
2 Neceſſitates validiores undique circundant
3 Publicum ex privatâ amentia
4 Malum Simoënticæ terræ
5 Exitiale venit,
6 Calamitáſque ab aliis.
7 Judicata eſt verò lis, quam in Ida
8 Judicavit inter tres beatorum (i. e. Deorum)
9 Filias vir paſtor: (i. e. Paris)

Ἐμοὶ χρῆν συμφοράν] ἤτοι ἀπέκειτο γενέσθαι βλάβην, ἐξ ἐκείνου τοῦ καιροῦ δηλονότι, ὅτε κατὰ τὴν ἀρχὴν ἔκοψεν ὁ Ἀλέξανδρος ὕλην ἀπὸ ἐλάτης δένδρου, πλεύσων ἐπὶ τὸ κῦμα τὸ θαλάσσιον διὰ τὰ λέκτρα τῆς Ἑλένης, ἣν ὡραιοτάτην ὁ λαμπρὸς βλέπει ἥλιος. πόνοι γὰρ καὶ ἀνάγκαι ἐπικρατέστεροι τῶν πόνων κυκλοῦσιν, ἡμᾶς δηλονότι. κοινὸν δὲ κακὸν ἀφανιστικὸν ἐξ ἰδίας μωρίας ἐπῆλθε τῇ Τρωϊκῇ γῇ. συμφοραί τε, ἀπ᾽ ἄλλων συμφορῶν δηλονότι. ἐκρίθη δέ, ἀντὶ τοῦ διεκρίθη ἡ ἔρις. Ἃν] ἀντὶ τοῦ δὴ ἣν ἔριν ἐδίκασεν ἐν τῇ Ἴδῃ τὰς τρεῖς θυγατέρας τῶν θεῶν ὁ βουκόλος Ἀλέξανδρος, ἐπὶ πολέμῳ καὶ φόνῳ καὶ βλάβῃ τῶν ἐμῶν οἰκημάτων. Ἐμοὶ χρῆν συμφοράν] τὰ τοιαῦτα εἴδη τῶν χορῶν, καλεῖται ἐπῳδικά. ἐπῳδικὰ δέ ἐστιν ὡς Ἡφαιστίων φησίν, ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται. ἐπ᾽ ἔλαττον μέν τοι τῶν τριῶν ἀριθμῶν, ἤτοι στροφῆς, ἀντιστροφῆς, καὶ ἐπῳδοῦ, οὐκ ἂν γένοιτο τὸ τοιοῦτον. ἐπὶ πλεῖον δέ, οὐδὲν κωλύει ἐκτείνεσθαι. γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς, καὶ πεντὰς, καὶ ἐπὶ πλεῖον, ἔστι δὲ τὰ παρόντα τριὰς ἐπῳδική, καὶ εἰσὶ τῆς μὲν στροφῆς τὰ κῶλα θ´, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α´ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου α´, καὶ ἰάμβου. τὸ β´ ὅμοιον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α´ διϊάμβου καὶ συλλαβῆς. τὸ γ´ ὅμοιον ἐξ ἐπιτρίτου καὶ διϊάμβου καὶ συλλαβῆς. τὸ δ´ δίμετρον ἀκατάληκτον πολυσχημάτιστον, Πριάπειον καλούμενον, ἐξ ἀντισπάστου καὶ χοριάμβου. τὸ ε´ τροχαϊκόν, διὰ τὸ ἑξῆς πενθημιμερές, ἐκ δύο χορείων, ἤτοι τροχαίων καὶ συλλαβῆς. τὸ ς´ τροχαϊκόν, ἰθυφαλλικόν, ἤτοι δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος τρίτου διϊάμβου καὶ συλλαβῆς. εἰ δὲ βούλει ἰαμβικὸν ἑφθημιμερὲς ἐκ δύο ἀναπαίστων καὶ ἰάμβου. εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ´ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος τρίτου διϊάμβου καὶ συλλαβῆς. εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς ἐκ δύο ἀναπαίστων καὶ ἰάμβου. εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον τὸ θ´, χοριαμβικὸν ἡμιόλιον. εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές, ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. 644 Ἐκρίθη δ᾽ ἔρις] ἐν Πηλέως καὶ Θέτιδος γάμοις τῶν τριῶν κεκλημένων θεῶν, Ἥρας, Ἀθηνᾶς, Ἀφροδίτης, σὺν ἄλλοις θεοῖς, ἐπεὶ τὴν Ἔριν οὐκ εἶχεν ὁ γάμος, δυσχεράνασα μῆλον κατασκευάζει χρυσοῦν, ἐν ᾧ Τῇ καλῇ τὸ μῆλον ἐπιγράψασα, ἀναβᾶσα ἐπὶ τοῦ τέγους, ῥίπτει τοῦτο παρὰ ταῖς τρισὶ θεαῖς. αἳ δὴ ἀναιροῦσαι τὸ μῆλον, ἤριζον πρὸς ἀλλήλας, ἑαυτὴν ἑκάστη καλλίω τῆς ἄλλης λέγουσα. ἀπελθοῦσαι σὺν παρὰ τῷ Διΐ, ἠξίουν αὐτὸν τῇ μᾶλλον ὡραίᾳ διδόναι τὸ μῆλον. ὁ δὲ τὴν κρίσιν ἀποφυγών, πρὸς μὴ δόξαι τὴν χάριν ταύτην πεποιηκέναι, καὶ οὐκ ἀπεικότως. εἴτε γὰρ ἐδεδώκει τῇ Ἥρᾳ, ὡς γυναικὶ ἂν δεδωκέναι ὑπείληπτο. εἴτε τῇ Ἀθηνᾷ, ὡς θυγατρί· εἴτε τῇ Ἀφροδίτῃ, ἀδελφῇ ἂν πεποιηκέναι ἔδοξεν. τοῦτο οὖν δεδοικώς, καὶ τῆς αἰτίας ἔξω γενέσθαι βουλόμενος, καθίζει κριτὴν ταῖς θεαῖς Ἀλέξανδρον τὸν Πριάμου, βουκόλον ὄντα. τότε παρ᾽ αὐτὸν αἱ θεαὶ σὺν Ἑρμῇ Διὸς ἐπιπέμψαντος ἐκέλευον τῇ κάλλει νικώσῃ τὸ μῆλον δωρήσασθαι, ἐπαγγελλόμεναι καὶ μείζους δώσειν αὐτῷ δωρεάς, εἰ μὴ πρὸς ἐκείνην, καὶ μὴ πρὸς ταύτην νεύσει τῇ κρίσει. ἡ μὲν γὰρ Ἥρα βασιλείαν, αὐτοῦ μὴ στερηθεῖσα, ὑπέσχετο, ὡς ἔφορος ταύτης. Ἀθηνᾶ δέ, ἐν πολέμῳ κρατεῖν, καὶ μηδενὶ τῶν ἀντιπάλων ἡττᾶσθαι. πολεμικὴ γὰρ ἡ θεός. Ἀφροδίτη τὴν Ἑλένην προτείνει, καὶ δι᾽ ἐκείνης γοητεύει τὸν ἄνθρωπον, καὶ νικᾷ, καὶ λαμβάνει τὸ μῆλον ἆθλον ὧν ἐπηγγείλατο. τὰ δὲ † ἣν, πεῖσαι τὴν ἄνθρωπον ἀκολουθῆσαι αὐτῷ, εἰ πρὸς Λακεδαίμονα ἀφίκοιτο. ναῦς οὖν Φερέκλου κατασκευάσαντος αὐτῷ ἐπιβάς, ἀνάγεται πρὸς τὴν Σπάρτην. καὶ καταχθεὶς ἐκεῖ, καὶ τὴν Ἑλένην λαβών, ἀπῆλθε πάλιν εἰς Ἴλιον.

† an legendum τὰ δ᾽ αὐτοῦ ἦν;

ANNOTATIONES.

V. 627. Κεῖνος ὀλβιώτατος] Malè in prioribus τὸ δ᾽ irrepſerat, quod cùm Metro noceat, jure nos rejecimus. Vid. Gu. Canter. Novar. Lect. lib. 5. cap. 11.

V. 633. Ἐτάμεθ᾽] Αο. 2. Med. Vocis.

Ἐπῳδός.

Ἐπῳδός.

Ἐπὶ δορὶ, καὶ φόνῳ, καὶ ἐμῶν
Μελάθρων λώβᾳ.
Στένει δὲ καί τις ἀμφὶ τὸν
Εὔῤῥουν Εὐρώταν
Λάκαινα πολυδάκρυτος
Ἐν δόμοις κόρα·
Πολιόν τ' ἐπὶ κρᾶτα μάτηρ,
Τέκνων θανόντων, τίθεται
Χέρα· δρύπτεταί τε παρειὰν,
Δίαιμον ὄνυχα
Τιθεμένα σπαραγμοῖς.

Epodus.

Ad bellum, ad necem, & meorum
Ædium exitium.
Gemit verò & aliqua circa
Pulchrè-fluentem Eurotam
Lacæna lacrymis confecta
Domi puella:
Canámque in caput mater,
Liberis mortuis, ponit
Manum, laniátque genam
Cruentum unguem
Reddens, lacerationibus.

Ἐπὶ δορὶ καὶ φόνῳ] τοῦτο καλεῖται ἐπῳδὸς, διὰ τὸ ἐπαλλάξ τῇ τε στροφῇ, καὶ τῇ ἀντιστροφῇ, ἤγουν μετὰ τὴν στροφὴν ἄδεσθαι. ἰστέον δὲ, ὅτι τὴν μὲν στροφὴν κινούμενοι πρὸς τὰ δεξιὰ οἱ χορευταὶ ᾖδον, τὴν δὲ ἀντιστροφὴν πρὸς τὰ ἀριστερά. τὴν δὲ ἐπῳδὸν ἱστάμενοι ᾖδον. ἐδήλου δὲ ὡς φασὶν ἡ μὲν στροφὴ, τὴν κίνησιν τοῦ οὐρανοῦ ἐκ τῶν ἑῴων πρὸς τὰ δυτικὰ μέρη κίνησιν. ἡ δὲ ἀντιστροφὴ, τὴν τῶν πλανητῶν, ὡς ἀπὸ δυσμῶν πρὸς ἕω γενομένην. ἡ δὲ ἐπῳδὸς τὴν τῆς γῆς στάσιν, ἱσταμένων τῶν χορευτῶν ἀδόντων. ἔστι δὲ τῆς παρούσης ἐπῳδῆς τὰ κῶλα ια. τὸ α ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος γ ἀντὶ ἰωνικῆς τροχαϊκῆς συζυγίας, ἤτοι διτροχαίου, καὶ ἰάμβου. τὸ β ἀναπαιστικὸν μονόμετρον. τὸ γ ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ δ δακτυλικὸν, ἢ ἀναπαιστικὸν πενθημιμερές. τὸ ε παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παιώνων δευτέρων δύο. τὸ ϛ τροχαϊκὸν πενθημιμερές. τὸ ζ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος γ ἀντὶ τοῦ ἰωνικοῦ ἀπ' ἐλάττονος ἰαμβικῆς συζυγίας, ἤτοι διϊάμβου καὶ συλλαβῆς. τὸ η ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ διϊάμβου χοριάμβου καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. τὸ θ τροχαϊκὸν ἰθυφαλλικὸν δίμετρον βραχυκατάληκτον. τὸ ι ἰωνικὸν ἡμιόλιον, εἰ δὲ βούλει παιωνικὸν, ἐκ παίωνος β, καὶ δύο συλλαβῶν. τὸ ια ὅμοιον δίμετρον καταληκτικὸν, ἐκ παίωνος δ καὶ βακχείου. εἰ δὲ βούλει τροχαϊκὸν ἰθυφαλλικὸν, τὸ α ποδὸς χορείου, ἐπὶ τῷ τέλει κορωνὶς, εἶτα παράγραφος. ταῦτα γὰρ τοῦ τέλους τῆς ἐπῳδοῦ σημεῖα. 649 Στένει δὲ καί τις] στενάζει δὲ ἐν τοῖς οἴκοις καί τις κόρη τάλαινα πολύδακρυς εἰς τὸν Εὐρώταν ποταμὸν τὸν καλλίῤῥουν, μήτηρ τε τίθεται χεῖρα ἐπὶ κρᾶτα πολιὸν καὶ λευκανθέν, ἕνεκα τῶν θανόντων τέκνων, δρύπτεταί τε καὶ ξαίνεται τὴν παρειὰν ποιοῦσα τὸν ὄνυχα αἱματώδη διὰ τῶν σπαραγμῶν. Τέκνων θανόντων] οὐ μόνον αἱ Τρῳάδες θρηνοῦσιν, ἀλλὰ καὶ τῶν Ἑλλήνων οὐκ ὀλίγαι γυναῖκες, ἡ μὲν ἀποθανόντος τοῦ ἀνδρὸς, ἡ δὲ στερηθεῖσα τῶν τέκνων, δέον δὲ εἰπεῖν ἀμφὶ πᾶσαν τὴν Ἑλλάδα, ὁ δὲ ἀμφὶ τὸν εὔῤῥουν Εὐρώταν εἶπεν, ἀπὸ μέρους τὸ πᾶν. ποταμὸς δὲ οὗτος ἐν Λακεδαιμονίᾳ.

ARGUMENTUM Actûs Quarti.

ANCILLA Hecubæ *miſſa, ut è mari aquam abluendæ* Polyxenæ *gratiâ adferat, reperto occiſi* Polydori *cadavere in littus ejecto, unà cum illo redit ad Dominam, novis hiſce malis attonitam & tantùm non obrutam.* Agamemnoni, *dum* Hecubæ *in* Polyxenâ *ſepeliendâ moram arguit, exponit illa novum hunc filii ſui unici caſum, rogatque ut illi non abeſſe certè non obeſſe, velit in ulciſcendo hujus facinoris authore* Polymeſtore. Chorus *Trojæ infortunia & excidium deplorat.*

ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΚΑΒΗ.

Ἴαμβοι.

Θερ. Γυναῖκες, Ἑκάβη ποῦ ποθ' ἡ παναθλία
Ἡ πάντα νικῶσ' ἄνδρα, καὶ θῆλυν σποράν
Κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσεται.
Χο. Τί δ' ὦ τάλαινα, σῆς κακογλώσσου βοῆς,
Ὡς οὔποθ' εὕδει λυπρά σου κηρύγματα;
Θερ. Ἑκάβῃ φέρω τόδ' ἄλγος. Ἐν κακοῖσι δὲ
" Οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα.
Χο. Καὶ μὴν περῶσα τυγχάνει δόμων ἄπο
Ἥδ'. εἰς δὲ καιρὸν τοῖσι φαίνεται λόγοις.
Θερ. Ὦ παντάλαινα, κἄτι μᾶλλον ἢ λέγω,
Δέσποιν', ὄλωλας. κοὐκέτ' εἶ βλέπουσα φῶς,
Ἄπαις, ἄνανδρος, ἄπολις, ἐξεφθαρμένη.

Anc. O mulieres, Hecuba ubinam eſt infeliciſſima,
Quæ omnes vincit viros & muliebrem progeniem
Calamitatibus? Nemo coronam ei præripiet.
Cho. Quid verò, ô miſera, tuo linguæ-ominoſæ clamore?
Ut nunquam dormiunt triſtia tua præconia?
Anc. Hecubæ affero hunc dolorem. " In malis verò
" Non facile hominibus læta dicere ore.
Cho. Atqui prodit ex ædibus
Hæc: & opportunè tuis apparet verbis.
Anc. O prorſus-infelix, & adhuc magis quàm dicam,
Domina periiſti, & non ampliùs aſpicis lucem,
Sine liberis, ſine marito, ejecta urbe, prorſus perdita.

Γυναῖκες, Ἑκάβη] μία τῶν δούλων Ἑκάβης ἔρχεται, φέρουσα τὸ σῶμα τοῦ Πολυδώρου. αὕτη γὰρ πεμφθεῖσα ὑπὸ τῆς Ἑκάβης ἐπὶ τὸ κομίσαι ὕδωρ εἰς τὰ λουτρὰ τῆς Πολυξένης. αὕτη οὖν ἡ δούλη ἀπελθοῦσα πρὸς θάλασσαν, εὑρίσκει τὸ σῶμα τοῦ Πολυδώρου, καὶ ἐλθοῦσα δίδωσιν αὐτὸ τῇ Ἑκάβῃ. λέγει δὲ πρὸς τὸν χορὸν τῶν αἰχμαλωτίδων ὦ γυναῖκες, ποῦ ἐστιν ἡ ἀθλιωτάτη Ἑκάβη; ἡ νικῶσα ἐν ταῖς δυστυχίαις πάντα ἄνδρα καὶ θήλειαν σποράν. οὐδεὶς τὸν τῆς δυστυχίας στέφανον ἀντ' αὐτῆς λήψεται. οὐδεὶς μᾶλλον αὐτῆς ἀποίσει στέφανον, νικήσας αὐτὴν ἐν κακοῖς. ἐπεὶ γὰρ εἶπεν ἄνω ὡς πάντα ἄνδρα καὶ γυναῖκα νικᾷ ἐν τοῖς κακοῖς, ἐπήγαγε τοῦτο. ἕπεται γὰρ τῇ νίκῃ στέφανος. "" Τί δ' ὦ τάλαινα] τί ἐστι τὸ βούλημα τῆς σῆς κακοφήμου βοῆς ὡς καὶ λίαν, ἢ ὅτι οὐδέποτέ σου ἠρεμεῖ τὰ λυπηρὰ μηνύματα. Ἑκάβῃ] τῇ Ἑκάβῃ φέρω ταύτην τὴν λύπην. ἐν ταῖς δυστυχίαις δὲ, οὐκ εὔκολον ἀνθρώποις εὐφημεῖν κατὰ τὸ στόμα, ἤτοι εὔφημα λέγειν, καὶ ἀγαθά. "" Καὶ μὴν] περῶσα τυγχάνει, ἀντὶ τοῦ περᾷ, ἀπὸ τῶν οἰκημάτων αὕτη. εὐκαίρως δὲ φαίνεται τοῖς σοῖς λόγοις. Ὦ παντάλαινα] καὶ πανάθλια, καὶ ἔτι μᾶλλον πανάθλια δηλονότι, ἢ καὶ παρὰ λέγω ὦ δέσποινα, ὄλωλας, καὶ ἐφθάρης. καὶ οὐκέτι ὑπάρχεις βλέπουσα φῶς, χωρὶς παίδων, χωρὶς ἀνδρὸς, χωρὶς πόλεως, ἐξεφθαρμένη. τὸ ὄλωλας πρὸς τὸ ἐξεφθαρμένη συναπτέον. τὸ δὲ οὐκέτ' εἶ βλέπουσα φῶς, διὰ μέσου, οὕτως. ὄλωλας ἐξεφθαρμένη, ἄπαις, ἄνανδρος, ἄπολις.

Ex. Οὐ

Εκ. Οὐ καινὸν εἶπας, εἰδόσιν δ' ὀνειδίσαι.
Ἀτὰρ τί; νεκρὸν τόνδε μοι Πολυξένης
Ἥκεις κομίζουσ', ἧς ἀπηγγέλθη τάφος
Πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;
Θερ. Ἥδ' οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
Θρηνεῖ, νέων δὲ πημάτων οὐχ ἅπτεται.
Εκ. Οἳ 'γὼ τάλαινα, μῶν τὸ βακχεῖον κάρα
Τῆς θεσπιῳδοῦ δεῦρο Κασάνδρας φέρεις;
Θερ. Ζῶσαν λέλακας, τὸν θανόντα δ' οὐ στένεις
Τόνδ', ἀλλ' ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ
Εἴ σοι φανεῖται θαῦμα, καὶ παρ' ἐλπίδας.
Εκ. Οἴμοι, βλέπω δὴ παῖδ' ἐμὸν τεθνηκότα,
Πολύδωρον ὅν μοι Θρῂξ ἔσωζ' οἴκοις ἀνήρ.
Ἀπωλόμην δύστηνος, οὐκέτ' εἰμὶ δή.
Ὦ τέκνον, ὦ τέκνον, αἶ, αἶ, κατάρχομαι νόμων
Βακχείων, ἐξ ἀλάστορος ἀρτιμαθὴς κακῶν.
Θερ. Ἔγνως γὰρ ἄτην παιδός, ὦ δύστηνε, σύ;

Hec. Non novum dixiſti, ſcientibus verò probrum dicis.
Sed quid? cadaver hoc mihi Polyxenæ
Venis adferens, cujus nuntiata eſt ſepultura
Omnium Achæorum manu ſtudioſè fieri?
Anc. Illa nihil novit, ſed mihi Polyxenam
Deplorat: nova verò mala non attingit.
Hec. Heu mihi miſeræ! utrum Bacchicum caput
Vatidicæ huc Caſſandræ fers?
Anc. Viventem dixiſti: mortuum verò non gemis
Hunc. Sed aſpice corpus nudatum mortui,
Si tibi apparebit miraculum & præter ſpem.
Hec. Heu mihi, video quidem filium meum mortuum
Polydorum, quem mihi Thrax ſervabat in domo vir.
Perii infelix, non amplius ſum ſane.
O fili, ô fili, hem, hem, incipio numeros
Bacchicos ex dæmone affligente, quæ recens cognovi mala.
Anc. Cognoviſti enim cladem filii ô miſera tu?

Οὐ καινὸν εἶπας] οὐ νέον τι εἶπας. εἰδόσι δὲ ὀνειδίσαις, ἤτοι εἰς ὀνειδισμὸν προέφερες. διὰ τί δὲ ἦλθές μοι φέρουσα τόνδε τὸν νεκρὸν τῆς Πολυξένης, ἧς ὁ ἐνταφιασμὸς ἐδηλώθη ἡμῖν, ὑπὸ πάντων τῶν Ἑλλήνων σπουδάζεσθαι. 674 Ἥδ' οὐδὲν οἶδε] ἥδε ἡ Ἑκάβη οὐδὲν γινώσκει, ἀλλὰ θρηνεῖ τὴν Πολυξένην μοι, νέων δὲ πημάτων οὐκ αἰσθάνεται. Οἳ 'γὼ] φεῦ τάλαινα εἰμὶ ἐγώ. ἆρα φέρεις δεῦρο τὸ βακχευτικὸν κάρα τῆς μάντεως Κασάνδρας. βακχεῖον κάρα τῆς Κασάνδρας λέγει τὸ μανικόν; ὡς μανικῆς. οἱ γὰρ μάντεις θείᾳ μανίᾳ κατεχόμενοι μαντεύονται. φησὶ γὰρ Πλάτων ἐν Γοργίᾳ, ὡς ἡ μαντικὴ μανικὴ οὖσα πρότερον, προστεθέντος τοῦ τ μαντικὴ γέγονεν. 678 Ζῶσαν λέλακας] τὴν ζῶσαν εἶπας, τὸν θανόντα δὲ τόνδε οὐ θρηνεῖς, ἀλλ' ἄθρησον καὶ ἴδε σῶμα νεκροῦ γυμνωθὲν, ἐπεὶ φανεῖταί σοι ἔκπληξις, καὶ παρὰ προσδοκίαν. Βακχεῖον κάρα] τὸ ἐνθουσιαστικὸν, ἤγουν τὸ σῶμα, ἀπὸ τοῦ κρείττονος μέρους τὸ ὅλον, ὡς φαμὲν καὶ ἱερὰν κεφαλὴν, τῆς μάντεως Κασάνδρας φέρεις. Οἴμοι] βλέπω δὲ τὸν ἐμὸν παῖδα Πολύδωρον τεθνηκότα, ὃν ἐφύλαττεν ἐμοὶ ἐν τοῖς οἴκοις ὁ Θρᾷξ Πολυμήστωρ. ἀπωλόμην ἡ δύστηνος, οὐκέτι δὴ εἰμί. ὦ τέκνον, αἲ αἲ, κατάρχομαι μελῶν μανικῶν, ἀρτιμαθὴς, οὖσα δηλονότι κακῶν ἐξ ἐχθροῦ τινός. Κατάρχομαι] εὕρηται τὸ ἄρχω, καὶ παρὰ Πινδάρῳ αἰτιατικῇ, * ἄρχε δὲ οὐρανοῦ πολυνεφέλα κρέοντι θύγατερ δόκιμον ὕμνον. εὕρηται δὲ καὶ ἔν τινι τῶν παλαιῶν ἔπος. Βακχείων] Βάκχαι ἱέρειαι ἦσαν τοῦ Διονύσου, καὶ κατεχόμεναι ὑπ' ἐκείνου ἐδόκουν μαίνεσθαι, ἄνετοι οὖσαι τὰς κόμας, καὶ τὰ ἱμάτια διερρηγμέναι, βοῶσαι τοῦ Διονύσου ἴακχε, ἴακχε, ἐντεῦθεν καὶ γὰρ βάκχαι ἐκλήθησαν. βακχείων οὖν ἐνταῦθα νόμων λέγει τῶν μανικῶν, καὶ οἷς χρῶνται αἱ Βάκχαι, ὑμνοῦσαι τὸν θεόν. γράφεται δὲ καὶ βακχεῖον γόον. Ἀρτιμαθὴς] ἀρτίως, νεωστί. καὶ ἄρτιον, ἀντὶ τοῦ ὁλοκλήρως. ἐνταῦθα οὖν ἀρτιμαθὴς κακῶν, ἀντὶ τοῦ ἀρτίως καὶ νεωστὶ ἔμπειρα μαθοῦσα κακά. Ἔγνως γὰρ] ἔγνως δὴ, ὦ δύστηνε, τὴν βλάβην τοῦ παιδός σου.

* Pind. Nem: Od. 111. Antiſtr. 2.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

Εκ. Ἄπιστ' ἄπιστα, καινὰ καινὰ δέρκομαι.
Ἕτερα δ' ἀφ' ἑτέρων
Κακὰ κακῶν κυρεῖ.
Οὐδέποτ' ἀδάκρυτος,
Ἀστένακτος
Ἁμέρα μ' ἐπισχήσει.
Χο. Δείν' ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.

Στροφὴ β'.

Εκ. Ὦ τέκνον, τέκνον ταλαίνας
Ματρὸς, τίνι μόρῳ θνήσκεις;
Τίνι πότμῳ κεῖσαι;
Πρὸς τίνος ἀνθρώπων;

Strophe I.

Hec. Incredibilia, incredibilia, nova, nova aſpicio:
Alia ab aliis
Mala malis incidunt,
Neque unquam abſque luctu,
Abſque gemitu,
Dies me tenebit.
Cho. Horrenda ô miſera, horrenda patimur mala.

Strophe II.

Hec. O fili, fili miſeræ
Matris, quo fato moreris?
Quo infortunio jaces?
A quo hominum interfectus?

Ἄπιστ' ἄπιστα] τὰ τοιαῦτα εἴδη καλεῖται ἀνομοιόστροφα] ἀνομοιόστροφα δέ εἰσιν, ὡς Ἡφαιστίων φησὶν, ὅσα πάλιν διαιρεῖται, ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. καὶ διαιρεῖται εἰς δύο, ἢ εἰς πλείονα. εἰ μὲν οὖν εἰς δύο διαιρεῖται, καλεῖται ἑτερόστροφον. εἰ δὲ εἰς πλείω, ἀλλοιόστροφον. εἰσὶν οὖν τὰ παρόντα ἀλλοιόστροφα. τῆς δευτέρας δὲ στροφῆς ταύτης τὰ κῶλα ϛ. τὸ α στίχος ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος πεντασυλλάβου καὶ ἰάμβου. διαιροῦνται γὰρ αἱ μακραὶ τῶν τούτων ποδῶν εἰς δύο βραχείας. τὸ γ ὅμοιον καθαρὸν, ἐκ παίωνος δὲ καὶ ἰάμβου. τὸ δ ὅμοιον δίμετρον καταληκτικὸν, ἐκ παίωνος α, καὶ δακτύλου. τὸ ε τροχαϊκὸν μονόμετρον ἀκατάληκτον. τὸ ϛ ὅμοιον τροχαϊκὸν ἑφθημιμερές. οὕτω διῃρημένα χρὴ ταῦτα τὰ κῶλα, καὶ τὰ ἑξῆς, ὡς ἡμῖν διῄρηται, ἵν' εὐχερῶς καὶ τίνος εἴη μέτρου ἔχωμεν γνῶναι. ἐπὶ τῷ τέλει ἀδιάφορος. Ἄπιστ' ἄπιστα] τουτέστιν, ὦ παράδοξα δυστυχήματα βλέπω, ἕτερα δὲ κακὰ ἀπὸ ἑτέρων κακῶν κυρεῖ, ἀντὶ τοῦ ἐντυγχάνει ἡμῖν δηλονότι, οὐδέποτε καταλείψεται ἐμὲ ἡμέρα χωρὶς δακρύων, καὶ χωρὶς στεναγμῶν. 692 Ἡμέρα] πρὸς μὲν τὸ ἡμέρα τὸ ἀδάκρυτος καὶ ἀστένακτος ἀποδοτέον. Ὦ τέκνον ταλαίνας] δευτέρα αὕτη στροφὴ κώλων δὲ δ, ὧν τὸ α τροχαϊκὸν τετράμετρον βραχυκατάληκτον, τὸ β καὶ γ ἡμιόλιον, ἐκ παίωνος δ καὶ σπονδείου. τὸ δὲ δακτυλικὸν πενθημιμερές. Ὦ τέκνον ἀθλίας μητρὸς τίνι μόρῳ ἔθανες, τίνι τύχῃ κεῖσαι, πρὸς τίνος, ὑπὸ τῶν ἀνθρώπων. μόρῳ μὲν, τῷ θανάτῳ. πότμῳ δὲ, τῇ περιστάσει. ἵν' ᾖ ποίῳ θανάτῳ, καὶ ποίᾳ περιστάσει. ἢ τίς ὁ ἀνελών σε, εἰπὲ τέκνον.

ANNOTATIONES.

V. 679. Ἄθρησον] Prior ſyllaba communis. Vid. *Phœniſſ.* v. 19.
V. 684. νόμων] alias γόων.
V. 685. Βακχείων] Cum & *Hecubæ* doloris impotentiam & Baccharum furorem Poeta vult exprimere, ultrò eſt ſe paſſus metri neglectiorem in hoc verſu deprehendi; præcedens autem verſus ſatis ſibi conſtabit. Si in tertio loco Anapæſtum habeat αἶ, αἶ. ∪ ∪ – & *Scholiaſtes*, ut *Canterus*, in illo νόμων, & in hoc βακχεῖον legit, & tum ſtabit & hic verſus ſi [illegible] ἀρτιμαθὴς, bis Anapæſticè metiantur.
V. 686. ὦ δύστηνε σύ;] legitur & αὖ. Vid. *Schol.*

Θερ. Οὐκ

Θερ. Οὐκ οἶδ'· ἐπ' ἀκταῖς νιν κυρῶ θαλασσίαις.
Εκ. Ἔκβλητον, ἢ πέσημα φοινίου δορός;
Θερ. Ἐν ψαμάθῳ λευρᾷ
Πόντου νιν ἐξήνεγκε πελάγιος κλύδων.

Στροφὴ γ'.

Εκ. Ὤι μοι, αἶ αἶ.
Ἔμαθον ἐνύπνιον, ὀμμάτων τ' ἐμῶν
Ὄψιν (οὔ με παρέβα φάσμα
Μελανόπτερον) ἃν ἐσεῖδον
Ἀμφὶ σ' ὦ τέκνον, οὐκέ-
τ' ὄντα Διὸς ἐν φάει.
Χο. Τίς γάρ νιν ἔκτειν', οἶσθ', ὀνειρόφρων, φράσαι;

Στροφὴ δ'.

Εκ. Ἐμὸς ξένος
Θρήκιος ἱππότας,
Ἵν' ὁ γέρων πατὴρ
Ἔθετό νιν κρύψας.
Χο. Ὤι μοι, τί λέξεις; χρυσὸν ὡς ἔχοι κτανών;
Εκ. Ἄρρητ', ἀνωνόμαστα, θαυμάτων πέρα,
Οὐχ ὅσιά τ', οὐδ' ἀνεκτά. ποῦ δίκα ξένων;

Στροφὴ ε'.

Ἰὼ κατάρατ' ἀνδρῶν,
Ὡς διεμοιράσω
Χρόα, σιδαρέῳ
Τεμὼν φασγάνῳ
Μέλεα, τοῦδε παι-
δός, οὐδ' ᾤκτισας.
Χο. Ὦ τλῆμον, ὥς σε πολυπονωτάτην βροτῶν
Δαίμων ἔθηκεν, ὅς τις ἐστί σοι βαρύς.
Ἀλλ', εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας
Ἀγαμέμνονος, τοὐνθένδε σιγῶμεν φίλαι.

Ant. Neſcio: in littore eum inveni marino.
Hec. Abjectum aut interfectum cruentâ haſtâ?
Ant. In arenâ planâ
Maris ipſum ejecit æquoreus æſtus.

Strophe III.

Hec. Heu mihi, ah ah:
Intelligo ſomnium oculorúmque meorum
Viſionem (non me præteriit ſpectrum
Atris-alis-præditum) quam aſpexi
De te, ô fili, non ampli-
us exiſtente Jovis in luce.
Cho. Quiſnam ipſum interfecit, poteſne tu, ô ſomniorum perita, dicere?

Strophe IV.

Hec. Meus hoſpes
Threicius eques,
Ubi (*i. e.* apud quem) ſenex pater
Depoſuit illum occultans.
Cho. Heu mihi, quid narratura es? aurumne, ut haberet, poſtquam interfeciſſet?
Hec. Infanda, deteſtanda: ultra omnem admirationem,
Non pia neque toleranda. ubi jus hoſpitum?

Strophe V.

Ah ſcelerate vir,
Quàm laniâſti
Corpus ferreo
Secans enſe
Membra hujus pu-
eri, neque miſertus es!
Cho. O infelix quàm te laborioſiſſimam mortalium
Dæmon reddidit, quicunque eſt tibi infenſus.
Sed enim video hujus domini corpus
Agamemnonis: exinde taceamus O amicæ.

Οὐκ οἶδα] σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, ἔχον ἰαμβικῶν τριμέτρων τριῶν, καὶ κῶλον. ὁ τρίτον κῶλον δακτυλικόν ἐστι πενθημιμερές, ἐπὶ τῷ τέλει ἀδιάφορος. Οὐκ οἶδα] οὐ γινώσκω. κυρῶ δὲ, ἀντὶ τοῦ εὗρον καὶ κατέλαβον αὐτὸν, ἐπὶ τῷ αἰγιαλῷ, ἐκβεβλημένον ὑπὸ τῆς θαλάσσης, ἢ πτῶμα ὑπὸ δορὸς φοινίου, ἤτοι ὑπό τινος φονευθέντα. ἐξήνεγκεν αὐτὸν ὁ πελάγιος κλύδων τοῦ πόντου, ἐν ψαμάθῳ λευρᾷ, ἤτοι πλατείᾳ καὶ ὁμαλῇ. Ὤ μοι αἶ αἶ] ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ ζ'. τὸ α' βακχαϊκὸν μονόμετρον. τὸ β' ὅμοιον ἑφθημιμερὲς, ἐκ χορείων. τὸ γ' ὅμοιον ἑφθημιμερὲς καθαρόν. τὸ δ' τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ε' παιωνικὸν δίμετρον, ἐκ παίωνος α', καὶ παλιμβακχείου. τὸ ς' ἀναπαιστικὸν ἑφθημιμερὲς, τοῦ β' ποδὸς δακτύλου. τὸ ζ' παιωνικὸν δίμετρον, ἐκ παίωνος α' καὶ κρητικοῦ, ἐπὶ τῷ τέλει ἀδιάφορος. 702 Ὤ μοι αἶ αἶ] ἔμαθον τὴν νυκτερινὴν ὄψιν τῶν ἐμῶν ὀφθαλμῶν, οὐ παρέβη με τὸ φάσμα τὸ σκοτεινὸν, καὶ ταχέως ἀφιστάμενον, ὃ ἐθεασάμην ὦ τέκνον περὶ σοῦ, οὐδαμῶς ὄντος ἐν τῷ φωτὶ τοῦ Διός. τίς αὐτὸν ἐφόνευσεν, γινώσκεις ὦ ἐξ ὀνείρων φρονοῦσα, καὶ διανοουμένη εἰπεῖν. Ἐνύπνιον] ἢ πρὸς τὸ ὄψιν συνακτέον, ἵν' ᾖ τὸ ἐνύπνιον, καὶ κατὰ τοὺς ὕπνους φανεῖσάν μοι ὄψιν τῶν ἐμῶν ὀμμάτων, ἢ πρὸς τὸ ἐνύπνιον ὑποστικτέον, ἵν' ᾖ τὸ ὄψιν τῶν ἐμῶν ὀμμάτων, ὥσπερ ἑρμηνεία τοῦ ἐνυπνίου. κρεῖττον δέ ἐστι τὸ πρῶτον. τὸ ἃν δὲ πρὸς τὴν ὄψιν ἐστὶ, τὸ δὲ οὔ με παρέβα μελανόπτερον φάσμα διὰ μέσου. 709 Ἐμὸς ἐμὸς] ἡ δ' αὕτη στροφὴ κώλων ἐστὶ δ'. ὧν τὸ α' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ β' ὅμοιον δίμετρον ἀκατάληκτον, ἐκ παίωνος γ' καὶ κρητικοῦ. τὸ γ' καὶ τὸ δ' ὅμοιον τῷ πρώτῳ, ἐπὶ τῷ τέλει ἀδιάφορος. Ἐμὸς] φίλος ἔκτεινεν Θρᾷξ, ὅπου ὁ πατὴρ ὁ γέρων ἔκρυψεν αὐτόν. Οἴ μοι τί λέξεις] ἔκτεινε δηλονότι, ἵνα κτανὼν ἔχῃ τὸν χρυσόν. Ἄρρητα] ἀδιαλάλητα ῥηθῆναι περαιτέρω. Θαυμάτων πέρα] ὡς μείζονα θαυμάτων, οὐχ ὅσια, οὐδὲ φορητά. 715 Ποῦ δίκη ξένων] ποῦ ἐστιν ἡ δικαιοσύνη τῶν φίλων. ἢ ποῦ ἐστιν ἡ δίκη τῶν ξένων, ἤγουν ἡ τούτους ἐφορῶσα, καὶ τιμωρουμένη αὐτοὺς ἀποκτείναντας, ὃ καὶ κρεῖττόν ἐστι τοῦ προτέρου. ὦ καταρατὲ ἄξιε ὑπὸ πάντας ἀνθρώπους Πολυμήστωρ, μονονουχὶ καὶ εἰς μέρη διεῖλες τὰ τοῦ παιδὸς μέλη, ὅς τις ἐμέρισας τὸ σῶμα, κόψας φασγάνῳ σιδηρῷ. Ἀλλ' εἰσορῶ γὰρ] τὸ ἀλλὰ πρὸς τοὐνθένδε συνακτέον. τὸ δὲ εἰσορῶ γὰρ τοῦ δεσπότου δέμας Ἀγαμέμνονος, διὰ μέσου. περιφραστικῶς δὲ, τὸ τοῦ δεσπότου Ἀγαμέμνονος δέμας ἀντὶ τοῦ, τὸν δεσπότην Ἀγαμέμνονα. 725 Τοὐνθένδε] κατὰ τὸ ἀπὸ τοῦδε.

ἈΓΑΜΕ'ΜΝΩΝ, ἙΚΑ'ΒΗ.

Ἴαμβοι.

Αγα. Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφῳ,
Ἐλθοῦσ', ἐφ' οἷσπερ Ταλθύβιος ἤγγειλέ μοι,
Μὴ θιγγάνειν σῆς μηδέν' Ἀργείων κόρης;
Ἡμεῖς μὲν οὖν ἐῶμεν, οὐδὲ ψαύομεν.
Σὺ δὲ σχολάζεις, ὥστε θαυμάζειν ἐμέ.
Ἥκω δ' ἀποστελῶν σε· τἀκεῖθεν γὰρ εὖ

Aga. Hecuba, quid cunctaris filiam tuam occultare ſepulcro,
Veniens, ſicut Talthybius nunciavit mihi,
Ne attingeret tuam quiſquam Argivorum puellam?
Nos utique ſinimus, neque attingimus:
Tu verò otioſa es, ut mirer ego.
Venio verò acceſſiturus te. quæ illic enim, benè

Ἑκάβη τί μέλλεις] αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρθ'. ὧν τελευταῖος, κακόν τι πάσχειν τὸν δὲ χρυσὸν εὐτυχεῖν. μετὰ τῶν ῥηθ. κώλων τμῆμα τὸ ρξδ'. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. καὶ ἐπὶ τῷ τέλει κορωνίς. Μέλλεις] τὸ βραδύνειν, τὸ [illegible], καὶ τὸ [illegible]. 727 Ἐφ' οἷσπερ] καθά. Θιγγάνειν] ψαύειν. Ἐῶμεν] ἀντὶ τοῦ ἐάσωμεν. Σχολάζεις] βραδύνεις. Ἀποστελῶν σε] μέλλων σε ἀποστελεῖν. Τἀκεῖθεν] ἢ τὰ ἀπὸ τοῦ στρατοῦ πρέποντα γενέσθαι, πῦρ τε λέγω ποιῆσαι, καὶ ξύλα συνάξαι, καὶ τἄλλα τὰ πρὸς ταφὴν ἐπιτήδεια ἐγεγόνει καλῶς. λοιπὸν οὖν ἐστι, σέ τε ἐλθεῖν, καὶ κρύψαι τὴν παῖδα ἐν τῷ τάφῳ. οὕτω τὰ ἐκεῖθεν νοητέον. Τὸ

ANNOTATIONES.

V. 698. Κυρῶ & κυρέω, pro κύρω incido, nanciſcor, reperio. Eſt etiam & κυρῶ ſum. Vid. Lexica.

V. 709. Videtur ἐμὸς bis legendum.

Πεπραγμέν' ἐστὶν (εἴ τι τῶνδ' ἐστὶν καλῶς)
Ἔα, τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
Θανόντα Τρώων; οὐ γὰρ Ἀργείων, πέπλοι
Δέμας περιπτύσσοντες, ἀγγέλλουσί μοι.
Εκ. Δύστην', ἐμαυτὴν γὰρ λέγω, λέγουσά σε
Ἑκάβη, τί δράσω; πότερα προσπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ', ἢ φέρω σιγῇ κακά;
Αγ. Τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν,
Ὀδύρῃ, τὸ πραχθὲν δ' οὐ λέγεις; τίς ἐσθ' ὅδε;
Εκ. Ἀλλ' εἴ με δούλην, πολεμίαν θ' ἡγούμενος,
Γονάτων ἀπώσαιτ', ἄλγος ἂν προσθείμεθα.
Αγ. Οὔτοι πέφυκα μάντις, ὥστε μὴ κλύων,
Ἐξιστορῆσαι σῶν ὁδὸν βουλευμάτων.
Εκ. Ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυσμενὲς
Μᾶλλον φρένας, τοῦδ' ὄντος οὐχὶ δυσμενοῦς;
Αγ. Εἴ τοί με βούλῃ τῶνδε μηδὲν εἰδέναι,
Εἰς ταὐτὸν ἥκεις, καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.
Εκ. Οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ
Τέκνοισι τοῖς ἐμοῖσι. τί στρέφω τάδε;
"Τολμᾷν ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων,
Καὶ σοῦ γενείου, δεξιᾶς τ' εὐδαίμονος.
Αγ. Τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
Αἰῶνα θέσθαι; ῥᾴδιον γὰρ ἐστί σοι.
Εκ. Οὐ δῆτα. τοὺς κακοὺς δὲ τιμωρουμένη,
Αἰῶνα τὸν σύμπαντα δουλεύειν θέλω.
Αγ. Καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκεσιν καλεῖς;
Εκ. Οὐδέν τι τούτων, ὧν σὺ δοξάζεις, ἄναξ.
Ὁρᾷς νεκρὸν τόνδ', οὗ καταστάζω δάκρυ;
Αγ. Ὁρῶ. τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.
Εκ. Τοῦτόν ποτ' ἔτεκον, κἄφερον ζώνης ὕπο.
Αγ. Ἔστιν δὲ τίς σῶν οὗτος, ὦ τλῆμον, τέκνων;

Acta ſunt (ſi quid tamen horum eſt benè.)
Hem, quem virum hunc in tentoriis video
Mortuum ex Trojanis? non enim Græcorum *aliquem eſſe*, veſtes
Corpus involventes, nunciant mihi.
Hec. Infelix, meipſam enim dico, dicens te
Hecuba, Quid faciam? utrum procidam ad genua
Agamemnonis, aut feram tacitè mala?
Ag. Quid mihi in faciem tergum obvertens tuum
Ploras, quod actum eſt verò, non dicis? quis eſt hic?
Hec. Sed ſi me ſervam hoſtémque ducens
A genibus repelleret, dolorem utiq; nobis augeamus.
Ag. Non ſum vates, ut non audiens
Poſſim inveſtigare tuorum viam conſiliorum.
Hec. An interpretor quidem ad id quod inimicum eſt
Magis mentem, ipſo exiſtente neutiquam inimico?
Aga. Si quidem me vis harum nihil ſcire rerum,
Ad idem venis: etenim nec ego audire volo.
Hec. Haud poſſim abſque hoc me ulciſci
De liberis meis. quid volvo hæc?
" Audere neceſſe eſt, ſive conſequar, ſive non conſequar.
Agamemnon ſupplico tibi per hæc genua
Et tuam barbam dextrámque felicem.
Aga. Quam rem quærens? utrum liberam
Vitam conſequi? facile enim *hoc* eſt tibi.
Hec. Non ſanè: malos ulciſcens
Vitam univerſam ſervire volo.
Aga. Et ſanè quid nos in auxilium vocas?
Hec. Nihil horum, quæ tu putas O rex.
Vides cadaver hoc, propter quod effundo lacrymas?
Aga. Video: ſed futurum non poſſum ſcire.
Hec. Hunc olim peperi, & portavi ſub cingulo.
Aga. Eſt verò quiſpiam tuorum hic O miſera liberorum?

ἢ ὅτι τῶνδ' ἐστὶ καλῶς, διὰ τοῦτο λέγει. ἐπεὶ λυπηρὸς ἐδόκει τῇ Ἑκάβῃ ὁ τῆς θυγατρὸς θάνατος, οὕτως ἀθλίως ἀνῃρημένης, ἢ ὅτι καὶ τὰ πρὸς ταφὴν παρασκευαζόμενα ἐπιτήδεια λυπεῖ τοὺς ὁρῶντας, καὶ οὐκ ἔστιν ὃς ἰδὼν ταῦτα οὐ στενάξειεν. Εἴ τι τῶνδε] τῶν πραχθέντων. Ἔα, ἐπὶ ἐκπλήξεως. τίς ἐστιν οὗτος ὁ ἀποθανὼν ἀνὴρ τῶν Τρώων, ὃν εἰσορῶ ἐπὶ ταῖς σκηναῖς; οὐ γὰρ πέπλοι τῶν Ἀργείων τὸ σῶμα αὐτοῦ περικαλύπτοντες, συμβάλλειν διδόασί μοι. [736] Δύστηνε] ταῦτα καθ' ἑαυτὴν λέγει ἡ Ἑκάβη, πότερον πρὸς τὸ γόνυ προσπελάσω τούτου πίπτω, ἢ ὑπομείνω διὰ σιγῆς τὰ κακά. Ἄλλως. ὦ δύστηνε Πολύδωρε, τί δράσω ἐγὼ ἡ Ἑκάβη. ἐγκύψασα δὲ διαλέγεται πρὸς τὸν νεκρὸν Πολύδωρον, καὶ πρὸς ἑαυτήν. ὅτι γὰρ ἀποστραφεῖσα ταῦτα λέγει, δῆλον ἐξ ὧν καὶ ὁ Ἀγαμέμνων λέγει πρὸς αὐτήν· τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν ὀδύρῃ. τὸ δὲ δύστηνε, ὁ Δίδυμος φησὶ πρὸς τὸν Πολύδωρον λέγειν τὴν Ἑκάβην· ὦ δύστηνε Πολύδωρε, ἐμαυτὴν γὰρ λέγω δύστηνον ἀποκαλοῦσα σέ, τί δράσω, πότερα ἱκετεύσω Ἀγαμέμνονα, ἢ σιωπήσω; Ἄλλως. ὦ δύστηνε. τὸ δύστηνε οἱ μὲν διὰ τὸν Πολύδωρον φασὶ τὴν Ἑκάβην οὕτω λέγειν· ὦ δύστηνε Πολύδωρε. λέγουσα γὰρ ἡ Ἑκάβη σὲ δύστηνον, ἐμαυτὴν λέγω, ἢ πρὸς ἑαυτὴν οὕτω, ὦ Ἑκάβη δύστηνε. λέγουσα γάρ σε δύστηνον ἐμαυτὴν λέγω. οὐ γὰρ τὸ ὄνομα ἐπαινεῖται ἢ ψέγεται, οὕτως αὐτὸς ὁ τὸ ὄνομα ἔχων ἐπαινεῖται ἢ ψέγεται. ἰστέον δὲ, ὅτι οἱ ἐκλαμβάνοντες τὸ δύστηνον πρὸς τὸν Πολύδωρον, οἱ μὲν τὸ Ἑκάβη συντάσσουσιν ὡς ἡμεῖς ἔφαμεν. οἱ δὲ στίζουσι πρὸς τὸ σέ, τὸ δὲ Ἑκάβη πρὸς τὸ κάτω συνάπτουσι, λέγοντες τὴν Ἑκάβην πρὸς ἑαυτὴν κοινολογεῖσθαι τὸ πότερον προσπέσω. διὸ καὶ κρεῖττόν ἐστι τὸ δύστηνε πρὸς τὸν Πολύδωρον, καὶ οὐ πρὸς ἑαυτὴν λέγεσθαι. [739] Τί μοι προσώπῳ] ἀπορούσης τῆς Ἑκάβης καθ' ἑαυτήν, ἄρα προσπέσω τῷ Ἀγαμέμνονι, καὶ βοηθεῖν πείσω, ἢ οἴσω τὰ κακὰ ἐν σιγῇ, ἰδὼν ὁ Ἀγαμέμνων οὕτως αὐτὴν ἐνδοιάζουσαν, φησί, τί ἐγκλίνασα καὶ στρέψασα τὸ σὸν νῶτον ἐμοὶ θρηνεῖς, καὶ οὐ στρέψασα πρόσωπον πρὸς πρόσωπον λέγεις τὸ πραχθέν; τίς ἐστιν οὗτος ὁ νεκρός. τὸ δὲ ἐμοὶ καὶ τῷ προσώπῳ καθ' ὅλον καὶ μέρος εἴρηται. τὸ μὲν ἐμοί, ὅλον. τὸ δὲ προσώπῳ, μέρος. μέρος γὰρ τοῦ παντὸς σώματος τὸ πρόσωπον. [745] Ἆρ' ἐκλογίζομαι] εἰποῦσα ἄνωθεν ὡς πολεμίαν καὶ δούλην ἡγούμενος αὐτὴν Ἀγαμέμνων, τὴν ταύτης ἀπώσαιτο δέησιν· νῦν φησιν, ἄρα ἐκλογίζομαι, καὶ ὑπολαμβάνω τὰς φρένας τοῦδε πρὸς τὸ δυσμενές, καὶ τὸ ἐχθρὸν μᾶλλον ἢ τὸ φιλάνθρωπον. οὐκ ὄντος δυσμενοῦς καὶ ἐχθροῦ. ἐκ δὲ τοῦ οὕτω διαπορεῖν, φαίνεται ἑαυτὴν μεμφομένη, ὡς οὐκ ἀληθῆ περὶ ἐκείνου ὑπολαμβάνουσαν. ἐκεῖνον δὲ τῆς αἰτίας ἀπολύουσαν. Ἄλλως. Ἆρ' ἐκλογίζομαι] ἐὰν στίξωμεν εἰς τὸ τοῦδε, νοητέον οὕτως. ἄρα χαλεπῶς καὶ ἐχθρῶς λογίζομαι τὰς φρένας τοῦ Ἀγαμέμνονος οὐκ ὄντος αὐτοῦ δυσμενοῦς, ἵν' ᾖ τὸ τοῦδε περὶ Ἀγαμέμνονος, ἢ εἰς τὸ μᾶλλον στικτέον. ἵν' ᾖ οὕτως, ἄρα πρὸς τὸ δυσμενὲς μᾶλλον ῥέπω, τούτου ὄντος οὐχὶ δυσμενοῦς τὰς φρένας. [747] Εἴ τοι με βούλει] εἰ μηδὲν ἀπὸ τούτων βούλει εἰδέναι με, συμφωνεῖς ἐμοί, καὶ γὰρ οὐδ' ἐγὼ βούλομαι ἀκούειν. Οὐκ ἂν] οὐκ ἂν δυναίμην χωρὶς τοῦδε βοηθεῖν τοῖς ἐμοῖς τέκνοις. διατί στρέφω ἐπὶ νοῦν, καὶ διαλογίζομαι τάδε; ἀνάγκη τολμᾷν, ἀντὶ τοῦ ἐπιχειρεῖν εἰπεῖν, κἂν τύχω βοηθείας δηλονότι, κἂν μὴ τύχω. ὦ Ἀγάμεμνον, ἱκετεύω σε πρὸς τῶνδε τῶν γονάτων, καὶ πρὸς τοῦ σοῦ γενείου, καὶ πρὸς τῆς δεξιᾶς χειρὸς δηλονότι, τῆς εὐτυχοῦς καὶ εὐδαίμονος. [754] Τί χρῆμα] τί πρᾶγμα ζητοῦσα ἱκετεύεις δηλονότι, ποιῆσαι τὸν τῆς ζωῆς σε χρόνον ἐλεύθερον; ῥᾴδιον ἐστί σοι τοῦτο δηλονότι. Οὐ δῆτα] οὐδαμῶς βούλομαι δηλονότι ἐλευθερωθῆναι, τοὺς κακοὺς δὲ κολάζουσα, τὸν ἅπαντα μου βίον θέλω δουλεῦσαι. καὶ δὴ εἰς τίνα ἐπάρκειαν καὶ βοήθειαν καλεῖς ἡμᾶς, ἤγουν ἐμέ; οὐδέν τι τούτων ἂν σὺ ὑπονοεῖς, ἄναξ, θέλω δηλονότι, ὁρᾷς τόνδε τὸν νεκρόν, καθ' οὗ στάζω δάκρυον; Ὁρῶ] τὸ μέν τοι μέλλον, ἤτοι ὃ μέλλεις περὶ τούτου εἰπεῖν, οὐ δύναμαι νοῆσαι. τοῦτον ἔτεκον ποτέ, καὶ ἔφερον ὑπὸ τῆς ζώνης. τουτέστιν ἐν γαστρὶ εἶχον, καὶ ἔφερον ζώνης ὕπο.] ἀντὶ τοῦ ὑποκάτω τῆς ζώνης ἐβάσταζον ποτὲ τοῦτον, καὶ ἔτεκον ὑπὸ τῆς ζώνης, ὅμοιον τῷ ὁρῶ σ' Ὀδυσσεῦ δεξιὰν ὑφ' εἵματος κρύπτοντα τὴν χεῖρα, καὶ τό, πυρὶ γὰρ ἤδη ὑπὸ σκηνῶν πόδα. Ἔστι δέ τις] ἔστι δὲ, ὦ τλῆμον, οὗτός τις τῶν σῶν παίδων;

ANNOTATIONES.

V. 740. Ὀδύρῃ] Bacchius hic in primo loco pro Anapæſto, ſi verſui conſulatur: Quod inuſitatum non eſt.

V. 763. Τέκνων] Prior ſyllaba communis, cujus inſtantias protulimus haud paucas, Phœniſſ. V. 19. Vid. infra ad V. 680.

Εκ. Οὐ

Εκ. Οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ.
Αγ. Ἦ γάρ τιν' ἄλλον ἔτικες, ἢ κείνους, γύναι;
Εκ. Ἀνόνητά γ' (ὡς ἔοικα) τόνδ', ὃν εἰσορᾷς.
Αγ. Ποῦ δ' ὢν ἐτύγχαν', ἡνίκ' ὤλλυτο πόλις;
Εκ. Πατήρ νιν ἐξέπεμψεν, ὀρρωδῶν θανεῖν.
Αγ. Ποῖ, τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;
Εκ. Εἰς τήνδε χώραν, οὗπερ ηὑρέθη θανών.
Αγ. Πρὸς ἄνδρ', ὃς ἄρχει τῆσδε Πολυμήστωρ χθονός;
Εκ. Ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.
Αγ. Θνήσκει δὲ πρὸς τοῦ, καὶ τίνος πότμου τυχών;
Εκ. Τίνος γ' ὑπ' ἄλλου; Θρῄξ νιν ὤλεσε ξένος.
Αγ. Ὦ τλῆμον, ἦ που χρυσὸν ἠράσθη λαβεῖν;
Εκ. Τοιαῦτ', ἐπειδὴ συμφορὰν ἔγνω Φρυγῶν.
Αγ. Εὗρες δὲ ποῦ νιν, ἢ τίς ἤνεγκεν νεκρόν;
Εκ. Ἥδ' ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.
Αγ. Τοῦτον ματεύουσ', ἢ πονοῦσ' ἄλλον πόνον;
Εκ. Λουτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένῃ.
Αγ. Κτανών νιν, ὡς ἔοικεν, ἐκβάλλει ξένος.
Εκ. Θαλασσόπλαγκτόν γ' ὧδε διατεμὼν χρόα.
Αγ. Ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων.
Εκ. Ὄλωλα, κοὐδὲν λοιπὸν Ἀγάμεμνον, κακῶν.
Αγ. Φεῦ· φεῦ· τίς οὕτω δυστυχὴς ἔφυ γυνή;
Εκ. Οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.
Ἀλλ' ὧν περ οὕνεκ' ἀμφὶ σὸν πίπτω γόνυ,
Ἄκουσον. εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,
Στέργοιμ' ἄν· εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
Τιμωρὸς ἀνδρὸς, ἀνοσιωτάτου ξένου.
Ὃς οὔτε τοὺς γῆς νέρθεν, οὔτε τοὺς ἄνω
Δείσας, δέδρακεν ἔργον ἀνοσιώτατον,
Κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοὶ,
Ξενίας τ' ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων.
Τυχὼν δ' ὅσων δεῖ, καὶ λαβὼν προμηθίαν,
Ἔκτεινε, τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,
Οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.
Ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως,

Hec. Non ex illis qui mortui ſunt ex filiis Priami ſub Ilio.
Aga. Anne aliquem alium peperiſti quàm illos, O mulier?
Hec. Inutiliter quidem (ut apparet:) hunc quem aſpicis.
Aga. Ubi verò erat quando peribat Urbs?
Hec. Pater ipſum ablegavit metuens ne moreretur.
Aga. Quônam ab exiſtentibus tunc ſeparans liberis ſolum?
Hec. In hanc regionem, ubi inventus eſt mortuus.
Aga. An ad virum, qui rex eſt hujus Polymeſtorem terræ?
Hec. Huc miſſus eſt acerbiſſimi auri cuſtos.
Aga. Moritur verò à quo? & quod fatum conſequutus?
Hec. Quônam ab alio? Threcius ipſum perdidit hoſpes.
Aga. O infelix, numnam aurum amavit accipere?
Hec. Talia *ſunt*, poſtquam calamitatem cognovit Trojanorum.
Aga. Ubinam illum repeciſti? aut quis attulit cadaver?
Hec. Hæc incidens in eum marino in littore.
Aga. Hunc quærens, an laborans alium laborem?
Hec. Aquam abierat allatura ex mari Polyxenæ.
Aga. Quum interfeciſſet, ut apparet, abjecit hoſpes.
Hec. Fluctuantem in mari utique ſic diſſecans corpus.
Aga. O miſera tu, propter immenſas calamitates!
Hec. Perii: & nihil reliquum eſt, Agamemnon, malorum.
Aga. Ah, ah, quæ ita infelix nata eſt mulier?
Hec. Non eſt, niſi Infelicitatem ipſam diceres.
Sed propter quas cauſas circa tuum cado genu,
Audi. ſi quidem juſta tibi pati videar,
Boni conſulam: ſi verò contrarium, tu mihi ſis
Ultor viri impientiſſimi hoſpitis:
Qui neque eos qui ſub terrâ ſunt, neque eos qui ſupra
Veritus, perpetravit facinus nefandiſſimum:
Communi menſâ ſæpe potitus mecum
Hoſpitalitatiſque in cenſu primus inter meos amicos:
Conſecutus verò quæ conveniebat, & accipiens conſilium
Interfecit: ac ſepulturâ (quum occidere voluit)
Non dignatus eſt, ſed abjecit in mare.
Nos quidem igitur ſervæ & imbecilles forſan,

Οὐ τῶν θανόντων] οὐκ ἔστιν ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου τῶν θανόντων ἐν Ἰλίῳ. Ἦ γὰρ] Ἆρα ἔτικες καὶ ἄλλον τινὰ παῖδα ἢ ἐκείνους; Ἀνόνητά γε] ἀνωφελῶς, ὡς φαίνεται, ἔτικον καὶ τόνδε ὃν ὁρᾷς. Ποῦ δ' ὢν] ποῦ δὲ ὤν, ἡνίκα ἐφθείρετο ἡ πόλις; Πατήρ νιν] ὁ πατὴρ ἐξέπεμψε, φοβούμενος μὴ καὶ αὐτὸς ἀποθάνῃ, ὥσπερ δηλονότι οἱ ἄλλοι, ἁλούσης τῆς Τροίας. 769 Ποῖ τῶν τότε] ποῦ ἐξέπεμψε δηλονότι, χωρίσας μόνον τῶν τότε ὄντων τέκνων, εἰς τήνδε τὴν χερρόνησον ὅπου εὑρέθη θανών, πρὸς ἄνδρα τὸν Πολυμήστορα δηλονότι, ὃς ἄρχει τῆσδε τῆς χθονός; ναί ἐνταῦθα ἐπέμφθη ὁ Πολύδωρος φύλαξ χρυσοῦ πικροτάτου. πικρότατον λέγει τὸν χρυσόν, ὡς αἴτιον τοῦ Πολυδώρου τοῦ φονευθῆναι γενόμενον. αἴτιος γὰρ γέγονε πικρίας τῷ παιδὶ ὁ χρυσός. Θνήσκει δὲ] ἀπὸ τοῦ ἔθνους πρὸς τίνος, καὶ τίνος θανάτου τυχών. Τίνος] ὑπὸ τίνος ἄλλου, ἔφασκε δηλονότι. ὁ Θρᾷξ ὁ φίλος ὤλεσεν αὐτόν. 775 Ὦ τλῆμον] τοῦτο δύναται νοηθῆναι, καὶ πρὸς τὴν Ἑκάβην διὰ τὸν φόνον τοῦ παιδός, πρός τε τὸν Πολυμήστορα, ὡς χρυσοῦ ἕνεκα φονέα γενόμενον. καὶ πρὸς τὸν Πολύδωρον, ὡς ἀδίκως φονευθέντα. Ὦ τλῆμον] ὦ ὑπομονητικὲ ἐν τοῖς δεινοῖς. ἢ τὸν Πολυμήστορα τλήμονα καὶ ὑπομονητικὸν λέγει, διὰ τὸ κέρδος ἀσεβείᾳ κοινωνήσοντα. Ἠράσθη] ὁ Πολυμήστωρ καὶ τοιαῦτα ἐποίησεν, ἀφ' οὗ τὴν συμβᾶσαν βλάβην ἔγνω τῶν Φρυγῶν, ἤτοι τῶν Τρώων. οἱ γὰρ νεώτεροι τὴν αὐτὴν Τροίαν καὶ Φρυγίαν φασίν. Ποῦ δὲ εὗρες αὐτόν; ἢ τίς ἔφερε νεκρόν; ἥδε ἡ θεράπαινα ἐξήνεγκεν ἐντυχοῦσα ἐπὶ τοῦ αἰγιαλοῦ. 779 Τοῦτον ζητοῦσα] ἢ ἐνεργοῦσα ἄλλην ἐνέργειαν. Ἐπέμφθη κομίσουσα ὕδατα, λουτρὰ τῆς Πολυξένης. Κτανὼν αὐτόν, ὡς φαίνεται, ἔρριψεν ὁ φίλος. Θαλασσόπλαγκτον, ὑπὸ τῆς θαλάσσης φερόμενον, οὕτως διακόψας τὸ σῶμα ἔρριψεν. Ὦ σχετλία] ὦ οἰκτρὰ σὺ τῶν ἀναριθμήτων ἕνεκα θλίψεων. Ὄλωλα] ὄλωλα φησὶν ὑπὸ τῶν κακῶν, καὶ τῶν συμφορῶν, καὶ εἰς τὸ μηδὲν ἥκω. ἢ ἐλλειπτικῶς φησίν. ὄλωλα φησὶν Ἀγάμεμνον, καὶ οὐδὲν λοιπὸν τῶν κακῶν ἄκος εὑρεῖν δύναμαι. ἢ οὐδὲν ἀπολείπεταί μοι κακὸν ὃ οὐ πέπονθα. φεῦ φεῦ. τίς ἄλλη γυνὴ σοῦ δυστυχεστέρα ἐγένετο; οὐκ ἔστιν ἑτέρα δυστυχεστέρα ἐμοῦ δηλονότι, εἰ μή τις αὐτὴν τὴν δυστυχίαν λέγει. ἀλλ' ὧν χάριν προσπίπτω τοῖς σοῖς γόνασιν, ἄκουσον, καὶ εἰ μὲν δίκαια σοι παθεῖν φαίνομαι, ἀγαπῴην ἄν. εἰ δὲ τὸ ἐναντίον τουτέστιν ἀνόσια ἔπαθον, βοηθὸς ἐμοὶ γενοῦ ἕνεκα τοῦ ἀνοσιωτάτου ξένου. ὃς οὔτε τοὺς κάτω θεούς, ἤγουν τοὺς καταχθονίους, οὔτε τοὺς ἄνω, οὔτε τοὺς οὐρανίους δείσας, ἔργον ἀνοσιώτατον πεποίηκεν. τοὺς μὲν κάτω θεούς, ὅτι ἄταφον αὐτὸν ἔρριψεν· τοὺς δὲ ἄνω ὡς ἐφόρους ὄντας φιλίας, οὐκ ᾐδέσθη. ἀλλ' ἐξειργάσατο τὸν φόνον τοῦ ἐμοῦ παιδός, τυχὼν ἐμοὶ κοινῆς τραπέζης, τουτέστι μετ' ἐμοῦ πολλάκις ἑστιαθείς, καὶ τὰ πρῶτα τῶν ἐμῶν φίλων τυγχάνων. καὶ οὐκ αἰδεσθεὶς τοὺς κοινοὺς ἅλας, οὔτε τὴν φιλίαν. 788 Εἰ μὲν ὅσια] ὅσιον λέγεται τὸ δίκαιον. διαφέρει δὲ τοῦτο. ὅτι τὸ δίκαιον ὥσπερ γένος ὄν, διαιρεῖται εἰς ὅσιον καὶ δίκαιον. καὶ τὸ μὲν πρὸς θεοὺς ἐξ ἀνθρώπων γινόμενον, ὅσιον καλοῦμεν. τὸ δὲ πρὸς ἀνθρώπους, δίκαιον. ἐνταῦθα δὲ καταχρηστικῶς ἡ Ἑκάβη τὸ ὅσιον λέγει. Τυχὼν δ' ὅσων δεῖ, καὶ λαβὼν προμηθίαν] νοητέον ἢ ὅτι τυχὼν ἐξ ἡμῶν, ὅσων δεῖ τυγχάνειν τοὺς φίλους πρὸς φίλων. καὶ λαβὼν φρόντισιν κηδεμονίας, ἔκτεινε τὸν ἐμὸν υἱόν. ἢ ὅτι τυχὼν δ' ὅσων δεῖ τυγχάνειν τοὺς τῶν βασιλέων παῖδας τρέφοντας ἐν οἴκοις, χρημάτων λέγω, καὶ λοιπῆς δαπάνης. καὶ τὸ μὲν α' νοεῖται ἐκ τοῦ κοινῆς τραπέζης τυχὼν ἐμοί, καὶ τὰ πρῶτα τῶν ἐμῶν φίλων ὤν, τὸ δὲ δεύτερον πρὸς τὸ ἔκτεινεν. Καὶ λαβὼν] ἐπιτυχὼν δὲ ὁπόσων πρέπει τυχεῖν φίλον, καὶ λαβὼν προμηθίαν, ὅ ἐστι τὰ χρήματα, καὶ πᾶσαν τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν. ἢ πρόνοιαν τῶν κατ' ἐμὲ πραγμάτων, ἐφόνευσε. τύμβου δ' οὐκ ἠξίωσεν, ἐπεὶ φονεῦσαι ἤθελεν· ἀλλ' ἔρριψεν εἰς τὴν θάλασσαν. ἡμεῖς μὲν οὖν δοῦλαι μέν, καὶ ἀδύνατοι εἰς ἐκδίκησιν ἐπίσης ὑπάρχομεν.

“ Ἀλλ' οἱ θεοὶ σθένουσι, χ' ὡ κείνων κρατῶν
“ Νόμος. Νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα,
“ Καὶ ζῶμεν ἄδικα καὶ δίκαι' ὡρισμένοι.
“ Ὃς εἰς σ' ἀνελθὼν, εἰ διαφθαρήσεται,
“ Καὶ μὴ δίκην δώσουσιν οἵτινες ξένους
“ Κτείνουσιν, ἢ θεῶν ἱερὰ τολμῶσιν φέρειν,
“ Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
Ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος, αἰδέσθητί με.
Οἴκτειρον ἡμᾶς, ὡς γραφεύς τ' ἀποσταθεὶς,
Ἰδοῦ με, κἀνάθρησον οἷ' ἔχω κακά.
Τύραννος ἦν ποτ', ἀλλὰ νῦν δούλη σέθεν·
Εὔπαις ποτ' οὖσα, νῦν δὲ γραῦς, ἄπαις θ' ἅμα,
Ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν.
Οἴμοι τάλαινα, ποῖ μ' ὑπεξάγεις πόδα;
Ἔοικα πράξειν οὐδέν. ὦ τάλαιν' ἐγώ.
“ Τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
“ Μοχθοῦμεν, ὡς χρὴ, πάντα, καὶ μαστεύομεν,
“ Πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην,
“ Οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν
“ Μισθοὺς διδόντες μανθάνειν, ἵν' ἦ ποτε
“ Πείθειν ἅ τις βούλοιτο, τυγχάνειν θ' ἅμα;
Πῶς οὖν ἔτ' ἄν τις ἐλπίσαι πράξειν καλῶς;
Οἱ μὲν τοσοῦτοι παῖδες οὐκέτ' εἰσί μοι.
Αὐτὴ δ' ἐπ' αἰσχροῖς αἰχμάλωτος οἴχομαι·
Καπνὸν δὲ πόλεως τόνδ' ὑπερθρώσκονθ' ὁρῶ.
Καὶ μὴν ἴσως μὲν τοῦ λόγου κενὸν τόδε,
Κύπριν προβάλλειν. ἀλλ' ὅμως εἰρήσεται.
Πρὸς σοῖσι πλευροῖς παῖς ἐμὴ κοιμίζεται,
Ἡ φοιβὰς, ἣν καλοῦσι Κασάνδραν Φρύγες.
Ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις, ἄναξ,
Ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
Χάριν τίν' ἕξει παῖς ἐμή; κείνης δ' ἐγώ;
“ Ἐκ τοῦ σκότους γὰρ, νυκτέρων τ' ἀσπασμάτων,
“ Φίλτρων ὁμοῦ τι, τοῖς βροτοῖς πολλὴ χάρις.
Ἄκουε δὴ νῦν. τὸν θανόντα τόνδ' ὁρᾷς;
Τοῦτον καλῶς δρῶν, ὄντα κηδεστὴν σέθεν
Δράσεις. ἑνός μοι μῦθος ἐνδεὴς ἔτι.

“ Sed dii validi sunt, & illis dominans
“ Lex: Lege enim deos censemus,
“ Et vivimus injusta & justa nobis proposita habentes.
“ Quæ lex ad te progressa si corrumpetur,
“ Et non pœnam dabunt qui hospites
“ Interficiunt, aut deorum sacra audent capere,
“ Non est quicquam inter homines æquabile.
Hæc igitur inter turpia numerans, reverere me.
Miserere nostri, ac quasi pictor seorsim stans,
Vide me, & aspice qualia habeo mala.
Regina eram olim, sed nunc serva tua:
Felix-multâ-sobole olim, nunc verò anus orbaque liberis simul,
Exul, deserta, miserrima mortalium.
Heu mihi miseræ: quò à me subducis pedem?
Videor effectura esse nihil. O misera ego.
“ Quid tandem mortales alias quidem artes
“ Elaboramus, ut oportet, omnes, & inquirimus:
“ Suadelam verò reginam solam inter homines
“ Nequaquam præ cæteris ad Perfectionem studemus
“ Mercedes dantes discere, ut liceat aliquando
“ Persuadere quæ quis vellet, & consequi simul?
Qui igitur posthac quis sperare possit a futurum se bene?
Hi quidem tot liberi non amplius sunt mihi:
Ipsa vero ad turpitudinem captiva proficiscor.
Fumum vero urbis hunc [illegible]
Atqui fortasse [illegible] sermo inanis [illegible]
Venerem prætendere: attamen dicetur.
Ad tuum latus filia mea cubat
Vates, quam vocant Cassandram Phryges.
Ubi jucundas jam noctes ostendes, O rex,
Aut in lecto charorum amplexuum
Gratiam quam habebit filia? pro illâ verò ego?
“ Ex tenebris enim nocturnisque amplexibus
“ Illecebrisque simul, hominibus multa gratia.
Audi sane nunc: mortuum hunc vides?
Huic bene faciens, affini tuo
Feceris: unius rei meus sermo est deficiens adhuc.

Ἀλλ' οἱ θεοὶ ἰσχύουσι, καὶ ὁ νόμος ἐκείνων ὁ κρατῶν πάντων. νόμῳ γὰρ θεὸν ἴσμεν, τῷ σέβειν θεοῦ νόμους. τῷ γὰρ φυλάττειν τὰ ὑπὸ τοῦ θεοῦ νενομοθετημένα, καὶ τὸ θεῖον νομίζομεν. Καὶ δίκαι' ὡρισμένοι] κακοσυνθέτως εἶπεν. ἔδει γὰρ οὕτως εἰπεῖν, καὶ τὰ δίκαια ὁρισθέντες παρὰ τοῦ θεοῦ τηρεῖν ἐν τοῖς πράγμασιν ἀδίκως βιοῦμεν. 801 Ὅς εἰς σ' ἀνελθὼν] ὁ θεῖος νόμος ἀναχθεὶς εἰς σὲ, εἰ ἀκυρωθήσεται, καὶ μὴ ποινὴν δώσουσιν οἱ τοὺς φίλους φονεύοντες, καὶ ἱεροσυλοῦσιν, οὐκ ἔστιν ἀπὸ τῶν πολιτευομένων πραγμάτων ἐν τοῖς ἀνθρώποις ἐν ἰσότητι οὐδὲν, ἤγουν ἐν δικαιοσύνῃ. Ἀνελθὼν] θαυμαστῶς ἐνταῦθα τὸ ἀνελθὼν κεῖται. διὰ γὰρ τὸ τῆς βασιλείας ὕψος, ταύτῃ τῇ λέξει ἐχρήσατο. τὸ γὰρ ἀνὰ, τὴν ἄνω φορὰν δηλοῖ. 804 Θεῶν ἱερά] ἱερὰ θεῶν λέγει. ἢ τοὺς περὶ τῆς φιλίας γενομένους ὅρκους, καὶ τὴν τὴν μετὰ σπονδῆς θεῶν ἐρχομένην φιλίαν, καὶ τὸ πρὸς τοὺς ξένους παρὰ τῶν θεῶν ταχθὲν δίκαιον. Ταῦτ' οὖν] ἀντὶ τοῦ τοῦτο, ἤγουν τὸ ἀκυρῶσαι, καὶ μὴ πληρῶσαι τὸν θεῖον νόμον, αἰσχρὸν καὶ ἄδικον ἡγησάμενος, ἐντράπηθί με. Ὡς γραφεύς τ' ἀποσταθεὶς] ὡς ζωγράφος ἀπωτέρω στὰς, κατανοεῖ τὰς εἰκόνας εἰ καλῶς ἐγράφησαν, οὕτω καὶ σύ με ἄθρησον, οἵοις κακοῖς περιέπεσον. τὸ δὲ ἰδοῦ, βαρυτονεῖται, ῥῆμα ὄν. ἐπίρρημα δὲ, ὀξύνεται. Ἀποσταθείς.] οὐ πρὸς τὸν Ἀγαμέμνονα νοητέον, ἀλλὰ πρὸς τὸ γραφεύς. οὕτω, καὶ ἴδε με, καὶ ἀνάθρησον οἷα ἔχω κακά. ὥσπερ γραφεὺς τὴν εἰκόνα βλέπει, σταθεὶς ἄπο, ἵνα μὴ πλησίον ὢν διαφθείρῃ τοὺς ὀφθαλμοὺς, καὶ οὐ κατάληψιν ἀκριβῶς ποιήσοιτο. οἱ δὲ πρὸς τὸν Ἀγαμέμνονα τὸ σταθεὶς λέγοντες, οὐ μόνον εὐήθεις εἰσὶν, ἀλλὰ καὶ τὸν Εὐριπίδην συμπαραλαμβάνουσι μετ' αὐτῶν. πῶς γὰρ οὐκ ἠλίθιός τις, λέγειν, σταθεὶς ἀπὸ ὦ Ἀγαμέμνον ὥσπερ γραφεύς. 810 Εὔπαις ποτ' οὖσα] λάμβανε τὸ ἦν βασίλισσα ἀπὸ κοινοῦ. εὔπαις ποτ' οὖσα, ἦν βασίλισσα. νῦν δὲ γραῦς καὶ ἄπαις. Ποῖ μ' ὑπεξάγεις πόδα] ποῦ μεταφέρεις τὸν πόδα σου. τὸ ἐντελὲς, ποῦ μοι ὑπεξέρχῃ. ἐδίσταζε γὰρ αὐτοῦ ἐπικρατεῖν Ἀγαμέμνων, διὰ τὸ φίλον εἶναι τὸν Πολυμήστορα. οὐ γὰρ συνεμάχησε τοῖς Τρωσὶ, χαριζόμενος τοῖς Ἕλλησι. Τί δῆτα θνητοί] ῥητορικῆς ἔπαινος· διατί ζητοῦμεν ἃ οὐδὲν δεῖ, τὴν δὲ πειθὼ μόνην οὐκ ἀσκοῦμεν, ἰσχυρὰν οὖσαν, μισθοὺς διδόντες. Μοχθοῦμεν] μετὰ πόνου μανθάνομεν. Πειθὼ τὴν τύραννον] τὴν ὥσπερ βασιλεὺς ὑπάγουσαν πάντας πρὸς τὸ δοκοῦν ἑαυτῇ, λόγοις ποικίλοις καὶ πιθανοῖς. Οὐδέν τι μᾶλλον] ἀντὶ τοῦ οὐδαμῶς. ὄνομα ἀντὶ ἐπιρρήματος, ὡς τὸ ταχὺς ἦλθεν, ἀντὶ τοῦ ταχέως. ὡς ὄνομα γὰρ δύναται ἔχειν ὑποτεταγμένον τὸ τί. 819 Πείθειν] τὴν δὲ πειθὼ μανθάνειν ἀκριβῶς οὐ σπουδάζομεν, ἧς ἔδει μᾶλλον ἀντιποιεῖσθαι. ἵνα ὑπάρχῃ φησὶ, πείθειν εἰς ἅ τις βούλοιτο. εἰπὼν δὲ τὸ ποτὲ, οὐκ ἀεὶ αὐτῇ ἀνατίθησι τὴν τοῦ πείθειν δύναμιν. Τί οὖν ἔτ' ἄν τις] εἰς τί ἂν ἐλπίσει δή τις πράξειν καλῶς. Ὑπερθρώσκοντα] ὑπερτέλλοντα. Καὶ μὴν ἴσως] σεμνότατον τὸ σχῆμα παρὰ τοῖς ῥήτορσιν. ἴσως φησὶ κενὸν ὑπάρχει τὸ τὴν ἀφροδίτην εἰς μαρτυρίαν προτείνειν. ἀλλ' ὅμως λεχθήσεται, καὶ μὴν ἴσως κενὸν καὶ ἄχρηστον τόδε, τὸ ἐμπεριέχον τῷ λόγῳ ποιεῖσθαι τὴν συνουσίαν τῆς θυγατρὸς, ἀλλ' ὅμως εἰρήσεται, πρὸς ταῖς σαῖς πλευραῖς εἰς ὕπνον τρέπεται ἡ ἐμὴ μαντικὴ παῖς, ἥν τινα ὀνομάζουσιν οἱ Φρύγες Κασάνδραν. ποῦ δῆτα δείξεις, ὦ ἄναξ, τὰς περιφιλεῖς νύκτας. ἢ τοῦ ἕξει ἡ ἐμὴ παῖς, τὸ τοῦ κατὰ κοινοῦ, χάριν τινὰ, καὶ ἀνταμοιβὴν, ἕνεκα τῶν ἐν τῇ εὐνῇ φιλτάτων ἀσπασμάτων καὶ φιλημάτων τινὰ χάριν ἕξει ἡ ἐμὴ παῖς ἀπὸ σοῦ, ἀπ' ἐκείνης δ' ἐγώ. ἐκ τῆς νυκτὸς γὰρ καὶ ἐκ τῶν νυκτερινῶν φίλτρων, πάνυ μεγίστη γίνεται χάρις τοῖς βροτοῖς. ἄκουε δὴ νῦν, ὁρᾷς τόνδε τὸν θανόντα, ἤγουν τὸν Πολύδωρον, τοῦτον δρῶν καλῶς, ἤτοι εὐεργετῶν, ὄντα γυναικάδελφον σέθεν, ἤγουν σου, δράσεις εὖ δηλονότι. ἑνὸς ἐστὶν ἐμοὶ ὁ μῦθος ἐλλιπής.

Ε'

Εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι,
Καὶ χερσὶ, καὶ κόμαισι, καὶ ποδῶν βάσει,
Ἢ Δαιδάλου τέχναισιν, ἢ θεῶν τινος,
Ὡς πάνθ᾽ ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων,
Κλαίοντ᾽, ἐπισκήπτοντα παντοίους λόγους.
Ὦ δέσποτ᾽, ὦ μέγιστον Ἕλλησιν φάος,
Πιθοῦ, παράσχες χεῖρα τῇ πρεσβύτιδι
Τιμωρὸν, εἰ καὶ μηδέν ἐστιν· ἀλλ᾽ ὅμως.
« Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ᾽ ὑπηρετεῖν,
« Καὶ τοὺς κακοὺς δρᾷν πανταχοῦ κακῶς ἀεί.
Χο. « Δεινόν γε θνητοῖς ὡς ἅπαντα συμπίτνει.
« Καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
« Φίλους τιθέντες τούς γε πολεμιωτάτους,
« Ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.
Αγ. Ἐγώ σε, καὶ σὸν παῖδα, καὶ τύχας σέθεν,
Ἑκάβη, δι᾽ οἴκτου, χεῖρά θ᾽ ἱκεσίαν, ἔχω,
Καὶ βούλομαι θεῶν θ᾽ οὕνεκ᾽ ἀνόσιον ξένον,
Καὶ τοῦ δικαίου, τήνδε σοι δοῦναι δίκην.
Εἴ πως φανείη γ᾽, ὥς τέ σοι καλῶς ἔχειν,
Στρατῷ τε μὴ δόξαιμι Κασσάνδρας χάριν
Θρῄκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
Ἔστιν γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι.
Τὸν ἄνδρα τοῦτον φίλον ἡγεῖται στρατὸς,
Τὸν κατθανόντα δ᾽ ἐχθρόν. εἰ δὲ σοὶ φίλος
Ὅδ᾽ ἐστὶ, χωρὶς τοῦτο, κοὐ κοινὸν στρατῷ.

Utinam mihi fieret vox in brachiis
Et manibus & comis & pedum ingreſſu,
Vel Dædali arte, vel Deorum alicujus:
Ut omnia ſimul tuis adhæreſcerent genibus,
Plorantia, exprimentia omnis generis ſermones.
O Domine, ô maximum Græcis lumen
Obtempera: porrige manum huic anui
Ultricem, etſi nihil ea eſt: ſed tamen porrige manum:
« Boni enim viri eſt Juſtitiæ inſervire,
« Et malos punire ubique ſemper.
Cho. « Mirum ſanè eſt, mortalibus ut omnia accidant
« Et neceſſitudines leges definiunt,
« Amicos efficientes ex inimiciſſimis,
« Inimicóſque eos, qui ante benevoli erant, facientes.
Ag. Ego te & tuum filium & fortunas tuas,
O Hecuba, per miſericordiam, manumque ſupplicem, habeo,
Voloque & deorum gratiâ, impium hoſpitem,
Et juſtitiæ, hanc tibi dare pœnam:
Si quo modo videar, quod ad te ſpectat, benè velle,
Exercituſque non videar Caſſandræ gratiâ
Thraciæ regi hanc ſtruere cædem.
Eſt enim quatenus metus incidit mihi.
Virum hunc, amicum ducit exercitus:
Mortuum verò, hoſtem. Si verò tibi charus
Hic eſt, privatim eſt hoc, & non publicum exercitui.

Εἴθε γένοιτό μοι λαλιὰ ἐν τοῖς βραχίοσι, καὶ ἐν ταῖς κόμαις, καὶ ἐν τῇ βάσει τῶν ποδῶν, ἢ ἐν τέχναις Δαιδάλου, ἢ τινὸς ἀπὸ τῶν θεῶν. ἵνα πάντα τὰ μέλη μου ἅπτοιτο ὁμοῦ τῶν σῶν γονάτων, κλαίοντα, καὶ ἐντελλόμενα παντοίους λόγους. ὦ δέσποτα, ὦ μέγιστον φάος τοῖς Ἕλλησιν, ἀντὶ τοῦ τῶν Ἑλλήνων. πείσθητι, καὶ δὸς ἐμοὶ δὴ πρεσβύτιδι χεῖρα βοηθὸν, εἰ καὶ μηδέν ἐστιν ἢ ἱκετεύουσά σε δηλονότι. ἀλλ᾽ ὅμως δεῖ αὐτὴν παρὰ σοῦ ἐλεηθῆναι. ἴδιον γὰρ ἀνδρὸς ἀγαθοῦ τῇ δικαιοσύνῃ βοηθεῖν, καὶ τοὺς κακοὺς δρᾷν ἀεὶ πανταχοῦ κακῶς, ἤτοι τιμωρεῖσθαι. [838] Δαιδάλου τέχναισι] περὶ τῶν Δαιδάλου ἔργων, ὅτι ἐκινεῖτο καὶ περιῄει φανερῶς. αὐτός τε Εὐριπίδης ἐν Εὐρυσθεῖ λέγει, οὐκ ἔστιν ὦ γεραιὲ μὴ δείσῃς τάδε, τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ. βλέπειν τ᾽ ἀγάλμαθ᾽ ἐστὶν ἀνὴρ κεῖνος σοφός. καὶ Κρατῖνος ἐν Θρᾴτταις, περὶ κοινὸν * ἀνδρεμάραιον πνᾶ ποτὲ χαλκοῦν ἢ ξύλινον καὶ χρυσίον φορεῖν, ὁ δημὸς ξύλινος ἐκεῖνος, ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. πότερον Δαιδάλειος ἦν, ἢ τίς ἔκλεψεν αὐτόν. καὶ Πλάτων. οὗτος τί ἢ λέγε ταχὺ, τί σιγᾷς; οὐκ ἐρεῖς; Ἑρμῆς ἔγωγε Δαιδάλου φωνὴν ἔχων, ξύλινος βαδίζων αὐτομάτως ἐλήλυθα. Δαιδάλου τέχναισι] ἀγαλματοποιὸς ὁ Δαίδαλος, ποιῶν ἀγάλματα οὕτω κάλλιστα, ὡς ἰσορρηθῆναι περὶ τούτων τοῖς ποιηταῖς, ὅτι φωνὴν ἠφίεσαν, καὶ ἐκινοῦντο. ἦν δὲ ὁ Δαίδαλος, καὶ πτερὰ ὅτε ἐβούλετο προσετίθει. ἐπεὶ καὶ τὸν υἱὸν Ἴκαρον, ἐκ κηροῦ πτερὰ πλασάμενος, καὶ προσθεὶς αὐτῷ, ἐπείσεν ἐναέριον κομισθῆναι. διαλυθέντος δὲ τοῦ κηροῦ, πέπτωκεν εἰς τὸ νῦν καλούμενον ἀπ᾽ αὐτοῦ Ἰκάριον πέλαγος. φασὶ γὰρ ἀμυνόμενον τὸν Ἥλιον Δαίδαλον, ὡς πεποιηκότα, τὴν θυγατέρα αὐτοῦ Πασιφάην, ἐρασθεῖσαν τοῦ ταύρου, μιγῆναι αὐτῷ. ἐπεὶ τότε πετόμενον εἶδε τὸν αὐτοῦ υἱὸν Ἴκαρον ἐκ κηροῦ πτεροῖς χρώμενον, σφοδρῶς ἐμπεσεῖν τοῖς πτεροῖς, καὶ διαλυθῆναι ταῦτα παρασκευάσαι. καὶ τὸν ἐν τούτοις κουφιζόμενον Ἴκαρον κατενεχθέντα πεπνῖχθαι. [843] Εἰ καὶ μηδέν ἐστιν] ἢ ἱκετεύουσά σε ὡς αἰχμάλωτος, καὶ δούλη. ἀλλ᾽ οὖν δι᾽ αὐτὸ τὸ δίκαιον τιμώρησαι τὸν Πολυμήστορα. τοῦτο γάρ ἐστιν ἀνδρὸς ἀγαθοῦ, τὸ τοὺς κακοὺς ἐννόμως τιμωρεῖσθαι. Δεινόν γε θνητοῖς] ἐπεὶ τὴν Ἑκάβην ὁ χορὸς εἶδε δεομένην τοῦ Ἀγαμέμνονος, βοηθῆσαι αὐτῇ ἐχθροῦ ὄντος, ὡς τὴν πόλιν ταύτης πεπορθηκότος, λέγει δεινοπαθῶν· δεινόν ἐστιν ὅτι συμπίπτει καὶ συμπίπτει πάντα τοῖς θνητοῖς. καὶ οὔτε ὁ φίλος ἀεὶ φίλος, οὔτε ὁ ἐχθρὸς ἀεὶ ἐχθρός. ἀλλ᾽ ὁ μὲν φίλος ἔστιν ὅτε ἐχθρὸς γίνεται, ὁ δὲ ἐχθρὸς φίλος. καὶ οἱ νόμοι κελεύοντες τὸν μὲν φίλον ἀεὶ φίλον ἡγεῖσθαι, τὸν δὲ ἐχθρὸν ἀεὶ ἐχθρὸν λέγουσι, κεχωρισμένας τὰς ἀνάγκας τιθέντες διὰ τούτων τοὺς φίλους ἐχθροὺς, καὶ τὸ ἔμπαλιν. οὐδ᾽ ἐάν τις ἀνάγκη συμβῇ, ὥσπερ καὶ νῦν, ὁ μὲν φίλος ἐχθρὸς, ὁ δὲ ἐχθρὸς φίλος καθίσταται. οὕτω τοῦτο νοεῖται. οἱ δὲ ἀλλάσσοντες τὰς λέξεις καὶ τὰς ἀνάγκας ἀντὶ τοῦ ἀνάγκαι, καὶ τὸ νόμοι ἀντὶ τοῦ νόμους, καὶ τ᾽ ἄλλα ὁμοίως λέγοντες, ἀμαθεῖς. Ἄλλως. δεινόν γε θνητοῖς, μεταλλακτέον τὰς πτώσεις. ἔστι γὰρ καὶ αἱ ἀνάγκαι τοὺς νόμους διώρισαν. ὁ δὲ νοῦς, δεινὸν ὅτι πάντα συνέρχεται τὰ κακὰ κατὰ ταυτὸν τοῖς ἀνθρώποις, καὶ αἱ ἀνάγκαι τὰ νενομισμένα τοῖς ἀνθρώποις μετήλλαξαν. ἐδόκει γὰρ πολέμιον εἶναι τῇ Ἑκάβῃ τὸν Ἀγαμέμνονα. ἀλλ᾽ ἡ ἀνάγκη τὸν νενομισμένον τῇ Ἑκάβῃ μετήλλαξεν. Ἄλλως. ἐναντίως εἶπεν. ἔδει γὰρ, καὶ τοὺς νόμους ἀνάγκαι διορίζουσιν, αὗται καὶ νόμων ἐπικρατέστεραι, οὐ τὸ ἐναντίον, διότι τὰ ἑκούσια τιμωροῦνται, οὐχὶ τὰ ἐξ ἀνάγκης δρώμενα. ὡς καὶ νῦν ὑμᾶς ἐξ ἀνάγκης φίλον ποιεῖσθαι τὸν πολέμιον. Ἄλλως. διώρισαν, διετύπωσαν, ἀφορίζουσιν. οὐδ᾽ αἱ ἀνάγκαι οὐκ ἀκολούθως τοῖς νόμοις πράττουσιν, ὅθεν αἱ ἀνάγκαι τῶν νόμων ἐπικρατέστεραί εἰσιν, οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. [850] Ἐγώ σε καὶ τὸν σὸν παῖδα] καὶ τὴν δυστυχίαν σου, καὶ τὴν ἱκεσίαν χεῖρα ἐλεῶ. καὶ θέλω φησὶν ἕνεκα τοῦ δικαίου, καὶ τῶν θεῶν ταύτην σοι δοῦναι τὴν χάριν, τὸ τιμωρήσασθαι δηλαδὴ τὸν ἄδικον ξένον, εἴπως δυνατὸν γένοιτο, ὥστε καὶ σοὶ καλῶς γενέσθαι, καὶ τοῖς Ἕλλησι μὴ δόξω διὰ Κασσάνδραν τιμωρεῖσθαι τὸν Πολυμήστορα. Ἄλλως. βούλομαι ἕνεκα τῶν θεῶν, καὶ ἕνεκα τοῦ δικαίου, δοῦναί σοι τὸν ἀνόσιον τόνδε τὴν δίκην. Μὴ δόξαιμι] δέον δόξαι εἰπεῖν, πρὸς τὸ σοί τ᾽ ἔχειν· ὁ γάρ τε σύνδεσμος τοῦτο ἀπαιτεῖ, δόξαιμι εἶπε πρὸς τὸ φανείην. ζητήσεις δὲ πανταχοῦ ταύτην εὑρήσεις τὴν σύνταξιν. [857] Ἔστιν γὰρ ᾗ ταραγμὸς] τὸ τί ἐλλείπει. ἵν᾽ ᾖ, ἔστι γάρ τι φησὶ, καθὸ τετάραγμαι. ποῖον τοῦτο; τὸν ἄνδρα τοῦτον φίλον ἡγεῖται στρατός. Ἄλλως. ἔμελλεν εἰπεῖν, ὅτι ἐστὶ φίλος τοῖς Ἕλλησιν. εἶτα μεταλογισάμενος, φησὶν, ὅτι ταραγμὸς ἐμπέπτωκέ μοι. ἀντὶ τοῦ τετάραγμαι, ἐννοήσας ὅτι φίλος ἐστὶ τῷ στρατεύματι ὁ Πολυμήστωρ.

* Ἀνδρεμάραιον, &c.] Hic locus valdè corruptus mihi videtur; quem ita reſtituo, fragmentum nempè ex *Cratino* in Poemate *Thraciæ-Mulieres* dicto, ὁ Κρατῖνος ἐν Θρᾴτταις περὶ, &c. λέγει περὶ (ἀνδριάντος) τινα ποτὲ χαλκοῦν ἢ ξύλινον, καὶ χρυσίον φορεῖν; Ὁ δημὸς ξύλινος ἐκεῖνος, ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. Πότερον Δαιδάλειος ἦν, ἢ τίς ἔκλεψεν αὐτόν, &c.

ANNOTATIONES.

V. 839. Ἢ Δαιδάλου τέχναισι.] Hoc in loco Scholiaſtem non laudo, qui exponit, quaſi optaret *Hecuba* Vocem in brachiis, in manibus, in comis, in pedibus, aut in *Dædali* artibus; cum ſenſus longe alius ſit, optat enim ut vel *Dædali* arte, vel Dei alicujus hæc ei contingant. Quare expono, *Utinam, inquam, hoc mihi fiat*, vel *Dædali* arte, vel Deorum alicujus.

V. 858. Τὸν ἄνδρα τοῦτον φίλον, &c. τὸ φι in φίλιον quoniam in hoc loco longum eſſe neceſſe eſt, circumflectendum; Ut *Hom.* Il. Δ. V. 155. Φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι᾽ ἔταμνον. ſic ι in ἴσος, ubi breyis eſt ſcribitur ἴσος, ubi verò longum circumflectitur, ut ἶσος, aliter lege φίλιον. *Canterus* poſt ἄνδρα ponit γάρ.

Πρὸς

Πρὸς ταῦτα φρόντιζ᾽, ὡς θέλοντα μέν μ᾽ ἔχεις
Σοὶ ξυμπονῆσαι, καὶ ταχὺν προσαρκέσαι,
Βραδὺν δ᾽, Ἀχαιοῖς εἰ διαβληθήσομαι.
Εκ. “Φεῦ, οὐκ ἔστι θνητῶν, ὅς τις ἔστ᾽ ἐλεύθερος.
“Ἢ χρημάτων γὰρ δοῦλός ἐστιν, ἢ τύχης,
“Ἢ πλῆθος αὐτὸν πόλεος, ἢ νόμων γραφαὶ
“Εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
Ἐπεὶ δὲ ταρβεῖς, τῷ τ᾽ ὄχλῳ πλέον νέμεις,
Ἐγώ σε θήσω τοῦδ᾽ ἐλεύθερον φόβου.
Σύνισθι μὲν γάρ, ἤν τι βουλεύσω κακὸν
Τῷ τόνδ᾽ ἀποκτείναντι· συνδράσῃς δὲ μή.
Ἢν δ᾽ ἐξ Ἀχαιῶν θόρυβος, ἢ ᾽πικουρία,
Πάσχοντος ἀνδρὸς Θρηκὸς, οἷα πείσεται,
Φανῇ τις, εἶργε, μὴ δοκῶν ἐμὴν χάριν.
Τὰ δ᾽ ἄλλα θάρσει, πάντ᾽ ἐγὼ θήσω καλῶς.
Αγ. Πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
Λαβοῦσα γραίᾳ, φῶτα βάρβαρον κτενεῖς,
Ἢ φαρμάκοισιν, ἢ ᾽πικουρίᾳ τινί;
Τίς σοι ξυνέσται χείρ; πόθεν κτήσῃ φίλους;
Εκ. Στέγαι κεκεύθασ᾽ αἵδε Τρῳάδων ὄχλον.
Αγ. Τὰς αἰχμαλώτους εἶπας, Ἑλλάνων ἄγραν;
Εκ. Σὺν ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.
Αγ. Καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;
Εκ. Δεινὸν τὸ πλῆθος, ξὺν δόλῳ τε δύσμαχον.
Αγ. Δεινόν, τὸ μέν τοι θῆλυ μέμφομαι γένος.
Εκ. Τί δ᾽; οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα;
Καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
Ἀλλ᾽ ὡς γενέσθω, τόνδ᾽ ἐμοὶ μέθες λόγον.
Πέμψον δέ μοι τήνδ᾽ ἀσφαλῶς διὰ στρατοῦ

Præterea conſidera, quod volentem quidem me habes
Tibi opem ferre, & promptum ad auxiliandum,
Tardum vero, a Græcis ſi criminabor.
Hec. “Heu, non eſt mortalium qui ſit liber:
“Aut pecuniarum enim ſervus eſt, aut fortunæ,
“Aut multitudo eum urbis, aut legum ſcripturæ
“Prohibent, ne utatur pro arbitrio moribus.
Poſtquam verò metuis, multitudinique nimium tribuis,
Ego te faciam hoc liberum metû.
Sis conſcius quidem, ſi quid ſtruam mali
Adverſus eum, hunc qui interfecit: adjutor vero ne ſis.
Si verò ex Achæis tumultus aut auxilium,
Patiente viro Thrace, qualia patietur,
Appareat quiſpiam, cohibe, non præ te ferens meam gratiam,
Quod ad alia vero, confide, cuncta ego conficiam probe.
Ag. Quomodo igitur? quid facies? utrum gladium manu
Accipiens anus, virum barbarum interficies?
Aut venenis, aut ope quâdam?
Quæ tibi aderit manus? unde habebis amicos?
Hec. Tecta occultant hæc Troadum turbam.
Ag. Captivas dicis Græcorum prædam?
Hec. Cum his hunc meum homicidam ulciſcar.
Ag. Et quomodo mulieribus in viros erit robur?
Hec. Eſt *quiddam* potens multitudo, cum inſidiiſq; inſuperabile.
Ag. Potens, quidem, ſed ſanè fœmineum reprehendo genus.
Hec. Quid verò? an non mulieres interfecerunt Ægypti filios?
Et Lemnum funditus viris exterminarunt?
Sed ut fiet, perge, hanc mihi relinque rationem:
Mitte verò mihi hanc tuto per exercitum.

Φεῦ οὐκ ἔστι θνητῶν] ταῦτα φησὶν ἐπειδὴ ἐν ἐξουσίᾳ ὢν ὁ Ἀγαμέμνων, οὐ δύναται αὐτῇ χάριν προσαγαγεῖν, ὑφορώμενος τοὺς Ἕλληνας. Φεῦ οὐκ ἔστιν] οὐκ ἔστιν οὐδεὶς ἀπὸ τῶν θνητῶν ἐστὶν ἐλεύθερος, ἀντὶ τοῦ ὅς τις οὐκ ἔστι δοῦλος. ἢ γὰρ δοῦλός ἐστι χρημάτων κατὰ κοινοῦ, ἤγουν φιλοχρήματος. ἢ δοῦλος κατὰ κοινοῦ, τύχης καὶ εὐτυχίας. ἢ τὸ πλῆθος, ἤγουν ὁ δῆμος τῆς πόλεως. ἢ αἱ γραφαὶ τῶν νόμων, ἤτοι αἱ νομικαὶ διατάξεις, κωλύουσιν αὐτὸν μὴ χρῆσθαι τοῖς τρόποις κατὰ γνώμην, καὶ κατὰ θέλησιν. Ἢ τύχης] τύχη λέγεται κυρίως, ὅταν ἄλλο ἐνεργῇ τις, εἶτα ἄλλο συμβῇ. τύχαι παρ᾽ Ἕλλησι καὶ αἱ τυχαῖαι πράξεις τῶν ἀνθρώπων, καὶ ὑποτεταγμέναι, καὶ αἱ ὑψηλαί, καὶ ἐπικρατοῦσαι. ὑπὸ τῆς τύχης γὰρ ἐνόμιζον πάντα γίνεσθαι τοῖς ἀνθρώποις, οὐκ ὑπὸ εὐβουλίας τε καὶ κακοβουλίας. ἐνταῦθα κατὰ τὸ δεύτερον σημαινόμενον λέγεται, ἤγουν ἢ χρημάτων γάρ ἐστι δοῦλος, ἢ τύχης ἐστὶ δοῦλος. τουτέστιν ὑψηλοτέρας τινὸς τάξεως, καὶ ἐπικρατούσης. διαφέρει δὲ ἡ τύχη τοῦ αὐτομάτου. ὅτι τὴν μὲν τύχην ἐπὶ τούτῳ ὅ τι εἴρηται, τὸ δὲ αὐτόματον ὅταν γίνηται τι ἄλλο, ἄλλου μηδαμῶς ἐνεργοῦντος. δοῦλος δὲ τύχης ἐστίν, ὁ ἀναγκαζόμενος δουλεύειν τῇ τῶν κρειττόνων εὐτυχίᾳ. [868] Ἐπεὶ δὲ ταρβεῖς] ἐπειδὴ δὲ φοβῇ, καὶ τῷ ὄχλῳ πλέον νέμεις, ἀντὶ τοῦ χαρίζῃ μᾶλλον τοῖς Ἕλλησιν, ἐγὼ ποιήσω σε ἀπολελυμένον τοῦδε τοῦ φόβου. συνεπίστασο ἐὰν βουλεύσω τι κακὸν τῷ ἀποκτείναντι τὸν Πολύδωρον δηλονότι. καὶ μὴ συμπράξῃς. ἐὰν δὲ πάσχοντος τοῦ Πολυμήστορος οἷα πείσεται καὶ ὀδυρομένου, φανῇ ἐκ τῶν Ἀχαιῶν θόρυβός τις, ἢ κακοήθεια, κώλυε, μὴ φαινόμενος δι᾽ ἐμὲ εἴργειν δηλονότι. Τὰ δ᾽ ἄλλα,] κατὰ τὰ ἄλλα θάρρει, ἐγὼ ποιήσω πάντα καλῶς. [879] Χεὶρ] τίς σοι συμπαρέξει δύναμις. Κεκεύθασιν] κρύπτουσι. Τιμωρήσομαι] κολάσω. Ἔσται κράτος] ἐπικράτεια. Δεινὸν] χαλεπὸν τὸ πλῆθος, καὶ σὺν δόλῳ δυσκαταγώνιστον. Τί δ᾽ οὐ γυναῖκες ἀνεῖλον τὰ τέκνα τοῦ Αἰγύπτου, καὶ τοὺς ἄρσενας ἐξῳκισθῆναι ἐποίησαν τῆς Λήμνου, ἀντίστροφον. ἀντὶ τοῦ τοὺς ἄρσενας ἐξῴκισαν ἄρδην τῆς Λήμνου. Ἱστορία. Αἴγυπτος καὶ Δαναὸς ἀδελφοὶ ἦσαν, Ἰοῦς δὲ τῆς Ἰνάχου θυγατρὸς ἀπόγονοι. Τούτων ὁ μὲν Αἴγυπτος ἔσχε παῖδας ἄρσενας πεντήκοντα, ὁ δὲ Δαναὸς καὶ αὐτὸς θυγατέρας ν. οὗτος τοῦ ἀδελφοῦ Αἰγύπτου φθονῶν διὰ τὴν τῶν ἀρσένων κτῆσιν, καὶ φοβηθεὶς μήπως ὑπ᾽ αὐτοῦ τῆς βασιλείας ἐκβληθῇ, ἀνδρωθέντων τῶν υἱῶν αὐτοῦ, ἐδίωξεν αὐτὸν εἰς Αἴγυπτον ἅμα τοῖς παισὶν αὐτοῦ, ὅθεν καὶ ἀπ᾽ αὐτοῦ Αἴγυπτος ἐκλήθη, χρόνου δέ τινος διαγενομένου, καὶ τῶν παίδων ἀνδρωθέντων, θαρρῶν Αἴγυπτος τῇ τούτων δυνάμει, παραγίνεται εἰς τὸ Ἄργος. ὁ δὲ Δαναὸς φοβηθεὶς αὐτόν, πρόνοιαν ποιούμενος τῆς βασιλείας, κατὰ τῶν Αἰγύπτου υἱῶν τοιαύτην ἐσκέψατο ἐπιβουλήν. συνέθετο γὰρ τῷ Αἰγύπτῳ συνάψαι πρὸς γάμον τὰς ἑαυτοῦ θυγατέρας τοῖς υἱοῖς αὐτοῦ. ἐπεὶ δὲ τοῦτο κατεπαγγελλόμενος τῷ Αἰγύπτῳ, συνεβούλευσε ταῖς θυγατράσιν ὁ Δαναός, ὥστε ἀνελεῖν νυκτὸς τοὺς ἑαυτῶν ἄνδρας, μετὰ τῆς μίξεως τῆς πρὸς αὐτούς, θάνατον ἐπαπειλήσας ταῖς μὴ τοῦτο ποιούσαις. αἱ μὲν οὖν ἄλλαι ἔχουσαι τὸ τοῦ πατρὸς πρόσταγμα ἀνεῖλον τοὺς ἄνδρας, μία δὲ τούτων μόνη ἡ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως, ἀπὸ τῆς μίξεως διάθεσιν ἐσχηκυῖα πρὸς αὐτόν. οὗτος δὲ σωθείς, ἐξεδίκησε τοὺς ἀδελφούς. ἐφόνευσε γὰρ τὰς θυγατέρας τοῦ Δαναοῦ, ἅμα καὶ αὐτόν. καὶ τῆς τούτου βασιλείας ἐκράτησε τοῦ Ἄργους, ἅμα τῇ Ὑπερμνήστρᾳ. καὶ γίνεται ἐκ τούτου Ἄβας. ἐξ Ἄβαντος Προῖτος καὶ Ἀκρίσιος· ἐξ Ἀκρισίου, Δανάη· ἐκ Δανάης, Περσεύς· ἐκ Περσέως, Ἀλκαῖος, Ἠλεκτρύων, καὶ Σθένελος. ὧν ὁ μὲν Ἀλκαῖος ἔσχε τὸν Ἀμφιτρύωνα παῖδα, ὁ δὲ Ἠλεκτρύων τὴν Ἀλκμήνην, ἐξ Ἀλκμήνης δὲ Ἡρακλῆς καὶ Ἴφικλος. ἐξ οὗ Ἰόλαος. φασὶ δὲ οἱ ποιηταὶ ταύτας ἐν ᾅδου κολάζεσθαι, διὰ τὸν φόνον τῶν ἰδίων ἀνδρῶν, ὑδροφορεῖν καταδικασθείσας ἐν τετρυπημένῳ πίθῳ. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀνήνυτα μοχθούντων, εἰς τετρυπημένον πίθον ἀντλεῖν λέγομεν. [887] Καὶ Λῆμνον ἄρδην] ἐν Λήμνῳ γυναῖκες ἐτέλουν ἐτήσιον ἑορτὴν τῇ Ἀφροδίτῃ. ἐπεὶ οὖν ποτὲ καταφρονήσασαι τῆς θεοῦ, ἀπέλιπον τὸ ἔθος, ἡ Ἀφροδίτη ἐνέβαλεν αὐταῖς δυσωδίαν, ὡς μὴ δύνασθαι τοὺς ἑαυτῶν ἄνδρας αὐταῖς πλησιάσαι. αἱ δὲ νομίσασαι ὑπὸ τῶν ἀνδρῶν καταφρονεῖσθαι, τούτους πάντας ἀπέκτειναν. ὁ δὲ Δίδυμος οὕτω. Πελασγοὶ ἐπιδημοῦντες ποτὲ ταῖς Ἀθήναις, πολλὰς τῶν ἐξ Ἀθηνῶν ἁρπάσαντες, ἤγαγον εἰς Λῆμνον. ἐν οἷς καὶ γυναῖκας Ἀττικάς, αἷς παλλακαῖς χρησάμενοι ἔσχον παῖδας. οὓς αἱ μητέρες τήν τε πατρῴαν γλῶτταν, καὶ τὰ ἤθη ἐδίδαξαν. οἱ δὲ συνείχοντο τότε ἀλλήλοις. καὶ εἴ τις τύπτοι ἀπ᾽ αὐτῶν τινά, ἐβοήθουν ἅπαντες. καὶ μετὰ ταῦτα αἱ Λήμνιαι γυναῖκες, τοὺς σὺν Θόαντι πάντας ἀπέκτειναν. δι᾽ ἀμφότερα οὖν ταῦτα ἡ παροιμία ἐλέχθη, τὰ Λήμνια κακά. [888] Ἀλλ᾽ ὡς γενέσθω] ἀλλὰ πῶς χρὴ γενέσθαι τόνδε μὲν τὸν λόγον ἐμοὶ ἄφες. παράπεμψον δὲ χάριν ἐμοῦ, τήνδε τὴν γυναῖκα διὰ τοῦ στρατοῦ ἀκινδύνως.

ANNOTATIONES.

V. 864. Φεῦ. οὐκ ἔστι, &c.] En iterum, ut τὸ φεῦ otioſum eſt in ſcanſione uti ſupra probavimus, præcipuè verò ad *Hecub.* 1116.

V. 873. Πάσχοντος ἀνδρὸς Θρηκὸς, οἷα πείσεται] Miſerè lapſus eſt *Gaſp. Stiblinus*, qui πείσεται deducit à πείθομαι, quum ſit à Πάσχω, quod nemini non notum.

V. 880. & 881. Ὄχλον & ἄγραν] *Iambus* uterque: De hâc re nos copioſe ad *Phœniſſ.* V. 19.

V. 886. Τέκνα] Prior ſyllaba communis.

Γυναῖκα.

Γυναῖκα. καὶ σὺ Θρηκὶ πλαθεῖσα ξένῳ,
Λέξον· καλεῖ σ' ἄνασσα δή ποτ' Ἰλίου
Ἑκάβη, (σὸν οὐκ ἔλασσον ἢ 'κείνης χρέος,)
Καὶ παῖδας· ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
Τοὺς ἐξ ἐκείνης. Τὸν δὲ τῆς νεοσφαγοῦς
Πολυξένης ἐπίσχες, Ἀγάμεμνον, τάφον,
Ὡς τώδ' ἀδελφὼ, πλησίον μιᾷ φλογὶ
Δισσῇ μερίμνῃ μητρὶ κρυφθῆτον χθονί.
Αγ. Ἔσται τάδ' οὕτω. καὶ γὰρ εἰ μὲν ἦν στρατῷ
Πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν.
Νῦν δ', οὐ γὰρ ἵησ' οὐρίας πνοὰς θεὸς,
Μένειν ἀνάγκη, πλοῦν ὁρῶντας ἥσυχον.
" Γένοιτο δ' εὖ πως. Πᾶσι γὰρ κοινὸν τόδε,
" Ἰδίᾳ θ' ἑκάστῳ, καὶ πόλει, τὸν μὲν κακὸν
" Κακόν τι πάσχειν· τὸν δὲ χρηστὸν, εὐτυχεῖν.

Mulierem. Et tu, O mulier, Thracio accedens hoſpiti,
Dic, Vocat te regina olim ſanè Ilii
Hecuba, (tua vero non minùs quam ipſius cauſâ)
Et liberos: quoniam oportet & liberos ſcire ſermones
Aliquos ex illâ. Recens verò interfectæ
Polyxenæ differ, Agamemnon, ſepulturam,
Ut iſti duo frater & ſoror, propè unâ flammâ
Duplici curâ matris occultentur terrâ.
Aga. Erunt hæc ſic: etenim ſi eſſet exercitui
Navigatio, non potuiſſem hanc tibi præſtare gratiam.
Nunc verò (non enim mittit ſecundos flatus Deus)
Manere neceſſe eſt, navigationem expectantes tranquillam.
" Eveniat autem feliciter. Omnibus enim eſt commune hoc,
" Et peculiariter unicuique, & urbi, malum quidem hominem
" Malum aliquid pati: bonum verò feliciter agere.

Καὶ σὺ δὲ γύναι πλησιάσασα τῷ φίλῳ τῷ Θρᾳκὶ, λέξον· καλεῖ σε ἡ Ἑκάβη ἡ ποτὲ ἄνασσα τῆς Τροίας, διὰ χρείαν σὴν μᾶλλον ἢ ἐκείνης. καὶ παῖδας καλεῖ δηλονότι, ὅτι δεῖ γινώσκειν καὶ τὰ τέκνα τοὺς ἀπ' ἐκείνης λόγους. τὸν δὲ τάφον, ἤτοι τὴν ταφὴν τῆς νεοσφαγοῦς Πολυξένης καρτέρησον ὦ Ἀγάμεμνον. ἵνα οὗτοι οἱ ἀδελφοὶ, ὑπὸ διπλῆ φροντὶς ἐμοὶ, ἐν μιᾷ φλογὶ κρυφθῆτον, ἀντὶ τοῦ ἐν τῇ χθονὶ πλησίον ἀλλήλων δηλονότι. 892 Κείνης χρέος] μὴ λάβῃς ἔξωθεν τὸ διά. ἀλλ' ἔστιν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ σέ. οὕτω. καλεῖ σε ἡ Ἑκάβη χρέος καὶ χρείαν σοι οὐκ ἔλαττον ἢ ἐκείνῃ, ἤγουν εἰ ἀφίξῃ, σεαυτῷ οὐκ ἔλαττον ἢ ἐκείνῃ ὑπάρξεις χρεία. ὥσπερ γὰρ φασὶν, καλῶ τὸν δεῖνα ἑαυτοῦ βοήθειαν οὐχ ἧττον ἢ ἐμοὶ, οὕτω καὶ τοῦτο. δέον δὲ εἰπεῖν σοι, σὸν εἶπε πρὸς τὸ χρέος. Ἔσται τάδε] οὕτως ὡς λέγεις δηλονότι. καὶ γὰρ εἰ μὲν ἦν τοῦ στρατοῦ καιρὸς πλοῦ, οὐκ ἂν εἶχον σοι δοῦναι τὴν δωρεὰν ταύτην. νῦν δὲ, οὐ γὰρ ἀφίησιν ὁ Ποσειδῶν πνοὰς ἐπιτηδείας, ἀνάγκη προσκαρτερεῖν προσδοκῶντας πλοῦν ἥσυχον. εἴθε δὲ γένοιτο κατά τινα τρόπον πραχθῆναι, δηλονότι τὰ κατὰ σὲ εὖ καὶ καλῶς. καὶ ἑνὶ ἑκάστῳ, καὶ πόλει καταδυόμενον τόδε. λέγω τὸ, τὸν μὲν κακὸν πάσχειν κακὸν, τὸν δὲ χρηστὸν εὐτυχεῖν. 898 Καὶ γὰρ εἰ μὲν ἦν] οὐ καλῶς φησὶ ταῦτα ὁ Ἀγαμέμνων. ἔχρην γὰρ αὐτὸν ἅπαξ διδόντα τὴν χάριν, σιωπῆσαι, καὶ μὴ ἐλέγξαι τὴν ἑαυτοῦ γνώμην, ἀλλ' οὐκ ἀνάγκη τοιαύτη ὑπέκειτο βασιλεὺς ὤν. Γένοιτο] εἴη δὲ πραχθῆναι τὸ κατὰ σὲ καλῶς, ὅτι καὶ πᾶσι καταδυόμενον τοῦτο. ὁ γὰρ φόνον δράσας, κοινὸν τοῖς ἀνθρώποις ἀδίκημα ἐποίησε, λυμηνάμενος τοῦ κοινοῦ νόμου, καὶ ἀδικήσας τὸ τῆς φύσεως ὁμογενές.

ΕΠΩΔΙΚΑ.

Στροφὴ α'. Χορός.

Χο. 1 Σὺ μὲν, ὦ πατρὶς Ἰλιὰς,
2 Τῶν ἀπορθήτων πόλις
3 Οὐκέτι λέξῃ, τοιόνδ' Ἑλ-
4 λάνων νέφος ἀμφί σε καλύπτει
5 Δορὶ δὴ δορὶ πέρσαν.
6 Ἀπὸ δὲ στεφάναν κέκαρσαι
7 Πύργων, κατὰ δ' * αἰθάλου
8 Κηλῖδ' οἰκτροτάταν κέχρωσαι
9 Τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.

* alias αἰθάλῳ

Strophe I. Chorus.

1 Tu quidem, O patria Iliaca
2 Ex urbibus inexpugnabilibus
3 Non ampliùs dicêris. talis Græ-
4 corum nebula te circumfundit,
5 Haſtâ ſanè haſtâ populans.
6 Coronâ verò tibi detonſa eſt
7 Turrium: circum verò fuliginis
8 Maculâ miſerrimâ denigrata es,
9 Miſera, non ampliùs in te incedam.

Σὺ μὲν ὦ πατρὶς Ἰλιάς] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικά. ἔστι δὲ τὰ τετράκωλα πτύχας ἐπῳδικὰς, ἤτοι στροφὴ καὶ ἀντιστροφή. καὶ πάλιν στροφὴ καὶ ἀντιστροφὴ, καὶ ἐπῳδός. εἰσὶν οὖν τῆς α' στροφῆς τὰ κῶλα θ', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ πρῶτον ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος τρίτου ἀντὶ τοῦ ἰωνικοῦ, καὶ διιάμβου. τὸ β' τροχαϊκὸν ἑφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον, ἢ Λεκύθιον. τὸ γ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ δισπονδείου. εἰ δὲ βούλει, δακτυλικὸν ἑφθημιμερές. τὸ δ' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος χοριάμβου, καὶ συλλαβῆς. τὸ ε' ἀναπαιστικὸν πενθημιμερές. τὸ ς' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, καὶ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, ἀπ' ἐλάττονος διιάμβου καὶ συλλαβῆς. τὸ αὐτὸ δύναται καὶ ἰαμβικὸν εἶναι ἑφθημιμερὲς τῶν πρώτων ποδῶν ἀναπαίστων. τὸ ζ' ἰωνικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ η' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, καθαρὸν, ἐξ ἐπιτρίτου δ' διιάμβου καὶ συλλαβῆς. τὸ θ' δίμετρον ὑπερκατάληκτον καθαρὸν, ἐξ ἀντισπάστου διιάμβου καὶ συλλαβῆς. ἐπὶ τοῦ τέλους τῆς στροφῆς παράγραφος. 905 Σὺ μὲν ὦ πατρὶς Ἰλιάς] ἡ μὲν θεράπαινα, κατὰ τὴν πρόσταξιν τῆς Ἑκάβης, ἀπέρχεται πρὸς τὸν Πολυμήστορα. ὁ δὲ χορὸς τῶν αἰχμαλωτίδων γυναικῶν λέγει τὰς συμφορὰς αὐτῶν, ἵνα μὴ ἀργὸν τὸ δρᾶμα μένῃ ἕως οὗ ἔλθῃ ὁ Πολυμήστωρ. λέγει δὲ οὕτως. σὺ μὲν ὦ πατρὶς Τρωϊκὴ, οὐδαμῶς κληθήσῃ πόλις τῶν ἀπορθήτων, τοιόνδε νέφος καὶ πλῆθος τῶν Ἑλλήνων περικαλύπτει σε πορθεῖσαν ἐν δορὶ καὶ πολέμῳ. ἀπεκόπης δὲ τὴν στεφάνην, καὶ τὸν καλλωπισμὸν τῶν πύργων. κατεχρώσθης δὲ, ἤτοι ἐμελάνθης ἐλεεινοτάτῃ κηλῖδι καπνοῦ αἰθάλου καὶ καυστικοῦ. ὦ τάλαινα πατρὶς δηλονότι, οὐκέτι ἐνδιατρίψω καὶ ἐμπεριπατήσω σοι. κατὰ τὸ μεσονύκτιον ἐφθάρην, ὁπηνίκα ἐκ τῶν δείπνων, ἤτοι μετὰ τὰ δεῖπνα, κέχυται ἐπὶ τοῖς ὀφθαλμοῖς ὕπνος γλυκύς. ἀπὸ τῶν ὕμνων δὲ καὶ ἀπὸ τῶν χαροποιῶν θυσιῶν καταπαύσας ἑαυτὸν, δηλονότι ὁ πόσις, ἔκειτο ἐν τοῖς θαλάμοις, οὐδαμῶς ὁρῶν τὸν ναυτικὸν ὅμιλον ἐπιπατοῦντα εἰς τὴν Τροίαν. τὸ δόρυ δὲ ἔκειτο κατὰ κοινοῦ, ἐπὶ τοῦ πασσάλου. τὸ δὲ ἀκόντιον εἰπὼν, ἀπὸ μέρους ἐδήλωσεν ὅλα τὰ ὅπλα. Στεφάναν πύργων] ἤγουν τοὺς δίκην στεφάνου περιβάλλοντας πύργους. ἢ τὸ στεφανᾶν γενικὴν τῶν πληθυντικῶν νόει. οὕτω γὰρ οἱ Δωριεῖς τὰς γενικὰς τῶν πληθυντικῶν ἐκφέρουσιν. ἀφ' οὕτως ἐρεῖς, ἀπεκάρης τῶν στεφάνων, τῶν πύργων λέγω. 911 Αἰθάλου] οὐ χρὴ γράφειν αἰθάλου καπνοῦ κηλῖδι, ἤτοι καυστικῇ κηλῖδι, ἀλλ' αἰθάλῳ κηλῖδι, ἤτοι καυστικῇ κηλῖδι, ἤγουν πυρὶ, ἢ καπνοῦ ἀπὸ μέρους. περιττὸν οὖν ἦν τὸ καπνοῦ. διὸ καὶ ἐξεβλήθη παρ' ἡμῖν, ἵν' ὅμοιον ᾖ τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς.

ANNOTATIONES.

V. 890. Πλαθεῖσα] à πλάζω pro πελάζω, i. e. πλησιάζω.

V. 897. *Δισσῇ μερίμνῃ*] *Scholiaſtes* videtur legiſſe *Δισσὴ μέριμνα*, quod & legi poteſt optimo ſenſu, ſi apponantur ad τώδ' Ἀδελφὼ & notâ Parentheſeos includantur.

V. 910. Στεφάναν] Deleo στεφάνων & ſenſu poſtulante, στεφάνη enim de turribus & καπνοῦ intelligitur; accedit etiam *Aldi* & *Hervagii* autoritas; nè dicam *Scholiaſtæ*.

V. 912. Κηλῖδ' οἰκτροτάτα κέχρωσαι.] Καπνοῦ ex hujus verſûs initio rejicio penitus ad Sciolos, (qui malè illuc intruſerant ex notis ſumptum) Authoritate *Scholiaſtæ* & Carminis ratione & ſenſu ità poſtulante. κέχρωσαι δὲ αἰθάλῳ (i. e. καπνοῦ) κηλῖδι, &c. *Cæterus* hic mecum ſtat.

I Μεσο-

Ἀντιστροφὴ α'.

1 Μεσονύκτιος ὠλλύμαν,
2 Ἦμος ἐκ δείπνων ὕπνος
3 Ἡδὺς ἐπ' ὄσσοις κίδναται.
4 Μολπᾶν δ' ἄπο, καὶ χοροποιῶν
5 Θυσιᾶν καταπαύσας
6 Πόσις ἐν θαλάμοις ἔκειτο,
7 (Ξυστὸν δ' ἐπὶ πασσάλῳ)
8 † Ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
9 Τροίαν Ἰλιάδ' ἐμβεβῶτα.

Στροφὴ β'.

1 Ἐγὼ δὲ πλόκαμον ἀναδέτοις
2 Μίτραισιν ἐρρυθμιζόμαν,
3 Χρυσέων ἐνόπτρων
4 Λεύσσουσ' ἀτέρμονας εἰς αὐγάς,
5 Ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
6 Ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν·
7 Κέλευσμα δ' ἦν κατ' ἄστυ Τροίας
8 Τόδ', ὦ παῖδες Ἑλλάνων, πότε δὴ,
9 Πότε τὰν Ἰλιάδος σκοπιὰν
10 Πέρσαντες, ἥξετ' ἐς οἴκους;

Ἀντιστροφὴ β'.

1 Λέχη δὲ φίλια μονόπεπλος
2 Λιποῦσα. Δωρὶς ὡς κόρα,
3 Σεμνὰν προσίζουσ'
4 Οὐκ ἤνυσ' Ἄρτεμιν ἁ τλάμων·

Antistrophe I.

1 Mediâ nocte perii,
2 Quando à cœnâ somnus
3 Suavis in oculos spargitur:
4 A cantu verò & lætificis
5 Conviviis desinens
6 Maritus in thalamis jacebat,
7 (Hostile verò in paxillo,)
† 8 Nauticam non amplius videns turbam
9 Per Trojam Iliacam incedentem.

Strophe II.

1 Ego verò comam religatis
2 Mitris componebam
3 Aureorum speculorum
4 Aspiciens rotundos splendores,
5 Altans ad lectum ut ruerem in torum.
6 Tumultus verò pertransivit urbem
7 Vociferatio autem erat per urbem Trojæ
8 Hæc, O filii Græcorum, quando sanè,
9 Quando Iliacam speculam (i. e. *Arcem*)
10 Excidentes ibitis domum?

Antistrophe II.

1 Lectum verò charum simplici veste induta
2 Relinquens, Dorica ut puella,
3 Venerandam accedens
4 Nihil effeci Dianam infelix:

† Nauticam, (i. e.) *Græcam*, *Græci* enim in Navibus ad *Trojam* venerunt.

Κεῖτο] τὸ κεῖτο πρὸς τὸ ναύταν οὐκέθ' ὁρῶν ὅμιλον συναπτέον. Τὸ δὲ ξυστὸν δ' ἐπὶ πασσάλῳ, διὰ μέσου· λάμβανε δὲ εἰς τὸ πασσάλῳ ἢ ἔκειτο ἀπὸ κοινοῦ, ἢ ὑπῆρχεν. καὶ μὴ ὥσπερ τινὲς τῶν ἀμαθῶν τὸ ἔθηκαν, αἰτιατικὴν τὸ ξυστὸν λογιζόμενοι. Ἐμβεβαῶτα] τὸ ἐμβαίνω, εἰ μὲν πρὸς δοτικὴν συντάσσεται τὸ ἐν ἔχει τὴν δύναμιν, εἰ δὲ πρὸς αἰτιατικὴν τὸ βαίνει. ὥσπερ κἀνταῦθα τὸ ἐμβεβαῶτα Τροίαν Ἰλιάδα. φησὶ δὲ Φιλόστρατος ἐν Ἡρωϊκοῖς, ἐμβὰς τὴν ναῦν, ἐμβεβῶτα χρὴ γράφειν, οὐκ ἐμβεβαῶτα. οὐχ οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς, ἀλλ' ἐκείνως. 913 Ἐγὼ δὲ πλόκαμον] τῆς β' ταυτησὶ στροφῆς τὰ κῶλα ι'. καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τοῦ β' καὶ γ' ποδὸς χορεία. τὸ β' ὅμοιον καθαρόν. ὃ καλεῖται Ἀνακρεόντειον. τὸ γ' ὅμοιον πενθημιμερές. τὸ δ' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἢ παιωνικὸν ἐξ ἐπιτρίτου γ' ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ συλλαβῆς. τὸ ε' ἀσυνάρτητον, ἐξ ἀναπαιστικῆς βάσεως, καὶ ἰαμβικοῦ πενθημιμεροῦς. τὸ ς' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τριῶν χορείων καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ζ' ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ η' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου β' καὶ α', καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ θ' χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ β' χοριάμβων, καὶ ἀναπαίστου. εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον. τὸ ι' ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. ἐπὶ τῷ τέλει τῆς ἀντιστροφῆς παράγραφος. Οἱ Ἕλληνες μὴ δυνάμενοι τὴν Τροίαν ἑλεῖν, ἵππον κατεσκεύασαν ξύλινον, ἀναθέμενοι δῆθεν αὐτὸν τῷ Ὀλυμπίῳ Διὶ τῷ τὴν Τροίαν φυλάσσοντι. ἐμβαλόντες δὲ τούτῳ πολλούς τε ἄλλους τῶν ἡρώων, καὶ Μενέλαον, ἔστησαν πρὸ τῶν τειχῶν. αὐτοὶ δὲ ὑπεχώρησαν εἰς τὰς ναῦς, καὶ ἀνηνέχθησαν ἐν θαλάσσῃ, δοκοῦντες οἴκαδε ἀναστρέφειν. οἱ τοίνυν Τρῶες ἐπιχειρήσαντες εἰς τὴν πόλιν τὸν Δούρειον ἵππον ἀγαγεῖν, ἐπεὶ οὐχ οἷός τε ἦν εἴσω χωρῆσαι διὰ τὸ μέγεθος, ἕνα τῶν πύργων ὥς φασί τινες κατενεγκόντες, οὕτως ἔνδον τὸν ἵππον εἰσήγαγον. βαθείας δὲ νυκτὸς γενομένης, καὶ τῶν Τρώων ἀμερίμνως κοιμωμένων, ὡς μηδενὸς τῶν Ἑλλήνων φαινομένου ἐν τῷ λιμένι, ἐξελθόντες ἐκ τοῦ ἵππου οἱ Ἕλληνες, ἔχοντες καὶ προδότας τῆς Τροίας, ἀναβάντες ἐπὶ τοῦ τείχους μετὰ πυρσῶν καὶ βοῆς, ἐκάλεσαν τοὺς Ἕλληνας. οἵτινες ἐπανελθόντες παρεστήσαντο τὴν Τροίαν. 923 Ἐγὼ δὲ πλόκαμον] ἐγὼ δὲ τὸν πλόκαμον ηὐτρέπιζον κατὰ τάξιν, καὶ ἐκόσμουν ἐν μίτραις. καὶ ταῖς ταινίαις ἀναδέτοις, ἤτοι ἐπάνω τῆς κεφαλῆς δεδεμέναις, λεύσσουσα εἰς κυκλοτερεῖς αὐγὰς τῶν χρυσέων κατόπτρων, ἵνα πέσοιμι εἰς τὴν κοίτην. εἰς δὲ τὴν πόλιν ἔμολεν ἦχος. κέλευσμα δὲ, ἤτοι βοὴ τῶν Ἑλλήνων, ἦν κατὰ τὸ ἄστυ τῆς Τροίας τόδε. ὦ Ἕλληνες, πότε δή ποτε πορθήσαντες τὴν Τρωϊκὴν ἐξοχὴν, τουτέστι τὴν ἀκρόπολιν, ἀπαλλαγήσεσθε εἰς τοὺς οἴκους. τὴν προσφιλῆ δὲ κοίτην λιποῦσα μονοχίτων, καθὰ κόρη Λακεδαιμονία καθίζουσα πρὸς τὴν σεμνὴν Ἄρτεμιν ἱκέτις οὐκ ἤνυσα ἡ ἀθλία, τουτέστιν οὐκ ἠδυνήθην σωθῆναι. ἄγομαι δὲ ἐπὶ τὸ πέλαγος τὸ θαλάσσιον, ἰδοῦσα τὸν ἐμὸν ἄνδρα θανόντα, καὶ τὴν πόλιν ἀπὸ μακρόθεν ὁρῶσα, ἀφ' οὗ ἐπίστροφον ἡ ναῦς ἐσάλευσε πόδα. Ἀναδέτοις μίτραισι] μετὰ τὸ ἐκκοσμηθῆναι ἐν ταῖς μίτραις, ἐκαλλωπιζόμην ἐπὶ τὸ καθεύδειν μετὰ τοῦ ἀνδρὸς, κατὰ τὸ γυναικεῖον ἔθος. 926 Ἀτέρμονας δὲ] περιφερεῖς, τούτων γὰρ οὐκ ἔστι τέρμα· τὰ γὰρ κυκλοτερῆ τέρματα οὐκ ἔχει. λέγει δὲ, λεύσσουσ' εἰς κυκλοτερεῖς αὐγάς. τουτέστι τὰς τέλος μὴ ἐχούσας. τούτων γὰρ οὐκ ἔστι τέρμα, περὶ τὸ εἰωθὸς δὲ ἔστι μεσονύκτιον ἐνοπτρίζεσθαι. 928 Ἀνὰ δὲ κέλαδος] τὸ δὲ οὐκ ἔστι περιττὸν, ὡς οἴονταί τινες. ἀλλ' εἰώθασιν οἱ Ἀττικοὶ ἐν ταῖς ἀποδόσεσι καὶ ἐπαναλήψεσι τοῦτο τιθέναι. ὃ ζητῶν πανταχοῦ εὑρήσεις. Πότε] λείπει τὸ, εἰ μὴ νῦν. τοῦτο δὲ φησὶν ἔλεγον οἱ Ἕλληνες, παρακελευόμενοι ἀλλήλους. πότε τὴν ἀκρόπολιν πορθήσαντες τῆς Τροίας, ἀπαλλαγήσεσθε εἰς τὰ οἰκεῖα. Δωρὶς ὡς κόρα] Δωριεῖς ἐν τῷ ιβ' τῶν ὡρῶν, γράφει οὕτως. ὡς ὑπὸ Αἰγινητῶν πειρατευόμενοι Ἀθηναῖοι, στρατείαν κατ' αὐτῶν ἀπέστελλον, οἱ δὲ ἅμα Σπαρτιάταις, ἅπαντας ἀπέκτειναν. εἷς δὲ ὑπέστρεψεν ἄγγελος, ὃν περισχοῦσαι τῶν τεθνεώτων αἱ γυναῖκες, καὶ τὰς περόνας τῶν ὤμων ἀφελόμεναι, ἐξετύφλωσαν, εἶτα ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι, δεινὸν ἡγησάμενοι τὸ πραχθὲν, ἀφεῖλον τῶν γυναικῶν τὰς περόνας, ἐπείπερ εἰς ὁπλισμὸν αὐταῖς ἐχρήσαντο, καὶ οὐ πρὸς φυλακὴν τῆς ἀμπεχόνης. αὐτοί τε ἐκόμων, αἱ δὲ γυναῖκες ἐκείροντο, καὶ τοῖς μὲν ἀνδράσι ποδήρεις ἦσαν οἱ χιτῶνες, αἱ δὲ γυναῖκες ἐθρύαζον ταῖς Δωρίαις στολαῖς. διὸ γυμνὰς καὶ τὰς ἀχίτωνας, Δωριάζειν ἔφασαν. Ἄλλως. αἱ Λακεδαιμονίαι κόραι διημερεύουσιν ἄζωστοι, καὶ ἀχίτωνες, ἱματίδιον ἔχουσαι πεπορπημένον ἐφ' ἑκάτερον τῶν ὤμων. καὶ Καλλίμαχος, Ἔσκεν ὅτ' ἄζωστος, χ' ὡ πεπορπος ἔπ. καὶ ἐν ταῖς ἀρχαίαις γραφαῖς, οὐκ ὀλίγα ὅτ' ἔσαλται, καὶ Δωριάζειν τὸ γυμνὰς φαίνεσθαι τὰς γυναῖκας. Ἀνακρέων, ἐκδῦσα χιτῶνα Δωριάζειν. 933 Μονόπεπλος] αἱ Λακεδαιμονίαι γυναῖκες ἐν τοῖς ἀγῶσι μονοχίτωνες ἦσαν, ἀπὸ πορπίδας ἐφ' ἑκατέρου τῶν ὤμων ἔχουσαι, ὅθεν καὶ Δωριάζειν τὸ γυμνοῦσθαι Ἀνακρέων φασί.

ANNOTATIONES.

V. 915. Vid. de hâc re *Virgilium Æn.* l. 2. v. 13. ad v. 558. ubi graphicè describit, quomodo urbs *Troia* fuerit capta. Præcipuè verò v. 250.

Vertitur interea cœlum, & ruit Oceano nox
& *Invadunt urbem somno vinoque sepultam.*

V. 932. Τροίας] τὸ τροι est Syllaba communis Vid. *Hecub.* V. 1108.

5 Ἄγομαι

5 Ἄγομαι δ', θανόντ' ἰδοῦσ' ἀκοίταν
6 Τὸν ἐμὸν, ἅλιον ἐπὶ πέλαγος·
7 Πόλιν τ' ἀποσκοποῦσ', (ἐπεὶ
8 Νόστιμον ναῦς ἐκίνησε πόδα,
9 Καί μ' ἀπὸ γᾶς ὥρισεν Ἰλιάδος·
10 Τάλαιν', ἀπεῖπον ἄλγει.)

Ἐπῳδός.

1 Τὰν τοῖν Διοσκούροιν Ἑλέναν κάσιν,
2 Ἰδαῖόν τε βούταν
3 Αἰνόπαριν κατάρᾳ
4 Διδοῦσ', ἐπεί με
5 Γᾶς ἐκ πατρῴας ἀπώλεσεν
6 Ἐξῴκισέ τ' οἴκων γάμος, οὐ γάμος,
7 Ἀλλ' ἀλάστορός τις οἰζύς.
8 Ἃν μήτε πέλαγος ἅλιον
9 Ἀπαγάγοι πάλιν,
10 Μή τε πατρῷον ἵκοιτ' ἐς οἶκον.

5 Sed abducor, mortuum quum vidiſſem maritum
6 Meum, marinum per pelagus,
7 Urbémque procul aſpectans, (poſtquam
8 Reducem navis movit pedem
9 Et me a terræ exterminavit finibus Iliacæ:
10 Miſera exanima concidi præ dolore.)

Epodos.

1 Dioſcurorum Helenam ſororem,
2 Idæúmque paſtorem
3 Exitioſum Parin execratione
4 Dans: quoniam me
5 Terrâ ex patriâ perdidit
6 Expuleritque ex ædibus nuptiæ, non nuptiæ,
7 Sed dæmonis affligentis quædam calamitas.
8 Quam utinam neque pelagus marinum
9 Reducat iterum,
10 Neque patriam veniat in domum.

Ἄγομαι] ἄγομαι ἐπὶ τὸ πέλαγος, ἑωρακυῖα τὸν ἄνδρα μου ἀποθανόντα. ἰστέον δ', ὅτι τὸ ἐπεὶ νόστιμον, πρὸς τὸ ἄγομαι συναπτέον τῇ ἐννοίᾳ. Καί μ' ἀπὸ γῆς ὥρισεν Ἰλιάδος. τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα ι. τὸ α πρῶτον παιωνικὸν τρίμετρον, καταληκτικὸν, ἐξ ἐπιτρίτου τρίτου ἰωνικοῦ ἀπὸ μείζονος, καὶ δακτύλου. τὸ β ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου τρίτου, ἢ δὲ καὶ σπονδείου. εἰ δὲ βούλει, τροχαϊκὸν ἰθυφαλλικόν. τὸ γ χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ χοριάμβου καὶ ἀναπαίστου. τὸ δὲ ἰαμβικὸν πενθημιμερές. τὸ ε τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον, ἐκ σπονδείου καὶ τροχαίου. τὸ ς ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ ἐπιχοριαμβικὸν δίμετρον, ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δὲ χοριάμβου καὶ συλλαβῆς. τὸ η ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ β καὶ γ ποδὸς χορείου. τὸ θ παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δὲ καὶ δύο συλλαβῶν. τὸ ι χοριαμβικὸν, τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου ἐπιτρίτου α καὶ τροχαίου, ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος. Καί μ' ἀπὸ γῆς] καὶ ἐμὲ ἀπὸ τῆς γῆς ἐξώρισε τῆς Τρωϊκῆς, ἀπηγόρευσεν ἡ ἀθλία τῇ λύπῃ, τῇ Ἑλένῃ, τῇ ἀδελφῇ τῶν Διοσκούρων Κάστορος καὶ Πολυδεύκους, καὶ τῷ Πάριδι καταρωμένη. ἐπεί με τῆς πατρῴας γῆς, καὶ τῶν οἴκων ἐξῴκισεν, οὐ γάμος, ἀλλὰ ταλαιπωρία δαίμονός τινος κακοποιοῦ, ἣν τινα Ἑλένην μήτε τὸ πέλαγος ἀπαγάγοι πάλιν, ἤγουν εἰς τοὐπίσω, μήτε ἀφίκοιτο εἰς τὸν πατρῷον οἶκον. 945 Διδοῦσα κατάρα] πρὸς τὸ ἀποσκοποῦσα ἐστὶν ἡ μετοχὴ τὸ κατάρᾳ διδοῦσα. τὸ δ' ἐπεὶ νόστιμον καὶ τὸ τάλαινα ἀπεῖπον ἄλγει, διὰ μέσου. εἰ καὶ φασί τινες τῶν ψυχρῶν πρὸς τὸ ἀπεῖπον τὴν μετοχὴν ταύτην εἶναι.

ARGUMENTUM Actus Quinti.

HECUBA *ſimulatâ priſtinâ familiaritate, blandè cum* Polymeſtore *colloquitur, fictos ſermones callidè ſerens de neſcio quibus Theſauris apud* Ilium *defoſſis; quod avariſſimo Tyranno palpum obtruſurum benè conjectabat. Tum demùm, illum cum duobus filiis ſuis ad ſecretius quoddam, uti præ ſe ferebat, colloquium invitat, quaſi res maximi momenti revelatura. Ibi* Polymeſtore *ſubitò à Mulierum turbâ correpto, liberi ejus in conſpectu necantur, & ipſi quoque oculi eruuntur: Undè clamor ingens & minæ. Quibus arrectus* Agamemnon, *quaſi res ignarus, accurrit & re utrinque auditâ, pro* Hecubâ *pronunciat.* Polymeſtor, *deriſui habitus, convitiis & maledictis* Hecubam *primùm, tum ipſum* Agamemnona *impetit.* Agamemnon *amoto illo, Fabulam claudit.*

ΠΟΛΥΜΗΣΤΩΡ, ἙΚΑΒΗ.

Ἴαμβοι.

Πολ. Ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σὺ
Ἑκάβη, δακρύω σ' εἰσορῶν, πόλιν τε σὴν,
Τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
" Φεῦ, οὐκ ἔστιν οὐδὲν πιστὸν, οὔτ' εὐδοξία,
" Οὔτ' αὖ καλῶς πράσσοντα, μὴ πράξειν κακῶς.
" Φύρουσι δ' αὐτὰ οἱ θεοὶ πάλιν τε καὶ πρόσω,
" Ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
" Σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τί δεῖ
Θρηνεῖν, προκόπτοντ' οὐδὲν εἰς πρόσθεν κακῶν;

Pol. O chariſſime virorum Priame, chariſſimáque tu
Hecuba, illacrymor te intuens, urbémque tuam,
Hancque modo mortuam gnatam tuam.
" Ah, non eſt quicquam tutum, neque gloria,
" Neque rurſum eum, qui felix eſt, non futurum infelicem:
" Sed miſcent res Dii antrorſum & retrorſum
" Confuſionem imponentes, ut futuri inſciâ
Colamus illos. Sed hæc quidem quid attinet
Lugere conferentia nihil ad priora mala?

Ὦ φίλτατ' ἀνδρῶν Πρίαμε] ἐλθὼν ὁ Πολυμήστωρ πρὸς τὴν Ἑκάβην, πρὸς μὲν τὸν Πρίαμον ὡς ἀπόντα λέγει μόνον, ὦ φίλτατε Πρίαμε, δίχα τοῦ σύ. πρὸς δὲ τὴν Ἑκάβην ὡς ζῶσαν, χρῆται τῷ σύ, καὶ θρηνεῖ αὐτήν τε ὡς δούλην, καὶ τὴν πόλιν αὐτῆς ὡς ἁλοῦσαν, καὶ τὴν νεοσφαγῆ Πολυξένην, εἶτα γνωματεύομενος λέγει, οὐκ ἔστιν οὐδὲν βέβαιον, οὔτε εὐτυχία· οὔτε ἂν εὐτυχῇ τις, ἡ κατ' ἐκεῖνον εὐτυχία ἀεὶ παραμένει, ἀλλὰ τῆς μεταβολῆς τῶν πραγμάτων αἰτίους ἡγεῖται τοὺς θεούς. φύρειν γὰρ καὶ ἑνοῦν αὐτὰ τούτους φησὶ, καὶ τὸν πλούσιον εἰς τὸ ὄπισθεν ἄγειν, πένητα καθιστῶντας. τοῦτο γάρ ἐστι τὸ πάλιν. τὸν δὲ πένητα εἰς τὸ πρόσθεν φέρειν, ἤγουν πρὸς εὐπορίαν, καὶ πλοῦτον, ποιοῦντας τῶν πραγμάτων σύγχυσιν, ἵνα τούτων ἐν ἀδήλῳ καθεστώτων, μὴ προσέχωμεν αὐτοῖς, ὡς μεταβαλλομένοις. ἀλλὰ τοὺς θεοὺς σεβώμεθα, αἰτοῦμεν τὰ ἀγαθὰ, καὶ ἡμῖν συμφέροντα. Αἱ περίοδοι δὲ αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ο, ὧν τελευταῖος ἐξῶ πασῶν, ἕως τὸν ἐμὸν φίλιον γόον, ἐπὶ ταῖς ὑποθέσεσι παρέγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. 960 Τὸ δ', ἀλλὰ ταῦτα τί δεῖ θρηνεῖν] οὐχ οἶονταί τινες συντακτέον. διηγησάμενος γὰρ ὁ Πολυμήστωρ ἄνωθεν πρὸς τὸ ἀβέβαιον τῶν πραγμάτων, καὶ τούτου ἀναθεὶς τὴν αἰτίαν τοῖς θεοῖς, νῦν φησιν, ἀλλὰ ταῦτα, ἅπερ ἔφην, τί θρηνεῖν δεῖ, οὐδαμῶς προχωροῦντα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν.

ANNOTATIONES.

V. 956. Φεῦ, οὐκ ἔστιν, &c.] Hic etiam τὸ φεῦ otioſum in ſcanſione, de quo ſuprà. V. 55.

Σὺ δ' ἔστι μέμψη τῆς ἐμῆς ἀπουσίας,
Σχές. τυγχάνω γὰρ ἐν μέσοις Θρήκης ὅροις
Ἀπὼν, ὅτ' ἦλθες δεῦρ'· ἐπεὶ γ' ἀφικόμην,
Ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι
Εἰς ταυτὸν ἥδε συμπίτνει δμωὶς σέθεν,
Λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.
Εκ. Αἰσχύνομαί σε προσβλέπειν ἐναντίον
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
Ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει
Ἐν τῷδε πότμῳ, τυγχάνουσ' ἵν' εἰμὶ νῦν,
Κοὐκ ἂν δυναίμην προσβλέπειν σ' ὀρθαῖς κόραις.
Ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν
Πολυμῆστορ. ἄλλως δ', αἴτιόν τι καὶ νόμος,
„ Γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.
Πολ. Καὶ θαῦμά γ' οὐδέν· ἀλλὰ τίς χρεία σ' ἐμοῦ;
Τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
Εκ. Ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι,
Καὶ παῖδας εἰπεῖν σούς. ὀπάονας δέ μοι
Χωρὶς κέλευσον τῶνδ' ἀποστῆναι δόμων.
Πολ. Χωρεῖτ'· ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία.
Φίλη μὲν ἡμῖν εἶ σύ, προσφιλὲς δέ μοι
Στράτευμ' Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρὴ,
„ Τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
„ Φίλοις ἐπαρκεῖν. ὡς ἕτοιμός εἰμ' ἐγώ.
Εκ. Πρῶτον μὲν εἰπὲ, παῖδ', ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον, ἔκ τε πατρὸς, ἐν δόμοις ἔχεις,
Εἰ ζῇ· τὰ δ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.
Πολ. Μάλιστα· τοὐκείνου μὲν εὐτυχεῖς μέρος.
Εκ. Ὦ φίλταθ', ὡς εὖ κἀξίως σέθεν λέγεις.
Πολ. Τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
Εκ. Εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τί μου;
Πολ. Καὶ δεῦρό γ' ὡς σὲ κρύφιος ἐζήτει μολεῖν.
Εκ. Χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
Πολ. Σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος·

Tu verò ſi quid incuſes meam abſentiam,
Quieſce: eram enim in mediis Thraciæ finibus
Abſens quando veniſti huc. ſed poſtquam redii,
Jam pedem extra domum tollenti mihi
Ad idem hæc coincidit ancilla tua,
Dicens ſermones, quos audiens veni.
Hec. Erubeſco intueri te adverſum
Polymeſtor, in tantis conſtituta malis.
Cui enim conſpecta ſum felicitèr agens, pudor me tenet
In hoc fato, ubi ſum nunc poſita:
Neque queam aſpicere te rectis pupillis.
Sed hoc ipſum non malevolentiam *eſſe* duces erga te
Polymeſtor. Aliàs verò cauſa quædam & lex eſt
„ Mulieribus, viros ne aſpiciant ex adverſo.
Pol. Et mirum ſanè nihil: ſed quis uſus tibi mei?
Propter quod negocium evocâſti meum ex ædibus pedem?
Hec. Privatim meipſius ſanè quiddam ad te volo
Et liberos dicere tuos: miniſtros verò mihi
Separatim jube ab his abſcedere domibus.
Pol. Diſcedite: in tuto enim hæc ſolitudo.
Amica quidem nobis es tu, amicus verò mihi
Exercitus Achæorum. Sed indicare te convenit
„ Quid oporteat felici fortuna utentem non felici utentibus
„ Amicis præſtare: nam paratus ſum ego.
Hec. Primùm quidem dic, filium, quem ex meâ manu
Polydorum, exque patris acceptum, in domibus habes,
An vivat: alia deinde te interrogabo.
Pol. Maximè ex illâ quidem felix es parte.
Hec. O chariſſime, quàm benè & dignè te loqueris!
Pol. Quid itaque vis ſecundò ſcire ex me?
Hec. An parentis hujus memor eſt aliquid mei?
Pol. Et huc quidem ad te occultè quærebat venire.
Hec. Aurum verò ſalvum eſt, quod venit ex Trojâ habens?
Pol. Salvum in domibus quidem meis cuſtoditum.

τουτέστιν οὐχ ὑπερβαίνει τὰ κακὰ μεταβαλλόμενα, ἀλλ' ἀεὶ κακὰ τυγχάνοντα. τὸ δὲ μεταβάλλεσθαί τι ἀεὶ ἀπὸ κακοῦ πρὸς τὸ καλὸν, ἔμπροσθεν τοῦ κακοῦ φαίνεται γίνεσθαι. Ὦ φίλτατ' ἀνδρῶν Πολυμῆστορ, καὶ σὺ, ὦ Ἑκάβη φιλτάτη, δακρύω εἰσορῶν σε, καὶ τὴν σὴν πόλιν, καὶ τὴν θυγατέρα σου τὴν θανοῦσαν πρὸ ὀλίγου. φεῦ, θαυμαστικόν. οὐκ ἔστιν οὐδὲν πιστὸν καὶ βέβαιον, οὔτε εὐδοξία καὶ ἐπαίνεσις, οὔτε εὐτυχοῦντα τινὰ μὴ δυστυχήσειν. φύρουσι δὲ καὶ ταράσσουσιν αὐτὰ οἱ θεοί, εἰς τοὐπίσω, καὶ ἔμπροσθεν ἀποτιθέντες σύγχυσιν, ἵνα ἀγνοίᾳ τῶν μελλόντων σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τὰ κακὰ κατὰ τί δεῖ θρηνεῖν ἐμὲ δηλονότι, οὐδὲν μᾶλλον προκόπτοντα καὶ προερχόμενα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν. ὃ δέον, οὐ κατόπιν ἰόντα τὰ κακά. σὺ δὲ εἰ κατά τι μέμφῃ ἐμοὶ ἕνεκα τῆς ἀποδημίας, ἐπίσχες σαυτὴν δηλονότι, ἐτύγχανον μὲν ἀποδημῶν ἐν τῷ μέσῳ τῶν τῆς Θρᾴκης ὁρίων, ὅτε ἦλθες ὧδε. ἐπεὶ δὲ ἦλθον, αἴροντί μοι, καὶ κινοῦντι τὸν πόδα ἔξω τῶν δωμάτων, εἰς ταυτὸν ἥδε ἡ δμωὶς συμπίπτει καὶ συναντᾷ ἡ δούλη σου αὕτη, ἀπαγγέλλουσα ἀγγελίας, ἃς ἀκούων ἀφικόμην. 968 Αἰσχύνομαί σε προσβλέπειν] ὦ Πολυμῆστορ, αἰσχύνομαι βλέπειν πρὸς σὲ κατὰ πρόσωπον. κειμένη ἐν τοιαύταις δυστυχίαις. σοὶ γὰρ ᾧ ποτε ὤφθην εὐτυχοῦσα, αἰδοῦμαι ὀφθῆναι, δηλονότι ὑπάρχουσα ἐν ταύτῃ τῇ δυστυχίᾳ, ὅπου εἰμὶ νῦν. καὶ οὐκ ἂν δυναίμην βλέπειν πρὸς σὲ, ὀφθαλμοῖς ὀρθοῖς ἀτενίζουσα, ἀλλ' αὐτὸ μὴ νομίσῃς ἔχθραν σου ὦ Πολυμῆστορ. ἄλλως τε καὶ νόμος αἴτιόν τι, λέγω τὸ μὴ βλέπειν γυναῖκας κατὰ πρόσωπον ἀνδρῶν. 970 Αἰδώς μ' ἔχει] ἀγνοοῦντες μικροῦ πάντες ἐνταῦθα τὴν σύνταξιν, σόλοικον ἡγοῦνται, λέγοντες ὡς τυγχάνουσαν ἔδει εἰπεῖν πρὸς τὸ αἰδώς μ' ἔχει. τὸ δ' οὕτω συντακτέον. ἐν τῷδε γὰρ τῷ πότμῳ καὶ τῇ τύχῃ ὅπου εἰμὶ νῦν τυγχάνουσα, αἰδώς μ' ἔχει ἐκείνου τοῦ ἀνδρὸς, ᾧ ποτε ἐφάνην εὐτυχοῦσα, πρὸς τὸ αἰδὼς συντακτέον οὕτως, αἰδὼς γὰρ ἔχει μ' ἐκείνου, ὅτῳ ὤφθην εὐτυχοῦσα, τυγχάνουσα ἡ αἰδὼς ἐν τῷδε τῷ πότμῳ, ὅπου εἰμὶ, τουτέστιν αἰδοῦμαι θεάσασθαί σε. ἡ δὲ αἰδὼς οὐκ ἄλλοθεν ἢ ἐκ τῆς δυστυχίας ἐστὶν, ἐν ᾗ νῦν περίκειμαι. ὃ δὲ καὶ πρέπον ἐστὶ τοῦ προτέρου. Καὶ θαῦμά γ' οὐδὲν] αἰσχύνεσθαί σε δηλονότι, ἀλλὰ τίς χρεία ἐμοῦ σοι· διατί πρᾶγμα μετεπέμψω ἐκ τῶν δόμων τὸν ἐμὸν πόδα, ἤγουν ἐμέ. Ἀλλὰ τίς χρεία σ' ἐμοῦ] ἔδει οὕτως εἰπεῖν, ἀλλὰ τίς χρεία σοι ἐμοῦ. νῦν δὲ Ὁμηρικῷ ζήλῳ, ἀντὶ τοῦ σοὶ εἴρηκεν, λαμβάνων τὴν εἰς πρόσθεν ἔξωθεν, ὡς τὸ χρειὼ * βουλῆς ἐμὲ καὶ σε. ἡ ἐκεῖ γὰρ οἱ δίφθογγος κωφίζεται καὶ συναλείφεται, ὥσπερ κἀνταῦθα σοί. 978 Ἴδιον ἐμαυτῆς] ἴδιον δή τι ἐμαυτῆς βούλομαι εἰπεῖν πρὸς σέ, καὶ τοὺς σοὺς παῖδας. τοὺς δὲ ἀκολούθους κέλευσον χωρεῖν ἐμοῦ, μακρὰν φεύγειν τῶνδε τῶν δόμων. Κέλευσον τῶνδ' ἀποστῆναι δόμων] ἀκολουθούντων τῷ Πολυμήστορι τῶν αὐτοῦ ὑπηκόων, ἐλθόντι πρὸς τὴν Ἑκάβην, ἰδοῦσα αὕτη ὡς οὐ δυνηθείη τὸ κατ' αὐτοῦ δρᾶμα τελέσαι τούτων παρόντων, φησὶ πρὸς τὸν Πολυμήστορα· κέλευσον ἀπελθεῖν τοὺς σοὺς δούλους, ἵνα σοι λάθρᾳ εἴπω ὃ βούλομαι. καὶ ὃς πεισθεὶς, ὑποχωρεῖτε τοῖς αὐτοῦ δούλοις φησὶν, οὐ γὰρ φοβοῦμαι μονωθεὶς ὑμῶν. τοῦτο γὰρ δηλοῖ, τὸ, ἐν ἀσφαλεῖ γὰρ ἥδε ἡ ἐρημία. Χωρεῖτε] ὑποχωρεῖτε. ἐν ἀσφαλεῖ, ἀντὶ τοῦ ἐν οὐδενὶ φόβῳ ἐστὶν ἥδε ἡ ἐρημία. προσφιλὴς μὲν εἶ σύ, προσφιλὲς δὲ ἐμοὶ καὶ τόδε τὸ στράτευμα τῶν Ἀχαιῶν. ἀλλὰ πρέπει δηλοῦν, ἤτοι λέγειν σε τί τὸν εὐτυχοῦντα πρέπει βοηθεῖν τοῖς μὴ εὐτυχοῦσι φίλοις, ὅτι ἕτοιμός εἰμι ἐγώ. 985 Πρῶτον μὲν εἰπὲ] διὰ τὸν παῖδα τὸν Πολύδωρον, ὃν ἔχεις ἐν τοῖς δόμοις, ἐκ τῆς ἐμῆς χειρὸς λαβὼν δηλονότι, ἔκ τε τοῦ πατρὸς, εἰ ζῇ. τὰ δὲ ἄλλα ἐρωτήσω κατὰ δεύτερον λόγον. Μάλιστα ζῇ· κατὰ τὸ μέρος ἐκείνου, ἤγουν ὅσον δι' ἐκεῖνον, εὐδαιμονεῖς. Ὦ φίλτατε] ὡς λίαν καλῶς καὶ ἀξίως σου λέγεις χλευάζουσα αὐτὸν, ταῦτα φησί. τί οὖν θέλεις ἐκ δευτέρου μαθεῖν ἐξ ἐμοῦ. Εἰ τῆς τεκούσης] τοῦτο θέλω μαθεῖν, εἰ ὁ υἱός μου μέμνηται κατά τι ἐμοῦ τῆς τεκούσης ἐκεῖνον. Ναί, μέμνηται δηλονότι, καὶ ὧδε κρυφίως ἐζήτει ἐλθεῖν. Ὁ δὲ χρυσὸς ἀνελλιπὴς καὶ ἀκέραιός ἐστιν, ὃν ἦλθε φέρων ἐκ Τροίας; σῶός ἐστιν, ἐν τοῖς ἐμοῖς φυλασσόμενος οἴκοις.

* Iliad. κ. V. 43.

ANNOTATIONES.

V. 992. Εἰ τῆς τεκούσης, &c.] Hinc Virgil. Æn. l. 3. v. 341. *Ecquæ jam Puero eſt amiſſæ Cura Parentis?*

Εκ. Σῶόν

Εκ. Σῶσόν νυν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.
Πολ. Ἥκιστ', ὀναίμην τοῦ παρόντος, ὦ γύναι.
Εκ. Οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ παισὶν θέλω;
Πολ. Οὐκ οἶδα, τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.
Εκ. Ἔστ', ὦ φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλῇ.
Πολ. Τί χρῆμ', ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
Εκ. Χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
Πολ. Ταῦτ' ἔσθ', ἃ βούλῃ παιδὶ σημῆναι σέθεν;
Εκ. Μάλιστα, διὰ σοῦ γ'. εἶ γὰρ εὐσεβὴς ἀνήρ.
Πολ. Τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
Εκ. Ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
Πολ. Καλῶς ἔλεξας τῇδε, καὶ σοφώτερον.
Εκ. Οἶσθ' οὖν Ἀθάνας Ἰλιάδος ἵνα στέγαι;
Πολ. Ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
Εκ. Μέλαινα πέτρα, γῆς ὑπερτέλλουσ' ἄνω.
Πολ. Ἔτ' οὖν τι βούλῃ τῶν ἐκεῖ φράζειν ἐμοί;
Εκ. Σῶσαί σε χρήμαθ', οἷς συνεξῆλθον, θέλω.
Πολ. Ποῦ δῆτα; πέπλων ἐντὸς, ἢ κρύψασ' ἔχεις;
Εκ. Σκύλων ἐν ὄχλῳ ταῖσδε σώζεται στέγαις.
Πολ. Ποῦ δ' αὖ; Ἀχαιῶν ναύλοχοι περιπτυχαί;
Εκ. Ἰδίᾳ γυναικῶν αἰχμαλωτίδων στέγαι.
Πολ. Τἄνδον δὲ πιστὰ, κἀρσένων ἐρημία;
Εκ. Οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
Ἀλλ' ἕρπ' ἐς οἴκους, (καὶ γὰρ Ἀργεῖοι νεῶν
Λῦσαι ποθοῦσιν οἴκαδ' ἐκ Τροίας πόδα.)
Ὡς πάντα πράξας, ὧν σε δεῖ, στείχῃς πάλιν
Ξὺν παισὶν, οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.

Hec. Serva itaque illud, nec concupiſce quæ ſunt propinquorum.
Pol. Minime; ſic fruar præſentibus ô mulier.
Hec. Scis igitur quæ dicere tibi & liberis volo?
Pol. Non ſcio: tuo hoc ſignificabis ſermone.
Hec. Sit amatus *filius à te*, ut tu nunc mihi amaris.
Pol. Quid rei *eſt*, quod & me & liberos ſcire oportet?
Hec. Auri veteres filiorum Priami defoſſiones.
Pol. Hæc ſunt, quæ vis filio ſignificare tuo?
Hec. Maximè, per te ſanè. Es enim pius vir.
Pol. Quid porro horum liberorum opus eſt præſentiâ?
Hec. Præſtat, ſi tu morereris, ut iſti ſciant.
Pol. Pulchrè dixiſti sic & ſapientiùs, *quam ego.*
Hec. Noſti igitur Minervæ Trojanæ ubi tecta.
Pol. Ibine aurum eſt? ſignum verò quod?
Hec. Nigrum ſaxum terram eminens ſupra.
Pol. Amplius igitur aliquid vis eorum, quæ ſunt ibi, dicere mihi?
Hec. Servare te pecunias, quibuſcum egreſſa ſum, volo.
Pol. Ubi ſunt? intra veſtes? aut occultans habes? i. e. *occultâſti.*
Hec. Spoliorum in acervo in hiſce ſervantur tectis.
Pol. Ubi verò hæc? An Achæorum nautica ſepta?
Hec. Separatim mulierum captivarum tecta.
Pol. Ea verò, quæ intùs, fida ſunt & virorum ſolitudo?
Hec. Nullus Achæorum intùs, ſed nos ſolæ.
Sed perge in domum. (Etenim Græci navium
Solvere cupiunt domum verſus ex Troja pedem, i. e. *Anchoras.*)
Ut omnia conficiens, quæ te oportet, abeas rurſus
Cum liberis eò, ubi meum poſuiſti filium.

Σῶσόν νυν αὐτὸν] φύλαξαι δὴ, αὐτὸν τὸν πλοῦτον, καὶ μὴ ἐπιθύμει τῶν πραγμάτων τοῦ πλησίον. Τὸ γοῦν ἐκ ἐστι χρονικὸν ἐνταῦθα, ἀλλὰ συμπερασματικὸν, ἀντὶ τοῦ δὴ λαμβανόμενον, ὥσπερ καὶ τὸ νυ παραπληρωματικόν. χρῶνται δὲ τῷ νυ μόνοι οἱ ποιηταὶ, τῷ δὲ νυν καὶ ποιηταὶ καὶ λογοποιοί. ἰστέον δὲ, ὅτι τὸ μὲν νῦν τὸ χρονικὸν ἀεὶ μακρόν ἐστι, καὶ περισπᾶται. διὸ καὶ τὸ νυνὶ ἐκ τούτου γινόμενον, μακρόν ἐστι. τὸ δὲ νὺν ἀντὶ τοῦ δὴ, ἀεὶ βραχὺ, καὶ ὀξύνεται μόνον κείμενον. συντεθὲν δὲ ἐγκλίνεται, ὡς κἀνταῦθα. διὸ καὶ τὸ τοίνυν ἐκ τούτου γινόμενον βραχύ ἐστι. 997 Ἥκιστα, ὀναίμην] ἥκιστα ἐρῶ τοῦ πλούτου τοῦ πλησίον, ἀπολαύσαιμι τῶν ἰδίων, ὦ γύναι. Οἶσθα οὖν ἃ εἰπεῖν σοὶ, καὶ τοῖς σοῖς τέκνοις θέλω; οὐκ οἶδα. τοῦτο δὲ δηλώσεις διὰ τοῦ σοῦ λόγου. Ἀγαπηθήτω ὁ παῖς μου ὑπὸ σοῦ, ὡς νῦν σὺ ἀγαπᾷ ὑπ' ἐμοῦ. κατὰ μὲν τὸ φαινόμενον λέγει, ἀγαπάσθω ὁ Πολύδωρος ὑπὸ σοῦ, οὕτως, ὡς σὺ νῦν φιλῇ ὑπ' ἐμοῦ. κατὰ δὲ τὸ νοούμενον, ὡς σὺ φιλῇ ἀρτίως παρ' ἐμοῦ, οὕτως ἐφιλεῖτο καὶ ὁ Πολύδωρος παρὰ σοῦ. Τί

χρῆμα] τί ἐστι τὸ πρᾶγμα, ὅπερ ἐστὶ πρέπον εἰδέναι καὶ ἐμὲ, καὶ τὰ ἐμὰ τέκνα. Θησαυροὶ παλαιοὶ χρυσοῦ κατορυγμένοι τῶν Πριαμιδῶν. τοῦτό ἐστι τὸ πρᾶγμα, θησαυροὶ κατορυγμένοι τῶν Πριαμιδῶν. Ταῦτα ἐστὶν ἃ παρά μοι θέλεις δηλῶσαι τῷ παιδί σου; Ναὶ διὰ σοῦ θέλω μηνύσαι ταῦτα τῷ Πολυδώρῳ. ὑπάρχεις γὰρ εὐσεβὴς ἄνθρωπος. Κατὰ τί οὖν χρεία ὑπάρχει τῆς εἰδήσεως τῶν παίδων; Λυσιτελὲς ἐστὶν, ἐὰν σὺ ἀποθάνῃς, τούτους γινώσκειν. καλῶς εἶπας οὕτως ταῦτα τῇ διανοίᾳ, καὶ σοφωτέρως ἐμοῦ. Γινώσκεις οὖν ἐστι τῆς Τρωικῆς Ἀθηνᾶς ὁ ναός; ἐκεῖ ἐστιν ὁ χρυσός; Τί δὲ σημεῖον τοῦ τόπου ἐν ᾧ ἐστιν; Μέλαινα πέτρα ὑπερέχει ὑπερκειμένη τῆς γῆς. Ἔτι οὖν ἐπὶ τούτοις θέλεις τι τῶν ἐκεῖ πραγμάτων δηλοποιεῖν μοι; Φυλάξαι σε τὰ χρήματα, μεθ' ὧν ἐξῆλθον τῆς πόλεως, θέλω. Ποῦ δῆτα εἰσὶ δηλονότι; ἐντὸς τῶν πέπλων ἔχεις; ἢ κρύψασα ἀλλαχοῦ φυλάττεις; Ἐν τῷ πλήθει τῶν λαφύρων, ἐν ταῖσδε ταῖς σκηναῖς σώζεται τὰ χρήματα. τὸ δὲ ταῖσδε, ἀναφορικόν ἐστι καὶ δεικτικόν. ἡ μὲν οὖν Ἑκάβη δεικτικῶς εἶπε, ταύτας ταῖς σκηναῖς. ὁ δὲ Πολυμήστωρ ἀναφορικῶς νοήσας, ἐρωτᾷ. ποῦ δὲ αὗται αἱ περιπτυχαί, ἢ αἱ σκηναί τῶν Ἀχαιῶν αἱ ναυτικαὶ, εἰς τὸ αὐθεντικόν. τὸ δὲ λοιπὸν ἰδίᾳ κατ' ἐρώτησιν ἐν ὑποστιγμῇ. ναύλοχοι δὲ, τὰ ναύσταθμα. ποῦ δὲ αὗται αἱ στέγαι, ἃς λέγεις ἔχειν τὸν χρυσόν; ἆρα τὰ ναύσταθμα τῶν Ἑλλήνων, τουτέστιν ἐν ταῖς ναυσὶ λέγεις εἶναι τὸν χρυσόν; πρὸς ὃ ἐπάγει ἡ Ἑκάβη, ὅτι οὐ τὰς ναῦς εἶπον στέγας. ἰδίᾳ γὰρ καὶ χωρὶς εἰσὶ δηλονότι αἱ στέγαι τῶν αἰχμαλωτίδων γυναικῶν, τὰ ἔνδον δὲ πιστὰ καὶ ἀσφαλῆ, καὶ ἐρημία, καὶ στέρησις ἀρσένων, οὐδεὶς τῶν Ἀχαιῶν ἔνδον, ἀλλὰ ἡμεῖς μόναι. ἀλλὰ βάδιζε εἰς τοὺς οἴκους. (καὶ γὰρ οἱ Ἀργεῖοι ποθοῦσι λῦσαι τὸν πόδα, ἀντὶ τοῦ τὴν πορείαν τῶν νεῶν, ἐκ τῆς Τροίας εἰς τὸν οἶκον,) ἵνα πράξας πάντα ὧν χρεία ἐστὶν εἰς πρᾶξιν ἐλθεῖν, δηλονότι σὲ, ἐπαναστρέψῃς σὺν τοῖς παισὶν, ὅπου κατῴκισας τὸν ἐμὸν υἱόν. 1021 Πράξας] πρὸς μὲν τὴν ὑπόληψιν τοῦ Πολυμήστορος, ἀντὶ τοῦ ποιήσας νοεῖται. πρὸς δὲ τὴν τῆς Ἑκάβης, ἀντὶ τοῦ παθών. σημαίνει καὶ τὸ ποιῶ, καὶ τὸ πάσχω.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην,
Ἀλίμενόν τις ὡς
Ἐς ἄντλον ἐμπεσὼν
Λέχριος, ἐκπεσῇ
Φίλας καρδίας,

Cho. Nondum dediſti, ſed fortè dabis pœnas,
Importuoſum quiſpiam quaſi
In verticem incidens
Obliquus, exciderit
Charo corde,

Οὔπω δέδωκας] εἰσελθόντος εἴσω τοῦ Πολυμήστορος, ἐκτὸς ὁ χορὸς ἱστάμενος, τοῦτο φησὶν· οὔπω δέδωκας. τὰ τοιαῦτα, εἴδη τῶν χορῶν, καλεῖται μονοστροφικά. μονοστροφικὰ δὲ εἰσιν,

ὡς Ἡφαιστίων φησὶν, ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ιϛ. τὸ α ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ β παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ ἰάμβου. οὕτω δὲ χρὴ χωρίζειν τὰ κῶλα, ὡς ὑφ' ἡμῶν διῄρηται, ἵν' ἐμμέτρως γένηται τινὸς εἰσὶ μέτρα. τὸ τρίτον ἀντισπαστικὸν ἡμιόλιον, ἐξ ἀντισπάστου καὶ ἰάμβου. τὸ δ ὅμοιον τῷ γ. τὸ ε ὅμοιον τῷ γ, ἐξ ἀντισπάστου δευτέρου καὶ ἰάμβου. τὸ ϛ ὅμοιον σχεδὸν ἀντισπαστικὸν ἡμιόλιον. τὸ ζ ὅμοιον τῷ β. τὸ η ἀντισπαστικὸν δίμετρον, ὑπερκατάληκτον, ἐξ ἀντισπάστου ἐπιτρίτου δ καὶ συλλαβῆς, τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τῆς α καὶ β ποδὸς χορείου. τὸ ι ἰαμβικὸν τρίμετρον. τὸ ια παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων δ δύο καὶ κρητικοῦ. τὸ ιβ ὅμοιον κατὰ πάντα, ἐπὶ τῷ τέλει παράγωγος μόνη. Οὔπω δέδωκας δίκην, ἀλλ' ἴσως δώσεις, λέχριος καὶ πλάγιος, καθὼς τις εἰς ἄντλον, ἤτοι πέλαγος μὴ ἔχον λιμένα, στερηθήσῃ τῆς περισπουδάστου ψυχῆς, ἀμαυρώσας καὶ ἀπολέσας τὴν ζωήν. τὸ γὰρ ὑπέγγυον, ἤτοι τὸ ἠσφαλισμένον τῇ δίκῃ, καὶ τοῖς θεοῖς οὐ συμπίπτει, καὶ οὐ καταπίπτει. ὀλέθριον ὀλέθριον κακόν; εἰς ὃ

Σὺ δ᾽ ἔστι μέμφῃ τῆς ἐμῆς ἀπουσίας,
Σχές. τυγχάνω γὰρ ἐν μέσοις Θρήκης ὅροις
Ἀπὼν, ὅτ᾽ ἦλθες δεῦρ᾽· ἐπεὶ δ᾽ ἀφικόμην,
Ἤδη πόδ᾽ ἔξω δωμάτων αἴροντί μοι
Εἰς ταυτὸν ἥδε συμπιτνεῖ δμωὶς σέθεν,
Λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.
Εκ. Αἰσχύνομαί σε προσβλέπειν ἐναντίον
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
Ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ᾽, αἰδώς μ᾽ ἔχει
Ἐν τῷδε πότμῳ, τυγχάνουσ᾽ ἵν᾽ εἰμὶ νῦν,
Κοὐκ ἂν δυναίμην προσβλέπειν σ᾽ ὀρθαῖς κόραις.
Ἀλλ᾽ αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν
Πολυμῆστορ. ἄλλως δ᾽, αἴτιόν τε καὶ νόμος,
« Γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.
Πολ. Καὶ θαῦμά γ᾽ οὐδέν· ἀλλὰ τίς χρεία σ᾽ ἐμοῦ;
Τί χρῆμ᾽ ἔπεμψας τὸν ἐμὸν ἐκ δόμων πόδα;
Εκ. Ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι,
Καὶ παῖδας εἰπεῖν σούς. ὀπάονας δέ μοι
Χωρὶς κέλευσον τῶνδ᾽ ἀποστῆναι δόμων.
Πολ. Χωρεῖτ᾽· ἐν ἀσφαλεῖ γὰρ ἥδ᾽ ἐρημία.
Φίλη μὲν ἡμῖν εἶ σὺ, προσφιλὲς δέ μοι
Στράτευμ᾽ Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρὴ,
« Τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
« Φίλοις ἐπαρκεῖν. ὡς ἕτοιμός εἰμ᾽ ἐγώ.
Εκ. Πρῶτον μὲν εἰπὲ, παῖδ᾽, ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον, ἔκ τε πατρὸς, ἐν δόμοις ἔχεις,
Εἰ ζῇ· τὰ δ᾽ ἄλλα δεύτερόν σ᾽ ἐρήσομαι.
Πολ. Μάλιστα· τοὐκείνου μὲν εὐτυχεῖς μέρος.
Εκ. Ὦ φίλταθ᾽, ὡς εὖ κἀξίως σέθεν λέγεις.
Πολ. Τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
Εκ. Εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τι μου;
Πολ. Καὶ δεῦρό γ᾽ ὡς σὲ κρύφιος ἐζήτει μολεῖν.
Εκ. Χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
Πολ. Σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος·

Tu verò ſi quid incuſes meam abſentiam,
Quieſce: eram enim in mediis Thraciæ finibus
Abſens quando veniſti huc. ſed poſtquam redii,
Jam pedem extra domum tollenti mihi
Ad idem hæc coincidit ancilla tua,
Dicens ſermones, quos audiens veni.
Hec. Erubeſco intueri te adverſum
Polymeſtor, in talibus conſtituta malis.
Cui enim conſpecta ſum felicior agens, pudor me tenet
In hoc fato, ubi ſum nunc poſita:
Neque queam aſpicere te rectis pupulis.
Sed hoc ipſum non malevolentiam eſſe duces erga te
Polymeſtor. Alias verò cauſa quædam & lex eſt
« Mulieribus, viros ne aſpiciant ex adverſo.
Pol. Et mirum ſanè nihil: ſed quis uſus tibi mei?
Propter quod negotium evocâſti meum ex ædibus pedem?
Hec. Privatim meipſius ſanè quiddam ad te volo
Et liberos dicere tuos: miniſtros verò mihi
Separatim jube ab his abſcedere domibus.
Pol. Diſcedite: in tuto enim hæc ſolitudo.
Amica quidem nobis es tu, amicus verò mihi
Exercitus Achæorum. Sed indicare te convenit
« Quid oporteat felici fortuna utentem non felici utentibus
« Amicis præſtare: nam paratus ſum ego.
Hec. Primùm quidem dic, filium, quem ex meâ manu
Polydorum, exque patris acceptum, in domibus habes,
An vivat: alia deinde te interrogabo.
Pol. Maximè ex illâ quidem felix es parte.
Hec. O chariſſime, quàm benè & dignè te loqueris!
Pol. Quid itaque vis ſecundò ſcire ex me?
Hec. An parentis hujus memor eſt aliquid mei?
Pol. Et huc quidem ad te occultè quærebat venire.
Hec. Aurum verò ſalvum eſt, quod venit ex Trojâ habens?
Pol. Salvum in domibus quidem meis cuſtoditum.

Τουτέστιν οὐχ ὑπερβαίνει τὰ κακὰ μεταβαλλόμενα, ἀλλ᾽ ἀεὶ κακὰ τυγχάνοντα. τὸ δὲ μεταβάλλεσθαί τι ἀεὶ ἀπὸ κακοῦ πρὸς τὸ καλὸν, ἔμπροσθεν τοῦ κακοῦ φαῦλον γίνεται. Ὦ φίλτατ᾽ ἀνδρῶν Πρίαμε, καὶ σὺ, ὦ Ἑκάβη φιλτάτη, δακρύω εἰσορῶν σε, καὶ τὴν πόλιν, καὶ τὴν θυγατέρα σου τὴν θανοῦσαν πρὸ ὀλίγου. φεῦ, θαυμαστόν. οὐκ ἔστιν οὐδὲν πιστὸν καὶ βέβαιον, οὔτε εὐδοξία καὶ εὐπραγία, οὔτε εὐτυχοῦντα πάλιν μὴ δυστυχεῖν. φύρουσι δὲ καὶ ταράττουσιν αὐτὰ οἱ θεοὶ, εἰς τοὐπίσω, καὶ ἔμπροσθεν ἐντιθέντες σύγχυσιν, ἵνα ἀγνοίᾳ τοῦ μέλλοντος σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τὰ κακὰ, κατὰ τί δεῖ θρηνεῖν ἐμὲ δηλονότι, οὐδαμῶς προκόπτοντα καὶ προερχόμενα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν. ὦ δέσποινα, καὶ τί ὄντα τὰ κακά. σὺ δὲ εἰ κατά τι μέμφῃ ἐμοὶ ἕνεκα τῆς ἀποδημίας ἐμῆς σαυτὴν δηλονότι, ἐτύγχανον μὲν ἀποδημῶν ἐν τῷ μέσῳ τῶν τῆς Θρᾴκης ὁρίων, ὅτε ἦλθες ὧδε. ἐπεὶ δὲ ἦλθον, αἴροντί μοι, καὶ κινοῦντι τὸν πόδα ἔξω τῶν δωμάτων, εἰς ταυτὸν αὕτη ἡ δμωὶς συμπίπτει καὶ συναντᾷ ἡ δούλη σου αὕτη, ἀπαγγέλλουσα ἀγγελίας, ἃς ἀκούων ἀφικόμην. [968] Αἰσχύνομαί σε προσβλέπειν] ὦ Πολυμῆστορ, αἰσχύνομαι βλέπειν πρὸς σὲ κατὰ πρόσωπον. κειμένη ἐν τοιαύταις δυστυχίαις. σοὶ γὰρ ᾧ ποτε ὤφθην εὐτυχοῦσα, αἰδοῦμαι ὀφθῆναι, δηλονότι ὑπάρχουσα ἐν ταύτῃ τῇ δυστυχίᾳ, ὅπου εἰμὶ νῦν. καὶ οὐκ ἂν δυναίμην βλέπειν πρὸς σὲ, ὀφθαλμοῖς ὀρθοῖς ἀτενίζουσα, ἀλλ᾽ αὐτὸ μὴ νομίσῃς ἔχθραν σου ὦ Πολυμῆστορ. ἄλλως τε καὶ νόμος αἴτιόν τι, λέγω τὸ μὴ βλέπειν γυναῖκας κατὰ πρόσωπον ἀνδρῶν. [970] Αἰδώς μ᾽ ἔχει] ἀγνοοῦντες μικροῦ πάντες ἐνταῦθα τὴν σύνταξιν, σόλοικον ἡγοῦνται, λέγοντες ὡς τυγχάνουσαν ἔδει εἰπεῖν πρὸς τὸ αἰδώς μ᾽ ἔχει. τὸ δ᾽ οὕτω συντάσσεται. ἐν τῷδε γὰρ τῷ πότμῳ καὶ τῇ τύχῃ ὅπου εἰμὶ νῦν τυγχάνουσα, αἰδώς μ᾽ ἔχει ἐκείνου τοῦ ἀνδρὸς, ᾧ ποτε ἐφάνην εὐτυχοῦσα, πρὸς τὸ αἰδὼς συντακτέον οὕτως, αἰδὼς γὰρ ἔχει μ᾽ ἐκείνῳ, ὅτῳ ὤφθην εὐτυχοῦσα, τυγχάνουσα ἡ αἰδὼς ἐν τῷδε τῷ πότμῳ, ὅπου εἰμὶ, τουτέστιν αἰδοῦμαι θεάσασθαί σε. ἡ δὲ αἰδὼς οὐκ ἄλλοθεν ἢ ἐκ τῆς δυστυχίας ἐστὶν, ἐν ᾗ νῦν πρόσκειμαι. ὃ δὲ καὶ κρεῖττόν ἐστι τοῦ προτέρου. Καὶ θαῦμά γ᾽ οὐδέν] αἰσχύνεσθαί σε δηλονότι, ἀλλὰ τίς χρεία ἐμοῦ σοι· διατί πρᾶγμα μετεπέμψω ἐκ τῶν δόμων τὸν ἐμὸν πόδα, ἤγουν ἐμέ. Ἀλλὰ τίς χρεία σ᾽ ἐμοῦ· ἔδει οὕτως εἰπεῖν, ἀλλὰ τίς χρεία σοι ἐμοῦ. νῦν δὲ Ὁμηρικῷ ζήλῳ, ἀντὶ τοῦ σοὶ εἴρηκεν, λαμβάνων τὴν εἰς πρόθεσιν ἔξωθεν, ὡς τὸ χρεὼ * βουλῆς ἐμὲ καὶ σέ. ἡ ἔστι ἡ ... δίφθογγος κρύπτεται καὶ συναλείφεται, ὥσπερ κἀνταῦθα σοί. [978] Ἴδιον ἐμαυτῆς] ἴδιον δή τι ἐμαυτῆς βούλομαι εἰπεῖν πρὸς σὲ, καὶ τοὺς σοὺς παῖδας. τοὺς δὲ ἀκολούθους κέλευσον χωρεῖν ἐμοῦ, μακρὰν φυγεῖν τῶνδε τῶν δόμων. Κέλευσον τῶνδ᾽ ἀποστῆναι δόμων] ἀκολουθέντων τῷ Πολυμήστορι τῶν αὐτοῦ ὑπηκόων, ἐλθόντι πρὸς τὴν Ἑκάβην, ἰδοῦσα αὐτὴ ὡς οὐ δυνηθείη τὸ κατ᾽ αὐτοῦ δρᾶμα τελέσαι τούτων παρόντων, φησὶ πρὸς τὸν Πολυμήστορα· κέλευσον ἀπελθεῖν τοὺς σοὺς δούλους, ἵνα σοι λάθρᾳ εἴπω ὃ βούλομαι. καὶ ὃς πεισθεὶς, ὑποχωρεῖτε τοῖς αὐτοῦ δούλοις φησὶν, οὐ γὰρ φοβοῦμαι μονωθεὶς ὑμῶν. τοῦτο γὰρ δηλοῖ, τὸ, ἐν ἀσφαλεῖ γὰρ ἥδε ἡ ἐρημία. Χωρεῖτε] ἀποχωρεῖτε. ἐν ἀσφαλεῖ, ἀντὶ τοῦ ἐν οὐδενὶ φόβῳ ἐστὶν ἥδε ἡ ἐρημία. προσφιλὴς μὲν εἶ σὺ, προσφιλὲς δὲ ἐμοὶ καὶ τόδε τὸ στράτευμα τῶν Ἀχαιῶν. ἀλλὰ πρέπει δηλοῦν, ἤτοι λέγειν σε τί τὸν εὐτυχοῦντα πρέπει βοηθεῖν τοῖς μὴ εὐτυχοῦσι φίλοις, ὅτι ἕτοιμος εἰμὶ ἐγώ. [985] Πρῶτον μὲν εἰπὲ] διὰ τὸν παῖδα τὸν Πολύδωρον, ὃν ἔχεις ἐν τοῖς δόμοις, ἐκ τῆς ἐμῆς χειρὸς λαβὼν δηλονότι, ἔκ τε τοῦ πατρὸς, εἰ ζῇ. τὰ δὲ ἄλλα ἐρωτήσω σε κατὰ δεύτερον λόγον. Μάλιστα ζῇ] κατὰ τὸ μέρος ἐκείνου, ἤγουν ὅσον δι᾽ ἐκεῖνον, εὐδαιμονεῖς. Ὦ φίλτατε] ὡς λίαν καλῶς καὶ ἀξίως σου λέγεις χλευάζουσα αὐτὸν, ταῦτα φησί. τί οὖν θέλεις ἐκ δευτέρου μαθεῖν ἐξ ἐμοῦ. Εἰ τῆς τεκούσης] τοῦτο θέλω μαθεῖν, εἰ ὁ υἱός μου μέμνηται κατά τι ἐμοῦ τῆς τεκούσης ἐκεῖνον. Ναὶ, μέμνηται δηλονότι, καὶ ὧδε κρυφίως ἐζήτει ἐλθεῖν. Ὁ δὲ χρυσὸς ἀνελλιπὴς καὶ ἀκέραιός ἐστιν, ὃν ἦλθε φέρων ἐκ Τροίας; σῶός ἐστιν, ἐν τοῖς ἐμοῖς φυλαττόμενος οἴκοις.

* Iliad. κ. V. 43.

ANNOTATIONES.

V. 992. Εἰ τῆς τεκούσης, &c.] Hinc Virgil. Æn. l. 3. v. 341. *Ecquæ jam Puero eſt amiſſa Cura Parentis?*

Εκ. Σῶόν

Εκ. Σῶζόν νυν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.
Πολ. Ἥκιστ', ὀναίμην τοῦ παρόντος, ὦ γύναι.
Εκ. Οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ παισὶν θέλω;
Πολ. Οὐκ οἶδα, τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.
Εκ. Ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλῇ.
Πολ. Τί χρῆμ', ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
Εκ. Χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
Πολ. Ταῦτ' ἔσθ', ἃ βούλῃ παιδὶ σημῆναι σέθεν;
Εκ. Μάλιστα, διὰ σοῦ γ'. εἶ γὰρ εὐσεβὴς ἀνήρ.
Πολ. Τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
Εκ. Ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
Πολ. Καλῶς ἔλεξας τῇδε, καὶ σοφώτερον.
Εκ. Οἶσθ' οὖν Ἀθάνας Ἰλιακῆς ἵνα στέγαι;
Πολ. Ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
Εκ. Μέλαινα πέτρα, γῆς ὑπερτέλλουσ' ἄνω.
Πολ. Ἔτ' οὖν τι βούλῃ τῶν ἐκεῖ φράζειν ἐμοί;
Εκ. Σῶσαί σε χρήμαθ', οἷς συνεξῆλθον, θέλω.
Πολ. Ποῦ δῆτα; πέπλων ἐντὸς, ἢ κρύψασ' ἔχεις;
Εκ. Σκύλων ἐν ὄχλῳ ταῖσδε σώζεται στέγαις.
Πολ. Ποῦ δ' αὗθ'; Ἀχαιῶν ναύλοχοι περιπτυχαί;
Εκ. Ἰδίᾳ γυναικῶν αἰχμαλωτίδων στέγαι.
Πολ. Τἄνδον δὲ πιστὰ, κἀρσένων ἐρημία;
Εκ. Οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
Ἀλλ' ἕρπ' ἐς οἴκους, (καὶ γὰρ Ἀργεῖοι νεῶν
Λῦσαι ποθοῦσιν οἴκαδ' ἐκ Τροίας πόδα.)
Ὡς πάντα πράξας, ὧν σε δεῖ, στείχῃς πάλιν
Ξὺν παισὶν, οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.

Hec. Serva itaque illud, nec concupiſce quæ ſunt propinquorum.
Pol. Minimè: perfruar præſentibus ò mulier.
Hec. Scis igitur quæ dicere tibi & liberis volo?
Pol. Non ſcio: tuo hoc ſignificabis ſermone.
Hec. Sit amatus *filius à te*, ut tu nunc mihi amaris.
Pol. Quid rei *eſt*, quod & me & liberos ſcire oportet?
Hec. Auri veteres filiorum Priami defoſſiones.
Pol. Hæc ſunt, quæ vis filio ſignificare tuo?
Hec. Maximè, per te ſanè. Es enim pius vir.
Pol. Quid porro horum liberorum opus eſt præſentiâ?
Hec. Præſtat, ſi tu morereris, ut illi ſciant.
Pol. Pulchrè dixiſti hic & ſapientius, *quàm ego*.
Hec. Noſti igitur Minervæ Trojanæ ubi tecta?
Pol. Ibine aurum eſt? ſignum verò quod?
Hec. Nigrum ſaxum terram eminens ſupra.
Pol. Amplius igitur aliquid vis eorum, quæ ſunt ibi, dicere mihi?
Hec. Servare te pecunias, quibuſcum egreſſa ſum, volo.
Pol. Ubi ſunt? intra veſtes? aut occultans habes? i. e. *occultaſti*.
Hec. Spoliorum in acervo in hiſce ſervantur tectis.
Pol. Ubi verò hæc? An Achæorum nautica ſepta?
Hec. Separatim mulierum captivarum tecta.
Pol. Ea verò, quæ intus, fida ſunt & virorum ſolitudo?
Hec. Nullus Achæorum intùs, ſed nos ſolæ.
Sed perge in domum. (Etenim Græci navium
Solvere cupiunt domum verſus ex Troja pedem, i. e. *Anchoras*.)
Ut omnia conficiens, quæ te oportet, abeas rurſus
Cum liberis eò, ubi meum poſuiſti filium.

Σῶζόν νυν αὐτὸν] φύλαττε δὴ, αὐτὸν τὸν πλοῦτον, καὶ μὴ ἐπιθύμει τῶν πραγμάτων τῶν πλησίον. Τὸ νῦν ἐκ ἔστι χρονικὸν ἐνταῦθα, ἀλλὰ συμπερασματικὸν, ἀντὶ τοῦ ἐν λαμβανόμενον, ὥσπερ καὶ τὸ νυ παραπληρωματικόν. Χρῶνται δὲ τῷ νυ μόνοι οἱ ποιηταὶ, τῷ δὲ νῦν καὶ ποιηταὶ καὶ λογοποιοί. ἰστέον δὲ, ὅτι τὸ μὲν νῦν τὸ χρονικὸν ἀεὶ μακρόν ἐστι, καὶ περισπᾶται. διὸ καὶ τὸ νυνὶ ἐκ τούτου γινόμενον, μακρόν ἐστι. τὸ δὲ νῦν ἀντὶ τοῦ δὴ, ἀεὶ βραχὺ, καὶ ὀξύνεται μόνον κείμενον. συντεθὲν δὲ ἐγκλίνεται, ὡς κἀνταῦθα. διὸ καὶ τὸ τοίνυν ἐκ τούτου γινόμενον βραχύ ἐστι. 997 Ἥκιστα, ὀναίμην] οὐδαμῶς ἐρῶ τοῦ πλούτου τοῦ πλησίον, ἀπολαύσαιμι τοῦ ἰδίου, ὦ γύναι. Οἶδας οὖν ἃ εἰπεῖν σοι, καὶ τοῖς σοῖς τέκνοις θέλω; οὐκ οἶδα. τοῦτο δὲ δηλώσεις διὰ τοῦ σοῦ λόγου. Ἀγαπηθήτω ὁ παῖς μου ὑπὸ σοῦ, ὡς νῦν σὺ ἀγαπᾷ ὑπ' ἐμοῦ. κατὰ μὲν τὸ φαινόμενον λέγει, ἀγαπάσθω ὁ Πολύδωρος ὑπὸ σοῦ, οὕτως, καθὰ σὺ νῦν φιλῇ ὑπ' ἐμοῦ. κατὰ δὲ τὸ νοούμενον, ὡς σὺ φιλῇ ἀρτίως παρ' ἐμοῦ, οὕτως ἐφιλεῖτο καὶ ὁ Πολύδωρος παρὰ σοῦ. Τὸ χρῆμα] τί ἐστι τὸ πρᾶγμα, ὅπερ ἐστὶ πρέπον εἰδέναι καὶ ἐμὲ, καὶ τὰ ἐμὰ τέκνα. Θησαυροὶ παλαιοὶ χρυσοῦ κεκρυμμένοι τῶν Πριαμιδῶν. τοῦτο ἐστὶ τὸ πρᾶγμα, θησαυροὶ κεκρυμμένοι τῶν Πριαμιδῶν. Ταῦτα ἐστὶν ἅτινά με θέλεις δηλῶσαι τῷ παιδί σου; Ναὶ διὰ σοῦ θέλω μηνῦσαι ταῦτα τῷ Πολυδώρῳ. ὑπάρχεις γὰρ εὐσεβὴς ἄνθρωπος. Κατὰ τί οὖν χρεία ὑπάρχει τῆς εἰδήσεως τῶν παίδων; Λυσιτελές ἐστιν, ἐὰν σὺ ἀποθάνῃς, τούτους γινώσκειν. καλῶς εἶπας ὕπως τῇδε τῇ διανοίᾳ, καὶ σοφωτέρως ἐμοῦ. Γινώσκεις οὖν ἔστι τῆς Τρωϊκῆς Ἀθηνᾶς ὁ ναός; ἐκεῖ ἐστιν ὁ χρυσός; Τί δὲ σημεῖον τοῦ τόπου ἐν ᾧ ἐστίν; Μέλαινα πέτρα ὑπάρχει ὑπερανεχομένη τῆς γῆς. Ἔτι οὖν ἐστὶ τούτοις θέλεις τι τῶν ἐκεῖ πραγμάτων δηλοποιῆσαι μοι; Φυλάξαι σε τὰ χρήματα, μεθ' ὧν ἐξῆλθον τῆς πόλεως, θέλω. Ποῦ δῆτα εἰσὶ δηλονότι; ἐντὸς τῶν πέπλων ἔχεις; ἢ κρύψασα ἀλλαχοῦ φυλάσσεις; Ἐν τῷ πλήθει τῶν λαφύρων, ἐν ταῖσδε ταῖς σκηναῖς σώζεται τὰ χρήματα. τὸ δὲ ταῖσδε, ἀναφορικόν ἐστι καὶ δεικτικόν. ἡ μὲν οὖν Ἑκάβη δεικτικῶς εἶπε, ταύταις ταῖς σκηναῖς. ὁ δὲ Πολυμήστωρ ἀναφορικῶς νοήσας, ἐρωτᾷ. ποῦ δὲ αὗται αἱ καλασκηνώσεις τῶν Ἀχαιῶν αἱ ναυτικαὶ, εἰς τὸ διαστικτέον. τὸ δὲ λοιπὸν ἰδίᾳ κατ' ἐρώτησιν ἐν ὑποστιγμῇ. ναύλοχοι δὲ, τὰ ναύσταθμα. ποῦ δὲ αὗται αἱ στέγαι, ἃς λέγεις ἔχειν τὸν χρυσόν; ἆρα τὰ ναύσταθμα τῶν Ἑλλήνων, τουτέστιν ἐν ταῖς ναυσὶ λέγεις εἶναι τὸν χρυσόν; πρὸς ὃ ἐπάγει ἡ Ἑκάβη, ὅτι οὐ τὰς ναῦς εἶπον στέγας. ἰδίᾳ γὰρ καὶ χωρίς εἰσι δηλονότι αἱ στέγαι τῶν αἰχμαλωτίδων γυναικῶν, τὰ ἔνδον δὲ πιστὰ καὶ ἀσφαλῆ, καὶ ἐρημία, καὶ στέρησις ἀρσένων, οὐδεὶς τῶν Ἀχαιῶν ἔνδον, ἀλλὰ ἡμεῖς μόναι· ἀλλὰ βάδιζε εἰς τοὺς οἴκους. (καὶ γὰρ οἱ Ἀργεῖοι ποθοῦσι λῦσαι τὸν πόδα, ἀντὶ τοῦ τὴν πορείαν τῶν νηῶν, ἐκ τῆς Τροίας εἰς τὸν οἶκον,) ἵνα πράξας πάντα ὧν χρεία ἐστὶν εἰς πρᾶξιν ἐλθεῖν, δηλονότι σὲ, ἐπαναστρέψῃς σὺν τοῖς παισὶν, ὅπου κατῴκισας τὸν ἐμὸν υἱόν. 1021 Πράξας πρὸς μὲν τὴν ὑπόληψιν τοῦ Πολυμήστορος, ἀντὶ τοῦ ποιήσας νοεῖται. πρὸς δὲ τὴν τῆς Ἑκάβης, ἀντὶ τοῦ παθών. σημαίνει καὶ τὸ ποιῶ, καὶ τὸ πάσχω.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην,
Ἀλίμενόν τις ὡς
Ἐς ἄντλον ἐμπεσὼν
Λέχριος, ἐκπεσῇ
Φίλας καρδίας,

Cho. Nondum dediſti, ſed fortè dabis pœnas,
Importuoſum quiſpiam quaſi
In vorticem incidens
Obliquus, exciderit
Charo corde,

Οὔπω δέδωκας] εἰρωνευθέντος ἤδη τοῦ Πολυμήστορος, ἐκτὸς ὁ χορὸς ἱστάμενος, τοῦτό φησιν· οὔπω δέδωκας. τὰ τοιαῦτα εἴδη τῶν χορῶν, καλεῖται μονοστροφικά. μονοστροφικὰ δέ εἰσιν, ὡς Ἡφαιστίων φησὶν, ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ιβ. τὸ α ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ ἰάμβου. οὕτω δὲ χρὴ χωρεῖν τὰ κῶλα, ὡς ὑφ' ἡμῶν διῃρέθη, ἵν' ἐρρωμένως γνῶναι τίνος εἰσὶ μέτρου. τὸ τρίτον ἀντισπαστικὸν ἡμιόλιον, ἐξ ἐπιτρίτου γ καὶ ἰάμβου. τὸ δ ὅμοιον τῷ β. τὸ ε ὅμοιον τῷ γ, ἐξ ἐπιτρίτου δευτέρου καὶ ἰάμβου. τὸ ς ὅμοιον καθαρὸν ἀντισπαστικὸν ἡμιόλιον. τὸ ζ ὅμοιον τῷ β. τὸ η ἀντισπαστικὸν δίμετρον, ὑπερκατάληκτον, ἐξ ἀντισπάστου ἐπιτρίτου δ καὶ συλλαβῆς, τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α καὶ β ποδὸς χορείου. τὸ ι ἴαμβος τρίμετρος. τὸ ια παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων δ δύο καὶ κρητικοῦ. τὸ ιβ ὅμοιον κατὰ πάντα, ἐπὶ τῷ τέλει παράγραφος μόνη. Οὔπω δέδωκας δίκην, ἀλλ' ἴσως δώσεις, λέχριος καὶ πλάγιος, καθὰ τις εἰς ἄντλον, ἤτοι πέλαγος μὴ ἔχον λιμένα, στερηθήσῃ τῆς προσφιλοῦς ψυχῆς, ἀμαυρώσας καὶ ἀπολέσας τὴν ζωήν. τὸ γὰρ ὑπέγγυον, ἤτοι τὸ ἠσφαλισμένον τῇ δίκῃ, καὶ τοῖς θεοῖς οὐ συμπίπτει, καὶ οὐ καταπίπτει. ὀλέθριον ὀλέθριον κακόν; εἰς ὃ

Σὺ δ᾽ εἴ τι μέμφῃ τῆς ἐμῆς ἀπουσίας,
Σχές. τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὅροις
Ἀπών, ὅτ᾽ ἦλθες δεῦρ᾽· ἐπεὶ δ᾽ ἀφικόμην,
Ἤδη πόδ᾽ ἔξω δωμάτων αἴροντί μοι
Εἰς ταυτὸν ἥδε συμπίτνει δμωὶς σέθεν,
Λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.
Εκ. Αἰσχύνομαί σε προσβλέπειν ἐναντίον
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
Ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ᾽, αἰδώς μ᾽ ἔχει
Ἐν τῷδε πότμῳ, τυγχάνουσ᾽ ἵν᾽ εἰμὶ νῦν,
Κοὐκ ἂν δυναίμην προσβλέπειν σ᾽ ὀρθαῖς κόραις.
Ἀλλ᾽ αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν
Πολυμῆστορ. ἄλλως δ᾽, αἴτιόν τι καὶ νόμος,
" Γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.
Πολ. Καὶ θαῦμά γ᾽ οὐδέν· ἀλλὰ τίς χρεία σ᾽ ἐμοῦ;
Τί χρῆμ᾽ ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
Εκ. Ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι,
Καὶ παῖδας εἰπεῖν σούς. ὀπάονας δέ μοι
Χωρὶς κέλευσον τῶνδ᾽ ἀποστῆναι δόμων.
Πολ. Χωρεῖτ᾽· ἐν ἀσφαλεῖ γὰρ ἥδ᾽ ἐρημία.
Φίλη μὲν ἡμῖν εἶ σύ, προσφιλὲς δέ μοι
Στράτευμ᾽ Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρή,
" Τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
" Φίλοις ἐπαρκεῖν. ὡς ἕτοιμός εἰμ᾽ ἐγώ.
Εκ. Πρῶτον μὲν εἰπέ, παῖδ᾽, ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον, ἔκ τε πατρὸς ἐν δόμοις ἔχεις,
Εἰ ζῇ· τὰ δ᾽ ἄλλα δεύτερόν σ᾽ ἐρήσομαι.
Πολ. Μάλιστα· τἀκείνου μὲν εὐτυχεῖς μέρος.
Εκ. Ὦ φίλταθ᾽, ὡς εὖ κἀξίως σέθεν λέγεις.
Πολ. Τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
Εκ. Εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τί μου;
Πολ. Καὶ δεῦρό γ᾽ ὡς σὲ κρύφιος ἐζήτει μολεῖν.
Εκ. Χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
Πολ. Σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος·

Tu verò ſi quid incuſeſ meam abſentiam,
Quieſce: eram enim in mediis Thraciæ finibus
Abſens quando veniſti huc. ſed poſtquam redii,
Jam pedem extra domum tollenti mihi
Ad idem hæc coincidit ancilla tua,
Dicens ſermones, quos audiens veni.
Hec. Erubeſco intueri te adverſum
Polymeſtor, in talibus conſtituta malis.
Cui enim conſpecta ſum feliciter agens, pudor me tenet
In hoc fato, ubi ſum nunc poſita:
Neque queam aſpicere te rectis pupulis.
Sed hoc ipſum non malevolentiam *eſſe* duces erga te
Polymeſtor. Aliàs verò cauſa quædam & lex eſt
" Mulieribus, viros ne aſpiciant ex adverſo.
Pol. Et mirum ſanè nihil: ſed quis uſus tibi mei?
Propter quod negotium evocâſti meum ex ædibus pedem?
Hec. Privatim meipſius ſanè quiddam ad te volo
Et liberos dicere tuos: miniſtros verò mihi
Separatim jube ab his abſcedere domibus.
Pol. Diſcedite: in tuto enim hæc ſolitudo.
Amica quidem nobis es tu, amicus verò mihi
Exercitus Achæorum. Sed indicare te convenit
" Quid oporteat felici fortuna utentem non felici utentibus
" Amicis præſtare: nam paratus ſum ego.
Hec. Primùm quidem dic, filium, quem ex meâ manu
Polydorum, exque patris accepturn, in domibus habes,
An vivat: alia deinde te interrogabo.
Pol. Maximè ex illâ quidem felix es parte.
Hec. O chariſſime, quàm benè & dignè te loqueris!
Pol. Quid itaque vis ſecundò ſcire ex me?
Hec. An parentis hujus memor eſt aliquid mei?
Pol. Et huc quidem ad te occultè quærebat venire.
Hec. Aurum verò ſalvum eſt, quod venit ex Trojà habens?
Pol. Salvum in domibus quidem meis cuſtoditum.

τουτέστιν οὐκ ἐμβεβαιοῖ τὰ κακὰ μεταβαλλόμενα, ἀλλ᾽ ἀεὶ κακὰ τυγχάνοντα. τὸ δὲ μεταβάλλεσθαί τι ἀεὶ ἀπὸ κακοῦ πρὸς τὸ καλόν, ἐμποδὼν τοῦ κακοῦ φαίνεται γίνεσθαι. Ὦ φίλτατ᾽ ἀνδρῶν Πρίαμε, καὶ σύ, ὦ Ἑκάβη φιλτάτη, δακρύω εἰσορῶν σε, πλοῦτε τὴν πόλιν, καὶ τὴν θυγατέρα σου τὴν θανοῦσαν πρὸ ὀλίγου. φεῦ, θαυμαστικόν. οὐκ ἔστιν οὐδὲν πιστὸν καὶ βέβαιον, οὔτε εὐδοξία καὶ ἐπιμονία, οὔτε εὐτυχοῦντα πάλιν μὴ δυστυχήσειν. φύρουσι δὲ καὶ ταράττουσιν αὐτὰ οἱ θεοί, εἰς τὸ πρόσω, καὶ ἔμπροσθεν ἐπιτιθέντες σύγχυσιν, ἵνα ἀγνοίᾳ σεβώμεθα μέλλοντας αὐτούς. ἀλλὰ ταῦτα μὲν τὰ κακά, κατὰ τί δεῖ θρηνεῖν ἐμὲ δηλονότι, οὐδαμῶς προκόπτοντα καὶ προερχόμενα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν. ὁ ἐστιν, ὁ κατόπιν ἰόντα τὰ κακά. σὺ δὲ εἰ κατά τι μέμφῃ ἐμοὶ ἕνεκα τῆς ἀποδημίας, ἐπίσχες σεαυτὴν δηλονότι, ἐτύγχανον μὲν ἀποδημῶν ἐν τῷ μέσῳ τῶν τῆς Θρᾴκης ὁρίων, ὅτε ἦλθες ὧδε. ἐπεὶ δὲ ἦλθον, αἴροντί μοι, καὶ κινοῦντι τὸν πόδα ἔξω τῶν δωμάτων, εἰς ταυτὸν ἐμοὶ συμπίπτει ... δούλη σε αὕτη, ἀπαγγέλλουσα ἀγγελίας, ἃς ἀκούων ἀφικόμην. 968 Αἰσχύνομαί σε προσβλέπειν] ὦ Πολυμῆστορ, αἰσχύνομαι βλέπειν πρὸς σὲ κατὰ πρόσωπον. κειμένη ἐν τοιαύταις δυστυχίαις. σοὶ γὰρ ὦ ποτε ὤφθην εὐτυχοῦσα, αἰδοῦμαι ὀφθῆναι, δηλονότι ὑπάρχουσα ἐν ταύτῃ τῇ δυστυχίᾳ, ὅπου εἰμὶ νῦν. καὶ οὐκ ἂν δυναίμην βλέπειν πρὸς σέ, ὀφθαλμοῖς ὀρθοῖς ἀτενίζουσα, ἀλλ᾽ αὐτὸ μὴ νομίσῃς ἔχθραν σου ὦ Πολυμῆστορ. ἄλλως τε καὶ νόμος αἴτιόν ἐστι, λέγω τὸ μὴ βλέπειν γυναῖκας κατὰ πρόσωπον ἀνδρῶν. 970 Αἰδώς μ᾽ ἔχει] ἀγνοοῦντες μικροῦ πάντες ἐνταῦθα τὴν σύνταξιν, σόλοικον ἡγοῦνται, λέγοντες ὡς τυγχάνουσαν ἔδει εἰπεῖν πρὸς τὸ αἰδώς μ᾽ ἔχει. τὸ δ᾽ οὕτω συντακτέον. ἐν τῷδε γὰρ τῷ πότμῳ καὶ τῇ τύχῃ ὅπου εἰμὶ νῦν τυγχάνουσα, αἰδώς μ᾽ ἔχει ἐκείνου τοῦ ἀνδρός, ᾧ ποτε ὤφθην εὐτυχοῦσα, πρὸς τὸ αἰδὼς συντακτέον οὕτως, αἰδὼς γὰρ ἔχει μ᾽ ἐκείνου, ὅτῳ ὤφθην εὐτυχοῦσα, τυγχάνουσαν ἢ αἰδὼς ἐν τῷδε τῷ πότμῳ, ὅπου εἰμί, τουτέστιν αἰδοῦμαι θεάσασθαί σε. ἡ δὲ αἰδὼς οὐκ ἄλλοθεν ἢ ἐκ τῆς δυστυχίας ἐστίν, ἐν ᾗ νῦν προσκειμαι. ὁ δὲ καὶ κρεῖττόν ἐστι τοῦ προτέρου. Καὶ θαῦμά γ᾽ οὐδέν] αἰσχύνεσθαί σε δηλονότι, ἀλλὰ τίς χρεία ἐμοῦ σοι· διατί πρᾶγμα μετεπέμψω ἐκ τῶν δόμων τὸν ἐμὸν πόδα, ἤγουν ἐμέ. Ἀλλὰ τίς χρεία σ᾽ ἐμοῦ] ἔδει οὕτως εἰπεῖν, ἀλλὰ τίς χρεία σοι ἐμοῦ. νῦν δὲ Ὁμηρικῶς ζηλοῖ, ἀντὶ τοῦ σοὶ εἴρηκεν, λαμβάνων τὴν εἰς πρόσθεσιν ἔξωθεν, ὡς τὸ χρειὼ * βουλῆς ἐμὲ καὶ σέ. ἡ ἐπεὶ ἡ οι δίφθογγος κρατίζεται καὶ συναλείφεται, ἔσω κἀνταῦθα σοί. 978 Ἴδιον ἐμαυτῆς] ἴδιον δή τι ἐμαυτῆς βούλομαι εἰπεῖν πρὸς σέ, καὶ τοὺς σοὺς παῖδας. τοὺς δὲ ἀκολούθους κέλευσον χωρεῖν ἐμοῦ, μακρὰν φυλάξ τῶνδε τῶν δόμων. Κέλευσον τῶνδ᾽ ἀποστῆναι δόμων] ἀκολουθούντων τῷ Πολυμήστορι τῶν αὐτοῦ ὑπηκόων, ἐλθόντι πρὸς τὴν Ἑκάβην, ἰδοῦσα αὐτὴ ὡς οὐ δυνηθείη τὸ κατ᾽ αὐτοῦ δρᾶμα τελέσαι τούτων παρόντων, φησὶ πρὸς τὸν Πολυμήστορα· κέλευσον ἀπελθεῖν τοὺς σοὺς δούλους, ἵνα σοι λάθρᾳ εἴπω ὃ βούλομαι. καὶ ὃς πεισθείς, ἀποχωρεῖτε τοῖς αὐτοῦ δούλοις φησίν, οὐ γὰρ φοβοῦμαι μονωθεὶς ὑμῶν. τοῦτο γὰρ δηλοῖ, τό, ἐν ἀσφαλεῖ γὰρ ἥδε ἡ ἐρημία. Χωρεῖτε] ἀποχωρεῖτε. ἐν ἀσφαλεῖ, ἀντὶ τοῦ ἐν οὐδενὶ φόβῳ ἐστὶν ἤδη ἡ ἐρημία. προσφιλὴς μὲν εἶ σύ, προσφιλὲς δὲ ἐμοὶ καὶ τόδε τὸ στράτευμα τῶν Ἀχαιῶν. ἀλλὰ πρέπει δηλοῦν, ἤτοι λέγειν σέ τι τὸν εὐτυχοῦντα πράττειν βοηθεῖν τοῖς μὴ εὐτυχοῦσι φίλοις, ὅτι ἕτοιμος εἰμὶ ἐγώ. 985 Πρῶτον μὲν εἰπέ] διὰ τὸν παῖδα τὸν Πολύδωρον, ὃν ἔχεις ἐν τοῖς δόμοις, ἐκ τῆς ἐμῆς χειρὸς λαβὼν δηλονότι, ἔκ τε τοῦ πατρός, εἰ ζῇ. τὰ δὲ ἄλλα ἐρωτήσω σε κατὰ δεύτερον λόγον. Μάλιστα ζῇ] κατὰ τὸ μέρος ἐκείνου, ἤγουν ὅσον δι᾽ ἐκεῖνον, εὐδαιμονεῖς. Ὦ φίλτατε] ὡς λίαν καλῶς καὶ ἀξίως σὺ λέγεις χλευάζουσα αὐτόν, ταῦτα φησί. τί οὖν θέλεις ἐκ δευτέρου μαθεῖν ἐξ ἐμοῦ. Εἰ τῆς τεκούσης] τοῦτο θέλω μαθεῖν, εἰ ὁ υἱός μου μέμνηται κατά τι ἐμοῦ τῆς τεκούσης ἐκεῖνον. Ναί, μέμνηται δηλονότι, καὶ ὧδε κρυφίως ἐζήτει ἐλθεῖν. Ὁ δὲ χρυσὸς ἀνελλιπὴς καὶ ἀκέραιός ἐστιν, ὃν ἦλθε φέρων ἐκ Τροίας; σῶός ἐστιν, ἐν τοῖς ἐμοῖς φυλαττόμενος οἴκοις.

* Iliad. κ. V. 43.

ANNOTATIONES.

V. 992. Εἰ τῆς τεκούσης, &c.] Hinc Virgil. Æn. l. 3. v. 341. *Ecquæ jam Puero eſt amiſſæ Cura Parentis?*

Εκ. Σῶσον

Ἑκ. Σῶσόν νυν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.
Πολ. Ἥκιστ', ὀναίμην τοῦ παρόντος, ὦ γύναι.
Ἑκ. Οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ παισὶν θέλω;
Πολ. Οὐκ οἶδα, τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.
Ἑκ. Ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλῇ.
Πολ. Τί χρῆμ', ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
Ἑκ. Χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
Πολ. Ταῦτ' ἔσθ', ἃ βούλει παιδὶ σημῆναι σέθεν;
Ἑκ. Μάλιστα, διὰ σοῦ γ'. εἶ γὰρ εὐσεβὴς ἀνήρ.
Πολ. Τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
Ἑκ. Ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
Πολ. Καλῶς ἔλεξας τῇδε, καὶ σοφώτερον.
Ἑκ. Οἶσθ' οὖν Ἀθάνας Ἰλιάδος ἵνα στέγαι;
Πολ. Ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
Ἑκ. Μέλαινα πέτρα, γῆς ὑπερτέλλουσ' ἄνω.
Πολ. Ἔτ' οὖν τι βούλει τῶν ἐκεῖ φράζειν ἐμοί;
Ἑκ. Σῶσαί σε χρήμαθ', οἷς συνεξῆλθον, θέλω.
Πολ. Ποῦ δῆτα; πέπλων ἐντὸς, ἢ κρύψασ' ἔχεις;
Ἑκ. Σκύλων ἐν ὄχλῳ ταῖσδε σώζεται στέγαις.
Πολ. Ποῦ δ' αἵδ'; Ἀχαιῶν ναύλοχοι περιπτυχαί;
Ἑκ. Ἴδια γυναικῶν αἰχμαλωτίδων στέγαι.
Πολ. Τἄνδον δὲ πιστὰ, κἀρσένων ἐρημία;
Ἑκ. Οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
Ἀλλ' ἕρπ' ἐς οἴκους, (καὶ γὰρ Ἀργεῖοι νεῶν
Λῦσαι ποθοῦσιν οἴκαδ' ἐκ Τροίας πόδα.)
Ὡς πάντα πράξας, ὧν σε δεῖ, στείχῃς πάλιν
Ξὺν παισὶν, οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.

Hec. Serva itaque illud, nec concupiſce quæ ſunt propinquorum.
Pol. Minimè; perfruar præſentibus ô mulier.
Hec. Scis igitur quæ dicere tibi & liberis volo?
Pol. Non ſcio: tuo hoc ſignificabis ſermone.
Hec. Sit amatus *filius à te*, ut tu nunc mihi amaris.
Pol. Quid rei *eſt*, quod & me & liberos ſcire oportet?
Hec. Auri veteres filiorum Priami defoſſiones.
Pol. Hæc ſunt, quæ vis filio ſignificare tuo?
Hec. Maximè, per te ſanè. Es enim pius vir.
Pol. Quid porro horum liberorum opus eſt præſentiâ?
Hec. Præſtat, ſi tu morereris, ut iſti ſciant.
Pol. Pulchrè dixiſti ſic & ſapientiùs, *quam ego.*
Hec. Noſti igitur Minervæ Trojanæ ubi tecta?
Pol. Ibine aurum eſt? ſignum verò quod?
Hec. Nigrum ſaxum terram eminens ſupra.
Pol. Amplius igitur aliquid vis eorum, quæ ſunt ibi, dicere mihi?
Hec. Servare te pecunias, quibuſcum egreſſa ſum, volo.
Pol. Ubi ſunt? intra veſtes? aut occultans habes? i. e. *occultaſti.*
Hec. Spoliorum in acervo in hiſce ſervantur tectis.
Pol. Ubi verò hæc? An Achæorum nautica ſepta?
Hec. Separatim mulierum captivarum tecta.
Pol. Ea verò, quæ intùs, fida ſunt & virorum ſolitudo?
Hec. Nullus Achæorum intùs, ſed nos ſolæ.
Sed perge in domum. (Etenim Græci navium
Solvere cupiunt domum verſus ex Troja pedem, i. e. *Anchoras.*)
Ut omnia conficiens, quæ te oportet, abeas rurſus
Cum liberis eò, ubi meum poſuiſti filium.

Σῶσόν νυν αὐτὸν] φύλαττε δὴ, αὐτὸν τὸν πλοῦτον, καὶ μὴ ἐπιθύμει τῶν πραγμάτων τοῦ πλησίον. Τὸ νυν ἐκ ἔστι χρονικὸν ἐνταῦθα, ἀλλὰ συλληπτικὸν ἢ παραπληρωματικὸν, ἀντὶ τοῦ δὴ λαμβανόμενον, ὥσπερ καὶ τὸ νυ παραπληρωματικόν. χρῶνται δὲ τῷ νυ μόνον οἱ ποιηταὶ, τῷ δὲ νυν καὶ ποιηταὶ καὶ λογοποιοί. ἰστέον δὲ, ὅτι τὸ μὲν νῦν τὸ χρονικὸν ἀεὶ μακρόν ἐστι, καὶ περισπᾶται. διὸ καὶ τὸ νυνὶ ἐκ τούτου γινόμενον, μακρόν ἐστι. τὸ δὲ νὺν ἀντὶ τοῦ δὴ, ἀεὶ βραχὺ, καὶ ὀξύνεται μόνον κείμενον. συντεθὲν δὲ ἐγκλίνεται, ὡς κἀνταῦθα. διὸ καὶ τὸ τοίνυν ἐκ τούτου γινόμενον βραχύ ἐστι. 997 Ἥκιστα, ὀναίμην] ἐδαμῶς ἐρῶ τοῦ πλούτου τοῦ πλησίον, ἀπολαύσαιμι τοῦ ἰδίου, ὦ γύναι. Οἶδας οὖν ἃ εἰπεῖν σοὶ, καὶ τοῖς σοῖς τέκνοις θέλω; οὐκ οἶδα. τοῦτο δὲ δηλώσεις διὰ τοῦ σοῦ λόγου. Ἀγαπηθήτω ὁ παῖς μου ὑπὸ σοῦ, ὡς νῦν σὺ ἀγαπᾷ ὑπ' ἐμοῦ. κατὰ μὲν τὸ φαινόμενον λέγει, ἀγαπάσθω ὁ Πολύδωρος ὑπὸ σοῦ, ὥσπερ καθὰ σὺ νῦν φιλῇ ὑπ' ἐμοῦ. κατὰ δὲ τὸ νοούμενον, ὡς σὺ φιλῇ ἀρτίως παρ' ἐμοῦ, οὕτως ἐφιλεῖτο καὶ ὁ Πολύδωρος παρὰ σοῦ. Τὸ

χρῆμα] τί ἐστι τὸ πρᾶγμα, ὅπερ ἐστὶ πρέπον εἰδέναι καὶ ἐμὲ, καὶ τὰ ἐμὰ τέκνα. Θησαυροὶ παλαιοὶ χρυσοῦ κατορυγμένοι τῶν Πριαμιδῶν. τοῦτο ἐστὶ τὸ πρᾶγμα, θησαυροὶ κατορυγμένοι τῶν Πριαμιδῶν. Ταῦτα ἐστὶν ἅτινά με θέλεις δηλῶσαι τῷ παιδί σου; Ναὶ διὰ σοῦ θέλω μηνῦσαι ταῦτα τῷ Πολυδώρῳ. ὑπάρχεις γὰρ εὐσεβὴς ἄνθρωπος. Κατὰ τί οὖν χρεία ὑπάρχει τῆς ἐλεύσεως τῶν παίδων; Λυσιτελές ἐστιν, ἐὰν σὺ ἀποθάνῃς, τούτους γνώσκειν. καλῶς εἶπας οὕτως τῇδε τῇ διανοίᾳ, καὶ σοφωτέρως ἐμοῦ. Γινώσκεις ποῦ ἐστι τῆς Τρωϊκῆς Ἀθηνᾶς ὁ ναός; ἐκεῖ ἐστιν ὁ χρυσός; Τί δὲ σημεῖον τοῦ τόπου ἐν ᾧ ἐστίν; Μέλαινα πέτρα ὑπερέχει ὑψουμένη τῆς γῆς. Ἔτι οὖν ἐστὶ τούτοις θέλεις τι τῶν ἐκεῖ πραγμάτων δηλοποιεῖν μοι; Φυλάξαι σε τὰ χρήματα, μεθ' ὧν ἐξῆλθον τῆς πόλεως, θέλω. Ποῦ δῆτα εἰσὶ δηλονότι; ἐντὸς τῶν πέπλων ἔχεις; ἢ κρύψασα ἀλλαχοῦ φυλάσσεις; Ἐν τῷ πλήθει τῶν λαφύρων, ἐν ταῖσδε ταῖς σκηναῖς σώζεται τὰ χρήματα. τὸ δὲ ταῖσδε, ἀναφορικόν ἐστι καὶ δεικτικόν. ἡ μὲν γὰρ Ἑκάβη δεικτικῶς εἶπε, ταύταις ταῖς σκηναῖς. ὁ δὲ Πολυμήστωρ ἀναφορικῶς νοήσας, ἐρωτᾷ. ποῦ δὲ αὗταί εἰσιν αἱ κατασκηνώσεις τῶν Ἀχαιῶν αἱ ναυτικαὶ, εἰς τὸ ἀσύνετον. τὸ δὲ λεῖπον ἰδίᾳ κατ' ἐρώτησιν ἐν ὑποστιγμῇ. ναύλοχοι δὲ, τὰ ναύσταθμα. ποῦ δὲ αὗταί εἰσιν αἱ στέγαι, ἃς λέγεις ἔχειν τὸν χρυσόν; ἆρα τὰ ναύσταθμα τῶν Ἑλλήνων, τουτέστιν ἐν ταῖς ναυσὶ λέγεις εἶναι τὸν χρυσόν; πρὸς ὃ ἐπάγει ἡ Ἑκάβη, ὅτι οὐ τὰς ναῦς εἶπον στέγας. ἰδίᾳ γὰρ καὶ χωρὶς εἰσὶ δηλονότι αἱ στέγαι τῶν αἰχμαλωτίδων γυναικῶν, τὰ ἔνδον δὲ πιστὰ καὶ ἀσφαλῆ, καὶ ἐρημία, καὶ στέρησις ἀρσένων, οὐδεὶς τῶν Ἀχαιῶν ἔνδον, ἀλλὰ ἡμεῖς μόναι· ἀλλὰ βάδιζε εἰς τοὺς οἴκους. (καὶ γὰρ οἱ Ἀργεῖοι ποθοῦσι λῦσαι τὸν πόδα, ἀντὶ τοῦ τὴν πορείαν τῶν νεῶν, ἐκ τῆς Τροίας εἰς τὸν οἶκον,) ἵνα πράξας πάντα ὧν χρεία ἐστὶν εἰς πρᾶξιν ἐλθεῖν, δηλονότι σὲ, ἐπαναστρέψῃς σὺν τοῖς παισὶν, ὅπου κατῴκισας τὸν ἐμὸν υἱόν. 1021 Πράξας, πρὸς μὲν τὴν ὑπόληψιν τοῦ Πολυμήστορος, ἀντὶ τοῦ ποιήσας νοεῖται. πρὸς δὲ τὴν τῆς Ἑκάβης, ἀντὶ τοῦ παθών. σημαίνει καὶ τὸ ποιῶ, καὶ τὸ πάσχω.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην,
Ἀλίμενόν τις ὡς
Ἐς ἄντλον ἐμπεσὼν
Λέχριος, ἐκπεσῇ
Φίλας καρδίας,

Cho. Nondum dediſti, ſed fortè dabis pœnas,
Importuoſum quiſpiam quaſi
In verticem incidens
Obliquus, exciderit
Charo corde,

Οὔπω δέδωκας] εἰσελθόντος εἴσω τοῦ Πολυμήστορος, ἐκτὸς ὁ χορὸς ἱστάμενος, τοῦτό φησιν· οὔπω δέδωκας. τὰ τοιαῦτα εἴδη τῶν χορῶν, καλεῖται μονοστροφικά. μονοστροφικὰ δέ εἰσιν, ὡς Ἡφαιστίων φησὶν, ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ιβ. τὸ α ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ ἰάμβου. οὕτω δὲ χρὴ γράφειν τὰ κῶλα, ὡς ὑφ' ἡμῶν διῃρέθη, ἵν' εὔρυθμα γένωνται τινὸς εἰσὶ μέτρα. τὸ τρίτον ἀντισπαστικὸν ἡμιόλιον, ἐξ ἀντισπάστου γ καὶ ἰάμβου. τὸ δ ὅμοιον τῷ β. τὸ ε ὅμοιον τῷ γ, ἐξ ἀντισπάστου δευτέρου καὶ ἰάμβου. τὸ ς ὅμοιον καθαρὸν ἀντισπαστικὸν ἡμιόλιον. τὸ ζ ὅμοιον τῷ β. τὸ η ἀντισπαστικὸν δίμετρον, ὑπερκατάληκτον, ἐξ ἀντισπάστου δ καὶ συλλαβῆς, τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α καὶ β ποδὸς χορείου. τὸ ι ἴαμβος τρίμετρος. τὸ ια παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων δ δύο καὶ κρητικοῦ. τὸ ιβ ὅμοιον κατὰ πάντα, ἐπὶ τῷ τέλει παραγωγὸν μόνη. Οὔπω δέδωκας δίκην, ἀλλ' ἴσως δώσεις, λέχριος καὶ πλάγιος, καθὰ τις εἰς ἄντλον, ἤτοι πέλαγος μὴ ἔχον λιμένα, στερηθήσῃ τῆς φιλοσόφου ψυχῆς, ἀμαυρώσας καὶ ἀπολέσας τὴν ζωήν. τὸ γὰρ ὑπέγγυον, ἤτοι τὸ ἠσφαλισμένον τῇ δίκῃ, καὶ τοῖς θεοῖς οὐ συμπίπτει, καὶ οὐ καταπίπτει. ὀλέθριον ὀλέθριον κακόν] εἰς ὃ

Ἀμέρσαις

Ἀμέρσας βίοτον.
„ Τὸ γὰρ ὑπέγγυον
„ Δίκᾳ, καὶ θεοῖς, οὐ ξυμπίτνει.
Ὀλέθριον ὀλέθριον κακόν.
Ψεύσει σ' ὁδοῦ τῆσδ' ἐλπὶς, ἥ σ' ἐπήγαγεν
Θανάσιμον πρὸς ἀΐδαν. ἰὼ τάλας.
Ἀπολέμῳ δὲ χειρὶ λείψεις βίον.

Orbatus vitâ.
" Quod enim obnoxium est
" Justitiæ, & diis, non concidet.
Exitiale exitiale malum infar!
Fallet te viæ hujus ſpes, quæ te induxit
Lethalem ad Plutonem. Heu miſer!
Imbelli verò manu relinques vitam.

μέλλεις ἐμπεσεῖν ἀλλονόπ. ψεύσει καὶ ἀπατήσει ἡ ἐλπὶς τῆσδε τῆς ὁδοῦ. ἡ ἐλπὶς ἐπήγαγεν, ἀντὶ τοῦ ἤγαγέν σε πρὸς τὸν ἀΐδην τὸν θανάσιμον, τὸν τῶν τεθνεώτων δεχόμενον. ἰὼ, φεῦ, ὦ τάλας. ἐν χειρὶ δὲ ἀπολέμῳ καὶ γυναικείᾳ καταλείψεις τὴν ζωήν. Οὔπω δέδωκας] καὶ τοῦτον ἔνιοι φασὶ τὸν στίχον τὴν Ἑκάβην λέγειν ἠρέμα καθ' ἑαυτήν. ἵνα μὴ ὑπόψίαν αὐτῷ δῷ, ὧν μέλλει τυγχάνειν. Ἀλίμενόν τις] τοῦτο πρὸς τὸ ἄνω συντακτέον τὸ ἀλίμενόν τις, τοῦ οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην. τιμωρηθήσῃ φησίν, ὥς τις εἰς ἄντλον λέχριος καταπίπτῃ, ἀπολέσας τὸν βίον τῆς φίλης καρδίας. 1028 Ἀμέρσας] στερηθείς. μέρδω ἐστὶ παρὰ ποιηταῖς, τὸ παρὰ τοῖς κοινοῖς μαρμαίρω, καὶ μετὰ τῆς στερητικῆς α ἀμέρδω, ἤμερδον παρατατικὸς, ἀμέρσω μέλλων, ἤμερσα ἀόριστος, ἀμέρσας μετοχή. γίνεται δὲ τὸ μέρδω ἀπὸ τοῦ μείρω, κατὰ συγκοπὴν τοῦ ι, καὶ ἐκβολῇ τοῦ σ τῆς ἐν τῷ ζ. τὸ λευκὸν γὰρ καὶ λαμπρὸν μείζει καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά. Ψεύσει σ' ὁδοῦ] ἡ ἐλπὶς ταύτης τῆς ὁδοῦ, ἥτις ἐλπὶς ἤγαγέ σε ἐπὶ ὀλέθριον κακὸν, πρὸς τὸν ἀΐδην θανάσιμον ἀπατήσει σε. Τὸ γὰρ ὑπέγγυον] Δίδυμος οὕτως, τὸ ἀληθὲς, φησὶν, ὅτι παρὰ τῇ δίκῃ, ὅτε παρὰ τοῖς θεοῖς ἐμπεσὸν ἀφανίζεται. τοῦτο δὲ διὰ τὸν Πολυμήστορα, ὅτι μέλλει τιμωρηθῆναι, παρ' ὧν τις ἀρξάμενος τῶν ἀτόπων. Ἄλλως. ὑπέγγυον, δίκαιον, ὥστε ὑποστικτέον. τὸ ἠσφαλισμένον φησὶ τῇ δίκῃ, καὶ παρὰ τοῖς θεοῖς οὐ διαπίπτει, ἤγουν ὃ ἂν κυρώσῃ ἡ δίκη, τοῦτο βέβαιον παρὰ τοῖς θεοῖς. ἤγουν δ, τι τιμωροῦνται οἱ νόμοι ὡς ἄδικον, τοῦτο καὶ θεοὶ τιμωροῦνται. ἐπειδὴ οἱ νόμοι παρὰ θεῶν, καὶ ταυτὰ βέλονται τιμωρεῖν, καὶ ἐκδικεῖν, ἃ καὶ οἱ θεοί. δικαίως οὖν κολαζόμενος ὁ Πολυμήστωρ, καὶ τοὺς θεοὺς ἐχθροὺς ἔχει. Ἄντλον δὲ λέγει, τὸ πέλαγος. καὶ ἀλίμενον, τὸ λιμένα μὴ ἔχον. Ἄλλως. Τὸ γὰρ ὑπέγγυον, τοῦτο διπλῶς νοητέον. τὸ γὰρ ὑπέγγυον καὶ φανερὸν τῇ δίκῃ καὶ τοῖς θεοῖς, ὀλέθριον κακὸν, ἤγουν ὅπερ ὁμολογουμένως οἱ θεοὶ κακὸν ἡγοῦνται, καὶ μισοῦσιν, οὐ συμπίπτει καὶ συμπίπτει, ἤγουν οὐκ εἰς λήθην ἔρχεται. ἀλλὰ κολάζεται ὑπ' αὐτῶν. καὶ πάλιν, τὸ γὰρ ὑπέγγυον ὂν φανερὸν, καὶ ὁμολογούμενον ὀλέθριον κακὸν, οὐ συμπίπτει καὶ συνέρχεται τῇ δίκῃ καὶ τοῖς θεοῖς, ἤγουν οὐκ ἀποδεκτὸν αὐτοῖς ἐστιν. οἱ μὲν γὰρ ἀγαθοὶ καὶ δίκαιοι, τὸ δ' ἄδικον καὶ κακόν.

ΠΟΛΥΜΗ'ΣΤΩΡ, 'ΗΜΙΧΟ'ΡΙΟΝ, 'ΗΚΑ'ΒΗ.

Ἴαμβοι.

Πολ. Ὤι μοι, τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
Ημι. Ἠκούσατ' ἀνδρὸς Θρῃκὸς οἰμωγὴν, φίλαι;
Πολ. Ὤι μοι μάλ' αὖθις τέκνα, δυστήνου σφαγῆς.
Ημι. Φίλαι, πέπρακται καίν' ἔσω δόμων κακά.
Πολ. Ἀλλ' οὔ τι μὴ φύγητε λαιψηρῷ ποδί.
Βάλλων γὰρ οἴκων τῶνδ' ἀναρρήξω μυχούς.
Ημι. Ἰδοὺ βαρείας χειρὸς ὁρμᾶται βέλος.
Βούλεσθ' ἐπεισπέσωμεν; ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι, Τρῳάσιν τε συμμάχους;
Εκ. Ἄρασσε, φείδου μηδὲν, ἐκβάλλων πύλας.
Οὐ γάρ ποτ' ὄμμα λαμπρὸν ἐνθήσεις κόραις.
Οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτειν' ἐγώ.
Ημι. Ἦ γὰρ καθεῖλες Θρῇκα, καὶ κρατεῖς ξένου,
Δέσποινα, καὶ δέδρακας οἷάπερ λέγεις;
Εκ. Ὄψει νιν αὐτίκ' ὄντα δωμάτων πάρος
Τυφλὸν, τυφλῷ στείχοντα παραφόρῳ ποδί.
Παίδων τε δισσῶν σώμαθ', οὓς ἔκτειν' ἐγὼ
Σὺν ταῖς ἀρίσταις Τρῳάσιν. δίκην δέ μοι
Δέδωκε. χωρεῖ δ', ὡς ὁρᾷς, ὅδ' ἐκ δόμων.
Ἀλλ' ἐκποδὼν ἄπειμι, κἀποστήσομαι
Θυμῷ ῥέοντι Θρῃκὶ δυσμαχωτάτῳ.

Pol. Heu mihi, obcæcor lumen oculorum miſer.
Sem. Audiſtis viri Thracis ploratum ô amicæ?
Pol. Heu mihi iterum ac iterum, ô filii, ob triſtem mactationem.
Sem. Amicæ, acta ſunt nova intra domum mala.
Pol. Sed non me effugeritis celere pede.
Dejiciens enim ædium harum perrumpam angulos.
Sem. Ecce gravi manu vibratur jaculum.
Vultis irruamus? quoniam opportunitas vocat
Hecubæ adeſſe, Trojaniſque mulieribus auxiliatrices.
Hec. Frange, nihil parce ejiciens portas:
Neque enim unquam viſum lucidum reſtitues pupulis,
Neque filios videbis viventes, quos interfeci ego.
Sem. Numnam cepiſti Thracem, & ſuperior es facta hoſpite,
O domina, & patrâſti qualia dicis?
Hec. Videbis eum ſtatim exiſtentem ante ædes
Cæcum, cæco eunteem errabundo pede,
Filiorúmque duorum corpora, quos interfeci ego
Cum ſelectis Troadibus. pœnam verò mihi
Dedit. procedit verò (ut vides) hic ex domo.
Sed eminus abeo & ſecedam
Irâ fluente à Thrace, inſuperabili.

Ὤι μοι τυφλοῦμαι] ἐνδον τυφλούμενος βοᾷ, φεῦ μοι τυφλοῦμαι τὴν ὄψιν τῶν ὀφθαλμῶν ὁ ἄθλιος ἐγώ. Ἠκούσατε τὸν τοῦ Πολυμήστορος κλαυθμὸν, ὦ φίλαι; Ὤι μοι λίαν αὖθις, ὦ τέκνα ἕνεκα τῆς ἀθλίας σφαγῆς. Ὦ φίλαι, ἐνήργηται νέα κακὰ ἐντὸς τῶν δόμων. Ἀλλ' οὐδαμῶς ἀποφεύξεσθε ταχεῖ ποδὶ, ἤγουν φθάσω καὶ καταλήψομαι ὑμᾶς ταχεῖ ποδὶ, καὶ οὐ μὴ διαφύγητε. πλήττων γὰρ καταβαλῶ τὰ θεμέλια τῶν δόμων τούτων. 1041 Ἰδοὺ βαρείας] βέλος πᾶν τὸ βαλλόμενον. καὶ τοῦτον δέ τινες τὸν στίχον, ἀπὸ τοῦ Πολυμήστορος φασὶ λέγεσθαι, ὡς βαλλομένου λίθοις ἐν τοῖς οἰκήμασιν, ἵνα παίῃ τὰς αἰχμαλώτους. τὸ δὲ βούλεσθ' ἐπεισπέσωμεν τοῦ ἡμιχορίου, θέλετε ἵνα ἐπέλθωμεν, ἐπεὶ ὁ καιρὸς καλεῖ, ὥστε παρυπάρχειν τῇ Ἑκάβῃ, καὶ ταῖς Τρωϊκαῖς γυναιξὶ βοηθούς. Βαρείας] βαρέως ἐμπνεούσης. ἐπεισπέσωμεν δὲ, τὸ μετὰ σφοδρᾶς ὁρμῆς εἰσέρχεσθαι. 1044 Ἄρασσε] πλῆττε, μηδαμῶς ἀκεκολογῶ, καὶ ἐλεῶν, ἐκβάλλων τὰς πύλας. οὐδέποτε γὰρ τὸ φαεινὸν φῶς ἐμποιήσεις, καὶ ἐνθήσεις τοῖς ὀφθαλμοῖς. οὐδὲ τοὺς παῖδας θεάσῃ ζῶντας, οὓς ἐφόνευσ' ἐγώ. Ἦ γὰρ καθεῖλες] ἆρα νενίκηκας τὸν Πολυμήστορα, καὶ κρατεῖς τοῦ φίλου, ὦ δέσποινα, καὶ πεποίηκας, ὁποῖα λέγεις. Ὄψει] θεάσῃ αὐτὸν ταχέως ὑπάρχοντα ἔμπροσθεν τῶν δωμάτων τυφλὸν, ἐν τυφλῷ καὶ παραφερομένῳ ποδὶ βαδίζοντα. θεάσῃ καὶ τῶν δύο παίδων τὰ σώματα, οὓς ἐφόνευσ' ἐγὼ σὺν ταῖς Τρῳάσι γυναιξί. δέδωκε δέ μοι τιμωρίαν. ὁρμᾷ δ', ὡς ὁρᾷς, ἔξω ἐκ τῶν οἴκων. ἀλλὰ μακρὰν ἀπελεύσομαι, καὶ μακρὰν στήσομαι τῷ δυσμαχωτάτῳ Θρῃκὸς θυμῷ περιρρεομένῳ. Τυφλῷ στείχοντα] τυφλῷ ποδὶ πορευόμενον, ἤγουν διὰ ποδὸς, μὴ ὑπὸ βλεπόντων ὀφθαλμῶν ὁδηγούμενον. ὥσπερ γὰρ οἱ μαινόμενοι ἔνθα καὶ ἔνθα φέρονται, οὕτω καὶ οἱ τυφλοί. διὰ τοῦτο παραφόρῳ ποδί φησιν, ἤγουν παραφερομένῳ, καὶ οὐκ ὀρθῶς βαδίζοντι, ἀλλὰ τετυφλωμένῳ, διὰ τὸ τετυφλῶσθαι αὐτόν.

ANNOTATIONES.

V. 1055. Θυμῷ ῥέοντι] alias Θυμῷ ῥέοντι. Legitur & Θυμῷ ζέοντι.

MONO-

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Πολ. Ὤι μοι ἐγώ.
Πᾷ βῶ; πᾷ στῶ; πᾷ κέλσω;
Τετράποδος βάσιν θηρὸς ὀρεστέρου
Τιθέμενος ἐπὶ χεῖρα κατ' ἴχνος,
Ποίαν ἢ ταύταν, ἢ τάνδ' ἐξαλλάξω;
Τὰς ἀνδροφόνους μάρψαι χρῄζων
Ἰλιάδας, αἵ με διώλεσαν.
Τάλαιναι, τάλαιναι κόραι Φρυγῶν·
Ἰὼ ἰὼ κατάρατοι, ποῖ καὶ με φυγᾷ
Πτώσσουσι μυχῶν;
Εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
Ἀκέσαι', ἀκέσαιο, τυφλὸν, ἅλιε
Φέγγος ἀπαλλάξας.
Ἆ, ἆ. σίγα, σίγα. κρυπτὰν βάσιν αἰσθάνομαι
Τάνδε γυναικῶν.
Πᾷ πόδ' ἐπαΐξας, σαρκῶν ὀστέων-
τ' ἐμπλησθῶ, θοίναν ἀγρίων θηρῶν
Τιθέμενος, ἀρνύμενος λώβαν,
Λύμας ἀντίποιν' ἐμᾶς; ἰὼ τάλας·
Ποῖ, πᾷ φέρομαι, τέκν' ἔρημα λιπὼν
Βάκχαις ᾅδου διαμοιρᾶσαι,

O mihi ego!
Quò vado? ubi ſto? quò appellam?
Quadrupedis gradum feræ montanæ
Figens ſuper manus juxta veſtigia?
Qualem viam, aut hanc, aut illam mutabo,
Homicidas prehendere cupiens
Iliadas, quæ me perdiderunt?
Sceleſtæ ſceleſtæ puellæ Phrygum,
Io, io ſceleratæ, ubi me fugâ
Fugiunt in angulis?
Utinam mihi oculorum cruentam palpebram
Medearis, medearis, cæcum, ô Sol
Lumen adimens.
At at, tace, tace, occultum gradum ſentio
Harum mulierum.
Ubi pedem ſaltu ſiſtens carnibus oſſibus-
que implebo, cœnam ſylveſtrium ferarum
Parans, conans reponere injuriam
Pro mutilatione meâ talionem? Io miſer:
Ubi, quò ferar, liberos deſertos relinquens
Inſanis mulieribus Plutonis ad diſcerpendum,

Ὤι μοι ἐγώ] σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον στίχων ἰαμβικῶν τετραμέτρων ἀκαταλήκτων κα, ἐπὶ τῷ τέλει παράγραφος. Ὤι μοι ἐγώ, πᾷ βῶ, πᾷ στῶ] τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικά, ὡς εἴρηται. καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα, διότι μέτρῳ μὲν γέγραπται, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα, οὔτε ἀνακυκλοῦσιν. εἰσὶ τὰ παρόντα καὶ συστηματικὰ κατὰ περιορισμὸς ἀνίσους. τὰ κῶλα δὲ πάντα λγ. τὸ α μονόμετρον χοριαμβικόν. τὸ β ὅμοιον δίμετρον καταληκτικόν. εἰ δὲ βούλει, δακτυλικὸν ἑφθημιμερὲς ἐκ σπονδείων. τὸ γ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ ἀντισπάστου καὶ διϊάμβου. τὸ δ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ α ποδὸς ἐξασυλλάβου. τὸ ε δακτυλικὸν ἑξάμετρον καταληκτικὸν εἰς συλλαβὴν ἐκ σπονδείων. τὸ ς ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος α, χοριάμβου, καὶ β συλλαβῶν ἀδιαφόρων. καλεῖται δὲ καὶ προσοδιακόν, τὸν παίωνα ἔχον ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. τὸ η ὅμοιον ἐκ παίωνος τρίτου ἐξ α ἐπιτρίτου ἀντισπάστου καὶ ἀντισπάστου τρίτου καὶ ἰάμβου. εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον, βραχυκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου γ καὶ ἰάμβου. τὸ θ ὅμοιον ἐκ παίωνος τρίτου α, καὶ ἐπιτρίτου δ, καὶ ἰάμβου. εἰ δὲ βούλει ἔσω ἰωνικόν. ὁ γὰρ παίων οἰκεῖος μᾶλλον τοῖς ἰωνικοῖς. τὸ ι ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον, ἤτοι πενθημιμερές. εἰ δὲ βούλει, ἀναπαιστικὴ βάσις. τὸ ια χοριαμβικόν, ἡμιόλιον, ἐκ χοριάμβου καὶ ἰάμβου. τὸ ιβ ὅμοιον δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ιγ ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τὸ ιδ χοριαμβικόν, ὅμοιον τῷ ια. εἰ δὲ βούλει, καὶ δακτυλικὸν πενθημιμερὲς ἀρχιλόχειον. τὸ ιε δακτυλικὸν τρίμετρον. τὸ ις προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ μείζονος καὶ χοριάμβου. τὸ ιζ χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν. εἰ δὲ βούλει, καὶ δακτυλικὸν δίμετρον, ἀκατάληκτον. τὸ ιη παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος α καὶ σπονδείου. τὸ ιθ ἀντισπαστικόν, δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ καὶ σπονδείου. εἰ δὲ βούλει, τροχαϊκὸν δίμετρον, ἀκατάληκτον. τὸ κ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου δ δύο, καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ κα χοριαμβικὸν ἡμιόλιον καθαρόν. τὸ κβ δίμετρον ἀντισπαστικὸν καταληκτικόν, φερεκράτειον, ἐξ ἀντισπάστου καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ κγ ἰαμβικὴ βάσις, ἤτοι μονόμετρον, τὸ κδ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τὸ κε ὅμοιον. τὸ κς ἰαμβικὸν ἑφθημιμερές, τοῦ γ ποδὸς χορείου. τὸ κζ ἰωνικὸν ἀπ' ἐλάττονος καὶ κρητικοῦ. τὸ κη δακτυλικὸν ἑφθημιμερὲς ἐκ σπονδείων. τὸ κθ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου β ἀντισπάστου, καὶ συλλαβῆς. τὸ λ ἰαμβικὸν δίμετρον, ἀκατάληκτον. τὸ λα ἰωνικὸν ἀπ' ἐλάττονος ἡμιόλιον. τὸ λβ ἰαμβικὸν δίμετρον, βραχυκατάληκτον. τὸ λγ, ὅμοιον ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ὁμοίως καὶ ἐπὶ τῷ τέλει. Ὤι μοι ἐγώ, ποῦ πορευθῶ, ποῦ στῶ, ποῦ κέλσω, ἤτοι προσπελάσω; κυρίως δὲ τὸ ναῦν προσορμίσαι τινὶ εὐόρμῳ τόπῳ. ἐξοκεῖλαι δέ, τὸ ἐκβληθῆναι τὴν ναῦν ἔξω τοῦ λιμένος. ὑπόκειται δὲ ὁ Πολυμήστωρ τετραποδίζων. διὸ φησὶ τετράποδος βάσιν θηρὸς τιθέμενος, ποίαν παρέλθω ὁδόν· ἄρα ταύτην, ἄρα ἐκείνην, ἄρα τήνδε; Ὤι μοι ἐγώ] ἄθλιος εἰμὶ ἐγὼ δηλονότι. ποῦ ἔλθω, ποῦ σταθῶ, ποῦ πλησιάσω, ποιούμενος ἐπὶ χεῖρα κατ' ἴχνος, ἤτοι κατὰ τοὺς πόδας βάσιν, καὶ πορείαν θηρὸς ὀρεινοῦ, ὥσπερ τὰ θηρία τέτταρσι ποσὶ χρῶνται πρὸς βάδισιν, οὕτω καὶ αὐτὸς χερσὶ καὶ ποσὶ χρήσομαι. δέον δὲ εἰπεῖν καὶ κατ' ἴχνος, ἀσυνδέτως εἶπε. ποίαν ὁδόν, δηλονότι ἐξαλλάξω, καὶ περιπατήσω, ἢ ταύτην, ἢ τήνδε χρῄζων, καὶ θέλων καταλαβεῖν τὰς ἀνδροφόνους Ἰλιάδας, αἳ διώλεσαν ἐμέ. Τάλαιναι τάλαιναι θυγατέρες τῶν Φρυγῶν. ὦ κατάρατοι, εἰς ποῖον μέρος τῶν βαθυτάτων τόπων, καὶ καταδύσεων διὰ φυγῆς ἐλθοῦσαι δηλονότι, πτώσσουσιν, ἤτοι συστέλλονται, καὶ κρύπτονται ἐμέ, ἀντὶ τοῦ δι' ἐμέ. εἴθε ὦ Ἥλιε θεραπεύσαις τὸ βλέφαρον τῶν ὀμμάτων ἐμοῦ τὸ αἱματηρόν. ἐλευθερώσας τυφλὸν φέγγος, ἀντὶ τοῦ τοὺς τυφλοὺς τούτους ὀφθαλμοὺς φέγγος ἐνθεὶς αὐτοῖς δηλονότι. Ἄλλως. τὸ ἀπαλλάξας φέγγος, ἀντὶ τοῦ φῶς ἐνθείς, νοεῖται τῷ τετυφλωμένῳ ὀφθαλμῷ. εἰ καὶ ἀσαφῶς εἴρηται διὰ τὴν τοῦ λέγοντος δεινοπάθειαν, καὶ τὸ ἄγαν τεθορυβῆσθαι, καὶ συγκεχύσθαι αὐτόν. τούτου χάριν καὶ τὸ ἀπαλλάξαι, ἀντὶ τοῦ μεταποιήσαις νοοῦσιν ἔνιοι, τιθέντες καὶ τὴν ἐκ πρόθεσιν εἰς φέγγος. Ἄλλως. φέγγος ἀπαλλάξας, πόῤῥω πέμψας τὸ σκότος. 1059 Κατ' ἴχνος] ἴχνος ὁ τύπος τοῦ ποδός, καὶ ἀπὸ τούτου ὁ πούς· ἀφ' οὗ πάλιν ἴχνος καὶ ἡ πορεία. ἐπεὶ διὰ τῶν ποδῶν καὶ ἡ πορεία γίνεται. λέγεται δὲ τὸ ἴχνος κατὰ μεταφορὰν ἀπὸ τῶν ποδῶν, καὶ ἐπ' ἄλλων, ὡς ἴχνη χειρῶν, καὶ ἴχνος ἀνθρώπου. καὶ ἴχνος παλαιᾶς αἰτίας, παρὰ Σοφοκλεῖ. καὶ ἴχνη ἀγαλμάτων, καὶ ἁπλῶς ἐπὶ πάντων τῶν ἀμυδρῶς καὶ ἐν τύπῳ φαινομένων. [Πτώσσουσι] εἰς ποῖον μέρος τῶν μυχῶν, ἤτοι τῶν καταδύσεων διὰ φυγῆς ἐλθοῦσαι, πτώσσουσι δι' ἐμέ, ἤγουν συστέλλονται. 1067 Ἀκέσαιο] ἀκέσαιο, πάνυ ἀνάρμοστον ἦν τῷ τε ῥυθμῷ καὶ τῷ μέτρῳ διὰ τὴν ἀνάρμοστον χασμῳδίαν. διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ τὸ ἕν. εὕρηται δὲ καὶ ἔν τινι τῶν παλαιῶν οὕτως, Ἥλιε φέγγος ἀπαλλάξας. διὰ τοῦτο πρὸς τὸν ἥλιον ποιεῖται τὸν λόγον· ὡς φωτὸς παρεκτικόν. μὴ φαινομένου γὰρ Ἡλίου, ἄπαντα σκότος ἐστί. τῇ τούτου δὲ παρουσίᾳ, φῶς λαμβάνει. Κρυπτὰν βάσιν] κρυπτὰν πορείαν νοῶ τούτων τῶν γυναικῶν, ποῦ τὸν πόδα ὁρμήσας, σαρκῶν καὶ ὀστέων κορεσθῶ, ποιούμενος εὐωχίαν τῶν ἀγρίων θηρῶν, ἤγουν τῶν γυναικῶν, ὡς θῆρας ταύτας κατεσθίειν βουλόμενος, λαμβάνων καὶ ἀφαιρούμενος ἀντίτιμον τῆς ἐμῆς βλάβης καὶ τυφλώσεως. 1075 Ποῖ φέρομαι] ποῖ ἀντὶ τοῦ ποῦ, ὅτε μὲν ἐπὶ κινήσεως λαμβάνεται, διὰ τῆς οι διφθόγγου γράφεται. ὅτε δὲ ἐπὶ στάσεως, διὰ τοῦ η. καὶ δῆλον ἀπὸ τοῦ πῇ στῶ. εὕρηται δὲ καὶ ἐπὶ κινήσεως καὶ διὰ τοῦ η, ὡς δῆλον ἐκ τοῦ πᾷ βῶ, καὶ πᾷ κέλσω. Ποῖ φέρομαι] ποῦ ἄγομαι τὰ ἐμὰ τέκνα μεμονωμένα λιπὼν ταῖς Βάκχαις τοῦ ᾅδου, ὥς τε διασπαράξαι, καὶ διαμοιρᾶσαι μεληδόν. καὶ τοῖς κυσὶ δοῦναι ἐσφαγμένην, φονίαν, ἀνήμερον, καὶ

Σφακτὴν

Σφακτὰν, κυσί τε φονίαν
Δαῖτ᾽ ἀνήμερον, οὐρείαν τ᾽ ἐκβολάν;
Πᾷ στῶ; πᾷ κάμψω; πᾷ βῶ;
Ναῦς ὅπως ποντίοις πείσμασι
Λινόκροκον φᾶρος στέλλων,
Ἐπὶ τάνδ᾽ ἐσσυθεὶς
Τέκνων ἐμῶν φύλαξ,
Ὀλέθριον κοίταν.

Mactatámque canibus cruentas
Dapes immanes, montanámque abjectionem?
Ubi consistam? quo flectam? quò vadam?
Navis quemadmodum marinis funibus
Ex lineâ telâ velum mittens,
Ad istud compulsus sum
Liberorum meorum custos
Exitiale cubile.

ἐκβολὴν ῥίψειν ὀρεινήν. ὑπενόει γὰρ αὐτὰς ῥίψαι τοῖς κυσὶ, μετὰ τὸ σφάξαι τοὺς παῖδας, αὐτὴν φονικὴν καὶ ἀπάνθρωπον εὐωχίαν, καὶ ὀρεινὴν ἀποβολήν. Ἄλλως. ποῦ φέρομαι τὰ ἐμὰ τέκνα μεμονωμένα λιπὼν ταῖς Βάκχαις τοῦ ᾅδου, ἤγουν ταῖς μαινομέναις ἐπὶ φόνοις, καὶ ὑπουργίᾳ τοῦ ᾅδου, ὥστε διαμοιράσαι, καὶ τοῖς κυσὶ δαῖτα σφακτὰν, ἤτοι ἐσφαγμένην, φονίαν, ἀνήμερον, καὶ ἐκβολὴν ὀρείαν ἐπενόησαν ἡνίκα διεμοιράσαντο αὐτά, ἔμελλον ῥίψειν τοῖς κυσὶ βρώματα. διὰ τοῦτο πρῶτον διαμοιράσαι, εἶτα ἐπάγει τὸ σφακτὰν κυσί τε φονίαν, δηλοῦν τὸν διαμερισμὸν οὐδὲν ἄλλο ἐσόμενον, ἢ τοῖς κυσὶ ῥίψαι καὶ δαῖτα. τὸ ἀνήμερον, καὶ τὸ ὀρείαν λέγει, διὰ τὸ τὰ ἐν ὄρει ὄντα ἄγρια θηρία οὕτω διασπαράζειν, ἃ ἂν τῶν ζώων θηρεύσωσιν. 1079 Πᾷ στῶ] ποῦ φησὶ πορεύσομαι, ποῦ δὲ κάμψω, ποῦ δὲ στήσομαι ἐπὶ ταύτην ὁρμήσας τὴν τῶν παίδων μοι κοίτην. λέγει δὲ τὸν τόπον, ἔνθα ἐσφαγμένα τὰ τούτου τέκνα κατέκειτο, ὀφείλων ταῦτα φυλάξαι πρὸς τὸ μὴ ὑπὸ τῶν Τρῳάδων ῥιφῆναι κυσὶν, ὡς ναῦς τὸ ἄρμενον συστρέφων καὶ συστέλλων, δηλαδὴ τῶν ὀφθαλμῶν στερηθείς. ὅπερ γάρ ἐστι τῇ νηὶ τὸ ἱστίον, τοῦτο τῷ σώματι ὁ ὀφθαλμός. 1081 Λινόκροκον] κατὰ ναῦς διὰ θαλασσίων σχοινίων λινόκροκον φᾶρος ἐκτείνων, ἐπὶ τήνδε τὴν ὀλέθριον κοίτην πορευθεὶς τῶν ἐμῶν τέκνων φύλαξ. ἡ σύνταξις πᾷ βῶ ἐσσυθεὶς καὶ ὁρμηθεὶς φύλαξ τῶν ἐμῶν τέκνων, ἐπὶ τήνδε τὴν ὀλέθριον κοίτην στέλλων, καὶ κινῶν ἐμαυτὸν, ὥσπερ στέλλει ἡ ναῦς ἐν τοῖς ποντίοις πείσμασι, καὶ σχοινίοις τὸ λινόκροκον φᾶρος, ἤτοι λαῖφος. τὸ δὲ πᾷ βῶ, πρὸς τὸ ἐσσυθεὶς συναπτέον. τὸ δὲ στέλλων μετὰ ταῦτα λέγει. οἱ δὲ λέγοντες λινόκροκον φᾶρος τὸν ὀφθαλμὸν, καὶ οὐ τὸ λαῖφος, ἆρ᾽ ἔχει τις ἂν εἰπεῖν, ὡς οὐ μάλιστα πάντων εἰσὶν ἀμαθεῖς; Ὀλέθριον κοίταν] ὀλέθριον κοίτην λέγει, οὐχ ὅτι ἦν ὁ τόπος, ἐν ᾧ ἔκειτο τὰ τέκνα αὐτοῦ, ὀλέθριος· ἄψυχος γὰρ ἦν· ἀλλὰ διότι φονευθέντα τὰ τέκνα ἔκειντο ἐν αὐτῷ. διὰ τοῦτο τὸν τόπον λέγει ὀλέθριον. ἀπὸ τοῦ τῶν τέκνων πάθους τὴν προσηγορίαν αὐτῷ θείς.

IAMBOI.

Χορ. "Ὦ τλῆμον, ὥς σοι δύσφορ᾽ εἴργασται κακά.
"Δράσαντι δ᾽ αἰσχρὰ, δεινὰ τἀπιτίμια.
"Δαίμων δέδωκεν, ὅς τις ἐστί σοι βαρύς.

Cho. "O infelix, quàm tibi intolerabilia facta sunt mala!
"Facienti verò turpia sæva pœnæ
"Deus dedit, quicunque est tibi infensus.

Ὦ τλῆμον, ὥς σοι] ὦ ἄθλιε, δυσβάστακτα σοι λίαν πεπρακται κακὰ καὶ τοῦ τῷ πράξαντι δηλονότι αἰσχρὰ, χαλεπὰ τὰ ἐπιτίμια, ἤγουν τὰς τιμωρίας ἔδωκεν ὁ θεὸς, ὅστις ἐστί σοι ἐπαχθὴς καὶ χαλεπός.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Πολ. Αἶ αἶ ἰὼ Θρήκης
Λογχοφόρον, ἔνοπλον,
Εὔιππον, Ἄρει κάτοχον γένος.
Ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀτρεῖδαι.
Βοὰν βοὰν ἀυτῶ, βοάν.
Ἴτε, ἴτε, μόλετε πρὸς θεῶν.
Κλύει τις, ἢ οὐδεὶς ἀρκέσει; τί μέλλετε;
Γυναῖκες ὤλεσάν με,
Γυναῖκες αἰχμαλωτίδες.
Δεινὰ δεινὰ πεπόνθαμεν.
Ὤ μοι ἐμᾶς λώβας.
Ποῖ τράπωμαι; ποῖ πορευθῶ;
Αἰθέρ᾽ ἀμπτάμενος οὐράνιον
Ὑψιπετὴς εἰς μέλαθρον,
Ὠρίων ἢ σείριος
Ἔνθα πυρὸς φλογέας
Ἀφίησιν ὄσσων αὐγάς;

Pol. Ah, ah, iô Thracia
Hastifera, armata,
Equestris, Marte inspirata gens.
Io Achæi, io Atridæ.
Clamorem clamorem clamo, clamorem.
Ite ite, venite per deos.
Audit quis? an nemo opem feret? quid cunctamini?
Mulieres perdiderunt me
Mulieres captivæ.
Gravia gravia passi sumus.
O mihi ob meum exitium.
Quò vertar? quò ibo?
Aërem pervolans cœlestem
Altam in domum,
Orion aut Sirius
Ubi ignis flammeos
Jacit ab oculis radios?

Αἶ αἶ, ἰὼ Θρήκης] καὶ τὰ τοιαῦτα κῶλα ὅμοια ἐστὶ τοῖς εἰρημένοις, μονοστροφικὰ, καὶ μετρικὰ ἄτακτα. εἰσὶ δὲ τὰ κῶλα τῆς ὅλης στροφῆς κβ. τὸ α ἰαμβικὸν μονόμετρον. τὸ β ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον, τρίμετρον, καταληκτικὸν, ἐξ ἐπιτρίτου α καὶ ἰωνικοῦ ἀπὸ μείζονος, μονόμετρον, τρίμετρον, καταληκτικὸν, ἐξ ἐπιτρίτου α ἰωνικοῦ ἀπὸ μείζονος, καὶ ἀμφιβραχέος. τὸ γ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος χοριαμβικοῦ πενταςυλλάβου καὶ ἰάμβου, διὰ τὴν ἀδιαφορον. τὸ δ ἰαμβικὸν πενθημιμερές. τὸ ε ὅμοιον τῷ ς, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ ποδὸς ἀναπαίστου. τὸ ζ δακτυλικὸν δίμετρον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικὰ, ὡς φασὶν οἱ μετρικοί. τὸ η ἰωνικὸν ἀπ᾽ ἐλάττονος ἡμιόλιον. εἰ δὲ βούλει, παιωνικόν. τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ ς, τοῦ γ ποδὸς ἀναπαίστου. τὸ ι ἰαμβικὸν μονόμετρον. τὸ ια ἰαμβικὸν ἑφθημιμερές. τὸ ιβ δίμετρον ἀκατάληκτον. καλεῖται δὲ ταῦτα, ὡς Ἡφαιστίων φησὶν, Ἀνακρεόντεια καὶ ἀμφότερα. τὸ ιγ πρόσοδος. δύο γάρ εἰσι τροχαῖοι, καὶ δύο ἴαμβοι. καὶ καλεῖται τοῦτο τὸ κῶλον προσόδιος. εὕρηται δὲ καὶ ἀντισπαστικόν. τὸ ιδ χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ σπονδείου. εἰ δὲ βούλει δακτυλικὸν ἑφθημιμερές, ὃ καλεῖται Ἀλκμανικόν. τὸ ιε τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ις ἀσυνάρτητον, ἐκ τροχαϊκῆς καὶ ἀναπαιστικῆς βάσεως. τὸ ιζ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων πρώτων δύο. τὸ ιη τροχαϊκὸν ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον. ἢ ληκύθιον. τὸ ιθ δακτυλικὸν ἑφθημιμερὲς ἀλκμανικόν. τὸ κ ἰαμβικὸν ἑφθημιμερὲς τοῦ α ποδὸς ἀναπαίστου. τὸ κα παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ δύο παιώνων πρώτων τοῦ α πενταςυλλάβου, καὶ τροχαίου. τὸ κβ χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ κρητικοῦ ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ τοῦ τέλει κορωνίς. Ἰὼ Θρήκης ὦ γένος Θρᾳκικὸν ὁπλοφόρον, ὁρμητικὸν εἰς τὸν πόλεμον, καὶ ἐνθουσιαστικὸν, διαπεζευόμενον καὶ κρατούμενον ὑπὸ τοῦ Ἄρεος. ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀγάμεμνον, καὶ Μενέλαε, βοὴν φωνῶ, ἔλθετε, ἔλθετε ἕνεκα τῶν θεῶν, ἀκούει τις, ἢ οὐδεὶς κλύων βοηθήσει, τί βραδύνετε; αἱ γυναῖκες ἔφθειράν με αἱ αἰχμαλώτιδες, χαλεπὰ ἐπάθομεν. οἴμοι ἕνεκεν τῆς ἐμῆς βλάβης. εἰς ποῖον μέρος πορευθῶ, εἰς τὸν αἰθέρα ἀναπτάμενος τὸν ὑψηλὸν ἀΐξω, εἰς τὸ ἐν ὕψει κείμενον οἴκημα, ἔνθα ὁ ὠρίων ἢ ὁ σείριος ἀφίησιν ἀπὸ τῶν ὀφθαλμῶν λαμπηδόνας πυρὸς φλογίας. ἢ ἀΐξω ὁ τάλας εἰς τὸν πορθμὸν τὸν

Η

Ἢ τὸν ἐς ἀΐδα μελανοχρῶτα
Πορθμὸν ἄιξω τάλας;

Aut ad Plutonis atrum
Litus ruam miſer?

μελανοχρῶτα τοῦ ᾅδου. Ἀπορία. ὑποκρίνεται πρὸς τοὺς ἐνταῦθα ὁ Πολυμήστωρ Ὠρίων καὶ σειρὶς ἐμμεῖναι, καὶ μηδενὸς ἄλλου τῶν ἄστρων. καὶ φασὶν, ὅτι Ὠρίων μὲν ἐμνήσθη ὡς κυνηγοῦ, ἅτε καὶ αὐτὸς τοῖς τοιούτοις χαίρων ὡς βασιλεύς. φασὶ γὰρ οἱ ποιηταὶ περὶ τοῦ Ὠρίωνος, ὡς κυνηγὸς ὤν, ὑπὸ σκορπίου δηχθεὶς ἀνῃρέθη, ὅτι Ἄρτεμιν ἐπείραζε. τοῦ δὲ σειρίου ὡς καυστικοῦ. διακαὴς γὰρ ἦν καὶ αὐτὸς τῷ πάθει, καὶ συναιρεῖν ἀπεθυμεῖ τοῖς ἄστροις, καὶ ἀπολέσθαι ζητεῖ. Πορθμὸν] οἱ μὲν φασὶν ὡς πορθμὸς κυρίως, ὁ μέσον δύο γαιῶν θάλασσα. νῦν δὲ καταχρηστικῶς πορθμὸν τὸν τόπον καλεῖ. ἐγὼ δὲ φημὶ διὰ τὸν Ἀχερούσιαν λίμνην τοῦτο λέγεσθαι. καὶ μαρτυρεῖ τὸ προηγούμενον ὡς οὐδὲν ἄλλο δηλοῖ τὸ ἐς ἀΐδα πορθμὸν, ἀλλ' ἢ πορθμὸν τὸν ἐς τοῦτον τὸν τόπον ᾅδου φέροντα.

IAMBOI.

Χορ. Συγγνωστ', ὅταν τις κρείσσον', ἢ φέρειν, κακὰ
" Πάθῃ, ταλαίνης ἐξαπαλλάξαι ζόης.
Αγ. Κραυγῆς ἀκούσας ἦλθον. οὐ γὰρ ἥσυχος
Πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
Ἠχὼ διδοῦσα θόρυβον. εἰ δὲ μὴ Φρυγῶν
Πύργους πεσόντας ᾔσμεν Ἑλλήνων δορὶ,
Φόβον παρέσχεν οὐ μέσως ὅδε κτύπος.
Πολ. Ὦ φίλτατ'· ᾐσθόμην γὰρ, Ἀγάμεμνον, σέθεν
Φωνῆς ἀκούσας, εἰσορᾷς ἃ πάσχομεν;
Αγ. Ἔα· Πολυμῆστορ ὦ δύστηνε, τίς σ' ἀπώλεσε;
Τίς ὄμμ' ἔθηκε τυφλὸν, αἱμάξας κόρας,
Παῖδάς τε τούσδ' ἔκτεινεν; ἦ μέγαν χόλον
Σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις ἦν ἄρα.
Πολ. Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν
Ἀπώλεσ', οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.
Αγ. Τί φής; σὺ τοὔργον εἴργασαι τόδ' ὡς λέγει;
Σὺ τόλμαν, Ἑκάβη, τήνδ' ἔτλης ἀμήχανον;
Πολ. Ὤι μοι, τί λέξεις, ἦ γὰρ ἐγγύς ἐστί που;
Σήμηνον· εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χεροῖν
Διασπαράξω καὶ καθαιμάξω χρόα.
Αγ. Οὗτος, τί πάσχεις; Πολ. πρὸς θεῶν σε λίσσομαι,
Μέθες μ' ἐφεῖναι τῇδε μαργῶσαν χέρα.

Cho. Ignoſcendum, quando quis majora, quàm ferre poſſit mala,
" Patitur, miſeram quod cupiat mutare vitam.
Aga. Clamore audito veni. Non enim tranquilla
Rupis montanæ filia inſonuit per exercitum
Echo præbens tumultum. Si verò non Phrygum
Turres cecidiſſe ſciviſſemus Græcorum haſtâ,
Terrorem præbuiſſet non mediocritèr hic ſonus.
Pol. O chariſſime (ſenſi enim ô Agamemnon tuâ
Voce auditâ) vides quæ patimur?
Aga. Age, Polymeſtor ô infelix, quis te perdidit?
Quis oculum fecit cæcum, cruentans pupulas,
Filióſque hos interfecit? certè magnam iram
Adverſum te & filios habuit, quicunque fuerit ſanè.
Pol. Hecuba me cum mulieribus captivis
Perdidit: non perdidit; ſed ampliùs.
Aga. Quid dicis? Tu hoc opus feciſti ut dicis?
Tu audaciam, O Hecuba, hanc ſuſcepiſti immenſam?
Pol. Hei mihi, quid dicis? Anne propè eſt alicubi?
Significa: dic ubi eſt? ut rapiens manibus
Diſcerpam & cruentem corpus.
Aga. Heus quid pateris? Pol. Per Deum te precor
Sine me immittere huic furentem manum.

Συγγνωστ' ὅταν] αἱ ἑξῆς αὗται περίοδοι εἰσὶν ἰαμβικῶν τετραμέτρων ἀκαταλήκτων στίχων δύο τελευταίοις, ἔχοντες ἰδίαν τῶν δ' ἰαμβικῶν τούτων. μετὰ δὲ τὸν θρῆνον κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον· ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνίς. Συγγνωστ' ὅταν] ὅταν τις φησὶ πάθη κακὰ μείζονα ἢ δυνατὸν βαστάσαι, συγγνωστόν ἐστιν αὐτῷ τὸ ἐξαπαλλάξαι ἑαυτὸν τῆς ζωῆς· ἄλλως συγγνωστὸν ἔδει εἰπεῖν. ἐκφέρει δὲ πληθυντικῶς, ἀττικῶς. καὶ τοῦτο ζητῶν εὑρήσεις παρὰ πᾶσι καὶ ποιηταῖς καὶ λογοποιοῖς. ἡ δὲ σύνταξις, ὅταν πάθῃ τις κακὰ κρείσσονα ἢ φέρειν καὶ ὑπομένειν αὐτὰ, συγγνωστὰ καὶ συγγνώμης ἄξιον ἐστιν, ἀπαλλάξαι ἑαυτὸν τῆς ταλαίνης ζωῆς· τουτέστιν, ὁ κακοῖς συνὼν ἀφορήτοις, συγγνωστός ἐστιν ἀποθανών. τοῦτο δὲ εἶπεν ὁ χορὸς διὰ τὸν Πολυμήστορα, στερηθέντα τῶν τέκνων, καὶ τυφλωθέντα, καὶ ἀπολεγόμενον τὸ ζῆν, ἐξ ὧν αὐτὸς ἄνωθεν περὶ τοῦ χοροῦ ἐδήλωσεν εἰς αἰθέρα, ἢ εἰς ᾅδου ὁρμῆσαι βουλόμενος. [1109] Κραυγῆς ἀκούσας] τῆς φωνῆς ἀκούσας παραγέγονα. οὐ γὰρ ἠρέμα ἦχον ἡ θυγάτηρ τῆς πέτρας ἠχὼ, παρέχουσα ταραχήν. εἰ δὲ μὴ εἰδείημεν ὅτι ἐπορθήσαμεν τὴν Τροίαν, ἐφοβήθημεν ἂν οὐ μικρῶς, ἔφοδον νομίζοντες εἶναι τῶν πολεμίων. Οὐ γὰρ ἥσυχος] βοῆς ἐν ὄρει γινομένης, πληττόμεναι αἱ πέτραι ἀντηχοῦσι, διὸ καὶ θυγατέρα πέτρας καλεῖ τὴν ἠχώ. Ὦ φίλτατε] ὑποστροφὴ καὶ ἐπιβολὴ τὸ σχῆμα. ἀκούσας τῆς φωνῆς σου ὦ Ἀγάμεμνον † αἰσθάνθην, βλέπεις ἅ τινα πεπόνθαμεν. [1116] Ἔα] ἐκπληκτικὸν, ὦ δύστηνε· ὑποκρίνεται ἀγνοεῖν, ἵνα κατὰ τὸ δίκαιον ὑπὸ τῆς Ἑκάβης εἴπῃ μὴ γνωσθεὶς, ὅτι προσωμίλησεν αὐτῇ, δόξῃ αὐτῇ χαρίζεσθαι. Ὦ δύστηνε] ὦ ἄθλιε Πολυμῆστορ, τίς ἔφθειρέ σε; τίς ἐποίησε τὸ ὄμμα τυφλὸν, τὰς κόρας τῶν ὀφθαλμῶν αἱματηρὰς ποιήσας; καὶ τούσδε τοὺς παῖδας τίς ἔκτεινεν; ὄντως μέγαν θυμὸν ἐκέκτητο ἐπὶ σὲ καὶ τοὺς σοὺς παῖδας, ὅς τις ἄρα ὑπῆρχεν. Ἑκάβη με] ἡ Ἑκάβη σὺν ταῖς αἰχμαλώτισι γυναιξὶν ἔφθειρεν. οὐκ ἀπώλεσε μικρῶς, ἀλλὰ μεγάλως, καὶ μείζονα ἀπωλείας. [1122] Τί φής] τοῦτο πρὸς τὸν Πολυμήστορα. κατ' ἐπίτασιν δὲ τὸ σχῆμα. εἶτα πρὸς τὴν Ἑκάβην ἀποστρέφεται, καὶ φησί. σὺ τόδε, ὡς λέγει, τὸ ἔργον ἐποίησας, σὺ τὴν τόλμαν, ὦ Ἑκάβη, τήνδε ἐτόλμησας τὴν ὑπερβολικήν; Ὤμοι, φεῦ τί πρᾶγμα λέγεις. ἆρα πλησίον ἐστί που ἡ Ἑκάβη, δήλωσον, καὶ λέξον ποῦ ἐστιν, ὅπως ἁρπάσας αὐτὴν διὰ τῶν χειρῶν διασπαράξω, καὶ αἱματώσω τὸ σῶμα αὐτῆς. Οὗτος τί πάσχεις] ὦ οὗτος, τί ποιεῖς. Πρὸς θεῶν σε λίσσομαι] ἕνεκεν τῶν θεῶν σε παρακαλῶ, ἄφες με ἐπαγαγεῖν αὐτῇ τὴν μαινομένην χεῖρα.

† V. 1114. Αἰσθάνθην & ἐπόνθην i.e. ἐπάθησαν] ab αἰσθάνομαι. Horum Scholiorum Authores certè quoſdam novitios ſatis & modernos apparet, ex Græco-barbaris nonnullis Vocabulis ut ad V. 466. μασίζω, & hic αἰσθάνθην pro ᾐσθόμην, & πεπόνθαμεν pro πέπονθα, hinc πέπονθα. & ad Oreſt. V. 364. καταμεμήνυκα. & ad Phœniſſ. 1107. σῶσαι.

ANNOTATIONES.

V. 1108. Πάθη, ταλαίνης, &c.] Ut conſtet verſus lege ζόας. quod eſt Ionicum & Herodoto uſurpatum, vel Latinorum more Vocalis ante alteram brevis habenda eſt in hoc loco, ut ἐπειὴ apud Homerum ſæpè Anapæſticè legitur; & ποι in ποίω & ποιᾶς brevis eſt: En exempla.

Ἠδὲ Ποσειδάωνα γαιήοχον, ἐννοσίγαιον. Heſiod. Theog. V. 15.

Sic τὸ τοι in τοιοῦτος ſæpè apud Poetas brevis, ut Sophocl. Trachin.

Νῦν δ' ἐν τοιαύτῃ θῆλυς εὕρημαι τάλας. Et Eurip. Medea V. 626.

Γαμεῖς τοιοῦτον, ὥστε σ' ἀρνεῖσθαι γάμον. & Νίκης τοι οὐ μὴν ἐνδέοντά με ποιεῖς. Alceſt. V. 1108. Sic τοι in τοιᾶσδ' Eurip. Androm. V. 1074. Πηλεῦ, τοιᾶσδε τλήμονα πληγὰς ἔχω. Sed hujuſmodi exempla ſine numero ſunt. Sic τὸ ποι in ποίας communem ſyllabam facit Scholiaſtes Eurip. Oreſt. V. 155. item Phœniſſ. V. 519. brevis eſt ποι in ποιεῖν.

Μὴ καταλείποντες σφίγγετε τοὺς γεραιούς. Tyrtæus δ. V. 20.

Νύμφα, καὶ τρομέοισα, Ἀπάγχεσθαί με ποιεῖτε.

Theocr. Idyll. γ. V. 9. Item Idyll. κδ. V. 70.

Μάντι Εὐπείθη, μέλλει σε τὰ περιόντα διδάσκειν.

Denique Homerus Iliad. α. V. 156.

Κάρπον ἐδηλήσαντ'. ἐπειὴ μάλα πολλὰ μεταξύ.

V. 1110. Συγγνωστὰ] Atticè pro συγγνωστόν. vid. Medea. V. 491.

V. 1116. Ἔα! Πολυμῆστορ ὦ δύστανε, τίς σ' ἀπώλεσε;] In hoc Verſu τὸ Ἔα non eſt metiendum: ſed quaſi extraordinaria quædam interjectio ſurſùm ſpirat. Verſus autem incipit ad Πολυμῆστορ, &c. Ita quidem frequenter apud ſcenicos Poetas, ità apud Euripidem φεῦ ſæpiſſimè, & φεῦ, φεῦ ut Medea, V. 292. Iphigen. in Aulide. V. 666. & V. 710. & Hecub. V. 1058. Αἶ αἶ. Item Oreſt. V. 275. Ἆ ἆ. ut

Ἆ ἆ. Τί θῆτα μέλλετ' ἐξακρίζετ' αἰθέρα.

Item Medea V. 1056.

Ἆ ἆ· μὴ δῆτα, θυμὲ, μὴ σύ γ' ἐργάσῃ τάδε.

& V. 277.

Ἔα! τί χρῆμ' ἀλύει πνεῦμ' ἀνὴρ ἐκ πνευμόνων.

& V. 961.

Αἰ, Αἰ· Κατέχομαι στεναγμῶν, ὦ Πελασγία.

Eodem modo ἰὼ, ἰὼ, Hippol. V. 776. & Iphigen. in Aulide V. 317.

Ἔα! τίς δέ τ' ἐν πύλαισι θόρυβος ἡ λόγων ἀκοσμία;

Item V. 644.

Ἔα! Ὡς οὐ βλέπεις μ' ἕκηλον. εὐφρανθῇ μ' ἰδών;

Eodem modo Ἔεν ponitur Medea V. 386.

Ἔεν, καὶ δὴ τεθνᾶσι· Τίς με δέξεται πόλις;

Scribendum hoc modo,

Ἔεν· ——

καὶ δὴ τεθνᾶσι. τίς με δέξεται πόλις.

Αγ. Ἰδ'

Αγ. Ἴσχ'· ἐκβαλὼν δὲ καρδίας τὸ βάρβαρον,
Λέγ', ὡς ἀκούσας σοῦ τε, τήνδε τ' ἐν μέρει,
Κρίνω δικαίως ἀνθ' ὅτου πάσχεις τάδε.
Πολ. Λέγοιμ' ἄν. Ἦν τις Πριαμιδῶν νεώτατος,
Πολύδωρος, Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
Πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
Ὕποπτος ὢν δὴ Τρωϊκῆς ἁλώσεως.
Τοῦτον κατέκτειν'· ἀνθ' ὅτου δ' ἔκτεινά νιν,
Ἄκουσον, ὡς εὖ, καὶ σοφῇ προμηθίᾳ.
Ἔδεισα μή σοι πολέμιος λειφθεὶς ὁ παῖς,
Τροίαν ἀθροίσῃ, καὶ ξυνοικίσῃ πάλιν.
Γνόντες δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινα,
Φρυγῶν ἐς αἶαν αὖθις ἄρειεν στόλον,
Κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε,
Λεηλατοῦντες. γείτοσιν δ' εἴη κακὸν
Τρώων, ἐν ᾧπερ νῦν, ἄναξ, ἐκάμνομεν.
Ἑκάβη δὲ παιδὸς γνοῦσα θανάσιμον μόρον,
Δόλῳ με τοιῷδ' ἤγαγ', ὡς κεκρυμμένας
Θήκας φράσουσα Πριαμιδῶν ὑπ' Ἰλίῳ
Χρυσοῦ· μόνον δὲ σὺν τέκνοισί μ' εἰσάγει
Δόμους, ἵν' ἄλλος μή τις εἰδείη τάδε.
Ἵζω δὲ κλίνης ἐν μέσῳ κάμψας γόνυ.
Πολλαὶ δὲ, χειρὸς αἱ μὲν ἐξ ἀριστερᾶς,
Αἱ δ' ἔνθεν, ὡς δὴ παρὰ φίλῳ, Τρώων κόραι
Θάκουν, ἔχουσαι κερκίδ' Ἠδωνῆς χερὸς,
Ἤνουν θ' ὑπ' αὐγὰς τούσδε λεύσσουσαι πέπλους.
Ἄλλαι δὲ κάμακα Θρῃκίαν θεώμεναι,
Γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.
Ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι,
Τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
Γένοιτο, διαδοχαῖς ἀμείβουσαι χεροῖν.
Κᾆτ' ἐκ γαληνῶν, πῶς δοκεῖς, προσφθεγμάτων
Εὐθὺς λαβοῦσαι φάσγαν' ἐκ πέπλων ποθὲν,

Ag. Contine te: ejiciens porrò è corde barbariem,
Dic, ut audiens & te & hanc per vices,
Dijudicem justè, pro quo pateris hæc.
Pol. Dicam ſane. Erat quiſpiam Priamidarum minimus
Polydorus Hecubæ filius, quem ex Troja mihi
Pater dat Priamus in domibus nutriendum,
Jam ſuſpicans de Trojæ excidio.
Hunc interfeci. quamobrem autem interfeci ipſum,
Audi, quam bene & ſapienti providentiâ.
Metui ne tibi hoſtis relictus hic puer
Trojam colligeret & habitaret olim:
Reſciſcentes verò Græci vivere Priamidarum aliquem
Phrygum ad terram rurſus tollerent expeditionem,
Et deinde Thracios campos vaſtarent hos
Populantes: vicinis verò eſſet malum
Trojanorum cauſâ, propter quod nunc, ô rex, laboravimus:
Hecuba verò filii quum cognoviſſet lethale fatum,
Dolo me hujuſmodi duxit, tanquam occultos
Theſauros dictura Priamidum ſub Ilio
Auri. Solum verò cum liberis me inducit
In domos, ut alius neſciret hæc.
Sedeo lectulo in medio curvans genu:
Multæ verò, manum hæ quidem ad ſiniſtram,
Illæ verò inde, utpote apud amicum, Trojanorum puellæ
Sedebant, tenentes telam Edonicæ manûs,
Laudabantque ad lucem haſce ſpectantes veſtes.
Aliæ haſtile Thracium ſpectantes,
Nudum me fecerunt duplici ornamento.
Quæ verò parentes erant, quaſi admirantes
Liberos in manibus quatiebant, ut procul à patre
Fierent, ſucceſſionibus alternantes manuum.
Et deinde ex blandis, quid putas, colloquiis
Statim corripientes enſes ex veſtibus alicunde,

1129 Ἴσχε] ἐπίσχε σεαυτὸν, ἐκρίψας τῆς καρδίας τὴν βαρβαρότητα. Τὸ βάρβαρον] πολλάκις ἀντὶ ἀρσενικοῦ ὀνόματος θηλυκοῦ μονογενῶς τίθεται οὐδέτερον, οἷον τὸ σοφὸν τοῦ δεινὸς, ἀντὶ τοῦ ἡ σοφία. τὸ αὐτεξούσιον, ἤγουν ἡ αὐτεξουσιότης, τὸ βάρβαρον ἀντὶ τοῦ ἡ βαρβαρότης. 1130 Λέγ' ὡς ἀκούσας.] λέγε μοι, ἵνα ἀκούσας ἀμφοτέρων σοῦ καὶ τῆς Ἑκάβης, κρίνω δικαίως ἀντὶ τίνος ταῦτα † παθαίνεις. Λέγοιμ' ἂν] εἴποιμι ἂν σοὶ δηλονότι, ὑπῆρχέ τις ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου νέος, Πολύδωρος τοὔνομα, υἱὸς τῆς Ἑκάβης, ὅν τινα ὁ πατὴρ ὁ Πρίαμος ἔδωκέ μοι ἀπὸ τῆς Τροίας, ἀνατρέφειν ἐν τοῖς ἐμοῖς δόμοις, ὑποψίαν ἔχων τῆς Τρωϊκῆς κρατήσεως. τοῦτον τὸν Πολύδωρον ἐφόνευσα· ἀντὶ τίνος δὲ αἰτίας ἐφόνευσα αὐτὸν ἄκουσον. Προκατάστασις τὸ ῥῆμα. ἔδεισα ἵνα μὴ ὁ παῖς καταλειφθεὶς, σοὺς ἐχθρὸς, συνάξῃ τὴν Τροίαν, καὶ συνοικίσῃ ἐκ δευτέρου. οἱ δὲ Ἀχαιοὶ μαθόντες τινὰ ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου ζῶντα, κινήσωσι πάλιν ναυτικὸν εἰς τὴν γῆν τῶν Τρώων, καὶ μετὰ ταῦτα ἀφανίζοιεν ταῦτα τὰ χωρία τῆς Θρᾴκης, λείας ἀπελαύνοντες. τοῖς δὲ γείτοσιν ἡμῖν τῶν Τρώων ὑπάρξειε κακὸν, ἐν ᾧ τανῦν ἀγῶνι ἐπάσχομεν. ἡ Ἑκάβη δὲ μαθοῦσα τὸν θάνατον τοῦ παιδὸς, τοιῷδε δόλῳ ἤγαγεν ἐμὲ, ὡς λέξουσα τοὺς θησαυροὺς τοῦ χρυσοῦ τῶν υἱῶν τοῦ Πριάμου, κεκρυμμένους ἐν τῇ Τροίᾳ. ἐμὲ δὲ μόνον σὺν τοῖς τέκνοις εἰς τοὺς οἴκους εἰσφέρει, ὅπως μὴ ἄλλος τις ἄνθρωπος γνοίη τάδε. ἐκάθισα δὲ ἐν μέσῳ τῆς κλίνης, κλίνας τὸ γόνυ. πολλαὶ δὲ χεῖρες (ἤγουν γυναῖκας, ἀπὸ μέρους τὸ πᾶν, ὡς τὸ τέλος γὰρ κεφαλὴν, ἀντὶ τοῦ ἄνδρα) πολλαὶ δὲ κόραι Τρώων παρθένοι ἐκάθηντο, αἱ μὲν ἀπὸ τῆς ἀριστερᾶς, αἱ δὲ ἀπὸ τῆς δεξιᾶς, καθὰ ποιοῦσιν εἰς φίλους, κρατοῦσαι τὸ ὕφασμα (ἀπὸ γὰρ τοῦ ποιοῦντος τῆς κερκίδος, τὸ ποιούμενον ὀνόμασε) τῆς Μακεδονικῆς χειρὸς ἐπῄνουν, ὑπὸ τὸ φῶς τοῦ ἡλίου θεώμεναι τάδε τὰ ἱμάτια. ἄλλαι δὲ τὸ Θρᾳκικὸν ἀκόντιον θεωροῦσαι. τοῦτο γὰρ εἶπε κάμακα, μεμονωμένον ἐποίησαν τοῦ διπλοῦ ἐνδύματος, τοῦ ἀκοντίου, καὶ τοῦ ὑφάσματος. 1145 Θανάσιμον μόρον] μόρος οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη, ὡς ἔχει κἀνταῦθα. οὐ γὰρ ἔστι λέγειν θανάσιμον θάνατον. Θανάσιμον] τὰ ἐπίθετα ἢ ἕτερόν τι δηλοῦσι τῶν ὀνομάτων ἐφ' ὧν λέγονται, ἢ τὴν αὐτὴν αὐτοῖς ἔχουσι σημασίαν, πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου λέγεται. ἢ ἑτέραν αἰτίαν ἔχει καθ' ἣν λέγεται, ὡς ἐνταῦθα ὁ θανάσιμος ἐπιθετικῶς λεγόμενον, οὔτε ἕτερόν τι σημαίνει ἢ ὁ θάνατος ἐσήμανεν, οὐ ταυτὸ σημαῖνον αὐτῷ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου λέγεται. οὐ γὰρ ἔστι ποτὲ θάνατος μὴ θάνατον ἐμποιῶν, οὔτε ἄλλην τινὰ αἰτίαν ἔχει καθ' ἣν λέγεται. ὡς τι ἀρκοῦντος τοῦ θανάτου τῷ λόγῳ, τὸ θανάσιμος περιττῶς κεῖται κατὰ ποιητικὴν ἐξουσίαν. 1151 Πολλαὶ δὲ, χειρὸς κ. λ.] κόραι λέγω Τρώων, ἤγουν νέαι καὶ παρθένοι ἐκάθηντο. αἱ μὲν ἐξ ἀριστερῶν, αἱ δὲ ἔνθεν, ἤγουν ἀπὸ τῆς δεξιᾶς. ὡς δὲ παρὰ φίλῳ, κρατοῦσαι τὴν κερκίδα, ἀντὶ τοῦ ὕφασμα, τῆς Μακεδονικῆς, ἢ Θρᾳκικῆς, χειρὸς, ἐπῄνουν βλέπουσαι ὑπὸ τὰς αὐγὰς, ἤγουν ὑπὸ τὸ φῶς, τούσδε τοὺς πέπλους. Τὸ δὲ χεῖρες καὶ τὸ κόραι ἐκ παραλλήλου. Κερκὶς] τὸ ὕφασμα ἐνταῦθα, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον. κερκὶς γὰρ κυρίως ὁ ἀτρακτος ἐν ᾧ ὑφαίνουσιν. 1156 Διπτύχου] δίπτυχον στόλισμα λέγει, ἢ τὴν σπάθην καὶ τὸν πέπλον. ἢ τὴν σπάθην μόνην, διὰ τὸ εἶναι αὐτὴν δίστομον. Ὅσαι δὲ] ὁπόσαι δὲ ἦσαν τοκάδες, ἤγουν μητέρες, τὰ ἐμὰ παιδία λαβοῦσαι, ὡς ἐυειδῆ ὄντα, ἐθαύμαζον ἄλλη τῇ ἄλλῃ ἀνὰ μέρος ἀποδιδοῦσαι, ὅπως ἐμοῦ τοῦ πατρὸς πορρωτάτω γένοιντο, καὶ ἐυχερέστατα αὐταῖς. Κᾆτ' ἐκ γαληνῶν] καὶ εἶτα ἐκ κολακευτικῶν καὶ ἡσύχων προσφωνημάτων πῶς νομίζεις, κεντοῦσι τοὺς παῖδας λαβοῦσαι ξίφη ἐκ τῶν ἱματίων. καλῶς δὲ πρῶτον ἀπέκτειναν τοὺς παῖδας, ἵνα ὁρῶν ὁ πατὴρ ἀνιῷτο.

† παθαίνεις, vid. Schol. ad V. 1114.

ANNOTATIONES.

V. 1151. Πολλαὶ δὲ, χειρὸς, &c.] Ita ſenſu poſtulante & doctorum virorum conſpirante judicio emendare hunc locum ſum auſus: licet alia lectio πολλαὶ δὲ χεῖρες etiam ipſi Scholiaſtæ impoſuit, ſed dubio procul πολλαὶ concordat cum τὸ κόραι Τρώων.

V. 1153. Ἠδωνῆς χερὸς.] Scholiaſtes explicat τῆς Μακεδονικῆς, & eſt Mons *Edonus* ſive *Thracia*, ſive in eâ parte *Macedoniæ* quæ eſt *Thraciæ* conterminа. Vid. Lexica Poetica titulo *Edon*, ſive *Edonus*, ut *Plinius* ſcribit, Nat. Hiſt. l. 4. c. 11.

Κεντοῦσι

Κεντοῦσι παῖδας. αἱ δὲ πολεμίων δίκην
Ξυναρπάσασαι, τὰς ἐμὰς εἶχον χέρας,
Καὶ κῶλα. παισὶ δ' ἀρκέσαι χρῄζων ἐμοῖς,
Εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμὸν,
Κόμης κατεῖχον· εἰ δὲ κινοίην χέρας,
Πλήθει γυναικῶν οὐδὲν ἤνυον τάλας.
Τὸ λοίσθιον δὲ πῆμα, πήματος πλέον,
Ἐξειργάσαντο δείν'. ἐμῶν γὰρ ὀμμάτων
Πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας
Κεντοῦσιν, αἱμάσσουσιν· εἶτ' ἀνὰ στέγας
Φυγάδες ἔβησαν. ἐκ δὲ πηδήσας ἐγὼ
Θὴρ ὣς, διώκω τὰς μιαιφόνους κύνας,
Ἅπαντ' ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης,
Βάλλων, ἀράσσων. Τοιάδε σπεύδων χάριν
Πέπονθα τὴν σὴν, πολέμιόν τε σὸν κτανὼν,
Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
Εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς,
Ἢ νῦν λέγων ἐστὶν τις, ἢ μέλλει λέγειν,
Ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω·
"Γένος γὰρ οὔτε πόντος, οὔτε γῆ τρέφει
"Τοιόνδ'· ὁ δ' αἰεὶ ξυντυχὼν, ἐπίσταται.
Χορ. Μηδὲν θρασύνου, μηδὲ τοῖς σαυτοῦ κακοῖς
Τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος.
"Πολλαὶ γὰρ ἡμῶν, αἱ μέν εἰσ' ἐπίφθονοι.
"Αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.
Εκ. "Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτὲ
"Τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον.
"Ἀλλ' εἴτε χρηστ' ἔδρασε, χρηστ' ἔδει λέγειν·
"Εἴτ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθροὺς,
"Καὶ μὴ δύνασθαι τἄδικ' εὖ λέγειν ποτέ.
"Σοφοὶ μὲν οὖν εἰσ' οἱ τάδ' ἠκριβωκότες,
"Ἀλλ' οὐ δύνανται διὰ τέλους εἶναι σοφοὶ,
"Κακῶς δ' ἀπώλοντο, κοὔ τις ἐξήλυξέ πω.
Καί μοι τὸ μὲν σὸν, ὧδ' ἐν φροιμίοις ἔχει.
Πρὸς τόνδε δ' εἶμι, καὶ λόγοις ἀμείψομαι.
Πῶς φὴς, Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν,
Ἀγαμέμνονός θ' ἕκατι παῖδ' ἐμὸν κτανεῖν;
Ἀλλ', ὦ κάκιστε, πρῶτον οὔ ποτ' ἂν φίλον
Τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησιν γένος,
Οὔτ' ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν
Πρόθυμος ἦσθα; πότερα κηδεύσων τινὰ,

Confodiunt pueros: aliæ verò hoſtium inſtar
Corripientes meas tenebant manus,
Et pedes. Filiis verò opem ferre volens meis,
Si quidem faciem erigerem meam,
Capillo retinebant: ſi verò moverem manus,
Præ multitudine mulierum nihil efficiebam miser.
Quod verò erat ſuprema calamitas, calamitatis plena,
Perpetraverunt atrocia. meorum enim oculorum,
Fibulas quum corripuiſſent, infelices pupulas
Fodiunt, cruentant: deinde per tectum
Fugaces abierunt. Exiliens verò ego
Fera quaſi, perſequor cruentas canes,
Omnem ſcrutans parietem quaſi venator,
Dejiciens, frangens. Talia dum ſtudeo pro tuâ gratiâ
Paſſus ſum, hoſtem tuum interficiens,
O Agamemnon. ut verò non longos extendam ſermones,
Si quis mulieribus ex prioribus dixit malè,
Aut nunc dicens eſt quis, aut futurus eſt dicere,
Omnia hæc in compendium ego dicam:
" Genus enim neque Pontus neque terra nutrit
" Tale: ille verò ſemper qui converſatur, novit.
Ch. Ne inſoleſcas audacius, neque tuis malis
Muliebre æſtimans ſic omne reprehendas genus.
" Multæ enim ex nobis aliæ quidem ſunt invidendis virtutibus,
" Aliæ verò ad numerum malarum natæ ſumus.
Hec. " Agamemnon, hominibus non conveniebat unquam
" Quàm ipſas res linguam poſſe plus.
" Sed ſive bona egit, bona oportebat dicere:
" Sive verò ipſum mala, ſermones eſſe putridos,
" Et non poſſe injuſta benè eloqui unquam.
" Sapientes quidem igitur ſunt qui hæc exactè calluerunt:
" At non poſſunt ad extremum uſque eſſe ſapientes:
" Sed perierunt: nec quiſquam evaſit adhuc:
Et mihi, quod ad te, ſic in proœmiis habet.
Ad hunc verò venio, & verbis reſpondebo.
Quomodo ais te Græcorum laborem levantem duplicem,
Agamemnoniſque ſtudio, filium meum interfeciſſe?
Sed, ô peſſime, primùm nunquam amicum
Barbarum fiet Græcis genus,
Nec unquam poſſit. Quam verò captans gratiam
Tam promptus eras? utrum juncturus affinitatem aliquam,

Αἱ δὲ πολεμίων] αὗται δὲ ξυλλαβόμεναι ἐμοῦ, ἤτοι δίκην ἐχθρῶν, κατεῖχον τὰς ἐμὰς χεῖρας, καὶ τοὺς πόδας. τοῖς παισὶ δὲ τοῖς ἐμοῖς βοηθῆσαι θέλων ἐγὼ, εἰ μὲν τὸ πρόσωπον ἐξανίστων, ἀπὸ τῆς κόμης ἐκεῖναι ἐκράτουν. εἰ δὲ ἐκίνουν τὰς χεῖρας, ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος, οὐδὲν ἐτελείουν ὁ ἄθλιος. τὸ ἔσχατον δὲ βλάβος, τοῦ βλάβους πλέον ὑπῆρχεν. ἐποίησαν χαλεπὰ, περόνας λαβοῦσαι αἱ γυναῖκες, κεντοῦσι τὰς ἀθλίας κόρας τῶν ἐμῶν ὀφθαλμῶν, καὶ αἱματηρὰς ποιοῦσιν, εἶτα κατὰ τοὺς οἴκους φυγάδες γενόμεναι ἐπορεύθησαν. ἐκπηδήσας δ' ἐγὼ καθάπερ θὴρ, ἐδίωκον τὰς φονικὰς κύνας, ἐξετάζων καὶ ἐρευνῶν πάντα τὸν τοῖχον καθὰ κυνηγὸς, κρούων, τύπτων. τοιαῦτα ἔπαθον σοῦ χάριν σπουδάζων, τὸν ἐχθρόν σου φονεύσας, ὦ Ἀγάμεμνον. ἵνα δὲ μὴ εἰς πολὺ ἐκτεταμένους ἐξαπλῶ τοὺς λόγους, ἐάν τις τῶν παλαιῶν ἐβλασφήμησε τὰς γυναῖκας, ἢ ἀρτίως ἐστί τις λέγων κακῶς, ἢ ἀπόκειται λέγειν, ταῦτα πάντ' ἐγὼ συναθροίσας καὶ συντόμως συλλαβὼν, εἴπω. οὔτε γὰρ θάλασσα οὔτε γῆ ἀνατρέφει τοιόνδε γένος. ὁ δὲ δῆλον συντυχὼν τῷ γένει τῶν γυναικῶν, ὃ λέγω γινώσκει καλῶς. Πλήθει γυναικῶν. ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος δηλονότι οὐδὲν ἤνυον ὁ ἄθλιος. 1175 Τοιάδε σπεύδων.] Τοιάδε πέπονθα, ὦ Ἀγάμεμνον, σπεύδων εἰς τὴν σὴν χάριν, καὶ πολέμιον σὸν κτανών. σπεύδω ἐγὼ, ἐπισπεύδω δὲ ἕτερον. Μηδὲν θρασύνου] μετεωρισμὸν ἐνταῦθα τοῦ χοροῦ. τὸ γὰρ εἰπεῖν πολλαὶ μὲν ὑμῶν εἰσὶ καλαὶ, καὶ μὴ συγκριθεῖσαι ταῖς κακαῖς ἑαυτὸν, ἀλλὰ δὲ τῶν κακῶν τὸ πεφύκαμεν, τὸ μέτριον ἐνταῦθα ἔδειξεν. τὸ πολλαὶ ἱκανὸν ἦν, καὶ μόνον τετελεσμένον ποιῆσαι τὸν λόγον. νῦν δὲ ἐπάγει, καὶ τὸ αἱ μὲν. καὶ ποιεῖται τὸν λόγον ὡς ἀπ' ἄλλης ἀρχῆς, ἵνα οἰκειότερον ἀποδοθῇ πρὸς αὐτὸ, τὸ αἱ δέ. 1183 Μηδὲν θρασύνου] Μηδαμῶς ἐπαίρου, μηδὲ τοῖς σαυτοῦ λόγοις συναγαγὼν καὶ συμμίξας, ὅπως ὅλον τὸ γένος μέμψῃ τῶν γυναικῶν. πολλαὶ γὰρ ἀφ' ἡμῶν, αἱ μὲν ὑπάρχουσιν ἐπαινεταὶ, καὶ ζηλωταὶ, ἄλλαι δὲ εἰς τὸν κατάλογον τῶν κακῶν ὑπάρχομεν, ἐπίμεμπτοι, καὶ ὕβρεως ἄξιαι. Ἀγάμεμνον] οὐκ ἔπρεπε ποτὲ τὴν γλῶσσαν, ἤγουν τοὺς λόγους τῶν ἀνθρώπων, ἰσχύειν καὶ δύνασθαι πλέον τῶν πράξεων. ἀλλ' εἴτε ἀγαθὰ ἔπραξεν ὁ ἄνθρωπος, ἀγαθὰ ἔπρεπε λέγειν. εἴτε πάλιν ἔδρασε φαῦλα, ἔδει τοὺς λόγους ὑπάρχειν ἀσθενεῖς, καὶ μὴ δύνασθαι τὰ ἄδικα εὐλογοποιεῖν ποτέ. σοφοὶ μὲν οὖν ὑπάρχουσιν οἱ τάδε ἀκριβῶς μεμαθηκότες ῥήτορες οἱ δυνάμενοι τὸ δίκαιον σοφίσασθαι ἐν ῥητορικῇ. ἀλλ' οὐ δύνανται μέχρι τέλους ὑπάρχειν σοφοὶ, ὡς τῆς ἀληθείας ἐν ὑστέρῳ φαινομένης, ὡς καὶ Ἡσίοδος φησὶ,

——— Δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
Ἐς τέλος ἐξελθοῦσα. ———

κακῶς δὲ διεφθάρησαν, καὶ οὔπω οὐδεὶς ἐς τόδε ἐξέφυγε. Καί μοι τὸ μὲν σὸν] καὶ τὸ μὲν πρὸς σὲ, ἤτοι ὁ πρὸς σὲ λόγος, οὕτως μοι διάκειται ἐν προοιμίοις. πρὸς τοῦτον δὲ ἐλεύσομαι, καὶ διὰ λόγων ἀποκρινοῦμαι. πῶς λέγεις τοὺς Ἕλληνας διπλοῦ πόνου ἀπαλλάσσων καὶ ἐλευθερῶν χάριν τοῦ Ἀγαμέμνονος τὸν ἐμὸν υἱὸν πεφονευκέναι, ἀλλ' ὦ κακόδοξε, ἐν πρωτολογίᾳ μὲν οὐδέποτε τὸ βάρβαρον γένος γένοιτ' ἂν προσφιλὲς τοῖς Ἕλλησιν. οὐδὲ δυνηθείη ἂν γενέσθαι. τίνα δὲ χάριν σπουδάζων γενέσθαι σοι, πρόθυμος ὑπῆρχες πρὸς τὸ βοηθῆσαι τού-

ANNOTATIONES.

V. 1200. Τὸ βάρβαρον, &c.] De Duplici ἂν in eâdem Clauſulâ Vid. ſupra V. 359.

Ἢ συγγενὴς ὤν; ἢ τίν' αἰτίαν ἔχων;
Ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
Πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
Ὁ χρυσὸς, εἰ βούλοιο τἀληθῆ λέγειν,
Ἔκτεινε τὸν ἐμὸν παῖδα, καὶ κέρδη τὰ σά.
Ἐπεὶ δίδαξον τοῦτο, πῶς ὅτ' εὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ' ἔτι πόλιν,
Ἔζη τε Πρίαμος, Ἕκτορός τ' ἤνθει δόρυ,
Τί δ' οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
Θέσθαι, τρέφων τὸν παῖδα, κἀν δόμοις ἔχων,
Ἔκτεινας, ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
Ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει,
Καπνὸς δ' ἐσήμαιν' ἄστυ πολεμίων ὕπο,
Ξένον κατέκτας σὴν μολόντ' ἐφ' ἑστίαν;
Πρὸς τοῖσδε νῦν ἄκουσον, ὡς φανῇ κακός.
Χρῆν σ', εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσιν φίλος,
Τὸν χρυσὸν, ὃν φῂς οὐ σὸν, ἀλλὰ τοῦδ' ἔχειν,
Δοῦναι φέροντα πενομένοις τε, καὶ χρόνον
Πολὺν πατρῴας γῆς ἀπεξενωμένοις.
Σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
Τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ' ἐν δόμοις.
Καὶ μὴν τρέφων μὲν ὥς σε παῖδ' ἐχρῆν τρέφειν,
Σώσας τε τὸν ἐμὸν, εἶχες ἂν καλὸν κλέος.
« Ἐν τοῖς κακοῖς γὰρ οἱ ἀγαθοὶ σαφέστατοι
« Φίλοι. τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους.
Εἰ δ' ἐσπάνιζες χρημάτων, ὁ δ' εὐτύχει,
Θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ' οὑμὸς μέγας.
Νῦν δ' οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον,
Χρυσοῦ τ' ὄνησις οἴχεται, παῖδές τε σοί,
Αὐτός τε πράσσεις ὧδε. σοὶ δ' ἐγὼ λέγω
Ἀγάμεμνον, εἰ τῷδ' ἀρκέσεις, κακὸς φανῇ.
Οὔτ' εὐσεβῆ γὰρ, οὔτε πιστὸν (οἷς ἐχρῆν,)
Οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον.
Αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν,
Τοιοῦτον ὄντα, δεσπότας δ' οὐ λοιδορῶ.
Χο. « Φεῦ, φεῦ. βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
« Χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.
Αγ. « Ἀχθεινὰ μέν μοι τἀλλότρια κρίνειν κακὰ,
« Ὅμως δ' ἀνάγκη. καὶ γὰρ αἰσχύνην φέρει,
Πρᾶγμ' ἐς χέρας λαβόντ' ἀπώσασθαι τόδε.

Aut cognatus exiſtens? Aut quamnam cauſam habens?
Aut tua erant terræ exciſuri germina
Claſſe reverſi. Cui putas perſuaſurum eſſe hæc?
Aurum (ſi velis vera dicere)
Interfecit meum filium, & lucra tua.
Quandoquidem doce me hoc, quare, quum erat felix
Troja, & circumcirca murus habebat adhuc urbem
Vivebátque Priamus, Hectoriſque florebat haſta,
Quare non tum (ſi quidem huic voluiſti gratiam
Præſtare) nutriens filium & in domo habens
Interfeciſti? aut viventem veniſti ad Græcos ducens:
Sed quando nos non ampliùs eramus in luce,
Fumúſque ſignificabat urbem eſſe ſub hoſtibus,
Hoſpitem interfeciſti, tuum accedentem ad focum?
Adhæc nunc audi, ut appareas ſceleratus.
Oportebat te, ſi quidem eras Græcis amicus,
Aurum, quod fateris non tuum, ſed hujus habere,
Dare afferentem egentibúſque, & per tempus
Multum à patriâ terrâ procul peregrinantibus.
Tu verò nè nunc quidem tuis dimittere manibus
Suſtines; ſed tenere perſeveras adhuc in domo.
Atqui nutriens quidem, ut te filium decebat nutrire,
Servánſque meum, habuiſſes præclaram gloriam.
" In adverſis enim boni ſunt certiſſimi
" Amici: res ſecundæ verò quælibet habent amicos.
Si verò indiguiſſes pecuniis, hic verò floruiſſet,
Theſaurus tibi filius fuiſſet meus magnus,
Nunc verò neque illum virum habes tibi amicum,
Aurique fructus perit, filiique tui,
Ipſéque agis iſto modo. Tibi verò ego dico
Agamemnon, ſi huic opem tuleris, malus apparebis.
Neque pio enim, neque fideli (quibus decebat)
Neque ſancto, neque juſto beneficies hoſpiti:
Sed ipſum gaudere malis te dicemus
Talem exiſtentem. Dominis verò non facio convitium.
Cho. " Papæ, hominibus quàm bona cauſa
" Bonorum occaſiones præbet ſemper ſermonum?
" Ag. Moleſtum quidem eſt mihi aliena judicare mala:
" Tamen neceſſe. Etenim dedecus affert,
" Negotium in manus quum ſemel acceperim, abjicere hoc.

τοῖς ἔξω ὑπαρχομένοις, καὶ μέλλων συνάψειν αὐτοῖς εἰς γάμον τινά; ἢ ὑπάρχων τινὸς συγγενὴς, ἢ τίνα ἀφορμὴν ἔχων, ἢ ἔμελλον πάλιν πλεύσαντες, ἀφανίσαι τὰ βλαστήματα τῆς σῆς γῆς, τίνα νομίζεις πείσειν τάδε; εἰ θέλεις εἰπεῖν τὴν ἀλήθειαν, ὁ χρυσὸς ἐφόνευσε τὸν ἐμὸν υἱὸν, καὶ ἡ αἰσχροκέρδεια ἡ σὴ, ἡ τοῦ σοῦ κέρδους ἐπιθυμία. Ἐπεὶ στοχαστικὸν τοῦτο. εἰ δὲ μὴ, δίδαξον τοῦτο, πῶς ὅτε τὸ Ἴλιον εὐδαιμόνει, καὶ περιεῖχε τὸ τεῖχος τὴν πόλιν, ἔζη τε ὁ Πρίαμος, καὶ τὸ τοῦ Ἕκτορος ἤκμαζε δόρυ, διατί εἴπερ ἤθελες χάριν ποιῆσαι τῷ Ἀγαμέμνονι, ἔχων καὶ ἀνατρέφων ἐν τοῖς σοῖς οἴκοις τὸν παῖδα, οὐκ ἔκτεινας τότε, ἢ ζῶντα αὐτὸν οὐκ ἔφερες τοῖς Ἕλλησιν, ἀλλ' ὅτε οὐκέτι ὑπήρχομεν ἐν εὐτυχίᾳ ἐν τῷ ζῆν, ἡ δὲ Τροία ἐσημαίνετο ὑπὸ τοῦ καπνοῦ, καὶ ἦν φανερὰ κατειλῆφθαι ὑπὸ τῶν πολεμίων, ἐφόνευσας τὸν παῖδα τὸν φίλον, ἐπὶ τὴν οἰκίαν ἐλθόντα τὴν σήν. πρὸς δὲ τούτοις ἄκουσον, ἵνα φαῦλος φανῇς. ἔπρεπεν, εἴπερ ὑπῆρχες φίλος τοῖς Ἕλλησι, τὸν χρυσὸν, ὃν λέγεις ἔχειν ἐν τοῖς δόμοις οὐ σὸν, ἀλλὰ τούτου, φέροντα δοῦναι τοῖς πενομένοις Ἀχαιοῖς, καὶ χρόνον πολὺν ἀπὸ τῆς πατρικῆς γῆς ἀποξενωθεῖσιν. 1219 Ὃν φῂς οὐ σόν] οὐκ εἶπεν ὁ Πολυμήστωρ περὶ τοῦ χρυσοῦ. ἐπελάθετο δὲ ὁ ποιητὴς ἑαυτοῦ, καὶ ἔστιν ἀκαταστοχασία ταῦτα. Σὺ δ' οὐδὲ νῦν] σὺ δ' οὐδὲ ἄρτι πρόθυμος εἶ ἐκβαλεῖν τὸν χρυσὸν ἀπὸ τῆς σῆς χειρὸς, ἀλλ' ἔτι κρατεῖς ἐν δόμοις. ἀλλ' ὄντως ἀνατρέφων τὸν ἐμὸν παῖδα, ὡς ἔδει σε ἀνατρέφειν, εἶχες ἂν δόξαν καλήν. ἐν γὰρ ταῖς δυστυχίαις οἱ ἀγαθοὶ φίλοι σαφέστατοι ὑπάρχουσι. τὰ καλὰ δὲ πράγματα ἐξ ἑαυτῶν ἔχει τοὺς φίλους. εἰ δὲ ἐνδεὴς ἦς χρημάτων, ὁ δὲ Πολύδωρος ἔζη, θησαυρὸς ἄν σοι μέγας ὑπῆρχεν ὁ ἐμὸς παῖς. Νῦν δ' οὔτ' ἐκεῖνον] ἄρσις καὶ θέσις. νῦν οὔτε τὸν Πολύδωρον ἔχεις σὸν φίλον. καὶ ἡ ὠφέλεια τοῦ χρυσοῦ ἐφθάρται, οὔτε οἱ παῖδες διεφθάρησαν, καὶ σὺ πράττεις ὧδε δυστυχῶς. σοὶ δ' ἐγὼ ἡ Ἑκάβη λέγω, ὦ Ἀγάμεμνον, εἰ τούτῳ βοηθήσεις, φανῇ ἄδικος. οὔτε εὐσεβῆ γὰρ ξένον καὶ φίλον, οὔτε πιστὸν, οὐχ ὅσιον καὶ δίκαιον δράσεις εὖ, ἤγουν εὐεργετήσεις οἷς ποιεῖν ἔπρεπεν, ἢ σοὶ εὐνοοῦντα δηλονότι. αὐτὸν δέ σε φήσομεν χαιρέκακον εἶναι. τοὺς δεσπότας δὲ οὐ λοιδορῶ, ἐπιδιόρθωσις τοῦτο. 1233 Εἰ τῷδε] βοηθήσεις, κακὸς φανῇ παρ' ἐμοί. Οὔτε γὰρ τὸ ἑξῆς, οὔτε εὐσεβῆ, οὔτε ὅσιον, οὔτε δίκαιον εἰς ξένον εὖ δρᾷς, τὸ δὲ οἷς ἐχρῆν διὰ μέσου. αὐτὸν δὲ εὐφραίνεσθαι τοῖς κακοῖς σε λέξομεν, τοιοῦτον κακὸν ὑπάρχοντα. ἐὰν δὲ καὶ εἴπω τι δι' ὑμᾶς, ἀλλ' ὅμως οὐ λοιδορῶ. 1238 Φεῦ φεῦ] θαυμαστικόν. τὰ ἀγαθὰ πράγματα λίαν ἐμπαρέχουσιν ἀεὶ τοῖς ἀνθρώποις ἀφορμὰς, καὶ ὑποθέσεις χρηστῶν λόγων. Ἀχθεινὰ μέν μοι] ἀχθεινὸν καὶ βαρύ μοι ἐστὶ τὸ κρίνειν καὶ διαλέγειν τὰ ξένα κακὰ, ἀλλ' ὅμως ἀνάγκη ἐστὶ κρίνειν. καὶ γὰρ ἀτιμίαν ἐπάγει λαβόντα εἰς χεῖρας ταύτην τὴν ὑπόθεσιν ἀποδιῶξαι. ὅπως δὲ γνῷς, ἐμοὶ φαίνῃ οὔτε δι' ἐμὴν χάριν, οὔτε χάριν τῶν Ἑλλήνων φονεύ-

ANNOTATIONES.

V. 1215. Καπνὸς δ' ἐσήμαιν'] Καπνὸ in prioribus, & reddebant interpretes, *Fumo ſignificabatur*, quaſi ἐσήμαιν' pro ἐσημαίνετο ponerentur, quod nequaquam ferendum. Sed ἐσήμαιν', ſive potius ἐσήμαιν', pro ἐσήμαινε aut ἐσήμαινεν, & καπνὸς ſi legamus, facilè labanti Lectoris animo ſuccedetur.

V. 1219. *Fateris*] hoc eſt, diffiteri non potes. Quare nihil erat, quod *Scholiaſtes* Poetam incogitantiæ argueret, quià *Polymeſtor* de auro nihil eſt locutus. Ita enim iſta locutionis formula capienda, non quod jam dixit aliquid de pecuniâ, ſed quod interrogatus diffiteri non poſſet.

Ἐμοὶ δ' ἵν' εἰδῇς, οὔτ' ἐμὴν δοκεῖς χάριν,
Οὔτ' οὖν Ἀχαιῶν, ἄνδρ' ἀποκτεῖναι ξένον,
Ἀλλ' ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς,
Λέγεις δὲ σαυτῷ πρόσφορ', ἐν κακοῖσιν ὤν.
Τάχ' οὖν παρ' ὑμῖν ῥᾴδιον ξενοκτονεῖν,
Ἡμῖν δέ γ' αἰσχρὸν τοῖσιν Ἕλλησιν τόδε.
Πῶς οὖν σε κρίνας μὴ ἀδικεῖν, φύγω ψόγον;
Οὐκ ἂν δυναίμην. „ ἀλλ' ἐπεὶ τὰ μὴ καλὰ
„ Πράσσειν ἐτόλμας, τλῆθι καὶ τὰ μὴ φίλα.
Πολ. Οἴμοι, γυναικὸς, ὡς ἔοιχ', ἡσσώμενος
Δούλης, ὑφέξω τοῖς κακίοσιν δίκην.
Εκ. Οὔκουν δικαίως; εἴπερ εἰργάσω κακά.
Πολ. Οἴμοι τέκνων τῶνδ', ὀμμάτων τ' ἐμῶν, τάλας.
Εκ. Ἀλγεῖς; τί δαί με τοῦ παιδὸς οὐκ ἀλγεῖν δοκεῖς;
Πολ. Χαίρεις ὑβρίζουσ' εἰς ἐμ', ὦ πανοῦργε σύ;
Εκ. Οὐ γάρ με χαίρειν χρὴ, σε τιμωρουμένην;
Πολ. Ἀλλ' οὐ τάχ', ἡνίκ' ἄν σε ποντία νοτὶς——
Εκ. Μῶν ναυστολήσῃ γῆς ὅρους Ἑλληνίδος;
Πολ. Κρύψῃ μὲν οὖν πεσοῦσαν ἐκ καρχησίων.
Εκ. Πρὸς τοῦ βιαίων τυγχάνουσαν ἁλμάτων.
Πολ. Αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσῃ ποδί.
Εκ. Ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ;
Πολ. Κύων γενήσῃ, πύρσ' ἔχουσα δέργματα.
Εκ. Πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
Πολ. Ὁ Θρηξὶ μάντις εἶπε Διόνυσος τάδε.
Εκ. Σοὶ δ' οὐκ ἔχρησεν οὐδὲν, ὧν ἔχεις κακῶν;
Πολ. Οὐ γάρ ποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλῳ.
Εκ. Θανοῦσα δ' ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;

Mihi verò (ut ſcias) neque meam videris ob gratiam,
Neque etiam Achæorum, virum interfeciſſe hoſpitem:
Sed ut haberes aurum in ædibus tuis.
Loqueris verò tibi ipſi conferentia, in malis exiſtens.
Forſan igitur apud [illegible] facile eſt trucidare hoſpitem,
Nobis verò Græcis turpe hoc *habetur*.
Quomodò ergò te abſolvens, effugiam vituperium?
Non certe poſſem. „ Sed poſtquam quæ honeſta non ſunt
„ Facere auſus es, ſuſtine etiam quæ non grata ſunt.
Pol. Hei mihi, à muliere (ut videtur) victus
Servâ, dabo deterioribus pœnam.
Hec. Annon juſtè? ſiquidem perpetrâſti mala.
Pol. Hei mihi propter liberos, hóſq; oculos meos, miſero.
Hec. Doles? quid vero me propter filium non dolere putas?
Pol. Gaudes inſultans mihi ô malitioſa tu?
Hec. Non enim me gaudere oportet, te quæ ulta ſum?
Pol. Sed non ſtatim, quando te marina humiditas——
Hec. Utrum navi ducet me terræ in fines Græcanicæ?
Pol. Occultabit quidem delapſam ex antennis.
Hec. A quo violentos nactam ſaltus?
Pol. Ipſa ad malum *navis* aſcendes pede.
Hec. Alatis tergis aut quonam modo?
Pol. Canis [illegible], igneos habens aſpectus.
Hec. Quomodo verò, nôſti formæ meæ tranſmutationem?
Pol. Apud Thraces vates dixit Dionyſius hæc.
Hec. Tibi verò non vaticinatus eſt quicquam de malis quæ habes?
Pol. Non enim unquam tu me cepiſſes ſic cum inſidiis.
Hec. Mortuáne an viva hic implebo vitam?

σε τὸν Πολύδωρον. ἀλλὰ δοκεῖς ὅτι ἔκτεινας, ἵνα τὸν χρυσὸν κατέχῃς ἐν τοῖς σοῖς δόμοις. λέγεις δὲ ἑαυτῷ συμφέροντα, ἐν δυστυχίαις ὑπάρχων. ἴσως δὲ παρ' ὑμῖν τοῖς βαρβάροις, εὔκολόν ἐστι τὸ κτείνειν ξένους· ἡμῖν δὲ τοῖς Ἕλλησι, τὸ ξενοκτονεῖν αἰσχρόν. πῶς οὖν ἐγὼ κρίνας σε μὴ ἀδικεῖν, ἐκφύγω τὴν μέμψιν; οὐκ ἂν δυναίμην τοῦτο ποιῆσαι. ἀλλ' ἐπειδὴ τὰ μὴ καλὰ ποιεῖν ἐτόλμησας, ὑπόμενε καὶ τὰ μὴ φιλούμενα ὑπὸ σοῦ. φίλος λέγεται καὶ ἐπὶ τοῦ φιλοῦντος, καὶ ἐπὶ τοῦ φιλουμένου. [1251] Οἴμοι ὑπὸ γυναικὸς, ὡς ἔοικεν, νικώμενος, παρέξω τοῖς ἐλάττοσιν, ἤτοι τοῖς κακοῖς τιμωρίαν. Ἡσσώμενος] ἡττώμενος δούλης, γυναικὸς, ἢ Ἑκάβης νοητέον, ἢ τῆς Κασσάνδρας. καὶ περὶ μὲν τοῦ πρώτου οὐδὲν δεῖ μηκύνειν, ὡς φανεροῦ. εἰ δὲ πρὸς τὴν Κασσάνδραν ἐκφέρεται, οὕτως συντακτέον, οἴμοι, ὡς ἔοικεν, ἡττώμενος δούλης γυναικὸς, δώσω δίκην. ἐκείνη γάρ ἐστιν αἰτία τοῦ συμμαχοῦσαν μὲν τῇ Ἑκάβῃ τὸν Ἀγαμέμνονα, ἐμοῦ δὲ καταψηφίσασθαι. ἀγνοήσαντες δέ τινες τὸ λεπτὸν τῆς ἐννοίας, ἐσολοίκισαν τὸ ἡσσώμενος πρὸς τὸν Ἀγαμέμνονα, ἀλλ' οὐ πρὸς τὸν Πολυμήστορα λέγεσθαι, ἐκφέροντες οὕτω. ἡσσώμενος ὦ Ἀγάμεμνον δούλης γυναικὸς σὺ τῆς Κασσάνδρας ὑφέξω ἐγὼ δίκην, ὅπερ ἐσχάτης ἂν εἴη ἀμαθίας. κρεῖσσον δὲ πρὸς τὴν Ἑκάβην τὸ δούλης γυναικὸς λέγεσθαι. [1254] Οὐκοῦν δικαίως] ὑφέξεις δίκην, ἐπειδὴ κακὰ ἔπραξας. Οἴμοι] τῶν τέκνων ἕνεκα, καὶ τῶν ὀφθαλμῶν ὁ τάλας ἐγώ. Ἀλγεῖς] λυπῇ; τί δὲ οὐ δοκεῖς ἀλγεῖν ἐμὲ τοῦ παιδός μου ἕνεκεν; Χαίρεις] χαρὰν ἔχεις, ἀτιμάζουσά με ὦ κακόδοξε σύ. Οὐ γὰρ πρέπει με χαίρειν τιμωροῦσαν, καὶ κολάζουσαν σέ; ἀλλ' οὐ χαρήσῃ, ἡνίκα σε ἡ θάλασσα κρύψῃ, ἄρα διὰ νηὸς πορεύσει με εἰς τοὺς ὅρους τῆς Ἑλλάδος; Νοτὶς ποντία καλύψει, καὶ ποντίσει πεσοῦσαν ἐκ τῶν * καρχησίων. Λέγουσιν ὅτι οἱ Ἕλληνες [illegible] ταραχθέντες πάντοθεν καὶ ὑβριζόμενοι ὑπὸ τῆς Ἑκάβης, θυμωθέντες ἔρριψαν ταύτην, ἀναβιβάσαντες ἀπὸ τοῦ ἱστοῦ τῆς νεὼς, καὶ λιθοβολήσαντες ἐκείνην, ὕστερον τοὺς λίθους ἀπὸ ταύτης ἐκβαλόντες εὗρον † σκύλλαν. Πρὸς τοῦ βιαίων] τοῦτο οὕτως νοητέον. εἰπόντος γὰρ τοῦ Πολυμήστορος πεσεῖσθαι αὐτὴν ἐκ τῶν ἱστῶν, ἀπορεῖσα αὕτη φησὶ, παρά τινος τυγχάνουσα ἁλμάτων, καὶ πηδημάτων βιαίων, καὶ ἀκουσίων κρύψει με. ἅλματα γὰρ βίαια τὰ ἀκούσια φαμὲν, ἅπερ οὐχ ὁ ἀλλόμενος δρᾷ ἑκουσίως, ἀλλ' ὑπό τινος ἑτέρου ἀναγκαζόμενος πράττει. Πρὸς τοῦ βιαίων] πρός τινος ἀναγκαστικῶν ἐπιτυγχάνουσα πηδημάτων. Αὐτὴ ἀναβήσῃ ἐν τῷ ἀνωτάτῳ τοῦ ἱστοῦ, ἤγουν τῷ ἄκρῳ τῶν τραχηλίων. διὰ νώτων ἐπτερωμένων, ἢ ποίῳ τρόπῳ. Κύων γενήσῃ, πυρώδεις ὀφθαλμοὺς ἔχουσα, ἤτοι ἡγεμονικούς. πῶς δὲ γινώσκεις τὴν ἐναλλαγὴν τῆς μορφῆς μου; ὁ ἐν τοῖς Θρᾳξὶ μάντις ἔλεξε Διόνυσος ταῦτα. [1267] Θρηξὶ μάντις] ἢ ἐν τῇ Θρᾴκῃ Διονύσου μαντεῖον ἦν, ἢ ἀνήρ τις ἐν Θρᾴκῃ Διόνυσος καλούμενος. Διόνυσος] οἱ μὲν περὶ τὸ Παγγαῖον εἶναι τὸ μαντεῖόν φασι τοῦ Διονύσου. οἱ δὲ περὶ τὸν Αἷμον. οὗ εἰσὶ καὶ Ὀρφέως ἐν σανίσιν ἀναγραφαί. περὶ ὧν φησὶν ἐν Ἀλκήστιδι ‡, οὐδέ τι φάρμακον Θρῄσσαις ἐν σανίσι, τὰς Ὀρφεία κατέγραψε γῆρυς. ὅτι δὲ Διόνυσος μάντις, καὶ ἐν Βάκχαις φησὶ, μάντις δ' ὁ δαίμων ὅδε. τὸ γὰρ βακχεύσιμον καὶ τὸ μανιῶδες, μαντικὴν πολλὴν ἔχει. Σοὶ δ' οὐκ ἔχρησεν· σοὶ δὲ οὐκ ἐμαντεύσατο οὐδὲν τῶν κακῶν ὧν ἔχεις; Οὐ γὰρ ποτ' ἂν] οὐκ ἔχρησε δηλονότι. οὔποτε γὰρ ἂν σὺ εἷλες ἐμὲ ὧδε σὺν δόλῳ. Θανοῦσα δ' ἢ ζῶσ'] θανοῦσα δὲ ἐκπλήσω τὸν ἐνθάδε βίον, ἤτοι τὸν ἐν τῇ μορφῇ τοῦ κυνὸς, ἢ ζῶσα; τὸ ἐκπλήσω τὸν βίον, πρὸς τὸ ζῶσα μόνον λέγει. πρὸς δὲ τὸ θανοῦσα, τὸ μεταβληθήσομαι εἰς κύνα. ἐπειδήπερ εἶπεν ὁ Πολυμήστωρ γενήσεσθαι αὐτὴν κύνα, διαπορεῖ, καὶ ἐρωτᾷ αὐτόν. τί λέγεις; θανοῦσα γενήσομαι κύων, ἢ ζῶσα μεταβληθήσομαι εἰς τὴν κυνὸς μορφήν; ὃ καὶ λύει εἰπὼν, θανοῦσα. ἔφη γὰρ Πυθαγόρας, καὶ μετ' ἐκεῖνον Πλάτων, ὡς αἱ τῶν ἀθλίως βεβιωκότων ψυχαὶ, ἀποθανόντων εἰς ἄλογα ζῶα εἰσέρχονται, καὶ λίθους, καὶ ξύλα, καὶ φυτὰ, ἵνα ἐν τῇ πρὸς ταῦτα διατριβῇ δίκην ὑπέχουσαι πρέπουσαν ὧν ἥμαρτον, εἰς τὴν ἀρχαίαν ἐπανέλθοιεν τάξιν. ὅθεν καὶ Πυθαγόρας ποτὲ ἀκούσας ὄνον ὀγκώμενον, ἔφη, ὡς φίλου μου ψυχὴ ἐστὶν αὕτη ἡ ἐν τῷ ὄνῳ, καὶ διὰ τοῦτο ἐπέγνω με.

* καρχησίων. Vid. *Hebdo.* in Καρχήσια ubi exponit, τὰ ἄκρα τῶν καταρτίων τῶν πλοίων. Nec *Sopingii* conjecturam ſequor. Aſt al. hic legerem καρχησίων [illegible] † i.e. σκύλακα. Vid. Etymolog. in σκύλλ@. ‡ Vid. *Alceſt.* v. 966. quæ verba valdè erant corrupta in prioribus Editionibus.

ANNOTATIONES.

V. 1256. Ἀλγεῖς; τί δαί με, &c.] Vera Lectio & vetus, quod dico, nequis authoritate libri *Duportiani* ductus, cum illo mutet in τί δ' αὖ, vel τί δ' ἡμᾶς, quorum neutrum ſtabit. τί δαί με autem *Tribrachus* pro *Iambo*, ἀνέχεσθαι erit. Ille liber V. 1252. ἡσσώμενος audet in ἡσσώμενος mutare, cum ἡσσάομαι ſit authenticum, ἡσσόομαι non æquè. Ita V. 1261. Κρύψῃ mutat in κρύψει magno errore. Senſus enim continuus eſſet ita, ἡνίκ' ἄν σε ποντία νοτὶς κρύψῃ. Credo equidem magnum hunc virum ſuæ in *Græcâ* linguâ peritiæ nimis conſcium, nonnulla temerè notâſſe, quæ nec ipſe paulò attentior probaret: ſcio ego & illum dum in vivis erat, aliquandò huic vitio indulſiſſe, ut & alios valdè alioquin doctos viros. Non ego hæc, ità me Deus amet, ad provocandos magnorum hominum manes, ſed ne quis illius manûs authoritate victus nos incuriæ inſimulet, aut ignorantiæ. Candidus autem Lector veniam dabit veritatem indaganti. Liber *Henſio-ſcaligerianus* legit τί δαί. ſed eam lectionem non auſim tantis Viris affigere; quùm ſit falſiſſima. *Joſua Barnes.*

V. 1265, Κύων γενήσῃ, &c.] Vid. quomodo *Hecuba* in Canem ſit converſa, ut & omnem hujus Fabulæ Poeticam Hiſtoriam, *Ovid.* Metamorph. l. 3. Fab. 2. Locus inde dictus Κυνὸς σῆμα, ſive Κυνὸς σῆμα. Vid. *Jul. Pollux.* l. 15. c. 5. & *Strabo* Geogr. l. 13. & *Troica.*

Πολ. Θα-

Πολ. Θανούσης. τύμβῳ δ' ὄνομα σὸν κεκλήσεται.
Εκ. Μορφῆς ἐπῳδὸν, ἤ τι τῆς ἐμῆς ἐρεῖς;
Πολ. Κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
Εκ. Οὐδὲν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.
Πολ. Καὶ σήν γ' ἀνάγκη παῖδα Κασσάνδραν θανεῖν.
Εκ. Ἀπέπτυσ'· αὐτῷ ταῦτά σοι δίδωμ' ἔχειν.
Πολ. Κτενεῖ νιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.
Εκ. Μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.
Πολ. Καὐτόν γε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.
Αγ. Οὗτος, σὺ μαίνῃ, καὶ κακῶν ἐρᾷς τυχεῖν;
Πολ. Κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει.
Αγ. Οὐχ ἕλξετ' αὐτὸν δμῶες ἐκποδὼν βίᾳ;
Πολ. Ἀλγεῖς ἀκούων; Α. οὐκ ἐφέξετε στόμα;
Πολ. Ἐγκλείετ'. εἴρηται γάρ. Α. οὐχ ὅσον τάχος
Νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
Ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;
Ἑκάβη, σὺ δ', ὦ τάλαινα, διπτύχους νεκροὺς
Στείχουσα θάπτε. δεσποτῶν δ' ὑμᾶς χρεὼν
Σκηναῖς πελάζειν, Τρῳάδες· καὶ γὰρ πνοὰς
Πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
Εὖ δ' ἐς πάτραν πλευσαίμεθα. εὖ δὲ τὰν δόμοις
Ἔχοντ' ἴδοιμεν, τῶνδ' ἀφειμένοι πόνων.

Pol. Mortuæ. Tumulo verò nomen tuum vocabitur.
Hec. Formæ conſentiens, aut quid de me dices?
Pol. Canis miſeræ ſepulchrum, nautis ſignum.
Hec. Nihil curæ eſt mihi, quum tu mihi dederis pœnam.
Pol. Et tuam neceſſe eſt filiam Caſſandram mori.
Hec. Abominor: ipſi hæc tibi tribuo habere.
Pol. Interficiet ipſam hujus conjux domus cuſtos acerba.
Hec. Ne unquam inſaniet uſque adeo Tyndarei filia.
Pol. Ipſúmque hunc, ſecurim tollens ſurſum.
Ag. Heus tu, inſanis & mala appetis conſequi?
Pol. Interfice, quoniam Argis homicidalia lavacra te manent.
Ag. Non trahetis ipſum famuli ex conſpectu per vim?
Pol. Doles audiens? *Ag.* Non cohibebitis os?
Pol. Concludite: dictum eſt enim. *Ag.* Annon quàm celerrimè
Inſularum deſertarum ipſum abjicietis aliquò,
Quoniam ſic & nimium licentia oris abutitur?
Hecuba, tu verò miſera geminos mortuos
Vadens ſepelito. Dominorum verò nos oportet
Tentoria accedere Troades. Etenim flatus
Domum verſus jam hoſce ſecundos ſentio.
Bene vero utinam in patriam navigemus, bene etiam, quæ domi,
Habentia te videamus, ab his liberati laboribus:

Θανὼν] τουτέστι μέχρι θανάτου κύων ἔσῃ. ὀνομασθήσεται δὲ ὁ τάφος τὸ σὸν ὄνομα, ἤγουν κύων. Ἐπῳδὸν καὶ ἐπώνυμον τῆς ἐμῆς μορφῆς, ἤ τι ἄλλο ἐρεῖς. Εἰρήσεται καὶ λεχθήσεται, δηλονότι σῆμα καὶ μνημεῖον τῆς ταλαίνης κυνός, τέκμαρ καὶ σημεῖον τοῖς ναύταις. 1271 Μορφῆς ἐπῳδόν; ἐπώνυμον τῆς κυνικῆς μορφῆς, ἢ ἄλλο τι τῆς ἀνθρωπίνης ἣν ἔχω λέξεις. Κυνὸς ἀθλίας τοῖς ναύταις τεκμήριον. Περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης φησίν, ὅτι κυνὸς καλοῦσι δυσμόρφου σῆμα. Οὐδεμίας μοι φροντίς ἐστι, τιμωρηθέντος σοῦ παρ' ἐμοῦ. Ἀνάγκη δὲ ὑπάρχει καὶ τὴν σὴν παῖδα Κασσάνδραν ἀποθανεῖν. Ἀπέπτυσ' αὐτῷ] καταφρονῶ τῶν σῶν μαντευμάτων. σοὶ δ' εἴη ταῦτα γενέσθαι. ἅπερ ἐμοὶ μαντεύῃ. Κτενεῖ δὲ αὐτὴν ἡ σύνοικος τοῦδε τοῦ Ἀγαμέμνονος, ἡ πικρὰ Κλυταιμνήστρα. Πικρὰν οἰκουρὸν τὴν Κλυταιμνήστραν φησίν, ὡς μοιχευθεῖσαν τῷ Αἰγίσθῳ, ὃν ἔλιπεν ὁ Ἀγαμέμνων, ὅτ' ἀπῄει εἰς Τροίαν, κηδεμόνα τοῦ οἴκου αὐτοῦ, καὶ ἀποκτείνασαν τὸν ἴδιον ἄνδρα Ἀγαμέμνονα ὕστερον, ὡς καὶ Πολυμήστωρ μετ' ὀλίγον αὐτῷ Ἀγαμέμνονι λέγει, ὑπὸ πελέκεως ἀναιρεθήσεσθαι. φοβουμένη γὰρ αὐτὴ ἡ Κλυταιμνήστρα αὐτόν, μὴ τὴν πρὸς Αἴγισθον αὐτῆς μοιχείαν ἐκμαθών, αὐτὴν μετ' Αἰγίσθου τιμωρήσηται, τοιόνδε βουλεύει. ἱμάτιον παρεσκεύασε μὴ ἔχον διεξόδους μήτε κεφαλῆς, μήτε χειρῶν, ἐν ᾧ περιβαλοῦσα αὐτὸν λελουμένον ἀπέκτεινε. διὰ τοῦτο γὰρ καὶ Πολυμήστωρ λέγει πρὸς αὐτόν, κτεῖν' ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει. 1278 Μήπω μανείη τοσόνδε ἡ θυγάτηρ τοῦ Τυνδάρεω καὶ τοῦτον δὲ τὸν Ἀγαμέμνονα κτενεῖ, ἐξάρασα πέλεκυν ἄνω. Οἱ νεώτεροι μὴ κατανοήσαντες τὸ Ὁμηρικόν, διηπόρησαν ὥς τις τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ, ὅτι αὐτὸν ἔδει μετὰ τοὺς πόνους ἀπολαύσεως τυχεῖν, τοῦτον ὡς βοῦν ἀπέκτεινεν ἡ Κλυταιμνήστρα, προσεθήκαν ὅτι καὶ πελέκει ἀνῃρέθη. διὸ σημειωτέον ἐνταῦθα τό, κἀυτόν τε τοῦτον πέλεκυν ἐξάρασ' ἄνω. Οὗτος, σὺ μαινόμενος ὑπάρχεις, καὶ ἐπιθυμεῖς τυχεῖν καὶ ἄλλων κακῶν. Κτεῖνε, ὅτι καὶ ἐν τῷ Ἄργει φονικὰ λουτρά σε μένει. ἐπειδὴ ἐνδύσασα αὐτὸν τὸ μὴ ἔχον πέρας ἱμάτιον, ζέμα αὐτῷ κατέχεεν ἡ Κλυταιμνήστρα. Ἐκβάλλετε αὐτόν, ὦ δοῦλοι, μακρὰν, μετὰ βίας. Πονεῖς ἀκούων; Οὐ καθέξετε τὸ στόμα αὐτοῦ, Ἀσφαλίσατε, καὶ γὰρ ἐρρέθη. ταῦτα δὲ φησίν, ὡς σπεύδοντος αὐτοῦ τῶν εἰκότων τὸ σῶμα. Οὐκ ἐξορίσετε αὐτὸν ἐπὶ τὴν ἐρήμην νῆσον, ἐπεὶ καὶ λίαν οὕτως ἀναισχυντεῖ; Σὺ δ' ὦ τάλαινα Ἑκάβη πορευθεῖσα, θάπτε τοὺς διπλοῦς νεκρούς. καὶ ὑμᾶς δέ, ὦ Τρῳάδες, πρέπον ἐστὶ πελάζειν ταῖς σκηναῖς τῶν δεσποτῶν, καὶ γὰρ ὁρῶ τὰ πνεύματα πρὸς τὸν πλοῦν. εἴθε δὲ ἐς τὴν πατρίδα καλῶς πλεύσαιμεν, καὶ καλῶς τὰ ἐν τοῖς οἴκοις ἔχοντα ἴδοιμεν, ἐλευθερωθέντες τῶν θλίψεων. καλῶς δὲ ἐπιδέχεται. ἐπειδὴ ἄτοπα παρὰ τοῦ Πολυμήστορος ἤκουσεν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χορός. Ἴτε πρὸς λιμένας, σκηνάς τε, φίλαι,
Τῶν δεσποσύνων πειρασόμεναι
Μόχθων· "Στερρὰ γὰρ ἀνάγκη.

Chorus. Ite ad portus, & tentoria, ô amicæ.
Heriles experturæ
Labores. "Dura enim neceſſitas urget.

Ἴτε πρὸς λιμένας] πορεύθητε πρὸς τοὺς λιμένας, καὶ πρὸς τὰς κατοικίας, ὦ φίλαι, πεῖραν τῶν δεσποτικῶν ληψόμεναι πόνων. ἰσχυρὰ γάρ ἐστιν ἡ τῆς δουλείας ἀνάγκη. ταῦτα δὲ πρὸς ἑαυτὰς λέγουσιν αἱ ἀπὸ τοῦ χοροῦ.

Τέλος χελίου τῆς εἰς Ἑκάβην.

☞ Hanc *Hecubæ* Fabulam *Eraſmus Latino* carmine ferè ad verbum facto donavit, quam & *Cantuarienſi* Archiepiſcopo *Crannero* conſecratam voluit. Extat inter Tragœdias ſelectas ab *Henrico Stephano* editas.

ΥΠΟΘΕ-

ΥΠΟΘΕΣΙΣ ΟΡΕΣΤΟΥ.

ΟΡΕΣΤΗΣ τὸν φόνον τοῦ πατρὸς ἐκδικῆσαι βουλόμενος, ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν. μητροκτονῆσαι δὲ τολμήσας, παραχρῆμα τὴν δίκην ἔδωκεν, ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς ἀνῃρημένης κατηγορήσαντος κατ' αὐτοῦ, ἔμελλον κοινὴν Ἀργεῖοι ψῆφον ἐκφέρεσθαι περὶ τούτου, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα. κατὰ τύχην δὲ Μενέλαος πλάνης ὑποστρέψας, ἐκ τῆς νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε, μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε. καὶ παρακαλούμενος ὑπὸ Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπινεύσθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. συνὼν δὲ τούτοις ὁ Πυλάδης ὁ φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην ἁρπασάντων. τὴν δὲ Ἑρμιόνην δείξασα ἡ Ἠλέκτρα, ἔδωκεν εἰς χεῖρας αὐτοῖς. οἱ δὲ ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνων ἐστερημένον ὑπ' αὐτῶν, ἐπιβάλλετο τὰ βασίλεια πορθεῖν. οἱ δὲ φθάσαντες, ὑφάψειν ἠπείλουν. ἐπιφανεὶς δὲ ὁ Ἀπόλλων, Ἑλένην μὲν ἔφησεν * εἰς θεοὺς διακομίζειν, Ὀρέστην δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικῆσαι· καθαρθέντα δὲ τοῦ φόνου, Ἄργους ἄρχειν.

ἌΛΛΩΣ.

Ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν, ἅμα καὶ ὑπὸ τῶν Ἐρινύων δειματούμενος, καὶ ὑπὸ τῶν Ἀργείων καταγνωσθεὶς θανάτῳ, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην, ἀνθ' ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησεν, ἐκωλύθη ὑπὸ Ἀπόλλωνος. παρ' οὐδενὶ δὲ κεῖται ἡ μυθολογία.

ἌΛΛΩΣ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος, ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων. αἳ καὶ παραγίνονται, ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ τοῦ δράματος, ἐστὶ τοιαύτη. πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια, ὑπόκειται Ὀρέστης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ, τί δή ποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται. οὕτω γὰρ μᾶλλον ἐδόκει τὸν ἀδελφὸν τημελεῖν, τούτῳ παρακαθεζομένη πλησιαίτερον. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκευάσαι. διηγέρθη γὰρ ἂν ὁ Ὀρέστης ἄρτι, καὶ μόλις καταδαρθεὶς, ἐγγὺς αὐτοῦ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο, ἐξ ὧν φησὶν Ἠλέκτρα τῷ χορῷ. Σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης. πιθανὴν δὲ οὖν ταύτην φασὶ τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως. τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων· χείριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου, πάντες φαῦλοι ἦσαν.

* Vid. Iphig. Aul. v. 130.

ARGUMENTUM ORESTIS.

ORESTES necem patris ulturus, interfecit *Ægiſthum* & *Clytæmneſtram*. Auſus verò matrem occidere, ſtatim pœnam dedit, inſanus factus. *Tyndaro* itaque patre interfectæ accuſante eum, communem ſententiam erant laturi *Argivi* de hoc quod oporteret pati impium. Fortè verò *Menelaus* rediens ex ſuâ peregrinatione, noctu quidem *Helenam* miſit, interdiu autem ipſe venit: & advocatus ab *Oreſte*, ut juvaret ipſum, accuſantem *Tyndarum* magis eſt reveritus. Dictis itaque orationibus in cœtu, motus eſt populus ut occideret *Oreſtem*. Tum *Pylades* amicus ejus, cùm ei adeſſet, conſuluit, ut ipſi primùm de *Menelao* ſumerent pœnam, interficientes *Helenam*. Ipſi igitur propter hæc venientes fruſtrati ſunt ſpe, cùm dii *Helenam* rapuiſſent. *Hermionem* verò oſtendens *Electra*, dedit eis in manum: illi itaque hanc volebant occidere. Apparens autem *Menelaus*, & videns ſe ſimul conjuge & liberis ab iſtis privatum, conatus eſt oppugnare regiam: illi autem prævenientes, minabantur ſe inflammaturos eſſe. *Apollo* verò apparens, *Helenam* dixit ſe tranſtuliſſe ad Deos: *Oreſtem* autem juſſit *Hermionem* ducere, (& *Pyladi Electram* cohabitare:) & purificatum à cæde, Argos tenere.

ALITER.

Oreſtes propter matris cædem ſimul & à Furiis exagitatus, & ab *Argivis* capitis damnatus, erat interfecturus *Helenam* & *Hermionem*; propterea quòd *Menelaus* præſens non juverat eum: prohibitus eſt autem ab *Apolline*. Cæterùm à nullo *alio* Poetâ hæc Fabula tractatur.

ALITER.

Scena fabulæ poſita in *Argo*. Chorus autem conſtat ex mulieribus *Argivis* æqualibus, quæ accedunt, interrogantes de calamitate *Oreſtis*. Fabula habet exitum magis comicum. Apparatus fabulæ eſt talis. Juxta aulam *Agamemnonis* fingitur *Oreſtes* laborans, & jacens præ inſaniâ in lectulo, cui aſſidet ad pedes *Electra*. Dubitatur verò, quare non ad caput aſſideat; ſic enim magis videbatur curare fratrem, illi aſſidens propius. Videtur igitur propter chorum poeta ita finxiſſe. Excitatus enim fuiſſet *Oreſtes*, jam primùm, & vix ſopitus, ſi propè ipſum mulieres chori ſtetiſſent. Poſſumus hoc ſuſpicari ex eo quod dicit *Electra* ad chorum, Tace, tace, tenue veſtigium ſoleæ. Probabilem eſſe aiunt prætextum hujus diſpoſitionis. Fabula eſt ex celeberrimis in ſcenâ, ſed peſſima moribus: nam præter *Pyladen*, omnes erant polluti.

Πολ. Θανοῦσα. τύμβῳ δ' ὄνομα σὸν κεκλήσεται.
Εκ. Μορφῆς ἐπῳδὸν, ἢ τί τῆς ἐμῆς ἐρεῖς;
Πολ. Κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
Εκ. Οὐδὲν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.
Πολ. Καὶ σήν γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.
Εκ. Ἀπέπτυσ'· αὐτῷ ταῦτά σοι δίδωμ' ἔχειν.
Πολ. Κτενεῖ νιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.
Εκ. Μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.
Πολ. Κ'αὐτόν γε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.
Αγ. Οὗτος, σὺ μαίνῃ, καὶ κακῶν ἐρᾷς τυχεῖν;
Πολ. Κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει.
Αγ. Οὐχ ἕλξετ' αὐτὸν δμῶες ἐκποδὼν βίᾳ;
Πολ. Ἀλγεῖς ἀκούων; Α. οὐκ ἐφέξετε στόμα;
Πολ. Ἐγκλείετ'. εἴρηται γάρ. Α. οὐχ ὅσον τάχος
Νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
Ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;
Ἑκάβη, σὺ δ', ὦ τάλαινα, διπτύχους νεκροὺς
Στείχουσα θάπτε. δεσποτῶν δ' ὑμᾶς χρεὼν
Σκηναῖς πελάζειν, Τρῳάδες· καὶ γὰρ πνοὰς
Πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
Εὖ δ' ἐς πάτραν πλεύσαιμεν. εὖ δὲ τὰ 'ν δόμοις
Ἔχοντ' ἴδοιμεν, τῶνδ' ἀφειμένοι πόνων.

Pol. Mortua. Tumulo verò nomen tuum vocabitur.
Hec. Formae conſentiens, aut quid de me dicis?
Pol. Canis miſerae ſepulchrum, nautis ſignum.
Hec. Nihil curae eſt mihi, quum tu mihi dederis poenam.
Pol. Et tuam neceſſe eſt filiam Caſſandram mori.
Hec. Abominor: ipſi haec tibi tribuo habere.
Pol. Interficiet ipſam hujus conjux domus cuſtos acerba.
Hec. Ne unquam inſaniet uſque adeo Tyndarei filia.
Pol. Ipſumque hunc, ſecurim tollens ſurſum.
Ag. Heus tu, inſanis & mala appetis conſequi?
Pol. Interfice, quoniam Argis homicidalia lavacra te manent.
Ag. Non trahetis ipſum famuli ex conſpectu per vim?
Pol. Doles audiens? *Ag.* Non cohibebitis os?
Pol. Concludite: dictum eſt enim. *Ag.* Annon quàm celerrimè
Inſularum deſertarum ipſum abjicietis aliquò,
Quoniam ſic & nimium licentia oris abutitur?
Hecuba, tu verò miſera, geminos mortuos
Vadens ſepeli. Dominorum verò nos oportet
Tentoria accedere Troades. Etenim flatus
Domum verſus jam hoſce ſecundos ſentio.
Bene verò *utinam* in patriam navigemus; bene etiam, quae domi
Habentur ſe videamus, ab his liberati laboribus!

Θανοῦσα] τουτέστι μέχρι θανάτου κύων ἔσῃ. ἐπονομασθήσεται δὲ τῷ τάφῳ τὸ σὸν ὄνομα, ἤγουν κύων. Ἐπῳδὸν] καὶ ἐπώνυμον τῆς ἐμῆς μορφῆς, ἢ τί ἄλλο ἐρεῖς. Εἰρήσεται καὶ λεχθήσεται, δηλονότι σῆμα καὶ μνημεῖον τῆς ταλαίνης κυνὸς, τέκμαρ καὶ σημεῖον τοῖς ναύταις. 1273 Μορφῆς ἐπῳδὸν;] ἐπώνυμον τῆς κυνικῆς μορφῆς, ἢ ἄλλό τι τῆς ἀνθρωπίνης ἣν ἔχω λέξεις. Κυνὸς ἀθλίας τοῖς ναύταις τεκμήριον. Περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης φησὶν, ὅτι κυνὸς καλοῦσι δυσμόρφου σῆμα. Οὐδαμῶς μοι φροντίς ἐστι, τιμωρηθέντος σοῦ παρ' ἐμοῦ. Ἀνάγκη δὲ ὑπάρχει καὶ τὴν σὴν παῖδα Κασάνδραν ἀποθανεῖν. Ἀπέπτυσ' αὐτῷ] καταφρονῶ τῶν σῶν μαντευμάτων. σοὶ δ' εἴη ταῦτα γενέσθαι. ἅπερ ἐμοὶ μαντεύῃ. Κτενεῖ δὲ αὐτὴν ἡ σύνοικος τοῦδε τοῦ Ἀγαμέμνονος, ἡ πικρὰ Κλυταιμνήστρα. Πικρὸν οἰκουρὸν τὴν Κλυταιμνήστραν φησὶν, ὡς μοιχευθεῖσαν παρὰ Αἰγίσθῳ, ὃν ἔλιπεν ὁ Ἀγαμέμνων, ὅτ' ἀπῄει εἰς Τροίαν, κηδεμόνα τοῦ οἴκου αὐτοῦ, καὶ ἀποκτείνασαν τὸν ἴδιον ἄνδρα Ἀγαμέμνονα ὕστερον, ὡς καὶ Πολυμήστωρ μετ' ὀλίγον αὐτῷ Ἀγαμέμνονι λέγει, ὑπὸ πελέκεως ἀναιρεθήσεσθαι. φοβηθεῖσα γὰρ αὐτὴ ἡ Κλυταιμνήστρα αὐτὸν, μὴ τὴν πρὸς Αἴγισθον αὐτῆς μοιχείαν καταμαθὼν, αὐτὴν μετ' Αἰγίσθου τιμωρήσηται, τοιόνδε βουλεύει. ἱμάτιον κατασκευάσασα μὴ ἔχον διεξόδους μήτε κεφαλῆς, μήτε χειρῶν, ἐν ᾧ περιβαλοῦσα αὐτὸν λελουμένον ἀπέκτεινε. διὰ τοῦτο γὰρ καὶ Πολυμήστωρ λέγει πρὸς αὐτὸν, κτεῖν' ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει. 1278 Μήπω μὲν μανείη τοσόνδε ἡ θυγάτηρ τοῦ Τυνδάρεω καὶ τοῦτον δὲ τὸν Ἀγαμέμνονα κτενεῖ, ἐξάρασα πέλεκυν ἄνω. Οἱ νεώτεροι μὴ νοήσαντες τὸ Ὁμηρικὸν, δυσπίστως ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ, ὅτι αὐθ' ἂν ἴδοι μετὰ τοὺς πόνους ἀπολαύσεως τυχεῖν, τοῦτον ὡς βοῦν ἀπέκτεινεν ἡ Κλυταιμνήστρα, προστεθείκασιν ὅτι καὶ πελέκει ἀνῃρέθη. διὸ σημειωτέον ἐνταῦθα τὸ, κ'αὐτόν γε τοῦτον πέλεκυν ἐξάρασ' ἄνω. Οὗτος, σὺ μανιώδης ὑπάρχεις, καὶ ἐπιθυμεῖς τυχεῖν καὶ ἄλλων κακῶν. Κτεῖνε, ὅτι καὶ ἐν τῷ Ἄργει φονικὰ λουτρά σε περιμένει. ἐπειδὴ ἐνέδυσεν αὐτὸν τὸ μὴ ἔχον πέρας ἱμάτιον, ζῶμα αὐτῷ κατέχειν ἡ Κλυταιμνήστρα. Ἐκβάλλετε αὐτὸν, ὦ δοῦλοι, μακρὰν, μετὰ βίας. Πονεῖς ἀκούων; Οὐ καθέξετε τὸ στόμα αὐτοῦ, Ἀσφαλίσατε, καὶ γὰρ ἐρρέθη. ταῦτα δὲ φησὶν, ὡς πιεζόντων αὐτοῦ τῶν οἰκετῶν τὸ στόμα. Οὐκ ἐξορίσετε αὐτὸν ταχὺ εἰς τὴν ἐρήμων νήσων, ἐπεὶ καὶ λίαν οὕτως ἀναισχυντεῖ; Σὺ δ' ὦ τάλαινα Ἑκάβη πορευθεῖσα, θάπτε τοὺς δισσοὺς νεκρούς. καὶ ὑμᾶς δὲ, ὦ Τρῳάδες, πρέπον ἐστὶ πελάζειν ταῖς σκηναῖς τῶν δεσποτῶν, καὶ γὰρ ὁρῶ τὰ πνεύματα πρὸς τὸν πλοῦν. εἴθε δὲ ἐς τὴν πατρίδα καλῶς πλεύσαιμεν, καὶ καλῶς τὰ ἐν τοῖς οἴκοις ἔχοντα ἴδοιμεν, ἐλευθερωθέντες τῶν θλίψεων. καλῶς δὲ ἐπιδέχεται. ἐπειδὴ ἄτοπα παρὰ τοῦ Πολυμήστορος ἤκουσεν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χορός. Ἴτε πρὸς λιμένας, σκηνάς τε, φίλαι,
Τῶν δεσποσύνων πειρασόμεναι
Μόχθων. [11] Στερρὰ γὰρ ἀνάγκη.

Chorus. Ite ad portus, & tentoria, ô amicae,
Heriles experturae
Labores. [11] Dura enim neceſſitas *urget.*

Ἴτε πρὸς λιμένας] πορεύθητε πρὸς τοὺς λιμένας, καὶ πρὸς τὰς κατοικίας, ὦ φίλαι, πεῖραν τῶν δεσποτικῶν ληψόμεναι πόνων. ἰσχυρὰ γάρ ἐστιν ἡ τῆς δουλείας ἀνάγκη. ταῦτα δὲ πρὸς ἑαυτὰς λέγουσιν αἱ ἀπὸ τοῦ χοροῦ.

Τέλος σχολίων τῶν εἰς Ἑκάβην.

☞ Hanc *Hecubae* Fabulam *Eraſmus Latino* carmine ferè ad verbum facto donavit, quam & *Cantuarienſi* Archiepiſcopo *Crammero* conſecratam voluit. Extat inter Tragoedias ſelectas ab *Henrico Stephano* editas.

ΥΠΟΘΕ-

ΥΠΟΘΕΣΙΣ
ΟΡΕΣΤΟΥ.

ΟΡΕΣΤΗΣ τὸν φόνον τοῦ πατρὸς ἐκδικούμενος, ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν. μητροκτονῆσαι δὲ τολμήσας, παραχρῆμα τὴν δίκην ἔδωκεν, ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς ἀνῃρημένης κατηγορήσαντος κατ' αὐτοῦ, ἔμελλον κοινὴν Ἀργεῖοι ψῆφον ἐκφέρειν περὶ τούτου, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα. κατὰ τύχην δὲ Μενέλαος πλάνης ὑποστρέψας, ἐκ τῆς νυκτὸς μὲν Ἑλένην εἰσέπεμψε, μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε. καὶ παρακαλούμενος ὑπὸ Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐκινήθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. συνὼν δὲ τούτοις ὁ Πυλάδης ὁ φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενέλαον τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην ἁρπασάντων. τὴν δὲ Ἑρμιόνην δείξασα ἡ Ἠλέκτρα, ἔδωκεν εἰς χεῖρας αὐτοῖς. οἱ δὲ ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνων ἐστερημένον ὑπ' αὐτῶν, ἐπεβάλλετο τὰ βασίλεια πορθεῖν. οἱ δὲ φθάσαντες, ὑφάψειν ἠπείλουν. ἐπιφανεὶς δὲ ὁ Ἀπόλλων, Ἑλένην μὲν ἔφησεν * εἰς θεοὺς διακομίζειν, Ὀρέστην δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντα δὲ τοῦ φόνου, Ἄργους ἄρχειν.

ἌΛΛΩΣ.

Ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν, ἅμα καὶ ὑπὸ τῶν Ἐρινύων δειματούμενος, καὶ ὑπὸ τῶν Ἀργείων κατακριθεὶς θανάτῳ, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην, ἀνθ' ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησεν, ἐκωλύθη ὑπὸ Ἀπόλλωνος. παρ' οὐδενὶ δὲ κεῖται ἡ μυθολογία.

ἌΛΛΩΣ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος, ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων. αἳ καὶ παραγίνονται, ὑπὲρ τῆς τοῦ Ὀρέστου συνθανόμεναι συμφορᾶς. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ τοῦ δράματος, ἐστὶ τοιαύτη. πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια, ὑπόκειται Ὀρέστης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθίζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ, τί δή ποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται. οὕτω δὲ μᾶλλον ἐδόκει τοῦ ἀδελφοῦ τημελεῖν, τούτῳ προσκαθεζομένη πλησιαίτερον. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκευάσαι. διηγέρθη γὰρ ἂν ὁ Ὀρέστης ἄρτι, καὶ μόλις καταδαρθεὶς, ἐγγὺς αὐτοῦ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο, ἐξ ὧν φησὶν Ἠλέκτρα τῷ χορῷ. Σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης. πιθανὴν δὲ οὖν ταύτην φασὶ τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως. τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων, χείριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου, πάντες φαῦλοι ἦσαν.

* Vid. Iphig. Aul. v. 130.

ARGUMENTUM
ORESTIS.

ORESTES necem patris ulturus, interfecit *Ægiſthum* & *Clytæmneſtram.* Auſus verò matrem occidere, ſtatim pœnam dedit, inſanus factus. *Tyndaro* itaque patre interfectæ accuſante eum, communem ſententiam erant laturi *Argivi* de hoc quod oporteret pati impium. Fortè verò *Menelaus* rediens ex ſuâ peregrinatione, noctu quidem *Helenam* miſit, interdiu autem ipſe venit: & advocatus ab *Oreſte*, ut juvaret ipſum, accuſantem *Tyndarum* magis eſt reveritus. Dictis itaque orationibus in cœtu, motus eſt populus ut occideret *Oreſtem.* Tum *Pylades* amicus ejus, cùm ei adeſſet, conſuluit, ut ipſi primùm de *Menelao* ſumerent pœnam, interficientes *Helenam.* Ipſi igitur propter hæc venientes fruſtrati ſunt ſpe, cùm dii *Helenam* rapuiſſent. *Hermionem* verò oſtendens *Electra*, dedit eis in manum: illi itaque hanc volebant occidere. Apparens autem *Menelaus*, & videns ſe ſimul conjuge & liberis ab iſtis privatum, conatus eſt oppugnare regiam: illi autem prævenientes, minabantur ſe inflammaturos eſſe. *Apollo* verò apparens, *Helenam* dixit ſe tranſtuliſſe ad Deos: *Oreſtem* autem juſſit *Hermionem* ducere, (& *Pyladi Electram* cohabitare:) & purificatum à cæde, Argos tenere.

ALITER.

Oreſtes propter matris cædem ſimul & à Furiis exagitatus, & ab *Argivis* capitis damnatus, erat interfecturus *Helenam* & *Hermionem*; propterea quòd *Menelaus* præſens non juverat eum: prohibitus eſt autem ab *Apolline.* Cæterùm à nullo *alio* Poetâ hæc Fabula tractatur.

ALITER.

Scena fabulæ poſita in *Argo.* Chorus autem conſtat ex mulieribus *Argivis* æqualibus, quæ accedunt, interrogantes de calamitate *Oreſtis.* Fabula habet exitum magis comicum. Apparatus fabulæ eſt talis. Juxta aulam *Agamemnonis* fingitur *Oreſtes* laborans, & jacens præ inſaniâ in lectulo, cui aſſidet ad pedes *Electra.* Dubitatur verò, quare non ad caput aſſideat; ſic enim magis videbatur curare fratrem, illi aſſidens propius. Videtur igitur propter chorum poeta ita finxiſſe. Excitatus enim fuiſſet *Oreſtes*, jam primum, & vix ſopitus, ſi propè ipſum mulieres chori ſtetiſſent. Poſſumus hoc ſuſpicari ex eo quod dicit *Electra* ad chorum, Tace, tace, tenue veſtigium ſoleæ. Probabilem eſſe aiunt prætextum hujus diſpoſitionis. Fabula eſt ex celeberrimis in ſcenâ, ſed peſſima moribus: nam præter *Pyladen*, omnes erant polluti.

Τα

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ.	PERSONÆ hujus Fabulæ ſunt hæ:
ΗΛΕΚΤΡΑ.	Electra.
ΑΓΓΕΛΟΣ.	Nuncius.
ΟΡΕΣΤΗΣ.	Oreſtes.
ΑΠΟΛΛΩΝ.	Apollo.
ΕΛΕΝΗ.	Helena.
ΧΟΡΟΣ.	Chorus.
ΦΡΥΞ.	Phryx.
ΤΥΝΔΑΡΕΩΣ.	Tyndarus.
ΠΥΛΑΔΗΣ.	Pylades.
ΕΡΜΙΟΝΗ.	Hermione.
ΜΕΝΕΛΑΟΣ.	Menelaus.
Προλογίζει δὲ ἡ Ἠλέκτρα, ὡς ἀδελφὴ Ὀρέστου, ἀπολοφυρομένη διὰ τὸν Τάνταλον.	Præfatur autem *Electra*, tanquam ſoror *Oreſtis*, deplorans propter *Tantalum*.

ΕΥΡΙΠΙΔΟΥ ΟΡΕΣΤΗΣ.

ARGUMENTUM Actûs primi.

Electra *Domûs ſuæ perpetuas & magnas Calamitates memorat & quomodò Frater ejus* Oreſtes, *poſtquam Patris cædem Matris authoris nece vindicâſſet, Furiis miſerè vexatus jam tum æger decumberet. Reus præterea brevi ſiſtendus & capite forſan plectendus; ni Patruus eorum* Menelaus, *quem tum ex* Trojâ *reverſum ſuperveniſſe audiêrat, Authoritate ſuâ illorum gratiâ interponat.* Helena *vices eorum dolet & filiam ſuam* Hermionem *ad inferias* Clytæmneſtræ *ferendas mittit.* Electræ *ſollicitudo, nè* Chorus *excitet dormientem Fratrem & novis doloribus cruciandum propinet.* Oreſtes *expergefactus & ſibi redditus officioſè cum Sorore certat, donec in furorem relabitur. Tum remittente paulùm morbo ſorori conſulit, nè tantopere ſe illius causâ vexet; quæ nihilominus ſe uſque ad mortem illi adhæſuram ſpondet.* Chorus *Furiarum regreſſum deprecatur.*

ΗΛΕΚΤΡΑ.

Ἰαμβοί.

Ηλ. " Οὐκ ἔστιν οὐδὲν δεινὸν, ὧδ᾽ εἰπεῖν ἔπος,
" Οὐδὲ πάθος, οὐδὲ ξυμφορὰ θεήλατος,
" Ἧς οὐκ ἂν ἄραιτ᾽ ἄχθος ἀνθρώπου φύσις.

El." Nullum eſt omninò malum, ut ità breviter dicam,
" Neque calamitas, neque afflictio divinitùs veniens,
" Cujus pondus non ſuſtineat genus humanum.

Οὐκ ἔστιν οὐδὲν δεινὸν] Ἡ εἴσθεσις τοῦ δράματος, ἐκ μονοστροφικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἐλλ. ὧν τελευταῖος, τινὰ ἐξενήνοχε συμφορὰ φύσεως. ἐπὶ τοῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Ἐπειδὴ ἡ τοῦ γένους αὐτῆς δυστυχία, ὑπερῆρεν ἅπασας, διὰ τοῦτο αὐτὴ ἡ Ἠλέκτρα γνωματευομένη, ταῦτά φησι καθ᾽ αὑτήν. δείξει δὲ, ὡς ἐξ ἀρχῆς τὸ γένος αὐτῆς συμφοραῖς ὑπέκειτο. ἵνα δὲ μὴ καθ᾽ ἕκαστον ἀπαριθμῆται τὰ συμβαίνοντα τοῖς ἀνθρώποις κακὰ, συλλαμβάνει διὰ τοῦ γενικοῦ ὀνόματος τοῦ δεινοῦ, διαιροῦσα εἰς πάθη καὶ συμφοράς. καὶ πάθη μέν ἐστι, τὰ συμπίπτοντα τοῖς σώμασι νοσήματα. συμφοραὶ δὲ, αἱ ἐπερχόμεναι τοῖς ἀνθρώποις θλίψεις, καὶ τὸ, ὧδ᾽ εἰπεῖν ἔπος, διὰ τοῦτο ἔστη· διότι καθολικῶς ἐξήνεγκεν, ἤγουν εἴρηκεν. ἐπεὶ δὲ πάθη καὶ συμφορὰν εἴρηκε, προτιμᾷ τὸ θηλυκὸν τοῦ οὐδετέρου, ἀποδιδοὺς τὸ ἧς πρὸς τὸ συμφορά. γίνωσκε δὲ, ὅτι ἐὰν εὑρεθῶσιν ὀνόματα ἀρσενικὸν καὶ θηλυκὸν, μάλιστα μὲν τὸ ἀρσενικὸν προτιμᾶται τοῦ θηλυκοῦ. συμβαίνει δὲ ἔστιν ὅτε καὶ τὸ ἀνάπαλιν. ὁ αὐτὸς δὲ λόγος ἐστὶ καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων, κειμένου ἀρσενικοῦ, καὶ θηλυκοῦ, καὶ οὐδετέρου ὀνόματος. ἀποδίδοται ἡ σύνταξις πρὸς τὸ οὐδέτερον, ὡς εἰς πρᾶγμα. Οὐκ ἔστιν οὐδὲν δεινὸν] τὸ δεινὸν ὄνομά ἐστι γενικὸν, καὶ διαιρεῖται εἰς πάθος, καὶ συμφοράν. καὶ πάθος μὲν, τὰ νοσήματα. συμφορὰ δὲ, αἱ δυστυχίαι, καὶ περιπέτεια. Ἄλλως. Οὐκ ἔστιν οὐδὲν δεινὸν, ὅπερ οὐχ ὑφίσταται τῶν ἀνθρώπων ἡ φύσις. τοῦτο δέ φησι παρόσον ἔκτοπον καὶ ἀλλόκοτον ὑπέστη τιμωρίας ὁ Τάνταλος, ἢ διὰ τὰς τοῦ γένους συμφορὰς, ἢ δι᾽ ἑαυτὴν, ὡς γε τλημόνως συναποφέρει τοῦ ἀδελφοῦ τὴν τύχην, ἢ διὰ τὸν Ὀρέστην. Ἄλλως. Ὧδ᾽ εἰπεῖν ἔπος, ὡς ἐν συντόμῳ εἰπεῖν, οὐκ ἔστι δεινὸν, οὔτε πάθος, οὔτε συμφορὰ, ἧς οὐκ ἂν τὸ βάρος ἡ τῶν βροτῶν φύσις ἀπενέγκαιτο, εἰς θηλυκὸν δὲ ἐξ οὐδετέρου τὸν λόγον ἀπέδωκεν. ἐπειδὴ προτιμᾶται τοῦ οὐδετέρου τὸ θηλυκόν. Οὐκ ἔστιν οὐδὲν δεινὸν] ὡς ἐπέρχεται δηλονότι εἰπεῖν ἔπος οὕτως, ἤτοι ὡς ἐν συντόμῳ εἰπεῖν, οὐκ ἔστιν οὐδὲν χαλεπὸν, οὐδὲ πάθος καὶ κάκωσις, οὐδὲ συμφορὰ ἀπὸ θεῶν πεμφθεῖσα, ἣν οὐκ ἂν βαστάσει βάρος ἡ φύσις ἀνθρώπου. Οὐδὲ πάθος] πάθος ἐπὶ σώματος, τὸ τραῦμα, καὶ ἡ πληγὴ, ἣν ξίφει τις ἐπλήγη. ἢ τοιούτῳ τινί. ὁ ἀπὸ μὲν τοῦ ποιοῦντος λέγεται πρᾶγμα, καὶ πρᾶξις· ἀπὸ δὲ τοῦ πάσχοντος, πάθος. ὥσπερ τὸ λῆμμα ἀπὸ μὲν τοῦ λαμβάνοντος λέγεται λῆμμα. ἀπὸ δὲ τοῦ διδόντος δῶρον. ἀπὸ τούτου πάθος καὶ ἐπὶ ψυχῆς ἡ ἧττα, ἣν ἡττηθῇ τις ὑπὸ ἀδικίας, ἢ ἀκολασίας, ἢ τοιούτου τινὸς, λέγεται πάθος, καὶ αὐτὴ ἡ ἀκολασία, καὶ ἡ ἀδικία, καὶ ἡ δειλία, καὶ ὅσα τοιαῦτα προσβάλλει ἡμῖν. ὥσπερ λέγεται βέλος, καὶ τὸ πεμπόμενον, καὶ τὸ τραῦμα τὸ ἀπὸ τῆς βολῆς τοῦ βέλους. τούτων δὲ τῶν παθῶν τῶν προσβαλλόντων, ἤγουν τῆς ἀδικίας, τῆς ἀκολασίας, καὶ τῶν τοιούτων, ἐπικρατεῖν ὁ λογισμὸς δύναται, οὐ καταλύων αὐτὰ, ἀλλ᾽ οὐχ ὑπείκων αὐτοῖς. τὰ δὲ ἕτερα, ἤγουν αἱ πληγαὶ καὶ αἱ ἧτται αἱ ὑπὸ τούτων, ἀναιροῦνται ἰατρευόμενα. ὡς μηδὲ οὐλὴν, καὶ ἴχνος τι αὐτῶν καταλείπεσθαι. ἐνταῦθα δὲ πάθη λέγει σώματος, τὴν πληγὴν καὶ κάκωσιν.

ANNOTATIONES.

V. 1. [Ὧδ᾽ εἰπεῖν ἔπος] De hâc phraſi & loco Vid. *Pauli Leopardi* Emendat. l. 8. c. 21. *Cicero* autem l. 4 *Tuſculan.* malè hunc Verſum exponit, ut & *Camerus*, [illegible] *Joſua Barnes.*

Ὁ

Ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος,
Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
Ἀέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην,
Ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὤν,
Κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον,
Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
Οὗτος φυτεύει Πέλοπα, τοῦδ' Ἀτρεὺς ἔφυ,
Ὧι στέμματα ξήνασ' ἐπέκλωσεν θεὰ
*Ἔριν, Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
Θέσθαι. τί τἄρρητ' ἀναμετρήσασθαί με δεῖ;
Ἔδαισε δ' οὖν νιν τέκν' ἀποκτείνας Ἀτρεύς.
Ἀτρέως δὲ (τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας)
Ὁ κλεινός, εἰ δὴ κλεινός, Ἀγαμέμνων ἔφυ,
Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.

* al. Ἔρις.

Nam ille beatus, (non exprobro ei fortunam.
Ex Jove natus, ut dicunt, Tantalus
Timens ſaxum, quod ſupra caput ejus imminet,
Pendet in aere, & luit hanc pœnam,
Sicut dicunt, quòd cùm eſſet homo cum diis
Habens æqualem dignitatem communis menſæ,
Habuit effrenem linguam, turpiſſimum morbum.
Iſte genuit Pelopem, ex hoc Atreus natus eſt:
Cui lanam carminans, deſtinavit Dea i. e. *Clotho*
Diſcordiam, ut bellum adverſus Thyeſten fratrem
Excitaret. quid opus eſt enumerare infanda?
Ejus igitur liberos interficiens Atreus, excepit eum convivio.
Atrei autem, (nam intermedias fortunas taceo)
Ille inclytus, ſiquidem inclytus, Agamemnon erat *filius*,
Et Menelaus ex Aerope Cretenſi matre.

Ὁ γὰρ μακάριος] Ὁ γὰρ μακάριος Τάνταλος, καὶ οὐκ ὀνειδίζω τὰς τύχας, γεννηθεὶς ὡς λέγουσιν, ἀπὸ τοῦ Διός, φοβούμενος τὴν πέτραν τὴν ὑπερκειμένην τῆς κεφαλῆς, κρέμαται ἐν τῷ ἀέρι, καὶ δίδωσι ταύτην τὴν τιμωρίαν, ὡς μὲν λέγουσιν, ὅτι ἄνθρωπος ὤν, ἔχων ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς, ἔσχε γλῶσσαν ἀκράτητον, νόσον αἰσχίστην, καὶ χαλεπωτάτην. οὗτος ὁ Τάνταλος ἐγέννησε Πέλοπα, καὶ ἀπὸ τούτου ἔφυ ὁ Ἀτρεύς, ᾧ Ἀτρεῖ ἡ μοῖρα ἡ Κλωθὼ ξήνασα, καὶ κατασκευάσασα, ἤτοι παρασχοῦσα τὰ στέμματα, καὶ τὴν βασιλείαν, ἐπέκλωσε, καὶ εἱμαρμένον ἐποίησε, θέσθαι καὶ ποιῆσαι Ἔριν, πόλεμόν τε τῷ Θυέστῃ ὄντι συγγόνῳ καὶ ἀδελφῷ. Ὁ γὰρ μακάριος· μακάριον αὐτὸν καλῶ, καὶ οὐ δυστυχῆ, ἵνα μὴ ὀνειδίσω αὐτόν. Ἄλλως. Ὁ ποτὲ μακάριος. οὐ γὰρ ὀνειδίζουσα φησίν, ἀλλὰ βουλομένη παραστῆσαι, ὅτι πάντα τὰ δεινὰ ὑφίστανται οἱ ἄνθρωποι. ὡς Ὅμηρος, τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισι. καλῶς δὲ τὸ ὡς λέγουσι προσέθηκεν, οὐ γὰρ πείθομαι τὸν Δία τοὺς ἰδίους παῖδας οὕτως αἰκίζεσθαι. Ἄλλως. τὸ ὡς λέγουσιν, οὐκ ἐνδοιάζουσα φησίν, εἰ ἄρα ἦν τοῦ Διὸς ὁ Τάνταλος, ἀλλ' ὀνειδίζουσα τῷ δαίμονι, ὅτι τοὺς ἰδίους ἐκγόνους τοσοῦτον ἐν ταῖς δυστυχίαις παρορᾷ. Ἄλλως. Ὁ γὰρ μακάριος] ἐπαινεῖταί τις ἐφ' οἷς ποιεῖ καλοῖς, καὶ ψέγεται ἐφ' οἷς ποιεῖ κακοῖς. μακαρίζεται δὲ ἐφ' οἷς ἔχει καλοῖς, ἢ ἀπολαύει. ἀφ' οὗ μακάριος, ὁ μακαρισμοῦ ἄξιος, ἐφ' οἷς ἔχει καλοῖς, ἢ ἀπολαύει. καὶ μακάριον τέλος, οὗ ὁ τυχὼν μακαρίζεται. καὶ μακάριον ἔργον, ἐφ' ᾧ ὁ ἐργασάμενος μακαρίζεται. ἐνταῦθα δὲ τὸ μακάριος, κατ' εὐφημισμὸν λέγεται. οὐ γὰρ καλῶν ἀπέλαυσεν ὁ Τάνταλος, ἵνα διὰ ταῦτα μακαρισθῇ, ἀλλὰ κακώσεων μᾶλλον καὶ κολάσεων. τινὲς μέν φασιν, ὧν ἐστι καὶ Εὐριπίδης, ἐν ἀέρι τὸν Τάνταλον κρέμασθαι, κἀνταῦθα τὴν δίκην ὑπέχειν ὧν ἐξήμαρτεν, ἐξειπὼν τοῖς βροτοῖς τὰ τῶν θεῶν ἀπόρρητα (τοῦτο γάρ ἐστι τό, ἀκόλαστον ἔσχε γλῶσσαν) καὶ τῆς ἀμβροσίας μεταδούς. ἕτεροι δὲ λέγουσιν ἐν ᾅδῃ τοῦτον κολάζεσθαι, ἱστάμενον μέσον ὕδατος ἄχρι πώγωνος, καὶ διψῶντα. ἡνίκα δὲ ἐπιχειρήσει πιεῖν, ἀθρόον τό, τε ὕδωρ ἀφίσταται, καὶ ὁ ἐν τῇ κεφαλῇ πέτρος κάτεισιν, ὡς δῆθεν πατάξων. οὐ μόνον δὲ οὗτος ἐν ᾅδῃ κολάζεται, ἀλλὰ καὶ Σίσυφος, καὶ Τιτυός, καὶ Ἰξίων, καὶ αἱ Δαναοῦ παῖδες. [5] Διὸς πεφυκὼς] Τμώλου καὶ Πλουτοῦς υἱὸς ὁ Τάνταλος. Ταντάλου δὲ καὶ Εὐρυανάσσης, Πέλοψ, Βροτέας, Νιόβη. Πέλοπος δὲ καὶ Ἱπποδαμείας, Ἀτρεύς, Θυέστης, Δίας, Κυνόσουρος, Κορίνθιος, Ἵππαλμος, Ἵππασος, Κλέων, Ἀργεῖος, Ἀλκάθους, Αἴλιος, Πιτθεύς, Τροιζήν, Νικίππη, Λυσιδίκη. καὶ [illegible]τις Ἀξιόχης νόθος Χρύσιππος. τούτῳ φθονήσαντες οἱ Πελοπίδαι, ὡς προκρινομένῳ παρὰ τῷ πατρί, ἀναπείθουσιν ἅμα τῇ μητρὶ τοὺς πρεσβυτάτους Ἀτρέα καὶ Θυέστην, ἀνελεῖν τὸν παῖδα. οἱ δὲ ἀποκτείναντες, εἰς φρέαρ ἐνέβαλον. ὁ δὲ Πέλοψ ὑπόπτης ἔχων τοὺς παῖδας, ἐκβάλλει τῆς πατρίδος ὑπεραγόμενος. τούτων ἄλλοι μὲν ἄλλῃ ᾤκησαν, Ἀτρεὺς δὲ καὶ Θυέστης ἐν τῇ τριφυλίᾳ κατῴκησαν ἐν Μακίστῳ. καὶ Ἀτρεὺς μὲν ἀπολέσας τὸν Δίαυλον, ἀγαγόμενος ἔσχε Πλεισθένη, τὸ σῶμα ἀσθενῆ. ὃς Ἐριφύλην γήμας, ἔσχεν Ἀγαμέμνονα καὶ Μενέλαον, καὶ Ἀναξιβίαν. νέος δὲ τελευτήσας ὁ Πλεισθένης, καταλείπει τῷ πατρὶ τοὺς παῖδας. Θυέστης δὲ Λαοδάμειαν, Αγαμίαν, Καλαιον. τῶν δὲ Ἡρακλειδῶν κατασχόντων Πελοπόννησον, ἔχρησεν ὁ θεὸς αὐτοὺς μὲν ἀποστῆναι Λακεδαίμονος, τοὺς δὲ Πελοπίδας βασιλεύσαι. [7] Ἀέρι ποτᾶται] ἐπεὶ διὰ γλωσσαλγίας ἥμαρτεν ὁ Τάνταλος, σιωπῇ αὐτὸν ἐκόλασεν ὁ θεός. οὔτε γὰρ ἐν οὐρανῷ αὐτὸν τιμωρεῖται, ἵνα μὴ συνδιαλέγηται τοῖς θεοῖς, ἢ λαλούντων ἀκούῃ· οὔτε ἐπὶ γῆς, ὅπως μὴ ἐξείπῃ τοῖς ἀνθρώποις ἅ τινα οἶδεν ἐν τῷ οὐρανῷ, οὔτε καθ' ᾅδου, ἵνα μὴ καὶ ἄλλους ὁρῶν κολαζομένους ἀμφοτέρους παραμυθοῖτο· ἀλλ' ἐν ἀέρι μετέωρον, ὅπως μηδενὶ φθεγγόμενος, μᾶλλον ἀνιῷτο. Ἀκόλαστον] ἐπεὶ ἀκολάστῳ τινὶ λόγῳ φασὶν αὐτὸν κολάζεσθαι. εἰ γὰρ μετέδωκε τῆς ἀμβροσίας, κατὰ τὸν Πίνδαρον, * τοῖς βροτοῖς, μᾶλλον ἂν φιλανθρωπίας παρὰ τῶν θεῶν ἐθαυμάζετο. Αἰσχίστην δὲ νόσον τὴν γλωσσαλγίαν φησίν, ὅτι πορνεία μὲν καὶ γαστριμαργία, καὶ τὰ λοιπὰ πάθη, ἔχουσί τι καὶ τερπνόν. ἡ δὲ γλωσσαλγία, καὶ τούτου ἐστέρηται. καὶ ὅτι τὰ μὲν ἄλλα πάθη τὸν χρώμενον βλάπτει, αὕτη δὲ κατὰ τοῦ θείου ὁπλίζεται. Ὡς μὲν λέγουσιν] ὅτι ἄνθρωπος ὤν, ἔχων ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς, ἔσχε γλῶσσαν ἀκράτητον. λέγω νόσον αἰσχίστην, καὶ χαλεπωτάτην. Κοινῆς τραπέζης ἀξιούμενος ὤφειλεν εἰπεῖν. ἐπεὶ δὲ ἡ κοινὴ τράπεζα τὴν αὐτὴν τιμὴν τοῖς καταλαμβάνουσιν αὐτὴν δίδωσι, διὰ τοῦτο εἶπεν ἀξίωμ' ἔχων ἴσον. [11] Οὗτος φυτεύει] ἐκ Εὐρυανάσσης τῆς Ξάνθου, ἢ Κλυτίας τῆς Ἀμφιδάμαντος, ὡς ἱστορεῖ Φερεκύδης, ὁ Τάνταλος ἐγέννησε τὸν Πέλοπα. Ὧι στέμματα] τῆς ἀρχῆς τὸν στέφανον. Αἰσχύλος γὰρ στέμματα τὰ ἔρια φησίν, ἀπὸ τοῦ στέφειν τὰς ἠλακάτας. ἐξ ὧν γίνονται οἱ στέφανοι τῶν βασιλέων. ξήνασα δέ, ἀντὶ τοῦ προξενήσασα, καὶ παρασχοῦσα, ἢ ἀντὶ τοῦ ἐργασαμένη, κατασκευάσασα. ὁ δὲ νοῦς, ἡ τῷ Ἀτρεῖ προξενησαμένη τὴν βασιλείαν θεά, πόλεμον καὶ ἔριν πρὸς τὸν ἀδελφὸν ἐπέκλωσε. γράφεται δὲ καὶ Ἔρις, ἵνα ᾖ, ἡ θεὰ Ἔρις τὸν πόλεμον ἐπέκλωσε Θυέστῃ καὶ Ἀτρεῖ. οὐ παράλογον δὲ καὶ ἄλλον θεὸν ἐπικλώθειν, ὡς καὶ τὰς μοίρας. Ὅμηρος γάρ φησι· τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι. τρεῖς δέ εἰσι μοῖραι, Κλωθώ, Λάχεσις καὶ Ἄτροπος. τούτων ἡ μὲν Κλωθώ, τὰ ἐφ' ἑκάστῳ μέλλοντα συμβήσεσθαι κλώθει καὶ κατασκευάζει. ἡ δὲ Λάχεσις, λαγχάνει καὶ κληροῖ καὶ ἐπικυροῖ ταῦτα, καὶ ἐπισφραγίζει. ἡ δὲ Ἄτροπος, ἄτρεπτα καὶ ἀμετακίνητα, ὡς οὐκ ἂν ἄλλως γενησόμενα, τίθησιν. [14] Τί τ' ἄρρητα] ἀντὶ τοῦ εἰς μέτρον θεῖναι ἐμὲ παρθένον οὖσαν τὰ ἄρρητα, ἤτοι τὰ μὴ πρέποντα λέγεσθαι ὡς αἰσχρά. Ἀναμετρήσασθαι] ἀναμέτρει τὸ χωρίον παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ διαμέτρει· ἀναμετρήσασθαι δὲ ἐνταῦθα ἀντὶ τοῦ ἀναλαβεῖν καὶ διηγήσασθαι. ἀπὸ μεταφορᾶς τῶν τὰ μετρηθέντα ἐξ ἀρχῆς ἀναλαμβανόντων, καὶ μετρούντων. καθὸ λέγεται καὶ τὸ ἀνακοινωσώμεθα τὸν λόγον παρὰ Πλάτωνι, ἀντὶ τοῦ ἐξ ἀρχῆς ἀναλαβόντες κοινωσώμεθα. τὸ ἑξῆς, αἱ παρθένοι μὲν τρεῖς ἐσμὲν ἐκ μιᾶς μητρὸς ἀνοσιωτάτης, ἡ Χρυσόθεμις, καὶ Ἰφιγένεια, καὶ ἐγὼ ἡ Ἠλέκτρα. καὶ ἄρσην ὁ Ὀρέστης. Ἀναμετρήσασθαι] διὰ τοῦ ἀναμετρήσασθαι τὸ πλῆθος τῶν κακῶν ἐσήμανεν. ἢ οὖν ὡς πολλά, ἢ ὡς ἄτοπα παραπέμπεται. ἢ ὡς παρθένος παραιτεῖται λέγειν, διὰ τὴν μοιχείαν Αἰγίσθου, ἢ τὸν ἄνομον Αἰγίσθου γάμον. ἦν γὰρ ὁ παῖς Πελοπίας τῆς θυγατρός, ἢ Στερόπιδος, δι' ἧς ἐπίανεν αὐτὴν Θυέστης. [15] Ἔδαισε δ' οὖν νιν] εὐώχησεν αὐτὸν τὸν Θυέστην ὁ Ἀτρεύς, τὰ τέκνα αὐτοῦ δηλονότι ἀποκτείνας, ἀπὸ τοῦ Ἀτρέως δέ, τὰς γὰρ ἐν μέσῳ δυστυχίας σιγῶ, ἔφυ ὁ κλεινὸς Ἀγαμέμνων. κλεινὸς μέν, ὡς ὑπὲρ τῆς Ἑλλάδος εἰς Τροίαν στρατεύσας. εἰ δὴ κλεινός, ὡς ἀθλίως ἀποθανών, καὶ τὴν τῆς γυναικὸς ὑποστὰς μοιχείαν. Ὁ Μενέλαός τε ἀπὸ μητρὸς Κρητικῆς τῆς Ἀερόπης. εἰς γυναῖκα δὲ ἐλα-

* Vid. Pindar. Olymp. Od. 1. Stroph. γ.

ANNOTATIONES.

V. 18. & 20. Μενέλεως] utrobique periculum Carmini; niſi ſic metiamur, ut Μενέλεως Anapæſtus ſit in priori & τε licet ante Κρήσσης Brevis habeatur; in poſteriori autem Μενέλεως itidem per συνίζησιν ultimorum Anapæſticè legatur, ut & Ἑλένης, quo admiſſo ſtabit uterque verſus. *Duportianus* liber habet in margine Μενέλαος, quod in primo loco apertè contradicit Verſui, quare nec ſecundo admitto. Vid. Hecub. V. 1256. ubi quid nos de hoc Libro.

Γαμεῖ

Γαμεῖ δ' ὁ μὲν δὴ τὴν θεοῖς στυγουμένην,
Μενέλεως Ἑλένην. ὁ δὲ Κλυταιμνήστρας λέχος
Ἐπίσημον εἰς Ἕλληνας, Ἀγαμέμνων ἄναξ.
ᾯ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,
Χρυσόθεμις, Ἰφιγένειά τ', Ἠλέκτρα τ' ἐγώ,
Ἄρσην τ' Ὀρέστης, μητρὸς ἀνοσιωτάτης,
Ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι
Ἔκτεινεν. ὧν δ' ἕκατι, παρθένον λέγειν
Οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;
Πείθει δ' Ὀρέστην, μητέρ', ἥ σφ' ἐγείνατο,
Κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρον.
Ὅμως δ' ἀπέκτειν', οὐκ ἀπειθήσας θεῷ.
Κἀγὼ μετέσχον, οἷα δὴ γυνή, φόνου,
Πυλάδης θ', ὃς ἡμῖν συγκατείργασται τάδε.
Ἐντεῦθεν, ἀγρίᾳ συντακεὶς νόσῳ, νοσεῖ
Τλήμων Ὀρέστης, ὁ δὲ πεσὼν ἐν δεμνίοις
Κεῖται. τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ
Μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς
Εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
Ἕκτον δὲ δὴ τόδ' ἦμαρ, ἐξότου σφαγαῖς
Θανοῦσα μήτηρ, πυρὶ καθήγνισται δέμας·
Ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο,
Οὐ λούτρ' ἔδωκε χρωτί. χλανιδίων δ' ἔσω
Κρυφθείς, ὅταν μὲν σῶμα κουφισθῇ νόσου,
Ἔμφρων δακρύει, ποτὲ δὲ δεμνίων ἄπο
Πηδᾷ δρομαῖος, πῶλος ὡς ἀπὸ ζυγοῦ.
Ἔδοξε δ' Ἄργει τῷδε, μήθ' ἡμᾶς στέγαις,
Μὴ πυρὶ δέχεσθαι, μήτε προσφωνεῖν τινα
Μητροκτονοῦντας. κυρία δ' ἥδ' ἡμέρα,
Ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,
Εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι,
Ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν.
Ἐλπίδα δὲ δή τιν' ἔχομεν, ὥστε μὴ θανεῖν.
Ἥκει γὰρ εἰς γῆν Μενέλεως Τροίας ἄπο,

Ducit autem inviſam diis
Helenam Menelaus. Iſte autem Clytemneſtræ conjugium, (init)
Clarum apud Græcos Agamemnon rex:
Cui ex unâ eâ tres puellæ natæ ſumus,
Chryſothemis, Iphigenia, & ego Electra:
Et Maſculus Oreſtes ex matre ſceleratiſſimâ,
Quæ maritum circumdans inextricabili veſtimento
Interfecit: propter quæ, & virginem dicere
Non eſt honeſtū, omitto hoc obſcurum communiter conſiderandum.
Sed Phœbi injuſtitiam quid opus eſt accuſare?
Perſuadet Oreſti, matrem, quæ eum genuit,
Occidere, non apud omnes adferens laudem.
Tamen is eam occidit, non inobediens Deo:
Et ego eram particeps cœdis, ut poteſt mulier,
Et Pylades, qui nos in his adjuvit.
Inde tabeſcens ſævo morbo languet
Afflictus Oreſtes, cadens in lecto
Jacet, ſanguis enim maternus exagitat eum
Furoribus: (Vereor enim nominare deas
Eumenidas, quæ eum certatim perterrent)
Sextus hic dies eſt, ex quo cæde
Moriens mater, purificata eſt corpus igne:
Intra quem neque cibum per collum accepit,
Neque lavacrum dedit corpori, ſed intra veſtem
Occultans, quando corpus levatum eſt morbo
Sanâ mente plorat: aliquando ex lecto
Exilit velox, ſicut equus à jugo.
Decretum autem factum eſt hîc Argis, neque nos tecto,
Neque igni recipere: & ne quis alloquatur
Matricidas. Hæc dies autem eſt dicta,
In quâ ferent ſententiam Argivi:
An oporteat nos mori lapidante ſaxo,
An enſem acuens quis collo incutiat,
Habemus autem quandam ſpem, quòd non ſimus morituri.
Venit enim in patriam Menelaus ex Trojâ,

ἔγημεν ὁ μὲν Μενέλαος τὴν Ἑλένην, τὴν μισουμένην ὑπὸ τῶν θεῶν, ὁ δὲ Ἀγαμέμνων ὁ ἄναξ, τὸ λέχος τῆς Κλυταιμνήστρας, περιφραστικῶς, ἀντὶ τοῦ τὴν Κλυταιμνήστραν. τὸ ἐπίσημον καὶ διάδηλον, διὰ τὸν φόνον δηλονότι, εἰς τοὺς Ἕλληνας. ᾧ Ἀγαμέμνονι παρθένοι μὲν τρεῖς ἐγεννήθημεν ἐκ μιᾶς ἀνοσιωτάτης μητρός, Χρυσόθεμις, Ἰφιγένεια, καὶ ἐγὼ ἡ Ἠλέκτρα, ἄρσην τε Ὀρέστης. ἥτις Κλυταιμνήστρα περιβαλοῦσα καὶ περικρύψασα τὸν ἄνδρα ἐν ἱματίῳ κυκλοτερεῖ μὴ ἔχοντι διέξοδον, ἔκτεινεν. ὧν δὲ χάριν ἔκτεινε δηλονότι, οὐ καλόν ἐστι παρθένῳ λέγειν, τουτέστιν ἐμοὶ τῇ παρθένῳ. ἀφίημι τοῦτο ἀσαφὲς καὶ ἄρρητον, σκοπεῖσθαι ἐν τῷ δήμῳ. [28] Φοίβου δ' ἀδικίαν] ἐν ἤθει ταῦτα. φησὶ μὲν γάρ, οὐ κατηγορήσειν τοῦ θεοῦ, ὅμως γε μὴν ὕστερον ὑπεραπελογήσατο κατὰ τοῦ Ἀπόλλωνος. καὶ δι' ὧν ἐδόκει μὴ κατ' αὐτοῦ λέγειν, διὰ τούτων ἐλέγχεται αὐτοῦ κατηγοροῦσα. τὸ δὲ ἀκόλουθον οὕτω. ὁ δὲ Ἀπόλλων, οὐκ ἄδικος ὤν, ὅμως πείθει Ὀρέστην ἀποκτεῖναι τὴν μητέρα. πρὸς οὐχ ἅπαντας δὲ τὴν εὔκλειαν φέρειν εἴρηκεν, ἐπειδὴ οἱ μὲν ἐπῄνουν αὐτόν, οἱ δὲ οὔ. Οἷα δὴ γυνή] ὅσον [illegible] ἡ γυναικεία φύσις μεταλαβεῖν φόνου, οὐ γὰρ κεκοινώνηκε τοῦ φόνου ἡ Ἠλέκτρα, ὡς καὶ Ὀρέστης φησί, τῷ μὲν γὰρ ἐπινεύσας, [illegible] εἴργασται δ' ἐμοί. ζητεῖται δέ, τί δή ποτε ἀνωτέρω παρθένον ἑαυτὴν εἰρηκυῖα, ὅτε φησίν, ὧν δ' ἕκατι παρθένῳ λέγειν οὐ καλόν, ἐνταῦθα γυναῖκα ἑαυτὴν λέγει. λεκτέον δέ, ὡς οἷα δὴ γυνὴ πρὸς τὸ θηλυκὸν γένος [illegible], ὡς οὐδὲν μὲν [illegible]. ἀλλὰ τοσοῦτον, ὅσον ἂν γυνή τις δράσειε. [32] Οἷα δὴ γυνή] ὡς γυνὴ συμβαλοῦσα, παραθαρρύνασα, ὑπομνήσασα τοῦ πάθους, οὐκ αὐτόχειρ γέγονε τῆς μητρός, ἀλλὰ λόγοις παρώρμησε κατ' αὐτῆς τὸν ἀδελφόν. τάχα δὲ διὰ τοῦ οἷα δὴ γυνή, [illegible] τὴν μητέρα. ἐκείνη γὰρ αὐτόχειρ γέγονε τοῦ Ἀγαμέμνονος, οὐ κατὰ γυναῖκα. Πυλάδης θ' ὃς] Φώκου παῖδες, Κρίσος καὶ Πανοπεύς. τούτων ὁ Κρίσος ἔκτισε τὴν νῦν Κίρραν, τότε Κρίσαν καλουμένην. καὶ παῖς αὐτοῦ ἐξ Ἀντιφατείας τῆς Ναυβόλου, Στρόφιος ἐγένετο. οὗ Ἀστυδάμεια καὶ Πυλάδης ἐκ * Κυδραγόρας τῆς ἀδελφῆς Ἀγαμέμνονος. Ὀνομάζειν] ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς τὰς Ἐριννύας. οὐκ ὀνομάζουσι δέ, ἀλλ' εὐφημιζόμενοι, θεὰς ἢ Εὐμενίδας καλοῦσιν. ὀνόματα δὲ τῶν Ἐριννύων, Τισιφόνη, Μέγαιρα, καὶ Ἀληκτώ. Ἄλλως. ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς Εὐμενίδας. τουτέστιν εὐλαβοῦμαι λέγειν, ὅτι αἱ Εὐμενίδες, ἤγουν αἱ Ἐριννύες ποιοῦσιν αὐτὸν μαίνεσθαι. αἳ τοῦτον ἐξαμιλλῶνται καὶ ἐλαύνουσιν ἐν φόβῳ. ἔστι δὲ τὸ σχῆμα κατὰ [illegible]λειψιν. ὃ γὰρ ηὐλαβεῖτο λέγειν, εἴρηκεν. Ἄλλως. αἰδοῦμαι τὰς Εὐμενίδας λέγειν θεάς, ἀντὶ τοῦ εὐλαβοῦμαι λέγειν αὐτὰς εἶναι τοῦ θείου γένους, ὡς κακῶν παραιτίας. Εἶπε δὲ τὸ ἐξαμιλλῶνται, ἐπειδὴ οἱ ἀγωνιζόμενοι πρὸς ἀλλήλους ἐν γυμνασίοις ἄνω καὶ κάτω στρέφονται τοῖς ἀγωνίσμασιν. Τροχηλατεῖ] κατεπείγει. μετὰ τοῦ τροχοῦ καὶ ἁρμάτων ἐλαύνει. [39] Ἐξότου σφαγαῖς] καὶ Ὅμηρος, ἤτοι ὁ τὸν κτείνας, δαίνυ τάφον Ἀργείοισιν. αὐτὴ μὲν δὲ οὐκ ἦλθε. Καθήγνισται] καθωσίωται, κέκαυται. ἁγνείαν γὰρ ἐκάλουν τὴν διὰ πυρὸς φθορὰν τοῦ σώματος. Καθήγνισται] κεκάθαρται· πάντα γὰρ καθαίρει τὸ πῦρ. καὶ ἁγνὰ δοκεῖ εἶναι τὰ καυθέντα. τὰ δὲ ἄταφα, [illegible]. Ὧν οὔτε] ἀφ' ὧν, ἢ ἐξ ὧν ἓξ ἡμερῶν οὐκ ἔφαγεν. ἐμφαίνει δέ, ὡς οὐ προσηνέχθη μὲν αὐτοῦ τῷ σώματι ἡ τροφή, ἀλλὰ λαβεῖν οὐκ ἐδυνήθη. Ἔδοξε δ' Ἄργει. φανερὸν ὅτι ἐν Ἄργει ὑπόκειται ἡ σκηνὴ τοῦ δράματος. Ὅμηρος δὲ ἐν Μυκήναις φησὶ τὰ βασίλεια Ἀγαμέμνονος. Στησίχορος δὲ καὶ Σιμωνίδης, ἐν Λακεδαιμονίᾳ. τὸ δὲ ἑξῆς, ἔδοξε δ' Ἄργει τῷδε μήθ' ἡμᾶς στέγαις δέχεσθαι. πρὸς δὲ τὸ πῦρ οὐδὲν ἀνταπέδωκεν. ἔξωθεν οὖν ἀκουστέον τὸ ἐναύειν. καὶ ἔστι σχῆμα Ἀττικόν, μὴ πυρὶ ἐναύειν ἀντὶ τοῦ μήτε πυρὸς ἐναύειν. οὐ γὰρ τὸ δέχεσθαι πρὸς τὸ πῦρ [illegible]. [51] Ἢ φάσγανον] κελεύεται φησὶν ἡμᾶς τελευτῆσαι. πότερον δὲ ξίφει, ἢ λίθοις βληθέντας, σήμερον κρινοῦσι.

* al. Ἀναξ. Cod.

ANNOTATIONES.

V. 29. Μητέρ', ἥ σφ' ἐγείνατο] Vid. Not. ad *Iphigen. in Aul.* V. 619. V. 51. Ἢ φάσγανον θήξαντ'] pro θήξαντα [illegible] Sic enim *Scholiastes.* Ἢ ξίφει ἀποκτεῖναί τινα βαλεῖν, &c.

Λιμένα

Λιμένα δὲ Ναυπλίειον ἐκπληρῶν πλάτῃ,
Ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
Ἄλαισι πλαγχθείς. τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
Μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
Παῖδες τεθνᾶσιν, ἐς πέτρων ἔλθῃ βολὰς,
Προὔπεμψεν εἰς δῶμ' ἡμέτερον. ἔστιν δ' ἔσω
Κλαίουσ' ἀδελφὴν* συμφοράν τε δωμάτων. *al. συμφοράς.
Ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν.
Ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
Παρθένον, ἐμῇ τε μητρὶ παρέδωκε τρέφειν
Μενέλαος ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
Ταύτῃ γέγηθε, κἀπιλήθεται κακῶν.
Βλέπω δὲ πᾶσαν εἴσοδον, πότ' ὄψομαι
Μενέλαον ἥκοντ'. ὡς τά γ' ἄλλ' ἐπ' ἀσθενοῦς
Ῥώμης ὀχούμεθ', ἤν τι μὴ κείνου πάρα
Σωθῶμεν, " Ἄπορον χρῆμα, δυστυχῶν δόμος.
Ελε. Ὦ παῖ Κλυταιμνήστρας τε, κἀγαμέμνονος,
Παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου,
Πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σὸς,
Τλήμων Ὀρέστης, μητρὸς ὅδε φονεὺς ἔφυ;
Προσφθέγμασιν γὰρ οὐ μιαίνομαι σέθεν,
Εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
Καί τοι στένω γε τὸν Κλυταιμνήστρας μόρον,
Ἐμῆς ἀδελφῆς· ἣν ἐπεὶ πρὸς Ἴλιον

Implenſque remo portum Nauplicum,
Applicat ad littus, longo tempore à Troja
Vagatus errationibus: & lugubrem
Helenam, obſervans noctem, (ne quis videns
Venientem interdiu, eorum quorum ad Ilion
Filii perierunt, veniat ad jactus lapidum)
Præmiſit in noſtram domum: eſt autem intus,
Plorans ſororem, & calamitatem domûs.
Habet tamen aliquod ſolatium dolorum:
Quam enim reliquit domi, quando ad Trojam navigabat,
Virginem matri quæ meæ poſtea alendam tradidit
Menelaus ducens Hermionem ex Spartâ:
Hâc lætatur, & obliviſcitur malorum.
Circumſpicio autem omnem acceſſus viam, an poſſim videre
Menelaum venientem: quia in reliquis exiguâ
Ope vehimur, niſi ab illo
Servemur. " Miſera res eſt domus inops conſilii.
Hel. O filia Clytæmneſtræ & Agamemnonis,
Electra, virgo longo adulta temporê,
Quomodo, ô miſera, tu, & frater tuus,
Miſer iſte Oreſtes, eſt factus homicida matris?
(Non enim polluor tuo alloquio
In Phœbum transferens crimen.)
Lugeo Clytæmneſtræ fatum,
Meæ ſororis: quam poſtquam ad Ilion

Ναυπλίειον] Ναύπλιος Ἀργεῖος ἀνὴρ, ναυτικῆς ἔμπειρος λιμένα κατασκευάσας, ἀφ' ἑαυτοῦ ἐκάλεσε Ναύπλιον. ἦν δὲ υἱὸς Ποσειδῶνος καὶ Ἀμυμώνης. ἢ ὅτι ἐν λειμῶνι διέτριβεν. ἐκ τούτου ὁμώνυμος αὐτῷ ὁ λιμήν. Ἐκπληρῶν πλάτῃ] ἤτοι τὴν ὁδὸν διαπεπραγμένος ταῖς κώπαις, προσορμίζεται δὲ ταῖς ἀκταῖς. ὑπὸ δὲ τῶν πλατῶν τὰς ναῦς σημαίνει. Πλάτη δὲ, τὸ πλατὺ τῆς κώπης, ὃ μεθίεται εἰς τὴν θάλασσαν. [57] Μή τις εἰσιδὼν, ἐκ ἐρθῶν τινῶν τεκόντων αὐτὴν τῶν ἀποκειμένων προσαποδομήσῃ. καὶ τὰ λάφυρα προσκαταστρεφόμενα. ἀρρήτως γὰρ αὐτὴν νυκτὸς ἀπεστάλθαι φησί. τὰ δὲ κατὰ τὸ δρᾶμα ἡμέρᾳ ἐκτελεῖται. [61] Συμφοράς τε δωμάτων] συμφορὰ οὐ μόνον ἡ δυστυχία, ἀλλὰ καὶ ἡ συνάντησις. ὡς ἔχει τὸ τοῦ Σοφοκλέους, κἀπὶ συμφορᾷ γεγηθυῖα, ἕρπει δάκρυον ὀμμάτων ἄπο. Φοῖβου δ' ἀδικίαν] τοῦ δὲ Ἀπόλλωνος κατά τι ἀρέσκει κατηγορεῖν ἀδικίαν; πείθει δὲ, ἀντὶ τοῦ ἔπεισε τὸν Ὀρέστην κτεῖναι τὴν μητέρα, ἥτις ἐφόνευσεν αὐτὸν, πρᾶγμα δηλονότι πράξας, οὐ φέρον πρὸς ἅπαντας εὔκλειαν, καὶ καλὴν φήμην. ὅμως δὲ ἀπέκτεινε πεισθεὶς τῷ θεῷ. καὶ ἐγὼ μετέσχον τοῦ φόνου, καθὰ γυνὴ, τουτέστι συνεβούλευσα. ὁ Πυλάδης δὲ, μετέσχε τοῦ φόνου δηλονότι, ὃς συνέπραξεν ἡμῖν τόδε. Ἐντεῦθεν] ἤτοι ἐξ ἐκείνου συνεχὴς, καὶ συμμιγεὶς ὁ τλήμων Ὀρέστης, νόσῳ ἀγρίᾳ, ἤτοι μανίᾳ, νοσεῖ. Ὁ δὲ] ἀντὶ τοῦ ὃς δὴ πεσὼν ἐν κοίτῃ κεῖται. ὁ φόνος γὰρ τῆς μητρὸς ἐλαύνει, καὶ ταράσσει αὐτὸν μανίαισιν, ὑπὸ μανιῶν, τῶν Ἐριννύων δηλονότι. αἰδοῦμαι γὰρ ὀνομάζειν καὶ λέγειν θεὰς Εὐμενίδας, τὰς Ἐριννύας δηλονότι, αἳ ταράσσουσι τόνδε διὰ φόβου. ἕκτον δὲ ἦμαρ τόδε ἐστὶ δηλονότι, ἐξ ὅτου σφαγαῖς, καὶ διὰ σφαγῆς θανοῦσα ἡ μήτηρ ἐκαθάρθη τὸ δέμας διὰ τοῦ πυρός. δι' ὧν ἡμερῶν οὔτε σιτίον ἐδέξατο διὰ τοῦ λαιμοῦ, οὐ λουτρὰ ἔδωκε τῷ σώματι, ἤτοι οὐκ ἐλούσατο. Κρυφθεὶς δὲ ὑπὸ τῶν ἱματίων, ὅταν μὲν κουφισθῇ τὸ σῶμα ἀπὸ τῆς νόσου, ἔμφρων γενόμενος δηλονότι, δακρύει. ποτὲ δὲ ἀπὸ τῆς κοίτης πηδᾷ, καθὰ πῶλος ἀπὸ ζυγοῦ δεσμευθεὶς, καὶ ταχύς. ἐκυρώθη δὲ τοῖς Ἀργείοις (τὸ στέγειν ἀντὶ τοῦ στεγομένους) μήτε ἐν οἴκοις, μήτε ἐν θυσίαις, δέχεσθαι ἡμᾶς τινα μητροκτονήσαντας, μήτε προσαγορεύειν. Κυρία δὲ, ἤτοι ὡρισμένη, καὶ κεκυρωμένη ἤδη ἡ ἡμέρα, ἐν ᾗ ἐξοίσει ἡ πόλις τῶν Ἀργείων τὴν ἀπόφασιν, εἰ χρέωσι θανεῖν ἡμᾶς ἐν πετρώματι λιθοβολισμοῦ, ἢ ξίφος ἀκονήσαντά τινα βαλεῖν ἐπὶ τοῦ αὐχένος ἡμῶν δηλονότι. ἔχομεν δὲ δή τινα ἐλπίδα, ὥστε μὴ θανεῖν. ἥκει γὰρ ἀπὸ τῆς Τροίας ὁ Μενέλαος εἰς τὴν γῆν τὴν ἑαυτοῦ, δηλονότι εἰς τὴν πατρίδα. τὸν λιμένα δὲ τὸν Ναύπλειον, τὸν ὑπό τινος Ναυπλίου οὕτω λεγόμενον, διανύσας κώπῃ ἐνελλιμένισε τῷ αἰγιαλῷ ἐπὶ πολὺν χρόνον ἐκ τῆς Τροίας πλανηθείς. τὴν δὲ πολλῶν στεναγμῶν αἰτίαν Ἑλένην, προέπεμψεν εἰς τὸν οἶκον τὸν ἡμέτερον, ἐπιτηρήσας νύκτα, ἵνα μή τις ἰδὼν πορευομένην κατὰ τὴν ἡμέραν ὧν οἱ παῖδες ἀπέθανον ἐν τῇ Τροίᾳ, λιθοβολήσῃ αὐτήν. ἔστι δὲ ἔσω κλαίουσα τὴν ἀδελφὴν, καὶ τὴν δυστυχίαν τῶν δωμάτων. ἔχει δὲ δή τινα παραμυθίαν τῶν θλίψεων. ἣν γὰρ ὁ Μενέλαος ἀπὸ τῆς Σπάρτης ἀγαγὼν ἔλιπε κατὰ τοὺς οἴκους, ὅτε ἔπλει εἰς τὴν Τροίαν, τῇ ἐμῇ τε μητρὶ παρέδωκεν ἀνατρέφειν, τὴν παρθένον λέγω τὴν Ἑρμιόνην, διὰ ταύτην χαίρει, καὶ ἐπιλανθάνεται τῶν δυστυχιῶν. βλέπω δὲ πᾶσαν εἴσοδον, πότε ὄψομαι τὸν Μενέλαον ἥκοντα, ὅτι κατὰ τὰ ἄλλα ἐπ' ἀσθενοῦς ῥώμης ὀχούμεθα καὶ φερόμεθα. ἐὰν μὴ σωθῶμεν κατά τι παρ' ἐκείνου, ἄπορον χρῆμα ὑπάρχει δηλονότι ὁ δόμος ὁ δυστυχῶν. [71] Ὦ παῖ Κλυταιμνήστρας] τὸ προσῆκον ἦθος ἐξέτεινεν ὁ Εὐριπίδης. νῦν γὰρ πρῶτον ἀλλήλας βλέπουσι, καὶ ἀληθῶς πάνυ, οὔτε ἀσπάζονται ἀλλήλας. ἅμα δὲ δυσωπεῖ τὴν Ἠλέκτραν. καὶ λυπεῖ ὑπομιμνήσκουσα τοῦ τῆς Κλυταιμνήστρας ὀνόματος, καὶ προσάπτουσα. ἀκολούθως δὲ καὶ τόδε διατεθειμένον. τὸ δὲ ἑξῆς μακρὸν δὴ μῆκος χρόνου παρθένε, ἤτοι πολλῷ χρόνῳ παρθενευομένη. τοῦτο δὲ καὶ ὑβρίζουσα αὐτὴν φησὶν, ὡς αἰτίαν ἔχουσα, καὶ διὰ τοῦτο μὴ γαμουμένη. παρεμφαίνει δὲ διὰ τούτου ὅτι ἐν μοιχείας νομίζει τέλος τὸν γάμον. [74] Φονεὺς ἔφυ] δέον ἔφυτε εἰπεῖν, ἐπειδὴ καὶ ἀμφότεροι τὸν φόνον εἰργάσαντο. ἡ μὲν βουλευσαμένη, ὁ δὲ πράξας. ὁ δὲ εἰπὼν σύ τε κασίγνητός τε σὸς, πρὸς τὸν Ὀρέστην ἀπέδωκε, διὰ μὲν τοῦ συμπεριλαβεῖν ἀμφοτέρους δεικνύων βουλευσαμένους τὸν φόνον. διὰ δὲ τοῦ ἔφυ, μόνον τὸν Ὀρέστην εἰργασμένον. ἢ οὕτω δέον εἰπεῖν, πῶς ἔχεις, ὦ τάλαινα, σύ τε, κασίγνητός τε σὸς τλήμων Ὀρέστης. ὁ δὲ τὴν ὁρμὴν τῆς ἐρωτήσεως, ἤτοι τὸ ἔχετε ἐάσας, ἐπειδὴ Ὀρέστης ἐφόνευσε τὴν μητέρα, πρὸς τοῦτον τὴν ἀπόδοσιν ἐποιήσατο. ἀγνοοῦντες δέ τινες, τὸ ὅδε ἀντὶ τοῦ ὅστις φασίν. ἔστι δὲ ὅδε διὰ μέσου δεικτικόν. Εἰς Φοῖβον] καὶ τοῦτο πανούργως. ἀναμάρτητον γὰρ τὸ θεῖον ἐμφαίνει ὁ ποιητὴς, ὡς καταψευδομένων αὐτῶν τοῦ Ἀπόλλωνος. [78] Ἣν ἐπεὶ πρὸς Ἴλιον] ἣν οὐκ εἶδον ἀφ' οὗ εἰς τὴν Ἴλιον ἔπλευσα, διὰ μέσου γὰρ τὸ ὅπως ἔπλευσα. εἶτα ὥσπερ αἰτίαν λέγουσα τοῦ πλοῦ, θεομανεῖ πότμῳ φησί. ἀντὶ τοῦ ὑπὸ εἱμαρμένης μανεῖσα, ἢ μοίρᾳ θεοῦ μανεῖσα. Ἄλλως. ἣν οὐκ εἶδον ἀφ' οὗ πρὸς Ἴλιον ἔπλευσα. εἰ δὲ θέλεις γνῶναι ὅπως ἔπλευσα, γίνωσκε ὅτι θεομανεῖ πότμῳ. κρύπτει δὲ τὴν μοιχείαν, καὶ ὑπὸ βίας δεόμενός τινος ἄχθαι εἰς Τροίαν φησίν. Ὦ παῖ Κλυταιμνήστρας] ὦ θύγατερ τῆς Κλυταιμνήστρας καὶ τοῦ Ἀγαμέμνονος παρθένε ἤδη μακρὸν δὴ μῆκος χρόνου, πῶς σύ τε ὦ τάλαινα, ἔχεις δηλονότι. κατὰ κοινοῦ ὁ σός τε κασίγνητος Ὀρέστης, οὗτος ἔστιν καὶ ἐγένετο φονεὺς τῆς μητρός. τοῖς προσφθέγμασι γάρ σου, ἤγουν τῇ πρὸς σὲ ὁμιλίᾳ οὐ μιαίνομαι, ἀναθεῖσα τὸν φόνον εἰς τὸν Ἀπόλλωνα. καί τοι θρηνῶ τὸν θάνατον τῆς Κλυταιμνήστρας τῆς ἐμῆς ἀδελφῆς, ἣν ἀφ' οὗ ἔπλευσα πρὸς τὴν Ἴλιον, ὅπως δὲ καὶ πῶς ἔπλευσα, ὑπὸ μανίας θείας, οὐκ εἶδον. στερηθεῖσα δὲ τῆς ἀδελφῆς, θρηνῶ τὰς τύχας, καὶ τὰς δυστυχίας. Ἴστεον δὲ, ὅτι ἡ αὐτὴ Ἠλέκτρα παρ'

Ἔπλευσ' (ὅπως δ' ἔπλευσα θεομανεῖ πότμῳ)
Οὐκ εἶδον· ἀπολειφθεῖσα δ', αἰάζω τύχας.
Ηλ. Ἑλένη, τί σοι λέγοιμ' ἂν, ἅγε παροῦσ' ὁρᾷς,
Ἐν συμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον;
Ἐγὼ μὲν ἄυπνος, πάρεδρος ἀθλίῳ νεκρῷ,
Νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς,
Θάσσω. τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά.
Σὺ δ' εἶ μακαρία μακάριός θ' ὁ σὸς πόσις,
Ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας.
Ελε. Πόσον χρόνον δὲ δεμνίοις πέπτωχ' ὅδε;
Ηλ. Ἐξ οὗπερ αἷμα γενέθλιον κατήνυσεν.
Ελ. Ὦ μέλεος· ἡ τεκοῦσά θ', ὡς διώλετο.
Ηλ. Οὕτως ἔχει τάδ', ὥστ' ἀπείρηκ' ἐν κακοῖς.
Ελ. Πρὸς θεῶν, πίθοι' ἂν δῆτά μοι ὦ παρθένε;
Ηλ. Ὡς ἄσχολός γε συγγόνου προσεδρείᾳ.
Ελ. Βούλῃ τάφον μοι πρὸς κασιγνήτης μολεῖν;
Ηλ. Μητρὸς κελεύεις τῆς ἐμῆς, τίνος χάριν;
Ελ. Κόμης ἀπαρχὰς, καὶ χοὰς φέρουσ' ἐμάς.
Ηλ. Σοὶ δ' οὐχὶ θεμιτὸν πρὸς φίλον στείχειν τάφον;
Ελ. Δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι.
Ηλ. Ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους.
Ελ. Ὀρθῶς ἔλεξας, οὐ φίλως δέ μοι λέγεις.
Ηλ. Αἰδὼς δὲ δή σε ἐς Μυκηναίους ἔχει;

Navigavi, (quocunque modo navigavi irato fato)
Non vidi, ſed privata eâ, lugeo calamitatem.
Elect. Helena, quid tibi dicam, quæ præſens vides
In calamitatibus eſſe prolem Agamemnonis?
Ego quidem inſomnis, aſſidens miſero mortuo!
(Eſt enim iſte mortuus, præter exiguum halitum)
Aſſideo, non exprobro illi mala.
Tu ô beata, & tuus maritus beatus,
Veniſtis ad nos miſerrimos.
Hele. Quàm longo tempore jacet iſte in lecto?
Ele. Ex quo conſumpſit maternum ſanguinem.
Hel. O miſer, & mater, quomodo periit!
Ele. Sic habet res, ut deſperaverim in malis.
Hel. Per deos, O virgo, obtemperes mihi in aliquâ re.
Ele. Atqui ſum occupata aſſidendo fratri.
Ele. Vis mihi accedere ad ſepulchrum ſororis?
Ele. Meæ matris dicis: quam ob cauſam?
Hel. Ferens primitias comæ meæ, & meas inferias.
Ele. An tibi non eſt fas ire ad cognatæ ſepulchrum?
Hel. Erubeſco oſtendere corpus Argivis.
Ele. Serò rectè ſapis, cum tunc inhoneſte reliqueris domum.
Hel. Rectè dixiſti, ſed mihi non amanter.
Ele. Quis pudor habet te inter Mycenæos?

Ὅμηρος Λαοδίκην εὗρεν). ἢ κατὰ τρόπον διωνυμίας Ἠλέκτρα ἐκλήθη. διὰ τὸ κατ' ὄψιν ἠλεκτρώδης καὶ χρυσοειδής. ἢ κατὰ λόγον τινὰ σκῶμμα, διὰ τὸ πολὺν χρόνον ἄλεκτρον μεῖναι χόλῳ Κλυταιμνήστρας. ὃ δὴ καὶ Εὐριπίδης νῦν παρίστησιν, ἐν τῷ παρθένε δὴ μῆκος. [81] Ἑλένη] πρὸς πάσας τὰς ὕβρεις ἀντίκειται τὸ Ἑλένη, ὅθεν καὶ χαλᾶται ὁ στίχος. σεσημείωται γὰρ τὸ ὄνομα τῆς Ἑλένης. αἰνίττεται δὲ, ὅτι πονηρᾶς καρπουμένη ἀπολαύσεως ἀεὶ ὂν παροῦσα ὁρᾷ. Ἄλλως. τὸ Ἑλένη τί σοι λέγοιμ' ἂν, βαρυνομένης ἦθος δηλοῖ κατὰ τοὺς παλαιούς. ἡ γὰρ τοῦ κυρίου ὀνόματος χρῆσις, ποτὲ μὲν βαρύτητός ἐστιν, ὡς ἐνταῦθα. ποτὲ δὲ ἀφελείας, ὡς παρ' Ὁμήρῳ ἐν τῇ ζ ῥαψωδίᾳ ὡς ἀπὸ τῆς Ἀνδρομάχης Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ. Ὅπως δ' ἔπλευσα] διὰ μέσου ταῦτα. ἤγουν ὁ τρόπος δὲ τοῦ ἐμοῦ ἀπόπλου ὑπὸ δυστυχίας, ἦν θεομανής. Τί σοι λέγοιμι] τί χρεία διηγήσασθαί σοι ἅ τινα ὁρᾷς; τί δὲ ὁρᾷς; ἐν συμφοραῖς τὸν Ἀγαμέμνονος γόνον. δῆλον δὲ ὅτι οὐ τὸν Ὀρέστην μόνον λέγει, ἀλλὰ καὶ ἑαυτὴν Ἀγαμέμνονος γόνον. περὶ τῶν δύο γὰρ καὶ ἡ Ἑλένη ἐπύθετο λέγουσα, πῶς ὦ τάλαινα σύ τε συγγενής τε σός. εἰκότως· οὖν καὶ αὐτὴ ἐπάγει τὴν ἑαυτῆς αὔπνον δυσδαιμονίαν, καὶ τὴν Ὀρέστου νόσον. [illegible] δὲ δι' ἑνὸς ἐδήλωσεν ὀνόματος. καὶ Ὀρέστης γὰρ κεκλημένος ἐπὶ τὴν τοῦ πατρὸς [illegible] φιλότητα. [illegible] Ἑλένη τί λέγοιμι ἄν σοι, ἅγε, ἥτις σὺ παροῦσα ὁρᾷς τὸν γόνον, ἤτοι τοὺς παῖδας τοῦ Ἀγαμέμνονος ἐν συμφοραῖς. ἐγὼ μὲν ἄυπνος πάρεδρος θάσσω, ἀντὶ τοῦ προσκάθημαι ἀθλίῳ νεκρῷ. νεκρὸς γὰρ ἐστὶ χάριν μικρᾶς ἀναπνοῆς. τουτέστιν ἴσως ἐστὶ νεκρῷ, διότι σμικρὰν ἔχει πνοήν. τὰς τούτου δὲ δυστυχίας οὐκ ὀνειδίζω. σὺ δὲ εἶ μακαρία, μακάριός τε ὁ σὸς πόσις Μενέλαος. ἥκετε εἰς ἡμᾶς ἀθλίως δυστυχήσαντας. [88] Πόσον χρόνον] ἐπὶ πόσον δὲ χρόνον πεπτωκὼς κεῖται, ἐπὶ ἐν τοῖς δεμνίοις. ἀφ' οὗ καιροῦ διεπράξατο τὸν τῆς μητρὸς φόνον. Ἐξ οὗπερ αἷμα] οὐ πρὸς τὸν πατέρα ἀπεκρίνατο, ἡ μὲν γὰρ ἤρετο ὑπὸ πόσου χρόνου νοσεῖ. ἡ δὲ εἶπεν, ἐξ οὗ τὴν μητέρα ἀνεῖλε. τοῦτο δὲ πάλιν ὁμοίως ἄδηλον ἐστὶ τῇ Ἑλένῃ. Αἷμα γενέθλιον] γενέθλια, πᾶσα ἡ ἐν γεννήσει τινὸς τελουμένη ἑορτή. ὥσπερ γαμήλια, ἡ ἐν γάμῳ. καὶ ἐγκαίνια, ἡ ἐν ἐγκαινισμῷ. κατὰ ταῦτα λέγεται καὶ Κρόνια, ἡ ἑορτὴ τοῦ Κρόνου. καὶ Διάσια ἡ τοῦ Διός. καὶ Τιτάνια, ἡ τῶν Τιτάνων. καὶ ἕτερα. ἐνταῦθα δὲ γενέθλιον αἷμα λέγει, ἀντὶ τοῦ μητρῷον, ἀπὸ τῆς γεννήσεως μετάγων τὸν λόγον ἐπὶ τὴν αἰτίαν τῆς γεννήσεως, ἤτοι τὴν μητέρα. Ὦ μέλεος, ἄθλιος οὗτος, ὅτι τὴν μητέρα ἀνεῖλε. κἀκείνη, ὅτι ὑπὸ παιδὸς ἀνῃρέθη, μελέα τυγχάνει. τὸ δὲ ὡς ἀντὶ τοῦ πῶς, ἢ ὅπως. [91] Πρὸς θεῶν] ἕνεκα τῶν θεῶν καταπεισθείης ἂν ἐμοί κατά τι ὦ παρθένε; Ὡς ἄσχολός γε, λίαν ἄσχολος εἰμί, σχολῆς ἐστερημένη. ἀσχολοῦμαι, ἤτοι ἀπελαύνομαι τῇ προσεδρίᾳ τοῦ ἀδελφοῦ. Προσεδρία, ἡ προσκαρτέρησις, καὶ ἡ πρώτη καθέδρα. προσεδρεία δὲ, ἡ ἐπίμονος καὶ διηνεκὴς ἀσχολία. Ἄλλως. τοῦτό σοι φησὶ πεισθείην, ὃ μὴ ἀποσχολήσει με τῆς προσεδρείας τοῦ ἀδελφοῦ, τουτέστιν εἰ μὴ τὸ κελευόμενον παρὰ σοῦ χωρίζει με τοῦ ἀδελφοῦ, οὐ πείσομαι, εἰ δὲ οὐ χωρίζει, πείσομαι, ἢ ὅτι παντελῶς ἀπαρνεῖται τὴν ὑπουργησιν, τουτέστιν οὐ πείθομαί σοι. ὅτι ἄσχολός εἰμι τῇ προσεδρείᾳ τοῦ ἀδελφοῦ. ἵν' ᾖ τὸ ὡς, ἀντὶ τοῦ ὅτι. ἔνιοι δὲ λείπειν φασὶ τὸ μὴ, ἵν' ᾖ εἰρωνεία, ἵν' οὐ πείθομαί σοι ὅτι μὴ ἄσχολος εἰμὶ τῇ τοῦ ἀδελφοῦ προσεδρείᾳ. ἄσχολος γὰρ ἦν. πῶς σοι φησὶ πειθῶ ἀσχολουμένη τῇ νοσοκομίᾳ τοῦ ἀδελφοῦ. ἵν' ᾖ, ὡς σχολὴν ἄγουσα. ἵν' ᾖ ἐρωτηματικόν. Βούλει] βούλει ἀπελθεῖν πρὸς τὸν τάφον τῆς ἀδελφῆς μου; ἁπλούστερον αὐτῇ διαλέγεται, ὅτι μᾶλλον δεῖται αὐτῆς. ἐνταῦθα δὲ παραφυλάττεται, καὶ μητρὸς εἰπεῖν σῆς, ἵνα μὴ δόξῃ ὀνειδίζειν αὐτῇ. δεῖ γὰρ εἶναι κολακευτικὸν τὸ δεόμενον. Τῆς ἐμῆς μητρὸς κελεύεις τίνος χάριν. νῦν μητέρα αὐτὴν ἐκάλεσεν, δεικνῦσα ὅτι οὐδὲ τὴν πρὸς τὴν λοιδορείαν προσεποιήσατο. καὶ τάχα διὰ τοῦ ὀνόματος τῆς ἐχθρᾶς μητρὸς παραιτεῖται τὴν αἴτησιν. ἀλλ' εἰ μὴ κολακεύουσα συγγενικῷ ὀνόματι ἐχρήσατο. ἡ δὲ παραιτουμένη τὴν κολακείαν, εἶπε μητρὸς τῆς ἐμῆς. [96] Κόμης ἀπαρχάς. φέρουσα ἀπαρχὰς τῆς κόμης, καὶ χοὰς, καὶ θυσίας ἐμάς. Ἀπαρχὴ ἐλέγετο οὐ μόνον τὸ πρῶτον τῇ τάξει, ἀλλὰ καὶ τὸ πρῶτον τῇ τιμῇ, ὅθεν καὶ ἀπαρχὰς καρπῶν προσῆγον οἱ παλαιοὶ, καὶ ὠνόμαζον, τὰ κρείττονα ἐκλεγόμενοι. καταχρηστικῶς δὲ καὶ τὰς θυσίας ἐτέλουν ἐπὶ τοῖς τεθνεῶσιν οἱ παλαιοὶ, καὶ ἀπαρχὰς ἐκάλουν. Σοὶ δ' οὐ θεμιτὸν] σοὶ δὲ οὐχὶ θεμιτὸν, ἀντὶ τοῦ οὐ δυνατὸν ἔρχεσθαι πρὸς τὸν φιλούμενον τάφον, οὐκ ἐν καιρῷ παρρησιάζεται ἡ Ἠλέκτρα, καίτοι περὶ ὀλίγα φάσκουσα ἐλπίδα ἔχειν εἰς τὸν Μενέλαον. εἰ μὲν οὖν ἐν ἐρωτήσει ὁ λόγος, μετεωρότερος ἐστιν. ἐὰν δὲ ἑτέρως, ἄντικρυς ἐπάγει, καὶ μὴ ἀξίαν οὖσαν προσπελάζειν τῷ τάφῳ τὴν Ἑλένην ἀποδείκνυσι, διὰ τὰ πεπραγμένα αὐτοῖς τοῖς φίλοις. [98] Δεῖξαι γὰρ] οὐ θεμιτὸν δηλονότι. αἰσχύνομαι γὰρ δεῖξαι τὸ σῶμα, ἀντὶ τοῦ ἐμαυτὴν τοῖς Ἀργείοις. Ὀψέ γε] ὀψὲ τοῦ χρόνου, ἀντὶ τοῦ μόλις ποτὲ νῦν φρονεῖς εὖ, τότε ἀφεῖσα τοὺς δόμους αἰσχρῶς. [100] Ὀρθῶς ἔλεξας] ἀληθῶς εἶπας, οὐ λέγεις δὲ προσφιλῶς ἐμοί. Αἰδὼς δὲ] τίς δὴ αἰδὼς ἔχει σε εἰς τοὺς Μυκηναίους; ἀντὶ τοῦ, τίνα αἰδῶ ἔχεις εἰς τοὺς Μυκηναίους.

ANNOTATIONES.

V. 94. Βούλῃ] *Duportianus* codex corrigit βούλει; & ſuetum *communiter* βούλομαι in ſecundâ Perſonâ facere βούλει. ut οἴομαι, οἴει. & γίγνομαι, γίγνει, apud *Ariſtoph.* aliaque ejuſdem generis; ſed quùm apud *Homerum* legatur βόλεαι in ſecundâ, quis neget hoc contrahi poſſe in βούλῃ? Nec in causâ eſt ſimile verbum *conſilium* notans; illud enim ſcribitur in Dativo βουλῇ. Quare nihil hic movendum, cùm omnes in βούλῃ conſentiant codices; etiamſi in *Scholiaſte* βούλει legatur. Solent enim aliter verba ſcribi in Scholiis, quàm in Authore, ut periculum facienti ſæpiſſimè apparebit. Vid. Not. ad hujus Fab. V. 291. V. 430. & alibi; Vid. quæ de iſtiuſmodi Notis diximus, ad *Hecub.* V. 1256.

Ελ. Δέ-

Ελ. Δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.
Ηλ. Δεινὸν γὰρ Ἄργει τ' ἀναβοᾶ διὰ στόμα.
Ελ. Σὺ [*] νῦν χάριν μοι τὸν φόβον λύσασα δός. *al. Σὺ νῦν
Ηλ. Οὐκ ἂν δυναίμην μητρὸς εἰσβλέψαι τάφον.
Ελ. Αἰσχρόν γε μήν τοι πρόσπολον φέρειν τάδε.
Ηλ. Τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;
Ελ. Εἰς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.
Ηλ. Καὶ μὴν τίνοι γ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.
Ελ. Ὀρθῶς ἔλεξας, πείθομαί τέ σοι, κόρη,
Καὶ πέμψομαί γε θυγατέρ'. εὖ γάρ τοι λέγεις.
Ὦ τέκνον ἔξελθ' Ἑρμιόνη δόμων πάρος,
Καὶ λάβε χοὰς τάσδ' ἐν χεροῖν, κόμας τ' ἐμάς.
Ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμνήστρας τάφον,
Μελίκρατ' ἄφες γάλακτος, οἰνωπόν τ' ἄχνην,
Καὶ στᾶσ' ἐπ' ἄκρου χώματος, λέξον τάδε·
« Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
« Φόβῳ προσελθεῖν μνῆμα σόν, ταρβοῦσά τι
« Ἀργεῖον ὄχλον· εὐμενῆ δ' ἄνωγέ νιν,
Ἐμοί τε, καὶ σοί, καὶ πόσει γνώμην ἔχειν,
Τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσεν θεός.
Ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμήν,
Ἅπανθ' ὑπισχνοῦ νερτέρων δωρήματα.
Ἴθ' ὦ τέκνον μοι, σπεῦδε, καὶ χοὰς τάφῳ
Δοῦσ', ὡς τάχιστα τῆς πάλιν μέμνησ' ὁδοῦ.
Ηλ. Ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακόν,
Σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.

Hel. Metuo patres illorum qui mortui ſunt ad Ilium.
Ele. Atrociter proclamaris paſſim per omnium ora Argis:
Hel. Tu nunc ſolvens metum, præſtes mihi hoc officium.
Ele. Non poſſum intueri matris ſepulchrum.
Hel. Turpe eſt ancillam ferre hæc.
Ele. Cur non mittis filiam Hermionem?
Hel. Non eſt honeſtum virginibus venire in publicum.
Ele. Atqui ſolverit gratiam pro nutricatione mortuæ.
Hel. Rectè dixiſti, obtempero tibi, puella,
Et mittam filiam: rectè enim ſic dicis.
O filia Hermione, exi ante ædes,
Et cape in manus has inferias, & meas comas:
Et veniens ad Clytæmneſtræ ſepulchrum,
Dimitte ibi mel cum lacte mixtum, & vini ſpumam,
Et ſtans in ſummo tumulo dicas iſta:
« Helena ſoror donat te his inferiis,
« Cùm non auſit ad tuum monumentum accedere, metuens
« Argivam turbam, & jube ipſam propitiam
Mentem habere mihi, & tibi & marito,
Et iſtis duobus miſeris, quos perdidit Deus:
Et quæ oportet me facere erga ſororem mortuam,
Omnia promitte dona inferorum.
Abi, O filia, propera, & inferiis ſepulcro
Datis, quàm celerrimè memineris reditûs.
Ele. O Natura, quàm magnum es malum inter homines,
Et res quàm ſalutaris iis, qui benè te poſſident.

Δέδοικα] καὶ πατέρας τῶν νεκρῶν τῶν πεσόντων ὑπὸ τῇ Τροίᾳ. Δεινὸν γὰρ Ἄργει] δεινὸν γὰρ ἀντὶ τοῦ χαλεπῶς ἂν βοᾶ καὶ ἀνακηρύττῃ τῷ Ἄργει, ἀντὶ τοῦ τοῖς Ἀργείοις. διὰ στόμα, ἤτοι διὰ τῶν στομάτων ἁπάντων. τὸ ἀναβοᾶ προσώπου δεῖ δευτέρου παθητικῆς διαθέσεως, ἀντὶ τοῦ καταβοᾶ. ὁ δὲ νοῦς, δεινῶς γὰρ διὰ τοῦ στόματος τῶν Ἀργείων ἀναβοᾶ. 104 Σὺ νῦν] σὺ δὴ λύσασα τὸν φόβον, δὸς ἐμοὶ χάριν. Οὐκ ἂν δυναίμην βλέψαι εἰς τὸν τάφον τῆς μητρός. Αἰσχρόν γε μήν τοι] ὅμως ἀπρεπὲς καὶ ἄσημον τὰς δούλας φέρειν τάδε. Τί δ' οὐχὶ θυγατρὸς] διατί οὐ πέμπεις τὸ δέμας τῆς Ἑρμιόνης, περιφραστικῶς, ἀντὶ τοῦ τὴν Ἑρμιόνην. 108 Εἰς ὄχλον ἕρπειν] οὐ καλὸν δηλονότι ταῖς παρθένοις, βαδίζειν εἰς τὸ πλῆθος. εἴποι τις, τί οὖν ταῖς τελείαις τοῦτο καλόν; ἔστιν οὖν εἰπεῖν ὅτι ἐν Σπάρτῃ εἰώθασι γυμνάζεσθαι αἱ γυναῖκες καὶ παρθένοι. ὥστε δέδοται μὲν παρθένοις εἰς ὄχλον ἕρπειν, οὐ μὴν καθόλου, ἀλλ' ἐπὶ ὡρισμένοις πράγμασιν· ἢ κανηφορούσαις, ἢ γυμναζομέναις, οὐ μὴν ἄλλοτε πραγματευομέναις. Ἄλλως. ταῖς νεάνισιν, οὐ γὰρ ταῖς ἀγάμοις. ἄγαμος γὰρ καὶ ἡ Ἠλέκτρα. παρθένος τε δὴ οὖν ἥτε ἀμιγὴς καὶ ἡ ἄρτι ἡβῶσα. ἢ πάλιν κακονόως, οὐ παρθένον δεῖξαι βούλεται τὴν Ἠλέκτραν, ὅτι οὐκ ἐπείθη αὐτῇ. 109 Καὶ μὴν] ἀνταποδοίη τὰς ἀνατροφὰς τῇ τεθνηκυίᾳ. Ὀρθῶς ἔλεξας· πείθομαί τε, ὦ κόρη, σοί. καὶ πέμψω τὴν θυγατέρα. εὖ γὰρ καὶ καλῶς λέγεις. ὦ τέκνον Ἑρμιόνη ἔξελθε ἔμπροσθεν τῶν δόμων. καὶ λάβε ἐν ταῖς χερσὶ τάσδε τὰς χοάς, καὶ τὰς ἐμὰς κόμας. ἀπελθοῦσα δὲ εἰς τὸν τάφον τῆς Κλυταιμνήστρας, ἄφες τὰ μελίκρατα τοῦ γάλακτος, ἤτοι τὰ ἀπὸ μέλιτος καὶ γάλακτος κεκραμένα, τὴν ἄχνην τε καὶ τὸν οἰνωπόν, ἤτοι τὸν λεπτότατον τόνδε οἶνον. καὶ στᾶσα ἐπὶ τοῦ ἄκρου χώματος, ἤτοι ἐπὶ τοῦ ἄκρου τοῦ τάφου, λέξον τάδε. ἡ ἀδελφὴ ἡ Ἑλένη δεξιοῦταί σε ταῖσδε ταῖς χοαῖς, φόβῳ, ὑπὸ τοῦ φόβου τοῦ προσελθεῖν εἰς τὸ σὸν μνῆμα· φοβουμένη τὸν ὄχλον τῶν Ἀργείων. προστάσσει δὲ αὐτὴν ἔχειν γνώμην εὐμενῆ, καὶ πραεῖαν ἐμοί τε καὶ σοί, καὶ τῷ πόσει τῷ ἐμῷ. τοῖν τε ἀθλίοιν τοῖνδε, ἤγουν τοῦ Ὀρέστου, καὶ τῆς Ἠλέκτρας. οὓς ἀπώλεσεν ὁ θεός, ἤτοι ὁ Ἀπόλλων. ἃ δὲ καιρὸς ἁρμόδιος δηλονότι ἐνεργεῖν εἰς τὴν ἐμὴν ἀδελφήν, δωρήματα τῶν νεκρῶν, ἅπαντα ὑπισχνοῦ. ἄπιθι, ὦ τέκνον μου, σπεῦδε, καὶ δοῦσα χοὰς τῷ τάφῳ, λίαν ταχέως μέμνησο τῆς εἰς τοὐπίσω ὁδοῦ. 115 Οἰνωπόν τ' ἄχνην] τὸν λεπτότατον οἶνον λέγει, ἢ ἄχνην λέγει οἱονεὶ κορυφήν. ὅταν γὰρ ἐπιχέηται ὁ οἶνος τῷ ἐκ μέλιτος καὶ γάλακτος κράματι, ἐπιπολαίως κεῖται. Ἄλλως. ἐμφαντικῶς τὴν τοῦ οἴνου διαφανῆ ῥύσιν διὰ τῆς ἄχνης ἐσήμανε. τοῦτο δὲ ἐπὶ τῶν κυμάτων εἴρηται. ὑποπτεύει δ' ἄλλος ἄχνην. οἱ δὲ κυρίως τὴν οἰνόχροα τρίχα φασί. λάχνη γὰρ ἡ θρίξ, ἄχνη δὲ τὸ λεπτὸν μέρος ὃ κατέχειν τις οὐ δύναται, οἱονεὶ ἄσχετός τις οὖσα. Ταῖς δὲ δωρεῖται χοαῖς· δωροῦμαι, τὸ παρέχω. ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔχει τὴν σύνταξιν. ὡς τὸ δωροῦμαί σοι χρήματα. Δωροῦμαι δὲ τὸ δεξιοῦμαι, καὶ φιλοφρονῶ. ἀπὸ αἰτιατικῆς εἰς δοτικήν, ὡς τὸ δωροῦμαι τὸν φίλον χάρισι λογικαῖς. Τοῖν τ' ἀθλίοιν τοῖνδε] καὶ αὐτῶν μέμνηται, ἵνα μὴ δόξῃ παντελῶς λελησμένη εἶναι, ὅμως μετ' ἄρσεως(?). τὸ γὰρ οὓς ἀπώλεσε θεός, δοκεῖ μὲν συναχθομένη λέγειν. πανούργως δὲ ἐμφαίνει, ὅτι καὶ θεοῖς ἀπεχθόμενοί εἰσιν. οὐ γὰρ ἀπολλύει εἶπεν, ἀλλὰ ἀπώλεσεν. ὡς ἐγνωσμένης ἤδη τῆς παρὰ θεῶν δυσμενείας. 121 Ἃ δ' εἰς ἀδελφήν] ἃ δὲ νενόμισται τοῖς νεκροῖς ποιεῖν, ταῦτα κἀμὲ ὑπισχνοῦ εἰς τὴν ἀδελφὴν ποιεῖν. Ἄλλως. ἅπαντα ὑπισχνοῦ τὰ νεκρῶν δωρήματα, ἃ εὐκαίρως εἰς ἀδελφὴν ἐκπονεῖν ἐμὴν ὑπάρχει. Ἄλλως, ἃ δὲ δωρήματα τῶν κάτω, τουτέστι προσήκοντα τοῖς κάτω, καιρὸς δὲ δηλονότι ἁρμόδιος ἐνεργεῖν ἐμὲ εἰς τὴν ἐμὴν ἀδελφήν, ἅπαντα ὑπισχνοῦ. Ὦ φύσις ἐν ἀνθρώποισιν. ἰδοῦσα ἡ Ἠλέκτρα τὴν Ἑλένην τεμοῦσαν μετ' ἄκρας τὰς τρίχας, σώζουσαν δὲ τὸ πρότερον κάλλος, ἀποτείνεται πρὸς τὴν φύσιν. καὶ λέγει ταύτην εἶναι σωτήριόν τε τοῖς κεκτημένοις καλῶς αὐτήν, καὶ βλαπτικὸν τοῖς μὴ οὕτως. καὶ ἡ Ἑλένη φυσικῶς ἐστι κακή, εἰ καὶ ἔδοξε ποθεῖν τὴν ἀδελφὴν θρηνεῖν, καὶ διὰ τοῦτο ἀποκεκαρκέναι τὰς τρίχας. ἀλλὰ πανούργως τοῦτο πεποιηκέναι λέγει. ἐξ ὧν ἄκρας αὐτὰς ἔτεμε τοῦτο μαρτυρουμένη(?). εἰ γὰρ κατὰ ἀλήθειαν ἐθρήνει, πάντα τὸν πλόκαμον ἔδει τεμεῖν. καὶ ταῦτα μὲν οὕτως. οἱ δὲ λέγοντες φύσιν τὸ κάλλος, οὔ μοι δοκοῦσι λέγειν εὐλόγως. τὸ δὲ ἐστὶν ἡ πάλαι γυνή, ἢ κατὰ μεταφορὰν νοητέον, ἢ αὐτὴ δεῖ καὶ νῦν, ἥ τε καὶ περὶ τοῦ τὰς τρίχας ἀποκόψαι. καὶ οὐδ' ὁπουοῦν ἐλάττωται τὸ κάλλος αὐτῆς. ἢ καὶ κατὰ περιαίρεσιν(?), ὅτι αὐτὴ δεῖ καὶ νῦν, ἥτις καὶ πρότερον, ἤτοι οὐ σωφρονίζεται(?). Ὦ φύσις καὶ κάλλος, λίαν εἶ μέγα κακὸν ἐν τοῖς ἀνθρώποις. καὶ σωτηριώδης τοῖς καλῶς κεκτημένοις καὶ ἔχουσιν. ἐθεάσασθε πῶς κατὰ τὰς ἄκρας ἀπέκοψε τὰς τρίχας, σώζουσα καὶ φυλάττουσα τὸ κάλλος. ἔστι δὲ ἡ πάλαι γυνή, ἤτοι κακή, τουτέστιν οὐ μετεβλήθη. εἴθε σε μισήσειαν οἱ θεοί, ὅτι ἀπώλεσας ἐμέ, καὶ τόνδε, ἤγουν τὸν Ὀρέστην, καὶ πᾶσαν τὴν Ἑλλάδα. φεῦ, τάλαινα εἰμὶ ἐγώ. αὗται προσέρχονται αἱ προσφιλεῖς θρηνήτειαι(?) τοῖς ἐμοῖς θρηνήμασιν, ἴσως μαλακιοῦσι(?) τοῦ ὕπνου τόνδε κοιμώμενον(?). τὸ ἐμὸν δὲ ὄμμα ἐκτακῆναι ποιήσουσι διὰ δακρύων, ὅταν ὁρῶ τὸν ἀδελφὸν μαινόμενον.

ANNOTATIONES.

V. 103. Ἀναβοᾶ] Malè hic *Canterus* ait videri legendum καταβοᾶ. cum admiſſo Ἄργει τε ſtare nequit; & prior vox hæc prima Lectio exemplarium authoritate, & ſenſûs & carminis gaudeat.

V. 107. Ἑρμιόνης δέμας] *Periphraſis.* Vid. quæ nos ad *Iphig. Aul.* v. 417

V. 119. ἄνωγέ νιν] Ita rectè, *Helena* enim mandat filiæ ſuæ, ut poſt oblatas *Clytemneſtræ* manibus Primitias, jubeat, i. e. oret eam, propitiam ſibi velle eſſe. *Duportianus* autem codex loco τῦ νιν ponit νῦν, miſerè corrupto loco.

V. 124. Ἴθ' ὦ τέκνον μοι] Μοι pro μου. Vid. quæ nos ad *Iphig.* Aul. v. 613.

" Εἴδετε παρ' ἄκρας ὡς ἀπέθρισεν τρίχας,
Σώζουσα κάλλος, ἔστι δ' ἡ πάλαι γυνή.
Θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας,
Καὶ τόνδε, πᾶσάν θ' Ἑλλάδ'. ὢ τάλαιν' ἐγώ.
Αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
Φίλαι ξυνῳδοί. τάχα μεταστήσουσ' ὕπνου
Τόνδ' ἡσυχάζοντ'. ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
Δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
Ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
Χωρεῖτε, μὴ ψοφεῖτε, μηδ' ἔστω κτύπος.
Φιλία γὰρ ἡ σὴ πρευμενὴς μὲν, ἀλλ' ἐμοὶ
Τόνδ' ἐξεγεῖραι, συμφορὰ γενήσεται.

Videte quomodo præcidit extremos pilos,
Servans formæ dignitatem, & est tamen eadem, ut prius.
Dii te perdant, quàm perdidisti me.
Et hunc & totam Græciam. O misera ego.
Iterum verò accedunt meis lamentis
Charæ sociæ. Fortaſſis excitabunt ex somno
Illum quiescentem: & tabefacient meum oculum
Lacrymis, quando video inſanientem fratrem.
O chariſſimæ mulieres, tacito pede
Accedite, nè ſtrepite, neque ſit fragor:
Tua enim benevolentia est mihi quidem grata, ſed mihi
Erit calamitas excitare illum.

Εἴδετε παρ' ἄκρας] ἀντὶ τοῦ ἴδοι τις ἄν, ὡς τὸ Φαίης κεν ζάκοτόν τινα ἔμμεναι. Καὶ τὸ Ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις. ἔνιοι δὲ φασὶ ταῖς δμωαῖς ταῦτα λέγειν· εἰ δὲ πρὸς τὸ θέατρον, ὃ καὶ ἄμεινον. ἐφελκυστικὸς γάρ ἐστιν ἀεὶ μᾶλλον τῶν θεατῶν ὁ ποιητὴς, ὁ φροντίζων τῶν ἀκει σολοικιζόντων. 128 Ὡς ἀπέθρισεν] ὡς ἐν τῇ συμφορᾷ τῆς ἀφαιρέσεως, μηδὲν ἀπολέσαι τοῦ ὑγιοῦς, μηδὲ τὸ κάλλει λυμήνασθαι. Ἡ πάλαι] ἤτοι πονηρά, ἤγουν τὰ αὐτὰ φρονοῦσα, ἃ καὶ πρότερον. τοῦτο γὰρ ἔτι εὔμορφος ἐπιμελεῖται. ἐλέγχει δὲ αὐτὴν, ὅτι οὐδὲ τοῖς ἁμαρτήμασι συσταλεῖσα, ἀλλ' ἐν τοῖς ἤθεσι μεμένηκεν. ἤγουν ἡ κατὰ τὴν αὐτὴν μορφὴν, ἢ κατὰ τὸν αὐτὸν τρόπον. 131 Πᾶσάν θ' Ἑλλάδα] τὸ κατὰ μέρος εἰποῦσα, ἐπήνεγκε τὸ καθόλου. ὡς καὶ Ὅμηρος, Ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες, Ἄλλοι τε Τρῶες. Αἵδ' αὖ πάρεισι] κατὰ τὸ σιωπώμενον ἔρχονται αἱ γυναῖκες ἰδεῖν τὸν Ὀρέστην πῶς ἔχει, καὶ ἰδοῦσα αὐτὰς φησὶν, ὦ φίλταται γυναῖκες, δι' ἡσύχου ποδὸς καὶ πρᾳείας ἔρχεσθε. καὶ μὴ κτυπεῖτε, μηδ' ἔστω κτύπος. ἡ σὴ μὲν γὰρ φιλία πρᾳεῖα καὶ εὐμενής. ἀλλ' ἐν τῷ ἐξεγεῖραι τοῦτον, γενήσεται συμφορά.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης
2 Τιθεῖτε, μὴ κτυπεῖτε, μηδ' ἔστω κτύπος.
Ηλ. 3 Ἀποπρόβατ' ἐκεῖ-
4 σ', ἀποπρό μοι κοίτας.
Χο. 5 Ἰδοὺ πείθομαι. Η. ἆ ἆ, σύριγγος
6 Ὅπως πνοὰ
7 Λεπτοῦ δόνακος, ὦ φίλα, φώνει μοι.
Χο. 8 Ἰδ' ἀτρεμαίαν ὡς ὑπόρροφον

Strophe I.

Cho. 1 Tacitè, tacitè, ſubtile veſtigium ſoleæ
2 Ponite, nè ſtrepite, neque ſit fragor.
Ele. 3 Procul abite illuc,
4 Procul mihi à lecto.
Cho. 5 Ecce obtempero. Ele. Heu heu fiſtulæ
6 Velut ſonus
7 Tenuis ex arundine, 8 chara ſones mihi.
Cho. 8 Ecce lenisſimum tanquam per calamum ſibilantem

Σῖγα σῖγα] τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα. εἰσὶ δὲ καὶ κατὰ θέσιν. τῆς παρούσης ἐν στροφῆς τὰ κῶλα ιγ. καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. ἐφεξῆς γὰρ κεῖται ὑπομένη, καὶ οὐκ ἐν διαστήματι. τὸ α' ἀπηρτισμένον ἐκ τροχαϊκοῦ ἰθυφαλλικοῦ, καὶ ἰαμβικῆς βάσεως, ἐχούσης τὸν α' τόδε ἀνάπαισιν. τὸ β' ἴαμβον τρίμετρον ἀκατάληκτον. τὸ γ' καὶ δ' παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ ε' ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α', καὶ παίωνος γ', καὶ συλλαβῆς. ἐν τῷ τῆς ἀντιστροφῆς κώλῳ ἀντίσπαστον ἔχει, καὶ ἰωνικὸν ἀπ' ἐλάττονος. τὸ ς' δίιαμβον. τὸ ζ' ἰωνικὸν ἀπὸ μείζονος, τρίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ διϊάμβου, καὶ μολοττοῦ, ἢ κρητικοῦ. τὸ δὲ ζ' τῆς ἀντιστροφῆς κῶλον πεντασύλλαβον. τὸ η' ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον, καὶ παίωνος δ' καὶ ἰωνικοῦ, καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ θ' ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. τὸ ι' ὅμοιον, δίμετρον ἀκατάληκτον ἐκ χορείων. τὸ ια' ὅμοιον δίμετρον ἀκατάληκτον ἐξ ὁμοίων ποδῶν. τὸ ιβ' ὅμοιον δίμετρον βραχυκατάληκτον ἐξ ὁμοίων ποδῶν. τὸ ιγ' ἰωνικὸν τρίμετρον καταληκτικὸν, ἐκ παίωνος δ' διϊάμβου καὶ κρητικοῦ. ἢ δακτύλου. ἐπὶ τῷ τέλει ἀμφοτέρων παράγραφος. Σῖγα σῖγα] ἠρέμα, καὶ μεθ' ἡσυχίας. πρεπόντως δὲ τῷ πάθει, καὶ ἡ τοῦ ῥυθμοῦ ἀγωγὴ δοχμιάζουσα, λεπτὸν δὲ ἴχνος ἀρβύλης. ἀντὶ τοῦ κούφως καὶ ἐλαφρῶς τιθεῖτε τὸν πόδα μετὰ τῆς ἀρβύλης. εἰ δὲ γράφεται λευκὸν ἴχνος, ἀπὸ μέρους τὸ ὅλον. ὡς τὸ ἀργυρόπεζα Θέτις. ἴχνος δὲ λέγει τὸν πόδα, καὶ ἀρβύλη ἐστὶν εἶδος ὑποδήματος γυναικεῖον κοῖλον, καὶ βαθύ. Λευκὸν] εἰ μὲν λευκὸν, συνάπτε τῷ σῖγα σῖγα, καὶ λέγεται κατ' ἀντίπτωσιν οὕτω. μετὰ σιγῆς μετὰ σιγῆς τιθεῖτε τὴν ἀρβύλην τοῦ λευκοῦ ἴχνους, ἤγουν τοῦ λευκοῦ ποδός. εἰ δὲ λεπτὸν, στίζεται μετὰ τὸ σῖγα σῖγα. καὶ ἔχει τὸ πᾶν οὕτω, μετὰ σιγῆς ἔρχεσθε δηλονότι, εἶτα λεπτὸν, τιθεῖτε, ἀντὶ τοῦ ἥσυχον τὸ ἴχνος, ἀντὶ τοῦ τὴν βάσιν τῆς ἀρβύλης. ἔστι δὲ ἀρβύλη εἶδος γυναικεῖον ὑποδήματος. Ἄλλως. Μετὰ σιγῆς τιθεῖτε τὸ λευκὸν ἴχνος τῆς ἀρβύλης. ἀντεστραμμένως, ἀντὶ τοῦ τὴν ἀρβύλην τοῦ λευκοῦ ἴχνους, ἤτοι τοῦ λευκοῦ ποδός. εἰ δὲ λευκὸν γράφεται, συνάπτε οὕτως. μετὰ σιγῆς ἔρχεσθε δηλονότι, τιθεῖτε τὸ ἴχνος τῆς ἀρβύλης ἐλαφρὸν, μὴ κτυπεῖτε, μηδ' ἔστω κτύπος. 141 Τιθεῖτε] ποιητικῶς, ἀντὶ τοῦ τιθῶμεν. εἰσελήλυθε δὲ ἦχος κατὰ ὑπόθεσιν, ἔνδον. Ἀποπρόβατε] τὸ ὁλόκληρον τοῦτο τινὲς φασὶν ἀποπρόβητι. καὶ τὸ παρὰ τῷ Ὁμήρῳ οὕτως ἐκδέχονται, τουτέστιν ἀποπρονομῆς. τὸ δὲ ἰδοὺ πείθομαι, εἰκὸς ὀξύτερον εἰρηκέναι τοῦ χοροῦ. διὸ καὶ Ἠλέκτρα ἀηδὴς γενομένη, φησὶν, ἆ ἆ. φυσικῶς δὲ τοῦτο πρέπον εἶπεν. ἐπειδὴ αὕτη ὑπὸ τῆς σύριγγος τὴν φωνὴν εὕρηται. ἀμέλει γοῦν ἐπειδὰν τι θεάσηται τις παράδοξον, οὐδὲν ἕτερον ἀναβοᾷ, ἢ τὸ ἆ ἆ, τῆς σύριγγος ἀγούσης πρὸς τοῦτο. εἶτα φησὶ πρὸς τὸν χορὸν, τοιαύτην πέμπε φωνὴν, οἷος ἐστὶν ἦχος σύριγγος καλάμων λεπτῶν ἐν τοῖς ἕλεσιν ἀποπλασμένος. οὐ γὰρ τὸ ὄργανον σύριγγα φησί. τοῦτο γὰρ πολύφωνον. Ἀποπρόβατε] μακρὰν τῆς κοίτης πορεύθητε ἐκεῖσε. ἀπόστητε, ἤτοι ἄγαν μακράν. Ἐμοὶ] χάριν ἐμοῦ. 144 Ἆ, ἆ] φώνει μοι, ὦ φίλη, καθὰ πνοὴ ἀπὸ λεπτοῦ δόνακος. Σύριγγος ὅπως πνοὰ] ἀθορύβως φησὶ φώνει μοι, ὡς πνοὴ συρίγγος δόνακος. οὐ γὰρ φησὶ σύριγγος τοῦ αὐλοῦ. οὗτος γὰρ καὶ Ἐνδυμίωνα ἐγείρει. διαθέσεως ἐμφατικὸν τὸ μοι, ὡς τὸ * Πάτροκλέ μοι δειλῷ. Δόνακος δόναξ κάλαμος λεπτὸς ἐν τοῖς ἕλεσι φυόμενος. τινὲς δὲ φασὶ τὸ λεγόμενον ἰδιωτικῶς † ῥαγάζιον, οὐ καλῶς λέγοντες. οὐ γὰρ ἀπὸ τούτου σύριγξ γίνεται. 147 Ἰδ' ἀτρεμαίαν] μικρὸν σύ φησὶ καλλίστης μοι φωνεῖν, ὡς ψιθυρίζει τῇ τοῦ ἀνέμου κινήσει κάλαμος. ἐγὼ δὲ καὶ ἔλαττον αὐτοῦ φέρω μοι βοὴν, ὡς ὑπὸ Ὀρόφου γινομένην. ὁ δὲ Ὄροφος κάλαμός ἐστιν ἀσθενής τε καὶ παπυρώδης, οὗ μέμνηται καὶ Ὅμηρος, λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες. ἐκ τούτου δὲ γίνονται καὶ αἱ γλωττίδες τῶν αὐλῶν. ὡς ἀσθενὴς δὲ, ἀσθενῆ ποιεῖται τὴν ἀπήχησιν, τῷ μὴ ἀνθίστασθαι τῇ βοῇ τοῦ πνεύματος. Ὡς ὑπόρροφον φέρω βοάν] τινὲς φασὶν

* Iliad. τ. v. 287. † Ῥαγάζιον] Vid. Joh. Meurſii Lexicon Græco barbarum.

ANNOTATIONES.

V. 128. Εἴδετε παρ' ἄκρας] *Duportus* hic legit Εἴδετε γὰρ, ἄκρας, &c. quod minùs diſplicet. Nullum autem exemplar conjecturam hanc probat.
V. 140. Σῖγα, σῖγα legit *Canterus*, & λεπτὸν, alias λευκόν.
V. 148. Ὑπόρροφον,] Ὑπώροφον *Duport.* legit, nec Verſus reſpuit; ſcio ὑπώροφον dici; fortè & ὑπόρροφον, ita enim in *Phavorino* quoque legitur, niſi mendum ſit.

9 Φέρω βοάν. Ηλέ. καλῶς ὕτω.
10 Κάταγε κάταγε. πρόσιθ' ἀτρέμας.
11 Ἀτρέμας ἴθι, λόγον ἀπόδος ἐφ' ὅ, τι
12 Χρέος ἐμόλετέ ποτε.
13 Χρόνια γὰρ πεσὼν ὅδ' εὐνάζεται.

Ἀντιστροφὴ ά.

Χο. 1 Πῶς ἔχει; λόγου μεταδὸς, ὦ φίλα.
Ηλ. 2 Τίνα τύχαν εἴπω; τίνα δὲ συμφοράν;
3 Ἔτι μὲν ἐμπνέει,
4 Βραχὺ δ' ἀναστένει.
Χο. 5 Τί φής; ὦ τάλας. Ηλ. ὀλεῖς, εἰ βλέ-
6 φαρα κινήσεις
7 Ὕπνου γλυκυτάταν φερομένῳ χαράν.
Χο. 8 Ὦ μέλεος, ἐχθίστων θεό-
9 θεν ἐρ(γ)μάτων. ὦ τάλας· φεῦ μόχθων.
Ηλ. 10 Ἆ, ἆ. ἄδικος ἄδικα τότ' ἄρ' ἔλακεν
11 Ἔλακεν, ἀπόφονον ὅτ' ἐπὶ τρίποδι
12 Θέμιδος ἄρ' ἐδίκασε
13 Φόνον ὁ Λοξίας ἐμᾶς ματρός.

Στροφὴ β.

Χο. 1 Ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας.
Ηλ. 2 Σὺ γὰρ νιν, ὦ τάλαινα,

9 Profero vocem. *El.* Rectè ite.
10 Appelle, appelle. Adito tacite.
11 Tacitè ito. Dicas propter quam
12 Causam venistis.
13 Diu enim jacens iste dormit.

Antistrophe I.

Cho. 1 Quomodo habet? dicas O chara.
El. 2 Quam fortunam dicam, aut quam calamitatem?
3 Adhuc quidem ſpirat,
4 Et aliquantulum gemit.
Cho. 5 Quid dicis? O miser. *El.* Perdes eum ſi pal-
6 pebras movebis
7 Habenti dulciſſimas delicias ſomni.
Cho. 8 O miser, propter infanda quæ divini-
9 tùs acciderunt facta. O miser, heu! propter labores, *quos patitur.*
El. 10 Heu, heu! injuſtus injuſta tunc ergo dixit,
11 Dixit, quando abominandam in tripode
12 Themidis, pronunciavit
13 Apollo cædem meæ matris.

Strophe II.

Cho. 1 Vides? movet corpus in veſtibus.
El. 2 Tu eum, O miſera,

βολὴν ὑπόρροφον, τὴν μὴ δυναμένην ἐκτὸς τοῦ οἴκου ἀκούεσθαι. ἄλλοι δὲ τὴν ὑπὸ ὀρόφου καλάμου γενομένην. ὄροφον γὰρ λέγουσι, λεπτόν τινα κάλαμον πεπυρωμένον, ᾧ χρῶνται εἰς ὀροφὰς οἱ ἄνθρωποι, πειθόμενοι τοῦτο ἐκ τοῦ ἄνωθεν τῆς Ἠλέκτρας λόγου. εἰπούσης γὰρ ἐκείνης πρὸς τὸν χορὸν, ὦ φίλαι, φωνεῖτε ὥσπερ πνοὴ καὶ ἀπήχησις σύριγγος λεπτοῦ δόνακος. ἀποκρινόμενος ὁ χορὸς φησὶ, θέασαι ὅτι φέρω βολὴν ἥσυχον, ὑπόρροφον, τουτέστι γενομένην ὑπὸ ὀρόφου. καὶ Ὅμηρος, λαχνῆεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες. ἐκ τούτου τοῦ ὀρόφου ποιοῦσιν οἱ παῖδες αὐλοὺς λεπτοὺς ἠχοῦντας, καὶ μὴ δυναμένους ἐξακούεσθαι δι' ἀσθένειαν. Ὑπόρροφον] ὄροφος λεπτὸς κάλαμος εἰς ὀροφὰς ἐπιτήδειος. ὑπόρροφον οὖν, τὴν μὴ διικνουμένην ἔξω τοῦ ὀρόφου, ὅ ἐστι βραχεῖαν. Ἴδ' ἀτρεμαίαν, ἰδοὺ φέρω βολὴν ἀτρεμαίαν, καὶ ἀθόρυβον, καὶ λίαν ὑπόρροφον, καὶ ἁπλῆν, ἤγουν ἥσυχον. [148] Ναὶ οὕτως] ναὶ οὕτω φάνει δηλονότι, κάταγε κάταγε, ἤγουν ταπείνου τὴν σὴν φωνὴν, πρόσελθε ἡσύχως, ἡσύχως ἐλθέ. ἀπόκριναι δὲ δι' ἣν αἰτίαν ἤλθετε καὶ χρείαν. Χρόνια γὰρ ἀντὶ τοῦ χρονίως, ἤτοι βραδέως πεσὼν, ὅδε ὁ Ὀρέστης εὐνάζεται καὶ ἀναπαύεται. Κάταγε] κάταγε τῇ ἐπαναλήψει μιμεῖται τὴν ἠρεμαίαν προϊεμένην φωνήν. ἔτι γὰρ ὡς ἐξακουομένης, δεύτερον ταῖς αὐταῖς λέξεσι κέχρηται. Τὸ κάταγε] ἐναντίον ἐστὶ τῇ ἀνατάσει τῆς βοῆς. σημαίνει δὲ τὸ κάταγε, τὸ πρόσελθε. ἀφ' οὗ καὶ καταγωγοὶ οἱ λιμένες. χρόνια δὲ ἀπὸ πολλοῦ χρόνου. τοῦτο δὲ ἀναφορὰν ἔχει, πρὸς τὸ πρόσιθι ἀτρέμας. ὁ δὲ νοῦς χρόνιος, ὃ ἐστι διὰ χρόνου ἐκοιμήθη. [153] Πῶς ἔχει] πῶς διάκειται ὁ Ὀρέστης, μεταδὸς ἡμῖν λόγου, ὦ φίλη. Τίνα τύχην καὶ δυστυχίαν αὐτοῦ εἴπω. τίνα δὲ συμφορὰν, ἔτι μὲν ἀναπνεῖ, βραχὺ δὲ καὶ ὀλίγον ἀναστένει. Ποίαν τύχαν] ἴαμβος χρὴ εἶναι ὁ στίχος, ὡς καὶ ὁ τῆς στροφῆς, διὸ οὕτως ἐγράφη παρ' ἡμῖν, ποίαν τύχαν, ποίαν δὲ συμφοράν. καὶ ἔστι τὸ ποῖ τὸ δεύτερον κοινὴ συλλαβὴ, διὸ καὶ τὸ παρ' ἡμῖν ἐπενοήθη ἐπὶ ταῖς κοιναῖς συλλαβαῖς ἐπιτίθησι σημεῖον, ὡς καὶ ἐν τοῖς ἄλλοις τοῖς τοιούτοις. τί φής, ὦ τάλας, ὁ Ὀρέστης δηλονότι. Ὦ τάλας] οἰκειούμενος τὰς συμφορὰς ὁ χορὸς, καὶ συναχθόμενος, γεγωνότερον ἀνέκραγε τὸ ὦ τάλας. διὸ φησὶν, ὀλεῖς εἰ βλέφαρα κινήσεις. δεῖ δὲ νοεῖν στεναγμόν τινα γενέσθαι μετὰ τὸ ὦ τάλας, ὑπὸ τοῦ χοροῦ, ἵνα εὔλογον ᾖ τὸ ὑπὸ τῆς Ἠλέκτρας εἰρημένον. σὺ γάρ νιν, ὦ τάλαινα, θωΰξασ' ἔβαλες ἐξ ὕπνου. Τί φής] πρὸς τὴν Ἠλέκτραν, ὦ τάλας, ἢ πρὸς τὸν Ὀρέστην. Ὀλεῖς] ἀπολεῖς αὐτὸν, εἰ κινήσεις τὰ βλέφαρα ἐκείνου, φέροντος ἡδονὴν ὕπνου γλυκυτάτην. Ὦ ἄθλιος ἕνεκα τῶν πράξεων τῶν θεοστυγεστάτων. ὦ τάλας, φεῦ ἕνεκα τῶν μόχθων. [162] Ἆ ἆ] ἄδικος ὢν ὁ λοξίας, ἄδικα τότε εἶπεν, ὅτε ἐπὶ τῷ τρίποδι τῆς Θέμιδος ἔκρινε τὸν φόνον τὸν μιαρὸν, καὶ μὴ ἄξιον ὄντα γενέσθαι. Ἄλλως. Ἆ ἆ ἄδικος. τοῦτ' ἐστι τὸ ἀλλαχοῦ εἰρημένον, Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα. ἐπειδὴ γὰρ ἔδοξεν ἀτυχῶς τῷ Ὀρέστῃ πεπρᾶχθαι τῆς μητρὸς ὁ φόνος, ἄδικος ὁ λοξίας νενόμισται, ἢ τὸ ἄδικα ἐδίκασεν, ἐμφαίνει ὅτι δικαίως ἐμαντεύσατο τὸν φόνον τῆς μητρός. ἀδικεῖ δὲ τῷ δεδρακότι μὴ ἐπικουρῶν. τὸ δὲ ἑξῆς οὕτως, ὁ ἄδικος λοξίας, ἄδικα τότε ἐδίκασεν, ὅτε ἐπὶ τρίποδος Θέμιδος τὸν φόνον ἔλακεν ἐμῆς μητρός. καὶ Ἀριστοφάνης, ἔλακεν ἐκ τῶν στεμμάτων τραγικῇ λέξει χρησάμενος, ὅτε τὸν ἀπόφονον τῆς ἐμῆς μητρὸς ἐπὶ τρίποδι Θέμιδος ὁ λοξίας ἀπέλακεν, ἀντὶ τοῦ ἀπεφθέγξατο. τὸ ἀπόφονον Ἀπόλλωνι, οὐκ Ὀρέστῃ ἐγκαλοῦσα φησίν. ἔνιοι δὲ ἀπόφονον ἐδέξαντο τὸν ἄτοπον φόνον. τὴν δὲ ἀπὸ πρὸς τὸ ἔλακεν, ἀπέλακεν, ἀντὶ τοῦ ἀπεφθέγξατο. [161] Ἄδικος] οἱ λαμβάνοντες εἰς τὸ ἄδικος ἔξωθεν τὸ ὑπάρχει, καὶ στίζοντες ἐνταῦθα, ἀμαθεῖς. τὸ δ' οὕτως ἔχει. δέον γὰρ εἰπεῖν ἀδίκως ἔλακεν τότε ὁ λοξίας ἄδικα. ἄδικος εἶπε πρὸς τὸ λοξίας. ἀπατῶνται δὲ ἐκ τοῦ ἄδικα, οὐκ εἰδότες ὅτι τὸ ἄδικος καὶ τὸ ἄδικα παραδυναμοῦσιν, ὥς τε καὶ εἰ ἓν τούτων ἀπῆν, ἄρτιος ἦν ὁ λόγος. ἄδικος ὢν ὁ λοξίας, ἄδικα ἄρα τότε εἶπεν, ὅτε ἐπὶ τρίποδι τῆς Θέμιδος ἐδίκασεν, ἤγουν ἔκρινε τὸν ἀπόφονον τῆς ἐμῆς μητρὸς, ἤγουν τὸν μιαρὸν, καὶ μὴ ἄξιον γενέσθαι. Τὸ δὲ ἔλακεν, οὐ παρακείμενος ἐστὶν ὡς οἴονταί τινες, ἀλλ' ἀόριστος β΄, διὸ καὶ βραχὺ ἔχει τὸ α. λέλακα γὰρ ἐστὶν ὁ παρακείμενος, ὡς καὶ Ἡσίοδος τὸ λέληκας. [163] Ἐπὶ τρίποδι Θέμιδος] οὕτω νοητέον, ἢ ἐν τῷ τρίποδι τῆς Θέμιδος, τουτέστι τῆς δικαιοσύνης, ἐν ᾧ καθημένη ἡ Πυθία, καὶ ὑπὸ τοῦ Ἀπόλλωνος κατεχομένη, τὰ δίκαια πᾶσιν ἐθέσπιζεν. ἢ ὥς φασί τινες, ὅτι ὁ τρίπους πρότερον ἦν τῆς Γῆς, εἶτα τῆς Θέμιδος. ἡ δὲ Θέμις θεὰ παρ' Ἕλλησιν, ἔφορος δικαιοσύνης, εἶτα τοῦ Ἀπόλλωνος ἐγένετο παρὰ Θέμιδος λαβόντος. Λοξίας] λοξίας ὁ Ἀπόλλων καλεῖται. ὅτι λοξὰ καὶ διπλῶς νοούμενα ἐμαντεύετο. καὶ γὰρ τῷ Κροίσῳ, ὅτε στρατεύσειν κατὰ Κύρου ἔμελλεν, ἐρωτήσαντι εἰ τοῦ ἐχθροῦ κρείσσων, εἶπε· Κροῖσος Ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει· τοῦτο δὲ ἦν παντάπασιν ἄγνωστον, εἴτε τὴν οἰκείαν, εἴτε τὴν Κύρου. ὅθεν ἀπατηθεὶς ὁ Κροῖσος, καὶ μεγάλην ἀρχὴν τὴν τοῦ ἀντιδίκου ὑπολαβὼν, ἐλθὼν καταλέλυκε τὴν οἰκείαν, ὡς ὑπὸ τοῦ ἐχθροῦ ἑαλωκέναι, καὶ εἰς πῦρ ἐμβληθῆναι. ὃν εἰ μὴ Ζεὺς οἰκτείρας ἀφῆκεν ὕδωρ ἐπὶ τὴν φλόγα, τάχ' ἂν ἀπολώλει, ἔργον πυρὸς γενόμενος. ἦν δὲ ὁ Κροῖσος, Λυδῶν βασιλεύς. [166] Ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας] σύστημα κατὰ περικοπήν. ἀνομοιομερὲς μὲν τῷ μετὰ τὴν πρὸς τὰς στροφάς. ὁμοιομερὲς δὲ τῷ μετὰ τὴν ἑξῆς κειμένην στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, θρέει τις κακῶν. ἔστι δὲ κώλων ὀκτὼ τὸ α΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπαστοῦ ἐπιτρίτου β΄ καὶ ἰάμβου. τὸ β΄ ἰαμβικὸν ἑφθημιμερές. τὸ γ΄ ἀντισπαστικὸν, δίμετρον καταληκτικὸν, φερεκράτειον, ἐξ ἀντισπάστου ἐπιτρίτου β΄ καὶ ἰάμβου, τὸ γ΄ ἰαμβικὸν ἑφθημιμερές. τὸ δ΄ ἰαμβικὸν ὅμοιον τῷ β΄. τὸ ε΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ς΄ ἐκ χορείων, ὅμοιον τῷ α΄. τὸ ζ΄ παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δὲ καὶ κρητικοῦ. τὸ η΄ τροχαϊκὸν ἰθυφαλλικόν. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. Ὁρᾷς; κινεῖ τὸ δέμας ἐν τοῖς πέπλοις. Σὺ γάρ νιν] σὺ γὰρ ἀγρίως φωνήσασα ἐξέβαλες τοῦ ὕπνου αὐτόν. τὸ γὰρ, ὦ

ANNOTATIONES.

V. 154. Τίνα τύχαν] *Scholiaſt.* ποίαν pro τίνα utrobique legit & Iambicum Carmen facit. Cui conſentit *Canterus.* Et *Iambicum* quidem eſt, nam ultima τῦ τίνα poteſt producere ante τ' & δ'. Vid. Not. ad *Iphig. Aul.*

V. 162. *Joſua Barnes*

V. 163. Ἀπόφονον εἶναι] Vid. infra V. 192. ſic κόσμος ἄκοσμος. δύσεργα ἄδωρα. Παῖγε, δύσπαρις.

	3 Θωΰξασ', ἔβαλες ἐξ ὕπνου.	3 Vociferans excitaſti è ſomno.
Χο.	4 Εὕδειν μὲν οὖν νιν ἔδοξα,	Cho. 4 Puto eum quidem dormire.
Ηλ.	5 Οὐκ ἀφ' ἡμῶν; οὐκ ἀπ' οἴκων	Ele. 5. Non à nobis diſcedis, non ab ædibus
	6 Πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις	6 Rurſus tuum pedem volves,
	7 Μεθεμένα κτύπου;	7 Omittens ſtrepitum?
Χο.	8 Ὑπνώσσει. Η. λέγεις εὖ.	Cho. 8 Dormit. Ele. Rectè dicis.

Στροφὴ γ'. — Strophe III.

Χο.	1 Πότνια πότνια Νὺξ,	Cho. 1 O veneranda veneranda Nox,
	2 Ὑπνοδότειρα τῶν	2 Dans ſomnos
	3 Πολυπόνων βροτῶν	3 Laborioſis hominibus,
	4 Ἐρεβόθεν ἴθι·	4 Veni ex erebo.
	5 Μόλε κατάπτερος	5 Veni veni alata
	6 Τὸν Ἀγαμεμνόνιον ἐπὶ δόμον.	6 In domum Agamemnonis;
	7 Ὑπὸ γὰρ ἀλγέων,	7 Nam propter dolores
	8 Ὑπό τε συμφορᾶς,	8 Et calamitates
	9 Διοιχόμεθα, διοιχόμεθα.	9 Perimus, perimus.
Ηλ.	10 Κτύπον ἠγάγετε. Χ. * Οὐχί.	El. 10 Facitis ſtrepitum. Cho. Non.
Ηλ.	11 Σῖγα, σῖγα, φυλασσομένα στόματος	El. 11 Tacitè, tacitè cavens ab ore
	12 Ἀνακέλαδον ἀπὸ λέχεος,	12 Sonitum, à lecto diſcedens;
	13 Ἥσυχον ὕπνου χαρὰν παρέξεις, ὦ φίλα.	13 Exhibebis quietum gaudium ſomni, O chara.

*al. ὑμεῖς.

Ἀντιστροφὴ β'. — * Antiſtrophe II.

Χο.	1 Φράζε, τίς κακῶν τελευτὰ μένει;	Cho. 1 Dic, quis erit finis malorum?
Ηλ.	2 Θανεῖν. τί δ' ἄλλο γ' εἴπω;	Ele. 2 Mors. Quid enim aliud dicam?
	3 Οὐδὲ γὰρ πόθον ἔχει βορᾶς.	3 Non enim habet deſiderium cibi.
Χο.	4 Πρόδηλος ἄρ' ὁ πότμος.	Cho. 4 Manifeſta igitur eſt mors.
Ηλ.	5 Ἐξέθυσ' ὁ Φοῖβος ἡμᾶς	Ele. 5 Perdidit nos Phœbus
	6 ... ἄνυσον ἀπόφονον αἷμα δοὺς	6 Dans miſerum ſanguinem vetitum,

πάλαι, γεγωνότερον εἶπεν ὁ χορός. τινὲς δὲ φασὶν ὅτι φωνῇ θρηνώδει ἐχρήσατο ὁ χορὸς, καθεῦδαι μὴ δυναμένη, εὔγμοῦ, εὔγμοῦ τραχυτέρα, ὅπερ εἰώθασι ποιεῖν αἱ γυναῖκες ἐπὶ τοῖς ὑπερβάλλουσι κακοῖς. ἃ γὰρ μὴ δύναται γράψαι, ταῦτα δι' ἑτέρων προσώπων δηλοῦται· οἷον τί κ̀ ἐπὶ τοῦ κωμικοῦ οἰκέτου στενάξαντος, ἕτερος φησὶν, ἀκούεις ὡς στένει. Εὕδειν μὲν οὖν νιν ἔδοξα, ἀντὶ τοῦ δοκῶ. καθησυχάζουσα δὲ τὴν Ἠλέκτραν, φησὶν ὅτι καθεύδειν αὐτὸν νομίζω. διὸ ἐπιφέρει τὸ ὑπνώσσει δεικτικόν. λέγει νιν ὡς ἀμφίβολον εἰποῦσαν, οὐκ ἔπεισε, μὴ ταράττε φησὶν ὁ χορὸς, ὑπνώσσει γάρ. τὰ γὰρ δύο τοῦ ἐπιστῶντος ῥῆμα ποιοῦσι τὸ ὑπνώσσει. [171] Εὖ λέγεις] ἀληθῶς κ̀ καλῶς λέγεις. ταῦτα δὲ φησὶ, σιωπήσασα ἀπὸ τοῦ κοιμωμένου. Οὐκ ἀφ' ἡμῶν] οὐκ ἀφ' ἡμῶν ἀποστήσῃ δηλονότι, οὐκ ἀπὸ τῶν οἴκων πάλιν ἀναστρέψεις τὸν σὸν πόδα, μεθεμένα κ̀ ἀφεῖσα τοῦ κλύπου. Πότνια πότνια νὺξ] ἡ δευτέρα αὕτη στροφὴ, κώλων ἐστὶ ιγ, τὸ α τροχαϊκὸν πενθημιμερὲς ἐκ δύο χορείων, εἰ δὲ βούλει ἰαμβικόν. τὸ β κ̀ γ παιωνικὸν ὁμοίως, ἐκ [illegible] κ̀ ἰάμβων. τὸ δ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ χορείων. εἰ δὲ βούλει, ὅμοιον τῷ α, κ̀ τῆς ἐκεῖ μακρᾶς διαλελυμένης ἐν τούτῳ. τὸ ε ὅμοιον τῷ β. τὸ ς παιωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παιώνων πρώτων δύο, τοῦ α πενταβραχέος, κ̀ δύο συλλαβῶν ἀδιαφόρων. τὸ ζ κ̀ τὸ η ὅμοια. τὸ θ παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β κ̀ πρώτου, τὸ ι ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον ἐκ β ἀναπαίστων κ̀ ἰάμβου. εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος γ κ̀ διϊάμβου. τὸ ια δακτυλικὸν ἑφθημιμερές. τὸ ιβ τροχαϊκὸν, ἢ ἰαμβικὸν τριῶν χορείων, κ̀ συλλαβῆς. τὸ ιγ ἰωνικὸν, ἀπὸ μείζονος, τρίμετρον ἀκατάληκτον, κ̀ παίωνος α ἀντὶ ἰωνικοῦ δ τροχαίου, κ̀ ἔγκειται διὰ τὴν ἀδιαφορίαν, ἢ ἰωνικοῦ. ἐπὶ τῷ τέλει παράγραφος. κ̀ διπλῆ ἔσω κ̀ ἔξω νενευκυῖα, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσα ἔχειν ἀνταπόδοσιν. [174] Πότνια πότνια] ὦ νὺξ σεβασμία, ἡ τοῦ ὕπνου παρεχομένη τοῖς πολυπόνοις ἀνθρώποις. δίδωσι δὲ τοῦ ὕπνου ἡ νὺξ ἐξαιρέτως, διὰ τὸ ὑγρὰν εἶναι τῇ ἀποστάσει τοῦ Ἡλίου τοῦ ξηραίνοντος τὸν ἀέρα. ἐλθὲ ἀπὸ τοῦ ἐρέβους, μόλε ταχεῖα ἐπὶ τὸν δόμον τὸν Ἀγαμεμνόνειον. ὑπὸ γὰρ ὀδυνῶν κ̀ συμφορᾶς φθειρόμεθα, ὁ κατὰ φύσιν ὕπνος ἐξ ὑγρότητος γίνεται. ὑγρὰ δὲ ἡ νὺξ, ἀφισταμένου τοῦ Ἡλίου, τοῦ ξηραίνοντος κ̀ θερμαίνοντος τὸν ἀέρα. ὁ τοίνυν Ὀρέστης ἐξηρασμένος ὑπὸ νόσου τε κ̀ ἀσιτίας, ὑγρανθεὶς τῷ νυκτερινῷ διαστήματι, μᾶλλον κοιμηθήσεται. ἄλλως τε κ̀ τῶν αἰσθήσεων ἠρεμουσῶν ἐν σκότῳ, ἕπεται ὕπνος, ἡσυχίᾳ αἰσθήσεων κ̀ κινήσεων. ἔδει δὲ ἐκ Χάους εἰπεῖν ὡς Ἡσίοδος. ἐκ Χάεος ἔρεβός τε μέλαινά τε νὺξ ἐγένοντο. Ἄλλως. τοῦτο τὸ μέλος ἐπὶ ταῖς λεγομέναις νήταις ᾄδεται, κ̀ ἔστιν ὀξύτατον. ἀπίθανον οὖν τὴν Ἠλέκτραν ὀξείᾳ φωνῇ κεχρῆσθαι κ̀ ταῦτα ἐπιπλήσσουσαν τῷ χορῷ. ἀλλὰ κέχρηται μὲν τῷ ὀξεῖ ἀναγκαίως. λεπτότερον δὲ ὡς ἔνι μάλιστα. [177] Ἐρεβόθεν] ἐρεβόθεν ἐλθεῖν τὴν νύκτα καλεῖ, τουτέστιν ἀπὸ χάους. κατερχομένου γὰρ τοῦ Ἡλίου εἰς τὸ ὑπὸ γῆν ἡμισφαίριον, σκότος ἐπάνω τῆς γῆς γίνεται, ὥσπερ ἐκ τῶν κάτωθεν ἀνιέναι δοκοῦν, οὐχ ὡς ὂν ἐν τοῖς κάτω κ̀ ἀνερχόμενον, ἀλλὰ τῇ ἀπουσίᾳ τοῦ φωτὸς τοῦτο ὑφίσταται, οὐκ ἔχον αὐτὸ καθ' ἑαυτὸ οἰκείαν ὑπόστασιν. ἐλθεῖν λέγει τὴν νύκτα, οὐχ ἵνα γένηται νὺξ, πῶς γὰρ οἷόν τε ἡμέρας οὔσης; ἀλλ' ἐπειδὴ νυκτὶ ὑπνώττουσιν ἄνθρωποι, διὰ τοῦτο φησὶν, ἄλλως τε κ̀ οἱ κοιμώμενοι ὥσπερ νύκτα ἔχουσι διὰ τὸ μὴ ὁρᾶν. Ὑπνοδότειρα] ἡ τοῦ ὕπνου δωρουμένη τοῖς πολυπόνοις βροτοῖς. δίδωσι δὲ τοῦ ὕπνου ἡ νὺξ ἐξαιρέτως, διὰ τὸ ὑγρὰν εἶναι τῇ ἀποστάσει τοῦ Ἡλίου τοῦ ξηραίνοντος τὸν ἀέρα. [183] Οὐχί] ὑμεῖς οὐ χρὴ γράφειν ἐνταῦθα, ἢ οὐδαμῶς. ἁρμόζει γὰρ ἀμφότερα τῷ μέτρῳ. τὸ δὲ οὐχί, ἐλλιπές ἐστιν. Φυλασσομένα. ἤγουν ἀφεῖσα μεγάλην βοὴν πλησίον τῆς αὐτοῦ κοίτης, κ̀ πόῤῥω γενομένη, ὅπως μὴ ἐκστήσῃς αὐτὸν ὡς ὑπνώσσοντα. Κτύπον ἠγάγετε, ἀντὶ τοῦ ἐποιήσατε. Σῖγα, σῖγα] μετὰ σιγῆς διαλέγου μοι δηλονότι, φυλασσομένη, κ̀ ἐκφεύγουσα τὸν εἰς ὕψος τοῦ στόματος κέλαδον, παρέξεις, ὦ φίλη, ἡδονὴν ὕπνου ἥσυχον, εἰ τοῦτο ποιήσεις. Ἄλλως. οὐ σιωπήσεις φασὶν, ἀπὸ τοῦ στόματος φυλαττομένη τὸ ἀνακελαδεῖν, κ̀ τὴν ἀπὸ τῆς κοίτης ὕπνου χάριν ἥσυχον αὐτῷ παρέξεις; ἢ τὸν κέλαδον ἄποθεν τοῦ λέχους ποιουμένη; οὐδὲ οὐ σιγήσεις, κ̀ μεθ' ἡσυχίας αὐτὸν ἐάσεις κοιμηθῆναι; Φράζε τίς κακῶν] λέγε ποῖον τέλος αὐτὸν ἐκδέχεται, ἄρα δύναται ῥᾶσαι, ἢ οὔ. εἰπὲ ποῖον ἔσται τὸ τέλος, ποῖον πέρας αὐτὸν μένει. Φράζε τίς κακῶν τὸ παρὸν σύστημα, ὅμοιόν ἐστι τῷ τῆς προειρημένης στροφῆς συστήματι, οὗ ἡ ἀρχὴ, ὁρᾷς ἐν πέπλοις. κ̀ τοῦτο γὰρ κώλων, ὅμοιόν ἐστι τῷ η. ἐπὶ τῷ τέλει παράγραφος. [189] Οὐδὲ γὰρ πόθον ἔχει βορᾶς] ἴσχει πόθον χρὴ γράφειν, ἢ πόθον ἔχει. οὕτω γὰρ ἔχει πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον οἰκείως. κ̀ τὸ ἄρα δὲ ἐνταῦθα, εἰ κ̀ συμπερασματικόν ἐστιν, ἀλλ' οὖν ἀντὶ μακροῦ λαμβάνεται παρὰ τοῖς ποιηταῖς, ὡς κ̀ τὸ ἀπορηματικὸν ἐνίοτε ἀντὶ βραχέος. διὰ τοῦτο μὲν προσελαύνεται ἀντιστρόφως, ἐκεῖνο δὲ ὀξύνεται. Ἐξέθυσεν] ἀπώλεσεν ἡμᾶς ὁ Ἀπόλλων ὁ πατροφόνον μητρὸς αἷμα δοὺς, οὐκ ἐνδοὺς ἡμῖν, κα-

ANNOTATIONES.

V. 184. Σῖγα, σῖγα] *Canterus* legit σῖγα, σῖγα ἐπὶ ἰαματικῶς.
V. 185. Ἀνακέλαδον] aliàs ἀνακελαδεῖν, i.e. τὸ ἀνακελαδεῖν.
V. 186. Ὦ φίλα] Dele ὦ ob verſum. *Joſua Barnes.*
V. 189. ἔχει] aliàs ἴσχει & ſic legit *Scholiaſt.*
V. 192. Ἀπόφονον] Vid. ſupra v. 163.

7 Πατέρ-

7 Πατροφόνου ματρός.

Χο. 8 Δίκαια μὲν, καλῶς δ' οὔ.

Ἀντιστροφὴ γ'.

Ηλ. 1 Ἔκανες, ἔθανες, ὦ

2 Τεκομένα με

3 Μᾶτερ, ἀπὸ δ' ὤλεσας

4 Πατέρα, τέκνα τε τάδε

5 Σέθεν ἀφ' αἵματος.

6 Ὀλόμεθ', ὀλόμεθ' ἰσονέκυες·

7 Σὺ γάρ τ' ἐν νεκροῖς,

8 Τό, τ' ἐμὸν οἴχεται

9 Βίου τὸ πλέον μέρος ἐν

10 Στοναχαῖσί τε καὶ γόοις,

11 Δάκρυσί τ' ἐννυχίοις. ἄγαμος,

12 * Ἔπι δ' ἄτεκνος, ἅτε βίοτον * al. Ἐπεί.

13 Ἁ μέλεος εἰς τὸν αἰὲν ἕλκω χρόνον.

7 Patricidæ matris.

Cho. 8 Justè quidem factum, sed non pulcrè.

Antistropha III.

Ele. 1 Necasti, necata es, ô

2 Quæ peperisti me

3 Mater, perdidisti verò

4 Patrem & liberos istos

5 A tuo sanguine. [illegible]

6 Periimus, periimus similiter mortuis:

7 Tu enim es mortua,

8 Et abit mea

9 Pars vitæ major in

10 Gemitibus & luctibus,

11 Et lacrymis nocturnis: cœlebs

12 Et sine liberis, nempe vitam

13 Misera in perpetuum traho.

λάβοις τὸν τῆς μητρὸς φόνον ἐργάσασθαι. τὸ δὲ ἑξῆς μέλεον ἀπαδοὺς αἷμα φόνου πατροφόνου μητρός. Ἄλλως. ἢ ἐξ ... πρὸς τὸ πατροφόνου, τουτέστι δοὺς ἡμῖν τὸ αἷμα καὶ τὸν φόνον τῆς πατροφόνου μητρὸς, οἷον ἐγχειρίσας ἡμῖν, καὶ κελεύσας ἀπὸ τοῦ φόνου καὶ τοῦ αἵματος τῆς μητρὸς, τιμωρῆσαι τῷ πατρί. δύναται δὲ καὶ ἀποδούς. 194 Δίκαια κ.λ.] ὠφείλετο μὲν γὰρ αὐτὴν ἀναιρεθῆναι, οὐ μέντοι ὑπὸ τοῦ παιδός. Δίκαια· δίκαιον μὲν αὐτὴν ἀναιρεθῆναι, ἀνελοῦσαν τὸν ἄνδρα· οὐ μέντοι πρέπον ἦν ὑπὸ τοῦ παιδὸς εὐθύνας δοῦναι τοῦ φόνου. Δίκαια ἐνταῦθα γράφε, μὴ δίκα. οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. Ἔκανες, ἔθανες. ἡ ἀντιστροφὴ αὕτη τῆς γ στροφῆς, ἧς ἡ ἀρχὴ πότνια πότνια νύξ. καὶ αὕτη κώλων ἐστὶν ὁμοίων ἐκείνῃ, καὶ ἰσομέτρων ιγ, ἐν μὲν τῷ τῷ ε κώλῳ πεντασυλλάβως ἔχει τοὺς δύο παίωνας ἐπὶ τῷ τέλει δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ πλαγίου κώλου, ἡ δὲ κατὰ τὸ τέλος. ἀμφότεραι μὲν ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔχει τὰ ἀποδιδόμενα, ἤτοι τὰ ἀνταποδιδόμενα, ἐν τῷ ιγ κώλῳ. 195 Ἔκανες] ἐφόνευσας. ὅθεν τὸ καινοῦ λέγεται, εἰς ὃ φέρεται ἡ ἱερουργικὴ μάχαιρα. ἔθανες, φονεύσασα ἀνῃρέθης. τουτέστιν ὁ κατὰ σοῦ πραχθεὶς φόνος, ἄμυνα ἐγένετο, καὶ οὐκ ἀδικία. σὺ γὰρ πρότερα ἐφόνευσας τὸν πατέρα, καὶ ἀνῃρέθης. Ἀπὸ δ' ὤλεσας] ὁ δὲ ἀντὶ τοῦ γὰρ ἔθανες. ἀπώλεσας γὰρ τὸν πατέρα ζῶντα, καὶ θανοῦσα τὰ τέκνα διὰ τοῦ αἵματος. Τέκνα τε τάδε] δεικτικῶς φησὶν ἑαυτὴν καὶ Ὀρέστην. ἴσον νέκυες δὲ, ἀντὶ τοῦ διὰ τὸν σὸν φόνον ἡμεῖς ἀπολλύμεθα. Ἄτεκνος] τὸ ἄτεκνος τέλειον. ἡ γὰρ ἄγαμος, καὶ ἄτεκνος. ἀναστρεπτέον οὖν τὴν σύνταξιν. ἄτεκνος, ἐπειδὴ ἄγαμος. δυνατὸν γὰρ τὴν γήμασαν εἶναι ἄτεκνον. Ἅτε ἀντὶ τοῦ καθὰ, ὀφείλει γράφεσθαι, ἵν' ᾖ βραχὺ τὸ α. οὕτω γὰρ ἔχει πρὸς τὸ τῆς στροφῆς κῶλον ὀρθῶς. τὸ γὰρ ἀντὶ τοῦ ἥτις οὐκ ἔχει καλῶς. Ἔθανες] εἰποῦσα ἡ Ἠλέκτρα πρὸς τὴν μητέρα τὸ ἐφόνευσας τὸν οἰκεῖον ἄνδρα, ἐφονεύθης ὑπὸ τῶν τέκνων πάλιν φησὶν, ὅμοιον μὲν τῇ προτέρᾳ ἐννοίᾳ. ἔχει δὲ καὶ πλέον. τὸ γὰρ ἀπώλεσας πατέρα, καὶ πρόσθεν εἰρήκει. τὸ δὲ καὶ τὰ τέκνα τάδ' ἀπώλεσας, νῦν φησί. πῶς δὲ ἀπώλεσας καὶ τὰ τέκνα, ἀπὸ τοῦ αἵματος, καὶ τοῦ φόνου σου. ὁ γὰρ σὸς παῖς Ὀρέστης ἀποκτείνας σε, δίκην ἔδωκε μητροκτονίας μανείς, ἧς καὶ αὐτὴ μετέχειν φησὶν, ἐν στοναχαῖς καὶ γόοις διάγουσα. ἀνθ' ὧν ὁρᾷ τὸν ἀδελφὸν μεμηνότα, καὶ μηκέτ' ὄντα καθ' ἑαυτόν. 206 Ἅτε βίοτον ἁ μέλεος] ἅτε ἡ μελέα εἰς τὸν ἀεὶ χρόνον ἕλκω τὸν βίοτον, ἤγουν τὴν ζωήν. τουτέστιν ἀκούσιον ζωὴν ἔχω. διὰ γὰρ τοῦ ἕλκω, τὸ ἀκούσιον παρίστᾳ. ὥσπερ φαμὲν, ἕλκουσιν οἱ βόες τὴν ἅμαξαν, καὶ τὸ ἄροτρον. οὐ γὰρ ἑκουσίᾳ γνώμῃ ταῦτα σύρουσιν, ἀλλ' ὑπ' ἀνάγκης. τοῦτο δέ φησιν ἡ Ἠλέκτρα, τὸν θάνατον αἱρετώτερον ἡγουμένη τῆς ζωῆς.

ΧΟΡΟΣ, ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ.

Ἴαμβοι.

Χο. Ὅρα παροῦσα παρθέν' Ἠλέκτρα πέλας,
Μὴ κατθανών σε σύγγονος λέληθ' ὅδε.
Οὐ γάρ μ' ἀρέσκει τῷ λίαν παρειμένῳ.
Ορε. Ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
Ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε·
" Ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ,
" Καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
Πόθεν ποτ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;

Cho. Virgo Electra accedens propè vide,
Ne tuus frater mortuus fallat te:
Non enim placet mihi nimia ejus remissio.
Ore. O dulce demulcens somne, remedium morbi,
Quàm suavis mihi advenisti opportuno tempore!
" O veneranda oblivio malorum, quàm es sapiens,
" Et optanda dea calamitosis!
Quomodo veni huc? quomodo veni?

Ὅρα παροῦσα] αἱ ἑξῆς αὗται ἀμοιβαὶ περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ξκη. ὧν τελευταῖος κόμματος βελτίων ἀπορία τε λύεται. μετὰ μὲν τοὺς τῶν ξζ στίχων, καὶ τὸν ξη, κῶλα δύο μονόμετρα βραχυκατάληκτα. ἐπὶ ταῖς ὑποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. Ὅρα παροῦσα] ὦ παρθένε Ἠλέκτρα, παραγενομένη πλησίον, σκόπει ἵνα μὴ ἀποθανὼν ἐστὶν ὁ ἀδελφὸς λανθάνῃ σε. οὐ γὰρ ἀρέσκει ἐμοὶ τῷ λίαν παρειμένῳ, ἤτοι κατὰ τὸ λίαν παρειμένον, καὶ ἐκλελυμένον τῷ ἀκινήτῳ, τῷ πάνυ ἐκλελυμένος τῶν σῶν μανιῶν. νῦν οὐ τραγῳδεῖ, ἀλλ' ἐν τῇ μανίᾳ. Ὕπνου θέλγητρον] τὸ βαθύτατον τοῦ ὕπνου, τὸ μάλιστα θέλγειν δυνάμενον τοὺς ἀσθενοῦντας. ὁ γὰρ ἐλαφρὸς, φαντασίαις ἀναμέμικται. Φυσικῶς δὲ τὸν ὕπνον εἶδεν ἐπίκουρον τῶν κακῶν. 211 Ἐπίκουρον] τοῖς γὰρ νοσοῦσιν οὐδὲν ἄλλο, πλὴν ὕπνος ἐστὶ τῆς νόσου φάρμακον, ὦ προσφιλὴς τοῦ ὕπνου θελκτικὴ δύναμις, βοηθὲ τῆς νόσου. Ὦ πότνια λήθη] οἱ δυστυχοῦντες εὔχονται τῶν κακῶν εἰς συναίσθησιν ἀπαλλάχθαι, καὶ εἰς λήθην ἐλθεῖν. διὰ τοῦτο Ὀρέστης ἐν τῷ καθεστηκότι γενόμενος, καὶ τῆς μανίας ἀπαλλαγεὶς ἐπ' ὀλίγον τὴν τῶν κακῶν λήθην ποτνίαν καλεῖ, καὶ εὐκταίαν τοῖς δυστυχοῦσιν. Ποτνίαν εἶπε τὴν λήθην τῶν κακῶν, ἐπεὶ πάντας τιμῶμεν τοὺς παραμυθουμένους. Ἄλλως. ἔοικε τὴν Λητὼ καλεῖν οὕτος. ὑπνοῦντες γὰρ νυκτὸς, πάντων ἐπιλανθανόμεθα. τὸ δὲ πότνια λέγει. ὅτι οἱ σεβόμενοι, προσπίπτουσι τοῖς θεοῖς. ποτνιᾶσθαι δὲ ἐστὶ, τὸ προσπίπτειν καὶ παρακαλεῖν μετὰ δακρύων. Τὸ δὲ ὡς εἶ σοφὴ] ἀντὶ τοῦ λίαν σοφῶς ἐπενοήθης ὑπὸ τῆς φύσεως. τὸ δὲ τῶν κακῶν, οἰκείως προσέθηκεν, ἐπεὶ καλὴ τῶν κακῶν ἐστὶν ἡ λήθη. Ὦ φίλον ὕπνου θέλγητρον, ὦ προσφιλὴς τοῦ ὕπνου θελκτικὴ δύναμις, βοηθὸν κατὰ τῆς νόσου, λίαν προσῆλθες ἐμοὶ ἡδὺ, καὶ συμφαντικὸν, ἐν προσήκοντι καιρῷ. ὦ λήθη τῶν κακῶν σεβασμία. λίαν ὑπάρχεις σοφὴ, καὶ τοῖς δυστυχοῦσι θεὸς, ἀξία εὐχῆς. ἀπὸ ποίου τόπου, πόθεν ἦλθον ὧδε. πῶς δὲ καὶ κατὰ τίνα τρόπον ἀφικόμην. ἐπιλανθάνομαι γὰρ στερηθεὶς τῶν πρὶν φρενῶν, τῶν ἐν τῇ μανίᾳ δηλονότι.

ANNOTATIONES.

V. 194. Δίκαια *Scholiastes* legit Δίκα, vel Δίκα; Si Dativo casu exponendum *Juste*, si recto *Jus (erat)*. Quod verò addit Οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς, licet in hoc Versu sit verum, paucos prætereà invenies, qui sibi satis respondeant, in hoc Choro. Quod obitèr monendum.

V. 206. Ἔπι] Ita reposui pro ἐπεὶ *metro* & *sensu* postulante. Ἔπι autem *absolute* pro ἔπεστι τούτῳ, *insuper*, mecum stat codex *Heinsio-Scaligerianus J. Barnes*.

V. 213. Ὦ πότνια λήθη] *Duportianus* Codex legit πότνα rectè, & recepto plurimis Poetis Vocabulo: licet πότνια, quoque stare potest, si vel legas πότνια pro tribracho, vel πα λα pro Anapæsto; cujus utrumque regulare est. Ita Ω πότνια λη vel ω πότνια λη.

Ἀμυν-

Ἀμνημονῶ γὰρ τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.
Ηλ. Ὦ φίλταθ', ὥς μ' ηὔφρανας εἰς ὕπνον πεσών.
Βούλει θίγω σου, κἀνακουφίσω δέμας;
Ορε. Λαβοῦ λαβοῦ δῆτ'. ἐκ δ' ὄμορξον ἀθλίου
Στόματος ἀφρώδη πέλανον, ὀμμάτων τ' ἐμῶν.
Ηλ. Ἰδοὺ τὸ δούλευμ' ἡδὺ κοὐκ ἀναίνομαι
Ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.
Ορε. Ὑπόβαλε πλευροῖς πλευρὰ, καὶ αὐχμώδη κόμην
Ἄφελε προσώπου. λεπτὰ γὰρ λεύσσω κόραις.
Ηλ. Ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
Ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.
Ορε. Κλῖνόν μ' ἐς εὐνὴν αὖθις. ὅταν μ' ἀνῇ νόσος
Μανίας, ἄναρθρός εἰμι, κἀσθενῶ μέλη.
Ηλ. Ἰδού. φίλον* τοι τῷ νοσοῦντι δέμνιον· *al. το
" Ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.
Ορε. Αὖθίς μ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας.
Χο. Δυσάρεστοι οἱ νοσοῦντες, ἀπορίας ὕπο.
Ηλ. Ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
" Χρόνιον ἴχνος θείς; Μεταβολὴ πάντων γλυκύ.
Ορε. " Μάλιστα. δόξαν γὰρ τόδ' ὑγιείας ἔχει.
" Κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
Ηλ. Ἄκουε δή νυν, ὦ κασίγνητον κάρα,
Ἕως ἐῶσί σ' εὖ φρονεῖν Ἐρινύες.
Ορε. Λέξεις τι καινόν; κεἰ μὲν εὖ, χάριν φέρεις·
Εἰ δ' εἰς βλάβην τιν', ἅλις ἔχω τοῦ δυστυχεῖν.

Sum enim oblitus, utpote priori ſuper privatus mente.
Ele. O chariſſime, quam exhilaraſti me, cum obdormiiſſes!
Vis ut contrectem te, & erigam corpus?
Ore. Attingas, attingas ſanè, & abſterge à miſero
Ore & oculis meis ſpumam concretam.
Ele. Ecce ſuave officium, & non recuſo
Fraterna membra curare ſororiâ manu.
Ore. Subjice lateribus latera, & ſqualidam comam
Aufer à facie: obſcurè enim video oculis.
Ele. O miſerum caput, ſordidis cincinnis,
Quàm es horridum, quià diù non es lotum.
Ore. Iterum reclines me in lectum: quando me dimittit morbus
Inſaniæ, ſum debilis, & languent membra.
Ele. Ecce, lectulus eſt charus ægrotanti:
" Moleſta poſſeſſio, ſed tamen neceſſaria.
Ore. Iterum erigas me, & extendas corpus.
Cho. Ægroti ſunt impatientes propter perturbationem.
Ele. Vis componere pedes in terrâ,
" Ponens veſtigium ex longo intervallo? Viciſſitudo omnium rerum grata eſt.
Ore. " Maximè. hoc enim habet opinionem ſanitatis.
" Præſtat videri, etiamſi reverà non ita ſit.
Ele. Audi nunc ô frater,
Donec ſinunt te ſapere Erinnyes.
Ore. Quid dices novi? ſi quidem bonum eſt, gratum erit;
Sin malum, ſatis jam nunc habeo malorum.

Ἀπολειφθεὶς φρενῶν] ἀπολειφθεὶς ἐν τῇ μανίᾳ, ἐγὼ νῦν ἀπολειφθεὶς τῶν φρενῶν, ἀμνημονῶ, ἀλλ' ἐν τῇ νόσῳ. τὰ γὰρ ἔργα, δι' ὧν αναφέρεται τὰ πεπραγμένα, συννοσεῖ τῷ σώματι. ἀμνημονῶ τι τῶν πραχθέντων μοι ἐν τῇ νόσῳ, τῶν πρότερον φρενῶν ἀπολειφθεὶς καὶ μανείς. 217 Ὦ φίλταθ' ὥς μ' ηὔφρανας] ὦ φίλτατε λίαν εὔφρανας ἐμὲ κοιμηθείς, βούλει ἵνα θίγω καὶ ἀψωμαίσω, καὶ ἵνα ἀναβαστάσω σου τὸ σῶμα; Βούλει θίγω σου. διότι μὲν ἤρξατο θίγειν, θίγω ἐνεστῶτα εἶπε, καὶ οὐ θίξω. διότι δὲ ἔμελλε κουφίζειν, κουφίσω ἐπὶ μέλλοντος εἶπε. διὰ τοῦτο καὶ τὸ βούλει ποσῶς μὲν, πρὸς τὸ θίγω νοεῖται. τὸ δὲ ὅλον, πρὸς τὸ ἀνακουφίσω. ἢ καὶ τὸ θίγω ὑποτακτικὸν νόει. 219 Λαβοῦ λαβοῦ δῆτα] ἤτοι ἅψαι, ἀποσόγγισον δὲ ἐκ τοῦ ἀθλίου στόματος, καὶ ἐκ τῶν ἐμῶν ὀμμάτων, τὸν πεπηγότα ῥύπον. Πέλανον] κυρίως πέλανος τὸ λεπτὸν πέμμα, ὃ χέοντες πρὸς τὰς θυσίας. ἔνιοι δὲ φασὶ, καὶ πᾶν τὸ ἐξ ὑγροῦ πεπηγμένον, παρὰ τὸ πιλῶναι. Πέλανον ἀφρώδη [illegible] ῥύπον ὑπὸ τοῦ ἀφροῦ. ἔνιοι δὲ τὴν παιπάλην. ἐκ γὰρ ταύτης ὡς ἐπὶ τὸ πλεῖστον γίνεται. ἢ παρὰ τὸ παλῦναι, ὅ ἐστι λευκᾶναι. Ὄμορξον, ἀπόλυσον ἀφάνισον. οἱ δὲ ἀπὸ τοῦ πλάζειν, καὶ ἐκτιθέναι πού δι' αὐτῶν. 221 Ἰδοὺ τὸ δούλευμ' ἡδὺ] ἰδοὺ ποιῶ δηλονότι ὃ λέγεις, τὸ ὑπούργημα τὸ εὐφραντόν. καὶ οὐκ ἀπαρνοῦμαι τὸ θεραπεύειν τὰ μέλη τὰ ἀδελφικὰ, ἐν χειρὶ ἀδελφικῇ. Οὐκ ἀναίνομαι] συναινῶ, τὸ συμφωνῶ, καὶ ἐπινεύω. οὗ ἐναντίον τὸ ἀναίνομαι. παραινῶ, τὸ συμβουλεύω. καὶ ἐπαινῶ. τὸ εὖ λέγω. Ὑπόβαλε] ὑπόθες τοῖς ἐμοῖς πλευροῖς τὰ σὰ πλευρὰ, καὶ τὴν κόμην τὴν αὐχμώδη, καὶ κατάξηρον ἔξελε τοῦ προσώπου. ἀμυδρῶς γὰρ βλέπω τοῖς ὀφθαλμοῖς. Αὐχμώδη] ἐπομβρία, ὅταν ἀπάλληλοι ὄμβροι ὦσιν. οὗ ἐναντίον ἡ ἀνομβρία. αὐχμὸς δὲ, ἡ ἀπὸ τῆς ἀνομβρίας ξηρότης. ἀφ' οὗ αὐχμηρὸς. καὶ αὐχμώδης ἀνὴρ, ὁ ξηρότητος μετέχων. 224 Ἄφελε προσώπου] τουτέστιν ἀποδίωξον τὴν ἔμπροσθεν οὖσαν τῶν ὀφθαλμῶν μου κόνιν. ἀσθενῶ γὰρ λεύσσω ταῖς κόραις, διὰ τὸ ἐπικεῖσθαι μοι τὰς τρίχας. γράφεται καὶ, λεπτὰ γὰρ λεύσσω νόσῳ. ἵνα ᾖ, ἡ νόσος με ποιεῖ λεπτὸν λεύσσειν. Πινῶδες ἄθλιον] ἀντὶ τοῦ αὐχμηρὸν καὶ ῥυπῶδες. πῖνος γὰρ ὁ ῥύπος κατὰ ἀνα-

—— πίνῳ δὲ οἱ αὐαλέος χρὼς
Ἐσκλήκει. ——

στροφὴν δὲ εἶπεν, οὐ γάρ ἐστι τῶν βοστρύχων τὸ κάρα, ἀλλ' οἱ βόστρυχοι τῆς κεφαλῆς. ἢ ὅτι οὐδὲν ἄλλο ἐπιλείπεται τῇ κεφαλῇ, ἢ μόνον οἱ βόστρυχοι. ἵν' ᾖ, ὦ τῶν βοστρύχων ἄθλιον κάρα. ἀποκαθίσασα δὲ ἔξωθεν, καὶ εἰς πλευρὰν δεξαμένη τὸν Ὀρέστην, ταῦτα φησίν. Ὦ βοστρύχων] ὦ κάρα ἄθλιον πινῶδες τῶν βοστρύχων. ἀντιστροφὴ ἀντὶ τοῦ, ὦ βόστρυχοι κάρας ἀθλίας, πινώδεις καὶ ῥυπαροί. λίαν ἠγριωμένοι ἐστὲ πρὸς τὸ βόστρυχοι, διὰ τῆς μακρᾶς ἀλουσίας. Κλῖνόν μ' ἐς εὐνὴν] θὲς ἐμὲ πάλιν εἰς τὴν εὐνὴν, ὅταν ἀφήσῃ ἐμὲ ἡ νόσος τῆς μανίας, ἄναλκις καὶ ἀσθενὴς εἰμὶ κατὰ τὸ δέμας. Ὅταν μ' ἀνῇ] ἡ νόσος ἢ ἡ διὰ τῆς μανίας νόσος, ἢ ἐπιθετικῶς μανίας νόσος. Ὅταν μ' ἀνῇ] ἀεὶ γὰρ τῶν καιρῶν τῆς μανίας εὐτονοῦσιν οἱ μαινόμενοι ἐκτεινομένων τῶν νεύρων, καὶ πνεύματος πληρωθέντων. χαλωμένης δὲ τῆς μανίας, καὶ τοῦ πνεύματος ἐπιλείποντος, παρίενται. ἐν ᾧ, ἐν ἀνέσει διαγινόμενος Ὀρέστης λέλυται. Ἄναρθρος] ἀδύναμος, μὴ δυνάμενος κεχρῆσθαι τοῖς ἄρθροις. Κἀσθενῶ μέλη] ἤγουν οὐ δύναμαι χρῆσθαι ταῖς χερσὶ, καὶ τοῖς ποσὶ πρὸς ὑπουργίαν, καταβαλούσης τῆς νόσου. 229 Ἰδού. Φίλον τι] ἰδοὺ κλίνω σε, περισπούδαστος ἐστι τῷ νοσοῦντι ἡ κοίτη, λυπηρὸν ὂν τὸ κτῆμα. ὅμως δὲ ἀναγκαῖον. Αὖθις] πάλιν στῆσόν με εἰς ὀρθὸν, καὶ στρέψον τὸ δέμας. Ἀνακύκλει] ἀνακίνει, ἀνόρθου, ἐξέγειρε. συμβαίνει γὰρ τὸν κείμενον κυκλοτερῆ τὴν ἀνάπαυσιν ἔχειν. οἱ γὰρ νοσοῦντες, οὐκ ἀρέσκονται τοῖς παροῦσιν. ἀεὶ δὲ πρὸς τὸ μέλλον ὁρῶσι, δυσάρεστον πρᾶγμα οἱ νοσοῦντες ὑπὸ τῆς ἀπορίας. Ἦ κἀπὶ γαίας] ἆρα θέλεις θεῖναι τοὺς πόδας ἐπάνω τῆς γῆς, θεὶς ἴχνος χρόνιον, ἤτοι βεβαίας βάσιν; ἡ μεταβολὴ πάντων, εὐφραντὸν πρᾶγμα ὑπάρχει δηλονότι. 234 Μεταβολὴ πάντων] συνυπακουστέον τὸ, κακῶν. κακεμφάτως δὲ ὁ στίχος. τὸ γὰρ ἐξ ὑγείας εἰς νόσον μεταβαλεῖν, οὐκ ἔστιν ἡδύ. φήσει μὲν γάρ τις ὡς ἐκ μὲν κόπου γλυκύτατον ἡ ἀνάπαυσις. ἐκ δὲ πλούτου πτωχὸν γενέσθαι, μεταβολὴ μέν, ἡδὺ δὲ οὔ. ὡς τι οὐχὶ πάντων ἡ μεταβολὴ γλυκύ. Ἄλλως. τὸ μεταβάλλεσθαι, εἴτε ἀπὸ χείρονος πρὸς τὸ βέλτιον, εἴτε ἀπὸ τοῦ βελτίονος πρὸς τὸ χεῖρον. ἡδύτατόν ἐστιν αὐτῷ τῷ μεταβαλλομένῳ. οὐδὲ γὰρ ἂν μετεβάλλετο, εἰ μὴ ἥδετο τῇ μεταβολῇ, ὥς τε οἱ λέγοντες τὸν Εὐριπίδην οὐκ ὀρθῶς εἰρηκέναι τοῦτο, οὐκ ὀρθῶς οἴονται. Τὸ δ' ὑγιείας] τὸ ἀναστῆναι. ὁπόταν γὰρ εὐθυμῇ ψυχὴ τῇ τῆς ἐλπίδος ὑπολήψει, συνδιασώζεται τὸ σῶμα. καὶ Σιμωνίδης, τὸ δοκεῖν καὶ τὰ μάλα θεῖα βιᾶται. Μάλιστα] ἤτοι ναί. ἔχει γὰρ τόδε, τὸ ἀνορθωθῆναι δηλονότι, ὑπόληψιν, ἤτοι ἐλπίδα ὑγείας. καλὸν δὲ τὸ δοκεῖν, κἂν μακρὰν ᾖ τῆς ἀληθείας. Ἄκουε δὴ νῦν, ὦ ἀδελφὲ, ἐν ὅσῳ ἀφιᾶσί σε αἱ Ἐριννύες φρονεῖν καλῶς. Λέξεις τι νέον] καὶ εἰ μὲν εὖ καὶ καλῶς, εὐχαριστίαν ἕξεις. εἰ δὲ εἰς βλάβην τινα ἀφορῶν δηλονότι, ἀρκούντως ἔχω ἕνεκα τοῦ δυστυχεῖν.

ANNOTATIONES.

V. 223. Καὶ αὐχμώδη] *Dorvillianus* Codex legit κἀὐχμώδη rectè quidem, niſi aliter ſtaret verſus, ſed *Anapæſtus* in quarto loco ſtare poteſt [illegible]: Quare vereor, nullâ jubente cauſâ, manus in Authorem hunc temerè injicere.
V. 224. [illegible]] al. [illegible] ſed noſtra lectio retinenda.

Ηλ. Μενέλεως ἥκει, σὸς κασίγνητος πατρός.
Ἐν Ναυπλίῳ δὲ σέλμαθ' ὥρμισται νεῶν.

Ορε. Πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς;
Ἀνὴρ ὁμογενὴς, καὶ χάριτας ἔχων πατρός;

Ηλ. Ἥκει, τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου,
Ἑλένην ἀγόμενος Τρωϊκῶν ἐκ τειχέων.

Ορε. Εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
" Εἰ δ' ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.

Ηλ. Ἐπίσημον ἔτεκε Τυνδάρεως εἰς τὸν ψόγον
Γένος θυγατέρων, δυσκλεές τ' ἀν' Ἑλλάδα.

Ορε. Σὺ νῦν διάφερε τῶν κακῶν. ἔξεστι γάρ.
Καὶ μὴ μόνον λέγ', ἀλλὰ καὶ φρόνει τάδε.

Ηλ. Οἴμοι κασίγνητ', ὄμμα σὸν ταράσσεται,
Ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.

Ορε. Ὦ μῆτερ, ἱκετεύω σε μὴ 'πισειέ μοι
Τὰς αἱματωπὰς καὶ δρακοντώδεις κόρας.
Αὗται γὰρ, αὗται πλησίον θρώσκουσί μου.

Ηλ. Μέν', ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν δεμνίοις.
Ὁρᾷς γὰρ οὐδὲν, ὧν δοκεῖς σάφ' εἰδέναι.

Ορε. Ὦ Φοῖβ', ἀποκτενοῦσί μ' αἱ κυνώπιδες
Γοργῶπες, ἐνέρων ἱέρειαι, δειναὶ θεαί.

Ηλ. Οὔ τοι μεθήσω. χεῖρα δ' ἐμπλέξασ' ἐμὴν,
Σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα.

Ele. Menelaus venit tui patris frater.
Tabulæ verò navium ſtant in portu Nauplio.
Ore. Quid dicis, venit lumen meis & tuis malis,
Vir cognatus, & habens beneficia à patre?
Ele. Venit, (accipe hoc argumentum meæ orationis:)
Ducens Helenam ex Trojanâ urbe.
Ore. Si ſolus eſſet ſervatus, eſſet felicior.
" Si autem ducit uxorem, venit cum ingenti malo.
Ele. Tyndarus genuit inſigne ad vituperationem
Genus filiarum, & infame per Græciam.
Ore. Tu ergo eſto diſſimilis malarum mulierum: licet enim,
Et non dicas tantùm; ſed & iſta ſenti.
Ele. Heu mihi, ô frater, oculus tuus turbatur,
Citò mutatus es in rabiem, modò ſanus.
Ore. O mater, precor te, ne incutias mihi
Puellas cruentas, & quarum comæ habent ſpeciem ſerpentum:
Iſtæ enim, iſtæ ſaliunt propè me.
Ele. Mane, ô miſer, quietus in tuo lecto,
Nihil enim vides eorum, quæ putas te videre.
Ore. O Phœbe, occident me habentes caninam ſpeciem,
Torvum tuentes, inferorum ſacrificulæ, atroces Deæ.
Ele. Non dimittam te, implicans verò meam manum,
Prohibebo te ſaltare infelices ſaltus.

Ὁ Μενέλαος παραγέγονεν ὁ ἀδελφὸς τοῦ σοῦ πατρός. ἐν Ναυπλίῳ δὲ λιμένι δηλονότι, καθωρμίσθησαν τὰ σέλματα, ἤγουν αἱ καθέδραι ἀκροφραστικῶς, ἀντὶ τοῦ αἱ νῆες. Ὥρμισται, ἤ ἀντὶ τοῦ ἐλλιμενίζεται, ἤ ἀντὶ τοῦ ἐνελλιμένισαν. ὅπερ εἰ εἴποις, αἰτιατικὴν νοήσεις τὰ σέλματα. [241] Σὸς κασίγνητος πατρὸς] διὰ τούτου ψυχαγωγεῖ τὸν ἀδελφὸν, ὑπομιμνήσκουσα τοῦ πατρικοῦ ἀδελφοῦ, καὶ ἐλπίδας ἀγαθὰς ὑποτίθεται διὰ τοῦ θεῖον. ἐργαστικώτερον δὲ ποιεῖ τὸ δρᾶμα, καὶ τὸ πρόσθεν διαβάλλεσθαι τὸν Μενέλαον, καθὸ ἐλπισθεὶς βοηθῆσαι, οὐκ ἐβοήθησεν. Πῶς εἶπας] ἥκει φῶς, ἤτοι σωτηρία, ὅτι ταῖς ἐμαῖς καὶ σαῖς δυστυχίαις ἀνὴρ συγγενὴς, καὶ χάριτας ἔχων, ἃς ὁ πατὴρ ἐχαρίσατο αὐτῷ; Ἥκει] δέχου τὴν πίστιν τήνδε τῶν ἐμῶν λόγων, ἐπαγόμενος Ἑλένην ἐκ τῶν Τρωϊκῶν τειχέων. Ἥκει τὸ πιστὸν] ἀντὶ τοῦ πίστευε τοῖς ἐμοῖς λόγοις. πίστιν δὲ χε ταύτην βεβαίαν καὶ ἀσφαλῆ μαρτυρίας πρὸς καὶ τὴν Ἑλένην αὐτοῦ συνεπιδημῆσαι. ὅπου γὰρ Ἑλένη, πάντως που καὶ Μενέλαος. [246] Ἑλένην ἀγόμενος] ἄγεταί τις γυναῖκα, ἀντὶ τοῦ λαμβάνει. ἐπάγεται δὲ δῆλον, ἢ ἕτερόν τι, ἀντὶ τοῦ μεθ' ἑαυτοῦ ἄγει, καὶ ἐπάγεται τόδε ἐν παθητικῇ σημασίᾳ, ἀντὶ τοῦ μεθ' ἑτέρου, ἢ μεθ' ἕτερα ἄγεται. Εἰ μόνος ἐσώθη] μᾶλλον ἂν ἦν ζηλωτὸς, καὶ μακαριστός. εἰ δὲ ἐπάγεται τὴν σύνευνον, ἥκει ἔχων μέγα κακόν. Ἐπίσημον ὁ Τυνδάρεως ἔτεκε γένος θυγατέρων, διάδηλον καὶ ἐξάκουστον εἰς τὸν ψόγον. Ἐπίσημον] Στησίχορος φησὶν, ὡς θύων τοῖς θεοῖς Τυνδάρεως, Ἀφροδίτης ἐπελάθετο. ἡ δὲ θεὸς ὀργισθεῖσα, διγάμους τε καὶ τριγάμους, καὶ τῶν λειπάνδρους αὐτοῦ τὰς θυγατέρας ἐποίησεν. ἔχει δὲ ἡ χρῆσις ἔπος· Οὕνεκα Τυνδάρεος ῥέζων ἅπασι θεοῖς, μιᾶς λάθετο ἠπιοδώρου Κύπριδος. Κείνα δὲ Τυνδάρεω κούραις χολωσαμένη, διγάμους τε καὶ τριγάμους τίθησι, καὶ λιπεσάνορας. καὶ Ἡσίοδος,

——τῆσιν δὲ φιλομμειδὴς Ἀφροδίτη
Ἠγάσθη προσιδοῦσα, κακῇ δέ σφ' ἔμβαλε φήμῃ.

Καὶ Ὅμηρος,

* Ὡς δὲ Κλυταιμνήστρη λείπουσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην,
Ὡς δ' Ἑλένη ᾔσχυνε λέχος ξανθοῦ Μενελάου.

Σὺ νῦν διάφερε] τουτέστιν ἐπειδὴ ἐκείνας ὡς φαύλας κακίζεις, σκόπει μὴ καὶ αὐτὴ περιπέσῃς τοῖς ἴσοις, ἀλλ' ἀποχὴν τῶν κακῶν ἔχε. καὶ μὴ μόνον τὰ ἄριστα λέγε, ἀλλὰ καὶ κατὰ νοῦν ἔχουσα πρᾶττε. [253] Οἴμοι κασίγνητε] οἴμοι, ὦ ἀδελφὲ, ταράσσεται τὸ σὸν ὄμμα. ταχέως μετεβλήθης εἰς λύσσαν καὶ μανίαν, ἄρτι σώας ἔχων τὰς φρένας. Ὄμμα σὸν ταράσσεται] φυσικῶς. καθόλου γὰρ τῶν τῆς ψυχῆς παθῶν εἰκόνες οἱ ὀφθαλμοί. αἰφνίδιοι γὰρ τῶν λυσσωδῶν νοσημάτων αἱ μεταβολαὶ γίνονται. Ὦ μῆτερ] ὦ μῆτερ ἱκετεύω σε, μὴ ἐπισείσῃς μοι τὰς ὕφαιμον ὁρώσας ἀγρίας κόρας, ἤτοι τὰς Ἐριννύας. αὗται γὰρ αὗται κινοῦνται καὶ ὁρμῶσι πλησίον ἐμοῦ. αἱματωπὰς δὲ τὰς Ἐριννύας λέγει, ὡς τοὺς μαινομένους ὕφαιμον ποιούσας βλέπειν, καὶ ταραχώδες. τὰ συμβαίνοντα γὰρ τοῖς πάσχουσι, τοῖς προσοῦσι θεοῖς τοῦ πάθους ἀνατιθέασιν οἱ ποιηταί. οἷόν τι καὶ Ὅμηρός φησι, χωλαί τε ῥυσαί τε, παραβλῶπές τ' ὀφθαλμώ. ἐκ τῶν ἀποβαινόντων παθῶν εἰδωλοποιοῦσιν αὐτάς. οὕτω καὶ τὸν πλοῦτον τυφλὸν λέγουσιν, ὅτι ἀκρίτως ποιεῖ πλουσίους. καὶ τὸν καιρὸν ὀπισθοφάλακρον, ὅτι τὸ εἰχωμένον λαβέσθαι ἀδύνατον. δρακοντώδεις δὲ λέγει, ὡς ἐχούσας δράκοντος ἤτοι ὄφεως ὀδόντας. [257] Αὗται γὰρ] ἐκ τοῦ ἀφανοῦς εἶπε τὰς Ἐριννύας διώκειν αὐτὸν, ἵνα τὴν δόξαν τοῦ μεμηνότος ἡμῖν παραστήσῃ, ὡς εἴγε παρήγαγεν αὐτὰς εἰς μέσον, ἐσωφρόνει ἂν ὁ Ὀρέστης. ταῦτα δὲ οἱ νεώτεροι. Ὅμηρος γὰρ οὐδὲν τοιοῦτον εἶπε περὶ Ὀρέστου. Μέν' ὦ ταλαίπωρε] μένε ἀτρέμας, καὶ ἡσύχως ἔχε ἐν τοῖς δεμνίοις. οὐδὲν γὰρ ὁρᾷς ἀφ' ὧν δοκεῖς σαφῶς εἰδέναι. Ὦ Φοῖβ' ἀποκτενοῦσι] ὦ Ἄπολλον φονεύσουσί με αἱ ἄγριαι καὶ ἀναιδεῖς Γοργώπιδες, αἱ καταπληκτικαὶ τοῖς ὀφθαλμοῖς, αἱ ἱέρειαι καὶ φονεύτριαι τῶν νεκρῶν, αἱ φοβεραὶ θεαί. Ἐνέρων ἱέρειαι] παρόσον ἐξυπηρετοῦνται αὐτοῖς. ἀποστέλλουσι γὰρ αὐτοῖς τὰς ψυχάς. [261] Τὸ ἱέρειαι] ἱερείας χρὴ γράφειν ἰωνικῶς, ἵν' ἔχῃ ὀρθῶς τὸ μέτρον ὀρθῶς. τὰ γὰρ διὰ τοῦ εια προπαροξύτονα, ἰωνικῶς οἱ ποιηταὶ παροξύτονα ποιοῦντες, διὰ τοῦ ια γράφουσι. τὸ αὐθάδεια, αὐθαδία λέγοντες, καὶ τὸ εὐσέβεια, εὐσεβία, καὶ τὰ τοιαῦτα, ὃ καὶ ἐξετάζων εὑρήσεις.

† *Gaſp. Stiblinus* ex bonis his Lyricis peſſimos malè emendando facit Heroicos, ut videre eſt, *p.* 83. De quo vid. *Gul. Canterum* Novar. Lectionum *lib.* 1. *cap.* 9. * Ὡς δὲ Κλυταιμνήστρη] Hi verſus non jam apud *Homerum* extant: ſed videntur pertinere ad V. 438. Odyſſ. λ. Et *Homero* quidem ſunt digni. Vid. *Marſilii Cognati* Var. Obſerv. l. 2. c. 19. ubi Verſus *Homer.* ab *Hippocrate* citatus non extat. Item l. 1. c. 15. *Joſua Barnes.*

ANNOTATIONES.

V. 251. Σὺ νῦν] *Canterus* legit σύ νυν.
V. 254. Ταχὺς] Quum olim ſcriptum erat ταχὺ, eram animi dubius; *nam certè* τὸ χυ *breve eſt.* ταχέως ergò cum *Scholiaſt.* ſcripſiſſem, niſi in optimo & vetuſtiſſimo MS. ex *Col. Corp. Chriſt. Cantabr.* inveniſſem ταχὺς Nomen pro *Adverbio* eleganter. *Joſua Barnes.*

V. 261. Γοργῶπες, ἐνέρων ἱέρειαι] *Schol.* legit ἱερίαι *Ionicè*, ut metro conſulatur, & fit *Iambus* in quarto loco, non autem *Spondeus*; ſed ſi τὸ ε ante vocalem corripiatur, ſalvum erit metrum; cujus quidem rei exempla vid. in Notis noſtris ad *Hecub.* V. 1108. Vid. *Iphig. Taur.* V. 34. *Joſua Barnes.*

I

Ορε. Μέθες,

Ὀρε. Μέθες, μί' οὖσα τῶν ἐμῶν Ἐριννύων
Μέσον μ' ὀχμάζεις, ὡς βάλῃς εἰς Τάρταρον.
Ἠλ. Οἴ 'γὼ τάλαινα, τίν' ἐπικουρίαν λάβω,
Ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
Ὀρε. Δὸς τόξα μοι κερουλκὰ, δῶρα Λοξίου,
Οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεὰς,
Εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασι.
Ἠλ. Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί;
Ὀρε. Εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
Οὐκ εἰσακούετ'; οὐχ ὁρᾶθ' ἑκηβόλων
Τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
Ἆ, ἆ. τί δῆτα μέλλετ'; ἐξακρίζετ' αἰθέρα
Πτεροῖς· τὰ Φοίβου δ' αἰτιᾶσθε θέσφατα·
Ἔα, τί χρῆμ' ἀλύω, πνεῦμ' ἀνεὶς ἐκ πνευμόνων;
Ποῖ, ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;
Ἐκ κυμάτων γὰρ αὖθις, αὖ γαλήν' ὁρῶ,
Σύγγονε, τί κλαίεις κρᾶτα θεῖσ' ἔσω πέπλων;
Αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
Ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
Μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν.
Σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοὶ
Μητρῷον αἷμα. Λοξίᾳ δὲ μέμφομαι,
Ὅστις μ' ἐπάρας ἔργον ἐς ἀνοσιώτατον,
Τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ' ἔργοισιν οὔ.

Ore. Dimitte tu una exiſtens ex meis furiis,
Medium me tenes, ut abjicias in Tartarum.
Ele. O miſera ego, unde petam auxilium,
Poſtquam habemus deum inimicum?
Ore. Da mihi arcum corneum, donum Apollinis,
Quibus me juſſit Apollo depellere deas,
Si me perterrefacerent furore, rabie.
Ele. An ſauciabitur aliqua dearum mortali manu?
Ore. Si non diſcedet ab oculis meis.
Non auditis? non videtis eminùs ferientium
Arcuum alata tela evibrata?
Ah, ah, quid cunctamini? evolate in æthereum
Alis, & accuſate oracula Phœbi.
Eja, quare deficio animo, emittens ſpiritum ex pulmone?
Quò, quonam aberravi à lecto?
Ex fluctibus rurſus tranquillitatem video.
Soror, quid ploras caput ponens intra veſtem?
Pudet me, quòd tibi communico meos labores,
Præbens moleſtiam tibi virgini meo morbo.
Ne contabeſcas propter mea mala.
Nam tu quidem approbaſti hæc, ſed ego feci
Maternam cædem: accuſo autem Apollinem
Qui me incitans in opus impiiſſimum,
Verbis quidem me conſolatus eſt, non autem re.

Μέθες μ' οὖσα] ἔασον, ἄφες, μία οὖσα τῶν ἐμῶν Ἐριννύων, καὶ μανιῶν, μέσον με κατέχεις, ἵνα βάλῃς εἰς τὸν Τάρταρον. Μία οὖσα τῶν κατ' ἐμοῦ ἐριννύων, ἀπόστηθι. Ἐριννύων δὲ, τῶν μανιῶν. ἵν' οὖν, ἄνες με τῆς μανίας ἀναχωρήσασά μοι. ὀχμάζεις δὲ, ἀντὶ τοῦ συνέχεις, καὶ ἐπαίρεις. ἴδιον δὲ τῶν μαινομένων, τὸ τοὺς κηδομένους ἀποσείεσθαι, καὶ δοκεῖν βλάπτεσθαι μᾶλλον παρ' αὐτῶν. Ὀχμάζω, γίνεται ἀπὸ τοῦ ἔχω, ἕξω. ἔχμα, οὐ μόνον ἡ ἐξοχὴ, ἀλλὰ καὶ ἡ συνοχή. ἀπὸ δὲ τοῦ ἔχμα, γίνεται ὀχμάζειν, τὸ κωλύειν καὶ ἐπέχειν. καὶ ὀχμάσαι, τὸ κατασχεῖν καὶ ἑλεῖν, ὃ παρὰ τῷ Εὐριπίδῃ ἐνταῦθα διὰ τοῦ ο κεῖται, μέσον μ' ὀχμάζεις. 268 Δὸς τόξα] δός μοι τὰ τόξα τὰ ἐκ κεράτων σκευαζόμενα τὰ δῶρα τοῦ Ἀπόλλωνος. δι' ὧν εἶπεν ὁ Ἀπόλλων τιμωρήσασθαι ἐμὲ τὰς Ἐριννύας, εἰ εἰς φόβον ἄγοιεν ἐμὲ ἐν λυσσήμασι καὶ μανίαις ἐκ[illegible]. Στησίχορος δὲ ἑπόμενος, τόξα φησὶν αὐτὸν εἰληφέναι παρὰ Ἀπόλλωνος. ἔδει οὖν τὸν ὑποκριτὴν τόξα λαβόντα τοξεύειν. Δῶρα Λοξίου λέγει, ἢ ὑπὸ τῆς μανίας δοκεῖ χαρισθῆναι αὐτῷ ταῦτα παρὰ Ἀπόλλωνος. ἢ ἐπεὶ τοξικὸς ἐστὶν ὁ θεὸς, καὶ τὰ παρ' αὐτοῦ τόξα, ὡσπερεὶ τόξα ἐκείνου. 270 Μανιάσιν] πάντες τὸ μανιάσι [illegible] λυσσήμασι συνάπτοντες, οὕτω φασὶ, μανιάσι λυσσήμασιν, ἀγνοοῦντες ὅτι τὸ μανιάσι θηλυκόν ἐστι. τὸ δὲ λυσσήμασιν, οὐδέτερον. σὺ δὲ τούτους ἰάσας, κεχωρισμένως λέγε ἀσυνδέτως οὕτως. εἴ με ἐκφοβοῖεν μανιάσιν μανίαις, ἐν λυσσήμασι καὶ ἐν μανίαις, ἵν' ὦσιν ἀμφότερα τὸ αὐτό. Ἄλλως. μανιάσι λυσσήμασι, ταῖς μανιώδεσι λύσσαις. ῥῆμα δὲ ἐστὶν [illegible], τοῖς μανιάσι λυσσήμασιν, ὡς τὸ φοίνικα λίνον, ἀρσενικὸν μετὰ τοῦ οὐδετέρου. ὑπὸ δὲ τοῦ ἡ μανιὰς τὸ μανιάσι. μανιώδεσι λυσσήμασιν, ἢ μανίαις, καὶ λυσσήμασιν. Βεβλήσεταί τις] τοξευθήσεταί τις ἀπὸ τῶν θεῶν, διὰ χειρὸς ἀνθρωπίνης. Εἰ μὴ 'ξαμείψει] ναὶ τοξευθήσεται, εἰ μὴ ἀποστῇ τις τῶν Ἐριννύων τοῦ ἐμοῦ [illegible], μακρὰν τῶν ἐμῶν ὀμμάτων, οὐκ ἀκούετε ὦ Ἐριννύες δηλονότι, οὐχ ὁρᾶτε πτερωτὰς γλυφίδας, (λέγω δὲ τὰ βέλη.) ἐξορμωμένας ἐκ τῶν μακρὰν βαλλόντων τόξων; 275 Ἆ ἆ] ἐπίρρημα σχετλιαστικόν. τί δῆτα μέλλετε καὶ βραδύνετε, στιγμὴν ἔχει τὸ μέλλετε. τὸ δὲ ἑξῆς, εἰς τὰ ἄκρα τοῦ αἰθέρος πέτεσθε, καὶ μέμφεσθε τὰ λόγια τοῦ Ἀπόλλωνος. ἀκρίζω δὲ, τὸ ἄκρον [illegible]. Θέσφατα] κελεύσματα. καὶ γὰρ ἄνωθεν εἶπεν ὅταν αἰτεῖ τὴν Ἠλέκτραν τὰ τόξα, ὡς Ἀπόλλων αὐτῷ ἐπέταξε [illegible] Ἐριννύσι τοῖς τόξοις. Ἔα τί χρῆμ' ἀλύω] ἐπὶ ἐκπλήξεως τὸ ἔα. διατί χρῆμα ἐν ἀμηχανίᾳ εἰμὶ, πνεῦμα ἀναπέμπων ἐκ τῶν πνευμόνων. τὸ ἀλύειν δὲ ποτὲ μὲν οἱ ποιηταὶ ἀντὶ τοῦ δυσανασχετεῖν καὶ ἀπορεῖν λαμβάνουσιν, ὡς ἐνταῦθα. καὶ παρὰ τῷ ποιητῇ, ἡ δ' ἀλύουσ' ἀπεβήσετο. ποτὲ δὲ ἀντὶ τοῦ γαυριᾶν καὶ χαίρειν, ὡς τὸ, ἢ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην. Ἄλλως. τί τὸ πρᾶγμα, καὶ τίς ἡ νόσος αὕτη, καθ' ἣν ἠπόρημαι, καὶ ἀδημονῶ, παρὰ τὴν ἄλην. ἡ δ' ἀλύουσ' ἀπεβήσετο. 278 Ποῖ ποῖ] τὸ ποῖ τοπικόν, ποῦ ποῦ ἐπηδήσαμεν καὶ ἐκινήθημεν ἀπὸ τῆς κοίτης. ἐκ κυμάτων γὰρ, ἤτοι ἐκ τῆς τοῦ κλύδωνος μανίας καὶ ταραχῆς, βλέπω πάλιν γαλήνην, καὶ ἡσυχίαν. Γαλήν' ὁρῶ] κωμῳδεῖται ὁ στίχος διὰ Ἡγέλοχον τὸν ὑποκριτήν. οὐ γὰρ φθάσαντα διελεῖν τὴν συναλοιφὴν, ἐπιλείψαντος τοῦ πνεύματος, τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῶον, ἀλλ' οὐχὶ τὰ γαλήνια. πολλοὶ μὲν οὖν αὐτὸ διέπαιξαν τῶν κωμικῶν. Ἀριστοφάνης καὶ Στράττις ἐν ἀνθρωπορραίστῃ. καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν. Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον διέκναισ' Ὀρέστην, Ἡγέλοχον τὸν Κιννάρου μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν, καὶ ἐν ἄλλοις παίζων φησὶ, ποῖ ποῖ γαλῆν ὁρῶ, ποῖ πρὸς θεῶν, γαλῆν γαλήνην. καὶ Σαννυρίων ἐν Δανάῃ, τί ἂν γενόμενος εἰς ὀπὴν ἐνδυσαίμην, φέρ' εἰ γενοίμην γαλῆ. ἀλλ' Ἡγέλοχος μεμήνυκεν ὁ τραγῳδὸς, ἀνακεκράγοιτ' ἂν οὕτως εἰς ἐχθροὺς μέγα. ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ. Σύγγονε τί κλαίεις] ὦ ἀδελφὴ διατί κλαίεις, θεῖσα τὴν κεφαλὴν ἔσω τῶν πέπλων. αἰδοῦμαί σε μεταδιδοὺς σοι τῶν ἐμῶν πόνων, ὄχλησιν παρέχων σοι τῇ παρθένῳ διὰ τὴν ἐμὴν νόσον. μὴ χάριν τῶν ἐμῶν κακῶν ἐν σεαυτῇ φθείρου. σὺ μὲν γὰρ συνῄνεσας, καὶ συνεβούλευσας ἐπὶ τάδε. εἴργασται δὲ ὑπ' ἐμοῦ ὁ τῆς μητρὸς φόνος. 284 Σὺ μὲν] ἐγὼ μὲν εἰργασάμην, σὺ δὲ ἐπένευσας. θέλει δὲ εἰπεῖν, ὅτι οὐ μετέχεις τοῦ φόνου, ἐπεὶ οὐδὲ ἔπραξας, [illegible] οὐδὲ ὀφείλεις ἄχθεσθαι. Λοξίᾳ δὲ] τῷ Ἀπόλλωνι δὲ μέμφομαι, ὅς με διεγείρας, καὶ παρακινήσας ἐμὲ εἰς ἔργον ἀνοσιώτατον, διὰ μὲν τῶν λόγων εὔφρανε, διὰ δὲ τῶν ἔργων οὐδαμῶς. Λοξίᾳ δὲ] τῷ Λοξίᾳ μέμφομαι, ὅτι πείσας με κτανεῖν τὴν μητέρα, οὐ βοηθεῖ. τοῦτο γὰρ σημαίνει τὸ ἐπάρας, ἀναπτερώσας, καὶ πείσας εἰς ἔργον ἀνοσιώτατον. εἶπε γὰρ ὡς δεῖ ἐκδικητὴν τοῦ πατρῴου φόνου γενέσθαι με.

ANNOTATIONES.

V. 175. Ἆ ἆ] Hæ notæ patheticæ redundant & extrà Verſûs limites ſunt ponendi. Vid. Not. ad *Hecub.* V. 1116.

V. 277. Ἔα] Redundat etiam & hæc nota, ut ſuprà.

V. 280. *Σύγγονε, τί κλαίεις κρᾶτα θεῖσ' ἔσω πέπλων,* &c.] Utramque hic perſonam ex margine tollimus, quæ omnibus aliis editionibus aderant, non ſolùm *Canteri* in hâc re motus judicio (quem vid. Novar. Lection. l. 1. c. 9. p. 49.) ſed etiam *Scholiaſtæ* authoritate, qui nec perſonam vult mutatam, ſed *σύγγονε* per *ἀδελφὴ* exponit & *θεῖσα* legit, &c. ſicut & MS. CCC. facit. Ipſius autem Poetæ authoritas in æternum hanc correctionem confirmat, ubi in hâc ipsâ *Oreſtis* oratione paulò poſt additur ex perſonâ *Oreſtis* ſororem alloquentis, v. 294.

Καὶ νῦν ἀνακάλυπτε, ὦ σύγγονον κάρα,
Ἐκ δακρύων τ' ἄπελθε, κἂν μάλ' ἄθλια
Ἔχωμεν.——— *Joſua Barnes.*

V. 284. Ἐπένευσας] *Canterus* legit *ἐπῄνεσας.* Utrique lectioni æquè favet *Scholiaſtes:* ſed nos nil mutamus, quià MS. legit *ἐπένευσας.*

V. 286. *Ὅστις μ' ἐπάρας ἔργον ἐς ἀνοσιώτατον*] Ità quidem lego, cùm MS. prædicto & Magno *Scaligero,* quum priùs erat *εἰς ἔργον.* *Joſua Barnes.*

Οἴμοι

Οἶμαι δὲ πατέρα τὸν ἐμὸν, εἰ κατ' ὄμματα
Ἐξιςόρουν νιν, μητέρ' εἰ κτεῖναί με χρὴ,
Πολλὰς γενείου τοῦδ' ἂν ἐκτεῖναι λιτὰς,
Μήποτε τεκούσης εἰς σφαγὰς ὦσαι ξίφος.
Εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἤμελλε φῶς,
Ἐγὼ δ' ὁ τλήμων τοιάδ' ἐκπλήσειν κακά.
Καὶ νῦν ἀνακάλυπτ', ὦ κασίγνητον κάρα,
Ἐκ δακρύων τ' ἄπελθε, κεἰ μάλ' ἀθλίως
Ἔχομεν. ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς,
Σύ μοι τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
Ἴσχαινε, παραμυθοῦ θ'. ὅταν δὲ σὺ στένῃς,
Ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα.
“ Ἐπικουρίαι γὰρ αἵδε τοῖς φίλοις καλαί.
Ἀλλ' ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω,
Ὕπνῳ τ' ἄυπνον βλέφαρον ἐκταθεῖσα δὸς,
Σῖτόν τ' ὄρεξαι, λουτρά τ' ἐπὶ χρωτὶ βάλε.
Εἰ γὰρ προλείψεις μ', ἢ προσεδρείᾳ νόσον
Κτήσῃ τιν', οἰχόμεσθα· σὲ γὰρ ἔχω μόνην
Ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.
Ηλ. Οὐκ ἔςι. σὺν σοὶ κατθανεῖν αἱρήσομαι,
Καὶ ζῆν. ἔχει γὰρ ταυτόν. ἢν σὺ κατθάνῃς,
Γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι;
Ἀνάδελφος, ἀπάτωρ, ἄφιλος. εἰ δὲ σοὶ δοκεῖ,
Δρᾶν χρὴ τάδ'. ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας,
Καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων,
Ἄγαν ἀποδέχου· μίμνε δ' ἐπὶ στρωτοῦ λέχους.
Κἂν μὴ νοσῇς γὰρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
Κάματος βροτοῖσιν ἀπορία τε γίνεται.

Puto autem ſi patrem meum coràm
Ipſum interrogâſſem, an eſſet interficienda mater,
Extenſurum fuiſſe multas preces ad has genas,
Nè adigerem gladium in jugulum matris:
Si quidem neque ipſe eſſet recepturus vitam,
Et ego miſer perfuncturus eram tantis malis.
Nunc itaque retege *teipſam*, ô ſoror,
Et abi à lacrymis, quanquam admodum miſerè
Sumus affecti. Et quando vides me deficere animo,
Tu malum meum & corruptum ſenſum
Coerce & conſolare: quandò verò & tu ploras,
Nos præſentes oportet te blandè alloqui & *tractare*.
“ Iſta enim mutua officia decent amicos.
Sed, ô miſera, vadens intra domum
Porrecta da ſomno jam diù inſomnes palpebras,
Et ſume cibum, & lavâ corpus:
Si enim deſeres me, aut propter aſſiduitatem morbum
Tibi conciliabis, perimus: te enim ſolam habeo
Auxiliatricem, ab aliis, ut vides, deſertus.
Ele. Non ità erit. tecum volo mori,
Et vivere: idem enim eſt; ſi tu moriaris,
Quid faciam mulier? quomodo ſola ſervabor?
Sine fratre, ſine patre, ſine amicis. Sed ſi tibi videtur,
Oportet iſta facere. Sed reclina corpus in lectum,
Et non terrorem, & id quod te exterret ex lecto,
Facilè admittas, mane in lecto:
Etiamſi enim non ægrotes, ſed videaris ægrotare,
Angor animi, ſit morbus hominibus.

Οἶμαι δὲ] οἶμαι δὲ τὸν ἐμὸν πατέρα εἰ ἐξιςόρουν καὶ ἠρώτων κατὰ πρόσωπον, εἰ πρέπει κτεῖναι τὴν μητέρα, πολλὰς λιτὰς διὰ τῆς ἐκτάσεως τῶν χειρῶν ποιήσασθαι αὐτὸν, τοῦδε τοῦ γενείου δηλονότι ἁπτόμενον, μήποτε ὦσαι ξίφος εἰς σφαγὴν τῆς τεκούσης. ἐπειδὴ οὔτε ἐκεῖνος ἤμελλεν ἀναβιῶναι, καὶ πάλιν ζῆσαι. ἐγὼ δὲ ὁ τλήμων ἤμελλον κατὰ κοινοῦ, τοιάδε κακὰ ἐκπληρώσειν καὶ ὑπομένειν. 294 Καὶ νῦν] προσφραστικῶς, ὦ ἀδελφὴ, ἀνακάλυπτε σεαυτὴν δηλονότι, ἤγουν ἀνακαλύπτου, ἄπελθέ τε καὶ ἀπόστηθι ἐκ τῶν δακρύων, ἤτοι μὴ δάκρυε. καὶ εἰ λίαν διακείμεθα ἀθλίως. ὅταν δὲ ἴδῃς τὰ ἐμὰ, ἤτοι ἐμὲ λειποθυμήσαντα, τουτέστι μανέντα, σὺ τὸ δεινὸν ἐμοῦ, καὶ τὸ διαφθαρὲν τῶν φρενῶν, ἤτοι τὴν διαφθορὰν ἴσχε, καὶ κώλυε, παραμυθοῦ τε· ὅταν δὲ στένῃς σὺ, πρέπει παρόντας ἡμᾶς, νουθετεῖν σε τὰ προσφιλῆ, αἱ ἐπικουρίαι δὲ αὗται καλαί εἰσι τοῖς φίλοις. Ἀνακάλυπτε] τὴν ὄψιν, δηλονότι τὸν κάρα. τοῦτο γὰρ ἐστι τὸ μὴ λυπεῖν τὸν ἀδελφὸν τοῖς δακρύοις ἐποίει, ἑαυτὴν καλύπτουσα. ἔκλαιε γὰρ κρᾶτα θεῖσ' ἔσω πέπλων. Ἀνακάλυπτε] ἀπὸ τούτου καὶ ἀνακαλυπτήρια, τὰ διδόμενα δῶρα ταῖς νυμφευομέναις, ὅταν πρῶτον ἀνακαλύπτωνται τοῖς ἀνδράσι, καὶ τοῖς συγγενέσιν ὁρώμεναι. 298 Ἴσχαινε] κώλυε, παρὰ τὸ ἰσχῶ ἰσχαίνω παράγωγον, ὅθεν καὶ ἰσχάς. Ἴσχαινε] ἀντὶ τοῦ ἐπέχε, πράϋνε, κούφιζε. Ἀλλ' ὦ τάλαινα] πορευθεῖσα ἔσω τῶν δωμάτων, ἐκταθεῖσα, δὸς ὕπνῳ τὸ ἄυπνον βλέφαρον. ἀντιστρόφως, ἀντὶ τοῦ ἐκταθεῖσα δὸς ὕπνον τῷ ἀΰπνῳ βλεφάρῳ, καὶ τροφὴν λάβε, λουτρά τε βάλλε ἐπὶ τῷ σώματι, τουτέστι νίψαι. εἰ γὰρ ἀφήσεις ἐμὲ, ἢ ἐν τῇ προσεδρείᾳ καὶ τῇ προσμονῇ κλίσῃ τινὰ νόσον, ἐφθάρμεθα. σὲ γὰρ μόνην ἔχω βοηθόν. τῶν ἄλλων ὡς ὁρᾷς ὢν μεμονωμένος καὶ ἐστερημένος. Οὐκ ἔςι] οὐχ ὑπάρχει τοῦτο παρ' ἐμοὶ, ἤγουν οὐκ ἀποδέχομαι σὲ μόνον ἐᾶσαι ἐνταῦθα κεῖσθαι· αὐτὴ δὲ τροφαῖς καὶ ὕπνῳ προσέχειν. Ἔχει γὰρ ταυτὸν] ἤγουν ὁμοίως ἔχουσιν ἐμοὶ ἀμφότερα. ὁ γὰρ σὸς θάνατος, καὶ ἐμός ἐστι. καὶ ἡ σὴ ζωὴ, ἐμὴ ζωή. ἥκιστα γάρ μοι τὸ ζῆν ἥδιστον, σοῦ θανόντος. Μᾶλλον δὲ καὶ νεκρωθῆναι νομισθήσεται, διὰ τὸ ἔρημον ἀπολειφθῆναί με βοηθείας. Δρᾶν χρὴ τάδε] κατὰ συνεκδοχὴν, καὶ πρὸς τὸ δοκεῖ καὶ πρὸς τὸ χρή. Ἄλλως. Τὸ ζῆν με, καὶ ἀποθανεῖν με, ταυτόν ἐστιν, ἐὰν σὺ τελευτήσῃς. ἢ τὸ ἔχει, ἀντὶ τοῦ χρήσει. ὁ δὲ λόγος ἐὰν σὺ ἀποθάνῃς, ταυτόν μοι πάθος γενήσεται. ὅ ἐστι, κἀγὼ συναποθνήξομαί σοι.

ΠΑΡΑΦΡΑΣΙΣ.

ΟΥΚ ἔςι] οὐκ ἔςι δυνατὸν δηλονότι τοῦτο, σὺν σοὶ θελήσω καὶ θανεῖν καὶ ζῆν. διάκειται γὰρ ὁμοίως καὶ ζῆν με καὶ ἀποθανεῖν δηλονότι. ἐὰν γὰρ ἀποθάνῃς σὺ, γυνὴ οὖσα δηλονότι, τί δράσω. πῶς μόνη βιώσω; ἀνάδελφος, ἀπάτωρ, ἄφιλος. εἰ δὲ ἀρέσκει σοι, πρέπει δρᾶν τάδε, ἃ εἶπας δηλονότι, ἀλλὰ κλῖνον τὸ δέμας εἰς τὴν κοίτην, καὶ μὴ τὸ ταρβοῦν καὶ ἐκφοβοῦν, ἤτοι τὸ φοβερὸν ποιοῦν σε ἐκ τῶν δεμνίων καὶ τῆς κοίτης ἄγαν ἀποδέχου, ἤτοι πίστευε ἀληθῶς εἶναι. μένε δὲ ἐπὶ τοῦ στρωτοῦ λέχους, ἤτοι ἐπὶ τοῦ σοῦ στρώματος. κἂν μὴ νοσῇς γὰρ, ἀλλὰ ὑπολαμβάνῃς νοσεῖν, κάματος καὶ κακοπάθεια, ἀπορία τε, ἤτοι ἀπελπισμὸς τῆς ὑγείας σοι δηλονότι, ὡς καὶ τοῖς ἄλλοις βροτοῖς. ἔςι δὲ κακόζηλον εἰς ὑπερβολήν. ἄλλως γὰρ ἤρξατο, καὶ ἄλλως ἀπέδωκεν. Ἄλλως. ἀποδέχου. τουτέςι μὴ ἔχε τὴν ὑποψίαν κατὰ νοῦν ἀεὶ τῆς μανίας. τοῦτο γάρ ἐστι τὸ ἄγαν ἀποδέχου. ταρβοῦν δὲ ἐκ δεμνίων λέγει, οὐχ ὅτι τὰ δέμνια ἐποίει αὐτὸν μαίνεσθαι· ἀλλ' ὅτι κείμενος ἐκεῖ, φόβον τῶν Ἐρινύων ἐδέχετο, κατεχόμενος τῇ μανίᾳ. 314 Κἂν μὴ νοσῇς] Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ γραφὴν διδάσκει. κἂν μὴ νοσῇ γὰρ, ἀλλὰ δοξάζῃ νοσεῖν. ἵν' ᾖ ἀπὸ τοῦ Ὀρέστου εἰς τὸ κοινὸν καταβεβηκὼς ὁ λόγος. Ἄλλως. Τοῦτο καθολικῶς ἔδει ἐξενεγκεῖν οὕτω· κἂν μὴ νοσῇ τις, ἀλλὰ δοξάζῃ νοσεῖν, κάματος αὐτῷ καὶ ἀπορία γίνεται. νῦν δὲ τὸ μὲν ἥμισυ τοῦ γνωμικοῦ πρὸς τὸν Ὀρέστην ἐπιφέρει. τὸ δὲ ἥμισυ καθόλου εἶπεν. ἔςι δὲ τοῦτο κακόζηλον, εἰ καὶ λυρῶν ὁ Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ διδάσκει γραφήν. καὶ μὴν καὶ ἑτέρως καινότης ἐςὶν ἐνταῦθα. ἡ γὰρ πρότασις ἑνικῶς ἐκφέρεται, ἡ δὲ ἀπόδοσις πληθυντικῶς. δηλονότι τοῦ ποιητοῦ, ὅτι εἰς πάντας τοὺς ἀνθρώπους γίνεται τοῦτο.

ANNOTATIONES.

V. 291. Μήποτε pro μήπω legit *Canterus*, quia illud per hoc explicat *Schol.* ſed nos tal temerè, vid. Not. ad V. 94. & 430. Niſi & MS. illud à nobis toties laudatum, *Cantero* faveret. *Joſua Barnes.*

V. 299. Ἡμᾶς παρόντας] *Duportus* legit παρέντας miſerando Errore? ut videbit is, cui locus & *Scholiaſtes* attentè conſideratur.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Αἶ, αἶ.
2 Δρομάδες ὦ πτεροφόροι
3 Ποτνιάδες θεαὶ,
4 Ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν
5 Δάκρυσι, καὶ γόοις,
6 Μελάγχρωτες Εὐμενίδες, αἵ τε
7 Τὸν ταναὸν αἰθέρ' ἀμπάλλεσθ', αἵματος
8 Τινύμεναι δίκαν, τινύμεναι φόνον,
9 Καθικετεύομαι, καθικετεύομαι,
10 Τὸν Ἀγαμέμνονος γόνον ἐάσατ' ἐκ-
11 λαθέσθαι λύσσας μανιάδος
12 Φοιταλέου. φεῦ μόχθων,
13 Οἵων, ὦ τάλας, ὀρεχθεὶς, ἔρρεις,
14 Τρίποδος ἀπόφασιν, ἂν ὁ Φοῖβος
15 Ἔλακεν, ἔλακε, δεξάμενος ἀνὰ δάπεδον
16 Ἵνα μεσόμφαλοι λέγονται μυχοὶ χθονός.

Ἀντιστροφή.

1 Ἰὼ Ζεῦ,
2 Τίς ἔλεος, τίς ὅδ' ἀγὼν
3 Φόνιος ἔρχεται,

Στροφή.

Cho. 1. Hei, hei,
2 O celeres alatæ
3 Furioſæ deæ,
4 Quæ nactæ eſtis cultum diſſimilem Bacchico
5 In lacrymis & luctibus
6 Atræ Eumenides, &
7 Per latum aerem volantes, ſanguinis
8 Ulciſcentes pœnam, ulciſcentes cædem,
9 Supplico, ſupplico,
10 Sinite filium Agamemnonis ob-
11 liviſci rabiem, inſanam,
12 Furioſam. hei quales,
13 Labores miſer aggreſſus, peris,
14 Oraculum ex tripode, quod Phœbus
15 Dixit, dixit, accipiens in ſolo,
16 Ubi dicitur eſſe umbilicus terræ.

Antiſtropha.

1 Hei Jupiter,
2 Quæ miſericordia? quale hoc certamen
3 De cæde venit,

Αἶ, αἶ] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ ᾆσμα μιᾶς στροφῆς, εἰσὶ δὲ τὰ κῶλα τῆς στροφῆς, ις. καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον, ἤτοι κῶλα τμῆμα. τὸ β παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παιώνων δὲ β. τὸ γ ὅμοιον ἡμιόλιον, ἐκ παίωνος δ καὶ ἰάμβου. τὸ δ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου παίωνος α καὶ κρητικοῦ διὰ τὴν ἀδιαφορίαν. τὸ ε καὶ τὸ ς κατὰ πάντα ὅμοια. τὸ ζ χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐκ χοριάμβου ἐπιτρίτου α καὶ κρητικοῦ διὰ τὴν ἀδιαφορίαν. τὸ τῆς ἀντιστροφῆς δὲ κῶλον πεντασύλλαβον ἔχει τὸν ἐπίτριτον. τὸ ὄγδοον ἀσυνάρτητον ἐκ παιωνικῶν ἡμιολίων δύο συγκείμενον, ἕκαστον δὲ ἐκ παίωνος δ τετάρτου καὶ ἰάμβου. τὸ θ καὶ ι κατὰ πάντα ὅμοια, τὸ ια ἀντισπαστικὸν δίμετρον [illegible]κατάληκτον ἐξ ἐπιτρίτου α, παίωνος α, καὶ συλλαβῆς. εἰ δὲ βούλει, ἀκατάληκτον. τὸ ιβ χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ χοριάμβου καὶ μολόσσου. τὸ δὲ ιγ τῆς ἀντιστροφῆς κῶλον, ἐπίτριτον ἔχει γ ἀντὶ χοριάμβου. τὸ ιδ, ἀντισπαστικὸν δίμετρον [illegible]καταληκτικὸν, τῶν β [illegible] ποδῶν χορείων. τὸ ιε παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων τετάρτων δύο, τοῦ δ' ἀντὶ [illegible] ἐνταῦθα μὲν πεντασυλλάβου, ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ ἑξασυλλάβου καὶ κρητικοῦ, διὰ τὴν ἀδιαφορίαν. τὸ ις ἰωνικὸν ἀπ' ἐλάττονος [illegible] καταληκτικὸν, ἐκ παίωνος δ, ἀντὶ ἰωνικοῦ διιάμβου καὶ κρητικοῦ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς [illegible], τῆς ἀντιστροφῆς κορωνίς. Αἶ αἶ] ὦ θεαὶ δρομικαὶ καὶ ταχεῖαι, καὶ σεβάσμιαι, αἵ τινες ἐλάχετε ἐν δάκρυσι καὶ ἐν γόοις χορὸν κακοβάκχευτον, ἤτοι λυπηρὸν, οὐκ ἔστι δηλονότι βακχεύσασθαι καὶ χαίρειν. μέλαιναι εὐμενίδες κατ' εὐφημισμόν. δυσμενίδες γάρ εἰσι κατὰ τὸν ὀρθὸν λόγον, καὶ ἀληθῆ, αἵ τινες κινεῖσθε ἀνὰ τὸν ἐπὶ πολὺ τεταμένον ἀέρα, λαμβάνουσαι δίκην. [illegible], ἐάσατε, τὸν υἱὸν τοῦ Ἀγαμέμνονος, ὥστε λήθην λαβεῖν τῆς σφοδρᾶς μανίας τῆς ὁρμητικῆς. φεῦ ἕνεκα τῆς κακοπαθείας, καὶ τῶν δυστυχιῶν. οἵων κακῶν ὁ τάλας ἐπιθυμήσας ἔρρεις, καὶ φθείρῃ τὴν ἀπόφασιν τοῦ τρίποδος, ἤτοι τὴν κακὴν μαντείαν, ἣν ὁ Φοῖβος εἶπε κατὰ τὴν γῆν, ὅπου λέγονται εἶναι δηλονότι οἱ μεσόμφαλοι μυχοὶ τῆς γῆς, ἤτοι αἱ καταδύσεις καὶ οἰκήσεις. [317] Πτεροφόροι] πανταχοῦ περιτρέχουσι, καὶ τιμωρούμεναι τοὺς ἀνθρώπους. ἢ περιτρέχειν ποιοῦσι τοὺς μεμηνότας. Ποτνιάδες δὲ μανιοποιοί. Πότνιαι γὰρ χωρίον ἐστὶ Βοιωτίας, ἔνθα φαγοῦσαι βοτάνιον αἱ Γλαύκου ἵπποι, καὶ μανεῖσαι, διεσπάσαντο τὸν ἴδιον δεσπότην Γλαῦκον ἐν τῷ ἐπιταφίῳ Πελίου. Πότνιαι γοῦν πόλις Βοιωτίας, ὅθεν ὁ Γλαῦκος ἐμμανὴς γέγονε, καὶ ἥλατο εἰς τὴν θάλασσαν. Ἀβάκχευτον, ἤτοι κακοβάκχευτον, οὐ [illegible] Διονύσου, ἀλλ' ἐν θρήνοις καὶ γόοις ἐξεταζόμενον, ἢ παρόσον ἄοινα καὶ νηφάλια ταῖς θεαῖς ταύταις τὰ ἱερὰ τελεῖται, ἢ τὸν μεγάλως ἐκβακχεύοντα. [321] Μελαγχρῶτες] μέλαιναι. χθόνιαι γάρ εἰσιν. ἢ αἱ μελαίνουσαι τοὺς τοιούτους. ὡς καὶ πρὸς τὸν Μενέλαον ὁ Ὀρέστης φησὶν, ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας. Ταναὸν αἰθέρα] ἀνὰ τὸν αἰθέρα πάλλεσθε περατοῦσαι [illegible]. Ὅμηρος, ἠεροφοῖτις Ἐριννύς. Ταναὸν δὲ αἰθέρα, τὸν λεπτὸν φησί. τὰ γὰρ τεινόμενα τῶν σωμάτων λεπτύνεται, τὸ δὲ ἀμπάλλεσθε, ὡς ἀνακινοῦσαι αὐτὸν τὸν ἀέρα ἐμφαντικῶς, τουτέστιν ἀναπάλλεσθε τοῖς πτεροῖς κατὰ τὸν Ὁμηρικὸν Ποσειδῶνα, τὸν σείοντα τοῖς ποσὶ τὴν γῆν, καὶ τῇ πορείᾳ τὰ ὄρη. τὸ δὲ τινύμεναι δίκαν, ἀντὶ τοῦ τιμωρίας λαμβάνουσαι ὑπὲρ αἵματος καὶ φόνου. Εὐμενίδες] Ἐριννύες θεαὶ τρεῖς παρ' Ἕλλησιν, ἔφοροι καὶ τιμωρούμεναι τοὺς φονεῖς. καλοῦνται δὲ Ἀληκτὼ, Μέγαιρα καὶ Τισιφόνη. πῶς δὲ ἐνταῦθα λέγει. Τινύμεναι φόνον. οὐ γὰρ ἀνταποδιδοῦσι φόνον αὗται, ἀλλὰ μᾶλλον ἐκδικοῦσι τοὺς φόνους. λέγομεν οὖν ὅτι ἐξ ὧν ποιοῦσι, ἢ ποιοῦσι τοὺς φονεῖς μαίνεσθαι, [illegible] ποιοῦσιν, ὥσπερ ἂν εἰ ἐφόνευον. ἢ τὸ Τινύμεναι φόνον, ἀντὶ τοῦ τιμωρούμεναι νοητέον τοὺς φονεῖς. τίνω γὰρ οὐ μόνον τὸ ἀνταποδίδωμι, ἀλλὰ καὶ τὸ τιμῶ, καὶ τὸ τιμωρῶ. [illegible] ἢ τὸ μὲν αἵματος Τινύμεναι δίκαν, ἀντὶ τοῦ ἀποδιδοῦσαι. τὸ δὲ Τινύμεναι φόνον, ἀντὶ τοῦ ἐκδικοῦσαι τὸν φόνον, καὶ τιμωρούμεναι τοὺς φονεῖς. ἢ εἰ τὸ φόνον μεταλογεῖσθαι, λάβοις ἂν ἀπὸ κοινοῦ τὸ δίκαν, καὶ τὸ Τινύμεναι ὡς καὶ τὸ πρότερον ἐρεῖς. Τινύμεναι διὰ τὸ μέτρον ἐν ν ὀφείλεις γράφειν. οὕτω γὰρ ἔχει πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς οἰκείως. [328] Οἵων, ὦ τάλας] ὡς πρὸς αὐτὸν ἀπέτεινε τὸν λόγον, οἵων πραγμάτων σὺ ὦ τάλας, ἐπιθυμήσας. λέγει δὲ τοῦ φόνου τοῦ κατὰ τῆς μητρὸς, οἴχῃ καὶ διέφθαρσαι, ἀπὸ τοῦ τρίποδος δεξάμενος τὴν μαντείαν ἣν ὁ Φοῖβος ἔλακεν. Μεσόμφαλα] ὀμφαλὸς λέγεται ἡ Πυθὼ, [illegible] τὸ τὰς ὀμφὰς τὰς ὑπὸ θεοῦ χρηματιζομένας λέγειν, ἢ παρὰ τὸ εἶναι ἐν μέσῳ τῆς οἰκουμένης. λέγεται γὰρ τὸν Δία μαθεῖν βουλόμενον τὸ τέλος τῆς γῆς, δύο ἀετοὺς ἰσοταχεῖς ἀφεῖναι, τὸν μὲν ἀπὸ δύσεως, τὸν δὲ ἀπὸ ἀνατολῆς, καὶ ἐκεῖ αὐτοὺς συναντῆσαι, ὅθεν ὀμφαλὸς ἐκλήθη. ἀνακεῖσθαί τε χρυσοῦς ἀετοὺς φασὶ, τῶν μυθευομένων αὐτῶν ἀπομιμήματα. Ἰὼ Ζεῦ] φεῦ ὦ Ζεῦ. τίς ὁ ἀγὼν οὗτος ὁ φονικὸς ἔρχεται ταράσσων σε τὸν ἄθλιον, ᾧ τινι, ἤγουν σοὶ δάκρυα δάκρυσι συμβάλλει, καὶ συνάπτει τις τῶν ἐχθρῶν. κινῶν εἰς τοὺς δόμους τὸν φόνον τῆς σῆς μητρὸς, καταλαβοῦσα, λίαν θρηνῶ [illegible] δηλονότι. Τίς ἔλεος] εἰς τὸ τίς ἔλεος στιγμὴν δεδωκότες λείπειν τῷ λόγῳ φησὶν. τὸ γενήσεται. καὶ τὸ ἄλλο τίς, ἀντὶ τοῦ οὐδείς. ἵν' ᾖ οὕτως, τίς ἔλεος γενήσεται τῷ Ὀρέστῃ, ἀντὶ τοῦ οὐδεὶς ἐλεήσει σε Ὀρέστα. Ἄλλως. Τίς ἄρα φησὶ τοῦτον ἐλεήσει. τίς δὲ ὁ κίνδυνος οὗτος, καὶ ἡ μανιώδης νόσος ἐπέρχεται ἐπὶ σὲ τὸν μέλεον, ταχύνων σε καὶ ὀξύνων τουτέστιν ἀκαθαίμων τίς ἐπιπέμπει τούτῳ τὰς Ἐριννύας. ἢ καὶ ἄλλως, τίς ἐλεήσει αὐτὸν, ἔξωθεν ἀκουσόμεθα τὸ δεῖς. διατί; ἐστὶ γὰρ αὐτῷ ὁ κίνδυνος, ὁ ἐκ τῶν Ἐριννύων ἔρχεται φόνιος, μεθ' ὁρμῆς φερόμενος ἐπὶ σὲ τὸν μέλεον. τίς ἔλεος ἐστὶ τούτῳ τῷ Ὀρέ-

ANNOTATIONES.

V. 3[illegible] [illegible]] al. [illegible] ſed cum [illegible] ſubintelligendum.

4 Θοά-

4 Θοάζων σὲ τὸν μέλεον, ὧ δάκρυα
5 Δάκρυσι συμβάλλει
6 Πορεύων τὶς εἰς δόμους ἀλαστόρων
7 Ματρὸς αἷμα σᾶς, ὅ σ' ἀναβακχεύει
8 Κατολοφύρομαι, κατολοφύρομαι.
9 " Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς.
10 " Ἀνὰ δὲ λαῖφος ὥς τις ἀκάτου θοᾶς
11 " Τινάξας δαίμων, κατέκλυσε,
12 " Δεινῶν πόνων, ὡς πόντου,
13 " Λάβροις ὀλεθρίοισιν ἐν κύμασι.
14 Τίνα γὰρ ἔτι πάρος οἶκον ἄλλον
15 Ἕτερον, ἢ τὸν ἀπὸ θεογόνων γάμων
16 Τὸν ἀπὸ Ταντάλου, σέβεσθαί με χρή;

4 Impellens te miserum, cui lacrymas
5 Lacrymis addit
6 Aliquis malus genius, ducens in domum
7 Sanguinem matris tuae, qui te exagitat.
8 Lamentor, lamentor.
" 9 Magna fortuna non est stabilis inter homines.
" 10 Et sicut velum naviculae celeris
" 11 Excutiens Deus, demergit,
" 12 Ingentium aerumnarum, tanquam ponti,
" 13 In fluctus vehementes exitiales.
" 14 Quam enim hactenus familiam aliam
" 15 Divertiam, quam hanc a divinis nuptiis
" 16 Et a Tantalo ortam oportet me colere?

σε, ὦ δάκρυα δάκρυσι συμβάλλει τίς ἀλάστωρ. πορεύων εἰς δόμους, ἀντὶ τοῦ ἕλκων αὐτὸν τῇ μανίᾳ, καὶ ἀναβακχεύων κατὰ τὸν οἶκον, ὅστις ἀλάστωρ ἐγείρει τὸ αἷμα τῆς μητρός. Ἄλλως. Τίς ἐλεὸς δεῖ τούτῳ τῷ Ὀρέστῃ, ᾧ δάκρυα ἐπιβάλλει τὶς τῶν ἀλαστόρων δαιμόνων, τὸ αἷμα τῆς μητρὸς πορεύεσθαι καὶ διαδέχειν αὐτὸν κατὰ τὸν οἶκον ποιοῦν. πρὸς δὲ ἤκουσεν τὸ ἀλαστόρων δόμων, ἀντὶ τοῦ εἰς ᾅδε, κατὰ τὸν οἶκον τῶν ἀλαστόρων. καὶ τίς δὲ ἡ νόσος πορεύεσθαι αὐτὸν ποιοῦσα εἰς ᾅδε. ἢ δὲ ἀσχολία, οἷον μόχθων ἐπιθυμήσας, ὦ τάλας, διέφθαρσαι. δεξάμενος ἀπὸ τοῦ τρίποδος τὴν μαντείαν, ἣν ὁ Ἀπόλλων εἶπε κατὰ τοὺς Δελφοὺς, ἔνθα γῆς ὀμφαλὸς λέγεται. τίς ἐλεήσει αὐτὸν ὦ Ζεῦ. τοιοῦτος γὰρ αὐτῷ ἀγὼν ἐκ τῶν Ἐριννύων ἐπέρχεται διὰ τὸν τῆς μητρὸς φόνον, μετ' ὁρμῆς φερόμενος, μετέβαλλε δ' ἀπὸ τοῦ περὶ αὐτοῦ λόγου, εἰς τὸν πρὸς αὐτόν. 336 Ὅ σ' ἀναβακχεύει] τίς ὅδε ὁ κίνδυνος ἔρχεται φόνιος, παροξύνων σὲ τὸν μέλεον, ὃς δάκρυα δάκρυσι συνάπτει. τίς λέγω τῶν ἐχθρῶν πορεύων εἰς τὸν δόμον τὸ αἷμα, ἤγουν τὸν φόνον τῆς σῆς μητρὸς, ὃ σὲ ἀναβακχεύει. Ἄλλως. Ὅ σ' ἀναβακχεύει] ὅπερ τῆς μητρὸς ἀναβακχεύει σε, καὶ μαίνεσθαι ποιεῖ. ἢ ὅς τις ἀλαστόρων ἀνακινεῖ τὸ αἷμα τῆς μητρός σου, μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον. Ὦ δάκρυα δάκρυσι συνάγων, καὶ συμμίσγων ἐπάλληλα δάκρυα. Ὅμηρος συμβάλλετον ὀμβρίμων ὕδωρ, ἤγουν συνάπτει. ἵν' ἡ μεταφορὰ ἀπὸ τῶν συμβαλλόντων τοῖς χοινίοις ἕτερα, καὶ ἐπιμηκέστερα ποιούντων, οὕτω δὴ τοῖς δάκρυσι συνάπτει δάκρυα. Ἀριστοφάνης, ὥσπερ χοινία συμβάλλοντες εἰς τὰς ὁλκάδας. Ὦ δάκρυα] ὃ γράφε, ἀντὶ τοῦ ὅστις. καὶ δόμον, μὴ δόμους, λέγων οὕτως. ὃς καὶ ὅστις ἀγὼν, δηλονότι ὁ φόνιος, συμβάλλει, καὶ συνάπτει τοῖς δάκρυσι δάκρυα. ἐπεὶ δὲ οὐκ ἐποίει ταῦτα ὁ ἀγὼν, ἀλλά τις τῶν θεῶν. ἐπάγαγε τίς λέγω τῶν ἀλαστόρων, καὶ τῶν ἐχθρῶν, πορεύων καὶ ἐπιφέρων εἰς τὸν δόμον τὸ αἷμα τῆς σῆς μητρὸς, ὅπερ σε ποιεῖ μαίνεσθαι. οἱ δὲ γράφοντες τὸ ω μέγα διὰ τὸ συμβάλλει, ἀγνοοῦσι τὰ μέτρα. Ἄλλως. Ὅ σ' ἀναβακχεύει διχῶς στίζουσι. ἀποδίδοται] πρὸς μὲν τὴν προτέραν στιγμὴν, τίς οὗτος φόνιος ἔρχεται ἀγὼν, ᾧ ἀγῶνι δάκρυα δάκρυσι συμβάλλει τὶς τῶν ἀλαστόρων, ποιῶν πορεύεσθαι τὸ αἷμα τῆς μητρὸς κατὰ τοὺς οἴκους, καὶ μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον. ἢ ὃ, σε τὸ αἷμα ἀναβακχεύει, καὶ μαίνεσθαι ποιεῖ. πρὸς δὲ τὴν δευτέραν στιγμὴν, ὅτι τοιοῦτον ἔρχεται φόνιος ἀγὼν, δάκρυα δάκρυσι συμμίσγει τὶς τῶν ἀλαστόρων, ὅς σε ἀναβακχεύει πορεύων καὶ ἐφέλκων ματρὸς αἷμα σᾶς ὅλως ἀνακινεῖ τὸ αἷμα τῆς μητρός σου κατὰ τοὺς οἴκους σου, καὶ οὐκ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον. 340 Ὁ μέγας ὄλβος] οὐ μόνιμος καὶ διηνεκὴς ἐν τοῖς βροτοῖς. ἀνατινάξας δὲ δαίμων τὶς αὐτὸν δηλονότι, ὥσπερ λαῖφος καὶ ἄρμενον νηὸς ταχείας, κατέκλυσεν, ἤτοι βυθισθῆναι ἐποίησεν ὡς ἐν κύμασι πόντου ὀλεθρίοις, καὶ χαλεποῖς. τὸ δὲ δεινῶν πόνων διὰ μέσου, ἀντὶ τοῦ φεῦ, ἕνεκα τῶν δεινῶν πόνων. Ἄλλως. οὐ μόνιμος ὁ μέγας ὄλβος. κατέκλυσε γὰρ αὐτὸν δαίμων τὶς, ὥσπερ λαῖφος ἀκάτου θοᾶς τινάξας, κατέκλυσε τοῖς ὀλεθρίοις καὶ λάβροις κύμασι τοῦ πόντου. τὸ δὲ δεινῶν πόνων, ἐν μέσῳ ἀναπέφωνται. ἢ οὕτως ὡς δὲ πόντου λάβροις ὀλεθρίοις ἐν κύμασι δαίμων τις ἀκάτου θοᾶς κατέκλυσεν, οὕτω καὶ τὸν μέγαν ὄλβον κατέκλυσε τινάξας ὑπὸ δεινῶν πόνων. Ἄλλως. Ἀνατινάξας δέ τις δαίμων τὸν ὄλβον, κατέκλυσεν αὐτὸν καὶ κατεπόντισεν ὡς ἀκάτου θοᾶς λαῖφος πόντου λάβροις καὶ ὀλεθρίοις κύμασιν. ὅσον γὰρ δύναται πνεῦμα κατὰ νηὸς ἐν θαλάσσῃ, τοσοῦτον καὶ κατὰ τὸν βίον τῶν ἀνθρώπων ἡ τύχη. ἢ οὕτως. κλύζεσθαι, παρασκευάσει τις θεὸς τὸν ὄλβον ἄστατον ὄντα ὑπὸ τῶν δεινῶν πόνων, τουτέστιν ἔργων. Ὅμηρος, αὐτὰρ ἐπεὶ παύσαντο πόνου. ὡς γὰρ κλύζεται ναῦς ἐν θαλάσσῃ, οὕτω καὶ ἡ τῶν ἀνθρώπων τύχη ὑπὸ ἀστάτων ἔργων. τὸ γὰρ τῆς τύχης ῥεῦμα μεταπίπτει ταχύ. Ἄλλως. Ἀνατινάξας δέ τις δαίμων, ἢ τὶς δαιμόνων αὐτὸν δηλονότι τὸν ὄλβον, ὥσπερ λαῖφος ἀκάτου θοῆς κατέκλυσεν, ὥσπερ ἐν κύμασι πόντου λάβροις ὀλεθρίοις. τὸ δὲ δεινῶν πόνων, διὰ μέσου. ἀντὶ τοῦ φεῦ ἕνεκα τῶν δεινῶν πόνων. 344 Τὸ λάβροις] ὀλεθρίοις ἐν κύμασι πρὸς τὸ δεινῶν πόνων συνάπτε. καὶ μὴ λάμβανε ὑπὸ ἔξωθεν, μὴ δὲ ὡς πόντου μετὰ τοῦ τὸ ὡς ἔφερε, ὥς τινες φασίν. οὕτω δὲ, ὁ μέγας ὄλβος, καὶ ἡ μεγάλη εὐδαιμονία, οὐ μόνιμος καὶ διηνεκὴς ἐστὶν ἐν τοῖς βροτοῖς. ἀνατινάξας δέ τις αὐτὸν δαίμων λαῖφος ἀκάτου καὶ νηὸς θοᾶς καὶ ταχείας, κατέκλυσε καὶ ἐβάπτισεν ἐν κύμασι λάβροις, καὶ σφοδροῖς ὀλεθρίοις δεινῶν πόνων, καὶ δυστυχιῶν, ὥσπερ πόντου κύμασι δηλονότι. ἰστέον δὲ, ὅτι ἐπειδὴ λαῖφος εἶπε, διὰ τοῦτο καὶ κατέκλυσεν εἶπε, καὶ κύμασι. δεικνὺς ὅτι ἡ τοῦ ὄλβου ἀνατροπὴ, ἀναστροφῇ λαίφους ἔοικε. καὶ αἱ τῶν δεινῶν πόνων ἐπιλεύσεις, κύμασι θαλάσσης ὀλεθρίοις. τὸ δὲ θεογόνων γάμων λέγει, ἐπειδὴ καὶ ὁ Τάνταλος υἱὸς ἦν Διός. 345 Τίνα γὰρ ἔτι] ἀλγῶ φησὶν ἐπὶ τοῖς ἰδίοις κακοῖς, καὶ συναποφέρομαι τὴν ψυχήν. τίς γὰρ ἕτερος οἶκος σέβεσθαι παρ' ἡμῶν ἄξιος, ἢ οὗτος; ὃς ἐκ θεῶν ἔχει τὴν καταβολήν. ἀρχηγὸς γὰρ τῆς γονῆς ὁ Ζεὺς, ὃς ἐφύτευσε Τάνταλον, Πλουτοῖ συνελθών. Καὶ μὴν βασιλεὺς] τοῦτο οὐκ ἔστιν ἐπῳδὸς, ὡς ἄν τις ἴσως οἰηθείη, διὰ τὸ κεῖσθαι μετὰ τὴν στροφὴν καὶ ἀντιστροφὴν, ἀλλὰ καλεῖται σύστημα ἐπιφθεγματικὸν, ὡς προσφθεγγόμενον τὸν Μενέλαον ἐρχόμενον. αἱ μὲν γὰρ ἐπῳδοὶ οὐκ εἰσὶ μονοειδοῦς μέτρου, ἀλλὰ διάφοροι. τοῦτο δὲ μονοειδές. κῶλον γὰρ ἐστὶν ἀναπαιστικὸν η, ὧν τὸ γ καὶ τὸ ς μονόμετρα, ἤτοι ἀναπαιστικὴ βάσις. τὰ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ δὲ η καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος.

ΑΝΑΠΑΙΣΤΟΙ.

Καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει
Μενέλαος ἄναξ. πολλὴ δ' ἁβροσύνη
Δῆλος ὁρᾶσθαι,
Τῶν Τανταλιδῶν ἐξ αἵματος ὤν.
Ὦ χιλιόναυν στρατὸν ὁρμήσας

Atqui rex huc venit
Menelaus dominus: ex multa dignitate corporis
Conspici potest,
Quod sit ex familia Tantalidûm.
O qui applicuisti exercitum mille navium

Καὶ μὴν βασιλεὺς] ἐν τοῖς τέλεσιν εἰώθασιν οἱ ὑπὸ τοῦ χοροῦ μεταλλάττειν. τὸ δὲ ἑξῆς, καὶ μὴν ὁ βασιλεὺς ὅδε δὴ στείχει Μενέλαος ἄναξ τῶν Τανταλιδῶν ἐξ αἵματος ὤν. πολλῇ δ' ἁβροσύνῃ δῆλος ὁρᾶσθαι τῶν Τανταλιδῶν ἐξ αἵματος ὤν. ὃ ἐστι διὰ τοῦ σχήματος ἐμφαίνει τὴν εὐγένειαν. Ὦ χιλιόναυν] ἀπὸ τούτων αὐτὸν ἐγκωμιάζει, ἀφ' ὧν ἐμεγαλύνετο. τῷ δὲ ἀπηρτισμένῳ ἐχρήσατο ἀριθμῷ. τοσαῦται γὰρ ἦσαν αἱ νῆες τῶν

ANNOTATIONES.

V. 335. ᾧ] al. ὅ. ita *Scholiast.* ὃ pro ὅς.
V. 336. συμβάλλει] Nisi Metrum interea hic sit corruptum, legerem σύμβαλε, pro συμβάλλει, ut Quinto strophae Versui responderet.
V. 337. δόμους] al. δόμον.
V. 346. Ἕτερον] hoc verbum deest in MS. CCC. *Jous. Barnes.*
V. 347. Τὸν ἀπὸ, &c.] legit τῶν *caeteris*

Εἰς γῆν Ἀσίαν, — In Aſiam,

Χαῖρ'. εὐτυχίᾳ δ' αὐτὸς ὁμιλεῖς, — Salve. opportunè quidem tu venis,

Θεόθεν πράξας ἅπερ ηὔχου. — Cùm divinitùs effeceris quæ optâſti

Ἑλλήνων, χιλίαις ναυσὶ ταῖς ἐν τῷ. Χιλιόναυν] δι' ὧν δοκεῖ αὐτὸν ἐπαινεῖν, διὰ τούτων λυπεῖ, ἀναμιμνήσκουσα τῶν ἀπολλυμένων ἐν Τροίᾳ. τὸ δὲ θεόθεν πράξας ἅπερ εὔχου προσέθηκεν, ἐπειδὴ τὸν πόλεμον κατορθώσας ἔλαβε τὴν Ἑλένην. σὺ μὲν φησὶν εὐτυχῶς ἀπηλλάχθης. ὁ δὲ Ὀρέστης δυστυχεῖ. οὐ μετέχεις φησὶ τῆς δυστυχίας τῶν Ταντάλιδῶν.

ARGUMENTUM Actûs Secundi.

MENELAUM *jam reverſum, utpote Patruum ſuum,* Oreſtes, *ut ſibi præſtò adſit in judicio, orat:* Tyndari, Clytæmneſtræ *Patris, accuſantis &* Oreſtis *Rei, illius occiſoris, ſe Defendentis Orationes.* Oreſtes *Patruum ſuum* Menelaum *in partes ſuas fruſtrà advocat.* Pylades & Oreſtes, *nobile Amicorum Par, inter ſe conſultant, quomodò ſibi pateſiat ad ſalutem Via.* Pylades Oreſtem *ſe in judicio purgaturum comitatur.* Chorus *actum claudit.*

ΜΕΝΕΛΑΟΣ, ΟΡΕΣΤΗΣ, ΤΥΝΔΑΡΕΩΣ, ΠΥΛΑΔΗΣ.

Ἴαμβοι.

Με. Ὦ Δῶμα, τῇ μὲν σ' ἡδέως προσδέρκομαι, — *Me.* O domus, partim libentèr te aſpicio,
Τροίαθεν ἐλθών. τῇ δ' ἰδὼν κατασένω. — Veniens ex Trojâ, partim videns gemo.
Κύκλῳ γὰρ εἱληθεῖσαν ἀθλίοις κακοῖς — Nam in orbem circumdatam miſerandis malis
Οὐ πώποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν. — Nunquam vidi magis aliam domum.
Ἀγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην, — Etenim Agamemnonis fortunam cognovi,
Καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο, — Et mortem, quâ ab uxore periit,
Μαλέᾳ προσίσχων πρῷραν. ἐκ δὲ κυμάτων — Ad maleam admovens navem. ex fluctibus verò
Ὁ ναυτίλοισι μάντις, ἐξήγγειλέ μοι — Nautarum vates dixit mihi
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεός, — Nerei propheta Glaucus, verax Deus,
Ὅς μοι τόδ' εἶπεν ἐμφανῶς παρασταθείς· — Qui mihi hæc dixit aſtans clarè:
Μενέλαε, κεῖται σὸς κασίγνητος θανών, — Menelae, jacet tuus frater mortuus,
Λουτροῖσιν ἀλόχου περιπεσὼν πανυστάτοις. — Incidens in ultima balnea uxoris:
Δακρύων τ' ἔπλησεν ἐμέ τε, καὶ ναύτας ἐμοὺς — Et implevit me & nautas meos lacrymis
Πολλῶν. ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονός, — Multis. poſtquam autem attigi terram Naupliam,
Ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης, — Ibi jam huc tendente meâ conjuge;
Δοκῶν Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος, — Cùm ſperarem Oreſtem filium Agamemnonis,
Φίλαισι χερσὶ περιβαλεῖν, καὶ μητέρα, — Et matrem charis complecti brachiis,
Ὡς εὐτυχοῦντας, ἔκλυον ἁλικτύπων τινὸς — Tanquam florentes, audivi ex quodam piſcatore,
Τῆς Τυνδαρείας θυγατρὸς ἀνόσιον φόνον. — Cædem impiam filiæ Tyndari.
Καὶ νῦν ὅπου 'στίν, εἴπατ', ὦ νεάνιδες, — Et nunc, ô juvenculæ, dicite, ubi eſt
Ἀγαμέμνονος παῖς, ὃς τὰ δείν' ἔτλη κακά. — Agamemnonis filius, qui ſuſtinuit patrare iſta magna mala?
Βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμνήστρας χεροῖν, — Erat enim infans tunc in manibus Clytæmneſtræ;
Ὅτ' ἐξέλιπον μέλαθρον, ἐς Τροίαν ἰών. — Cùm reliqui domum, vadens ad Trojam:
Ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών. — Quare haud nunc noſſem eum, tum ſi liceat aſpicerem.

Ὦ δῶμα τῇ μὲν] αἱ ἑξῆς αὗται περίοδοι τετράμετρον ἀκατάληκτον εἰσίν, ὧν τελευταῖος κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν, ἐπὶ ταῖς ἀποθέσεσι παράγεται, ἐπὶ δὲ τῷ τέλει κορωνίς. Ὦ δῶμα] ἀπὸ πρώτης παρόδου σημειοῦται τὸ κωμικὸν τῆς γνώμης Μενελάου. καὶ γὰρ οὐδὲ εἰς Σπάρτην ἀνήχθη. ἀλλὰ πρότερος εἰς Ἄργος ὡς ἐξελάσων Ὀρέστην, ὡς καὶ ἐν τοῖς ἑξῆς δῆλός ἐστι, καίτοι τῶν πάλαι πολεμίων φειδόμενος. ἐν γὰρ τῇ ζ ῥαψῳδίᾳ κωμῳδεῖται παρὰ τοῦ ποιητοῦ συγχωρῶν ζῆν τὸν Ἄδραστον δόντα χρήματα ἐπαγγελλόμενον. 364 Νηρέως προφήτης] οὗτος Ἀνθηδόνιος ἁλιεύς. ἐρασθεὶς δὲ ἐσθίων περὶ τὴν ψάμμον βοτάνης γευσάμενος, καὶ ἀναπηδήσας, φαγὼν καὶ αὐτὸς γέγονεν ἀθάνατος, ἀλλ' οὐκ ἀγήρατος. ἐφ' ᾧ κατεποντισεν ἑαυτόν. μαντεύεται δὲ ὡς παρ' Ὁμήρῳ Πρωτεύς, καὶ παρὰ Πινδάρῳ Τειρεσίας τοῖς Ἀργοναύταις. Μαλέας δὲ ἀκρωτήριον ἐστὶ περὶ Λακεδαιμονίαν, λεγόμενον παρά τισιν ἰδιωτικῶς ὂν * κατσαμάγουλον. Ἐμφανῶς παρασταθείς] τουτέστιν οὐκ ἐντὸς θαλάσσης ὤν, καὶ ἀφανῶς μοι τοῦτο εἶπεν, ἀλλ' ἐμφανῶς, καὶ ἐνώπιον σοῦ, καὶ διηγούμενος. Περιπεσὼν] περιοχὴ ἡ περί. καὶ ἔστιν ὁ νοῦς, τοῖς πανυστάτοις λουτροῖς τῆς ἀλόχου πεσών, ὅ ἐστιν ἀπολωλώς. ἢ περιπεσὼν ἀντὶ τοῦ συντυχὼν τοῖς λουτροῖς τῆς ἀλόχου. λουσαμένῳ γὰρ Ἀγαμέμνονι, τὸν χιτῶνα περιεδωσάγκαν. ὡς ἐν Ἑκάβῃ φησί, κτενῶ ὡς ἐν Ἄργει φόνια. 371 Δοκῶν Ὀρέστην] ὕπουλα πάντα τὰ ῥήματα Μενελάου, ἀφ' ὧν ὁ ποιητὴς τὸ ἄστατον τῆς Λακεδαιμονίων γνώμης κωμῳδεῖ, ὡς καὶ ἐν Ἀνδρομάχῃ, ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτοί Σπάρτης ἔνοικοι δόλια βουλευτήρια. περὶ γὰρ Διοκλέους, ἐφ' οὗ τὸν Ὀρέστην ἐδίδαξε, Λακεδαιμονίων πρεσβευσαμένων περὶ εἰρήνης, ἀπιστήσαντες Ἀθηναῖοι, οὐ προσήκαντο, ἐπὶ ἄρχοντος Θεοπόμπου, ὃς ἦν πρὸ Διοκλέους, ὡς ἱστορεῖ Φιλόχορος. Περιβαλεῖν] περιβάλλω τινά, ἀντὶ τοῦ περιπτύσσομαι. καὶ περιβάλλει ὁ θεὸς τὸν οὐρανὸν ἐν νεφέλαις, ἀντὶ τοῦ ἐνδύει. καὶ παρὰ Φιλοστράτῳ, περιβάλλων τοῖς τείχεσιν ἄνδρας ὡπλισμένους, ἀντὶ τοῦ κύκλῳ τιθείς. 373 Ὡς εὐτυχοῦντας] εἰώθασιν οἱ ἄνθρωποι τὰς τῶν ἐχθρῶν ἀτυχίας εὐτελεῖς λογίζεσθαι, βουλόμενοι μέχρι θανάτου τὴν ἀτυχίαν αὐτῶν προκόπτειν. καὶ ὁ Μενέλαος τοίνυν ἐφεδρεύων τῇ τοῦ Ὀρέστου ἀρχῇ, μόνον τὸ ζῆν αὐτὸν εὐτυχίαν ὁρίζεται. ἀλλὰ τὰ κατὰ τὸν Ἀγαμέμνονα ἠπιστάμην, καὶ τὸν ἐκείνου θάνατον ἐδάκρυσα. ἐλ-

* Κατσαμάγουλον Græcè Asinorum & *Maxillam* ſonat. De hoc Verbo vid. *Meurſii* Gloſſarium Græco-barbarum in Κατσαμάγουλον & Μάγουλον, item *Du Freſne* Latino-barbarum Lexicon in *Magulum*. Vid. quæ notavimus ap *Hecub.* V. 1114. ad Scholia. *Malea Laconia* Promontorium vulgo dicta *Aſini Maxilla* à formâ, ut *Tzetzes* in *Lycophronem*: Noſtris dicitur D. *Michaelis Ala*. *Joſua Barnes.*

ANNOTATIONES.

V. 362. πρῷραν] rectè accentuatur: ſed nè ſit *ſpondæus* in Quarto loco πρώραν cum circumflexo notarem, ut τὸ ω brevis eſſet: Certè ſic τὸ Τροία & τὸ Τροΐα invenitur apud Poetas. MS. πρώραν.

V. 363. Ὁ Ναυτίλοισι μάντις] pro ὁ μάντις τῶν ναυτίλων. Vid. quæ Nos ad *Iphig. Aul.* V. 613. *Joſua Barnes.*

V. 378. Ὅτ' ἐξέλιπον] *Duportianus* Codex emendat in ἐξέλειπον, nullâ causâ cogente; utrumvis enim ſi ſcribas verſus æquè ſtabit. MS. tamen pro illo ſtat.

V. 379. Ὥς τ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών] Non video cur ἂν bis hic occurrat; quare poſterius τὸ ἂν cùm εἰσιδὼν junctim lego, ut ſit decompoſitum hoc modo ἀνεισιδών. Sed & de duplici ἂν Vid. quæ Nos ad *Hecub.* V. 359. *Joſua Barnes.*

Ορε. Ὦ

Ορε. Ὅδ' εἴμ' Ὀρέστης, Μενέλεως, ὃν ἱστορεῖς,
Ἑκὼν ἐγώ σοι τἀμὰ σημανῶ κακά.
Τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω,
Ἱκέτης ἀφύλλους στόματος ἐξάπτων λιτάς.
Σῶσόν με. ἀφῖξαι δ' αὐτὸς εἰς καιρὸν κακῶν.
Με. Ὦ θεοί, τί λεύσσω; τίνα δέδορκα νερτέρων;
Ορε. Εὖ γ' εἶπας. οὐ γὰρ ζῶ κακοῖς, φάος δ' ὁρῶ.

Ore. Ille ſum, Menelae, Oreſtes, de quo tu quæris,
Volens dicam tibi mea mala,
Attingens primum tua genua.
Supplex accommodans preces oris ſine-ramis:
Serva me, adveniſti ipſe in ipſo articulo malorum.
Me. O dei, quid video, quem mortuorum video?
Ore. Recte dixiſti: non enim vivo præ malis, quanquam video lucem

…πίζων δὲ περιπαθῶς τὸν Ὀρέστην, καὶ τὴν μητέρα, ὡς σῳζομένους, παρ' ἐλπίδας ἤκουσε τὸν Κλυταιμνήστρας θάνατον. τὸ γὰρ εὐτυχοῦντας ἀντὶ τοῦ σώους καὶ ὑγιεῖς. Ἀνόσιον φόνον λέγει τὸν τῆς Κλυταιμνήστρας, ὅτι ὑπὸ τοῦ παιδὸς αὐτῆς Ὀρέστου ἐσφάγη. δέον δὲ εἰπεῖν εὐσεβῆ φόνον, κακοήθως ἀνόσιον καὶ ἀσεβῆ φόνον καλεῖ τὴν τιμωρίαν Κλυταιμνήστρας. ἔδει γὰρ αὐτὴν οὐχ ἅπαξ, ἀλλὰ καὶ μυριάκις ἀπολωλέναι αὐτόχειρα, ἤτοι φονέα τοῦ οἰκείου ἀνδρὸς γενομένην, ἀλλ' οὐχ ὑπ' ἄλλου τε, καὶ οὐχ ὑπὸ Ὀρέστου τοῦτο γενέσθαι.

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὦ Δῶμα, τῇ μὲν ταύτῃ τῇ μερίδι δηλονότι, ἡδέως βλέπω σε, ἐλθὼν ἀπὸ τῆς Τροίας. τῇ δὲ, ἤγουν ταύτῃ τῇ ἑτέρᾳ μερίδι δηλονότι, ἰδὼν κατασείω. κύκλῳ γὰρ περιληφθεῖσαν ὑπὸ ἀθλίων κακῶν, οὔπω ποτὲ εἶδον ἄλλην οἰκίαν μᾶλλόν σου δηλονότι. τὰς τύχας γὰρ, ἤγουν τὰ συμβεβηκότα τῷ Ἀγαμέμνονι ἔμαθον ὁποίῳ θανάτῳ ὤλετο. παρὰ τῆς γυναικὸς, περιπίπτων καὶ πλησιάζων τῷ Μαλέᾳ, τὴν περίοχαν. ἐκ γὰρ τῶν κυμάτων τῆς θαλάσσης, ὁ μάντις τοῖς ναυτίλοις, ἀντὶ τοῦ τῶν ναυτίλων, ὁ προφήτης τοῦ Νηρέως, ὁ Γλαῦκος ὁ ἀψευδὴς θεὸς, ἐξήγγειλεν ἐμοὶ, ὅς μοι παραστὰς ἐμφανῶς εἶπε τάδε. ὦ Μενέλαε, κεῖται θανὼν ὁ σὸς ἀδελφὸς, ἐμπεσὼν λουτροῖς πανυστάτοις τῆς ἀλόχου, ἤγουν ἃ ἡ ἄλοχος ἔλουσεν αὐτόν. ἐπλήρωσε δὲ δακρύων πολλῶν ἐμὲ, καὶ τοὺς ἐμοὺς ναύτας. ἐπεὶ δὲ ἔψαυσα τῆς Ναυπλίας χθονὸς, ἤδη δάμαρτος τῆς ἐμῆς δηλονότι ἐξορμιζομένης ἐνθάδε, νομίζων τὸν Ὀρέστην τὸν παῖδα τοῦ Ἀγαμέμνονος, καὶ τὴν μητέρα περιβαλεῖν χερσὶ φίλαις, ὡς εὐτυχοῦντας, ἤκουσα τινὸς ἁλιέως τὸν ἀνόσιον φόνον τῆς Τυνδάρεω θυγατρὸς, καὶ νῦν εἴπατε. ὦ Νεανίδες, ὅπου ἐστὶν ὁ τοῦ Ἀγαμέμνονος παῖς Ὀρέστης, ὃς ὑπέμεινε τὰ δεινὰ κακά. βρέφος γὰρ τότε ἦν ἐν ταῖν χεροῖν τῆς Κλυταιμνήστρας, ὅτε κατέλιπον τὴν οἰκίαν ἀπιὼν εἰς Τροίαν, ὥστε οὐκέτι ἂν γνωρίσαιμι αὐτὸν ἰδών. Ὅδ' εἴμ' Ὀρέστης ὦ Μενέλαε, ὅδε, ἤγουν ἐγώ εἰμι ὁ Ὀρέστης, ὃν ἱστορεῖς, ἤτοι περὶ οὗ ἐρωτᾷς, ἐγὼ ἑκὼν δηλώσω σοι τὰ ἐμὰ κακά. πρωτόλεια δὲ, ἤτοι πρῶτος, καὶ κατὰ πρῶτον λόγον, θιγγάνω καὶ ἅπτομαι τῶν σῶν γονάτων ἱκέτης, ἀντὶ τοῦ ἱκετικῶς, ἀπὸ στόματος ἀφύλλου καὶ ξηροῦ ἐξάπτων, καὶ ἀναπτὰς λιτὰς, σῶσόν με. παραγέγονας δὲ αὐτὸς εἰς καιρὸν, ἤτοι εἰς αὐτὴν τὴν ἀκμὴν τῶν κακῶν. Ἀφύλλου στόματος] εἰώθεσαν οἱ παλαιοὶ, ὅτε ἱκετείαν τινὰ προσέχοντας, φέρειν ἐν χερσὶ στέφανον ἐκ φύλλων, ἢ δάφνης, ἢ ἐλαίας. ὁ δὲ νοῦς τοιοῦτος, πρὶν διηγήσομαι τὰ ἐμὰ κακά, ἅπτομαι τῶν σῶν γονάτων, ἐξάπτων καὶ φέρων παρακλήσεις ἐξ ἀφύλλου στόματος νοητέον, τουτέστι μόνον διὰ λόγων δέομαι, καὶ οὐ προτείνω κλάδον ὡς ἔθος. ἢ τὸ ἀφύλλου στόματος, ἀντὶ τοῦ κατάξηρου νοητέον, ὑπὸ τῆς νόσου. περιαιρεθέντων γὰρ τῶν φύλλων ἐκ τῶν δένδρων, ξηρὰ τυγχάνει τὰ δένδρα. διατί δὲ ἐκ δάφνης ἢ ἐξ ἐλαίας προέτεινον φύλλα, καὶ οὐκ ἐξ ἄλλου φυτοῦ, φαμὲν ὡς ἐπεὶ ταῦτα τὰ φυτὰ ἀειθαλῆ τυγχάνει, καὶ ἱερά. ἡ μὲν γὰρ δάφνη τῷ Ἀπόλλωνι ὡς μαντικῷ ἀνάκειται, ἡ δὲ ἐλαία τῇ Ἀθηνᾷ, ὡς καταδειξάσῃ πρώτῃ αὐτὴν ἐν Ἀθήναις, διὰ τοῦτο ἐξιλεοῦντο τούτοις μόνοις, καὶ οὐκ ἄλλοις τισὶ φυτοῖς. Πρωτόλεια δὲ κυρίως, αἱ πρῶται τῆς λείας ἀπαρχαὶ ἃς ἀνέφερον τοῖς θεοῖς, ὡς αἰτίοις τῆς νίκης. δέον δὲ εἰπεῖν ἱκετικῶς, ἱκέτης εἶπε πρὸς τὸ θιγγάνω, τὸ οὐχ ἡ πρόσοψις, οὐ πρὸς τὸν λόγον τοῦ μέσου τὸ ἡγεῖσθαι ἐστὶν, ἀλλὰ πρὸς τὸ τίνα δέδορκα νερτέρων. Πρωτόλεια] κυρίως ἡ τῆς λείας ἀπαρχή. νῦν δὲ πρωτόλεια φησὶ τῆς ἱκεσίας τὴν ἀπαρχήν. καταχρηστικῶς δὲ πρωτόλεια φησὶ, πάντα τὰ πρῶτα. Ἀφύλλου στόματος] ὅτι τὴν φυλλάδα ἱκετεύοντες προὔτεινον, ὡς παρ' Ὁμήρῳ ὁ Χρύσης Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος· ἢ κέκληται φυλλὰς, ἐπεὶ ἐκ φύλλου ἤτοι ἐλαίας, ἢ δάφνης, ἢ ὥς τινες τὸ ἐκ τούτων ἄνθος, τῶν γονάτων ἐξῆπτον τῶν ἱκετευομένων. ἐπεὶ οὖν ἔθος ἐστὶ τοῖς ἱκετεύουσι φυλλάδα προτείνειν· τούτῳ δὲ νῦν οὐ πάρεστι. διὰ τοῦτο φησὶ τὴν ἐκ στόματος, καὶ λόγων μόνων ἱκεσίαν ποιεῖσθαι. τὸ δὲ ἐξάπτων ἔφη, παρόσον οἱ ἱκετεύοντες, τούτοις παρετίθεσαν τὰς ἱκετείας. Ἀχαιὸς ἐν Ἄζᾶσι, Νῦν οὖν ἡμεῖς Ἱκέται θαλλούς τε θεῶν γέρας τίθεμεν περὶ ποδῶν τῶν σῶν, λῆξαι τῆς ἀστραπαίου Ζηνὸς θυσίας. τινὲς δὲ ἀφύλλου στόματος ἤκουσαν τοῦ κατεξηραμμένου διὰ τὴν νόσον, ἀντὶ τοῦ ἄνευ ἱκετείας. ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἃ τινα μὴ ἔχοντα φύλλα, ὡς ἐπιτοπολὺ ξηρὰ εὑρίσκεται. Ὦ θεοὶ τί λεύσσω] τί βλέπω, τίνα τῶν νεκρῶν βλέπω; Εὖ γ' εἶπας] καλῶς ἔφης, ὅτι νεκρός εἰμι δηλονότι. οὐ γὰρ ζῶ ὑπὸ τῶν κακῶν, ὁρῶ δὲ φῶς.

Με. Ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρὸν τάλας.
Ορε. Οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζεται.
Με. Δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.
Ορε. Τὸ σῶμα φροῦδον, τὸ δ' ὄνομ' οὐ λέλοιπέ με.
Με. Ὦ παράλογόν μοι σὴ φανεῖσ' ἀμορφία.
Ορε. Ὅδ' εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς.
Με. Ἤκουσα. φείδου δ' ὀλιγάκις λέγειν κακά.
Ορε. Φειδόμεθ'. ὁ δαίμων δ' ἐς ἐμὲ πλούσιος κακῶν.
Με. Τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσιν νόσος;

Me. Quam es horridus ſqualidam comam ô miſer!
Ore. Non ſpecies, ſed facta me cruciant.
Me. Horribiliter tueris ſiccis pupillis oculorum.
Ore. Corpus evanidum eſt, ſed nomen non reliquit me,
Me. O deformitas apparens mihi præter opinionem!
Ore. Ille ego ſum matris meæ miſeræ homicida.
Me. Audivi; parce dicere mala vel raro.
Ore. Parco. dæmon autem eſt dives malis adverſus me.
Me. Quid tibi accidit? quis morbus te perdit?

Ὡς ἠγρίωσαι] λίαν ἠγριωμένος εἶ ὦ τάλας κατὰ τὸν πλόκαμον τὸν αὐχμηρὸν, καὶ κατάξηρον. Οὐχ ἡ πρόσοψις, οὐχ ἡ θεωρία μαστίζει ἐμὲ, ἀλλὰ τὰ ἔργα. Δεινὸν δὲ καὶ ἄγριον βλέπεις ταῖς ξηραῖς καὶ ἀγρίαις κόραις τῶν ὀμμάτων. τὸ σῶμα φροῦδόν ἐστι δηλονότι, ἀντὶ τοῦ ἠφάνισται. τὸ δὲ ὄνομα, ἤτοι τὸ καλεῖσθαί με μητροκτόνον, οὐ λέλοιπέ με, ἀντὶ τοῦ οὐκ ἀφῆκεν ἐμέ. Τὸ σῶμα φροῦδον] ἐπεὶ ὁ Μενέλαος εἶπε πρὸς τὸν Ὀρέστην ὅτι δεινὸν λεύσσεις ὀμμάτων ξηραῖς κόραις· ἀποκρινόμενος ὁ Ὀρέστης φησὶ, τί λέγεις, ἅπαν μοι τὸ σῶμα ἀπολώλει, καὶ σὺ περὶ τῶν ὀμμάτων μόνον λόγον ποιεῖς; Ὦ παράλογόν μοι] ὦ ἀμορφία σὴ, ἡ φανεῖσα ἐμοὶ παράλογος, καὶ παρ' ἐλπίδα. ὅδ' εἰμὶ φονεὺς τῆς ταλαιπώρου μητρός. Ταλαιπώρου] ἢ ὅτι μεταγνοὺς ἀνελὼν αὐτὴν, ταλαίπωρον ἔφη, προσαγόμενος αὐτὴν εἰς ἔλεον, διὰ τὸ καθομολογεῖν τὴν ἀνοσίαν ἑαυτοῦ πρᾶξιν. οὐ γὰρ περὶ πράξεως, καὶ μετὰ τὴν πρᾶξιν οἱ αὐτοὶ τυγχάνομεν. ἢ ὑπομιμνήσκων αὐτὸν ὅτι ἔκδικος τοῦ πατρὸς ὑπάρχει, ταλαίπωρος περὶ τὴν μητέρα, ὃ δηλοῖ τὸ πένθος. Ἀντίμαχος, πόρε τοι ἀλόχοισι, καὶ οἷς τεκέεσσιν ἕκαστος. ἀντὶ τοῦ πένθος λέγει. Ἤκουσα] ἀκήκοα. φείδου δὲ λέγειν, ἀντὶ τοῦ λέγε τὰ κακὰ ὀλιγάκις. Φείδου δ' ὀλιγάκις] λείπει τὸ ὥστε, ἤκουσα ὥστε φείδου λέγειν τὰ κακά. οὐ γὰρ παραιτοῦ τὰ κακὰ πολλάκις λέγειν. ὀλιγάκις δὲ, ἀντὶ τοῦ οὐδ' ὅλως. ὡς τὸ ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. διὸ λέγειν ἀναγκάζεται ὁ Ὀρέστης, πλείους καὶ πολυτελῶς ἔχων τὰ κακά. Φείδου] ἤγουν ἡ φειδὼ μοι ἄλλη τις ἔστω σοι, ἢ τὸ λέγειν τὰ κακὰ ὀλιγάκις. Φειδόμεθα] ἡ τύχη δὲ εἰς ἐμὲ πλούσιος, ἕνεκεν τῶν κακῶν. Τί χρῆμα] τί ἐστι τὸ χρῆμα ὃ πάσχεις. τίς νόσος ἀπόλλυσί σε.

ANNOTATIONES.

V. 382. Πρωτόλεια] Vid. Scholiaſt. Et quæ notavi Iphig. Aul. V. 718. Joſua Barnes.

V. 390 λέλοιπέ μοι] aliàs με & ità Scholiaſt legit. Et MS. Coll. CC. Cantabr. Joſua Barnes.

Ορε. Ἡ

Ορε. Ἡ σύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος.
Με. Πῶς φής; σοφόν τοι τὸ σαφές, οὐ τὸ μὴ σαφές.
Ορε. Λύπη μάλιστά γ' ἡ διαφθείρουσά με.
Με. Δεινὴ γὰρ ἡ θεός, ἀλλ' ὅμως ἰάσιμος.
Ορε. Μανίαι τε, μητρὸς θ' αἵματος τιμωρίαι.
Με. Ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ' ἦν;
Ορε. Ἐν ᾗ τάλαιναν μητέρ' ἐξώγκουν τάφῳ.
Με. Πότερα κατ' οἴκους, ἢ προσεδρεύων πυρᾷ;
Ορε. Νυκτός, φυλάσσων ὀστέων ἀναίρεσιν.
Με. Παρῆν τις ἄλλος, ὃς σὸν ὤρθευεν δέμας;
Ορε. Πυλάδης, ὁ συνδρῶν αἷμα καὶ μητρὸς φόνον.
Με. Ἐκ φασμάτων δὲ τάδε νοσεῖς ποίων ὕπο;
Ορε. Ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
Με. Οἶδ', ἃς ἔλεξας, ὀνομάσαι δ' οὐ βούλομαι.
Ορε. Σεμναὶ γάρ. ἀπαίδευτον δ' ἀποτρέπου λέγειν.
Με. Αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;
Ορε. Οἴμοι διωγμῶν, οἷς γ' ἐλαύνομαι τάλας.
Με. Οὐ δεινὰ πάσχειν, δεινὰ τοὺς εἰργασμένους.
Ορε. Ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς ξυμφορᾶς.
Με. Μὴ θάνατον εἴπῃς. τοῦτο μὲν γὰρ οὐ σοφόν.
Ορε. Φοῖβος κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.

Ore. Conſcientia, quòd ſum mihi conſcius feciſſe atrocia.
Me. Quomodo inquis? quod enim ſapienter dicitur, clarū eſt, non obſcurū.
Ore. Triſtitia maximè conſumit me.
Me. Eſt ſæva Dea, ſed tamen placabilis.
Ore. Etiam furores, qui ulciſcuntur matris cædem.
Me. Quando incepiſti furere? quæ dies tum erat?
Ore. Quâ die miſeram matrem oneravi tumulo.
Me. An domi, an aſſidens ad rogum?
Ore. Noctu cuſtodiens collectionem oſſium.
Me. Aderat aliquis, qui confirmaret tuum corpus?
Ore. Pylades, qui ſimul fecit cædem matris.
Me. A quibus ſpectris ſic affectus es?
Ore. Viſus ſum tres puellas videre nocti ſimiles.
Me. Novi quas dixiſti: nuncupare autem nolo.
Ore. Atroces enim ſunt. inſipidè ne dixeris, cave.
Me. Ipſæ te ob matris cædem exagitant?
Ore. Hei perſecutionem quâ miſer exagitor.
Me. Non grave eſt, gravia pati, gravia qui fecerunt.
Ore. Sed eſt nobis translatio caſûs.
Me. Non dicas necem: hoc enim non eſt ſapienter dictum.
Ore. In Phœbum jubentem perficere matris cædem.

Ἡ σύνεσις] ἀντὶ τοῦ ἡ συνείδησις. ὅτι σύνοιδα ἐμαυτῷ δηλονότι πεποιηκὼς δεινά, ἐγκαλοῦσί τινες. πῶς γὰρ φησὶν αἰτιᾶται τὴν σύνεσιν. τὸ πᾶν αἴτιον τῶν Ἐριννύων ἐχουσῶν. ἀγνοοῦσι δέ, ὅτι ὑπὸ δισσῶν φησὶν ἀπόλλυσθαι, πρὶν μὲν τὸν καιρὸν τῆς ὑγείας, ὑπὸ τῆς συνειδήσεως, ἐν δὲ τῇ λύσσῃ ὑπὸ τῶν Ἐριννύων. ὃ καὶ ἐπάγει, μανίαι τε μητρὸς αἵματος, τῆς μητρὸς ἣν ὑφίσταμαι τιμωρίαν, ταύτην διδοὺς ὑπὸ τοῦ τῆς μητρὸς φόνου. Ἡ σύνεσις] τοῦτο ἔμφασιν ἔχει, ὅτι μόνον σύνεσις ἤκουσε Μενέλαος, καὶ οὐ τὸ ὅτι σύνοιδα. τοῦτο γὰρ σαφέστερόν ἐστι, τὸ δὲ σύνεσις μόνον ἔχει τὴν ἀσάφειαν. Πῶς φής] πῶς λέγεις σοφόν, ἤτοι συνετόν. καὶ φρόνιμον τὸ σαφές, καὶ εὔγνωστον, οὐ τὸ μὴ σαφές, καὶ τὸ ἄγνωστον. 397 Σοφόν τοι] διὰ τὸ μὴ σαφὲς ἔπος ποιήσασθαι τὴν ἀπόκρισιν, τούτου ἕνεκα λέγει αὐτὸν ἀσαφῶς εἰρηκέναι. ἐπεὶ αὐτὸς μὲν τὴν ἰδέαν ἐπύθετο τῆς νόσου. ὁ δὲ τὸ συνειδὸς ἔφη. τοῦτο δὲ οὐ πάντως νόσος. τούτου χάριν φησὶν ἀσαφῶς εἰρηκέναι. τίς οὖν ἡ ὑπὸ τῆς συνειδήσεως νόσος, ἡ λύπη, ὡς ἑξῆς λέγει, ὅτι σύνοιδα δεινὰ εἰργασμένος. μετὰ γὰρ τὴν μανίαν, ἡ ἔννοια τῶν κακῶν αὐτὸν ἐδάμαζεν. Σύνοιδα δεινὰ εἰργασμένος, καὶ σύνοιδα ἐμαυτῷ δεινὰ εἰργασμένῳ. Λύπη μάλιστα ἐστὶν ἡ διαφθείρουσά με. 399 Δεινὴ γὰρ] ἰσχυρὰ γὰρ καὶ χαλεπὴ ἡ θεός, ἤτοι ἡ λύπη, ἀλλ' ὅμως ἰάσιμος, ἤτοι δυναμένη θεραπευθῆναι. Μανίαι τε] καὶ αἱ μανίαι διαφθείρουσιν ἐμὲ δηλονότι, καὶ αἱ τιμωρίαι, καὶ ἐκδικήσεις τῆς μητρός. Ἤρξω] ἤρξω δὲ πότε τῆς λύσσης, ἤτοι τῆς μανίας, τίς ἡμέρα ἦν τότε. Ἤρξω δὲ λύσσης] καὶ τοῦτο πονηρῶς. θέλων γὰρ ἐξελέγξαι τὸν ἀνεψιὸν ὡς θεομισῆ, φησίν, ἤρξω δὲ λύσσης πότε. θέλει δὲ μαθεῖν, εἰ χρόνιόν ἐστι τὸ νόσημα, καὶ δυσίατον. ὁ δὲ φησίν, ἐν ᾗ ἡμέρᾳ τὸ τῆς μητρὸς μνῆμα ἐξώγκουν. Ἐξώγκουν, κατεχώννυον, ἐκάλυπτον. εἰκότως εἶπε τὸ ἐξώγκουν. οἱ γὰρ τῶν παλαιῶν τάφοι, συναγωγὴ χωμάτων ἦσαν εἰς ὕψος ἀνήκουσα, βουνῷ ἐοικυῖα. ὅθεν καὶ μέχρι τοῦ νῦν τύμβον ταύτην κατονομάζουσιν. 402 Ἐν ᾗ τάλαιναν] ἐν ᾗ ἡμέρᾳ δηλονότι ἐξώγκουν τὴν τάλαιναν μητέρα τάφῳ. ἀντιστρόφως, ἀντὶ τοῦ ἐν ᾗ ἐξώγκουν τὸν τάφον τῆς ταλαίνης μητρός. Πότερα κατ' οἴκους] ἆρα κατὰ τοὺς οἴκους ἤρξω τῆς λύσσης δηλονότι, ἢ προσκαθήμενος τῇ πυρᾷ, ἀπὸ κοινοῦ τὸ ἤρξω. τουτέστιν ἐν ποίᾳ ἡμέρᾳ ἤρξω, καὶ ἐν ποίῳ τόπῳ. κακοήθως δὲ καὶ τοῦτο, ὁ δὲ φιλαλήθως λέγει, κατὰ τὴν νύκτα πέπονθα τηρῶν τὴν ἀναίρεσιν, καὶ τὴν ἀνάληψιν τῶν ὀστέων, τουτέστιν ἵνα μή τις ἀφέληται ταῦτα. Παρῆν τις ἄλλος] ὃς ἀνώρθου τὸ σὸν σῶμα σφαλλόμενον δηλονότι ὑπὸ τῆς μανίας; ναὶ Πυλάδης, ὁ συνδρῶν ἐμοὶ δηλονότι τὸ αἷμα, καὶ τὸν φόνον τῆς μητρός, ἐκ παραλλήλου. ὑπὸ ποίων δὲ φασμάτων νοσεῖς τάδε, ἐνόμισα ἰδεῖν τρεῖς κόρας ὁμοίας νυκτί. Οἶδα ἃς ἔλεξας, οὐ βούλομαι δὲ ὀνομάσαι, καὶ εἰπεῖν ἀποτρέπου λέγειν ἀπαίδευτα, ἤγουν τοῦ μέμψασθαι αὐτὰς ἀφίστασο. σεμναὶ γὰρ καὶ σεβάσμιαί εἰσιν. Ἀπαίδευτα] ἀπαίδευτός ἐστιν ὁ ἐνταῦθα γράφων ἀπαίδευτα, καὶ τῶν μέτρων παντάπασιν ἀμαθής. σὺ δ' εἰ βούλει μὴ ἀπαίδευτος εἶναι, ἀπαίδευτον ἑνικῶς γράφε. οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς, τὸ ἑξῆς οὕτως, ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς, ὁ Φοῖβος, κελεύσας τὸν τῆς μητρὸς διαπράξασθαι φόνον. ὁ δὲ Μενέλαος, διακόψας τὸν λόγον φησί, μὴ εἴπῃς τὸν τοῦ πατρὸς δηλονότι. ὑπελάμβανε γὰρ τοῦτο βούλεσθαι προτείνειν. Ἄλλως. ὁ μὲν οὖν Ὀρέστης διὰ τὸν Ἀπόλλωνα εἶπεν, ὡς κελεύσαντα τὸν φόνον, τὸ ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς. τουτέστιν εἰς Ἀπόλλωνα ἀναφέρομεν τὴν αἰτίαν τῶν πραχθέντων. ὁ δὲ Μενέλαος οἰόμενος αὐτὸν λέγειν τὸν τοῦ πατρὸς θάνατον, ἐκκλείων αὐτὸν τῆς ἀπολογίας φησί· μὴ τὸν θάνατον τοῦ πατρὸς λέγε, ὡς δι' ἐκεῖνον, τὴν μητέρα ἀποκτείνας εἰς τὰ παρόντα ἐμπέπτωκας. Ἄλλως. 410 Ἀπαίδευτα] ἀντὶ τοῦ ἀπαιδεύτως, φυλάττου ὀνομάζειν αὐτάς. πῶς δὲ ἀπαιδεύτως, καλῶν αὐτὰς Ἐριννύας. Ἄλλως. Ἀπαίδευτα κατ' ἀντίφρασιν, ἀντὶ τοῦ ἀπαιδεύτως. ἢ οὕτως. ἀπαιδεύτως δὲ ποιεῖς, ὀνομάζειν ταύτας Ἐριννύας παραιτούμενος. Αὗταί σε βακχεύουσι] ἤτοι ἐκμαίνουσι καὶ ταράττουσί σε τῷ συγγενεῖ φόνῳ. ἤτοι διὰ τὸν φόνον τῆς μητρός. κακοήθως δέ, τῷ ὀνόματι χρήσασθαι τῆς μανίας. κακοήθως δέ, καὶ τὸ ὑπομιμνήσκειν αὐτὸν τοῦ φόνου τῆς μητρός. ἤρκει γὰρ εἰπεῖν, αὗταί σε βακχεύουσιν. ὁμοίως δὲ καὶ τὸ εἰπεῖν οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους, γυμνὸν γίνεται τὸ κακόηθες Μενελάου. κατέκρινε γὰρ αὐτὸν χωρὶς κρίσεως. Οἴμοι] οἴμοι ἕνεκα τῶν διωγμῶν, ὑφ' ὧν ἐλαύνομαι ὁ τάλας. Οὐ δεινόν] ἤτοι θαυμαστόν, πάσχειν χαλεπά, τοὺς πεποιηκότας δεινά. Ἀλλ' ἔστιν ἡμῖν ἀναφορά, καὶ μετάθεσις τῆς ξυμφορᾶς καὶ τοῦ συμβεβηκότος. Ἀλλ' ἔστιν ἡμῖν] ἐπεὶ εἶπεν ὁ Μενέλαος, οὐ δεινὰ πάσχειν, δεινὰ τοὺς εἰργασμένους, καὶ κατέκρινεν αὐτὸν χωρὶς κρίσεως, ὁ Ὀρέστης φησίν· ἀλλ' ἔστιν ἡμῖν τοῦ συμβάντος πράγματος ἀναφορά, οἷον δυνάμεθα τῆς συμβάσης τύχης τὴν αἰτίαν ἀναγαγεῖν εἴς τινα, ὥστε μὴ εἶναι ἡμᾶς αἰτίους δεινῶν πράξεων. εἶτα ὁ Μενέλαος. Μὴ θάνατον εἴπῃς τοῦ πατρός. τοῦτο γὰρ οὐ σοφόν. εἰ γὰρ καὶ διὰ τὸν πατέρα ἀνεῖλες τὴν μητέρα, δεινὰ πέπραχας. σὺ γὰρ οὐκ ὤφειλες θάνατον ἐπαγαγεῖν τῇ μητρί, ἀλλ' ἡ δημοσία κρίσις. εἶτα ὁ Ὀρέστης λέγων, ὅτι Ἀπόλλων ἐκέλευσε, καὶ διὰ τοῦτο οὐ δεινὰ διεπραξάμην. εἴγε θεὸς ὁ κελεύσας, καὶ κελεύσας, εἶτα Μενέλαος, ἀμαθὴς ὢν τοῦτο τὸ δεινὸν ἐκέλευσεν. εἶτα Ὀρέστης, εἴτε ἀμαθεῖς, εἴτε σοφοί εἰσιν οἱ θεοί, οὐκ οἶδα. τοῦτο δὲ οἶδα, ὅτι δουλεύομεν καὶ πειθόμεθα αὐτοῖς ὁποῖοι ἂν εἰσίν. εἶτα ὁ Μενέλαος, εἰ αὐτός σοι ἐκέλευσε, πῶς οὐκ ἐλεεῖ νοσοῦντα καὶ μαινόμενον. εἶτα Ὀρέστης, ἴσως ἐλεήσει. ἀεὶ γὰρ βραδύνει τὸ θεῖον. Μὴ θάνατον] ἆρα ἵνα μὴ εἴπῃς τὸν θάνατον τοῦ πατρὸς δηλονότι. τοῦτο γὰρ οὐ φρόνιμον. ὁ μὲν τὸν Ἀπόλλωνα ᾐνίξατο αἴτιον τῆς μανίας. ὁ δέ, ᾠήθη τὸν τοῦ πατρὸς λέγειν θάνατον. ἐκκλείων οὖν αὐτὸν ἀπολογίας φησί, μὴ λέγε τὸν θάνατον τοῦ πατρός, μηδὲ αὐτὸς ἁμαρτήσας εἰς τὸν πατέρα ἀνάφερε τὴν ἁμαρτίαν. σύνηθες γὰρ τὸ αὐτόν τινα ἁμαρτάνοντα, ἄλλοις περιάπτειν τὴν ἁμαρτίαν. Φοῖβος κελεύσας] ὁ Ἀπόλλων κελεύσας ἐκπρᾶξαι, ἀντὶ τοῦ διαπράξασθαι τὸν φόνον τῆς μητρός.

ANNOTATIONES.

V. 398. Λύπη μάλιστά γ', &c.] ita lego pro μάλιστα δ', at *Canterus* legit μάλιστ' ἐστὶν ἡ, &c. quia eadem verba apud *Scholiaſtem* reperit. Nos fatemur τὸ ἐστὶ intelligi. MS. Col. CC. *Cantabr.* mecum ſtat & *Aldi* Editio. *Joſua Barnes.*

V. 407. Ἐκ φασμάτων] MS. Φαντασμάτων.

V. 410. ἀπαίδευτον] *Scholiaſtæ* authoritate vetus ἀπαίδευτα rejeci & ſingulariter ſcripſi. Vid. *Schol.* Miror itaque quo animo ſcripſerit ἀπαίδευτα in ſuo Codice *Duportus* noſter: Eſt enim Neutrum pro Adverbio.

Με. Ἀμα-

Με. Ἀμαθέστερός γ᾽ ὢν τοῦ καλοῦ καὶ τῆς δίκης;

Ορε. Δουλεύομεν θεοῖς, ὅ, τι ποτ᾽ εἰσὶν θεοί.

Με. Κᾆτ᾽ οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;

Ορε. Μέλλει. Τὸ θεῖον δ᾽ ἐστὶ τοιοῦτον φύσει.

Με. Πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί;

Ορε. Ἕκτον τόδ᾽ ἦμαρ, ἔτι πυρὰ θερμὴ τάφου.

Με. Ὡς ταχὺ μετῆλθόν σ᾽ αἷμα μητέρος θεαί;

Ορε. Οὐ σοφὸς, ἀληθὴς δ᾽ εἰς φίλους *ἔφυς κακός.

Με. Πατρὸς δὲ δὴ τί σ᾽ ὠφελεῖ τιμωρία;

Ορε. Οὔπω. Τὸ μέλλον δ᾽ ἴσον ἀπραξίᾳ λέγω.

Με. Τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις, δράσας τάδε;

Ορε Μισούμεθ᾽ οὕτως ὥστε μὴ προσεννέπειν.

Με. Οὐδ᾽ ἥγνισαι †σὸν αἷμα κατὰ νόμους χεροῖν;

Ορε. Ἐκβάλλομαι γὰρ δωμάτων,‖ ὅποι μόλω.

Με. Τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;

Ορε. Οἴαξ, τὸ Τροίας μῖσος ἀναφέρων πατρί.

* MS. εἰπεῖν κακῶς. † al. σοῦ. ‖ MS. ὅπου.

Me. Stolidior, quàm ut ſciat honeſtum & jus?

Ore. Servimus diis, quicquid ſunt dii.

Me. An non juvat Apollo te in his malis?

Ore. Cunctatur: dii autem ſunt tales natura.

Me. Quàm diu eſt, quòd mater extincta eſt?

Ore. Sextus hic dies eſt, rogus adhuc calet ſepulchri.

Me. Quàm citò a te Eumenides repoſcunt ſanguinem matris?

Ore. Haud ſapiens es, ſed vera licet proferens ergà Amicos malus es.

Me. Quid tibi conducit vindicta patris?

Ore. Nondum. Id quod cunctatur, eſt ſimile inutili.

Me. Quomodo civitas eſt erga te affecta, cùm hæc feceris?

Ore. Sic ſum in odio, ut nemo me alloquatur.

Me. Non purificâſti ab illo ſanguine manus juxta leges?

Ore. Excludor ex omnibus domibus quò vado.

Me. Qui cives certant te ejicere ex terrâ?

Ore. Oeax, imputans patri odium, quod concepit ad Trojam.

Ἀμαθέστερος ὤν] εἰ τοῦτο ἐκέλευσέ φησιν, ἀμαθής ἐστι. ἵνα ἐν τῷ ἐναντίῳ δηλώσῃ, ὅτι οὐκ ἐκέλευσεν ὁ θεός. οὐ γάρ ἐστιν ὁ θεὸς ἀμαθής. Ἄλλως. Μετὰ συλλογισμοῦ τοῦτο ἔδειξεν, ὅτι οὐκ ἀμαθὴς ὁ θεὸς, δῆλον ὅτι οὐδὲ προσέταξε τοῦτο ποιεῖν. Ἄλλως. Θέλει ἐνταῦθα δεῖξαι ὁ Μενέλαος τῷ Ὀρέστῃ, ὅτι οὐχ ὁ Ἀπόλλων προσέταξεν αὐτῷ τὸν τῆς μητρὸς φόνον, ἀλλ᾽ οἴκοθεν ἐργασάμενος τοῦτο, ἐπεὶ δὲ δυστυχεῖ, προβάλλεται τὸν Ἀπόλλωνα. ἐδήλωσε δὲ τοῦτο διὰ τοῦ εἰπεῖν ἀμαθέστερος ὤν. πρὸς ὃ Ὀρέστης ἀπαντᾷ λέγων, ὑποταττόμεθα τοῖς θεοῖς ὅ, τι περ ἄρα εἰσὶν, εἴτε ἀμαθεῖς, εἴτε μή. Δουλεύομεν] δουλεύομεν θεοῖς ἀνθρώπων ἔχουσι τὴν μορφήν. ἢ ὁποίας ἂν δυνάμεως ὦσι κρείσσονες, δουλεύομεν αὐτοῖς. τοῦτο δὲ πρὸς τὸ ἀμαθέστερός γ᾽ ὤν. Κᾆτ᾽ οὐκ ἀμύνει] καὶ εἶτα οὐ βοηθεῖ ὁ Ἀπόλλων τοῖς σοῖς κακοῖς; πανέργως πᾶσα ἡ ἐρώτησις. ὁ μὲν γὰρ φησὶν, ὁ Ἀπόλλων μοι ἐκέλευσεν ἀνελεῖν τὴν μητέρα· ὁ δὲ ἀντεπάγει, καὶ πῶς ὁ κελεύσας ἀνελεῖν τὴν μητέρα, οὐκ ἐλεεῖ σε μαινόμενον; τοῦ δὲ εἰπόντος, ὅτι μελλητικόν ἐστι τὸ θεῖον, πάλιν ὁ Μενέλαος φησὶ, πῶς οὖν αἱ Ἐριννύες ταχέως μετῆλθον, οὐκ εἰσὶ καὶ αὗται θεαί; ἐλέγχει δὲ αὐτὸν ὡς καταψευδόμενον. Μέλλει βοηθῆσαι. ἢ μέλλει ἀντὶ τοῦ βραδύνει. τὸ θεῖον γάρ ἐστι φύσει τοιοῦτον, ἤγουν βραδὺ, τουτέστι μακρόθυμον. [420] Μέλλει] καὶ πρὸς βοήθειαν, καὶ κόλασιν· πρὸς μὲν τὴν βοήθειαν, ἵνα δοκίμιον λάβηται τῆς προσμενόντος ἐπὶ τῆς βοηθείας αὐτοῦ ἀπολαύσειν μελλόντων. πρὸς δὲ κόλασιν, ἵνα τῷ χρόνῳ ἐπανάξῃ αὐτοὺς πρὸς ἃ δεῖ. Πόσον] ἔστι πόσον δὲ χρόνον οἴχονται, καὶ ἐφθαρμέναι εἰσὶν αἱ πνοαὶ, ἤτοι αἱ ζωτικαὶ δυνάμεις, καὶ ἐνέργειαι τῆς μητρός. Πόσον χρόνον] ἐχρῆν εἰπεῖν πόσῳ χρόνῳ, τὸ μητρὸς κακόηθες, καὶ δυσωπητικός. καὶ διὰ τοῦ εἰπεῖν δὲ ὡς ταχὺ μετῆλθόν σε, ἐλέγχει αὐτὸν ὡς ἀδίκως πεπραχότα τὸν φόνον, ὅτι γε αἱ μὲν Ἐριννύες εὐθέως τῇ μητρὶ συμμαχοῦσιν, ὁ δὲ Ἀπόλλων ἀναβάλλεται τὴν συμμαχίαν. ἡ ἀνθυποφορὰ ἔστι τοῦ εἰρημένου ὑπὸ Ὀρέστου, τὸ θεῖον ἐστὶ τοιοῦτον φύσει. Ἕκτον τόδ᾽ ἦμαρ] ἤτοι ἓξ ἡμέραι εἰσὶν, ἐξ οὗ ἐφθάρησαν δηλονότι. ἔτι ἡ πυρὰ τοῦ τάφου θερμὴ, ἤτοι ὁ τόπος, ἐν ᾧ ἐκάη τὸ σῶμα. Ὡς ταχὺ] λίαν ταχέως ἐτιμωρήσαντό σε αἱ θεαὶ, διὰ τὸν φόνον τῆς μητρός. Μετῆλθον] τὸ μετῆλθον εἰ μὲν ἀντὶ τοῦ ἐτιμωρήσαντο εἴπῃς, ἀνθείας τὸ αἷμα νόησεις, ὅτι λίαν ταχὺ ἐτιμωρήσαντό σε αἱ θεαὶ, καὶ τὸ αἷμα, καὶ ὁ φόνος τῆς μητρός. εἰ δὲ ἀντὶ τοῦ ἀπῄτησαν, αἰτιατικὴν, ὅτι λίαν ἀπῄτησάν σε αἱ θεαὶ τὸ αἷμα, καὶ τὸν φόνον τῆς μητρός. Οὐ σοφὸς ἔφυς] ἀντὶ τοῦ σοφιστὴς, ἤτοι ἀπατεών. ἀληθὴς δὲ καὶ φανερὸς κακὸς ἔφυς κατὰ κοινοῦ εἰς τοὺς φίλους. Ἄλλως. Οὐ σοφὸς εἶ διαρρήδην μοι ὀνειδίζων τῆς μητρὸς τὸ αἷμα. Ἀληθὴς δὲ] ἀληθῆ γὰρ λέγει διὰ τὸν φόνον τῆς μητρὸς ἀμυνομένας αὐτὸν τὰς Ἐριννύας. Ἄλλως. Ὀνειδίζοντος Μενελάου, Ὀρέστης φησὶ πρὸς αὐτὸν ἐπεὶ διαρρήδην ἡμᾶς ὀνειδίζεις, οὐ σοφὸς εἶ. ἀληθὴς δὲ κακὸς, ἀληθὴς μὲν, ὡς οὐδὲν ὧν κατ᾽ ἐμοῦ λέγεις, ψευδῶς λέγων. κακὸς δὲ, ὡς ἐναργῶς ὀνειδίζων. ἐχρῆν γάρ σε χρηματίζοντα τοὺς λόγους ἐκφέρειν πρὸς παραμυθίαν, ἀλλ᾽ οὐ πρὸς λύπην. [425] Πατρὸς] τοῦ πατρὸς δὲ ἡ τιμωρία καὶ ἡ ἐκδίκησις, κατὰ τί ὠφελεῖ σε. ἐν ἐρωτήσει ὁ λόγος, ὠφελεῖ τί σε ἡ εἰς τὸν πατέρα γενομένη ἐκδίκησις; ἢ οὕτως, οὐ προσέσῃ σοι ὁ πατὴρ, ὥστε ἀποσοβῆσαι τὰς Ἐριννύας; Ἄλλως. Τῆς ἀναιρέσεως τοῦ πατρὸς τιμωρίαν σὺ λαμβανόμενος, τὸ φονεῦσαι τὴν μητέρα, τί δύναται συναίρεσθαί σοι, πρὸς τὸ μηδὲν παθεῖν ὡς φονέα. Οὔπω] ὅτι οὐδ᾽ ὅλως δηλονότι. τὸ μέλλον δὲ λέγω ἴσον ἀπραξίᾳ, καὶ ἀποτυχίᾳ. Τὰ πρὸς πόλιν δὲ πῶς διάκειται δράσας τάδε] ἤγουν πῶς διάκεινται οἱ πολῖται πρὸς σὲ, τὸν τῆς μητρὸς ἐργασάμενον φόνον. Τὰ πρὸς πόλιν] πονηρῶς πάλιν ἐρωτᾷ, ἵνα εἰ μὲν εὐμενεῖς ἔχει τοὺς πολίτας, ἀπέξηται τῆς ἐπιχειρήσεως. εἰ δὲ ἐχθραίνοντας, ἐπιθέμενος κρατήσῃ. Οὕτω] μισούμεθα ὥστε μὴ προσαγορεύειν ἡμᾶς τινά. Οὐδ᾽ ἥγνισαι] οὐδὲ ἐκαθάρθης κατὰ τοὺς νόμους τὸ σὸν αἷμα, ἀντὶ τοῦ τὸ αἷμα καὶ τὸν φόνον ἀπὸ σῶν χειρῶν. νόμος γὰρ ἦν ἀποκαθαίρεσθαι τὸν ἐμφύλιον δράσαντα φόνον. ὁ δὲ νοῦς. οὐκ ἐκαθάρθης ἀπὸ τοῦ ὑπὸ σοῦ πεπραγμένου φόνου, ἢ σὸν αἷμα ἀντὶ τοῦ συγγενικόν. [430] Ἐκκλείομαι] οὐδαμῶς ἥγνισμαι. ἐκκλείομαι γὰρ τῶν δωμάτων, ἤτοι ἔξω κλείομαι, οὐκ ἐῶμαι εἰσελθεῖν ὅποι μόλω, καὶ ἔλθω, ὅπερ τὸ ἁγνισθῆναι δηλονότι. Ἐκκλείομαι] ἐκβάλλεται ὁ ἔνδον ὤν, ἐκκλείεται δὲ ὁ μὴ εἰσελθεῖν συγχωρούμενος. Τίνες πολιτῶν] τίνες πολῖται ἁμιλλῶνται, ἤτοι ἐκβαλεῖν σε τῆς γῆς σπουδάζουσιν. Οἴαξ] ὁ Οἴαξ ἀναφέρων καὶ ἀνατιθεὶς τῷ πατρὶ τῷ ἐμῷ δηλονότι, τὸ μῖσος τῆς Τροίας. τὸ ἐστὶ Τροίας τοῦ πατρὸς ἀναφέρων εἰς ἐμέ. Οἴαξ] Ναυπλίου καὶ Κλυμένης τῆς Ἀτρέως ἐγένετο Οἴαξ καὶ Παλαμήδης. ὁ δὲ Παλαμήδης ἀπελθὼν εἰς Τροίαν, πάμμεγα ὤνησε τὸν Ἑλληνικὸν στρατόν. λιμωττόντων γὰρ ἐν Αὐλίδι, καὶ περὶ τὴν διανομὴν τοῦ σίτου διαφερομένων τε καὶ στασιαζόντων, πρῶτον μὲν τὰ φοινίκια διδάξας ἔδωκεν αὐτοῖς, ἴσην τε καὶ ἀνεπίληπτον τὴν διανομὴν τούτοις ἐπραγματεύσατο. ἔπειτα καὶ περὶ κύβους ἔτρεψεν αὐτῶν ὀλιγωρίας. καὶ μέτρα ἐξεῦρε, καὶ ψῆφον, ὥστε μέγα ἦν ὄνομα παρὰ τοῖς Ἕλλησι. τούτῳ δὲ φθονήσαντες οἱ περὶ τὸν Ἀγαμέμνονα, καὶ Ὀδυσσέα, καὶ Διομήδην, τοιόνδε τι σκαιωροῦσι κατ᾽ αὐτοῦ. λαβόντες γὰρ Φρύγα αἰχμάλωτον, χρυσίον κομίζοντα Σαρπηδόνι, ἠνάγκασαν γράψαι φρυγίοις γράμμασι περὶ προδοσίας, ὡς παρὰ Πριάμου πρὸς Παλαμήδην. καὶ τοῦτον μὲν φονεύουσι. θεράποντα δὲ Παλαμήδους πείθουσι χρήμασιν, ἅμα τοῖς Τρωϊκοῖς χρήμασι καὶ τὸ γραφὲν πινάκιον ὑπὸ τὴν κλίνην θεῖναι Παλαμήδους. αὐτοὶ δὲ παρελθόντες, προδοσίαν κατήγγελον τοῦ ἥρωος, καὶ ἐρευνηθῆναι τὴν σκηνὴν ἐκέλευον. εὑρεθέντος δὲ τοῦ πινακίου, καὶ τῶν χρημάτων ὑπὸ τὴν κλίνην, λίθοις φονεύεται ὁ Παλαμήδης. Ναύπλιος δὲ ἀκούσας, ἦλθεν εἰς Ἴλιον, δικάσαι τὸν φόνον τοῦ παιδός. τῶν δὲ Ἑλλήνων ὀλιγωρησάντων αὐτοῦ, πρὸς τὸ χαρίζεσθαι τοῖς βασιλεῦσιν, ἀποπλεύσας εἰς τὴν πατρίδα, καὶ πυθόμενος ἀποπλεῖν τοὺς Ἕλληνας, ἧκεν εἰς Εὔβοιαν. καὶ χειμῶνα φυλάξας, φρυκτωρίας ἧψε περὶ τὰς ἀκτὰς τῆς Εὐβοίας. οἱ δὲ ἐπέβησαν νομίσαντες τὸν τόπον, προσορμίζονταί τε, καὶ ἐν ταῖς πέτραις ἀπόλλυνται παμπολλοί. Παλαμήδους θάνατον, οἱ μὲν πρὸς Γεραιστῷ, οἱ δὲ ἐν Τενέδῳ, οἱ δὲ ἐν Κολωνοῖς τῆς Τρῳάδος ὑποτίθενται. φασὶ δὲ αὐτὸν εὑρεῖν φρυκτωρίας, καὶ μέτρα, καὶ σταθμοὺς, καὶ πεσσοὺς, καὶ γράμματα, καὶ φυλακὰς, καὶ δίσκους, καὶ ἀστραγάλους. Ἄλλως. Οἴακος ἀδελφὸς ἦν Παλαμήδης, ὅστις καὶ εἰς τὴν Τροίαν μετὰ τῶν Ἑλλήνων ἐστράτευσε, καὶ θαυμασθεὶς ὡς οὐδεὶς τῶν πώποτε γενομένων ἐν σοφίᾳ, φθονηθεὶς ὑπὸ Ὀδυσσέως καὶ Διομήδους, καὶ Ἀγαμέμνονος, ἀνῃρέθη λίθοις, ἀνθ᾽ ὧν ὁ ἀδελφὸς αὐτοῦ Οἴαξ ἀμυνόμενος Ἀγαμέμνονα, τοῦτο γὰρ [illegible] τὸ τῆς Τροίας μῖσος ἀναφέρων πατρὶ, συναγωνίζεται τὸν κατὰ τοῦ Ὀρέστου θάνατον. διὸ καὶ Ὀρέστης ἐρωτηθεὶς ὑπὸ Μενελάου, τίς ἐστιν ὁ διώκων αὐτὸν, Οἴαξ φησίν. οὗτος ὁ Παλαμήδης λέγεται εὑρηκέναι τὰ γράμματα μήπω τότε ὄντα. ἀλλὰ φοινικοῖς γράμμασιν ἐχρῶντο οἱ ἄνθρωποι, ἄλλοι δὲ ἄλλοις. εὗρε δὲ καὶ πεσσοὺς, πρὸς παραμυθίαν τῶν Ἑλλήνων.

ANNOTATIONES.

V. 430. Ἐκβάλλομαι] legitur al. Ἐκκλείομαι, ità legit *Schol.* & MS. Coll. *Corp. Chriſti* ſidem facit. *Joſua Barnes.*

Με. Συνῆκα. Παλαμήδους σε τιμωρεῖ φόνος.
Ορ. Οὗ γ' οὐ μετῆν μοι· διὰ τριῶν δ' ἀπόλλυμαι.
Με. Τίς δ' ἄλλος; ἦ που τῶν ἀπ' Αἰγίσθου φίλων;
Ορ. Οὗτοί μ' ὑβρίζουσ', ὧν πόλις τανῦν κλύει.
Με. Ἀγαμέμνονος δὲ σκῆπτρ' ἐᾷ σ' ἔχειν πόλις;
Ορ. Πῶς, οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;
Με. Τί δρῶντες, ὅ, τι καὶ σαφὲς ἔχεις εἰπεῖν ἐμοί;
Ορ. Ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ.
Με. Φεύγειν πόλιν τήνδ'; ἢ θανεῖν, ἢ μὴ θανεῖν;
Ορ. Θανεῖν ὑπ' ἀστῶν λευσίμῳ πετρώματι.
Με. Κᾆτ' οὐχὶ φεύγεις γῆς ὑπερβαλὼν ὅρους;
Ορ. Κύκλῳ γὰρ εἱλισσόμεσθα παγχάλκοις ὅπλοις.
Με. Ἰδίᾳ πρὸς ἐχθρῶν, ἢ πρὸς Ἀργείας χθονός;
Ορ. Πάντων πρὸς ἀστῶν, ὡς θάνω, βραχὺς λόγος.
Με. Ὦ μέλεος, ἥκεις συμφορᾶς * εἰς τοὔσχατον. * MS. πρὸς τὸ
Ορ. Εἰς σ' ἐλπὶς ἡ 'μὴ καταφυγὰς ἔχει κακῶν.
Ἀλλ' ἀθλίως πράσσουσιν εὐτυχὴς μολὼν,
Μετάδος φίλοισι σοῖσι τῆς εὐπραξίας,
Καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
Ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει,
Χάριτας πατρῴας ἐκτίνων εἰς οὓς σε δεῖ.
" Ὄνομα γὰρ, ἔργον δ' οὐκ ἔχουσιν, οἱ φίλοι,
" Οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.
Χο. Καὶ μὴν γέροντι δεῦρ' ἁμιλλᾶται ποδὶ
Ὁ Σπαρτιάτης Τυνδάρεως μελάμπεπλος,
Κουρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.
Ορ. Ἀπωλόμην, Μενέλαε, Τυνδάρεως ὅδε
Στείχει πρὸς ἡμᾶς, οὗ μάλιστ' αἰδώς μ' ἔχει
Εἰς ὄμματ' ἐλθεῖν, τοῖσιν * ἐξειργασμένοις. * MS. ἐμοῖσιν [illegible]
Καὶ γάρ μ' ἔθρεψε μικρὸν ὄντα, πολλὰ δὲ

Me. Intelligo. Ulciſcitur te ob necem Palamedis.
Ore. Non tamen eram ejus particeps: per tres pereo.
Me. Quis eſt alius? an aliquis ex Ægiſthi amicis?
Ore. Illi me perſequuntur, quos nunc audit civitas.
Me. Sinit te civitas habere ſceptra Agamemnonis?
Ore. Quomodo, qui non ſinunt me amplius vivere?
Me. Quid facientes, quod clarè dicere mihi queas?
Ore. Calculus feretur contra nos hoc die.
Me. An ut concedas in exilium, vel interficiaris, vel non?
Ore. Ut interficiar à civibus lapidatione.
Me. At cur non fugis ultra terminos terræ?
Ore. Circundamur enim undique æneis armis.
Me. Privatim ab hoſtibus, an ab civitate Argiva?
Ore. Ab omnibus civibus, ut neque moriar: brevis *dictu* res.
Me. O miſer venis in extremam calamitatem.
Ore. Mea ſpes habet refugium malorum in te.
Sed veniens fortunatus miſeris,
Amicis imperti de tuâ felicitate:
Et non ſolus teneto, cùm acceperis beneficium,
Sed ſuſcipe & labores per vices,
Perſolvens paternum beneficium illis quibus oportet.
" Nomen, non rem habent amici.
" Qui in calamitatibus ſunt amici.
Cho. Atqui huc contendit ſenili pede
Spartiates Tyndareus in nigra veſte.
Raſus lugubri modo propter filiam.
Ore. Perii, Menelae, Tyndareus iſte
Accedit ad nos cujus maximè vereor
In conſpectum venire propter hæc facta.
Nam me aluit parvulum, & multa

Συνῆκα] ἔγνων. ὁ φόνος σε κολάζει τοῦ Παλαμήδους. Τιμωρεῖ] κολάζει, δι' ἐκεῖνον γάρ σοι μάχεται Οἴαξ. τιμωρῶ δὲ οὐ μόνον τὸ βοηθῶ, ἀλλὰ καὶ τὸ κολάζω, ὥσπερ καὶ τὸ τιμωροῦμαι κατὰ ἀμφοτέρας εὕρηται τὰς χρήσεις. Οὗ γ' οὐ μετῆν μοι] οὐ μετουσία, ἦν μοι τοῦ φόνου, διὰ τριῶν δέ τινων ἀπόλλυμαι καὶ φθείρομαι. Διὰ τριῶν] προφάσεων τῶν πολιτῶν, δι' ἅπερ τοῦ Οἴακος. διὸ ἐπάγει, τίς δ' ἄλλος ἵνα πληρώσῃ τοὺς τρεῖς. τινὲς φασὶ τριῶν, τῶν Ἐριννύων. προεῖπε γὰρ ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας. τινὲς δὲ φασὶ τῆς συνέσεως, τῆς λύπης, καὶ τῆς μανίας. ἐν δὲ τοῖς Καλλιστράτου γέγραπται, ἀπιστήσειεν ἄν τις πῶς διὰ τριῶν εἰρήκει. εἰ μὴ διὰ τὸ τὸν Ἀγαμέμνονα, καὶ Ὀδυσσέα, καὶ Διομήδην, φασὶ μετακεχειρίσθαι τὸν φόνον Παλαμήδους. 435 Τίς δ' ἄλλος] τίς δὲ ἄλλος ἀπόλλυσι δηλονότι, ἆρα τις ἀπὸ τῶν φίλων τοῦ Αἰγίσθου, οὗτοι ὑβρίζουσιν ἐμὲ ὧν ἀκούει νῦν ἡ πόλις, οἱ ἀπὸ τοῦ Αἰγίσθου δηλονότι. Ἀγαμέμνονος δὲ] τὴν Ἀγαμέμνονος δὲ βασιλείαν ἀφίησί σε ἡ πόλις κατέχειν; φιλοπράγμονος δὲ ὁ Μενέλαος ἐρωτῶν τὸ ἦθος. φροντίζων περὶ τῆς βασιλείας. Πῶς οἵτινες] κατά τινα τρόπον ἐάσουσιν ἔχειν τὰ σκῆπτρα, οἵτινες οὐκέτι ἐῶσιν ἡμᾶς ζῆν. Τί δρῶντες] εἰπέ μοι σαφῶς ὃ ἔχεις εἰπεῖν. τί δρῶντες οὐκ ἐῶσί σε ζῆν. οὐ γάρ ἐστιν αἰτιῶδες νῦν τὸ ὅτι, ἀλλ' ἀντὶ τοῦ τί Ἀττικῶς, Ἀττικῶς ὁ λόγος, εἰπέ μοι σαφὲς ὅτι δρῶντες οὐκ ἐῶσί σε ζῆν. τὸ ὅτι γὰρ ἀντὶ τοῦ τί Ἀττικόν. ἐὰν γράφηται ἢ τί, ὁ στίχος οὗτος, τί δρῶντες, ἢ τί καὶ σαφὲς εἰπεῖν ἔχεις. Ἄλλως. Τί δρῶντες οὐκ ἐῶσιν ὑμᾶς ζῆν, ὅτι καὶ σαφὲς εἰπεῖν ἐμοὶ ἔχεις, εἰπὲ δηλονότι. ° Ψῆφος] ἤτοι κρίσις καὶ ἀπόφασις ἐξενεχθήσεται καθ' ἡμῶν κατὰ ταύτην τὴν ἡμέραν, φεύγειν τήνδε τὴν πόλιν, ἤτοι ἐξορισθῆναι, ἢ θανεῖν, ἢ μὴ θανεῖν, ἀλλ' ἑτέρως κολασθῆναι δηλονότι. Θανεῖν] ὑπὸ τῶν πολιτῶν ἐν πετρώματι λευσίμῳ, καὶ λιθοβολισμῷ. Εἶτα οὐ φεύγεις, ὑπερβαλὼν καὶ ἐκφυγὼν τοὺς ὅρους τῆς γῆς; οὐ δύναμαι φυγεῖν δηλονότι. κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις, ἀντὶ τοῦ ἀνδράσιν ὡπλισμένοις. Εἱλισσόμεθα] τουτέστι φυλασσόμεθα ὑπὸ ἀνδρῶν ὡπλισμένων, ἵνα εἰ βουληθείημεν φυγεῖν, μὴ φυγεῖν ἔχωμεν. 445 Ἰδίᾳ πρὸς ἐχθρῶν] κατ' ἰδίαν καὶ χωρὶς παρὰ τῶν ἐχθρῶν, ἤγουν τῶν ὑπὸ τοῦ Αἰγίσθου. ἢ παρὰ τῆς Ἀργείας δυνάμεως, παρὰ πάντων τῶν πολιτῶν ἵνα θάνω· βραχὺς καὶ σύντομος λόγος. ° Ὦ ἄθλιος] ἦλθες πρὸς τὸ ἔσχατον τῆς συμφορᾶς, ἡ ἐμὴ ἐλπὶς εἰς σὲ ἔχει τὴν καταφυγὴν ἕνεκα τῶν κακῶν. ἀλλ' ἐλθὼν εὐτυχὴς, μετάδος τοῖς σοῖς φίλοις, τουτέστιν ἡμῖν τοῖς δυστυχοῦσι, τῆς σῆς εὐπραξίας, καὶ μὴ ὑπολαβὼν ἔχε μόνος τὸ ἀγαθὸν, ἀλλ' ἐν τῷ μέρει ἀντιλάζου, καὶ ἀντιλαμβάνου τῶν πόνων, ἐκτίνων καὶ ἀποδιδοὺς τὰς πατρῴας χάριτας, ἃς ὁ πατὴρ ἐποίησεν εἰς σὲ, εἰς οὓς δεῖ καὶ πρέπον, τουτέστιν εἰς ἡμᾶς. ὄνομα γὰρ μόνον δηλονότι, ἔργον δὲ οὐκ ἔχουσιν οἱ φίλοι, οἱ μὴ ὄντες φίλοι ἐν ταῖς συμφοραῖς. Καὶ μὴν ὁ ἀπὸ τῆς Σπάρτης Τυνδάρεως μετὰ σπουδῆς ἔρχεται ἔνδυμα μελανείμων, ἐν ποδὶ γεροντικῷ, τὴν κόμην ἀφῃρημένος, ἐν κουρᾷ πενθίμῳ ἕνεκα τῆς θυγατρός. Ὁ Σπαρτιάτης] Βάλου τοῦ Περιήρους παῖδες οὗτοι, Τυνδάρεως, Ἴκαρος, Ἀρήνη, καὶ ἐκ Νικοστράτης Ἱπποκόων, οὗτοι μετὰ θάνατον Βάλου, ἐστασίασαν περὶ τῆς ἀρχῆς. Ἴκαρος δὲ συνεθέμενος μετὰ Ἱπποκόωντος, ἐξελαύνει τὸν Τυνδάρεων τῆς Σπάρτης. ὁ δὲ οἰκεῖ ἐν τοῖς ἐσχάτοις τῆς Αἰτωλίας, καὶ γαμεῖ Λήδαν τὴν Θεστίου τοῦ Αἰτωλοῦ· ἐξ ἧς ἔσχε Κάστορα καὶ Πολυδεύκην, καὶ Τιμάνδραν, καὶ Κλυταιμνήστραν, καὶ Ἑλένην. Ὕστερον δὲ Ἡρακλῆς ἐπὶ τῷ φόνῳ τοῦ * Οἰωνοῦ ὀργισθεὶς Ἱπποκόωντα ἅμα τοῖς παισὶ, καὶ καταγαγὼν τὸν Τυνδάρεων ἀπὸ φυγῆς καὶ * Πελλήνης, ἐγχειρίζει αὐτῷ τὴν ἀρχὴν τῆς Σπάρτης. ἔγημε γὰρ Ἡρακλῆς τὴν Δηϊάνειραν τὴν Λήδας † ἀδελφιδῆν. 459 Ἀπωλόμην Μενέλαε] ὁ Τυνδάρεως ὅδε ἔρχεται πρὸς ἡμᾶς, οὗ ἐλθεῖν εἰς ὄψιν αἰδοῦμαι, διὰ τὰ ἡμαρτημένα ἐμοί· καὶ γὰρ ἀνέθρεψέ με μικρὸν ὄντα· πολλὰ δὲ φιλήματα ἐξεπλήρωσε, τουτέστιν ἔδωκε, περιφέρων καὶ βαστάζων ἐμέ. ἅμα τῇ τῇ Λήδᾳ τιμῶντες ἐμὲ οὐδὲν ἔλαττον τοῖς Διοσκούροις, τῷ Κάστορι καὶ τῷ Πολυδεύκει, οἴς, τῷ Τυνδάρεῳ, καὶ τῇ Λήδᾳ. ὦ τάλαινα ψυχὴ ἐμὴ, οὐ καλὰς ἀντιδέδωκας ἀμοιβάς. τίνα σκότον λάβω ἐν τῷ προσώπῳ, ποῖον νέφος θῶμαι ἔμπροσθεν, φεύγων τὰς κόρας τῶν ὀμμάτων τοῦ γέροντος;

* * Οἰωνοῦ & Πελλήνης pro Πέλλας & οἴνου reſtè emendat *Joh. Meurſius* Miſcell. *Lacon.* l. 4. c. 8. & c. 16. † Ἀδελφιδῆν autem quod in Vir magno non vidit, nos emendavimus ex corrupto ἀδελφήν. *Deianira* enim, *Leda* ſoror non erat, ſed neptis, hoc eſt *Altheæ* illius ſororis filia, Patris Oenei. *Joſua Barnes.*

ANNOTATIONES.

V. 444. Κύκλῳ γὰρ εἱλισσόμεσθα] Codex *Duportianus* emendat εἱλισσόμεσθα non ſine magno errore.

V. 445. Χθονὸς] MS χερός.
V. 453. Ἐκτίνων] media ſyllaba communis. Vid. Iphig. Taur. V. 339.

Φιλήματ'

Φιλήματ' ἐξέπλησε, τὸν Ἀγαμέμνονος
Παῖδ' ἀγκάλαισι περιφέρων, Λήδα θ' ἅμα· * MS. Λήδα.
Τιμῶν τέ μ' οὐδὲν ἧσσον, ἢ Διοσκόρω.
Οἷς, ὦ τάλαινα καρδία, ψυχή τ' ἐμὴ,
Ἀπέδωκ' ἀμοιβὰς οὐ καλάς. τίνα σκότον
Λάβω προσώπῳ; ποῖον ἐπίπροσθεν νέφος
Θῶμαι, γέροντος ὀμμάτων φεύγων κόρας;
Τυν. Ποῦ, ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόσιν,
Μενέλεων; ἐπὶ γὰρ τῷ Κλυταιμνήστρας τάφῳ
Χοὰς χεόμενος ἔκλυον, ὡς εἰς Ναυπλίαν
Ἥκει σὺν ἀλόχῳ πολυετὴς σεσωσμένος.
Ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
Στὰς, ἀσπάσασθαι χρόνιον εἰσιδὼν φίλον.
Με. Ὦ πρέσβυ χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.
Τυν. Ὦ χαῖρε καὶ σὺ Μενέλεως, κῆδευμ' ἐμόν.
" Ἔα. Τὸ μέλλον ὡς κακὸν τὸ * μὴ εἰδέναι. * Vid. inf. V. 596.
Ὁ μητροφόντης ὅδε πρὸ δωμάτων δράκων
Στίλβει νοσώδεις ἀστραπὰς, στύγημ' ἐμόν.
Μενέλαε, προσφθέγγῃ νιν, * ἀνόσιον κάρα; * al. ἀκάθαρτον.
Με. Τί γάρ; φίλου μοι πατρός ἐστιν ἔκγονος.
Τυν. Κείνου γὰρ ὅδε πέφυκε, τοιοῦτος γεγώς;
Με. Πέφυκεν· εἰ δὲ δυστυχεῖ, τιμητέος.
Τυν. Βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.
Με. Ἑλληνικόν τοι, τὸν ὁμόθεν τιμᾶν ἀεί.
Τυν. Καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν.
Με. Πᾶν τοὐξ ἀνάγκης, δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς.

Oſcula implevit, Agamemnonis
Filium ulnis geſtans, & cum Ledâ, (vel & Leda ſimul)
Honorans me non minus quàm Jovis filios:
Quibus O infelix cor & anima mea
Reddidi non bonam gratiam: quam caliginem
Accipiam vultui? quam nebulam ante me
Ponam fugiens pupillas oculorum ſenis?
Tyn. Ubi, ubi videam maritum meæ filiæ
Menelaum? nam ad Clytemnæſtræ ſepulchrum
Inferias fundens audivi, quòd in Nauplium
Venit cum uxore ſervatus poſt multos annos.
Ducite me: nam volo ad dextram ipſius
Stans ſalutare amicum videns ex longo intervallo.
Me. O ſenex ſalve, habens eandem conjugem cum Jove.
Tyn. O ſalve & tu Menelae, meus affinis.
" Heu, quàm malum eſt neſcire futura?
Iſte matricida draco ante ædes
Vibrat fulgura morboſa, inviſus mihi.
Menelae, alloqueris eum polluttum?
Me. Quid ni? eſt filius mei fratris.
Tyn. An cùm talis ſit, ex illo natus eſt?
Me. Natus eſt: ſi autem eſt in calamitate, tamen curandus eſt.
Tyn. Factus eſt barbarus, diu degens inter barbaros.
Me. Imò hoc eſt Græcum, curare cognatum.
Tyn. Et illud eſt Græcum, non velle eſſe ſuperiorem legibus.
Me. Omne neceſſarium obligat inter ſapientes.

Φιλήματ' ἐξέπλησε] ἀντὶ τοῦ πολλοῖς φιλήμασιν ἐξεπλήρωσεν, ὡς τὸ διά τ' ἔντεα καὶ μέλαν αἷμα. Ἄλλως. ἀντὶ τοῦ τὴν ἐπιθυμίαν τῶν φιλημάτων εἰς ἐμὲ ἐτέλεσε τὸν Ἀγαμέμνονος παῖδα. ὡς περιφέρων δέ φησιν, ἀντὶ τοῦ εἰπεῖν περιφέρων ἐμὲ, ὄντα τὸν Ἀγαμέμνονος, ἀντὶ τοῦ ἐμὲ παῖδα ὄντα. τιμῶν δὲ οὐχ ἧττον ἢ τοὺς Διοσκούρους, ἀντὶ τοῦ οὐκ ἔλαττον τῶν Διοσκούρων. Τιμῶν τέ μ' οὐδὲν] ἅμα τῇ Λήδᾳ τιμῶντές με οὐδὲν ἔλαττον, ἢ τοὺς Διοσκούρους, τὸν Κάστορα καὶ τὸν Πολυδεύκην. Ζεὺς κύκνος γενόμενος, καὶ συγγενόμενος Λήδᾳ τῇ Τυνδάρεω γυναικὶ, ἐποίησεν αὐτὴν δύο ᾠὰ τεκεῖν, τὸ μὲν μονολέκυθον, τὸ δὲ διλέκυθον. καὶ ἐκ μὲν τοῦ ἕνα ἔχοντος λέκυθον, γενέσθαι φασὶ τὴν Ἑλένην. ἐκ δὲ τοῦ δύο ἔχοντος, Κάστορα καὶ Πολυδεύκην, οἳ παρ' ἡμέραν ζῶσι· τὸ δὲ αἴτιον τῆς τοιαύτης ζωῆς ἦν τοῦτο. ὅσον μὲν γὰρ ἐν τῷ διλεκύθῳ ᾠῷ ἦν ἀπὸ τῆς Τυνδάρεω σπορᾶς, Κάστωρ ἐγένετο, καὶ διὰ τοῦτο ἦν θνητὸς, ἅτε θνητοῦ υἱὸς ὢν τοῦ Τυνδάρεω. ὅσον δὲ ἀπὸ τῆς τοῦ Διὸς σπορᾶς, Πολυδεύκης ἐγένετο. καὶ διὰ τοῦτο ἦν ἀθάνατος. μέλλοντος οὖν Κάστορος τελευτᾶν, ἐδεήθη Πολυδεύκης Διὸς, ἵνα Κάστορα κοινωνὸν τῆς αὐτοῦ λάβῃ ἀθανασίας, καὶ αὐτὸς συμμετάσχῃ τῆς ἐκείνου θνητότητος. διὰ ταῦτα οὖν παρ' ἡμέραν ζῶσιν ἀμφότεροι, ὡς καὶ ἀλληγοροῦσιν εἰς ἡμέραν καὶ νύκτα. [467] Τίνα σκότον λάβω] ποίαν αἰδῶ κτήσωμαι, καὶ ποῖον νέφος περιβάλωμαι, ἵνα μὴ ὁρῶμαι ὑπὸ τοῦ γέροντος; Ποῦ ποῦ ἴδω τὸν Μενέλαον] τὸν ἄνδρα τῆς ἐμῆς θυγατρός. ἐπὶ γὰρ τῷ τάφῳ τῆς Κλυταιμνήστρας, τὰς ἐπὶ τοῖς νεκροῖς τελουμένας θυσίας ποιῶν, ἤκουσα ὅτι ἦλθεν εἰς τὴν Ναυπλίαν γῆν δηλονότι, διὰ πολλῶν ἐτῶν σεσωσμένος. Ἄγετέ με] θέλω γὰρ στὰς πρὸς τὴν δεξιὰν αὐτοῦ χεῖρα, δηλονότι ἀσπάσασθαι, ἰδὼν φίλον βραδέως, καὶ μετὰ πολὺν χρόνον ἐλθόντα. Πρὸς γὰρ δεξιὰν] οὐκ ἐπιζητεῖ τὴν Ἑλένην, δυσαρεστῶν τοῖς πεπραγμένοις αὐτῇ. οἰκονομικῶς δὲ ἐποίησε τὸν Τυνδάρεων ὑπὸ τῆς πόλεως διὰ τὰς χοὰς τῆς θυγατρὸς ἐληλυθέναι, ἵνα εὐκαίρως τῷ Μενελάῳ καὶ τῷ Ὀρέστῃ διαλεχθῇ. [476] Ὦ πρέσβυ] κάρα ὁμότιμον τοῦ Διὸς, ἤτοι ὁ ἔχων ἅμα τῷ Διῒ τὴν κοίτην, χαῖρε. Χαῖρε, καὶ σὺ Μενέλαε, ἐπιγαμβρεία ἐμόν. Ἔα τὸ μέλλον] λίαν ἐστὶ κακὸν, τὸ μὴ εἰδέναι τὸ μέλλον περὶ ἑαυτοῦ. τοῦτο λέγει ὁ Τυνδάρεως. μὴ εἰδὼς γὰρ ὅτι μετὰ τοῦ Μενελάου εὑρήσει τὸν Ὀρέστην, ἦλθεν. Ἔα τὸ μέλλον] ἔοικε φησὶ τῷ ὄντι κακὸν εἶναι, τὸ μὴ εἰδέναι τὸ μέλλον. εἰ γὰρ ᾔδειν παρόντα Ὀρέστην, οὐκ ἂν ἐληλύθειν. Ὁ μητροφόντης] ὁ τῆς μητρὸς φονεὺς, δράκων ἐστὶν ὁ ὑπ' ἐμοῦ μεμισημένος, στίλβει καὶ ἀποπέμπει ἔμπροσθεν τῶν δωμάτων ἀστραπὰς νοσώδεις καὶ μανιώδεις. Στίλβει] τὸ λαμπηδόνα πέμπει. στίλβει δὲ τὸ ξίφος, μεταβατικῶς ἀμεταβατικῶς. Δράκων] εἶδος ἀντὶ γένους ἔλαβεν. γένος μὲν γὰρ ὁ ὄφις, εἶδος δὲ ὁ δράκων, καὶ ἔχις, καὶ τὰ λοιπὰ τῶν ὄφεων. νῦν δὲ δράκων, ἀντὶ ἔχις. οὗτοι γὰρ οὐκ ἐξ ᾠῶν γεννῶνται, ἀλλὰ ζωοτοκοῦνται. καὶ τικτόμενοι διαρρηγνύουσι τὰς τῶν μητέρων γαστέρας. ὥς φησι Νίκανδρος, Γαστέρ' ἀναβρώσαντες ἀμήτορες ἐξεγένοντο. διὸ ἔχιν αὐτὸν ὡς μητροκτόνον φησίν. Ἄλλως. ἄγριος ὡς ὁ δράκων, ὅτι ὠμῶς ἔπραξεν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ ὡς δράκων. Μενέλαε προσφθέγγῃ αὐτὸν, τὴν ἀνοσίαν κεφαλήν. ἔθος γὰρ ἦν μὴ διαλέγεσθαι τοῖς ἐναγέσι γράφεται δὲ καὶ ἀκάθαρτον κάρα. εἶπε δὲ τοῦτο, ὅτι οὐκ ἦν καθαρός. [482] Τί γὰρ] οὐ προσφθέγγομαι δηλονότι, φίλου μοι πατρὸς ὑπάρχει υἱός. δέον εἰπεῖν ὅτι τοῦ ἀδελφοῦ μου υἱός ἐστι, φησὶ τοῦ πατρός μοι ἔκγονός ἐστιν. ἔκγονος γὰρ τοῦ Ἀτρέως Ὀρέστης. Φίλου μοι] ὅ ἐστι συγγενής μοι υἱός. πάλιν δὲ τὸ κακόηθες τοῦ ἀνδρὸς δείκνυται, ὅτι τὸν ἀδελφὸν φίλον εἶπε. Κείνου γάρ] ἐξ ἐκείνου οὗτος ὑπάρχει τοιοῦτος γεγονώς. Πέφυκε] ναὶ ὑπάρχει. εἰ δὲ δυστυχεῖ, ἄξιον τιμᾶν αὐτόν. Βεβαρβάρωσαι] ἐβαρβαρώθης πολυετὴς ὑπάρχων ἐν τοῖς βαρβάροις. Ἄλλως. ἤδη καὶ νόμους βαρβαρικοὺς μεμάθηκας, πολὺν χρόνον ὢν ἐν βαρβάροις. καὶ τῆς τάξεως ἐπελάθου τῶν Ἑλλήνων. πρὸς ὃ ἀπαντᾷ, Ἑλληνικόν τι τὸν ὁμόθεν τιμᾶν ἀεὶ, ἤτοι Ἑλληνικὸν ὑπάρχει, τὸν ἀπὸ τοῦ ὁμοίου γένους τιμᾶν δίαιμον. πρὸς ὃ πάλιν ὁ Τυνδάρεως, Ἑλληνικόν τι δηλονότι, καὶ τὸ μὴ θέλειν εἶναι ἰσχυρότερον τῶν νόμων. ὅπερ δηλονότι ποιεῖς σὺ, τιμῶν τοῦτον ὃν οἱ νόμοι ἀποβαλεῖν ἔχουσιν. [488] Πᾶν τοὐξ ἀνάγκης] εἰπόντος τοῦ Μενελάου πρὸς τὸν τοῦ Τυνδάρεω λόγον, τὸ βεβαρβάρωσαι χρόνιος ὢν ἐν βαρβάροις. ὡς ἄρα Ἑλληνικὸν ὂν τὸ τιμᾶν τοὺς συγγενεῖς, φησὶν ὁ Τυνδάρεως, ναὶ, ὃ λέγεις Ἑλληνικόν ἐστιν. ἀλλ' ἔστι καὶ τοῦτο Ἑλληνικὸν, τὸ μὴ εἶναι τινὰ ὑπέρτερον τῶν νόμων. σὺ οὖν ὦ Μενέλαε παρανομεῖς φονέα προσφθεγγόμενος. ἀπαγορεύουσι γὰρ οἱ νόμοι τὴν μετ' αὐτῶν συνοίκησίν τε καὶ συνουσίαν. πρὸς ὃ ἀπαντᾷ ὁ Μενέλαος, ὅτι πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον, δοῦλον ἐν τοῖς σοφοῖς ἐστι. τουτέστιν, ὅτι πάντες καὶ παλαιοὶ καὶ νέοι, ποιηταὶ, φιλόσοφοι, συγγραφεῖς, ῥήτορες, τραγῳδοὶ ἄνω καὶ κάτω τοῖς λόγοις διακηρύττουσιν, ὡς ἄρα πάντες ἐξ ἀνάγκης εἰσὶ δοῦλοι, καὶ πάντων αὕτη κρατεῖ, καὶ οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ μέχρι θεῶν ἐξάγει τὸ κράτος. ἀνάγκᾳ γὰρ οὐδὲ θεοὶ φασὶ μάχονται. ἐγὼ οὖν εἰ καὶ παρανομεῖν σοι δοκῶ μετὰ τούτου συνὼν καὶ φθεγγόμενος, ἀλλ' ὑπὸ τῆς φύσεως ἀναγκαζόμενος τοῦτο ποιῶ. ὥστε τὴν τοιαύτην ἀνάγκην, ὃ προβάλλει νόμον παρεξετάσας, μείζω ταύτην εὑρήσεις δυναμένην τοῦ νόμου. Οἱ δὲ λέγοντες τὸ δοῦλον ἀντὶ τοῦ δουλοποιὸν, ἀμαθεῖς τὰ μάλιστα. ἢ πρὸς τὸ ἐξ ἀνάγκης ὑποστικτέον, οὕτω πᾶν τὸ ἐξ ἀνάγκης ὑπάρχον ἐν τοῖς σοφοῖς ἐστι δοῦλον, τουτέστι πάντα τὰ ἐξ ἀνάγκης δουλείαν οἱ σοφοὶ κρίνουσιν. Ἄλλως. ἡ συγγενικὴ φιλία καὶ στοργὴ, ἢ ἕτερόν τι τοι-

ANNOTATIONES.

V. 488. Ἔστ' ἐν τοῖς σοφοῖς] *Scaliger legit* [illegible] *male; nec vidit* [illegible] *Quin MS.* τὸ ἐν *retinet, ut & Scholiaſtes.* *Joſua Barnes*

Τυν. Κέκτησο νῦν σὺ τοῦτ', ἐγὼ δ' οὐ κτήσομαι.
Με. Ὀργὴ γὰρ ἅμα[a] σου, καὶ τὸ γῆρας, οὐ σοφόν.
Τυν. Πρὸς τόνδ' ἀγὼν τις δὴ σοφίας ἥκει πέρι;
Εἰ τὰ καλὰ πᾶσι φανερὰ, καὶ τὰ μὴ καλά.
Τούτου τις ἀνδρῶν[b] γένετ' ἀσυνετώτερος;
Ὅς τις τὸ μὲν δίκαιον οὐκ ἐσκέψατο,
Οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν Ἑλλήνων νόμον,
Ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον,
Πληγεὶς θυγατρὸς τῆς ἐμῆς ὑπὲρ κάρα,
Αἴσχιστον ἔργον, οὐ γὰρ αἰνέσω ποτὲ,
Χρῆν αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην
Ὁσίαν, διώκοντ' ἐκβαλεῖν τε δωμάτων
Μητέρα, τὸ σῶφρόν τ' ἔλαβεν ἂν τῆς συμφορᾶς,
Καὶ τοῦ νόμου τ' ἂν εἴχετ', εὐσεβής τ' ἂν ἦν.
Νῦν δ' εἰς τὸν αὐτὸν δαίμον' ἦλθε μητέρι.
Κακὴν γὰρ αὐτὴν ἐνδίκως ἡγούμενος,
Αὐτὸς κακίων ἐγένετο, μητέρα κτανών.
Ἐρήσομαι δὲ, Μενέλεως, τοσόνδε σε.
Εἰ τόνδ' ἀποκτείνειεν ὁμόλεκτρος γυνὴ,
Χ' ὡ τοῦδε παῖς αὖ μητέρ' ἀνταποκτενεῖ,
Κἄπειθ' ὁ κείνου γενόμενος φόνῳ φόνον
Λύσει, πέρας δὲ ποῖ κακῶν προβήσεται;
" Καλῶς ἔθεντο ταῦτα πατέρες οἱ πάλαι,
" Εἰς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾷν,
" Οὐδ' εἰς ἀπάντημ', ὅς τις αἷμ' ἔχων κυρεῖ·
" Φυγαῖσι δ' ὁσιοῦν, ἀνταποκτείνειν δὲ μή.
Αἰεὶ γὰρ εἷς[c] ἔμελλεν ἕξεσθαι φόνῳ,

Tyn. Habeat tu hoc, ego non habebo.
Simul *funt* apud te ira & ſenectus, utraque non eſt ſapiens.
Tyn. Num quid cum eo certamen eſt de ſapientia? Et non de Matricidio?
[a]Si recta ſunt omnibus manifeſta, etiam non recta.
[b]Quis homo eſt iſto ſtultior,
Qui non conſideravit jus,
Neque venit in legem communem Græcorum?
Poſtquam enim Agamemnon expiravit vitam,
Percuſſus in capite à meâ filiâ
Turpi facinore, (nunquam enim id laudabo)
Oportebat Oreſtem impingere ei dicam *profuſi* ſanguinis
Juſtam, accuſandóque ejicere ex ædibus
Matrem: accepiſſet enim laudem modeſtiæ in calamitate,
Et legem ſervâſſet, & eſſet pius.
Nunc autem venit in eandem infelicitatem ſicut mater.
Nam jure exiſtimans illam eſſe malam,
Ipſe factus eſt deterior, interficiens matrem.
Interrogabo te hoc, Menelae:
Si interficeret aliquem ſua conjux,
Et illius filius rurſus interficiat matrem,
Et natus ex interfectore illo, cædem cæde
Solvat, finis malorum quouſque procedet?
" Rectè ſanxerunt majores olim hæc,
" Non ſinebant in conſpectum venire,
" Neque in occurſum, quiſquis forte reus eſſet ſanguinis:
" Sed expiabant exilio, non occidere ſinebant.
Semper enim unus cædi foret obnoxius

[a] Is. σοι. [b] MS ἐγένετ'. [c] Scholiaſt. & Duport. ἔμελλ' ἐνέξεσθαι.

ἔσαν, ἐπεὶ ἐξ ἀνάγκης φυσικῆς ἐστὶ, δῆλον ἐστί. καὶ διὰ τοῦτο οὐκ ἀμβλύνεται, οὐδ' ἄλλως γενέσθαι δύναται, ὅτι ἐλεύθερος, καὶ χωρὶς ἀνάγκης γίνεται. Ἄλλως. Πᾶν τὸ ἐξ ἀνάγκης, ἡ τῆς φύσεως ἀνάγκη, ὅ ἐστιν ἡ συγγένεια, πάντα δηλοῖ, κατά τε τὴν κρίσιν τῶν νόμων, καὶ τῶν σοφῶν. δῆλον οὖν ἀντὶ τοῦ δηλοποιόν. οὐχ οἷόν τε γὰρ παραιτήσασθαι τὴν συγγένειαν. Ἄλλως. πᾶν τὸ ἐξ ἀνάγκης, δῆλον ἐστὶ καὶ ὑπήκοον, ἤγουν πάντα ἃ κατὰ ἀνάγκην ποιοῦμεν καὶ κατὰ τὴν σοφῶν κρίσιν, πάντα τὰ ὑπ' ἀνάγκης δηλοῖ, καὶ ὑπηκόους ποιεῖ τοὺς ἀνθρώπους. καθὸ ἐπὶ τοῦ Ὀρέστου εἶπεν, εἰ δὲ δυστυχεῖ τιμωρητέος. ἔστι γὰρ ὁ λόγος, ὅτι τιμᾷν τὸν Ὀρέστην ἀναγκαῖον διὰ τὴν συγγένειαν. τοῦτο δὲ ἐν ὑποκρίσει λέγει, οὐ σπουδῇ. ὁ δὲ Ἀριστοφάνης φησὶ, πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δηλοῖ, οὐδὲ ταπεινοῖ κατὰ τὴν τῶν σοφῶν κρίσιν. δύναται καὶ οὕτως, πᾶν τὸ ἀναγκαῖον δῆλον ἐστὶν, ἤτοι πᾶν ὃ κατὰ ἀνάγκην ποιοῦμεν. Ὀργὴ γὰρ ἅμα] πρὸς τῷ εἶναι σε γέροντα, καὶ ὀργίλος εἶ. διὰ τοῦτο φησὶ, παραιτῇ τὰ αὐτὰ τοῖς σοφοῖς φρονεῖν. ἐπεὶ συνελθοῦσα σου τῷ γήρᾳ ὀργὴ, ἀπαίδευτόν σε ποιεῖ. καὶ Σοφοκλῆς, Ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπίς, Ἐν χειρὶ θήγει, ἐν τάχει δ' ἀμβλύνεται. Ἄλλως. ἡ ὀργὴ, καὶ τὸ γῆρας ἅμα γεγονότα οὐ σοφόν σε ποιεῖ. αὐτὸ γὰρ καθ' αὑτὸ τὸ γῆρας, μελαγχολικώτερόν ἐστι τῆς νεότητος. εἰ δὲ συμβῇ τοὺς γέροντας ὀργισθῆναι, διπλάσιον γίνεται τὸ κακόν. τὸ γῆρας σοῦ οὐ φησὶν, ἅμα τῇ ὀργῇ γεγονὸς, οὐ σκοπεῖ τὸ δίον. Πρὸς τόνδ' ἀγὼν] ἡ περὶ τὸν Ὀρέστην μητροκτονία, οὐ δεῖται ἀγῶνος σοφίας. πρόδηλος γὰρ ἡ κρίσις ὥστε μάτην ἡμᾶς οὐ σοφῶς ἀπηνέλεσας. οὐ σοφισμάτων γὰρ προσδεῖται ἡ κρίσις. τουτέστιν, οὐ καλὸν ἡμᾶς περὶ σοφίας ἀγωνίζεσθαι. περὶ γὰρ μητροκτονίας ἐστὶν ὁ λόγος. Ἄλλως. ἐπειδὴ εἶπεν ὁ Μενέλαος, καὶ τὸ γῆρας οὐ σοφὸν, φησὶν ὁ Τυνδάρεως, ὅτι τίς χρεία ἐστὶ σοφίας, ὅπου γε προφανὲς τοῦ Ὀρέστου τὸ πλημμέλημα. [495] Οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν] ὡς ἐπὶ ὁδὸν, οὐκ ἐβάδισε κατὰ τὸν Ἑλληνικὸν νόμον. ὁ γὰρ νόμος οὐκ ἐπιτρέπει αὐτόχειρα τινὰ γίνεσθαι. Κοινὸν νόμον] οὐκ ἦλθεν ἐπὶ τὸν κοινὸν νόμον τῶν Ἑλλήνων. ἤγουν ἐφ' ᾧ πάντες οἱ Ἕλληνες ὁμογνωμονοῦσι. Ἐπεὶ γὰρ ἀφ' οὗ ἐξέπνευσε τὴν ζωὴν ὁ Ἀγαμέμνων, κάκιστον ἔργον παθὼν φιλονότι, οὐ γὰρ ἐπαινέσω ποτὲ, ἔπρεπεν αὐτὸν τὸν Ὀρέστην ἐπιθεῖναι δικαίαν τιμωρίαν τοῦ αἵματος. πρέπουσαν δὲ καὶ ὁσίαν δίκην φησὶ τὸ φυγαδεῦσαι μόνον. διώκοντα δὲ, ἀντὶ τοῦ κατηγοροῦντα. καὶ οὕτως ἂν φησὶ, τοῦ κακοῦ τὸ σῶφρον ἐπελέξατο διώκων, καὶ τὴν πρέπουσαν τιμωρίαν ἀπαιτήσων ἂν ἐκβαλὼν τὴν μητέρα, καὶ νόμῳ πειθαρχῶν ἐφαίνετο. Ἄλλως. εἰ συγῇ μόνον ἦν ζημιώσας τὴν μητέρα, οὕτως ἂν ἔδοξε σωφρόνως κεχρῆσθαι τῇ τιμωρίᾳ, τῇ κατὰ τῆς συμφορᾶς τοῦ πατρὸς, ἢ τῆς μητρός. [501] Τὸ σῶφρόν τ' ἂν ἔλαβε] καὶ σωφρόνως καὶ ἐγκρατῶς ἔμελλε τὰ τῆς συμφορᾶς τιμωρεῖσθαι. ἡ σῶφρον εἶπε τὸ μέτριον. συμφορὰν δὲ τὴν τιμωρίαν, ἣν ἐλάμβανε ζημιώσας αὐτήν. μετριωτέρα γὰρ αὕτη ἡ τιμωρία τοῦ θανάτου. Καὶ τοῦ νόμου τ' ἂν] ὡς νόμοις πειθαρχῶν εἰς τὴν αὐτὴν ἁμαρτίαν. καὶ γὰρ παρανόμως ἐφόνευσε. πλέον δὲ τοῦτο κακόν. οὐ γὰρ ἴσον ἐστὶ τὸ γυναῖκα φονεῦσαι ἄνδρα, καὶ υἱὸν μητέρα. ὁ μὲν γὰρ φύσει ἐστὶν υἱὸς, ὁ δὲ ἀνὴρ συγγενής. Νῦν δ' εἰς τὸν αὐτὸν] νῦν δ' εἰς τὴν αὐτὴν τύχην ἦλθε τῇ τύχῃ τῆς μητρός. κακὴν γὰρ νομίζων δικαίως αὐτὴν, αὐτὸς χείρων ἐγένετο φονεύσας τὴν μητέρα. ἐρωτήσω δὲ τοσοῦτόν σε, ὦ Μενέλαε. καθ' ὑπόθεσιν δὲ ὁ λόγος, καὶ ὡς ἐν παραδείγματι ταῦτα φησὶ, τὸν τυχόντα τιθεὶς εἰς παράδειγμα. [507] Εἰ τόνδε] τοῦτον, ὡρισμένον ἔλαβεν ἀντὶ ἀορίστου τοῦ τινά. εἰ τοῦτον φονεύσειεν ὁμόκοιτος γυνὴ, καὶ ὁ τούτου παῖς πάλιν ἀνταποκτείνει τὴν μητέρα. κἄπειτα ὁ ἐξ ἐκείνου γεννηθεὶς, διὰ φόνου τὸν φόνον λύσει καὶ ἐλευθερώσει, ποῦ τῶν κακῶν προχωρήσει τὸ τέλος. Μητέρα ἀνταποκτενεῖ] τοῦτο διὰ τὸ λεγόμενον περὶ τῶν ἐχιδνῶν, ὅτι μετὰ τὴν συνουσίαν φονεύει τὸν ἄρρενα ἡ ἔχιδνα. οἱ δὲ γεννώμενοι, ὥσπερ τιμωρούμενοι τὸν τοῦ πατρὸς φόνον, διατρήσαντες τὴν κοιλίαν τῆς μητρὸς, καὶ φονεύσαντες αὐτὴν γεννῶνται, ὡς φησὶ Νίκανδρος. ὅμοιόν ἐστι καὶ τὸ κατὰ Ὀρέστην καὶ Κλυταιμνήστραν. Καλῶς ἔθεντο] καλῶς ἐνομοθέτησαν ταῦτα οἱ ἔκπαλαι νομοθέται, οὐ συγχωροῦν ἐλθεῖν εἰς ὄψιν καὶ θέαν. οὐδ' εἰς ἀπάντησιν τὸν ἀποκτείναντα τινά. φυγαῖσι δ' ὁσιοῦν, ἀντὶ τοῦ ἐκάθαιρον, ὁσίως καὶ καθαρὸς ἐποίουν. τὸ γὰρ μὴ ἀνταποκτείνειν, ὅσιον ἐνόμιζον. οἱ γράφοντες ἀνταποκτείνειν, ἀγνοοῦσι τὰ μέτρα. διὸ ἀποκτείνειν γράφων, οὕτω λέγε, ὁσίουν δὲ καὶ ἐκάθαιρον ἐκεῖνον ἐν φυγαῖς, οὐκ ἐν τῷ ἀποκτείνειν δέ. τὸ μὴ, ἀντὶ τοῦ οὐ. Αἰεὶ γὰρ εἷς] διότι γὰρ ὁ ὕστερος ἀπέκειτο ἐνέξεσθαι, ἤγουν ἔνοχος ἔσεσθαι τοῦ φονευθῆναι.

[*] ἀπὸ εἷς.

ANNOTATIONES.

V. 491. Πρὸς τίνα ἀγὼν τίς ἂν σοφίας ἥκει πέρι] Quod ſenſum hujus verſûs attinet, illum in Verſione ſatis expreſſimus: Quod ad correctionem attinet, aſſentimur & nos *Duporto* legenti ἂν, non autem ubi emendat ἥκει. Et hic ulterius litem remittimus, magni illius Viri libro haud pari intercatam; ne aliud quid præter veritatem quærere videamur. MS. nihil hic adfert auxilii, nisi quod in Margine legatur Ὀρέστ. *Scaliger* legit τίς τῆς σοφίας. R dicula autem *Æmylii Porti* emendatio, Πρὸς τίνα, ἀνὴρ ἀγὼν, &c. *Joſua Barnes.*

Τὸ λοίσθιον μίασμα λαμβάνων χεροῖν.
Ἐγὼ δὲ μισῶ μὲν γυναῖκας ἀνοσίους,
Πρώτην δὲ θυγατέρ', ἣ πόσιν κατέκτανεν, * ἴσ. τί.
Ἑλένην τε τὴν σὴν ἄλοχον οὔ ποτ' αἰνέσω,
Οὐδ' ἂν προσείποιμ', οὐδὲ σὲ ζηλῶ κακῆς
Γυναικὸς ἐλθόνθ' οὕνεκ' εἰς Τροίας πέδον.
Ἀμυνῶ δ', ὅσονπερ δυνατός εἰμι, τῷ νόμῳ,
Τὸ θηριῶδες τοῦτο καὶ μιαιφόνον
Παύων, ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ' ἀεί.
Ἐπεὶ τίν' εἶχες, ὦ τάλας, ψυχὴν τότε,
Ὅτ' * ἐξέβαλε τὸν μαστὸν ἱκετεύουσά σε
Μήτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τἀκεῖ κακὰ,
Δακρύοις γέροντ' ὀφθαλμὸν ἐκτήκω τάλας.
Ἓν οὖν λόγοισι τοῖς ἐμοῖς ὁμορροθεῖ,
Μισῇ γε πρὸς θεῶν, καὶ τίνεις μητρὸς δίκας,
Μανίαις ἀλαίνων, καὶ φόβοις. τί μαρτύρων
Ἄλλων ἀκούειν δεῖ μ', ἅ γ' εἰσορᾶν πάρα;
Ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσιν θεοῖς
Μὴ πρᾶσσ' ἐναντί', ὠφελεῖν τοῦτον θέλων.
Ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
Ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
Θυγάτηρ δ' ἐμὴ θανοῦσ', * ἔπραξεν ἔνδικα.
Ἀλλ' οὐχὶ πρὸς τοῦδ' εἰκὸς ἦν αὐτὴν θανεῖν.
Ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ' ἀνήρ,
Πλὴν εἰς θυγατέρας, τοῦτο δ' οὐκ εὐδαιμονῶ.
Χο. « Ζηλωτὸς, ὅστις ηὐτύχησεν εἰς τέκνα,
« Καὶ μὴ 'πισήμους συμφορὰς ἐκτήσατο.
Ορε. Ὦ γέρον, ἐγώ τοι πρὸς σὲ δειμαίνω λέγειν,
Ὅποι σε μέλλω σήν τι λυπήσειν φρένα,

* MS. ἐξέβαλλε μαστόν.
* MS. δ' omitt.

Extremam contaminationem accipiens manibus.
Ego verò utique odi impias mulieres,
Et primùm filiam, quæ occidit maritum,
Et Helenam tuam conjugem nunquam laudabo,
Neque alloquar, neque te laudo malæ
Mulieris gratiâ veniſſe ad Trojam.
Defendam autem quantum poſſum Legem,
Beſtialem hunc & homicidialem morem
Tollens, qui ſemper perdit terras & urbes.
Nam, quo animo eras, ô miſer, tunc,
Quando exeruit ubera ſupplicans tibi
Mater? ego qui non vidi illa mala
Tabeſacio miſer ſenilem oculum lacrymis.
Unum ergo confirmat meam ſententiam:
Inviſus es diis, & matri das pœnam,
Errans furore & pœnâ. Quid teſtes
Alios me audire opus eſt de rebus, quas poſſumus videre?
Ut ergo ſcias, Menelae, Deos
Contra ne facias, volens juvare iſtum:
Et ſinas à civibus interfici ſaxis,
Aut non accede in Spartanam terram.
Mea filia mortua, perſolvit, i. e. *paſſa eſt* juſta:
Sed non erat conveniens interfici eam ab iſto.
Ego in aliis rebus ſatis felix fui,
Præter filias: in hoc non ſum felix.
Ch. « Invidendus *is*, qui felix eſt propter Liberos;
« Nec inſignes *aliquas* calamitates nactus eſt.
Or. O ſenex, ego vereor dicere adverſus te,
Ubi dolore afficiam te & animum tuum.

Τὸ λοίσθιον] τὸ ἔσχατον, τὸ ἀφ' ἑτέρου εἰς ἕτερον μεταβαῖνον. Ὅμηρος, λοῖσθος ἀνὴρ ὤρετο, εἰς δὲ φησὶν ὁ πρὸς τῷ τέλει ἔμελλεν εἶναι μιαιφονηθεὶς ὕστερος, ὁ μηκέτι ἔχων μεθ' ἑαυτὸν ἄλλον, ὑφ' οὗ ἕνα φονέα κατὰ διαδοχήν. καὶ οὐδεὶς ἔτι μίσους αἴτιος, ἐν ᾧ φονεύεσθαι μέλλει, εἰ μὴ εἷς. ἐκεῖνος μὲν τις ὁ μὴ φονευθησόμενος, μιαιφόνος δὲ, ὁ πρὸς τῷ τέλει. Ἐγὼ δὲ] μισῶ τὰς ἀνοσίους καὶ ἀδίκους γυναῖκας. μισῶ δὲ πρώτην τὴν ἐμὴν θυγατέρα, ἣ τὸν ἑαυτῆς ἐφόνευσεν ἄνδρα. καὶ τὴν Ἑλένην τὴν σὴν γυναῖκα, οὐδέποτ' ἐπαινέσω, οὐδὲ προσλαλήσαιμι. οὐδὲ σε ἐπαινῶ ἐλθόντα εἰς Τροίαν κακῆς γυναικὸς χάριν. Βοηθήσω δ' ὅσον δύναμαι τῷ νόμῳ, τὴν θηριωδίαν καὶ μιαιφονίαν ταύτην καταπαύων, ἣ γῆν τε καὶ πόλεις διόλου διαφθείρει. 520 Οὐδέ σε ζηλῶ] ζηλῶ τὸ μακαρίζω. ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐπαινῶ. ἐπεὶ γὰρ πλησιάζουσιν ἀλλήλοις τρόπον τινὰ, τὸ ἐπαινεῖν καὶ τὸ μακαρίζειν, οὐκ ὀκνεῖ λαμβάνειν τὸ ἕτερον ἀντὶ τοῦ ἑτέρου. Ἀμυνῶ δ' ὅσον] ἐπειδὴ γὰρ νόμος ἦν μὴ δι' ἑτέρου φόνου τοὺς φονεῖς κολάζειν, ἀλλὰ φυγῇ, οὗτος δὲ παραβὰς τὸν νόμον ἀπέκτεινε τὴν μητέρα τὸν ἴδιον ἄνδρα φονεύσασαν, ἀμυνῶ καὶ βοηθήσω αὐτὸς τῷ παραβαθέντι ὑπ' αὐτοῦ νόμῳ. οὐκ ἂν γὰρ θέλω τοῦτον τιμωρηθῆναι, παύω τοὺς ἄλλους τῶν ἴσων. ᾧ χρὴ δὲ γράφειν ἀμυνῶ ἀντὶ ἐνεστῶτος. μακρὰ γάρ ἐστιν ἐπὶ τοῦ ἐνεστῶτος τὰ διὰ τοῦ υνω ῥήματα. ἀλλ' ἀμυνῶ ἐπὶ μέλλοντος. οὕτω γὰρ ἁρμόζεται τῷ μέτρῳ. ὁ γὰρ μέλλων τῆς ε συζυγίας τῶν βαρυτόνων, τὰ ἀμετάβολα φησὶ περισπᾷ μετὰ συστολῆς τῆς παραληγούσης, καὶ προπαροξύνει τὸν τόνον. 525 Ἐπεὶ τίν' εἶχες, ὦ τάλας] ἀποστροφὴ τὸ σχῆμα. πρὸς τὸν Ὀρέστην ἰδίως ἀπέστρεψε τὸν λόγον, καὶ διαλέγεται πρὸς αὐτὸν, ὁ περὶ τούτου ἐγκαλῶν τὸν Μενέλαον. Ἐπεὶ] εἰ δὲ μή τινα ψυχὴν εἶχες, ὦ τάλας, τότε, ὁπότε ἡ μήτηρ ἐξέβαλε τὸν μαστὸν παρακαλοῦσά σε, ἐγὼ μὲν οὐ θεασάμενος τὰ ἐκεῖ γινόμενα κακὰ, διὰ δακρύων δαμάζω τὸν γεροντικὸν ὀφθαλμὸν ὁ ἄθλιος. Ἓν οὖν λόγοισι] ἀντὶ τοῦ ἓν ἔχω προσθεῖναι κεφάλαιον τοῖς ἐμοῖς λόγοις. ὁμορροθεῖ δὲ, ἀντὶ τοῦ ἀκολουθεῖ καὶ συμφωνεῖ. θέλει δὲ εἰπεῖν, ὅτι τοῖς ἐμοῖς λόγοις ἐκεῖνο ἔχω προσθεῖναι τὸ κεφάλαιον, τὸ ὑπὸ θεῶν μισεῖσθαι πλανώμενον καὶ μαινόμενον. Ἀλαίνων, πλανώμενος. Τί μαρτύρων] τουτέστιν οὐ δεῖ με ζητεῖν μάρτυρας τοῦ μισεῖσθαί σε παρὰ τῶν θεῶν, ὡς ἀνόσια δεδρακότα. βλέπω γάρ σε μαινόμενον, ὅπερ παρὰ τῶν θεῶν ἐστίν σοι, δείκνυσι πᾶσιν, ὡς εἰ μὴ κακὸν εἰργάσω, οὐκ ἂν εἰς τοιαύτην δυστυχίαν ἐνέπεσε. Ὡς οὖν ἂν εἰδῇς] ἵνα δὲ μάθῃς, ὦ Μενέλαε, μὴ θέλε πράττειν ἐναντία τοῖς θεοῖς, χρῄζων ὠφελεῖν τὸν Ὀρέστην. ἀλλ' ἄφες αὐτὸν διὰ πέτρων ὑπὸ τῶν πολιτῶν φονευθῆναι. ἢ εἰ μὴ ποιήσεις τοῦτο, ὅπερ σοι λέγω δηλονότι, μὴ διέρχου διὰ τῆς τῶν Λακεδαιμονίων γῆς. 536 Σπαρτιάτιδος] Σπάρτη ἡ περιηγουμένη πόλις τῆς Λακεδαιμονίας. ὁ ἀπὸ ταύτης, Σπαρτιάτης. καὶ ἐπὶ θηλυκοῦ, ἡ Σπαρτιάτις, καὶ κλίνεται τῆς Σπαρτιάτιδος. Σπάρτον δὲ τὸ σχοινίον. ὡς παρ' Ὁμήρῳ, Σπάρτα λέλυνται. καὶ ὁ σπάρτος ἐπὶ θηλυκοῦ. ἀφ' οὗ τὸ, κόσμει * Σπάρταν ἂν ἔλαχες. καὶ τὴν λίθον ποτὶ τὰν * Σπάρταν ἄγε. Θυγάτηρ δ' ἐμὴ] ἡ δὲ ἐμὴ θυγάτηρ ἀποθανοῦσα, ἔπαθε δικαίως. ἀλλ' οὐ παρὰ τούτου πρέπον ἦν τὴν Κλυταιμνήστραν ἀποθανεῖν. ἐγὼ δὲ κατὰ τὰ ἄλλα μακάριος ὑπάρχω ἀνὴρ, χωρὶς εἰς τὰς θυγατέρας. κατὰ τοῦτο δὲ οὐκ εὐτυχῶ. Ἔπραξεν ἔνδικα] ἔπαθε μὲν δίκαια, καθὸ ἀπέθανε. καὶ δικαίαν τιμωρίαν δέδωκε. καθὸ δὲ ὑπὸ τούτου ἀπέθανεν, ἠδίκηται. 541 Ζηλωτὸς ὅστις] μακάριος ὁποῖος εὐτύχησεν εἰς τέκνα, καὶ μὴ μεγάλας καὶ φανερὰς καὶ ὁμολογουμένας βλάβας ἔλαβε. Ὦ γέρον] ἐγὼ φοβοῦμαι λέγειν πρὸς σὲ, ὅπου μέλλω σε καὶ τὴν σὴν

* * Is. σπάρτον utrobique.

ANNOTATIONES.

V. 525. Ἐπεὶ τίν' εἶχες, ὦ τάλας, ψυχὴν τότε;] Quo fuiſti tunc animo, ô Miſer? De eleganti hac Phraſi, & aliis *Græcis Latiniſque* Authoribus notâ, vid. *Pet. Victorii* Variar. Lection. l. 1. c. 7. Quòd autem de Nomine *Micione* (quod & in conſuetudine *Athenienſium* fuiſſe & à Comicis celebratum agnoſcit) tantus vir dicat ſe originem illius penitùs neſcire, nec putat rationem ipſius commodam afferri poſſe; Miramur ſanè in re tam obviâ tam ſagacem Criticum offendiſſe; cum appareat diminutivum eſſe *Μικίων* à τῷ *Μίκων*. *Micon* autem erat quidam *Æginetæ* pater *Onatæ* Statuarii (*Pauſan.* Eliacis) & alter Pictor *Athenienſis*, & alter Orator *Athenienſis*, alter denique Fictor *Syracuſanus*, ab eodem *Pauſaniâ* memorati omnes; præter alios *Micones* veteribus notos: videtur autem nomen ipſum ὑποκοριστικῶς dici à *μικκὸς*, idem quod *μικρός*. ſed hæc obiter, curioſis fortè non ingrata. *Idem.*

V. 530. Τίνεις μητρὸς δίκας] Hic τὸ τίνω primam habet communem, ut ſupra V. 453. *Idem.*

V. 537. Ἔπραξεν ἔνδικα] Ἔπραξεν ponitur in hoc loco pro ἔπαθεν: ſic & idem Poeta in *Hecubâ* V. 1021. Ὡς πάντα πράξας ὧν σε δεῖ. Vid. *Scholiaſten* & *Hen. Stephan.* Theſaurum *Græcæ* Linguæ in *πράσσω*. Eodem modo & *πάσχω* aliquando pro *πράσσω* uſurpatur, ut *Lucian.* in Necyomant. τί γὰρ ἂν καὶ πάθοι τις ὁπότε [illegible] ἀνὴρ ζηλοῖτο. *Idem.*

Ἐγὼ

Ἐγὼ δ' ἀνόσιός εἰμι, μητέρα κτανὼν,
Ὅσιος δέ γ' ἕτερον ὄνομα, τιμωρῶν πατρί.
Ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν
Τὸ γῆρας ἡμῖν τὸ σὸν, ὅ, μ' ἐκπλήσσει λόγου,
Καὶ κατ' ὁδὸν εἶμι· νῦν δὲ σὴν ταρβῶ τρίχα.
Τί χρῆν με δρᾶσαι; δύο γὰρ ἀντίθες δυοῖν.
Πατὴρ μὲν ἐφύτευσέν με, σὴ δ' ἔτικτε παῖς,
Τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα.
" Ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ' ἂν
Ἐλογιζόμην οὖν, τῷ γένους ἀρχηγέτῃ
Μᾶλλόν μ' ἀμῦναι, τῆς ὑποστάσης τροφάς.
Ἡ σὴ δὲ θυγάτηρ, μητέρ' αἰδοῦμαι λέγειν,
Ἰδίοισιν ὑμεναίοισι, κοὐχὶ σώφροσιν,
" Εἰς ἀνδρὸς ᾔει λέκτρ'. ἐμαυτὸν, ἢν λέγω
" Κακῶς ἐκείνην, ἐξερῶ· λέξω δ' ὅμως.
Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις·
Τοῦτον κατέκτειν', ἐπὶ δ' ἔθυσα μητέρα,
Ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν πατρί.
Ἐφ' οἷς δ' ἀπειλεῖς ὡς πετρωθῆναί με χρὴ,
Ἄκουσον, ὡς ἅπασαν Ἑλλάδ' ὠφελῶ.
Εἰ γὰρ γυναῖκες εἰς τόδ' ἥξουσι θράσους,
Ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι
Εἰς τέκνα, μαστοῖς τὸν ἔλεον θηρώμεναι,
Παρ' οὐδὲν αὐταῖς ἦν ἂν ὀλλύναι πόσεις,
Ἐπίκλημ' ἐχούσαις, ὅ, τι τύχοι. δράσας δ' ἐγὼ
Δείν', ὡς σὺ κομπεῖς, τόνδ' ἔπαυσα τὸν νόμον.
Μισῶν δὲ μητέρ', ἐνδίκως ἀπώλεσα,
Ἥ τις μεθ' ὅπλων ἄνδρ' ἀπόντ' ἐκ δωμάτων,
Πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτην,
Προὔδωκε, κοὐκ ἔσωσεν ἀκήρατον λέχος.
Ἐπεὶ δ' ἁμαρτοῦσ' ᾔσθετ', οὐχ αὑτῇ δίκην
Ἐπέθηκεν, ἀλλ' ὡς μὴ δίκην δοίη πόσει,
Ἐζημίωσε πατέρα, κἀπέκτειν', ἐμόν.
Πρὸς θεῶν (ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,
Φόνον δικάζων) εἰ δὲ δὴ τὰ μητρὸς
Σιγῶν ἐπῄνουν, τί μ' ἂν ἔδρασ' ὁ κατθανών;
Οὐκ ἄν με μισῶν ἀνεχόρευ' Ἐριννύσιν;
Ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαί,

Ego quidem ſum pollutus, quatenus interfeci matrem:
Impollutus autem alio nomine, quod ultus ſum patrem.
Abeat igitur longiùs ab iſto ſermone
Tua ſenectus, quæ interturbat me dicentem,
Et redeo in viam: nunc verò vereor tuam canitiem.
Quid oportebat me facere? oppone enim duo duobus.
Pater quidem me genuit, tua verò filia peperit,
Tanquam ager accipiens ſemen ab alio:
" Sine patre autem non poteſt gigni proles.
Cogitabam ergo generis autori
Magis me debere opitulari, quàm illi quæ exhibuit nutricationem.
Sed filia tua, (vereor enim vocare matrem)
Proprio hymenæo & non modeſto
" Venit in thalamum *alterius* viri: mihi, ſi dico
" Illi, malè dico, & tamen dicam.
Ægiſthus erat abditus in domo maritus:
Hunc interfeci, & poſt *illum*, matrem mactavi:
Irreligioſa quidem faciens, ſed ulciſcens patrem.
Quod autem minaris me debere lapidari:
Audi, ut profuerim toti Græciæ.
Si enim mulieres veniant ad hanc audaciam,
Ut interficiant viros, facientes refugium
Ad liberos, venantes miſericordiam uberibus:
Pro nihilo ducent interficere viros,
Habentes quidlibet quod objiciant: ego poſtquam feci
Illa atrocia, quæ tu dicis, compeſcui iſtam legem:
Et odio habens matrem, juſtè perdidi,
Quæ virum abſentem ex ædibus cum exercitu
Ducem pro totâ Græciâ
Prodidit, & non ſervavit incontaminatum lectum:
At cùm ſciret ſe peccaſſe, non ſibi pœnam
Inflixit, ſed ut non daret pœnam marito,
Mulctavit & interfecit meum patrem.
Per Deos *enim*, (facio mentionem Deorum incommodè
Dicens cauſam de cæde) ſi matris factum
Tacens laudarem, quid feciſſet mihi pater mortuus?
Nonne odio habens me exagitaſſet Erinnybus?
An matri quidem adſunt auxiliatrices deæ,

φρένα καὶ διάνοιαν λυπήσειν. ἐγὼ μὲν φονεύσας τὴν μητέρα, ἀνόσιος ὑπάρχω. τιμωρῶν δὲ τῷ πατρὶ, ὅσιός εἰμι, καθ' ἕτερον ὄνομα τοῦ ἀνοσίου. ἐπεὶ ἐναντίον τοῦ ἀνοσίου τὸ ὅσιον. ἀνόσιος μὲν εἰμὶ, τὴν μητέρα κτανὼν τετύχηκα δὲ τοῦ ὁσίου ὀνόματος καθ' ἕτερον μέρος, τὸν πατέρα ἐκδικήσας. Ἄλλως. ἐγὼ μὲν κτείνων τὴν μητέρα, ἀνόσιος εἰμί. τιμωρῶν δὲ τῷ πατρὶ, πάλιν ὅσιος εἰμὶ, ἕτερον ὄνομα τοῦ ἀνοσίου. 547 Ἀπελθέτω δὴ τοῖς λόγοισι] ἀντὶ τοῦ σὺ ἀναχώρει, καὶ τὰς ἀληθείας ἐρῶ, καὶ δεόντως ἀπολογήσομαι. ἀπίτω μακρὰν τοῖς ἐμοῖς λόγοις τὸ σὸν γῆρας, ὅ με κωλύει τοῦ λέγειν· καὶ τότε κατὰ τάξιν ἐλεύσομαι. νῦν δὲ φοβοῦμαι τὸ σὸν γῆρας. τί με ποιῆσαι ἔπρεπε; δύο γὰρ τινὰ πράγμασιν ἀντίθες δυσίν. ὁ μὲν πατὴρ ἔσπειρέ με, ἡ σὴ δὲ παῖς ἐγέννησεν, ὡς ἄρουρα τὸ σπέρμα παρ' ἄλλου λαβοῦσα. τέκνον δὲ χωρὶς πατρὸς, οὐκ ποτ' ἂν εἴη. 552 Ἄνευ δὲ πατρὸς] λέγεταί τις αὐτοῦ εἰπόντος τοῦτο εἰρηκέναι· ἄνευ δὲ μητρὸς, ὦ κάθαρμ' Εὐριπίδη. * Ἄνευ δὲ πατρὸς] προθεὶς τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ ἀντιθεὶς αὐτοῖς, τῷ μὲν τὴν σποράν, τῇ δὲ τὸν τόκον, δείκνυσι τὸν πατέρα μείζονα μητρὸς, διὰ τὸ πρωταίτιον εἶναι τῆς εἰς φῶς αὐτοῦ προαγωγῆς. δέον δὲ τῆς ὑποστάσης τροφὰς εἰπεῖν, γονὰς εἶπεν. 556 Ἡ σὴ δὲ θυγάτηρ] αἰσχύνομαι γὰρ μητέρα λέγειν ἐκείνην. ἰδίοις γάμοις, ἤγουν λαθραίοις, καὶ οὐ νενομισμένοις ἦλθεν εἰς ἀνδρὸς κοίτην. Ἐμαυτὸν, ἢν λέγω] ἐὰν ἐκείνην φησὶ λέγω κακῶς, ἐμαυτὸν ἐρῶ κακῶς. λέξω δ' ὅμως. Εἰς ἀνδρὸς ᾔει λέκτρα] τὸ ἀνδρὸς διπλῶς νοητέον, ἢ τοῦ Αἰγίσθου, ἢ τοῦ Ἀγαμέμνονος. καὶ ἐπὶ μὲν τοῦ Αἰγίσθου, οὕτως. ἡ σὴ θυγάτηρ, ὦ Τυνδάρεως, εἰς ἀνδρὸς ᾔει λέκτρα ἐν λαθραίοις γάμοις, τουτέστι συνῆν λαθραίως τῷ Αἰγίσθῳ μοιχευομένη. ἐπὶ δὲ τοῦ Ἀγαμέμνονος, οὕτως. ἡ σὴ θυγάτηρ ἐν ἰδίοις ὑμεναίοις, καὶ οὐχὶ σώφροσι, τουτέστι λαθραίως μοιχευομένη Αἰγίσθῳ, εἰς λέκτρα τοῦ Ἀγαμέμνονος ᾔεσαν, ὅτε ἐπανῆκεν ἐκ Τροίας. 561 Ἐπὶ δ' ἔθυσα] ἀπρεπῶς τὸ ἔθυσα. τάχα δὲ δείξει, ὅτι εὐσεβῶς διέπραξε φονεύσας αὐτήν. καὶ ἔφη τὸ ἔθυσα, τὸν Αἴγισθον μὲν ἔκτεινα, ἐπὶ τούτῳ δὲ καὶ τὴν μητέρα ἔθυσα. Ἐφ' οἷς δ' ἀπειλεῖς] τὸ σχῆμα κατὰ ἀντίπτωσιν. Παρ' οὐδὲν αὐταῖς ἦν] ἐν ἰδίᾳ φράσει. καὶ πάρεργον ἦν αὐταῖς φονεύειν τοὺς ἰδίους ἄνδρας. εἶχον ἔμελλεν αὐταῖς φησὶν εἰς ἔγκλημα μόνον πλείστας τῆς τιμωρίας. ἀκωλύτως οὖν ἐχώρουν κατὰ τῶν ἀνδρῶν. Ἐπίκλημα] ἀφορμὴν, αἰτίαν, προβαλλομέναις καὶ προφασιζομέναις ὅ, τι τύχοι, καὶ ὅ, τι δήποτε. καὶ αὕτη γὰρ προεφασίζετο τὰ κατὰ τὴν Ἰφιγένειαν, ὅτι διὰ τοῦτο ἀνεῖλεν αὐτὸν, ὅτι ἐν Αὐλίδι ἐσφαγίασεν Ἰφιγένειαν. Κομπεῖς] μεγαλορρημονεῖς. Ἀκήρατον] ἄφθαρτον. Ἐπεὶ δ' ἁμαρτοῦσα] ἐπεὶ δὲ ᾔσθετο μοιχευθεῖσα, οὐχ ἑαυτὴν ἐτιμωρήσατο, δέον τοῦτο ποιεῖν. ἀλλ' ἵνα μὴ δίκας ἀπαιτηθῇ τῆς μοιχείας, πρότερα ἐφόνευσε. Ἐζημίωσε] ἁρμοδίως καὶ οἰκείως ἡ λέξις ἐνταῦθα κεῖται. εἰ γὰρ ἡ ζημία ζωῆς ἐστὶ μείωσις καὶ ἐλάττωσις, εἰκότως ζημιοῦν τινα λέγεται, ὁ θανάτῳ τὴν ζωὴν αὐτοῦ ἀφελόμενος. Πρὸς θεῶν] ἄκουσον δηλονότι. ἐν οὐ καλῷ μὲν καιρῷ ἐμνήσθην τῶν θεῶν ἕνεκα φόνου κρινόμενος. εἰ μετὰ σιωπῆς ἐπῄνουν τὰ τῆς μητρὸς, τί ἂν με ἔδρασεν ὁ ἀποθανὼν πατὴρ ἐμός; οὐκ ἄν με μισῶν ἀνετάραττε διὰ τῶν Ἐριννύων; Ἢ τῇ μητρὶ παρυπάρχουσι σύμμαχοι αἱ Ἐριννύες, τῷ πατρὶ δὲ τῷ μᾶλλον ἀδι-

* Hinc puto ad hunc locum in vetuſtiſſimo Codice MS. toties laudato, depingitur calamo Facies irati & e hianti cachinnantis. *Joſ. Barnes.*

ANNOTATIONES.

V. 555. Τροφάς] Hanc lectionem præfert *Scholiaſt.* ſed à Poetâ γονάς ſcriptum ait; quod fortè melius.

V. 574. Προὔδωκε, κοὐκ ἔσωσεν] Codex *Duportianus* legit ἔσωσ' ἀκήρατον, &c. ſed MS. legit, ut nos. *Joſua Barnes.*

Τῶν

Τίς δ' οὐ πάρεστι μᾶλλον ἠδικημένη;
Σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν,
Ἀπώλεσάς με· διὰ τὸ γὰρ κείνης θράσος
Πατρὸς στερηθεὶς, ἐγενόμην μητροκτόνος.
Ὁρᾷς Ὀδυσσέως ἄλοχον; οὐ κατέκτανε
Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,
Μένει δ' ἐν οἴκοις ὑγιὲς εὐναστήριον.
Ὁρᾷς δ' Ἀπόλλων', ὃς μεσομφάλους ἕδρας
Ναίων, βροτοῖσι στόμα σαφέστατον νέμει;
Ὧι πειθόμεσθ' ἅπανθ', ὅσ' ἂν κεῖνος λέγῃ,
Τούτῳ πιθόμενος, τὴν τεκοῦσαν ἔκτανον.
Ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον, καὶ κτείνετε.
Ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ. τί χρῆν με δρᾷν;
Ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
Μίασμα λῦσαι; ποῖ τις οὖν ἔτ' ἂν φύγοι,
Εἰ μὴ ὁ κελεύσας ῥύσεταί με μὴ θανεῖν;
Ἀλλ' ὡς μὲν οὐκ εὖ, μὴ λέγ', εἴργασται τάδε,
Ἡμῖν δὲ τοῖς δράσασιν οὐκ εὐδαιμόνως.
" Γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσι βροτῶν,
" Μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,
" Τά τ' ἔνδον εἰσί, τά τε θύραζε δυστυχεῖς.

Χο. " Αἰεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
" Ἔφυσαν ἀνδρῶν, πρὸς τὸ δυστυχέστερον.

Τυ. Ἐπεὶ θρασύνῃ, κοὐχ ὑποστέλλῃ λόγῳ,
Οὕτω δ' ἀμείβῃ μ', ὥς τί μ' ἀλγῆσαι φρένα,
Μᾶλλόν μ' ἀνάψεις ἐπὶ σὸν ἐξελθεῖν φόνον.
Καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων,
Ὧν οὕνεκ' ἦλθον θυγατρὶ κοσμήσων τάφον.
Μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον,

* MS. πειθόμεσθα π.

Cui autem non adeſſent, majori injuriâ affecto?
Tu, ô ſenex, qui genuiſti malam filiam,
Es mihi exitio: nam propter ejus malitiam
Patre orbatus, factus ſum matricida.
Vides Ulyſſis conjugem? non interfecit eam
Telemachus: non enim ſuperinduxit marito maritum,
Sed manet domi impollutum cubile.
Vides Apollinem, qui ſedem mediâ in terrâ
Inhabitans, tribuit hominibus certiſſima oracula,
Cui paremus in omnibus, quæ jubet:
Huic parens interfeci matrem,
Ducite illum pollutum, & interficite:
Ille peccavit: non ego, quid oportebat me facere?
An non ſufficit Deus, ut me conferentem cauſam in eum
Culpâ ſolvendum? quò tandem effugiat aliquis,
Si non autor liberat me, ne interficiar.
Sed non dicas, quòd hæc non ſint rectè facta,
Sed quòd nobis, qui hæc fecimus infeliciter ſunt facta.
" Conjugia quibus mortalium ſunt felicia,
" His eſt beata vita: quibus autem non rectè cadunt,
" Ii ſunt miſeri intùs & foris.
Cho. " Mulieres ſemper impedimento omnibus caſibus
" Sunt viris ad infelicitatem.
Tyn. Quandoquidem es ferocior, & non cedis orationi,
Et ſic reſpondes mihi, ut mihi dolorem adferas:
Magis me incendis pergere ad tuam necem.
Faciam hoc pulchrum additamentum meorum laborum,
Quorum causâ veni ornaturus ſepulchrum filiæ.
Nam veniens ad evocatam multitudinem Argivorum,

ἠμέλησα ἢ περιπλέγμασι; Σύ τοι φυτεύσας] Ὁμηρικὸν τοῦτο, σοὶ πάντες μαχόμεσθα. σὺ γὰρ τέκες ἄφρονα κούρην. ὦ γέρον, σὺ γεννήσας θυγατέρα κακὴν τὴν Κλυταιμνήστραν, ἔφθειρας ἐμέ· διὰ γὰρ τὴν ἐκείνης θρασύτητα πατρὸς ἐγὼ στερηθεὶς, μητρὸς ἐγενόμην φονεύς. βλέπεις τὴν Ὀδυσσέως γυναῖκα Πηνελόπην; οὐ κατέκτανε Τηλέμαχος ὁ υἱὸς αὐτῆς. οὐ γὰρ ἐπεγάμβρευσεν ἀνδρὶ ἄνδρα. μένει δὲ ἐν οἴκοις, ἀμίαντον καὶ σῶφρον τὸ εὐναστήριον. ὁρᾷς τὸν Ἀπόλλωνα ὃς τὰς μεσομφάλους καθέδρας οἰκῶν τοῖς ἀνθρώποις σαφῆ μαντείαν δίδωσι, ᾧ τινι Ἀπόλλωνι πειθόμεθα κατὰ πάνθ' ὅσα ἂν λέγῃ ἐκεῖνος, τούτῳ πειθόμενος ἐγὼ τὴν μητέρα ἐφόνευσα. ἐκεῖνον τὸν Ἀπόλλωνα νομίσατε ἄδικον, καὶ φονεύσατε, ὁ Ἀπόλλων ἔσφαλεν, οὐκ ἐγώ. τί δεῖ με πράττειν; ἢ οὐκ ἔστιν ἱκανὸς καὶ ἄξιος ὁ Ἀπόλλων λῦσαί μοι τὸ μίασμα εἰς ἐκεῖνον ἀναφέροντι. ποῦ τις λοιπὸν φύγοι ποτ' ἄν, εἰ μὴ ὁ κελεύσας θεὸς ῥύσεταί με, ὥστε μὴ ἀποθανεῖν. ἀλλ' ὅτι μὲν οὐ καλῶς εἴργασται ταῦτα, μὴ λέγε, λέγε δ' ὡς οὐκ εὐτυχῶς ἡμῖν τοῖς δεδρακόσι. Ὅσοις δὲ τῶν ἀνθρώπων οἱ γάμοι συμπίπτουσιν, ἀντὶ τοῦ, ἀπαντῶσι καλῶς, ὁ βίος ὑπάρχει μακάριος. οἷς ποτε δὲ μὴ διάκεινται καλῶς, καὶ κατὰ τὰ ἔνδον, καὶ τὰ ἐκτὸς ἀτυχεῖς ὑπάρχουσιν. Οἷς δὲ μὴ πίπτουσιν εὖ] πίπτουσιν εὖ, ἀντὶ τοῦ ἀπαντῶσιν. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κύβων. καὶ Σοφοκλῆς, ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι. 593 Τούτῳ πιθόμενος] διὰ τοῦ ι ἐνταῦθα τὸ πιθόμενος. ὅτι δὲ οὕτω γράφεται παρὰ τοῖς ποιηταῖς, δῆλον καὶ ἀπὸ τούτου,

Ἡ λίθος ἔστ' ἀμέθυσος. ἐγὼ δ' ὁ πότης Διόνυσος.
Ἢ πειθέτω νήφειν, ἢ μαθέτω μεθύειν.

Μακάριος αἰών] τουτέστι δηλονότι μακάριος ὁ αἰών, ἤτοι ὁ βίος. ἀντὶ τοῦ ... ἀπολαύουσι βίου, δι' ὃν μακαρίζονται. ὡς γὰρ μακάριος τέλος λέγεται, οὐ ὁ τυχὼν μακαρίζεται, οὕτω καὶ μακάριος βίος, οὐ ὁ ἀπολαύων μακαρίζεται. τὸ γὰρ ἀπολαῦον ἀγαθοῦ τινος, εἰκότως ἂν μακαρίζοιτο διὰ τὴν ἀπόλαυσιν. μακαρίζεται γάρ τις ἐφ' οἷς ἂν ἔχοι καλοῖς, ἤγουν ἐφ' οἷς ἀπολαύει. τὸ δὲ παρέχον τὴν ἀπόλαυσιν, ἤγουν ἐκεῖνο οὗ ἀπολαύει τις, οὐκ ἔχει λόγον μακαρίζεσθαι. ὥς τε ὅ, τι τοιοῦτό τι λέγεται μακάριον, οὐ δι' ἑαυτὸ οὕτω λέγεται, ἀλλὰ διὰ τὸ ἀπολαῦον αὐτοῦ. 604 Αἰεὶ γυναῖκες] ἀεὶ τὸ γυναικῶν γένος συμφοραῖς καὶ δυστυχίαις ὑποκείμενον, ἐμποδὼν γίνεται τῶν ἀνδρῶν, εἰς δυστυχίαν, τουτέστι τοὺς ἰδίους ἄνδρας ταῖς σφετέραις αὐτῶν κακίαις, εὐτυχίας ἀφιστῶσι, πρὸς δυστυχίαν ἐπάγουσιν· ὃ καὶ Κλυταιμνήστρα πεποίηκεν. Ἄλλως. ἀεὶ φησὶν αἱ γυναῖκες ταῖς ἰδίαις δυστυχίαις ἐμποδίζουσι ταῖς εὐτυχίαις τῶν ἀνδρῶν. Ἄλλως. ἀεὶ αἱ γυναῖκες ἐμποδίζουσι ταῖς ἀγαθαῖς συντυχίαις, καὶ πρὸς τὸ δυστυχεῖν ἄγουσι τοὺς ἄνδρας. Ἄλλως. συμφορὰς νῦν τὰς συντυχίας καλεῖ. πεφύκασι φησὶν αἱ γυναῖκες ἐμποδίζειν τοῖς ἀνδράσι, καὶ ἐν ταῖς πρὸς τούτους συντυχίαις καὶ κοινωνίαις ἄγειν αὐτοὺς πρὸς τὸ δυστυχέστερον. καὶ οὕτως. πεφύκασιν ἐμποδίζειν αἱ γυναῖκες ταῖς παρ' ἑαυτῶν συμφοραῖς τοῖς ἀνδράσιν ἐν τοῖς καλοῖς, καὶ πρὸς τὸ δυστυχέστερον αὐτοὺς ἄγειν. 609 Καλὸν πάρεργον] ποιήσομαι αὐτό, τὸ φονεῦσαι δηλονότι, καὶ οὐ πάρεργον τῶν πόνων ἤγουν ἔργον, ἔξω τοῦ σκοποῦ τῶν πόνων, ὧν ἕνεκ' ἦλθον, λέγω κοσμήσων τὸν τάφον τῆς θυγατρός. Καλὸν πάρεργον] ἀντὶ τοῦ σπουδαῖον. τῶν ἐμῶν πόνων καλὸν ἡγήσομαι πάρεργον· πόνον δὲ λέγει τῶν κατὰ τὸν τάφον θυσιῶν. ὡς ἐν παρέργῳ δὲ, τὸν κατὰ Ὀρέστου λόγον ποιεῖται. καὶ τὸ πάρεργον, ὡς ἔργον φησὶ θήσομαι. Ἄλλως. ἐγὼ μὲν φησὶν ἦλθον τὰ πρὸς τὴν θυσίαν ἐκπονήσων τῇ θυγατρί. νῦν δὲ ὑπὸ

ANNOTATIONES.

V. 589. *Μένει δ' ἐν οἴκοις*, &c.] Rectè Poeta dicit illam domi jam manere, neque *Ulyſſis* adventum memorat; utpote qui benè temporum ratione habitâ ſciret, has *Oreſtæ* res contigiſſe diù antè *Ulyſſis* in Patriam reditum.

V. 596. Ἢ οὐκ ἀξιόχρεως] In hoc verſu Ἢ οὐκ leguntur μονοσυλλάβως. ut *Hom.* Ἢ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ τε ποδοῖιν, Il. ο'. V. 18. Et Ἤλασ', ἢ οὐκ ἐνόησ' ἀχόλω δὲ μέγα θυμόν, Il. ι'. V. 533. Sic apud noſtrum Poetam *Phœniſſ.* V. 1183. τὸ μὴ legitur cùm οὐ, ut. Τὸ μὴ οὐ καὶ ἄκοντα ... πόλιν. Et *Hippolyt.* V. 49. Τὸ μὴ οὐ ... τοὺς ἐμοὺς ἐχθροὺς ἐμοί. Et *Andromach.* V. 241. Καλῶς γε χρωμένοισιν· εἰ δὲ μὴ, οὐ καλά. Et ibid. V. 253. Ἐι μὴ θανοῦμαί γ', εἰ δὲ μὴ, οὐ λείψω ποτέ. Et ibid. V. 656. Οὕτως ἰδοῦσα, μὴ οὐ κακὸν ... ἔχω. *Ibid.* ... Vid. ſupra V. 76. & V. 414.

V. 605. Δυστυχέστερον] MS. δυστυχέστατον.

V. 611. Μολὼν γὰρ ——ἑκοῦσαν οὐχ ἑκοῦσαν] Tales Pleonaſmos Poetæ paſſim uſurpant, ut *Hom.* Ἕκηλος, ἐμοί μοι καὶ ἀέκοντι ... Et Iliad. ζ'. V. 70. —— ... Ità *Sophocl.* ——, ... Item *Oedip. Tyr.* V. 1284. —— πολλάκις τι ... Item in *Ajace*, τί ... ἄγγελον ... Ità iterum *Euripid.* Troad. V. 446. Ἢ κακὸς κακῶς ... Ità *Plato* Epiſt. 7. ... Quin ità D. *Johannes* c. 1. V. 20. καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο. De quâ re videtis *Danielis Heinſii* Exercit. ſacr. l. 4. c. 1. in locum. Item *Sebaſtian Pfochenii* Diatr. de Græc. Linguæ N. T. Puritate p. 24. §. 48. 18. *Joſua Barnes.*

Ἑκοῦσαν,

Ἐκθύσω, οὐκ ἄκουσαν ἐπισείσω πόλιν,
Σοί, σῇ τ' ἀδελφῇ λεύσιμον δοῦναι δίκην.
Μᾶλλον δ' ἐκείνη σοῦ θανεῖν ἐστ' ἀξία,
Ἣ τῇ τεκούσῃ σ' ἠγρίωσ', εἰς οὖς ἀεὶ
Πέμπουσα μύθους ἐπὶ τὸ δυσμενέστερον,
Ὀνείρατ' ἀγγέλλουσα τἀγαμέμνονος,
Καὶ τοῦθ', ὃ μισήσειαν Αἰγίσθου λέχος
Οἱ νέρτεροι θεοί· καὶ γὰρ ἐνθάδ' ἦν πικρόν,
Ἕως ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.
Μενέλαε, σοὶ δὲ τάδε λέγω, δράσω τε πρός.
Εἰ τοὐμὸν ἔχθος ἐναριθμεῖ, κῆδός τ' ἐμόν,
Μὴ τῷδ' ἀμύνειν φόνον, ἐναντίον θεοῖς.
Ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις·
Ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
Τοσαῦτ' ἀκούσας ἴσθι· μηδὲ δυσσεβεῖς
Ἕλῃ, παρώσας εὐσεβεστέρους φίλους.
Ἡμᾶς δ' ἀπ' οἴκων ἄγετε τῶνδε, πρόσπολοι.
Ορε. Στεῖχ', ὡς ἀθορύβως οὑπιὼν ἡμῖν λόγος
Πρὸς τόνδ' ἵκηται, γῆρας ἀποφυγὼν τὸ σόν.
Μενέλαε, ποῖ σὸν πόδ' ἐπὶ συννοίᾳ κυκλεῖς,
Διπλῆς μερίμνης διπτύχους ἰὼν ὁδούς;
Με. Ἔασόν, ἐν ἐμαυτῷ τι συννοούμενος,
Ὅπῃ *τράπωμαι τῆς τύχης, ἀμηχανῶ. * MS. ἔτι
Ορε. Μὴ νῦν πέραινε τὴν δόκησιν· ἀλλ' ἐμοὺς
Λόγους ἀκούσας πρόσθε, βουλεύου τότε.
Με. “ Λέγ'· εὖ γὰρ εἶπας. ἔστι δ' οὗ σιγὴ λόγου
“ Κρείσσων γένοιτ' ἄν· ἔστι δ' οὗ σιγῆς λόγος.
Ορε. “ Λέγοιμ' ἂν ἤδη. Τὰ μακρὰ τῶν σμικρῶν λόγων
“ Ἐπίπροσθέν ἐστι, καὶ σαφῆ μᾶλλον κλύειν.

Commovebo urbem volentem, nec invitam,
In te & tuam ſororem, ut detis lapidatu pœnam.
Et illa magis eſt digna ut interficiatur quàm tu,
Quæ irritavit te adverſus matrem, ſemper in aurem
Mittens ſermones hoſtiles,
Nuncians ſomnia de Agamemnone:
Et hoc, quòd oderint concubitum Ægiſthi
Dii inferi: (etenim & hic erat acerbum toleratu:)
Donec incendit domum igne non Vulcanio.
Menelae, tibi hoc dico, & præterea faciam etiam:
Si curas meam inimicitiam & affinitatem,
Non depellas iſti necem contra deos:
Sed ſine à civibus interfici ſaxis,
Aut non venias ampliùs in Spartanam terram.
Hæc memineris te audiviſſe: neque impios
Elige amicos, pellens pios.
Vos miniſtri, ducite me ab iſtâ domo.
Ore. Vade, ut ſequens oratio ſine interpellatore nobis
Ad hunc eat, ſenectutem effugiens tuam.
Menelae, quò moves pedem, in cogitatione
Ingrediens vias duplices duabus curis?
Me. Sine: mecum cogitans nonnihil,
Ad quam fortunam vertar, dubito.
Ore. Ne nunc perficias cogitationem, ſed meam
Orationem audiens priùs, tunc delibera.
Me. “ Dic, rectè enim dixiſti. Eſt ubi ſilentium orationi
“ Præſtat, eſt & ubi oratio ſilentio.
Ore. “ Dicam ergò. Longa oratio breviori
“ Eſt potior, & magis plana auditu.

οὖ παροξυνθεὶς, διὰ σπουδῆς καὶ τοῦτο θήσομαι τὸ ἔργον, τὸ σὲ φονευθῆναι. καὶ παροξυνόμενος εἰς τὴν ἐκκλησίαν ἤδη παροξυνῶ πάντας κατὰ σοῦ, καὶ μὴ βουλομένους. πάρεργον δὲ εἶπεν, ἐπεὶ οὐ τοῦτο ἦν αὐτῷ τὸ προκείμενον. Σῇ τ' ἀδελφῇ] κατὰ σοῦ καὶ τῆς ἀδελφῆς ὥς τε δοῦναι ὑμᾶς δίκην διὰ λίθων. μᾶλλον γὰρ σοῦ ἐκείνη, ἤγουν ἡ ἀδελφή σου ἐστὶν ἀξία θανεῖν. ⁶¹⁵ Εἰς οὖς ἀεὶ πέμπουσα μύθους εἰς τὸ οὖς] ἤγουν ψιθύρους λόγους πέμπουσα ἐπὶ τὸ δυσμενέστερον, ἤγουν ἐχθροδέστερον βλέπεσθαι δηλονότι. Καὶ τοῦθ' ὃ] τὴν μοιχείαν λέγει· τοῦτο κοινοῦ δὲ ἀπαγγέλλουσα, ἵν' ἡ καὶ τὸ Αἰγίσθου λέχος ἀπαγγέλλουσα. Ὃ μισήσειαν] ἐπεὶ περὶ τεθνεώτων εἶπε, διὰ τοῦτο εἶπεν, οἱ νέρτεροι θεοὶ μισήσειαν. Καὶ γὰρ ἐνθάδ' ἦν] καὶ γὰρ ἐνταῦθα τοῦ ἔργου πικρὸν ἦν τὸ πραττόμενον ὑπὸ ταύτης, τουτέστι κατ' αὐτὸ γὰρ τοῦτο μάλιστα πικρότατον ἦν αὐτῇ συνεχῶς τὸ λέχος, καὶ τὴν μοιχείαν ὀνομάζουσα, καὶ τοῦτον παροξύνουσα τὸν ἀδελφόν. ἢ οὕτως. καὶ γὰρ καὶ αὐτὸ τοῦτο πικρὸν ἦν τὸ πρᾶγμα, ὅτι συνεχῶς ἦν. ἢ τὸ ἐνθάδε, ἀντὶ τοῦ κατὰ τὸν ἐν τῷ ζῆν βίον· διὰ αὐτὴ συνεχῶς ὀνομάζουσα τὸ ἀνόσιον λέχος, καὶ τὴν μοιχείαν Αἰγίσθου, ἵν' ὡς καὶ τοὺς χθονίους μισεῖσθαι θεούς, καὶ τὰς τῶν κατοιχομένων ψυχάς. καὶ γὰρ τοῖς ζῶσι πικρὸν ἡ μοιχεία. ⁶²⁰ Ἕως ὑφῆψε] ἐπεὶ μεταφορᾷ χρώμενος εἶπεν ἀνῆψε δῶμα, οἷον ἀπώλεσεν, ἐπήγαγεν ἀνηφαίστῳ πυρί, δηλονότι ἄνευ πυρὸς διέφθειρε τὸν οἶκον. Ἀνηφαίστῳ] τῷ ὕλην μὴ ἔχοντι. πυρὶ εἰπὼν, ἐπάγει τῷ ἀνηφαίστῳ, ἵνα δηλονότι δηλώσῃ, ὅτι οὐ τοῦτο λέγει τὸ πῦρ, τὸ τὰ ξύλα καὶ τὴν ὕλην ἀναλίσκον, ἀλλ' ἕτερον μέν τι, ὁμοίως δὲ τούτῳ ἀναλωτικὸν καὶ διαφθαρτικόν. Ἄλλως. Ἐπεὶ τὸ ὑφῆψεν εἶπεν ἀντὶ τοῦ ἀπώλεσεν, εἰκότως καὶ τὸ δίχα πυρὸς προσέθηκεν. Ἐναριθμῇ δὲ ἀντὶ τοῦ φροντίζῃ, καὶ ἐν φροντίδι ἔχεις. τῶν εἰ ὑπολογίζεις τὸ πρὸς ἐμὲ μῖσος, καὶ τὴν ἐμὴν συγγένειαν καὶ φιλίαν, ὅρα μὴ θελήσῃς ἀμύνειν ἢ βοηθεῖν τῷδε, εἰς φόνον, ἐναντίον ἤτοι μισητὸν τοῖς θεοῖς. ἔα δὲ καταφονευθῆναι ὑπὸ τῶν πολιτῶν, διὰ τῶν πετρῶν. εἰ δὲ μὴ, μὴ ἐπιβαίνῃς τῆς Σπαρτιάτιδος γῆς. ⁶²⁵ Ἢ μὴ ἐπίβαινε] Λακεδαίμονος πρῶτος ἦρξε Λέλεξ, ἀφ' οὗ καὶ Λέλεγες ὠνομάζοντο. ἔσχε δὲ παῖδας ἐκ Περιδίας, Μύλην, Πολυκάωνα, Βωμολόχον, Θεράπνην. τούτων ὁ Μύλης ἐκ Τηλεδίκης, ἴσχει Εὐρώταν, καὶ Κλεοδίαν. Εὐρώτας δὲ ἄρξας μετὰ τὸν κατακλυσμὸν λιμνάζομενον ἐργασάμενος, καὶ ποταμὸν ποιήσας, Εὐρώταν ὠνόμασεν. οὗτος ἐκ Κλήτης ἴσχει θυγατέρα Σπάρτην. ἣν ἀγαγόμενος Λακεδαίμων ὁ πάντας ἄρξας, τοὺς μὲν Λέλεγας Λακεδαιμονίους, τὸ δὲ ὄρος Ταΰγετον, καὶ τὴν πόλιν ἣν ἔκτισε Σπάρτην ὠνόμασε. Μὴ τῷδ' ἀμύνειν] μὴ λάβῃς εἰς τὸ ἀμύνειν ἔξωθεν θέλε, ὥς τινες. ἀλλ' ἔστι σαφὲς τὸ σοὶ δ' ἐγὼ τάδε λέγω. Στεῖχ' ὡς ἀθορύβως] προβαῖνε ὅπως ὁ μέλλων, ὁ περιελθὼν μοι λόγος, τοῦ σοῦ γήρως ὑπείκοντος, ἀθορύβως πρὸς τὸν Μενέλαον ἥκηται. Στεῖχε] ἀπέρχου, ἵνα ὁ ἐπελθὼν ἡμῖν λόγος ἀφίκηται πρὸς τόνδε τὸν Μενέλαον δηλονότι, ἀνενοχλήτως ἀποφυγὼν τὸ σὸν γῆρας, ἤτοι τὴν σὴν ὀργὴν καὶ ἀγανάκτησιν. ⁶³¹ Μενέλαε ποῖ σὸν] ποῖ κυκλοῖς, ἤγουν στρέφεις τὸν πόδα ἐπὶ συννοίᾳ ὢν δηλονότι, ἤγουν ἐν φροντίδι καὶ σκέψει τῇ μετὰ σεαυτοῦ, διπλᾶς ὁδοὺς ἐρχόμενος διπλῆς φροντίδος, τουτέστι διπλοῦν λογισμὸν φροντίδος ἔχων. Μενέλαε ποῖ] ὡς τῷ ποδὶ τὸ ἦθος προγράφοντος αὐτοῦ, ἢ διστακτικῶς ἔχοντος, καὶ ἀνελογιζομένου εἰ δέοι, ταῦτα ποιεῖν, ὅπερ ποιοῦσιν οἱ ἀμηχανοῦντες ἐν πράγμασι. Ἀμηχανῶ] ποῖ τῆς τύχης τράπωμαι, τουτέστιν ἀπορῶ, τίνι μᾶλλον βοηθήσω, σοὶ ἢ Τυνδάρεῳ. ὁ μὲν γὰρ οὐκ ἐᾷ με σοὶ προσθέσθαι δεινὰ ἐπαπειλούμενος. σὺ δὲ ἀδελφιδοῦς ὢν ἐμοὶ, ἀναγκαῖος δίκαιος εἶναι τῆς παρ' ἐμοῦ τυχεῖν βοηθείας. Ἄλλως. Ἀμηχανῶ εἰς ὁποίαν τύχην τράπωμαι. τύχην ἐνταῦθα προσδοκωμένην λέγει, τουτέστιν ἀμηχανῶ πότερον μεῖζον τῶν προσδοκωμένων συμβήσεσθαι προτιμήσω. Ἄλλως. Πῆ τῆς τύχης τράπωμαι, πότερον σοὶ συνέλθω, ἢ Τυνδάρεῳ, τοῦτο γὰρ δηλῶσαι ἐβούλετο. ⁶³⁵ Μὴ νῦν πέραινε] μὴ τὸ δοκοῦν σοι εἰς πέρας ἄγε, πρὶν ἀκούσῃς τοὺς ἐμοὺς λόγους. ἐπεὶ γὰρ ἐν διασμῷ ἦν ἀμηχανῶν διὰ τὴν τύχην ὅπως τράπηται, παραινεῖ αὐτῷ μήπω τῇ δοκήσει πέρας ἐπιθεῖναι, πρὶν ἀκοῦσαι τοὺς αὐτοῦ λόγους, καὶ οὕτω βουλεύσασθαι. Ἔστι δ' οὗ σιγή] ἔστι πρᾶξις, ὅπου ἡ σιγὴ κρείσσων τοῦ λόγου, καὶ ἔστιν ὅπου ὁ λόγος τῆς σιγῆς κρείσσων. Τὰ μακρὰ] ἐναντιοῦται τῇ Μενελάου βραχυλογίᾳ, τὴν μακρολογίαν προκρίνων. οἱ γὰρ Λάκωνες βραχυλόγοι. καὶ Ὅμηρος, παῦρα μὲν ἀλλὰ μάλα λιγέως. ὁ δὲ νοῦς, ἡ μακρὰ διήγησις, καὶ τὸ διὰ πλειόνων ποιεῖσθαι τὴν ἀφήγησιν, σαφέστερον παρίστησι τὸ πρᾶγμα τῶν συντόμων λόγων. ἀνάσχου οὖν τῆς ἐμῆς μακρολογίας, ἐπεὶ σαφεστέρα ἐστί. τὸ δὲ ἐπίπροσθεν, ἀντὶ τοῦ προτιμότερα ἐστι τὰ μακρὰ διηγήματα, τῶν συντόμων λόγων. ἔνιοι δὲ ἀθετοῦσι τοῦτον καὶ τὸν ἑξῆς στίχον. οὐκ ἔχουσι γὰρ τὸν Εὐριπίδειον χαρακτῆρα. καὶ πέπτωκεν ὁ νοῦς διὰ τὸν Μενέλαον. οἱ γὰρ

ANNOTATIONES.

V. 613. Ἐκθύσω, οὐκ ἄκουσαν] *Canterus* legit οὐχ ἑκοῦσαν, & ita exhorta[illegible]: ſed non neceſſe eſt, ut id fiat. *Tyndarus* enim ait ſe excitaturum urbem, non ut dicamus, volentem, nolentem, ſed volentem, & nullo modo invitam, ſed promptam, &c.

V. 624. Ἔα δ' ὑπ' ἀστῶν, &c.] Hunc eundem στίχον habes ſupra ad V. 535.

Ἐμοὶ

Ἐμοὶ σὺ τῶν σῶν, Μενέλεως, μηδὲν δίδου.
Ἃ δ' ἔλαβες, ἀπόδος, πατρὸς ἐμοῦ λαβὼν πάρα.
Οὐ χρήματ' εἶπον, χρήματ', ἢν ψυχὴν ἐμὴν
Σώσῃς, ἅπερ μοι φίλτατ' ἐστὶ τῶν ἐμῶν.
Ἀδικῶ; λαβεῖν χρή μ' ἀντὶ τοῦδε τοῦ κακοῦ
Ἄδικόν τι παρὰ σοῦ. καὶ γὰρ Ἀγαμέμνων πατὴρ
Ἀδίκως ἀθροίσας Ἑλλάδ', ἦλθ' εἰς Ἴλιον,
Οὐκ ἐξαμαρτὼν αὐτὸς, ἀλλ' ἁμαρτίαν
Τῆς σῆς γυναικὸς, ἀδικίαν τ' ἰώμενος.
Ἓν μὲν τόδ' ἡμῖν ἀνθ' ἑνὸς δοῦναί σε χρή.
" Ἀπέδοτο δ', ὡς χρὴ τοῖς φίλοισι τοὺς φίλους,
Τὸ σῶμ' ἀληθῶς σοι, παρ' ἀσπίδ' ἐκπονῶν,
Ὅπως σὺ τὴν σὴν * ἀπολάβῃς ξυνάορον. * M.S. λάβοις.
Ἀπότισον οὖν μοι ταὐτὸ, τοῦτ' ἐκεῖ λαβών,
Μίαν πονήσας ἡμέραν ἡμῶν ὕπερ
Σωτήριος στὰς, μὴ δέκ' ἐκπλήσας ἔτη.
Ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,
Ἐῶ σ' ἔχειν ταῦθ'· Ἑρμιόνην μὴ κτεῖνε σύ·
Δεῖ γάρ σ', ἐμοῦ πράσσοντος, ὡς πράσσω τὰ νῦν,
Πλέον φέρεσθαι, κἀμὲ συγγνώμην ἔχειν.
Ψυχὴν δ' ἐμὴν δὸς τῷ ταλαιπώρῳ πατρὶ,
Κἀμῆς ἀδελφῆς, παρθένου μακρὸν χρόνον·
Θανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός.
Ἐρεῖς, ἀδύνατον αὐτὸ τοῦτο. " Τοὺς φίλους
" Ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν.

Mihi tu, Menelae, tuarum rerum nihil dederis:
Sed quæ accepiſti redde, cùm acceperis à meo patre.
Non loquor de pecuniâ, ſed te (ſi vitam meam
Servabis) quæ eſt mihi inter meas chariſſima.
Injuſtè ago: Decet certè me accipere aliquid contra hanc calamitatem
Injuſtum à Te: Etenim Agamemnon pater
Injuſtè congregans Græciam, venit ad Ilion,
Ipſe non peccans, ſed peccatum
Uxoris tuæ & injuſtitiam reſarciens,
Unum hoc oportet te mihi dare pro uno:
" Et expoſuit, ut convenit amicos amicis,
Corpus reverà pro te, in acie laborans,
Ut tuam tu reciperes conjugem.
Redde mihi hoc, cùm illud acceperis,
Laborans uno die pro nobis
Stans, ut ſis ſervator, non implens decem annos.
Aulis autem quam accepit victimam meæ ſororis,
Sino te hanc habere; *Hermionem* tu *ne viciſſim* occide.
Oportet te enim me, cùm ſim ità calamitoſus,
Plus habere, & me ignoſcere:
Sed meam vitam da miſero patri,
Et meæ ſororis, quæ eſt Virgo longo *jam* tempore:
Nam mortuus relinquam orbam domum patris.
Dices, impoſſibile eſt hoc ipſum. " Amicos
" Oportet opem ferre amicis in adverſis.

λέλεκτις βραχύλογον. Τὰ μακρὰ] τὰ μὲν γὰρ, κατὰ λεπτὸν διασαφοῦσι τὴν ὑπόθεσιν: τὰ δ' ὡς οἷόν τε αὐτὴν εἰς ὀλίγον συνάγουσι, καὶ διὰ τοῦτο ἀσάφειαν ἔχουσιν. Ἄλλως. τί ἐστι πολὺ ἐμπίπλαμαι τῶν λόγων, προτιμότερά ἐστι τῶν σμικρῶν, ἀντὶ τοῦ τῶν βραχέων. ἤγουν τῶν ἐπ' ὀλίγον ἐκτεταμένων. Ἃ δ' ἔλαβες ἀπόδος] τοῦτο ῥηθὲν αἴρουσιν αἱ ὑπόκειται τὴν χεῖρα, ὥστε τῷ Μενελάῳ ἀγωνιῶντι, μή ποτε λέγει ὅτι παρακαταθήκην ἀργυρίου παρὰ τοῦ πατρὸς πεπίστευται. εὐήθης δέ ἐστιν ὁ τοιαύτης ὑποψίας ἀντιλαμβανόμενος Μενέλαος. εἰ γὰρ μήτε τὸν λέγοντα ᾔδει, μήτε οὗ ἐστι χρεία, ἴσως ἂν εἶχέ τι πιθανὸν τὸ νομιζόμενον. ἐπεὶ δὲ ἐπίσταται, περιττὸν καὶ ἄπορον τὸ νομιζόμενον. 643 Οὐ χρήματ' εἶπον] οὐ λέγω φησὶ χρήματα, χρυσὸν καὶ ἄργυρον, ἀλλὰ τοῦ ὅτι χρήματα εἶπον τὴν ἐμαυτοῦ ψυχὴν, ἥ τις ἐστί μοι χρῆμα τιμιώτατον. ἣν ἐὰν σώσῃς, καλὴν ἀμοιβὴν μοι δίδως. Ἅπερ μοι] δέον εἰπεῖν ἣ ὥσπερ πρὸς τὴν ψυχὴν, ἅπερ εἶπε πρὸς τὰ χρήματα. Ἀττικὸν, ἀντὶ τοῦ ὅπερ φίλτατόν ἐστι τῶν ἐμῶν. Ἀδικῶ, λαβεῖν] εἰ καὶ ἄδικον ἐποίησα φονεύσας τὴν μητέρα, ἀλλὰ σύ ἐν τοιούτῳ μοι κακῷ ὄντι παρασχεῖν μοι ὀφείλεις, καὶ ὅσον δύναμις ὑπὲρ ἐμοῦ ἀγωνίσασθαι. ἐν τούτῳ γὰρ μάλιστα δειχθήσῃ γνήσιος φίλος, ἐπεὶ ὁμολογουμένως κακοῖς μοι συνεχόμενος. εἰ γὰρ τὰ δίκαιά μου παντελῶς ἔρρωτο, τῆς παρ' ἑτέρων ἐπικουρίας οὐκ ἐδεόμην. ἐν ἤθει δὲ ἀναγνωστέον, ἀδικῶ, καὶ δεῖ στίζειν. εἶτα ἀπὸ ἄλλης ἀρχῆς; λαβεῖν χρή με ἀντὶ τοῦ κακοῦ, ἤγουν ἀντὶ τῆς περιεχούσης με δυστυχίας ἄδικόν τι αἰτῶ. καὶ γὰρ Ἀγαμέμνων ἄναξ ἀδίκως, καὶ τὰ ἑξῆς. Τὸ δὲ ἀντὶ τοῦδε τοῦ κακοῦ, ἀντὶ τῆς περὶ τὸν πατέρα βοηθείας. καὶ οὐδὲ εἶπε καθ' ὑπόθεσιν ἀδικῶ, κατὰ συλλογισμόν φησιν. ἀλλὰ λέγει, ὅτι ἀδικῶ εἰς ἄδικον ἐπικουρίαν σε παραβαλών. οὐκοῦν καὶ σὺ ἀδίκησον περὶ ἐμοῦ, ὡς καὶ ὁ πατήρ μου διὰ σὲ ἠδίκησε τοὺς βαρβάρους. δεῖ γάρ με ἀντὶ τῆς ἀδικίας ἐκείνης, ἄδικόν τι λαβεῖν παρὰ σοῦ, ὅ ἐστιν, εἰ κρίνεις κακὸν εἶναι τὴν ἐμὴν ἐπικουρίαν, δικαίως ἂν καὶ τὴν ἐπικουρίαν τοῦ ἐμοῦ πατρὸς κακὸν ὀνομάσειας. ἀλλ' οὐκ ἠδίκησεν ὁ πατὴρ ἐν καιρῷ σοι βοηθήσας. οὐκοῦν οὐδὲ σὺ ἀδικήσεις. 645 Ἀντὶ τοῦδε τοῦ κακοῦ] ἤγουν ἕνεκα ταύτης τῆς δυστυχίας βοηθοῦν μοι κινδυνεύοντι. ἄδικον δὲ εἶπεν, ἐπειδὴ οἱ τοῖς ἀδικοῦσι βοηθοῦντες, ἄδικόν τι ποιοῦσιν. Ἀδικίας τ' ἰώμενος] καθὸ ἠδικήθης παρὰ Ἀλεξάνδρου. Ἀπέδοτο δ' ὡς χρὴ] ἀντὶ τοῦ ἔκδοτον τὸ σῶμα τοῖς πολεμίοις παρέσχεν, ὡς πρέπει τοῖς γνησίοις φίλοις, καὶ κατεπράχθη ὅσον ἐφ' ἑαυτὸν διὰ τὴν σὴν γυναῖκα, οἷα χρὴ τοὺς φίλους τοὺς φίλους ἐκπονεῖν. τοῦτο γὰρ ἀπὸ κοινοῦ ληπτέον. Ἄλλως. ἀπέδωκε τὸ σῶμα ἕνεκα σοῦ, ἐκπονῶν παρὰ τὸν πόλεμον ἀληθῶς, ὡς χρὴ τοὺς φίλους ἐκπονεῖν δηλονότι ἕνεκα τῶν φίλων. 654 Ἀπότισον οὖν μοι] ὁ πᾶς λόγος, ἀπόδος μοι τὴν ἴσην χάριν, ἧς ἔλαβες ἐν Ἰλίῳ παρὰ τοῦ πατρὸς, καὶ μόνην ἡμέραν ὑπὲρ ἐμοῦ πόνησον, μὴ δὲ τὴν θυγατέρα φονεύσῃς. ἐπειδὴ δεῖ σε ὥσπερ πλεονεκτεῖς μου τῆς εὐδαιμονίας, πλεονεκτεῖν καὶ ἐν τῇ ἀμοιβῇ τῆς εὐεργεσίας. Ἃ δ' Αὐλὶς] τὴν σφαγὴν τῆς ἐμῆς ἀδελφῆς, ἣν ἔλαβεν ἡ Αὐλὶς, ἐῶ σ' ἔχειν ταύτην. Σφάγια] τὰ σφαζόμενα, καὶ ἡ σφαγή. ὡς ἐνταῦθα, Ἃ δ' Αὐλίς. ἐν Αὐλίδι πόλει Βοιωτίας θηρεύων Ἀγαμέμνων, ἔβαλλε τόξοις ἔλαφον καιρίαν πληγήν. καυχησάμενος δὲ ἐπὶ τῇ ἐπιτυχίᾳ, καὶ εἰπὼν ὡς οὐδ' ἂν αὐτὴ ἡ Ἄρτεμις οὕτως ἔβαλεν. ἐπειδὴ τῆς θεοῦ ὀργιζομένης, καὶ κατεχούσης τοὺς ἀνέμους ὡς μὴ δύνασθαι αὐτοὺς εἰς Ἴλιον στέλλεσθαι. πέμψας οὖν Ἀγαμέμνων εἰς Δελφοὺς, καὶ μαθὼν παρὰ τοῦ χρησμοῦ, ὡς εἰ βούλοιτο ἐξιλεώσασθαι Ἄρτεμιν θυσάτω τὴν αὐτοῦ θυγατέρα Ἰφιγένειαν, τὴν καὶ Ἰφιάνασσαν καλουμένην, πλασάμενος πρὸς τὴν γυναῖκα Κλυταιμνήστραν, ὡς Ἀχιλλεῖ ταύτην συνάψειεν. ἐπεὶ δὲ θύειν αὐτὴν ἤρχετο, ἁρπάσασα αὐτὴν ἡ θεὸς καὶ ἀντ' αὐτῆς ἔλαφον εἰς θυσίαν δοῦσα, ἀπάγει τὴν κόρην ἐν τοῖς Ὑπερβορέοις πρὸς τὸν ἐκεῖσε αὐτῆς νεών· διότι θύειν αὐτὴν ἠβουλήθησαν. ὁπότε δὲ θεάσαιτό τινα αὐτῶν ἐκεῖσε ἰόντα ἀπέκτεινεν. ὕστερον δὲ ὑπὸ Ὀρέστου κεκλοφότος ἐπανῆκεν εἰς Ἄργος. Ἄλλως. Αὐλὶς πόλις Βοιωτίας, ἐνταῦθα ἐπεσχέθησαν οἱ στρατευσάμενοι εἰς Ἴλιον Ἕλληνες, ὑ πνέοντος ἀνέμου διὰ τὰς καυχήσεις, Ἀγαμέμνονος τοξεύσαντος τὴν ἔλαφον, καὶ εἰπόντος μηδ' ἂν τὴν Ἄρτεμιν οὕτω βαλεῖν. νῦν δὲ περὶ Ἰφιγενείας λέγει, ἣν ἔχρησεν ὁ θεὸς ἀπλοίας ἐπισχούσης τοὺς Ἕλληνας Ἀρτέμιδι θῦσαι. Ἄλλως. ἐκ αὐτοῦ [illegible] φησὶ τὴν σὴν θυγατέρα τὴν Ἑρμιόνην ἀντ' ἐμοῦ δοῦναι πρὸς σφαγὴν, ὥσπερ ὁ ἐμὸς πατὴρ τὴν Ἰφιγένειαν, ἵνα σὺ τὴν γαμετὴν ἀπολάβῃς. ἀλλὰ σὺ μὲν ἔχε τοῦτο πλέον, καὶ κέρδαινε παρὰ τοῦ δαίμονος. ἐπεὶ σοὶ μὲν εὐτυχίας, ἐμοὶ δὲ δυστυχίας καιρός. ἐγὼ δέ σοι χάριν ἕξω σώσαντί με μόνον, κἂν μὴ τὸν αὐτὸν τρόπον σώζῃς ἡμᾶς ἀντ' ἐμοῦ δοὺς τὴν Ἑρμιόνην, ἢ συναπτέον τοῦτο πρὸς τὸ ἀπότισόν μοι. καὶ ἔστιν ὁ λόγος οὕτως, ἀπόδος τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν Ἰλίῳ παρὰ τοῦ πατρὸς, καὶ μίαν ἡμέραν μόνον ὑπὲρ ἐμοῦ πόνησον. προσήκει γάρ σε ἐμοῦ δυστυχοῦντος πάντα μηχανᾶσθαί τι πρὸς τὸ ἐμὲ σῶσαι. ἐμὲ δὲ χάριν σοι ὁμολογεῖν, ἵνα τὸ μεταξὺ, κατ' ἐπίδοσιν φέρηται, τουτέστι πλέον ἢ ἐγὼ δύναμαι. ὁ γὰρ εὖ πράσσων τοῦ μὴ πράσσοντος πλέον δύναται λογίσασθαι τὰ πρὸς σωτηρίαν. 664 Ἐρεῖς ἀδύνατον] λύσις τοῦ ἀντιπίπτοντος, ἀλλ' εἴποις φησὶν ὅτι ἀδύνατον βοηθῆσαι, εἴτε ἔξωθεν προσληπτέον, καθὸ μέγα ἐστὶ καὶ ἀσύγγνωστον τὸ ἁμάρτημα, ὅπερ ἀπειργάσατο Ὀρέστης. ἀλλὰ κατὰ τοῦτό φησι, καθὸ ἀδύνατον εἶναι δοκεῖ βοήθησον. ὁ γὰρ γνήσιος φίλος ἐν τοῖς μεγίστοις κακοῖς δείκνυται. Ἄλλως. ἀλλὰ λέγεις φησὶν, ὅτι ἀδύνατόν ἐστι τὸ βοηθῆσαί μοι, ἐγὼ δέ σοι ἀντείποιμι ἂν, ὡς μάλιστά μοι διὰ τοῦτο συμβάλλεσθαι ὀφείλεις, εἰδὼς ὅτι ἐν τοῖς ἀδυνάτοις δεῖ τῶν φίλων. Αὐτὸ τοῦτο] λείπει ἡ κατὰ, ἵνα ᾖ κατ' αὐτὸ τοῦτο, ὅ ἐστι τὸ ἀδύνατον.

" Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων;
" Ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς, ὠφελεῖν θέλων.
Φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς·
Κοὐχ ὑποτρέχων σε τοῦτο θωπείᾳ λέγω·
Ταύτης ἱκνοῦμαί σ'. ὢ μέλεος ἐμῶν κακῶν,
Εἰς οἷον ἥκω; τί δὲ ταλαιπωρεῖν με δεῖ;
Ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.
Ὦ πατρὸς ὅμαιμε, θεῖε, τὸν κατὰ χθονὸς
Θανόντ' ἀκούειν τάδε δόκει, ποτωμένην
Ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἃ 'γὼ λέγω.
Ταῦτ' εἴς τε δάκρυα, καὶ γόους, καὶ συμφορὰς
Εἴρηκα, κἀπήτηκα τὴν σωτηρίαν
Θηρῶν, ὃ πάντες, κοὐκ ἐγὼ ζητῶ μόνος.
Χο. Κἀγώ σ' ἱκνοῦμαι καὶ γυνὴ περ οὖσ' ὅμως,
Τοῖς δεομένοισιν ὠφελεῖν· οἷός τε δ' εἶ.
Με. Ὀρέστ', ἐγώ τοι σὸν καταιδοῦμαι κάρα,
Καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι,
" Καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
" Συνεκκομίζειν, δύναμιν ἢν διδῷ θεὸς,
" Θνήσκοντα καὶ κλείνοντα τοὺς ἐναντίους.
" Τὸ δ' αὖ δύνασθαι, πρὸς θεῶν χρήζω τυχεῖν.
Ἥκω γὰρ ἀνδρῶν συμμάχων κενὸν δόρυ
Ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
Σμικρᾷ σὺν ἀλκῇ τῶν λελειμμένων φίλων·
Μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα

" Quando autem res ſunt ſecundæ, quid opus eſt amicis?
" Satis enim eſt ipſe Deus volens juvare.
Videris omnibus Græcis amare conjugem,
(Non dico autem ſimulatione infirmans me,)
Per hanc ſupplico tibi. O miſer propter mea mala
Ad quæ venio? quid oportet me laborare?
Supplico enim nunc pro totâ domo.
O patrue patris frater, ſub terrâ
Mortuum audire hæc putes, volantem
Animam ſuper te, & dicere quæ ego dico.
Hæc inter lacrymas & luctum & calamitates
Dixi, & repoſco ſalutem
Quærens: quod omnes quærunt, & non ego ſolus.
Ch. Et ego tibi ſupplico, quanquam mulier ſim,
Ut juves auxilio egentes: nam potes.
Me. Oreſtes, ego revereor tuum caput,
Et volo te juvare in malis iſtis,
" Et enim oportet me ſic cognatorum mala
" Simul ferre, ſi Deus det vires,
" Etiamſi ſit moriendum, & interficiendi adverſarii:
" Ut poſſim autem, id peto conſequi à diis.
Venio enim haſtam vacuam viris ſociis
Habens, errans à multis laboribus,
Cum exiguis copiis reliquorum adhuc amicorum.
Pugnando autem non poſſumus ſuperare

Τί χρὴ φίλων] κατὰ τί ἐστι χρεία τῶν φίλων, ἀντὶ τοῦ οὐδὲν ἐστὶ χρεία τῶν φίλων. Φιλεῖν δάμαρτα] ἀγαπᾶν τὴν γυναῖκα ὑπὸ πάντων τῶν Ἑλλήνων νομίζῃ. καὶ οὐ λέγω τοῦτο ἀπατῶν σε τῇ κολακείᾳ, ἤγουν κολακεύων σε, οὐ κολακείᾳ, ἀλλ' ἀληθείᾳ λέγω. λείπει δὲ τὸ πρὸς ταύτης σε ὁρκῶ. τὸ δὲ ὦ μέλεος, ἠρέμα πρὸς ἑαυτὸν λέγει· ὦ ἄθλιος εἰς οἷον κακὸν δηλονότι ἥκω. [670] Ταύτης ἱκνοῦμαι] ἀντὶ τοῦ πρὸς ταύτης ὁρκῶ βοηθῆσαί μοι. ἢ δέομαί σου πρὸς ταύτης, ὅπως ἄν μοι βοηθήσειας εἰς τιμὴν αὐτῆς. τὸ δὲ ἑξῆς, ἠρέμα καθ' ἑαυτὸν λέγει· οἰκτείρων αὐτὸν, ὅτι μέχρι τοσούτου προσῆλθεν αὐτῷ τὰ τῆς δυστυχίας, ὡς διὰ τοῦ μνησθῆναι τῆς Ἑλένης προσδοκᾶν βοηθείας τυχεῖν. ἀνάξιον γὰρ ἑαυτοῦ ἡγεῖται, τὸ καὶ μόνον μνησθῆναι τοιαύτης γυναικὸς, μή τι γε καὶ δοκεῖν σώζεσθαι δι' αὐτῆς. δυστυχὴς οὖν φησιν ἐγὼ εἰς τοιοῦτο τῶν κακῶν ἐλθών. διὰ γὰρ γυναικὸς, τῆς πᾶσιν Ἕλλησι κακῆς, σωθῆναι προσδοκῶ. Τί δὲ ταλαιπωρεῖν με δεῖ] ἀλλὰ τί φησὶ μιαίνω τὸ διὰ ταύτης σωθῆναι προτιμώμενος. ἀνάγκη γάρ ἐστι καὶ πρὸς τοῦτο καταβαίνειν οἰκτρότατον, καὶ πάντα ὑπομένειν, κἂν αἰσχύνην μοι φέρῃ. οὐ γὰρ ἐγὼ μόνος, ἀλλὰ καὶ πᾶς ὁ οἶκος ὁ ἐμὸς κινδυνεύει. Ἔστι δὲ καὶ ἑτέρα ἔκδοσις τοῦτο συνάπτουσα τῷ ταύτης ἱκνοῦμαι, πρὸς τὸ ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε, εἴτε ὡς τοῦ Μενελάου ἀποστραμμένου τὴν ἱκεσίαν, αὐτὸς δυσφορῶν λέγει, δυστυχὴς ἐγὼ, εἰς ἄπορον ἥκω κακῶν, καὶ οὐκ ἔχω οὐδεμίαν καταφυγήν. ὃ πάλιν διαλαβὼν, θαρσύνει ἑαυτὸν, καὶ φησὶ, τί δεδοίκαμεν τὸν θάνατον; καρτερεῖν δεῖ καὶ φέρειν ἀναγκαίως τὰ παρὰ τοῦ δαίμονος. τί δέ φησι παραιτοῦμαι τὴν αἰσχύνην; πάσῃ μηχανῇ ποιητέον τὴν σωτηρίαν. οὐχ ὑπὲρ μικροῦ γάρ μοι ὁ κίνδυνος, ἀλλ' ὑπὲρ παντὸς τοῦ οἴκου ἐστίν. Ἄλλως. τί δὲ ταλαιπωρεῖν καὶ κάμνειν ἐμὲ περὶ τὴν δέησιν. οὐ γὰρ ὑπὲρ ἐμοῦ μόνον, καὶ τῆς ἐμῆς ἀδελφῆς ποιοῦμαι τὴν δέησιν, ἀλλ' ὑπὲρ παντὸς τοῦ οἴκου καὶ τοῦ γένους ἡμῶν. ἀποθανόντος γὰρ ἐμοῦ, ἡ ἐκ προγόνων πᾶσα εὐδαιμονία οἰχήσεται, ὥστε τῆς ζημίας καὶ εἰς σέ πως τεινούσης, ἐπεὶ τοῦ αὐτοῦ γένους τυγχάνεις, οὐχ ἧττον ἐμοῦ δεῖ σε σπουδάζειν, ὅπως σωθείην, ἡ αὐτὴ ἡ κατασκευὴ πρὸς τὸ ἱκνοῦμαι ἐστὶ, πλὴν ἀλλὰ διὰ μέσου. [673] Τὸν κατὰ χθονὸς] δόκει ἀκούειν τάδε τὸν κατὰ χθονὸς θανόντα, ἤγουν νόμιζε ὅτι πάρεστιν ἐκεῖνος, καὶ ἀκούει τάδε, λέγω τὴν ψυχὴν ἐκείνου ποτωμένην ἐπάνω σου. συντακτέται δὲ ἐνταῦθα ὑπαρκτικοῦ ῥήματος μετοχὴ, ἢ καὶ ἐκφωνουμένη, κακοσύνθετον ποιεῖ τὸν λόγον καὶ ἄχρηστον. ὅτι δὲ λόγον ἔχει αὕτη συντακτέα, δῆλον οὕτως, κατὰ χθονὸς ὄντα ἐξ ἀνάγκης μετὰ τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ, οὕτως. ἐπειδὴ καὶ κατὰ χθονὸς ἐστὶν ὁ δεῖνα λέγεται, καὶ θανὼν, δύναται καὶ καταλλήλως ἔχειν τοῦτο, καὶ μετὰ τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ λέγεσθαι μετασχηματιζόμενον. ἐπεὶ δὲ συμβαίνει ἐνταῦθα καὶ ἑτέραν εἶναι μετοχὴν κατὰ τὴν αὐτὴν πτῶσιν, καὶ διὰ τοῦτο κακόφρασον εἶναι τὸν λόγον καὶ κακοσύνθετον, οὐδέποτε ἐκφωνεῖται ἡ τοῦ ὑπαρκτικοῦ ῥήματος μετοχὴ, ἀλλ' ἀεὶ συντακτέται κατὰ τὴν συνήθειαν τῶν ὑπαρκτικῶν. Ταῦτ' εἴς τε δάκρυα] ἀντὶ τοῦ μετὰ δακρύων καὶ γόων αἰτῶ τὴν σωτηρίαν. Ἄλλως. κατὰ ὑπόθεσιν ταῦτα ἐπάγεται, ἤγουν ταῦτα εἴρηκα, εἴς τε τὰ δάκρυα ἡμῶν καὶ τοὺς γόους καὶ τὰς συμφορὰς, ἤγουν μετὰ δακρύων καὶ γόων εἶπον, ἢ οὕτως, εἶπον ταῦτα εἰς δάκρυα καὶ γόους καὶ συμφορὰς, ἤγουν ἵνα μὴ τύχω τούτων. τάξομαι δὲ, εἰ πιστωθείημαί με ἐάσῃς. Κἀπήτηκα] ὡς χρέος ἤτησα. [678] Θηρῶν] θηρώμενος, ζητῶν. Κἀγώ σ' ἱκνοῦμαι] καὶ ἐγώ σε παρακαλῶ καίτοι ὑπάρχουσα γυνὴ, βοηθεῖν τοῖς δεομένοις, δυνατὸς γὰρ ὑπάρχεις ὠφελεῖν. τὸ δὲ ὠφελεῖν καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται, ὡς καὶ Αἰσχύλος, ὡς τοῖς θανοῦσι χρῆμα τ' οὐδὲν ὠφελεῖ. Καὶ χρὴ γὰρ οὕτω] τοῦτο μεσικῶς, καθόλου νοητέον, ὅτι πρέπει ἢ ἐμὲ, ἢ πάντα ἄνδρα συνεκκομίζειν καὶ συνεκφέρειν, ἢν ἰσχὺν διδῷ ὁ θεὸς, τὰ τῶν ὁμαιμόνων κακὰ, θνήσκοντα εἰ δέοιτο ὑπὲρ ἐκείνων, καὶ κτείνοντα τοὺς ἐναντίους. εἰ μὴ γὰρ ἐξ ἀλλήλων οἱ συγγενεῖς οὐ βοηθοῖεν, τίς ἂν ἄλλην ἔξωθεν ἐλπίσοι βοήθειαν; τὸ δὲ θνήσκοντα καὶ κλείνοντα τοὺς ἐναντίους, σαφήνειά ἐστι τοῦ οὕτω θνήσκοντα, καὶ ὡς τεθνηξόμενον, καὶ ὡς κλαύοντα τοὺς ἐναντίους, ἤγουν εἰ καὶ θάνατος προκεῖται, καὶ εἰ νίκη τῶν ἐναντίων. [684] Συνεκκομίζειν] συμπονεῖν δεῖ τοῖς συγγενέσι, κἂν κίνδυνος παρῇ, καὶ μάλιστα εἰ τὸ θεῖον παρέχει δύναμιν. τὸ δὲ ἑξῆς, ἀναστρεπτέον. ἔστι γὰρ κτείνοντα τοὺς ἐναντίους, καὶ θνήσκοντα. Τόδ' αὖ δύνασθαι] † τοὐναντίον Αἴας φησὶ, καὶ πρὸς δαίμονά περ οὔ πως ἐρυσαίμεθα νεκρόν. Ἥκω γὰρ ἀνδρῶν] οὐκ ἐπαγόμεθα συμμάχους, ἀλλ' ἔρημος τῆς περὶ τούτων δυνάμεως ὢν, ὡς τῶν συμμάχων αὐτοῦ κατὰ τὴν πλάνην ἀπολωλότων, πλὴν ὀλίγων. ἢ οὕτως, ἦλθον ἔρημος συμμάχων, καὶ προσέτι πλάνην ὑφέστηκα πολλήν. Ἥκω γάρ] ἦλθον ἔχων τὸ δόρυ κενὸν συμμάχων ἀνδρῶν, ἤγουν κενὸς ὑπάρχων πολεμικῶν ἀνδρῶν, καὶ προσταλαιπωρήσας τῇ πλάνῃ. τὸ δὲ ἐνταῦθα ἐλπίδος προσήκομεν, ἀντὶ τοῦ προσοικειούμεθα, καὶ ἐγγὺς ἐσμὲν ἐλπίδος. σκόπει οὖν πῶς οὔτε διὰ κολακείας πεῖσαι ὑπέσχετο, ἀλλὰ καὶ τοῦτο ἐν ἀμφιβολίᾳ ἀφῆκε. Σμικρᾷ σὺν ἀλκῇ] σμικρᾷ δυνάμει ὠφελεῖν εἶπεν. ὁ δὲ λέγει σμικροῖς πόνοις, τὴν ἐνέργειαν τεθεὶς, ἀντὶ τῆς δυνάμεως. Μάχῃ μὲν] ἐν μάχῃ μὲν οὐκ ἂν περιγενοίμεθα τοῦ Πελασγικοῦ Ἄργους, ἤγουν οὐχ ὑπερισχύσομεν.

† τοὐναντίον Αἴας φησὶ, καὶ πρὸς δαίμονά περ οὔ πως ἐρυσαίμεθα νεκρόν. Hic loci lapſus eſt *Scholiaſtes* in grave μνημονικὸν ἁμάρτημα. Hæc enim verba ſunt à *Menelao* prolata, non ab *Ajace*, ut videre eſt *Hom.* Il. ρ. v. 104. Licet al. *Ajacem* ſui ſecurum & Deorum neglectorem memorant Poetarum πάτερες. Vid. *Sophocl. Scholiaſt.* in *Ajace* Flagellifero ad v. 127.

ANNOTATIONES.

V. 685. Κτείνοντα] al. κλείνοντα. utrique lectioni favet *Scholiaſt.*

Πελασγὸν

Πελασγὸν Ἄργος. εἰ δὲ μαλθακοῖς λόγοις
Δυναίμεθ', ἐνταῦθ' ἐλπίδος προσήκομεν.
" Σμικροῖσι γὰρ τὰ μεγάλα πῶς ἕλοι τις ἂν
" Πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.
" Ὅταν γὰρ ἡβᾷ δῆμος, εἰς ὀργὴν πεσὼν,
" *Ὅμοιος ὥστε πῦρ κατασβέσαι λάβρον. * MS. ὅμοιον.
" Εἰ δ' ἡσύχως τις αὐτὸν ἐντείνοντα μὲν
" Χαλῶν ὑπείκοι, καιρὸν εὐλαβούμενος,
" Ἴσως ἂν ἐκπνεύσειεν. ὅταν δ' ἀνῇ πνοὰς,
" Τύχοις ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλεις.
Ἔνεστι δ' οἶκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
Καραδοκοῦντι κτῆμα τιμιώτατον.
Ἐλθὼν δὲ Τυνδάρεών τέ σοι πειράσομαι,
Πόλιν τε πεῖσαι, τῷ λίαν χρῆσθαι καλῶς.
" Καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ,
" Ἔβαψεν; ἔστη δ' αὖθις, ἢν χαλᾷ πόδα.
" Μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας,
" Μισοῦσι δ' ἀστοί. δεῖ δέ μ', οὐκ ἄλλως λέγω,
" Σώζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρεισσόνων.
Ἀλκῇ δέ σ' οὐκ ἂν, ᾗ σὺ δοξάζεις ἴσως,
Σώσαιμ' ἄν· οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ
Στῆσαι τρόπαια τῶν κακῶν, ἅ σοι πάρα.
Οὐ γάρ ποτ' Ἄργους γαῖαν εἰς τὸ μαλθακὸν
Προσηγόμεσθα. νῦν δ' ἀναγκαίως ἔχει
Δούλοισιν εἶναι τοῖς σοφοῖσι, τῆς τύχης.
Ορε. Ὦ, πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν,
Τἄλλ' οὐδὲν, ὦ κάκιστε τιμωρεῖν φίλοις,
Φεύγεις ἀποστραφείς με; τὰ δ' Ἀγαμέμνονος
Φροῦδ', ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ, πράσσων κακῶς.

Pelaſgum Argos: ſed te mollibus verbis
Poſſimus, eò ſpei venimus.
" Nam quomodo caperet aliquis magna parvis
" Laboribus? ſtultum eſt hoc velle.
" Quando enim turget populus incidens in iram,
" Perinde non poteſt extingui ut vehemens ignis:
" Si autem molliter aliquis ei incenſo
" Laxans cedit, obſervans tempus,
" Fortaſſis exhalet: tum quando remiſerit ſpiritum,
" Poſſis eo uti quantum velis.
Eſt enim in eo miſeratio, eſt & magna iracundia,
Optima res obſervanti tempora.
Vadens itaque Tyndareo conabor
Et multitudini perſuadere, ut rectè utantur ſuâ potentiâ.
" Nam & navis intento vi clavo
" Mergitur: manet tutus, ſi relaxes clavum.
" Odit Deus nimium vehementes impetus,
" Et oderunt cives: oportet me (non fruſtrà dico)
" Servare te ſapienter, non vi, adverſum præſtantiores.
Pugnando te non, ut tu fortaſſis putas,
Servârim. Non eſt facile unâ haſtâ
Siſtere trophæa de malis, quæ tu habes.
Nunquam enim aliâs Argivos molliter ſupplicando
Adduximus: nunc autem neceſſe eſt
Sapientibus eſſe, ſervis fortunæ.
Ore. O, præterquam quòd militâſti uxoris cauſâ,
In aliis nullius pretii, ignaviſſime in defendendis amicis,
Fugiſne averſatus me? Et jam Agamemnonis beneficia
Sunt irrita? O pater, fuiſti ſine amicis in tuis calamitatibus.

Εἰ δὲ μαλθακοῖς] οὕτω τοῦτο λέγει. ἐνταῦθα δὲ, ἤγουν εἰς τοῦτο τῆς ἐλπίδος προσήκομεν, καὶ προστρεχόμεθα, εἰ δυναίμεθα ὑπερβαλέσθαι ἐν λόγοις μαλθακοῖς. Σμικροῖσι γὰρ] τῇ δι' ὀλίγων μάχῃ, τοὺς πολλοὺς καταγωνίσασθαι ἀδύνατον, ὅθεν εἰς πόλεμον μὲν ἐλθεῖν παραιτητέον αὐτοῖς. εἰ δὲ λόγοις ὑπελθεῖν δεῖ καὶ γοητεῦσαι αὐτοὺς σοφίᾳ λόγων, ἐνταῦθα δυνησόμεθα. ἀνόητον δὲ καὶ ἀμαθὲς, καὶ τὸ μόνον προσδοκῆσαι τοὺς ὀλίγους τῶν πολλῶν περιγενέσθαι. 695 Ὅταν γὰρ ἡβᾷ δῆμος] ὅταν γὰρ δῆμος εἰς ὀργὴν πεσὼν ἀκμάζῃ, ἔοικεν κατασβέσαι αὐτὸν, ὥσπερ ζητεῖν κατασβέσαι πῦρ λάβρον καὶ σφοδρόν. Εἰ δ' ἡσύχως] εἰ δέ τις ἡσύχως κατ' αὐτὸν ἐνδιδοὺς ὑπεχωρήσειε τοῦ δήμου θυμουμένου, εὐλαβούμενος καὶ φοβούμενος τὸν καιρὸν, ἀπὸ μεταφορᾶς τῶν πνευμάτων, ἴσως ἂν καταπαύσειε τῆς ὀργῆς δηλονότι. Ὅταν δ' ἀνῇ] ὅταν δ' ἀναπαύσῃ, ἐπιτύχοις ἂν εὐκόλως τοῦ λαοῦ, καθ' ὅσον βούλει. 701 Ἔνεστι δ' οἶκτος] ὁ δὲ ἀντὶ τοῦ γάρ. ἔν ἐστι, ἔστι γὰρ τοῦ δήμου ἐλεεῖν καὶ θυμοῦσθαι, καὶ ἅπας δὲ φιλόπατρις. ἐὰν τοίνυν θυμουμένου τοῦ δήμου εἴκῃς, πεπαύσεται τῆς ὀργῆς, καὶ λοιπὸν ἐπιτήδειος ἔσται εἰς τὸ συνδραμεῖν ταῖς ἱκεσίαις. ὡς γὰρ ἐμπέφυκεν αὐτῷ τὸ μεγάλως ὀργίζεσθαι, οὕτω καὶ τὸ ἐλεεῖν. τουτέστιν οὐ γὰρ πρὸς τὸ ὀργίζεσθαι μόνον ἔχει, ἀλλὰ καὶ πρὸς τὸ ἐλεεῖν. καὶ τῷ δυναμένῳ τοῦτο αὐτὸ καραδοκεῖν, καὶ ἐπιτηρεῖν, πότε μὲν μεγάλως θυμοῦται, πότε δὲ ἀνίησι τῆς ὀργῆς. κτῆμά ἐστι τοῦτο τιμιώτατον, τὸ εἰδέναι δηλονότι ἑκάστου καιρὸν, ἢ οὖν αὐτὸς ὁ δῆμος κτῆμα ἐστὶ τιμιώτατον, τὸ εἰδέναι προσενεχθῆναι καθ' ὃν ἔοικεν αὐτῷ. ἢ ὁ καιρὸς μέγα κτῆμα τῷ καραδοκοῦντι τὸν δῆμον, καὶ γινώσκοντι πότε μὲν θυμοῦται, πότε δὲ ἐλεεῖ. 702 Καραδοκοῦντι] καιροφυλακτοῦντι, προσδεχομένῳ τὸν καιρόν. Τῷ λίαν χρῆσθαι καλῶς] ἀντὶ τοῦ μετρίως χρῆσθαι. τῷ καλῶς λίαν χρῆσθαι, ἵν' ᾖ τὸ καλῶς, ἠπίως, ἤγουν σφόδρα ἐνδείξασθαι τὴν πρὸς σὲ πρᾶξιν. Καὶ ναῦς γὰρ] καὶ ναῦς γὰρ βιαίως τοῦ ποδὸς ἐκταθέντος ὑπέκυψεν, ὥστε ὕδωρ ἐνδέξασθαι. πάλιν δὲ ἀνωρθώθη, ἐὰν χαλᾷ καὶ ἐνδιδῷ τὸν πόδα. τὰς ἄγαν γὰρ προθυμίας, ἀντὶ τοῦ τὰς ὑπερβολικὰς ὁρμὰς, καὶ ὑπὲρ τὸ δέον μισεῖ ὁ θεός. Πρὸς βίαν ποδὶ] εἰς κατασκευὴν τοῦ πρὸς ἐκείνους λόγου ταῦτα ἐπάγει, ποδὶ δὲ, ἤγουν διὰ τοῦ ποδός. λέγεται δὲ οὕτω τὸ σχοινίον, τὸ κάτωθεν τοῦ ἱστίου. Ἔβαψεν] ἤγουν ὕφαλος γέγονεν. ἐλθὸν γὰρ πνεῦμα σφοδρὸν, καὶ πρὸς τὴν τοῦ ποδὸς τάσιν ἐμπεπτωκὸς, ἀνατρέπει. 709 Σώζειν] ῥύεσθαι. Σοφίᾳ] ἐπιτηδειότητι, καὶ οὐ δυναστείᾳ τῶν ἐπικρατεστέρων. Οὐ γὰρ ῥᾴδιον] ἀντὶ τοῦ οὐ ῥᾴδιον περιγενέσθαι τῶν σῶν κακῶν, καὶ ἀπαλεῖψαι παροῦσάν σοι συμφοράν. τὸ δὲ Ἄργους γράφεται καὶ Ἄργει, ἵν' ᾖ Ἄργει γαῖαν. Ἀριστοφάνης δὲ μετὰ τοῦ ν, οὐ πρὸς ἡμᾶς φησιν, οὐδὲ τῆς ἡμετέρας ἀξίας ὑποδραμεῖν, καὶ διακολακεῦσαι τὸν τῶν Ἀργείων ὄχλον. ἀνάγκη δ' ἡμᾶς δουλεῦσαι τῇ κρατούσῃ τύχῃ. τοῦτο γὰρ σοφῶν καὶ φρονίμων ἀνδρῶν ἐστι. τὸ δὲ ἑξῆς, νῦν δ' ἀναγκαίως ἔχει τοῖς σοφοῖς, δούλους εἶναι τῆς τύχης. Λόγχῃ μιᾷ] οὐχ ὅτι μίαν λόγχην εἶχεν, εἴρηκα τὸ λόγχῃ μιᾷ, ἀλλὰ δεικνύειν ἐντεῦθεν, τὸ τῆς αὐτοῦ δυνάμεως ὀλίγον. εἰκότως δὲ ἐπέφερε τὸ τρόπαια πρὸς τὸ λόγχῃ. ἐκ γὰρ δοράτων τὰ τρόπαια γίνεται. Οὐ γάρ ποτ' Ἄργους] ἤγουν οὐδέποτε τοῖς Ἀργείοις ταπεινῶς ὑποπεπτώκαμεν, ἀλλὰ μεγαλοπρεπῶς καὶ γενναίως αὐτοῖς ἐχρώμεθα, πράττοντες μετ' ἐξουσίας, ὅσα ἂν ἐβουλόμεθα. Οὐ γὰρ ῥᾴδιον] εἰ γὰρ ἦν τοῦτο ῥᾴδιον, οὔποτε διὰ τοῦ Ἄργους τὴν γῆν, ἤγουν διὰ τὸ Ἄργος προσφερόμενοι ἑαυτοὺς εἰς τὸ μαλθακόν. νῦν δὲ ἀναγκαίως ἔχει τοῖς σοφοῖς. δούλους εἶναι τῆς τύχης. 714 Νῦν δ' ἀναγκαίως] εἰ γὰρ ὁ δῆμος νῦν εὐτυχὴς, ἡμεῖς δ' ἀτυχεῖς, ὡς εἰρήκαμεν, οὐ δεῖ πρὸς αὐτὸν ἰσχύος, ἀλλὰ σοφίας, καὶ μεταχειρίσεως. σοφοῦ γὰρ ἀνδρὸς πρὸς τὰς τῆς τύχης μεταβολὰς τοῖς πράγμασι χρῆσθαι. Ὦ πλὴν γυναικὸς] λείπει ἡ εἰς. τὸ δὲ ἑξῆς ὦ εἰς τ' ἄλλα οὐδὲν πλὴν εἰς τοῦτο σπουδάζων, εἰς τὸ ἕνεκεν τῆς σῆς γυναικὸς στρατεύεσθαι. Ἄλλως. Τοῦτο οὕτω φασί τινες, ὦ Μενέλαε κάκιστε βοηθεῖν τοῖς φίλοις, χωρὶς τοῦ στρατεύειν ἕνεκα γυναικός. εἰς τοῦτο γὰρ κάλλιστος. τὰ δ' ἄλλα τυγχάνεις οὐδὲν, ὃς αὐτὸς ἔασας ὡς ἀμαθὴς, οὕτω λέγει ὦ Μενέλαε, οὐδὲν τὰ ἄλλα χωρὶς τοῦ στρατεύειν ἕνεκα τῆς γυναικὸς, ὦ κάκιστε τιμωρεῖν καὶ βοηθεῖν τοῖς φίλοις, ἢ τὸ πλὴν ἀντὶ τοῦ εἰμί. 719 Ἄφιλος ἦσθ' ἄρ'] μάτην ἄρα σπεύδεις, ὦ πάτερ, ἐγκαταλειπόμενος ἐν τῷ πολέμῳ, οὐδενὸς σύμφορα φρονοῦντος, ὑπὲρ ὧν ἐπήχεις. τὸ γὰρ πράσσων κακῶς, ἀντὶ τοῦ ἀδίκως, τουτέστιν οὐ φίλους, ἄρα οὐδ' εὐεργέτησιν ἐχαρίζου ἀνδρείαν, ἐπεὶ κατ' αὐτὸ τοῦτο ἡμᾶς ἠδίκεις, ἡμᾶς μὲν ἐρήμους κα-

ANNOTATIONES.

V. 697. Αὐτὸν ἐντείνοντα μὲν] *Canterus* conjecturam facit, ità legi poſſe αὐτὸ ἐνθεῖσθαι μένος. MS. legit αὐτὸς, &c. *Joſua Barnes.*

V. 699. Ἴσως ἂν ἐκπνεύσειεν] aliàs ἐκπνεύσει', ὅταν δ' ἀνῇ πνοάς. Et ſic *Duportus.* MS. ut nos legit.

V. 710. Ἀλκῇ δέ σ' οὐκ ἂν, &c.] De duplici ἂν in eâdem clauſulâ vid. *Hecub.* v. 1200.

Οἴμοι, προδέδομαι, κοὐκέτ' εἰσὶν ἐλπίδες,
* Ὅπη τραπόμενος, θάνατον Ἀργείων φύγω. * MS. ἔπα.
Οὗτος γὰρ ἦν μοι καταφυγὴ σωτηρίας.
Ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν
Πυλάδην, δρόμῳ στείχοντα Φωκέων ἄπο,
Ἡδεῖαν ὄψιν. " Πιστὸς ἐν κακοῖς ἀνὴρ,
" Κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

Hei proditus ſum, nec amplius ſunt ſpes,
Quò converſus effugiam ſupplicium Argivorum:
Hic enim erat mihi refugium ſalutis.
Sed video hunc amiciſſimum hominem
Pyladem, venientem curſu ex Phocenſibus,
Jucundum ſpectaculum: " Fidus amicus in adverſis rebus
" Jucundior eſt viſu, quàm nauticis tranquillitas.

πολιτῶν, ἀναιδῶς τῇ δὲ καὶ ἀγνώμονι χαριζόμενος. ἢ οὕτως, οὐχ ὑπὲρ φίλων ἄρα ἐπολέμεις τοῖς βαρβάροις, ἀλλ' ὑπὲρ ἁμαρτάνουσι κακοῖς χαριζόμενος, ἢ δυστυχῶν ταῦτα, ὦ πάτερ, δεῖ καὶ τινα φίλον. Ἄφιλος· ἐπειδὴ νῦν δυστυχῶν οὐκ ἔχεις τὸν βοηθήσοντα. ἡ γὰρ ἐμὴ δυστυχία εἰς σὲ ἀναφέρεται, ἄφιλος ἦσθα τότε, ὅτε μετὰ τῶν ζώντων διῆγες. εἰ γὰρ εἶχες τότε φίλους, νῦν ἂν ἐβοήθουν τοῖς ἐκ σοῦ γεγονόσι. τὸ δὲ προσώπων κακῶς, ἢ ἐπὶ τοῦ παρόντος καιροῦ, ὡς ἔφαμεν, νοεῖ, ἢ διότι ὑπὲρ Μενελάου τότε ἐκινδύνευεν ἐν πολέμῳ ἄφιλος, ἤγουν ἐστερημένος φίλων τῶν μελλόντων δηλονότι προσήκεσθαι. 725 Πιστὸς ἐν κακοῖς] πιστὸς ἀνὴρ κρείσσων εἰς τὸ ὁρᾶν αὐτόν τινα ἐν ταῖς δυστυχίαις, τῆς γαλήνης τῶν ναυτίλων. τοῖς ναυτίλοις, πρὸς τὸ γαλήνης ἐστὶν, οὐ πρὸς τὸ κρείσσων. ὥσπερ δὲ φαμὲν, φίλος φίλου, καὶ φίλος φίλῳ. οὕτω καὶ γαλήνη ναυτίλων, καὶ γαλήνη ναυτίλοις. Ἄλλως. Ὁ βέβαιος φίλος, κρείσσων ἐστὶ τῆς ὁρωμένης ἐν ζάλῃ τοῖς ναυτικοῖς γαλήνης.

ΤΡΟΧΑΙΟΙ.

Πυ. Θᾶσσον, ἤ μ' ἐχρῆν, προβαίνων, ἱκόμην, δι' ἄστεος,
Σύλλογον πόλεως ἀκούσας, τόνδ' ἰδὼν αὐτὸς σαφῶς
Ἐπὶ σὲ, σύγγονόν τε τὴν σὴν, ὡς κτενοῦντας αὐτίκα.
Τί τάδε; πῶς ἔχεις; τί πράσσεις, φίλταθ' ἡλίκων ἐμοὶ
Καὶ φίλων, καὶ συγγενείας, πάντα γὰρ τάδ' εἶ σύ μοι.
Ορε. Οἰχόμεσθ', ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.
Πυ. Συγκατασκάπτοις ἂν ἡμᾶς. " Κοινὰ γὰρ τὰ τῶν φίλων.
Ορε. Μενέλεως κάκιστος εἰς με, καὶ κασιγνήτην ἐμήν.
Πυ. " Εἰκότως, κακῆς γυναικὸς ἄνδρα γίνεσθαι κακόν.
Ορε. Ὥσπερ οὐκ ἐλθὼν, ἐμοί γε ταυτὸν ἀπέδωκεν μολών.
Πυ. Ἦ γὰρ ἔστιν ὡς ἀληθῶς τήνδ' ἀφιγμένος χθόνα;
Ορε. Χρόνιος· ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.
Πυ. Καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθεν;
Ορε. Οὐκ ἐκεῖνος, ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν.
Πυ. Ποῦ 'στιν, ἣ πλείστους Ἀχαιῶν ὤλεσεν γυνὴ μία;
Ορε. Ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ' ἐμοὺς καλεῖν χρεών.
Πυ. Σὺ δὲ τίνας λόγους ἔλεξας σῷ κασιγνήτῳ πατρός;
Ορε. Μή μ' ἰδεῖν θανόνθ' ὑπ' ἀστῶν, καὶ κασιγνήτην ἐμήν.
Πυ. Πρὸς θεῶν, τί πρὸς τάδ' εἶπε; τόδε γὰρ εἰδέναι θέλω.
Ορ. Εὐλαβεῖθ', ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.
Πυ. Σκῆψιν ἐς ποίαν προβαίνων; τοῦτο πάντ' ἔχω μαθών.
Ορ. Οὗτος ἦλθ' ὁ τὰς ἀρίστας θυγατέρας σπείρας πατήρ.
Πυ. Τυνδάρεων λέγεις; ἴσως σοὶ θυγατέρος θυμούμενος.
Ορ. Αἰσθάνῃ· τὸ τοῦδε κῆδος μᾶλλον εἵλετ', ἢ πατρός.
Πυ. Κοὐκ ἐτόλμησεν πόνων σῶν ἀντιλάζυσθαι παρών;

Pyl. Citiùs, quàm me oportebat, accedens veni ante urbem
Audiens comitia urbis, & eadem ipſe clarè videns
Adverſus te & tuam ſororem, tanquam ſtatim ſint interfecturi.
Quid hoc? quomodo habes? quid agis, chariſſime inter æquales,
Et amicorum & cognatorum? tu enim mihi es iſta omnia.
Ore. Periimus, ut breviter exponam tibi mea mala.
Pyl. Simul everteris nos: " Communes ſunt enim res amicorum.
Ore. Menelaus infidelis eſt mihi & meæ ſorori.
Pyl. " Convenienter ſe habet virum malæ mulieris fieri malum.
Ore. Perinde mihi gratiam retulit ac ſi non veniſſet.
Pyl. An verè venit in hanc terram?
Ore. Tardè venit, ſed celerrimè deprehenſus eſt infidus amicis.
Pyl. Et venit adducens navi peſſimam conjugem?
Ore. Non illam Ille, ſed Illa illum huc adduxit.
Pyl. Ubi eſt mulier, quæ una perdidit plurimos filios Argivorum?
Ore In meis ædibus: ſi licet iſtas vocare meas.
Pyl. Quid dixiſti tu tuo patruo?
Ore. Ne cerneret, i.e. *pateretur* me & ſororem interfici à civibus.
Pyl. Per deos, quid ad hæc dixit? cupio enim ſcire.
Ore. Cautè ſe geſſit, ut Amicis facere ſolent infidi Amici.
Pyl. Ad qualem excuſationem accedens? Hæc edoctus, omnia habeo.
Ore. Ille pater venit qui genuit optimas filias.
Pyl. Tyndarum dicis? fortaſſe tibi propter filiam iratus.
Ore. Intelligis: hujus affinitatem magis elegit quàm patris.
Pyl. Non eſt auſus capere labores pro te præſens?

Θᾶσσον] ἀφικόμην διὰ τοῦ ἄστεος θᾶττον προβαίνων, ἤγουν ἐπιτείνων τὴν εἰς τοὔμπροσθεν πορείαν, ἢ ἐχρῆν με προβαίνειν. ἁρμοδίως ἐνταῦθα τῷ τροχαϊκῷ ἐχρήσατο μέτρῳ, πρὸς σπουδὴν τοῦ ὑποκειμένου. εἰσὶ γὰρ οἱ ἐντεῦθεν στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ..., ὧν τὸ τελευταῖος, μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος. ἐπὶ τῷ τέλει κορωνίς. Θᾶσσον] τὴν αἰτίαν τοῦ θᾶσσον ἱκόμην, ἐπιφέρων, αὐτίκα λέγει, σύλλογον πόλεως ἀκούσας. τόνδ' ἰδὼν αὐτὸς σαφῶς, λέγει ὅτι ἐρχόμενος διὰ τῆς πόλεως ἤκουσα παρά τινων, ὡς ἐκκλησίαν Ἀργεῖοι ἐποίησαν ἐπὶ σοὶ καὶ Ἠλέκτρᾳ, ἵνα κτείνωσιν. εἶδον δὲ καὶ αὐτὸς ἐν τῇ ἐκκλησίᾳ τινὰς στείχοντας, ὅθεν σπουδαίως ἀφικόμην, ἵνα μάθω τί χρεὼν πράττειν, καὶ ὅτῳ δύναμαι εἰσενέγκω σοι. Ἄλλως. Θᾶσσον ἢ ὡς ἐχρῆν με παρεγενόμην διὰ τῆς πόλεως, τὸν ἐπὶ σὲ καὶ τὴν σὴν ἀδελφὴν σύλλογον τῆς πόλεως καὶ ἀκούσας, καὶ τοῖς ὀφθαλμοῖς ἰδὼν, ὡς τῆς φήμης διαδραμούσης ἄχρι Φωκίδος. οὐ μόνον οὖν φησὶν ἤκουσα σύλλογον ἐπὶ σοὶ γενέσθαι, ἀλλὰ καὶ παρὼν εἶδον. 730 Τί τάδε ἐστί] πῶς διάκεισαι, τί ποιεῖς, ὦ φίλτατέ μοι φίλων καὶ ἡλίκων, καὶ τῆς συγγενείας. κατὰ πάντα γὰρ τάδε ὑπάρχεις μοι. Ἀπολώλαμεν, ὡς ἐν βραχεῖ σοι λόγῳ τὰς ἐμὰς δυστυχίας δηλώσω. Συγκατασκάπτοις ἂν] συγκαταστρέφοις, συναναιρεῖς, συνδιαφθείρεις καὶ ἡμᾶς, τὸ κατασκάπτειν κυρίως ἐπὶ πόλεως. ἐνταῦθα δὲ καταχρηστικῶς εἴρηται. Ὁ Μενέλαος κάκιστος ἐφάνη εἰς ἐμὲ, καὶ τὴν ἐμὴν ἀδελφήν. Ὥσπερ οὐκ ἐλθὼν,] οὕτως ἐμοὶ προσηνέχθη, ὡς μὴ παραγενόμενος. Χρόνιος] ἀντὶ τοῦ μετὰ χρόνον πολὺν, ὅμως κἂν βραδὺ παρεγένετο, ἀλλὰ τάχιστα τοῖς φίλοις ἐφωράθη κακὸς, καὶ τὴν γυναῖκα τὴν κακοτροπωτάτην, διὰ νεὼς ἦλθεν ἄγων. 740 Οὐκ ἐκεῖνος] διαβάλλει ὡς γυναικοκρατούμενον αὐτόν. καὶ ὡς οὐκ ἂν ἐληλύθει, εἰ μὴ προῆγεν ἡ Ἑλένη. κωμῳδεῖται δὲ ὁ στίχος διὰ τὴν ταυτότητα. Ποῦ 'στιν ἣ] τῷ ὑποτακτικῷ συμπλέκει τὸν λόγον. ὀφείλων γὰρ εἰπεῖν ποῦ ἐστιν ἡ γυνὴ, ἣ πλείστους ὤλεσεν Ἀχαιῶν, ὁ δὲ φησὶ, ποῦ ἐστιν ἥτις γυνὴ πλείστους Ἀχαιῶν ὤλεσεν. Εὐλαβεῖτο. ἐδειλία, ὅπερ λέγουσιν οἱ κακοὶ φίλοι μὴ θέλοντες τοῖς φίλοις βοηθεῖν, λέγοντες εὐλαβούμεθα, ἤτοι δειλιῶμεν, καὶ σεβόμεθα. γενναίου γὰρ φίλου τὸ ὑπὲρ δύναμιν τολμᾶν, ὅπερ εὐλαβεῖσθαι αὐτὸν ἔλεγεν. 741 Σκῆψιν εἰς ποίαν] εἰς ποίαν πρόφασιν προχωρῶν, τοῦτο μαθὼν, πάντ' ἔχω. Αἰσθάνῃ] νοεῖς, τὴν τότε συγγένειαν προέκρινε μᾶλλον, ἢ τὴν τοῦ ἐμοῦ πατρὸς, καὶ οὐχ ὑπέμεινεν ἀντιλαμβάνεσθαι τῶν σῶν πόνων παραγενόμενος; οὐδαμῶς.

ANNOTATIONES.

V. 745. Τόδε γ' εἰδέναι θέλω] MS. τοῦτο γ' εἰδέναι, &c.

V. 746. Εὐλαβεῖθ'] ſi legas εὐλαβεῖσθ' eſt infiniti; ſi εὐλαβεῖθ', imperfecti temporis pro εὐλαβεῖτο: ſed potius lego εὐλαβεῖθ', pro εὐλαβεῖτο cum *Scholiaſte*, & MS.

V. 747. Μαθὼν] al. μαθεῖν, ſi ταῦτα, ſed τοῦτο melius, vid. *Scholiaſt.*

V. 749. Θυγατρὸς] ſubaudi ἕνεκα. Notat autem *Clytæmneſtram*.

Ορε. Οὐ

Ορ. Οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος. 752
Πυ. Ἐν κακοῖς ἄρ' εἶ μεγίστοις, καί σ' ἀναγκαῖον θανεῖν.
Ορ. Ψῆφον ἀμφ' ἡμῶν πολίτας ἐπὶ φόνῳ θέσθαι χρεών.
Πυ. Ἣ κρινεῖ τί πρᾶγμα; λέξον· διὰ φόβου γὰρ ἔρχομαι.
Ορ. Ἢ θανεῖν, ἢ ζῆν· ὁ μῦθος δ' οὐ μακρὸς μακρῶν πέρι.
Πυ. Φεῦγέ νυν, λιπὼν μέλαθρα σὺν κασιγνήτῃ σέθεν.
Ορ. Οὐχ ὁρᾷς; ὡς φρουρίοις φυλασσόμεσθα πανταχοῦ.
Πυ. Εἶδον ἄστεως ἀγυιὰς τεύχεσιν πεφραγμένας. 759
Ορ. Ὡσπερεὶ πόλις πρὸς ἐχθρῶν, σῶμα πυργηρούμεθα.
Πυ. Κἀμὲ νῦν ἐροῦ τί πάσχω· καὶ γὰρ αὐτὸς οἴχομαι.
Ορ. Πρὸς τίνος; τοῦτ' ἂν προσείη τοῖς ἐμοῖς κακοῖς κακόν.
Πυ. Στρόφιος ἤλασέν μ' ἀπ' οἴκων φυγάδα θυμωθεὶς πατήρ.
Ορ. Ἴδιον, ἢ κοινὸν πολίταις ἐπιφέρων ἔγκλημά τι; 764
Πυ. Ὅτι συνηράμην φόνον σοι μητρὸς, ἀνόσιον λέγων.
Ορ. Ὦ τάλας, ἔοικε καὶ σὲ τἀμὰ λυπήσειν κακά.
Πυ. Οὐχὶ Μενέλεω τρόποισι χρώμεθ'· οἰστέον τάδε.
Ορ. Οὐ φοβῇ, μή σ' Ἄργος, ὥσπερ κἀμ', ἀποκτεῖναι θέλῃ;
Πυ. Οὐ προσήκομεν κολάζειν τοῖσδε, Φωκέων δὲ γῇ. 769
Ορ. Δεινὸν οἱ πολλοὶ, κακούργους ὅταν ἔχωσι προστάτας.
Πυ. Ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.
Ορ. Εἶεν· εἰς κοινὸν τί λέγειν χρή; Π. τίνος ἀναγκαίου πέρι;
Ορ. Εἰ λέγοιμ' ἀστοῖσιν ἐλθών. Π. ὡς ἔδρασας ἔνδικα;
Ορ. Πατρὶ τιμωρῶν ἐμαυτοῦ. Π. μὴ λάβωσί σ' ἄσμενοι.
Ορ. Ἀλλ' ὑποπτήξας, σιωπῇ κατθάνω; Π. δειλὸν τόδε. 775
Ορ. Πῶς ἂν οὖν δρῴην; Π. ἔχεις τίν', ἢν μένῃς, σωτηρίαν;
Ορ. Οὐκ ἔχω. Π. μολόντι δ' ἐλπὶς ἔστι σωθῆναι κακῶν;
Ορ. Εἰ τύχοι, γένοιτ' ἄν. Π. οὐκοῦν τοῦτο κρεῖσσον ἢ μένειν.
Ορ. Ἀλλὰ δῆτ' ἔλθω; Π. θανὼν γοῦν, ὧδε κάλλιον θανῇ.

Ore. Non eſt bellator, ſed inter mulieres ſtrenuus.
Pyl. Es in maximis malis, & neceſſe eſt te mori.
Ore. Oportet cives ferre calculos de noſtro maleficio.
Pyl. Quid quæſo tum ſtatuent? dic, ſum enim anxius.
Or. Ut aut moriamur, aut vivamus: non eſt longa oratio de rebus maximis.
Pyl. Fuge relinquens domum cum ſorore tuâ.
Ore. Non vides? cuſtodimur præſidiis undique.
Pyl. Vidi vias urbis ſeptas armis.
Ore. Clauſi tenemur corpore, ſicut urbs obſeſſa ab hoſtibus.
Pyl. Et me nunc interroga, quid factus ſim: nam & ego quoq; perii.
Ore. Cujus ope? hoc malum acceſſerit ad mala mea.
Pyl. Strophius pater expulit me iratus ex ædibus.
Ore. Objiciens crimen privatum aut publicum?
Pyl. Quod patrârim tecum cædem matris, pollutum *me eſſe* dicens.
Ore. O miſer! videris & tu affici meis malis.
Pyl. Non utemur moribus Menelai: ferenda ſunt hæc.
Ore. Non times, ne Argos velit & te, ſicut me, interficere?
Pyl. Non pertineo, quod ad pœnam, ad iſtos, ſed ad Phocenſes.
Ore. Multitudo eſt atrox, quando habet improbos præſides.
Pyl. Sed quando nanciſcitur bonos, habet bona conſilia.
Or. Eſto, ſed quod oportet dici de communi cauſâ? *P.* De quâ re neceſſariâ?
Ore. Si dicam cauſam veniens ad cives. *Pyl.* Quod juſta feceris?
Ore. Ulciſcens necem patris. *Pyl.* Vereor, ut te ſint placidè accepturi.
Ore. An perculſus metu tacitè moriar? *Pyl.* Hoc eſt timidi.
Ore. Quid ergo faciam? *Pyl.* Habes aliquam ſalutem, ſi maneas?
Ore. Non habeo. *Pyl.* Sed eunti eſt ſpes à malis ſervari?
Ore. Si contingat, poſſit fieri. *Pyl.* Ergo hoc melius eſt quam manere.
Ore. An igitur eo? *Pyl.* Etiamſi moriaris, honeſtius eſt ſic mori.

Οὐ γὰρ πολεμικὸς ὑπάρχει, γενναῖος δ' ἐν γυναιξίν. Ἐν κακοῖς] ἐν κινδύνοις, ὡς ἔοικας, ὑπάρχεις μεγίστοις, καὶ ἀναγκαῖόν ἐστί σοι ἀποθανεῖν. Ψῆφον] χρεία ἐστὶ θέσθαι τοὺς πολίτας ψῆφον περὶ ἡμῶν ἐπὶ τῷ φόνῳ, τουτέστι διὰ τὸν φόνον, ὃν εἰργασάμεθα. 755 Ἡ κρινεῖ] τί πρᾶγμα ἡ ψῆφος κρινεῖ, εἰπὲ, ὅτι δέδοικα. Ἢ θανεῖν] κρινεῖ ἢ θανεῖν ἡμᾶς, ἢ ζῆν. ὁ λόγος δὲ οὐ μακρός ἐστι περὶ μακρῶν πραγμάτων. Φεῦγε νυν] τὸ νῦν ἀργὸν, ἢ ἀντὶ τοῦ γοῦν, φεῦγε λοιπὸν σὺν τῇ ἀδελφῇ σου τοὺς οἴκους καταλιπών. Οὐχ ὁρᾷς] οὐ βλέπεις, πανταχόθεν φυλαττόμεθα φρουροῖς; εἶδον τὰς ῥύμας τῆς πόλεως δι' ὅπλων φυλαττομένας, ἀντὶ τοῦ ὑπ' ἀνδρῶν ὡπλισμένων ὀχυρουμένας. 760 Ὡσπερεὶ] καθὰ πόλις κυκλοῦται παρὰ τῶν ἐχθρῶν, κατὰ τὸ σῶμα κυκλούμεθα. Κἀμὲ] ἐρώτησον νῦν καὶ ἐμὲ τί *πεπόνθα. καὶ γὰρ καὶ ἐγὼ οὕτως οἴχομαι. Πρὸς τίνος] τοῦτο τὸ οἴχεσθαί σε δηλονότι, προσυπάρχει τοῖς ἐμοῖς κακὸν κακοῖς. Στρόφιος ὁ ἐμὸς πατὴρ ἐξώρισέ με τῶν οἴκων θυμωθείς. Στρόφιος Ἀναξιβίαν τὴν Ἀγαμέμνονος ἀδελφὴν ἔγημεν, ἐξ ἧς ἔσχε τὸν Πυλάδην, ὅθεν Ὀρέστης καὶ Πυλάδης ἀνεψιοί. Στρόφιος ἤλασέ μ'] ὁ Στρόφιος ὁ ἐμὸς πατὴρ ὀργισθεὶς, ἤλασέ με ἀπὸ τῶν οἴκων, φυγάδα ποιήσας, δηλονότι ἐξόριστον. λέγεται δὲ ἀντιστρόφως, ἀντὶ τοῦ ἀπελάσας τῶν οἴκων, ἐξόριστον ἐποίησεν. 764 Ἴδιον] ἤγουν πρὸς αὐτὸν ἰδίως ἀποβλέπων ἔγκλημα, ἤγουν ἁμάρτημα ἐπιφέρων σοι, τουτέστι κατηγορῶν σου, ἢ κοινὸν τοῖς πολίταις. Ἄλλως. Πότερον ἰδίᾳ κατὰ τὴν οἰκίαν ὅτι σοι ἐγκαλῶν, ἢ ἐν δημοσίῳ τινὶ πράγματι ἴδιον ἐπιφέρων σοι ἔγκλημα, ὅτι συνέπραξά σοι λέγων τὸν τῆς μητρός σου ἄδικον φόνον. Ὦ τάλας ἐγὼ, δοκοῦσιν αἱ ἐμαὶ δυστυχίαι καὶ σὲ λυπῆσαι. Οὐ χρώμεθα τοῖς Μενελάου ἤθεσι, ἄξιον φέρειν ταῦτα. Οὐ φοβῇ ἵνα μή σε οἱ Ἀργεῖοι, ὥσπερ καὶ ἐμὲ, ἀποκτεῖναι θελήσωσιν; Οὐ προσήκομεν] οὐχ ἁρμόζομεν κολάζεσθαι ὑπὸ τούτων. ὑπὸ τῆς γῆς δὲ τῶν Φωκέων. χαλεπὸν τὸ πλῆθος, ὅταν πανούργους ἀρχηγέτας ἔχῃ. Ναὶ δηλονότι, ἀλλ' ὅταν προστάτας λάβῃ χρηστοὺς, ἀεὶ χρηστὰ βουλεύεται. Ἄλλως. οὐχ ὑποτασσόμεθα τούτοις, εἰς τὸ τιμωρῆσαι ἡμᾶς οὐχ ὑποκείμεθα, ἀλλὰ τοῖς Φωκεῦσιν. ὁ δὲ νοῦς, δυνήσονταί σε φονεῦσαι ὑπερβάντες τὸν νόμον. δεινὸν γὰρ οἱ πολλοὶ ὡς καὶ τὰ ἑξῆς. Ἄλλως. Ἰδίως εἶπεν. τὰ γὰρ ἐπιτίμια τοῖς ἀδικοῦσιν, ἡ ἀδικουμένη πόλις εἴωθεν ἐπιτιθέναι. Ἄλλως. Θαρσύνων αὐτὸν φησὶν ὅτι οὐ προσήκομεν εἰς τὸ κολάζεσθαι τοῖς Ἀργείοις. 770 Δεινὸν οἱ πολλοὶ] εἰς Κλεοφῶντα ταῦτα αἰνίττεται πρὸ ἐτῶν δύο ἐμποδίσαντα ταῖς σπονδαῖς. Ἄλλως. Ἴσως αἰνίττεται πρὸς τὰς καθ' αὐτὸν δημαγωγίας· μήποτε δὲ εἰς Κλεοφῶντα. πρὸ ἐτῶν γὰρ δύο τῆς διδασκαλίας τοῦ Ὀρέστου, αὐτός ἐστιν ὁ κωλύσας σπονδὰς γενέσθαι Ἀθηναίοις πρὸς Λακεδαιμονίους, ὡς Φιλόχορος ἱστορεῖ. ὁ δὲ νοῦς, δυνήσονταί σε φησὶ φονεῦσαι ὑπερβάντες τὸν νόμον. δεινὸν γὰρ οἱ πολλοὶ, καὶ τὰ ἑξῆς. Ἀλλ' ὅταν χρηστοὺς] ἀλλ' ὅταν φησὶ χρηστοὺς καὶ κολακείας ἐκτὸς λάβωσι τοὺς δημαγωγοὺς, χρηστοὶ γίνονται. Εἶεν] ταῦτα μὲν οὕτως. κοινῶς δ' ὀφείλομεν σκοπεῖν, καὶ λέγειν τὰ δόξαντα. Ὡς ἔδρασας ἔνδικα] τοῦτο φησὶν ἐρεῖς, ὅτι ἐνδίκως ἔπραξας τὴν μητέρα ἀποκτείνας. Πατρὶ τιμωρῶν] ἐνδίκως γὰρ ἔπραξα φησὶ, τὸν ἐμαυτοῦ πατέρα ἐκδικῶν. Μὴ λάβωσι] ὅρα ἵνα μή σε ἡδέως λάβωσι. ἐπιθυμοῦσι γὰρ τοῦ σοῦ φόνου, ὥστε ἐὰν ἴδωσιν ἀφειμένον ἐκεῖσε, καὶ λέγειν ἐπιχειροῦντα, ὡς δικαίως τὸν φόνον εἰργάσατο, ταχέως κατὰ σοῦ ψῆφον θανάτου ἐξενέγκωσιν. τοῦτο δὲ λέγει ὁ Πυλάδης πρὸς τὸν τοῦ Ὀρέστου λόγον, τὸ πατρὶ τιμωρῶν ἐμαυτοῦ· εἰ γὰρ καὶ πρότερον αὐτὸς ὑπέθετο αὐτῷ μὴ ἄλλο λέγειν τοῖς πολίταις, ἢ ὡς ἔδρασεν ἔνδικα, ἀλλὰ νῦν ὥσπερ ὑποστέλλεται, εἰδὼς τοὺς πολίτας πρὸς τὸν Τυνδάρεων μᾶλλον νεύοντας, ἀλλ' ὑποσταλεὶς σὺν σιωπῇ ἀποθάνω. Χαλεπὸν τοῦτο. Πῶς οὖν ἂν ποιήσαιμι. Ἔχεις τινὰ ἢν μένῃς ἐλπίδα σωτηρίας; 777 Οὐκ ἔχω. Μολόντι] ἐλθόντι δέ φησιν εἰς τὴν ἐκκλησίαν, ἔνεστιν ἐλπὶς εὑρεῖν ἀπαλλαγὴν τῶν δεινῶν. μαθὼν οὖν τοῦτο, συναπεισι καὶ αὐτὸς παραπέμψας τὸν Ὀρέστην εἰς τὴν ἐκκλησίαν, διεγνωκὼς ἅπαξ οὐκ οὖσαν αὐτῷ σωτηρίας ἀφορμὴν ἄλλοθεν. Εἰ τύχοι] ἀντὶ τοῦ εἰ συμβαίη, οὐ γὰρ ἀμφίβολον ἐστὶ τοῦτο. Οὐκοῦν τοῦτο] τὸ ἀπελθεῖν λοιπὸν κρεῖττον ἢ μένειν, καὶ δῆτ' ἀπέλθω; Θανὼν γοῦν ὧδε] κἂν ἀποθάνῃς φησὶν ἐν τῇ ἐκκλησίᾳ ἀφόβως πεσὼν, ὡς καὶ πρὸς τὸν θάνατον ἀφόβως ὁρμήσας, καὶ μετὰ τοῦ δικαίου παρρησιασάμενος.

* κατθάνω] Vid. Not. ad *Hecub.* V. 1114

ANNOTATIONES.

V. 754. Ψῆφον ἀμφ' ἡμῶν] Ψῆφον σὰ δ' ἡμῶν in prioribus; ſed quis unquam ſic locutus Ψῆφον ἀπό τινος θέσθαι, neque per verſum licebit, ut nec ἐφ', ut legit *Duportus*; repono ergo ἀμφ' pro ἀφ', vel potius ἀμφ' ἡμῶν ut legit *Canterus* & MS. Collegii *Corporis Chriſti*, atque ideò in textum recepi.

V. 755. Ἡ κρινεῖ τί πρᾶγμα] MS. χρῆμα. Ἡ refertur ad ψῆφον.

V. 758. Ὡς φρουροῖς φυλ.] MS. φυλασσόμεσθα φρουρίοις & ὡς omittit.

V. 760. Πυργηρούμεθα] *Heſychius* ſtatuit etiam ſcriptum eſſe πυργούμενα. Forſan πυργηρούμεθα vel πυργουμεθα. MS. ut nos.

V. 761. Αὐτὸς] olim χρόνος ſed Αὐτὸς legit *Canterus* & MS.

Ορσ. Καὶ

Ορ. Καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι. Π. τὸ δὲ δοκεῖν, εὔχου μόνον.
Ορ. Εὖ λέγεις, φεύγειν τὸ δειλὸν τῆδε. Π. μᾶλλον, ἢ μένων.
Ορ. Καί τις ἄν γέ μ' οἰκτίσειε; Π. μέγα γὰρ ηὐγένειά σου.
Ορ. Θάνατον ἀσχάλλων πατρῷον; Π. πάντα ταῦτ' ἐν ὄμμασιν.
Ορ. Ἰτέον· ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν. Π. αἰνῶ τάδε.
Ορ. Ἦ λέγωμεν οὖν ἀδελφῇ ταῦτ' ἐμῇ; Π. μὴ πρὸς θεῶν.
Ορ. Δάκρυα γοῦν γένοιτ' ἄν. Π. οὐκ οὖν οὗτος οἰωνὸς μέγας.
Ορ. Δηλαδὴ σιγᾶν ἄμεινον. Π. τῷ χρόνῳ δὲ κερδανεῖς.
Ορ. Κεῖνό μοι μόνον προσάντες. Π. τί τόδε; καινὸν αὖ λέγεις.
Ορ. Μὴ θεαί μ' οἴστρῳ κατάσχωσ'. Π. ἀλλὰ κηδεύσω σ' ἐγώ.
Ορ. Δυσχερὲς ψαύειν νοσοῦντος ἀνδρός. Π. οὐκ ἐμοί γε σοῦ.
Ορ. Εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐμῆς. Π. τοῦδ' οὖν ἴτω.
Ορ. Οὐκ ἄρ' ὀκνήσεις; Π. Ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.
Ορ. Ἕρπε νῦν οἴαξ ποδός μοι. Π. φίλα γ' ἔχων κηδεύματα.
Ορ. Καί με πρὸς τύμβον πόρευσον πατρός. Π. ὡς τί δὴ τόδε;
Ορ. Ὥς νιν ἱκετεύσω με σῶσαι. Π. τὸ δὲ δίκαιόν γ' ὧδ' ἔχει.
Ορ. Μητρὸς δὲ μηδ' ἴδοιμι μνῆμα. Π. πολεμία γὰρ ἦν.
Ἀλλ' ἔπειγ', ὡς μή σε προφθῇ ψῆφος Ἀργείων ἑλεῖν,
Περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ·
Ὡς ἐγὼ δι' ἄστεως σε, σμικρὰ φροντίζων ὄχλου,
Οὐδὲν αἰσχυνθεὶς, ὀχήσω. " Ποῦ γὰρ ἂν δείξω φίλος,
" Εἴ σε μὴ 'ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;
Ορ. " Τοῦτ' ἐκεῖνο, κτᾶσθ' ἑταίρους, μὴ τὸ συγγενὲς μόνον·
" Ὡς ἀνὴρ, ὅστις τρόποισι συντακῇ, θυραῖος ὤν,
" Μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.

Or. Habeo juſtam cauſam. *Pyl.* Opto modo ut ità videatur illis.
Or. Rectè dixiſti, fugiam ſic opinionem timiditatis. *Pyl.* Magis quàm manens.
Or. Aliquis fortaſſe miſerebitur mei. *P.* Magna enim reſert nobilitas tua.
Or. Dolens paternam mortem. *Pyl.* Illa omnia plus valent in conſpectu.
Or. Eundum eſt: quia non eſt virile, mori non glorioſè. *P.* Laudo iſta.
Or. An dicamus iſta meæ ſorori? *Pyl.* Non per Deos.
Or. Fierent lacrymæ. *Pyl.* Magnum eſt hoc omen.
Or. Ergo melius tacere. *Pyl.* Tempore lucrum facies.
Or. Illud eſt mihi difficile. *Pyl.* Quid hoc? aliquid novi dicis.
Or. Ne deæ me apprehendant œſtro. *Pyl.* Ego curabo te.
Or. Difficile eſt tangere languentem virum. *Pyl.* Non mihi te.
Or. Cave fieri particeps mei furoris. *Pyl.* Hoc valeat.
Or. Non cunctaberis? *Pyl.* Cunctatio inter amicos magnum eſt malum.
Or. Vade, à gubernaculum mei pedis. *Pyl.* Tenens curam dignam amico.
Or. Ducas ad ſepulchrum patris. *Pyl.* Ad quid hoc?
Or. Ut ſupplicem ipſi ut ſervet me. *Pyl.* Rectè facis.
Or. At matris ne videam ſepulchrum. *Pyl.* Erat enim hoſtis.
Sed propera, ne te prius damnet calculus Argivorum,
Jungens meis lateribus latus imbecillum morbo:
Quia ego te per urbem, nihil curans populum,
Non pudore deterritus, vehani. " Ubi enim oſtendam me eſſe amicum,
" Si non juvem te exiſtentem in atroci calamitate?
Or. " Hoc eſt habere amicos, non tantum cognatos,
" Adeò vir quanquam alienus qui conglutinatus eſt moribus,
" Magis meretur haberi amicus, quam multi cognati.

Καὶ τὸ πρᾶγμα ἔνδικόν μοι] ἀλλὰ καὶ τὸ πρᾶγμά μου φησὶ δικαίως ἔρρωταί μοι, καὶ κατησφάλισται. παραχρῆμα γὰρ ἀνεῖλον, ὅθεν καὶ ἐλευθεριότητος προσδοκῶ. ἢ τοῦτο ἀκόλουθόν ἐστιν εἰς τὸ ἀλλὰ δῆτ' ἔλθω, ἔλθω φησὶ, καὶ τὸ πρᾶγμα ἔνδικόν μοι. ἔπραξα γὰρ τὸν φόνον τὸν μητρῷον, διὰ τὸν θάνατον ἀσχάλλων τὸν πατρῷον. ἔξω δὲ προσυπακουστέον, προσπεσὼν καὶ ἐλέους τεύξεσθαι διὰ τὸν θάνατον. 780 Τὸ δοκεῖν εὔχου μόνον] εὔχου φησὶ πάντας οὕτω δοξάζειν, ὅτι δίκαιόν ἐστι τὸ πρᾶγμα· ἐπεὶ πολλοῖς ἐδόκει ἄδικον εἶναι. καὶ Σιμωνίδης τὸ δοκεῖν καὶ τὴν ἀλήθειαν βιάζεται. ὁ δὲ Ὀρέστης καλῶς λέγει, φεύγω τὸ δειλὸν διὰ τὸ ἐκεῖ παραγενέσθαι, τουτέστι φεύγω τὸ εἶναι δειλὸς, οὐ παρέχω δειλίας ὑπόνοιαν, ὡς μὴ ἔνδικα πράξας, καὶ διὰ τοῦτο τὸ κριτήριον ἀποφεύγων. Φεύγω τὸ δειλὸν] ἀντὶ τοῦ τὴν ὑπερβολὴν τῆς δειλίας. τοῦτον τὸν τρόπον, τὸ τῇδε ἀντὶ τοῦ οὕτως, εἰ ἐκεῖ ἀπέλθω. ἢ τὸ τῇδε, ἀντὶ τοῦ ἐνταῦθα, ἤγουν φεύγω τὸ ἐνταῦθα δειλὸν, ἤγουν τὸ μένειν ἐνταῦθα. τοῦτο γὰρ δειλὸν, τὸ ἑξῆς, καὶ τίς ἄν γε μ' οἰκτίσειε θάνατον ἀσχαλῶν πατρῷον, ἤγουν τοῦ ἐμοῦ πατρός. Μέγα γὰρ ἡ εὐγένειά σου] ἤγουν διὰ τὸ εὐγενὲς ἐλεηθήσῃ, ὅτι πάνυ σοι συμβάλλεται πρὸς τὸν ἔλεον ἡ εὐγένεια. ὁ δὲ θάνατον ἀσχαλῶν πατρῷον, ἔπραξα φησὶ τὸν θάνατον τῆς μητρός. ἀσχαλῶν διὰ τὸν θάνατον τοῦ πατρός. τὸ δὲ ἑξῆς, καὶ τίς ἄν με οἰκτίσειε διὰ τὸν τοῦ πατρὸς ἀσχαλῶν θάνατον. Πάντα] πάντα ταῦτα προφανῆ εἰσι. Ἰτέον] ἄξιον ἀπελθεῖν, ὅτι δειλόν ἐστι τὸ ἀδόξως ἀποθανεῖν. Αἰνῶ τάδε] συναινῶ ταῦτα. 785 Ἦ λέγωμεν] ἆρα βούλει ἵνα εἴπωμεν τῇ ἀδελφῇ μου ταῦτα. Μὴ πρὸς θεῶν] μὴ λέξωμεν πρὸς θεῶν. Δάκρυα γοῦν] τὸ γοῦν ἐνταῦθα ἔμφασιν τοῦ γὰρ ἔχει, ὅπερ καὶ ἐν ποιήσει καὶ λογογραφίᾳ εὑρήσεις. Οὐκ οὖν οὗτος] οὐκ οὖν φησὶ παραιτητέον εἰπεῖν τῇ ἀδελφῇ, ἐπεὶ δακρύσει, καὶ τοῦτο αὐτὸ κακὸς οἰωνός ἐστι, τὸ δακρύειν δηλονότι. Ἄλλως. δέον οὕτως εἰπεῖν, ἀκούω τοῦτο ὃ φῄς, ὡς εἰ γνώσεται ἡμᾶς ἀπερχομένους κλαύσεται, μέγας οἰωνός ἐστιν, ἤγουν μέγα καὶ χαλεπὸν τεκμήριόν ἐστι πρὸς τὸν προκείμενον ἡμῖν ἀγῶνα, καὶ γὰρ ἡνίκα τι μέλλουσι πράξειν οἱ ἄνθρωποι, ἢν ἐν προοιμίοις λύπαις ἐντύχωσι, τεκμαίρονται ἐντεῦθεν, ὡς οὐ καλῶς οὐδ' ἀκινδύνως τοῦτο διανύσουσι, δέον οὕτως εἰπεῖν. ὁ δὲ εἴρηκεν, ἀκούω οὕτως οἰωνὸς μέγας, πρὸς τὸν οἰωνὸν τὸ οὕτως ποιήσας, ὥσπερ ἐστὶ καὶ τὸ

——— * ξύλινον δόλον ἐξερέεινε,
Ἣν παγίδα καλέουσι, ———

καὶ ἕτερα μυρία ἐστὶ τοιαῦτα παρὰ τοῖς ποιηταῖς καὶ τοῖς λογογράφοις. Τῷ χρόνῳ] τῇ ὑπερθέσει τῶν θρηνημάτων αὐτῆς κερδανεῖς, ὅ ἐστι, κἂν τὸ μὴ ὑπὸ σοῦ νῦν θρηνεῖσθαι κερδανεῖς. Ἄλλως. κερδανεῖς φησὶ τὸ μὴ δακρύσαι αὐτήν, καὶ φεύξεσθαι κακὸν οἰωνὸν ἐν τῷ μεταξὺ τῆς κρίσεως χρόνῳ, τουτέστιν ἕως ἂν ἡ κρίσις ἐξενεχθῇ. Ἄλλως. τοῦτο λέγει, ὡς εἰ μὴ νῦν μαθοῦσα δακρύσει, ἀλλ' ὕστερον, κέρδος ἕξεις τὸν χρόνον, ἐπειδὴ τὸ μὲν πρὸ τοῦ ἀγῶνος δακρῦσαι, τεκμήριον ὡς ἔφαμεν χαλεπόν. ἢν δ' ὕστερον τοῦτο ποιήσει, οὐδὲν ἡμῖν τοῦτο. Προσάντες] ἐμπόδιον, ἐναντίον. Τί τόδε] τί ἐστι τόδε ὃ πάλιν λέγεις νῦν. 788 Μὴ θεαί] δέδοικα μή πως με αὖθις αἱ θεαὶ τῇ μανίᾳ κατάσχωσι. Ἀλλ' ἐγὼ ἐπιμελήσομαί σου] Βαρὺ ἐφάπτεσθαι ἀσθενοῦντος ἀνδρὸς, ἀλλ' ἐμοὶ οὐχ ὑπάρχει δυσχερὲς τὸ ψαύειν σου. Φοβοῦ μανίας μεταλαβεῖν τῆς ἐμῆς. Τὸ δ' οὖν ἴτω] τὸ μανῆναι με ἐλθέτω. Οὐ φοβῇ σύ] οὐδαμῶς φοβήσομαι. φόβος γὰρ τοῖς φίλοις ὑπάρχει μέγα κακόν. Ἕρπε νῦν] βάδιζε νῦν πηδάλιον τῆς πορείας μου. Φίλ' ἔχων] βαδίζω, κυβερνήσεως, ἐπιμελείας καὶ κηδεμονίας ὑπὲρ σοῦ ποιούμενος. Καί με πρὸς τὸν τάφον ἄγε τοῦ πατρός. Ὡς τί δὴ τοῦτο] τί τοῦτο εἴρηκας, ἢ ἵνα τί ἐκεῖσε θέλεις ἀπελθεῖν. Ἵν' αὐτὸν παρακαλέσω σῶσαί με. Τὸ δρᾶν οὕτω δίκαιόν ἐστι. Τὸν μητρὸς δὲ μηδὲ θεάσωμαι τάφον. Ἐπειδὴ ἐχθρὰ ὑπῆρχεν, ἀλλ' ἐπείγου ἵνα μὴ [illegible] πρότερον ἡ καταδίκη καταλάβῃ. περιβαλὼν τοῖς ἐμοῖς πλευροῖς τὰ σὰ πλευρὰ, τὰ ὑπὸ τῆς νόσου ἀσθενῆ, καὶ δυσκίνητα, ὅτι ἐγὼ διὰ μέσης τῆς πόλεως οὐδαμῶς τοῦ πλήθους ἐπιστρεφόμενος, βαστάσω σε μηδὲν ἐντραπείς. Ἄλλως. οὐ φροντίσας τοῦ ὄχλου, ὀχήσω, καὶ βαστάσω σε διὰ μέσης τῆς πόλεως. πῶς γὰρ ὑπάρχων δείξω σοι πιστὸν φίλον ἐμαυτὸν, εἰ μὴ βοηθήσω σοι τανῦν ἐν δειναῖς συμφοραῖς ὄντι καὶ χαλεπαῖς. 802 Τοῦτ' ἐκεῖνο] ἦν ἄρα φησὶ καλῶς τοῦτο δεδογμένον καὶ ᾀδόμενον, τὸ μὴ μόνον τοὺς συγγενεῖς φίλους νομίζειν, ἀλλὰ καὶ εἴ τις βέβαιος τὴν διάθεσιν. Ὅτι ὅστις τρόπῳ καὶ διαθέσει συγγένηται φιλόξενος ὤν, πολλῶν συγγενῶν ἀμείνων ἐστὶν ὁ τοιοῦτος. Μυρίων κρείσσων, μυρίων ἀδελφῶν κρείσσων ὁ φίλος ἐστὶν ἀνθρώπων, εἰς τὸ κεκτῆσθαι αὐτόν. ὅμοιον τῷ, ἡδὺς ὁ ποταμὸς πιεῖν.

* *Hom. Batrachom.* V. 115.

A N N O T A T I O N E S.

V. 780. Καὶ τὸ πρᾶγμά γ', MS. &c. τοῦ δοκεῖν.

V. 782. Ἀσχάλλων] Ita MS. mallem aliis ἀσχαλῶν ab ἀσχαλάω, quod quidem magis Poeticum & metro convenientius, & probabilius videtur, eò quòd prima nostrum Editio Scholiorum ſemper habet ἀσχαλῶν cum ſimplici λ, adeò ut error in accentu fuerit tantum. Eadem Editio (nempè *Lucantonii* Juntæ An. 1534.) legit in verſu præcedenti ἡ εὐγένειά σου. [illegible] illius ſanè Authoritate multùm in hoc opere ſum fiſus, eò quod ab ipſo *Arſenio* ſit adornata.

V. 800. Δείξω] Mallem quidem δείξω [illegible], ſed quia nullius Editionis, aut MS. Authoritas pro me facit, Religio mihi fuit textum mutare. In proximo item verſu δειναῖς οὖσα forſan: Judicent Docti. *Canterus* autem leviori paulò mutatione legit, μὴ 'ν δειναῖσιν ὄντα, cui favet MS.

ΕΓΩ-

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. Ὁ μέγας ὄλβος, ἅ τ' ἀρετὰ,
Μέγα φρονοῦσ' ἀν' Ἑλλάδα, καὶ
Παρὰ Σιμουντίοις ὀχετοῖς,
Πάλιν ἀνῆλθ' ἐξ εὐτυχίας Ἀτρείδαις,
Πάλαι παλαιᾶς ἀπὸ συμφορᾶς δόμων,
Ὁπότε χρυσείας ἔρις ἀρνὸς
Ἤλυθε Τανταλίδαις,
Οἰκτρότατα θοινάματα, καὶ
Σφάγια γενναίων* τέκνων. ὅθεν
Φόνῳ φόνος ἐξαμείβων,
Δι' αἵματος οὐ προλείπει
Δισσοῖσιν Ἀτρείδαις.

Ἀντιστροφή.

Τὸ καλὸν, οὐ καλὸν, τοκέων
Πυριγενεῖ τέμνειν παλάμᾳ
Χρόα, μελάνδετον δὲ φόνῳ

* al. τεκέων, sic MS. & Scaliger.

Strophe.

Ch. 1 Magna potentia & virtus
2 Superbiens per Græciam &
3 Ad Simoentis rivos,
4 Retrò verſa eſt ex felicitate Atridis,
5 Jam olim ab antiquâ calamitate familiæ;
6 Quando lis de aureo Agno
7 Venit Tantalidis;
8 Miſerrimæ epulæ, &
9 Neces nobilium liberorum: unde
10 Cædes cæde mutata,
11 Per cædes non deſinit
12 Inter duos Atridas.

Antiſtrophe.

1 Honeſtum, non eſt honeſtum: parentum
2 Secare ſervâ manu
3 Corpus, & illum cæde nigrum

Ὁ μέγας ὄλβος] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα τριὰς ἐπῳδική, καὶ εἰσὶ τῆς στροφῆς τὰ κῶλα ιβ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διτρόχου πεντασυλλάβου, καὶ χοριάμβου β. εἰ δὲ βούλει, ἰωνικὸν ἢ παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος δ, ἰωνικοῦ ἀπὸ μείζονος, καὶ ἐπιτρίτου δευτέρου. τὸ β καὶ τὸ γ ὅμοια κατὰ πάντα. τὸ δὲ δ ἰωνικὸν, τρίμετρον ἀκατάληκτον ἐκ παίωνος δ, ἰωνικοῦ ἀπὸ μείζονος, καὶ ἐπιτρίτου β'. τὸ ε ἐπιχοριαμβικὸν τρίμετρον ἀκατάληκτον, καλούμενον ἀσκληπιάδειον, ὃ κατὰ τέλος ἔχει ἰαμβικὰς συζυγίας, μέσον δὲ τὸν χορίαμβον, καὶ ἔστι τῶν πολυσχηματίστων. τὸ ς ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος δ' ἰωνικοῦ καὶ τροχαίου. ἔχει δὲ ἐνταῦθα τὸν ἰωνικὸν πεντασύλλαβον. τὸ ζ ἀναπαιστικὸν πενθημιμερές. ἐνταῦθα δὲ καὶ δάκτυλον ἔχει τὸν α πόδα. τὸ η ὅμοιον ἑφθημιμερές. εἰ δὲ ἐν τοῖς κώλοις ἀναμίξ ὡς οἱ πόδες κεῖνται, οὐ θαῦμα, τοῦ αὐτοῦ γὰρ μέτρου εἰσὶν ἀμφότεροι, ὅ, τε δάκτυλος καὶ ὁ ἀνάπαιστος. τὸ θ προσοδιακὸν δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ χοριάμβου, διὰ τὴν ἀδιαφορίαν, ἐνταῦθα δὲ πεντασύλλαβον ἔχει τὸν ἰωνικόν. τὸ ι ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον, βραχυκατάληκτον ἐξ ἐπιτρίτου γ, ἀντὶ ἰωνικοῦ καὶ σπονδείου. τὸ ια ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ β ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β, καὶ ἐπιτρίτου β. τὸ ιβ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἐπὶ τοῦ τέλει τῆς στροφῆς καὶ τῆς ἀντιστροφῆς, παράγραφος. Ὁ μέγας ὄλβος] τὸ ἑξῆς, ὁ μέγας ὄλβος καὶ ἡ ἀρετὴ τῶν Ἀτρειδῶν ἡ μεγαλοφρονήσασα καὶ ἐν Ἑλλάδι, καὶ ἐν Τροίᾳ, εἰς τὸ ἐναντίον τῆς εὐδαιμονίας ἀνῆλθεν, ἤγουν εἰς δυστυχίαν ἀρχαίαν, τὴν τοῖς Ἀτρείδαις συμπεσοῦσαν ἐπὶ τῷ χρυσομάλλῳ ἀρνίῳ. διάκειται καὶ μεγαλοφρονοῦσι τοῖς Ἀτρείδαις. Ἄλλως. διὰ τὴν παλαιὰν, καὶ πάλαι γεγενημένην συμφορὰν, λέγει δὲ τὴν μοιχείαν τῆς γυναικὸς Ἀτρέως, καὶ τὴν βορὰν τῶν τέκνων τοῦ Θυέστου, ὡς καὶ ἐν τοῖς ἑξῆς ἐπάγει. ἢ οὕτως, προδιαπράξασα ὑπάρχει κατὰ τὸν ἀνέκαθεν χρόνον συμφορὰς τῶν τέκνων αὐτοῦ, ἀπὸ εὐτυχίας τῆς κατὰ τὸ Ἴλιον, καὶ πάλιν δυστυχίας τῆς νῦν γεγενημένης, ἢ τῆς αὐτοῖς προσεζευγμένης συμφορᾶς ἀτόπως, τῶν μὲν οἰκτροτάτων παίδων βορᾶς. τῶν δὲ σφαγῶν ἀνοσίων τέκνων ἀδελφοῦ. ἑξῆς δὲ χρόα τέμνειν πυριγενεῖ παλάμᾳ. ἐπὶ τῶν τοκέων δὲ ἔλαβε παρὰ τὸ τεκεῖν ἴσως. Ἄλλως. ὁ μέγας ὄλβος, καὶ ὁ περίπυστος κατὰ πᾶσαν τὴν Ἑλλάδα, καὶ ἐν Ἰλίῳ τῶν Ἀτρειδῶν εὐδαιμονία καὶ ἀρετὴ, εἰς τοὐπίσω πάλιν ἀνέδραμεν, ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταβληθεῖσα, καὶ ὥσπερ εἰπεῖν ἀπόρροιαν ἔχουσα. Ἐκ τῆς παλαιᾶς ἐκείνης τῆς κατ' οἶκον συμφορᾶς. ὁπότε γὰρ ἡ Ἔρις αὐτοῖς ἡ περὶ τοῦ χρυσομάλλου ἀρνίου, εἰργάσατο ἐλεεινὰ βρώματα, καὶ σφαγὰς ἀνοσίας συγγενῶν τέκνων τοῦ Θυέστου. ἐξ ἐκείνου δὲ συγχύσεις, καὶ ἀλληλάλληλοι σφαγαὶ, οὐ προλείπουσι τὸν τῶν Ἀτρειδῶν οἶκον. καὶ τὸ νομιζόμενον καλὸν, οὐ καλόν ἐστι. λέγει δὲ τὸ ἀτίμως χειρὶ διατεμεῖν τὸν χρόα τῶν γονέων, καὶ ἡμαγμένον ἀνατεῖναι τὸ ξίφος εἰς τὰς τοῦ Ἡλίου αὐγάς. τὸ γὰρ ἀδικοῦντα πατέρα, ἀσεβῶν ἐστι καὶ ἀνοσίων τέκνων, καὶ πονηρῶν ἀνθρώπων. τὸ δὲ γε τῆς συμφορᾶς τῆς κατὰ τοῦτον, ἐλεεινότερον. μάλιστα γὰρ τῷ ἐλεεινῷ τῇ Τυνδαρείᾳ Κλυταιμνήστρᾳ, φόβῳ τοῦ θανάτου ἀνεβόησεν ἡ δυστυχής, Ὀρέστα, τολμᾷς μὲν τὸν κατὰ τῆς μητρὸς φόνον, ὅρα δὲ καὶ αὐτὸν μὴ τῆς εἰς τὸν πατέρα τιμωρίας ἀντικαταλλάξῃ δύσκλειαν ἀθάνατον. οὔτε γὰρ νόσος, οὔτε τις ἑτέρα συμφορὰ γένοιτ' ἂν ἐν ἀνθρώποις μείζων μητροκτονίας. 810 Χρυσείας ἔρις ἀρνὸς] Πέλοπος Ἀτρεὺς καὶ Θυέστης ἦσαν υἱοί. Ἀτρεὺς δὲ τὸν ὁμοπατέριον ἀδελφὸν Χρύσιππον ἀγαπώμενον ἀμέτρως ὑπὸ τοῦ πατρὸς, αὐτὸν φθονήσας, εἰς φρέαρ ἀποπνίγει. ὁ μαθὼν Πέλοψ, ἐξώκισεν αὐτόν. ὕστερον δὲ μετὰ θάνατον Πέλοπος ἐπανῆλθε, καὶ ἑκάτερος αὐτῶν τῆς βασιλείας ἀντεποιεῖτο. Ἀτρεὺς μὲν, ὡς πρῶτος ὢν κατὰ νόμους. Θυέστης, δὲ τοῖς νόμοις ἐναντιούμενος. συνέθεντο οὖν εἴ τις αὐτῶν δείξῃ τι τέρας, κύριος ἔσται τῆς ἀρχῆς. ἐν τοῖς ποιμνίοις δὲ τοῦ Ἀτρέως, εὑρίσκεται χρυσοῦν ἀρνίον. καὶ μέλλοντος Ἀτρέως δεῖξαι τὸ τέρας τοῖς δικασταῖς, καὶ λαβεῖν τὴν ἀρχὴν, Ἀερόπη γυνὴ τούτου μοιχευθεῖσα Θυέστῃ τῷ ἀδελφῷ, κλέψασα τοῦτο παρέδωκεν αὐτῷ. Θυέστης δὲ λαβὼν τοῦτο, καὶ δείξας τοῖς δικασταῖς, τῆς ἀρχῆς ἐκράτησε. μὴ ἀναφερόμενος οὖν Ἀτρεὺς, ἀλλὰ δυσχεραίνων, ὅτι ἀδίκως ἐστέρηται τῆς ἀρχῆς, ἅμα τε Ἀερόπην τιμωρεῖται κατ' ἄμφω, καὶ ὅτι ἐμοιχᾶτο Θυέστῃ, καὶ ὅτι κέκλοφε τὸ ἀρνίον, καὶ δέδωκεν αὐτῷ, ῥίψας αὐτὴν εἰς τὴν θάλασσαν, ὡς φησὶ Σοφοκλῆς. καὶ τοὺς τρεῖς υἱοὺς τοῦ Θυέστου, Ἀγλαὸν, Ὀρχομενὸν, καὶ Καλέαον ἀποκτείνας παρέθηκεν εἰς τράπεζαν τῷ πατρὶ, καὶ αὐτὸν ὕστερον ἀπώλεσεν. ... ὁ Ἥλιος μὴ στέρξας τὸ γινόμενον, μίαν ἡμέραν ἐκ δυσμῶν πρὸς τὰ ἀφρῷα. σὺν αὐτῷ δὲ καὶ αἱ Πλειάδες τὴν ἐναντίαν ἐβάδισαν. Ἤλυθε Τανταλίδαις] ἦλθε τοῖς ἀπογόνοις τοῦ Ταντάλου ἡ Ἔρις τῆς χρυσῆς ἀρνὸς, ἤγουν ὑπὲρ τῆς χρυσῆς ἀρνός. Ἔρις γὰρ τινὸς λέγεται, καὶ ἣν ἐρίζει αὐτὸς πρός τινα, καὶ ἣν ἐρίζει τις πρὸς αὐτὸν, καὶ ἣν ἐρίζουσιν ἕτεροι περὶ αὐτοῦ. 813 Σφαγὰς γενναίων τεκέων] τῶν εὐγενῶν τέκνων τοῦ Θυέστου. Φόνος φόνον ἐξαμείβων] φόνος φόνον διαδεχόμενος. ἐξ ἐκείνου δὲ φόνοι συνεχεῖς, καὶ ἀλληλάλληλοι σφαγαὶ οὐ διαλείπουσι τὸν τῶν Ἀτρειδῶν οἶκον. 815 Οὐ προλείπει] τὰ δευτέρῳ συμβάντα, κατ' ἀμφοτέρων ἐξήτασεν. τί γὰρ δεινὸν ὁ Μενέλαος ἐπανελθὼν πέπονθεν, εἰ μὴ τὰ ἐν Ἰλίῳ δι' αὐτὸν γενόμενα λέγει. καὶ σύλληψις οὖν ὁ τρόπος. τὸ γὰρ ἑτέρῳ συμβὰν, κατ' ἀμφοτέρων ἔταξεν. Τὸ καλὸν] τὸ καλὸν δοκοῦν γενέσθαι, οὐ καλῶς ἀπέβη τῷ Ὀρέστῃ. τὸ δὲ ἐστι τὸ ἀπηνεῖ χειρὶ διατεμεῖν τὸν χρόα τῶν γονέων, καὶ ἡμαγμένον ἀνατεῖναι τὸ ξίφος εἰς τὰς τοῦ Ἡλίου αὐγάς. Τόδ' αὐτὸ δὲ μετὰ λόγου καὶ πανουργίας ἐπιχειρεῖν τι καὶ πράττειν κακὸν, οὐχ ἁπλῆ ἐστιν ἀσέβεια. ἔστι δὲ καθόλου τοῦτο καὶ ἐπὶ Ἀτρέως καὶ Θυέστου, καὶ ἐπὶ Κλυταιμνήστρας, καὶ ἐπ' Αἰγίσθου. καὶ οὐ μόνον ἐπὶ τούτων, ἀλλὰ καὶ καθολική ἐστι γνώμη. τὸ δὲ κακοφρονούντων ἀνδρῶν παράνοια, τοιοῦτον ἐστι. τῶν κακὰ διαλογιζομένων ἀνδρῶν, ἀντὶ τοῦ ἀλογιστόν ἐστιν. ἡ τοιαύτη ἡ σύνταξις. οὐδὲ τοῦτό φησι καλὸν, τὸ, τὸ ξίφος ἡμαγμένον δεῖξαι ταῖς τοῦ ἡλίου αὐγαῖς. εἰώθασι γὰρ οἱ ἀναιροῦντες τινὰ δικαίως, ὡς οἴονται, τῷ ἡλίῳ τὸ ξίφος δεικνύναι, σύμβολον τοῦ δικαίως πεφονευκέναι. Μελάνδετον δὲ] διὰ τὸ μέλαιναν λαβὴν ἔχειν, τουτέστι μελάγκωπον, ἢ μέλαν ὑπὸ τοῦ φόνου γενόμενον. πολλὰ δέ εἰσι τὰ τοιαῦτα σύνθετα. οἷον κελαινεφὲς αἷμα. οὐ γὰρ ἔγκειται τὸ νέφος. οὕτω καὶ ἐνταῦθα τὸ δεδέσθαι οὐκ ἔγκειται. Ἄλλως. τὸ μὲν κακουργεῖν, ἀσεβῶν ἐστι, καὶ πονηρῶν ἀνθρώπων. τὸ δὲ τῆς συμφορᾶς τῆς κατὰ τοῦτον, ἐλεεινότερον. Ἄλλως. ἀλλὰ καὶ τὸ δεινὰ πράττειν ἀσεβῶν ἐστιν. τοῦτο δέ φησιν, ἐπειδὴ ἡ Κλυταιμνήστρα ἐφόνευσε τὸν Ἀγαμέμνονα. Πυριγενεῖ] ἀπηνεῖ, καὶ θερμῇ, καὶ ἀτσιδήρῳ. ὡς ἂν

4 Ξίφος εἰς αὐγὰς ἀελίοιο δεῖξαι.
5 " Τὸ δ' αὖ κακουργεῖν, ἀσέβεια μεγάλη,
6 " Κακοφρόνων τ' ἀνδρῶν παράνοια.
7 Θανάτου γὰρ ἀμφὶ φόβῳ
8 Τυνδαρὶς ἰάχησε τάλαινα.
9 Τέκνον, οὐ τολμᾷς ὅσια,
10 Κτείνων σὰν ματέρα. μὴ πατρῴαν
11 Τιμῶν χάριν, ἐξανάψῃ
12 Δύσκλειαν ἐσαεί.

Ἐπῳδός.

1 Τίς νόσος, ἢ τίνα δάκρυα,
2 Καὶ τίς ἔλεος μείζων κατὰ γᾶν
3 Ἢ ματροκτόνον αἷμα χειρὶ θέσθαι;
4 Οἷον οἷον ἔργον τελέσας
5 Βεβάκχευται μανίαις,
6 Εὐμενίσι θήραμα φόνῳ
7 Δρομάσι, δινεύων βλεφάροις
8 Ἀγαμεμνόνειος παῖς;
9 Ὦ μέλεος, ματρὸς ὅτε
10 Χρυσεοπηνήτων φαρέων
11 Μαστὸν ὑπερτέλλοντ' ἐσιδὼν,
12 Σφάγιον ἔθετο ματέρα,
13 Πατρῴων παθέων ἀμοιβάν.

4 Ensem ostendere in lumen Solis,
5 " Jam scelus admittere, est magna impietas,
6 " Et flagitiosorum hominum amentia.
7 Nam in metu mortis
8 Tyndaris misera clamavit:
9 O fili, non facis pia,
10 Occidens tuam matrem.
11 Vide, ne colens paternam gratiam, contrahas
12 Infamiam perpetuam.

Epodus.

1 Quis morbus, aut quæ lacrymæ,
2 Aut quæ misericordia est major in terrâ,
3 Quàm fieri homicidam matris?
4 Quali, quali re confectâ
5 Insanus factus est furiis,
6 Furiis propter cædem præda est
7 Velocibus, circumferens oculos
8 Filius Agamemnonis.
9 O miser, quando matris
10 Ex auratis vestibus
11 Videns mammam exertam,
12 Interfecit matrem,
13 In ultionem paterni casûs.

ἂν ἐκ πυρὸς γεγυμνωμένη, ἢ τῷ ξίφει. ἐπεὶ ὑπὸ πυρὸς παλαιοῦται. Ἀμφὶ φόβῳ] διὰ τὸν φόβον τοῦ θανάτου. Ἰάχησεν] ἐβόησεν. Ἐξανάψῃ] ἐγείρῃς κακὴν φήμην δι' ὅλου. Τίς νόσος, ἢ τίνα δάκρυα] τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα ἐστὶ ιγ. τὸ α ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἐκ δύο δακτύλων καὶ β ἀναπαίστων, τοῦ β διαλελυμένου, καὶ γενομένου προκελευσματικοῦ, ἤτοι τετραβράχεος. τὸ β ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον. εἰ δὲ βούλει ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον. τὸ γ ἀσυνάρτητον ἐκ δακτυλικοῦ διμέτρου, καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. εἰ δὲ βούλει, ἀντιπαστικὸν τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου τετάρτου, διϊάμβου καὶ βακχείου. τὸ δ τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ γ ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β, καὶ ἀναπαίστου, καὶ ἔστιν ἑφθημιμερές. τὸ ε ὅμοιον ἰωνικὸν ἐξ ἐπιτρίτου α, καὶ ἀναπαίστου. τὸ ς παιωνικὸν δίμετρον, ὑπερκατάληκτον, ἐκ παιώνων τετάρτων δύο, καὶ συλλαβῆς. τὸ ζ ἑφθημιμερές. τὸ η ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ α ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάττονος ἑφθημιμερές, ἐκ παίωνος γ, ἀντὶ ἰωνικοῦ καὶ μολοσσοῦ. τὸ θ χοριαμβικὸν δίμετρον, ἀκατάληκτον, διὰ τὴν ἀδιάφορον. τὸ ι ἀντιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου β πεντασυλλάβου καὶ χοριάμβου. τὸ ια προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐκ χοριάμβου ἰωνικοῦ ἀπὸ μείζονος, καὶ συλλαβῆς. τὸ ιβ, τροχαϊκὸν ἑφθημιμερές, τῶν πρώτων δύο ποδῶν χορείων. τὸ ιγ ἀντιπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου διϊάμβου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει κορωνὶς, καὶ παράγραφος. ταῦτα γάρ ἐστι σημεῖα τοῦ τέλους τῆς ἐπῳδοῦ. 830 Τίς ἔλεος] οἷον τίς δυστυχία εἰπεῖν, ἔλεος εἶπεν ἀπὸ τοῦ συμβαίνοντος. τοῖς γὰρ δυστυχοῦσιν, ἔλεος παρὰ τῶν ἀνθρώπων γίνεται. τὸ αὐτὸ δὲ νοητέον, καὶ περὶ τὸ τίνα δάκρυα. βούλεται δὲ ἐντεῦθεν εἰπεῖν, ὅτι πάντων ὅσα παρὰ ἀνθρώποις δεινὰ, τὸ ἀποκτεῖναι μητέρα δεινότερον. Μείζων κατὰ γᾶν] οὐδεὶς δηλονότι. ἐπεὶ οὔτε νόσος, οὔτε συμφορὰ, μείζων ἐστὶ τῆς μητροκτονίας. Οἷον ἔργον τελέσας] ὅτι ὁ δυστυχὴς Ὀρέστης καταπραξάμενος τὸ τῆς μητροκτονίας, ἄγρευμα γεγένηται ταῖς Ἐριννύσι, συλληφθεὶς ὑπ' αὐτῶν, διὰ τὸν τῆς μητρὸς φόνον. δινεύων δὲ βλεφάροις, ἀντὶ τοῦ περιδινούμενος τοὺς ὀφθαλμοὺς (τοιοῦτοι γὰρ οἱ μανιώδεις) καὶ πανταχοῦ περιστρέφων αὐτοὺς, ὅ ἐστι πλανώμενος ἔχων τοὺς ὀφθαλμούς. τὸ δὲ ἑξῆς, Εὐμενίσι δρομάσι, δρομάσι δὲ ταῖς εὐκινήτοις. Τελέσας] διαπραξάμενος. Βεβάκχευται] πεπάρακται. 835 Δρομάσι] ταχείαις. Δινεύων] περισκοπούμενος. Ὦ μέλεος] ὡς ἄρα ἤδη τὴν φύσιν αἰδοῦς, ἥτις ἡ σε ὠδινήσασα προτείνει σοι τὸν μαστὸν ὑπὸ τῶν χρυσούφων ἱματίων, γαλακτοτροφίας ὑπομιμνήσκουσα, καὶ τὸν ἔλεον διὰ τούτου θηρωμένη. σὺ δὲ πρὸς τοῦτο ἀπιδὼν, οὐκ ἠλέησας τὴν τεκοῦσαν. ἀλλὰ γέγονας τῆς μητρὸς αὐτόχειρ φονεὺς, τῷ σῷ πατρὶ ὑπὲρ ὧν πέπονθεν ἐκδίκησιν δι' ἀσεβείας διδούς. Χρυσοπηνήτων] ἐκ χρυσοῦ καὶ * μετάξης κατασκευασθέντων ἱματίων. Ὑπερτέλλοντα] ὑπερκύπτοντα, ὑπεραιρόμενον. Ἀμοιβὴν] εἰς ἐκδίκησιν.

* μετάξα] Vide *Jo. Meursii* Glossarium Græco-Barbarum in hac voce & quæ nos ad *Hecub.* V. 1114. in Schol.

ANNOTATIONES.

V. 820. Ξίφος εἰς αὐγὰς ἀελίου δεῖξαι] *Mos fuit* Antiquis, ubi quis rectè & jure per alterius cædem se vindicasse putaret, quasi Innocentiæ suæ testes faceret Deos, *Cruentum Gladium soli vibratim ostendere.* Quod breviter *Scholiastes* attingit. *Josua Barnes.*

ARGUMENTUM

ARGUMENTUM *Actûs* Tertii.

ELECTRA, *dum de Abſentiâ Fratris & Amici ejus ſollicita quærit, Nuntius opportunè ſupervenit, qui totum ex ordine narrat Judicii eventum, quomodò nempe & quid actum ſit de Oreſte; ubi optimè ſuo more Poeta deſcribit varia mobilis vulgi in ſententiis ferendis ſtudia & quomodò à malè-feriatis Oratorculis huc illuc impelluntur. Electra his novis turbata in luctus & lamenta ſolvitur, & fatalem Domûs ſuæ calamitatem jamque appropinquantem interitum deplorat.*

ΗΛΕΚΤΡΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Ηλ. Γυναῖκες, ἦ που τῶνδ' ἀφώρμηται δόμων
Τλήμων Ὀρέστης, θεομανεῖ λύσσῃ δαμείς;
Χο. Ἥκιστα· πρὸς δ' Ἀργεῖον οἴχεται λεὼν,
Ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
Δώσων, ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.
Ηλ. Οἴμοι. τί χρῆμ' ἔδρασε; τίς δ' ἔπεισέ νιν;
Χο. Πυλάδης· ἔοικε δ' οὐ μακρὰν ὅδ' ἄγγελος
Λέξειν τἀκεῖθεν σοῦ κασιγνήτου πέρι.
Αγ. Ὦ τλῆμον, ὦ δύστηνε τοῦ στρατηλάτου
Ἀγαμέμνονος παῖ, πότνι' Ἠλέκτρα, λόγους
Ἄκουσον, οὕς σοι δυστυχεῖς ἥκω φέρων.
Ηλ. Αἶ, αἶ· διοιχόμεσθα· δῆλος εἶ λόγῳ.
Κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος.
Αγ. Ψήφῳ Πελασγῶν σὸν κασίγνητον θανεῖν,
Καί σ', ὦ τάλαιν', ἔδοξε τῇδ' ἐν ἡμέρᾳ.
Ηλ. Οἴμοι, προσῆλθεν ἐλπὶς, ἣν φοβουμένη
Πάλαι, τὸ μέλλον ἐξετηκόμην γόοις.
Ἀτὰρ τίς ἀγὼν, τίνες ἐν Ἀργείοις λόγοι
Καθεῖλον ἡμᾶς, κἀπεκύρωσαν θανεῖν;
Λέγ' ὦ γεραιέ· πότερα λευσίμῳ χερὶ,
Ἢ διὰ σιδήρου πνεῦμ' ἀπορρῆξαί με δεῖ,
Κοινὰς ἀδελφῷ συμφορὰς κεκτημένην;
Αγ. Ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω
Βαίνων, πυθέσθαι δεόμενος τά τ' ἀμφὶ σοῦ,
Τά τ' ἀμφ' Ὀρέστου· σῷ γὰρ εὔνοιαν πατρὶ
Ἀεί ποτ' εἶχον· καί μ' ἔφερβε σὸς δόμος,
"Πένητα μὲν, χρῆσθαι δὲ γενναῖον φίλοις.
Ὁρῶ δ' ὄχλον στείχοντα, καὶ θάσσοντ' ἄκραν
Οὗ φασι πρῶτον Δαναὸν Αἰγύπτῳ δίκας
Διδόντ', ἀθροῖσαι λαὸν εἰς κοινὰς ἕδρας.

Ele. Mulieres, an aliquò abiit ab his ædibus
Miſer Oreſtes, victus divinitus immiſſâ rabie?
Cho. Non, ſed vadit ad populum Argivum,
De vitâ propoſitum certamen
Obiturus, in quo oportet vos mori, aut vivere.
Ele. Hei mihi, quid fecit, quis perſuaſit eum?
Cho. Pylades: ſed videtur iſte nuncius citò
Dicturus, quid ſit ibi factum de tuo fratre.
Nun. O miſera, ô infelix ducis
Agamemnonis filia, veneranda Electra, ſermones
Audi, quos infelices tibi ferens advenio.
Ele. Hei, hei: perimus: ſignificas hoc oratione.
Nam ut videtur, venis nuncius malorum.
Nun. Calculo Argivorum, ut interficiatur tuus frater,
Et tu, ô miſera, ſtatutum eſt hodie.
Ele. Hei mihi, venit ſpes, quam metuens
Olim, propter futura contabeſcebam luctu.
Sed quod certamen, quæ orationes inter Argivos
Damnaverunt nos, & ſuffragium tulerunt de morte?
Dic, ô ſenex, utrum lapidante manu,
An per ferrum oportet me abrumpere ſpiritum,
Habentem calamitatem cum fratre communem?
Nun. Eram ex agro intra portas
Veniens, volens audire de te
Et de Oreſte. Nam erga tuum patrem benevolentiam
Semper habui, & me alebat tua familia,
" Pauperem quidem, ſed conſtantem in amicitiâ.
Video populum euntem, & inſidentem tumulo,
Ubi dicunt primùm Danaum Ægypto pœnas
Dantem, congregâſſe populum in communes ſedes.

Γυναῖκες ἦ που] Τὰ ἑξῆς, αὖ τις οἱ ἐπεισόδιοι στίχοι εἰσὶν ἰαμβικοὶ, τριμέτροι ἀκατάληκτοι, στίχ. ὧν τελευταῖος, ὡς εἰς στεναγμοὺς καὶ γόους διεσπασμένη, ὅτι τοῖς ἀποθέτοις ὁ ἄγγελος, ὅτι δὲ τῷ τέλει κορωνίς. Γυναῖκες] ὦ γυναῖκες, ἆρα ἐξῆλθεν τῶν δόμων ὁ ἄθλιος Ὀρέστης τῇ ἐκ θεοῦ ἐρχομένῃ τύχῃ δαμασθείς. [844] Ἥκιστα] οὐδαμῶς μαινόμενος. συνεργοῦν δὲ ἀπῆλθε πρὸς τὸν Ἀργεῖον λαὸν, δώσων ἀγῶνα τὸν προκείμενον περὶ τῆς ζωῆς. ἐν ᾧ ἀγῶνι ἀπόκειται ἢ ζῆν ἢ θανεῖν ὑμᾶς. φεῦ, τί πρᾶγμα πεποίηκε. τίς δὲ κατέπεισεν αὐτὸν; ὁ Πυλάδης. φαίνεται δὲ δὴ ὁ ἄγγελος οὐ μακρὰν ὢν, εἰπεῖν τὰ ἀπὸ τῶν Ἀργείων περὶ τοῦ ἀδελφοῦ σου. ὦ ἀθλία θύγατερ τοῦ Ἀγαμέμνονος σεβασμία Ἠλέκτρα, ἄκουσον λόγους δυστυχεῖς, οὓς σοι φέρων ἐλήλυθα. Παῖ πότνια] πότνιαν αὐτὴν καλεῖ, ἢ διὰ τὸ εἶναι αὐτὴν παρθένον τοσοῦτον χρόνον, ἢ διὰ τὸ βασιλέως εἶναι θυγατέρα, καὶ βασιλέως οὐ τοῦ τυχόντος. δύστηνον δὲ καὶ τλήμονα, διὰ τὴν παροῦσαν αὐτῇ συμφοράν. [852] Οὓς σοι δυστυχεῖς ἥκω φέρων] Ὅμοιος τῷ τοῦ ἔτιν, ὁ πλεῖστος Ἀχαιῶν ὤλεσε μία γυνή. ὤφειλον γὰρ εἰπεῖν ἄκουσον λόγους δυστυχεῖς, οὓς ἥκω φέρων σοι, ὃ δὲ συντάσσει τῷ ὑποτακτικῷ ἄρθρῳ καὶ τὸν λόγον, καὶ φησὶν, ἄκουσον οὓς δυστυχεῖς λόγους ἥκω φέρων σοι. Αἶ, αἶ] ἀπολώλαμεν. Ἀπὸ τοῦ λόγου δῆλος εἶ κακάγγελος ὤν. Ἐκυρώθη τῇ ψήφῳ τῶν Ἀργείων τὸν σὸν ἀδελφὸν ἀποθανεῖν, καὶ σὲ, ὦ τάλαινα, κατὰ τὴνδε τὴν ἡμέραν. Οἴμοι] προσῆλθεν ἐλπὶς, ἣν ἐκ μακροῦ φοβουμένη διὰ τὸ μέλλον ἐθρηνούμην, καὶ διεῤῥεόμην ὑπὸ τῶν γόων. τίς δὲ ἀγὼν, καὶ τίνες λόγοι ἐν τοῖς Ἀργείοις κατεδίκασαν ἡμᾶς ἀποθανεῖν, εἰπὲ ὦ πρεσβύτερε, πότερα διὰ λιθοβολούσης χειρὸς, ἢ διὰ ξίφους τὴν ψυχὴν ἀποβαλεῖν ἀπόκειταί μοι, κοινὰς συμφορὰς ταῖς τοῦ ἀδελφοῦ κεκτημένῃ. [86.] Κοινὰς ἀδελφῷ] ἢ ἴσον θάνατον τῷ ἀδελφῷ θνήσκουσαν, ἢ τὴν αὐτὴν δυστυχίαν τῷ ἀδελφῷ ἔχουσαν, ἢ ἐκείνου μὲν τὸν φόνον πεποιηκότος, ἐμοῦ δὲ συμβουλευσάσης. καὶ διὰ τοῦτο ἐπειδὴ ὁμοίως ἀμφότεροι δυστυχοῦμεν, καὶ τὸν αὐτὸν ὑποσχοῖμεν ἂν θάνατον. Ἐτύγχανον μὲν βαίνων ἐξ ἀγροῦ ἐντὸς τῶν πυλῶν, χρῄζων ἀκοῦσαι τὰ περὶ σοῦ καὶ τὰ περὶ Ὀρέστου. ἀεὶ ποτὲ γὰρ εὐνοϊκῶς διεκείμην πρὸς τὸν πατέρα σου. καί μ' ἔτρεφεν ὁ σὸς οἶκος πένητα μὲν, εὐγενῆ δὲ πρὸς τὸ χρῆσθαι τοῖς φίλοις. ἢ γενναῖον ὑπάρχοντα τοῖς φίλοις εἰς τὸ χρῆσθαι αὐτοὺς ἐμοὶ, ὅμοιον τῷ ἡδὺς ὁ ποταμὸς πιεῖν. [16] Καὶ θάσσοντ' ἄκραν] τόπος οὕτω καλούμενος. λέγει δὲ τὴν πρῶτα, ἐνταῦθα φασὶ τοὺς Ἀργείους ἐκκλησιάζειν. λέγουσι δὲ καὶ τὸν Δαναὸν ἐνταῦθα δεδωκέναι δίκας τῷ Αἰγύπτῳ, ὑπὲρ ὧν εἰργάσαντο φόνον αἱ θυγατέρες αὐτοῦ. Ἄλλως. Δα-

ANNOTATIONES.

V. 849. Δώσων] *Canterus* δώσων ingenioſè ſatis legit.
V. 857. Ἐλπὶς] ἐσ[ιλ]ός. Vid. quæ nos ad *Supplic.* v. 790.
V. 859. Ἀγὼν] vel ὁ γὼν pro ὁ ἀγὼν legendum; vel ἀγὼν primam producit. Vid. ad *Phœniſ.* v. 591. *Joſ. Barnes.*

ναὸς ἱδρύσατο Ἄργους βασιλεύς. οὗτος τὰς θυγατέρας ἑαυτοῦ πεντήκοντα οὔσας, ἐκδέδωκεν εἰς γάμον τοῖς υἱοῖς Αἰγύπτου πεντήκοντα καὶ αὐτοῖς οὖσιν. οὗτος ἀπῆλθεν εἰς τὸ μαντεῖον, χρησόμενος εἰ ἄρα καλῶς ἔγημαν αἱ θυγατέρες. ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ, ὑπὸ τούτων κινδυνεύσειν. ὁ δὲ ἔπεισε τὰς θυγατέρας ἀνελεῖν τοὺς υἱοὺς Αἰγύπτου. μόνη δὲ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως, καὶ οὗτος ἐβασίλευσεν Ἄργους. Ἄλλως. Ὅτε φασὶ πρῶτον τὸν Δαναὸν μετὰ θάνατον τῶν υἱῶν Αἰγύπτου, δοῦναι δίκας. αὐτὸς γὰρ ὁ Αἴγυπτος ἧκεν εἰς Ἄργος τιμωρήσων τὸν φόνον. Δαναὸς δὲ μαθὼν, ἐξῆγεν εἰς ὅπλα τοὺς Ἀργείους. ἀλλὰ Λυγκεὺς πείθει λόγοις λῦσαι τὴν ἔχθραν. καὶ καθιστῶσι δικαστὰς αὐτοῖς, Αἰγυπτίων καὶ Ἀργείων τοὺς ἀρίστους. ὁ δὲ τόπος ἔνθα ἡ δίκη συνήχθη περὶ τὴν μεγίστην ἄκραν, ἔνθα καὶ Ἴναχος ἀλίσας τὸν λαὸν, συνεβούλευσεν οἰκίζειν τὸ πεδίον. ἐξ ἐκείνου Ἀλιαία καλεῖται, ἡ νῦν Ἡλιαία λεγομένη. Ἄλλως. Ἡ πολλὴ δόξα κατέχει μὴ ἐλθεῖν τὸν Αἴγυπτον εἰς Ἄργος. Καθάπερ ἄλλοι τέ φασι, καὶ Ἑκαταῖος γράφων οὕτως. ὁ δὲ Αἴγυπτος, αὐτὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργος. λέγεται δέ τις ἐν Ἄργει τόπος, ὅπου δικάζουσιν Ἀργεῖοι. ἱστορεῖ δὲ περὶ τοῦ χωρίου Δεινίας, γράφων οὕτως. τραχέως δὲ ὀνειδίσαντα τὸν Μελάγχαιον, καὶ τὴν Κλεομήστραν, βάλλοντες λίθοις ἀπέκτειναν.

Ἀστῶν δὲ δή τιν' ἠρόμην ἄθροισμ' ἰδὼν,
Τί καινὸν Ἄργει, μῶν τι πολεμίων πάρα
Ἄγγελμ' * ἀνεπτέρωσε Δαναϊδῶν πόλιν; *MS. ἀνεπτέρωκε.
Ὁ δ' εἶπ', Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας
Στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
Ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μή ποτ' ὤφελον,
Πυλάδην τε καὶ σὸν σύγγονον στείχονθ' ὁμοῦ.
Τὸν μὲν κατηφῆ, καὶ παρειμένον νόσῳ,
Τὸν δ' ὥστ' ἀδελφὸν ἴσα φίλῳ λυπούμενον.
Νοσήματα κηδεύοντα παιδαγωγίᾳ.
Ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος,
Κῆρυξ ἀναστὰς εἶπε· Τίς χρῄζει λέγειν,
Πότερον Ὀρέστην κατθανεῖν, ἢ μὴ χρεὼν,
Μητροκτονοῦντα; κἀπὶ τῷδ' ἀνίσταται
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
Ἔλεξε δ' ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεὶ
Διχόμυθα, πατέρα μὲν σὸν ἐκπαγλούμενος,
Σὸν δ' οὐκ ἐπαινῶν σύγγονον, καλοῖς κακοὺς
Λόγους ἑλίσσων, ὅτι καθισταίη νόμους
Εἰς τοὺς τεκόντας οὐ καλούς. τὸ δ' ὄμμ' ἀεὶ
Φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
" Τὸ γὰρ γένος τοιοῦτον· ἐπὶ τὸν εὐτυχῆ
" Πηδῶσ' ἀεὶ κήρυκες. ὅδε δ' αὐτοῖς φίλος,
" Ὃς ἂν δύνηται, πόλεος ἔν τ' ἀρχαῖσιν ᾖ.
Ἐπὶ τῷδε δ' ἠγόρευε Διομήδης ἄναξ.
Οὗτος κτανεῖν μὲν οὔτε σ', οὔτε σύγγονον
Εἴα, φυγῇ δὲ ζημιοῦντας εὐσεβεῖν.
Ἐπερρόθησαν δ' οἱ μὲν, ὡς καλῶς λέγοι,
Οἱ δ' οὐκ ἐπῄνουν. κἀπὶ τῷδ' ἀνίσταται
Ἀνήρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
Ἀργεῖος, οὐκ Ἀργεῖος, ἠναγκασμένος,
Θορύβῳ τε πίσυνος, κἀμαθεῖ παρρησίᾳ,
Πιθανὸς ἔτ' αὐτοὺς περιβαλεῖν κακῷ τινι.
" Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις, φρονῶν κακῶς,
" Πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα.

Videns congregationem, interrogavi aliquem ex civibus
Quid novum Argis, num quod ab hoſtibus
Nuncium excitavit urbem Danaidum?
Ille dixit, Non vides illum Oreſtem propè
Euntem, qui curret lethale certamen?
Video inſperatam ſpeciem, quam utinam non vidiſſem,
Pyladen & tuum fratrem euntes ſimul:
Hunc triſtem & languidum morbo,
Illum tanquam fratrem dolentem æqualitèr cum amico,
Ducendo curantem morbum.
Poſtquam concio Argivorum facta eſt plena,
Præco ſurgens dixit, Quis vult dicere,
Utrum oporteat Oreſtem mori, an non,
Matricidam? & poſtea ſurgit
Talthybius, qui oppugnavit Phryges cum tuo patre.
Dixit autem ſemper exiſtens ſub potentibus
Ambigua, reverens tuum patrem,
Sed non laudans tuum fratrem bonis mala
Dicta involvens, quod faceret legem
Non bonam contra parentes: ſed oculum ſemper
Hilarem dabat Ægiſthi amicis.
" Nam hoc genus tale eſt: ad florentem partem
" Semper ſaliunt præcones: ille eſt eis amicus,
" Quiſquis eſt potens & in magiſtratibus urbis.
Poſt hunc dicebat Diomedes rex,
Iſte neque te neque fratrem interficere
Sinebat, ſed punientes exilio rectè facere dixit.
Alii aſſenſerunt, quòd honeſtè diceret,
Alii non laudabant: poſt hunc ſurgit
Vir quidam loquax, potens confidentiâ,
Argivus non Argivus, coactus
In tumultu & ſtultâ audaciâ:
Valens perſuadendo conjicere eos in aliquod malum.
" Nam quando facundus oratione, malè ſentiens
" Perſuadet vulgo, eſt magnum malum urbi.

καὶ τὸν τάφον αὐτοῦ δεικνύασιν, ἔτι καὶ νῦν ὑπεράνω τοῦ καλουμένου πρῶνος, χῶμα παντελῶς, οὗ συμβαίνει τοὺς Ἀργείους δικάζειν. τάχα δ' ἂν τούτου καὶ ἐν Βελλεροφόντῃ μνημονεύει εἰπών, καὶ ξεστὸν ὄχθον Δαναϊδῶν ἑδρασμάτων. 874 Ἀνεπτέρωσεν] διήγειρε. Κατηφῆ] σκυθρωπόν. Καὶ παρειμένον] παραλελυμένον, καὶ ἔκλυτον ὑπὸ τῆς νόσου. Τὸν δ' ὥστ' ἀδελφὸν] τὸν δὲ Πυλάδην ἐπὶ τῷ φίλῳ λυπούμενον ἴσα ἀδελφῷ. Κηδεύοντα] θεραπεύοντα, ἐπιμελούμενον. Παιδαγωγίᾳ] χειραγωγίᾳ. 887 Ὑπὸ τοῖς δυναμένοις] ὑπὸ τοῖς ἄρχουσιν. Διχόμυθα] ἀντὶ τοῦ διχόγνωμα, τοῖς κρατοῦσιν ἄλλοτε ἄλλα προσχαριζόμενος. τὸ δὲ διχόμυθα ἐξηγεῖται, διὰ τοῦ καλοῖς κακοὺς λόγους ἑλίσσων. Καθισταίη δὲ νόμους] ἀντὶ τοῦ κυροῖ, λέγων ὅτι Ὀρέστης οὐ καλὸν νόμον εἰσήνεγκεν εἰς τοὺς τεκόντας. Ἐπὶ τὸν εὐτυχῆ] καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει, ὅτι ἀεί ποτε σπέρμα κηρύκων λάλον. Φαιδρωπὸν ἐδίδου] χαρωπὸν ἔφερε. Πηδῶσι] μεταβαίνουσιν. Ἔν τ' ἀρχαῖσιν ᾖ] καὶ ὅστις ἐν ἀρχαῖς ᾖ πόλεως, ἤγουν ἀρχὴν πόλεως ἄρχῃ, ἢ ὃς ἂν δύνηται, καὶ ἄρχῃ τῆς πόλεως. 897 Οὗτος κτανεῖν] οὗτος ὁ Διομήδης οὐκ εἴα κτανεῖν οὔτε σὲ, οὔτε τὸν σὸν ἀδελφόν. ἔλεγε δὲ ἐξορίᾳ ζημιοῦν· οὐ γὰρ δύναται τὸ εἴα ἀπὸ κοινοῦ καὶ ἐνταῦθα λέγεσθαι. Ἐπερρόθησαν] ἐθορύβησαν. Ἀθυρόγλωσσος] ἀκρατόστομος. ὁ Κλεοφῶν, ἀνὴρ ἀθυρόγλωσσος. ταῦτά φασιν ἐπὶ Κλέωνι τῷ δημαγωγῷ λέγεσθαι, σφαλλόμενοι. πρὸ γὰρ τῆς τοῦ Ὀρέστου διδασκαλίας πολλοῖς χρόνοις Κλέων ἐτελεύτα. τάχα οὖν εἰς Κλεοφῶντα τείνει. ἐπεὶ καὶ ἐνάγχος οὗτος τὰς πρὸς Λακεδαιμονίους συνθήκας οὐ προσήκατο. καὶ τὸ λέγειν δὲ Ἀργεῖος οὐκ Ἀργεῖος ἠναγκασμένος εἰς τοῦτο βλέπει. θέλει δὲ εἰπεῖν Ἀθηναῖον οὐκ Ἀθηναῖον ὄντα αὐτὸν, ἀλλὰ νόθον πολίτην, παρόσον * Θρᾷξ ἦν ἐκ Δελφῶν ὁ Κλεοφῶν. Ἀριστοφάνης βατράχοις, φιλοτιμότεροι Κλεοφῶντος, ἐφ' οὗ δὴ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται Θρῃκία χελιδὼν, ἐπὶ βάρβαρον ἑζομένη πέταλον. 903 Θορύβῳ τε π.] τεθαρρηκὼς, πείθειν δυνάμενος, εἰς τὸ περιβαλεῖν κακῷ τινι τοὺς ἀκούοντας. ὥς τε αὐτοὺς ποιῆσαί τι κακόν. Πιθανὸς] ἐπιτήδειος. τὸ ἔτι περισσόν. Περιβαλεῖν αὐτοὺς] τὸν Ὀρέστην καὶ τὸν Πυλάδην. Κἂν μὴ παραυτίκα, λείπει τὸ ἀλλ' οὖν, κἂν μὴ παραυτίκα, ἀλλ' οὖν μετὰ ταῦτα εἰσὶ χρήσιμοι τῇ πόλει.

* Θρᾷξ ἦν ἐκ Δελφῶν] inſigne hîc mendum; nullibi enim legitur Δελφοὶ apud Thraces. Quare legunt nonnulli ex Δαυλίας. Vid. Not. Lat. in *Ariſtop.* p. 955.

ANNOTATIONES.

V. 883. Τίς χρῄζει λέγειν] Vid. ſimile in *Supplic.* V. 438.

V. 899. Ἐπερρόθησαν] *Scholiaſtes* exponit ἐθορύβησαν. Hic verò *Euripides* utitur in bono ſenſu, ut etiam in *Phœniſſ.* V. 1244. Πάλιν δ' ἐπερρόθησαν ... Propriè autem ſignificat cum clamore applaudo, metaphorâ à fluctibus maris ductâ, ῥόθος enim ſtrepitus maris & ῥοθεῖν fluctus cum ſonitu. Hinc ἐπίρροθος & ἀντίρροθος, Fautor & Adjutor ac proinde in bello auxiliator, *Joſua Barnes.*

" Ὅσοι

« Ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεὶ,
« Κἂν μὴ παραυτίκ', αὖθίς εἰσι χρήσιμοι
« Πόλει. θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην
« Ἰδόντ'. ὅμοιον γὰρ τὸ χρῆμα γίνεται
« Τῷ τοὺς λόγους λέγοντι, καὶ τιμωμένῳ.
Ὃς εἶπ', Ὀρέστην καί σ' ἀποκτεῖναι πέτροις
Βάλλοντας. ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους
Τῷ σφὼ κατακτείνοντι τοιούτους λέγειν.
Ἄλλος δ' ἀναστὰς, ἔλεγε τῷδ' ἐναντία,
Μορφῇ μὲν οὐκ εὐωπὸς, ἀνδρεῖος δ' ἀνὴρ,
Ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον,
Αὐτουργὸς, οἵπερ καὶ μόνοι σώζουσι γῆν,
Ξυνετὸς δὲ, χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων,
Ἀκέραιος, *ἀνεπίληπτον ἠσκηκὼς βίον. *γρ. ἀνεπίπληκτον.
Ὅς γ' εἶπ', Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
Στεφανοῦν, ὃς ἠθέλησε τιμωρεῖν πατρὶ,
Κακὴν γυναῖκα κἄθεον κατακτανὼν,
Ἣ κεῖν' ἀφῄρει, μήθ' ὁπλίζεσθαι χέρα,
Μήτε στρατεύειν ἐκλιπόντα δώματα,
Εἰ τἄνδον οἰκουρήμαθ' οἱ λελειμμένοι
Φθείρουσιν, ἀνδρῶν εὐνίδας λωβώμενοι.
Καὶ τοῖσγε χρηστοῖς εὖ λέγειν ἐφαίνετο.
Κοὐδεὶς ἔτ' εἶπε· σὸς δ' ἐπῆλθε σύγγονος·
Ἔλεξε δ', ὦ γῆν Ἰνάχου κεκτημένοι,
Πάλαι Πελασγοὶ, Δαναΐδαι δὲ δεύτερον,
Ὑμῶν ἀμύνων οὐδὲν ἧσσον ἢ πατρὶ,
Ἔκτεινα μητέρ'. « Εἰ γὰρ ἀρσένων φόνος
« Ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ' ἔτ' ἂν
« Θνήσκοντες· ἢ γυναιξὶ δουλεύειν χρεών·
Τοὐναντίον δὲ δράσετ', ἢ δρᾶσαι χρεών.
Νῦν μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμοῦ πατρὸς,
Τέθνηκεν. εἰ δὲ δὴ κατακτενεῖτέ με,
Ὁ νόμος ἀνεῖται, κοὐ φθάνοι θνήσκων τις ἄν.
Ὡς τοῦγε τόλμης οὐ σπάνις γενήσεται.

« Quicunque autem prudenter recta consuluntur semper,
« Etiamsi non statim, tamen postea sunt utiles
« Urbi. Principem autem oportet sic considerare
« Videntem. Nam simile periculum est
« Dicenti orationem, & principi.
Qui dixit Orestem & te occidi lapidibus debere
Conjectis: subornavit autem Tyndarus sermones
Tales dicendos ab illo, qui vos occideret.
Alius surgens dicit huic contraria,
Non conspicuus specie, sed vir fortis,
Rarò polluens civitatem, & circulum fori,
Suas res agens (qui soli servant terram)
Sed prudens, volens propè accedere ad rem,
Simplex, qui vixerat vitam non reprehendendam,
Is censuit Orestem filium Agamemnonis
Coronandum, qui voluit ulcisci patrem,
Interficiens malam mulierem & impiam,
Quæ hæc quidem cessare-fecit, ut nemo jam velit manum armare,
Neque militare relictâ domo,
Si domi relicti, conjuges
Corrumpunt, afficientes contumeliâ thalamos virorum.
Et videbatur bonis rectè dicere,
Neque ullus amplius dixit, sed accessit tuus frater,
Et dixit, O incolentes terram Inachi,
Olim Pelasgi, postea autem Danaidæ,
Vos ulciscens, non minùs quàm patrem,
Interfeci matrem. « Nam si necare viros,
« Erit fas mulieribus, ampliùs non effugietis
« Mortem, vel uxoribus necesse erit servire.
Et contrarium facietis, quàm oportet facere.
Nunc enim quæ prodidit lectum mei patris,
Est interfecta: si autem occideritis me,
Lex dissolvetur: nec anteverteret mortem quisquam,
Quia hujus audaciæ non fiet raritas.

Θεᾶσθαι δ' ὧδε] ὁ δὲ τοῦ δήμου προϊστάμενος, ὀφείλει τούτους ἐξελέγξασθαι δημηγόρους, τοὺς καὶ χρησιμεύειν μέλλοντας. ὅμοιος γὰρ τὸ πρᾶγμα γίνεται τῷ δημηγόρῳ, καὶ τῷ τοῦ δήμου προϊσταμένῳ. Δεῖ φησὶ τὸν ἀγαθὸν πολίτην, εἰς τὸ τῆς πόλεως συμφέρον ἀφορᾷν ἀεί. καθὼς γὰρ ἂν συμβουλεύσωσιν, οὕτως εἰώθασιν ἀποβαίνειν τὰ πράγματα. Ἄλλως. Τὸν προεστῶτα τῆς πόλεως, τουτέστι τὸν δημαγωγὸν, οὕτως ἀφορῶντα πρὸς τὸν λέγοντα δεῖ κρίνειν. ὁμοίως γὰρ φησὶν ἀποβαίνει τὸ πρᾶγμα, καὶ τῷ λέγοντι, καὶ τῷ ἀκούοντι. ὥσπερ γὰρ ἐὰν ᾖ ὁ συμβουλεύων κακὸς, ἀσύμφορον δεῖ τῇ πόλει, οὕτω καὶ ὅταν ἀκούων κακῶς αὐτὴ πάλιν ἀσύμφορος. τῷ τοὺς λόγους δὲ λέγοντι, τουτέστι τῷ προϊσταμένῳ, καὶ τῷ προστασίαν φέροντι τῆς πόλεως, καὶ τιμωμένῳ. [913] Ὑπὸ δ' ἔτεινε] ὑπέβαλλε δὲ αὐτῷ ὁ Τυνδάρεως τοιούτους λόγους λέγειν, ὑμᾶς φονεύεσθαι, ἤγουν οὕτως ὑπέβαλλεν ὁ Τυνδάρεως τοὺς περὶ ὑμῶν φονικοὺς τὸν λόγον, ὑπέτεινε καὶ εἰς τοῦτο ἐκεῖ, τῷ ὑμᾶς λέγοντι φονεύεσθαι. τὸ σφὼ δὲ, ἀντὶ τοῦ τῷ λέγοντι ὑμᾶς δύο φονεύεσθαι. τὸ δὲ κατακτείνοντι, ὅσον ἐπὶ τοῖς λόγοις οἷς ἔλεγε. [916] Οὐκ εὐωπὸς] οὐκ εὐειδὴς, οὐκ εὔμορφος. Ἀνδρεῖος δ' ἀνὴρ γενναῖος, ἀνδρεῖος τῇ ψυχῇ. ἀνδρεία γὰρ ἐπὶ ψυχῆς, ῥώμη δὲ ἐπὶ σώματος. τὸ δὲ ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον, ἀντὶ τοῦ ἐκκλησίαις οὐ προσεδρεύων, οὐδὲ ἐμπολάζων. αὐτουργὸς δὲ ὢν, ὁ τὴν ἰδίαν ἐργαζόμενος γῆν. σώζουσι δὲ γῆν οἱ αὐτουργοῦντες. γνήσιοι γὰρ τοὺς ἀγροὺς ἐργάζονται, καὶ τὸ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων, ἀντὶ τοῦ οὐ δημωδῶς λέγων ὡς ὁ προρρηθείς. τοῦτο γὰρ ἐναντίον ἐστὶ τῷ δημωδῶς, συνδραμεῖν θέλων τοῖς λόγοις, καὶ ταῖς ὑμετέραις βουλαῖς, τουτέστι σώζειν ὑμᾶς ἐσπουδακώς. [920] Ἀκέραιος] ἁπλοῦς. Ἀνεπίληπτον ἠσκηκὼς βίον ἀναμάρτητον, ἀδιάφθορον, ἀβλαβῆ, οὐκ ἄξιον τοῦ ἐπιλαμβάνεσθαι, ἀνεπίληπτον, ὃν οὐδεὶς διὰ τὸ σώφρον ὕβρισεν. Μήθ' ὁπλίζεσθαι χέρα] ἥτις φησὶν ἡ Κλυταιμνήστρα, τὸ ὅσον ἐφ' ᾧ ἔδρασε κατὰ τοῦ ἀνδρὸς, ἀφῄρει, καὶ ἀνέτρεπε ἔθη καλὰ, καὶ ζηλωτά. λέγω δὲ τὸ ὁπλίζεσθαι, καὶ ἐπ' ἀλλοδαπῆς ἰέναι. νῦν δὲ ἀγρυπνοῦσιν αὐτῆς τοιαύτας αἱ γυναῖκας τὰς κατὰ τῶν ἀνδρῶν ἐπιβουλάς. τότε δὲ οὐκ ἂν ἐτόλμησε τῶν ἀνδρῶν οὐδεὶς ἔξω τῶν οἴκων ἐπὶ πόλεμον ὁρμᾶν, ὑφορώμενος τοὺς οἰκοῦντας νοθείαν. [926] Εἰ τἄνδον οἰκουρήματα, οἱ ἐν τῇ πόλει καταλειφθέντες, οἱ μὴ ἐξελθόντες εἰς πόλεμον, τὰς οἰκουρούσας γυναῖκας διαφθείρουσι βλάπτοντες τὰς λελαβημένας. Ἔλεξε δ' ὦ γῆν, Ἴναχος αὐτόχθων, πρῶτος βασιλεὺς Ἄργους, δεύτερος Πελασγὸς, τέταρτος Δαναὸς ὁ Βήλου, κατὰ τὸν κατακλυσμὸν ἐν ὄρεσιν οἰκούντων τῶν Ἀργείων, πρῶτος αὐτοὺς συνῴκισεν Ἴναχος, καὶ λιμνάζομενον τὸ περὶ τὸν Ἴναχον πεδίον αὐτοὺς ἐνῴκισεν, καὶ ἐπὶ γῆς τινος ποιησάμενος τὸν ποταμὸν ἀφ' ἑαυτοῦ Ἴναχον ἐκάλεσεν, καὶ τὸ Ἄργος Ἰναχόν. Ἰνάχου δὲ καὶ Μελίας, Φορωνεὺς, καὶ Πηγεὺς ἐγένετο. Φορωνέως δὲ καὶ Πειθοῦς, ἐγένετο Αἰγιαλεὺς, καὶ Ἆπις. ὅθεν Ἀπία. ἀπὸ δὲ Εὐρώπης, Νιόβη. Νιόβης δὲ, Ἄργος. Ἄργου δὲ Κρίασος, Ἔκβασος, Πείρανθος, Ἐπίδαυρος, Τίρυνς. Κριάσου δὲ ἀπὸ Μελανθοῦς, ἐγένετο Φόρβας, καὶ Κλεόβοια. Φόρβαντι δὲ ἐκ τῆς Εὐβοίας, ἐγένετο Τριόπας. Τριόπα δὲ ἐκ Σωΐδος ἐγένοντο δίδυμοι μὲν, Πελασγὸς καὶ Ἴασος. νεώτεροι δὲ Ἀγήνωρ καὶ Ξάνθος. ὁ δὲ Πελασγὸς πρῶτος Ἀρκαδίαν ἐξεῦρε, πάλαι τῶν ἀνθρώπων τοῖς δρυίνοις τρεφομένων. καὶ Πελασγικὸν τὸ Ἄργος ὠνόμασεν. Ἰάσου δὲ καὶ Λευκάνης, Ἰὼ ἐγένετο. Ἐπάφου δὲ Λιβύη καὶ Τηλέγονος. Λιβύης Βῆλος, καὶ Ἀγήνωρ. Βήλου δὲ Αἴγυπτος, καὶ Δαναός. [931] [Πάλαι] πρὸς εἰς τὸ πάλαι σύζευξ. Ἀμύνων] βοηθῶν. Οὐ φθάνοιτε ἂν] οὐκ ἀρκέσετε πρὸς τὸν γυναικῶν φόνον, οὐ φθάνοιτε ἀποθνήσκοντες τῷ ἰδίῳ μόρῳ. φθάνω τὸ προλαμβάνω, καὶ τὸ καταλαμβάνω. καθὸ λέγεται, οὐκ ἂν φθάνοις τὸ δικαστήριον ἰὼν, καὶ διδοὺς δίκην. ἤγουν οὐκ ἂν ἀρκοίης, οὐκ ἂν καταλαμβάνοις. τοσοῦτόν σε ἔξουσι συντόνως, ὡς μὴ δύνασθαί σε καταλαμβάνειν τοὺς ἕλκοντας, ἀφ' οὗ κατὰ μεταφορὰν ἐνταῦθα, τὸ οὐκέτ' ἂν φθάνοιτε θνήσκοντες πρὸς τὴν τοῦ θανάτου συντομίαν. οὕτως ὑμᾶς ἕλξουσι δηλονότι μετὰ ταχύτητος. Ὁ νόμος ἀνεῖται] ἐκλέλυται. ὑμεῖς γὰρ φονευθήσεσθε, οὐ φονεύσετε. καὶ ὑποτάξεσθε, οὐχ ὑποτάξετε. Οὐ σπάνις γενήσεται] οὐ λήξει, οὐδὲ παύσεται, οὐδὲ πέρας ἕξει ὁ θάνατος ἡμῶν. ἐξαπατῶντες

ANNOTATIONES.

V. 920. Ἀνεπίληπτον] γράφεται ἀνεπίπληκτον, ἤγουν οὐκ ἄξιον ἐπιτιμᾶσθαι παρ' οὐδενός. MS. *Jos. Barnes.*
V. 922. Ὅς γ' εἶπ'] MS. Ὃς εἶπ', ut suprà V. 912.

V. 940. Ὡς] Liber *Heinsio-Scaligerianus* legit ᾧ, cujus necessitatem nullam ego video. MS. ὡς habet.

Ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, εὖ δοκῶν λέγειν.
Νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ἐν πλήθει λέγων,
Ὃς ἠγόρευε, σύγγονον σέ τε κτανεῖν.
Μόλις δ' ἔπεισε, μὴ πετρουμένους θανεῖν
Τλήμων Ὀρέστης· αὐτόχειρι δὲ σφαγῇ
Ὑπέσχετ' ἐν τῇδ' ἡμέρᾳ λείψειν βίον
Σὺν σοί. πορεύει δ' αὐτὸν ἐκκλήτων ἄπο
Πυλάδης δακρύων. σὺν δ' ὁμαρτοῦσιν φίλοι
Κλαίοντες, οἰκτείροντες. ἔρχεται δέ σοι
Πικρὸν θέαμα, καὶ πρόσοψις ἀθλία.
Ἀλλ' εὐτρέπιζε *φάσγανον, ἢ βρόχον δέρῃ,
Ὡς δεῖ λιπεῖν σε φέγγος. *εὐγένεια δὲ
Οὐδέν σ' ἐπωφέλησεν. οὐδ' ὁ Πύθιος
Τρίποδα καθίζων Φοῖβος, ἀλλ' ἀπώλεσεν.
Χο. Ὦ δυστάλαινα παρθέν', ὡς ξυνηρεφὲς
Πρόσωπον εἰς γῆν σὸν βαλοῦσ', ἄφθογγος εἶ,
Ὡς εἰς στεναγμοὺς καὶ γόους δραμουμένη.

* MS. φάσγανα.
* MS. ἢ εὐγένεια.

Sed non perſuaſit turbæ, cùm quidem videretur rectè dicere.
Et vincit ille malus dicens in multitudine,
Qui dixit interficiendum eſſe te & fratrem,
Vix perſuaſit, nè moriamini lapidari,
Miſer Oreſtes: & ſuâ-manu-factâ nece,
Promiſit ſe relicturum vitam hac die
Tecum: ducit eum ex concione
Pylades lacrymans, & comitantur amici
Plorantes, miſerentes: venit tibi
Acerbum ſpectaculum & miſer aſpectus.
Sed prepara gladium, aut laqueum colo,
Quia oportet te relinquere lucem, & nobilitas
Nihil tibi profuit, neque Pythius
Phœbus ſedens in Tripode, ſed perdidit.
Ch. O miſera virgo, quàm obductum
Vultum tuum in terram demittens, muta es,
Tanquam curſura in querelas & luctus!

γὰρ, καὶ πλατύνονται οἱ νόμοι κατὰ τῶν ἀνδρῶν ὄντες. οὕτω γὰρ σημαίνει τὸ ἀνεῖται.

*Παρέρχεται.

Ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω] ἐτύγχανον μὲν βαίνων, ἀντὶ τοῦ ἔβαινον. Ἀγρόθεν, ἀπὸ τῶν ἀγρῶν ἔσω τῶν πυλῶν τῆς πόλεως δηλονότι. χρήζων μαθεῖν καὶ τὰ περὶ σοῦ καὶ τὰ περὶ τοῦ Ὀρέστου. εἶχον γάρ ποτε ἀγάπην τῷ σῷ πατρὶ, καὶ ἔτρεφέ με ὁ σὸς δόμος. πένητα μὲν, ἀναγκαῖον δὲ τοῖς φίλοις εἰς τὸ χρῆσθαι ἐμοὶ δηλονότι. ὁρῶ δὲ ὄχλον στείχοντα (ἤτοι πλῆθος λαοῦ βαδίζον) καὶ καθίζοντα κατὰ τὸ ἀκρωτήριον, ὅπου φασὶ κατὰ πρῶτος τὸν Δαναὸν διδόντα δίκας τῷ Αἰγύπτῳ ἀθροῖσαι τὸν λαὸν εἰς κοινὰς ἕδρας, ἤτοι εἰς συνέδριον. ἰδὼν δὲ τὴν συναγωγὴν τοῦ λαοῦ, ἠρώτησά τινα τῶν πολιτῶν, τί καινὸν καὶ νέον γέγονε τῷ Ἄργει δηλονότι. ἆρα ἄγγελμά τι ἐκ τῶν πολεμίων ἐλθὸν, διήγειρε τὴν πόλιν τῶν Δαναϊδῶν, ὁ δὲ εἶπεν· οὐχ ὁρᾷς ἐκεῖνον τὸν Ὀρέστην πλησίον τοῦ ἀθροίσματος ἐρχόμενον, μέλλοντα δραμεῖσθαι ἀγῶνα τὸν θανάσιμον, ἤτοι τὸν θάνατον ἐπάγοντα. ὁρῶ δὲ φάσμα ἀνέλπιστον, ὃ μήποτε ὤφελον ἰδεῖν, λέγω τὸν Πυλάδην, καὶ τὸν σὸν σύγγονον, στείχοντε, ἤγουν στείχοντας καὶ βαδίζοντας ὁμοῦ. τὸν μὲν, ἤγουν τὸν Ὀρέστην, κατηφῆ, καὶ σκυθρωπὸν καὶ παραλελυμένον ὑπὸ τῆς νόσου. τὸν δὲ Πυλάδην ἐπὶ τῷ φίλῳ λυπούμενον, ἴσα καὶ ὁμοίως ἀδελφῷ, κυβερνῶντα τὸ νόσημα παιδαγωγίᾳ καὶ χειραγωγίᾳ. ἐπεὶ δὲ ἐπλήρωτο ὁ ὄχλος τῶν Ἀργείων πλήρης, κῆρυξ ἀναστὰς εἶπε, Τίς θέλει λέγειν, πότερον ἀντὶ τοῦ ἆρα χρέπον δεῖν ἀποθανεῖν τὸν Ὀρέστην μητροκτονήσαντα, ἢ μὴ χρεὼν καὶ πρέπον ἐστί. καὶ ἐπὶ τούτῳ, ἤτοι μετὰ τοῦτον ἀνίσταται, ἀντὶ τοῦ ἀνέστη ὁ Ταλθύβιος, ὃς συνεπόρθει τῷ σῷ πατρὶ, ἤγουν σὺν τῷ σῷ πατρὶ, τοὺς Φρύγας. ἔλεξε δὲ διχόμυθα, τουτέστι διπλῆν ἔννοιαν ἔχοντα, ἤτοι δίγνωμα καὶ ἀμφίρρεπτα, ὢν ἀεὶ ὑπὸ τοῖς δυναμένοις, ὑπήκοος τῶν δυναμένων, ἤτοι τοῖς κρατοῦσι χαριζόμενος. τὸν μὲν σὸν πατέρα ἐκπαγλούμενος καὶ θαυμάζων, τὸν σὸν δὲ σύγγονον οὐκ ἐπαινῶν, λόγους κακοὺς ἑλίσσων, ἀντὶ τοῦ συνείρων καὶ συμπλέκων καλοῖς. ὅτι καθίσταίη, ἀντὶ τοῦ καθίστησι καὶ εἰσάγει εἰς τοὺς τεκόντας νόμους οὐ καλούς. τὸ δὲ ὄμμα ἀεὶ ἐδίδου χαροπὸν τοῖς φίλοις τοῦ Αἰγίσθου. τὸ γὰρ φῦλον τῶν κηρύκων τοιοῦτον, διὰ τὸν εὐτυχῆ πηδῶσι καὶ ὁρμῶσιν ἀεὶ οἱ κήρυκες. οὗτος δὲ φίλος αὐτοῖς τοῖς κήρυξιν, ὃς ἂν ἰσχύῃ καὶ ὑπάρχῃ ἐν ἀρχαῖς πόλεως, ἤτοι ἀρχὴν πόλεως ἔχῃ. μετὰ τοῦτον ἐδημηγόρει ὁ Διομήδης ὁ ἄναξ. οὗτος κτανεῖν μὲν, οὐ δέ σε, οὐ δὲ τὸν σύγγονόν σου εἴα καὶ παρεχώρει. φυγῇ δὲ καὶ ἐξορίᾳ ζημιοῦντας τοὺς Ἀργείους ὑμᾶς δηλονότι, εὐσεβεῖν, ἤτοι καθὰ ὡς ἔδει. ἐθορυβήθησαν δὲ οἱ μὲν λέγοντες, ὅτι καλῶς λέγει. οἱ δὲ οὐκ ἐπῄνουν τὰ ὑπ' ἐκείνου λεχθέντα δηλονότι. καὶ μετὰ τοῦτον ἀνίστη ἀνήρ ἀθυρόστομος, ἰσχύων θράσει καὶ ἀναισχυντίᾳ, Ἀργεῖος, οὐκ Ἀργεῖος, ἤτοι κατ' ἀνάγκην ὢν Ἀργεῖος, πιθανός τε καὶ θαρρῶν θορύβῳ καὶ ταραχῇ, καὶ παρρησίᾳ ἀμαθεῖ καὶ ἀπαιδεύτῳ, πιθανὸς καὶ ἐπιτήδειος περιβαλεῖν αὐτοὺς κακῷ τινί. ὅταν καὶ ἡδὺς ὢν δηλονότι τοῖς λόγοις καὶ κατὰ τοὺς λόγους φησὶ κακῶς, καὶ πείθει τὸ πλῆθος, κακὸν μέγα ὑπάρχει τῇ πόλει. ὅσοι δὲ μετὰ γνώσεως βουλεύουσιν, ἀντὶ τοῦ συμβουλεύουσιν ἀεὶ χρηστὰ καὶ ἀγαθὰ, κἂν μὴ παραυτίκα, αὖθις ἤτοι εἰς τὸ μέλλον εἰσὶ χρήσιμοι τῇ πόλει. πρέπει δὲ τὸν προστάτην ἰδόντα, τουτέστιν ἐγνωκότα ὧδε καὶ οὕτως, σκοπεῖν καὶ ἐρευνᾷν. ὅμοιον γὰρ γίνεται τὸ πρᾶγμα τῷ λέγοντι τοὺς λόγους, ἤτοι τῷ δημηγοροῦντι, καὶ τῷ τιμωμένῳ αὐτοὺς, τουτέστι τῷ ἄρχοντι. ὃς εἶπεν ἀποκτεῖναι τὸν Ὀρέστην καὶ σὲ, τοὺς Ἀργείους δηλονότι, βάλλοντας πέτροις, ἤτοι λιθοβολοῦντας. ὑπέτεινε δὲ καὶ ὑπέβαλεν ὁ Τυνδάρεως τῷ κατατείνοντι σφῷν, τουτέστι τῷ συμβουλεύοντι φονευθῆναι ὑμᾶς, λέγειν λόγους τοιούσδε. Ἄλλος δὲ ἀναστὰς ἔλεγεν ἐναντία τούτου, κατὰ τὴν ὄψιν μὲν οὐκ εὐειδὴς, ἀνὴρ δὲ γενναῖος καὶ εὐφυὴς τῇ ψυχῇ, ὀλιγάκις μολύνων τὸν κύκλον τῆς ἀγορᾶς. ἀντὶ στρέφους, ἀντὶ τοῦ ὀλιγάκις χραινόμενος καὶ μολυνόμενος ὑπὸ τοῦ ἄστεος καὶ τοῦ κύκλου τῆς ἀγορᾶς. αὐτουργὸς καὶ γεωργὸς, οἵπερ καὶ μόνοι σώζουσι τὴν γῆν, ἀντὶ τοῦ τοὺς ἀνθρώπους. συνετὸς δὲ καὶ φρόνιμος, θέλων χωρεῖν ὁμόσε τοῖς λόγοις, τουτέστι παρρησιάζεσθαι διὰ τῶν οἰκείων λόγων, πρὸς τοὺς τὰ ἄδικα λέγοντας, ἀκέραιος καὶ ἀνεπίληπτος, ἐπιτηδεύσας βίον ἀμεμπτον, ὃς εἶπε στεφανοῦν καὶ τιμᾶν τὸν παῖδα τοῦ Ἀγαμέμνονος. ὃς ἠθέλησε τιμωρεῖν καὶ βοηθεῖν τῷ πατρὶ, κτανὼν γυναῖκα κακὴν καὶ ἄθεον, ἣ ἐκεῖνα τὰ πράγματα ἀπεστέρει τοὺς ἄνδρας, μήτε ὁπλίζεσθαι τινὰ κατὰ τὰς χεῖρας, τουτέστι, μήτε μετὰ ὅπλων κινεῖν τὴν χεῖρα, μήτε στρατεύειν ἀφέντα τὰ δώματα, εἰ οἱ λελειμμένοι καὶ ἐναπολειφθέντες τῶν ἀνδρῶν, φθείρουσι τὰ ἔνδον οἰκουρήματα, ἤτοι τὰς ἔνδον οἰκουροὺς γυναῖκας, λωβώμενοι καὶ ὑβρίζοντες τὰς εὐνάς. καὶ τοῖς χρηστοῖς ἐφαίνετο λέγειν καὶ καλῶς, καὶ οὐδεὶς εἶπεν εἰς τὸ ἑξῆς. ἐπὶ τούτῳ δὲ ἦλθεν ὁ σὸς σύγγονος. ἔλεξε δὲ, ὦ ἄνδρες οἱ κεκτημένοι τὴν γῆν τοῦ Ἰνάχου πάλαι, ἤτοι ἄνωθεν Πελασγοὶ, δεύτερον δὲ Δαναΐδαι, ἀντὶ τοῦ ὕστερον, ὑμῖν ἀμύνων καὶ βοηθῶν οὐδὲν ἔλαττον ἢ τῷ πατρὶ, ἔκτεινα τὴν μητέρα. εἰ γὰρ ὁ φόνος τῶν ἀρσένων ἔσται ὅσιος, ἤτοι ἐνδεδομένος ταῖς γυναιξὶν, οὐκ ἔτι ἂν φθάνοιτε καὶ καταλαμβάνοιτε θνήσκοντες ἢ χρεὼν καὶ ἀναγκαῖον δουλεύειν ταῖς γυναιξί. τὸ ἐναντίον δὲ δράσετε, ἢ καὶ παρὰ χρεὼν καὶ πρέπον δρᾶσαι. νῦν μὲν γὰρ προδοῦσα, ἤτοι ἔκδοτα ποιήσασα τὰ λέκτρα τοῦ ἐμοῦ πατρὸς τέθνηκεν. εἰ δὲ δὴ κτανεῖτε ἐμὲ, ὁ νόμος ἀνεῖται, καὶ ἀπολέλυται. καὶ οὐκ ἂν φθάνοι τις θνήσκων. ὅτι τῆς τόλμης τῶν γυναικῶν δηλονότι, οὐ γενήσεται σπάνις καὶ ἔνδεια. ἀλλ' οὐκ ἔπειθε τὸν ὅμιλον, δοκῶν εὖ καὶ καλῶς λέγειν. νικᾷ δὲ ἐκεῖνος ὁ κακὸς λέγων ἐν τῷ πλήθει. ὃς ἠγόρευσε κτανεῖν τὸν σύγγονον καὶ σέ. μόλις δὲ ἔπεισεν ὁ τλήμων Ὀρέστης, μὴ κτανεῖν πετρουμένους, ἤτοι λίθοις βαλλομένους. ὑπέσχετο δὲ ἐν σφαγῇ αὐτόχειρι, ἤτοι αὐτουργῷ, καὶ διὰ τῶν οἰκείων χειρῶν. λείψειν τὸν βίον σὺν σοὶ, ἐν τῇδε τῇ ἡμέρᾳ. ἄγει δὲ αὐτὸν ἀπὸ τῶν ἐκκλήτων ἐνταῦθα, ἤτοι ἀπὸ τῆς ἐκκλησίας, ὁ Πυλάδης δακρύων. συνακολουθοῦσι δὲ καὶ οἱ φίλοι κλαίοντες, οἰκτείροντες. ἔρχεται δέ σοι πικρὸν θέαμα, καὶ πρόσοψις ἐλεεινή. ἀλλ' ἑτοίμαζε ξίφος, ἢ σχοινίον ἀγχόνης ἐπὶ τῷ τραχήλῳ, ὅτι ἀπόκειται λιπεῖν σε τὸ φῶς. ἡ εὐγένεια δὲ, οὐδὲν ἐπωφέλησεν, ἀντὶ τοῦ ὠφέλησεν. οὐδὲ ὁ Φοῖβος ὁ Πύθιος, ἤτοι ὁ Ἀπόλλων ὁ καθίζων τρίποδα, ἤτοι ὁ ἐπὶ τρίποδος καθίζων ἀλλὰ ἀπώλεσεν. 955 Ὦ δυστάλαινα παρθέν' ὡς ξυνηρεφὲς] ὦ παρθένε ταλαίπωρα, λίαν ὑπάρχεις ἄλαλος, βαλοῦσα τὸ σὸν πρόσωπον σκυθρωπὸν εἰς τὴν γῆν, ὡς μέλλουσα δραμεῖσθαι εἰς στεναγμοὺς καὶ γόους. Ξυνηρεφὲς] στυγνὸν, καὶ ὥσπερ ἐσκιασμένον κακοῖς. ἐν τοῖς ἐνίοις δὲ οὐ φέρονται οἱ τρεῖς στίχοι οὗτοι. πῶς γὰρ οὐκ ἔμελλε στενάζειν, οὕτω δυστυχῶς ἔχουσα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Ηλ. 1 Αἶ αἶ. κατάρχομαι στεναγμὸν, ὦ Πελασγία;
2 Τιθεῖσα λευκὸν ὄνυχα διὰ παρηΐδων,
3 Τὰν αἱματηρὸν ἄταν·
4 Κτύπον τε κρατὸς, ὃν ἔλαχ᾽ ἁ κατὰ χθονὸς
5 Νερτέρων Περσέφασσα, καλλίπαις θεά.
6 Ἰαχείτω δὲ γᾶ Κυκλωπεία,
7 Σίδαρον ἐπὶ κάρα τιθεῖσα κούριμον, τῶν Ἀτρειδᾶν
8 Πήματ᾽ οἴκων.
9 Ἔλεος ἔλεος ὅδ᾽ ἔρχεται
10 Τῶν θανουμένων ὕπερ,
11 Στρατηλατῶν Ἑλλάδος πότ᾽ ὄντων.

Ἀντιστροφή.

1 Βέβακε γὰρ βέβακεν, οἴχεται τέκνων
2 Πρόπασα γέννα Πέλοπος, ὅ, τ᾽ ἐπὶ μακαρίαις
3 Ζηλωτὸς ὤν ποτ᾽ οἶκος,
4 Φθόνος νιν εἷλε θεόθεν, ἅ τε δυσμενὴς
5 Φονία ψῆφος ἐν πολίταις.
" 6 Ἰὼ, ἰὼ, πανδάκρυτ᾽ ἐφαμέρων ἔθνη
" 7 Πολύστονά τε δὴ καὶ πολύπονα, λεύσσεθ᾽ ὡς παρ᾽ ἐλπίδα.
" 8 Μοῖρα βαίνει.

Stropha.

Ele. 1 Ah, ah, inchoo luctum, O Pelaſgia,
2 Ponens album unguem in genis,
3 Cruentam noxam,
4 Et fragorem capitis, quem naſta eſt ſub terrâ
5 Inferorum Proſerpina, formoſa dea.
6 Ululet terra Cyclopea,
7 Ferrum ſupra caput ponens tonſorium Atridarum
8 Propter mala domûs.
9 Illa miſeratio, miſeratio venit
10 Pro morituris,
11 Qui aliquando fuerunt duces Græciæ.

Antiſtropha.

1 Abiit enim, abiit, periit liberorum
2 Pelopis totum genus, & propter felicitatem
3 Quondam ſuſpiciendam familiam,
4 Invidia nunc cepit divinitùs, & hoſtilis calculus
5 De morte inter cives.
" 6 Heu, heu gentes miſeræ hominum, plenæ lacrymarum,
" 7 Gemebundæque & laborioſæ videte quomodo præter opinionem
" 8 Fatum venit.

Κατάρχομαι στεναγμῶν] τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ γένος, ὡς εἴρηται. καὶ εἰσὶ τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ια, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α ἴαμβος τρίμετρος ἀκατάληκτος καθαρός. τὸ β ὅμοιον, ἐπιμεμιγμένον χορείοις. τὸ γ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ δ ὅμοιον τῷ β. τὸ ε ἀσυνάρτητον, ἐκ β τροχαϊκῶν πενθημιμερῶν. τὸ ς ἴαμβος τρίμετρος. τὸ ζ ὅμοιον, ἐπιμεμιγμένον, καὶ ἕτερος πούς. τὸ η τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου, τοῦ β ἀναπαίστου. τὸ ι τροχαϊκὸν ἑφθημιμερές. ὃ καλεῖται Εὐριπίδειον, ἢ ληκύθιον. τὸ ια ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει ἀμφοτέρων ὁ παράγραφος. Κατάρχομαι, ὦ Πελασγία γῆ δηλονότι, ἄρχομαι ποιεῖσθαι στεναγμῶν, τιθεῖσα καὶ ποιοῦσα διὰ τῶν παρειῶν, ἤτοι διὰ τῆς αὐτῆς σπαράξεως, τὸν λευκὸν ὄνυχα αἱματηρόν. τιθεῖσα κατὰ κοινοῦ ἄταν καὶ βλάβην, κτύπον τε κρατὸς καὶ κεφαλῆς. ὃν κτύπον δηλονότι ἐκληρώσατο ὑποκάτω τῆς γῆς, ἡ Περσεφόνη, ἡ καλὴ παῖς, ἡ θεὰ τῶν νεκρῶν. θρηνείτω δὲ ἡ Κυκλωπεία γῆ, ἤτοι τὸ Ἄργος. τιθεῖσα ἐπὶ τῇ κεφαλῇ σίδηρον, κουρᾶς ποιητικὸν, διὰ τὰ πήματα τῶν οἴκων τῶν Ἀτρειδῶν. ἐλεεινότης ἤδη ἔρχεται ὑπὲρ τῶν μελλόντων τεθνήξεσθαι παίδων, ὄντων τῶν ποτὲ στρατηλατῶν, ἤτοι τοῦ Ἀγαμέμνονος, ἔφθαρται καὶ πᾶσα ἡ γέννα τῶν τέκνων τοῦ Πέλοπος, καὶ ὁ οἶκος ὁ ὤν ποτε ζηλωτὸς, καὶ θαυμαστὸς, ἐπὶ μακαρίοις πράγμασι δηλονότι, ἢ ἀνδρείοις, οἴχεται δηλονότι, νέμεσις εἷλεν αὐτὸν ὑπὸ τῶν θεῶν· καὶ ἡ ἐν τοῖς πολίταις ἐχθρὰ καὶ δυσμενὴς ψῆφος, καὶ κρίσις ἡ φονική. [960] Αἱματηρὸν ἄταν] ἀντὶ τοῦ καταξέουσα ἑαυτῆς τὰς παρειὰς τοῖς ὄνυξι, ὥστ᾽ ἐπὶ δι᾽ αἵματος βλάβη. τὸ τιθεῖσα δὲ κατὰ κοινοῦ καὶ ἐπὶ τῆς κεφαλῆς καὶ ἐπὶ τῶν παρειῶν. Νερτέρων Περσέφασσα] Περσέφασσα καλεῖται ἡ κόρη. ὑπὸ δὲ ταύτης καὶ τὴν μητέρα βούλεται δηλοῦν. πῶς γὰρ ἡ παῖς καλλίπαις. ἡ γὰρ Περσέφασσα θυγάτηρ ταύτης. γράφεται δὲ τὸ καὶ καλλίπαις, καὶ καλὴ παῖς, αὕτη ἐστὶν ἡ κόρη. οὕτω βέλτιον. αὕτη γὰρ ἐκληρώθη τὸν θρῆνον. τοῖς γὰρ θρήνοισιν ἐγγίνεται ἡ τὸν Ἴακχον φωνήσασα ἡ καλὴ παῖς. Ἱστέον ὅτι τῆς κόρης ἤγουν τῆς Περσεφόνης ἁρπασθείσης ὑπὸ Πλούτωνος, ἡ μήτηρ αὐτῆς ἡ Δηὼ, νῆστις περιήρχετο, ζητοῦσα αὐτήν. καὶ δὴ περιερχομένη, καὶ ζητοῦσα αὐτὴν ὑπεδέχθη ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόωντος ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας. ἡ δὲ Μετάνειρα παρέθηκεν αὐτῇ τράπεζαν, καὶ ἐκέρασεν αὐτῇ οἶνον. ἡ δὲ θεὸς οὐκ ἐδέξατο, λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐτῇ οἶνον, ἐπὶ τῇ θλίψει τῆς θυγατρός. ἀλφίτων δὲ κυκεῶνα ἐκέλευσεν αὐτῇ κατασκευάσαι ὃν δεξαμένη ἔπιεν. Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας, ἀθυμοῦσαν τὴν θεὰν ὁρῶσα, γελοιώδεις λόγους καὶ σκώμματά τινα ἔλεγε, πρὸς τὸ γελάσαι τὴν θεόν. ἦσαν δὲ τὰ ῥήματα ἅπερ αὐτὴ πρῶτον εἶπεν, Ἰαμβικῷ μέτρῳ ῥυθμισθέντα. Ἰάμβη δὲ θυγάτηρ Ἠχοῦς καὶ τοῦ Πανὸς, Θρᾷσσα τὸ γένος. [961] Ἰαχείτω δὲ γᾶ Κυκλωπία] θρηνείτω τὰ πήματα τῶν Ἀτρειδῶν οἴκων ἡ ἀπὸ τοῦ Κύκλωπος γῆ, ἤτοι αἱ Μυκῆναι, ἢ τὸ Ἄργος. Κυκλωπία] Κύκλωπες Θρᾳκικὸν ἔθνος ἀπὸ Κύκλωπος βασιλέως οὕτως ὀνομαζόμενοι. οὗτοι πολέμῳ ἐξαναστάντες τῆς ἰδίας, ἄλλοι ἄλλοσε ᾤκισθησαν. πλείονες δὲ αὐτῶν ἐν τῇ Κουρῆτιδι. ἦσαν δὲ ἄριστοι τεχνῖται. Ἄβαντος δὲ τοῦ βασιλέως τῶν Ἀργείων υἱοὶ ἦσαν ἐκ τῆς Ἀγλαΐας, Προῖτος, καὶ Ἀκρίσιος. οὗτοι μετὰ θάνατον τοῦ πατρὸς ἐστασίασαν περὶ τῆς τυραννίδος. φασὶ δὲ, ὅτι ἐν τῷ πολέμῳ τούτῳ πρῶτοι ξυλίναις ἀσπίσιν ἐχρήσαντο Ἀργεῖοι, καὶ νικήσαντος Ἀκρισίου συνέβησαν, ὥστε πλωτῆς γενομένης τῆς θαλάσσης ἀπαλλάττεσθαι τὸν Προῖτον. χειμάζοντι δὲ αὐτῷ ἐκεῖσε, φίλοι γίνονται Ἀργεῖοι. καὶ συμμαχίαν αὐτῷ ἐκ Λυκίας ἔρχεται, καὶ τῆς Κουρῆτιδος. ὡς δὲ λοιπὸν ἔαρ ἐγένετο, δεδιότες Ἀργεῖοι τὴν ἐπεισακτὸν συμμαχίαν τοῦ Προίτου, συντίθενται ὥστε Ἀκρίσιον μὲν ἄρχειν Ἄργους. Προῖτον δὲ, Τίρυνθος. κἀπειδὴ ὕποπτα ἦν τὰ τοῦ βασιλέως, τειχίζουσι τὰς πόλεις, τῶν ἐκ τῆς Κουρῆτιδος Κυκλώπων τειχισάντων αὐτάς. λέγει δὲ τὰς Μυκήνας. πλησίον δὲ αὗται τοῦ Ἄργους. Κύκλωπες δὲ οἱ ἐγχειρογάστορες περιετείχισαν τὰς Μυκήνας, ὥς ἡ ἱστορία φησὶ τὸν κεραυνὸν τῷ Διῒ κατασκευάσαι. Τῶν Ἀτρειδῶν διὰ τὰ πήματα τῶν Ἀτρειδῶν ἐλεεινοί φησι, καὶ οἰκτροὶ τὴν τύχην ἡμεῖς μέλλοντες θανεῖσθαι, παῖδες τῶν ἐν Ἑλλάδι ποτὲ διαπρεψάντων κατὰ τὴν βασιλείαν. Κούριμον] κουρητικόν. Ἔλεος ὅδ᾽ ἔρχεται] ὑπὲρ ὑμῶν ἔλεος ἥξει τῶν θανουμένων. Βέβακεν] παρῴχετο. Οἴχεται] παρῆλθε. Ζηλωτὸς ποτ᾽ οἶκος] καὶ ὁ οἶκος ὁ ὤν ποτε ζηλωτὸς ὡς ἐπὶ μακαρίοις, νέμεσις αὐτὸν εἷλε θεία, καὶ ἡ ἐν τοῖς πολίταις δυσμενὴς φονία ψῆφος. ἀφ᾽ ἑτέρας δὲ πτώσεως ἀρξάμενος, ὥσπερ ἐκ μεταμελείας ἐφ᾽ ἑτέραν πτῶσιν ἀποδίδωσι τὴν σύνταξιν. συνήθης δὲ οὗτος ὁ σχηματισμὸς καὶ τῷ πεζῷ λόγῳ. ὡς παρὰ Φιλοστράτῳ, φαρέτραι μὲν οὖν χρυσόπαστοι καὶ χρυσαῖ, καὶ τὰ ἐν αὐταῖς βέλη. γυμνὴ τούτων ἡ ἀγέλη πᾶσα. οὕτω χρὴ κλίνειν καὶ τὰ παρόντα κῶλα, ἵν᾽ εἴη πρὸς τὰ μέτρα ὀρθά. οὕτω δὲ χρὴ, καὶ ὁ οἶκος ὁ πάλαι διὰ τὰς εὐδαιμονίας ζηλωτὸς ὤν, βέβηκε, καὶ οἴχεται. καὶ τὸν ἄλλον στίχον πολύστονά τε δὴ, καὶ πολύπονα. ἵν᾽ ᾖ Ἴαμβος. ὡς ὁ τῆς στροφῆς. ἐλλιπὴς γὰρ ἦν. διὸ καὶ διωρθώθη παρ᾽ ἡμῶν. καὶ οἶμαι καλῶς. Ζηλωτὸς] ἐπίφθονος. [971] Φθόνος νιν εἷλε] ὀργὴ αὐτὸν κατέλαβε. καὶ ἡ ἐχθρὰ, φονικὴ καταδίκη τῶν πολιτῶν. Ἰὼ πανδάκρυτ᾽ ἐφαμέρων] ὦ πολύπονα τῶν ἀνθρώπων ἔθνη, καὶ ὑπὸ πάντων ἄξια θρηνεῖσθαι. Ἰὼ, ἰὼ] ὦ πλήθη τῶν ἀνθρώπων πολυστέναχτα, βλέπετε πῶς ἡ τύχη ἔρχεται παρὰ προσδοκίαν. ἕτερα δὲ πήματα ἑτέροις πήμασιν ἀμείβεται, καὶ κατὰ διαδοχὴν ἔρχεται ἐν τῷ μακρῷ χρόνῳ. πᾶσα δὲ ἡ ζωὴ τῶν ἀνθρώπων ἀστάθμητος καὶ ἄτακτος.

ANNOTATIONES.

V. 957. Ἀι, Ἀι] En iterum τὸ Ἀι, Ἀι otioſum eſt, nec Verſûs pedibus annumerandum. Vid. quæ notavimus ad *Hecub.* V. 1116. MS. *deeſt.*

V. 962. Καλλίπαις] al. καλὴ παῖς. Vid. *Schol.* eodem modo dicitur καλλιπάρθενος, καλλίχορος & εὔτεκνος *ſubſtantivè.*

V. 963. Γᾶ Κυκλωπία] Præter *Scholiaſt.* Vid. quæ not. ad *Iphig. Aul.* V. 151.

V. 977. Ex mente & authoritate *Scholiaſtæ* ita lego hunc Verſum, cum olim [πολύστονά τε δὴ καὶ] omittebatur, ut reſpondeat hic Verſus ſuo pari in ſtrophâ. *Joſ. Barnes.*

" 9 Ἐπερ

" 9 Ἔπεα δ' ἑτέροις ἀμείβεται
" 10 Πήματ' ἐν χρόνῳ μακρῷ,
" 11 Βροτῶν δ' ὁ πᾶς ἀστάθμητος αἰών.

" 9 Alia ve ò poſt alia ſuccedunt
" 10 Mala in longo tempore,
" 11 Tota autem vita hominum eſt inſtabilis.

Ἔπεα δ' ἑτέροις] ἄλλα ἐπ' ἄλλοις κατὰ διαδοχὴν ὑπέρχεται κακὰ τοῖς ἀνθρώποις. Βροτῶν δ' ὁ ἀστάθμητος αἰών.] ὁ βίος δὲ τῶν ἀνθρώπων ἀβέβαιος, ἄνισος, ἄστατος. ἄλλοι γὰρ ἄλλας ἔχουσι τύχας.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Μόλοιμι τὰν οὐρανοῦ μέσον τε χθονὸς
Τεταμέναν αἰωρήμασι
Πέτραν ἁλύσεσι χρυσέαισι, φερομέναν
Δίναισι, βῶλον ἐξ Ὀλύμπου,
Ἵν' ἐν θρηνοισιν ἀναβοάσω,
*Γέροντι πατρὶ Ταντάλῳ,
Ὃς ἔτικτεν ἔτικτε γενέτορας
Ἐμέθεν δόμων,
Οἳ κατεῖδον ἄτας,
Τὸ πτανὸν μὲν διώγμα πώλων,
Τεθριπποβάμονι στόλῳ,

* MS. Πατρὶ γέροντι, &c.

Utinam vadam ad medium cœli & terræ
Extenſum pendendo
Saxum catenis aureis, quod circumfertur
Volutationibus, glebam ex Olympo
Ut in luctibus recitem
Seni patri Tantalo,
(Qui peperit, peperit parentes
Meæ familiæ,
Qui viderunt mala.)
Celerem curſum equarum
Quadrijugo curru,

Μόλοιμι τὰν οὐρανοῦ] μετὰ τὴν κατὰ χῶρον στροφὴν, ἕτερον πάθος ἀπολελυμένον στροφῶν, μονόστροφα καὶ συστηματικὰ κατὰ περίοδον ἀνίσους, καὶ μετρικὰ ἄτακτα. τὰ κῶλα πάντα λζ. τὸ α, περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ β ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ γ, τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ δ, ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος δ ἰωνικοῦ ἀπὸ μείζονος κατὰ συνίζησιν καὶ ἰάμβου. τὸ ε ἰωνικὸν δίμετρον, βραχυκατάληκτον, ἐξ ἐπιτρίτου α, παίωνος δ, ἀντὶ ἰωνικοῦ καὶ συλλαβῆς. τὸ ζ ὅμοιον τῷ β. τὸ η ὅμοιον ἐκ χορείων δι' ὅλου. τὸ θ ἰαμβικὴ βάσις. τὸ ι τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ια ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς βάσεως, καὶ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου. οἱ δὲ βούλονται, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ σπονδείου, διϊάμβου, καὶ σπονδείου αὖθις. τὸ ιβ ὅμοιον τῷ β. τὸ ιγ, ὅμοιον ἑφθημιμερὲς, τοῦ β ποδὸς χορείου. τὸ ιδ, ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος, διϊάμβου, καὶ δύο συλλαβῶν ἀδιάφορον. τὸ ιε ὅμοιον τῷ ιγ, καθαρὸν ἰαμβικόν. τὸ ις ἀσυνάρτητον, ἐκ δύο τροχαϊκῶν ἑφθημιμερῶν, οἱ δὲ βούλονται, ἐξ ἰθυφαλλικῶν καὶ ἰαμβικῆς βάσεως. τὸ ιζ τροχαϊκὸν πενθημιμερές. τὸ ιη ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος α ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ τροχαϊκῆς συζυγίας. ἤτοι ἐπιτρίτου β. οἱ δὲ βούλονται, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ α ποδὸς δακτύλου. τὸ ιθ ὅμοιον τῷ β. τὸ κ ὅμοιον τῷ γ. τὸ κα ἴαμβος τρίμετρος. τὸ κβ ὅμοιον τῷ ι. τὸ κγ ὅμοιον κατὰ πάντα τῷ η. τὸ κδ ὅμοιον ἀναπαιστικὸν πενθημιμερές. τὸ κε τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου, ὃ καλεῖται Στησιχόρειον, ἔχον τὸ Πινδαρικὸν ἔθος, ἴαμβον δηλονότι τὸν τελευταῖον πόδα. τὸ κς ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ α ποδὸς χορείου. τὸ κζ ὅμοιον καθαρὸν, ἰαμβικόν. τὸ κη ὅμοιον τῷ κθ, δακτυλικὸν τετράμετρον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικὰ, ὡς εἴρηται. τὸ λ ὅμοιον. τὸ λα ἀναπαιστικὴ βάσις. οἱ δὲ βούλονται, δακτυλικὸν τρίμετρον. τὸ λβ ὅμοιον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. τὸ λγ, ἀναπαιστικὴ βάσις. τὸ λα, εἰ καὶ ἀναπαιστικὴ βάσις ἐχρῆτο, ἀλλ' οὐκ ἔστιν. ἔστι γὰρ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ... καὶ τὸ λγ δακτυλικὸν τρίμετρον. τὸ λδ ὅμοιον, δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς ἔχοντος συνίζησιν τῶν δύο βραχέων, εἰς βραχὺ, ἵνα ἀνάπαιστος γένηται. τὸ λε ὅμοιον καθαρόν. τὸ λς ὅμοιον τῷ γ Εὐριπιδείῳ. τὸ λζ, ὅμοιον κατὰ πάντα τῷ ιε, εἰ καὶ βούλει μέτρει. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. Μόλοιμι] ἀπέλθοιμι εἰς πέτραν τὴν τεταμένην ἐν αἰωρήμασι, ἤτοι τὴν αἰωρουμένην καὶ κρεμαμένην μέσον τοῦ οὐρανοῦ καὶ τῆς χθονὸς, λέγω τὴν βῶλον τὴν ἁλύσεσι χρυσέαις, ἤτοι ἁλύσεων χρυσῶν φερομένην ἐν συστροφαῖς ἐκ τοῦ οὐρανοῦ, ὅπως θρηνητικῶς διηγήσωμαι τῷ γέροντι τῷ Ταντάλῳ, ὃς ἔτικτε τοὺς ἀρχηγοὺς τῶν δόμων ἐμοῦ, ἤτοι τὸν Πέλοπα καὶ τοὺς ἐξ αὐτοῦ. οἳ κατεῖδον συμφορὰς, ὅτε κατὰ τὸν ταχύτατον δρόμον τῶν ἵππων, τὸν γενόμενον τῷ διὰ τῶν ἵππων κινήσει, ὁ Πέλοψ ἀπὸ τοῦ δίφρου ἐποίησε τὸν φόνον τοῦ Μυρτίλου, κατὰ τὸ πέλαγος ῥίψας τὸν Μυρτίλον δηλονότι, πρὸς τοῖς αἰγιαλοῖς τῆς θαλασσίου σάλου τοῦ Γεραιστοῦ, τοῖς λευκοῖς διὰ τῶν κυμάτων, ἀφ' ἧς αἰτίας ἦλθε τοῖς ἐμοῖς δόμοις ἀρὰ, πολλῶν στεναγμῶν αἰτία. ὁπότε ἐγένετο ἐν τοῖς ποιμνίοις Ἀτρέως τοῦ ἱπποτρόφου, τὸ τέρας τὸ ὀλέθριον τοῦ υἱοῦ τῆς Μαίας Ἑρμοῦ. λέγω τὸ λόχευμα (καὶ ὁ τόκος) τὸ χρυσόμαλλον τῆς ἀρνός. ὅθεν καὶ ἀφ' ἧς αἰτίας ἡ Ἔρις, καὶ πτερωτὸν ἅρμα τοῦ Ἡλίου μετεποίησε, προσαρμόσασα ἀντὶ τοῦ μεθαρμόσασα καὶ μεταλλάξασα τὴν ὁδὸν, ἤγουν τὴν πορείαν τοῦ οὐρανοῦ, τὴν πρὸς ἑσπέραν, ἤγουν τὴν πρὸς τὸ ἑσπέριον μέρος εἰς μονόπωλον ἠῶ, ἤτοι εἰς ἡμέραν ἑνὸς δρόμου ἵππων, τουτέστιν εἰς ἡμέραν μίαν. καὶ τὸν δρόμον τῆς ἑπταπόρου πλειάδος, ἤτοι τῆς ἑπτὰ πορείας ποιούσης. ἑπτὰ γὰρ ἀστέρες εἰσὶν ἡ πλειάς. καὶ ὁ εἰς ἀμυδρὸς μεταβάλλει ἀντὶ τοῦ μετέβαλεν ὁ Ζεὺς εἰς ὁδὸν ἄλλην, ἤγουν ἐκ δύσεως πρὸς ἀνατολήν. καὶ ἀπὸ τῶνδε, ἤτοι μετὰ ταῦτα, ἀμείβει ἀντὶ τοῦ διαδόχους ἐποίησεν ὁ Ζεὺς δηλονότι θανάτους θανάτων. καὶ τὰ ἐπώνυμα δεῖπνα τοῦ Θυέστου ἐπήγαγε δηλονότι. καὶ τὰ λέκτρα τῆς Ἀερόπης τῆς Κρήσσης τῆς δολίας ἐν δολίοις γάμοις. τὰ πανύστατα δὲ κακὰ δηλονότι, ἦλθον εἰς ἐμὲ καὶ εἰς τὸν ἐμὸν πατέρα σὺν πολυπόνοις ἀνάγκαις τῶν δωμάτων. Μόλοιμι] τὸ ἑξῆς μόλοιμι πρὸς τὴν πέτραν, καὶ τὴν βῶλον, τὴν τεταμένην ἐξ Ὀλύμπου χθονὸς μέσον οὐρανοῦ ἁλύσεσι χρυσαῖς, καὶ φερομένην δίναισι, καὶ αἰωρήμασιν. ὁ δὲ λόγος, εἴθε παραγενοίμην εἰς τὴν μεταξὺ γῆς καὶ οὐρανοῦ τεταμένην πέτραν, ἥτις αἰωρεῖται καὶ φέρεται μυρίαις στρεφομένη χρυσαῖς ἁλύσεσιν ἐξ οὐρανοῦ. ἵνα πρὸς τὸν Τάνταλον ἐλθοῦσα, ἀποδυραίμην τὰ συμβάντα. Ἀναξαγόρου μαθητὴς γενόμενος ὁ Εὐριπίδης, μύδρον λέγει τὸν Ἥλιον. οὕτω γὰρ δοξάζει. μύδρον δὲ καλοῦσι τὸν πεπυρακτωμένον σίδηρον. πέτρον δὲ καὶ βῶλον κατὰ ταυτὸ εἴρηκεν. ἀλλ' ἡ μὲν ἱστορία λέγει, τὸν Τάνταλον ἀνατεταμέναις χερσὶ φέρειν τὸν οὐρανόν. νῦν δὲ ὁ Εὐριπίδης ἰδίως τὸν ἥλιον ἐπικρεμᾶσθαι λέγει αὐτῷ διάπυρον ὄντα μύδρον. ὑφ' οὗ καὶ δειματοῦσθαι αὐτὸν ἀεὶ, Ἀναξαγόρᾳ πειθόμενος μύδρον αὐτὸν εἶναι λέγοντι. τινὲς δὲ κυρίως ἀκούουσι βῶλον χρυσῆν ἐπαιωρεῖσθαι τῇ κεφαλῇ τοῦ Ταντάλου. ὑφίστα δὲ ὁ Εὐριπίδης τὴν Ἠλέκτραν εὐχομένην, ὅπως τῷ Ταντάλῳ ἀποδύρηται τὰ συμβάντα τοῖς ἀπογόνοις αὐτοῦ. ὅμοιον τοῦτο τὸ ἐν Πειρίθῳ, σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ ῥόμβῳ πάντων φύσιν ἐμπλέξαντα, οὐδὲ γὰρ διαφέρει ὑπὸ τῆς φύσεως εἰπεῖν πάντα διαπεπλέχθαι, καὶ ὑπὸ ἁλύσεως ἐξηρτῆσθαι τοῦ λίθου. Ἄλλως. διὰ τούτου παραδηλοῦται, ὅτι ὁ Τάνταλος αὐτόθι ἐστὶ μεταξὺ γῆς καὶ οὐρανοῦ, αἴσθησιν ἔχων πάντων τῶν πεπραγμένων. εἰ δ' ἄρα τινὲς διαπορῶσι, πῶς ἐξ ἁλύσεως ἀπηρτημένος περιδινεῖται ὁ ἥλιος, γινωσκέτωσαν ὅτι τὰ φυσικὰ τοῖς μυθικοῖς καταμίγνυσιν ὁ Εὐριπίδης. Μόλοιμι] εἴθε παραγενοίμην. 988 Οἳ κατεῖδον ἄτας] οἵτινες φησὶν οἱ ἐμοὶ προπάτορες λέγει δὲ Ἀτρέα, καὶ Θυέστην, καὶ Ἀγαμέμνονα αὐτίκα καὶ θεαταὶ γεγόνασι πολλῶν κακῶν, ἐξ οὗ ὁ Πέλοψ κατὰ τὸ αὐτοῦ πλωτόν. ὃ ἐστι ταχύτατον ἅρμα ἔχων, τὸν Μυρτίλον ἐξεδίφρευσε, τουτέστιν ἀπὸ τοῦ δίφρου ἔρριψεν εἰς τὴν θάλασσαν. τὴν δὲ ἱστορίαν ταύτην ἤδη προεθέμεθα, ὅτι Πέλοψ ὁ Ταντάλου συνοργήσαντος τοῦ Μυρτίλου, καὶ τὴν παρὰ θάλασσαν ἐλαύνων, ἀπωθήσατο αὐτὸν κατ' ἐκεῖνον τὸν τόπον τῆς θαλάσσης, ἔνθα Γεραιστὸς ὅσον ἀκρωτήριον τῆς Εὐβοίας. ὅθεν τὸ πέλαγος ἐκεῖνο τῆς Εὐβοίας τὴν ἐπωνυμίαν εἴληφεν.

ANNOTATIONES.

V. 982. Πέτραν] *Euripides Tantali* pœnam à Lapide capiti imminente fingit, cùm *Homerus* abſtinentiâ bonorum præſentium ait maceratum. Vid. *Euſtathium in Hom.* fol. 1700. lin. 21. &c. Vid. hujus Fab. v. 6. Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον Ἀέρι ποτᾶται. Et in hunc locum & in illum *Scholiaſten. Joſ. Barnes.*

Πέλοψ

Πέλοψ ὁπότε πελάγεσι διεδίφρευσε,	Pelops quando ad mare gubernavit currum,
Μυρτίλου φόνον δικὼν ἐς οἶδμα πόντου,	Myrtili cadaver abjiciens in gurgitem maris,
Λευκοκύμοσι πρὸς Γεραιστίαις	Juxta albam Geræstiam
Ποντίων σάλων	Marinorum fluctuum
Ἠιόσιν ἁρματεύσας·	In littore aurigans:
Ὅθεν δόμοισι τοῖς ἐμοῖς	Undè familiæ nostræ
Ἦλθ' ἀρὰ πολύστονος,	Venit luctuosa execratio;
Λόχευμα ποιμνίοισι Μαιάδος τόκου,	Fœtus quando in grege, *Maiæ* filio operante,
Τὸ χρυσόμαλλον ἀρνὸς ὁπότε	Agni aureo-vellere-ornati
Γένετο, τέρας ὀλοὸν ὀλοὸν	Naſcebatur; Prodigium ſanè quàm pernicioſum
Ἀτρέως ἱπποβότα, ὅθεν ἔρις τό τε πτερωτὸν	Atrei equitis, unde lis alatum
Ἡλίου μετέβαλεν ἅρμα, τὴν πρὸς ἑ-	Currum ſolis mutavit, ut verſus oc-
σπέρον κέλευθον προσαρμόσασ' οὐρανοῦ.	caſum viam cœli accommodaret,
Μονόπωλον εἰς ἀῶ, ἑπταπόρου τε	Verſus auroram quæ vehitur uno equo, & ſeptem
Δρομήματα πλειάδος, εἰς ὁδὸν ἄλλαν	Pleiadûm curſus, in aliam viam
Ζεὺς μεταβάλλει. τῶν δέ τ' ἀμείβει	Jupiter mutat, & permutat
Θανάτους θανάτων, τό τ' ἐπώνυμα	Neces necibus, & famoſam [vel * illius-nomine-dictam]
Δεῖπνα Θυέστου, λέκτρα τε Κρήσσας	Cœnam Thyeſtæ, & thalamum Cretenſis
Ἀερόπας δολίας, δολίοισι γάμοις.	Aëropæ doloſæ, doloſis nuptiis.
Τὰ πύματα δ' εἰς ἐμὲ καὶ γενέταν	Poſtrema in me & patrem
Ἐμὸν ἤλυθε, δόμων πολυπόνοις ἀνάγκαις.	Meum venerunt miſero fato familiæ.

* *Thyeſtæ enim Cœna* proverbii jam locum obtinet.

Πέλοψ ὅτε] προστακτέον τῷ λόγῳ τὸ ὁπότε, τουτέστι καὶ κατεῖδον οἱ ἐμοὶ προπάτορες ἄτας ἐν δόμοις, ἐξ οὗ Πέλοψ ἐξεδιφρεύσεν εἰς θάλασσαν τὸν Μυρτίλον. ἔνθεν καὶ Μυρτῷον, ἀπὸ Μυρτίλου τὸ πρὸς Εὐβοίας κέκληται. μηνίσαντος γὰρ Ἑρμοῦ τὸν τούτου πατέρα ὑποβαλεῖν τοῖς ποιμνίοις χρυσόμαλλον ἄρνα, ἣ πολλῶν αἰτία κακῶν αὐτοῖς γέγονε. τὰ δὲ λοιπὰ τῆς ἱστορίας ἑξῆς ἐπάγει. ἀνεῖλε δὲ τὸν Μυρτίλον, προσδοκήσας καὶ αὐτὸς ὁμοίως ὑπ' αὐτοῦ προδοθήσεσθαι, ἵνα μὴ ἐξείποι ὅτι αὐτὸς ἐνίκησε, καὶ οὐ Πέλοψ. οἱ δὲ ὅτι μετὰ τὴν νίκην ὡς φίλον συλλαβόμενος τὸν Μυρτίλον, ἐξεδίφρευσε, ζηλοτυπήσας εἰς Ἱπποδάμειαν. Διεδίφρευσε] ἀντὶ τοῦ ἐξεδιφρεύσεν, ἐξέρριψε τὸν Μυρτίλον ἐπὶ τὸ ἀπολέσθαι. Δικών] ἐμβαλὼν εἰς τὸν πόντον, ὅτε ἐφόνευσεν. Γεραιστίαις] Γεραιστὸς ἀκρωτήριον τῆς Εὐβοίας. Λευκοκύμοσι] τοῖς λευκοῖς κύμασιν. ἐπειδὴ προσρηγνύμενα τῷ ἀκρωτηρίῳ ἀφρώδη γίνεται. 995 Ἁρματεύσας] διὰ τοῦ ἅρματος βαλών. ὅμοιον δὲ τῷ διεδίφρευσε. ἠιόνας δὲ λέγει τὴν ἐπιφάνειαν τοῦ κύματος, ἢ τοὺς αἰγιαλούς. Ὅθεν δόμοισιν] ὅτε ἐγένετο ποιμνίοις τέρας ὀλοὸν Ἀτρέως ἱπποβότα, λόχευμα ἀρνὸς χρυσομάλλου Μαιάδος τόκου. ὅθεν, τουτέστι διὰ τὸ φονευθῆναι τὸν Μυρτίλον, συμφορὰ κατέλαβε τοὺς οἴκους, τὴν ἀρχὴν λαβοῦσα ἐξ οὗ ἐγένετο τέρας ἐν τοῖς ποιμνίοις τοῦ ἱπποβότου Ἀτρέως τὸ ὀλέθριον. λέγω δὲ τὴν ἄρνα τὴν χρυσόμαλλον, ἣν ὁ Μαιάδος τόκος Ἑρμῆς ὑπέβαλεν. Λόχευμα ποιμνίοισι] τὸ ἑξῆς, λόχευμα χρυσομάλλου ἀρνός, περιφραστικῶς ὁ ἀρνειός. Λόχευμα] ἀκολουθεῖν δοκεῖ τῷ τὴν Ἀλκμαιωνίδα πεποιηκότι εἰς τὰ περὶ τὴν ἄρνα, ὡς καὶ Διονύσιος ὁ Κυκλογράφος φησί. Φερεκύδης δὲ οὐ καθ' Ἑρμοῦ μῆνιν φησὶ τὴν ἄρνα ὑποβληθῆναι. ὁ δὲ τὴν Ἀλκμαιωνίδα γράψας, τὸν ποιμένα προσαγαγόντα τὸ ποίμνιον τῷ Ἀτρεῖ ἀντιπαραβάλλει. Τὸ χρυσόμαλλον] Ἑρμοῦ φησὶ τὰ ποίμνια, καθότι ἐπιδίδοται τὰ ποίμνια αὐτῷ. Ἑρμοῦ δὲ καὶ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης ἐγένετο Μυρτίλος. οἱ δὲ ἐκ Κλυμένης αὐτὸν καὶ Διὸς φασὶ γεννηθῆναι. Ἄλλως. Ὁπότε τὸν ἀρνειὸν ὑπέβαλε τοῦτον Ἑρμῆς ὀργιζόμενος Ἀτρεῖ, ἐπειδὴ ὁ πρόγονος αὐτοῦ Πέλοψ τὸν Μυρτίλον υἱὸν αὐτοῦ, εἰς τὸ ἐξ αὐτοῦ κληθὲν Μυρτῷον πέλαγος ἔρριψε, συναγωνισάμενον αὐτῷ, καὶ ποιήσαντα ἀπὸ κηροῦ τοὺς τροχοὺς, ἤτοι τοὺς σφῆνας τῶν τροχῶν. ὁ δὲ Ἀτρεὺς βουλόμενος δεῖξαι, ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία, ἔφη δεῖξαι ὅτι χρυσόμαλλος ἀρνειὸς αὐτῷ ἐτέχθη. τότε δὲ ὑποποιησάμενος τὴν γυναῖκα Θυέστης, ἔκλεψε τὸν ἀρνειόν. μὴ δυνηθεὶς οὖν κατὰ τὴν ὑπόσχεσιν δεῖξαι ὁ Ἀτρεὺς, ἔμελλεν ἀφαιρεῖσθαι τὴν βασιλείαν, ἐκείνου τὸ ἐπ' αὐτοῦ ὑφαρπαχθὲν διανοηθέντος. οἱ μὲν ὡς ἂν φιλόσοφος ἀπέδειξεν αὐτοὺς ἀσεβοῦντας, οἱ Θυέστην βασιλέα εἵλοντο. τεκμήριον δὲ τῆς βασιλείας τὸν Ἥλιον, καὶ τὰς Πλειάδας ἐκ δύσεως ἀνερχόμενα. καὶ οὕτως ἐβασίλευσε, καὶ τὸν ἀδελφὸν σφόδρα ἐτιμωρήσατο. τινὲς δέ φασι, τὸν Δία πρὸς χάριν Ἀτρέως ποιῆσαι τὸν ἥλιον καὶ τὰς πλειάδας ἀνατεῖλαι ἐκ δύσεως, μεταστρέψαντα τὴν τάξιν ἐν μιᾷ ἡμέρᾳ. Καὶ τοῦτο παρεκτιθέμεθα οὕτως. Φιλονεικίας οὔσης αὐτοῖς περὶ τῆς βασιλείας, παρελθὼν ὁ Ἀτρεὺς, ἐπηγγέλλετο δεῖξαι πρὸς τὸ βεβαιωθῆναι αὐτῷ τὴν βασιλείαν, χρυσόμαλλον ἐν τοῖς ποιμνίοις αὐτοῦ ἄρνα, ἣν ὁ Θυέστης λάθρα παρὰ τῆς Ἀερόπης αἰτήσας ἔλαβεν. ὅθεν Ἀτρεὺς ὡς ἀπατήσας τοὺς Ἕλληνας, ἐξεβλήθη τῆς ἀρχῆς· Θυέστης δὲ ἐκράτησεν. ἀλλ' ὕστερον πάλιν ὁ Ἀτρεὺς, φιλονεικίᾳ τῇ πρὸς τοῦτον, προσελθὼν ἐπηγγέλλετο δεῖξαι τὸν ἥλιον ἐκ δυσμῶν εἰς ἀνατολὰς τὴν πορείαν ποιούμενον, καὶ τὴν πλειάδα ὁμοίως εἰς ἀνατολὴν ἐρχομένην. τοῦτο οὖν λέγει, ὅτι μετὰ τὸ φανῆναι τὸν ἄρνα ἡ Ἔρις τοῦ Ἀτρέως πεποίηκεν ἐπιδειχθῆναι Ἕλλησι τὸν ἥλιον τὴν ἐναντίαν περιοδεύοντα, καὶ τὴν πλειάδα μηκέτι πρὸς δύσιν, ἀλλὰ πρὸς ἀνατολάς. Πιθανῶς δὲ ὁ Εὐριπίδης τὸν μῦθον προσήρμοσεν. ὁ γὰρ φυσικὸς λόγος τὸν ἥλιον ἀποδείκνυσι τὴν ἐναντίαν πορείαν ἰόντα τῷ οὐρανῷ. φησὶ γὰρ, ὅτι πρότερον ἐκ Καρκίνου εἰς Διδύμους ἐποιεῖτο τὴν πορείαν. ὥς τε τὸν σημαινόμενον ἥλιον ἀπεστράφθαι πρὸς τὴν δύσιν τὸ πρόσωπον. νῦν δὲ διὰ τὴν τοῦ Ἀτρέως καὶ Θυέστου ἀδικίαν, ἀποστραφέντα πρὸς ἀνατολὴν φέρεσθαι, ἔχοντα φαινόμενον ἡμῖν τὸν νῶτον. διόπερ τὴν μὲν δύσιν αὐτοῦ γενέσθαι ἀνατολὴν, τὴν δὲ ἀνατολὴν δύσιν. πιθανῶς δὲ τὸ κατὰ τὰς πλειάδας εἴληπται. τὰ μὲν γὰρ ἄλλα ζώδια, πρώτην φαίνει τὴν κεφαλὴν κατὰ ἀνατολάς. ὁ δὲ ταῦρος τὸ στῆθος προφαίνει, καθὸ εἰσὶν αἱ πλειάδες, ὥστε ἀντεστραμμένην καὶ ταύτην τὴν ἀνατολὴν γενέσθαι. Ἔρις δὲ ἀντὶ τοῦ διὰ τὴν Ἔριν Ἀτρέως τὴν πρὸς Θυέστην. 1001 Ἱπποβότα] ἵππους τρέφοντος, καὶ ἵπποις ἐπιβαίνοντος. Μονόπωλον ἐς ἀῶ] Εὐριπίδης μὲν ἐν ἵπποις ἐποχεῖσθαι φησὶ τὴν ἡμέραν. καὶ τοῦτο δή ἐστι τὸν Πήγασον. ἄλλοι δὲ ἐπὶ δίφρου. πῶς δέ ἐστιν ἡ περὶ τῆς ἀνατολῆς Ἡλίου λάμπουσα. ἔνιοι δὲ μονόπωλον οὐχὶ τὴν ἕνα πῶλον ἔχουσαν φασίν, ἀλλ' ἐν μιᾷ ἡμέρᾳ καὶ μόνῃ, ἵν' ᾖ ὁ Ἀτρεὺς τοῦτο ἐσχηκὼς κατὰ χάριν Διός, διὰ ἡμέρας μιᾶς τότε τὸν ἥλιον ἐκ δύσεως ἀνατεῖλαι, καὶ τὰς πλειάδας. Μεθαρμόσασα] μεταστρέψασα. Μονόπωλον] διὰ μιᾶς ἡμέρας. Ἑπταπόρου] ἐξ ἑπτὰ γὰρ ἀστέρων ἡ πλειάς. 1006 Μεταβάλλει] ἀντὶ τοῦ μετέβαλλεν. Τῶν δέ τ' ἀμείβει] ἀπὸ δὲ τούτων, ὅ ἐστιν ἑξῆς δὲ τούτων. ἀπὸ τοῦ Ἀτρέως καὶ τοῦ Θυέστου, κατὰ διαδοχὴν θανάτους ἐπαλλήλους ἐπήγαγεν ὁ Μαιάδος τόκος, καὶ τὰ δεῖπνα τῶν τέκνων τοῦ Θυέστου. ἐπώνυμα δὲ εἶπεν αὐτὰ, παρετυμολογῶν τὸν Θυέστην παρὰ τὴν θύσιν τῶν τέκνων αὐτοῦ. Ἄλλως. Ἀμοιβὰς κατὰ διαδοχὴν θανάτων, ἐπήγαγε τῷ γένει ὁ Ζεὺς, ἀντὶ τοῦ τῆς χ[illegible]ος, ὡς παρέσχετο, ἢ μᾶλλον ὁ Ἑρμῆς. ἢ οὕτως. ἀντὶ τοῦ φόνου τοῦ Μυρτίλου, διαδοχαὶ φόνων ἐγένοντο. Λέκτρα τε Κρήσσας] ἀνέστρεψε τὴν τάξιν τῆς ἱστορίας. Τὰ πύματα] λοιπὰ κακά. Ἤλυθε] λείπει ἡ σὺν, σὺν πολυπόνοις ἀνάγκαις.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Καὶ μὴν ὅδε σὸς σύγγονος ἕρπει,
Ψήφῳ θανάτου κατακυρωθεὶς,
Ὅ, τε πιστότατος πάντων Πυλάδης,
Ἰσάδελφος ἀνὴρ,
Ἰθύνων νοσερὸν κῶλον Ὀρέστου.
Ποδὶ κηδοσύνῳ παράσειρος.

Cho. Atqui frater tuus accedit
Capitali sententiâ damnatus,
Et fidelissimus omnium Pylades,
Vir par fratri, gubernans
Languidum pedem Orestis,
Junctus gressu officioso.

Καὶ μὴν] ὁ δὲ σὸς σύγγονος ἕρπει. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἀναπαιστικῶν ἕξ. ὧν τὸ μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ δὲ ϛ´ καταληκτικὸν, ὅπερ ἐφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. Καὶ μὴν ὁ σὸς ἀδελφὸς οὗτος ἔρχεται κατακριθεὶς τῇ ψήφῳ τοῦ θανάτου, τουτέστι καταδικασθεὶς ἀποθανεῖν. ὁ πιστότατός τε πάντων Πυλάδης ἔρχεται δηλονότι. λέγω ὁ ἰσάδελφος ἀνὴρ, κυβερνῶν τὸ νοσωδὲς σῶμα τοῦ Ὀρέστου, παράσειρος καὶ συνεζευγμένος ἐν ποδὶ κηδοσύνῳ, ἤγουν ἐν πορείᾳ κηδεμονικῇ. Κατακυρωθεὶς.] κατακριθείς. [1010] Ἰθύνων] κυβερνῶν τὸ νοσερὸν σῶμα τοῦ Ὀρέστου πορείᾳ κηδεμονικῇ ἤγουν κατὰ πορείαν κηδεμονικὴν παρασυνεζευγμένον. Ποδὶ κηδοσύνῳ παράσειρος] τῇ κηδεμοσύνῃ συνεζευγμένος, καὶ τὸ νοσερὸν κῶλον τοῦ Ὀρέστου ἰθύνων. κῶλα δὲ κυρίως λέγει τὰς ἁρμονίας τῶν μελῶν. Παράσειρος, κυρίως ὁ ὄπισθεν τοῦ ἅρματος ἀπόμαχος ἵππος.

ARGUMENTUM *Actûs* Quarti.

ELECTRA *è concione reversum* Orestem *magno cum luctu & condolentiâ excipit: Extremæ Fratris & Sororis, dum Morti se parant, allocutiones, complexus & mutua oscula.* Pylades Orestem *jamjam in ferrum ruiturum inhibet, monens, ut priùs ignavo Patruo* Menelao *ultionem meditetur.* Helenam *igitur imprimis mactandam, quæ jam intùs esset, quòd uxorio* Menelao *morte ipsâ sit acerbius futurum.* Electra *insupèr monet,* Hermionem, *quam mox à* Clytæmnestræ *tumulo adfuturam noverat, deprehendi pro obside eorum salutis oportere. Hi ad facinus se accingunt, illa* Hermionæ *reditum ad fores expectans,* Chorum *ad diversas stationes fideliter obeundas disponit.* Hermione *superveniens & rerum ignara, quæ intùs gerebantur, in casses incidit.* Phryx *Eunuchus ex Domo fugâ elapsus, narrat, quomodo* Pylades *&* Orestes Hermionem *ceperint, & ut* Helena, *dum neci dederetur, subitò disparuerit.*

ΗΛΕΚΤΡΑ, ΟΡΕΣΤΗΣ, ΠΥΛΑΔΗΣ, ΦΡΥΞ.

Ἰαμβοί.

Ηλ. Οἴ 'γώ. πρὸ τύμβου γάρ σ' ὁρῶσ' ἀναστένω
Ἀδελφὲ, καὶ πάροιθε νερτέρων πυρᾶς.
Οἲ 'γὼ μάλ' αὖθις, ὥς ἰδοῦσ' σ' ὄμμασι
Πανυστάτην πρόσοψιν, ἐξέστην φρενῶν.
Ορε. Οὐ σῖγ', ἀφεῖσα τοὺς γυναικείους γόους,
" Στέρξεις τὰ κρανθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
" Φέρειν σ' ἀνάγκη τὰς παρεστώσας τύχας.
Ηλ. Καὶ πῶς σιωπῶ; φέγγος εἰσορᾶν θεοῦ
Τόδ' οὐκέθ' ἡμῖν ταῖς ταλαιπώροις μέτα;
Ορε. Σὺ μή μ' ἀπόκτειν'· ἅλις ὑπ' Ἀργείας χερὸς
Τέθνηχ' ὁ τλήμων. τὰ δὲ παρόντ' ἔα κακά.
Ηλ. Ὦ μέλεος ἥβης σῆς, Ὀρέστα, καὶ πότμου,
Θανάτου τ' ἀώρου, ζῆν ἐχρῆν σ', ὅτ' οὐκέτ' εἶ.
Ορε. Μὴ πρὸς θεῶν μοι περιβάλῃς ἀνανδρίαν,
Εἰς δάκρυα πορθμεύουσ' ὑπόμνησιν κακῶν.
Ηλ. Θανέμεθ'. οὐχ οἷόν τε μὴ στένειν κακά.
" Πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.

El. Hei mihi, videns te ante mortem gemo,
Frater, & ante rogum inferorum.
Heu mihi rursus, quàm videns oculis
Ultimum aspectum, animo abalienata sum.
Ore. Non tacitè, omissis muliebribus lamentationibus,
" Boni consules quæ ordinantur? Sunt quidem ista miserabilia, sed tamen
" Oportet te ferre præsentes fortunas.
Ele. Et quomodo tacebo? Intueri lumen Dei
Hoc non ampliùs licet nobis miseris.
Ore. Nè tu me occidas: Satis ab Argivâ manu
Mortuus sum miser: sine præsentia mala.
Ele. O miser Orestes, propter tuam adolescentiam & fatum
Et mortem intempestivâ! Oportebat te vivere, quando non amplius es.
Ore. Nè per Deos injicias mihi mollitiem,
In lacrymas traducens, commemorationem malorum.
Ele. Moriemur: Non est possibile non deplorare mala:
" Omnibus hominibus est miserabile, amittere charam vitam.

Οἲ ἐγὼ] καὶ αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σκ´. ὧν τελευταῖος, ἢ ζῆν ἅπασιν ἢ θανεῖν ὀφείλεται. μετὰ δὲ τὸν λδ´, καὶ τὸν ρλζ´ στίγμα κεῖται τὸ φωνῆ. ὡς ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. Φεῦ· ἀθλία εἰμὶ ἐγώ· ὁρῶσα γάρ σε, ὦ ἀδελφὲ, πρὸ τοῦ τύμβου, ἤτοι ἔμπροσθεν τοῦ τύμβου. ἢ πρὸ τοῦ τύμβου, ἀντὶ τοῦ πρὸ τοῦ τυχεῖν σε τάφου, καὶ πρότερον τῆς νερτέρου πυρᾶς, ἤτοι τῆς πρὸς τοὺς νερτέρους πεμπούσης πυρκαϊᾶς, ἀναστένω. Οἲ ἐγὼ λίαν πάλιν, λίαν ἐξέστησαν τῶν φρενῶν, ἰδοῦσα τοῖς ὄμμασι σὲ θέαν τελευταίαν. Οἲ ἐγὼ] πλησιάζοντα, καὶ ἐγγὺς ὄντα σοῦ τάφου καὶ τοῦ θανάτου, ὁρῶσα, στενάζω. ἢ οὕτως, πρὶν ἐν τῷ τάφῳ καὶ ἐν τῇ πυρᾷ σε θεάσομαι θρηνῶ. [1020] Οἲ ἐγὼ μάλ' αὖθις] οἴμοι καὶ πάλιν τῇ ἀθλίᾳ. Πανυστάτην πρόσοψιν] ἐσχάτην θέαν. λέγεται δὲ ἐνταῦθα ἐπὶ τῆς ἐνεργείας τῆς ὄψεως. Οὐ σῖγ' ἀφεῖσα] οὐ μετὰ σιγῆς καταλείψασα τοὺς γυναικείους λόγους, ὑπομενεῖς τὰ κυρωθέντα. ἐλεεινὰ μὲν ταῦτα, ἀλλ' ὅμως ἀνάγκη ἐστὶν ἡμᾶς ὑπομένειν τὰς παρούσας δυστυχίας. Καὶ πῶς] καὶ πῶς σιωπήσω, ἐπεὶ οὐκέτι μέτεστιν ἡμῖν ταῖς ἀθλίαις βλέπειν τόδε τὸ φῶς τοῦ Ἡλίου. ἐπεὶ τὸ φῶς τοῦ Ἡλίου ὁρᾶν οὐ μέτεστιν ἡμῖν ταῖς ταλαιπώροις. Σὺ μή μ' ἀπόκτεινε] αὐτάρκης ὁ ὑπὸ τῆς Ἑλληνικῆς χειρὸς θάνατος. Ὦ μέλεος] ὦ τλήμων Ὀρέστα, ἕνεκα τῆς σῆς ἡλικίας τῆς δυστυχοῦς, καὶ χάριν τοῦ ἀώρου καὶ ἀκαίρου θανάτου. [illegible] ἐχρῆν σε] τότε ἐχρῆν σε ζῆν, ὅτε οὐδαμῶς εἶ. ὃ νομίζει ἐξ ἀνάγκης γίνεσθαι, τοῦτ' ἤδη καὶ μήπω γενόμενον, ὡς [illegible] γενὸς ἀποφαίνεται. Ἄλλως. Νῦν σε φησὶ ἐχρῆν ζῆν, ὅτε οὐκέτι σε ζῆν συγχωροῦσιν οἱ Ἕλληνες. πορθμεύουσα δὲ, τουτέστι διὰ τὴν ὑπόμνησιν τῶν κακῶν εἰσάγουσά με εἰς δάκρυα. Πᾶσι γὰρ οἰκτρὸν] ἐκ ἐναντίου τοῦ διανοήματος. θέλει γὰρ εἰπεῖν, ὅτι πᾶς ἀποθνήσκων οἰκτίζεται τὴν αὐτοῦ ψυχήν.

ANNOTATIONES.

V. 1017. Παράσειρος] propriè equus, qui ad alios latus jugatus trahit. Vid. *Eustath.* fol. 700. l. 47. V. 1019. νερτέρων] al. νερτέρου, & ita *Scholiast.* & MS.

Ορε. Τόδ'

Ορ. Τόδ' ἦμαρ ἡμῖν κύριον· δεῖ δ' ἢ βρόχους
Ἅπτειν κρεμαστοὺς, ἢ ξίφος *θήγειν χερί.
Ηλ. Σύ νυν μ', ἀδελφὲ, μή τις Ἀργείων κτάνῃ,
Ὕβρισμα θέμενος τὸν Ἀγαμέμνονος γόνον.
Ορ. Ἅλις τὸ *μητρὸς αἷμ' ἔχω, σὲ δ' οὐ κτενῶ,
Ἀλλ' αὐτοχειρὶ θνῆσχ', ὅτῳ βούλει τρόπῳ.
Ηλ. Ἔσται τάδ'· οὐδέν σου ξίφους λελείψομαι,
Ἀλλ' ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.
Ορ. Τέρπου κενὴν ὄνησιν, εἰ τερπνὸν τόδε
Θανάτου πέλας βεβῶσι, περιβαλεῖν χέρας.
Ηλ. Ὦ φίλτατ', ὦ ποθεινὸν, ἥδιστόν τ' ἔχων
Τῆς σῆς ἀδελφῆς ὄνομα, καὶ ψυχὴν μίαν.
Ορ. Ἔκ τοί με τήξεις· καί σ' ἀμείψασθαι θέλω
Φιλότητι χειρῶν. τί γὰρ ἔτ' αἰδοῦμαι τάλας;
Ὦ στέρν' ἀδελφῆς, ὦ φίλον προσπτύγμ' ἐμὸν,
Τάδ' ἀντὶ παίδων καὶ γαμηλίου λέχους
Προσφθέγματ' ἀμφὶ τοῖς ταλαιπώροις πάρα.
Ηλ. Φεῦ· Πῶς ἂν ξίφος νὼ ταὐτὸν, εἰ θέμις, κτάνοι;
Καὶ μνῆμα δέξαιθ' ἕν, κέδρου τεχνάσματα;
Ορ. Ἥδιστ' ἂν εἴη ταῦθ'. ὁρᾷς δὲ δὴ φίλων
Ὡς ἐσπανίσμεθ', ὥστε κοινωνεῖν τάφου.
Ηλ. Οὐδ' εἶφ' ὑπὲρ σοῦ, μὴ θανεῖν σπουδὴν ἔχων,
Μενέλαος ὁ κακὸς, ὁ προδότης τοὐμοῦ πατρός;
Ορ. Οὐδ' ὄμμ' ἔδειξεν· ἀλλ' ἐπὶ σκήπτροις ἔχων
Τὴν ἐλπίδ', ηὐλαβεῖτο μὴ σώζειν φίλους.
Ἀλλ' εἶ', ὅπως γενναῖα, κἀγαμέμνονος
Δράσαντε κατθανούμεθ' ἀξιώτατα.
Κἀγὼ μὲν εὐγένειαν ἀποδείξω πόλει,
Παίσας πρὸς ἧπαρ φασγάνῳ· σὲ δ' αὖ χρεὼν
Ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασι.
Πυλάδη, σὺ δ' ἡμῖν τοῦ φόνου γενοῦ βραβεὺς,
Καὶ *κατθανόντοιν εὖ περίστειλον δέμας,
Θάψον τε κοινῇ πρὸς πατρὸς τύμβον φέρων·
Καὶ χαῖρ'· ἐπ' ἔργον δ', ὡς ὁρᾷς, πορεύομαι.
Πυ. Ἐπίσχες· ἓν μὲν πρῶτά σοι μομφὴν ἔχω,
Εἰ ζῆν με χρῄζειν σοῦ θανόντος ἤλπισας.
Ορ. Τί γὰρ προσήκει κατθανεῖν σ' ἐμοῦ μέτα;
Πυ. Ἤρου; τί δὲ ζῆν σῆς ἑταιρίας ἄτερ;
Ορ. Οὐκ ἔκτανες σὴν μητέρ', ὡς ἐγὼ τάλας.
Πυ. Σύν σοί γε κοινῇ· ταῦτα καὶ πάσχειν με δεῖ.

* MS. θήγειν. * MS. [illegible] * MS. κατθανόντων δέ-

Or. Iſta dies eſt nobis conſtituta: oportet aut laqueos
Penſiles ſuſpendere, aut acuere manu gladium.
El. Tu nunc me, frater, *occide*, ne quis Argivorum occidat,
Contumeliâ afficiens genus Agamemnonis, viz. me.
Or. Satis habeo ſanguinem matris, te non interficiam:
Sed moriaris tui ipſius manibus, quocunque modo vis.
El. Fiet: non deſerar à tuo gladio.
Sed volo brachia circundare tuo collo.
Or. Delecteris inani voluptate, ſi quidem hoc delectabile,
Circundare brachia, euntibus ad mortem.
El. O chariſſime, O habens deſiderabile & dulciſſimum
Nomen ſororis tuæ, & unam animam.
Or. Liquefacies me, volo tibi reſpondere
Officio brachiorum: quid enim miſer erubeſcam?
O pectus ſororis, O charus amplexus mihi.
Hæc pro liberorum oſculis & conjugali lecto
Alloquia adſunt inter miſeros utrinque.
El. Heu, quomodo idem gladius nos interficiet, ſi fas ſit?
Et accipiet unum ſepulchrum, opus cedri?
Or. Suaviſſimum eſſet hoc: ſed vides, amicis
Quomodo caremus, ut conjungamur ſepulchro.
El. Nihilne dixit pro te, operam navans ne morereris,
Menelaus ille pravus, proditor mei patris?
Or. Ne oſtendit quidem oculum, ſed in ſceptris habens
Spem; veritus eſt ſervare amicos.
Sed eja, ut generoſa & Agamemnone
Facientes digniſſima moriamur.
Et ego quidem generoſitatem oſtendam urbi,
Feriens gladio hepar: te autem oportet
Similia facere meis auſis.
Pylades, tu eſto nobis occiſionis Arbiter,
Et mortuorum benè componas corpora,
Et ſepeli ſimul, ferens ad patris tumulum,
Et vale: vado enim ad opus, ut vides.
Pyl. Differ: hoc enim primùm te accuſo,
Si ſperâſti, me velle vivere te mortuo.
Or. Quorſum enim attinet te mecum mori?
Pyl. Interrogâſti? quorſum verò vivere ſine tuâ amicitiâ?
Or. Non *tu* interfeciſti tuam matrem, ſicut ego miſer.
Pyl. *At* tecum: *Quare* ſimul & hæc me pati oportet.

Κύριον] κεκυρωμένον. Δεῖ δ' ἢ βρόχους] χρεὼν δ' ἐστὶν ἢ σχοινία καὶ ἀγχόνην ἀνάπτειν καὶ κρεμᾶν μετέωρον, ἢ ξίφος ἀκονᾶν χειρὶ, ἤγουν διὰ χειρός. Σύ νυν μ' ἀδελφὲ] σύ με φόνευσον αὐτόχειρ γοῦν, ἵνα μή τις με τῶν Ἀργείων ἀνελὼν, ὕβριν ταύτην περιθεὶς, καὶ ἀτιμάσῃ τὸν Ἀγαμέμνονος γόνον. ἢ οὕτως, ἵνα μή τις ἐνυβρίσῃ με τὸν Ἀγαμέμνονος γόνον. γράφεται καὶ δόμον. οὕτω γὰρ καὶ Καλλίστρατός φησιν Ἀριστοφάνη γράφειν. Ἄλλως. Μὴ ἐνυβρίσας σὺ τὸν Ἀγαμέμνονος γόνον. 1039 Ἅλις τὸ μητρὸς] ἀρκούντως ἔχει ὁ φόνος τῆς μητρὸς, ὃς ἐσονδίδη δηλονότι ὑπ' ἐμοῦ. ἀλλὰ αὐτοχειρὶ θνῆσκε, ἢ ὅτῳ τρόπῳ βούλει. Ἔσται τάδε] γενήσεται ταῦτα. οὐκ ἐπὶ πολλὴν χρόνον τῆς σῆς σφαγῆς ἀπολειφθήσομαι. εἰ ὅλως ἐστὶ τέρψις τοῖς πέλας θανάτου βεβῶσι. Ἄλλως. Οὐκ ἀπολειφθήσομαι τοῦ σοῦ θανάτου, ὡς μὴ σὲ τεθνηκέναι, ἀλλ' ἅμα σοὶ, τοῦ παρόντος οἰχήσομαι χρόνου. Τέρπου] τέρπου τέρψιν ματαίας ὠφελείας, εἰ τὸ περιβαλεῖν χεῖρα τοῖς πέλας βεβηκόσι θανάτου ὑπάρχει τέρψεως ποιητικόν. Τί γὰρ αἰδοῦμαι τάλας] ἤγουν καὶ αὐτὸς περιβαλεῖν σε βούλομαι. Γαμηλίου] γαμικοῦ. Κέδρου τεχνάσματα] τὰ ἐκ κέδρου κατασκευάσματα. ἐκ γὰρ κεδρίνου ξύλου εἰώθασι τὰς νεκρῶν θήκας κατασκευάζειν. Ἥδιστ' ἂν] εὐφραντικώτατα εἴη ἂν ταῦτα, εἰ οὕτω γένοιτο. ὁρᾷς δὲ δὴ νῦν, ὅτι ἐστερήμεθα φίλων, ὥστε κοινωνεῖν ἡμᾶς ἀλλήλοις δηλονότι τοῦ τάφου. 1055 Ἐσπανίσμεθ'] ἐστερήμεθα. Σπουδὴν ἔχων] σπουδάζων. Ὁ κακὸς] ὁ κακόδοξος.

Ἐπὶ σκήπτροις] ἐπὶ τῇ βασιλείᾳ. Οὐδ' ὄμμ' ἔδειξεν] ἤγουν οὐδὲ διάθεσιν καὶ γνώμην ἔδειξεν. οὕτω ἐστὶν ὀλίγον πρὸς τὸ διεγερθῆναι, καὶ ἀντιτάξασθαι τοῖς ἐχθροῖς. ἀλλ' ἐπὶ τοῖς σκήπτροις ἔχων τὴν ἐλπίδα, ἤγουν ἐπὶ τῇ βασιλείᾳ, ἣν ἤλπιζε κατέχειν ἀποθανόντος τοῦ Ὀρέστου, ηὐλαβεῖτο σώζειν τοὺς φίλους. ἀλλά γε σκεψώμεθα ὅπως ἀντὶ τοῦ πῶς δράσαντες γενναῖα καὶ ἀξιώτατα τοῦ Ἀγαμέμνονος, ἀποθανούμεθα. Μὴ σώζειν φίλους] τὸ μὴ περιττεύει, ὅτι ηὐλαβεῖτο καὶ περιῄει τὸ ἀντειπεῖν μὴ σώζειν τοὺς φίλους· εἰ γὰρ γνήσιοι φίλοι καὶ πρὸς τὸ πλῆθος οὐ παραιτοῦνται κινδυνεύειν. ἢ τὸ πλῆθος ηὐλαβεῖτο πρὸς τὸ μὴ σώζειν τοὺς φίλους, ἢ εἰπεῖν εὐλαβεῖτο. Ἀποδείξω πόλει] ἤγουν τοῖς πολίταις ἀποδείξω τὴν εὐγένειαν. Σὲ δ' αὖ] σὲ δὲ πάλιν πρέπον ὅμοια ποιεῖν ἐμοί. 1065 Βραβεὺς] κύριος ὁ ἀγωνοθέτης. Ἐπίσχες] καρτέρησον. Μομφὴν ἔχω] ἀντὶ τοῦ μέμφομαί σοι, εἰ ζῆν μ' ἐθέλειν σοῦ ἀποθανόντος ἤλπισας. Τί γὰρ] τί γὰρ ἁρμόζει, ἀποθανεῖν σε μετ' ἐμοῦ; Ἤρου] ἠρώτησάς με, εἰ προσήκει με ἀποθανεῖν μετὰ σοῦ, κἀγώ σε ἀντερωτήσω. τί δὲ προσήκει με ζῆν, τῆς σῆς φιλίας καὶ ἑταιρείας χωρίς; Οὐκ ἔκτανες] οὐκ ἐφόνευσας τὴν σὴν μητέρα καθάπερ ἐγώ. Σὺν σοί γε] οὐ πρὸς τὸ ῥηθὲν ἀπεκρίνατο Πυλάδης ὑπὸ Ὀρέστου. θέλει γὰρ λέγειν, ὅτι συμπέπραχά σοι. ἰδίως δὲ ταῦτα ὁ Εὐριπίδης, τοῦ Πυλάδου ἔμπροσθεν εἰρηκότος, ὅτι ἐκβέβληται ὑπὸ τοῦ πατρὸς, εἰ μὴ ἄρα αἰνίττεται ὡς μετὰ θάνατον τοῦ πατρὸς δυνήσεται κατελθεῖν.

ANNOTATIONES.

V. 1037. Σύ νυν] Liber *Heinſio-Scal.* legit.

V. 1038. Γόνον] al. δόμον, ſed noſtra lectio potior. *Electra* enim petit, ut fratris manu moriatur, nequis vulgi illam, *Agamemnone* ſatam, malè tractet: ita τὸν γόνον apponitur τῷ μέ. Et imperitè quidem ὕβρισμα θέμενος refertur ad *Oreſtem*, cùm referri debeat ad τὸ τὶς Ἀργείων. Mavult Caſta virgo fratris ſui manu oppetere, quàm cujuſvis *Græcorum* arbitrio relinqui. *Joſ. Barnes.*

V. 1052. Φεῦ· πῶς ἂν ξίφος] Vel φεῦ extrà verſum poni, in ſcanſione, vel ἂν omnino tolli debet, ut conſtet metrum; ſed prius eſto potius. Vid. quæ nos ad *Hec.* V. 1116. in *J. Barnes.*

N

Ορ. Ἀντ

Ορ. Ἀπόδος τὸ σῶμα πατρί· μὴ συνθνῆσκέ μοι·
Σοὶ μὲν γάρ ἐστι πόλις, ἐμοὶ δ' οὐκ ἔστι δή,
Καὶ δῶμα πατρὸς, καὶ μέγας πλούτου λιμήν.
Γάμων δὲ τῆς μὲν δυσπότμου τῆσδ' ἐσφάλης, * MS. γάμων.
Ἥν σοι κατηγγύησ', ἑταιρείαν σέβων·
Σὺ δ' ἄλλο λέκτρον παιδοποίησαι λαβών,
Κῆδος δὲ τοὐμὸν καὶ σὸν οὐκέτ' ἐστὶ δή.
Ἀλλ', ὦ ποθεινὸν * ὄμμ' ὁμιλίας ἐμῆς, * MS. ὄμμα.
Χαῖρ'· οὐ γὰρ ἡμῖν ἐστι τοῦτο, σοί γε μήν.
" Οἱ γὰρ * θανόντες χαρμάτων τητώμεθα. * MS. Θανόντες γε.
Πυλ. " Ἦ πολὺ λέλειψαι τῶν ἐμῶν βουλευμάτων;
" Μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον,
" Μὴ λαμπρὸς αἰθὴρ, εἴ σ' ἐγὼ προδούς ποτε,
" Ἐλευθερώσας τοὐμὸν, ἀπολίποιμί σε.
Καὶ συγκατέκτανον γὰρ, οὐκ ἀρνήσομαι,
Καὶ πάντ' ἐβούλευσ', ὧν σὺ νῦν τίνεις δίκας.
Καὶ ξυνθανεῖν οὖν δεῖ με σοὶ, καὶ τῇδ' ὁμοῦ.
Ἐμὴν γὰρ αὐτὴν, ἧς λέχος γ' ἐπῄνεσα,
Κρίνω δάμαρτα. τί γὰρ ἐρῶ καλόν ποτε
Γῆν Δελφίδ' ἐλθὼν, Φωκέων ἀκρόπτολιν;
Ὃς, πρὶν μὲν ὑμᾶς δυστυχεῖν, φίλος παρῆν,
Νῦν δ' οὐκέτ' εἰμὶ δυστυχοῦντί σοι φίλος;
Οὐκ ἔστιν, ἀλλὰ ταῦτα μὲν κἀμοὶ μέλει.
Ἐπεὶ δὲ κατθανούμεθ', εἰς κοινοὺς λόγους
Ἔλθωμεν, ὡς ἂν Μενέλεως συνδυστυχῇ.
Ορ. Ὦ φίλτατ'· εἰ γὰρ τοῦτο κατθάνοιμ' ἰδών.
Πυ. Πιθοῦ νυν· ἀνάμεινον δὲ φασγάνου τομάς.
Ορ. Μενῶ, τὸν ἐχθρὸν εἴ τι τιμωρήσομαι.
Πυ. Σίγα νυν· ὡς γυναιξὶ πιστεύω βραχύ.
Ορ. Μηδὲν τρέσῃς τάσδ', ὡς πάρεισ' ἡμῖν φίλαι.
Πυ. Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν.
Ορ. Πῶς; τὸ γὰρ ἕτοιμόν ἐστιν, εἴ γ' ἔσται καλῶς.
Πυ. Σφάξαντες· ἐν δόμοις δὲ κρύπτεται σέθεν.

Or. Redde tuum corpus patri; non moriaris mecum:
Tibi enim eſt civitas, mihi autem non jam,
Et domus patris, & magnus portus divitiarum.
Nuptiis autem hujus miſeræ fruſtratus es,
Quam deſpondi tibi, colens amicitiam:
Tu autem accipias aliam conjugem ad procreandum;
Affinitas enim mea & tua non amplius eſt.
Sed, ô deſiderabilis ocule meæ amicitiæ,
Vale; non enim hoc licet nobis, tibi tamen *licebit*:
" Nam mortui privamur gaudiis.
Pyl. " Equidem non aſſequeris quid velim. *vel*, An non, &c.
" Neque ſanguinem meum accipiat ferax terra,
" Neque ſplendidus æther, ſi ego te unquam proderem,
" Et liberans meum corpus, deſeram!
Nam & ſimul interfeci illam; non negabo:
Et totum conſilium dedi de iis, ob quæ tu nunc das pœnas.
Ergo & ſimul mori me oportet tecum & cum hac.
Meam enim illam, cui ſpoſpondi nuptias,
Judico conjugem. Nam quid unquam honeſtum dicam,
Veniens in Delphidem, arcem Phocenſium?
Qui priuſquam effectis miſeri, affui amicus,
Nunc non ſum amicus tibi infelici?
Non eſt, *quid excuſer*. ſed hæc & mihi ſunt curæ.
Sed poſtquam ſumus morituri, unà rationem
Ineamus, quomodo Menelaus ſimul triſtetur.
Or. O chariſſime, utinam videns hoc moriar.
Pyl. Obtequere igitur, ſed differ ſectionem enſis,
Or. Differam, ſi poſſim ulciſci inimicum.
Pyl. Tace nunc, quia parùm credo mulieribus.
Or. Nè timeas has, adeò adſunt nobis amicæ.
Pyl. Helenam interficiemus: id afficiet Menelaum magno dolore.
Or. Quomodo? paratus enim ſum, ſiquidem poterit præclarè fieri.
Pyl. Jugulantes: latet enim in domo tuâ.

Ἀπόδος] σεαυτὸν ἀπόγαγε πρὸς τὸν πατέρα σου σῶον, σεαυτὸν σῶζε τῷ πατρί. Σοὶ μὲν γάρ] σὺ γὰρ οὕτως ἔχεις πάτρας, ὡς ἐγώ. σοὶ γὰρ ἔξεστιν εἰς τὴν πατρίδα ἐπανελθεῖν. Τῆσδ' ἐσφάλης] τῆσδε τῆς Ἠλέκτρας ἀπέτυχες, ἣν σοι ἠγγυησάμην τὴν σὴν φιλίαν τιμῶν. σὺ δ' ἄλλο γυναῖον λαβὼν, τεκνοποίησον. ἐμοὶ γὰρ πρὸς σὲ συγγένεια ἐκλέλυται. Ἀλλ' ὦ ποθεινὸν] ὦ ποθεινὴ ὁμιλία ἐμοὶ, τουτέστι σὺ, ὦ ποθεινῶς ὁμιλοῦν ἐγώ. συνήθως δὲ τοῦτο, τιθέναι ἀντὶ προσώπων τὰ πράγματα, ὧν ἐστιν αἴτια τὰ πρόσωπα. οἷον ἡ ἀνάπαυσις ἐμὴ, καὶ τὸ ἄλγος ἐμὸν, ἀντὶ τοῦ σὺ, ἐφ' ᾧ ἀναπαύομαι ἐγὼ, καὶ σὺ, ὃς ἄλγος ἐμοὶ προξενεῖς. Ὄνομα ὁμιλίας] ὅτι ὁμιλίας τῆς φιλίας φησί. σημειωτέον δὲ πρὸς τὸ ἐν Φοινίσσαις, ὁμιλίαις χθονός. Ἔστι τοῦτο] τὸ χαίρειν. Οἱ γὰρ θανόντες] οἷον οὕτως εἰπεῖν, οἱ γὰρ θανόντες χαρμάτων τητώμενοι, τητώμεθα εἶπεν. ἐπειδὴ καὶ αὐτὸς μετὰ τῶν θανόντων ὅσον οὔπω ἔσεσθαι ἔμελλεν. Τητώμεθα] στερούμεθα. [1085] Ἦ πολὺ] οὕτως μακρὰν ἀπέχεις τοῦ ἐμοῦ σκοποῦ. Μήθ' αἷμά μου] ὁ δὲ λέγει ἀποθανὼν, μὴ ἐνωθείην στοιχείοις, ἐξ ὧν εἰμί. ἀλλὰ πλανοίμην οὕτω, ὑπ' οὐδενὸς τῶν στοιχείων λαμβανόμενος. Ἄλλως. μή τε τὸ σῶμά μου φησὶν ἀποθανόντος ἡ γῆ προσδέξαιτο, μή τε εἰς αἰθέρα ἡ ἐμὴ ψυχὴ χωρήσοι, εἴ σε προδοίην ποτέ. τουτέστι μὴ ἐνωθείην τοῖς στοιχείοις τελευτήσας. οἱ γὰρ ἀποθνήσκοντες κατ' αὐτοὺς εἰς τὰ στοιχεῖα ἀναλύονται ἐξ ὧν εἰσί. Ἄλλως, εἴθε μὴ προσδέξαιτό με τὰ στοιχεῖα ἀποθανόντα, ὡς βδελυρὸν δηλονότι, καὶ ἀποτρόπαιον, εἴ σε ἐγώ ποτε ἐγκαταλιπὼν, ἐλευθερώσας τὸ ἐμὸν μέρος δηλονότι, ἤγουν ἐμαυτὸν ἀθῷον ποιήσας ἀπολίποιμί σε. καὶ γὰρ συνεφόνευσά σοι τὴν μητέρα, καὶ οὐκ ἀπαρνήσομαι, καὶ πάντα συνεβούλευσα, ὧν ἕνεκα σὺ δίδως τιμωρίας. πρέπον οὖν ἐμοὶ σὺν σοὶ θανεῖν καὶ τῇδε. ἐμὴν γὰρ αὐτὴν κρίνω γυναῖκα. ἧς τινος τὴν κοίτην ἐπῄνεσα. Τί γὰρ ἐρῶ καλόν ποτε] τί γὰρ ἔχω φησὶν ἀπολογήσασθαι εἰς τὴν πατρίδα ἐπανελθὼν, εἰ προδοίην σε δυστυχοῦντα, πότε φίλος ὢν ὅτε εὐτύχεις. [1094] Γῆν Δελφίδ' ἐλθὼν] Τάκιος ὁ Λυκώρου μετὰ τὸν κατακλυσμὸν βασιλεύων τῶν περὶ τὸν Παρνασσὸν, Ὑὰν πόλιν ἔκτισε. καὶ γήμας Μελάνθειαν τὴν Δευκαλίωνος, ἐποίησε Μελαινίδα. ἐκ δὲ Μελαινίδος, Δελφὸς ὃς τὴν ἀρχὴν τοῦ μητροπάτορος παραλαβὼν, ἔγημε Κασταλίαν, ἀφ' ἧς ἡ κρήνη τοὔνομα ἔχει. καὶ ἔσχε Κασταλίαν, καὶ Φημονόην, ἣν φασὶ πρῶτον ἑξαμέτροις χρῆσαι. πόλιν δὲ κτίσας Δελφοὺς, Δελφίδα ὠνόμασε. μετὰ δὲ θάνατον αὐτοῦ ἦρξε Κασταλιος, υἱὸς Λάφειος, ὁ Νήπιος. ἐξ οὗ Δελφοὶ πολεμοῦντες πρὸς τοὺς ὁμόρους, ἀναρχίαν εἵλοντο, καὶ τὸν Ἀκρίσιον μετεπέμψαντο ἐξ Ἄργους, ὃς αὐτοῖς τὸν πόλεμον καλῶς διέθετο, καὶ κατὰ ζῆλον τοῦ Ἀμφικτυονικοῦ συνεδρίου, ὃ κατεστήσατο Ἀμφικτύων ὁ Δευκαλίωνος ἐν Θερμοπύλαις τῆς Θεσσαλίας, ἕτερον ἐν Δελφοῖς κατεστήσατο. καὶ τὸ ἐν Θερμοπύλαις ἀναλαβὼν τὰς συνόδους, ἀντὶ μιᾶς δύο πεποίηκε. καὶ νόμους ἔθετο, καθ' οὓς ἔμελλον ἕκαστα διοικεῖν. ἀτέλειάν τε προσέταξεν ἐφ' ἑκατέραις ταῖς συνόδοις, καὶ τὴν πρόνοιαν τοῦ ἱεροῦ καὶ τῶν Δελφῶν τῷ συνεδρίῳ ἐπέτρεψε. μετὰ δέ τινας χρόνους, Ὄρνυτος ὁ Σισύφου ἐλθὼν ἐκ τῆς Ἀονίας αὐτόσε, καὶ πολεμοῦντας εὑρὼν Ὑαμπολίτας πρὸς Ὀπουντίους Λοκροὺς περὶ Δαφνοῦντος, συμμαχήσας τε ἐνίκησεν, καὶ ἦρξεν αὐτῶν. ἐγένοντο δ' αὐτοῦ παῖδες, Φῶκος καὶ Θόας. ἀλλ' ὁ μὲν Θόας ἅμα τῷ πατρὶ, εἰς Κόρινθον ἀπῆλθε. Φῶκος δὲ διαδεξάμενος τὴν ἀρχὴν τοῦ πατρὸς, Φωκέας αὐτοὺς ὠνόμασεν. Οὐκ ἔστιν] οὐχ οὕτω ποιήσω. Ἀλλὰ ταῦτα μὲν] ἃ ἐστὶ δηλονότι ὑμῖν διὰ φροντίδος, τουτέστιν ὁ θάνατος, κἀμοὶ διὰ φροντίδος ἐστίν. Ἐπεὶ δὲ κατθανούμεθα] ἐπεὶ δὲ ἅπαξ ἔκρινεν ὁ δῆμος ἀποθανεῖν ἡμᾶς, προσαλλήλους σκεψώμεθα, ὡς ἂν τῷ Μενελάῳ κακὸν προσεπιθώμεθα, ἵνα μὴ μόνοι δυστυχῶμεν ἡμεῖς. Ὦ φίλτατ'] εἴθε γὰρ τοῦτο ἰδὼν ἀποθάνοιμι. Πιθοῦ νυν] πείσθητι δὴ, καὶ τὴν σφαγὴν ἀναβαλοῦ. Μενῶ] προσ- καρτερήσω, εἰ τὸν ἐχθρὸν κολάσω. Σίγα νυν] ὑφορᾶται τὰς τοῦ χοροῦ ἐνόμιζε γὰρ αὐτὰς ἐχθρὰς εἶναι. τὸ δὲ ὡς ἀντὶ τοῦ γὰρ, ἢ ἀντὶ τοῦ ὅτι. Πῶς ἂν ἕτοιμον, τὸ ἑξῆς. εἰ γὰρ φησὶ τοῦτο εὔκολον, καὶ ἕτοιμον τὸ φονεῦσαι τὴν Ἑλένην, καλῶς ἂν ἡμῖν ἔσται. ἀλλὰ τὸ ἐπ' ἐμοὶ ἕτοιμόν ἐστι. τὸ γὰρ ἕτοιμον καλόν ἐστι. ὁ δὲ λόγος τοιοῦτός ἐστι. τὸ γὰρ ἑτοίμως καὶ εὐχερῶς τὴν Ἑλένην κατεργάσασθαι, καλόν ἐστιν, εἰ ὅλως δυνατὸν τοῦτο πρᾶξαι. ἕτοιμος γὰρ εἰς τοῦτο εἰμὶ, εἴγε μὴ καταληφθήσομαι, ἀλλὰ τίνι τρόπῳ φησὶν ἀνέλωμεν; ἕτοιμος γὰρ εἰμὶ πρὸς τὸ σφάξαι, εἰ ἔστιν εὐμαρὲς τὸ κτεῖναι, τουτέστιν εἰ μὴ καταληφθήσομαι.

* Vid. ad Ion. v. 682.

ANNOTATIONES.

V. 1083. Ἀλλ' ὦ ποθεινὸν ὄμμα) *Scoliaſt.* legit ὄνομα, ſive ὄνομ', quod certè præferendum, meâ ſaltem ſententiâ. (Non enim æquè Amicum vocamus *Oculum* Amicitiæ, ac charum *Nomen* Amicitiæ,) quia tale erat *Pyladis* nomen *Oreſtæ*. Duæ autem breves ejuſdem ſunt temporis ac una longa ſyllaba. Et ipſe facit *Canterus* pro nobis & liber *Heinſio-Scaligeranus*, & MS. Coll. CC. ut in Margine notamus. Vid. ſuprà v. 1043. *J. Barnes.*

Op. Μά-

Ορ. Μάλιστα· καὶ δὴ πάντ' ἀποσφραγίζεται.
Πυ. Ἀλλ' οὐκέτ', ᾅδην νυμφίον κεκτημένη.
Ορ. Καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.
Πυ. Τίνας; Φρυγῶν γὰρ οὐδέν' ἂν τρέσαιμ' ἐγώ.
Ορ. Οἵους ἐνόπτρων καὶ μύρων ἐπιστάτας.
Πυ. Τρυφὰς γὰρ ἥκει δεῦρ' ἔχουσα Τρωϊκάς;
Ορ. Ὥσθ' Ἑλλὰς αὐτῇ σμικρὸν οἰκητήριον.
Πυ. Οὐδὲν τὸ δοῦλον, πρὸς τὸ μὴ δοῦλον γένος.
Ορ. Καὶ μὴν τόδ' ἔρξας, δὶς θανεῖν *οὐ χάζομαι.
Πυ. Ἀλλ' οὐδ' ἐγὼ μήν, σοί γε τιμωρούμενος.
Ορ. Τὸ πρᾶγμα δήλου, καὶ πέραιν', ὅπως λέγεις.
Πυ. Εἴσιμεν ἐς οἴκους δῆθεν, ὡς θανούμενοι.
Ορ. Ἔχω τοσοῦτον· τἀπίλοιπα δ' οὐκ ἔχω.
Πυ. Γόους πρὸς αὐτὴν θησόμεσθ', ἃ πάσχομεν.
Ορ. Ὥστ' *ἐκδακρῦσαί γ' ἔνδοθεν κεχαρμένην.
Πυ. Καὶ νῷν παρέσται ταῦθ', ἅπερ κείνῃ τότε.
Ορ. Ἔπειτ' ἀγῶνα πῶς ἀγωνιούμεθα;
Πυ. Κρύπτ' ἐν πέπλοισι τοῖσιδ' ἕξομεν ξίφη.
Ορ. Πρόσθεν δ' ὀπαδῶν τίς ὄλεθρος γενήσεται;
Πυ. Ἐκκλείσομεν σφᾶς, ἄλλον ἄλλοσ' ἐν στέγαις.
Ορ. Καὶ τόν γε μὴ σιγῶντ' ἀποκτείνειν χρεών.
Πυ. Εἶτ' αὐτὸ δηλοῖ τοὔργον, ᾗ τείνειν χρεών.
Ορ. Ἑλένην φονεύειν, μανθάνω τὸ σύμβολον.
Πυ. Ἔγνως· ἄκουσον δ' ὡς καλῶς βουλεύομαι.
Εἰ μὲν γὰρ εἰς γυναῖκα σωφρονεστέραν
Ξίφος μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος·
Νῦν δ' ὑπὲρ ἁπάσης Ἑλλάδος δώσει δίκην,
Ὧν πατέρας ἔκτειν', ὧν τ' ἀπώλεσεν τέκνα,

* MS. ἀχάζομαι.
* MS. ἐκδακρῦσαι.

Or. Maximè, & jam omnia obſignat: *quaſi cernens hæreditatem meam.*
Py. Sed non ampliùs, nacta Plutonem ſponſum.
Or. Quomodo? Habet enim barbaros comites.
Py. Quos *autem*? Neminem enim Phrygum metuo.
Or. Quales *decet* eſſe curatores ſpeculorum & unguentorum.
Py. Venit ergo huc habens delicias Trojanas?
Or. Ità, ut Græcia ſit ei parva domuncula.
Py. Nihil eſt ſervile genus ad non ſervile.
Or. Sanè hoc ſi fecero, non recuſo bis mori.
Py. Sed neque ego: modò tibi opem feram.
Or. Oſtende rem, & perfice, ſicut dicis.
Py. Intremus in domum, tanquam morituri.
Or. Habeo hoc, reliqua non habeo.
Py. Lamentabimur ad ipſam de his quæ patimur.
Or. Ut exteriùs ploret, quanquam in animo gaudeat.
Py. Et nobis *aliquando* aderunt hæc, ſicut illi tunc.
Or. Deinde quomodo hoc certamine fungemur?
Py. Occultos habebimus gladios ſub his veſtibus.
Or. Sed priùs famulis quæ nex fiet?
Py. Excludemus eos, alium aliò in Domibus.
Or. Et eum qui non tacuerit, interficiemus.
Py. Deinde ipſa res docebit, ad quæ oporteat intendere.
Or. Interficere Helenam, agnoſco ſymbolum.
Py. Tenes: audi nunc quàm honeſtè conſulam.
Si enim in mulierem honeſtam
Mitteremus gladium, eſſet ignominioſa cædes:
Nunc verò dabit pœnas toti Græciæ,
Et illis, quorum parentes occidit, & quorum liberos perdidit,

Ἀποσφραγίζεται] σφραγῖδας ἐπιτίθησιν, ὡς δῆθεν πάντα κληρονομοῦσα τὰ ἐμά, τὰ μὲν φησὶ σφραγίζει τὰ ἡμέτερα, τὰ δὲ ἀποσφραγίζει. γράφεται καὶ ἀποσφαλίζεται. Ἀλλ' οὐκέτι] ἀποσφαλισθήσεται δηλονότι. 1110 Ἔχει γὰρ βαρβάρους ὀπάονας ἤγουν ἀκολούθους καὶ δούλους. οὕτω φησὶν ὑπερβαλλόντως ἐτρύφα ἐν τῇ βαρβάρων χώρᾳ, ὡς μηδὲν ἡγεῖσθαι τὴν Ἑλλάδα πρὸς τρυφήν. τρυφηλότερον γὰρ τὸν βίον οἱ βάρβαροι διάγουσι, μεῖζόν τε ἡ Ἀσία τῆς Εὐρώπης. Τρέσαιμι] δειλιάσαιμι. Οἵους ἐνόπτρων] οἵους εἰκὸς εἶναι ἐπιτηδείους εἰς τὴν τῶν ἐνόπτρων καὶ μύρων ὑπηρεσίαν. Τρυφὰς γὰρ ἥκει] τρυφὰς λέγει, ὡς ἐκ Τροίας εὐτυχοῦς καὶ θεράποντας ἤγαγε. Ὥσθ' Ἑλλὰς] ὥστε ἡ Ἑλλὰς ὅσον εἰς αὐτήν, μικρὸν ὑπάρχει κατοικητήριον. 1115 Οὐδὲν τὸ δοῦλον] ἀσθενεῖς, φησὶν, οἱ δοῦλοι πρὸς τοὺς ἐλευθέρους μάχεσθαι, διὰ τὸ μὴ τολμᾶν. Καὶ μὴν] οὕτως τόδε πράξας, ἐκ δευτέρου θανεῖν οὐχ ὑποχωρῶ. Ἀλλ' οὐδ' ἐγὼ οὐχ ὑποχωρήσω θανεῖν δὶς, σοί γε βοηθῶν. Τὸ πρᾶγμα δήλου] τὸ περὶ τοῦ φόνου τῆς Ἑλένης πρᾶγμα δήλωσον, καὶ εἰπὲ ποίῳ τρόπῳ ταύτην μέλλομεν ἀναιρεῖν. Εἴσιμεν] εἰσέλθωμεν εἰς τοὺς δόμους, ὡς ἀποθανούμενοι. Ἔχω] νοῶ, ὅσον λέγεις, τὰ λοιπὰ δὲ οὐ νοῶ. Γόους] θρήνους πρὸς αὐτὴν ἐπιθήσομεν, δι' ἃ ἡμεῖς *πανθάνομεν. ἤγουν ποιήσομεν τὰ ἡμέτερα δυστυχήματα πρὸς αὐτὴν θρῆνον. Ὥστε δακρῦσαι, οὕτω φησὶ προσπαθῶς δακρύσομεν, ὥστε αὐτὴν εἰς οἶκτον κινῆσαι, ἐπὶ τῷ ἡμετέρῳ θανάτῳ λάθρα χαίρουσαν. Καὶ νῷν παρέσται] καὶ γὰρ ἡμεῖς οἰκτιζόμεθα μὲν, χαίρομεν δὲ ὡς μέλλοντες αὐτὴν φονεύειν. τὸ οὖν τότε, ἢ ὅτε εἰσερχόμεθα, ἢ ὅτε φονεύομεν αὐτήν. Ἄλλως. καὶ ἡμῖν τοῖς δυσὶ τοῦτο φησὶν ἔσται τὸ δεῖν μὲν δακρύειν, χαίρειν δὲ τῇ διανοίᾳ. καὶ ἡμῖν γενήσεται, ἅπερ ἐκείνῃ τότε, ἡνίκα εἰσελθόντες πρὸς αὐτὴν ἱκετεύομεν. ὡς γὰρ ἐκείνη ἡμῶν ὀδυρομένων, προσποιήσεται μὲν δακρύειν, χαρήσεται δὲ κατὰ ψυχήν, οὕτω καὶ ἡμεῖς αὐτῆς ἱκετευούσης, προσποιησόμεθα λυπεῖσθαι, ἔνδον χαίροντες ἐπὶ τὸ μέλλειν αὐτὴν ἀναιρεῖν. Ἄλλως. [illegible] ἡμῖν τότε ταῦτα παρέσται, ἅπερ κείνῃ, ἤγουν τὸ ἔξωθεν δακρύειν. ἔνδοθεν δὲ χαρὰν ἔχειν τῇ ἐλπίδι τῆς διαχειρήσεως αὐτῆς. Πρόσθεν δ' ὀπαδῶν] καὶ πῶς φησὶν ἀναιρήσομεν αὐτήν, ἔμπροσθεν τῶν δούλων. 1126 Τίς ὄλεθρος] ὥσπερ τὸ τάχος λέγεται ἐνίοτε ἀντὶ τοῦ ταχέως, οὕτως ἐνταῦθα τὸ τίς, ἀντὶ τοῦ κατὰ τίνα τρόπον. ἐπιρρηματικῶς. Ἐκκλείσομεν] ἀπασφαλίσομεν αὐτοὺς ἄλλον εἰς ἄλλην στέγην. Καὶ τόν γε] καὶ τὸν μὴ σιγῶντα, ἀλλ' ἐμφαίνοντα τὴν βουλὴν, ἀποκτείνειν πρέπει. Εἶτ' αὐτὸ] εἶτα αὐτὸ τὸ ἔργον καὶ τὸ πρᾶγμα δηλοῖ, ὅπου χρεὼν καὶ ἀναγκαῖον τείνειν, ἤτοι ἀφορᾶν καὶ προθυμεῖσθαι εἰς τὸ φονεύειν τὴν Ἑλένην, μανθάνω καὶ νοῶ τὸ σύμβολον καὶ τὸ σημεῖον. Εἶτ' αὐτὸ] φανεροῖ τὸ ἔργον, ὅπου ἀφορᾶν πρέπον. 1130 Ἑλένην ἀποκτείνειν] καταλαμβάνω τὸ συμφώνημα. Μανθάνω] νῦν φησὶν, ἔγνων πῶς δεῖ φονεύειν τὴν Ἑλένην. Ἔγνως] ἤτοι ἐγνώρισας ὃ λέγω. ἄκουσον δὲ καὶ πῶς καλῶς βουλεύομαι. εἰ μὲν γὰρ εἰς γυναῖκα σώφρονα μεθεῖμεν καὶ ἐπαφῆμεν τὸ ξίφος, ἦν ἂν ὁ φόνος δυσκλεὴς καὶ ἄδοξος. νῦν δὲ δώσει δίκην ἡ Ἑλένη δηλονότι, ἀντὶ τοῦ τιμωρηθήσεται ὑπὸ πάντων τῶν ἐν τῇ Ἑλλάδι ἀνθρώπων, ὧν τοὺς πατέρας ἀπώλεσεν, καὶ τέκνα καὶ γυναῖκας ἐστερημένας ἀνδρῶν ἐποίησεν. εὐχὴ δὲ ἔσται, πῦρ τε καὶ θυσίας πέμψουσι τοῖς θεοῖς, σοί τε καὶ ἐμοὶ εὐχόμενοι πολλὰ καὶ ἀγαθά, ὥστε τυχεῖν αὐτῶν δηλονότι, ὅτι ἐποιήσαμεν φόνον κακῆς γυναικός, τῆς Ἑλένης δηλονότι. μυσσόμενος δὲ οὐκ ὀνομάζει ταύτην κτανεῖν, ἀλλὰ ὑπολιπὼν τοῦτο τὸ καλεῖσθαι μυσσόμενος, πρὸς ἐπὶ τὸ κρεῖττον, λεγόμενος φονεὺς τῆς πολυκτόνου Ἑλένης, ἤτοι τῆς αἰτίας φόνου πολλοῖς γενομένης. οὐ πρέπει τὸν Μενέλαον μὲν εὐτυχεῖν, τὸν δὲ σὸν πατέρα καὶ ἐμὲ καὶ τὴν ἀδελφὴν θανεῖν, τὴν μητέρα τε, ἐῶ τοῦτο. οὐ γὰρ λέγειν εὐπρεπὲς, ἔχειν τε τοὺς σοὺς δόμους, λαβόντα τὴν ἑαυτοῦ γυναῖκα, διὰ τὴν ἀνδρείαν τοῦ Ἀγαμέμνονος. εἴθε γὰρ μηκέτι ζῴην, εἰ μὴ κατ' ἐκείνης λήψομαι μέλαν φάσγανον, ἤτοι θανάτου ποιητικόν. Μεθεῖμεν] ἐκβάλλομεν. Τοῦ Ἁπάσης Ἑλλάδος] ὑπὲρ ἁπάντων Ἑλλήνων δώσει τιμωρίαν. Ὧν] πρὸς τὸ σημαινόμενον ἀποδίδοται.

* Πανθάνω] pro πάσχω. Vid. Quæ notavimus ad *Hecub.* v. 1114. *Schol.*

ANNOTATIONES.

V. 1134. Νῦν δ' ὑπὲρ ἁπάσης Ἑλλάδος δώσει δίκην] Dicit in hoc loco ipſe Poeta ſub *Pylada* perſonâ, valdè eſſe ignominioſum in mulierem manus injicere, niſi talis fortè ſit, qualis *Helena*: Illam verò occidendo, toti *Græciæ*, quam illius Adulterium tantoperè exercuerat, debitum ſolverent. Quare non eſt, quòd *Virgilium* nonnulli damnent hoc nomine, quoniam *Æneam*, Virum fortem & magnanimum, de cædem *Helenâ*, mulieri imbelli, vindictam ſumere expetentem finxerit; *Æn.* l. 2. v. 567, &c.

Jamque adeo ſuper unus eram, cum limina Veſtæ
Servantem & tacitam ſecretâ in ſede latentem
Tyndarida aſpicio, &c. ——
—— *ſubit ira cadentem*
Ulciſci patriam & ſceleratas ſumere pœnas, &c.
—— *Namque etſi nullum memorabile nomen*
Fœmineâ in pœnâ eſt, nec habet Victoria laudem:
Extinxiſſe nefas tamen & ſumpſiſſe merentis
Laudabor pœnas, animumque explêſſe juvabit
Ultricis flammæ & cineres ſatiâſſe meorum.

En! ipſa *Euripidis* veſtigia à *Marone* ad vivum expreſſa. Quod itaque in *Euripide* ipſe *Virgilius* adeò approbaverit, ut omnino ſibi delineandum duxerit; id in *Virgilio* qui damnaverit, næ is quidem judicii maximi aut nullius ſit oportet. Vid. de hâc re *Andreæ Schotti* Obſervat. Human. l. 2. c. 38. *Joſ. Barnes.*

Νύμφας τ' ἔθηκεν ὀρφανὰς ξυναόρων.
Ὀλολυγμὸς ἔσται, πῦρ τ' ἀνάψουσιν θεοῖς
Σοὶ πολλὰ κἀμοὶ κέδν' ἀρώμενοι τυχεῖν,
Κακῆς γυναικὸς οὕνεχ' αἷμ' ἐπράξαμεν.
Ὁ μητροφόντης δ' οὐ καλῇ, ταύτην κτανών.
Ἀλλ' ἀπολιπὼν τοῦτ', ἐπὶ τὸ βέλτιον πεσῇ,
Ἑλένης λεγόμενος τῆς πολυκτόνου φονεύς.
Οὐ δεῖ ποτ', οὐ δεῖ, Μενέλεων μὲν εὐτυχεῖν,
Τὸν σὸν δὲ πατέρα, καὶ σέ, κἀδελφὴν θανεῖν,
Ματέρα τ', (ἐῶ τοῦτ'. οὐ γὰρ εὐπρεπὲς λέγειν)
Δόμους τ' ἔχειν σούς. δι' Ἀγαμέμνονος δόρυ
Λαβόντα νύμφην· μὴ γὰρ οὖν ζῴην ἔτι,
Εἰ μὴ 'πὶ κείνῃ φάσγανον σπάσω μέλαν.
Ἢν δ' οὖν τὸν Ἑλένης μὴ κατάσχωμεν φόνον,
Πρήσαντες οἴκους τούσδε, κατθανούμεθα.
" Ἑνὸς γὰρ οὐ σφαλέντες, ἕξομεν κλέος,
" Καλῶς θανόντες, ἢ καλῶς σεσωσμένοι.
Χο. Πάσαις γυναιξὶν ἀξία στυγεῖν ἔφυ
Ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνεν γένος.
Ορ. Φεῦ, " οὐκ ἔστιν οὐδὲν κρεῖσσον, ἢ φίλος σαφής.
" Οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
" Τὸ πλῆθος, ἀντάλλαγμα γενναίου φίλου.
Σὺ γὰρ τάτ' εἰς Αἴγισθον ἐξηῦρες κακά,
Καὶ πλησίον παρῆσθα κινδύνων ἐμοί.
Νῦν δ' αὖ δίδως μοι πολεμίων τιμωρίαν,
Κοὐκ ἐκποδὼν εἶ. παύσομαί σ' αἰνῶν· ἐπεὶ
" Βάρος τι κἀν τῷδ' ἐστίν, αἰνεῖσθαι λίαν.
Ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμήν,
Δράσας τι χρῄζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν,
Ἵν' ἀνταναλώσωμεν, οἵ με προὔδοσαν,
Στένωσι δ' οἵπερ κἄμ' ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι παῖς πέφυχ', ὃς Ἑλλάδος
Ἦρξ' ἀξιωθεὶς οὐ τύραννος, ἀλλ' ὅμως
Ῥώμην θεοῦ τιν' ἔσχεν. ὃν οὐ καταισχυνῶ,
Δοῦλον παρασχὼν θάνατον, ἀλλ' ἐλευθέρως
Ψυχὴν ἀφήσω, Μενέλεων δὲ τείσομαι.
* Ἑνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἄν,
Εἴ ποθεν ἄελπτος παραπέσοι σωτηρία
Κτανοῦσιν, * οὐ θανοῦσιν. εὔχομαι τάδε.

* Vid. ſuprà ad v. 1151.

* MS. ὅπι, μὴ θα.

Et ſponſas fecit orbatas maritis,
Erit jubilatio, & accendent ignem diis,
Precantes tibi & mihi multa glorioſa obtingere,
Eò quod fecimus cædem malæ mulieris.
Sed nec vocaberis matricida, ſi hanc interfeceris:
Sed relinquens hoc, nomen habebis melius:
Diceris interfector Helenes, quæ multos interfecit.
Non oportet ſanè, non oportet Menelaum eſſe felicem,
Tuum verò Patrem & Te & ſororem mori,
Et matrem (mitto autem hoc, non enim eſt conveniens dicere.)
Et domum tuam poſſidere, cùm per Agamemnonis militarem operam
Receperit conjugem. Non ampliùs vivam,
Si non adverſus illam ſtrinxero atrum enſem.
At ſi non potiemur cæde Helenæ,
" Incendentes hanc domum, moriemur.
" Si enim cuivis horum ſucceſſus non deerit, habebimus gloriam
" Honeſtè mortui, aut pulchrè ſervati.
Cho. Digna eſt quæ odio habeatur ab omnibus mulieribus
Puella Tyndaris, quæ dedecore affecit familiam ſuam & ſexum.
Or. Ah, " nihil eſt præſtantius, quàm certus amicus,
" Non opes, non regnum: eſt verò quid nullius pretii
Multitudo, ſi conferatur cum generoſo Amico.
Nam tu & mala contra Ægiſthum inveniſti,
Et propè aderas mihi in periculis,
Et nunc rurſus das mihi ultionem hoſtium,
Et non abes——ſed deſinam te laudare; quià
" Etiam hoc eſt moleſtum, nimiùm laudari.
Ego autem omninò efflans meam animam,
Volo aliquid faciens inimicis meis mori:
Ut viciſſim perdamus illos, qui me prodiderunt:
Et gemant, qui me miſerum fecerunt
Agamemnonis filius ſum, qui Græciæ
Imperavit, dignus judicatus, non tyrannus, ſed tamen
Habuit Divinum quoddam robur; quem non afficiam dedecore,
Oppetens ſervilem mortem, ſed liberè
Vitam amittam, & Menelaum ulciſcar.
Eſſemus enim felices, ſi unum poſſemus adipiſci,
Si alicunde inſperata ſalus accideret
Necantibus, non morientibus: opto hæc.

Νύμφας] καὶ τὰς νέας ἐποίησεν συνευνέτων ἐστερημένας. Ὀλολυγμὸς ἔσται] ἀντὶ τοῦ χαρὰ γενήσεται, καὶ εὐχή. Ὅμηρος, αἱ δ' ὀλολυγῇ πᾶσαι. Πῦρ τ' ἀνάψουσι] ἀντὶ τοῦ καὶ θεοῖς θυσίας ποιήσουσι. Κέδν' ἀρώμενοι] αὐτοὶ, νῦν δὲ τὰ ἀγαθὰ, εὐχόμενοι ἡμᾶς τυχεῖν πολλῶν ἀγαθῶν. διότι ἐποιήσαμεν φόνον κακῆς γυναικός. Ὁ μητροφόντης] τὸ τοῦ μητροφόντου ὄνομα φυγὼν, εἰς τὸ βέλτιον ὄνομα ἔρχῃ, Ἑλένης φονεὺς λεγόμενος τῆς πολυκτόνου. 1145 Μητέρα τ' ἐῶ] τὴν μητέρα ἀφίημι. οὐ γὰρ ἀκόλουθον ὑπομιμνήσκειν σε τοῦ φόνου τῆς μητρός. Δι' Ἀγαμέμνονος δόρυ] διὰ τὴν συμμαχίαν τοῦ Ἀγαμέμνονος ἀπολαβόντα τὴν Ἑλένην, οὐ δεῖ αὐτὸν πρὸς τούτοις ἔχειν τοὺς σοὺς δόμους. Μὴ γὰρ] εἴθε μηκέτι ζῴην, εἰ μὴ ἑλκύσω κατ' ἐκείνης τὸ ξίφος. Ἢν δ' οὖν] ἣν δὲ μὴ ἐγκρατεῖς γενώμεθα τοῦ φόνου τῆς Ἑλένης, καύσαντες τοὺς δόμους τούσδε, ἀποθανούμεθα. ἑνὸς γὰρ τοῖν δυοῖν οὐκ ἀποτυχόντες, λαβοίμεθα δόξαν. Ἄλλως. θατέρου ἐπιτυχόντες, ἢ φονεύσαντες αὐτὴν, ἢ καύσαντες τὸν οἶκον, δόξαν ἕξομεν. Πάσαις γυναιξὶ] ἀξία στυγεῖσθαι ὑπὸ πασῶν γυναικῶν, ἡ τοῦ Τυνδάρεω παῖς, ἥτις κατῄσχυνε τὸ γένος ἑαυτῆς ὑπὲρ τὰς συγγενεῖς. ἢ τὸ ἑαυτῆς γένος, τουτέστι τὰς γυναῖκας. 1155 Φεῦ] θαυμαστικόν, οὐκ ἔστιν οὐδὲν κάλλιον ἀληθοῦς φίλου. οὐ πλοῦτος, οὐ βασιλεία. Ἀλόγιστον δέ τι] ἀσύνετον δέ ἐστι τὸ ἀνταλλάττειν τὸ πλῆθος αὐτὸ, τοῦ ἐνδόξου φίλου. ἕνα φησὶν ἄνδρα σωστὴν, προκρίνειεν ἄν τις ἀλογίστου πλήθους τῶν πολλῶν. Ἄλλως. ἀσύνετον καὶ μωρόν ἐστι, τὸ ἀνταλλάττεσθαι ἀντὶ τοῦ γενναίου φίλου πλῆθος, ἤγουν τὸ προτιμᾶν τὸ πλῆθος ἀντὶ τοῦ γενναίου φίλου. οὐ γὰρ τὸ πλῆθος θέλων δηλοῦν ἀλόγιστον, ἀλλ' ὅτι ἀντάλλαγμα γινόμενον τὸ πλῆθος γενναίου φίλου, τουτέστιν ἀντὶ γενναίου φίλου λαμβανόμενον, ὡς πλείονός τινος ἄξιον, ἀλόγιστον λαμβάνεται· καὶ ἔστιν ὅμοιον τῷ ταχὺς παρεγένου, ἀντὶ τοῦ ταχέως. 1158 Ἐξηῦρες] ἐμηχανήσω. Καὶ πλησίον καὶ ἐπὶ τῶν κινδύνων παρεγένου πλησίον ἐμοῦ, καὶ ἀρτίως συμβουλεύεις μοι ἐκδίκησιν τῶν πολεμίων, καὶ οὐ μακρὰν ὑπάρχεις. Ἐπαινῶν σε παύσομαι] ἐπειδὴ βάρος ἐστὶ κἀν τῷδε, ἤτοι ἐν τῷ λίαν ἐπαινεῖσθαι. ἐγὼ δὲ ὁμολογουμένως ἀποθνήσκων, δράσας τι τοὺς ἐμοὺς ἐχθροὺς, χρῄζω θανεῖν, ὅπως ἀνταπολέσωμεν καὶ ἀφανίσωμεν οἵτινες προὔδωκαν ἐμὲ, καὶ ὅπως θρηνήσωσιν οἵτινες καὶ ἐμὲ ἐποίησαν ἄθλιον. Ἀγαμέμνονος παῖς] ὑπάρχων, ὅστις ἀρχηγὸς ἐγένετο τῶν Ἑλλήνων ἄξιος κριθεὶς, οὐ τυραννικῶς, ἀλλ' ὅμως ἰσχὺν καὶ δύναμιν ἔλαβεν ὑπὸ θεοῦ, ὃν πατέρα οὐ καταισχυνῶ, δι' ὧν ἂν ἀνδρείως ἀποθάνωμαι. Τίσομαι] τιμωρήσομαι. Ἑνὸς γὰρ] τοῦ μὴ φονευθῆναι. Κτανοῦσι μὴ θανοῦσι] τοῦτο καθ' ἰδίαν λέγει. λείπει δὲ τὸ γένοιτο, κτανοῦσιν ἡμῖν ἑτέρους, οὐχ ὑφ' ἑτέρων ἀναιρεθεῖσι. τουτέστιν εὐτυχήσομεν, εἰ κἂν ἕνα τῶν ἐχθρῶν ἀνέλωμεν, καὶ μὴ παρ' ἐκείνων ἡμεῖς ἀναιρεθείημεν. Εὔχομαι τάδε] ἡμῖν γενέσθαι δηλονότι.

ANNOTATIONES.

V. 1155. Φεῦ, οὐκ ἔστιν] Vid. quæ de φεῦ otioſo notavimus *Hecub.* V. 1116.
V. 1161. Ἐπεὶ βάρος τι κἀν τῷδ' ἐστὶν αἰνεῖσθαι, &c.) Simile habes dictum, *Iphig. Aul.* V. 979. &c.

Αἰνούμενοι γὰρ οἱ 'γαθοὶ τρόπον τινὰ
Μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ' ἄγαν

V. 1168. Ἠξιωθεὶς) Ita quidem in nonnullis Editionibus, quod tamen in *Aldinâ*, rectè (ſic enim & *MS.*) legitur Ἦρξ' ἀξιωθεὶς· De quâ re *Canterus* nihil agnoſcit, licet & ipſe eandem lectionem laudet, *Novar. Lect.* L. 1. c. 9. ſed *Aldi* quidem Editio non erat, quod *H. Stephano* adeò diſpliceret. *Joſ. Barnes.*
V. 1169. Ἔσχεν] Vel lege ἔσχ' pro ἔσχεν, vel Anapæſtum in quarto pone;

" O βέ-

“Ὃ βούλομαι γὰρ ἡδύ, καὶ διὰ στόμα
“ Πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένας.
Ηλ. Ἐγὼ κασίγνητ' αὐτὸ τοῦτ', ἔχειν δοκῶ,
Σωτηρίαν σοί, τῷδέ τ', ἐκ τρίτου τ' ἐμοί.
Ορ. Θεοῦ λέγεις πρόνοιαν. ἀλλὰ ποῦ τόδε;
Ἐπεὶ τὸ συνετόν γ' οἶδα σῇ ψυχῇ παρόν.
Ηλ. Ἄκουε δή νυν. καὶ σὺ δεῦρο νοῦν ἔχε.
Ορ. Λέγ'. “ Ὡς τὸ μέλλειν ἀγάθ', ἔχει τιν' ἡδονήν.
Ηλ. Ἑλένης κάτοισθα θυγατέρ'; εἰδότ' ἠρόμην.
Ορ. Οἶδ', ἣν ἔθρεψεν Ἑρμιόνην μήτηρ ἐμή.
Ηλ. Αὕτη βέβηκε πρὸς Κλυταιμνήστρας τάφον.
Ορ. Τί χρῆμα δράσουσ'; ὑποτίθης τιν' ἐλπίδα.
Ηλ. Χοὰς κατασπείσουσ' ὑπὲρ μητρὸς τάφῳ.
Ορ. Καὶ δὴ τί μοι τοῦτ' εἶπας εἰς σωτηρίαν;
Ηλ. Συλλάβεθ' ὅμηρον τήνδ', ὅταν στείχῃ πάλιν.
Ορ. Τίνος τόδ' εἶπας φάρμακον τρισὶν φίλοις;
Ηλ. Ἑλένης θανούσης, ἤν τι Μενέλεώς σε δρᾷ,
Ἢ τόνδε, κἀμὲ (πᾶν γὰρ ἓν φίλον τόδε)
Λέγ', ὡς φονεύσεις Ἑρμιόνην· ξίφος δὲ χρὴ
Δέρῃ πρὸς αὐτῇ παρθένου σπάσαντ' ἔχειν.
Κἂν μέν σε σώζῃ, μὴ θανεῖν χρῄζων κόρην
Μενέλαος, Ἑλένης πτῶμ' ἰδὼν ἐν αἵματι,
Μέθες πεπᾶσθαι πατρὶ παρθένου δέμας.
Ἢν δ' ὀξυθύμου μὴ κρατῶν φρονήματος,
Κτείνῃ σε, καὶ σὺ σφάζε παρθένου δέρην.
Καί νιν δοκῶ, τὸ πρῶτον ἢν πολὺς παρῇ,
Χρόνῳ μαλάξειν σπλάγχνον· οὔτε γὰρ θρασὺς,
Οὔτ' ἄλκιμος πέφυκε. τήνδ' ἡμῖν ἔχω
Σωτηρίας ἔπαλξιν. εἴρηται λόγος.
Ορ. Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
Τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον,
Ὡς ἀξία ζῆν μᾶλλον, ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ' ἁμαρτήσῃ τάλας
Γυναικὸς, ἢ ζῶν μακάριον κτήσῃ λέχος.
Πυ. Εἰ γὰρ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν
Καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη.
Ορ. Ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χρόνου;
Ὡς τἄλλα γ' εἶπας, εἰ τόδ' εὐτυχήσομεν,
Κάλλιστ', ἑλόντες σκύμνον ἀνοσίου πατρός.

“ Nam quod volo, ſuave eſt, & per os
“ Voluci ſermone ſine ſumptu delectabo animum.
El. Ego frater, exiſtimo hoc ipſum ferre
Salutem tibi & huic, & tertiò mihi.
Or. Dicis divinitus conſilium, ſed ubi hoc eſt?
Quia ſuo prudentiam adeſſe tuæ animæ.
El. Audi nunc *Oreſte*, & tu *Pylade* huc adverte animum.
Or. Dic, “ quia boni expectatio habet aliquam voluptatem.
El. Noviſti filiam Helenæ? ſcientem interrogo.
Or. Novi Hermionem, quam educavit mater mea.
El. Illa abiit ad ſepulchrum Clytæmneſtræ.
Or. Quid factura? ſuggeris aliquam ſpem.
El. Libatura inferias ad ſepulchrum matris.
Or. Quare verò dicis mihi hoc conferre ad ſalutem?
El. Capite hanc obſidem, quando redierit.
Or. Cujus rei dicis hoc eſſe remedium nobis tribus amicis?
El. Interfectâ Helenâ, ſi quid Menelaus contra te vellet agere,
Aut hunc, & me (quia omnes tres ſumus unum corpus)
Dic quòd ſis interfecturus Hermionem, & oportet te gladium
Strictum habere ad ipſum collum virginis:
Si te ſervârit, petens ne interficiatur filia,
Menelaus, videns corpus Helenæ in ſanguine,
Sine patrem poſſidere puellæ corpus:
Si autem impotens vehementis animi
Volet te interficere, & tu ferito collum virginis.
Et ipſum exiſtimo, etiamſi primùm adeſſit vehemens,
Deinde mollitùrum animum: non enim durus
Neque fortis eſt. Hoc habeo nobis
Propugnaculum ſalutis: dicta eſt oratio.
Or. O habens virilem animum,
Et corpus inter mulieres decorum,
Quàm digna es magis vivere quàm mori.
Pylades, igitur fruſtraberis miſer tali
Mulieré quàcum vivens haberes felix conjugium.
Pyl. Utinam verò fiat, & veniat ad urbem Phocenſem
Nacta felices nuptias!
Or. Quando veniet ad domum Hermione?
Quia reliqua dixiſti, ſi hoc ſucceſſerit,
Optime capientibus catulum impii patris,

Ὃ βούλομαι γὰρ] ὃ γὰρ νομίζω τερπνὸν τοῦτο καὶ μόνον ὀνομάζων ἀδαπάνως εὐφραίνομαι. Ἄλλως. ἐξ οὗ δὴ εὐθὺς ἐλπίζομεν, οὐδὲν κωλύει εὐφραίνειν ἑαυτοὺς λόγῳ, τοῦτό φησι καὶ συνῆλθεν ἡμῖν πρᾶγμα, τὸ τινὰ τούτων λαβεῖν ὑποχείριον ὃ βούλομαι διὰ στόματος μόνον προφέρειν, τουτέστι μέχρι λόγων ματαίων εἶναι, καὶ ἀζημίως τέρψαι τὴν ἐμαυτοῦ ψυχήν, τουτέστι μετὰ τοῦ ζημιῶσαί τινα τῶν ἐχθρῶν καὶ τιμωρήσασθαι. Ἐγὼ κασίγνητε] τοῦτο αὐτό φησι τὸ τινὰ λαβεῖν ὑποχείριον τούτων, σωτηρίαν ἡμῖν τοῖς τρισὶ φέρειν νομίζω, ἤτοι καὶ τὸ ἀναιρεθείσης τῆς Ἑλένης ἐνεδρεῦσαι καὶ τὴν Ἑρμιόνην. ταῦτα δὲ ἑξῆς ἐπάγει. Λέγ' ὡς τὸ μέλλειν] εἰπὲ φησὶ πόθεν ἡ̣τοιμάσω τὴν σωτηρίαν. οἶδα γάρ σε συνετὴν τυγχάνουσαν ἀπ' ἀρχῆς, ἀλλὰ λέγε φησὶν ἣν ἔχεις ἡμῖν σωτηρίαν πῶς πράξεις. Ἄλλως. τὰ ἀγαθὰ, καὶ ἐν τῷ προσδοκᾶσθαι μόνον, ἔχει τινὰ τέρψιν. Εἰδότ' ἠρόμην] σὲ τὸν γινώσκοντα ἠρώτησα. Ὑποτίθης] ὑποβάλλεις. Χοὰς] χοαὶ λέγονται αἱ τῶν νεκρῶν. Καὶ δὴ τί μοι] τίνος χάριν τοῦτο εἴρηκας, τί τοῦτο εἶπας, ὅμοιον τῷ ὑποτίθης τινὰ ἐλπίδα. τίνα γάρ φησιν ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις, ἐκ τοῦ λέγειν ὅτι ἐπορεύθη ἡ Ἑρμιόνη πρὸς τὸν τῆς Κλυταιμνήστρας τάφον. [1189] Συλλάβεθ' ὅμηρον] ἐνέχυρον τῆς σωτηρίας ἡμῶν. Πᾶν γὰρ ἓν φίλον ὡς εἰ ἔλεγεν, ἓν σῶμα καὶ μία ψυχὴ ἐσμέν. πᾶν γὰρ τὸ καθ' ἡμᾶς, ἕν φησι καὶ ταυτόν ἐστιν. Ἄλλως. τοῦτό φησιν ὡς εἴ τινα ἐξ ἡμῶν κακώσει ἐν τοῖς τρισὶν ἢ βλάψει, ἓν σῶμα καὶ μία ψυχή. ... ἐν τοῖς πολεμίοις συνασπίσαντες. κοινὰ γὰρ τὰ τῶν φίλων. ἕν φησι καὶ ταυτόν ἐστι πᾶν τὸ καθ' ἡμᾶς, καὶ ὡς εἰπεῖν, ἓν σῶμα καὶ μία ψυχή. Σπάσαντ' ἔχειν] ἀπογυμνώσαντα ἔχειν πρὸς αὐτῇ τῇ δέρῃ τῆς παρθένου. Ἑλένης πτῶμα] ἀντὶ τοῦ τὸ σῶμα. Μέθες πεπᾶσθαι] ἀντὶ τοῦ ἀπολαύειν, τουτέστι συγχώρει τῷ πατρὶ τὴν Ἑρμιόνην πρὸς ἀπόλαυσιν καὶ ὄνησιν κτήσασθαι, ὅθεν καὶ τὸ Πολυπάμμονος. ὁμολογεῖται δὲ πατήρ, ἀπὸ τοῦ πεπᾶσθαι. καὶ ἀλλαχοῦ, πολλῶν πεπᾶσθαι βούλομαι πατὴρ δόμων, ἀντὶ τοῦ δεσπότης. Ἢν δ' ὀξυθύμου] ἐὰν δὲ ἐν τῇ ὀργῇ πολὺς ἔλθῃ καὶ πειρᾶται σε ἀπολλύμενον, (τοῦτο γὰρ σημαίνει τὸ κτείνῃ σε,) τότε καὶ σὺ τὴν παρθένον ἀπόκτεινον. [1203] Ἔπαλξιν] βοήθειαν. Εἴρηται λόγος] πεπλήρωται. Ὦ τὰς φρένας] ἁρμόζουσα μὲν ἀνδράσι διὰ τὰς φρένας. γυναιξὶ δὲ ὁμοία τὸ σῶμα, ἀντὶ τοῦ εὐπρεπὴς εἶ, καὶ γυναικὸς φύσιν ἔχουσα, ὃ καὶ βέλτιον. Ἄλλως. πρέπον, ἤγουν σῶφρον, καὶ ἁρμοζόμενον γυναιξί. τὰς μὲν γὰρ ἀρετὰς καὶ ὁ Πλάτων κοινὰς εἶναί φησι, κατορθοῦν δὲ ἴσως τοὺς ἄρρενας. Ἢ ζῶν] ᾗ τινι συζῶν. τὸ γὰρ ζῶν, ἀντὶ τοῦ συζῶν, καὶ συνοικῶν· τὸ δὲ ἀξιουμένη, ἀντὶ κοσμουμένη, τιμωμένη. ἀνοίκεια δὲ ταῦτα τῷ προκειμένῳ ἀγῶνι. Εἰ γὰρ γένοιτο] εἴθε τοῦτο γένοιτο. Τίνος χρόνου] ἐν ποίῳ χρόνῳ. Ὡς τ' ἄλλα γ' εἶπας] ὡς τ' ἄλλα εἶπας κάλλιστα, εἰ τοῦτ' εὐτυχήσομεν φησὶν ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις. ἐκ τοῦ λέγειν μετὰ τὸ λαβεῖν τὴν Ἑρμιόνην, δόξεις τ' ἄλλα καλῶς εἰρηκέναι. ἐὰν γὰρ τούτου μόνου ἐπιτύχωμεν, πάντα τἄλλα καλῶς εἴρηκας. Σκύμνον] σκύμνος κυρίως τὸ τῶν λεόντων τέκνον, νῦν δὲ ἐπὶ ἀνθρώπου.

ANNOTATIONES.

V. 1182. Λέγ', ὡς τὸ μέλλειν] expunximus λέγειν & μέλλειν reſtituimus, non ſolum, Metri ratione habitâ, ſed *Canteri* authoritate, quem vid. l. 1. c. 9. Ante omnia, quòd *Scholiaſtes*, & MS. ità legunt & ſenſus etiam poſtulat: Quare & *Heinſio* & *Scaligero* placere videmus. *Joſua Barnes.*

V. 1200. Πολὺς παρῇ] *Duporto* placet πολὺς παρῇ, non ineptè, ſed nulla favente exemplari.

Ηλ. Καὶ

Ηλ. Καὶ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ·
Καὶ γὰρ χρόνου τὸ μῆκος αὐτὸ συντρέχει.
Ορ. Καλῶς· σὺ μέν νυν, σύγγον' Ἠλέκτρα, δόμων
Πάροιθε μίμνουσα, παρθένου δέχου πόδα.
Φύλασσε δ', ἤν τις, πρὶν τελευτηθῇ φόνος,
Ἢ ξύμμαχός τις, ἢ κασίγνητος πατρὸς,
Ἐλθὼν ἐς οἴκους φθῇ· γέγωνε δ' εἰς δόμους,
Ἢ σανίδα παίσασ', ἢ λόγους πέμψασ' ἔσω.
Ἡμεῖς δ' ἔσω στείχοντες, ἐπὶ τὸν ἔσχατον
Ἀγῶν' * ὁπλιζόμεσθα φασγάνῳ χέρας, * MS. ὁπλιζόμεθα
Πυλάδη, σὺ γὰρ δὴ συμπονεῖς ἐμοὶ πόνους.
Ὦ δῶμα ναίων νυκτὸς ὀρφναίας πάτερ,
Καλεῖ σ' Ὀρέστης παῖς σὸς, ἐπίκουρον μολεῖν
Τοῖς δεομένοισι· διὰ σὲ γὰρ πάσχω τάλας
Ἀδίκως, προδέδομαί θ' ὑπὸ κασιγνήτου σέθεν,
Δίκαια πράξας· οὗ θέλω δάμαρθ' ἑλὼν,
Κτεῖναι· σὺ δ' ἡμῖν τοῦδε συλλήπτωρ γενοῦ.
Ηλ. Ὦ πάτερ, ἵκου δῆτ', εἰ κλύεις εἴσω χθονὸς,
Τέκνων καλούντων, οἳ σέθεν θνήσκουσ' ὕπερ.
Πυ. Ὦ συγγένεια πατρὸς ἐμοῦ, καὶ ἐμὰς λιτὰς,
Ἀγάμεμνον, εἰσάκουσον, ἔκσωσον τέκνα.
Ορ. Ἔκτεινα μητέρ'. Π. ἡψάμην δ' ἐγὼ ξίφους.
Ηλ. Ἐγὼ δέ τ' ἐπεβούλευσα, κἀπέλυσ' ὄκνου.
Ορ. Σοὶ, πάτερ, ἀρήγων. Ηλ. οὐδ' ἐγὼ προὔδωκά σε.
Πυ. Οὔκουν ὀνείδη τάδε κλύων ῥύσει τέκνα.
Ορ. Δακρύοις κατασπένδω σε. Ηλ. ἐγὼ δ' οἴκτοισί γε.
Πυ. Παύσασθε, καὶ πρὸς ἔργον ἐξορμώμεθα.
" Εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραὶ
" Κλύει. σὺ δ', ὦ Ζεῦ, πρόγονε, καὶ Δίκης σέβας,
Δότ' εὐτυχῆσαι τῷδ', ἐμοί τε, τῇδέ τε·
Τρισσοῖς φίλοις γὰρ εἷς ἀγὼν, δίκη μία,
Ἢ ζῆν ἅπασιν, ἢ θανεῖν ὀφείλεται.

El. Puto verò jam eum esse propè domum,
Etenim ipsa temporis longitudo eò quadrat.
Or. Rectè, tu quidem, soror Electra, domum
Ante manens, expecta pedem (i. e. *reditum*) virginis,
Et observa, si quis, priusquam fiat cædes,
Aut socius, aut frater patris,
Anteverterit veniens in domum, clamita verò *tu* in domum,
Aut valvas pulsans, aut mittens sermonem intro.
Nos verò intrantes, ad postremum
Certamen armabimus manum ense,
Pylades: tu enim juvas me in laboribus.
O pater, habitans domum atræ noctis,
Invocat te Orestes filius tuus, ut venias auxiliator
Precantibus. Nam propter te ista patior miser:
Injustéque proditus sum à tuo fratre,
Cùm rectè fecerim, cujus volo uxorem captam
Interficere: tu verò esto adjutor nobis in hâc re.
El. O pater, veni igitur, siquidem audis sub terrâ,
Vocantes liberos, qui tuâ causâ moriuntur.
Pyl. O Cognate mei patris, etiam meas preces,
Agamemnon, exaudi: serva liberos.
Or. Interfeci matrem. *Pyl.* Et ego attigi gladium.
El. Ego verò & instruxi insidias, & liberavi à metu.
Or. Te, pater, ulciscens. *El.* Neque ego te prodidi.
Pyl. Ergo exprobrationes hasce audiens libera natos.
Or. Libo tibi lacrymis. *El.* Et ego lamentationibus.
Pyl. Desinite, & pergamus ad opus.
" Siquidem enim sub terram preces penetrant,
" Audit. Tu verò, ô Jupiter, proave, & numen Justitiæ,
Date successum in hâc re isti, mihi, & huic:
Tribus enim Amicis unum certamen, unum jus
Debetur, viz. aut *simul* vivere, aut mori.

Αὐτὸ συντρέχει] εἰς αὐτὸ φθάνει, ἀντὶ τοῦ φθάνει λοιπὸν ὁ χρόνος, καὶ ἐγγύς ἐστι. Σὺ μὲν νῦν] τοῦτο μὲν δὴ ποίησον. σὺ δὲ μίμνουσα ἔμπροσθεν τῶν δόμων, προσδέχου τὴν ἔλευσιν καὶ παρουσίαν τῆς παρθένου. καὶ γέγωνε εἰς δόμους, τουτέστιν ἢ διὰ λόγου σημήνασα βόησον μέγα, ὥστε ἔνδον ἡμᾶς ὄντας ἀκοῦσαι· ἢ τὰς θύρας κρούσασα. Ὀρφναίας] σκοτεινῆς. Ἐπίκουρον] βοηθόν. Μολεῖν] ἐλθεῖν. Τοῦδε συλλήπτωρ] τοῦδε τοῦ ἔργου βοηθὸς γενοῦ. Ἵκου] ἐλθέ. Ὦ συγγένεια πατρὸς] παρόσον ὁ Στρόφιος Ἀναξιβίαν ἔγημε τὴν Ἀγαμέμνονος ἀδελφὴν, ἐξ ἧς ἐγένετο Πυλάδης, ὥς φησι Κράτης. ἢ ἐπεὶ ὁ Στροφίου πατὴρ Κρῖσος, Ἀτρέως θυγατέρα ἐγάμει τὴν Κυδραγόραν. αἷμα δὲ οἱ παῖδες, γένος οἱ ἀδελφοὶ, συγγένεια οἱ γαμβροί. Ἔκτεινα μητέρα. τὸ ἑξῆς ἔκτεινα μητέρα, σοὶ πάτερ ἀρήγων. Κἀγὼ δ' ἐπεβούλευσα] καὶ ἐγὼ συνεργὸς ἦν τοῦδε φόνου, καὶ ἠλευθέρωσα τῆς δειλίας. Οὔκουν ὀνείδη] ἆρ' οὐ ῥύσαι ἡμᾶς, ὡς μέλλων κλύειν τάδε τὰ ὀνείδη, ἐὰν μὴ σωθῶμεν, ὅτι ἐπικουρήσαντες οὐκ ἐβοήθησας. Ἄλλως. Ὀνείδη τῶν εὐεργετῶν τὰς ὑπομνήσεις, ὡς καὶ ὁ ποιητὴς, ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον. Δακρύοις κατασπένδω σε] ἤγουν σπονδάς σοι διὰ δακρύων ποιῶ. οὐ γὰρ ἔχω ἄλλο τι. Ἐγὼ δ' οἴκτοις] ἐγὼ δὲ εὐχαῖς καὶ θρήνοις. Ἐξορμώμεθα] ἐξέλθωμεν. Ἀκοντίζουσ'] εἰ κατὰ γῆς ἔρχονται αἱ εὐχαὶ, ἐπακούει. Δίκη μία] τιμωρία. Ὀφείλεται] ἀπόκειται, χρέος ἔγκειται.

ΠΕΡΙΚΟΜΜΑΤΑ.

Στροφὴ α'.

Ηλ. 1 Μυκηνίδες ὦ φίλαι.
2 Τὰ πρῶτα κατὰ Πελασγὸν ἕδος Ἀργείων.
Χο. 3 Τίνα θροεῖς αὐδὰν, πότνια;
4 Παραμένει γὰρ ἔτι σοι τόδ' ἐν
5 Δαναϊδῶν πόλει.

Strophe I.

El. 1 O charæ Mycenides,
2 Quæ estis primariæ in Pelasgo solo Argivorum.
Cho. 3 Quam vocem sonas, ô veneranda?
4 Manet etenim adhuc te hoc in
5 Urbe Danaidum.

Μυκηνίδες ὦ φίλαι] σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν β', ἐπὶ τῷ τέλει προσχαρος. Μυκηνίδες ὦ φίλαι] πρὸς τὰς ἀπὸ τοῦ χοροῦ διαλέγεται. Μυκηνίδας δὲ αὐτὰς καλεῖ, καὶ Ἀργείας, ἐπεὶ ὀλίγον ἀλλήλων ἀφεστήκασιν αἱ πόλεις. Ἄλλως. Ἰνάχου ἐκ Μελίας ἐγένετο Φορωνεὺς, καὶ Φηγεύς. τούτων ὁ Φορωνεὺς ἄρξας τὸ νῦν Ἄργος, Φορωνικὸν ἄστυ ἐκάλεσε. ἴσχει δὲ παῖδας ἐκ Πειθοῦς, Αἰγιαλέα, Ἄπιν, Εὐρώταν, Νιόβην. Φηγεὺς, πόλιν κτίζει Φηγέα, καὶ παῖδας ἴσχει Σπάρτωνα καὶ Μέστωνα. Σπάρτωνος δὲ παῖς Μυκηνεὺς, ὃς Μυκήνας ἔκτισε. Φορωνέως δὲ ἀπολωλότος, καὶ τῶν παίδων τῶν Νιόβης διασκεδασθέντων, Ἄργος ὁ Νιόβης βασιλεύσας ὅλην τὴν ἐντὸς τοῦ Ἰσθμοῦ Ἀργείαν, καὶ τὸ Φορωνικὸν ἄστυ, Ἄργος ἐκάλεσε. Τὰ πρῶτα] λείπει τὸ φέρουσαι, τουτέστιν αἱ τὰ πρῶτα φέρουσαι κατὰ τὸ Ἄργος, Πελασγὸν δὲ, ἀπὸ Πελασγοῦ τοῦ αὐτόθι βασιλεύσαντος. Παραμένει γὰρ] τὸ πότνιαν καλεῖσθαι.

ANNOTATIONES.

V. 1223. Ὁπλιζόμεσθα] *Dupertus* legit ὁπλιζόμεθα, non malè: Ità quoque & MS. toties laudatum legit; ut in margine notamus. *Jos. Barnes.*
V. 1236. Ἐγὼ δέ τ' ἐπεβούλευσα] *Scholiastes* legit κἀγὼ δ' ἐπεβούλευσα, quod ἐπεβούλευσα convenientius ab *Electrâ* dicitur, quàm ἐπεβούλευσα; *Orestes* enim instruxit insidias, *Electra* autem hortata est ad facinus fortitèr capessendum, &c. *Josua Barnes.*

Σύστημα

Σύστημα α'.

Ηλ. 1 Στῆθ' αἱ μὲν ὑμῶν, τήνδ' ἁμαξήρη τρίβον.
2 Αἱ δ' ἐνθάδ' ἄλλον οἶμον, ἐς φρουρὰν δόμων.

Στροφὴ β'.

Χο. 1 Τί δέ μοι τόδε χρέος αὐδεῖς;
2 Ἔννεπέ μοι, φίλα.
Ηλ. 3 Φόβος ἔχει με, μή τις ἐπὶ δώμασι
4 Σταθεὶς ἐπὶ φόνιον αἷμα
5 Πήματα πήμασιν ἐξεύρῃ.

Σύστημα β'.

Ημ. 1 Χωρεῖτ', ἐπειγώμεσθ'. ἐγὼ μὲν οὖν τρίβον
2 Τόνδ' ἐκφυλάξω, τὸν πρὸς ἡλίου βολάς.
Ημ. 3 Καὶ μὴν ἐγὼ τόνδ', ὃς πρὸς ἑσπέραν φέρει.

Στροφὴ γ'.

Ηλ. 1 Δόχμια νῦν κόρας
2 Διάφερ' ὀμμάτων
3 Ἐκεῖθεν, ἐνθάδ', εἶτ' ἐπ'
4 Ἄλλαν σκοπιάν.
Χο. 5 Ἔχομεν ὡς θροεῖς.

Αντιστροφὴ α'.

Ηλ. 1 Ἑλίσσετε νῦν βλέφαρον,
2 Κόρασι * δίδοτε διὰ βοστρύχων πάντη. * Canter. διαδίδοτε.
Ημ. 3 Ὅδε τις ἐν τρίβῳ προσέρχεται.
4 Τίς ὅδ' ἄρ' ἀμφὶ μέλαθρον πολεῖ
5 Σὸν ἀγρότας ἀνήρ;

Αντισύστημα α'.

Ηλ. 1 Ἀπωλόμεσθ' ἄρ', ὦ φίλαι, κεκρυμμένους
2 Θῆρας ξιφήρεις αὐτίκ' ἐχθροῖς ἣν φανεῖ.

Αντιστροφὴ β'.

Ημ. 1 Ἄφοβος ἔχε. κενὸς γάρ, ὦ φίλα,
2 Στίβος, ὃν * σὺ δοκεῖς. * MS. οὐ.
Ηλ. 3 Τί δέ, τὸ σὸν βέβαιον ἔτι μοι μένει;
4 Δὸς ἀγγελίαν ἀγαθάν τινά μοι.
5 Εἰ τάδ' ἔρημα τὰ πρόσθ' αὐλᾶς.

Systema I.

El. 1. State aliæ veſtrûm in hâc viâ publicâ,
2 Aliæ hîc in aliâ viâ ad præſidium domûs.

Strophe II.

Cho. 1 Propter quam cauſam hoc me jubes?
2 Dic mihi, ô chara.
El. 3 Metuo, nè quis ad domum
4 Stans propter cædem,
5 Inveniat mala in ſtis malis.

Syſtema II.

Se. 1 Eamus, feſtinemus, ego ſemitam
2 Hanc obſervabo, ad ſolis ortum.
Se. 3 Et ego iſtam, quæ fert ad occaſum.

Strophe III.

El. 1 Obliquè nunc pupillas
2 Oculorum differ,
3 Iſtinc, huc, deinde ad
4 Aliam ſpeculam.
Cho. 5 Facimus ut jubes.

Antiſtrophe I.

El. 1 Circumferte nunc palpebram,
2 Date pupillis undique per capillos *locum*.
Se. 3 Hic quis in viâ accedit:
4 Quis hic vadit circa domum
5 Tuam ruſticus vir?

Antiſyſtema I.

El. 1 Periimus, ô amicæ, abſconditas
2 Feras armatas ſi ſtatim indicet hoſtibus.

Antiſtrophe II.

Se. 1 Sis ſine metu: nam inanis eſt, O chara,
2 Via, quam tu putas.
El. 3 Quid vero, tua fides, manet mihi adhuc firma?
4 Da mihi aliquem bonum nuncium,
5 An locus ante aulam ſit vacuus.

Τήνδ' ἁμαξήρη] κατὰ τὴν λεωφόρον ὁδὸν τὴν δημοσίαν. αἱ δὲ εἰς ἄλλην ὁδόν, εἰς τὸ τηρῆσαι τὸν οἶκον. Τί δέ μοι τόδε χρέος] ἡ β' αὕτη στροφή, κώλων ἐστὶ ε. τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὃ τῶν β' πρώτων ποδῶν χορεῖον. τὸ β' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ', καὶ ἰάμβου. τὸ γ' ἰωνικὸν ἀκατάληκτον τρίμετρον, ἐκ παίωνος β', ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ διιάμβου, διὰ τὴν ἀδιάφορον. τὸ δ' ἰαμβικὸν ἑφθημιμερές, τοῦ β' καὶ γ' ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει, προσοδιακὸν τρίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου καὶ συλλαβῆς. τὸ ε' ὅμοιον ἀντεστραμμένον πρῶτον ἔχον τὸν χορίαμβον. εἰ δὲ βούλει, δακτυλικὸν ἑφθημιμερές. εἶτα παράγραφος, καὶ β' διπλαῖ. [1251] Τί δέ μοι χρέος] ἤγουν τίνα χρείαν καλεῖς ἐμὲ σαυτῇ, τουτέστι τί χρησιμεύσω σοι καλουμένη; Τί δέ μοι] εἰς τί μοι τοῦτο τὸ πρᾶγμα προστάττεις, τὸ φρουρεῖν δηλαδὴ τὴν ὁδόν. Χωρεῖτε] σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τριῶν. ἐπὶ τῷ τέλει παράγραφος. Ἡλίου βολάς] πρὸς ἀνατολήν. [1260] Πρὸς ἑσπέραν] πρὸς τὴν δύσιν. Ὃς πρὸς ἑσπέραν φέρει] ἤτοι ὑπισχνεῖ τὸ δυτικόν, ὅτι τῆς ἑσπέρας ἐστίν, ἢ ὅτι τότε εἰς ἑαυτοὺς τρέπομεν. ἢ ὅτι τοῦ ἡλίου πέρας ἐστίν. ἢ ἑσπέρα [ἢ ἑσπερόφορος] τις ἐστι, ἀπὸ τοῦ πάντας εἰς φέρειν, ἤτοι εἴσω δέ-

ρειν. καὶ ἡ Σαπφὼ δὲ ὕστερον τὸν ἑσπέριον ἀστέρα εἶπε, ἔτυμον τινα ἐτυμολογοῦσα τὸ ὄνομα, Ἕσπερε πάντα φέρων ὅσα φαινολὶς ἐσκέδασ' αὔως. Δόχμια νῦν κόρας] ἡ γ' αὕτη στροφή, κώλων ἐστὶν ε. τὸ α' καὶ β', παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ γ' ἰαμβικὸν καθαρὸν ἑφθημιμερές. τὸ δ' ἀναπαιστικὴ βάσις. εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος, μονόμετρον ὑπερκατάληκτον. τὸ ε' ὅμοιον τῷ α'. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἐκτὸς νενευκυῖα. ἡ δὲ κατὰ τὸ τέλος, ἐντὸς νενευκυῖα. [1266] Ἑλίσσετε νῦν] ἡ ἀντιστροφὴ αὕτη τῆς α' ἐστὶ στροφῆς, μυκηνίδες ὦ φίλαι. κώλων γάρ ἐστι καὶ αὕτη ε' ἰσομέτρων ἐκείνοις. τὸ μέν τοι α' κῶλον τετρασύλλαβον ἔχει τὸν κρητικόν. τὸ δὲ β' οὐ καλῶς ἔχει, δεῖ καὶ ἀντηχῆσθαι παρ' ἡμῶν, καὶ ἔχει νῦν ὀρθῶς. ἐπὶ τῷ τέλει παράγραφος. Δόχμια νῦν κόρας] δηλονότι διαφερέ συ, καὶ πλαγίαζε τὸ ὄμμα, καὶ φύλαττε, καὶ τὰ πλάγια τοῦ οἴκου ἐπιτήρει. Ἑλίσσετε νῦν] τὸ ἑξῆς, ἑλίσσετε νῦν βλέφαρον διὰ βοστρύχων, καὶ κόρασι δίδοτε πάντη, ὅ ἐστι πάντα τόπον τῇ ὄψει δίδοτε, καὶ σκοπεῖτε. διὰ τῶν βοστρύχων δέ, ἐπειδὴ καθειμένον εἶχον τὸν πλόκαμον μέχρι παρειῶν, ἢ ὡς πενθοῦσαι τὸν Ὀρέστην, ἢ ὡς παρθένοι, ἐξ οὗ συνέβαινε τὰ πλάγια μὴ ὁρᾶν. Κόρασι] κόρας φησὶ τὸ ἐπὶ ταῖς κόραις βλέφαρον. κόρην γὰρ τὸ μέλαν, ἑλίσσετε καὶ κινεῖτε, καὶ διὰ τῶν βοστρύχων αὐτὸ δίδοτε πανταχόσε, ἀντὶ τοῦ τὰς κόρας καὶ τὰς ὄψεις ἀποτείνετε πανταχοῦ, ἵν' ᾖ τὸ πάντῃ ἀντὶ τοῦ πανταχοῦ, ἢ πάντα τόπον δίδοτε ταῖς ὄψεσι. Ὁ δέ τις] φαντασθὲν τὸ ἡμιχόριον ἐρχόμενόν τινα, τοῦτο πρὸς τὴν Ἠλέκτραν φησίν. ἀγρότης δὲ εἶπεν, ἐπειδὴ ᾤετο μή τινα ἂν τῶν ἐν τῇ πόλει λαμπρῶν ἀφῖχθαι, ἀλλ' ἐξ ἀγροῦ τινα ποιμένα λέγει, ἢ συβώτην διά τινα χρείαν, τὸ δὲ τίς, ἀόριστόν ἐστιν, δηλονότι ἀγρότης τις. ὃ δέ, ὃν λέγει δηλονότι, πολεῖται, ἤγουν ἔρχεται ἐπὶ τὸ σὸν μέλαθρον. Ἀπωλόμεσθ' ἄρα ὦ φίλαι αὐτίκα, εἰ τοὺς κεκρυμμένους ξιφήρεις θῆρας, ἤγουν τὸν Ὀρέστην καὶ τὸν Πυλάδην δείξει καὶ μηνύσει τοῖς ἐχθροῖς. Ἄφοβος ἔχε] ἡ ἀντιστροφὴ αὕτη τῆς δευτέρας ἐστὶ στροφῆς, ἧς ἡ ἀρχή, τί δέ μοι τόδε χρέος. κώλων γάρ ἐστι καὶ αὕτη ἰσομέτρων ἐκείνῃ ε'. ἐπὶ τῷ τέλει παράγραφος. Ἄφοβος ἔχε] μὴ φοβοῦ, ἄφοβος ἔσο. Στίβος] πρὸς τὴν Ἠλέκτραν. πῶς δὲ τὸ κατὰ σὲ ἄρ' ἔτι βέβαιον μένει. Εἰ τάδ' ἔρημα] εἰ τὰ πρὸς τὴν αὐλὴν μέρη εἰσὶ μεμονωμένα. ... πῶς εἶπεν ὁ στίβος, κενός ἐστιν ὁ στίβος, ὃν οὐ δοκεῖς εἶναι κενὸν δηλονότι. [1275] Τὸ σὸν βέβαιον] πρὸς τὸ ἄλλο ἡμιχόριον λέγει

ANNOTATIONES.

V. 1258. Ἐπειγώμεσθ'] al. ἐπειγώμεθα.

V. 1267. Κόρας διάδοτε legit *Canterus* Novar. Lection. l. 7. c. 3. & phraſim probat *Euripideam*. Quarè quod priùs obtinebat κόρασι δίδοτε, expungatur per me licet ipſi & *Scholiaſtæ* ea lectio placeret & per ſe ſtare etiam poteſt. Liber *Heinſio-Scaligerianus* habet κόρας διαδίδοτε margini aſcriptum. *J. Barnes.*

V. 1273. Ἄφοβος ἔχε] *Canterus* legit ἄφοβος ἴσθι. MS. ἄφοβ'

V. 1274. Ὃν σὺ δοκεῖς] *Canterus* cum *Scholiaſte*, & MS. rectiùs legunt ὃν οὐ δοκεῖς.

Αντισύστημα

Φέρε νυν ἐν πύλαις] ἡ ἀντιστροφὴ αὕτη τῆς τρίτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχή, δόχμια νῦν κόρας. καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ἐκείνῃ. ἐ[...]μήται τοῦ ε κώλου ἀντὶ ἰάμβου ἔχει σπονδεῖον. ἀδιάφοροι γὰρ εἰσὶν αἱ καταλήξεις τῶν κώλων, καὶ ὁ παρατέλευτος ποὺς. ἔνθα γὰρ ἰαμβικὴ κεῖται συζυγία, ἐναλλάττουσι τοὺς χρόνους. καὶ ἀντὶ διιάμβου ἐπιτρίτου, ἐπιτέταρτον, ὃς κεῖται ἐκ σπονδείου καὶ ἰάμβου, ἢ ἐξ ἰάμβου καὶ σπονδείου. ἔστι δὲ ὅτε σύγκειται καὶ διασπονδείου. ἐπὶ τοῦ τέλει τῆς παρούσης ἀντιστροφῆς παράγραφος.

Ἀντισύστημα β'

Ημ. 1 Καλῶς τἀγ' ἔνθεν, ἀλλὰ τἀπί σου σκόπει,

2 Ὡς οὔ τις ἡμῖν Δαναϊδῶν πελάζεται.

Ημ. 1 Εἰς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδὲ τῇδ' ὄχλος.

Antisystema II.

Se. 1 Hic res bene habent, sed tu tuam stationem considera.

2 Quia nemo civium accedit ad nos.

Se. 3 Venis eodem, neque enim hic turba est.

Ἀντιστροφὴ γ'.

Ηλ. 1 Φέρε νυν ἐν πύλαι-

2 σιν ἀκοὰν βάλω,

3 Τί μέλλεθ' οἱ κατ' οἶκον

4 Ἐν ἡσυχᾷ

5 Σφάγια φοινίσσειν;

Antistrophe III.

El. 1 Age quidem in por-

2 tis audiam:

3 Quid cunctamini in ædibus

4 Per quietem

5 Mactare hostiam?

Ἀντισύστημα γ'

1 Οὐκ εἰσακούουσ'. ὦ τάλαιν' ἐγὼ κακῶν·

2 Ἆρ' εἰς τὸ κάλλος ἐκκεκώφηνται ξίφη;

Antisystema III.

1 Non audiunt, O misera ego propter mala!

2 Num propter pulchritudinem obstupuerunt gladii?

Φέρε νυν] τὴν ἀκοήν, ἤτοι τὸ οὖς τὸ ἐμὸν πρὸς τὰς πύλας προσθῶ, ὥστε ἀκοῦσαι. 1284 Τί μέλλεθ' οἱ κατ' οἶκον] διατί ἀναβάλλεσθε περὶ τοῦ ἐπιθῦσαι τινὰ σφάγια φοινίσσειν, τουτέστι τὴν Ἑλένην φονεύειν. Ἆρ' εἰς τὸ κάλλος] ἆρα εἰς τὸ τῆς Ἑλένης κάλλος βλέψαντες, οὐκ ἐχρήσαντο τοῖς ξίφεσιν. οἷόν τι καὶ Στησίχορος ὑπογράφει, περὶ τῶν καταλεύειν αὐτὴν μελλόντων. φησὶ γὰρ ἅμα τὸ τὴν ὄψιν αὐτῆς ἰδεῖν αὐτούς, ἀφεῖναι τοὺς λίθους ἐπὶ τὴν γῆν. Ἄλλως. Ἐὰν ἢ ἐκκεκώφηνται ἄνευ τοῦ ν, ἔστιν ὁ λόγος, ἆρα μὴ καὶ τὰ ξίφη τῆς Ἑλένης ἀγασθέντα τὸ κάλλος, ἀνεπαίσθητα, καὶ ἀνενέργητα γεγόνασιν. ἐὰν δὲ ἢ ἐκκεκώφηνται, μετὰ τοῦ ν, ἐπὶ τῶν περὶ Ὀρέστην ἀκουστέον, ἆρα μὴ διὰ τὸ κάλλος τῆς Ἑλένης ἀνεπαίσθητοι ἔμειναν, καὶ εἴασαν τὰ ξίφη. ἐκκεκώφηνται, ὡς προκέκληνται. Ἀριστοφάνης δὲ γράφει ἐκκεκώφωνται ξίφη. ὁ δὲ λόγος, ἆρα μὴ καὶ τὰ ξίφη νενίκηται τῷ κάλλει καὶ διαμεμάλακται. ἐὰν δὲ ἢ ἐκκεκώφηνται, ἐπὶ τῶν περὶ Ὀρέστην ἐνδεικτέον, ὅτι ἐκκεκώφηνται αὐτοὶ πρὸς τὸ κάλλος, καὶ εἴασαν τὰ ξίφη.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Τάχα τις Ἀργείων] τὰ ἑξῆς πάντα εἴδη, καλεῖται κυρίως ἀνομοιόστροφα, διὰ τὸ μὴ εἶναι κατὰ θέσιν. ἔστι γοῦν τῆς παρούσης στροφῆς τὰ κῶλα δ. τὸ α παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ καὶ σπονδείου. τὸ β ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον, ἐξ ἰωνικοῦ καὶ σπονδείου. τὸ γ καὶ δ ὅμοια τῷ πρώτῳ, ἐπὶ τῷ τέλει παράγραφος. Ποδὶ βοηδρόμῳ] τῷ βοηθῶ, τῷ μετὰ βοῆς βοηθοῦντι, ἢ τῷ ἐν τῇ βοῇ θέοντι, ἤγουν ἐν τῇ μάχῃ. ἴσως φησί, τις ἀπὸ τῶν Ἀργείων μεθ' ὅπλων ὁρμήσας πρὸς τὰ μέλαθρα βοηθὸς προσχωρήσεται. 1292 Σκέψασθε βέλτιον καὶ ἀκριβῶς σκοπήσατε. οὐ γὰρ χρεία νῦν τοῦ καθέζεσθαι. Ἀμείβω κέλευθον ἡ στροφὴ αὕτη κώλων ἐστὶ β. τὸ α ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἀντισπάστου καὶ τροχαίου. τὸ β ἰαμβικὸν καθαρὸν πενθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος, κατὰ περικοπὴν στίχοι ἰαμβικοὶ γ. ἐπὶ τῷ τέλει παράγραφος. Ἀμείβω κέλευθον] διαβιβάζω τὸν ὀφθαλμόν, ἀκριβῶς πάντα περιβλεπομένη. 1296 Ἰὼ Ἀργεῖοι] Ἑλένης ὁ θρῆνος, ὡς ἔστι τεκμήρασθαι. Ὦ Διὸς ἡ στροφὴ αὕτη κώλων ἐστὶ β. τὸ α δακτυλικὸν τετράμετρον. τὸ β ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει παράγραφος. Ἀέναον] διηνεκές. Παρών] ἐν τῇ πόλει ὤν.

Στροφὴ α'.

1 Τάχα τις Ἀργείων

2 Ἔνοπλος ὁρμήσας,

3 Ποδὶ βοηδρόμῳ

4 Μέλαθρα [*] προσμίξει. *al. προσμίξει.

Σκέψασθε νῦν ἄμεινον. οὐχ ἕδρας ἀγών.

Ἀλλ' αἱ μὲν ἐνθάδ', αἱ δ' ἐκεῖσ' ἑλίσσετε.

Strophe I.

1 Forte aliquis Argivus

2 Armatus properans

3 Pede auxiliatore

4 Accurret ad ædes.

Spectate nunc melius, non expedit sedere:

Sed aliæ huc, aliæ illuc volvatis oculos.

Στροφὴ β'.

Χο. 1 Ἀμείβομαι κέλευθον

2 Σκοποῦσα πάντη.

Ελε. Ἰὼ Πελασγὸν Ἄργος, ὄλλυμαι κακῶς.

Ηλε. Ἠκούσατ'; ἄνδρες χεῖρ' ἔχουσιν ἐν φόνῳ.

Ἑλένης τὸ κώκυμ' [...]ιν, ὡς ἀπεικάσαι.

Strophe II.

Cho. 1 Mutamus viam,

2 Speculantes undique.

Hel. O Pelasgum Argos, pereo male.

Ele. Audistis? viri habent manus in cæde:

Est ejulatus Helenæ, ut licet conjicere.

Στροφὴ γ'.

Ημ. 1 Ὦ Διὸς ὦ Διὸς ἀέναον κράτος,

2 Ἐλθ' ἐπίκουρον ἐμοῖς φίλοισι πάντως.

Ελ. Μενέλαε, θνήσκω· σὺ δὲ παρὼν μ' οὐκ ὠφελεῖς.

Strophe III.

Se. 1 O Jovis, ô Jovis immensa potentia,

2 Veni auxilians meis amicis omnino.

Hel. Menelae, morior, tu verò præsens me non juvas.

ANNOTATIONES.

* V. 1287. Ἐκκεκώφηνται] legitur & ἐκκεκώφωνται, & ἐκκεκώφωνται & ἐκκεκώφηνται. Quod si pluraliter, de *Oreste* & *Pylade* sumendum & τὰ ξίφη *Synecdoche* in accusativo. Vid. *Scholiasten* de hac re. *Jos. Barnes.*

* V. 1291. Μέλαθρα προσμίξει] *Canterus* προσμίξει legit: sed nec illi *Scholiastes* favet in hoc, nec nos; licet & in Libro *Heinsio-Scaligeriano* margini annotetur, ex more; is enim liber est, ex *Canteri* editione, quare illius emendationes, quoties illis placuerint, adscribuntur. *Jos. Barnes.*

MONO-

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ηλ. Φονεύετε, καίνετε, θείνετε, ὄλλυτε,
Δίπτυχα, δίστομα, φάσγανα πέμπετε,
Ἐκ χερὸς ἱέμενοι, * τὰν
Λειποπάτορα, λειπόγαμον, ἃ πλείστους
Ἔκτανεν Ἑλλάνων
Δορὶ παρὰ ποταμὸν * ὀλλυμένους,
Ὅθι δάκρυα δάκρυσιν
* Ἔπεσε σιδαρέοισι βέλεσιν,
Ἀμφὶ τὰς Σκαμάνδρου δίνας.

* Deeſt in MS.
* MS. ὀλλυμένοις.
* MS. συνέπεσε.

El. Interficite, ferite, occidite, perdite,
Duos ancipites gladios mittite,
Ferientes è manu
Deſertricem parentum, linquentem conjugem, quæ plurimos
Interfecit Græcorum
In bello, apud fluvium percuntes,
Ubi lacrymæ inter lacrymas
Ceciderunt propter ferrea tela.
Ad flumen Scamandrum.

Καίνετε] διαφθείρετε· ἀπὸ τοῦ καίνω, τὸ φονεύω. Καίνετε] σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων η. τὸ α δακτυλικὸν τετράμετρον καθαρόν. τὸ β καὶ γ καὶ τὸ δ καὶ ε ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα, ἔχει δὲ τὸ γ τὸν β πόδα προκελευσματικόν, ἤτοι τετράβραχυν. τὸ δὲ ε τὸν β πόδα χορεῖον. τὸ ς ἰαμβικὸν ἑφθημιμερὲς ἐκ χορείων. τὸ ζ ὅμοιον. τὸ η τροχαϊκὸν δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. τὸ ἑξῆς, καίνετε τὴν λειποπάτορα, ἤγουν τὴν λειπόγαμον, ἤγουν τὴν καταλιποῦσαν τὸν ἑαυτῆς γάμον. 1304 Ἱέμενοι] ἀντὶ τοῦ ἱέντες. ἀπλούστερον δὲ ὡς γυναῖκας εἶπον. οὐδεὶς γὰρ ξίφος ἀφίησι, καὶ βάλλει. ἢ τὸ ἱέμενοι, ἀντὶ τοῦ προθυμούμενοι. Λειποπάτορα] τὴν καταλιποῦσαν τὸν πατέρα καὶ τὸν Μενέλαον. Παραποταμὸν] τὸν Ξάνθον. Δίνας] ὅπου συνέπεσε δάκρυα περὶ τὰς συστροφὰς τοῦ Σκαμάνδρου.

ΙΑΜΒΟΙ.

Χο. Σιγᾶτε, σιγᾶτ'· ᾐσθόμην κτύπου τινὸς
Κέλευθον εἰσπεσόντος ἀμφὶ δώματα.
Ηλ. Ὦ φίλταται γυναῖκες, εἰς μέσον φόνον
Ἥδ' Ἑρμιόνη πάρεστι· παύσωμεν βοήν.
Στείχει γὰρ εἰσπεσοῦσα δικτύων βρόχους.
Καλὸν τὸ θήραμ', ἢν ἁλῷ, γενήσεται.
Πάλιν κατάστηθ' ἡσύχῳ μὲν ὄμματι,
Χροιᾷ τ' ἀδήλῳ τῶν * δεδραμένων ὕπερ.
Κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας,
Ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα.
Ὦ παρθέν', ἥκεις τὸν Κλυταιμνήστρας τάφον
Στέψασα, καὶ σπείσασα νερτέροις χοάς;
Ερ. Ἥκω, λαβοῦσα πρευμένειαν· ἀλλά με
Φόβος τις εἰσελήλυθ', ἥν τιν' ἐν δόμοις,
Τηλουρὸς οὖσα δωμάτων, κλύω βοήν.
Ηλ. Τί δ'; ἄξι' ἡμῖν τυγχάνει στεναγμάτων.
Ερ. Εὔφημος ἴσθι. τί δὲ νεώτερον λέγεις;
Ηλ. Θανεῖν Ὀρέστην κἄμ' ἔδοξε τῇδε γῇ.
Ερ. Μὴ δῆτ', * ἐμούς γε συγγενεῖς πεφυκότας.
Ηλ. Ἄραρεν· ἀνάγκης δ' εἰς ζυγὸν καθέσταμεν.
Ερ. Ἦ τοῦδ' ἕκατι καὶ βοὴ κατὰ στέγας;
Ηλ. Ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ.
Ερ. Τίς; * οὐ γὰρ οἶδα μᾶλλον, ἢν σὺ μὴ λέγῃς.
Ηλ. Τλήμων Ὀρέστης, μὴ θανεῖν, ἐμοῦ θ' ὕπερ.

* MS. τετραγμένων.
* MS. ἐμοῦ.
* MS. οἶδα.

Ch. Tacete, tacere, audio ſtrepitum quendam
Cujuſdam in viam irruentis circa domum.
El. O chariſſimæ mulieres, in media cæde
Illa Hermione adeſt: ceſſemus à clamore.
Nam vadit incidens in laqueos retium:
Egregia præda erit, ſi capta fuerit.
Iterum ſtate quieto aſpectu,
Et colore non ſignificante factum.
Et ego habebo tetricas pupillas oculorum,
Tanquam utique non ſciens facta.
O virgo venis, Clytæmneſtræ ſepulchrum
Poſtquam coronâſti, & libâſti inferis inferias?
Her. Venio peractâ placatione: ſed me
Metus quidam cepit, quem in ædibus,
Procul exiſtens à domo, audio clamorem.
El. Quid? ſiunt quæ ſunt digna noſtro luctu.
Her. Fauſta loquere: quid novi dicis?
El. Decretum eſt huic urbi, hodiè Oreſten & me mori.
Her. Nequaquam fiat, cùm vos ſitis mei cognati.
El. Decretum eſt: ſumus in jugo neceſſitatis.
Her. An propterea eſt clamor in domo?
El. Supplex procidens ad genua Helenæ clamat.
Her. Quis? non ſatis ſcio, niſi tu dicas.
El. Miſer Oreſtes orat, nè occidatur, & pro me.

Σιγᾶτε, σιγᾶτε] αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων μη, ὧν τελευταῖος, τοὺς μὲν γὰρ οἶδα συμφορὰς, τοὺς δὲ οὐ σαφῶς. μετὰ δὲ τὸν μβ, κῶλα τρία. τὸ α ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον ἀκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, καὶ παιῶνος β, ἀντὶ ἰωνικοῦ. τὸ β ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν. τὸ γ ἰωνικὸν, ἐξ ἰωνικοῦ ἀπὸ ἐλάττονος δίμετρον καὶ δακτύλου. ἐπὶ τοῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνίς. Εἰς μέσον φόνον] εἰς τὸ μέσον τοῦ φόνου, ἢ εἴσω τοῦ φόνου περιεργαστικῶς. 1315 Δικτύων βρόχους] εἰς τὰ δίκτυα περιεργαστικῶς. Ἢν ἁλῷ] ἐὰν κρατηθῇ. Ἐγκατάστητε] ἐν καταστάσει γένεσθε, καὶ μὴ θορυβεῖτε, ἀναδράμετε φησὶν εἰς τὴν προτέραν κατάστασιν τῆς ὄψεως, καὶ τὸ μὲν ὄμμα κατεσταλμένον ἔχετε. τὸ δὲ πρόσωπον ἀνύποπτον τῶν πεπραγμένων χρῶμα, τουτέστι προσποιεῖσθε καὶ νῦν κατηφεῖς εἶναι, καὶ λυπεῖσθαι διὰ τὸν Ὀρέστην, ἵνα μὴ περιχαρεῖς ὑμᾶς ὁρῶσα, συνιῇ τὸν κατὰ τῆς μητρὸς αὐτῆς Ἑλένης πραττόμενον φόνον. Στέψασα] κοσμήσασα. Σπείσασα] θυσιάσασα τοῖς κάτω θυσίας. Ἥκω λαβοῦσα] ἦλθον φησὶν ἐξευμενισαμένη τὸν τάφον τῆς Κλυταιμνήστρας. πρὸ δὲ τὸ πρᾶον καὶ εὐμενὲς συντίθεται τὸ ὄνομα, ἀντὶ τοῦ προευμένειαν. Πρευμένειαν] πρᾳότητα, εὐμένειαν. 1325 Τηλουρὸς οὖσα] πόρρω οὖσα, ἤτοι πάλαι τῶν ὅρων τῆς οἰκίας. ἐν γὰρ τῷ τάφῳ τῆς Κλυταιμνήστρας ἦν. ὁ δὲ λόγος· ἀλλὰ περίφοβος γέγονα διὰ τὴν γενομένην βοὴν ἐν τοῖς οἴκοις, ἣν ἤκουσα πόρρω οὖσα. Κλύω βοὴν] λείπει διά. Φόβος τις] δέον εἰπεῖν πρὸς τὸ φόβος, βοή, ἥν τινα κλύω, ἐπεὶ δὲ τὸ ἥν τινα προέθηκε, πρὸς τοῦτο καὶ τὴν βοὴν ἐπήγαγεν. Τί δ' ἄξι' ἡμῖν] τί δὲ ἄλλο ἁρμόζει ἡμῖν, τὰ πράγματα ἡμῖν ἄξια τυγχάνει στεναγμάτων. Ἄλλως. Πεπόνθαμεν ἄξια στεναγμάτων. ἢ οὕτως, πῶς φησὶν οὐκ ἀξίως στενάζομεν, θανεῖν κατακριθέντες. Εὔφημος ἴσθι] εὐφήμει, τί δὲ καινὸν λέγεις. Μὴ δῆτ' ἐμούς] οὐδὲ μὴ γένοιτο θανεῖν ὑμᾶς συγγενεῖς ὑπάρχοντας. Ἄραρεν] ἥρμοσται· εἰς τὸν ζυγὸν δὲ τῆς δουλείας ὑπέχομεν. Ἦ τοῦδ' ἕκατι] ἆρα χάριν τούτου ἐστὶν ἡ βοὴ κατὰ τοὺς οἴκους. Ἱκέτης] προσκλαίων.

ANNOTATIONES.

V. 1317. Κατάστηθ'] al. ἐγκατάστηθ', ità *Scholiaſt.* & per verſum ſtabit.
V. 1326. Τί δ'; Ἄξι' &c.] ità lego cum interrogantis notâ poſt τί δ'; Non autem poſt στεναγμάτων. Aliter legendum eſt cum *Heinſii* libello τί δ' ἄξι' &c.
V. 1330. Ἄραρεν] MS. ἄραρ' benè.

Ερ. Ἔστ' ἀξίοισιν ἆρ' ἀνευφημεῖ δόμος.
Ηλ. Περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;
Ἀλλ' ἐλθὲ, καὶ μέτασχες ἱκεσίας φίλοις,
Σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ' ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν,
Ἀλλ', ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,
Οἴκτειρον ἡμᾶς, κἀπικούφισον κακῶν.
Ἴθ' εἰς ἀγῶνα δεῦρ', ἐγὼ δ' ἡγήσομαι.
Σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.
Ερ. Ἰδοὺ, διώκω τὸν ἐμὸν εἰς δόμους πόδα.
Σώθηθ', ὅσον γε τοὐπ' ἐμέ. Η. ὦ κατὰ στέγας
Φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἄγραν;
Ερ. Οἲ ἐγώ· τίνας τούσδ' εἰσορῶ; Ο. σιγᾶν χρεών.
Ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοὶ σωτηρία.
Ηλ. Ἔχεσθ', ἔχεσθε, φάσγανον δὲ πρὸς δέρῃ
Βαλόντες, ἡσυχάζεθ', ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, οὐ Φρύγας κακοὺς
Εὑρὼν, ἔπραξεν οἷα χρὴ πράσσειν κακούς.
Ἰὼ ἰὼ, φίλαι, κτύπον ἐγείρετε, κτύπον καὶ βοὰν
Πρὸ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
Μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
Βοηδρομῆσαι πρὸς δόμους τυραννικοὺς,
Πρὶν ἂν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον
Καθαιμακτὸν ἐν* δόμοισι κείμενον, *MS. δόμοισιν.
Ἢ καὶ λόγον τευ προσπόλων πυθώμεθα·
Τὰς μὲν γὰρ οἶδα συμφορὰς, τὰς δ' οὐ σαφῶς.

Her. Domus igitur meritò ploret.
El. Nam de quâ aliâ re quis magis loquatur?
Sed veni, & ſis amicis particeps ſupplicationis,
Procidens ante tuam matrem valde beatam,
Nè Menelaus videat nos morientes.
Sed ô tu, quæ es educata in manibus meæ matris,
Miſerere noſtri, & leva mala:
Veni huc in certamen, ego præcedam:
Sola enim habes nobis metam ſalutis.
Her. Ecce properè pono meum pedem in domum.
Servati eſtis, quantum in me eſt. *El.* O in Domo
Amici armati, non capietis prædam?
Her. Hei mihi, quos hic video? *Or.* Oportet tacere.
Venis enim nobis, non tibi, in ſalutem.
El. Tenete, tenete, & enſem ad collum
Admoventes, quieſcite, ut videat hoc
Menelaus: quia viros, non ignavos Phrygas
Inveniens, paſſus eſt ea, quæ oportet pati malos.
O amicæ, excitate ſtrepitum, ſtrepitum & clamorem
Ante ædes, ut facta cædes
Non incutiat Argivis vehementem terrorem,
Atque ob id opem ferant ad ædes tyrannicas,
Priuſquam promptè videam Helenæ cædem
Cruentam in domo,
Aut ſermonem cujuſdam miniſtrorum audiamus:
Nam quaſdam calamitates ſcio, quaſdam non clarè.

Ἔστ' ἀξίοισιν ἆρα] ἀξίως ὅτι καὶ ὁ οἶκος θρηνεῖ δι' ἡμᾶς. ἐὰν μὲν ἓν εὐφημεῖ γράφηται, ἀντὶ τοῦ δυσφημεῖ νοητέον, ἵν' ᾖ κατ' ἀντίφρασιν εἰρημένον, συνθέσμως ὄντος τοῦ ἄν. ἐὰν δὲ ὑφ' ἕν, ἀνευφημεῖ, ἀντὶ τοῦ κατευφημεῖ, καὶ ἀναθρηνεῖ ὁ δόμος, καὶ σημαίνει τὸ ἐπαχθές. Περὶ τοῦ γάρ] περὶ τίνος γὰρ ἄλλου φθέγξαιτό τις, ἢ θρηνήσειεν, ἢ ὅτι ἡμεῖς ἀπολλύμεθα. Ἄλλως. Διὰ ποῖον γὰρ ἄλλο ἔμελλέ τις βοᾶν ἐν τοῖς οἴκοις, ἀλλ' ἄπελθε, καὶ μετάλαβε τῆς παρακλήσεως τοῖς φίλοις, προσπεσοῦσα τῇ μητρὶ τῇ μεγάλως μακαρίᾳ, ὥστε τὸν Μενέλαον μὴ ἀνέξεσθαι ἰδεῖν ἡμᾶς ἀποθανόντας, ἀλλ' ὦ Ἑρμιόνη ἡ ἀνατραφεῖσα διὰ τῶν χειρῶν τῆς μητρός μου, ἐλέησον ἡμᾶς καὶ ἐλαφρυνον ἀπὸ τῶν κακῶν, ἄγε ἐλθὲ εἰς ἀγῶνα, ἐγὼ δὲ ὁδηγήσω. σὺ γὰρ ἔχεις μόνη τὸ σύστημα τῆς ἡμῶν σωτηρίας. Σωτηρίας γάρ] ἀντὶ τοῦ, ἐν σοὶ ἐστὶν ἡ σωτηρία ἡμῶν. Ἰδοὺ διώκω] ἰδοὺ ἐλαύνω τὴν πορείαν εἰς δόμους, σεσωσμένοι ἐστὲ, ὅσον ἐστὶ τὸ ἐμὸν γνώμη. Ὦ κατὰ στέγας] ὦ ὑμεῖς οἱ κατὰ τοὺς οἴκους ξιφοφόροι, οὐ συλλήψεσθε τὴν Ἑρμιόνην. Οἲ ἐγώ] οἴμοι τίνες εἰσὶν οὗτοι οὓς εἰσορῶ. Σιγᾶν πρέπον] ἡμῖν γὰρ ἦλθες, οὐχὶ σεαυτῇ σωτηρία. Οὕνεκ' ἄνδρας] τὸ ἑξῆς ὅτι ἄνδρας ἀνδρείους καὶ οὐ δειλοὺς Φρύγας εὑρὼν, ἔπαθεν ἃ χρὴ πάσχειν τοὺς κακούς. Βοηδρομῆσαι] ὥστε ἐπὶ βοηθείᾳ δραμεῖν πρὸς τοὺς οἴκους τοὺς βασιλικούς. Πρὶν ἐτύμως] πρὶν ἀληθῶς ἴδω τὸ σῶμα τῆς Ἑλένης πεφονευμένον, ἤτοι ᾑμαγμένον ἐν τοῖς οἴκοις κείμενον, ἢ ἀκούσομαι τοῦτο παρά τινος τῶν δούλων. Τὰς μὲν γὰρ οἶδα] ὡς ὑπὸ τῆς βοῆς, ἐν συμφοραῖς οὖσαν τὴν Ἑλένην ἐγίνωσκον. ἀγνοεῖ δὲ εἰ πέρας ἔχει ὁ φόνος αὐτῆς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Διὰ δίκας ἔβα θεῶν
Νέμεσις εἰς Ἑλέναν.
Δακρύοισι γὰρ Ἑλλάδ' ἅπασαν ἔπλησε,
Διὰ τὸν ὀλόμενον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδ' εἰς Ἴλιον.
Ἀλλὰ, κτυπεῖ γὰρ κλῇθρα βασιλείων δόμων,
Σιγήσατ', ἔξω γάρ τις ἐκβαίνει Φρυγῶν,
Οὗ πευσόμεθα τὰν δόμοις ὅπως ἔχει.

Cho. Juſtè venit Deorum
Vindicta contra Helenam:
Nam lacrymis totam Græciam implevit
Propter Idæum pernicioſum
Parim, qui ad Ilium Græcos adduxit.
Sed, (nam crepant clauſtra regiæ domûs)
Tacete, egreditur enim aliquis Phrygum,
Ex quo audiemus, quid agatur in ædibus.

Διὰ δίκας ἔβα] σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων καὶ στίχων θ'. τὸ α παιωνικὸν ἑφθημιμερὲς ἐκ παίωνος α καὶ ἰάμβου. τὸ β ὅμοιον δίμετρον ὑπερκατάληκτον, ἐκ παιῶνος β καὶ συλλαβῆς. εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ β ποδὸς χορείου, τοῦ δὲ γ δακτύλου. τὸ γ ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τριῶν χορείων καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ε τροχαϊκὸν πενθημιμερές. εἰ δὲ βούλει, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α καὶ συλλαβῆς. τὸ ζ, η, θ, ἰαμβικοὶ τρίμετροι, ἀκατάληκτοι. ἐπὶ τοῦ τέλους παράγραφος. Διὰ δίκας ἔβα] δικαίως ἡ Νέμεσις τὴν Ἑλένην ἐτιμωρήσατο. ἢ οὕτως, ἡ Νέμεσις τῆς δίκης τῶν θεῶν, ἔμολεν, ὅ ἐστι δίκην ἀπαιτοῦσα παρ' αὐτῶν. ἐπεμέμψαντο γὰρ αὐτῇ οἱ θεοί. Ἀλλὰ, κτυπεῖ γάρ] ἐξιών τις ψοφεῖ. τοῦτο γὰρ ἔθος ταῖς θύραις. τούτους δὲ τοὺς τρεῖς στίχους, οὐκ ἄν τις συγχωρήσειεν Εὐριπίδου εἶναι, ἀλλὰ μᾶλλον τῶν ὑποκριτῶν. οἵ τινες ἵνα μὴ κακοπαθῶσιν ἀπὸ τῶν βασιλείων δόμων καταλλόμενοι, διανοίξαντες ἐκπορεύονται τὸ τοῦ Φρυγὸς ἔχοντες σχῆμα καὶ πρόσωπον, ὅμως διὰ θυρῶν εὐλόγως ἐξιόντες φαίνονται. ἐξ ὧν δὲ αὐτὸς λέγουσιν, ἀντιμαρτυροῦσι τῇ διὰ τῶν θυρῶν ἐξόδῳ. φανερὸν δὲ ἐκ τῶν ἑξῆς, ὅτι ὑπερπηδήσειεν. Οὗ πευσόμεθα] ἀφ' οὗ ἀκουσόμεθα πῶς τὰν δόμοις διάκειται.

ANNOTATIONES.

V. 1358. Καθαιμακτὸν] hic verſus, ut & hi Ἰὼ, ἰὼ, φίλαι. & Πρὸ μελάθρων, & Πρὶν ἂν ἐτύμως, ſoli ab *Iambis* excipiuntur, de quâ re *Scholiaſtes* in principio hujus ſcenæ.

V. 1359. Ἢ καὶ λόγον τευ] ita ſcribo τευ, quià eſt encliticum pro τινός.

Φρυ. Ἀργεῖον

Φρυ. * Ἀργεῖον ξίφος ἐκ θανάτου πέφευγα
Βαρβάροις ἐν εὐμαρίσι,
Κεδρωτὰ παστάδων ὑπὲρ τέρεμνα,
Δωρικάς τε * τριγλύφους.
Φροῦδα φροῦδα γᾶ γᾶ
Βαρβάροισι δρασμοῖς.
Αἲ, αἴ. πᾶ φύγω, ξέναι,
Πολιὸν αἰθέρ' ἀμπτάμενος,
Ἢ πόντον, Ὠκεανὸς ὃν
Ταυρόκρανος ἀγκάλαις
Ἑλίσσων * κυκλεῖ χθόνα;
Χο. Τί δ' ἔστιν, Ἑλένης πρόσπολ', Ἰδαῖον κάρα;
Φρ. Ἴλιον, Ἴλιον, ὤμοι μοι,
Φρύγιον ἄστυ καλλίβωλον
Ἴδας ὄρος ἱερὸν,
Ὥς σ' ὀλόμενον στένω,
Ἁρμάτειον ἁρμάτειον μέλος
Βαρβάρῳ βοᾷ,

* MS. τριγλύφοις.
* MS. κυκλοῖ.

Phr. Effugi Argivum ensem ex morte,
In barbaris calceis,
Supra cedrina fastigia thalamorum,
Doricaque pinnacula.
Evanida, evanida terra terra
Barbaris fugientibus.
Heu, heu, quò effugiam, ô hospitæ,
Per canum æthérem volitans,
An per pontum, quem Oceanus
Habens taurinum caput cubitis
Circumdans amplectitur terram?
Cho. Quid est Helenæ minister Idæe?
Phr. Ilium, Ilium, heu mihi
Phrygia urbs, habens bonam glebam,
Sacer mons Idæ,
Quàm doleo te periisse,
Lugubre lugubre carmen
Barbaricâ voce,

Ἀργεῖον ξίφος] τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικὰ, καὶ μετρικὰ ἄτακτα. εἰσὶ δὲ καὶ ἀνομοιόστροφα. οὐ γὰρ ἔχει θέσιν πρὸς τὸ ἑξῆς. τὰ δὲ κῶλα τῆς παρούσης στροφῆς εἰσὶν ια. τὸ α ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δ, παίωνος β, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ διτροχαίου. τὸ β τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ δ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ε δακτυλικὸν τρίμετρον ἐκ σπονδείων. τὸ ς τροχαϊκὸν ἑφθημιμερὲς ἰθυφαλλικόν. τὸ ζ ὅμοιον ἑφθημιμερές. τὸ η ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου, τοῦ δὲ τελευταίου ἀδιαφόρου. εἰ δὲ βέλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ καὶ β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. τὸ θ ἰαμβικὸν ἑφθημιμερές, τοῦ γ ποδὸς χορείου. τὸ ι παιωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ δακτύλου. ἐπὶ τῷ τέλει παράγραφος. ἐν εἰσθέσει στίχος ἴαμβος τρίμετρος. Ἀργεῖον ξίφος] ἐντεῦθεν φασὶν ἐξίσει τοῦ ἰδίου ἔθους ὁ Εὐριπίδης, ἀνδρικὰ ἑαυτοῦ λέγων. Κεδρωτὰ] τὰ ἐκ κέδρου ξύλα. παστάδων δὲ τῶν κοιτώνων. τέρεμνα δὲ τὰς ὑψηλὰς οἰκίας, ἀντὶ τοῦ ὑπὲρ τερέμνων. ταῦτα ἴσα φησὶν, ὡς ὑπερπηδήσας τῶν ἔξω τινὸς οἴκων. παστάδων γὰρ, τῶν θαλάμων. Αἰσχίνης δὲ τὴν ὑπὲρ ἀντὶ τῆς περὶ φησὶν, ἵν' ᾖ ἀντὶ τοῦ περὶ τερέμνων. τριγλύφους δὲ, ἐπεὶ τῶν Δωριέων γλυφή τις ἦν, ἣ ἐκαλεῖτο τρίγλυφος, ἢ ὡς τῶν Δωριέων καταδειξάντων τὰς γλυφὰς τῶν ὀρόφων. εὐμαρεῖς δὲ εἶδος ὑποδήματος σανδαλώδους. πεποίηται δὲ ἀπὸ τοῦ εὐμαρῶς ὑποδεῖσθαι. 1373 Φροῦδα γᾶ] διχῶς ἄν τις τοῦτο ἐνδέξαιτο. καθ' ἕνα μὲν τρόπον, ὅτι ἡ γῆ τῶν Ἀργείων, ἀφανής ἐστι τοῖς βαρβάροις δραπετεύουσι, καθὸ ἀπείρατοι τῶν τόπων. ἐπεὶ ὑπερβαίνει τὰ βασίλεια, καὶ διὰ τοῦ ἐδάφους τὴν πορείαν ποιεῖται. διὰ τὸ ὕψος ἀφανῆ φησιν εἶναι τὴν γῆν αὐτῷ. τὸ δὲ βαρβάροισι δρασμοῖς, πρὸς τὸ ἑπόμενον ληπτέον, ὅτι βάρβαρος ὢν οὐκ οἶδα ποῦ φύγω. καὶ γὰρ οὐκ εἰμὶ τῶν τόπων ἴδρις. ἢ οὕτως, ἐπεὶ μὴ διὰ γῆς ποιεῖται τὴν πορείαν, ἀλλ' ὑπερβὰς ἥλλατο, ἀφανῆ φησιν εἶναι ἑαυτῷ τὴν γῆν. ἢ τὸ φροῦδα γᾶ ἐπὶ τοῦ Ἰλίου φησίν. ἐρωτώμενος γὰρ, τὸ ἐμοὶ, φησὶν, Ἴλιον Ἴλιον ὤμοι μοι, τουτέστιν ἐμοῦ τοῦ βαρβάρου φροντίζοντος πάνυ ἀφανὴς καὶ ἡ πατρίς. Ταυρόκρανος] τοῦτο ἔξωθεν ὁ ποιητὴς πρὸς ἀναπλήρωσιν τοῦ ἰάμβου προστέθηκεν. οὐ γὰρ ἁρμόττει τῷ Φρυγὶ ἀμαθεῖ ὄντι τοῦτο λέγειν. ἀναστρεπτέον δὲ τὴν λέξιν, τουτέστιν ἐν Ὠκεανῷ, ὃς ταυρόκρανος ὢν, ἑλίσσων κυκλοῖ χθόνα. καὶ ἴσως δὲ ποταμὸν ὑπέλαβε τὸν Ὠκεανόν. καὶ Ὅμηρος, ὅτε τις ἦν ποταμῶν ἀπέβη, ῥόος Ὠκεανοῖο. ὅτι δὲ κύκλῳ περιρρεῖ τὴν οἰκουμένην, ἐσήμανε τὸ ἀψορρόου Ὠκεανοῖο. ἐπιεικῶς δὲ τοὺς ποταμοὺς ταυροκεράτας ἐζωγράφουν τε, καὶ ἔλεγον, ἴσως ὅτι παραπλήσια τῷ μυκήματι τῶν ταύρων, ἡ ἀπήχησις τοῦ ὕδατος ποιεῖ, ἐν τοῖς σφοδρῶς ῥέουσι ποταμοῖς. ἢ διὰ τὸ βίαιον τῶν ὑδάτων, ἀπὸ τὴν γῆν διαρρήσσουσι, παρεμπίπτοντα ὡς τοῖς κέρασιν οἱ ταῦροι. ὡς γὰρ φησὶν ἐν ἄλλοις, ταῦροι δ' ὑβρισταὶ, κεἰς κέρας θυμούμενοι. ἐν γὰρ αὐτοῖς ἔχουσι τὴν ἰσχύν. 1381 Ἴλιον Ἴλιον] καὶ ἡ παροῦσα στροφὴ μονόστροφος ἐστὶ κώλων ιε. τὸ α ἀναπαιστικὸν ἑφθημιμερές. τὸ β τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου. τὸ γ ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ καὶ χορείου, ἢ ἀναπαιστικοῦ διὰ τὴν ἀδιάφορον. τὸ δ τροχαϊκὸν, ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ε ὅμοιον τῷ β, τροχαϊκὸν καθαρόν. τὸ ς ἀναπαιστικὸν δίμετρον καταληκτικὸν, ἐξ ἀντισπάστου καὶ κρητικοῦ. εἰ δὲ βέλει τροχαϊκὸν ὅμοιον τῷ δ, ἰάμβου ἀρχομένου. τὸ ζ ἰωνικὸν ἀπὸ μείζονος, τρίμετρον καταληκτικὸν ἐκ παίωνος δ, ἰωνικοῦ καὶ ἀμφιβράχεος, ἢ βακχείου διὰ τὴν ἀδιάφορον. τὸ η ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ θ ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ γ ποδὸς χορείου. εἰ δὲ βέλει, ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου γ, καὶ παίωνος α. τὸ ι παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ σπονδείου. τὸ ια τροχαϊκὸν ὅμοιον τῷ ε. τὸ ιβ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιγ παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παιώνων δ. τὸ ιδ δακτυλικὸν τετράμετρον καθαρόν. τὸ ιε ὅμοιον ἑφθημιμερὲς, ὃ καλεῖται λογαοιδικὸν, διὰ τὸ ἔχειν ἐπὶ τῷ τέλει τροχαϊκὴν συζυγίαν. ἐπὶ τῷ τέλει παράγραφος. ἐν εἰσθέσει δὲ στίχοι ἴαμβοι τρίμετροι β. εἶτα παράγραφος. Ἴλιον, Ἴλιον] τὸ Ἴλιον λέγει, καὶ τοῦτο εἰπὼν ἐπιστένει. σαφὲς δὲ ἐκ τοῦ καὶ πάλιν ἐρωτηθέντα ὑπὸ τοῦ χοροῦ, τί δ' ἐστὶν Ἑλένης πρόσπολε εἰπεῖν, Ἴλιον Ἴλιον ὤμοι μοι βαρβάροισι δρασμοῖς. βάρβαρος ὢν, καὶ φυγεῖν θέλων, ποῦ φησὶ φύγω ὦ ξέναι. τὸ δὲ αἲ αἲ ἐπιστένων λέγει. Ἴλιον Ἴλιον] ἐρωτηθεὶς ὁ Φρὺξ ὑπὸ τοῦ χοροῦ πάλιν, εἶπεν Ἴλιον Ἴλιον ὤμοι. τὸ, τὸ Ἴλιον καὶ τὴν καλλίβωλον Ἴδην, τῇ ἑαυτοῦ βαρβάρῳ φωνῇ στένω. ὁ δὲ λόγος, στένω τὰ εἰρημένα ἀπολόμενα διὰ τὸ τῆς Ἑλένης κάλλος, καὶ τὸ ἁρμάτειον μέλος, τὸ ἐπὶ τοῖς κακοῖς ᾀδόμενον. πρὸς δὲ τοῦτο παρεπιγράφον εἶναι φασὶν εἰς τὰ κωμικὰ δράματα. 1385 Ἁρμάτειον μέλος] τὸ ἁρμάτειον μέλος ὁ Δίδυμος φησὶν αἰνιγματῶδες. ὅτι αἱ ἀρχαῖαι παρθένοι εἰς τοὺς θαλάμους διὰ τῶν ἁρμάτων ἤγοντο. ὅθεν ἔτι καὶ νῦν πάροχοι λέγονται ἀπὸ τοῦ τοῖς ὄχεσι παρεδρεύειν, ὡς ἐπιθαλάμιοι ἐν τοῖς θαλάμοις. ὅθεν τοίνυν ὁ βάρβαρος, ἐπειδὴ συνέβη ὁ τῆς Ἑλένης γάμος, ὃν Πάρις συνετέλεσεν ἐπὶ κακῷ τοῖς Τρωσὶ γενέσθαι, καὶ τὸν αὐτοῖς ὑμέναιον ᾀσθέντα, κατὰ ἀνάμνησιν ἀνασκευάζει, τὸν ἐπὶ κακῷ τοῖς Τρωσὶν ὑμέναιον ἐπιτελεσθέντα. ἔνιοι δὲ ἁρμάτειον τὸν θρῆνον φασὶ, τὸν ἐπὶ τῷ ἑλκυσμῷ τοῦ Ἕκτορος γενόμενον. Ἀπολλόδωρος δὲ ὁ Κυρηναῖος ἐπιγράφει, λέγων εἶναι ἁρμόδιον, ὦ Ἴλιον. εἰ δὲ ἦν παρεπιγραφὴ, ἅπαξ ἂν ἐπεγέγραπτο τὸ Ἴλιον ἀπώλεσεν. ἔνιοι δὲ τὸν Φρύγα τὸν ἐκπεπηδηκότα εὐνοῦχον φασί. τοὺς δὲ εὐνούχους ἐπιεικῶς ὀξυφώνους ὑπάρχειν. τὸ οὖν ὀξύτονον ἁρμάτειον αὐτὸν φάναι, διὰ τὸ τὸν ὑπαξόνιον τῶν ἁρμάτων ἦχον ἀνατεταμένον τι καὶ ὀξὺν εἶναι. ὅτι δὲ εὐνοῦχος ἦν, φησὶν, Οὔτε γὰρ γυνὴ πέφυκας, οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ. καὶ πάλιν, Ὀξὺ γὰρ βοῆς ὑπακούσαν Ἄργος ἐξεγείρεται. εἰσὶ δὲ καὶ ἄλλαι αἰτίαι, ἃς ἐκτίθεται ὁ ὑπομνηματοποιός. ὁ λόγος οὕτως, τὸ Ἴλιον καὶ τὴν Ἴδην, ἔτι δὲ καὶ τὸν Ἕκτορα, καὶ τὸ ἐπὶ τῷ ἑλκυσμῷ τούτου μέλος θρηνῶ βαρβάρῳ βοῇ.

ANNOTATIONES.

V. 1372. Δωρικάς τε τριγλύφους] τρίγλυφος ἢ & τὸ τρίγλυφον de quibus vid. *Scholiast.* Sicut autem cum *Schol.* & *Heinsii* codice τριγλύφους lego, non τριγλύφοις, ita Δωρικάς retineo contra *Heins.* & *Scalig.* quia γλυφὰς intelligitur in τριγλύφοις. De *Triglyphis* præter Lexica vide *Vitruvium* l. 1. c. 2. & l. 4. c. 1. Illásque in illos locos Interpretes *Philandrum, Baldum* & *Laet.* Item *Andr. Schotti* Observat. Human. l. 5. c. 26. *Eurip.* Iphig. Taur. V. 113. Ὅρα δέ γ' εἴσω τριγλύφων. *Jos. Barnes.*

V. 1378. Ταυρόκρανος ὠκεανός] Quare hic *Oceanus* dicitur ταυρόκρανος vid. *Scholiasten.* Et quæ not. ad *Iphig. Aul.* V 275. *Idem.*

Διὰ τὸ τᾶς * ὀρνιθογόνου ὄμμα

Κυκνοπτέρου, καλλοσύνας Λήδας σκύμνου

Δυσελένας, ξεστῶν Περγάμων Ἀπολ-

λωνίων Ἐρινύν. Ὀτοτοῖ.

Ἰαλέμων, ἰαλέμων Δαρδανία τλάμων,

Γανυμήδεος ἱπποσύνα Διὸς εὐνέτα.

Χο. Σαφῶς λέγ᾽ ἡμῖν αὔθ᾽ ἕκαστα τἀν δόμοις·

Τὰ γὰρ πρὶν οὐκ εὔγνωστα συμβαλοῦσ᾽ ἔχω.

Φρ. Αἴλινον αἴλινον, ἀρχὰν θανάτου.

Βάρβαροι λέγουσιν αἶ αἶ,

Ἀσιάδι φωνᾷ, βασιλέων

Ὅταν αἷμα χυθῇ κατὰ γᾶν

Ξίφεσι σιδαρέοισιν κατ᾽ ἀΐδου.

Ἦλθον εἰς δόμους, ἵν᾽ αὔθ᾽ ἕκαστά σοι λέγω,

Λέοντες Ἕλληνες δύο διδύμω·

Τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐκλῄζετο,

Ὁ δὲ παῖς Στροφίου, κακομήχανος ἀνήρ,

Οἷος Ὀδυσσεύς, σιγᾷ δόλιος,

Πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκάν·

Ξυνετὸς πολέμου, φόνιός τε δράκων.

* MS. ὀρνιθόγονον

Propter oculum ex-Ave-Natæ

A-Cygno-ortæ, formoſæ Ledæ filiæ

Infelicis Helenæ, pulchrè-fabricatorum Murorum Apollineorum Furiam, i. e. *Oculum illum Helenæ*, i. e. *Helenam*. Heu!

Vociferatio lugubris, lugubris vociferatio. O miſera Dardania

Equeſtris, altrix *Ganymedis* Jovis concubini.

Ch. Clarè dic nobis rurſus ſingula in ædibus quomodo ſe habeant,

Non enim facilè conjicio priora.

Phr. Heu heu, principium mortis

Barbari dicunt, heu heu,

Aſiaticâ voce, regum

Quando ſanguis effunditur in terram

Enſibus ferreis ad Plutonem.

Venerunt in domum (ut rurſus tibi ſingula dicam)

Duo leones Græci, gemini:

Pater alterius vocabatur dux (Græciæ)

Alter filius Strophii, doloſus vir

Sicut Ulyſſes, tacitè doloſus,

Sed fidus amicis, & audax ad pugnam:

Peritus pugnandi, & lethalis draco.

Διὰ τὸ τῆς ὀρνιθογόνου] οὕτω φησὶ τὸ Ἴλιον ἀπολόμενον διὰ τὴν δυσώνυμον Ἑλένην, δι᾽ ἣν καὶ ὁ Ἕκτωρ ἀνῃρέθη. εὕρηται δὲ ἑξῆς τοῦ ῥητοῦ διὰ τῆς ὄρνιθος τὸ κυκνόπτερον ὄμμα καλλοσύνας Λήδας. ὄμμα δὲ λέγει, ἀπὸ τοῦ ἐκπρεπεστάτου μάλιστα μέρους αὐτὴν ὀνομάσας. ὀρνιθόγονον δὲ αὐτὴν εἶπεν, ὅτι μεταβληθεὶς ὁ Ζεὺς εἰς κύκνον, ἐγέννησεν αὐτὴν τῇ Λήδᾳ συνελθών· τὸ δὲ ὀρνιθόγονον, καὶ κυκνόπτερον, τὸ αὐτὸ σημαίνει. τινὲς δὲ τὸ ὀρνιθόγονον ἐπὶ τῆς Λήδας ἐξεδέξαντο. φασὶ γὰρ αὐτὴν εἰς Νέμεσιν μεταβληθεῖσαν, οὕτω συνελθεῖν τῷ κύκνῳ. καλλοσύνας δὲ, ἀντὶ τοῦ περικαλλεστάτης· ὁ δὲ λόγος, οὕτω τὸ Ἴλιον τὸ ἀπολόμενον διὰ τὸ τῆς δυσωνύμου Ἑλένης κάλλος, ἣν ἐγέννησε κύκνος, τῇ περικαλλεστάτῃ Λήδᾳ συνελθών· σκύμνου δὲ ἀπεῖκασεν αὐτὴν, τὸ ὀλέθριον αὐτῆς αἰνιττόμενος. ἐπὶ γὰρ ὀλέθρῳ τῆς Ἰλίου, ὥσπερ τι θηρίον ἐγεννήθη, σκύμνοι δὲ κυρίως τὰ τῶν λεόντων γεννήματα. Ἀπολλωνίων· Ἀπολλώνιον φασὶ τὸ Πέργαμον, καὶ τῆς Ἰλίου τὴν ἀκρόπολιν. ἐπεὶ Ἀπόλλωνος ἐκεῖ ἱερὸν ἐκεῖτο, ὡς Ὅμηρος, Περγάμῳ εἰν ἱερῇ, ὅθι οἱ νηός γ᾽ ἐτέτυκτο. ἢ ἐπεὶ ὁ Ἀπόλλων τὰ τείχη ᾠκοδόμησεν. ἢ Ἀπολλωνίων, τῶν ἀπολωλότων, ὡς ἐν τῷ Φαέθοντι φησίν,

* Ὦ χρυσοφεγγὲς Ἥλι᾽, ὥς μ᾽ ἀπώλεσας,
Ὅθεν σ᾽ Ἀπόλλων᾽ ἐμφανῶς κλῄσει βροτός.

Ὀτοτοῖ] ἐπιφώνημα ἐστὶ θρηνητικόν. καὶ ἰάλεμος, ὁ θρῆνος. Δαρδανία δὲ πόλις πλησίον τῆς Τροίας, ἀπὸ Δαρδάνου βασιλεύσαντος ἐκεῖσε, ἔνθα ἱπποσύνην φασὶν εἶναι τῶν Γανυμήδους ἵππων, ὃς ἦν ξυνευνέτης τοῦ Διός. ἀναφέρει δὲ ἐπὶ τὰ Ὁμηρικά, † δῶχ᾽ υἷος ποινὴν Γανυμήδεος. θρηνεῖ δὲ τὸν Δάρδανον, καὶ αὐτὸν ἀπολόμενον ἐν τῷ πολέμῳ. τὸ ἑξῆς, ὦ Δαρδανία τοῦ συνευνέτου τοῦ Διὸς Γανυμήδους ἱππόσορβε. δυστυχεστάτη ἕνεκεν τῶν ἰαλέμων, ὅ ἐστι θρήνων. ἢ ὁ λόγος οὕτως, ἰαλέμων, ἰαλέμων καὶ δυστυχεστάτη σὺ, ἱππικωτάτη Δαρδανία, ἥ τις ὑπῆρχες τοῦ Γανυμήδους, καὶ τὰ ἑξῆς. ἢ τίνων ἱππικὴν τὴν Δαρδανίαν φησί, ἢ τοῦ ἱπποσύνου Γανυμήδους, τουτέστιν ἱππικοῦ. τὴν αὐτὴν δὲ φησὶ Τροίαν, καὶ Δαρδανίαν. Ἰαλέμων] τῶν θρήνων. ἀπὸ Ἰαλέμου τῆς Καλλιόπης καὶ Ἀπόλλωνος. τινὲς δὲ τοῦτον τὸν αὐτὸν τῷ Λίνῳ φασίν, ὃν καὶ ἐπὶ θρήνῳ λέγουσι. Ἱπποσύνα Διὸς εὐνέτα] τινὲς οὐχ ἵππους, ἀλλὰ χρυσῆν ἄμπελον φασὶ δεδόσθαι ὑπὲρ Γανυμήδους. καθάπερ ἐν κύκλῳ λέγει, Ἄμπελον ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα, Χρυσείην φύλλοισιν ἀγαυοῖσι κομόωσαν Βότρυσι, τοὺς Ἥφαιστος ἐπασκήσας πατρὶ δῶκεν· Αὐτὰρ ὁ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί. Σαφῶς] φανερῶς εἰπὲ ἡμῖν ἕκαστα τὰ ἐν τοῖς οἴκοις γενόμενα. τὰ γὰρ πρότερον οὐκ εὐγνώστως ἐνόησα. 1395 Αἴλινον, αἴλινον] καὶ ἡ παροῦσα στροφὴ μονόστροφος ἐστὶ κώλων λβ. τὸ α ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. εἰ δὲ βούλει, ἀσυνάρτητον, ἐκ δακτυλικῆς καὶ ἀναπαιστικῆς βάσεως. τὸ β τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ ἰαμβικὸν πενθημιμερὲς τοῦ α ποδὸς χορείου. τὸ δ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἔχον συνίζησιν κατὰ τὸν α πόδα. τὸ ε ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου, τοῦ δ ἀναπαίστου. τὸ ς τροχαϊκὸν τρίμετρον ὑπερκατάληκτον. τὸ ζ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ η ἰαμβικὸν τρίμετρον ἀκατάληκτον, ἔχον κατὰ τὸν ε πόδα συνίζησιν. τὸ θ ἀναπαιστικὸν ἑφθημιμερές. τὸ ι ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ δ ποδὸς χορείου, ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ια ὅμοιον καθαρόν. τὸ ιβ ὅμοιον ἀσυνάρτητον, ἐξ ἀναπαιστικῆς βάσεως, ἢ δακτυλικῆς. δύο γὰρ εἰσὶ σπονδεῖοι, καὶ ἰαμβικοῦ πενθημιμερές. τὸ ιγ ὅμοιον. τὸ ιδ ἰαμβικὴ βάσις, ἤτοι μονόμετρον. τὸ ιε τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. τὸ ις ὅμοιον δίμετρον ὑπερκατάληκτον. τὸ ιζ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη ὅμοιον, δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές. τὸ ιθ ὅμοιον τρίμετρον καταληκτικόν, τοῦ β ποδὸς χορείου. ἴαμβος γάρ ἐστι τρίμετρος ἐλλιπὴς μιᾷ συλλαβῇ. τὸ κ ὅμοιον τῷ ις. τὸ κα ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τριῶν χορείων, καὶ ἰάμβου. τὸ κβ ὅμοιον ἐκ δύο χορείων, καὶ ἀναπαίστου καὶ ἰάμβου, καὶ πυρρίχιον διὰ τὴν ἀδιάφορον. τὸ κγ ὅμοιον ἐκ δ χορείων. τὸ κδ δακτυλικὸν δίμετρον. εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ κε ὅμοιον τῷ ιθ. τὸ κς ἀντισπαστικὸν μονόμετρον, ὑπερκατάληκτον καθαρόν. τὸ κζ, τὸ κη, τὸ κθ, τὸ λ, τὸ λα, καὶ τὸ λβ ὅμοια εἰσὶ κατὰ πάντα. καὶ εἰσὶν ἰωνικὰ ἡμιόλια, ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β. ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος, καὶ ἰάμβου. πλὴν τὸ μὲν κη κῶλον, ἀντὶ ἰάμβου ἔχει πυρρίχιον, διὰ τὴν ἀδιάφορον. τὸ δὲ λα χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἐν εἰσθέσει στίχος ἴαμβος τρίμετρος. Αἴλινον αἴλινον] ὁ λόγος οὕτως. εἰώθασιν οἱ βάρβαροι τὸν αἴλινον ἐν ἀρχῇ θρήνου λέγειν, οἰκείως τῇ ἑαυτῶν βαρβάρῳ φωνῇ, ὅτε τις βασιλείας ἀνῃρημένος τύχῃ· κἀγὼ οὖν ἀπολλυμένην τὴν Ἑλένην στενάζω. τὸν λίνον τινὲς ἐπίθετον ἐπὶ τοῦ ὕμνου, καὶ τοῦ θρήνου, νῦν μέντοι ἐπὶ συμφοραῖς αὐτὸν καὶ θρήνοις τάττει. Ἀσιάδι φωνῇ] ἀντὶ τοῦ βαρβάρῳ. ἡ γὰρ Ἀσία τῆς βαρβάρων χώρας. ἡ δὲ Εὐρώπη τῶν Ἑλλήνων. Ἀΐδᾳ. τοῖς θάνατον ἐργαζομένοις. Δύω διδύμω] τουτέστιν Ὀρέστης καὶ Πυλάδης. τοῦ μὲν πατὴρ ὁ βασιλεὺς Ἀγαμέμνων ἐπωνομάζετο, ὁ δὲ Στροφίου ἦν παῖς. κακόβουλος δὲ, ὁ κακὰ κατὰ τῆς Ἑλένης βουλευσάμενος. 1404 Σιγᾷ δόλιος] τουτέστι, τῇ σιγῇ ἔμπειρος τῶν πόνων. Ξυνετὸς] ἔμπειρος πολέμου.

* Ita manifeſtè corruptum locum reſtitui ex *Macrobio* Saturn. l. 1. c. 17. aliàs enim fateor me paratum legere, ultimum verſiculum, Ἐκ τοῦδ᾽ Ἀπόλλων᾽ ἐμφανῶς κλῄζει βροτός. Legitur & καλλιφεγγὲς pro χρυσοφεγγὲς. *Joſ. Barnes.* † Il. υ. V. 266.

ANNOTATIONES.

V. 1389. Δυσελένας] Hic *Euripides Homerum* imitatur, qui dixit Ὦ Πάρι, Δύσπαρι.

V. 1392. Ἱπποσύνα] Vel ut lib. *Heinſ. Scalig.* πῶλοις per appoſitio-nem ſubaudi, ut ἱπποσύνα pro ἱπποσύνος ſit Epithet. certè Ἑλλὰς γ ſunt pro ἑλληνικά. *Joſ. Barnes.*

Ἔῤῥοι τᾶς ἡσύχου προνοίας, κακοῦργος ὤν.
Οἳ δὲ, πρὸς θρόνους ἔσω μολόντες,
Ἃς ἔγημ᾽ ὁ τοξότας Πάρις,
Γυναικὸς, ὄμματα δακρύοις
Πεφυρμένοι, ταπεινοὶ
Ἕζονθ᾽, ὁ μὲν τὸ κεῖθεν, ὁ δὲ τὸ κεῖθεν,
Ἄλλος ἄλλοθεν πεφραγμένοι.
Περὶ δὲ γόνυ χέρας ἱκεσίους
Ἔβαλον ἔβαλον Ἑλένας ἄμφω.
Ἀνὰ δὲ δρομάδες ἔθορον ἔθορον
Ἀμφίπολοι Φρύγες.
Προσεῖπε δ᾽ ἄλλος ἄλλον,
Πεσὼν ἐν φόβῳ,
Μή τις εἴη δόλος.
Κἀδόκει τοῖς μὲν, οὔ,
Τοῖς δ᾽ ἐς ἀρκυστάταν
Μηχανὰν ἐμπλέκειν
Παῖδα Τυνδαρίδ᾽ ὁ μητροφόντας δράκων.
Χο. Σὺ δ᾽ ἦσθα ποῦ τότ᾽, ἢ πάλαι φεύγεις φόβῳ;
Φρ. Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
Παρὰ βόστρυχον αὔραν αὔραν
Ἑλένας Ἑλένας εὐπαγεῖ κύκλῳ
Πτερίνῳ πρὸ παρηΐδος ᾄσσων,
Βαρβάροισι νόμοισιν.
Ἃ δὲ λίνον ἠλακάτᾳ
Δακτύλοις ἕλισσεν,
Νήματα δ᾽ ἵετο πέδῳ,
Σκύλων Φρυγίων ἐπὶ τύμβον
Ἀγάλματα συστολίσαι

Pereat ob tacitam providentiam, cum ſit maleficus.
Illi verò intrò venientes ad thronum
Ejus, quam habuit jaculator Paris,
Mulieris, oculos lacrymis
Madefacti, humiles
Sederunt: alter hinc, alter illinc,
Alius aliundè armati:
Et manus ſupplices ad genu
Helenæ poſuerunt, poſuerunt ambo.
Celeres autem cucurrerunt, cucurrerunt,
Miniſtri Phryges:
Allocutus eſt autem alius alium,
Incidens in metum,
Nè quis eſſet dolus:
Aliis videbatur non eſſe,
Aliis in retiariam
Machinam implicare
Filiam Tyndari draco matricida.
Cho. Ubi tu tunc eras? an jam effugeras metu?
Phr. Phrygio, Phrygio more
Ad comam, auram auram,
Helenæ Helenæ, circulo benefacto
Flabello, ad genam ciebam,
Barbaro more.
Illa verò linum in colo
Digitis volvebat,
Et fila mittebat ad ſolum,
Ex prædâ Phrygiâ ad tumulum
Monumenta facere

Ἔῤῥοι τᾶς ἡσύχου] φθειρέσθω φησὶν οὗτος ἐπὶ κακουργίᾳ ἔμπειρος ὤν, προνοούμενος τῆς ἡσυχίας ἐπὶ κακῷ. Ἄλλως. Διαφθαρείη ὑπὸ τῆς ἡσύχου προνοίας. ἥσυχον δὲ αὐτὴν φησὶ, τὴν ἀπροσδοκήτως πάντα ἀμυνομένην. πρόνοιαν δὲ τὴν εἱμαρμένην. τινὲς δὲ οὕτως. οἰμωζέτω κακοῦργος ὤν, μετὰ ἡσύχου προνοίας. ὁ σύνδεσμος ὁ δὲ ἀντὶ τοῦ δή. ἵν᾽ ᾖ, οἱ δή. οὗτοι δὲ φησὶν ἔνδον εἰσελθόντες εἰς τὸν θάλαμον, ἧς ἔγημε γυναικὸς τοξότης Πάρις, τοὺς ὀφθαλμοὺς δακρύων πεπληρωμένοι, καὶ τῷ σχήματι ταπεινοὶ, ἔζοντο παρ᾽ ἑκάτερον μέρος τῆς Ἑλένης. ὁ μὲν ἐκ δεξιῶν, ὁ δὲ ἐξ εὐωνύμων, πεφραγμένοι ξίφεσιν. 1416 Ἀνὰ δὲ δρομάδες] τὸ ἑξῆς, ἀνέθορον δὲ πάντες, καὶ οἱ θεράποντες ἀνεπήδησαν παραχρῆμα, καὶ ταχέως ὥσπερ δρομάδες ἵπποι φοβηθέντες. Μή τις εἴη δόλος] οἱ μὲν φησὶ τῶν οἰκετῶν οὐκ ᾤοντο δόλον εἶναι. οἱ δὲ ὑπενόησαν τὴν Ἑλένην μέλλειν ὑπὸ τοῦ Ὀρέστου δολοφονεῖσθαι ὥσπερ ἐν ἄρκυσι ζωγρηθεῖσαν. ἄρκυς γὰρ τὸ λίνον. Τοῖς δ᾽ ἐδόκει] τοῖς δὲ ἐδόκει Ὀρέστης ἐν ἀσφαλεστάτῃ δικτύων μηχανῇ, καὶ περιβλήματι λίνου ἐμπλέκειν καὶ ἐμβάλλειν τὴν Ἑλένην, ἐπὶ εἰς ἀρκυστάτην μηχανὴν, καὶ ὡς περίβλημα λίνου. ἐπὶ εἰς δολοφονίαν. ἄρκυς γὰρ τὸ δίκτυον. 1425 Σὺ δ᾽ ἦσθα] σὺ δὲ παρῆς τοῖς γινομένοις. ἢ ἤκουσας παρ᾽ ἑτέρου πάλαι. ἄλλως, σὺ ποῦ ὑπῆρχες, ἢ ἐκ μακροῦ φεύγεις ἐν φόβῳ γενόμενος δηλονότι, αἱ δὲ λέξεις δηλονότι παρὰ ἄλλου ἤκουσας. Φρυγίοις ἔτυχον. καὶ ἡ παροῦσα στροφὴ μονόστροφος ἐστὶ κώλων λα. τὸ α ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β καὶ τὸ γ καὶ τὸ δ, ὅμοια δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ. τὸ ε τροχαϊκὸν ἰθυφαλικόν. τὸ ς προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος α, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου. τὸ ζ ὅμοιον τῷ ε ἰθυφαλικόν. τὸ η προσοδιακὸν, ἐναντίον τῷ προῤῥηθέντι, ἐκ χοριάμβου καὶ παίωνος δ, ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος· εὕρηται γὰρ καὶ παρὰ Πινδάρῳ τὸ προσοδιακὸν, καὶ ἀπ᾽ ἐλάττονος συγκείμενον, καὶ οὐ μόνον ἀπὸ μείζονος. τὸ θ, ὅμοιον τῷ β. εἰ δὲ βούλει, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος χοριάμβου καὶ συλλαβῆς. τὸ ι ὅμοιον τῷ ς, ἐκ παίωνος β, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου. εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἐξ ἰάμβου ἀρχόμενον. τὸ ια ἀναπαιστικὴ βάσις, τὸ ιβ παιωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ, καὶ χορείου ἢ ἀναπαίστου, διὰ τὴν ἀδιάφορον. εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερὲς, ἐκ τροχαίου καὶ δύο βραχέων ἀντὶ μιᾶς μακρᾶς. τὸ ιγ δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον, ἢ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιδ ἰωνικὸν ἡμιόλιον. ἐκ παίωνος β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ σπονδείου. εἴη ἂν καὶ ἰαμβικὸν πενθημιμερές. τοῦ β ποδὸς ἀναπαίστου. τὸ ιε ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ τριῶν χορείων. τὸ ις ὅμοιον. τὸ ιζ, ιη, ιθ ἐξ ἐπιτρίτου α καὶ ἰάμβου. τὸ κ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου καὶ κρητικοῦ. τὸ κα ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, καθαρόν. τὸ κβ τροχαϊκὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ κγ ὅμοιον, δίμετρον καταληκτικὸν Εὐριπίδειον, τοῦ α ποδὸς χορείου. τὸ κδ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. οὕτω γάρ μοι δοκεῖ ταῦτα βέλτιον εἶναι γράφειν. τὸ γὰρ κακὸς σπονδεῖος μόνον ἀδιάγνωστόν ἐστι, τίνος ἂν εἴη μέτρου, εἰ καὶ δοκεῖ ἀντισπαστικόν. τὸ κε ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ κς ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, συνίζησιν ἔχον ἐν τῷ α ποδί. εἰ δὲ βούλει, ἔσω ὁ β ἀνάπαιστος. τὸ κζ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ κη, καὶ τὸ κθ τροχαϊκὰ, καὶ ἰθυφαλικά. τὸ λ τροχαϊκὸν πενθημιμερές. τὸ λα ἰαμβικὸν, ὅμοιον τῷ κς. ἐπὶ τῷ τέλει παράγραφος. καὶ ἐν εἰσθέσει, ἴαμβος τρίμετρος. 1427 Παρὰ βόστρυχον] παρὰ τὸν βόστρυχον φησὶ τῆς Ἑλένης πλησίον τῆς παρηΐδος αὐτῆς, αὔραν ἔπεμπον τῇ ῥιπίδι. πτερίνῳ δὲ εἶπε, παρόσον αὕτη ἐκ πτερῶν ὑπάρχει συντεθειμένη. εὐπαγεῖ δὲ κύκλῳ, ἤτοι καλῶς πεπηγμένῳ, καὶ συντεθειμένῳ. κυκλοτερὴς γὰρ ἡ ἐκ τῶν πτερῶν ῥιπίς. ἡ δὲ πρὸ ἀντὶ τῆς κατὰ, ὅ ἐστι κατὰ τοῦ προσώπου αὐτῆς πνοὴν ἐκπέμπων. τὸ γὰρ ἑξῆς αὔραν ᾄσσων, ἀντὶ τοῦ πνοὴν ἐκπέμπων. Σκύλων Φρυγίων] ἀντὶ τοῦ τὰ ἀπὸ τῆς λαφυραγωγίας τῶν βαρβάρων νήματα, καὶ λίνα. ἤτοι ἀπὸ τῶν Φρυγίων σκύλων, βουλομένης συῤῥάψαι ἐνδύματα πορφυρᾶ, ὅπως ἐπὶ τῷ τάφῳ ἀναθῇ τῆς Κλυταιμνήστρας. Ἄλλως. Τὰ δὲ νήματα ἵετο, ἀντὶ τοῦ κατέπεμπε, καὶ κατησπευσμένως ἐχαλᾶτο ἐν τῷ πέδῳ διὰ τὸν τύμβον. ἀπὸ δὲ τοῦ τύμβου τὸ σῶμα τῆς Κλυταιμνήστρας δηλοῖ. ἀγάλματα δὲ, ἀντὶ τοῦ ἀγάλμασι. καλλώπισμα γάρ ἐστιν ἡ κηδεία τοῦ νεκροῦ σώματος. ὁ δὲ λόγος, τὰ δὲ νήματα καὶ τὰ λίνα τὰ ἐκ Φρυγίας εἰργάζετο διὰ τῆς Κλυταιμνήστρας τὸ σῶμα. ἵνα τοῦτο συστείλῃ, καὶ κηδεύσῃ αὖθις, λαμπροῖς ἱματίοις, καὶ φάρεσι πορφυρέοις.

ANNOTATIONES

V. 1407. Ἔῤῥοι τᾶς ἡσύχου προνοίας] ſub. ἕνεκα. Vid. infra V. 1573.

V. 1422. Ἀρκυστάταν μηχανὰν] Portus [illegible] pro ἀρκυν ἀρκυστάτην autem retiariam ab ἵστημι vertit, eodem modo [illegible] Montanus ab [illegible] Reverâ autem non comprantur. Joſ. Barnes.

V. 1424. Παῖδα] alii legunt παιδὶ, eodem recidit. Utroque enim modo Oreſtes dici poteſt ἐμπλέκειν Τυνδαρίδι μηχανὰν & ἐμπλέκειν τὴν Τυνδαρίδα εἰς μηχανὰν, & ſic τὸ εἰς ſubauditur. Joſ. Barnes.

Χρήζουσα

	Χρήζουσα λίνῳ φάρεα πορφύρεα,	Volens ex lino, purpureos pannos,
	Δῶρα Κλυταιμνήστρᾳ.	Dona Clytæmnestræ.
	Προσεῖπε δ' Ὀρέστας	Allocutus autem eſt Oreſtes
	Λάκαιναν κόραν. ὦ Διὸς παῖ,	Lacænam puellam, ô filia Jovis,
	Θὲς ἴχνος πέδῳ δεῦρ' ἀποστᾶσα κλισμοῦ,	Pone veſtigium in ſolo huc ſurgens ex ſede,
	Πέλοπος ἐπὶ προπάτορος ἕδραν	Ad locum avi Pelopis
	Παλαιᾶς ἑστίας,	Veteris aræ,
	Ἵν' εἰδῇς λόγους ἐμούς.	Ut ſcias meam orationem.
	Ἄγει δ' ἄγει νιν. ἃ δ' ἐφείπετο,	Ducit, ducit eam: illa verò ſequebatur,
	Οὐ προμάντις ὧν ἔμελλεν.	Non proſpiciens quæ futura erant,
	Ὁ δὲ συνεργὸς, ἄλλ' ἔπρασσ' ἰὼν, κακὸς Φωκεύς.	At ſocius improbus homicida Phocenſis alia faciebat vadens:
	Οὐκ ἐκποδὼν ἴτ', ἀλλ' ἀεὶ κακοὶ Φρύγες;	Non diſcedītis, *inquit*, at ſemper mali *eritis*, Phryges?
	Ἐξέκλῃσε δ' ἄλλον ἄλλοσε	Et concluſit alium aliò
	Στέγης. τοὺς μὲν ἐν σταθμοῖσιν	In domo, quoſdam in ſtabulis
	Ἱππικοῖς, τοὺς δ' ἐν ἕδραισι,	Equorum, quoſdam in latrinis,
	Τοὺς δ' ἐκεῖσε κἀκεῖθεν, ἄλλον ἄλλοσε	Alios hinc inde, alium aliò
	Διαρμόσας ἀπόπροθε δεσποίνας.	Avellens procul à dominâ.
Χο.	Τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίνετο;	*Cho.* Quæ calamitas poſtea accidit?
Φρ.	Ἰδαία μᾶτερ, μᾶτερ ὀβρίμα, ὀβρίμα, αἶ αἶ	*Phr.* Idæa, Idæa mater, potens, potens, heu heu *ob*
	Φονίων παθέων, ἀνόμων τε κακῶν, ἅπερ ἔδρακον,	Cruentas clades, impiáque mala, quæ vidi,
	Ἔδρακον ἐν δόμοις τυράννων,	Vidi in domo regiâ,
	Ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου	In veſtibus purpureis in caligine
	Ξίφη σπασάμενοι ἐν χεροῖν, ἄλλος ἄλλοσε	Enſes extrahentes in manibus, alius aliò
	Δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.	Agitavit oculos, nè quis adeſſet,
	Ὡς κάπροι δ' ὀρέστεροι	Et ſicut apri montani
	Γυναικὸς ἀντίοι σταθέντες,	Stantes ante mulierem,
	Ἐννέπουσι, κατθανῇ, κατθανῇ,	Dicunt: Morieris, morieris,
	Κακός σ' ἀποκτείνει πόσις,	Maritus improbus te interficit,
	Κασιγνήτου προδοὺς ἐν Ἄργει θανεῖν γόνον,	Qui prodidit fratris filium ut moreretur Argis.
	Ἃ, δ' ἴαχεν, ἴαχεν, ὤμοι μοι,	Illa verò vociferata eſt: Heu mihi, mihi,
	Λευκὸν δ' ἐμβαλοῦσα πῆχυν στέρνοις	Immittens candidum cubitum pectori.
	Κτύπησε κρᾶτα μέλεον πλαγάν.	Percuſſit caput triſti plagâ.
	Φυγᾷ δὲ ποδὶ τὸ χρυσεοσάνδαλον ἴχνος	Fugiente autem pede veſtigium aureis ſandalis
	Ἔφερεν ἔφερεν· ἐς κόμας δὲ δακτύλους	Tulit: Sed in comam digitos
	Δικὼν Ὀρέστας, Μυκηνίδ' ἀρβύλην προβὰς,	Mittens Oreſtes, ſiſtens Mycenæos calceos,
	Ὤμοις ἀριστεροῖσιν ἀνακλάσας δέρην,	Siniſtro humero incurvans collum,
	Παίειν λαιμῶν ἔμελλεν εἴσω μέλαν ξίφος.	Erat verberaturus nigro gladio guttur.
Χο.	Ποῦ δῆτ' ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;	*Cho.* Ubi verò erant Phryges in domo ad auxiliandum?
Φρ.	Ἰαχᾷ δόμων θύρετρα καὶ σταθμοὺς	*Phr.* Auditâ vociferatione, fores ædium & ſtabula,
	Μοχλοῖσιν ἐκβαλόντες, ἔνθ' ἐμίμνομεν,	Vectibus ejicientes, ubi manebamus,
	Βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης.	Accurrimus alius ex aliâ habitatione,
	Ὁ μὲν πέτρους, ὁ δ' ἀγκύλας,	Alius ſaxa, alius cuſpides,
	Ὁ δὲ ξίφος πρόκωπον ἐν χεροῖν ἔχων.	Alius enſem cum longo capulo habens in manibus.
	Ἔναντα δ' ἦλθε Πυλάδης ἀλίαστος,	Venit autem contra nos Pylades impavidus:

Θὲς ἴχνος] ἀντὶ τοῦ, ἀνάστηθι. ἀπαγαγεῖν δὲ αὐτὴν ἐβούλετο ἀπὸ τοῦ τόπου, οὗ ἐκάθητο εἰς ἕτερον τόπον, ἐκκλῖναι βουλόμενος τοὺς παρεστῶτας οἰκέτας. τοῦτο οὖν φησὶν ἀποστᾶσα τοῦ κλισμοῦ ἐλθὲ ἐπὶ τὴν Πέλοπος καθέδραν, ἤτοι ἔνθα εἰώθει διατρίβειν ὁ Πέλοψ. Ὁ δὲ ξυνεργὸς] τὸ συνὸν κατὰ κοινοῦ, τουτέστιν ὁ δὲ συνεργὸς συμπράξαντος τῷ Ὀρέστῃ, ὁ πονηρὸς εἶπε Φωκεὺς, τοιαῦτα εἶπεν, οὐκ ἐκ ποδῶν, καὶ τὰ λοιπά. Τοὺς δ' ἐν ἕδραισι] ἤτοι ἐν οἴκοις ἀποπάτοις. Ἀπόπροθεν πόῤῥωθεν. τὸ δὲ διαρμόσας, ἀντὶ τοῦ περιπαρμόσας καὶ συγκλείσας, ἀπὸ τοῦ διαρμόσας δὲ, τὴν ἀδιάλειπτον προσαρμονὴν τῶν οἰκετῶν ἐσήμανεν, ἣν εἶχον μετὰ τῆς δεσποίνης. Ἰδαία μᾶτερ] Ἴδη ὄρος ἐπὶ Τροίας, ἔνθα τιμᾶται ἡ Ῥέα. ἴσως οὖν ὡς ἐγχωρίαν θεὸν ἐπικαλεῖται αὐτὴν ὁ εὐνοῦχος. Ὀβρίμαν δὲ αὐτὴν φησὶν, ἐπεὶ λέουσιν ὀχεῖται, ἢ ὅτι ἐφίσταται τοῖς αὐτῇ συντυγχάνουσι. μέλλων δὲ διηγεῖσθαι ὁ Φρὺξ, ἅπερ ἐθεάσατο ἔνδον, τὴν Ῥέαν ἐπικαλεῖται ὡς ἀλεξίκακον. Ἰδαίαν δὲ, ἀντὶ τοῦ ὀρεινήν. ἐν γὰρ τοῖς ὄρεσι διατρίβειν φασὶ τὴν θεόν. Ὀβρίμαν δὲ, τὴν ἰσχυρὰν καὶ φοβεράν. ὁ δὲ λόγος, φεῦ φεῦ, τῶν ἀλόγων κακῶν ὦ μῆτερ Ῥέα, ἅπερ τεθέαμαι ἔνδον κατὰ τοὺς οἴκους. καλεῖται δὲ καὶ Ανταία. τοῖς Φρυξὶ γὰρ ὑπαντῶσα, φοβερά ἐστιν. Κτύπησε κρᾶτα] μετὰ τῶν στηθῶν, καὶ τὴν κεφαλὴν ἐκτύπησε. Μυκηνίδα] ἡ Ἑλένη φησὶ διαναστᾶσα τὴν πορείαν φυγῇ πειράζεται. Μυκηνίδα δὲ ἀρβύλην τὸν πόδα φησίν. ἀπὸ γὰρ τοῦ ὑποδήματος τὸν πόδα δηλοῖ. τὸ δὲ δικὼν, ἀντὶ τοῦ ἐκτεῖναι καὶ βαλών. ὁ δὲ Ὀρέστης φησὶ προαχθεῖσα προβὰς τὸν πόδα, ἐξέτεινε τὴν χεῖρα, καὶ λαβόμενος τῆς κόμης, ἔμελλεν αὐτὴν κτεῖναι τῷ ξίφει. Ὤμοις ἀριστεροῖσιν] ἐν τῇ ἀριστερᾷ χειρί. Μέλαν ξίφος] τὸ μελανθησόμενον. Ἰαχᾷ δόμων] ἰαχῆς φησὶ καὶ θορύβου γενομένου κατὰ τὴν οἰκίαν τὰς θύρας τῶν σταθμῶν, ἔνθα ἦμεν συγκεκλεισμένοι τοῖς μοχλοῖς, ἐκσπάσαντες ἐξήλθομεν βοηθήσοντες. Ἀγκύλας] τὰ ἀκόντια, ἀπὸ τοῦ ἐπηγκυλῶσθαι. ἢ διότι ὑπὸ τῆς κατὰ μέσον ἀγκύλης λαμβανόμενα ῥίπτεσιν. Πρόκωπον] μεγάλην κώπην καὶ ἐκτεταμένην ἔχον. Ἀλίαστος] ἄτρεπτος, καὶ ἄφυκτος ἐν τοῖς μάχαις. ἢ ἀκατάπαυστος. ἢ οὐκ ἔχων λιάσαι, καὶ εἰς φυγὴν τρέψαι.

ANNOTATIONES.

V. 1447. Οὐκ ἐκποδὼν ἴτ', ἀλλ' ἀεὶ κακοὶ Φρύγες;] Prius erat ἀλλὰ κακοὶ, &c. Liber *Heinſio-Scalig.* legit ἀλλ' haud ineptè, ſed *Aldi* Editio legebat ἀλλ' αἰεὶ, ut & MS. unde apparet eſſe *Iambicum* & ſcribi debere ἀλλ' ἀεί. *Eritis* verò intelligitur, ut ego in Verſione addidi. *Joſ. Barnes.*

V. 1460. Ὀρέστεροι] De hâc formâ adjectivorum. Vid. ſupra ad v. 1422. in ἀγρωστῆρα.

Οἷος

Οἷος οἷος Ἕκτωρ ὁ Φρύγιος, ἢ τετρακόρυθος Αἴας,
Ὃν εἶδον εἶδον ἐν πύλαισι Πριαμίσι·
Φασγάνων δ' ἀκμὰς συνήψαμεν.
Τότε δὴ τότε διαπρεπεῖς
Ἐγένοντο Φρύγες, ὅσον Ἄρεος ἀλκὰν
Ἥσσονες Ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς.
Ὁ μὲν οἰχόμενος φυγὰς, ὁ δὲ νέκυς ὤν,
Ὁ δὲ τραῦμα φέρων, ὁ δὲ λισσόμενος,
Θανάτου προβολάν. ὑπὸ σκότον δ' ἐφεύγομεν.
Νεκροὶ δ' ἔπιπτον, οἱ δ' ἔμελλον, οἱ δ' ἔκειντο.
Ἔμολε δ' ἡ τάλαιν' Ἑρμιόνα δόμους
Ἐπὶ φόνῳ χαμαιπετεῖ ματρὸς, ἅ νιν ἔτικε τλάμων.
Ἄθυρσοι δ' οἷά νιν δραμόντες Βάκχαι,
Σκύμνον ἐν χεροῖν ὀρείαν ξυνήρπασαν.
Πάλιν δὲ τὰν Διὸς κόραν ἐπὶ σφαγὰν ἔτεινον.
Ἁ δ' ἐκ θαλάμων ἐγένετο διὰ προδόμων
Ἄφαντος (ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς, καὶ νύξ)
Ἤτοι φαρμάκοισιν, ἢ μάγων τέχναις, ἢ θεῶν κλοπαῖς.
Τὰ δ' ὕστερον, οὐκέτ' οἶδα. δραπέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.
Πολύπονα δὲ πολύπονα πάθεα
Μενέλαος ἀνασχόμενος, ἀνόνητον ἀπὸ Τροίας
Ἔλαβε τὸν Ἑλένας γάμον.
Χο. Καὶ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε·
Ξιφηφόρον γὰρ εἰσορῶ πρὸ δωμάτων
Βαίνοντ' Ὀρέστην ἐπτοημένῳ ποδί.

Qualis qualis Hector Phrygius, aut Ajax ornatus[*] galeâ tres habente conos,
Quem vidi, vidi in portis Priami.
Commiſimus autem acies enſium.
Tunc verò, tunc conſpicui
Erant Phryges, quantum in pugnâ Martis
Nos ſumus inferiores Græcis pugnatoribus:
Alius abiens fugitivus, alius mortuus,
Alius vulnus ferens, alius ſupplex
Propter intentatam mortem, fugimus in tenebras.
Mortui verò ceciderunt, alii erant caſuri, alii jacebant.
Ingreſſa eſt autem in domum miſera Hermione,
Circà cædem Matris jam-tum humi caſuræ, quæ miſera illam peperit.
Iſti verò currentes velut Bacchæ ſine thyrſis
Rapuerunt velut pullum in manibus
Rurſus tendebant cædem adverſus filiam Jovis:
Illa autem evaſerat extra domum
Non viſa (ô Jupiter & terra & lumen & nox)
Sive veneficiis, ſive arte magorum, ſive deceptione deorum.
Quæ poſtea acciderint neſcio, nam fugitivum ſuſtuli pedem ex ædibus.
Multiplices autem, multiplices ærumnas
Menelaus ſuſtinens, inutile à Trojâ
Recipit conjugium Helenes.
Cho. Atqui ſequitur aliud novum ex novis:
Nam video tenentem gladium ante ædes
Euntem Oreſten attonito pede.

Ὁ τετρακόρυθος] ὁ μεγάλην ἔχων περικεφαλαίαν. ὅμοιον δέ ἐστι τῷ τετράφαλος αὐλῶπις. ἢ ὅτι ἔνιοι τῶν ἡρώων τετραλόφοις ἐχρῶντο. Τότε δὴ τότε] ἐν τῷ πρὸς Ὀρέστην πολέμῳ, ἐφάνημεν διαπρεπόντως δειλοὶ οἱ Φρύγες, ἢ τότε ἐν τῷ Τρωϊκῷ πολέμῳ. Ἄλλως. Διαπρεπεῖς ἐγένοντο, ἀντὶ τοῦ ἔκδηλοι τὴν δειλίαν, καὶ ἐξεληλεγμένοι φησὶν ἐν τῇ πρὸς Ὀρέστην, καὶ πρὸς τὸν Πυλάδην συμβολῇ, ἐφάνησαν οἱ Φρύγες πολὺ τῶν Ἑλλήνων ἀσθενέστεροι καὶ ὅσον ἦμεν ἐλάττους ἐν τῇ μάχῃ τῇ πρὸς τοὺς Ἕλληνας κατὰ τὴν Ἴλιον. φησὶ γὰρ αὐτὸ κατ' ἀναφορὰν τὸ ἐν Ἰλίῳ, λόγου παρεκβάσει χρησάμενος. οὐ γὰρ εἰκὸς ἦν οὕτω πολλοὺς εἶναι τοὺς ἐν τοῖς βασιλείοις τεθνηκότας, ὡς καταλέγειν. πτώματα μυρίων νεκρῶν. ἔστιν οὖν ὁ πᾶς λόγος τοιοῦτος, τὴν συμβολὴν τὴν πρὸς τὸν Ὀρέστην, καταδῆλοι γεγόνασιν, ἀσθενεῖς ὄντες οἱ Φρύγες. 1485 Ἥσσονες Ἑλλάδος] εἰκότως ὑπὸ τῶν Ἑλλήνων τότε ἐν Ἰλίῳ, ἢ τῶν περὶ τὸν Ὀρέστην ἡττήθησαν. εὐθέως ὁ μὲν ἦν φυγὰς, ὁ δὲ νεκρὸς ἔκειτο. ἄλλος δὲ τραυματίας ἦν, ὁ δὲ ἱκέτης, τὸν ἔλεον θηρώμενος, καὶ τέλος ὡς ὑποσκότιοι γενόμενοι τῷ πλήθει τῶν βαλλομένων βελῶν, εἰς φυγὴν ἐτρεπόμεθα. καὶ οἱ μὲν ἔπιπτον τιτρωσκόμενοι, οἱ δὲ πίπτειν ἔμελλον, οἱ δὲ ἦσαν νεκροί. καὶ μέχρι μὲν τούτου ἡ παρέκβασις. τὸ δὲ ἑξῆς, τὰ γενόμενα τὰ κατὰ τὴν οἰκίαν, ὅθεν ἄνωθεν κατ' ἐπανάληψιν ἐπάγει. ἔστι δὲ τὸ ἑξῆς τοῦ λόγου, φασγάνων τε ἀκμὰς συνήψαμεν, καὶ ἡττήθημεν κατὰ κράτος, ὥσπερ καὶ ἐν τῷ κατὰ Ἴλιον πολέμῳ ἦν, καὶ ταῦτα συμβέβηκεν ἅπερ κατέλεξεν. ὡς δὲ ἡττήθημεν, ἦλθεν ἡ Ἑρμιόνη. δύναται δὲ καὶ ἐπὶ οἰκίας ταῦτα γινόμενα νοεῖσθαι. ἴδιον δὲ τῆς τραγῳδίας, τὸ τὰ μικρὰ τῶν πραγμάτων ἐξαίρειν, καὶ φανερὰ ποιεῖν, ὥσπερ νῦν ὁ Εὐριπίδης. ταῦτα δὲ ὡς περὶ τῶν ἐν Ἰλίῳ λέγει τεθορυβημένος, καὶ οὐ δεόντως ἀπαγγέλλων. οἱ δὲ μὴ νοήσαντες, πολλοὺς ἐνόησαν ἐν τοῖς βασιλείοις ὑπὸ τῶν περὶ τὸν Ὀρέστην τεθνάναι. Κἂν μὲν οὖν περὶ τῶν ἐν Ἰλίῳ λέγοιτο, ἔστι τὸ ὑπὸ σκότον, ἀντὶ τοῦ καλυφθέντες τῷ πλήθει τῶν βελῶν, ἐφεύγομεν. ἐὰν δὲ ἐν τῇ οἰκίᾳ, εἰς τοὺς σκοτεινοὺς τόπους τῆς οἰκίας ἐφεύγομεν. 1491 Ἐπὶ φόνῳ χαμαιπετεῖ] θορύβου φησὶ γενομένου, ἦλθεν ἡ Ἑρμιόνη, χαμαὶ οὔσῃ τῇ Ἑλένῃ, καὶ μελλούσῃ πίπτειν μετὰ τὸ φονευθῆναι. Χαμαιπετεῖ] ἢ τεθορυβημένος ὤν, οἴεται αὐτὴν πεπτωκέναι. ἢ χαμαιπετεῖ, τῷ μέλλοντι πεσεῖσθαι. Ἄλλως. Οὐ τῷ πεσόντι ἐπὶ γῆς. οὐδὲ γὰρ ἐφόνευσαν αὐτήν, ἀμέλει μετὰ μικρὸν φησὶν, ὅτι διωκομένης, ἀφανὴς ἐξ αὐτῶν ἐγένετο. Ἄθυρσοι δ' οἷα] ἢ χωρὶς θύρσων, ἢ θύρσων δεόμενοι μόνον πρὸς τὸ εἶναι Βάκχαι, ἢ ἀθύρσους αὐτοὺς εἶπεν, ἐπεὶ αἱ Βάκχαι μετὰ θύρσων βακχεύουσι. Πάλιν δὲ τὴν Διὸς] συλλαβόμενοι δὲ τὴν Ἑρμιόνην, οὐδὲν ἧττον πάλιν ἐπεδίωκον Ἑλένην. 1497 Φαρμακοῖσιν] τοῦτο δοκεῖ ἀπὸ ἱστορίας εἶναι, παρὰ γὰρ τῆς Θῶνος γυναικὸς δοκεῖ πλεῖστα φάρμακα εἰληφέναι ἡ Ἑλένη. ὡς Ὅμηρος,

* Odyſſ. δ. V. 228.

* Τά οἱ πολύδαμνα πόρεν Θῶνος παράκοιτις.
Αἰγυπτίη, Πολλὰ ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

Ἐξέκλεπτον] ἀπέδραν. Ἀνόνητον] ἀνονητότερον. Ἀμείβει] διαδέχεται. Ἐπτοημένῳ] σπουδαίῳ.

ANNOTATIONES.

V. 1494. Ἔτεινον] Cum olim ἔκτεινον eſſet, *Canterus* legit ἔτεινον, idem eſt, utro modo legas, nam ἔκτεινον eſt pro ἐξέτεινον, & τὸ ει corripi poteſt. ſed & MS. legit ἔτεινον, quarè ità legatur. *Joſ. Barnes.*

V. 1495. Διὰ προδόμων] MS. διαπρὸ δωμάτων.
V. 1498. Τὰ δ' ὕστερον] MS. τὰ δ' ὑστέρ'.

ARGUMENTUM

ARGUMENTUM *Actûs* Quinti.

ORESTES, *audito* Phrygis *ejulatu, forâs proſiliens, ſilentium illi indicit fidémque, ac rurſus intrò ſe recipit.* Menelaus *famâ rei excitus, ad* Uxorem *&* Filiam *ſervandas accurrit: Verùm ingreſſu prohibetur ab* Oreſte, *qui has* Conditiones *proponit, ut ſi res ſuas &* Filiam *ſalvas velit, ſe & ſororem vulgi ſententiis liberet. Ibi, dum Ædes ipſæ &* Hermione, Oreſtes, Pylades, *&* Electra, *cum* Menelao *in ſummo periculo verſantur, adeſt ſubito* Apollo, *vix.* Θεὸς ἀπὸ μηχανῆς, *qui rem omnem componit,* Hermionem *liberat, damnatos neci eripit,* Menelaum *&* Oreſtem *conciliat &* Hermionem Oreſti *in conjugem dandam pronuntiat. Hinc lætam & felicem Fabula ſortitur* Cataſtrophen; *cujuſmodi Homines noſtræ ætatis inſcientèr* Tragicomœdias *vocant; quùm tamen in iis nihil* Comicum *inſit, & fælix exitus* Tragœdiæ *ſæpè accidere ſoleat.*

ΟΡΕΣΤΗΣ, ΦΡΥΞ, ΗΛΕΚΤΡΑ, ΜΕΝΕΛΑΟΣ, ΑΠΟΛΛΩΝ.

Τροχαῖοι.

Ορ. Ποῦ 'ςιν οὗτος, ὃς πέφευγεν ἐκ δόμων τοὐμὸν ξίφος;

Φρ. Προσκυνῶ σ', ἄναξ, νόμοισι βαρβάροισι προσπίτνων.

Ορ. Οὐκ ἐν Ἰλίῳ τάδ' ἐςίν, ἀλλ' ἐν Ἀργείᾳ χθονί.

Φρ. Πανταχοῦ ζῆν ἡδὺ μᾶλλον, ἢ θανεῖν, τοῖς σώφροσιν.

Ορ. Οὔ τι που κραυγὴν ἔθηκας Μενέλεῳ βοηδρομεῖν;

Φρ. Σοὶ μὲν οὖν ἔγωγ' ἀμύνειν· ἀξιώτερος γὰρ εἶ.

Ορ. Ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο;

Φρ. Ἐνδικώτατ', εἴγε λαιμοὺς εἶχε τριπτύχους θανεῖν.

Ορ. Δειλίᾳ γλώσσῃ χαρίζῃ, τἄνδον οὐχ οὕτω φρονῶν.

Φρ. Οὐ γάρ; ἥτις Ἑλλάδ' αὐτοῖς Φρυξὶ διελυμήνατο;

Ορ. Ὄμοσον, εἰ δὲ μή, κτενῶ σε, μὴ λέγειν ἐμὴν χάριν.

Φρ. Τὴν ἐμὴν ψυχὴν κατώμοσ', ἣν ἂν εὐορκοῖμ' ἐγώ.

Ορ. Ὧδε κἀν Τροίᾳ σίδηρος πᾶσι Φρυξὶν ἦν φόβος;

Φρ. Ἄπεχε φάσγανον· πέλας γὰρ δεινὸν ἀνταυγεῖ φόνον.

Ορ. Μὴ πέτρος γένῃ, δέδοικας, ὥς τε Γοργόν' εἰσιδών;

Φρ. Μὴ μὲν οὖν νεκρός. τὸ Γοργοῦς δ' οὐ κάτοιδ' ἐγὼ κάρα.

Ορ. Δοῦλος ὢν φοβῇ τὸν ᾅδην, ὅς σ' ἀπαλλάξει κακῶν;

Φρ. " Πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.

Ορ. Εὖ λέγεις· σώζει σε σύνεσις· ἀλλὰ βαῖν' ἔσω δόμων.

Φρ. Οὐκ ἄρα κτενεῖς με. Ορ. Ἀφεῖσαι. Φρ. Καλὸν ἔπος λέγεις τόδε.

Ορ. Ἀλλὰ μεταβουλευσόμεσθα. Φρ. Τοῦτο δ' οὐ καλῶς λέγεις.

Ορ. Μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην.
Οὔτε γὰρ γυνὴ πέφυκας, οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ.
Τοῦ δὲ μὴ στῆσαί σε κραυγήν, οὕνεκ' ἐξῆλθον δόμων.
Ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται.
Μενέλεων δ' οὐ τάρβος ἡμῖν ἀναλαβεῖν ἔσω ξίφους,
Ἀλλ' ἴτω ξανθοῖς ἐπ' ὤμων βοστρύχοις γαυρούμενος.

Oreſt. Ubi eſt iſte, qui effugit ex ædibus meum enſem?

Phr. Adoro, te rex, procidens barbaro more.

Or. Iſta non ſunt in Ilio, ſed in Argivâ terrâ.

Phr. " Ubique ſapientibus eſt ſuavius vivere, quam mori.

Or. Num feciſti clamorem Menelao, ut accurreret?

Phr. Tibi adjum ut opituler: es enim dignior.

Or. Juſtè ne igitur periit filia Tyndari?

Phr. Juſtiſſimè, ſi haberet triplex guttur ad moriendum.

Or. Propter metum linguâ gratificaris, intùs non ita ſentiens.

Phr. Cur non? quæ perdidit Græciam cum ipſis Phrygibus?

Or. Jura, (aliàs te necabo) te hæc non dicere in meam gratiam.

Phr. Per animam meam juravi: & quidem bonâ velim fide.

Or. Siccine etiam ad Trojam omnibus ferrum erat Phrygibus terrori?

Phr. Amove enſem: Nam cùm prope adeſt, oſtendit cædem.

Or. Metuis nè fias lapis, tanquam intuens Gorgona?

Phr. Imò nè moriar: haud enim novi caput Gorgonis.

Or. Cùm ſis ſervus, metuis mortem, quæ te liberabit à malis?

Phr. " Quilibet etiam ſervus gaudet videre lucem.

Or. Rectè dicis, ſervat te prudentia; ſed ingredere in domum.

Phr. Non igitur occides me. *Or.* Es dimiſſus. *Phr.* Dicis hoc pulchrum verbum.

Or. Sed poterimus retractare. *Phr.* Hoc non pulchrè dicis.

Or. Stultus es, ſi putas me cruentaturum tuum collum:
Nam neque mulier es, neque es inter viros.
Propterea egreſſus ſum ex ædibus, nè excites clamorem.
Nam totum Argos cùm audierit clamorem, citò excitatur.
Non eſt mihi metus Menelaum excipere gladio:
Sed veniat ſuperbiens flavis capillis ſuper humerum.

1510 Οὔ τι πε] ἐ διὰ τοῦτο φησὶν ἐβόησας, ὥστε τὸν Μενέλαον ἐλθόντα βοηθεῖν; Ἄλλως. Οὐκ ἄρα φησὶ μεγάλα φωνεῖς τὸν Μενέλαον, ὥστε βοηδρομεῖν. Σοὶ μὲν] λείπει τὸ βούλομαι. ἢ ἕτοιμός εἰμι, σοὶ μὲν ἐγὼ βοηθεῖν ἕτοιμος. τιμιώτερος γὰρ ὑπάρχεις. Ἐνδίκως] δικαίως ἄρα ἡ Τυνδάρεως θυγάτηρ; Ἐνδικώτατα] δικαιότατα, εἴπερ ἐκέκτητο τρεῖς λαιμούς, ὥστε ἀποθανεῖν. Δειλίᾳ] ὑπὸ τῆς δειλίας χαριτογλωττίζεις, ἕτερα κατὰ ψυχὴν ἔχων καὶ φρονῶν. 1511 Οὐ γὰρ] οὐ γὰρ δίκαια ἔπαθεν, ἥ γε τὴν Ἑλλάδα σὺν αὐτοῖς Φρυξὶν ἔβλαψεν; Οὐ γὰρ] οὐ πρὸς χάριν, ἀλλ' ἀληθῶς λέγω, ὅτι ἀξία ἐστὶν ἀποθανεῖν, ἥ γε τὴν Ἑλλάδα πᾶσαν, καὶ τὴν Φρυγίαν ἠφάνισεν. Ὄμοσον] ὄμοσον φησίν, ὅτι οὐ πρὸς χάριν ἐμὴν ταῦτα λέγεις, οὐδὲ ὑποκρινόμενος, ἀλλὰ τῇ ἀληθείᾳ οὕτω φρονεῖς. λείπει δὲ οὐ εἰς, εἰς ἐμὴν χάριν. Τὴν ἐμὴν] τὴν ἐμὴν ζωὴν κατώμοσα, ἣν ἐπικαλῶ, εἰς ὅρκον λαμβάνω. Ὧδε κἀν Τροίᾳ] καὶ ἐν Τροίᾳ φησὶν ὁ σίδηρος οὕτως ἦν φοβερὸς τοῖς Τρωσίν, ὡς σὺ νῦν ὁρῶν τὸ ξίφος, οἷς θάνατον, ἐνσκελίζεσθαι. Ἄπεχε φάσγανον] μακρὰν ἔχε τὸ ξίφος. πλησίον γὰρ ὂν φοβερὸν φόνον ἀντιλάμπει. 1520 Μὴ πέτρος] ἵνα μὴ ἀπολιθωθῇς, φοβῇ, ὥσπερ τὴν Γοργόνα θεασάμενος. Μὴ μὲν οὖν] μᾶλλον μὲν οὖν δέδοικα, ἵνα μὴ γένωμαι νεκρός. 1525 Ἀφεῖσαι] ἐπὶ τοῦ παρόντος φησὶν ἀφίημί σε, ὕστερον δὲ βουλεύσομαι περὶ σοῦ. ἔστι δὲ περὶ τέλους ὁ τόνος. προπερισπᾶται γὰρ παρακείμενος ὤν. ὁ δὲ Θεόδωρος ἀπὸ τοῦ ἕω φησὶν αὐτό. εἰ γὰρ ἦν ἀπὸ τοῦ ἵημι, προπαροξύνετο φησὶν ὡς τρισύλλαβος. εἰ δὲ ἀπὸ τοῦ ἵημι, ἥσω, ἧκα, ἕμαι, ἀφεῖμαι, κατὰ πλεονασμὸν τοῦ ι. ὡς τέθειμαι, καὶ εἶσαι, καὶ ἐξ αὐτοῦ ἀφεῖσαι. φυλάττεται γὰρ ὁ τόνος τῶν ὁριστικῶν, ἐὰν μετὰ προθέσεως συντεθῇ, μὴ ἀποβάλλουσι τὴν μακράν. Μῶρος εἶ] πρὸς οὕτως σίζουσι, καὶ τὸ ἄλλο ἀπόλυτον. πρὸς δὲ οὕτως, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην, μῶρος ἀνόητος εἶ, ἵν' ᾖ μετ' ἔλλειψιν. Οὔτε γὰρ γυνὴ πέφυκας] τοῦτο δὲ δύναται μὲν ἐπὶ εὐνούχου λαμβάνεσθαι. δύναται δὲ καὶ ὅτι γυναικώδεις εἰσὶν οἱ Φρύγες. Οὔτ' ἀνδράσι, εὐνοῦχος γὰρ ἦν. 1530 Ὀξὺ γὰρ] ἀντὶ τοῦ ὀξέως ἐξεγείρονται οἱ Ἀργεῖοι, ἐὰν βοῆς ἀκούσωσιν. ἐκεῖνο φησὶν ἐφοβούμην, καὶ ὑφορώμην, μὴ ἄρα σὺ κραυγάσας ἐξαναστήσῃς τὴν πόλιν καθ' ἡμῶν. περὶ γὰρ τοῦ Μενελάου, οὐδεὶς λόγος, ὅτε

ANNOTATIONES.

V. 1510. Ἔθηκας] *Paulus Leopardus* Emend. l. 7. c. 22. ἤγειρας legit, quem vide; ſed MS. ἔθηκας retinet. *Joſ. Barnes.*

V. 1526. Ἀλλὰ μεταβουλευσόμεσθα] Hic ſecundo loco *Anapæſtus* pro *Spondæo* ponitur, quod leges Carminis admittunt.

V. 1529. Τοῦ δὲ μὴ ςῆσαί σε κραυγὴν] de hâc Phraſi vid. *Pauli Leopardi* Emendat. l. 7. c. 22.

Εἰ γὰρ Ἀργείους ἐπάξει τοῖσδε δώμασιν λαβὼν,
Τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σώζειν θέλει,
Σύγγονόν τ' ἐμὴν, Πυλάδην τε τὸν τάδε συνδρῶντά μοι,
Παρθένον τε, καὶ δάμαρτα, * δύο νεκρὼ κατόψεται.

Si enim adducet Argivos ad hanc domum,
Persequens cædem Helenæ, & me non volet servare,
Et sororem meam, & Pyladem, qui in his me adjuvit;
Videbit duo cadavera, uxorem & virginem.

γὰρ αὐτοῦ ὄντος, δυνησόμεθα σκεψάσθαι, ὥστε ἐκεῖνο ἢ τὸ ἄλλο μόνον ἐφειδόμενος. εἰ δὲ τοὺς Ἀργείους πάντας ἐπαγόμενος ἔλθοι, διώκων ἡμᾶς διὰ τὸν τῆς Ἑλένης φόνον, καὶ μὴ ἐθελήσει σώζειν ἡμᾶς, ἐπαναιρήσομαι τῇ Ἑλένῃ τὴν Ἑρμιόνην. Τὸν Ἑλένης] τιμωρούμενος διὰ τὸν τῆς Ἑλένης φόνον, ἔλκων, καὶ ἄλλως διώκων, κυρίως ἐπὶ τὸ κατηγορεῖν. κεῖται δὲ νῦν ἐπὶ τοῦ ἐπεξιέναι. ὁ δὲ λόγος ἐπεξιὼν διὰ τὸν Ἑλένης φόνον.

* Δύο, &c. idem Hemiſtichium *Hecub.* V. 45.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

Χο. Ἰὼ, ἰὼ, τύχα, ἕτερον εἰς ἀγῶν', ἕτερον αὖ
Δόμος φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πίτνει.

Ημ. Τί δρῶμεν; ἀγγέλλωμεν εἰς πόλιν τάδε,
Ἢ σῖγ' ἔχωμεν, ἀσφαλέστερον, φίλαι;

Στροφὴ β'.

Ημ. Ἴδε πρὸ δωμάτων, ἴδε προκηρύσσει
Θοάζων ὅδ' αἰθέρος ἄνω καπνός.

Χο. Ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
Τοὺς Τανταλείους, οὐδ' ἀφίστανται φόνου.

Στροφὴ γ'.

" Τέλος ἔχει δαίμων βροτοῖσι, τέλος ὅπᾳ θέλει.
Μεγάλα δέ τις ἁ δύναμις δι' ἀλάστορα
Ἔπεσεν, ἔπεσε μέλαθρα τάδε δι' αἱμάτων,
Διὰ τὸ Μυρτίλου πέσημ' ἐκ δίφρου.

Strophe I.
Cho. Heu, heu, ô Fortuna, in aliud certamen, in aliud iterum
Cadit domus terribile circa Atridas.
Se. Quid faciemus? nunciabimus hæc in urbem?
An tacitæ erimus, quod eſt tutius ô charæ?

Strophe II.
Se. Ecce ante ædes, ecce denunciat aliquid
Iſte fumus ſaliens in æterem ſurſum.
Cho. Incendunt pinus, tanquam inflammaturi domum
Tantaleam, neque deſiſtunt à cæde.

Strophe III.
" Eventum habet (propoſitum) Deus hominibus, ut voluerit.
Magna quædam vis per adverſo genios
Feriit, feriit hanc domum per cædes,
propter Myrtili caſum ex curru.

Ἕτερον εἰς ἀγῶν' ἕτερον] ὁ περὶ τοὺς Ἀτρείδας, ἀντὶ τοῦ ὁ τῶν Ἀτρειδῶν οἶκος, εἰς ἕτερον ἀγῶνα μεταπίπτει. μετωνείζεται δὲ τὴν γραφὴν ὁ χορός. δέδοικε γὰρ μὴ ὕστερον ἐγκληθῇ κρύψας. Ἴδε προκηρύσσει, ἰδὲ φησὶν ἀναπηδῶν ὁ καπνὸς, ἀπαγγέλλει τῇ πόλει τὰ ἐνταῦθα πραττόμενα. Τέλος ἔχει] ὁ Θεὸς ἐπάγει τοῖς ἀνθρώποις, ὅπως θέλει τὸ τέλος. Ἄλλως. τῶν ἀνθρωπίνων πραγμάτων τὸ τέλος ἐκ θεῶν ἐστίν. Ἄλλως. ὁ βέλτιστος ὁ Θεὸς τοῖς ἀνθρώποις τέλος ἐπιτίθησι. Ἔπεσε] ἐὰν μὲν διὰ τοῦ ε τὸ ἔπεσεν, οἱονεὶ ἐκλονεῖ τις τοῖς οἴκοις φονικὸς δαίμων, δι' αἱμάτων τιμωρίας παιδὸς τοῦ θανάτου τοῦ Μυρτίλου. ἐὰν δὲ διὰ τῆς αι διφθόγγου, ἀντὶ τοῦ ἔκρουσεν ἐὰν ἔλθῃ ὁ Μενέλαος.

ΤΡΟΧΑΙΟΙ.

Χο. Ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πέλας
Ὀξύπουν, ᾐσθημένον που τὴν τύχην, ἣ νῦν πάρα.

Ηλ. Οὐκέτ' ἂν φθάνοιτε κλεῖθρα συμπεραίνοντες μοχλοῖς.
"Ὦ κατὰ στέγας Ἀτρεῖδαι; Δεινὸν εὐτυχῶν ἀνὴρ
" Πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν, Ὀρέστα, δυστυχεῖς.

Cho. Sed video Menelaum prope domum,
Citato-gradu, audita forte edoctum fortunam, quæ nunc adeſt.
El. Non anteverteretis conjungentes fores vectibus
" O Atridæ in domo? Vehemens res eſt vir in rebus ſecundis
" Contra eos qui ſunt in adverſis, ſicut tu, Oreſtes, nunc.

Ὀξύπουν] ταχύπουν. ἀντὶ τοῦ ταχέως ἀκούσαντα παρά τινος καὶ νοήσαντα τὴν παροῦσαν δυστυχίαν ἐν τοῖς οἴκοις. Δεινὸν εὐτυχῶν] δεινὸν φησὶ καὶ χαλεπὸς ἀνὴρ εὐτυχῶν, ὅταν ἔχῃ ἐχθροὺς πρὸς δυστυχοῦντα, ἀντὶ τοῦ ἀμείνονα φησὶ μαχέσασθαι. εὐτυχὴς πρὸς δυσδαίμονα μαχόμενος, ἀπρεπέστερός ἐστι. καὶ Ὅμηρος, μάλ' ἐσθλὸν ἐξ ἑτέρου χαλεπὸς. τὸ δὲ κλεῖθρα συμπεραίνοντες, ἀντὶ τοῦ συμπηγνύντες, συνδέοντες, συγκλείοντες, πέρας ἐπιτιθέντες ταῖς θύραις, τουτέστι τοῖς μοχλοῖς.

ΙΑΜΒΟΙ.

Με. Ἥκω κλύων τὰ δεινὰ καὶ δρασ τήρια,
Δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ' αὐτὼ καλῶ.
Ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον,
Ὡς οὐ τέθνηκεν, ἀλλ' ἄφαντος οἴχεται,
Κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
Ἤγγειλέ μοί τις, ἀλλὰ τοῦ μητροκτόνου
Τεχνάσματ' ἐστὶ ταῦτα, καὶ πολὺς γέλως.
Ἀνοιγέτω τις δῶμα, προσπόλοις λέγω

Me. Venio audiens facinora violenta
Duorum leonum, non enim voco eos viros.
Nam audivi de meâ uxore,
Quòd non ſit interfecta, ſed abrepta, ut non conſpiciatur.
Audiens inanem famâm, quam metu deceptus
Quidam nunciavit mihi: ſed matricidæ
Sunt hæ technæ, & in res dendicula.
Aperiat aliquis domum, ſervis jubeo

Δραστήρια] ἔλαβε δραστικὰ, τὰ χαλεπὰ καὶ τολμηρὰ καὶ αὐθαδῶς ἐργαζόμενα. Ἄλλως. τὰ χαλεπὰ καὶ δράματος ἄξια. τότε γὰρ δράματι ὁ σκοπὸς ἐστὶ χαλεπὰ πάσχειν. κατὰ τὸ συμπίπτειν δὲ εἰκὸς ἀπαγγέλλεσθαι τῷ Μενελάῳ, τὰ κατὰ τὸν οἶκον γενόμενα. [* Ἤκουσα τὴν ξυνάορον, ὡς οὐ τέθνηκεν, ὅμοιον τῷ, εἰπέ μοι τὸν Πολύδωρον, εἰ ζῇ.] βάξιν δὲ, ἀντὶ τοῦ φήμην. ἐνόμιζε δὲ τινὰ πεπλακέναι ταῦτα. τοῦτο γὰρ δηλοῖ τὸ ἣν φόβῳ σφαλεὶς, ἀντὶ τοῦ ἥντινα τις διὰ τὸν φόβον μὴ ἀκριβῶς νοήσας ἤγγειλεν. ἐνόμιζε γὰρ, ὡς εἴρηται, τινὰ πεπλάσθαι. Ἀλλὰ τοῦ μητροκτόνου] οἴεται, ὅτι Ὀρέστης ἐπλάσατο φήμην, ὡς ἄρα Ἑλένη ἡρπάγη μέλλουσα πληγῆναι ὑπ' αὐτοῦ. Ἄλλως. τοῦ Ὀρέστου φόνευτος, ἢ φανέντος, ἵνα με ταράξῃ, ὑπέθετο αὐτὴν ἡρπάχθαι.

* Ἤκουσα] Hæc ex MS. CCC. VII. *Hecub.* v. 986.

ANNOTATIONES.

V. 1535. Τάδε συνδρῶντά μοι] τὸ δὲ longum eſt ante τὸ δ' literam αὐτοδύναμον. MS. ξυνδρῶντα, quod eſt *Atticum.*

Ὠθεῖν πύλας τάσδ', ὡς ἂν ἀλλὰ παῖδ' ἐμὴν
Ῥυσώμεθ' ἀνδρῶν ἐκ χερῶν μιαιφόνων,
Καὶ τὴν τάλαιναν ἀθλίαν δάμαρτ' ἐμὴν
Λάβωμεν, ᾗ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
Τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.
Ορ. Οὗτος, σὺ κλεῖθρον τῶνδε μὴ ψαύσῃς* χεροῖν.
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει.
Ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν
Ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον.
Μοχλοῖς δ' ἄραρε κλεῖθρα, σῆς βοηδρόμου
Σπουδῆς, ἅ σ' εἴρξει μὴ δόμων ἔσω περᾶν.
Με. Ἔα, τί χρῆμα λαμπάδων ὁρῶ σέλας,
Δόμων δ' ἐπ' ἄκρων τούσδε πυργηρουμένους,
Ξίφος δ' ἐμῆς θυγατρὸς ἐπίφρουρον δέρῃ;
Ορ. Πότερον ἐρωτᾶν, ἢ κλύειν ἐμοῦ θέλεις;
Με. Οὐδέτερον· ἀνάγκη δ', ὡς ἔοικε, σου κλύειν.
Ορ. Μέλλω κτανεῖν σου θυγατέρ', εἰ βούλει μαθεῖν.
Με. Ἑλένην φονεύσας, ἐπὶ φόνῳ πράσσεις φόνον;
Ορ. Εἰ γὰρ κατέσχον, μὴ θεῶν κλεφθεὶς ὕπο.
Με. Ἀρνῇ κατακτάς, κἀφ' ὕβρει λέγεις τάδε;
Ορ. Λυπράν γε τὴν ἄρνησιν· εἰ γὰρ ὤφελον.
Με. Τί χρῆμα δρᾶσαι; παρακαλεῖς γὰρ εἰς φόβον.
Ορ. Τὴν Ἑλλάδος μιάστορ' εἰς ᾅδην βαλεῖν.
Με. Ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.
Ορ. Θεοὺς ἀπαίτει· παῖδα δὲ κτενῶ σέθεν.
Με. Ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσει φόνον.
Ορ. Ὁ πατρὸς ἀμύντωρ, ὃν σὺ προὔδωκας θανεῖν.
Με. Οὐκ ἤρκεσέν σοι τὸ πρὶν αἷμα μητρός;
Ορ. Οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
Με. Ἦ καὶ σύ, Πυλάδη, τοῦδε κοινωνεῖς φόνου;
Ορ. Φησὶν σιωπῶν, ἀρκέσω δ' ἐγὼ λέγων.
Με. Ἀλλ' οὐκ χαίρων, ἤν γε μὴ φύγῃς πτεροῖς.
Ορ. Οὐ φευξόμεσθα, πυρὶ δ' ἀνάψομεν δόμους.
Με. Ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;
Ορ. Ὡς μή γ' ἔχῃς σύ, τήνδ' ἐπισφάξας πυρί.
Με. Κτεῖν', ὡς κτανών γε, τῶνδέ μοι δώσεις δίκην.
Ορ. Ἔσται τάδε. Με. ἆ, ἆ, μηδαμῶς δράσῃς τάδε.
Ορ. Σίγα νυν, ἀνέχου δ' ἐνδίκως πράσσων κακῶς.
Με. Ἦ γὰρ δίκαιον ζῆν σε; Ο. καὶ κρατεῖν γε γῆς.
Με. Ποίας; Ο. ἐν Ἄργει τῷδε τῷ Πελασγικῷ.
Με. Εὖ γοῦν θίγοις ἂν χερνίβων; Ο. τί δὴ γὰρ οὔ;
Με. Καὶ σφάγια πρὸ δορὸς καταβάλλοις; Ο. σὺ δ' ἂν καλῶς;

* MS. χεροῖν

Pellere iſtas fores, ut ſaltem filiam meam
Liberem ex manibus hominum impiorum,
Et miſeram meam uxorem
Accipiam, cum quâ oportet interfici meâ manu
Eos qui perdiderunt meam conjugem.
Or. Heus tu non attingas manibus iſta clauſtra.
Te Menelaum compello, qui elatus es ſuperbiâ,
Aut hâc pinnâ confringam tuum caput,
Frangens vetus tectum, opus artificum,
Munita eſt janua vectibus adverſus tuum offendendi
Studium, qui te arcebunt, nè intres in domum.
Me. Age: quam rem video? ſplendorem flammæ,
Et in ſummis ædibus iſtos obſeſſos teneri,
Et gladium admotum collo meæ filiæ.
Or. Utrum vis interrogare, an me audire?
Me. Neutrum quidem: ſed neceſſe eſt, ut videtur, te audire.
Or. Sum occiſurus tuam filiam, ſi vis audire.
Me. Interfectâ Helenâ addes cædem cædi?
Or. Utinam verò tenuiſſem, non deceptus à diis!
Me. Negas cùm occideris, & ad contumeliam dicis hæc?
Or. Invitus nego: utinam enim.
Me. Quid optares facere; incutis enim mihi terrorem.
Or. Furiam Græciæ interficere.
Me. Redde cadaver uxoris, ut operiam tumulo.
Or. Repete à diis: ego verò interficiam tuam filiam.
Me. Matricida facis eandem ſuper cædem.
Or. Defenſor patris, quem tu prodidiſti ut moreretur.
Me. Non ſuffecit tibi prior cædes matris?
Or. Non defatigabor ſemper interficiendo malas.
Me. Utrum & tu Pylade es particeps hujus cædis?
Or. Tacens affirmat: ego verò ſufficiam dicens.
Me. Sed non gaudens: niſi effugeris alis.
Or. Non effugiemus, ſed inflammabimus ædes igne.
Me. An verò vaſtabis has ædes paternas?
Or. Ut nè tu eas habeas, hanc inſuper mactantes ad ignem.
Me. Interfice, quia interficiens dabis horum mihi pœnas.
Or. Sic erit. Me. Heu, heu, nequaquam facies hoc.
Or. Tace nunc, & ſuſtine juſtè patiens calamitatem.
Me. An juſtum eſt te vivere? Or. Et imperare in terrâ.
Me. Quâ? Or. In Argo hoc Pelaſgico.
Me. Rectè igitur attinges ſacrificia? Or. Cur non?
Me. Et offeres hoſtias ante pugnam? Or. Tu autem honeſtè?

Ὡς ἂν ἀλλά] εἰ καὶ μὴ τὴν Ἑλένην, ἀλλὰ κἂν τὴν παῖδα ῥύσωμαι. Ἧ δεῖ] ᾗ τινι Ἑλένῃ δεῖ συναναιρεθῆναι τοὺς φονέας αὐτῆς ὑπ' ἐμοῦ. Οὗτος, σὺ κλεῖθρον] ταῦτα ἄνωθεν Ὀρέστης ἐκ τοῦ δώματος φησί. Πεπύργωσαι] ἐπῆρσαι, πέφραξαι, ὑψώθης. Τῷδε θριγκῷ] θριγκοὶ καλοῦνται οἱ ἐπικείμενοι λίθοι ταῖς ἐξοχαῖς τῶν δωμάτων. τὰ αὐτὰ δὲ καὶ γεῖσα. Γεῖσα λέγονται νῦν καὶ αἱ * στεφάναι τῶν οἴκων. 1572 Ἅ σ' εἴρξει] λείπει ὁ καί, ἅ σ' εἴρξει τῆς σπουδῆς, καὶ τοῦ περᾶν ἔσω τῶν δόμων. Βοηδρόμου] τῆς εἰς μάχην σπουδῆς ἀποπαύσει, καὶ ἀποκωλύσει σε τοῦ μὴ ἔσω τῶν οἰκοδομημάτων εἰσελθεῖν. Ἔα] κάτωθεν ἀναβλέψας ὁ Μενέλαος, ὁρᾷ πῦρ ἀναπτόμενον, καὶ ξίφος ἐπικείμενον τῷ τῆς Ἑρμιόνης αὐχένι. Κλεφθεὶς ἀφαιρεθείς. Καθ' ὕβρειν] δι' ὕβριν. Λυπρὰν] λυπηρὰν ἄρνησιν ἀρνοῦμαι. εἴθε γὰρ ὤφελον φονεῦσαι αὐτήν. Ἄλλως. λυπούμενος ἀρνοῦμαι, τουτέστιν ἀρνοῦμαι ἄρνησιν λυπηράν. τὸ δ' ἑξῆς, εἰ γὰρ ὤφελον τὸν τῆς Ἑλλάδος μιάστορα εἰς ᾅδην βαλεῖν. Τί χρῆμα] ποῖον φησὶ πρᾶγμα ὤφελες δεδρακέναι. φοβεῖς γὰρ καὶ ἕλκεις εἰς φόβον τοῦτο εἰπών. Ὁ πατρὸς ἀμύντωρ] ὁ ἐκδικητὴς τοῦ πατρός, ὁ Ἀγαμέμνονος βοηθός, λείπει τὸ ἐγώ εἰμι. τοῦτο δέ φησιν, ὅτι τῷ ἀπελθόντι αὐτὸν ἐσπούδασε βοηθῆσαι, καὶ οὐχὶ τῷ Ὀρέστῃ. 1595 Ὡς μή γ' ἔχῃς] πορθήσω φησὶ τὸν οἶκον, ἵνα μὴ σὺ τοῦτον ἔχῃς. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπισφάξω ταύτην τῷ πυρί. τουτέστι τῷ πυρὶ πρήσω τὸν οἶκον, μετὰ τὸ ἀποκτεῖναι τὴν Ἑρμιόνην. Εὖ γοῦν θίγοις ἄν] ὡς ἐν ἤθει. ἐπεὶ οἱ βασιλεῖς ἔθυον. ἐὰν οὖν φησὶ βασιλεύσῃς ἔτυχες, καὶ οὐκ ἐναγὴς ἅψῃ τῶν χερνίβων, πῶς ἔχεις φησὶ θυσίας τελεῖν; ἆρα γὰρ οὐκ ἀσεβὲς ἐναγῆ σε ὄντα χερνίβων ἅπτεσθαι καὶ θύειν τοῖς θεοῖς; Τί δὴ γὰρ οὔ. διατί φησὶν οὐ δικαίως θίγοιμι τῶν θυσιῶν. Καὶ σφάγια πρὸ δορὸς] εὖ γὰρ καὶ σφάγια πρὸ τοῦ πολέμου καταβάλλοις. πάλιν δὲ καὶ τοῦτο ἠθικῶς. πρὸ δορὸς δέ, ἐπεὶ εἰώθασιν οἱ βασιλεῖς εἰς πόλεμον μέλλοντες ἐξιέναι, θύειν τοῖς θεοῖς. Σὺ δ' ἂν καλῶς] σὺ δ' ἂν θύσαις ἁγνῶς ὡς μὴ μιαρὸς ὤν.

* Στεφάναι] ita leg. pro φάναι.

ANNOTATIONES.

V. 1562. Ἀλλὰ] elegantiam hujus loci non vidit *Duportus*, ideóque ἄλλα legebat: Docti judicent. Vid. ad *Herc. Fur.* 331.

V. 1569. Θριγκῷ] De hâc voce præter *Scholiaſten* vid. ad *Troad.* V. 489. & *Herc. Fur.* 1260.

V. 1571. Σῆς βοηδρόμου σπουδῆς] ſub. ἕνεκα. Vid. ſuprà v. 1407.

V. 1587. Ὁ μητροφόντης, &c.] Vide ſimilem locum, V. 1579.

V. 1598. Ἔσται τάδε. Με. ἆ, ἆ, &c.] Hic τὸ ε in τάδε elidi poteſt, ante τὸ ἆ, ἆ & ita MS. Vel τάδ' ἆ. Anapæſtus legendum: Quod ſemel tantùm moneo: Cum millies in Authore noſtro idem caſus occurrat.

Με. Ἁγνός

Με. Ἁγνὸς γάρ εἰμι χεῖρας. Ο. ἀλλ' οὐ τὰς φρένας.
Με. Τίς δ' ἂν προσείποι σ'; Ο. ὅστις ἐστὶ φιλοπάτωρ.
Με. Ὅστις δὲ τιμᾷ μητέρ'; Ο. εὐδαίμων ἔφυ.
Με. Οὔκουν σύ γ'. Ο. οὐ γὰρ ἁνδάνουσιν αἱ κακαί.
Με. Ἄπαιρε θυγατρὸς φάσγανον. Ο. ψευδὴς ἔφυς.
Με. Ἀλλὰ κτενεῖς μου θυγατέρ'; Ο. οὐ ψευδὴς ἔτ' εἶ.
Με. Οἴμοι, τί δράσω; Ο. πεῖθ' ἐς Ἀργείους μολών.
Με. Πειθὼ τίνα; Ο. ἡμᾶς μὴ κτανεῖν. αἰτοῦ πόλιν.
Με. Ἢ παῖδά μου φονεύσεθ'; Ο. ὧδ' ἔχει τάδε.
Με. Ὦ τλῆμον Ἑλένη. Ο. τἀμὰ δ' οὐχὶ τλήμονα;
Με. Σοὶ σφάγιον ἐκόμισ' ἐκ Φρυγῶν; Ο. εἰ* δὴ τόδ' ἦν.
Με. Πόνους πονήσας μυρίους. Ο. πλήν γ' εἰς ἐμέ.
Με. Πέπονθα δεινά. Ο. τότε γὰρ ἦσθ' ἀνωφελής.
Με. Ἔχεις με. Ο. σαυτὸν σύ γ' ἔλαβες κακὸς γεγώς.
Ἀλλ' εἶ', ὕφαπτε δώματ' Ἠλέκτρα τάδε.
Σύ τ', ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε
Πυλάδη, κάταιθε γεῖσα τεῖχος* τάδε.
Με. Ὦ γαῖα Δαναῶν, ἱππίου τ' Ἄργους κτίται,
Οὔκουν ἐνόπλῳ ποδὶ βοηδρομήσετε;
Πᾶσαν γὰρ ὑμῶν ὅδε βιάζεται πόλιν,
Ζῆν, αἷμα μητρὸς μυσαρὸν ἐξειργασμένος.
Απ. Μενέλαε, παῦσαι λῆμ' ἔχων τεθηγμένον·
Φοῖβός σ' ὁ Λητοῦς παῖς, ὅδ' ἐγγὺς ὤν, καλῶ.
Σύ θ', ὃς ξιφήρης τῇδ' ἐφεδρεύεις κόρῃ,
Ὀρέσθ', ἵν' εἰδῇς οὓς φέρων ἥκω λόγους.
Ἑλένην μὲν, ἣν σὺ διολέσαι πρόθυμος ὢν
Ἥμαρτες, ὀργὴν Μενέλεῳ ποιούμενος,
Ἥδ' ἐστὶν, ἣν ὁρᾶτ' ἐν αἰθέρος πτυχαῖς,
Σεσωσμένη τε, κοὐ θανοῦσα πρὸς σέθεν.
Ἐγώ νιν ἐξέσωσα, κἀπὸ φασγάνου
Τοῦ σοῦ κελευσθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ οὖσαν, ζῆν νιν ἄφθιτον χρεών.
Κάστορί τε, Πολυδεύκει τ' ἐν αἰθέρος πτυχαῖς
Σύνθακος ἔσται, ναυτίλοις σωτήριος.
Ἄλλην δὲ νύμφην εἰς δόμους κτῆσαι λαβών.
Ἐπεὶ θεοὶ τῷ τῆσδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν καὶ Φρύγας συνήγαγον,
Θανάτους τ' ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
Ὕβρισμα θνητῶν, ἀφθόνου πληρώματος.
Τὰ μὲν καθ' Ἑλένην ὧδ' ἔχει· Σὲ δ' αὖ χρεὼν
Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόνθ' ὅρους,

* MS. γάρ.
* MS. τειχέων.

Me. Quid ais? Habeo enim puras manus. *Or.* Sed non mentem.
Me. Quis te alloquetur? *Or.* Quicunque eſt amans patris.
Me. Qui autem honorat matrem? *Or.* Eſt felix.
Me. Tu autem non. *Or.* Quia non placent mihi malæ.
Me. Amove enſem à filia. *Or.* Mendax es.
Me. Interficies meam filiam? *Or.* Jam non es mendax.
Me. Hei mihi quid faciam? *Or.* Perſuade ad Argivos proficiſcens.
Me. Cui perſuadebo? *Or.* Pete à civitate, nè nos occidat.
Me. Aut filiam meam interficietis? *Or.* Sic eſt.
Me. O miſera Helena. *Or.* An meæ res non ſunt miſeræ?
Me. Advexi tibi victimam ex Phrygibus? *Or.* Utinam hoc eſſet.
Me. Suſtinens labores magnos. *Or.* Non meâ tamen cauſâ.
Me. Acerba paſſus ſum. *Or.* Tunc enim eras inutilis.
Me. Tenes me. *Or.* Tu cepiſti teipſum, cùm ſis malus.
Sed eja, Electra, incende iſtas ædes:
Et tu ô candidiſſime mihi amicorum
Pylade, incende tecta hujus parietis.
Me. O terra Danaorum & incolæ equeſtris Argûs,
Non armato pede opem feretis?
Nam iſte vim facit toti noſtræ civitati,
Ut vivat, cùm fecerit abominabilem cædem matris.
Ap. Menelae, deſiſte ab iratâ voluntate.
Ego Phœbus Latonæ filius, prope exiſtens te voco:
Et tu, qui inſidiaris armatus iſti puellæ,
Oreſtes, ut ſcias, quam orationem afferam.
Helena quidem, quam tu cupiens perdere,
Fruſtratus es, iratus Menelao,
Hæc eſt, quam videtis in voluminibus ætris,
Servata & non interfecta à te.
Ego ipſam ſervavi, & ab enſe
Tuo rapui, juſſus à Jove patre.
Nam, ut filiam Jovis, oportet vivere immortalem,
Caſtorique, & Polluci in voluminibus ætris
Aſſidebit, nautis ſalutaris:
Tu autem accipias aliam uxorem in domum.
Poſtquam dii hujus pulchritudine.
Commiſerunt Græcos & Phrygas.
Et fecerunt mortes, ut exhaurirent ex terrâ
Onus injuſtum, magnæ multitudinis hominum.
Res ſic ſe habent. Te autem oportet
Oreſta, poſtquam hujus terræ fines ſuperaveris.

Ἁγνὸς γὰρ εἰμὶ χεῖρας] τῷ φόνῳ τῆς μητρὸς δηλονότι. Ἀλλ' οὐ τὰς φρένας. Ἀλλ' οὐ τῷ λογισμῷ διὰ τὸ μὴ βεβοηθηκέναι τῷ πατρί. Οὔκουν σύ γε] εὐδαίμων εἶ δηλονότι. Οὐ γὰρ ἁνδάνουσιν] οὔτε γὰρ ἤρεσέ φησι, διὸ καὶ γὰρ οὐκ εὐδαιμονεῖς. Ἄπαιρε] ἆρον ἀπὸ τῆς ἐμῆς θυγατρὸς τὸ ξίφος. Ψευδὴς ἔφυς] ἐψεύσω τῆς ἐλπίδος. Ἀλλὰ κτενεῖς] ἀλλὰ φονεύσεις μου τὸ θυγάτριον; 1609 Οὐ ψευδὴς ὑπάρξεις. Ἢ παῖδά μου] εἰ μὴ τοῦτο ποιήσω δηλονότι. Ὧδ' ἔχει] ἐὰν μὴ πείσῃς, οὕτω κεῖται. Πλὴν εἰς ἐμέ] οὐκ ἐπόνησας. Τότε γὰρ ἦσθ'] ὅτε σε ἠξίουν βοηθῆσαί μοι. Ἔχεις με] ἐνίκησάς με, ἐξηπάτησάς με, ὡς ἐπὶ τῆς συνηθείας λέγομεν. τοῦτο δὲ λέγει, ὅτι ἐχειρώσατο τὴν Ἑρμιόνην. Σαυτὸν σύ γ'] σὺ σαυτὸν κατηγόρησας, κακὸς γενόμενος περὶ με. Κτίται] οἰκήτορες. Τοιοῦτόν ἐστι καὶ τὸ Συὸς ἐκτίτο παρὰ Πινδάρῳ, ἀντὶ τοῦ ὀρεσοίκου· καὶ τὸ — ἐΰκτιτον ἄστυ Ὅμηρος. ἀντὶ τοῦ εὖ κατοικούμενον πόλιν. Οὐ βοηδρομήσετε] οὐκ ἐλεύσεσθε ἐν βοηθείᾳ; Ζῆν] ὥστε ζῆν. Ὁ δὲ βιάζεται πόλιν] οὐδενὸς αὐτῷ συγχωρηθέντος ζῆν, διὰ τὸ τὴν μητέρα ἀποκτεῖναι, οὕτω βιάζεται ἀδίκως ἅπασαν τὴν πόλιν, ὥστε τυχεῖν τοῦ ζῆν. 1625 Παῦσαι] παῦσαι ὀργιζόμενος, ὦ Μενέλαε, σύ τε Ὀρέστα ἵνα ἀκούσῃς, οὓς ἥκω κομίζων λόγους. Ναυτίλοις] ὅτι ἡ Ἑλένη τοῖς χειμαζομένοις κατὰ θάλατταν ἐπίκουρος ἐστὶ, κατὰ Εὐριπίδην σεσημείωται. ὁ μέντοι Σωσίβιος ἔμπαλιν οἴεται οὐκ εὐοδίας αὐτὴν ἐμφαίνεσθαι. Τῷ τῆσδε καλλιστεύματι] τῇ ὡραιότητι ταύτης. * Ὡς ἀπαντλοῖεν] ἱστορεῖται, ὅτι ἡ γῆ βαρουμένη τῷ πλήθει τῶν ἀνθρώπων, ἠξίωσε τὸν Δία ἐλαφρῦναι αὐτῆς τὸ βάρος· τὸν δὲ Δία εἰς χάριν αὐτῆς συγκροτῆσαι τόν τε Θηβαϊκὸν πόλεμον, καὶ τὸν Ἰλιακόν, ἵνα πολλῶν ἀναιρεθέντων κουφισμὸς γένηται. ἑτέραν οὖν φησιν ἄγε νύμφην, ἐπεὶ οἱ θεοὶ ταύτην εἰλήφασιν, ἀλλ' αὐτοὶ τότε κατέπεμψαν ἵνα διὰ τὸ ταύτης κάλλος συγκροτησάντων πόλεμον Ἑλλήνων καὶ Φρυγῶν, καὶ τῶν πολλῶν ἀναιρεθέντων, ἐλαφρότερον γένοιτο τῇ γῇ τὸ τῶν ἀνθρώπων βάρος.

* Ὡς ἀπαντλοῖεν] Præter *Scholiaſten* vide quæ nos ad *Helen.* V. 36. Ubi tamen malè ego lapſus *Euſtathium* dico, cùm ille hunc *Oreſtæ* locum reſpexerit. *Joſua Barnes.*

ANNOTATIONES.

V. 1633. Ἐγώ νιν ἐξέσωσα, &c.] Hunc locum laudat *Tzetzes* in *Lycophron.* p. 89. *Joſua Barnes.*

V. 1637. Σύνθακος ἔσται, ναυτίλοις σωτήριος] Vid. de hâc re *Scholiaſten*; *Soſibii* verò communior opinio, quòd *Helena*, per ſe viſa, ſit mala, *Caſtoris* autem & *Pollucis* geminæ ſtellæ navigantibus ſint felices. Vid. *Plinii* l. 2. c. 37. *De ſtellis Caſtoribus*: Similem locum habes hujus Fabulæ, v. 1690. *Idem.*

V. 1643. Σὲ δ' αὖ χρεὼν, Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόνθ' ὅρους Παῤῥάσιον οἰκεῖν δάπεδον] *Strabo* Geogr. l. 7. fol. 326. Λέγεται δὲ τὴν Ὀρεστιάδα κατασχεῖν ποτε Ὀρέστης, &c. in quem locum vid. *Iſ. Caſaubon.* Notæ fol. 148. *Idem.*

Παῤῥάσιον οἰκεῖν δάπεδον, ἐνιαυτοῦ κύκλον.
Κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον,
Ἀζᾶσιν, Ἀρκάσιν τ' Ὀρέστειον καλεῖν.
Ἐνθένδε τ' ἐλθὼν τὴν Ἀθηναίων πόλιν,
Δίκην ὑπόσχες αἵματος μητροκτόνου
Εὐμενίσι τρισσαῖς· θεοὶ δέ σοι δίκης βραβεῖς,
Πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην
Ψῆφον διοίσουσ', ἔνθα νικῆσαί σε χρή.
Ἐφ' ἧς δ' ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,
Γῆμαι πέπρωταί σ' Ἑρμιόνην· ὃς δ' οἴεται
Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτε.
Θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,
Δίκας Ἀχιλλέως πατρὸς ἐξαιτοῦντί με.
Πυλάδῃ δ' ἀδελφῆς λέκτρον, ᾧ ποτ' ᾔνεσας,
Δός· ὁ δ' ἐπιὼν νιν βίοτος εὐδαίμων μένει.
Ἄργους δ' Ὀρέστην, Μενέλεως, ἔα κρατεῖν.
Ἐλθὼν δ' ἄνασσε Σπαρτιάτιδος χθονός,
Φερνὰς ἔχων δάμαρτος, ἥ σε μυρίοις
Πόνοις διδοῦσα, δεῦρ' ἀεὶ διήνυσε.
Τὰ πρὸς πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς,
Ὅς νιν φονεῦσαι μητέρ' ἐξηνάγκασα.
Ορ. Ὦ Λοξία μαντεῖε, σῶν θεσπισμάτων,
Οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐτήτυμος.
Καίτοι μ' ἐσῄει δεῖμα, μή τινος κλύων
Ἀλαστόρων, δόξαιμι σὴν κλύειν ὄπα.
Ἀλλ' εὖ τελεῖται· πείσομαι δὲ σοῖς λόγοις.
Ἰδοὺ μεθίημ' Ἑρμιόνην ἀπὸ σφαγῆς,
Καὶ λέκτρ' ἐπῄνεσ', ἡνίκ' ἂν διδῷ πατήρ.
Με. Ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ, ζηλῶ δέ σε,
Θεῶν κατοικήσασαν ὄλβιον δόμον.

Habitare folum Parrhafium, per circulum anni.
Vocabitur autem locus à tuo nomine ab exilio,
Ut vocetur Azanibus & Arcadibus Oreſteum;
Inde veniens in urbem Athenienſium,
Redde rationem de cæde materna
Tribus furiis: & dii gubernatores judicii,
In *Areopago*, i. e. vico Martio juſtiſſimam
Sententiam ferent, ubi oportet te vincere.
Et ad cujus collum, Oreſte, habes gladium,
Fatum eſt, te Hermionem ducere: & qui putat
Neoptolemus ſe ducturum eſſe, non ducet.
Nam eſt ei fatum mori Delphico enſe,
Poſtulanti à me pœnas de patre Achille.
Pyladæ autem connubium ſororis, cui promiſiſti,
Da, ſequens vita eos felix manet.
Menelae, ſine Oreſten imperare Argis:
Et tu rediens impera in Spartana terra,
Habens dotem uxoris, quæ te multos
Dans in labores, huc reduxit.
Res urbis ego huic rectè conſtituam,
Qui ipſum coegi interficere matrem.
Or. O Apollo vates, in tuis oraculis
Non eras utique vanus, ſed verax!
Me quidem ſubierat metus, ne aliquem audiens
Dæmonem, viderer audire tuam vocem.
Sed benè facta ſes, obtemperabo tuæ orationi.
Ecce dimitto Hermionem à nece:
Et promitto conjugium, ſi dederit pater.
Me. O Helena, filia Jovis, ſalve, ſuſpicio te,
Tenentem beatam ſedem Deorum.

Παῤῥάσιον] οἱ μὲν πόλιν, οἱ δὲ χώραν εἶναι φασίν, ἀπὸ Παῤῥασίου τοῦ Πελασγοῦ ὀνομασθεῖσαν, ὃς συνῴκισε τοὺς Ἀρκάδας, καὶ Πελασγοὺς αὐτοὺς ἐπωνόμασεν. ἰδίως Εὐριπίδης ἐνιαυτίσαι τὸν Ὀρέστην φησὶν ἐκεῖ, ἤτοι ποιήσαντα κύκλον ἐνιαυτοῦ. ὁ γὰρ Ἀσκληπιάδης ἱστορεῖ ὑπὸ ὄφεως αὐτὸν δηχθέντα ἐκεῖ τελευτῆσαι. ὁ δὲ Φερεκύδης, ὅτι καὶ ἐπεὶ ἴσα τὸν Ὀρέστην αἱ Ἐριννύες διώκουσιν. ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, καὶ ἵζει ἱκέτης πρὸς τῷ βωμῷ. αἱ δὲ Ἐριννύες ἔρχονται ἐπ' αὐτὸν θέλουσαι ἀποκτεῖναι, καὶ ἐρύκει αὐτὰς ἡ Ἄρτεμις· ἐξ οὗ καὶ ἡ πόλις αὕτη Ὀρέστειον καλεῖται, ἀπὸ Ὀρέστου. Ἀσκληπιάδης ἐν Ἀρκαδίᾳ φησὶ τὸν Ὀρέστην ὑπὸ ὄφεως ἀναιρεθῆναι ὁ ἐστὶ. Κεκλήσεται δὲ] Πελασγὸς αὐτόχθων ὁ Ἀρκάδος, ὁ τοῦ Ἀρέστορος τοῦ Ἰάσου, ἐλθὼν εἰς Ἀρκαδίαν, θηριώδεις ὄντας τοὺς Ἀρκάδας, εἰς τὸ ἡμερώτερον μετέβαλε· καὶ πόλιν ἔκτισεν, ἣν Παῤῥασίαν ὠνόμασε· γυναῖκα δὲ ἀγαγόμενος Δηιάνειραν, ἀφ' ἧς τὸ ὄρος οὕτω καλεῖται, υἱὸν ἔσχε Λυκάονα. ὃς τὸ τοῦ Λυκαίου Διὸς ἱερὸν ἱδρύσατο ἐν Παῤῥασίᾳ, καὶ παῖδας ἐγέννησεν ἐκ Ὀρθωσίας Νύκτιμον, τὴν ἀρχὴν αὐτῷ καταλείπει, ἐφ' οὗ ὁ κατακλυσμὸς ἐγένετο. μετὰ δὲ ταῦτα βασιλεύει Δυκαλίδης υἱὸς Εἰκαδίου καὶ Κορωνείας. οὗτοι ἐξ Ἀργίας ἔσχε Παρθένια· οὗτοι ἐξ Ἀρχιλόχης Κητία καὶ Παίον. Κητέως δὲ ἐκ Σπίλβης ἔσχε Καλλιστώ· ταύτην φασὶν ἐκ Διὸς Ἀρκάδα ἀποτεκεῖν. ὃς ἄρξας τῆς χώρας, Ἀρκαδίαν ὠνόμασε· γήμας δὲ Λεάνειραν, ἔσχεν Ἐλάτον, Ἀφείδαντα, Ἀζᾶνα. τούτων ἀρξάντων τῆς χώρας, ὁ Ἀζὰν ἀφ' αὐτοῦ τὴν ἰδίαν μοῖραν Ἀζανίαν ὠνόμασεν. Ἀρκάδες οὖν πάντες κοινῇ καλοῦνται· μέρος δὲ τούτων Ἀζᾶνες. τοῦ μερικοῦ τὸ ὅλον ἐπήγαγεν. Ἀζὰν γὰρ μέρος ἐστὶ τῆς Ἀρκαδίας· καὶ Ὀρέστειον δὲ πόλις Ἀρκαδίας, ὀνομασθὲν ἀπὸ Ὀρέστου οἰκήσαντος ἐκεῖσε. Ἐνθένδε τ' ἐλθὼν] περὶ τῆς Ὀρέστου κρίσεως ἐν Ἀρείῳ πάγῳ, ἱστορεῖ καὶ Ἑλλάνικος, ταῦτα γράφων. τοῖς ἐκ Λακεδαίμονος ἐλθοῦσι καὶ τῷ Ὀρέστῃ οἱ Ἀθηναῖοι ἔφασαν. πλῆθος δὲ ἀμφοτέρων ἐπιγνόντων, οἱ Ἀθηναῖοι τὴν δίκην ἔκρινον ἐννέα γενεαῖς. ὕστερον δὲ Ἄρης καὶ Ποσειδῶν περὶ Ἁλιρροθίου δίκην. εἶτα Κέφαλος ὁ Δηιονέως, ὅστις Πρόκριν τὴν Ἐρεχθέως ἔχων γυναῖκα, καὶ ἀποκτείνας, ἐξ Ἀρείου πάγου δίκην ὡς δικασθεὶς ἔφυγεν ἓξ γενεαῖς ὕστερον· μετὰ δὲ τὴν Δαιδάλου δίκην, ἀδελφιδοῦν τὸν Τάλων ἀποκτείναντος δολοέντι θανάτῳ, καὶ φυγόντος δίκην. τρισὶ γενεαῖς ὕστερον αὐτὴ ἡ Τυνδαρὶς Κλυταιμνήστρα Ἀγαμέμνονα ἀποκτείνασα, καὶ ὑπὸ Ὀρέστου ἀποκτανθεῖσα, συγκροτηθῆναι δίκην τῷ Ὀρέστῃ ὑπὸ Εὐμενίδων παρεσκεύασεν, ὃς μετὰ τὴν κρίσιν ἐπανελθὼν, Ἄργους ἐβασίλευσε. καὶ ἐδίκασεν δὲ Ἀθηνᾶ καὶ Ἄρης. 1650 Δίκης βραβεῖς] τῆς κρίσεως διοικηταί. Διοίσουσι] ἐξάξουσιν. Χρή] ἀπόκειται. Ὃς δ' οἴεται Νεοπτόλεμος] οὐκ ἐγάμησεν αὐτὴν κατὰ τοῦτο, ὅτι τέκνα οὐκ ἔσχεν ἀπ' αὐτοῦ. καὶ ὁ μὲν Εὐριπίδης διὰ τοῦτο ἀνῃρῆσθαι φησὶ τὸν Νεοπτόλεμον ὑπὸ τῶν Δελφῶν, ὅτι παρεγένετο εἰς Δελφοὺς, δίκας ἀπαιτήσων τὸν θεὸν ὑπὲρ τῆς τελευτῆς τοῦ πατρὸς αὐτοῦ. Φερεκύδης δὲ φησὶ, περὶ παίδων χρησμὸν αἰτοῦντα τὸν Νεοπτόλεμον ἀναιρεθῆναι. ἐπεὶ Νεοπτόλεμος Ἑρμιόνην γαμεῖ τὴν Μενελάου, καὶ ἔρχεται εἰς Δελφοὺς περὶ παίδων χρησόμενος. οὐ γὰρ αὐτῷ ἐγένοντο ἐξ Ἑρμιόνης. καὶ ὁρᾷ κατὰ τὸ χρηστήριον κρέα διαρπάζοντας τοὺς Δελφοὺς, ἀφαιρεῖται τὰ κρέα αὐτοὺς, * ἑαυτὸν δὲ κτείνει μαχαίρᾳ. ὁ δὲ τούτων ἱερεὺς κατορύσσει αὐτὸν ὑπὸ τὸν οὐδὸν τοῦ νεώ. ταῦτα γενεαλογεῖ καὶ Σοφοκλῆς. 1659 Ὁ δ' ἐπιὼν νιν] τὸ νιν ἀντὶ τοῦ αὐτοὺς ἐπὶ πληθυντικοῦ τάττειν εἴωθεν. ἢ ἐπὶ μόνου Πυλάδου κεῖται. φερνάς] προῖκας. Δεῦρ' ἀεί] ὧδε δόλου ἔφερε. Τῷδ' ἐγώ] χρείαν τῷδε ποιήσω καλῶς. Ὦ Λοξία] ὦ Ἄπολλον μαντευτικὲ, ἕνεκα τῶν σῶν μαντευμάτων. Καί τοι μ' ἐσῄει] ἐδεδίειν φησὶν ἣν ἐγὼ, μὴ ἄρα δαίμων τις τῶν ἀλαστόρων, καὶ οὐχὶ σὺ ὁ προστάξας με μητροκτονεῖν, νῦν δὲ φησὶν αὐτοῖς ὄψεσι θεωρῶν ἔχω τὸ πιστόν.

* *Paulus Leopardus* Emendat. *l.* 10. c. 9. legit αὐτὸν δὲ κτείνει Μαχαιρεὺς, ὁ τούτων ἱερεὺς, καὶ κατορύσσει, ex *Strabonis* & *Euſebii* authoritate, qui *Machæreus* illius necis authorem memorant; à ſeipſo autem interfectum nemo præterea dixit. Vid. *Strabon.* fol. 421. *Joſua Barnes.*

ANNOTATIONES.

V. 1651. Πάγοισιν ἐν Ἀρείοισιν] Hunc locum reſpexit *Euſtathius* ad Iliad. ε. v. 406. Τούτου δὲ πρώτου καὶ ἔργον τὸν Ἄτλαντα. πληθυντικῶς ἔσω τις ἄτλαντας ἐν τῷ Ἄρειοι πάγοι, Ἄρειος πάγος. Vid. *Jo. Meurſii Areopagum*, & *Voſſium de Areopago*. Notandum verò & Ἄρειος πάγος, & Ἀρειόπαγον dici, & priorem in πάγος corripi, quia ab ἔπαγον originem ducit. Ità apud *Pauſan.* fol. 212. Φρόντις δ' Ἀρείου τι τοῦ πάγου τιμῆς τι ἔχουσι. Et *Soph.* Oedip. Colon. v. 940. Τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον. Et *Æſchyl.* Eumen.
——— ἐστι δ' ἐπώνυμος
Πέτρα, πάγος τ' Ἄρειος. *J. Barnes.*

V. 1656. Θανεῖν γὰρ αὐτῷ Μοῖρα Δελφικῷ ξίφει] Vid. *Eurip.* Andromach. & *Pindar.* Neme. Od. vii. Epod. 2. & *Virgil.* Æn. l. 3. v. 330. &c. ut & *Scholiaſten*, in Notis noſtris à *Leopardo* emendatum. *J. Barnes.*

Ὀρέστα

Ὀρέστα, σοὶ δὲ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβου λέγοντος· εὐγενὴς δ' ἀπ' εὐγενοῦς
Γήμας, ὄναιο καὶ σύ, * καὶ ὁ διδοὺς ἐγώ. * al. Χο.
Απ. Χωρεῖτε νῦν ἕκαστος, οἷ προστάσσομεν,
Νείκους τε διαλύεσθε. Μ. πείθεσθαι χρεών.
Ορ. Κἀγὼ τοιοῦτος· σπένδομαι δὲ συμφοραῖς
Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασιν.

Oreſtes, tibi ego deſpondeo filiam,
Phœbo dicente: generoſus autem ex generosâ familiâ
Ducens, ſis beatus & tu, & ego qui eam tibi do.
Ap. Vadat nunc quiſque quò mandamus,
Et deſinite contentionem. *M.* Oportet obedire.
Or. Et ego talis: redeo in gratiam à calamitatibus,
Menelae, & propter tua oracula Apollo.

Σοὶ δὲ παῖδ' ἐγὼ] ἀντὶ τοῦ κατεγγυῶμαι, ὅ ἐστιν ἐπαγγέλλομαι δώσειν πρὸς γάμον. οὐ νῦν γὰρ δίδωσιν, ἀλλ' ὕστερον, Ὀρέστου ἐν Ἀρκαδίᾳ διάγοντος μετὰ τὴν Νεοπτολέμου τελευτήν. Ὄναιο] ἀπολαύσειας, ὠφεληθείης. Οἷ] ὅπου. Νείκους] τῆς φιλονεικίας. Σπένδομαι] φιλοῦμαι ταῖς συμφοραῖς σου, Μενέλαε, καὶ τοῖς σοῖς, ὦ Ἄπολλον, προστάγμασι. Ἄλλως. σπένδομαι φησὶ φιλίαν πρὸς σέ, ὦ Μενέλαε, ἐπὶ συμφοραῖς, τουτέστι μετὰ τὰς συμφορὰς καὶ τὰς ἀτυχίας, καὶ τοῖς σοῖς, ὦ Ἄπολλον, πείθομαι κελεύσμασι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Απ. Ἴτε νῦν καθ' ὁδὸν τὴν καλλίστην
" Θεῶν Εἰρήνην τιμῶντες. Ἐγὼ
Δ' Ἑλένην Ζηνὸς μελάθροις πελάσω,
Λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
Ἔνθα παρ' Ἥρᾳ, τῇ θ' Ἡρακλέους
Ἥβῃ πάρεδρος θεὸς ἀνθρώποις
Ἔσται σπονδαῖς ἔντιμος ἀεί,
Σὺν Τυνδαρίδαις τοῖς Διὸς υἱοῖς
Ναύταις, μεδέουσα θαλάσσης.
Χο. Ὦ μέγα σεμνὴ Νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

Ap. Ite nunc in viam, pulcherrimam
" Deorum honorantes Pacem. Ego verò
Helenam ad aulam Jovis adducam,
Vadens per polum ſplendidorum aſtrorum,
Ubi Junoni, & Herculis uxori
Hebæ, aſſidens dea hominibus
Erit, honorabilis ſemper ſacrificiis
Cum Tyndaridis filiis Jovis,
In rem nautarum curans mare.
Ch. O valde glorioſa Victoria, meam
Vitam habeas,
Et non deſinas coronare!

Ἴτε νῦν καθ' ὁδὸν] ὁ ἐπίλογος οὗτος τοῦ δράματος, ἐκ δύο συστημάτων σύγκειται. καί εἰσι τοῦ μὲν α συστήματος τὰ κῶλα ἀναπαιστικὰ ἐ. ὧν τὰ μὲν ἡ δίμετρα ἀκατάληκτα, τὸ δὲ ἐ καταληκτικόν, ἤτοι ἑφθημιμερὲς παροιμιακόν. τὸ δὲ β ἀναπαιστικὴ βάσις. τὸ δὲ τρίτον, ὅμοιον ἑφθημιμερές, ἐπὶ τῷ τέλει τοῦ α παράγραφος. τοῦ δὲ β κορωνίς, ἡ περατοῦσα τὸ δρᾶμα. Ἴτε νῦν] ἄπιτε καθ' ὁδόν, ἣν προσέταξα δηλονότι, τιμῶντες τὴν εἰρήνην τὴν καλλίστην ἀπὸ τῶν θεῶν. ἐγὼ δὲ ἀποστελῶ τὴν Ἑλένην τοῖς οἰκήμασι τοῦ Διός. διελθοῦσαν τὸν πόλον τῶν λαμπρῶν ἄστρων, ὅπου συγκάθεδρος ἔσται τῇ Ἥρᾳ, καὶ τῇ Ἥβῃ τῇ γυναικὶ τοῦ Ἡρακλέους, ἔσται θεὸς ἔντιμος ἐν τοῖς ἀνθρώποις διὰ θυσιῶν, σὺν τοῖς Τυνδαρίδαις τοῖς υἱοῖς τοῦ Διὸς μεδέουσα θαλάσσης ναύταις. ἀντὶ τοῦ τῆς τῶν ναυτῶν θαλάσσης μεδέουσα, καὶ ἄρχουσα. Θεῶν εἰρήνην τιμῶντες] τοῦτό φησιν, ἐπειδὴ διὰ τὰ Πελοποννησιακὰ ἐνόσει ἡ Ἑλλάς, πρεσβευομένων δὲ τῶν Ἀθηναίων οὐ προσίεντο τὰς σπονδάς. 1685 Ἐξανύσας] διελθών. Ἥβῃ] Ἥβη ὠνομάζετο ἡ Ἡρακλέους γυνή. λείπει δὲ τὸ ἔσται. πάρεδρος ἔσται, ἤτοι συγκάθεδρος. Ἔντιμος] τιμωμένη θυσίαις σὺν Κάστορι καὶ Πολυδεύκει, τοῖς Διὸς παισί, βασιλεύουσα τοῖς ναύταις ἐπὶ τῆς θαλάσσης. Ὦ μέγα] χορὸς βοηθὸς ὢν τοῦ Ὀρέστου, τὰ κατ' αὐτὸν ἰδὼν ὅπως ἀπέβη, ταῦτά φησιν. ἢ τοῦτο διὰ τοῦ χοροῦ, ὡς ἐκ προσώπου τοῦ ποιητοῦ ἐστιν, ὡς νικήσαντος ἐπὶ δράματι. ὦ νίκη μεγάλως σεμνή, εἴθε συνέχοις τὴν ἐμὴν ζωήν, καὶ μὴ παύσαιο στεφανοῦσα ἐμὲ δηλονότι. Ὦ μέγα] ὦ μεγάλως σεβασμία νίκη, εἴθε τὴν ἐμὴν ζωὴν κατέχοις, καὶ μὴ παύσῃς στεφανοῦσα καὶ τιμῶσά με. τοῦτο ἀπὸ τοῦ χοροῦ ἐστὶ λεγόμενον ἀπὸ προσώπου τοῦ ποιητοῦ. Τοῦτο τὸ δρᾶμα ἐκ τραγῳδικοῦ κωμικόν· ἐκ γὰρ συμφορῶν, εἰς εὐθυμίαν κατήντησεν.

Τέλος Σχολίων τῶν εἰς Ὀρέστην.

ANNOTATIONES.

V. 1684. Ἑλένην Ζηνὸς] *Tzetzes in Lycophron:* Hinc locum laudans δῖος legit, non æquè benè. MS. autem Ζηνὸς retinet. *Joſua Barnes.*

V. 1690. Τυνδαρίδαις μεδέουσα θαλάσσης] Vid. ſuprà ad v. 1637.

V. 1691. Ὦ μέγα σεμνή, &c.] Eadem eſt concluſio duabus aliis Fabulis, *Phœniſſis,* viz. & *Iphigeniæ* poſteriori.

ΥΠΟΘΕ-

ΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

Ἐτεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην· φυγὰς δὲ ἐκεῖνος εἰς Ἄργος παραγενόμενος, ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου. κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόλογον στρατὸν κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν· ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη, ἐποίησεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς. δεινοπροσωποῦντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα οὐκ ἠδυνήθη πρὸς φιλίαν. Πολυνείκης δὲ, ὡς πρὸς πόλεμον λοιπὸν παραταξάμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα. ὁ δὲ νεανίσκος ἐβούλετο· καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε, καὶ δὴ καὶ ἐπέπραξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες, ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, ἀνεῖλεν ἑαυτήν. ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν. οἵ τε Ἀργεῖοι νικηθέντες τῇ μάχῃ, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν· Πολυνείκην δὲ ἄκηδεστον ἔῤῥιψεν. Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ᾽ ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ᾽ ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ περὶ τὴν δυστυχίαν ἐλεήσας.

Περιπαθεῖς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους, ὑπὲρ τῆς πόλεως ἀποθανών. ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ᾽ ἀλλήλων. καὶ Ἰοκάστη ἡ μήτηρ αὐτῶν, ἑαυτὴν ἀνεῖλεν ἐπὶ τοῖς παισί. καὶ οἱ ἐπὶ Θήβας στρατευσάμενοι Ἀργεῖοι ἀπώλοντο· καὶ ἄταφος. Πολυνείκης προκεῖται. καὶ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται, καὶ σὺν αὐτῷ ἡ θυγάτηρ Ἀντιγόνη. Ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον, καὶ γνωμῶν πολλῶν καὶ καλῶν μεστόν. ὁ χορὸς ἐκ τῶν Φοινισσῶν παρθένων (ὅθεν καὶ τὸ δρᾶμα ἐπεκλήθη) τῶν ἐκ τῆς Παλαιτύρου.

Ἔστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλὸν τὸ δρᾶμα, ἐπεὶ καὶ παραπληρωματικόν. ἥτε ἀπὸ τῶν τειχέων Ἀντιγόνη θεωροῦσα, μέρος οὐκ ἔστι δράματος· καὶ ὑπόσπονδος Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται. ἔτι ἐπὶ πᾶσι μετ᾽ ᾠδῆς ἀδολέσχου φυγαδευόμενος ὁ Οἰδίπους, προσεῤῥαπται διακενῆς.

ARGUMENTUM. PHOENISSARUM.

Eteocles accepto regno Thebarum, privat parte fratrem ſuum *Polynicem*. Exul ille cedens *Argos*, duxit filiam regis *Adraſti*. Cupiens autem redire in patriam; & perſuaſo ſocero, congregavit magnum exercitum contra fratrem, & ad *Thebas* venit: mater ejus *Jocaſta* fecit eum, factis induciis, in urbem venire, & colloqui prius cum fratre de principatu. Terribiliter ſe gerente *Eteocle* propter tyrannidem, mater *Jocaſta* filios reconciliare non potuit. *Polynices* verò, tanquam ad pugnam inſtructus, deinde ceſſit ex urbe. Vaticinatur *Tireſias*, victoriam propoſitam eſſe *Thebanis*, ſi filius *Creontis Menœceus Marti* ſacrificaretur. *Creon* verò ſe daturum filium civitati inficiatur: juvenis tamen voluit, datóque illi exilio unà cum pecuniis à patre, mortem ſibi conſcivit, & negotium peregit. Inde *Thebani* duces *Argivorum* interfecerunt. *Eteocles* verò & *Polynices* ſingulari certamine congreſſi, trucidârunt ſe mutuò. Mater eorum inveniens mortuos filios, ſibi ipſi mortem conſcivit. Ejus autem frater *Creon* regnum accepit, & *Argivi* ſuperati in pugnâ, ceſſerunt. *Creon* ægrè ferens, eos, qui interfecti in bello erant ſub *Cadmeâ*, noluit concedere ad ſepulturam: *Polynicem* verò inhumatum abjecit, & *Oedipum* miſit in exilium: in aliquibus haud ſervans humanam legem, in aliquibus iram ſequens, neque miſeratus calamitatem eorum.

Plenæ ſunt affectuum *Phœniſſæ* ob res Tragicas. Mortuus enim eſt filius *Creontis*, pro civitate de muro præcepsactus: mortui ſunt & fratres duo mutuâ cæde: & mater eorum *Jocaſta* ſeipſam interfecit ſuper filios: & duces *Argivi*, qui ad *Thebas* duxerant exercitum, perierunt: & inſepultus *Polynices* proponitur: & *Oedipus* ex patriâ ejicitur, & unà cum eo filia *Antigone*. Fabula hæc habet multas perſonas, & plena eſt multis ac præſtantibus ſententiis. *Chorus* conſtat ex *Phœniſſis* mulieribus, (unde & Fabulæ nomen) de veteri *Tyro* oriundis.

Hoc Poëma pulchrum eſt in apparatu ſcenico, quia multa habet additamenta. *Antigone* de mœnibus ſpectans, non eſt pars fabulæ: & factis induciis, *Polynices* fruſtrà in urbem venit. Super hæc omnia *Oedipus* loquaci carmine in exilium miſſus, adjicitur ſupervacuè.

Χρησμὸς δοθεὶς ΛΑΪΩι τῷ ΘΗΒΑΙΩι.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
Δώσω τοι φίλον υἱόν. ἀτὰρ πεπρωμένον ἐστὶ,
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν. ὁ δ᾽ ηὔξατό σοι τάδε πάντα.

Oraculum editum LAIO THEBANO, *Joſ. Barnes interprete.*

Laïe Labdacide, Sobolem mea Numina poſcis:
Et tibi ferre Marem dabimus: Sed Fata Deorum
Illius voluêre manu Te occumbere letho.
Annuit hæc etenim *Pelopi Saturnius* olim;
Cùm raptum ob natum eſt tibi triſtia damna precatus.

Χρησμὸς δοθεὶς τῷ ΟΙΔΙΠΟΔΙ ἐκ τῶν ΘΗΒΑΪΚΩΝ.

Οἰδιπόδη, γένος ἦλθες ἀγακλυτὸν ἔνθα δαμῆναι.
Αὐτὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
Φεύγε πάτρην, Κακόμοιρε, γενέθλια δ᾽ ἔρχε᾽ ἄπωθε,
Μὴ πατέρα κτείνῃς, σπείρῃς δ᾽ ὑπὸ Μητρὶ τέκνα,
Οἳ σῷ αὐτῷ μέγα πῆμα, τέκνοισί τε σοῖσι γένοιντ᾽
Τοῖά σ᾽ ἀποπροφυγεῖν ἐντέλλομαι, ὡς γὰρ ἄμεινον.

Oraculum OEDIPO *datum, ex* Thebaicis, J. B. *interp.*

Veniſti, *Oedipode*, hùc, genus ut tibi nobile pandam;
At tibi quæ dicam, memori tu mente recondas.
Infelix, natale ſolum patriámque relinque,
Nè patrem occidas, matríſque cubilia ſcandas;
Damnáque magna tuo capiti natiſque reponas:
Hæc vitare velis moneo, tua commoda ſpectans.

Τὸ αἴνιγμα τῆς ΣΦΙΓΓΟ῾Σ.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπον, οὗ μία φωνὴ,
Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ᾽ ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ᾽ αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ᾽ ὁπόταν πλείοσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Ænigma SPHYNGIS, J. B. *interprete:*

Eſt bipes in terris & quadrupes (unica cui vox)
Et tripes, at formâ magis eſt variabile cunctis,
Quæ terram, Tethynve colunt, vel in æthera ſurgunt.
At plura in terram quandò veſtigia figat,
Semper ei minùs in membris vigor igneus ardet.

Λύσις τοῦ Αἰνίγματος ἐκ τῶν ΘΗΒΑΪΚΩΝ.

Ἄνθρωπον δ᾽ ἀνέφηνε τόδ᾽ ἔμμεναι, ὃς κατὰ πρώτην
Νηπίην βαθμοῦ πειρώμενος ἤιον ἔρπει
Τετράβατον, χείρεσσιν ὁμοῦ καὶ γούνασιν ἕρπων·
Πλειότερον δὲ λαβὼν μελέων σθένος ὀρθὸς ὁδεύει
Ταρσοῖς ἀσφαλέεσσι· Μολὼν δ᾽ ἐπὶ γήραος ἀβληχρὸν
Βάκτρῳ σκιμπτόμενος τρίπλουν πόδα νωθρὸς ἐποίει.

Solutio Ænigmat. ex Thebaicis, *i. e. Poemate ità dict.* J. B.

Hoc Ænigma hominem ſignat, qui primus in auras
Ut venit, greſſus avidus, veſtigia ponit
Quatuor in terram, manibus pedibúſque tenellis:
Auctior at membris cùm ſit vigor, arduus ille
Incedit pedibus, ſed tandem urgente ſenectâ
Innixus baculo triplici pede tardior ibit.

Ἄλλη Λύσις τοῦ αἰνίγματος.

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
Φωνῆς ἡμετέρης· σὸν τέλος ἀμπλακίης·
Ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπει,
Πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων.
Γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
Αὐχένα φορτίζων γήραϊ καμπτόμενος.

Alia ſolutio Ænigmatis ab Eodem.

Audi invita licet, Volucris mala, Muſa ſitorum,
Verba mea, exitio verba futura tibi.
Humanum genus ore notas! Homo primus in orbem
Ut venit, pedibus quatuor urget humum.
At tribus ille ſenex pedibus veſtigia firmat,
Cervicémque jugo curva ſenecta premit.

Τὰ

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ. PERSONÆ hujus Fabulæ ſunt hæ.

ΙΟΚΑΣΤΗ.	Jocasta.
ΠΑΙΔΑΓΩΓΟΣ.	Pædagogus.
ΑΝΤΙΓΟΝΗ.	Antigone.
ΧΟΡΟΣ ἐκ Φοινισσῶν παρθένων.	Chorus ex Phœniſſis virginibus.
ΠΟΛΥΝΕΙΚΗΣ.	Polynices.
ΕΤΕΟΚΛΗΣ.	Eteocles.
ΚΡΕΩΝ.	Creon.
ΜΕΝΟΙΚΕΥΣ.	Menoeceus.
ΤΕΙΡΕΣΙΑΣ.	Tiresias.
ΑΓΓΕΛΟΣ.	Nuncius.
Ἕτερος ΑΓΓΕΛΟΣ.	Alter Nuncius.
ΟΙΔΙΠΟΥΣ.	Oedipus.
Προλογίζει δὲ ἡ Ἰοκάστη.	Prologum autem agit Jocaſta.

ΕΥΡΙΠΙΔΟΥ ΦΟΙΝΙΣΣΑΙ.

ARGUMENTUM *Actûs Primi.*

Jocasta *Prologum agens totius Fabulæ occaſionem explicat: Quæ ortum habuit ab Inceſtu* Oedipi *& Parricidio & Execrationibus, quibus filios ſuos* Polynicem *&* Eteoclem *devoverat. Unde* Polynices *parte ſuâ regni paterni fraudatus,* Argivorum *exercitum contra* Thebas *duxit, ut ubi jus non valuerit, arma cauſam agerent. Exercitûs* Argivi *Duces & apparatus ad ſpectatorum animos excitandos. Chorus* Phœniſſarum *mulierum ſui adventûs cauſam explicat & præſentia pericula deteſtatur, futuram cladem præſagiendo.*

ΙΟΚΑΣΤΗ.

Ἰαμβοί.

Ιοκ. Ὦ Τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν,
Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις,
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα·
Ὡς δυστυχῆ Θήβαισι τῇ τόθ᾽ ἡμέρᾳ

Joc. O Qui ſecas viam cœli in aſtris,
Et in aureâ ſedes ſede,
Sol, volvens flammam celeribus equis:
Quàm infelicem Thebanis eo tum die

* Ὦ τὴν ἐν ἄστροις] Ἡ εἴσθεσις τοῦ δράματος, ἐκ μονοστροφικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϙβ. ὧν τελευταῖος·

** Τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθιστάναι. ἐπὶ τῷ τέλει δὲ κορωνίς. ταῦτα πάντα πρὸς τὸν Ἥλιον ἀποτείνει Ἰοκάστη, δυσχεραίνουσα διὰ τὰ συμβάντα. Ὦ τὴν ἐν ἄστροις] ἔθος ἔχουσιν οἱ τραγικοὶ, παρέχειν τοὺς ἥρωας θεοῖς τὰς συμφορὰς ἀπολογουμένους. ὡς καὶ ἐν Μηδείᾳ, Ὦ θ᾽ ἱμερὸς μ᾽ ὑπῆλθε γῇ τε κοὐρανῷ Λέξαι μολούσῃ δεῦρο Μηδείας τύχας. Ἄλλως. Παλαιά τις φέρεται δόξα, ὡς Σοφοκλῆς μὲν ἐπιτιμήσειεν Εὐριπίδῃ, ὅτι μὴ προέταξε τούτους τοὺς δύο στίχους, ὁ δὲ Εὐριπίδης, ὅτι μὴ προέταξεν ἐν Ἠλέκτρᾳ ὁ Σοφοκλῆς, ὦ τοῦ στρατηγήσαντος Ἠλέκτρα ποτέ. Ὦ τὴν ἐν ἄστροις] ὦ διοδεύων τὴν τοῦ οὐρανοῦ εἰς ὁδὸν τὴν ἐν τοῖς ἄστροις, ὅ ἐστι τὴν παρὰ τοῖς οἴκοις τοῦ ζῳδιακοῦ κύκλου, ‡ Ἀστὴρ εἴρη καν αὐτὰρ ἑκάστη· Ἴσον μετρηθεῖσαι δύω ἀποτέμνεται οἴκους. Ζῴδιον δὲ ὁ κύκλον ἐπίκλησιν καλέουσι. Θοαῖς ἵπποισι] λείπει ἡ σύν. ἵν᾽ ᾖ, σὺν θοαῖς ἵπποισι. καὶ Ὅμηρος, Αὐτῇ κεν γαίῃ ἐρύσαιμι. καὶ ἐν Βάκχαις, αὐτῇσιν ἐλάταις. καὶ ἐν Ἱππολύτῳ, αὐτῇσιν ἀρβύλῃσιν ἁρμόσαι πόδα. καὶ ἔστιν Ἀττικὴ ἡ συνήθεια. ἔδει δὲ ἐκ τοῦ ἐπικρατοῦντος ἀρσενικῶς αὐτοὺς ὀνομάσαι. τέσσαρες δὲ εἰσί, Χρόνος, Αἴθων, Ἀστραπὴ, Βροντή. ἔθος δὲ τοῖς ποιηταῖς θηλυκῶς λέγειν τὰς ἵππους, Σώφρονι τὰν ἵππον. καὶ ἐν Ἱππολύτῳ, αἰδ᾽ ἐνδακοῦσαι στόμα. καὶ παρ᾽ Ὁμήρῳ, Αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι. Ὡς δυστυχῆ] ἀσεβεῖ, φασὶ, τὴν ἀκτῖνα τοῦ Ἡλίου δυστυχῆ καλοῦσα. πῶς δὲ ἀσεβεῖ, ὁπότε καὶ Ἡσίοδος τινὰς τῶν ἡμερῶν ἀποφαίνει πονηράς. Ἄλλως. οἱ κακοδαιμονοῦντες, καὶ τὰς πρόσθεν εὐδαιμονίας, ἀτυχίας νομίζουσι, τῇ παρούσῃ δυσποτμίᾳ βαρυνόμενοι. Ὡς δυστυχῆ] καὶ μὴν τότε εὐδαίμονες ἦσαν αἱ Θῆβαι, διά τε τὸν Ἁρμονιακὸν γάμον, ἐν ᾧ οἱ θεοὶ εἱστιάθησαν, καὶ τὴν Διονύσου καὶ Ἡρακλέους γένεσιν. νοσεῖν δὲ ἤρξατο, ἐξ οὗ ἐτεκνώθη Λάϊος βίᾳ θεῶν. τὰ τοιαῦτα δὲ οὐ πρὸς τὸ ἀληθὲς, ἀλλ᾽ ὡς οἱ λέγοντες πάθος ἔχουσιν. εὐεπίφορος δὲ ὁ Εὐριπίδης πρὸς ἕτερα πρόσωπα πρεσβύτερα [illegible] τῶν δυστυχημάτων αἰτίας ἀναφέρειν. καὶ ἐν Τρῳάσιν ἡ Ἑλένη φησὶν, πρῶτον μὲν ἀρχὰς ἔτικτεν ἥδε τῶν κακῶν Πάρις τεκ[illegible] καὶ ἐν Ὀρέστῃ, αἱ τοι φυτεύσας θυγατέρ᾽, ὦ γέρον, κακῶς ἀπώλεσάς με. κέχρηται τούτῳ τῷ εἴδει καὶ Ὅμηρος, † Ὃς [illegible] Ἀλεξάνδρου τεκτήνατο νῆας ἐΐσας, Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο. καὶ Εὔμαιος συμπαθῶς ἔχων πρὸς τὸν Ὀδυσσέα φησὶν, ‡ Ὡς ὤφελλ᾽ Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι. καί τοι τῶν ἀδελφῶν αὐτῆς τῶν Διοσκούρων ἤδη θεῶν ὄντων, καὶ πολλὰ τοῖς ἀνθρώποις ἐπαρκούντων. ἔτι δέ τινες ἐγκαλοῦσι τῷ Εὐριπίδῃ, ὡς οὐκ ἀκολούθως γενεαλογήσαντι. εἰ μὲν γὰρ ἐξ ἀρχῆς ἐβούλετο τὰ πράγματα λέγειν, ἐχρῆν τὴν ἐκ Φοινίκης αἰτίαν τοῦ Κάδμου κατὰ λεπτὸν μετὰ τῆς αἰτίας διηγήσασθαι. εἰ δὲ ἐκ τῆς ἐσχάτης ἀρχῆς, ἔδει ἀπὸ τῶν Λαΐου δυστυχημάτων ἄρξασθαι. πρὸς οὓς ῥητέον, ὅτι εἰ μὲν ἄνωθεν ἤρξατο, μακρὸς ἂν ἦν ὁ λόγος. ἄλλως τε οὐκ ἔπρεπε Θηβαίαν γυναῖκα ἀκριβῶς, τὰ ἐν Φοινίκῃ ἐπίστασθαι. εἰ δὲ ἀπὸ τῶν Λαΐου δυστυχημάτων, πολλὰς ἂν τῶν πρὶν τὰς Θήβας συμφορῶν παρέλειπεν. Ἀκταίωνα μὲν γὰρ αἱ οἰκεῖαι κύνες διεσπάσαντο, Πενθέα τε τὸν υἱὸν Ἀγαυῆς. Σεμέλην τε ἐκεραύνωσεν ὁ Ζεύς. καὶ τῆς Ἰνοῦς υἱὸν Λέαρχον μὲν μανεὶς ὁ πατὴρ Ἀθάμας ἀπέκτεινε. Μελικέρτης δὲ, μετὰ τῆς μητρὸς ἔπεσεν εἰς τὴν θάλασσαν. οἱ Νιόβης τε παῖδες ἐτοξεύθησαν, καὶ αὐτὴ λίθος ὁρᾶται δακρύουσα.

** Τὸν αὐτὸν, &c.] Hic Verſus eſt quidem Monoſtrophicæ Periodi ultimus; ſed non eſt centeſimus ſecundus, ut Scholiaſtes, verùm Octogeſimus ſeptimus. Habet tamen *Coronide*. Et ad V. 103. *Paragraphus* ponitur. *Joſ. Barnes.* ‡ Hodie legitur ἄστρα. Vid. Arati φαινόμενα, v. 543. † Il. ε. v. 62, &c. ‡ *Hom.* Odyſſ. ξ. v. 68.

Κάδμος ἡνίκ' ἦλθε] Λιβύης τῆς Ἐπάφου καὶ Ποσειδῶνος, Ἀγήνωρ καὶ Βῆλος· Ἀγήνορος καὶ Ἀντιόπης τῆς Βήλου, Κάδμος, Κίλιξ, Φοῖνιξ. Φοίνικος καὶ Τηλέφης τῆς Ἐπιμεδούσης Πείρας, Ἀστυπάλη, Εὐρώπεια, Φοινίκη. ἔνιοι δὲ ἀντὶ Ἁρμονίας Ἠλέκτραν γῆμαι αὐτὸν φασί. Φοίνισσαν] εἰ μὲν ἐπὶ πάσης τῆς Φοινίκης ἀκουστέον, αἰτιῶ τὸ παραλίαν, εἰ δ' ἐπὶ μιᾶς πόλεως ἐκδεκτέον, τὴν Τύρον. νησιάζεται γὰρ, ὡς καὶ ἑξῆς φησὶ, Τύριον οἶδμα λιποῦσ' ἔβαν ἀκροθίνια Λοξίᾳ Φοινίσσας ἀπὸ νάσου, τουτέστι τῆς Φοινίκης νήσου Τύρου. καὶ Κάδμος ἔμολε τάνδε γᾶν Τύριος. Ἄλλως. τὴν Τύρον. νησιάζεται γὰρ ἡ Φοινίκη. σεσημειωτικὸς δὲ ὁ λόγος. οὐδέπω γὰρ ἐκαλεῖτο Φοινίκη, ἐν γῆν τοῦ Φοίνικος φησὶν, ἦσαν γὰρ Ἀγήνορος παῖδες Κίλιξ, ἀφ' οὗ ἡ Κιλικία κεκλήσεται. Φοῖνιξ, ὅθεν τὸ τοὔνομα ἡ χώρα φέρει, καὶ Θάσος· τοῦτον οἱ ποιηταὶ Πίνακον καλοῦσι, Πολύδωρον δὲ, διὰ τὸ πολλὰ δῶρα εἰληφέναι τὴν μητέρα αὐτοῦ ἐπὶ τῇ γεννήσει αὐτοῦ. γενεαλογήσας δὲ ἕως Λαΐου, ἐκβέβηκε πρὸς Κρέοντα καὶ Ἰοκάστην.

Ἀκτῖν' ἐφῆκας. Κάδμος ἡνίκ' ἦλθε γῆν
Τήνδ', ἐκλιπὼν Φοίνισσαν ἐναλίαν χθόνα,
Ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ,
Πολύδωρον ἐξέφυσε· τοῦ δὲ, Λάβδακον
Φῦναι λέγουσιν· ἐκ δὲ τοῦδε, Λάϊον.
Ἐγὼ δὲ παῖς μὲν κλήζομαι Μενοικέως,
Κρέων τ' ἀδελφὸς μητρὸς ἐκ μιᾶς ἔφυ.
Καλοῦσι δ' Ἰοκάστην με· τοῦτο γὰρ πατὴρ
Ἔθετο. γαμεῖ δὲ Λάϊός με. ἐπεὶ δ' ἄπαις
Ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
Ἐλθὼν ἐρωτᾷ Φοῖβον. ἐξαιτεῖ θ' ἅμα
Παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
Ὁ δ' εἶπεν, ὦ Θήβαισιν εὐίπποις ἄναξ,
Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.
Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φὺς,
Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
Ὁ δ' ἡδονῇ δοὺς, ἔς τε βακχεῖον πεσὼν,
Ἔσπειρεν ἡμῖν παῖδα. καὶ σπείρας βρέφος,
Γνοὺς τἀμπλάκημα, τοῦ θεοῦ τε τὴν φάτιν,
Λειμῶν' ἐς Ἥρας, καὶ Κιθαιρῶνος λέπας
Δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
Σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον.
Ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι,
Φέρουσ' ἐς οἴκους· εἴς τε δεσποίνης χέρας

Radium immiſiſti, quando Cadmus venit in terram
Hanc, relinquens Phœniciam terram maritimam.
Qui quondam ducens Harmoniam filiam Veneris,
Polydorum genuit: ex hoc Labdacum
Dicunt natum: ex eo verò Laium.
Ego verò vocor filia Menœcei:
Et Creon frater natus eſt ex eâdem matre.
Vocant verò me Jocaſtem, (hoc enim nomen pater
Indidit) duxit verò me Laius: cùm autem ſine liberis
Eſſet, diu habens connubium meum in domo,
Veniens interrogat Phœbum, & poſcit ſimul
Liberorum in ædibus maſculorum communem prolem.
Ille reſpondit ei: O rex equeſtrium Thebarum,
Ne ſemina liberorum ſulcum invitis diis:
Si enim genueris filium, interficiet te ille qui ſatus fuerit,
Et tota domus tua ibit per ſanguinem:
Ille verò dans ſe voluptati, & concedens inſaniæ Bacchi,
Seminavit nobis filium: & cùm ſeminaſſet infantem,
Agnoſcens erratum, & Dei oraculum,
In pratum Junonis, & culmen Cithæronis
Dat paſtoribus exponi puerum,
Fodiens ferreos aculeos per talos medios:
Undè ipſum Græcia vocat Oedipum.
Polybi verò paſtores equorum, accipientes puerum,
Ferunt domum, & in manus dominæ

[7] Γήμας Κύπριδος] Δέρκυλλος, Θηβαίου τινὸς Δράκοντος τοὔνομα, βασιλέως δὲ Θηβαίων, θυγατέρα τὴν Ἁρμονίαν εἶναι φησίν. ὃν φονεύσας Κάδμος, ἔγημεν Ἁρμονίαν. Ἔφορος δὲ, Ἠλέκτρας τῆς Ἄτλαντος αὐτὴν εἶναι λέγει. Κάδμον δὲ παραπλέοντα τὴν Σαμοθράκην, ἁρπάσαι αὐτήν. τὴν δὲ εἰς τιμὴν τῆς μητρὸς ὀνομάσαι τὰς Ἠλέκτρας πύλας. καὶ νῦν ἔτι ἐν τῇ Σαμοθράκῃ ζητοῦσιν αὐτὴν ἐν ταῖς ἑορταῖς. Δημάγορας δὲ, ἀπὸ Λιβύης ἐλθοῦσαν τὴν Ἠλέκτραν οἰκῆσαι τὴν Σαμοθράκην. ἔνθα συγγενομένην Διῒ, τεκεῖν Ἠμαθίαν, Δάρδανον, Ἁρμονίαν. τὸν δὲ Κάδμον παραπλέοντα μετὰ Θάσου, ἐπὶ ζήτησιν τῆς ἀδελφῆς, μυηθῆναί τε, καὶ μυούμενον ἰδεῖν τὴν Ἁρμονίαν. συνοίᾳ δὲ Ἀθηνᾶς, ἁρπάσαι αὐτήν. ἀσφαλίζεται τὴν ὀνομασίαν τῆς ἡρωΐνης· ἐπεὶ οἱ παλαιότεροι Ἐπικάστην καλοῦσιν. καὶ Ὅμηρος, Μητέρα δ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην. ἔνιοι Ἁρμονίαν τὴν Ἠλέκτραν αὐτὴν, οὐ τὴν Ἄτλαντος λέγουσι γεγαμηκέναι. Γαμεῖ δὲ Λάϊος] Ἐπιμενίδης Εὐρύκλειαν τὴν Ἔκφαντος φησὶν αὐτὸν γεγαμηκέναι. ἐξ ἧς εἶναι τὸν Οἰδίποδα. οἱ δὲ δύο τὸν Λάϊόν φασι γῆμαι γυναῖκας, Εὐρύκλειαν καὶ Ἐπικάστην. καὶ τὸν Οἰδίποδα δὲ φασὶν Ἐπικάστην τὴν μητέρα γεγαμηκέναι, καὶ Εὐρυγάνειαν. Αἰσχύλος δέ φησιν, ὡς ἐκ χρησμοῦ τοὺς παῖδας ἀκούσας ἀλληλοκτονήσειν, ἐξέθηκε τὸν Πολυνείκην. Μνήσων δὲ, ἀμφοτέρους ἐκτεθῆναι. [16] Παίδων ἄλοκα] Ἐμπεδοκλῆς ὁ φυσικὸς ἀλληγορῶν φησὶν, ἔχεις τοὺς λειμῶνας Ἀφροδίτης, ἐν οἷς ἡ τοῦ παίδων φύσις ἐστίν. Εὐριπίδης δὲ, ταυτὸ τοῦτο φάσκων, τήν τε ἔννοιαν τὴν αἰσχρὰν ἀπέφυγε, καὶ τοῖς ὀνόμασιν οἰκείως ἐχρήσατο, γεωργικαῖς ταῖς μεταφοραῖς σπορὰν καὶ ἄλοκα λέγων. Ἄλλως. μεταφορικῶς, μὴ σπεῖρε τὴν ἄλοκα, ἀπὸ τῆς ἀρώσεως χρῆσ. Ἡδονῇ δοὺς] ἀντὶ τοῦ ἑαυτὸν δοὺς. καὶ πῶς προεγνωκυῖα τὸν χρησμὸν ἡ γυνὴ, οὐκ ἀπέστρεψε τῆς μίξεως τὸν Λάϊον; ἢ οὐ πρότερον εἶπεν αὐτῇ. ἢ εἶπε μὲν, ἡ δὲ ὑπώπτευε τὸ ῥηθὲν εἶναι ψεῦδος, διὰ τὸν ἔρωτα Χρυσίππου. Λειμῶν' ἐς Ἥρας] ἢ ὅτι πᾶς λειμὼν, ἱερόν ἐστιν Ἥρας. ἢ ὅτι Κιθαιρωνίας Ἥρας ἐστὶν ἐν Θήβαις ἱερόν. ὅσοι δὲ ἐγκαλοῦσιν ὡς ἐν ἱερῷ τόπῳ ἐκτεθέντος τοῦ παιδὸς, ἴστωσαν ὅτι καὶ Ἀθηναῖοι μὲν λέγονται ἱεραὶ τῆς Ἀθηνᾶς. ὀλίγος δὲ ἐστι τῆς ἀκροπόλεως ἐναγής τε καὶ ἱερὸς τόπος. καὶ λελογισμένοι δὲ ὅμως ἀνείλοντο τὸ βρέφος, ἴσως τῷ κάλλει νενικημένοι, καὶ τὴν ἴασιν εὐμαρῆ νομίσαντες αὐτῷ ἀπὸ τῆς βασιλείας ἔσεσθαι. [25] Δίδωσι βουκόλοισι] ἵνα ἀποθάνῃ. οὐ γὰρ ἤθελεν ἐκ τοῦ ἐμφανοῦς ἀνελεῖν τὸ βρέφος, φεύγων τὸ μῖσος. Ἱπποβουκόλοι] ἱπποφορβοί. τὸ δὲ βουκόλοι ἀπὸ τοῦ ἐπισήμου ζώου, ὡς τὸ νειλήλατες ἵππους ἔλεγον κατεβουκολοῦντο. τινὲς εἰς λάρνακα βληθέντα, καὶ εἰς θάλασσαν ῥιφέντα τὸν παῖδα προσπελασθῆναι τῇ Κορίνθῳ φασί.

ANNOTATIONES.

V. 18. Μὴ σπεῖρε τέκνων ἄλοκα] Hanc verecundiam *Euripidis Virgilius* eſt imitatus, ubi locum conceptionis *Genitale arvum* vocat, & nos quoque in *Eſtherâ* noſtrâ. V. 1216. Ἦ μὲ καὶ ἡμετέρης αἰεὶ ... Vid. *Turneb. Adverſ.* l. 19. c. 18. *Joſua Barnes.*

V. 19. Εἰ γὰρ τεκνώσεις] In ſecundo loco *Iambus*, τὸ κν enim in τεκνώσεις breve habendum (licet *Spondæus* videatur) cujus aliquot inſtantias hic proferre lubet.

Τυφλὸς] *Phœniſſ.* V. 1693. Προβαίνε τυφλῷ χέρ' ἐπὶ προσώπῳ δυστυχῶς.

Τέκμαρ] *Hecub.* V. 1273. Κυνὸς ταλαίνης σῆμα ναυτίλοις τέκμαρ.

Τέκνον] *Oreſt.* V. 1236. Ἀγάμεμνον, εἰσακούσῃ, ἔκουσον τέκνα.

Σκυθρωπὸς] Idem ibid. V. 1321. Κἀγὼ σκυθρωπὸς ὄμμασιν ἔξω κάρας.

Σαθρὸς] Idem *Hecuba*, V. 1190. Εὖ αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθρούς.

Ὄχλος] Idem *Oreſt.* 885. Ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος.

Πότμος, Πέπλος, Ὕπνος, Τεκμήριον, Γενέθλιον] Idem eodem modo corripit vocalem ante duplicem in πότμος, in πέπλος, in ὕπνος, in τεκμήριον, in γενέθλιον.

Λύχνον, Τέχνη] Et *Theocrit.* in Idyll. κδ. idem facit in ὕπνος, in λύχνον, in τέχνη. Sic *Iphigen. in Tauris*, V. 1174. prior ſyllaba τοῦ ὕπνου (& *Supplic.* V. 171. τοῦ ἱκνοῦμαι) brevis eſt, eodem modo, ut in Ἄτλας prior communis eſt tam apud *Græcos*, quàm *Latinos*, ut *Ovid. Metam.* l. 4.

Quantus erat mons factus Atlas; nam barba comæque. Id. l. 4.

Venit Atlantiades *poſitis caducifer alis, &c.*

Ἀριθμὸς] Ità *Delphicum* Oraculum, Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης. Et *Anthol.* l. 3. Τέσσαρες, ὡς αἰδῶ συνάριθμον ... ἡμαρ.

Σταθμὸς] Ibid. l. 4. Ἥρως Ἡετίων ἐπὶ σταθμὸν ἐμπεπολίτευ Ἵδρυμαι. Deinde *Homerus* Odyſſ. δ. V. 89. Ἀργύρεοι δὲ σταθμοὶ ἐν χαλκέῳ ἕστασαν οὐδῷ. Vid. Αὐλικοκατάσκοπον, ſive *Eſtheram* noſtram Not. ad V. 1438.

Λιχμάζω] *Oppian. Kyneg.* l. 3. V. 174.

Καὶ βόσκον χαιτήεντα πόδας χηλαῖς τε λιχμάζει.

Ἄδραστον] *Phœniſſ.* V. 858.

Καὶ τοῦδ' Ἄδραστον, κἄπτος ἱκέσιον δόμου. *Joſua Barnes.*

Ἔθηκε

Ἔθηκαν· ἡ δὲ, τὸν ἐμὸν ὠδίνων πόνον
Μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν.
Ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος
Παῖς οὑμὸς, ἢ γνοὺς, ἤ τινος μαθὼν πάρα,
Ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων,
Πρὸς δῶμα Φοίβου, Λάϊός θ' οὑμὸς πόσις,
Τὸν ἐκτεθέντα παῖδα μαστεύων* μαθεῖν
Εἰ μηκέτ' εἴη. Καὶ ξυνάπτετον πόδα
Ἐς ταυτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
Καί νιν κελεύει Λαΐου τροχηλάτης,
Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.
Ὁ δ' εἷρπ' ἄναυδος, μέγα φρονῶν· πῶλοι δέ νιν
Χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
Ὅθεν, (τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;)
Παῖς πατέρα καίνει, καὶ λαβὼν ὀχήματα,
Πολύβῳ τροφεῖ δίδωσιν. ὡς δ' ἐπίζαρει
Σφὶγξ ἁρπαγαῖσι πόλιν, ἐμὸς τ' οὐκ ἦν πόσις,
Κρέων τ' ἀδελφὸς τἀμὰ κηρύσσει λέχη·
Ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,
Τούτῳ ξυνάψειν λέκτρα. τυγχάνει δέ πως
Αἴνιγμ' ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθών.
Ὅθεν τύραννος τῆσδε γῆς καθίσταται,
Καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνει χθονός.

* MS. ἰδεῖν.

Posuerunt: ipſa verò mei puerperii laborem (i. e. filium)
Uberibus ſubmiſit, & ſuo viro perſuadet ſe peperiſſe.
Jam verò vir factus, cùm genæ inciperent flaveſcere
Filio meo, aut animadvertens ipſe, aut admonitus ab aliquo
Ivit, volens explorare parentes,
Ad domum Apollinis, & Lajus eòdem meus maritus,
Quærens cognoſcere expoſitum filium,
An non eſſet ſuperſtes: Et fortè conjungunt pedem
Ambo in idem loci in Phocidis bivio.
Et auriga Laii compellat eum:
O hoſpes, cede de viâ tyrannis:
Ille ſerpebat humi ſine voce, ſed animū excelſum gerens: equi verò eum
Ungulis rubeſecerunt ſanguine extremos pedum tendines.
Unde (ſed quid opus eſt aliena à meis malis dicere?)
Filius meus patrem ſuum occidit; & accipiens currus
Dat nutritio Polybo. Poſtquam verò infeſtabat
Sphinx rapinis urbem, extincto meo marito,
Creon frater præconium facit de connubio meo:
Quiſquis poſſet exponere ænigma ſapientis virginis,
Se daturum eſſe huic connubium: exponit fortè
Sphingis ænigma filius meus Oedipus.
Unde dominus hujus terræ factus eſt,
Et accipit ſceptra hujus terræ, tanquam præmium ſapientiæ.

Τὸν ἐμὸν ὠδίνων πόνον] ἀντὶ τοῦ τὸν πόνον τῶν ἐμῶν ὠδίνων. ἔχει δέ τι τοῦτο παραλλάττον πρὸς τὸ ἐμὸν αὐτῆς πρᾶγμα, καὶ τὰ τοιαῦτα. ἐν μὲν γὰρ ἐκείνοις δυοῖν ὄντων προσώπου καὶ πράγματος, εἴ τε προστεθείη ἀντωνυμία κατὰ γενικὴν ὀφειλούσης κεῖσθαι ἐπὶ τοῦ προσώπου διὰ τὴν προστεθεῖσαν ἑτέραν γενικὴν, κτητικὴ τίθεται πρὸς τὸ πρᾶγμα ἀντωνυμία. ἐνταῦθα δὲ τριῶν ὄντων, προσώπου, καὶ δυοῖν πραγμάτων, τῶν τε ὠδίνων καὶ τοῦ πόνου, καὶ τῶν μὲν ὠδίνων τοῦ προσώπου ὄντων, τοῦ δὲ πόνου τῶν ὠδίνων, ὤφειλεν ἡ κτητικὴ ἀντωνυμία ἐπὶ τῶν ὠδίνων κεῖσθαι. οὕτω γὰρ ἂν ἐφαίνετο πρόδηλον, ὅτι αἱ μὲν ὠδῖνες εἰσὶ τοῦ προσώπου, ὁ δὲ πόνος τῶν ὠδίνων. νυνὶ δὲ ἐπὶ τοῦ πόνου κεῖται, καὶ συγχεῖ, καὶ δυσδιανόητον ποιεῖ τὸν λόγον. [31] Μαστοῖς ὑφεῖτο] ὑπέβαλεν. εὐήθεις δὲ φασιν, οἱ λαλοῦ[illegible]νον ὑπεβάλλετο παιδίον. ὅσα γε καὶ ἐκτεθεῖμεν τάχα ἐξ ἡμῶν πεπηρωμένα. καὶ τί θαυμαστὸν ὑποβάλλεσθαι φοβουμένην μὲν ἐκποιεῖν, διὰ τὴν ἀπαιδίαν, ἀποκρύψασθαι δὲ τὴν τῆς ὑποβολῆς ὑποψίαν, διὰ τὴν ὑποῦσαν συμφορὰν τῷ βρέφει. καὶ τὸ ἐκθέσθαι δὲ διὰ τοῦτο, οὐκ ἀπογνῶναι. Ἤ τινος] ὅτι οὐκ εἴη παῖς Πολύβου γνήσιος, ἀλλὰ νόθος, ὁ μαθὼν παρά τινος τῶν ἡλικιωτῶν ὀνειδισθέντος, ὅτι εἴη νόθος. ἔνιοι δὲ φασὶν, εἰς Πυθῶνα ἐληλυθέναι τὸν Οἰδίποδα, ἵνα τροφεῖα δῷ τῷ Ἀπόλλωνι. [35] Λάϊός θ' οὑμὸς] ἤτοι τότε ὀνείρου προτρέψαντος αὐτόν. ἢ ὅτι λοιπὸν ὑπώπτευεν αὐτὴν τὴν ἡλικίαν τοῦ παιδὸς προκόπτειν. ἐβούλετο γὰρ ἢ τεθνεῶτα αὐτὸν ἀκούσας διάγειν ἀδεῶς, ἢ ζῶντα ἀκούσας φυλάττειν ἑαυτόν. Μαστεύων δὲ] ζητῶν, ὅθεν καὶ μαστὸς ὁ ἐπιζητούμενος παρὰ τῶν παίδων. Ἐς ταυτὸν] εἰς ταυτὸν τῆς σχιστῆς ὁδοῦ τῆς Φωκίδος συνάπτουσι τὸν πόδα, ἤτοι συντυγχάνουσι τὸν πόδα ἐπὶ τῆς σχιστῆς ὁδοῦ. οὕτως καλεῖται ἐν Φωκίσιν, ἐπεὶ διασχίζει τὴν ἐπὶ Βοιωτίαν, καὶ Θήβας, καὶ Ἀττικὴν, καὶ Κόρινθον ὁδόν. [39] Καί νιν κελεύει] καὶ ἐκέλευσεν αὐτὸν ὁ ἡνίοχος τοῦ Λαΐου ὑποχωρεῖν τῷ βασιλεῖ, ὤφειλεν εἰπεῖν. ὁ δὲ ἄλλως ἀρξάμενος, ἄλλως ἀποδίδωσι τὸν λόγον, ὥσπερ ἐν μεταμελείᾳ. [41] Πῶλοι δέ νιν] οἱ ἵπποι δὲ τοῦ Λαΐου ἐξῄμαξαν αὐτὸν, ἤγουν τὸν Οἰδίποδα τοῖς ἑαυτῶν ὄνυξι κατὰ τοὺς τένοντας τῶν ποδῶν. ὅμοιον τῷ, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. Ἐν χηλαῖς] ἐν ταῖς χηλαῖς τοὺς τῶν ποδῶν τοῦ Οἰδίποδος τένοντας ἐξῄμαξαν οὐχ ὑποχωροῦντος αὐτοῦ τῆς ὁδοῦ. Ὅθεν τί τἀκτὸς] ὑποστικτέον εἰς τὸ ὅθεν. ἔμελλε γὰρ ἴσως τὴν λοιδορίαν καὶ τὴν μάχην ἀμφοτέρων λέγειν. Τί τἀκτὸς] ποία μοι χρεία λέγειν τὰ ἔξω τῶν κακῶν, τὰς παρακολουθησάσας ὕβρεις, τοὺς διαπληκτισμοὺς οὐ λέγω, ἀλλ' αὐτὸ τὸ κακόν. ἐν συντόμῳ γὰρ παῖς πατέρα καίνει. [44] Παῖς πατέρα καίνει] ζητοῦσι πῶς εἰς τὸ μαντεῖον οὐκέτι ἀπῆλθεν ὁ Οἰδίπους. φασὶν ὅτι οὐκ ᾤετο τὸν θεὸν εὐθέως χρήσειν αὐτῷ μυσαρῷ γενομένῳ, πρὶν καθαρθῆναι, καὶ ἅμα ἵνα μὴ γνῷ ὅτι πατέρα ἔκτεινεν. ἐμάνθανε γὰρ καὶ τὴν μητέρα γῆμαι. ὅτι δὲ Πολύβῳ ἔδωκε τοὺς ἵππους, καὶ Ἀντίμαχος φησὶν ἐν * Λύδῃ,

Ἔστι δὲ φωνήσας, Πόλυβε, θρεπτήρια ταῦτα
Ἵππους τοι δώσω δυσμενέων ἐλάσας.

Ζητοῦσι δὲ πάλιν, πῶς οὐδὲ μίαν ζήτησιν πεποίηνται Θηβαῖοι, τεθνεῶτος αὐτοῖς τοῦ βασιλέως. λεκτέον, ὅτι εὐθὺς μὲν αὐτὸν οὐκ ἐπεζήτησαν, ἐν Δελφοῖς εἶναι νομίζοντες· μετὰ ταῦτα τῶν ἵππων ἀφανῶν γενομένων, λῃστῶν ἔδοξεν τοὔργον γεγονέναι. Ἄλλως. Δεῖ νοεῖν, ὅτι ὁ Οἰδίπους φονεύσας τὸν Λάϊον, ὡς ἐναγὴς παραχρῆμα οὐκ ἦλθεν εἰς τὸ ἱερόν. οὐ γὰρ ᾤετο χρήσειν αὐτῷ τὸν θεόν. ὑποστρέψας δὲ εἰς Κόρινθον μετὰ τῶν ἵππων Λαΐου, καὶ καθαρθεὶς τὸν φόνον, πάλιν ἐπὶ τῷ γνῶναι τοὺς γονεῖς ἐπανῆκε πρὸς τὸν θεόν. λαβὼν δὲ χρησμὸν, ὅτι ἐπὶ φθορᾷ τοῦ πατρὸς ἐτέχθη, καὶ συνουσίᾳ τῆς μητρὸς, ἀπέγνω Κόρινθον φυγεῖν τὴν νομιζομένην πατρίδα. γνοὺς δὲ τὸ Κρέοντος τὸ κήρυγμα, ἐπὶ τὸν ἀγῶνα καθῆκεν ἑαυτὸν τῆς σφιγγὸς, κινδύνῳ τὴν εὐτυχίαν θηρώμενος. [45] Ἐπίζαρει] ἐπέκειτο, ἐπιβαρεῖ· καὶ ζαρὸς ὄρνεον ἐστιν ἁρπακτικόν. τὴν δὲ σφίγγα οἱ μὲν ἔχειν πρόσωπον παρθένου, στῆθος δὲ καὶ πόδας λέοντος, πτερὰ δὲ ὄρνιθος. Σωσικράτης δὲ ἐγχωρίαν αὐτὴν φησὶ χρησμολόγον δύσγνωστα μαντευομένην. ἣν ἀγνοοῦντες οἱ Θηβαῖοι, καὶ ἐναντίως αὐτοῖς χρώμενοι, ἀπώλοντο. Ἀσκληπιάδης δὲ λέγει τοὺς Θηβαίους εἰς ἐκκλησίαν καθ' ἑκάστην ἀθροίζεσθαι διὰ τὸ λῦσαι αἴνιγμα τῆς σφιγγός. λόγος γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν, πρὶν ἂν τοὺς τῆς σφιγγὸς λύσωσι χρησμούς. Ὡς δ' ἐπίζαρει] ἐπέκειτο κακοποιοῦσα. ἁρπασθῆναι δ' ὑπ' αὐτῆς φασὶν Αἵμονα τὸν Κρέοντος παῖδα. τινὲς δὲ φασὶν, ὅτι μία τῶν σὺν ταῖς Κάδμου θυγατράσι μανεισῶν, μετεβλήθη εἰς τὸ ζῷον τὴν σφίγγα. [47] Τἀμὰ κηρύσσει λέχη] ἀνόητον φασὶν ἐπὶ τὸν τῆς ἀδελφῆς γάμον τὸν τυχόντα καλεῖν. ἀγνοοῦσι δὲ, ὅτι κατεπείγουσα συμφορὰ, καὶ παρὰ τὸ πρέπον τι πράττειν προτρέπεται. ἔπειτα καὶ ἄριστόν τινα ᾤετο τὸν ἐγχειρήσοντα τῷ ἀγῶνι. κατὰ γὰρ Πίνδαρον, ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.

* ἐν Λύδῃ] Mendum hic ſemper ſuſpicatus ſum. Quid enim commune cum *Lydâ* & *Oedipo*: puto itaque Λύδῃ pro Θήβῃ per errorem ſcriptum & hoc pro Θηβαΐδι Cujus Nominis Poema ab *Antimacho* ſcriptum memorant plurimi: verſus nonnullos ex eo citat *Pauſanias* in *Arcadicis*. Vid. *Amici* mei chariſſimi nuper defuncti *Nicolai Lloyd* Dictionarium *Hiſt. Geogr. Poeticum* in titulo *Antimachus Colophonius*. *Joſ. Barnes.*

ANNOTATIONES.

V. 30. Τὸν ἐμὸν ὠδίνων πόνον] pro τὸν ἐμῶν ὠδίνων πόνον, i. e. filium; ſed ἐμὸν tamen retinendum, ut Verſui conſulatur; & hanc lectionem agnoſcit & explicat *Scholiaſtes*.

Γαμεῖ δὲ τὴν τεκοῦσαν, οὐκ εἰδὼς τάλας,
Οὐδ' ἡ τεκοῦσα, παιδὶ συγκοιμωμένη.
Τίκτω δὲ παῖδας παιδὶ, δύο μὲν ἄρσενας,
Ἐτεοκλέα, κλεινήν τε Πολυνείκους βίαν,
Κόρας τε δισσάς. Τὴν μὲν Ἰσμήνην πατὴρ
Ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
Μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων,
Ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα,
Εἰς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
Χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
Ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
Κλείθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχη
Γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
Ζῶν δ' ἔστ' ἐν οἴκοις· πρὸς δὲ τῆς τύχης νοσῶν,
Ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
Τὼ δ' εἰς φόβον πεσόντε, μὴ τελεσφόρους
Ἀρὰς θεοὶ κραίνωσιν, οἰκούντων ὁμοῦ,
Ξυμβάντ' ἔταξαν, τὸν νεώτερον πάρος
Φεύγειν ἑκόντα τήνδε Πολυνείκην χθόνα·
Ἐτεοκλεᾶ δὲ σκῆπτρ' ἔχειν μένοντα γῆς,
Ἐνιαυτὸν ἀλλάσσοντ'· ἐπεὶ δ' ἐπὶ ζυγοῖς
Καθέζετ' ἀρχῆς, οὐ μεθίσταται θρόνων,
Φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκην χθονός.
Ὁ δ' Ἄργος ἐλθὼν, κῆδος Ἀδράστου λαβὼν,
Πολλὴν ἀθροίσας ἀσπίδ' Ἀργείων, ἄγει.
*Ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε, *MS. Ἐπ...
Πατρῷ' ἀπαιτεῖ σκῆπτρα, καὶ μέρη χθονός.
Ἐγὼ δ' ἔριν λύουσ', ὑπόσπονδον μολεῖν
Ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός.
Ἥξειν δ' ὁ πεμφθείς φησιν αὐτὸν ἄγγελος.
Ἀλλ', ὦ φαεινὰς οὐρανοῦ ναίων *πτύχας, *MS. πύλας.
Ζεῦ, σῶσον ἡμᾶς· δὸς δὲ ξύμβασιν τέκνοις.
“Χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτὸν
“Τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθεστάναι.

Indè ducit matrem ignorans miſer,
Nec ſciebat mater ſe cum filio concumbere.
Pario verò pueros meo filio: duos quidem mares,
Eteoclem, & clarum Polynicem,
Et duas filias, alteram Iſmenem pater
Vocavit, alteram majorem natu, ego Antigonem.
Cùm agnoviſſet autem, ſe maritum eſſe matris
Oedipus, ſuſtinens omnia mala,
Eruit ſibi oculos ſuos,
Aureis fibulis cruentans pupulas.
Poſtquam autem filiorum meorum genæ teguntur *barbâ*,
Abdiderunt patrem intra clauſtrum, nè ſpargeretur hæc calamitas,
Quæ ut celaretur, habebat opus multis artificiis,
Adhuc vivit domi: æger autem animo propter hanc calamitatem,
Diris devovet liberos execrandis,
Ut perdant hanc domum acuto ferro.
Filii mei verò incidentes in metum, nè ratas
Diras illas dii perficerent, ſi habitarent ſimul,
Paciſcentes conſtituerunt ut junior Polynices
Tantiſper volens exularet hâc terrâ:
Eteocles verò manens, ſceptra terræ teneret,
Per vices mutantes annum. Poſtquam autem in throno
Regni conſedit, non diſcedit ex regno,
Sed extrudit exulem Polynicem ex hâc terrâ.
Ille verò Argos veniens, junctus affinitate Adraſto,
Magnum conſcribens exercitum Argivorum adducit:
Et veniens ad ipſa hæc Thebana mœnia ſeptem-portarum,
Repetit paternum regnum, & partem terræ.
Ego verò & reconciliarem eos, perſuaſi filio Polynici,
Ut factis induciis veniret ad fratrem, priuſquam congrederentur acie:
Nuncius miſſus ait eum venturum eſſe.
At O inhabitans lucidas plicas cæli,
Jupiter, ſerva nos, da reconciliationem liberis.
“Oportet enim te, ſiquidem es ſapiens, mortalium, non ſinere
“Eundem hominem ſemper eſſe miſerum. *Exit Jocaſta.*

Γαμεῖ δὲ τὴν τεκοῦσαν] Φερεκύδης τὰ κατὰ τοὺς παῖδας Οἰδίποδος, καὶ τὰς γεγαμημένας οὕτως ἱστορεῖ. Οἰδίποδι φησὶ Κρέων δίδωσι τὴν βασιλείαν, καὶ τὴν γυναῖκα Λαΐου, μητέρα δὲ αὐτοῦ Ἰοκάστην. ἐξ ἧς γίνονται αὐτῷ Φράστωρ καὶ Λαόνυτος, οἳ θνήσκουσιν ὑπὸ Μινυῶν, καὶ Ἐργίνου. ἐπεὶ δὲ ἐνιαυτὸς παρῆλθε, γαμεῖ ὁ Οἰδίπους Εὐρυγάνειαν τὴν Περίφαντος. ἐξ ἧς γίνονται αὐτῷ, Ἰοκάστη, Ἀντιγόνη, Ἰσμήνη, ἣν ἀναιρεῖ Τυδεὺς ἐπὶ κρήνης, καὶ ἀπ' αὐτῆς ἡ κρήνη Ἰσμήνη ἐκλήθη. υἱοὶ δὲ αὐτῷ ἐξ αὐτῆς, Ἐτεοκλῆς καὶ Πολυνείκης. ἐπεὶ δὲ Εὐρυγάνεια ἐτελεύτησε, γαμεῖ Ἀστυμέδουσαν τὴν Σθενέλου. τινὲς δὲ Εὐρυγάνειαν ἀδελφὴν λέγουσιν εἶναι Ἰοκάστης τῆς μητρὸς Οἰδίποδος. Μαθὼν δὲ] γνοὺς δὲ τὰ ἐμὰ λέκτρα τὰ τῆς μητρὸς, ἀντὶ τοῦ ἐπιγνοὺς μητρὶ συγκοιμώμενος. τὸ δὲ μητρῴων γάμων, περιφραστικῶς, ἀντὶ τῆς μητρός. Εἰς ὄμμαθ' αὑτοῦ] ὅμοια καὶ Ἑλλάνικος. ἐν δὲ τῷ Οἰδίποδι, οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν. Ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ, ἐξομματοῦμεν, καὶ διόλλυμεν κόρας. πῶς δὲ φησὶν Ἰοκάστη μετὰ τοσαῦτα δυστυχήματα ζῇ; ῥητέον, ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλοτέρα μὲν ἀνδρός. ἔχει δὲ νοῦν ἔχουσα ἴσως. ἀεὶ γὰρ τοῖς παροῦσι δακρύοις, ἐμπεσεῖ τὸ θῆλυ τῆς ψυχῆς ἀναβολὴν τοῦ πάθους. Ἐπεὶ δὲ τέκνων] ὅτε δὲ ἤβησαν οἱ παῖδες, κλείθροις ἔκρυψαν τὸν πατέρα, ἵνα ἡ τύχη λήθῃ παραδοθῇ· χαλεπῶς δυσαπόκρυπτος οὖσα, καὶ πολλῆς δεομένη μηχανῆς εἰς τὸ λαθεῖν. Πολλῶν δεομένη] ἤτοι ἡ πολλῆς δεομένη μηχανῆς πρὸς τὸ λαθεῖν, ἢ πολλῶν παραινέσεων, καὶ πολλῆς εὐθυμίας, διὰ τὴν ὑπερβολὴν τοῦ πάθους. πρὸς δὲ τί ἥμαρτεν ὁ Οἰδίπους, ὅτι καὶ αὐτὸς τιμωρεῖται; φασὶ δὲ, ὅτι Πέλοψ Χρυσίππου ἁρπασθέντος, κατηράσατο μέχρι παίδων εἶναι τὸ κακόν. τινὲς δέ φασιν, ὅτι Λάϊος ἀνῃρέθη ὑπὸ Οἰδίποδος, ὅτι ἀμφότεροι ἤρων Χρυσίππου. Τὼ δ' εἰς φόβον] εἰκότως ἔδεισαν ἐνθυμηθέντες ὅσα Λαΐῳ συνέβη διὰ τὰς Πέλοπος ἀράς. Συμβάντ'] οὕτως ὁ τύπος εἰς ἀσυμφωνίαν ἄγει τὸ δρᾶμα. ἔδει γὰρ ἐξελάσαι ὑπόσπονδον τὸν Πολυνείκην, ἵνα διὰ τὸν ἑξῆς δίδυμος λόγος † ποτὲ μὲν ἐπ' ἡμᾶς ἔχοι, ἔστ' οὐκ ἔχοι. εἰ γὰρ ἀλλήλοις ὑπεχώρησαν ἐνιαυτὸν παρ' ἐνιαυτὸν ἄρχειν, πάντως καὶ τὰ ἐπιτήδεια ἐπορίζετο ὁ Πολυνείκης. δεῖ οὖν εἰδέναι, ὅτι οὐ πᾶσι συμφωνεῖ ἡ Πολυνείκους εἰς Ἄργος ἄφιξις. Φερεκύδης γὰρ ἐκβεβλῆσθαι τὸν Πολυνείκην φησὶ μετὰ βίας. Ἑλλάνικος δὲ ἱστορεῖ, κατὰ συνθήκας αὐτὸν συγχωρῆσαι τὴν βασιλείαν Ἐτεοκλεῖ, λέγων αἵρεσιν αὐτῷ προτεῖναι τὸν Ἐτεοκλῆ, εἰ βούλοιτο τὴν βασιλείαν ἔχειν, ἢ τὸ μέρος τῶν χρημάτων λαβεῖν, καὶ ἑτέραν πόλιν οἰκεῖν. τὸν δὲ λαβόντα τὸν ὅρμον, καὶ τὸν χιτῶνα Ἁρμονίας, ἀναχωρῆσαι εἰς Ἄργος, κείνατος τοῦ μέρους τῆς βασιλείας Οἰδίποδος συγχωρῆσαι. ὧν τὸν μὲν ὅρμον Ἀφροδίτη, τὸν δὲ χιτῶνα Ἀθηνᾶ ἐχαρίσατο, ᾧ καὶ δίδωσι τὴν θυγατέρα Ἄδραστος Ἀργείαν ἔδνον. Εὐριπίδης ταῖς δύο ἱστορίαις ἐχρήσατο, ἐνταῦθα μὲν τῷ Φερεκύδῃ, ὕστερον δὲ τῷ Ἑλλανίκῳ. ὁ μὲν Εὐριπίδης τὸν Ἐτεοκλέα, ὁ δὲ Σοφοκλῆς τὸν Πολυνείκην, μείζονα οἶδεν ἐν Οἰδίποδι. Ἐπεὶ δ' ἐπὶ ζυγοῖς] ἀντὶ τοῦ ἐπὶ τὴν βασιλείαν. μετενήνοχε δὲ ἀπὸ τῶν κυβερνητῶν. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ, Ζεὺς δ' ὑψίζυγος. ἐπὶ γὰρ τοῦ ὑψίστου ζυγοῦ καθήμενος, ὡς κυβερνήτης πάντας φέρει τοὺς οἴακας. Κῆδος] ἐπιγαμβρεία. λείπει δὲ ὁ καί. Ὑπόσπονδον] μετὰ σπονδῶν καὶ φιλίας. Πρὶν ψαῦσαι] πρὶν τὸν πόλεμον συγκροτηθῆναι. Ναίων πτύχας] ἐὰν μὲν ἀπὸ τοῦ πτύξ, πτύχας· ἐὰν δὲ ἀπὸ τοῦ πτυχή, πτυχάς. Εἰ σοφὸς πέφυκας] ἐπειδὴ τῶν εὐσεβῶν ἐπίσκοπος.

†V. 405.

ANNOTATIONES.

V. 58. Ἀντιγόνην ἐγώ] ex unico hoc loco patet, Morem fuiſſe, Mares ſcilicet à *Patribus*, Puellas infantes à *Matribus* nominari; aliquandò & à Patribus.

V. 68. Θηκτῷ σιδήρῳ, &c.] Hunc locum *Plutarchus* in *Pyrrho* laudat. Vid. *Hugo Grotii* De Jure Belli & Pacis, *Prolegom.* § 23. in Notis.

V. 74. Ἐτεοκλεᾶ] ità ſcribo ut Metro conſulam à Recto Ἐτεοκλέης, ἕος, quod facit in Atticâ contractione Accuſ. Ἐτεοκλεᾶ, ut τὸν ἱερέα, ἱερᾶ. Vid. hujus Fabulæ, V. 1258.

Παι. Ὦ κλεινὸν

Παι. Ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρί,
Ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
Μεθῆκε, μελάθρων δ' ἐς διῆρες ἔσχατον,
Στράτευμ' ἰδεῖν Ἀργεῖον ἱκεσίαισι σαῖς,
Ἐπίσχες, ὡς ἂν προὐξερευνήσω στίβον,
Μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται.
Κἀμοὶ μὲν ἔλθοι φαῦλος ὡς δούλῳ ψόγος,
Σοὶ δ' ὡς ἀνάσσῃ. πάντα δ' ἐξειδὼς, φράσω,
Ἅτ' εἶδον, εἰσήκουσά τ' Ἀργείων πάρα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
Ἐνθένδ' ἐκεῖσε, δεῦρό τ' αὖ κείνου πάρα.
Ἀλλ' οὔτις ἀστῶν τοῖσδε χρίμπτεται δόμοις,
Κέδρου παλαιὰν κλίμακ' ἐκπέρα ποδί·
Σκόπει δὲ πεδία, καὶ παρ' Ἰσμηνοῦ ῥοὰς,
Δίρκης τε νᾶμα, πολεμίων στράτευμ' ὅσον.

Pæ. O Antigone egregium germen patris in domo
Poſtquam te mater gynæceum relinquere
Permiſit, & in extremam contignationem domûs aſcendiſti,
Ut videas exercitum Argivorum propter preces tuas:
Expecta, donec inveſtigavero viam.
Nè quis civium in viâ appareat,
Et mihi ut ſervo, veniat mala reprehenſio,
Tibique tanquam reginæ: cùm verò exploraverim omnia, dicam
[redacted] quæ vidi [redacted] quæ audivi ab Argivis;
Quando veni ferens fratri tuo fidem publicam
Hinc illuc, & huc rurſus ab illo.
Sed nemo civium appropinquat [redacted] ædibus;
Supera pedibus veteres ſcalas ex cedro factas:
Et conſidera campos ad Iſmenum fluvium,
Et fontem, quantus exercitus hoſtium.

Ὦ κλεινὸν] σύστημα προκατασκευαστικὸν τῶν ἑξῆς ἀλλοιοστρόφων συστημάτων, στίχων ἰαμβικῶν τριμέτρων τε, ἐπὶ τῷ τέλει παράγραφος. Ὁμηρικῷ ζήλῳ ἀνάγει Εὐριπίδης Ἀντιγόνην ἰδεῖν τὸ στράτευμα, ὥσπερ ἐκεῖνος Ἑλένην ἐποίησε. πλὴν ὅσον ἐκείνη μὲν τῷ Πριάμῳ δεικνύει τὰ τοῦ στρατεύματος, Ἀντιγόνῃ δὲ ὁ παιδαγωγὸς διηγεῖται. Ὦ κλεινὸν] ὦ Ἀντιγόνη, ἔνδοξον τῷ πατρὶ βλάστημα ἐν τοῖς οἴκοις, ἐπεὶ σὲ ἡ μήτηρ κατέλιπε διὰ τὰς σὰς ἱκεσίας ἐκλιπεῖν τοὺς παρθενῶνας, καὶ ἀνελθεῖν δηλονότι εἰς τὸ ἔσχατον ὑπερῷον τῶν μελάθρων, ὥστε ἰδεῖν τὸ στράτευμα τὸ Ἀργεῖον, ἐπίσχες, σαυτὴν δηλονότι, ἀνάμεινον, ὡς ἂν προεξερευνήσω, καὶ ἴδω τὴν ὁδὸν, μή τις ἀπὸ τῶν πολιτῶν φαίνεται ἐν τῇ ὁδῷ, καὶ ἐμοὶ μὲν ἔλθοι καὶ καταλάβοι κακὸς ψόγος ὡς δούλῳ, σοὶ δὲ καθὰ ἀνάσσῃ καὶ κυρίᾳ. πάντα δὲ φράσω καὶ εἴπω, ἅ τινα ἐθεασάμην, καὶ εἰσήκουσα παρὰ τῶν Ἀργείων, ὅτε ἦλθον φέρων τῷ σῷ ἀδελφῷ σπονδὰς ἐνθένδε ἀπὸ τούτου τοῦ τόπου ἐκεῖσε παρ' ἐκείνου δὲ πάλιν ἐνταῦθα· ἀλλ' οὐδεὶς ἀπὸ τῶν πολιτῶν πλησιάζει ἐν τοῖς δόμοις. διέρχου δὲ διὰ τοῦ ποδὸς τὴν παλαιὰν κλίμακα τὴν ἀπὸ τοῦ κέδρου, καὶ σκόπει τὰ πεδία, καὶ τὰ ῥεύματα τοῦ Ἰσμηνοῦ, καὶ τὸ νᾶμα τῆς Δίρκης τῆς πηγῆς, ὅσον ὑπάρχει τὸ στράτευμα τῶν πολεμίων. Ὦ κλεινὸν οἴκοις, ἡ τοῦ δράματος διάθεσις, ἐνταῦθα ἀγωνιστικωτέρα γίνεται. τὰ γὰρ τῆς Ἰοκάστης παρελκόμενά εἰσι, καὶ ἕνεκα τοῦ θεάτρου ἐκτέταται. ἡ δὲ ἔξοδος τῆς παρθένου, εἰκὼν ἐστὶ τῆς Ὁμηρικῆς τειχοσκοπίας τῆς Ἑλένης, ἐκ τοῦ ἐναντίου. ἐκεῖ γὰρ γυνὴ τῷ γέροντι δείκνυσι, διδάσκει δὲ σχεδὸν(?) παρθένον φιλάδελφον(?) κατ' ἐπιθυμίαν μὲν αὐτῆς, παιδαγωγίας δὲ ὀρθῶς, χρόας τε μὴ τῆς τυχούσης, ἀπειργούσης τὴν ἔξοδον. Ἄλλως. εὐδιοίκητος ἂν ἡ τῆς Ἀντιγόνης ἔξοδος· καλῶς δὲ τὴν βασιλικὴν παρθένον οὐ γυναῖκες φυλάττουσιν, ἀλλ' ὁ διὰ τὸ γῆρας σώφρων καὶ φρόνιμος. τοιγαροῦν οὐκ ἀσκέπτως μετ' αὐτῆς ἔξεισιν, ἀλλ' ἐρημίαν παραφυλάξας. ἐνόμιζε γὰρ διὰ τὸν πάσης πόλεως κίνδυνον, δεῖν τὴν τῆς κόρης μέλεσθαι ποιεῖν εὐταξίαν. [90] Διῆρες ἔσχατον] διῆρες τὸ δίστεγον ὑπερῷον, ὡς μόνον μονῆρες, δύο διῆρες, ἀπὸ τοῦ δὶς καὶ δύο οὔσης τῆς ὀροφῆς. καταχρηστικώτερον δὲ κἂν ὄροφον ᾖ, κἂν πολύστεγον, οὕτως λέγεται. οἱ δὲ διῆρες καὶ δηρὸν(?) καὶ ὑπαίθριον. Μή τις πολιτῶν] ταῦτα καταμηχανᾶται φασὶ τὸν Εὐριπίδην, ἵνα τὸν πρωταγωνιστὴν ἀπὸ τοῦ τῆς Ἰοκάστης προσώπου μετασκευάσῃ. διὸ οὐ συνεμφαίνεται αὐτῷ Ἀντιγόνη, ἀλλ' ὕστερον. οἰκονομικῶς δὲ ὁ ποιητὴς φησὶν αὐτὸν ἀπεστάλθαι εἰς τὸ στρατόπεδον, ὅπως εὔλογον ἔχῃ πρόφασιν τοῦ ἐπιγινώσκειν ἅπαντας. διὰ δὲ τοῦ κέδρου παλαιὰν κλίμακα, λεληθότως τὸν πλοῦτον τῶν βασιλέων παρέστησεν, ὅτι γε κεδρίνην τὴν κλίμακα φησί. Δίρκης τε νᾶμα] Δίρκη, κρήνη Θηβῶν, πλησίον τοῦ Ἰσμηνοῦ, ἀπὸ Δίρκης ὀνομασθεῖσα. οἱ γὰρ περὶ Ζῆθον καὶ Ἀμφίονα ἐκτεθέντες ὑπὸ τῆς μητρὸς Ἀντιόπης, καὶ τραφέντες ἐν τοῖς βουκόλοις τῆς Δίρκης, ἐβουκόλουν αὐτῇ. ὕστερον δὲ παρέδωκαν αὐτοῖς τὴν Ἀντιόπην ἐπὶ τὸ διὰ ταύρων διασπάσαι. οἱ δὲ γνόντες αὐτὴν μητέρα αὐτῶν, αὐτῆς μὲν ἐφείσαντο, τὴν δὲ Δίρκην ἐπὶ τῶν ταύρων διέσπασαν. καὶ ὁ τόπος ἔνθα ἐρρίφη, Δίρκη καλεῖται, καὶ ὁ τόπος, καὶ ὁ ποταμός.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

Αν. 1 Ὄρεγε νῦν ὄρεγε γεραιὰν
2 Νέᾳ χεῖρ' ἀπὸ κλιμάκων
3 Ποδὸς ἴχνος ἐπαντέλλων.
Παι. Ἰδοὺ, ξύναψον παρθέν'· εἰς καιρὸν δ' ἔβης·
Κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
Στράτευμα, χωρίζουσι δ' ἀλλήλων λόχους.

Στροφὴ β'.

Αν. 1 Ἰὼ πότνια παῖ Λατοῦς
2 Ἑκάτα, κατάχαλκον ἅπαν

Strophe I.

An. 1 Porrige nunc, porrige ſenilem
2 Juveni manum de gradibus,
3 Sublevans veſtigium pedis.
Pæ. Ecce junge manum virgo, opportunè aſcendiſti,
Exercitus enim Græcorum jam movetur,
Jam ſeparant [redacted] ſe invicem cohortes.

Strophe II.

An. 1 O veneranda filia Latonæ
2 Hecate, æneus totus

Ὄρεγε νῦν] τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀνομοιόστροφα κυρίως, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν, καὶ εἰσὶ τῆς παρούσης στροφῆς τὰ κῶλα γ'. τὸ α'. παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων τετάρτων δύο καὶ σπονδείου. τὸ β' ἀντισπαστικὸν δίμετρον, ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ διιάμβου. τὸ γ' ἀναπαιστικὸν δίμετρον γλυκώνειον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος, κατὰ προκοπὴν(?) ἴαμβος, εἶτα παράγραφος. ὄρεγε καὶ πάρεχε ἀρτίως ἀπὸ τῶν κλιμάκων τὴν χεῖρα τὴν γεραιὰν, τῇ ἐμῇ νέᾳ χειρὶ ἐπανατέλλων καὶ ἀναβιβάζων τὸ ἴχνος τοῦ ποδός. Ὄρεγε νῦν] πάρεχε μοι τὴν χεῖρα ὁδηγὸν, ἤγουν ὁδήγει με. ἢ ἀντὶ τοῦ ἔκτεινε τὴν παλαιάν σου χεῖρα ἐμῇ τῇ νέᾳ, ἅμα προσαναβαίνων. ἐπαντέλλων γὰρ ἀντὶ τοῦ ἐπανάγων, ἡ μεταφορὰ ἀπὸ τοῦ Ἡλίου. καὶ γὰρ οὗτος εἰς τὸ ὑψηλὸν τοῦ οὐρανοῦ ἀναβαίνει. [106] Ἰδοὺ] ὦ παρθένε, ἰδοὺ σύναψον, ἐγκαίρως γὰρ ἐπορεύθης. κινούμενον γὰρ ὑπάρχει τὸ Ἀργεῖον στράτευμα. χωρίζουσι δὲ καὶ ἀποχωροῦσιν ἀλλήλων τοὺς λόχους καὶ τὰ τάγματα. Ἰὼ πότνια] ἡ β' αὕτη στροφὴ, κώλων ἐστὶ γ'. τὸ α' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, γλυκώνειον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου α'. τὸ β' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ' προχαϊκὸν πενθημιμερὲς, ἐκ τοῦ α' παιῶνος χορείου. εἰ δὲ βούλει, παιωνικὸν ἡμιόλιον. ἐκ παίωνος δὲ καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος. Ἰὼ] φεῦ, ὦ θύγατερ τῆς Λατοῦς σεβασμία σελήνη. ἅπαν γὰρ τὸ πεδίον ἀστράπτει κατάχαλκον, ἤτοι ἔνοπλον. οὐ γὰρ φαύλως καὶ ἀπρεπῶς ἦλθε καὶ κατέλαβεν ὁ Πολυνείκης τὴν γῆν, ἀλλὰ βρέμων καὶ ἠχῶν ἐν πολλοῖς ἵπποις, καὶ μυρίοις ὅπλοις. Ἰὼ πότνια] ἡ παρθένος τὴν Ἄρτεμιν ἀνακαλεῖται, ἐπειδὴ τὸ πεδίον ἀστράπτον ἑώρα. τὸ δὲ τῆς σελήνης εἶδος τοιοῦτον. εἰς γὰρ τὴν σελήνην ἀλληγορεῖται ἡ Ἄρτεμις, διὰ τοῦτο ἐκπλαγεῖσα(?), πρὸς τὴν Ἄρτεμιν ποιεῖται τὸν λόγον. εἰ δέ τις εἴποι, ὅτι καιρὸν εἶχε τὸ ταύτην ἐπιβοᾶσθαι ὡς πολεμικήν(?), οὐδὲν βλάβος τῷ λόγῳ.

ANNOTATIONES.

V. 88. Ὦ κλεινὸν οἴκοις Ἀντιγόνη] Ex hoc loco *Statius* ſibi viam patefecit ad producendam *Antigonam* exercitûs *Thebani* ſpectatricem. *Thebaidos* l. IX. (ubi Pædagogum vocat *Phorbam.*)

Turre procul ſolâ, nondum conceſſa videri
Antigone populis, teneras defenditur atrâ
Veſte genas, juxtàque comes, quo Laïus ibat
Armigero, &c.

V. 90. Διῆρες] Ità ſcribo pro τὸ διῆρες. *Scholiaſtes* διῆρε malè retinet, explicat pejus. *Joſ. Barnes.*

3 Πεδίον ἀστράπτει.

Πα. Οὐ γάρ τοι φαύλως ἦλθε Πολυνείκης χθόνα,
Πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων.

Στροφὴ γ'.

Αν. 1 Ἆρα πύλαι κλείθροις,
2 Χαλκόδετά τ' ἔμβολα
3 Λαΐνοις Ἀμφίονος ὀργάνοις
4 Τείχεος ἥρμοσται;

Πα. Θάρσει· τά γ' ἔνδον, ἀσφαλῶς ἔχει πόλις.
Ἀλλ' εἰσόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.

Στροφὴ δ'.

Αν. 1 Τίς οὗτος ὁ λευκολόφας,
2 Πρόπαρ ὃς ἀγεῖται στρατοῦ,
3 Πάγχαλκον ἀσπίδ' ἀμφὶ
4 Βραχίονι κουφίζων;

Πα. Λοχαγός, ὦ δέσποινα. A. Τίς; πόθεν γεγώς;
Αὔδασον, ὦ γεραιέ, τίς ὀνομάζεται;

Πα. Οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,
Λερναῖα δ' οἰκεῖ νάμαθ' Ἱππομέδων ἄναξ.

Στροφὴ ε'.

Αν. 1 Ἒ ἔ ὡς γαῦρος, ὡς φοβερὸς
2 Εἰσιδεῖν, γίγαντι
3 Γηγενέτα προσόμοιος,

3 Campus fulget.

Pa. Non segnitèr enim venit in hanc terram Polynices,
Instructus magno equitatu, & multis clypeis strepens.

Strophe III.

An. 1 Nunquid portæ claustris,
2 Æneique vectes
3 Saxeis Amphionis operibus
4 Juncti sunt muris?

Pa. Confide: quod interiora attinet, benè munita est urbs.
Sed vide primum, si vis scire quis sit.

Strophe IV.

An. 1. Quis est ille fulgenti cono,
2 Qui antecedit exercitum,
3 Æneum clypeum circa
4 Brachium leviter gerens?

Pa. Dux est, ô domina. An. Quisnam? Unde natus?
Dic, ô senex, quomodo nominatus?

Pa. Hic Mycenæus quidem dicitur genere,[a]
Habitat verò ad Lernæam paludem, rex [a] Hippomedon.

Strophe V.

An. 1 Heu, quàm superbus, quàm terribilis
2 Aspectu, Giganti
3 Terrigenæ similis:

Ἀστράπτει] τὴν ὑπερβολὴν τῆς καταπλήξεως ἐμφαίνει, ὅλον λέγων ἀστράπτειν τὸ πεδίον, καὶ τοι ὀλίγον μέρος αὐτοῦ κατεῖχον οἱ πολέμιοι. οἰκείως δὲ τὸ ἀστράπτειν ἐνταῦθα. τοιαύτη γὰρ ἡ τοῦ χαλκοῦ φύσις, ὁπόταν τις ἐν Ἡλίῳ κινήσειεν αὐτόν. πῶς δὲ ἐνταῦθα φησὶ κατάχαλκον πεδίον. ἐν δὲ τοῖς ἑξῆς φησὶ λευκάσπιν εἰσορῶμεν Ἀργείων στρατόν, ἀλλ' οὐ πάντες ἦσαν λευκασπίδες. περὶ γοῦν τινος φησὶ πάγχαλκον ἀσπίδ' ἀμφὶ βραχίονι κουφίζων. ἢ καὶ ἀπὸ τῶν ἄλλων ὅπλων κατάχαλκον φησὶ τὸ πεδίον θωράκων τε καὶ κνημίδων καὶ κρανῶν. [114] Ἆρα πύλαι] ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ δ. τὸ α δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ σπονδείου. τὸ β παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος α καὶ δακτύλου. τὸ γ προσοδιακὸν, τρίμετρον καταληκτικόν. ἐκ χοριάμβου ἰωνικοῦ ἀπὸ μείζονος, καὶ κρητικοῦ. τὸ δὲ δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει, χοριαμβικὸν καθαρὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. Ἆρα πύλαι] ἆρα αἱ πύλαι καλῶς τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖς λαϊνέοις Ἀμφίονος ὀργάνοις, ὅ ἐστι τῷ λαϊνέῳ τείχει. ὀργάνοις δὲ τοῖς ἔργοις, ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ Σοφοκλῆς, ξυνθεμίλιοτης κνεφόπλαστον ὄργανον, ἀντὶ τοῦ ἔργον. καὶ ἔμβολα, οἱ μὲν τοὺς καθέτους, οἱ δὲ τοὺς στροφεῖς. Ἄλλως. χαλκόδετα ἔμβολα, τοὺς στροφεῖς, παρὰ τὸ ἐμβάλλεσθαι τῇ ὀπῇ τοῦ οὐδοῦ. χαλκόδετα δὲ, ἐπεὶ χαλκῷ περιεσφιγμένοι εἰσὶν οἱ στροφεῖς, διὰ τὸ μὴ προσεσθιόμενον ἐξαλθεῖν τὸ ξύλον. ἆρα οὖν φησὶν, αἱ πύλαι καλῶς τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ οἱ στροφεῖς καλῶς ἐνηρμόσθησαν πρὸς τὸ λαΐνεον τεῖχος, καὶ τὰς ὀπὰς, ὅ ἐστι τὸ ἔργον τοῦ Ἀμφίονος. ἡ θαρσήσασα δὲ τοῖς κλείθροις, καὶ περὶ τῶν στροφέων φησὶ, μή ποτε καὶ τοὺς στροφεῖς τῶν θυρῶν ἀναχαλᾶν δυνήσονται οἱ Ἀργεῖοι, μὴ ἐν βάθει ἡρμοσμένους. ἄλλοι ἔμβολα φασὶ τὰς καθέτους, τὰ νῦν καλούμενα πτερά, ἅπερ ἐστὶ τῇ κατασκευῇ τοιάδε, θύραν κατασκευάσαντες ἴσην κατά γε μῆκος καὶ πλάτος τῇ πύλῃ τοῦ τείχους ἔξωθεν αὐτῆς χαλκοπέταλα καθηλοῦσιν, ὡς ὁλόχαλκον τὴν θύραν νομίζεσθαι, ταύτην ἐπάνω τῆς θύρας ἱστᾶσιν οὐχ ἑδραίαν, ἀλλ' ὥσπερ κρεμαμένην. τῶν δὲ πυλῶν κλειομένων, καθιᾶσιν ἄνωθεν τὴν κεχαλκωμένην θύραν, ἥ τις μέχρι τοῦ ἐδάφους φθάνουσα καλύπτει τὴν θύραν, ὡς ἂν μηδὲ μίαν ἐπιβουλὴν γίνεσθαι, εἴθ' ὅτε καὶ πυρὸς προσφερομένου ταῖς πύλαις ξυλίναις οὔσαις, καὶ πολεμίων πολιορκούντων, τάς τε πύλας ἔκλειον, καὶ τὰ ἔμβολα καθίεσαν. εἰρήνης δὲ οὔσης διὰ τὸ τὰς πύλας δυσχέρειαν παρέχειν ἔν τε τῷ κλείεσθαι καὶ ἀνοίγεσθαι. ταύτας μὲν εἶναι ἀνεῳγμένας διαπαντός. ἑκατέρας δ' ἠρκοῦντο τῷ ἐμβόλῳ, διά τινος μηχανήματος αὐτὸ καθιέντες καὶ ἀνέλκοντες. ἔμβολον δὲ καλεῖ ἐκ τοῦ ἄνωθεν ἀπὸ τοῦ τείχους ἐμβάλλεσθαι ἔξωθεν τῶν πυλῶν. χαλκόδετον δὲ, διὰ τὸ δεδέσθαι καὶ ἠσφαλίσθαι χαλκῷ. ὁ δὲ νοῦς, ἆρα αἱ πύλαι τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ τὰ χαλκόδετα ἥρμοσαι τοῖς Ἀμφίονος λαϊνίοις τοῦ τείχους ὀργάνοις, τουτέστι τοῖς ὑπὸ Ἀμφίονος κατασκευασθεῖσι τείχεσιν. ὁ μὲν γὰρ Κάδμος ἔκτισε τὰς Θήβας, Ἀμφίων δὲ καὶ Ζῆθος ἐτείχισαν. [116] Λαΐνοις Ἀμφίονος ὀργάνοις] ἀντὶ τοῦ ἔργοις τοῖς μουσικῇ γινομένοις. φασὶ γὰρ, ὡς Ἀμφίων οἰκοδομούμενος Θήβας, ὅτε διετίθει τὸν τειχισμὸν, οὐ χερσὶν ἐχρῆτο πρὸς τοῦτο, οὐδὲ ἦσαν οἱ συναιρόμενοι αὐτῷ τῆς οἰκοδομίας, ἀλλὰ τῆς αὐτοῦ μουσικῆς ἐποιεῖτο τὸ ἔργον, μέλος ἀνακρουόμενος, κἀντεῦθεν τοὺς λίθους κινῶν, καὶ κατασκευάζων τὰ τείχη. ἐγένετο δὲ τὸ τεῖχος ἑπτάπυλον, ὅσοι οἱ τῆς λύρας τόνοι. Θάρσει, τά γ' ἔνδον] θάρρος ἔχε· τὰ ἔνδον γὰρ καὶ τὰ ἐντὸς, ἀσφαλῶς καὶ βεβαίως ἔχει ἡ πόλις. Ἀλλ' εἰσόρα] βλέπε εἰ βούλει καὶ θέλεις γνῶναι τὸν πρῶτον στρατηγόν. [120] Τίς οὗτος] τίς ἐστιν οὗτος, ὁ λευκὴν φέρων κόρυθα, ὅς τις ἔμπροσθεν προοδοποιεῖ τοῦ στρατοῦ, κρατῶν ἀμφὶ τὸν βραχίονα ἀσπίδα πάγχαλκον. Ὁ λευκολόφας] ὁ λαμπρὸν ἔχων περικεφαλαίαν. Ὃς ἀγεῖται] ὅστις ἔμπροσθεν ἡγεῖται τοῦ στρατοπέδου, ὁλόχαλκον ἀσπίδα περὶ τὸν βραχίονα βαστάζων. Λοχαγὸς] ταξίαρχος, ὦ δέσποινα, τίς, καὶ ἐκ ποίου τόπου γεγονώς. εἰπὲ, ὦ γεραιὲ, τίς καλεῖται κατὰ τὸ ὄνομα, Οὗτος ὀνομάζεται Μυκηναῖος τὸ γένος, Ἱππομέδων βασιλεύς. Λοχαγὸς] ταξίαρχος, ἡγεμών. Μυκηναῖος] οἱ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος. φησὶν οὖν ὅτι Μυκηναῖος ἐστὶν, οἰκεῖ δὲ περὶ τὴν Λέρνην, τὴν ἐν Μυκήναις πηγὴν, ὅ ἐστι τὴν ἐν Ἄργει πηγήν. Λερναῖα] ἀπὸ μέρους τὸ Ἄργος. Λέρνη γὰρ πόλις καὶ πηγὴ τοῦ Ἄργους. Ἒ ἒ ὡς γαῦρος] ἒ ἒ, αὕτη στροφὴ, κώλων ἐστὶ ε. τὸ α ἰωνικὸν ἀπ' ἐλάττονος, δίμετρον ὑπερκατάληκτον. ἐξ ἰωνικοῦ β καὶ συλλαβῆς. τὸ β τροχαϊκὸν ἰθυφαλλικόν. τὸ γ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ε ἀναπαιστικὸν, δίμετρον, ἀκατάληκτον. εἰ δὲ βούλει, προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος. Ἒ ἒ ὡς γαῦρος] ἐπηρμένος τῷ σώματι, καὶ διὰ τοῦ σχήματος ἐμφαίνων τὸ αὔθαδες τῆς ψυχῆς. Ἄλλως. Τὸ ἑξῆς ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν, ἀστεροπὸς ἐν γραφαῖσι, γίγαντι γηγενέτᾳ προσόμοιος, οὐχὶ προσφορὴς ἁμερίῳ γένει.

ANNOTATIONES.

V. 121. Ἀγεῖται] τὸ Ἄγει quod prius obtinebat, deleo, quia sensus hoc verbum non agnoscit & Scholiastes legit ἀγεῖται, & MS. quod longè melius.
V. 127. Nomina τῶν Ἑπτὰ ἐπὶ Θήβαις hinc incipiunt, viz.
[a] *Hippomedon*, [2] *Tydeus*, [3] *Parthenopæus*, [4] *Polynices*, [5] *Amphiaraus*, [6] *Capaneus*, [7] *Adrastus*.
[1] *Aristomachi* filius, [2] *Oenei*, [3] *Meilanionis* & *Atalantæ*, [4] *Oedipi* & *Jocastæ*, [5] *Oeclei*, [6] *Hipponoi*, [7] *Talai*.

De quibus vid. *Euripid.* Suppl. à V. 861. ad 902. *Hyginum*, l. 2. c. 70. *Statii Thebaida* & *Æschyli* Tragœdiam Ἑπτὰ ἐπὶ Θήβαις inscriptam, & *Sophocl.* Oed p. ἐπὶ Κολωνῷ, V. 1308. ad V. 1320. & *Apollodori Thebaica* & Poema ità dictum *Anonymi*; *Eustathium* denique in *Homeri* Iliad. fol. 489. lin. 36. *Jos. Barnes.*

4 Ἀστεροπὸς

4 Ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ
5 Προσφορὸς * ἀμερίῳ γέννᾳ. *MS. ἁμερίων.
Παι. Τόνδ' ἐξαμείβοντ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ,
Λοχαγόν; Α. ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
Τίς δ' ἐστὶν οὗτος; Π. παῖς μὲν Οἰνέως ἔφυ
Τυδεὺς, Ἄρην δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.

Στροφὴ ς'.

Αν. 1 Οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
2 Αὐτοκασιγνήτας νύμφας
3 Ὁμόγαμος κυρεῖ;
4 Ὡς ἀλλόχρως ὅπλοισι μιξοβάρβαρος.
Παι. Σακεσφόροι γὰρ πάντες Αἰτωλοὶ, τέκνον,
Λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.
Αν. Σὺ δ', ὦ γέρον, πῶς αἰσθάνῃ σαφῶς τάδε;
Παι. Σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
Ἃ προσδεδορκὼς, οἶδα τοὺς ὡπλισμένους.

Στροφὴ ζ'.

Αν. 1 Τίς δ' οὗτος ἀμφὶ μνῆμα τὸ Ζήθου περᾷ,
2 Καταβόστρυχος, ὄμμασι
3 Γοργὸς τ' εἰσιδεῖν, νεανίας;
Παι. 4 Λοχαγός. Α. ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
5 Πάνοπλος ἀμφέπει.
Παι. Ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.

Στροφὴ η'.

Αν. 1 Ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματρὸς
2 Ἄρτεμις ἱεμένα, τόξοις δαμάσασα,
3 Ὀλέσειεν, ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.
Παι. Εἴη τάδ', ὦ παῖ, σὺν δίκῃ δ' ἥκουσι γῆν.
" Ὃ καὶ δέδοικα, μὴ σκοπῶσ' ὀρθῶς θεοί.

Στροφὴ θ'.

Αν. 1 Ποῦ ποῦ δ' ὃς ἐμοὶ
2 Μιᾶς ἐγένετ' ἐκ ματρὸς
3 Πολυπόνῳ μοίρᾳ;

4 Sideris inſtar vultu ſplendens in pictâ veſte, non
5 Conveniens mortali generi.
Pa. Non vides illum, qui præterit Dirces aquam,
Ducem? Ant. Alius alius eſt hic armorum modus:
Quis verò eſt iſte? Pa. Filius quidem Oenei eſt
Tydeus, Martem verò Ætolium in pectore habet.

Strophe VI.

An. 1 Iſtene Polynicis, ô ſenex,
2 Sororis ſponſæ
3 Maritus eſt?
4 Quàm alieno colore armorum, ſemibarbarus!
Pa. Sunt enim clypeati omnes Ætoli, O filia,
Et jaculatores, haſtis benè collimantes.
An. Tu verò, O ſenex, quomodo ſcis certò hæc?
Pa. Videns ſigna clypeorum tunc notavi,
Quando veni, fidem publicam ferens tuo fratri,
Quæ intuens, novi armatos.

Strophe VII.

An. 1 Quis verò iſte, qui circa monimentum Zethi tranſit
2 Comatus, oculis
3 Terribilis, & aſpectu juvenis?
Pa. 4 Eſt dux. An. Quanta multitudo ipſum ſequens
5 Armata circundat.
Pa. Hic eſt *Parthenopæus* Atalantæ filius.

Strophe VIII.

An. 1 Sed eum per montes cum matre *ejus Atalantâ*
2 Properans Diana, telis domans
3 Perdat, qui adverſus meam urbem venit eam expugnaturus
Pa. Sint hæc, O filia, jure tamen veniunt in hanc terram.
" Idcirco etiam metuo, ne rectè *non* conſiderent dii.

Strophe IX.

An. 1 Ubi eſt ille qui mecum
2 Unâ natus eſt ex matre
3 Laborioſo fato?

Ἀστερωπὸς] ἀστεροειδὴς τὸ σῶμα, καὶ τὴν ἐσθῆτα γραπτὸς, τοὺς γὰρ ἀστέρας ὡς τὸ φοβερὸν αὐτῷ γράφουσιν. ἴσως οὖν καὶ αὐτὸς κατάστικτον εἶχε τὴν πανοπλίαν. τὸ δὲ ἑξῆς γραπτῷ γίγαντι παραπλήσιος. διαμέσου δὲ τὸ ἀστερωπὸς ἔθηκα, δηλῶσαι θέλων τὸ ὅπλισμα λαμπρὸν ἔχοντα ὁμοίως ἀστέρι. Ἄλλως. Ἀστεροειδὴς καὶ ποικίλος ἐν ταῖς γραφαῖς τῆς ἀσπίδος. εἰσὶ γὰρ κατάστικτα ὅπλα. Προσφορὸς] οὐχ ὅμοιος ἀνθρωπίνῃ γενεᾷ, ἀλλ' ἀνημέρῳ τινὶ καὶ θηριώδει. Ἄλλος ἄλλος] θαυμαστὸς ὁ ἀναδιπλασιασμός. Ἄρη δ' Αἰτωλὸν ὡς ἔχοντος αὐτοῦ τῆς ἀσπίδος, τὸν περὶ τοῦ συὸς πόλεμον. Καλλίμαχος, Εἰμὶ τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρηα. τινὲς δὲ Ἄρη τὴν τῶν ὅπλων σκευήν. θέλει δὲ εἰπεῖν, ὅτι ἐγχωρίως καθώπλισται, ὡς οἱ Αἰτωλοί· τὸ δὲ στέρνον, ἀντὶ τοῦ ὅλου σώματος εἶπεν. οἱ δὲ τὴν τῶν πολεμίων ἐπιθυμίαν, καὶ τὴν ἐπιστήμην, ὡς τῶν Αἰτωλῶν ἄριστα πολεμούντων. Οὗτος ὁ τᾶς] ἡ ς αὕτη στροφὴ κώλων ἐστὶ δ. τὸ α δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπους. τὰ γὰρ δίμοιρα τῶν ἕξ. τὸ β, ὅμοιον ἑφθημιμερές. τὸ γ παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ ἰάμβου. τὸ δ ἴαμβος τρίμετρος. ἐπὶ τῷ τέλει παράγραφος. ὁμόγαμον δὲ, ἀντὶ τοῦ σύμβιον, παρὰ τὸ ὁμοῦ καὶ ἐπίσης ἄνδρα τε καὶ γυναῖκα τῆς συνοικίας μετέχειν. ἐγάμει δὲ Δηιπύλην ὁ Τυδεὺς, ὁ δὲ Πολυνείκης τὴν Ἀργείαν. [140] Μιξοβάρβαρος] ἐν τέλει γὰρ τῆς Εὐρώπης οἰκοῦντες Αἰτωλοὶ, Ἑλληνικῶν τε καὶ βαρβαρικῶν ἀπολαύουσι φρονημάτων. ἢ ἐπεὶ δοκοῦσι βαρβαρικὸν φρόνημα ἔχειν, διὰ τοὺς κατ' ἀλλήλων πολέμους. καὶ Ὅμηρος, Κουρῆτές τ' ἐμάχοντο, καὶ Αἰτωλοὶ μενεχάρμαι. Σακεσφόροι γὰρ] ἴσως ὅτι ἐξηλλαγμένοι οἱ Αἰτωλοὶ περὶ τὰς ὁπλίσεις, καταστίκτους αὐτὰς ἔχοντες, καθάπερ καὶ τοῖς ὑποδήμασιν, ὥς τε τὸν δεξιὸν μὲν ὑποδεδέσθαι πόδα, γυμνὸν δὲ ἔχειν τὸν ἀριστερόν. καλῶς δὲ εἶπεν αὐτὸν μιξοβάρβαρον, ὅτι οἱ Αἰτωλοὶ πάντες ὁπλίζονται, ἀκοντίζουσι δὲ ὡς βάρβαροι. ἴσως γὰρ τότε ἐν τοῖς Θηβαϊκοῖς χρόνοις οἱ μὲν Ἕλληνες ὅπλοις ἐχρήσαντο, οἱ δὲ βάρβαροι ἀκοντίζειν ἠπίσταντο· ὕστερον δὲ καὶ τὸ ἀκοντίζειν Ἕλληνες μεμαθήκασιν. Τίς δ' οὗτος ἀμφὶ μνῆμα Ζήθου] ἡ ζ αὕτη στροφή, κώλων ἐστὶ ε. τὸ α ἴαμβος τρίμετρος. τὸ β ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, εἰς δισύλλαβον. τὸ γ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ ὅμοιον τῷ πρώτῳ. τὸ ε ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάσσονος, ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ ἰάμβου, ἐπὶ τῷ τέλει παράγραφος. Ἀμφὶ μνῆμα Ζήθου] ἐπεὶ ὁ Ζῆθος, ὡς ἔφαμεν, τειχιστὴς ὢν τῶν Θηβῶν, μεγάλου καὶ ἐπισήμου τάφου ἠξιώθη. Ἀμφὶ μνῆμα τοῦ Ζήθου] κοινὸς μὲν ἀμφοῖν ὁ τάφος Ζήθου καὶ Ἀμφίονος. συλληπτικῶς δὲ εἶπε, τινὲς δέ φασι τὸν Ἀμφίονα. * Γοργός τ' εἰσιδεῖν, γοργῶδες ἀποβλέπων τοῖς ὄμμασι, καὶ ἅμα καὶ τῶν βοστρύχων παρειλίττων τοῖς ὀφθαλμοῖς τὸ γοργωνῶδες. Ἀμφέπει] ἐπακολουθεῖ αὐτῷ ὄχλος πολὺς ὀπισθόπους. τινὲς δὲ ἐπὶ κατάραν αὐτὸ δέχονται. ὁ ἐσχάτῳ ποδὶ, καὶ μηκέτι ὑποστρέφοντι. ἵν' ᾖ, ὡς ὄχλος νιν ἀμφέπει ἐπὶ ἀπωλείᾳ. Ἀταλάντης γόνος] αὕτη ἐστὶν ἡ Ἰάσου μὲν παῖς, Μειλανίωνος δὲ γυνή. ἔστι δὲ καὶ ἄλλη Σχοινέως θυγάτηρ, Ἱππομένους γυνή, Βοιωτική. Ἀλλά νιν] ἀλλ' αὐτὸν ἀπολέσειεν ἡ Ἄρτεμις, ἡ μετὰ τῆς μητρὸς αὐτοῦ κυνηγετοῦσα. εἰκότως δὲ τὴν Ἄρτεμιν κατ' αὐτοῦ ἐπικαλεῖται, ὡς θυμωθεῖσαν κατὰ τῆς Ἀταλάντης· ἐπεὶ πρότερον τὴν παρθενίαν ἠγάπα, ὕστερον δὲ τῷ Μειλανίωνι γαμηθεῖσα, καταπεφρόνηκε τῆς Ἀρτέμιδος· αὕτη δὲ ἐστὶν ἡ καὶ Μελεάγρῳ συγκυνηγετήσασα. Ὃ καὶ δέδοικα] διὸ καὶ εὐλαβοῦμαι, μὴ τοῦτο δίκαιον σκοπήσαντες οἱ θεοὶ, ἀπολέσωσιν ἡμᾶς. Ποῦ δ' ὃς ἐμοὶ] ἡ θ αὕτη στροφὴ κώλων ἐστὶ δ. τὸ α χοριαμβικὸν ἡμιόλιον ἐκ χοριαμβικοῦ καὶ ἰάμβου. εἰ δὲ βούλει τροχαϊκὸν πενθημιμερὲς, δακτύλου ἀρχομένου. εἰ δὲ βούλει, τροχαϊκόν. τὸ β παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος δευτέρου καὶ δακτύλου, ἢ κρητικοῦ διὰ τὴν ἀδιαφορίαν. τὸ γ ὅμοιον ἡμιόλιον. τὸ δ ἴαμβος τρίμετρος, ἐπὶ τῷ τέλει παράγραφος. Ποῦ δ' ὃς] ποῦ ὑπάρχει, ὃς ἐγένετο ἐμοὶ ἐκ μιᾶς μητρὸς, ἐν πολυπόνῳ καὶ πολυαθλίῳ μοίρᾳ καὶ τύχῃ. ὦ φίλτατε γέρον, εἰπὲ ποῦ ἐστιν ὁ Πολυνείκης. Ποῦ δ' ὃς ἐμοὶ] παρὰ τὸ Ὁμηρικὸν, Δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν. δὶς δὲ παρέλαβε τὸ ποῦ, τὴν σπουδὴν τῆς κόρης παρι-

* Tale quid deeſt, γοργὸς τὸ θεᾶσθαι.

ANNOTATIONES.

V. 132. Ἀμερίῳ γέννᾳ] In priore verſione erat *Manſueta Natura*, putidè ſatis; cùm erat exponendum, ut nos ſcripſimus, *Mortaligeneri*: Vid. infra, V. 1515. *Homerus* autem huic ultimo ſenſum dedit *Odyſſ.* ... V. 83. —— ἰαμβεῖα φρονοῦσι.

V. 140. Τίνες] Iambicè ponitur. Vid. quæ notavimus ad *Phœniſſ.* V. 19.
V. 145. Σπονδὰς, &c.] Vid. de hâc re Argumentum hujus Fabulæ.

4 Ὦ φίλτατ', εἰπέ, ποῦ 'στι Πολυνείκης, γέρον.

Παι. Ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας Νιόβης, Ἀδράστῳ πλησίον παραστατεῖ.

Ὁρᾷς; Α. ὁρῶ δῆτ' οὐ σαφῶς· ὁρῶ δέ πως Μορφῆς τύπωμα, στέρνα τ' ἐξῃκασμένα.

Στροφὴ ι'.

1 Ἀνεμώκεος εἴθε δρόμον νεφέλας
2 Ποσὶν ἐξανύσαιμι δι' αἰθέρος
3 Πρὸς ἐμὸν ὁμογενέτορα.
4 Περὶ δ' ὠλένας δέρᾳ φιλτάτᾳ
5 Βάλλοιμι, χρόνῳ φυγάδα μέλεον,
6 Ὡς ὅπλοισι χρυσέοισιν ἐκπρεπής, γέρον,
7 Ἑῴοις ὅμοια φλεγέθων
8 Βολαῖς ἀελίου.

Παι. Ἥξει δόμους τούσδ', ὥς σ' ἐμπλήσῃ χαρᾶς Ἔνσπονδος. Αν. οὗτος δ', ὦ γεραιέ, τίς; πόθεν κυρεῖ; Ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;

Παι. Ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε· Σφάγια δ' ἅμ' αὐτῷ, γῆς * φιλαίματοι ῥοαί.

* al. φιλαιμάτω.

Στροφὴ ια'.

Αν. 1 Ὦ λιπαροζώνου θύγατερ
2 Ἀελίου σεληναία,
3 Χρυσεόκυκλον φέγγος,
4 Ὡς ἀτρεμέα κέντρα
5 Καὶ σώφρονα πώλοις
6 Μεταφέρων, ἰθύνει.
Ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει Καπανεύς;

Παι. Ἐκεῖνος ἑπτὰ προσβάσεις τεκμαίρεται Πύργων, ἄνω τε καὶ κάτω τείχη μετρῶν.

4 O clariſſime ſenex, dic ubi ſit *Polynices*.

Pæ. Ille prope ſepulchrum ſeptem virginum Niobes, ſtat prope Adraſtum.

Vides? *An.* Video, ſed non ſatis clarè, video tamen aliquo modo Simulacrum formæ ipſius, & pectus adumbratum.

Strophe X.

1 Velocis utinam curſum nubis
2 Pedibus conficere poſſem per aerem
3 Ad meum fratrem.
4 Brachia enim circum collum amiciſſimum
5 Jacerem, longo poſt tempore, exulem miſerum.
6 Armis aureis quàm decorus eſt, O ſenex,
7 Matutini fulgurans ſicut
8 Radii ſolis.

Pæ. Veniet ad hanc domum, ut te expleat gaudio Fide publicâ acceptâ. *An.* Iſte vero, O ſenex, quis eſt? Unde ortus eſt, Qui currum candidum gubernat, cui inſidet?

Pæ. Eſt vates *Amphiaraus*, O domina, hic: Victimæ verò cum eo, & libationes ſanguineæ fluentes in terram.

Strophe XI.

An. 1 O ſplendidam zonam habentis filia
2 Solis Luna,
3 Aureo circulo decorum lumen,
4 Quam quietos ſtimulos,
5 Et modeſtos equis
6 Inferens, gubernat currum.
Ubi verò eſt qui atrocia inſolenter minatur huic urbi *Capaneus*?

Pæ. Iſte conſiderat aditus ſeptem Turrium, ſurſum ac deorſum muros metiens.

τῶν. πολυπόνῳ δὲ μοίρᾳ, ἤτοι κακομοιρίᾳ. τῷ γὰρ ἐπιθέτῳ διέστειλε τὸ τῆς μοίρας ὂν τὸ μέσον. Ἑπτὰ παρθένων. ὁ Ἀριστόδημος ὁ ...δαμιοῦ ἐν ταῖς Θήβαις φησὶ τῶν Νιοβιδῶν εἶναι τάφον, † ὅπερ ἐστὶν ἀληθές. ὡς αὐτοσχεδιάζειν οὖν ἔοικεν Εὐριπίδης. περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν, αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ φησί, καὶ δὶς ἑπτὰ αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν. ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ, καὶ Ἀριστοφάνης δὲ ἐν δράματι Νιόβης, ὁμοίως ιδ´ αὐτὰς λέγουσιν. εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας. Τιμαγόρας δὲ ἐν τοῖς Θηβαϊκοῖς φησίν, ὡς κακῶς πάσχοντες ὑπὸ τῶν περὶ Ἀμφίονα οἱ Σπαρτοί, ἀνεῖλον αὐτοὺς λοχήσαντες, ἀπιόντας εἰς Ἐλευθερὰς ἐπὶ πατρικὴν θυσίαν, τὴν δὲ Νιόβην εἴασαν ζῆν διὰ Πέλοπα. ἄλλοι δὲ ἄλλως ἱστοροῦσι περὶ αὐτῆς. ὁ μὲν γὰρ Φερεκύδης φησίν, αὐτὴν ἔχειν παῖδας ϛ´. Ἀλαλκομενέα, Φηρέα, Εὔδωρον, Λύσιππον, Ξάνθον, Ἀργεῖον. θυγατέρας δὲ ϛ´ Χιόνην, Κλυτίαν, Μελίαν, Ὠρίην, Λαμίππην, Πελοπίαν. Ἑλλάνικος δὲ ἐν τῇ ἐπιγραφῇ Ἀτλαντίδος, ἄρσενας δὲ φησί, Ἀρχήνορα, Μενέστρατον, * Ἀρχαγόραν. θυγατέρας δὲ τρεῖς, Ὠγυγίαν, Ἀστυκράτειαν, Ξάνθος δὲ ὁ Λυδός, δέκα, καὶ δέκα, ἐκ Φιλοξένου τοῦ Ἀσσυρίου, ὃς ᾤκει ἐν Σιπύλῳ. Νιόβης Ἀδράστῳ] εἰκότως τούτῳ παρίσταται, καὶ τοῦτον θεραπεύει, δι' οὗ τὴν ὡς τὴν πατρίδα κάθοδον προσεδόκα αὐτὸς γενέσθαι. Ἡ ι´ αὕτη στροφὴ ἑτέρως μέν ἐστιν ἐσχηματισμένη, ὡς ἄνω τεθέντος τοῦ προσώπου. κῶλα δέ ἐστιν η´. τὸ α´ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β´ ὅμοιον ἀκατάληκτον εἰς δισύλλαβον. τὸ γ´ ὅμοιον πενθημιμερὲς ἐκ β´ προκελευσματικῶν, ἤτοι τριβραχέων. τὸ δ´ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου, ἀντὶ ἰωνικοῦ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β´ καὶ ἰάμβου. τὸ ε´ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰάμβου καὶ ἀναπαίστου, καὶ δύο χορείων. εἰ δὲ βούλει ἰωνικόν, τρίμετρον καταληκτικόν, ἐκ παιώνων β´, καὶ α´, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου. τὸ ϛ´ τροχαϊκὸν τρίμετρον, ὑπερκατάληκτον, Στησιχόρειον. τὸ ζ´ ἀντισπαστικὸν τρίμετρον, βραχυκατάληκτον, ἐκ β´ ἀντισπάστων καὶ ἰάμβου. τὸ η´ ὅμοιον ἡμιόλιον, ἐπὶ τῷ τέλει παράγραφος. [166] Ἀνεμώκεος εἴθε] εἴθε δρόμον νεφέλας ἐξανύσαιμι ποσὶ δι' αἰθέρος, πρὸς ἐμὸν ὁμογενέτορα, φυγάδα μέλεον, περὶ δ' ὠλένας βάλλοιμι τῇ φίλῃ δέρῃ, διὰ χρόνου γὰρ αὕτη δὲ ἡ σύνταξίς ἐστιν, ἐὰν μὴ ἔγκειται τὸ ὡς ἰδού. ἐὰν δὲ ἔγκειται τὸ ὡς ἰδού, οὕτω συντακτέον, χρόνῳ φυγάδα μέλεον ὡς ἰδού. Ἑῴοις ὅμοια] ταῖς ἑωθιναῖς βολαῖς τοῦ ἡλίου ἐοικώς. τὸν Ὁμηρικὸν δὲ Μενέλαον μιμεῖται Εὐριπίδης, ὑποτιθεὶς τὸν Πολυνείκην ἄγων εἰς τὰς Θήβας, ὡς ἐκεῖνος εἰς τὴν Ἴλιον εἰσῆλθε καταθησόμενος τὸν πόλεμον. Σφάγι' ἅμ' αὐτῷ] σφάγια μὲν τὰ ἱερά, ῥοαὶ δὲ σπονδαί. ἢ οὕτως, ὧν τὸ αἷμα τῆς γῆς ῥοαὶ γίνεται, ἤγουν τὸ αἷμα συμβαίνει παρὰ τὴν γῆν ἐκχεῖσθαι. τὸ γὰρ φιλεῖν, καὶ ἐπὶ τοῦ συμβαίνειν τάττεται. Ἄλλως. Ἐπιτήδειον τῆς γῆς ἐπὶ τὰ σφάγια μετήγαγον. οἱ δὲ γράφουσι γῆς φιλαιμάτου, οἱ δὲ τὸ τέλειον φιλαιμάτοις λέγουσιν. Ἅρμα λευκὸν] λευκὸν τὸ ἅρμα φησὶ διὰ τοὺς ἵππους. ἐκ γὰρ τῶν ἵππων τὸ ἅρμα λέγει. εἰκότως δὲ ἡσυχῇ, καὶ σωφρόνως ἐλαύνει ὁ Ἀμφιάραος. οἶδε γὰρ ὡς μάντις τὰ ἀποβησόμενα. [179] Ὦ λιπαροζώνου θύγατερ] ἡ ια´ αὕτη στροφή, ἑτέρως μέν ἐστιν ἐσχηματισμένη κατὰ τὸ τέλος, κῶλα δέ ἐστιν ἕξ. τὸ α´ δακτυλικὸν ἑφθημιμερές. τὸ β´ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ ἐπιτρίτου α´. τὸ γ´ ὅμοιον καταληκτικόν. εἰ δὲ βούλει δακτυλικὸν τρίμετρον ἀκατάληκτον εἰς δισυλλαβίαν. τὸ δ´ ὅμοιον ἐκ χοριάμβου καὶ ἀμοιβαίου βραχέος. εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερές. τὸ ε´ ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον. εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερὲς τοῦ β´ ποδὸς ἀναπαίστου. τὸ ϛ´ παιωνικὸν τρίμετρον καταληκτικόν, ἐκ παίωνος δ´ καὶ βραχέος, ἐπὶ τῷ τέλει παράγραφος. Λιπαροζώνου] εὐπρεπεστάτου. Θύγατερ ἀελίου] Ἡσίοδος φησίν, ἀδελφὴν ἡλίου εἶναι τὴν Σελήνην, Θεία τ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην. Αἰσχύλος δὲ καὶ οἱ συνηκότεροι θυγατέρα, παρόσον ἐκ τοῦ ἡλιακοῦ φωτὸς μεταλαμβάνει. ἀμέλει καὶ μετὰ τὰς ἡλιακὰς ἀποστάσεις μεταμορφοῦται ἡ σελήνη. Κέντρα] μάστιγας. Ἰθύνει] κυβερνᾷ. Ἐφυβρίζει] μετὰ ὕβρεως ἀπειλεῖ τὰ χαλεπὰ τῇ πόλει. Προσβάσεις τεκμαίρεται] τὰς πύλας σκέπτεται. Μεγαληγορίαι] μεγαλοφροσύνην, μεγαλοῤῥημοσύνην, ἤγουν μεγαληγορίαν.

† Quod temere ab *Euripide* dictum *Scholiaſtes* affirmat, *Pauſanias* verè dictum probat, & *Amphionis* filiorum Monumentum ad *Thebas* memorat. *Bœot.* fol. 294.

ANNOTATIONES.

V. 162. Ἑπτὰ παρθένων Νιόβης] De Numero *Niobidarum* præter *Scholiaſten*, Vide *Ovidii* Metamorph. l. 6. Fab. 4. *Apollodori* Biblioth. l. 3. c. 5. § 6. *Æliani* Var. Hiſt. l. 12. c. 36. *Hygini* Fab. XI. *Parthenii*, c. 33. *Agellii* Noct. Attic. l. 20. c. 7. Epitaphium *Niobæ* eleganter luſit *Agathias*,

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν.
Ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον·
Ἀλλ' αὐτὸς αὐτῷ νεκρός ἐστι καὶ τάφος. *Joſua Barnes.*

V. 166. Ἀνεμώκεος] ὀξὺς ὡς ἄνεμος καὶ ὠκύς.

V. 175. Ἔνσπονδος] Hic verſus unico pede redundat, vid. *Canter.* qui de duobus ultimis vocalibus alterutrum tolli cenſet, præſertim verò ultimum. Et ita quidem MS. CCC. τὸ κυρεῖ rejicit. *Joſ. Barnes.*

V. 178. φιλαίματοι] al. φιλαιμάτω, & φιλαιμάτοις quod ultimum mihi omnium placet. Verſus enim eſt *Iambicus.*

Στροφὴ

Στροφὴ ιβ'.

Αν'. 1 Ἰὼ Νέμεσις, καὶ Διὸς
2 Βαρύβρομοι βρονταὶ,
3 Κεραύνιόν τε πῦρ αἰθαλόεν;
4 "Σύ τοι μεγαληγορίαν ὑπεράνορα
5 "Κοιμίζεις. ὅδ' ἐστὶν, αἰχμαλωτίδας
6 Ὃς δορὶ Θηβαίας Μυκήναισι,
7 Λερναίᾳ τε δώσειν Τριαίνᾳ,
8 Ποσειδωνείοις Ἀμυμωνείοις ὕδασι
9 Δουλείαν περιβαλών; μή ποτε
10 Μή ποτε τάνδ' ὦ πότνια, χρυσεοβόστρυχον
11 Ὦ Διὸς ἔρνος Ἄρτεμι,
12 Δουλοσύναν τλαίην.

Παι. Ὦ τέκνον, εἴσβα δῶμα, καὶ κατὰ στέγας
Ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
Εἰς τέρψιν ἦλθες, ὧν ἔχρῃζες εἰσιδεῖν.
Ὄχλος γὰρ, ὡς ταραγμὸς εἰσῆλθεν πόλιν,
Χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.
"Φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ·
"Σμικρὰς δ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
"Πλείους ἐπεισφέρουσιν. ἡδονὴ δέ τις
"Γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλαις λέγειν.

Strophe XII.

An. 1 Io Nemeſis, & Jovis
2 Graviter ſonantia tonitrua,
3 Et ignis fulminis caliginoſi.
4 " Tu ſuperbiam immodicam
5 " Sedas: hicne eſt, captas
6 Qui minatur armis ſe Thebanas mulieres ad Mycenas
7 Ducturum, & ad Lernaam Trianam
8 Ad aquas Neptunias Amymones,
9 Conjiciens eas in ſervitutem? Nunquam,
10 Nunquam hanc, O veneranda, auro capillos revincta,
11 O Jovis filia Diana,
12 Servitutem ſuſtineam.

Pa. Ingredere in domum, O filia & in contignatione
In gynæceo maneas tuo: poſtquam deſiderii tui
Ad delectationem veniſti, eorum quæ cupiebas videre.
Cœtus enim (poſtquam tumultus urbem ingreſſus eſt)
Mulierum venit ad domum tyrannicam.
" Querulum enim eſt muliebre genus:
" Et cum parvas occaſiones ſermonis accipiunt,
" Plures addunt. Voluptas vero quædam
" Mulieribus eſt, ut nihil ſani inter ſe dicant.

Ἰὼ νέμεσις] ἡ ιβ' αὕτη στροφὴ κώλων δώδεκα. τὸ α' ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ. τὸ β' ἰωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ', καὶ σπονδείου, εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας, ἤτοι διϊάμβου καὶ πυῤῥιχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ' προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β', ἀντὶ ἰωνικοῦ καὶ χοριάμβου. τὸ ε' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου. τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου ἐπιτρίτου, καὶ τροχαϊκοῦ. τὸ ζ', ὅμοιον τῷ ς'. τὸ η' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ὃ καλεῖται Σαπφικὸν, ἢ Ἱππωνάκτειον, ἐξ ἐπιτρίτου δ' καὶ τρίτου καὶ συλλαβῆς. τὸ θ' χοριαμβικὸν τρίμετρον καταληκτικὸν. ἐξ ἐπιτρίτου α', χοριάμβου, καὶ ἀμφιβραχέος. τὸ ι' προσοδιακὸν, τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου καὶ ἀναπαίστου. εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερὲς, τὸ ια' χοριαμβικόν. τὸ ιβ', χοριαμβικὸν, ὅμοιον τῷ ζ, ἐκ δύο χοριάμβων, ἢ ἐπιτρίτου καὶ χοριάμβου καὶ πυῤῥιχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιγ, χοριαμβικὸν, δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιδ' ὅμοιον ἡμιόλιον. εἰ δὲ βούλει, δακτυλικὸν ὅμοιον τῷ ιβ'. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τῶν κώλων, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι ὡς τέλος ἔχει τὰ ἀνομοιόστροφα. Ἰὼ νέμεσις] φεῦ ὦ Νέμεσις δίκη, καὶ Διὸς μεγαλόηχοι βρονταὶ, καὶ πῦρ κεραύνιον καυστικὸν, σὺ κοιμίζεις καὶ ταπεινοῖς τὴν κενοδοξίαν τὴν ὑπεράνορα καὶ ὑψηλήν. 193 Ὅδ' ἐστὶν] τὸ ἑξῆς, ὅδ' ἐστιν ὃς ἐπαγγέλλεται πολέμῳ δουλείαν περιβαλὼν, αἰχμαλωτίδας γυναῖκας δώσειν Μυκήναισιν, Λερναίᾳ τε τριαίνᾳ, τοῖς Ποσειδῶνος καὶ Ἀμυμώνης ὕδασι. διὰ γὰρ τὴν μίξιν τὴν Ποσειδῶνος καὶ Ἀμυμώνης, πολύυδρον γέγονε τὸ Ἄργος. τὸν Ὁμηρικὸν δὲ Ἕκτορα ἐμιμήσατο, φάσκοντα πρὸς Ἀνδρομάχην, καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης. Ἄλλως. Τινὲς οὕτως. λείπει ὁ καί. καὶ εἰσὶ τὰ κτητικὰ ἀντὶ τῶν πρωτοτύπων. ἵν' ᾖ, Ποσειδῶνος καὶ Ἀμυμώνης. Τριαίνᾳ] Τρίαινα τόπος Ἄργους, ἔνθα τὴν τρίαιναν ὀρθὴν ἔστησεν ὁ Ποσειδῶν, συγγενόμενος τῇ Ἀμυμώνῃ, καὶ εὐθὺς κατ' ἐκεῖνο ὕδωρ ἀνέβλυσεν· ὃ καὶ τὴν ἐπίκλησιν ἔχει ἐξ Ἀμυμώνης. ἔστι δὲ καὶ ἑτέρα κρήνη Λέρνη. ἀμφότεραι δὲ τοῦ Ἄργους εἰσίν. εἰπὼν οὖν Τριαίνᾳ, ἐπεξηγήσατο διὰ τοῦ Ποσειδωνίοις, Ἀμυμωνίοις. 201. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἐν ἐκθέσει στίχων ἰάμβων τριμέτρων θ'. ἐπὶ τῷ τέλει κορωνὶς, διὰ τὸ εἰσέρχεσθαι τὸν χορὸν, καὶ ὑποχωρεῖν τοὺς ὑποκριτάς. 201 Ὦ τέκνον, εἴσβα δῶμα] εἴσελθε εἰς τὸν οἶκον. Ὄχλος γὰρ, ὡς] ἐπεὶ γὰρ ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, ὄχλος γυναικῶν χωρεῖ εἰς τὰ βασίλεια, ἵν' ᾖ ὁ νοῦς, παραγινομένων τῶν Ἀργείων, καὶ πολεμούντων τοῖς Θηβαίοις, ὄχλος γυναικῶν εἰς τὰ βασίλεια παραγίνεται. λέγει δὲ τὰς τοῦ χοροῦ γυναῖκας, αἵ τινες νεωστὶ ἦσαν ἀπὸ Φοινίκης ἐλθοῦσαι. ἔνιοι δὲ στίζουσιν, εἰς τὸ πόλιν, καὶ τὸ χωρεῖ παροξύνουσι, καὶ οὕτως ἐξηγοῦνται ὅτι γὰρ ὄχλος καὶ ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, χώρει πρὸς δόμους τυραννικούς, καὶ μὴ ὅπου αἱ γυναῖκες. φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ. ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι.

ΕΠΩΙΔΙΚΑ.

Στροφή.

Χο. 1 Τύριον οἶδμα λιποῦσ', ἔβαν
2 Ἀκροθίνια Λοξίᾳ

Strophe.

Ch. 1 Relinquens Tyrium mare, veni
2 Primitiæ ſpoliorum Loxiæ

Τύριον οἶδμα] Νῦν ἐκ Θηβαίων γυναικῶν συνιστάμενον τὸν χορὸν, Ἰκάσιον παραμυθεῖσθαι ἐπὶ τοῖς συμβεβηκόσιν, ἐκ τῶν ἰσχυρῶν, ἀλλὰ ἐκ ξένων συνέστησεν, ὅπως ἀδεῶς ἀντιλέγοιεν τῷ Ἐτεοκλεῖ ἔμελλον τὸν βασιλέα ἐλέγχειν, εἴπερ ὑπ' αὐτοῦ ἐβασιλεύοντο. διὰ τοῦτο Φοίνισσαι εἰσὶν αἰχμαλωτίδες, Ἀγηνορειδῶν ἐκπεπορθηκότων Τύρον, καὶ τὰς ἐκεῖθεν αὐτῶν Ἀπόλλωνι πεπομφότων, ἃς καὶ ἀκροθίνια Εὐριπίδης λέγει Λοξίᾳ. ἀπερχόμεναι οὖν διὰ τῶν Θηβῶν ἐκεῖσε, ἠναγκάσθησαν εἰς Θήβας ἐπιμεῖναι, διὰ τὸν ἐπιστάντα πόλεμον τῶν Ἀργείων. Τύριον οἶδμα] τὰ παρόντα εἴδη ὑπερεῖς εἰσὶν ἐσχηματισμένα. τὰ μὲν γὰρ εἰσὶ μονοστροφικὰ καὶ μελικὰ κατὰ σχέσιν ἄτακτα, καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους. εἰσὶ δὲ τὰ κατὰ σχέσιν μιᾶς στροφῆς. εἰσὶ γοῦν τῆς μονοστρόφου στροφῆς τὰ κῶλα λς'. τὸ α' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου πεντασυλλάβου διαλελυμένης τῆς πρώτης μακρᾶς, εἰς β' βραχείας, καὶ διϊάμβου. εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ' καὶ γ', ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ συλλαβῆς. τὸ β' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει, πρόσοδος ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας. τὸ γ' ἀντισπαστικὸν τρίμετρον, καταληκτικὸν, φερεκράτειον, ἐξ ἐπιτρίτου δ' καὶ βακχείου. τὸ α' ὅμοιον ἐκ σπονδείου καὶ βακχείου. τὸ ε' ἰωνικὸν ἀπ' ἐλάττονος, τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ' ἐπιτρίτου, καὶ ἰάμβου. εἰ δὲ βούλει, ἀναπαιστικὸν ἑφθη-

ANNOTATIONES.

V. 185. Ποῖ δ' ὅς τε τὰ δεινὰ τάδ' ἐμβρέμει πόλει;] Hic ego Poetam clauſulam feciſſe puto; niſi quod proprium nomen viri adnotârunt nonnulli, quod tamen in textum minimè erat recipiendum; licet id MS. agnoſcat. Sed de Capanei minis vid. Statii Thebaid. l. 10.

V. 195. Δώσειν] Subaudi ἀπειλῶν. Canterus legit δώσει.

V. 195. Τριαίνᾳ] Loci nomen, de cujus origine Vid. Scholiaſt. Quare non debet exponi per tridentem.

V. 206. Θηλειῶν ἔφυ] Vid. Canteri Novar. Lection. l. 4. c. 1.

ΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

Ἐτεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην. φυγὰς δὲ ἐκεῖνος εἰς Ἄργος παραγενόμενος, ἔγημε μὲν τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου· κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόλογον στρατὸν κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν· ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη, ἐποίησεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς. δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα οὐκ ἠδυνήσατο πρὸς φιλίαν. Πολυνείκης δὲ, ὡς πρὸς πόλεμον λοιπὸν παραταξάμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα. ὁ δὲ νεανίσκος ἐβούλετο· καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε, καὶ δὴ καὶ ἔπραξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες, ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, ἀνεῖλεν ἑαυτήν. ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν. οἵ τε Ἀργεῖοι νικηθέντες τῇ μάχῃ, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν· Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν. Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ᾽ ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ᾽ ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ περὶ τὴν δυστυχίαν ἐλεήσας.

Περιπαθὴς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους, ὑπὲρ τῆς πόλεως ἀποθανών. ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ᾽ ἀλλήλων. καὶ Ἰοκάστη ἡ μήτηρ αὐτῶν, ἑαυτὴν ἀνεῖλεν ἐπὶ τοῖς παισί. καὶ οἱ ἐπὶ Θήβας στρατευσάμενοι Ἀργεῖοι ἀπώλοντο· καὶ ἄταφος Πολυνείκης προκεῖται. καὶ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται, καὶ σὺν αὐτῷ ἡ θυγάτηρ Ἀντιγόνη. Ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον, καὶ γνωμῶν πολλῶν καὶ καλῶν μεστόν. ὁ χορὸς ἐκ τῶν Φοινισσῶν παρθένων (ὅθεν καὶ τὸ δρᾶμα ἐπεκλήθη) τῶν ἐκ τῆς Παλαιτύρου.

Ἔστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλὸν τὸ δρᾶμα, ἐπεὶ καὶ παραπληρωματικόν. ἥτε ἀπὸ τῶν τειχέων Ἀντιγόνη θεωροῦσα, μέρος οὐκ ἔστι δράματος· καὶ ὑπόσπονδος Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται. ἐπὶ πᾶσι μετ᾽ ᾠδῆς ἀδολέσχου φυγαδευόμενος ὁ Οἰδίπους, προσέρριπται διακενῆς.

ARGUMENTUM. PHOENISSARUM.

Eteocles accepto regno *Thebarum*, privat parte fratrem ſuum *Polynicem*. Exul ille cedens *Argos*, duxit filiam regis *Adraſti*. Cupiens autem redire in patriam; & perſuaſo ſocero, congregavit magnum exercitum contra fratrem, & ad *Thebas* venit: mater ejus *Jocaſta* fecit eum, factis induciis, in urbem venire, & colloqui prius cum fratre de principatu. Terribiliter ſe gerente *Eteocle* propter tyrannidem, mater *Jocaſta* filios reconciliare non potuit. *Polynices* verò, tanquam ad pugnam inſtructus, deinde ceſſit ex urbe. Vaticinatur *Tireſias*, victoriam propoſitam eſſe *Thebanis*, ſi filius *Creontis Menœceus Marti* ſacrificaretur. *Creon* verò ſe daturum filium civitati inficiatur: juvenis tamen voluit, datóque illi exilio, unà cum pecuniis à patre, mortem ſibi conſcivit, & negotium peregit. Inde *Thebani* duces *Argivorum* interfecerunt. *Eteocles* verò & *Polynices* ſingulari certamine congreſſi, trucidârunt ſe mutuó. Mater eorum inveniens mortuos filios, ſibi ipſi mortem conſcivit. Ejus autem frater *Creon* regnum accepit, & *Argivi* ſuperati in pugnâ, ceſſerunt. *Creon* ægrè ferens, eos, qui interfecti in bello erant ſub *Cadmeâ*, noluit concedere ad ſepulturam: *Polynicem* verò inhumatum abjecit, & *Oedipum* miſit in exilium: in aliquibus haud ſervans humanam legem, in aliquibus iram ſequens, neque miſeratus calamitatem eorum.

Plenæ ſunt affectuum *Phœniſſæ* ob res Tragicas. Mortuus enim eſt filius *Creontis*, pro civitate de muro præcepsactus: mortui ſunt & fratres duo mutuâ cæde: & mater eorum *Jocaſta* ſeipſam interfecit ſuper filios: & duces *Argivi*, qui ad *Thebas* duxerant exercitum, perierunt: & inſepultus *Polynices* proponitur: & *Oedipus* ex patriâ ejicitur, & unà cum eo filia *Antigone*. Fabula hæc habet multas perſonas, & plena eſt multis ac præſtantibus ſententiis. *Chorus* conſtat ex *Phœniſſis* mulieribus, (unde & Fabulæ nomen) de veteri *Tyro* oriundis.

Hoc Poëma pulchrum eſt in apparatu ſcenico, quia multa habet additamenta. *Antigone* de mœnibus ſpectans, non eſt pars fabulæ: & factis induciis, *Polynices* fruſtrà in urbem venit. Super hæc omnia *Oedipus* loquaci carmine in exilium miſſus, adjicitur ſupervacuè.

Χρησμὸς δοθεὶς ΛΑΪΩι τῷ ΘΗΒΑΙΩι.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
Δώσω τοι φίλον υἱόν. ἀτὰρ πεπρωμένον ἐστὶ,
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν. ὁ δ᾽ ηὔξατό σοι τάδε πάντα.

Oraculum editum Laio Thebano, Joſ. Barnes *interprete.*

Laïe Labdacide, Sobolem mea Numina poſcis:
Et tibi ferre Marem dabimus: Sed Fata Deorum
Illius voluêre manu Te occumbere letho,
Annuit hæc etenim *Pelopi Saturnius* olim;
Cùm raptum ob natum eſt tibi triſtia damna precatus.

Χρησμὸς δοθεὶς τῷ ΟΙΔΙΠΟΔΙ ἐκ τῶν ΘΗΒΑΪΚΩΝ.

Οἰδιπόδη, γένος ἦλθες ἀγακλυτὸν ἔνθα δαῆναι.
Αὐτὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
Φεῦγε πάτρην, Κακόμοιρε, γενέθλια δ᾽ ἔρκε᾽ ἄπιζε,
Μὴ πατέρα κτείνῃς, σπείρῃς δ᾽ ὑπὸ μητέρι τέκνα,
Οἵ τ᾽ αὐτῷ μέγα πῆμα, τέκωσί τε σοῖσι γύναι·
Τοῖά σ᾽ ἀποπροφυγεῖν ἐντέλλομαι, ὡς γὰρ ἄμεινον.

Oraculum Oedipo *datum, ex* Thebaicis, J.B. *interp.*

Veniſti, *Oedipode*, hùc, genus ut tibi nobile pandam;
At tibi quæ dicam, memori tu mente recondas.
Infelix, natale ſolum patriámque relinque,
Nè patrem occidas, matríſque cubilia ſcandas;
Damnáque magna tuo capiti natiſque reponas:
Hæc vitare velis moneo, tua commoda ſpectans.

Τὸ αἴνιγμα τῆς ΣΦΙΓΓΟΣ.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπον, οὗ μία φωνὴ,
Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ᾽ ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ᾽ αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ᾽ ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Ænigma Sphyngis, J. B. *interprete.*

Eſt bipes in terris & quadrupes (unica cui vox)
Et tripes, at formâ magis eſt variabile cunctis,
Quæ terram, Tethynve colunt, vel in æthera ſurgunt.
At plura in terram quandò veſtigia figat,
Semper ei minùs in membris vigor igneus ardet.

Λύσις τοῦ Αἰνίγματος ἐκ τῶν ΘΗΒΑΪΚΩΝ.

Ἄνθρωπον δ᾽ ἀνέφηνε τεὸν ἔμμεναι, ὃς κατὰ πρώτην
Νηπίην βαθμοῦ πειρώμενος ἄμμον ἐρέσει
Τετράβαλον, χείρεσσιν ὁμοῦ καὶ γούνασιν ἕρπων·
Πληθύτερον δὲ λαβὼν μελέων σθένος ὀρθὸς ὁδεύει
Ταρσοῖς ἀσφαλέεσσι· μολὼν δ᾽ ἐπὶ γήραος ἀβληχρὸν
Βάκτρῳ σκιμπτόμενος τριπλοῦν πόδα νωθρὸς ἐπείγει.

Solutio Ænigmat. ex Thebaicis, *i. e. Poemate ità dict.* J. B.

Hoc Ænigma hominem ſignat, qui primus in auras
Ut venit, greſſûs avidus, veſtigia ponit
Quatuor in terram, manibus pedibúſque tenellis:
Auctior at membris cùm ſit vigor, arduus ille
Incedit pedibus, ſed tandem urgente ſenectâ
Innixus baculo triplici pede tardior ibit.

Ἄλλη Λύσις τοῦ αἰνίγματος.

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
Φωνῆς ἡμετέρης σὸν τέλος ἀμπλακίης·
Ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπη,
Πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων.
Γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
Αὐχένα φορτίζων γήραϊ καμπτόμενος.

Alia ſolutio Ænigmatis ab Eodem.

Audi invita licet, Volucris mala, Muſa ſitorum,
Verba mea, exitio verba futura tibi.
Humanum genus ore notas! Homo primus in orbem
Ut venit, pedibus quatuor urget humum.
At tribus ille ſenex pedibus veſtigia firmat,
Cervicémque jugo curva ſenecta premit.

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ. PERSONÆ hujus Fabulæ ſunt hæ.

ΙΟΚΑΣΤΗ.	Jocasta.
ΠΑΙΔΑΓΩΓΟΣ.	Pædagogus.
ΑΝΤΙΓΟΝΗ.	Antigone.
ΧΟΡΟΣ ἐκ Φοινισσῶν παρθένων.	Chorus ex Phœniſſis virginibus.
ΠΟΛΥΝΕΙΚΗΣ.	Polynices.
ΕΤΕΟΚΛΗΣ.	Eteocles.
ΚΡΕΩΝ.	Creon.
ΜΕΝΟΙΚΕΥΣ.	Menoeceus.
ΤΕΙΡΕΣΙΑΣ.	Tiresias.
ΑΓΓΕΛΟΣ.	Nuncius.
Ἕτερος ΑΓΓΕΛΟΣ.	Alter Nuncius.
ΟΙΔΙΠΟΥΣ.	Oedipus.
Προλογίζει δὲ ἡ Ἰοκάστη.	Prologum autem agit Jocaſta.

ΕΥΡΙΠΙΔΟΥ ΦΟΙΝΙΣΣΑΙ.

ARGUMENTUM *Actûs* Primi.

Jocasta *Prologum agens totius Fabulæ occaſionem explicat: Quæ ortum habuit ab Inceſtu* Oedipi *&* Parricidio *& Execrationibus, quibus filios ſuos* Polynicem *&* Eteoclem *devoverat. Unde* Polynices *parte ſuâ regni paterni fraudatus,* Argivorum *exercitum contra* Thebas *duxit, ut ubi jus non valuerit, arma cauſam agerent. Exercitûs* Argivi *Duces & apparatus ad ſpectatorum animos excitandos. Chorus* Phœniſſarum *mulierum ſui adventûs cauſam explicat & præſentia pericula deteſtatur, futuram cladem præſagiendo.*

ΙΟΚΑΣΤΗ.

Ἰαμβοί.

Ἰοκ. Ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν,
Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις,
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα·
Ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ

Joc. O Qui ſecas viam cœli in aſtris,
Et in aureâ ſedes ſede,
Sol, volvens flammam celeribus equis:
Quàm infelicem Thebanis eo tum die

* Ὦ τὴν ἐν ἄστροις] Ἡ εἴσθεσις τοῦ δράματος, ἐκ μονοστροφικῆς περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρβ. ὧν τελευταῖος·

** Τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθιστάναι. ἐπὶ τῷ τέλει ἡ κορωνίς. ταῦτα πάντα πρὸς τὸν Ἥλιον ἀποτείνει Ἰοκάστη, δυσχεραίνουσα διὰ τὰ συμβάντα. Ὦ τὴν ἐν ἄστροις] ἔθος ἔχουσιν οἱ τραγικοὶ, παράγειν τοὺς ἥρωας θεοῖς τὰς συμφορὰς ἀπολοφυρομένους. ὡς καὶ ἐν Μηδείᾳ, Ὦ θ' ἱμερὸς μ' ὑπῆλθε γῇ τε κοὐρανῷ Λέξαι μολούσῃ δεῦρο Μηδείας τύχας. Ἄλλως. Παλαιά τις φέρεται δόξα, ὡς Σοφοκλῆς μὲν ἐπιτιμᾶ τινα Εὐριπίδῃ, ὅτι μὴ προέταξε τούτους τοὺς δύο στίχους, ὁ δὲ Εὐριπίδης, ὅτι μὴ προέταξεν ἐν Ἠλέκτρᾳ ὁ Σοφοκλῆς, ὦ τοῦ στρατηγήσαντος Ἠλέκτρα ποτέ. Ὦ τὴν ἐν ἄστροις] ὁ διὰ μέσου τοῦ οὐρανοῦ τὴν ὁδὸν τὴν ἐπὶ τοῖς ἄστροις, ὅ ἐστι τὴν παρὰ τοῖς οἴκοις τοῦ ζωδιακοῦ κύκλου, Ἄρατος εἰπὼν κατὰ τοὺς ἐκεῖ· Ἴση μετρηθεῖσαι δύω περιτέμνεται οἴκους· Ζωΐδιον δὲ ἑ κύκλον ἐπίκλησιν καλέουσι. Θοαῖς ἵπποισι] λείπει ἡ σύν. ἵν' ᾖ, σὺν θοαῖς ἵπποισι. καὶ Ὅμηρος, Αὐτῇ κεν γαίῃ ἐρύσαιμι. καὶ ἐν Βάκχαις, αὐτῇσιν ἐλάταις. καὶ ἐν Ἱππολύτῳ, αὐτῇσιν ἀρβύλῃσιν ἁρμόσαι πόδα. καὶ ἔστιν Ἀττικὴ ἡ συνήθεια. ἔδει δὲ ἐκ τοῦ ἐπικρατοῦντος ἀρσενικῶς αὐτοὺς ὀνομάσαι. τέσσαρες δὲ εἰσί, Χρόνος, Αἴθων, Ἀστραπὴ, Βροντή. ἔθος δὲ τοῖς ποιηταῖς θηλυκῶς λέγειν τοὺς ἵππους, Σώφρονι τὰν ἵππον. καὶ ἐν Ἱππολύτῳ, αἱ δ' ἐνδακοῦσαι στόμια. καὶ παρ' Ὁμήρῳ, Αἱ Φηρητιάδαο ποδώκεας ἔκφερον ἵπποι. Ὡς δυστυχῆ] ἀσεβεῖ, φασί, τὴν ἀκτῖνα τοῦ Ἡλίου δυστυχῆ καλοῦσα. πῶς δὲ ἀσεβεῖ, ὁπότε καὶ Ἡσίοδος τινὰς τῶν ἡμερῶν ἀποφαίνει πονηράς. Ἄλλως. οἱ κακοδαιμονοῦντες, καὶ τὰς πρώην εὐδαιμονίας, ἀτυχίας νομίζουσι, τῇ παρούσῃ δυσποτμίᾳ βαρυνόμενοι. Ὡς δυστυχῆ] καὶ μὴν τότε εὐδαίμονες ἦσαν αἱ Θῆβαι, διά τε τὸν Ἁρμονιακὸν γάμον, ἐν ᾧ οἱ θεοὶ εἱστιάθησαν, καὶ τὴν Διονύσου καὶ Ἡρακλέους φύσιν. νοσεῖν δὲ ἤρξατο, ἐξ οὗ ἐτεκνώθη Λάϊος βίᾳ θεῶν. τὰ τοιαῦτα δὲ οὐ πρὸς τὸ ἀληθὲς, ἀλλ' ὡς οἱ λέγοντες πάθος ἔχουσιν. εὐεπίφορος δὲ ὁ Εὐριπίδης πρὸς ἕτερα πρόσωπα πρεσβύτερα [illegible] τῶν δυστυχημάτων αἰτίας ἀναφέρειν. καὶ ἐν Τρῳάσιν ἡ Ἑλένη φησίν, πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν Πάρι τεκο[illegible] καὶ ἐν Ὀρέστῃ, σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν, ἀπώλεσάς με. κέχρηται τούτῳ τῷ εἴδει καὶ Ὅμηρος, † Ὃς [illegible] Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας, Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο. καὶ Εὔμαιος συμπαθῶς ἔχων πρὸς τὸν Ὀδυσσέα φησὶν, * Ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι. καί τοι τῶν ἀδελφῶν αὐτῆς τῶν Διοσκούρων ἤδη θεῶν ὄντων, καὶ πολλὰ τοῖς ἀνθρώποις ἐπαρκούντων. ἔτι δέ τινες ἐγκαλοῦσι τῷ Εὐριπίδῃ, ὡς οὐκ ἀκολούθως γενεαλογήσαντι. εἰ μὲν γὰρ ἐξ ἀρχῆς ἐβούλετο τὰ πράγματα λέγειν, ἐχρῆν τὴν ἐκ Φοινίκης αἰτίαν τοῦ Κάδμου κατὰ λεπτὸν μετὰ τῆς αἰτίας διηγήσασθαι. εἰ δὲ ἐκ τῆς ὑστέρου ἀρχῆς, ἔδει ἀπὸ τῶν Λαΐου δυστυχημάτων ἄρξασθαι. πρὸς οὓς ῥητέον, ὅτι εἰ μὲν ἄνωθεν ἤρξατο, μακρὸς ἂν ἦν ὁ λόγος. ἄλλως τε οὐκ ἔπρεπε Θηβαίαν γυναῖκα ἀκριβῶς, τὰ ἐν Φοινίκῃ ἐπίστασθαι. εἰ δὲ ἀπὸ τῶν Λαΐου δυστυχημάτων, πολλὰς ἂν τῶν περὶ τὰς Θήβας συμφορῶν παρέλιπεν. Ἀκταίωνα μὲν γὰρ αἱ οἰκεῖαι κύνες διεσπάσαντο, Πενθέα τε τὸν υἱὸν Ἀγαυῆς. Σεμέλην τε ἐκεραύνωσεν ὁ Ζεύς. καὶ τῆς Ἰνοῦς υἱὸν Λέαρχον μὲν μανεὶς ὁ πατὴρ Ἀθάμας ἀπέκτεινε. Μελικέρτης δὲ, μετὰ τῆς μητρὸς ἔπεσεν εἰς τὴν θάλασσαν. οἱ Νιόβης τε παῖδες ἐτοξεύθησαν, καὶ αὐτὴ λίθος ὁρᾶται δακρύουσα.

** Τὸν αὐτὸν &c.] Hic Verſus eſt quidem Monoſtrophicæ Periodi ultimus; ſed non eſt centeſimus ſecundus, ut Scholiaſtes, verùm Octogeſimus ſeptimus. Habet tamen *Coronida*. Et ad V. 103. *Paragraphum* ponitur. *Joſ. Barnes.* ‡ Hodie legitur ἀεὶ. Vid. Arati φαινόμενα, V. 543. † Il. ε'. v. 62. &c. * Hom. Odyſſ. ξ. v. 68.

Ἀκτῖν'

Ἀκτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν
Τήνδ', ἐκλιπὼν Φοίνισσαν ἐναλίαν χθόνα,
Ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ,
Πολύδωρον ἐξέφυσε· τοῦ δὲ, Λάβδακον
Φῦναι λέγουσιν· ἐκ δὲ τοῦδε, Λάϊον.
Ἐγὼ δὲ παῖς μὲν κλῄζομαι Μενοικέως,
Κρέων τ' ἀδελφὸς μητρὸς ἐκ μιᾶς ἔφυ.
Καλοῦσι δ' Ἰοκάστην με· τοῦτο γὰρ πατὴρ
Ἔθετο. γαμεῖ δὲ Λάϊός με. ἐπεὶ δ' ἄπαις
Ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
Ἐλθὼν ἐρωτᾷ Φοῖβον, ἐξαιτεῖ θ' ἅμα
Παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
Ὁ δ' εἶπεν, ὦ Θήβαισιν εὐίπποις ἄναξ,
Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ·
Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φὺς,
Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
Ὁ δ' ἡδονῇ δοὺς, εἴς τε βακχεῖον πεσὼν,
Ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας βρέφος,
Γνοὺς τἀμπλάκημα, τοῦ θεοῦ τε τὴν φάτιν,
Λειμῶν' ἐς Ἥρας, καὶ Κιθαιρῶνος λέπας
Δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
Σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον.
Ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι,
Φέρουσ' ἐς οἴκους· εἴς τε δεσποίνης χέρας

Radium immiſiſti, quando Cadmus venit in terram
Hanc, relinquens Phœniciam terram maritimam.
Qui quondam ducens Harmoniam filiam Veneris,
Polydorum genuit: ex hoc Labdacum
Dicunt natum: ex eo verò Laium.
Ego verò vocor filia Menœcei:
Et Creon frater natus eſt ex eâdem matre.
Vocant verò me Jocaſtem, (hoc enim nomen pater
Indidit) duxit verò me Laius: cùm autem ſine liberis
Eſſet, diu habens connubium meum in domo,
Veniens interrogat Phœbum, & poſcit ſimul
Liberorum in ædibus maſculorum communem prolem.
Ille reſpondit ei: O rex equeſtrium Thebarum,
Ne ſemina liberorum ſulcum invitis diis:
Si enim genueris filium, interficiet te ille qui ſatus fuerit,
Et tota domus tua ibit per ſanguinem:
Ille verò dans ſe voluptati, & concedens inſaniæ Bacchi,
Seminavit nobis filium: & cùm ſeminâſſet infantem,
Agnoſcens erratum, & Dei oraculum,
In pratum Junonis, & culmen Cithæronis
Dat paſtoribus exponi puerum,
Fodiens ferreos aculeos per talos medios:
Undè ipſum Græcia vocat Oedipum.
Polybi verò paſtores equorum, ſuſcipientes puerum,
Ferunt domum, & in manus dominæ

Κάδμος ἡνίκ' ἦλθε] Λιβύης τῆς Ἐπάφου καὶ Ποσειδῶνος, Ἀγήνωρ καὶ Βῆλος· Ἀγήνορος καὶ Ἀντιόπης τῆς Βήλου, Κάδμος, Κίλιξ, Φοῖνιξ. Φοίνικος καὶ Τηλέφης τῆς Ἐπιμεδούσης Πείρως, Ἀστυπάλη, Εὐρώπεια, Φοινίκη. ἔνιοι δὲ ἀντὶ Ἁρμονίας Ἠλέκτραν γῆμαι αὐτόν φασι. Φοίνισσαν] εἰ μὲν ἐπὶ πάσης τῆς Φοινίκης ἀκουστέον, αἰτιατικῇ τῆς παραλίας, εἰ δ' ἐπὶ μιᾶς πόλεως ἐκδεκτέον, τὴν Τύρον. νησιάζεται γὰρ, ὡς καὶ ἑξῆς φησι, Τύριον οἶδμα λιποῦσ' ἔβαν ἀκροθίνια λοξίᾳ Φοινίσσας ἀπὸ νάσου, τουτέστι τῆς Φοινίκης νήσου Τύρου. καὶ Κάδμος ἔμελλε τάνδε γᾶν Τύριος. Ἄλλως. τὴν Τύρον. νησιάζεται γὰρ ἡ Φοινίκη. περιληπτικὸς δὲ ὁ λόγος. οὐδέπω γὰρ ἐκαλεῖτο Φοινίκη, ἐν γὰρ τῷ Φρίξῳ φησὶν, ἦσαν γὰρ Ἀγήνορος παῖδες Κίλιξ, ἀφ' οὗ ἡ Κιλικία κεκλήσεται. Φοῖνιξ, ὅθεν τοῦτο τοὔνομα ἡ χώρα φέρει, καὶ Θάσος. τοῦτον οἱ ποιηταὶ Πίνακον καλοῦσι, Πολύδωρον δὲ, διὰ τὸ πολλὰ δῶρα εἰληφέναι τὴν μητέρα αὐτοῦ ἐπὶ τῇ γεννήσει αὐτοῦ. γενεαλογήσασα δὲ ἕως Λαΐου, ἐκβέβηκε πρὸς Κρέοντα καὶ Ἰοκάστην. Γήμας Κύπριδος] Δέρκυλλος, Θηβαίων τινὸς Δράκοντος τοὔνομα, βασιλέως δὲ Θηβαίων, θυγατέρα τὴν Ἁρμονίαν εἶναί φησιν. ὃν φονεύσας Κάδμος, ἔγημεν Ἁρμονίαν. Ἔφορος δὲ, Ἠλέκτρας τῆς Ἄτλαντος αὐτὴν εἶναι λέγει. Κάδμον δὲ παραπλέοντα τὴν Σαμοθρᾴκην, ἁρπάσαι αὐτήν. τὴν δὲ εἰς τιμὴν τῆς μητρὸς ὀνομάσαι τὰς Ἠλέκτρας πύλας. καὶ νῦν ἔτι ἐν τῇ Σαμοθρᾴκῃ ζητοῦσιν αὐτὴν ἐν ταῖς ἑορταῖς. Δημαγόρας δὲ, ἀπὸ Λιβύης ἐλθοῦσαν τὴν Ἠλέκτραν οἰκῆσαι τὴν Σαμοθρᾴκην. ἔνθα συγγενομένη Διῒ, ἔτεκεν Ἠμαθίαν, Δάρδανον, Ἁρμονίαν. τὸν δὲ Κάδμον παραπλέοντα μετὰ Θάσου, ἐπὶ ζήτησιν τῆς ἀδελφῆς, μυηθῆναί τε, καὶ μυούμενον ἰδεῖν τὴν Ἁρμονίαν. συνοίᾳ δὲ Ἀθηνᾶς, ἁρπάσαι αὐτήν. ἀσφαλίζεται τὴν ὀνομασίαν τῆς ἡρωΐνης· ἐπεὶ οἱ παλαιότεροι Ἐπικάστην καλοῦσι. καὶ Ὅμηρος, Μητέρα δ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην. ἔνιοι Ἁρμονίας τὴν Ἠλέκτραν αὐτὴν, οἱ τὴν Ἄτλαντος λέγουσι γεγαμηκέναι. Γαμεῖ δὲ Λάϊος] Ἐπιμενίδης Εὐρύκλειαν τὴν Ἔκφαντος φησὶν αὐτὸν γεγαμηκέναι. ἐξ ἧς εἶναι τὸν Οἰδίποδα. οἱ δὲ δύο τὸν Λάϊόν φασι γῆμαι γυναῖκας, Εὐρύκλειαν καὶ Ἐπικάστην. καὶ τὸν Οἰδίποδα δὲ φασὶν Ἐπικάστην τὴν μητέρα γεγαμηκέναι, καὶ Εὐρυγάνειαν. Αἰσχύλος δέ φησιν, ὡς ἐκ χρησμοῦ τοὺς παῖδας ἀκούσας ἀλληλοκτονήσειν, ἐξέθηκε τὸν Πολυνείκην. Μνασέας δὲ, ἀμφοτέρους ἐκτεθῆναι. Παίδων ἄλοκα] Ἐμπεδοκλῆς ὁ φυσικὸς ἀλληγορῶν φησιν, σχίσας τοὺς λειμῶνας Ἀφροδίτης, ἐν οἷς ἡ τῶν παίδων σπορὰ ἐστίν. Εὐριπίδης δὲ ταυτὸ τοῦτο φάσκων, τήν τε ἔννοιαν τὴν αἰσχρὰν ἀπέφυγε, καὶ τοῖς ὀνόμασιν οἰκείως ἐχρήσατο, γεωργικαῖς ταῖς μεταφοραῖς σπόρον καὶ ἄλοκα λέγων. Ἄλλως. μεταφορικῶς, μὴ σπεῖρε τὴν ἄλοκα, ἀπὸ τῆς ἀρουμένης γῆς. Ἡδονῇ δοὺς] ἀντὶ τοῦ ἑαυτὸν δούς. καὶ πῶς συγγινώσκεται τὸν χρησμὸν ἡ γυνή, οὐκ ἀπέτρεψε τῆς μίξεως τὸν Λάϊον; ἢ οὐ πρότερον εἶπεν αὐτῇ. ἢ εἶπε μὲν, ἡ δὲ ὑπώπτευε τὸ ῥηθὲν εἶναι ψεῦδος, διὰ τὸν ἔρωτα Χρυσίππου. Λειμῶν' ἐς Ἥρας] ἢ ὅτι τοῦ λειμῶνος, ἱερὸν ἐστὶν Ἥρας. ἢ ὅτι Κιθαιρωνίας Ἥρας ἐστὶν ἐν Θήβαις ἱερόν. ὅσοι δὲ ἐγκαλοῦσιν ὡς ἐν ἱερῷ τόπῳ ἐκτεθέντος τοῦ παιδὸς, ἴστωσαν ὅτι καὶ Ἀθῆναι μὲν λέγονται ἱεραὶ τῆς Ἀθηνᾶς. ὀλίγος δὲ ἐστι τῆς ἀκροπόλεως ἐναγής τε καὶ ἱερὸς τόπος. καὶ λελωβημένον δὲ ὅμως ἀνείλοντο τὸ βρέφος, ἴσως τῷ κάλλει νενικημένοι, καὶ τὴν ἴασιν εὐμαρῆ νομίσαντες αὐτῷ ὑπὸ τῆς βασιλείας ἔσεσθαι. Δίδωσι βουκόλοισι] ἵνα ἀποθάνῃ. οὐ γὰρ ἤθελεν ἐκ τοῦ ἐμφανοῦς ἀνελεῖν τὸ βρέφος, φεύγων τὸ μῖσος. Ἱπποβουκόλοι] ἱπποφορβοί. τὸ δὲ βουκόλοι ἀπὸ τοῦ ἐπισήμου ζώου, ὡς τὸ τειχίζεται ἵππους αἰπόλος κατεβουκολεῖτο. τινὲς εἰς λάρνακα βληθέντα, καὶ εἰς θάλασσαν ῥιφέντα τὸν παῖδα προσπελασθῆναι τῇ Κορίνθῳ φασί.

ANNOTATIONES.

V. 18. Μὴ σπεῖρε τέκνων ἄλοκα] Hanc verecundiam *Euripidis Virgilius* eſt imitatus, ubi locum conceptionis *Genitale arvum* vocat, & nos quoque in *Eſtherâ* noſtrâ, V. 1216. Ἦ ῥα καὶ ἡμετέρης ἀρέει μεγάλαισι δάμαρσιν; Vid. *Turneb. Adverſ.* l. 19. c. 18. *Joſua Barnes.*

V. 19. Εἰ γὰρ τεκνώσεις] In ſecundo loco *Iambus*, τὸ κν enim τε in τεκνώσεις breve habendum (licet Spondæus videatur) cujus aliquot inſtantias hîc proferre lubet.

Τυφλὸς] *Phœniſſ.* V. 1693. Πρόσθες τυφλὴν χέρ' ἐπὶ πρόσωπον δυστυχῆ.
Τέκμαρ] *Hecub.* V. 1273. Κυνὸς ταλαίνης σῆμα ναυτίλοις τέκμαρ.
Τίκτει] *Oreſt.* V. 1236. Ἀγάμεμνον, εἰσακούσατε, ἱκνοῦσιν τίκνα.
Σκυθρωπὸς] Idem ibid. V. 1321. Κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας.
Σκῆπτρ'] Idem *Hecuba*, V. 1190. Εἶτ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθρούς.
Ὄχλος] Idem *Oreſt.* 885. Ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος.
Πότμος, Πέπλος, Ὕπνος, Τεκμήρασθαι, Γενέθλιον] Idem eodem modo corripit vocalem ante duplicem in πότμος, in πέπλος, in ὕπνος, in τεκμήρασθαι, in γενέθλιον.

Λύχνον, Τέχνη] Ex *Theocrit.* in Idyll. κδ. idem facit in ὕπνος, in λύχνον, in τέχνη. Sic *Iphigen.* in *Tauris*, V. 1174. prior ſyllaba τοῦ ὅπλα (& *Supplic.* V. 171. τοῦ ὅπλοισιν) brevis eſt, eodem modo, ut in Ἄτλας, prior communis eſt tam apud *Græcos*, quàm *Latinos*, ut *Ovid.* Metam. l. 4.

Quantus erat mons factus Atlas, nam barba comæque. Id. l. 4.
Venit Atlantiades poſitis caduciſer alis, &c.

Ἀριθμὸς] Ità *Delphicum* Oraculum, Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν, καὶ μέτρα θαλάσσης. Et *Anthol.* l. 3. Τέσσαρες, ὡς αἰθὴρ σταθμὸς ἐς ... ἦμαρ.

Σταθμὸς] Ibid. l. 4. Ἥρως Ἡετίων ὅδε σταθμὸν ἀμφιτελέσσας Ἴδ... Deinde *Homerus* Odyſſ. δ. V. 89. Αἱ γάρ σε σταθμοὶ ἐν χαλκῷ ἔστησαν ὕδωρ. Vid. Ἀυλικοκαταπολογεν, ſive *Eſtheram* noſtram Not. ad V. 1438.

Λιχμάζω] *Oppian.* Κυνηγ. l. 3. V. 174.
Καὶ βόσκων χατέουσα πόδας χηλάς τε λιχμάζει.

Ἄδραστον] *Phœniſſ.* V. 858.
Καὶ τοῦτ' Ἄδραστον, κρατερὸν ἐνδώσας ὁδόν. *Joſua Barnes.*

Ἔθηκαν

Ἔθηκεν· ἡ δὲ, τὸν ἐμὸν ὠδίνων πόνον
Μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν.
Ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος
Παῖς οὑμὸς, ἢ γνοὺς, ἤ τινος μαθὼν πάρα,
Ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων,
Πρὸς δῶμα Φοίβου, Λάϊός θ' οὑμὸς πόσις,
Τὸν ἐκτεθέντα παῖδα μαστεύων* μαθεῖν
Εἰ μηκέτ' εἴη. Καὶ ξυνάπτετον πόδα
Ἐς ταυτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
Καί νιν κελεύει Λαΐου τροχηλάτης,
Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.
Ὁ δ' εἷρπ' ἄναυδος, μέγα φρονῶν· πῶλοι δέ νιν
Χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
Ὅθεν, (τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;)
Παῖς πατέρα καίνει, καὶ λαβὼν ὀχήματα,
Πολύβῳ τροφεῖ δίδωσιν. ὡς δ' ἐπιζάρει
Σφὶγξ ἁρπαγαῖσι πόλιν, ἐμός τ' οὐκ ἦν πόσις,
Κρέων τ' ἀδελφὸς τἀμὰ κηρύσσει λέχη·
Ὅς τις σοφῆς αἴνιγμα παρθένου μάθοι,
Τούτῳ ξυνάψειν λέκτρα. τυγχάνει δέ πως
Αἴνιγμ' ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθών.
Ὅθεν τύραννος τῆσδε γῆς καθίσταται,
Καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνει χθονός.

* MS. ἰδεῖν.

Posuerunt: ipsa verò mei puerperii laborem (i. e. filium)
Uberibus submisit, & suo viro persuadet se peperisse.
Jam verò vir factus, cùm genæ inciperent flavescere
Filio meo, aut animadvertens ipse aut admonitus ab aliquo
Ivit, volens explorare parentes,
Ad domum Apollinis, & Laius eò dem meus maritus,
Quærens cognoscere expositum filium,
An non esset superstes: Et fortè conjungunt pedem
Ambo in idem loci in Phocidis bivio.
Et auriga Laii compellat eum:
O hospes, cede de viâ tyrannis:
Ille serpebat humi sine voce, sed animû excelsum gerens: equi verò eum
Ungulis rubefecerunt sanguine extremos pedum tendines.
Unde (sed quid opus est aliena à meis malis dicere?)
Filius meus patrem suum occidit; & accipiens currus
Dat nutritio Polybo. Postquam verò infestabat
Sphinx rapinis urbem, extincto meo marito,
Creon frater præconium facit de connubio meo:
Quisquis posset exponere ænigma sapientis virginis,
Se daturum esse huic connubium: exponit fortè
Sphingis ænigma filius meus Oedipus,
Unde dominus hujus terræ factus est,
Et accipit sceptra hujus terræ, tanquam præmium sapientiæ.

Τὸν ἐμὸν ὠδίνων πόνον] ἀντὶ τοῦ τὸν πόνον τῶν ἐμῶν ὠδίνων. ἔχει δέ τι τοῦτο παραλλάττον πρὸς τὸ ἐμὸν αὐτῆς πρᾶγμα, καὶ τὰ τοιαῦτα. ἐν μὲν γὰρ ἐκείνοις δυοῖν ὄντων προσώπου καὶ πράγματος, εἴτε προσώπου ἀντωνυμίας κατὰ γενικὴν ὀφειλούσης κεῖσθαι ἐπὶ τοῦ προσώπου διὰ τὴν προσοῦσαν ἑτέραν γενικὴν, κτητικὴ τίθεται πρὸς τὸ πρᾶγμα ἀντωνυμία. ἐνταῦθα δὲ τριῶν ὄντων, προσώπου, καὶ δυοῖν πραγμάτων, τῶν τε ὠδίνων καὶ τοῦ πόνου, καὶ τῶν μὲν ὠδίνων τοῦ προσώπου ὄντων, τοῦ δὲ πόνου τῶν ὠδίνων, ἔδει λέγειν ἡ κτητικὴ ἀντωνυμία ἐπὶ τῶν ὠδίνων κεῖσθαι. οὕτω γὰρ ἂν ἐφαίνετο σαφέστερον, ὅτι αἱ μὲν ὠδῖνες εἰσὶ τοῦ προσώπου, ὁ δὲ πόνος τῶν ὠδίνων. νυνὶ δὲ ἐπὶ τοῦ πόνου κεῖται, καὶ συγχεῖ, καὶ δυσδιανόητον ποιεῖ τὸν λόγον. 31 Μαστοῖς ὑφεῖτο] ὑπέβαλεν. εὐήθεις δέ φασιν, οἱ λέγοντες [illegible] ὑπεβάλλετο παιδίον. ὅπου γε καὶ ἐκτιθέμενα τάχα ἐξ ἡμῶν πεπορισμένα. καὶ τί θαυμαστὸν ὑποβάλλεσθαι φοβουμένην μὲν ἐκθεῖναι, διὰ τὴν ἀπαιδίαν, ἀποτρέψασθαι δὲ τὴν τῆς ὑποβολῆς ὑποψίαν, διὰ τὴν ὑπάρξασαν συμφορὰν τῷ βρέφει. καὶ τὸ ἰσάζοντος δὲ διὰ τοῦτο, οὐκ ἀπεγνώκει. Ἤ τινος] ὅτι οὐκ εἴη παῖς Πολύβου γνήσιος, ἀλλὰ νόθος, ὁ μαθὼν παρά τινος τῶν ἡλικιωτῶν ὀνειδίζοντος, ὅτι εἴη νόθος. ἔνιοι δέ φασιν, εἰς Πυθῶνα ἐληλυθέναι τὸν Οἰδίποδα, ἵνα τροφεῖα δῷ τῷ Ἀπόλλωνι. 35 Λάϊός θ' οὑμὸς] ἤτοι τότε ὀνείρου ταράξαντος αὐτόν. ἢ ὅτι λοιπὸν ὑπώπτευεν αὐτὴν τὴν ἡλικίαν τοῦ παιδὸς προσκόπτειν. ἐβούλετο γὰρ ἢ τεθνεῶτα αὐτὸν ἀκούσας διάγειν ἀδεῶς, ἢ ζῶντα ἀκούσας φυλάττειν ἑαυτόν. Μαστεύων δὲ] ζητῶν, ὅθεν καὶ μαστὸς ὁ ἐπιζητούμενος παρὰ τῶν παίδων. Εἰς ταυτὸν] εἰς ταυτὸν τῆς σχιστῆς ὁδοῦ τῆς Φωκίδος συνάπτουσι τὸν πόδα, ἤτοι συντυγχάνουσι τὸν πόδα ἐπὶ τῆς σχιστῆς ὁδοῦ. οὕτως καλεῖται ἐν Φωκίσιν, ἐπεὶ διασχίζει τὴν ἐπὶ Βοιωτίας, καὶ Θήβας, καὶ Ἀττικὴν, καὶ Κόρινθον ὁδόν. 39 Καί νιν κελεύει] καὶ ἐκέλευσεν αὐτὸν ὁ ἡνίοχος τοῦ Λαΐου ὑποχωρεῖν τῷ βασιλεῖ, ὤφειλεν εἰπεῖν. ὁ δὲ ἄλλως ἀρξάμενος, ἄλλως ἀποδίδωσι τὸν λόγον, ὥσπερ ἐκ μεταμελείας. 41 Πῶλοι δέ νιν] οἱ ἵπποι δὲ τοῦ Λαΐου ἐξῄμαξαν αὐτὸν, ἤγουν τὸν Οἰδίποδα τοῖς ἑαυτῶν ὄνυξι κατὰ τοὺς τένοντας τῶν ποδῶν. ὅμοιον τῷ, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. Ἐν χηλαῖς] ἐν ταῖς χηλαῖς τοὺς τῶν ποδῶν τοῦ Οἰδίποδος τένοντας ἐξῄμαξαν οὐχ ὑποχωροῦντος αὐτοῦ τῆς ὁδοῦ. Ὅθεν τί τἀκτὸς] ὑποστικτέον εἰς τὸ ὅθεν. ἔμελλε γὰρ ἴσως τὴν λοιδορίαν καὶ τὴν μάχην ἀμφοτέρων λέγειν. Τί τἀκτὸς] ποία μοι χρεία λέγειν τὰ ἔξω τῶν κακῶν, τὰς παρακολουθησάσας ὕβρεις, τοὺς διαπληκτισμοὺς οὐ λέγω, ἀλλ' αὐτὸ τὸ κακόν. ἐν συντόμῳ γὰρ παῖς πατέρα καίνει. 44 Παῖς πατέρα καίνει] ζητοῦσι πῶς εἰς τὸ μαντεῖον οὐκέτι ἀπῆλθεν ὁ Οἰδίπους. φασὶν ὅτι οὐκ ᾤετο τὸν θεὸν εὐθέως χρήσειν αὐτῷ μυσαρῷ γενομένῳ, πρὶν καθαρθῆναι, καὶ ἅμα ἵνα μὴ γνῷ ὅτι πατέρα ἔκτεινεν. ἔμαθε γὰρ καὶ τὴν μητέρα γῆμαι. ὅτι δὲ Πολύβῳ ἔδωκε τοὺς ἵππους, καὶ Ἀντίμαχος φησὶν ἐν * Λύδῃ,

Εἶτα δὲ φωνήσας, Πόλυβε, θρεπτήρια ταῦτα
Ἵππους τοι δώσω δυσμενέων ἐλάσας.

Ζητοῦσι δὲ πάλιν, πῶς οὐδὲ μίαν ζήτησιν πεποίηνται Θηβαῖοι, τεθνεῶτος αὐτοῖς τοῦ βασιλέως. λεκτέον, ὅτι εὐθὺς μὲν αὐτὸν οὐκ ἐπεζήτησαν, ἐν Δελφοῖς εἶναι νομίζοντες· μετὰ ταῦτα τῶν ἵππων ἀφανῶν γενομένων, λῃστῶν ἐδόκει ἔργον γεγονέναι. Ἄλλως. Δεῖ νοεῖν, ὅτι ὁ Οἰδίπους φονεύσας τὸν Λάϊον, ὡς ἐναγὴς παραχρῆμα οὐκ ἦλθεν εἰς τὸ ἱερόν. οὐ γὰρ ᾤετο χρήσειν αὐτῷ τὸν θεόν. ὑποστρέψας δὲ εἰς Κόρινθον μετὰ τῶν ἵππων Λαΐου, καὶ καθαρθεὶς τὸν φόνον, πάλιν ἐπὶ τῷ γνῶναι τοὺς γονεῖς ἐπανῆκε πρὸς τὸν θεόν. λαβὼν δὲ χρησμὸν, ὅτι ἐπὶ ὀλέθρῳ τοῦ πατρὸς ἐτέχθη, καὶ συνουσίᾳ τῆς μητρὸς, φεύγων Κόρινθον φυγεῖν τὴν νομιζομένην πατρίδα. γνοὺς δὲ τοῦ Κρέοντος τὸ κήρυγμα, ἐπὶ τὸν ἀγῶνα καθίησιν ἑαυτὸν τῆς σφιγγὸς, κινδύνῳ τὴν εὐτυχίαν θηρώμενος. 45 Ἐπιζάρει] ἐπέκειτο, ἐπιβαρεῖ· καὶ ζαρὸς ὄρνεόν ἐστιν ἁρπακτικόν. τὴν δὲ σφίγγα [illegible] μὲν ἔχειν πρόσωπον παρθένου, στῆθος δὲ καὶ πόδας λέοντος, πτερὰ δὲ ὄρνιθος. Σωσικράτης δὲ ἐγχωρίαν αὐτήν φησὶ χρησμολόγον δύσγνωστα μαντευομένην. ἅπερ ἀγνοοῦντες οἱ Θηβαῖοι, καὶ ἐναντίως αὐτοῖς χρώμενοι, ἀπώλοντο. Ἀσκληπιάδης δὲ λέγει τοὺς Θηβαίους εἰς ἐκκλησίαν καθ' ἡμέραν ἀθροίζεσθαι διὰ τὸ λῦσαι αἴνιγμα τῆς σφιγγός. λόγος γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν, πρὶν ἂν τοὺς τῆς σφιγγὸς λύσωσι χρησμούς. Ὡς δ' ἐπιζάρει] ἐπέκειτο κακοποιοῦσα. ἁρπασθῆναι δ' ὑπ' αὐτῆς φασὶν Αἵμονα τὸν Κρέοντος παῖδα· τινὲς δέ φασιν, ὅτι μία τῶν σὺν ταῖς Κάδμου θυγατράσι μανεισῶν, μετεβλήθη εἰς τὸ ζῶον τὴν σφίγγα. 47 Τἀμὰ κηρύσσει λέχη] ἀνόητον φασὶν ἐπὶ τὸν τῆς ἀδελφῆς γάμον τὸν τυχόντα καλεῖν. ἀγνοοῦσι δὲ, ὅτι κατεπείγουσα συμφορὰ, καὶ παρὰ τὸ πρέπον τι πράττειν προτρέπεται. ἔπειτα καὶ ἄριστόν τινα ᾤετο τὸν ἐγχειρήσοντα τῷ ἀγῶνι. κατὰ γὰρ Πίνδαρον, ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.

* ἐν Λύδῃ] Mendum hic ſemper ſuſpicatus ſum. Quid enim commune cum *Lydâ* & *Oedipo*: puto itaque Λύδῃ pro Θήβῃ per errorem ſcriptum & hoc pro Θηβαΐδι· Cujus Nominis Poema ab *Antimacho* ſcriptum memorant plurimi: verſus nonnullos ex eo citat *Pauſanias* in *Arcadicis*. Vid. *Amici* mei chariſſimi nuper defuncti *Nicolai Lloyd* Dictionarium *Hiſt. Geogr. Poeticum* in titulo *Antimachus Colophonius*. *Joſ. Barnes.*

ANNOTATIONES.

V. 30. Τὸν ἐμὸν ὠδίνων πόνον] pro τὸν ἐμῶν ὠδίνων πόνον, i. e. filium, ſed ἐμὸν tamen retinendum, ut Verſui conſulatur; & hanc lectionem agnoſcit & explicat *Scholiaſtes*.

Γαμεῖ δὲ τὴν τεκοῦσαν, οὐκ εἰδὼς τάλας,
Οὐδ' ἡ τεκοῦσα, παιδὶ συγκοιμωμένη.
Τίκτω δὲ παῖδας παιδὶ, δύο μὲν ἄρρενας,
Ἐτεοκλέα, κλεινήν τε Πολυνείκους βίαν,
Κόρας τε δισσάς. Τὴν μὲν Ἰσμήνην πατὴρ
Ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
Μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων,
Ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα,
Εἰς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
Χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
Ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
Κλείθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχη
Γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
Ζῶν δ' ἔστ' ἐν οἴκοις· πρὸς δὲ τῆς τύχης νοσῶν,
Ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
Τὼ δ' εἰς φόβον πεσόντε, μὴ τελεσφόρους
Ἀρὰς θεοὶ κραίνωσιν, οἰκούντων ὁμοῦ,
Ξυμβάντ' ἔταξαν, τὸν νεώτερον πάρος
Φεύγειν ἑκόντα τήνδε Πολυνείκην χθόνα·
Ἐτεοκλεᾶ δὲ σκῆπτρ' ἔχειν μένοντα γῆς,
Ἐνιαυτὸν ἀλλάσσοντ'· ἐπεὶ δ' ἐπὶ ζυγοῖς
Καθέζετ' ἀρχῆς, οὐ μεθίσταται θρόνων,
Φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκην χθονός.
Ὁ δ' Ἄργος ἐλθὼν, κῆδος Ἀδράστου λαβὼν,
Πολλὴν ἀθροίσας ἀσπίδ' Ἀργείων, ἄγει.
* Ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε, * MS. Ἐς.
Πατρῷ' ἀπαιτεῖ σκῆπτρα, καὶ μέρη χθονός.
Ἐγὼ δ' ἔριν λύουσ', ὑπόσπονδον μολεῖν
Ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός.
Ἥξειν δ' ὁ πεμφθείς φησιν αὐτὸν ἄγγελος.
Ἀλλ', ὦ φαεννὰς οὐρανοῦ ναίων * πτύχας, * MS. πύλας.
Ζεῦ, σῶσον ἡμᾶς· δὸς δὲ ξύμβασιν τέκνοις.
" Χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτὸν
" Τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθεστάναι.

Indè ducit matrem ignorans miſer,
Nec ſciebat mater ſe cum filio concumbere.
Pario verò pueros meo filio: duos quidem mares,
Eteoclem, & clarum Polynicem,
Et duas filias, alteram Iſmenem pater
Vocavit, alteram majorem natu, ego Antigonem.
Cùm agnoviſſet autem, ſe mariti eſſe matris
Oedipus, ſuſtinens omnia mala,
Eruit ſibi oculos ſuos,
Aureis fibulis cruentans pupulas.
Poſtquam autem filiorum meorum genæ teguntur barbâ,
Abdiderunt patrem intra clauſtrum, nè ſpargeretur hæc calamitas,
Quæ ut celaretur, habebat opus multis artificiis.
Adhuc vivit domi: æger autem animo propter hanc calamitatem,
Diris devovet liberos execrandis,
Ut perdant hanc domum acuto ferro.
Filii mei verò incidentes in metum, nè ratas
Diras illas dii perficerent, ſi habitarent ſimul,
Paciſcentes conſtituerunt ut junior Polynices
Tantiſper volens exularet hâc terrâ:
Eteocles verò manens, ſceptra terræ teneret,
Per vices mutantes annum. Poſtquam autem in throno
Regni conſedit, non diſcedit ex regno,
Sed extrudit exulem Polynicem ex hâc terrâ.
Ille verò Argos veniens, junctus affinitate Adraſto,
Magnum conſcribens exercitum Argivorum adducit:
Et veniens ad ipſa hæc Thebana mœnia ſeptem-portarum,
Repetit paternum regnum, & partem terræ.
Ego verò & reconciliarem eos, perſuaſi filio Polynici,
Ut factis induciis veniret ad fratrem, priuſquam congrederentur acie:
Nuncius miſſus ait eum venturum eſſe.
At O inhabitans lucidas plicas cœli,
Jupiter, ſerva nos, da reconciliationem liberis.
" Oportet enim te, ſiquidem es ſapiens, non ſinere
" Eundem hominem ſemper eſſe miſerum. *Exit* Jocaſta.

Γαμεῖ δὲ τὴν τεκοῦσαν] Φερεκύδης τὰ κατὰ τοὺς παῖδας Οἰδίποδος, καὶ τὰς γυναῖκας οὕτως ἱστορεῖ. Οἰδίποδι φησὶ Κρέων δίδωσι τὴν βασιλείαν, καὶ τὴν γυναῖκα Λαΐου, μητέρα δ' αὐτοῦ Ἰοκάστην. ἐξ ἧς γίνονται αὐτῷ Φράστωρ καὶ Λαόνυτος, οἳ θνήσκουσιν ὑπὸ Μινυῶν, καὶ Ἐργίνου. ἐπεὶ δὲ ἐνιαυτὸς παρῆλθε, γαμεῖ ὁ Οἰδίπους Εὐρυγάνειαν τὴν Περίφαντος. ἐξ ἧς γίνονται αὐτῷ, Ἰοκάστη, Ἀντιγόνη, Ἰσμήνη, ἣν ἀναιρεῖ Τυδεὺς ἐπὶ κρήνης, καὶ ἀπ' αὐτῆς ἡ κρήνη Ἰσμήνη ἐκλήθη. υἱοὶ δὲ αὐτῷ ἐξ αὐτῆς, Ἐτεοκλῆς καὶ Πολυνείκης. ἐπεὶ δὲ Εὐρυγάνεια ἐτελεύτησε, γαμεῖ Ἀστυμέδουσαν τὴν Σθενέλου. τινὲς δὲ Εὐρυγάνειαν ἀδελφὴν λέγουσιν εἶναι Ἰοκάστης τῆς μητρὸς Οἰδίποδος. Μαθὼν δὲ] γνοὺς δὲ τὰ ἐμὰ λέκτρα τὰ τῆς μητρὸς, ἀντὶ τοῦ ἐπιγνοὺς μητρὶ συγκοιμώμενος. τὸ δὲ μητρῴων γάμων, περιφραστικῶς, ἀντὶ τῆς μητρός. Εἰς ὄμμαθ' αὑτοῦ] ὄμματα καὶ Ἑλλάνικος. ἐν δὲ τῷ Οἰδίποδι, οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν. Ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ, ἐξομματοῦμεν, καὶ διόλλυμεν κόρας. πῶς δέ φησιν Ἰοκάστη μετὰ τοσαῦτα δυστυχήματα ζῇ; ῥητέον, ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλοτέρα μὲν ἀνδρός. ἐκεῖ δὲ νοῦν ἔχουσα ἴσως. ἀεὶ γὰρ τοὺς παρόντας δακρύουσα, ἐμποιεῖ τὸ θῆλυ τῆς ψυχῆς ἀναβολὴν τοῦ πάθους. Ἐπεὶ δὲ τέκνων] ὅτε δὲ ἠνδρώθησαν οἱ παῖδες, κλείθροις ἔκρυψαν τὸν πατέρα, ἵνα ἡ τύχη λάθῃ παραδοθεῖσα· καίτοι δυσαπόκρυπτος οὖσα, καὶ πολλῆς δεομένη μηχανῆς εἰς τὸ λαθεῖν. Πολλῶν δεομένη] ἤτοι ἡ πολλῆς δεομένη μηχανῆς πρὸς τὸ λαθεῖν, ἢ πολλῶν παραινέσεων, καὶ πολλῆς παραμυθίας, διὰ τὴν ὑπερβολὴν τοῦ πάθους. πρὸς δὲ τί ἥμαρτεν ὁ Οἰδίπους, ὅτι καὶ αὐτὸς τιμωρεῖται; φασὶ δὲ, ὅτι Πέλοψ Χρυσίππου ἁρπαγέντος, κατηράσατο μέχρι παίδων εἶναι τὸ κακόν. τινὲς δέ φασιν, ὅτι Λάϊος ἀνῃρέθη ὑπὸ Οἰδίποδος, ὅτι ἀμφότεροι ἤρων Χρυσίππου. Τὼ δ' εἰς φόβον] εἰκότως ἔδεισαν ἐννοηθέντες ὅσα Λαΐῳ συνέβη διὰ τὰς Πέλοπος ἀράς. [71] Συμβάντ'] οὕτως ὁ τόπος εἰς ἀσυμφωνίαν ἄγει τὸ δρᾶμα. ἤδη γὰρ ἐξέλασιν ὑποτίθησι τοῦ Πολυνείκους, ἵνα διὰ τὸν ἑξῆς λόγον λέγῃ † ποτὲ μὲν ἐπ' ἦμαρ ἄρχων, εἶτ' οὐκ ἔχων. εἰ γὰρ ἀλλήλοις ὑπεχώρησαν ἐνιαυτὸν παρ' ἐνιαυτὸν ἄρχειν, πάντως καὶ τὰ ἐπιτήδεια ἐπορίζετο ὁ Πολυνείκης. δεῖ οὖν εἰδέναι, ὅτι οὐ πᾶσι συμφωνεῖ ἡ Πολυνείκους εἰς Ἄργος ἄφιξις. Φερεκύδης γὰρ ἐκβεβλῆσθαι τὸν Πολυνείκην φησὶ μετὰ βίας. Ἑλλάνικος δὲ ἱστορεῖ, κατὰ συνθήκας αὐτὸν συγχωρῆσαι τὴν βασιλείαν Ἐτεοκλεῖ, λέγων αἵρεσιν αὐτῷ προτεθῆναι τὸν Ἐτεοκλέα, εἰ βούλοιτο τὴν βασιλείαν ἔχειν, ἢ τὸ μέρος τῶν χρημάτων λαβεῖν, καὶ ἑτέραν πόλιν οἰκεῖν. τὸν δὲ λαβόντα τὸν ὅρμον, καὶ τὸν χιτῶνα Ἁρμονίας, ἀναχωρῆσαι εἰς Ἄργος, κείνοντος τοῦ μέρους τὴν βασιλείαν Οἰδίποδος συγχωρῆσαι. ὧν τὸν μὲν ὅρμον Ἀφροδίτη, τὸν δὲ χιτῶνα Ἀθηνᾶ ἐχαρίσατο, ᾧ καὶ δίδωσι τὴν θυγατέρα Ἄδραστος Ἀργείαν ἄγειν. Εὐριπίδης ταῖς δύο ἱστορίαις ἐχρήσατο, ἐνταῦθα μὲν τῇ Φερεκύδου, ὕστερον δὲ τῇ Ἑλλανίκου. ὁ μὲν Εὐριπίδης τὸν Ἐτεοκλέα, ὁ δὲ Σοφοκλῆς τὸν Πολυνείκην, μείζονα οἶδεν ἐν Οἰδίποδι. [74] Ἐπεὶ δ' ἐπὶ ζυγοῖς] ἀντὶ τοῦ ἐπὶ τὴν βασιλείαν. μετενήνοχε δὲ ἀπὸ τῶν κυβερνητῶν. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ, Ζεὺς δ' ὑψίζυγος. ἐπὶ γὰρ τοῦ ὑψίστου ζυγοῦ καθήμενος, ὡς κυβερνήτης πάντας φέρει τοὺς οἴακας. Κῆδος] ἐπιγαμβρεία. λείπει δὲ ὁ καί. Ὑπόσπονδον] μετὰ σπονδῶν καὶ φιλίας. Πρὶν ψαῦσαι] πρὶν τὸν πόλεμον συγκροτηθῆναι. Ναίων πτύχας] ἐὰν μὲν ἀπὸ τοῦ πτύξ, πτύχας· ἐὰν δὲ ἀπὸ τοῦ πτυχὴ, πτυχάς. Εἰ σοφὸς πέφυκας] ἐπειδὴ τῶν συνετῶν ἐπίσκοπος.

† V. 405.

ANNOTATIONES.

V. 58. Ἀντιγόνην ἐγώ] ex unico hoc loco patet, Morem fuiſſe, Mares præcipuè à *Patribus*, Puellas infantes à *Matribus* nominari; aliquandò & à Patribus.

V. 68. Θηκτῷ σιδήρῳ, &c.] Hunc locum *Plutarchus* in *Pyrrho* laudat. Vid. *Hugo Grotii* De Jure Belli & Pacis, *Prolegom.* § 23. in Notis.

V. 74. Ἐτεοκλεᾶ] ità ſcribo ut Metro conſulam à Recto Ἐτεοκλέης, ἐος, quod facit in Atticâ contractione Accuſ. Ἐτεοκλεᾶ, ut τὸν ἱερέα, ἱερεᾶ. Vid. hujus Fabulæ, V. 1258.

Παι. Ὦ κλεινὸν

Παι. Ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρὶ,
Ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
Μεθῆκε, μελάθρων δ' ἐς διῆρες ἔσχατον,
Στράτευμ' ἰδεῖν Ἀργεῖον ἱκεσίαισι σαῖς,
Ἐπίσχες, ὡς ἂν προὐξερευνήσω στίβον,
Μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
Κἀμοὶ μὲν ἔλθοι φαῦλος ὡς δούλῳ ψόγος,
Σοὶ δ' ὡς ἀνάσσῃ. πάντα δ' ἐξειδὼς, φράσω
Ἅτ' εἶδον, εἰσήκουσά τ' Ἀργείων πάρα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
Ἐνθένδ' ἐκεῖσε, δεῦρό τ' αὖ κείνου πάρα.
Ἀλλ' οὔτις ἀστῶν τοῖσδε χρίμπτεται δόμοις,
Κέδρου παλαιὰν κλίμακ' ἐκπέρα ποδί·
Σκόπει δὲ πεδία, καὶ παρ' Ἰσμηνοῦ ῥοὰς,
Δίρκης τε νᾶμα, πολεμίων στράτευμ' ὅσον.

Pæ. O Antigone egregium gennen patris in domo
Poſtquam te mater gynæceum relinquere
Permiſit, & in extremam contignationem domûs aſcendiſti,
Ut videas exercitum Argivorum propter preces tuas:
Expecta, donec inveſtigavero viam.
Nè quis civium in viâ appareat,
Et mihi ut ſervo, veniat mala reprehenſio,
Tibique tanquam reginæ: cùm verò exploraverim omnia, dicam
Et quæ vidi & quæ audivi ab Argivis;
Quando veni ferens fratri tuo fidem publicam
Hinc illuc, & huc rurſus ab illo.
Sed nemo civium appropinquat his ſedibus;
Supera pedibus veteres ſcalas ex cedro factas:
Et conſidera campos ad Iſmenum fluvium,
Et fontem, quantus exercitus hoſtium.

Ὦ κλεινὸν] σύστημα προκαταστατικὸν τῶν ἑξῆς ἀλλοιοστρόφων συστημάτων, στίχων ἰαμβικῶν τεσσαράκοντα ἓξ, ἐπὶ τῷ τέλει παράγραφος. Ὁμηρικῷ ζήλῳ ἀνάγει Εὐριπίδης Ἀντιγόνην ἰδεῖν τὸ στράτευμα, ὥσπερ ἐκεῖνος Ἑλένην ἐποίησε. πλὴν ὅσον ἐκείνη μὲν τῷ Πριάμῳ διηγεῖται τὰ τοῦ στρατεύματος, Ἀντιγόνῃ δὲ ὁ παιδαγωγὸς διηγεῖται. Ὦ κλεινὸν] ὦ Ἀντιγόνη, ἔνδοξον τῷ πατρὶ βλάστημα ἐν τοῖς οἴκοις, ἐπεὶ σὲ ἡ μήτηρ κατέλιπε διὰ τὰς σὰς ἱκεσίας ἐκλιπεῖν τοὺς παρθενῶνας, καὶ ἀνελθεῖν δηλονότι εἰς τὸ ἔσχατον ὑπερῷον τῶν μελάθρων, ὥστε ἰδεῖν τὸ στράτευμα τὸ Ἀργεῖον, ἐπίσχες, σαυτὴν δηλονότι, ἀνάμεινον, ὡς ἂν προεξερευνήσω, καὶ ἴδω τὴν ὁδὸν, μή τις ἀπὸ τῶν πολιτῶν φαίνεται ἐν τῇ ὁδῷ, καὶ ἐμοὶ μὲν ἔλθοι καὶ καταλάβοι κακὸς ψόγος ὡς δούλῳ, σοὶ δὲ ὡς ἀνάσσῃ καὶ κυρίᾳ. πάντα δὲ ὁράσω καὶ εἴπω, ἅ τινα ἐθεασάμην, καὶ εἰσήκουσα παρὰ τῶν Ἀργείων, ὅτε ἦλθον φέρων τῷ σῷ ἀδελφῷ σπονδὰς ἐνθένδε ἀπὸ τούτου τοῦ τόπου ἐκεῖσε, παρ' ἐκείνου δὲ πάλιν ἐνταῦθα. ἀλλ' οὐδεὶς ἀπὸ τῶν πολιτῶν πλησιάζει ἐν τοῖς δόμοις. διέρχου δὲ διὰ τοῦ ποδὸς τὴν παλαιὰν κλίμακα τὴν ἀπὸ τοῦ κέδρου, καὶ σκόπει τὰ πεδία, καὶ τὰ ῥεύματα τοῦ Ἰσμηνοῦ, καὶ τὸ νᾶμα τῆς Δίρκης τῆς πηγῆς, ὅσον ὑπάρχει τὸ στράτευμα τῶν πολεμίων. Ὦ κλεινὸν οἴκοις, ἡ τοῦ δράματος διάθεσις, ἐνταῦθα ἀγωνιστικωτέρα γίνεται. τὰ γὰρ τῆς Ἰοκάστης παρελκόμενά εἰσι, καὶ ἕνεκα τοῦ θεάτρου ἐκτέταται. ἡ δὲ ἔξοδος τῆς παρθένου, εἰκὼν [illegible] τῆς Ὁμηρικῆς τειχοσκοπίας τῆς Ἑλένης, ἐκ τοῦ ἐναντίου. ἐκεῖ γὰρ γυνὴ τῷ γέροντι δείκνυσι, διδάσκει δὲ σώφρον παρθένον φυλάττεσθαι κατ' ὄψιν τὴν μὲν μαθεῖν, παιδαγωγίαν δὲ φοβεῖσθαι, χρείας τε μὴ τῆς τυχούσης, ἐπειγούσης τὴν ἔξοδον. Ἄλλως. εὐδιοίκητος ἂν ἡ τῆς Ἀντιγόνης ἔξοδος. καλῶς δὲ τὴν βασιλικὴν παρθένον οὐ γυναῖκας φυλάττουσιν, ἀλλ' ὁ διὰ τὸ γῆρας σώφρων καὶ φρόνιμος. τοιγαροῦν οὐκ ἀσκέπτως μετ' αὐτῆς ἔξεισιν, ἀλλ' ἐρημίαν παραφυλάξας. ἐνόμιζε γὰρ διὰ τὸν πάσης πόλεως κίνδυνον, δεῖν τὴν τῆς κόρης μέλεσθαι ποιεῖν εὐταξίαν. [90] Διῆρες ἔσχατον] διῆρες τὸ δίστεγον ὑπερῷον, ὡς μόνον μονῆρες δύο διῆρες, ἀπὸ τοῦ δὶς καὶ δύο οὔσης τῆς ὀροφῆς. καταχρηστικώτερον δὲ κἂν ὄροφον ᾖ, κἂν πολύστεγον, οὕτως λέγεται. οἱ δὲ διῆρες καὶ διηρὸν καὶ ὕπαιθρον. Μή τις πολιτῶν ταῦτα καταμηχανᾶται φασὶ τὸν Εὐριπίδην, ἵνα τὸν πρωταγωνιστὴν ἀπὸ τοῦ τῆς Ἰοκάστης προσώπου μετασκευάσῃ. διὸ οὐ συνεμφαίνεται αὐτῷ Ἀντιγόνη, ἀλλ' ὕστερον. οἰκονομικῶς δὲ ὁ ποιητὴς φησὶν αὐτὸν ἀπεστάλθαι εἰς τὸ στρατόπεδον, ὅπως εὔλογον ἔχῃ φράσιν τοῦ ἐπιγινώσκειν ἅπαντας. διὰ δὲ τοῦ κέδρου παλαιὰν κλίμακα, λεληθότως τὸν πλοῦτον τῶν βασιλέων παρίστησιν, ὅτι γε κεδρίνην τὴν κλίμακα φησί. Δίρκης τε νᾶμα] Δίρκη, κρήνη Θηβῶν, πλησίον τοῦ Ἰσμηνοῦ, ἀπὸ Δίρκης ὀνομασθεῖσα. οἱ γὰρ περὶ Ζῆθον καὶ Ἀμφίονα ἐκτεθέντες ὑπὸ τῆς μητρὸς Ἀντιόπης, καὶ τραφέντες ἐν τοῖς βουκόλοις τῆς Δίρκης, ἐβουκόλουν αὐτῇ. ὕστερον δὲ παρέδωκαν αὐτοῖς τὴν Ἀντιόπην ἐπὶ τὸ διὰ ταύρων διασπάσαι. οἱ δὲ γνόντες αὐτὴν μητέρα αὐτῶν, αὐτῆς μὲν ἐφείσαντο, τὴν δὲ Δίρκην διὰ τῶν ταύρων διέσπασαν. καὶ ὁ τόπος ἔνθα ἐρρίφη, Δίρκη καλεῖται, καὶ ὁ τόπος, καὶ ὁ ποταμός.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α΄.

Αν. 1 Ὄρεγε νῦν ὄρεγε γεραιὰν
2 Νέᾳ χεῖρ' ἀπὸ κλιμάκων
3 Ποδὸς ἴχνος ἐπαντέλλων.
Παι. Ἰδοὺ, ξύναψον παρθέν'· εἰς καιρὸν δ' ἔβης·
Κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
Στράτευμα, χωρίζουσι δ' ἀλλήλων λόχους.

Στροφὴ β΄.

Αν. 1 Ἰὼ πότνια παῖ Λατοῦς
2 Ἑκάτα, κατάχαλκον ἅπαν

Strophe I.

An. 1 Porrige nunc, porrige ſenilem
2 Juveni manum de gradibus,
3 Sublevans veſtigium pedis.
Pæ. Ecce junge manum virgo, opportunè aſcendiſti,
Exercitus enim Græcorum jam movetur,
Jam ſeparant à ſe invicem cohortes.

Strophe II.

An. 1 O veneranda filia Latonæ
2 Hecate, æneus totus

Ὄρεγε νῦν] τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀνομοιόστροφα κυρίως, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν, καὶ εἰσὶ τῆς παρούσης στροφῆς τὰ κῶλα γ΄. τὸ α΄. παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων τετάρτων δύο καὶ σπονδείου. τὸ β΄ ἀντισπαστικὸν δίμετρον, ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ διιάμβου. τὸ γ΄ ἀναπαιστικὸν δίμετρον γλυκώνειον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος, κατὰ ἀντίθεσιν ἴαμβος, εἶτα παράγραφος. ὄρεγε καὶ πάρεχε ἀρτίως ἀπὸ τῶν κλιμάκων τὴν χεῖρα τὴν γεραιὰν, τῇ ἐμῇ νέᾳ χειρὶ ἐπανατέλλων καὶ ἀναβιβάζων τὸ ἴχνος τοῦ ποδός. Ὄρεγε νῦν] πάρεχε μοι τὴν χεῖρα ὁδηγὸν, ἤγουν ὁδήγει με. ἢ ἀντὶ τοῦ ἔκτεινε τὴν παλαιάν σου χεῖρα ἐμῇ τῇ νέᾳ, ἅμα προσαναβαίνων. ἐπαντέλλων γὰρ ἀντὶ τοῦ ἐπανάγων, ἡ μεταφορὰ ἀπὸ τοῦ Ἡλίου. καὶ γὰρ οὗτος εἰς τὸ ὑψηλὸν τοῦ οὐρανοῦ ἀναβαίνει. [106] Ἰδοὺ] ὦ παρθένε, ἰδοὺ σύναψον, ἐγκαίρως γὰρ ἐπορεύθης. κινούμενον γὰρ ὑπάρχει τὸ Ἀργεῖον στράτευμα. χωρίζουσι δὲ καὶ ἀποχωροῦσιν ἀλλήλων τοὺς λόχους καὶ τὰ τάγματα. Ἰὼ πότνια] ἡ β΄ αὕτη στροφὴ, κώλων ἐστὶ γ΄. τὸ α΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, γλυκώνειον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου α΄. τὸ β΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ΄ τροχαϊκὸν πενθημιμερὲς, τοῦ α΄ ποδὸς χορείου, ὡς δὲ βούλει, παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δὲ καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος. Ἰὼ] φασὶ, ὦ θύγατερ τῆς Λατοῦς σεβασμία σελήνη. ἅπαν γὰρ τὸ πεδίον ἀστράπτει κατάχαλκον, ἤτοι ἔνοπλον. οὐ γὰρ φαύλως καὶ ἀπρεπῶς ἦλθε καὶ κατέλαβεν ὁ Πολυνείκης τὴν γῆν, ἀλλὰ βρέμων καὶ ἠχῶν ἐν πολλοῖς ἵπποις, καὶ μυρίοις ὅπλοις. Ἰὼ πότνια] ἡ παρθένος τὴν Ἄρτεμιν ἀνακαλεῖται, ἐπειδὴ τὸ πεδίον ἀστράπτον ἑώρα. τὸ δὲ τῆς σελήνης εἶδος τοιοῦτον. εἰς γὰρ τὴν σελήνην ἀλληγορεῖται ἡ Ἄρτεμις, διὰ τοῦτο ἐκπλαγεῖσα, πρὸς τὴν Ἄρτεμιν ποιεῖται τὸν λόγον. εἰ δέ τις εἴποι, ὅτι καιρὸν εἶχε τὸ ταύτην ἐπιβοᾶσθαι ὡς πολεμικὴν, οὐδὲν βλάβος τῷ λόγῳ.

ANNOTATIONES.

V. 88. Ὦ κλεινὸν οἴκοις Ἀντιγόνη] [illegible] hoc loco *Statius* ſibi viam patefecit ad producendam *Antigonam* exercitûs *Thebani* ſpectatricem. *Thebaidos* l. IX. (ubi Pædagogum vocat *Phorbam.*)

Turre procul ſolâ, nondum conceſſa videri
Antigone populis, teneras defenditur atrâ
Veſte genas, juxtàque comes, quo Laïus ibat
Armigero, &c.

V. 90. Διῆρες] Ità ſcribo pro τὸ διῆρες. *Scholiaſtes* διῆρες malè retinet, explicat pejus. *Joſ. Barnes.*

3 Πεδίον ἀστράπτει.

Παι. Οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,

Πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων.

Στροφὴ γ'.

Αν. 1 Ἆρα πύλαι κλείθροις,

2 Χαλκόδετά τ' ἔμβολα

3 Λαϊνέοις Ἀμφίονος ὀργάνοις

4 Τείχεος ἥρμοσται;

Παι. Θάρσει· τά γ' ἔνδον, ἀσφαλῶς ἔχει πόλις.

Ἀλλ' εἰσόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.

Στροφὴ δ'.

Αν. 1 Τίς οὗτος ὁ λευκολόφας,

2 Πρόπαρ ὃς ἀγεῖται στρατοῦ,

3 Πάγχαλκον ἀσπίδ' ἀμφὶ

4 Βραχίονι κουφίζων;

Παι. Λοχαγός, ὦ δέσποινα. A. Τίς; πόθεν γεγώς;

Αὔδασον, ὦ γεραιὲ, τίς ὀνομάζεται;

Παι. Οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,

Λερναῖα δ' οἰκεῖ νάμαθ' Ἱππομέδων ἄναξ.

Στροφὴ ε'.

Αν. 1 Ἒ ἔ ὡς γαῦρος, ὡς φοβερὸς

2 Εἰσιδεῖν, γίγαντι

3 Γηγενέτᾳ προσόμοιος,

3 Campus fulget.

Pa. Non ſegnitèr enim venit in hanc terram Polynices,
Inſtructus magno equitatu, & multis clypeis ſtrepens.

Strophe III.

An. 1 Nunquid portæ clauſtris,

2 Æneique vectes

3 Saxeis Amphionis operibus

4 Juncti ſunt muris?

Pa. Confide: quod interiora attinet, benè munita eſt urbs.
Sed vide primum, ſi vis ſcire quis ſit.

Strophe IV.

An. 1. Quis eſt ille fulgenti cono,

2 Qui antecedit exercitum,

3 Æneum clypeum circa

4 Brachium leviter gerens?

Pa. Dux eſt, ô domina. An. Quiſnam? Unde natus?
Dic, ô ſenex, quomodo nominatur?

Pa. Hic Mycenæus quidem dicitur genere,
Habitat verò ad Lernæam paludem, rex Hippomedon.

Strophe V.

An. 1 Heu, quàm ſuperbus, quàm terribilis

2 Aſpectu, Giganti

3 Terrigenæ ſimilis:

Ἀστράπτει] τῇ ὑπερβολῇ κατάπληξιν ἐμφαίνει, ὅλον λέγων ἀστράπτειν τὸ πεδίον, καίτοι ὀλίγον μέρος αὐτοῦ κατεῖχον οἱ πολέμιοι. οἰκείως δὲ τὸ ἀστράπτειν ἐνταῦθα. τοιαύτη γὰρ ἡ τοῦ χαλκοῦ φύσις, ὁπόταν τις ἐν Ἡλίῳ κινήσειεν αὐτόν. πῶς δὲ ἐνταῦθα φησὶ κατάχαλκον πεδίον. ἐν δὲ τοῖς ἑξῆς φησὶ λευκάσπιν εἰσορῶμεν Ἀργεῖον στρατὸν, ἀλλ' οὐ πάντες ἦσαν λευκάσπιδες. περὶ γοῦν τινος φησὶ πάγχαλκον ἀσπίδ' ἀμφὶ βραχίονι κουφίζων. ἢ καὶ ἀπὸ τῶν ἄλλων ὅπλων κατάχαλκον φησὶ τὸ πεδίον θωρήκων τε καὶ κνημίδων καὶ κρανῶν. 114 Ἆρα πύλαι] ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ σπονδείου. τὸ β' παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος α' καὶ δακτύλου. τὸ γ' προσωδιακὸν, τρίμετρον καταληκτικὸν, ἐκ χοριάμβου ἰωνικοῦ ἀπὸ μείζονος, καὶ κρητικοῦ. τὸ δ' δακτυλικὸν πενθημιμερές, εἰ δὲ βούλει, χοριαμβικὸν καθαρὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. Ἆρα πύλαι] ἆρα αἱ πύλαι καλῶς τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖς λαϊνέοις Ἀμφίονος ὀργάνοις, ὅ ἐστι τῷ λαϊνέῳ τείχει. ὀργάνοις δὲ τοῖς ἔργοις, ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ Σοφοκλῆς, ξουθῆς μελίσσης κηρόπλαστον ὄργανον, ἀντὶ τοῦ ἔργον. καὶ ἔμβολα, οἱ μὲν τοὺς καθέτους, οἱ δὲ τοὺς στροφεῖς. Ἄλλως. χαλκόδετα ἔμβολα, τοὺς στροφεῖς, παρὰ τὸ ἐμβάλλεσθαι τῇ ὀπῇ τοῦ οὐδοῦ. χαλκόδετα δὲ, ἐπεὶ χαλκῷ περισφηκοῦνται οἱ στροφεῖς, διὰ τὸ μὴ προστριβόμενον ἐξαναλοῦν τὸ ξύλον. ἆρα οὖν φησὶν, αἱ πύλαι καλῶς τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ οἱ στροφεῖς καλῶς ἐνηρμόσθησαν πρὸς τὸ λάϊνον τεῖχος, καὶ τὰς ὀπὰς, ὅ ἐστι τὸ ἔργον τοῦ Ἀμφίονος. οὐ θαρσήσασα δὲ τοῖς κλείθροις, καὶ περὶ τῶν στροφέων φησὶ, μή ποτε καὶ τοὺς στροφεῖς τῶν θυρῶν ἀναχαλᾶν δυνήσονται οἱ Ἀργεῖοι, μὴ ἐν βάθει ἡρμοσμένους. ἄλλοι ἔμβολα φασὶ τοὺς καθέτους, τὰ νῦν καλούμενα πτερὰ, ἅπερ ἐστὶ τῇ κατασκευῇ τοιάδε, θύραν κατασκευάσαντες ἴσην κατά γε μῆκος καὶ πλάτος τῇ πύλῃ τοῦ τείχους ἔξωθεν αὐτῆς χαλκοπέταλα καθηλοῦσιν, ὡς ὁλόχαλκον τὴν θύραν νομίζεσθαι, ταύτην ἐπάνω τῆς θύρας ἱστᾶσιν οὐχ ἑδραίαν, ἀλλ' ὥσπερ κρεμαμένην. τῶν δὲ πυλῶν κλειομένων, καθιᾶσιν ἄνωθεν τὴν κεχαλκωμένην θύραν, ἥ τις μέχρι τοῦ ἐδάφους φθάνουσα καλύπτει τὴν θύραν, ὡς ἂν μηδὲ μίαν ἐπιβουλὴν γίνεσθαι, ἐάν ποτε καὶ πυρὸς προσφερομένου ταῖς πύλαις ξυλίναις οὔσαις, καὶ πολεμίων πολιορκούντων, τάς τε πύλας ἔκλεισαν, καὶ τὰ ἔμβολα καθιᾶσιν. εἰρήνης δὲ οὔσης διὰ τὸ τὰς πύλας δυσχέρειαν παρέχειν ἔν τε τῷ κλείεσθαι καὶ ἀνοίγεσθαι, ταύτας μὲν εἶχον ἀνεῳγμένας διαπαντός. ἑσπέρας δ' ἠρκοῦντο τῷ ἐμβόλῳ, διά τινος μηχανήματος αὐτὸ καθιέντες καὶ ἀνέλκοντες. ἔμβολον δὲ καλεῖ ἐκ τοῦ ἄνωθεν ἀπὸ τοῦ τείχους ἐμβάλλεσθαι ἔξωθεν τῶν πυλῶν. χαλκόδετον δὲ, διὰ τὸ δεδέσθαι καὶ ἠσφαλίσθαι χαλκῷ. ὁ δὲ νοῦς, ἆρα αἱ πύλαι τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ τὰ χαλκόδετα ἥρμοσται τοῖς Ἀμφίονος λαϊνέοις τοῦ τείχους ὀργάνοις, τουτέστι τοῖς ὑπὸ Ἀμφίονος κατασκευασθεῖσι τείχεσιν. ὁ μὲν γὰρ Κάδμος ἔκτισε τὰς Θήβας, Ἀμφίων δὲ καὶ Ζῆθος ἐτείχισαν. 116 Λαϊνέοις Ἀμφίονος ὀργάνοις] ἀντὶ τοῦ ἔργοις τοῖς μουσικῇ γινομένοις. φασὶ γὰρ, ὡς Ἀμφίων οἰκοδομησάμενος Θήβας, ὅτε διετίθει τὸν τειχισμὸν, οὐ χερσὶν ἐχρῆτο πρὸς τοῦτο, οὐδὲ ἦσαν οἱ συναιρόμενοι αὐτῷ τῆς οἰκοδομίας, ἀλλὰ τῆς αὐτοῦ μουσικῆς ἐποιεῖτο τὸ ἔργον, μέλος ἀνακρουόμενος, κἀντεῦθεν τοὺς λίθους κινῶν, καὶ κατασκευάζων τὰ τείχη. ἐγένετο δὲ τὸ τεῖχος ἑπτάπυλον, ὅσοι οἱ τῆς λύρας τόνοι. Θάρσει, τά γ' ἔνδον] θάρρος ἔχε· τὰ ἔνδον γὰρ καὶ τὰ ἐντὸς, ἀσφαλῶς καὶ βεβαίως ἔχει ἡ πόλις. Ἀλλ' εἰσόρα] βλέπε εἰ βούλει καὶ θέλεις γνῶναι τὸν πρῶτον στρατηγόν. 120 Τίς οὗτος] τίς ἐστιν οὗτος, ὁ λευκὴν φέρων κόρυθα, ὅς τις ἔμπροσθεν προοδοποιεῖ τοῦ στρατοῦ, κρατῶν ἀμφὶ τὸν βραχίονα ἀσπίδα πάγχαλκον. Ὁ λευκολόφας] ὁ λαμπρὰν ἔχων περικεφαλαίαν. Ὃς ἀγεῖται] ὅστις ἔμπροσθεν ἡγεῖται τοῦ στρατοπέδου, ὁλόχαλκον ἀσπίδα περὶ τὸν βραχίονα βαστάζων. Λοχαγός] ταξίαρχος, ὦ δέσποινα, τίς, καὶ ἐκ ποίου τόπου γεγονώς. εἰπὲ, ὦ γεραιὲ, τίς καλεῖται κατὰ τὸ ὄνομα, Οὗτος ὀνομάζεται Μυκηναῖος τὸ γένος, Ἱππομέδων βασιλεύς. Λοχαγός] ταξίαρχος, ἡγεμών. Μυκηναῖος] οἱ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος. φησὶν οὖν ὅτι Μυκηναῖος ἐστὶν, οἰκεῖ δὲ περὶ τὴν Λέρνην, τὴν ἐν Μυκήναις πηγὴν, ὅ ἐστι τὴν ἐν Ἄργει πηγήν. Λερναῖα] ἀπὸ μέρους τὸ Ἄργος. Λέρνη γὰρ πόλις καὶ πηγὴ τοῦ Ἄργους. Ἒ ἔ ὡς γαῦρος] ἒ ἔ, αὕτη στροφὴ, κώλων ἐστὶ ε'. τὸ α' ἰωνικὸν ἀπ' ἐλάττονος, δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ β' καὶ συλλαβῆς. τὸ β' τροχαϊκὸν ἰθυφαλλικόν. τὸ γ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ε' ἀναπαιστικὸν, δίμετρον, ἀκατάληκτον. εἰ δὲ βούλει, προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος. Ἒ ἔ ὡς γαῦρος] ἐπιρρημα τῷ σχήματι, καὶ διὰ τοῦ σχήματος ἐμφαίνων τὸ αὔθαδες τῆς ψυχῆς. Ἄλλως. Τὸ ἑξῆς ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν, ἀστεροπὸς ἐν γραφαῖσι, γίγαντι γηγενέτᾳ προσόμοιος, οὐχὶ προσόμοιος ἀμείνω γένει.

ANNOTATIONES.

V. 121. Ἀγεῖται] τὸ Ἄγει quod prius obtinebat, deleo, quia ſenſus hoc verbum non agnoſcit & Scholiaſtes legit ἀγεῖται, & MS. quod longè melius.

V. 127. Nomina τῶν Ἑπτὰ ἐπὶ Θήβας hinc incipiunt, viz.
1 *Hippomedon*, 2 *Tydeus*, 3 *Parthenopæus*, 4 *Polynices*, 5 *Amphiaraus*, 6 *Capaneus*, 7 *Adraſtus*.
1 *Ariſtomachi* filius, 2 *Oenei*, 3 *Meilanionis* & *Atalanta*, 4 *Oedipi* & *Jocaſta*, 5 *Oeclei*, 6 *Hipponoi*, 7 *Talai*.

De quibus vid. *Euripid.* Suppl. à V. 861. ad 902. *Hyginum*, l.2.c.70. *Statii Thebaida* & *Æſchyli* Tragædiam Ἑπτὰ ἐπὶ Θήβας inſcriptam, & *Sophocl.* Oed p. ἐπὶ Κολωνῷ, V. 1308. ad V. 1320. & *Apollodori Thebaica* & Poema ità dictum *Anonymi*; *Euſtathium* denique in *Homeri* Iliad. fol. 489. lin. 36. *Joſ. Barnes.*

4 Ἀστεροπὸς

4 Ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ
5 Πρόσφορος * ἀμερίῳ γέννᾳ.
Παι. Τόνδ' ἐξαμείβοντ' οὐχ' ὁρᾷς Δίρκης ὕδωρ,
Λοχαγόν; Α. ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
Τίς δ' ἐστὶν οὗτος; Π. παῖς μὲν Οἰνέως ἔφυ
Τυδεὺς, Ἄρην δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.

Στροφὴ ϛ'.

Αν. 1 Οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
2 Αὐτοκασιγνήτας νύμφας
3 Ὁμόγαμος κυρεῖ;
4 Ὡς ἀλλόχρως ὅπλοισι μιξοβάρβαρος.
Παι. Σακεσφόροι γὰρ πάντες Αἰτωλοὶ, τέκνον,
Λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.
Αν. Σὺ δ', ὦ γέρον, πῶς αἰσθάνῃ σαφῶς τάδε;
Παι. Σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
Ἃ προσδεδορκὼς, οἶδα τοὺς ὡπλισμένους.

Στροφὴ ζ'.

Αν. 1 Τίς δ' οὗτος ἀμφὶ μνῆμα τοῦ Ζήθου περᾷ,
2 Καταβόστρυχος, ὄμμασι
3 Γοργὸς τ' εἰσιδεῖν, νεανίας;
Παι. 4 Λοχαγός. Α. ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
5 Πάνοπλος ἀμφέπει.
Παι. Ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.

Στροφὴ η'.

Αν. 1 Ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματρὸς
2 Ἄρτεμις ἱεμένα, τόξοις δαμάζασα,
3 Ὀλέσειεν, ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.
Παι. Εἴη τάδ', ὦ παῖ, σὺν δίκῃ δ' ἥκουσι γῆν.
" Ὧι καὶ δέδοικα, μὴ σκοπῶσ' ὀρθῶς θεοί.

Στροφὴ θ'.

Αν. 1 Ποῦ δ' ὃς ἐμοὶ
2 Μιᾶς ἐγένετ' ἐκ ματρὸς
3 Πολυπόνῳ μοίρᾳ;

4 Sideris inſtar vultu ſplendens in picta veſte, non
5 Conveniens mortali generi.
Pa. Non vides illum, qui præteris Dirces aquam,
Ducem? Ant. Alius alius eſt hic armorum modus:
Quis verò eſt iſte? Pa. Filius quidem Oenei eſt
Tydeus, Martem verò Ætolium in pectore habet.

Strophe VI.

An. 1 Iſtene Polynicis, ô ſenex,
2 Sororis ſponſæ
3 Maritus ille?
4 Quàm alieno colore armorum, ſemibarbarus!
Pa. Sunt enim clypeati omnes Ætoli, O filia,
Et jaculatores, haſtis bene collimantes.
An. Tu verò, O ſenex, quomodo ſcis certò hæc?
Pa. Videns ſigna clypeorum tunc notavi,
Quando veni, fidem publicam ferens tuo fratri,
Quæ intuens, novi armatos.

Strophe VII.

An. 1 Quis verò iſte, qui circa monimentum Zethi tranſit.
2 Comatus, oculis
3 Terribilis, & aſpectu juvenis?
Pa. 4 Eſt dux. An. Quanta multitudo ipſum ſequens
5 Armata circundat.
Pa. Hic eſt *Parthenopæus* Atalantæ filius.

Strophe VIII.

An. 1 Sed eum per montes cum matre *eius Atalantâ*
2 Properans Diana, telis domans
3 Perdat, qui adverſus meam urbem venit eam expugnaturus.
Pa. Sint hæc, O filia, jure tamen veniunt in hanc terram.
" Idcirco etiam metuo, ne rectè *nos* conſiderent dii.

Strophe IX.

An. 1 Ubi eſt ille qui mecum
2 Unâ natus eſt ex matre
3 Laborioſo fato?

Ἀστερωπὸς] ἀστεροειδὲς τὸ σῶμα, καὶ τὴν ἐσθῆτα γραπτὸς, τοὺς γὰρ γαλέας πρὸς τὸ φοβερὸν αὐτοῖς γράφουσιν. ἴσως ἐμοὶ καὶ αὐτὸς κατάστικτον ἔχει τὴν πανοπλίαν. τὸ δὲ ἑξῆς γραπτῷ χιτῶνι παραπλήσιος. διαμέσου δὲ τὸ ἀστερωπὸς ἔθηκε, δηλῶσαι θέλων τὸ ὄμμα λαμπρὸν ἔχοντα ὁμοίως ἀστέρι. Ἄλλως. Ἀστεροειδὴς καὶ ποικίλος ἐν ταῖς γραφαῖς τῆς ἀσπίδος. εἰσὶ γὰρ κατάστικτα ὅπλα. Πρόσφορος] οὐχ ὅμοιος ἀνθρωπίνῃ γενεᾷ, ἀλλ' ἀνημέρῳ τινὶ καὶ θηριώδει. Ἄλλος ἄλλος] θαυμαστὸς ὁ ἀναδιπλασιασμός. Ἄρη δ' Αἰτωλὸν] ὡς ἔχοντος αὐτοῦ τῆς ἀσπίδος, τῆς περὶ τοὺς πόλεμον. Καλλίμαχος, Εἰμὶ τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρηα. τινὲς δὲ Ἄρη τὴν τῶν ὅπλων σκευήν. θέλει δὲ εἰπεῖν, ὅτι ἐγχωρίως καθώπλισται, ὡς οἱ Αἰτωλοί· τὸ δὲ στέρνον, ἀντὶ τοῦ ὅλου σώματος εἶπεν. οἱ δὲ τὴν τῶν πολεμίων ἐπιθυμίαν, καὶ τὴν ἐπιστήμην, ὡς τῶν Αἰτωλῶν ἄριστα πολεμούντων. Οὗτος ὁ τᾶς] ἡ ϛ' αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπος. τὸ γὰρ δίμοιρον τῶν ἑξ. τὸ β', ὅμοιον ἐφθημιμερές. τὸ γ' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ δ' ἴαμβος τέλειος. ἐπὶ τοῦ τέλει παράγραφος. ὁμόγαμον δὲ, ἀντὶ τοῦ σύμβιον, παρὰ τὸ ὁμοῦ καὶ ἐπίσης ἄνδρα τε καὶ γυναῖκα τῆς συνουσίας μετέχειν. ἐγάμει δὲ Δηιπύλην ὁ Τυδεὺς, ὁ δὲ Πολυνείκης τὴν Ἀργείαν. [140] Μιξοβάρβαρος] ἐν τέλει γὰρ τῆς Εὐρώπης οἰκοῦντες Αἰτωλοί, Ἑλληνικῶν τε καὶ βαρβαρικῶν ἅπτονται φρονημάτων. ἢ ἐπεὶ δοκοῦσι βαρβαρικὸν φρόνημα ἔχειν, διὰ τοὺς κατ' ἀλλήλων πολέμους. καὶ Ὅμηρος, Κουρῆτές τ' ἐμάχοντο, καὶ Αἰτωλοὶ μενεχάρμαι. Σακεσφόροι γὰρ] ἴσως ὅτι ἐξηλλαγμένοι οἱ Αἰτωλοὶ περὶ τὰς ὁπλίσεις, κατάστικτες αὐτὰς ἔχοντες, καθάπερ καὶ τοῖς ὑποδήμασιν, ὥς τε τὸν δεξιὸν μὲν ὑποδεδέσθαι πόδα, γυμνὸν δὲ ἔχειν τὸν ἀριστερόν. καλῶς δὲ εἶπεν αὐτὸν μιξοβάρβαρον, ὅτι οἱ Αἰτωλοὶ πάντες ὁπλίζονται, ἀκοντίζουσι δὲ ὡς βάρβαροι. ἴσως γὰρ τότε ἐν τοῖς Θηβαϊκοῖς χρόνοις οἱ μὲν Ἕλληνες ὅπλοις ἐχρῶντο, οἱ δὲ βάρβαροι ἀκοντίζειν ἠπίσταντο· ὕστερον δὲ καὶ τὸ ἀκοντίζειν Ἕλληνες μεμαθήκασιν. Τίς οὗτος ἀμφὶ μνῆμα Ζήθου] ἡ ζ' αὕτη στροφὴ, κώλων ἐστὶ ε'. τὸ α' ἴαμβος τέλειος. τὸ β' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, εἰς δισύλλαβον. τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ' ὅμοιον τῷ πρώτῳ. τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάσσονος, ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ ἰάμβου, ἐπὶ τοῦ τέλει παράγραφος. Ἀμφὶ μνῆμα Ζήθου] ἦν γὰρ ὁ Ζῆθος, ὡς ἔφαμεν, τειχιστὴς ὢν τῶν Θηβῶν, μεγάλου καὶ ἐπισήμου τάφου ἠξιώθη. Ἀμφὶ μνῆμα τοῦ Ζήθου] κοινὸς μὲν ἀμφοῖν ὁ τάφος Ζήθου καὶ Ἀμφίονος. συλληπτικῶς δὲ εἶπε, τινὲς δέ φασι τὸν Ἀμφίονα * Γοργός τ' εἰσιδεῖν, γοργῶδες ἀποβλέπων τοῖς ὄμμασι, καὶ ἅμα καὶ τῶν βοστρύχων παρεμπίπτων τοῖς ὀφθαλμοῖς τὸ γοργονῶδες. Ἀμφέπει] ἐπακολουθεῖ αὐτῷ ὄχλος πολὺς ὁπλίτης. τινὲς δὲ ἐπὶ κατάρας αὐτὸ δέχονται. ἐπὶ ἐσχάτῳ ποδὶ, καὶ μηκέτι ὑποστρέφοντι. ἵν' ἦ, ὡς ὄχλος νιν ἀμφέπει ἐπὶ ἀπωλείᾳ. Ἀταλάντης γόνος] αὕτη ἐστὶν ἡ Ἰάσου μὲν παῖς, Μειλανίωνος δὲ γυνή. ἔστι δὲ καὶ ἄλλη Σχοινέως θυγάτηρ, Ἱππομένους γυνὴ, Βοιωτική. Ἀλλά νιν] ἀλλ' αὐτὸν ἀπολέσειν ἡ Ἄρτεμις, ἡ μετὰ τῆς μητρὸς αὐτοῦ κυνηγετοῦσα. εἰκότως δὲ τὴν Ἄρτεμιν κατ' αὐτοῦ ἐπικαλεῖται, ὡς θυμωθεῖσαν κατὰ τῆς Ἀταλάντης· ἐπεὶ πρότερον τὴν παρθενίαν ἠγάπα, ὕστερον δὲ τῷ Μειλανίωνι γαμηθεῖσα, κατεφρόνησε τῆς Ἀρτέμιδος· αὕτη δέ ἐστιν ἡ καὶ Μελεάγρῳ συγκυνηγετήσασα. Ὧι καὶ δέδοικα] διὸ καὶ εὐλαβοῦμαι, μὴ τοῦτο δίκαιον σκοπήσαντες οἱ θεοὶ, ἀπολέσωσιν ἡμᾶς. Ποῦ δ' ὃς ἐμοὶ] ἡ θ' αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' χοριαμβικὸν ἡμιόλιον ἐκ χοριαμβικοῦ καὶ ἰάμβου. εἰ δὲ βούλει τροχαϊκὸν πενθημιμερὲς, δακτύλου ἀρχομένου. εἰ δὲ βούλει, τροχαϊκόν. τὸ β' παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος δευτέρου καὶ δακτύλου, ἢ κρητικοῦ διὰ τὴν ἀδιαφορίαν. τὸ γ' ὅμοιον ἡμιόλιον. τὸ δ' ἴαμβος τέλειος, ἐπὶ τοῦ τέλει παράγραφος. Ποῦ δ' ὃς] ποῦ ὑπάρχει, ὃς ἐγένετο ἐμοὶ ἐκ μιᾶς μητρὸς, ἐν πολυπόνῳ καὶ πολυαθλίῳ μοίρᾳ καὶ τύχῃ. ὦ φίλτατε γέρον, εἰπὲ ποῦ ἐστὶν ὁ Πολυνείκης. Ποῦ δ' ὃς ἐμοὶ] παρὰ τὸ Ὁμηρικὸν, Δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν. δὶς δὲ παρέλαβε τὸ ποῦ, τὴν σπουδὴν τῆς κόρης παρα-

* Tale quid deeſt. γοργὸς προσιδέσθαι. —— ἰαμβεῖον παρῆκεν.

ANNOTATIONES.

V. 132. Ἀμερίῳ γέννᾳ] In priore verſione erat *Manſueta Natura*, putidè ſatis, cùm erat exponendum, ut noſ ſcripſimus, *Mortali generi*: Vid. infra, V. 1515. *Homerus* autem huic uſui anſam dedit *Odyſ.* φ. V. 85.

V. 140. Τίκτου] Iambicè ponitur. Vid. quæ notavimus ad *Phœniſ.* V. 19.

V. 145. Σπονδὰς, &c.] Vid. de hac re Argumentum hujus Fabulæ.

Στροφὴ ιβ'.

Αν. 1 Ἰὼ Νέμεσι, καὶ Διὸς
2 Βαρύβρομοι βρονταί,
3 Κεραύνιόν τε πῦρ αἰθαλόεν;
4 " Σύ τοι μεγαληγορίαν ὑπεράνορα
5 " Κοιμίζεις. ὅδ' ἐστὶν, αἰχμαλωτίδας
6 Ὃς δορὶ Θηβαίας Μυκηνηΐσι,
7 Λερναίᾳ τε δώσειν Τριαίνᾳ,
8 Ποσειδανίοις Ἀμυμωνίοις ὕδασι
9 Δουλείαν περιβαλών; μή ποτε
10 Μή ποτε τάνδ', ὦ πότνια, χρυσεοβόστρυχον
11 Ὦ Διὸς ἔρνος Ἄρτεμι,
12 Δουλοσύναν τλαίην.

Παι. Ὦ τέκνον, εἴσβα δῶμα, καὶ κατὰ στέγας
Ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
Εἰς τέρψιν ἦλθες, ὧν ἔχρῃζες εἰσιδεῖν.
Ὄχλος γὰρ, ὡς ταραγμὸς εἰσῆλθεν πόλιν,
Χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.
" Φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ·
" Σμικράς τ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
" Πλείους ἐπεισφέρουσιν. ἡδονὴ δέ τις
" Γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.

Strophe XII.

An. 1 Io Nemeſis, & Jovis
2 Graviter ſonantia tonitrua,
3 Et ignis fulminis caliginoſi.
4 " Tu ſuperbiam immodicam
5 " Sedas: hicne eſt, captas
6 Qui *minatur* armis ſe Thebeſtas mulieres ad Mycenas
7 Ducturum, & ad *Lernæam Trianam*
8 Ad aquas Neptunias Amymones,
9 Conjiciens eas in ſervitutem? Nunquam,
10 Nunquam hanc, O veneranda, auro capillos revincta,
11 O Jovis filia Diana,
12 Servitutem ſuſtineam.

Pæ. Ingredere in domum, O filia & in contignatione
In gynæceo maneas tuo: poſtquam deſiderii tui
Ad delectationem veniſti, eorum quæ cupiebas videre.
Cœtus enim (poſtquam tumultus urbem ingreſſus eſt)
Mulierum venit ad domum tyrannicam.
" Querulum enim eſt muliebre genus:
" Et cum parvas occaſiones ſermonis accipiunt,
" Plures addunt. Voluptas vero quædam
" Mulieribus eſt, ut nihil ſani inter ſe dicant.

Ἰὼ νέμεσις] ἡ ιβ' ἀντιστροφὴ κώλων ιβ'. τὸ α' ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ. τὸ β' ἰωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ', καὶ σπονδείου, εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας, ἤτοι διιάμβου καὶ πυρρίχου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ' προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β', ἀντὶ ἰωνικοῦ καὶ χοριάμβου. τὸ ε' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου. τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου ἐπιτρίτου, καὶ τροχαϊκοῦ. τὸ ζ', ὅμοιον τῷ ς'. τὸ η' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ὃ καλεῖται Σαπφικὸν, ἢ Ἱππωνάκτειον, ἐξ ἐπιτρίτου δ', καὶ τρίτου καὶ συλλαβῆς. τὸ θ' χοριαμβικὸν τρίμετρον καταληκτικόν. ἐξ ἐπιτρίτου α', χοριάμβου, καὶ ἀμφιβράχεος. τὸ ι' προσοδιακὸν, τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου καὶ ἀναπαίστου. εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. τὸ ια' χοριαμβικόν. τὸ ιβ', χοριαμβικὸν, ὅμοιον τῷ ζ', ἐκ δύο χοριάμβων, ἢ ἐπιτρίτου καὶ χοριάμβου καὶ πυρρίχου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιγ', χοριαμβικὸν, δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιδ' ὅμοιον ἡμιόλιον. εἰ δὲ βούλει, δακτυλικὸν ὅμοιον τῷ ιβ'. ἐπὶ τοῦ τέλους δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι εἰς τέλος ἔχειν τὰ ἀνομοιόστροφα. Ἰὼ νέμεσις] φεῦ ὦ Νέμεσις δίκη, καὶ Διὸς μεγαλόηχοι βρονταὶ, καὶ φῶς κεραύνιον καυστικὸν, σὺ κοιμίζεις καὶ ταπεινοῖς τὴν κενοδοξίαν τὴν ὑπέρανδρα καὶ ὑψηλήν. 193 Ὅδ' ἐστὶν] τὸ ἑξῆς, ὅδ' ἐστὶν ὃς ἐπαγγέλλεται πολέμῳ δουλείαν περιβαλὼν, αἰχμαλωτίδας γυναῖκας δώσειν Μυκηναίοις, Λερναίᾳ τε τριαίνῃ, τοῖς Ποσειδῶνος καὶ Ἀμυμώνης ὕδασι. διὰ γὰρ τὴν μίξιν τὴν Ποσειδῶνος καὶ Ἀμυμώνης, πολυδίψιον γέγονε τὸ Ἄργος. τὸν Ὁμηρικὸν δὲ Ἕκτορα ἐμιμήσατο, φάσκοντα πρὸς Ἀνδρομάχην, καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης. Ἄλλως. Τινὲς οὕτως λείπει ὁ καί. καὶ εἰσὶ τὰ κτητικὰ ἀντὶ τῶν πρωτοτύπων. ἵν' ᾖ, Ποσειδῶνος καὶ Ἀμυμώνης. Τριαίνᾳ] Τρίαινα τόπος Ἄργους, ἔνθα τὴν τρίαιναν ὀρθὴν ἔστησεν ὁ Ποσειδῶν, συγγενόμενος τῇ Ἀμυμώνῃ, καὶ εὐθὺς κατ' ἐκεῖνο ὕδωρ ἀνέβλυσεν· ὃ καὶ τὴν ἐπίκλησιν ἔχει ἐξ Ἀμυμώνης. ἔστι δὲ καὶ ἑτέρα κρήνη Λέρνη. ἀμφότεραι δὲ τοῦ Ἄργους εἰσίν. εἰπὼν δὲ Τριαίνᾳ, ἐπεξηγήσατο διὰ τοῦ Ποσειδανίοις, Ἀμυμωνίοις. 201. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἐν ἐκθέσει στίχων ἰάμβων τριμέτρων θ'. ἐπὶ τοῦ τέλους κορωνὶς, διὰ τὸ εἰσέρχεσθαι τὸν χορὸν, καὶ ὑποχωρεῖν τοὺς ὑποκριτάς. 201 Ὦ τέκνον, εἴσβα δῶμα] εἴσελθε εἰς τὸν οἶκον. Ὄχλος γὰρ, ὡς] ἐπεὶ γὰρ ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, ὄχλος γυναικῶν χωρεῖ εἰς τὰ βασίλεια, ἵν' ᾖ ὁ νοῦς, ταραχθεισῶν τῶν Ἀργείων, καὶ πολεμούντων τοῖς Θηβαίοις, ὄχλος γυναικῶν εἰς τὰ βασίλεια παραγίγνεται. λέγει δὲ τὰς τοῦ χοροῦ γυναῖκας, αἵ τινες νεωστὶ ἦσαν ἀπὸ Φοινίκης ἐλθοῦσαι. ἔνιοι δὲ στίζουσιν, εἰς τὸ πόλιν, καὶ τὸ χωρεῖ παροξύνουσι, καὶ οὕτως ἐξηγοῦνται· ὅτι γὰρ ὄχλος καὶ ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, χώρει πρὸς δόμους τυραννικούς, καὶ μάθε ὅτι αἱ γυναῖκες. φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ. ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι.

ΕΠΩΙΔΙΚΑ.

Στροφή.

Χο. 1 Τύριον οἶδμα λιποῦσ', ἔβαν
2 Ἀκροθίνια Λοξίᾳ

Strophe.

Cho. 1 Relinquens Tyrium mare, veni
2 Primitiæ ſpoliorum Loxiæ

Τύριον οἶδμα] νῦν ἐκ Θηβαίων γυναικῶν συνιστάμενον τὸν χορὸν, Ἰοκάστην παραμυθήσασθαι ἐπὶ τοῖς συμβεβηκόσιν, ἐπειδὴ οὐκ ἐξ ἐγχωρίων, ἀλλὰ ἐκ ξένων συνέστηκεν, ὅπως ἀδεῶς ἀντιλέγοιεν τῇ Ἐτεοκλέους πλεονεξίᾳ. ὥσπερ ἔμελλον τὸν βασιλέα ἐλέγχειν, εἴπερ ὑπ' αὐτοῦ ἐβασιλεύοντο. διὰ τοῦτο Φοίνισσαι εἰσὶν αἰχμαλωτίδες, Ἀγήνορος ἐκπεπορθηκότων Τύρον, καὶ τὰς ἐκκρίτους αὐτῶν Ἀπόλλωνι πεπομφότων, ἃς καὶ ἀκροθίνια Εὐριπίδης λέγει Λοξίᾳ. ἀπερχόμεναι δὲ διὰ τῶν Θηβῶν ἐκεῖσε, ἠναγκάσθησαν εἰς Θήβας ἐπιμεῖναι, διὰ τὸν ἐπιόντα πόλεμον τῶν Ἀργείων. Τύριον οἶδμα] τὰ παρόντα ἤδη ἀπείρως εἰσὶν ἐσχηματισμένα. τὰ μὲν γὰρ εἰσὶ μονοστροφικὰ καὶ μελικὰ κατὰ σχέσιν ἄτακτα, καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους. εἰσὶ δὲ τὰ κατὰ σχέσιν μιᾶς στροφῆς. εἰσὶ γοῦν τῆς μονοστρόφου στροφῆς τὰ κῶλα λς'. τὸ α' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου πεντασυλλάβου διαλελυμένης τῆς πρώτης μακρᾶς, εἰς β' βραχείας, καὶ διιάμβου. εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ' καὶ γ', ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ συλλαβῆς. τὸ β' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει, περίοδος ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας. τὸ γ' ἀντισπαστικὸν τρίμετρον, καταληκτικὸν, φερεκράτειον, ἐξ ἐπιτρίτου δ' καὶ βακχείου. τὸ α' ὅμοιον ἐκ διιαμβου καὶ βακχείου. τὸ ε' ἰωνικὸν ἀπ' ἐλάττονος, τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ' ἐπιτρίτου, καὶ ἰάμβου. εἰ δὲ βούλει, ἀναπαιστικὸν ἑφθη-

ANNOTATIONES.

V. 185. Πῶς δ' ἐς τὰ δεινὰ τῶνδ' ἐμβλέψει πόλει;] Hic ego Poetam clauſulam feciſſe puto; niſi quod proprium nomen viri adnotârunt nonnulli, quod tamen in textum minimè erat recipiendum; licet id MS. agnoſcat. Sed de *Capanei* minis vid. *Statii* Thebaid. l. 10.

V. 195. Δώσειν] Subaudi ἀπειλῶν. *Canterus* legit δήσει.

V. 195. Τριαίνᾳ] Loci nomen, de cujus origine Vid. *Scholiaſt.* Quare non debet exponi per *tridentem*.

V. 206. Θηλειῶν ἔφυ] Vid. *Canteri* Novar. Lection. l. 4. c. 1.

3 Φοίνισσαι

3 Φοινίσσας ἀπὸ νάσου

4 *Φοίβῳ, δούλα μελάθρων, * MS. Φοίβου.

5 Ἵν' ὑπὸ δειράσι *νιφοβόλοιο * MS. νιφοβόλοις.

6 Παρνασοῦ κατενάσθην,

7 Ἰόνιον κατὰ πόντον

8 Ἐλάτᾳ πλεύσασα, περιρ-

9 ρύτων ὑπὲρ ἀκαρπίστων

10 Πεδίων *Σικελίας, * Leg. Κιλικίας.

11 Ζεφύρου πνοαῖς ἱππεύσαντος ἐν οὐρανῷ

12 Κάλλιστον κελάδημα.

Ἀντιστροφή.

1 Πόλεως δ' ἐκπροκριθεῖσ' ἐμᾶς

2 Καλλιστεύματα Λοξίᾳ,

3 Καδμείων ἔμολον γᾶν,

3 Phœniſſa ex inſula

4 Phœbo, miniſtra aulæ,

5 Ubi ſub jugis nivoſi

6 Parnaſſi habito)

7 Ionium per mare

8 Remo navigans, meriti-

9 mos juxta ſteriles

10 Campos Ciliciæ

11 Zephyri flatibus ſpirantis in cœlo

12 Pulcherrimum ſtridorem.

Antiſtrophe.

1 Urbe autem electa ex meâ

2 Ut eſſem pulcherrimum donum Apollini,

3 Cadmeam veni in terram,

μιμερὲς ἐκ χορείου δακτύλου. τὸ ϛ' ἰωνικὸν δίμετρον καταληκτικὸν, ἐκ διτροχαίου καὶ βακχείου. τὸ ζ' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ' καὶ γ', ἢ ἰωνικοῦ, διὰ τὴν ἀδιάφορον. τὸ η' ὅμοιον. τὸ θ' ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ δ' ποδὸς χορείου. τὸ ι', ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ β' ποδὸς ἰάμβου. τὸ ια' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἐκ διιάμβου ἐπιτρίτου δ' καὶ ἀμφιβράχεος. τὸ ιβ' ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἐπιτρίτου δ' καὶ συλλαβῆς. τὸ ιγ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ' καὶ διιάμβου. τὸ ιδ' ὅμοιον τῷ ιγ'. τὸ ιε' ὅμοιον ἐξ ἐπιτρίτου γ', καὶ ἀναπαίστου. εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τοῦ τρίτου ποδὸς ἀναπαίστου. τὸ ιϛ' ὅμοιον τῷ α'. τὸ ιζ', ὅμοιον τῷ γ'. τὸ ιη' δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπος. ἔστι δὲ ἀκέφαλον. τὸ κ', ὅμοιον τῷ α'. τὸ κα' ὅμοιον κατὰ πάντα. τὸ κβ' ὅμοιον τῷ ιγ'. τὸ κγ' ὅμοιον τῷ γ'. τὸ κδ', ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α' καὶ διιάμβου, καὶ συλλαβῆς. τὸ κε' ὅμοιον τῷ γ', τὸ κϛ' ὅμοιον τῷ β'. τὸ κζ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου δ', χοριάμβου καὶ σπονδείου. τὸ κη', χοριαμβικὸν μονόμετρον, ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α' καὶ διιάμβου καὶ συλλαβῆς. τὸ κθ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. εἰ δὲ βούλει, ἰωνικὸν τρίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ' καὶ τροχαίου. τὸ λ' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ', ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ διτροχαίου. τὸ λα' ὅμοιον ἐκ σπονδείου καὶ ἰωνικοῦ, ἀπ' ἐλάττονος, κατὰ συνίζησιν. τὸ λβ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ β' ποδὸς πεντασυλλάβου, διὰ τὴν ἀδιάφορον. τὸ λγ' ὅμοιον τῷ λα', ἐξ ἐπιτρίτου α' καὶ ἰωνικοῦ κατὰ συνίζησιν. τὸ λδ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διιάμβου καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον. τὸ λε' ὅμοιον τῷ ιη'. τὸ δὲ λϛ' ἰωνικὸν ἀπὸ μείζονος, ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ τροχαίου. εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. ταῦτα ἐστὶ τῆς μονοστρόφου στροφῆς τὰ κῶλα. τῆς δὲ κατὰ σχέσιν στροφῆς, εἰσὶν ια'. καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. εἰσὶ δὲ τὸ α' [illegible] θ', καὶ τὸ ια' τροχαϊκὰ δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, ἃ καλεῖται κυρίως Εὐριπίδεια, ἢ λεκύθια. τὸ δὲ ι' ὅμοιον τροχαϊκὸν, τρίμετρον βραχυκατάληκτον, τὸ μέντοι τῆς ἀντιστροφῆς ἐναντίον κῶλον οὐ καλῶς ἔχον, διωρθώθη παρ' ἡμῶν, καὶ ἔχει τὸν δ' καὶ τὸν γ' πόδα χορείους. ἐχρήσατο δὲ τῷ τροχαϊκῷ ἐνταῦθα μέτρῳ, διὰ τὸ τοὺς πολεμίους καὶ σφοδρῶς ἐπελθεῖν ὁρμαῖς. καὶ συνεχέσι δρόμοις τὰ ἐκτὸς ληΐζεσθαι. διὸ καὶ τὸ, θοῦρος μολὼν ἄρης ἔφη. ἐπὶ ταῖς ὑποθέσεσι τῆς μονοστρόφου στροφῆς τῶν συστημάτων, καὶ ἐπὶ τῷ ϛ' τῆς κατὰ σχέσιν στροφῆς παράγραφος. ἐπὶ δὲ τῷ τῆς ἀντιστροφῆς, κορωνίς. Τύριον οἶδμα] τοῦτο τὸ μέλος στάσιμον λέγεται. ὅταν γὰρ ὁ χορὸς μετὰ τὴν πάροδον λέγει τι μέλος ἀνῆκον τῇ ὑποθέσει, ἀκίνητος μένων, στάσιμον καλεῖται. πάροδος δέ ἐστιν ᾠδὴ χοροῦ βαδίζοντος, ᾀδομένη ἅμα τῇ ἐξόδῳ, ὡς τὸ σῖγα λεπτὸν ἴχνος ἀρβύλης τίθετε. ἔδει δέ φασιν [illegible] πολιτίδων, ἢ συγγενίδων τῆς Ἰοκάστης, αἵτινες ἔμελλον παραμυθήσασθαι αὐτὴν ἐπὶ τοῖς συμβᾶσιν, ἐπιτηδὲς οὐκ εἰσὶν ἐγχώριαι αἱ τοῦ χοροῦ, ἀλλὰ ξέναι, καὶ ἱερόδουλαι, ὅπως ἐν τοῖς ἑξῆς ἀδεῶς ἀντιλέγωσι πρὸς τὴν Ἐτεοκλέους ἀδικίαν, οὐκ εὖ λέγειν χρὴ ἐπὶ τοῖς ἔργοις μὴ καλοῖς. ἀεὶ γὰρ ὁ χορὸς παρρησιασάμενος, τοῦ δικαίου προΐσταται. πῶς οὖν ἔμελλον τὸν βασιλέα ἐλέγχειν, εἰ ἐβασιλεύοντο ὑπ' αὐτοῦ. Οἶδμα] τὸ πέλαγος. Ἀκροθίνια δὲ κυρίως αἱ τῶν καρπῶν ἀπαρχαί, παρὰ τὸν θῖνα, ὅ ἐστιν τὸν σωρὸν τῆς ἅλω. καταχρηστικῶς δὲ λέγονται καὶ αἱ ἀπαρχαὶ τῆς λείας. τὸ κατενάσθην, ἀντὶ τοῦ κατανασθήσομαι. καὶ Σιμωνίδης ἐν ἰάμβοις, τί ταῦτα τῶν μακρῶν λόγων ἀνέδραμον, ἀντὶ τοῦ ἀναδραμεῖν μέλλω. ἐγὼ δὲ οἶμαι οὕτως ἐστὶν, ὅτι ἐν Φοινίκῃ κατετάχθην οἰκῆσαι τὸν Παρνασσόν. 212 Φοινίσσας ἀπὸ νάσου] οὐ νῆσος, ἀλλ' ἤπειρος ἡ Φοινίκη παράλιος. κατεχρήσατο τοίνυν τῇ φράσει. τινὲς δὲ φοινίσσας νήσου τῆς Τύρου. νησιάζεται γάρ. οἱ ἀπὸ Ἀγήνορος καταγόμενοι, συγγένειαν ἔχοντες πρὸς τοὺς περὶ Ἐτεοκλέα, ἃς ἔλαβον αἰχμαλώτους τὴν Τύρον ἑλόντες, ἀπέστειλαν αὐτῷ, ἵνα δι' αὐτοῦ τοῦ Ἐτεοκλέους εἰς Δελφοὺς ἀποστείλωσιν ἀναθήματα τῷ θεῷ. ἐπεὶ οὖν ἄδηλον ἦν, πόθεν ἐληλύθεσαν, αὐτὰς πεποίηκε τὴν κατ' αὐτὰς τύχην ἀπαγγεῖλαι. Ἵν' ὑπὸ] ὅπως ὑπὸ ταῖς ἐξοχαῖς ταῖς χιονιζομέναις τοῦ Παρνασοῦ ταχθῶσιν οἰκῆσαι. Ἰόνιον κατὰ πόντον] διαποροῦσι πῶς λέγουσιν αἱ κατὰ τὸν χορὸν Φοίνισσαι εἰς Δελφοὺς πλεύσασαι κατὰ τὸν Ἰόνιον πόντον καὶ Σικελίαν γεγονέναι, καὶ ταῦτα Ζεφύρου πνέοντος, καὶ ἐναντιουμένου τῷ πλῷ. δεῖ οὖν τὸ ἑξῆς ἀκούειν, Τύριον οἶδμα λιποῦσα ἔβην ἐλάτᾳ, λιπὸν τὴν αἰτίαν τοῦ κόπους αὐτὰς, καὶ μὴ ῥεία, πεπλευκέναι, ἀποδιδόασι τῇ Ζεφύρου πνοῇ, ὃς ἐκ τῶν δυτικῶν πνέων ἀντιβαίνει τοῖς ἀπὸ ἀνατολῆς ἐπὶ τὰ δυτικὰ πλέουσι, ὅς ἐστιν ἀπὸ Συρίας εἰς Ἑλλάδα. ἐλάτῃ τοίνυν ἔπλευσα τοῦ Ζεφύρου κατὰ τὸν οὐρανὸν πνέοντος καλλίστῳ κελαδήματι ὑπὲρ ἄνω τῶν Ἰονίων καὶ τῶν ἀκαρπίστων πεδίων, ἅπερ εἰσὶ δυτικά. ἀκάρπιστα δὲ οἱ μὲν τὰ πολύκαρπα, οἱ δὲ τὰ θαλάσσια πεδία, ὅ ἐστι τὰ ἄκαρπα. ὡς τὸ καὶ ἀτρύγετον λέγεται. ἔνιοι δὲ Ἰόνιον λέγουσι τὸ κατ' Εὔβοιαν πέλαγος, τὸ περὶ Ἰωνίαν πόλιν Εὐβοίας, ἣν ἔκτισεν Ἴων ὁ Ξούθου, βασιλεύσας ἔτη κζ'. Ἐλάτᾳ πλεύσασα τὸν Ἰόνιον κατὰ πόντον τοῦ Ζεφύρου πνέοντος, ὑπεράνω τῶν ἀκαρπίστων πεδίων τῆς Σικελίας. Σικελίαν δέ φασιν εἶναι μικρὰν νῆσον, μεταξὺ Χαλκίδος καὶ Αὐλίδος. ταύτην δὲ ἄκαρπον εἰρῆσθαι, παραβαλλομένην τῇ μεγάλῃ νήσῳ, καὶ πολυκάρπῳ Σικελίᾳ. οἱ δέ φασιν Αἰσχύλῳ αὐτὸν ἕπεσθαι εἰωθότα πάντα τόπον Ἰόνιον λέγεσθαι, ὃν ἀλωμένη ἐπῆλθεν ἡ Ἰώ, ὅθεν καὶ ὡς ἐναντίου ἀνέμου πνέοντος τοῖς ἀπὸ Φοινίκης πλέουσι κόπῳ πεπλευκέναι φασίν, ἢ καὶ πνέοντος ἤδη τοῦ Ζεφύρου καὶ πεπαυμένου, ὅτι γαληνὸν ἦν τὸ πέλαγος ἐν ὥρᾳ εἰαρινῇ. ὁ δὲ Κράτης φησὶν αὐτὰς δηλοῦν τὴν ὥραν καθ' ἣν ἐκομίσθησαν εἰς τὴν Ἑλλάδα, τὴν μετὰ Ζεφύρου πνοὰς, τοῦ φαινομένου κατὰ τὸν Ἰόνιον κόλπον. Σημαίνει οὖν τὸν ἐαρινὸν καιρόν. οἱ δὲ λέγουσι τοὺς ἀπὸ Συρίας εἰς τὴν Ἑλλάδα εἰσβάλλοντας τὸν Ἰόνιον πόντον περᾶν. Ἀκαρπίστων] τῶν σφοδρῶς ῥεομένων καὶ κοιλάδων. ἀκάρπιστα δὲ πεδία τὴν θάλασσαν φησίν, ἐπεὶ ἱππεύειν αἱ νῆες δοκοῦσιν ὀχήματος τρόπον. οὕτω καὶ Ἴων λέγει, ὅπερ δὲ πόντου πεδίον Αἰγαῖον δραμών. καὶ Αἰσχύλος Νηρεῦσι, Δελφινοφόρον πεδίον πόντου διαμειψάμεναι. 220 Ἱππεύσαντος] σφοδρῶς καταπνεύσαντος ἐξ ὕψους τὸ κάλλιστον ἑαυτοῦ πνεῦμα, καὶ ἐναντίον τῷ χορῷ γέγονεν. ὅτι ἡ δύσις ὁ ζέφυρος πνέων ὥρᾳ θέρους πρὸς εὐεργεσίαν. Ὅμηρος, Ἀλλ' αἰεὶ ζεφύροιο λιγυπνείοντος ἀήτας, Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους. τὸ φύσει οὖν κάλλιστον φησίν, οὐ τὸ ἑαυταῖς κάλλιστον. ἐναντίον γὰρ ἦν.

ANNOTATIONES.

V. 212. Φοινίσσας ἀπὸ νάσου] i. e. Τύρου, ἢ καὶ Παλαίτυρος. Vid. *Stephan.* de Urbibus. *Joſua Barnes.*

V. 219. Σικελίας] Quod Κιλικίας legendum hoc in loco, quanquam vetus Error ipſum *Scholiaſten* decepit, pluribus probat *Thomas Stanleius* in Aureo ſuo ad *Æſchylum* Commentario, viz. ad Argumentum *Perſarum*, fol. 752, &c. *Joſ. Barnes.*

4 Κλεινᾶν

4 Κλεινῶν Ἀγηνοριδᾶν,
5 Ὁμογενεῖς ἐπὶ Λαΐου
6 Πεμφθεῖσ' ἐνθάδε πύργους.
7 Ἴσα δ' ἀγάλμασι χρυσοτεύκτοις
8 Φοίβῳ λάτρις ἐγενόμαν.
9 Ἔτι δὲ Κασταλίας ὕδωρ
10 Ἐπιμένει με, κόμας ἐμὰς
11 Δεῦσαι, παρθένιον χλιδὰν,
12 Φοιβείαισι λατρείαις.

Ἐπῳδός.

1 Ἰὼ λάμπουσα πέτρα πυρὸς
2 Δικόρυφον σέλας, ὑπὲρ ἄκρων
3 Βακχείων, Διονύσου οἴνα θ',
4 Ἃ καθαμέριον στάζεις τὸν
5 Πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν.
6 Ζάθεά τ' ἄντρα δράκοντος,
7 Οὔρειαί τε σκοπιαὶ θεῶν,
8 Νιφόβολόν τ' ὄρος ἱερὸν
9 Εἱλίσσων ἀθανάτας θεοῦ
10 Χορὸς, γενοίμαν ἄφοβος,
11 Παρὰ μεσόμφαλα γύαλα
12 Φοίβου, Δίρκαν προλιποῦσα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

1 Νῦν δέ μοι πρὸ τειχέων
2 Θούριος μολὼν Ἄρης,
3 Αἷμα δάϊον φλέγει
4 Τᾷδ', ὃ μὴ τύχοι, πόλει·
5 Κοινὰ γὰρ φίλων ἄχη.
6 Κοινὰ δ', εἴ τι πείσεται
7 Ἑπτάπυργος ἅδε * γαῖα,

* L. γᾶ ob metrum.

4 Inclytorum liberorum Agenoris,
5 Cognatas ad Laii
6 Missa huc turres.
7 Similiter autem statuis ex auro factis
8 Phœbo ministra sum facta.
9 Præterea verò Castalii fontis aqua
10 Expectat me, comas meas
11 Ut rigem, virginum delicias,
12 In sacrificio Phœbi.

Epodus.

1 O splendens petra ignis
2 Duorum verticum lumine, supra cacumen
3 Bacchi, & tu, ô Bacchi vitis,
4 Quæ quotidianum exstillas potum,
5 Fecundum Vitis florentis producens botrum,
6 O divina antra draconis,
7 Montanæque speculæ deorum,
8 Nivosumque montem sacrum
9 Circumdans immortalis Dea
10 Chorus, utinam sim sine metu
11 In medio umbilico latebrarum,
12 Phœbi, relicta Dirce.

ANTISTROPHICA.

Strophe.

1 Nunc verò mihi ante mœnia
2 Impetuosus profectus Mars,
3 Sanguinem hostilem incendit
4 Huic, quod utinam ne accidat urbi;
5 Communes enim sunt amicorum dolores.
6 Communes etiam sunt, si quid patiatur
7 Septem munita turribus hæc terra,

225. Κλεινῶν Ἀγηνοριδᾶν) [Οἱ αὐτοὶ Καδμεῖοι καὶ Ἀγηνορίδαι, ἐπεὶ πατὴρ τοῦ Κάδμου ὁ Ἀγήνωρ.] Τινὲς εἰς τὸ Ἀγηνοριδᾶν στίζουσι. τὸ δὲ ὁμογενεῖς, ἀντὶ τοῦ συγγενεῖς ἡμῖν, ἐπὶ τοὺς ὁμογενεῖς τῶν Ἀγηνοριδῶν πύργους Λαΐου πεμφθεῖσα. Ἀγήνορος δὲ παῖδες, Κάδμος, Θάσος, Κηφεὺς, Κίλιξ, Φοῖνιξ, Εὐρώπη, Φινεύς. ἐπὶ Λαΐου δὲ φησὶν, ἀντὶ τοῦ ἐπὶ πύργους τοῦ Λαΐου πεμφθεῖσα, ὃ ἐστιν εἰς Θήβας. πρὸς δὲ πύργους φασὶ Λαΐου τὸν Ἐτεοκλῆ καὶ Πολυνείκην. ὁμογενεῖς δὲ τῶν Φοινίκων. ἴσα δὲ ἀντὶ τοῦ ὁμοίως, καὶ ἴσως ἀγάλμασι χρυσέοισιν, ὥσπερ τι διὰ χρυσοῦ κατεσκευασμένον ἀνάθημα, οὕτως ἐπιμεληθεῖσα ἐγενόμην δὲ, ἐπάχθην γυνὴ, ἤτοι γενήσομαι. ἵν' ἦ ὡς τὸ κατενεχθῆναι, ἢ λάτρις ἡ δούλη ὀνομάζεται καὶ ἐπιμελητὴς, ἤγουν πᾶσα τῷ θεῷ ἀφιέρωμαι. ἔτι δὲ μοι ταῦτα ἀπολειπόμενον ἀπολῦσαι, τὸ λούσασθαι ἐν τῇ Κασταλίᾳ. 230. Ἔτι δὲ Κασταλίας) Λοιπὸν οὖν φησιν ἀναπολέσασθαί με τῷ τῆς Κασταλίας ὕδατι, καὶ διαβρέξαι τὴν ἑαυτῆς κόμην. ἵνα ἁγνὴ γενομένη, οὕτω τοῖς θεοῖς λατρεύσωμαι. Κασταλία δὲ πηγὴ ἐν Πυθοῖ, εἰς ἣν λούσασι τὰς ἱεροδούλους παρθένους λέγει, μελλούσας θεοπροπεῖν ἐφίζεσθαι ἐν τῷ τρίποδι. Παρθένιον δὲ χλιδὴν αὐτὴν τὴν Κασταλίαν φησί, παρ' ὅσον παρθένων μόνον ἐστὶ λούειν. ἢ τὰς κόμας, αἳ κόσμος καὶ τρυφὴ ἐστι τῶν παρθένων. 235. Δικόρυφον σέλας) δικόρυφον αὐτὸν εἶπεν, ἐπειδὴ ἐν ἀμφοτέραις ταῖς ἄκραις τοῦ Παρνασσοῦ εἰσιν ἱερά, τὸ μὲν Ἀρτέμιδος καὶ Ἀπόλλωνος, τὸ δὲ Διονύσου. ἐπεὶ τοίνυν ἐν ἑκατέρᾳ πῦρ ἀνάπτεται πρὸς τὰς θυσίας, τοῦτο χάριν καὶ τὸ πῦρ δικόρυφον εἶπεν, ἅτε δὴ ἐν ἑκατέρᾳ ἄκρᾳ ἀπτόμενον. οὐκ ἀπὸ τῶν δύο δὲ κορυφῶν ἀναδίδοται αὐτόματον πῦρ, ἀλλ' ἀπὸ ἑνὸς ἄκρου. δοκεῖ τοῖς κάτω ἐκ δύο ἀναδίδοσθαι, διὰ τὸν ἐπίπροσθεν σκόπελον. καὶ ὥσπερ ἐξ αὐτοῦ ἐπιμερίζεσθαι τὸ πῦρ ἐπὶ ἄκρων, εἰς τὴν τοῦ Διονύσου κορυφήν. φασὶ δὲ ἄμπελον, ἥτις καθ' ἑκάστην ἡμέραν ἕνα βότρυν ἔφερεν, ἐξ οὗ ἡ σπονδὴ τῷ Διονύσῳ ἐγίνετο. οἰνάνθη δὲ λέγεται ἡ πρώτη ἔκφυσις τῶν βοτρύων. οἰνάνθας οὖν βότρυν, τὸν οἰνάνθης βότρυν ἀπογεννῶντα. οἴνη δὲ καλεῖται ἡ ἄμπελος. Σοφοκλῆς δὲ ἐν Θυέστῃ ἱστορεῖ, καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῇ ἐν Παρνασσῷ, λέγων οὕτως· [Νῆσός τις] ἔστι γάρ τις ἐναλία τῆς Εὐβοίας, τῇδε Βακχεῖος βότρυς Ἐπ' ἦμαρ ἕρπει· Πρῶτα μὲν λαμπρᾶς ἕως Κεκλημάτωται χλωρὸς, οἰνάνθης δέμας. Εἶτ' ἦμαρ αὔξει μέσσον, ὄμφακος τρόπον, Καὶ κλίνεται τε, κἀποπερκοῦται βότρυς· Δείλη δὲ πᾶσα τέμνεται βλαστουμένη Καλῶς ὀπώρα, κἀνακιρνᾶται ποτόν. 236. Οἴνα θ') ὦ ἄμπελε, ἥ τις τὸν πολύκαρπον βότρυν ἀποστάζεις, ἀπὸ τῆς οἰνάνθης αὐτὸν ἐκπέμπουσα. οἰνάνθη δὲ ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς. [239. Δράκοντος) τοῦ Δελφύνου, ὃν ἀνεῖλεν ὁ Ἀπόλλων.] Σκοπιὰς δὲ θεῶν φησὶ τὸν καταγώγιμον τόπον, οὕτω καλούμενον. ἐν Παρνασσῷ κατελθοῦσαι Ἀπόλλωνα, τὸν Δάφνιν κατεπέξασαν. Ἱερὸν εἱλίσσων) τινὲς στίζουσιν εἰς τὸ ἱερόν. τὸ δὲ εἱλίσσων, ἀντὶ τοῦ περιχορεύων. σαφὲς ὁ τί. ἵν' ᾖ, γενοίμην χορὸς τῆς θεοῦ, εἱλίσσων ἐν ταῖς χορείαις τὸ ὄρος. οἱ δὲ στίζουσιν, εἰς τὸ ὄρος ἱερὸν εἱλίσσων, ἵν' ᾖ, καὶ σὺ, ὦ Ἄπολλον, περιέπων τὸν Παρνασσόν. Ἄφοβος) αἱ γὰρ ἱερόδουλοι ἄλλως φοβοῦνται. Γύαλα Φοίβου) τὰ κοιλώματα τοῦ ὄρους. τοιαῦται γὰρ αἱ φύσεις τῶν ὀρῶν ἐν ὕψει καὶ ἐν βάθει συγκειμένων. 246. Νῦν δέ μοι) ὁ δὲ αὐτὸς τοῦ γάρ. κατ' ἀνάκλασιν δὲ ὁ πᾶς λόγος προσῆκται, ἔχων οὕτως. τὸ Παρνάσσιον ὄρος λάμπον, διπλῇ λαμπηδόνι, σύ τε, ὦ αὐτόθι ἐκβλαστάνουσα ἄμπελε, θεῖά τε ἄντρα τοῦ δράκοντος, ὑψηλαί τε σκοπιαὶ θεῶν, σύ τε, ὦ Νάπαιε Ἄπολλον, ὃς τὸ κατανιφόμενον ἄντρον ἀμφιέπεις, εἴθε χορεύσαιμί σοι, καὶ τῇ Ἀρτέμιδι ἄφοβος τοῦ λοιποῦ γενομένη. νῦν γὰρ ἡμᾶς ὁ παρὼν πόλεμος ἐκφοβεῖ, καὶ δέδοικα μὴ καὶ δεύτερον αἰχμάλωτος γένωμαι. εἴθε οὖν φησὶ παρ' ὑμῖν γενοίμην, ἵνα ἀσφαλῶς τοῦ λοιποῦ διάξαιμι. 248. Αἷμα δάϊον) πόλεμον ἀπηνῆ διεγείρει τῇδε τῇ πόλει.

ANNOTATIONES.

V. 234. Τὸ λάμπουσα) Hebraïſmus, pro λάμπουσα πέτρα. Vid. *Hecub.* v. 508. & *Ion.* v. 1596. *Joſua Barnes.*

V. 239. Δράκοντος) De Dracone *Delphine* qui *Delphicum* Oraculum ante *Apollinis* adventum regebat, aliàs diximus. Et *Heliodorus* hæc, Ὅπως σε πέτρης ὑπὸ δείραν Παρνασσοῖο Δελφίνην πέλωρον ἐξενάριξε. Scholion, quod de hâc re hoc in loco cernitur, ex MS. Coll. Corp. *Chriſti* addidi, ut & prima in hâc paginâ Notula & alia Uncinis incluſa. *Joſua Barnes.*

V. 244. Παρὰ μεσόμφαλα γύαλα) Quòd *Delphi* in Medio terræ ſint ſiti dixit accuratè Scholiaſtes *Euripidis* ad *Oreſt.* v. 331. Vide quæ Nos etiam ad *Ion.* v. 223. *Joſua Barnes.*

8 Φοινίσσᾳ χώρᾳ. Φεῦ, φεῦ.
9 Κοινὸν αἷμα, κοινὰ τέκεα
10 Τᾶς κερασφόρου πέφυκεν Ἰοῦς·
11 Ὧν μέτεστί μοι πόνων.

Ἀντιστροφή.

1 Ἀμφὶ δὲ πόλιν νέφος
2 Ἀσπίδων πυκνὸν φλέγει,
3 Σχῆμα φοινίου μάχας,
4 Ἂν Ἄρης τάχ' * οἴσεται *al. εἴσεται
5 Παισὶν Οἰδίπου φέρων
6 Πημονὰν Ἐρινύων.
7 Ἄργος ὦ Πελασγικόν,
8 Δειμαίνω τὰν σὰν ἀλκὰν,
9 Καὶ τὸ θεόθεν. οὐ γὰρ ἄδικον
10 Εἰς ἀγῶνα τόνδ' ἔνοπλος ὁρμᾷ
11 Παῖς, ὃς μετέρχεται δόμους.

8 Phœniſſæ regioni. Eheu, heu.
9 Communis ſanguis, communes liberi
10 Cornigeræ ſunt Iûs:
11 Quorum laborum ego ſum particeps.

Antiſtrophe.

1 Circum urbem autem nubes
2 Clypeorum denſa fulget,
3 Species cruentæ pugnæ,
4 Quam Mars mox afferet
5 Filiis Oedipi, ferens
6 Noxam ab Erinnybus.
7 Argos ô Pelaſgicum,
8 Metuo tuum robur,
9 Et divinam vindictam. Non enim injuſtum
10 Ad certamen hoc armatus ruit
11 Filius, qui ſuam repetit domum.

258. Φλέγει) τὸ νέφος δὲ ἀσπίδων φλέγει, καὶ οἱονεὶ ἀστράπτει, σχῆμα δὲ σημεῖον μάχης. οἰκεῖον δὲ τῇ συνηθείᾳ τὸ ἀστράπτειν. 260. Ἂν Ἄρης) ἣν ὁ Ἄρης γνώσεται. ὁ δὲ νοῦς, ἣν μάχην φέρων τοῖς παισὶν Οἰδίπου ταχέως παραδώσει τινι· ἄμεινον δὲ τὸ οἴσεται, ἀντὶ τοῦ ἐμποιήσει. Καὶ τὸ θεόθεν, τὸ δίκαιον. καὶ τὴν τοῦ θεοῦ συμμαχίαν διὰ τοῦ δικαίου προϊσταμένην, καὶ τοῖς δικαίοις ἐπαξίως συνεχομένην.

ANNOTATIONES.

V. 254. Τέκεα) Ità MS. olim τέκνα, utrúmque Verſui facit ſatis. | V. 261. Οἰδίπου) à recto Οἴδιπος. Vide *Supplices* v. 836.

ARGUMENTUM *Actûs* Secundi.

P*Olynices à Matre per Inducias acceſſitus, Urbem Domúmque Patris ingreditur, omnia ſuſpecta habens, utpote qui fratris perfidiam probè noverit. Hujus adventum Matri* Chorus *nuntiat. Illa poſt Blanditias maternas objurgat Filium ob Conjugium externum,* & Thebarum *imminentem Calamitatem deplorat.* Polynices *à neceſſitate ſe ad omnia adactum reſpondet, exilii mala graphicè depingit & quomodo* Adraſti *filiæ connubio ſit potitus, exponit; ſuámque expeditionem contra Patriam excuſat. Deinde ſuperveniente* Eteocle, Polynices *cauſam ſuam exponit & jus ſuum petit.* Eteocles *ferox, nihil ſe de Imperio remiſſurum affirmat, nedum minis eò adactum iri. Pia Mater filiorum diſcordiam graviſſimâ Oratione diluere conatur, ſed fruſtra. Poſt acerba itaque convitia, utrinque diſceditur.* Chorus *urbis & regni* Thebani *initia recitat, cœlíque & ſoli beneficiis eam cumulatam agnoſcit: Deos denique ut illius ſtatui jam periclitanti ſubveniant, orat. Hic Actus in Genere Deliberativo totus verſatur.*

ΠΟΛΥΝΕΙΚΗΣ, ΧΟΡΟΣ, ΙΟΚΑΣΤΗ, ΕΤΕΟΚΛΗΣ.

Ἴαμβοι.

Πολ. Τὰ μὲν πυλωρῶν κλεῖθρά μ' εἰσεδέξατο
Δι' εὐπετείας, τειχέων ἔσω μολεῖν.
Ὃ καὶ δέδοικα, μή με δικτύων ἔσω
Λαβόντες, οὐ μεθῶσ' ἀναίμακτον χρόα.
Ὧν οὕνεκ' ὄμμα * πανταχῇ διοιστέον, * MS. παντᾶχε.
Κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.
Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ,
Τὸ πιστὸν ἐμαυτῷ τοῦ θράσους παρέξομαι.
Ὠή, τίς οὗτος; ἢ κτύπον φοβούμεθα;
" Ἅπαντα γὰρ τολμῶσι δεινὰ φαίνεται,
" Ὅταν δι' ἐχθρᾶς πὺς ἀμείβηται χθονός.
Πέποιθα μέν τοι μητρί, κοὐ πέποιθ' ἅμα,

Pol. Clauſtra quidem janitorum me receperunt
Facilè, ut venirem in urbem.
Propter quod etiam metuo, nè me intra retia
Accipientes, non dimittant ſine cæde corpus.
Quapropter circumferendi ſunt undique oculi
Huc & illuc, nè quis ſit dolus.
Armatus verò manum hoc enſe,
Fiduciam mihi ipſi confidentiæ præbebo:
Heus quid iſtuc eſt? an verò ſtrepitum metuo?
Omnia enim audentibus periculoſa videntur,
" Quando per hoſtilem pes incedit terram.
Confiſus ſum matri (& tamen non planè confido)

268. Τὰ μὲν πυλωρῶν) τὰ μὲν πυλώματα τὰ ἐπιτετραμμένα τοῖς πυλωροῖς, δι' εὐκολίας ὑπεδέξαντο. ὅθεν καὶ διὰ τὸ εὐμαρῶς καὶ εὐχερῶς με ὑποδέξασθαι τοὺς φύλακας, ὑποπτεύω μὴ δόλος ἐστίν. Δι' εὐπετείας) δι' εὐμαρείας, δι' εὐχερείας. Οὐ μεθῶσιν) οἱ ἐν ὑποκρίσει διὰ τὸ δυσέκφορον μετεποίησαν τὴν λέξιν. καὶ διαλέξεως ἐν τῷ τῶν μονοσυλλάβων ῥημάτων, ὅτε διαλαμβάνει τοῦ χρῶ, ταύτην τὴν χρῆσιν. ὡπλισμένος δὲ τῷδε φασγάνῳ, ἀνόητον τὴν χρῆσιν φασὶ τοῦ ξίφους ποιοῦσιν, ταῖς σπονδαῖς δὲ μήπω· εἰ δὲ καὶ μόνος ὤν, κρατῆσαι ἐδύνατο ἐπιβουλευόντων τοσούτων. ἀγνοοῦσι δὲ ὅτι οἱ μετ' ἀνάγκης ἐπί τινα κίνδυνον ἐρχόμενοι, οὐχ ἐκ τῶν ἐνδεχομένων θηρῶσι τὴν ἀσφάλειαν ἐθέλουσιν, ἀλλ' οἷον παρὰ τοῦ καιροῦ λαμβάνουσι, καὶ οἱ ἐπ' ἐρημίας μετὰ ξιφιδίου πορεύονται, ὅπλον μὲν ἀπλισμένοι τῶν ὑποτιθεμένων θηρῶν. ἢ λῃστῶν. ἄμεινον καὶ τῶν ἀνόπλων. τοῦτο καὶ Πολυνείκης ζηλοῖ, ἀναγκασθεὶς γὰρ ἐπὶ διαλλαγὰς εἰς τὰς Θήβας ἐλθεῖν, ἔρχεται μὲν, ἵνα μὴ δόξῃ δύσνους εἶναι. ἀλλ' ἐπεὶ δὲ ὑποπτεύων τὴν ἀσφάλειαν κατὰ τὸ δυνατὸν ἐποιήσατο, τὴν πίστιν τοῦ θαρρεῖν, ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαρρεῖν. Ὠὴ δὲ, ἐπίφθεγμα ἀνακλήσεως· τὸν κτύπον ἐν φησὶν ἀπειρατικῶς ὄντα, ἤγουν τὸν κενὸν ψόφον ὑφορώμεθα. 271. Οὐ μεθῶσιν) οὐκ ἀφῶσιν ἄτρωτον.

Ἤ τις

Ἤ τίς μ' ἔπεισε δεῦρ' ὑπόσπονδον μολεῖν.
Ἀλλ' ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
Πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
Φέρ', ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος,
Καὶ τάσδ' ἐρωτήσω, τίνες ἐφεστᾶσιν δόμοις.
Ξέναι γυναῖκες, εἴπατ', ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε;

Χο. Φοίνισσα μὲν γῆ πατρίς, ἡ θρέψασά με·
Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ' ἔπεμψαν ἐνθάδ' ἀκροθίνιον.
Μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος
Μαντεῖα σεμνὰ, Λοξίου τ' ἐπ' ἐσχάρας,
Ἐν τῷδ' ἐστράτευσαν Ἀργεῖοι πόλιν.
Σὺ δ' ἀντάμειψαί μ', ὅστις ὢν ἐλήλυθας
Ἑπτάστομον πύργωμα Θηβαίας χθονός.

Πολ. Πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου·
Ἔτικτε δ' Ἰοκάστη με, παῖς Μενοικέως.
Καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ὦ συγγένεια τῶν Ἀγήνορος τέκνων,
Ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο,
Γονυπετεῖς ἕδρας προσπίτνω
Σ' ἄναξ, τὸν οἴκοθεν νόμον σέβουσα.
Ἔβας, ἔβας, ὦ χρόνῳ γᾶν πατρῴαν.
Ἰὼ, ἰὼ, πότνια, μόλε * πρόδομος, *MS. πρόσεμος.
Ἀναπέτασον πύλας,
Κλύεις, ὦ τεκοῦσα τόνδε μᾶτερ; τί μέλλεις
Ὑπώροφα μέλαθρα
Περᾶν, θιγεῖν τ' ὠλέναις τέκνου;

Quæ mihi perſuaſit, ut fictis inducis huc venirem.
Sed propè eſt Defenſio: foci enim altarium
Propè adſunt, & non deſertæ domus.
Age dimittam gladium in obſcuram vaginam,
Et has interrogabo, quænam aſtent ædibus.
Peregrinæ mulieres, Dicite, quânam ex patriâ
Accedatis ad Græcas domos?

Cho. Terra quidem Phœniſſa patria aluit me:
Agenoris verò nepotes ex ſpoliis
Miſerunt me huc Phœbo primitias:
Cumque eſſet me miſſurus Oedipi filius inclytus
Ad venerandum oraculum Apollinis, & penetralia,
Intereà Argivi duxerunt exercitum ad urbem.
Tu verò viciſſim reſponde mihi, quis nam ſis, qui venis
Ad Thebas urbem turritam ſeptem-portarum.

Pol. Pater mihi quidem eſt Oedipus Laii filius,
Peperit verò me Jocaſte filia Menœcei,
Vocatque me Polynicem Thebanus populus.

MONOSTROPHICA.

Cho. O cognatio filiorum Agenoris,
Meorum dominorum, à quibus miſſa ſum,
Procumbo ad genua
Tibi, ô rex, colens legem patriam.
Veniſti, veniſti tandem poſt longum tempus in terram patriam.
Heus, heus, veneranda Domina, venias extra ædes,
Aperi portas,
Num audis, hunc quæ peperiſti Mater, quid cunctaris
Excelſa atria
Tranſire, & amplecti ulnis filium?

Βώμιοι) ὥστε καταφυγεῖν ἐπ' αὐτάς. εἰ δὲ οἱ. τοῦτο δὲ οὐ συνῳδὸν τῷ, Ὡπλισμένος δὲ χεῖρα τῇδε φασγάνῳ θρασύδειλον γὰρ τὸ Πολυνείκην ποιῆσαι, πρῶτον μὲν φάσκοντα, Ὡπλισμένος δὲ χεῖρα τῇδε φασγάνῳ, Τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι. νῦν δὲ τοὺς βωμοὺς πλησίον εἶναι φησὶν, εἰς προσφυγὴν, νομίζει συνθεῖναι καθάπερ ἱκέτης γενόμενος. Ἐσχάρα δὲ κυρίως μὲν ὁ ἐπὶ τῆς γῆς βόθρος, ἔνθα σφαγιάζουσι τοῖς κάτω ἐρχομένοις. Βωμὸς δὲ, ἐν ᾧ θύουσι τοῖς ἐπουρανίοις θεοῖς. νῦν δὲ βώμιοι ἐσχάραι, τὰ κοιλώματα τῶν βωμῶν, ἢ κατὰ περίφρασιν οἱ βωμοί. Κοὐκ ἔρημα δώματα) τὰς ἀπὸ τοῦ χοροῦ ἑωρακὼς φησὶ τεθαῤῥηκέναι. ἀληθῶς δὲ φησὶ ψυχῆς τεκμήριον. τί γὰρ ἔμελλον αὐτῷ γυναῖκας συμβαλέσθαι πρὸς κίνδυνον; Ἐς σκοτεινὰς) εἰς τὸν κολεὸν, ἢ ὑπὸ τὴν χλαῖναν, καὶ ἄμεινον ἵνα κεκαλυμμένον τὸ ξίφος ἔχῃ, καὶ πρὸς ἄμυναν ἕτοιμον. 288. Δορὸς) λαφυραγωγίας. Ἀκροθίνιον) τῆς λείας ἀπαρχήν. Λοξίου τ' ἐπ' ἐσχάρας) διαφέρει βωμὸς καὶ ἐσχάρα. Βωμὸς γάρ ἐστιν, ὁ εἰς ὕψος ᾠκοδομημένος, καὶ ἀναβάσεις ἔχων. ἐσχάρα δὲ, ἡ ἐν τετραγώνῳ περὶ γῆν βάσις βωμοῦ, τάξιν ἔχουσα ἀντὶ ἀναβάσεως. ἡ ἐσχάρα, κυρίως τὸ πῦρ. Μέλλων δὲ πέμπειν) Σολοικοφανὲς τοῦτο ἐστιν. ἔδει γὰρ εἰπεῖν, μέλλοντος πέμπειν με Οἰδίποδος, ἐν τῷδ' ἐστράτευσαν Ἀργεῖοι. ἢ οὕτως, μέλλων δὲ πέμψειν πρὶν ἰδεῖν τοὺς Ἀργείους ἐπιστρατεύσαντας, ἐν τοσούτῳ οἱ Ἀργεῖοι ἐπὶ τὴν πόλιν ἐστράτευσαν. 294. Ἑπτάστομον) ἑπτάπυλος ἡ Θήβη κατεσκεύαστο, ὅτι πρὸς τὴν ἑπτάχορδον λύραν Ἀμφίονος, κιθαρίζοντος ἐτειχοδομήθη. Ὦ συγγένεια) σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, στίχων καὶ κώλων ι'. ὁ α' καὶ ὁ β' ἴαμβοι τρίμετροι. τὸ γ' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς χορείου. τὸ δ' ἰαμβικὸν τρίμετρον καταληκτικὸν, ἐκ διϊάμβου ἐπιτρίτου β'. τὸ ε' καὶ ἕκτον ἀντισπαστικὸν, δίμετρον ἀκατάληκτον, ἐκ β' ἀντισπάστων, τοῦ α' καθαροῦ, τοῦ β' ἐξαβραχέος. τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ α' ποδὸς χορείου. τὸ η' ἀντισπαστικὸν δίμετρον, ὅμοιον τῷ ς' ἐξ ἀντισπάστου, καὶ διτροχαίου. τὸ θ' ἐκ παίωνος γ' καὶ ἰωνικοῦ, διὰ τὴν ἀδιαφορίαν. τὸ ι' ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκῆς πενθημιμεροῦς. ἐπὶ τῷ τέλει παράγραφος. 298. Ὦ συγγένεια τῶν Ἀγήνορος) Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Ἀγήνωρ, οὗ Βῆλος καὶ Ἀγήνωρ, οὗ Κάδμος, οὗ Πολύδωρος, οὗ Λάβδακος, οὗ Λάϊος, οὗ Οἰδίπους, οὗ Ἐτεοκλῆς καὶ Πολυνείκης. 300. Γονυπετεῖς) ὡς τῶν Φοινίκων διὰ γονυκλισίας τιμώντων τοὺς βασιλεῖς. Σέβουσα δὲ) τιμῶσα καὶ φυλάττουσα. ἢ τιμῶσα κατὰ τὸν πάτριον νόμον, ἢ φυλάττουσα τὸ ἔθος τὸ ἐκ τῆς θρησκείας.

ANNOTATIONES.

V. 290. Μέλλων δὲ πέμπειν &c. Ἐν τῷδ' ἐστράτευσαν &c.) De hâc Syntaxi conſule *Scholiaſtem*. Et multa quidem apud Poetas ——διὰ τὸ πρὸς σημαινόμενον abſque Solæciſmo, quanquam σολοικοφανῶς dicta, explicantur. *Canterus* quoque notavit, apud Poetam noſtrum haud ſemel hanc Syntaxin uſurpari; ſed & *Helen.* v. 295. Κλείθρων ἂν εὐρρίμεσθα, τὴν ὑπ' Ἰλίῳ ——Δοκοῦντες Ἑλένην Μενέλεῳ μ' ἐλθεῖν μέτα· Et in *Ion.* v. 927. Κακῶν γὰρ ἄρτι κῦμ' ὑπεξαντλοῦσ' ἐμοὶ, Πρύμνηθεν αἴρει μ' ἄλλο σῶν λόγων ὕπο. *Sophocles* quoque & *Æſchylus* hâc phraſi ſunt uſi, hic bis, ille ſemel; ita *Canterus*. Sic *Homer.* Iliad. β'. v. 350. Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα &c. Ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων, In quem locum multa *Euſtathius* fol. 236. lin. 17. ubi & hæc ex *Euripide*, Πάλαι δή σ' ἐξερωτῆσαι θέλων, Σχολή μ' ἀπεῖργε. Τοῦτο δὲ παντελῶς ἀθρεπτότατον σολοικίζον, inquit ille, & iterum, ex *Euripidis Hippolyt.* v. 23. —πολλὰ δὲ Πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ. Et Ἐξὸν καθεύδειν τὴν ἐμαυτῆς ἴσχειν. *Joſua Barnes.*

V. 303. Μόλε πρόδομος) Id eſt, exi foras, ante fores, πρὸ δόμων. MS. tamen legit πρόσεμος, quam Lectionem nequis temerè factam putet, *Scholiaſtes* MS. confirmat, his Verbis, Ἐλθὲ ἔξω ὁρμωμένη, προσερχομένη. *Joſua Barnes.*

Io. Φοινισσᾶν, ὦ νεάνιδες, βοὰν ἔσω
Δόμων κλύουσα τήνδε,
* Γῆρα τρομερὸν * MS. Γηραιῷ & Μοι* ποδί.
Ἕλκω * ποδὸς βάσιν. ἰὼ, τέκνον, χρόνῳ
Σὸν ὄμμα, μυρίαις τ' ἐν ἁμέραις προσεῖδον.
Ἀμφίβαλλε μαστὸν ὠλέναισι ματρὸς,
Παρηΐδων τ' ὄρεγμα,
Βοστρύχων τε κυανόχρωτα χαίταις
Πλόκαμον, σκιάζων δέραν ἐμάν.
Ἰὼ, ἰὼ, μόλις φανεὶς
Ἀελπτα κἀδόκητα ματέρος ὠλέναις. τί φῶ σε; πῶς ἅπαντα
Καὶ χερσὶ, ϗ * λόγοισι, πολυέλικτον ἁδονὰν * MS. κέμασι haud bene.
Ἐκεῖσε ϗ τὸ δεῦρο περιχορεύουσα, τέρψιν
* Παλαιᾶς λάβω χαρμονᾶς; ἰὼ, τέκος,
* Ἔρημον πατρῷον ἔλιπες δόμον, * MS. παλαιῶν & χαρμονᾶν. Vide Scholiast.
Φυγὰς ἀποσταλεὶς ὁμαίμου λώβᾳ.
Ἦ ποθεινὸς φίλοις;
Ἦ ποθεινὸς Θήβαις; * al. ἐλεινὸς.
Ὅθεν ἐμάν τε λευκόχροα * κείρομαι,
Δακρυόεσσαν ἱεῖσα * πενθήρη, κόμαν, * subaudi φωνὰν.

Io. O puellæ, vocem Phœnissam intra
Ædes istas audiens,
Senectâ tremulum
Incessum pedis traho. O fili, post longum intervallum
Et post multos dies aspicio oculum tuum.
Amplectere ubera matris brachiis tuis,
Genásque cupitas,
Comæque cæruleam ad meos capillos
Cæsariem applica, obumbrans collum meum.
Io, Io, vix apparens
Pr. spe, & pr. opin. in matr. brach. Quom. compell. te? q. om. peragam,
Et manibus & verbis multiplicem voluptatem,
Huc & illuc inambulans, & delectationem
Veteris gaudii accipiam? O fili,
Reliquisti paternam domum desertam,
Exul missus fratris injuriâ.
Quàm desideratus amicis?
Quàm desideratus Thebis?
Unde rasi canos meos,
(Lacrymosam emittens vocem) capillos,

Φοινισσᾶν βοὰν) τὰ τοιαῦτα εἴδη καλεῖται (ὡς εἴρηται) μονοστροφα, ϗ μετεχει ἄτακτα, ϗ συστηματικὰ ἐξ ἀνομοίων κτ᾿ περιορισμοὺς ἀνίσους. ἔστι οὖν ἡ παροῦσα στροφὴ κώλων νζ. τὸ α' ἰαμβος τρίμετρος ἀκατάληκτος. τὸ β' ἰαμβικὸν ἑφθημιμερές. τὸ γ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ', ϗ χοριάμβου. εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' ἰωνικὸν ἡμιόλιον, ἐξ ἐπιτρίτου γ', ϗ ἰωνικοῦ ἡμίσεος. εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ ε' ἰαμβικὴ βάσις. τὸ ϛ' ἰαμβος τρίμετρος, ὅμοιος τῷ α'. τὸ ζ' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ διιάμβου παίωνος δ', ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, ϗ συλλαβῆς. εἰ δὲ βούλει, περίοδος ἐξ ἰαμβικῆς ϗ τροχαϊκῆς συζυγίας. ἔχει δὲ ἡ τροχαϊκὴ συζυγία τὸν α' πόδα χορεῖον. τὸ η' τροχαϊκὸν ἑφθημιμερὲς Ευριπίδειον, ἢ ληκύθιον. τὸ θ' ἰωνικὸν, ἑφθημιμερές. τὸ ι' χοριαμβικὸν τρίμετρον, καταληκτικὸν, ἐκ διτροχαίου, χοριάμβου, ϗ βακχείου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος. τὸ γὰρ κε' ϗ βραχὺ παρ' Ὁμήρῳ εὑρηται. τὸ ια' ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος γ' ἀντὶ ἰωνικοῦ ἐπιτρίτου γ' ϗ ἰάμβου. τὸ ιβ' ἰαμβικὸν δίμετρον, ὅμοιον τῷ ια'. τὸ ιγ' ϗ ιδ' ὅμοια τῷ β' ἰαμβικῷ. τὸ ιε' τροχαϊκὸν, ὅμοιον τῷ η'. τὸν α' πόδα χορεῖον εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου ϗ ἐπιτρίτου γ', ἢ ϗ ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ ϗ διϊάμβου. τὸ ιζ'. ἰαμβικὸν, ὅμοιον τῷ β'. τὸ ιη' ἰωνικὸν, ὅμοιον, τῷ ιε', ἐκ παίωνος δ' ϗ διτροχαίου. τὸ ιθ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου ϗ ἐπιτρίτου γ'. τὸ κ' ἰαμβικὴ βάσις, ὅμοιον τῷ ε'. τὸ κα' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου ἐπιτρίτου πεντασυλλάβου ϗ ἰάμβου, διὰ τὸ ἀδιάφορον. εἰ δὲ βούλει, καταληκτικὸν, ἐξ ἀντισπάστου παίωνος α' ϗ δακτύλου. τὸ κβ' ἰωνικὸν τρίμετρον καταληκτικὸν, ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος διϊάμβου, ϗ μολοσσοῦ. τὸ κγ', ϗ κδ' τροχαϊκὰ ἑφθημιμερῆ. τὸ κε' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον. ἐκ παίωνος δ' ἀντισπαστικοῦ, ϗ ἰάμβου. τὸ κϛ' ὅμοιον, ἐξ ἀντισπάστου, ϗ διϊάμβου ϗ ἐπιτρίτου γ'. τὸ κζ' ἀναπαιστικὸν δίμετρον, ἀκατάληκτον εἰς δισύλλαβον. εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον, βραχυκατάληκτον, ἐξ ἀντισπάστου ἐπιτρίτου α' ϗ τροχαίου. τὸ κη' προσοδιακὸν, δίμετρον, ἀκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ, ϗ χοριάμβου, τὸ κθ' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ, ϗ διϊάμβου. τὸ λ' ἰαμβος τρίμετρος. τὸ λα' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἐξ ἀντισπάστου κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ λβ' τροχαϊκὸν δίμετρον, ἀκατάληκτον, ἴαμβον ἔχον τὸν δ' πόδα. ἔοικε δὲ εἶναι ϗ τοῦτο Στησιχόρειον, σὺν τῷ Πινδαρικῷ ἤθει. τὸ λγ' ἰωνικὸν δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ διτροχαίου ϗ κρητικοῦ. τὸ λδ' ὅμοιον. τὸ λε' ἰαμβικὸν, ὅμοιον τῷ ιβ'. τὸ λϛ' ὅμοιον. τὸ λζ' ὅμοιον τῷ λα'. τὸ λη' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ϗ χοριάμβου πεντασυλλάβου, ϗ ἑτέρου καθαροῦ διὰ τὴν κοινὴν, ἢ ἐπιτρίτου γ'. τὸ λθ' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, ϗ ἐπιτρίτου γ'. τὸ μ' ἰαμβος τρίμετρος, ὅμοιος τῷ α'. τὸ μα' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, λείπεται γὰρ ὅλου ποδὸς, εἰς τὸ εἶναι τρίμετρον. τὸ μβ', τὸ μγ', ϗ τὸ μδ', ϗ τὸ με ἰαμβικὰ, ὅμοια τῷ ιβ'. τὸ μϛ' ὅμοιον ἑφθημιμερές. τὸ μζ' ἀντισπαστικὸν τρίμετρον, βραχυκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου πεντασυλλάβου, ϗ ἰάμβου. τὸ μη' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' ϗ ἰάμβου. εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερὲς, τὸν α' πόδα χορεῖον. τὸ μθ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου β' ϗ χοριάμβου πεντασυλλάβου. τὸ ν' ἀντισπαστικὸν τρίμετρον, ἀκατάληκτον, ἐκ παίωνος δ', ἀντισπάστου ϗ ἐπιτρίτου τετάρτου. εἰ δὲ βούλει, ἰωνικὸν τρίμετρον καταληκτικὸν, ἐκ διτροχαίου πεντασυλλάβου ἰωνικοῦ ἀπὸ μείζονος, ϗ μολοσσοῦ. τὸ να' χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου ϗ ἰάμβου. τὸ νβ' τροχαϊκὸν ἑφθημιμερὲς, τὸν α' πόδα χορεῖον, ἤτοι τρίβραχυν. τὸ νγ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου α' ἐκ τρίτου ϛ' σπονδείου. τὸ νδ' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου ϗ συλλαβῆς. εἰ δὲ βούλει, ἀναπαιστικὸν, ἑφθημιμερὲς, ἰάμβου ἀρχομένου. τὸ νε δακτυλικὸν δίμετρον καταληκτικόν. τὸ νϛ' δακτυλικὸν ὅμοιον. τὸ νζ' ἀντισπαστικὸν ἀκατάληκτον. τὸ νη ἰωνικὸν τρίμετρον, ἀκατάληκτον, ἐκ παίωνος δ' β', ϗ διϊάμβου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῆς στροφῆς, κορωνίς. Φοινισσᾶν ὦ νεάνιδες) οὐ γὰρ ϗ Ἑλληνικῶς ἐλάλουν, ἀλλ' εἶχον τὴν πάτριον ἀπήχησιν ἔσωζον τῆς φωνῆς, ὡς Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει. Καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με Παρηγορεῖ Λάκωνος ὀσφρᾶσθαι λόγου. Ἕλκω ποδὸς βάσιν) ἐπείγω μου τὴν βάσιν ὑπὸ τοῦ γήρως τρομεράν. 313. Ἀμφίβαλλε μαστὸν) τὸν μαστὸν τῆς μητρὸς περίβαλλε ταῖς σαῖς ὠλέναις. ὁ παῖς υἱός. περιπτυξάμενος ἀσπασαί με. ἔστι τὸ ἀμφίβαλλε μαστὸν, ἀντὶ μέρους τὸ στῆθος τῆς μητρὸς ταῖς σαῖς χερσὶ, ϗ τὸ τῶν παρηΐδων σου ὄρεγμα, ἤγουν ἔκτασμα περίβαλλέ μοι. Κυανοχρῶτα) ϗ τὸν κυανοχρῶτά σου πλόκαμον, περίβαλλε τῷ τραχήλῳ μου, ϗ κατασκίαζε τοῦτον τοῖς βοστρύχοισί σου πλοκάμοις. ἐν κοινῷ γὰρ τὸ ἀμφίβαλλε. οὐ γὰρ τὸν ἑαυτῆς πλόκαμον λέγει, τιμιώτερον ὕστερον ἐξυρεῖσθαι αὐτὴν φησὶ διὰ τὸ πένθος. Παρηΐδων τ' ὄρεγμα) ἀντὶ τοῦ ἀγαπητικῶς περιπλυνόμενος. 318. Τί φῶ σε) τί σοι εἴπω. πῶς προσφθέγξομαί σε, ϗ πῶς τὰ πάντα λάβω. τέρψιν παλαιὰν ϗ χαρμονὴν, ϗ πολυέλικτον ἡδονὴν χερσί τε ϗ λόγοις ἐκεῖσε, ϗ τὸ δεῦρο περιχορεύουσα, ἀντὶ τοῦ περισκιρτῶσα πανταχῆ. Πολυέλικτον δὲ) πολύπλεκτον, ποικίλην ϗ πανταχόθεν με ἔχουσαν ἡδονήν. Παλαιᾶς λάβω) παλαιῶν ἡδονῶν χαρμονήν. 322. Ἔρημον πατρῷον) σοῦ ἔρημον δηλονότι. τὴν γὰρ αὐτοῦ ἀπουσίαν, ἐρημίαν τοῦ πατρὸς οἴκου οἴεται. 326. [* Ὅθεν ἐμάν τε) ἀφ' οὗ, ὦ τέκνον. ϗ τὴν ἐμὴν λευκόχροα κόμην ἐκειράμην, ἀφιεῖσα φωνὴν δηλονότι, Θρηνῶδη μετὰ δακρύων, ἀμέτοχος ἐνδυμάτων λευκῶν· Ἀμείβομαι δὲ, ϗ ἀλλάσσω, ἀντὶ τοῦ ἤλλαξα, ταῦτα τρίχινα ἐνδύματα, τὰ δυσόρφναια, τὰ σκότια, ἐκ παραλλήλου ἀντὶ τοῦ τὰ μέλανα.

* Ὅθεν ἐμάν τε, ἀφ' οὗ &c.) Hanc Paragraphen uſque ad τὰ μέλανα ex MS. deſcripſimus. Notandum eſt, Verſuum hujus Chori diſpoſitionem apud Scholiaſtem non per omnia reſpondere huic noſtræ, quam tamen ex aliis codicibus confirmatam accepimus. *Joſua Barnes.*

Ἀπτάλος

Ἄπεπλος φαρέων λευκῶν, τέκνον,
Δυσόρφναια δ' * ἀμφιτρύχη τάδε σκότι' *MS. ἀμφιτρυχῆ.
Ἀμείβομαι. ὁ δ' ἐν * δώμασι πρέσβυς *MS. δώμασι.
Ὀμματοστερὴς, ἀπήνας ὁμοπτέρου,
Τᾶς ἀποζυγείσας δόμων, πόθον ἀμφιδάκρυτον
Αἰεὶ κατέχων, * ἀνῇξε μὲν ξίφους *MS. ἀνῇξε.
Ἐπ' αὐτοχειρά τε σφαγάν,
Ὑπὲρ τέραμνά τ' ἀγχόνας,
Στενάζων ἀρὰς τέκνοις.
Σὺν ἀλαλαῖσι δ' * αἰὲν αἰαγμάτων, * Ex MS. αἰὲν addidi.
Σκοτίᾳ κρύπτεται.
Σὲ δ', ὦ τέκνον, καὶ γάμοισι δὴ κλύω
Ζυγέντα, παιδοποιὸν ἁδονὰν
Ξένοισιν ἐν δόμοις ἔχειν,
Ξένον τε κῆδος ἀμφέπειν.
Ἄλαστα ματρὶ τάδε,
Λαΐῳ τε τῷ παλαιγενεῖ,
Γάμων ἐπακτὸν ἄταν.
Ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς
Νόμιμον ἐν γάμοις,
Ὡς πρέπει ματρὶ μακαρίᾳ.
Ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη
Λουτροφόρου χλιδᾶς.
Ἀνὰ δὲ Θηβαίαν πόλιν
Ἐσιγάθη σᾶς ἔσοδος νύμφας.
Ὄλοιτο τάδ', εἴτε σίδαρος,
Εἴτ' ἔρις, εἴτε πατὴρ ὁ σὸς αἴτιος,
Εἴτε τὸ δαιμόνιον κατεκώμασε
Δώμασιν Οἰδιπόδαο·
Πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ' ἄχη.

Ἴαμβοι.

Χορ. “ Δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί·
“ Καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.
Πολ. Μῆτερ, φρονοῦσ' εὖ, κοὐ φρονοῦσ', ἀφικόμην

Et non induta ſum candidis veſtibus, ô fili.
Atras verò & ſqualidas has tenebris ædes
Incolo : ſenex verò in domo
Excæcatus, jugi (fraterni) comparis
Ejus, quod disjunctum eſt à ſuâ familiâ, deſiderium lacrymoſum
Semper habens, inſilit in gladium,
Inque manu propriâ factam cædem,
Sublimeſque laqueos,
Cum gemitu proferens execrationes in ſuos liberos.
Cum vociferationibus autem querelarum ſemper
In tenebris occultatur.
Te verò, ô fili, audio connubio
Conjunctum, conjugalē voluptatē
Habere in externâ terrâ,
Peregrinámq; affinitatem curare.
Hæc ſunt intolerabilia matri,
Et Laio avo tuo,
Nuptiarum externam & adventitiam noxam:
Ego verò neque lumen ignis accendi tibi
Legitimum in nuptiis,
Ut decet matrem beatam.
Nec Iſmenus curavit Hymenæum,
Qui ex balneis conſtat deliciarum.
Per Thebanam verò urbem
Præteritus eſt ſilentio ingreſſus tuæ ſponſæ.
Pereant iſta, ſive ferrum,
Sive diſſidium, ſive pater tuus in cauſa eſt,
Sive fatum petulanter invaſit
Domum Oedipi:
Ad me enim veniunt dolores horum malorum.

Chorus.

“ Graves ſunt mulieribus, qui cum dolore educuntur partus.
“ Ac totum genus muliebre amans eſt liberorum.

Pol. Mater, benè & non benè cogitans, veni

Ἄπεπλος) Ἀμέτοχος ἐνδυμάτων λευκῶν, ἀνείμων λευκῶν ἱματίων ὑπάρχουσα, τὰ δυσόρφναια, καὶ σκότια τρύχη διαδέχομαι. Ἄλλως. Ἀντὶ τοῦ μελανοφορῶ· καὶ πενθῶ ἐπὶ τῷ τέκνῳ. Ἀπήνας) Ζεύγους συγγενικοῦ, συζυγίας, Ἐτεοκλέα καὶ Πολυνείκην δηλοῖ· [* Ἀπήνας ὁμοπτέρου) ἀπὸ μεταφορᾶς τῶν ὁμοειδῶν ὀρνέων, ἃ ἀπὸ τοῦ τοῖς αὐτοῖς πτεροῖς χρῆσθαι, γνωρίζουσι τὴν ἑαυτῶν συγγένειαν καὶ τὸ ὁμοειδές. Ἀπήνας) ἤγουν υἱῶν τῶν δύο ἀδελφῶν τῶν χωρισθέντων τῶν δόμων ἐπιθυμίαν ἀειδάκρυτον ἀεὶ ἔχων, ὥρμησε μὲν καὶ ἐπ' αὐτόχειρα σφαγὴν ξίφους, καὶ ἐπὶ πνιγμονὴν ὑπὸ τὰ ὑψηλὰ οἰκήματα, ὑπὸ στραγγάλης ἐπαρώμενος ἀρὰς τοῖς τέκνοις.] Ἀπήνη δὲ, ἥ τις ἐκ δύο βοῶν ἐλαύνεται. 335. Ὑπὲρ τέραμνα) καὶ εἰς τὰ μετέωρα τὰς ἀγχόνας, ἀπὸ κοινοῦ τὸ ἀνῇξεν. Ἄλλως. καὶ ἐπὶ αὐτοχειρὶ ὥρμησε μὲν, καὶ κατὰ τοῦ ξίφους ὥρμησε, καὶ ἐπὶ σφαγὴν μοίρας, καὶ ἀγχόνης αὐτόχειρα. 336. Στενάζων) διὰ τὰς ἀρὰς, ἃς κατηρᾶτο τῶν τέκνων, μετέγνω γὰρ ἐπὶ τῷ καταρᾶσθαι τοῖς παισί. Σὲ δ' ὦ τέκνον) σὲ δ', ὦ τέκνον, ἀκούω ἐπὶ ξένοις ζευχθέντα, καὶ ξένοις συγγένειαν ἔχειν, καὶ ἄτην γάμων αὐθαίρετον, τουτέστιν ἣν αὐτὸς σαυτῷ ἐπηγάγου. ταῦτα δὲ ἀνεπίληστα ἐμοί, καὶ τῷ σῷ προγόνῳ Λαΐῳ, εἰ καὶ ἤδη τέθνηκεν. [* Ἄλλως, Σὲ δὲ, ὦ τέκνον, ἀκούω καὶ παιδοποιὸν ἡδονὴν ἔχειν ἐν ξένοις δόμοις, γυναικὶ συζυγέντα, καὶ ξένην συγγένειαν θεραπεύειν γάμων ἐπακτὴν ἄτην, ἤγουν λέγω βλάβην γάμων ἐπεισάκτων, τουτέστι ξένων, καὶ ἀπ' ἀλλοτρίου γένους. τὸ δὲ, ἄλαστα ματρὶ τάδε καὶ Λαΐῳ τῷ παλαιγενεῖ, διὰ μέσου· ἤγουν, οὐκ εἰσὶ τάδε δυνάμενα ὑπὸ τῆς μητρὸς ἐπιλησθῆναι, καὶ ὑπὸ τοῦ Λαΐου τοῦ παλαιοῦ· ἐγὼ δὲ οὐδαμῶς σοι ἐν τοῖς γάμοις ἀνῆψα φῶς πυρὸς νενομισμένον, καθὸ πρέπει μητρὶ εὐτυχεῖ.] 341. Ξένοισιν ἐν δόμοις) τὸ ἑξῆς. ξένον δὲ κῆδος ἀμφέπειν γάμων, ποῖον κῆδος τὴν ἄτην ἐπάγει ἡμῖν. διὰ γὰρ τοῦ γάμου πολεμεῖς τὴν πατρίδα. τὰ δὲ ἑξῆς διὰ μέσου, ὥσπερ ἔλεγε, δυστυχήματα ἐμοῦ τε καὶ τῶν σῶν προγόνων, τὸ δὲ μὴ μετασχεῖν ὁμοφύλου γυναικός. ἐπιγαμβρεύσει δὲ τῷ Ἄργει ὁ Ἰσμηνὸς, μὴ μεταλαβὼν τῶν ὑμεναίων τῆς λουτροφόρου χλιδῆς. ὃ δὲ μήτε ὑμέναιον ἀκούσας, μήτε λουτρὰ σοι ἐκπέμψας. ὁ Ἰσμηνὸς δὲ ἐσιωπήθη ἐπὶ τῇ πρὸς τὸν Ἄδραστον ἐπιγαμβρίᾳ, οὐ γὰρ ἐδέξατο τὸ παρ' αὐτοῦ λουτρόν. Ἐγὼ δ' οὔτε σοι) ἔθος ἦν τὴν νύμφην ὑπὸ τῆς μητρὸς τοῦ γαμοῦντος μετὰ λαμπάδος εἰσάγεσθαι. Ἐσιγάθη) ἐσιωπήθησαν. γράφεται καὶ ἐσιγάθησαν, ἀντὶ τοῦ οὐκ ἀνυμνήθησαν. 353. Ὄλοιτο τάδ') ἀπόλοιτο τάδε τὰ κακά, καὶ μεταβληθείησαν εἰς ἀγαθά, εἴ τις αὐτῶν ἐστιν αἴτιος. λείπει γὰρ τὸ αὐτῶν. Ἄλλως. ὄλοιτο τάδε, ἀντὶ τοῦ τοῦδε. ὡς τὸ διά τ' ἔντεα καὶ μέλαν αἷμα. ὡς ἂν τούτων αἴτιος καὶ πρᾶξιν ἀπόλοιτο, ὅστις ποτὲ ἄρα ἐστί. Κατεκώμασε) σφοδρῶς ἐπῆλθεν, τῶν κακῶν κώμων τὰ ἄχη εἰς ἐμὲ ἔσκηψεν. 358. Δεινὸν γυναιξί) τίμιον, ἢ μέγα κακόν. ἢ οὕτως. δεινὸν ἀντὶ τοῦ τίμιον, θαυμαστόν. ὁ δὲ νοῦς, αἱ γοναὶ αἱ ὀδύνης αἴτιαι, θαυμαστόν τι καὶ τίμιον παρὰ ταῖς γυναιξί. ἐν ἤθει δὲ θαυμαστικῶς εἴρηται, ὅτι ταῖς γυναιξὶν αἱ ὠδῖνες φίλτρον καθίστανται. καὶ διὰ τοῦτο πάσαις τὸ φιλότεκνον σώζεται. Ἄλλως. Αἱ δι' ὠδίνων γοναὶ, καθότι περὶ τοῦ τίκτειν πολλὴν ταλαιπωρίαν παρέχουσιν· ὡς εἰ ἔλεγε καὶ τὸ τῶν γονῶν ἐπώδυνον ἴσον, ὅμως φιλότεκνοί εἰσιν αἱ γυναῖκες. 360. Μῆτερ, φρονοῦν) φρονῶν μὲν, καθὸ πεισθείς σοι ἦλθον. οὐ φρονῶν δὲ, καθότι κατὰ τῆς πατρίδος ὥπλισμαι, καὶ πρὸς τοὺς ἐχθροὺς παραγέγονα, ὅθεν ὁπλίζεσθαι. ἀλλ' ἀναγκαίως ἔχει πατρίδος ἐρᾶν ἅπαντας, ἀπολογούμενος ὑπὲρ τῆς ἀφίξεως.

* Ἀπήνας &c.) Hæc uncinis incluſa ex MS. addita.
* Ἄλλως, Hæc quoque ex MS. *Coll. Corporis Chriſti.*

ANNOTATIONES.

V. 330. Ὁ δ' ἐν δώμασι πρέσβυς) ἤγουν ὁ Οἰδίπους, ὁ τῶν ὀμμάτων ἐστερημένος.

V. 344. Τῷ παλαιγενεῖ) Ità cum MS. lego pro τῷ παλ— quod priùs malè obtinuit.

V. 347. Νόμιμον) *Plutarchus* legit Τόσμιον in libello περὶ φυγῆς, ubi acutè de hoc Poetæ loco diſſerit & de exilii incommodis. Vid. & *Gaſpar. Stiblini* Notas ad hunc locum. MS. tamen νόμιμον retinet, idque melius; nam à *Scholiaſt.* quoque, confirmatur. *Joſua Barnes.*

Ἐχθρὸς

Ἐχθροὺς ἐς ἄνδρας. “ Ἀλλ' ἀναγκαίως ἔχει
“ Πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει,
“ Λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.
Οὕτω δὲ ταρβῶν εἰς φόβον τ' ἀφικόμην,
Μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,
Ὥστε ξιφήρη χεῖρ' ἔχων, δι' ἄστεος
Κυκλῶν πρόσωπον ἦλθον. ἓν δέ μ' ὠφελεῖ,
Σπονδαί τε, καὶ σὴ πίστις, ἥ μ' εἰσήγαγε
Τείχη πατρῷα. πολύδακρυς δ' ἀφικόμην
Χρόνιος ἰδὼν μέλαθρα, καὶ βωμοὺς θεῶν,
Γυμνάσιά θ', οἷσιν ἐνετράφην, Δίρκης θ' ὕδωρ·
Ὧν οὐ δικαίως ἀπελαθεὶς, ξένην πόλιν
Ναίω, δι' ὄσσων ὄμμ' ἔχων δακρυρροοῦν.
Ἀλλ' ἐκ γὰρ ἄλγους ἄλγος αὖ σε δέρκομαι,
Κάρα ξυρηκὲς, καὶ πέπλους μελαγχίμους
Ἔχουσαν. οἴ μοι τῶν ἐμῶν ἐγὼ κακῶν.
“ Ὡς δεινὸν ἔχθρα, μῆτερ, οἰκείων φίλων,
“ Καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς.
Τί γὰρ πατήρ μοι πρέσβυς ἐν δόμοισι δρᾷ,
Σκότον δεδορκώς; τί δὲ κασίγνηται δύο;
Ἦ που στένουσι τλήμονες φυγὰς ἐμάς;
Ιο. Κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος.
Οὕτω γὰρ ἤρξατ', ἄνομα μὲν τεκεῖν ἐμὲ,
Κακῶς δὲ γῆμαι πατέρα σὸν, φῦναί τε σέ.
“ Ἀτὰρ τί ταῦτα; Δεῖ φέρειν τὰ τῶν θεῶν.
Ὅπως δ' ἔρωμαι, μή τι σὴν δάκω φρένα,
Δέδοιχ', ἃ χρήζω. διὰ πόθου δ' ἐλήλυθας.
Πο. Ἀλλ' ἐξερώτα, μηδὲν ἐνδεὲς λίπῃς.
Ἃ γὰρ σὺ βούλει, ταῦτ' ἐμοὶ, * μᾶτερ, φίλα. * μῆτερ MS.
Ιο. Καὶ δή σ' ἐρωτῶ πρῶτον, ὧν χρήζω τυχεῖν.
“ Τί, Τὸ στέρεσθαι πατρίδος· ἦ κακὸν μέγα;
Πο. Μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον, ἢ λόγῳ.
Ιο. Τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές;
Πο. Ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.
Ιο. Δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ.
Πο. Τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.
Ιο. Καὶ τοῦτο λυπρὸν, συνασοφεῖν τοῖς μὴ σοφοῖς.
Πο. Ἀλλ' εἰς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.

Ad viros inimicos. “ Sed neceſſe eſt
“ Omnes amare patriam: qui vero aliter dicit,
“ Verbis delectatur, mentem vero illic habet.
Eo autem metûs & ad timorem veni,
Ne quis dolus à fratre me occidat,
Ut habens manum armatam gladio per urbem
Venerim circumferens vultum. Unum vero me juvat,
Induciæ & tua fides, quæ me introduxit
Intra mœnia paterna: veni verò multum lacrymans,
Poſt longum tempus videns aulam & aras deorum,
Et gymnaſia, in quibus nutritus ſum & aquam Dirces:
A quibus non juſtè pulſus, peregrinam urbem
Habito, habens aſpectum per oculos lacrymantem.
Sed enim ob dolores meos dolorē te quoque video,
Caput raſum, & veſtes atras
Habentem. Hei mihi propter mea mala.
“ Quam miſera res eſt, ô mater, odium inter domeſticos,
“ Et quam difficilem habet reconciliationem!
Quid verò meus pater ſenex in ædibus agit,
Videns tenebras? quid etiam ſorores duæ?
An non miſeræ gemunt exilium meum!
Joc. Aliquis Deus malè perdit genus Oedipi.
Sic enim cœpit, ut ego parerem contra fas,
Et ut male duceret uxorem pater tuus, tuque naſcereris.
“ Verum ad quid hæc? oportet ferre fatalia.
Quomodo autem interrogem, (nè mordeam tuum animum,
Metuo,) quæ volo: venis enim mihi deſideratus.
Pol. At exquirere nihil omittas.
Quæ enim tu vis, ea & mihi grata ſunt, mater.
Joc. Interrogo igitur primum, quæ volo conſequi.
“ Quid, eſſe exulem, anne magnum erat malum?
Pol. Maximum: re verò majus eſt, quam verbis.
Joc. Quonam modo hoc? quid eſt uſque adeo malum exulibus?
P. Unū quidē eſt maximū, non habet exul libertatem dicendi.
Joc. Servi eſt (quod dixiſti) non dicere aliquem id quod ſentiat.
Pol. Oportet ferre ſtultitias illorum, qui dominantur.
Joc. Et hoc acerbum eſt, deſipere cum ſtultis.
Pol. Sed ſerviendum eſt propter utilitatem contra naturam.

Πατρίδος ἐρᾶν) εἰ καὶ ἠτίμωτον προπηλακισμένος, ὅμως συγγινώσκει μοι τῆς πατρίδος ἔρως. [* Οὕτω δὲ ταρβῶν εἰς φόβον τ' ἀφικόμην) εἰς τοσοῦτον τοῦ τάρβους καὶ εἰς τὸν φόβον τοσοῦτον ἀφικόμην.] Εἰς φόβον τ') περισσὸς ὁ τέ. Ξιφήρη) ξίφει ἡρμοσμένος τὴν χεῖρα, τῇ δὲ κεφαλῇ περιβλέπων καὶ περιάγων. Χεῖρ' ἔχων) ὑποστικτέον ἐν τῷ ἔχων. Ἓν δέ μ' ὠφελεῖ) παρηγορεῖ, θαρρεῖν ποιεῖ. 372. Ὧν οὐ δικαίως) ἀφ' ὧν διωχθεὶς ξένην πόλιν οἰκῶ. Δι' ὄσσων) διὰ τῶν ὀφθαλμῶν τὴν ὄψιν δακρυρροοῦσαν ἔχων. ἔστι δὲ ποιητικὴ περίφρασις. τὸ αὐτὸ γὰρ σημαίνει, ὡς τὸ ποδὸς περὶ ποδῶν. Ἀλλ' ἐκ γὰρ ἄλγους) ἀλλ' ἐκ τῆς παλαιᾶς δυστυχίας τῆς κατεχούσης με, ἕτερον ἄλγος ὁρῶ σε ἔχουσαν, κάρα ξυρηκὲς, ἐξυρημένην τὴν κεφαλὴν, καὶ πέπλους μέλανας ἔχουσαν. ξυρηκὲς δὲ ὡς ἀπλανὲς τῷ τόνῳ. Ἄλλως. Ὑπερβολικῶς εἴρηκεν. ἐκέκαρτο γὰρ ὡς ἀνωτέρω εἶπεν, ὅθεν ἐμάν τε λευκόχροα κέκαρμαι χαίταν, οὐ ξυρῷ δὲ, ἀλλ' ὡς ἐν πένθει. Οἴμοι ἐγὼ) οἴμοι ἐγὼ, ἕνεκα τῶν ἐμῶν κακῶν. Καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγὰς) ὁ στίχος οὗτος οὐ πανταχοῦ φέρεται. Ὡς δεινὸν) λίαν χαλεπὸν πρᾶγμ' ἐστὶ, μῆτερ, ἔχθρα συγγενῶν. δυσδιόρθωτος γὰρ ἔχει τὰς φιλιώσεις. ἀλλὰ τί μοι πράττει ἐν οἴκοις ὁ γέρων πατὴρ ἐν σκότει διατελῶν; καὶ τί δρῶσιν αἱ δύο ἀδελφαί; ἆρα λυποῦνται διὰ τὰς ἐμὰς φυγάς; Οὕτω γὰρ) οὕτως ὁ δαίμων ἤρξατο φθείρειν τὸ γένος. οὕτω φησὶν ἐξ ἀρχῆς δυστυχῶ, ἀφ' οὗ ἀνόμως ἔτικτον. ἀνόμως γὰρ καὶ ἀσεβῶς παρεσκεύασέ με τικεῖν. Ἀτὰρ τί) κατὰ τί δὲ ταῦτα, φημὶ δηλονότι. οἰστέον τὰ τῶν θεῶν. Δέδοιχ' ἃ χρήζω) δέδοικα φησὶ μή πως ἔρωμαι ἃ χρήζω, καὶ δάκω σου τὴν φρένα, ὅμως ἐπιθυμῶ σε ἐρέσθαι κἂν λυπῶ σε. 393. Τίς ὁ τρόπος τῆς δυστυχίας, τῶν φυγάδων δηλονότι. Τὰς τῶν κρατούντων) τοῦτο ὡς Ἀθηναῖος ἔφη ὁ ποιητὴς, κἂν φυγάς τις ᾖ, ὅμως φέρει τὰς τῶν κρατούντων ἀνοίας, κἂν μὴ θέλῃ. γράφουσι δέ τινες τὰς τῶν πολιτῶν, κρατοῦσι γὰρ οἱ πολῖται. Λυπρὸν) λυπηρὸν, ἀλγεινόν· Συνασοφεῖν) συνανοηταίνειν τοῖς ἀνοήτοις. 398. Ἀλλ' εἰς τὸ κέρδος) οὐκ ἀξιόχρεως ἥρωος ὁ λόγος.

* Οὕτω &c.) Ex MS.

ANNOTATIONES.

V. 368. Σπονδαί τε, καὶ σὴ πίστις) Hinc Criticorum Vanitas elucet, qui dixerunt *Iocaſtam* in Prologo extra decorum Vaticinantem induci ab *Euripide*, quòd illa *Polynicis* adventum prædiceret; cum ex hoc unico loco appareat, *Polynicem* accerſitum à Fratre ſub fide ſuâ Matriſque & publicâ jam veniſſe. Pudet ſane *Euripidem* contrà tales ineptias defenſione egere videri. *Joſua Barnes.*

V. 383. Ἄνομα) i. e. ἀνόμως.

V. 391. Τί, τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα; Μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον, ἢ λόγῳ) De hoc loco & quod *Patriâ carere magnum* habeatur *malum*, vide quæ Nos ad *Electr.* v. 1314. *Joſua Barnes.*

V. 396. Κρατούντων) Alias πολιτῶν, ut ait *Scholiaſtes*, ſed puto id factum ex Parodiâ cujuſdam; nam certo certius κρατούντων ab *Euripide* ſcriptum. Ad hunc locum reſpexit *Cicero* l. 2. Epiſt. 25. ad *Atticum*. Sed Nos tenemus præceptum illud—Τὰς τῶν κρατούντων. Nonnulli legunt ἁμαρτίας pro ἀμαθίας; ſed hoc fit ex Parodiâ, ſenſu paulum variato; per verſum enim ſtare nequit. Memorabile autem eſt, quod *Dion Caſſius* l. 58. de *Æmylio Scauro* refert. Hic cum ſub *Tiberio* Tragœdiam *Atrei* nomine inſcriptam compoſuiſſet, in quâ tyrannus iſte quendam è ſubditis ſuis hoc ſenario moneret, ἵνα τὴν τοῦ κρατοῦντος ἀβουλίαν φέρῃ, his ſe ratus imperî *Tiberius*, *At ego*, inquit, *qui Atreum me fecit, Ajacem ipſum facturus ſum.* Nec promiſſis erat minor; Hominem enim ad αὐθεντίαν adegit. Vide *Tho. Gatakeri* Adverſaria Miſcellanea c. 10. fol. 111. & *Turneb.* l. 24. c. 4. & *Dion.* l. 58. Ita cum *Euripides* dixiſſet, Ἡ φύσις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει, *Anaxandrides* Comicus quòd invertebat, Ἡ πόλις ἐβούλετ', ᾗ νόμων οὐδὲν μέλει, id ſibi fatale habuit, teſte *Euſtratio* ad *Ariſtot.* Nicom. l. 6. c. 10. & l. 7. c. 10. *Joſua Barnes.*

Io. Αἰ

Ιο. Αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.

Πο. Καλοῖς βλέπουσί γ' ὄμμασιν, μέλλουσι δέ.

Ιο. Οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὔσας κενάς;

Πο. Ἔχουσιν Ἀφροδίτην τιν' ἡδεῖαν θεόν.

Ιο. Πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;

Πο. Ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν.

Ιο. Φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;

Πο. Εὖ * πρᾶσσε· τὰ φίλων δ' οὐδέν, ἤν τις δυστυχῇ.

Ιο. Οὐδ' ηὑγένειά σ' ἦρεν εἰς ὕψος μέγα; * πράττε MS.

Πο. Κακὸν τὸ μὴ ἔχειν. τὸ γένος οὐκ ἔβοσκέ με.

Ιο. Ἡ πατρίς, ὡς ἔοικε, φίλτατον βροτοῖς.

Πο. Οὐδ' ὀνομάσαι δύναιμ' ἄν, ὡς ἐστὶν φίλον.

Ιο. Πῶς δ' ἦλθες Ἄργος; τίν' ἐπίνοιαν ἔσχεθες;

Πο. Ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα.

Ιο. Ποῖον; τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.

Πο. Κάπρῳ, λέοντί θ' ἁρμόσαι παίδων γάμους.

Ιο. Καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;

Πο. Οὐκ οἶδ'. ὁ δαίμων μ' ἐκάλεσεν πρὸς τὴν τύχην.

Ιο. Σοφὸς γὰρ, ὁ θεός. τίνι τρόπῳ δ' ἔσχες λέχος;

Πο. Νὺξ ἦν. Ἀδράστου δ' ἦλθον εἰς παραστάδας.

Ιο. Κοίτας ματεύων, ἢ φυγὰς πλανώμενος;

Πο. Ἦν ταῦτα. κᾆτά γ' ἦλθεν ἄλλος αὖ φυγάς.

Ιο. Τίς οὗτος; ὡς ἄρ' ἄθλιος κἀκεῖνος ἦν.

Πο. Τυδεύς, ὃν Οἰνέως φασὶν ἐκφῦναι πατρός.

Ιο. Τί θηρσὶ δ' ὑμᾶς δῆτ' Ἄδραστος ᾔκασε;

Πο. Στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι.

Ιο. Ἐνταῦθα Ταλαοῦ παῖς συνῆκε θέσφατα;

Πο. Κἄδωκεν ἡμῖν δύο δυοῖν νεάνιδας.

Ιο. Ἆρ' εὐτυχεῖς οὖν τοῖς γάμοις ἢ δυστυχεῖς;

Πο. Οὐ μεμπτὸς ἡμῖν ὁ γάμος εἰς τόδ' ἡμέρας.

Ιο. Πῶς δ' ἐξέπεισας δεῦρό σοι σπέσθαι στρατόν;

Ioc. At ſpes alunt exules, ut dicitur.
Pol. Aſpiciunt ea pulchris oculis, cunctantur tamen.
Ioc. Neque tempus oſtendit tibi eas eſſe inanes?
Pol. Habent Venerem, ſuavem deam quandam.
Ioc. Unde verò alebaris, priuſquam per nuptias invenires victum?
Pol. Aliquando habebam in diem, aliquando non habebam.
Ioc. Non juvabant te amici patris, & hoſpites?
P. Feliciter te gere; amicorũ enim res in calamitatibus nihil ſunt.
Ioc. Non extulit te nobilitas ad magnum gradum?
Pol. Malum eſt nihil habere. Genus non aluit me.
Ioc. Patria, ut videtur, chariſſima res mortalibus eſt.
Pol. Non quidem dicere poſſum, quàm dulcis ſit.
Ioc. Quomodo veniſti Argos? quid conſilii habuiſti?
Pol. Apollo Adraſto quoddam oraculum dedit.
Ioc. Quale? quid hoc dixiſti? non poſſum intelligere.
Pol. Juſſit dare nuptum filias Apro & Leoni.
Ioc. At tibi quænam ſocietas erat nominis beſtiarum, ô fili?
Pol. Non ſcio, fatum me ad hanc fortunam vocabat.
Ioc. Sapiens enim eſt Deus. Sed quomodo nactus es connubium?
Pol. Nox erat, cùm veni ad porticus Adraſti.
Ioc. Quærens cubile, ſicut exul errans?
Pol. Hæc erat cauſa: deinde venit etiam alius exul.
Ioc. Quis iſte? quàm verò miſer & iſte erat?
Pol. Tydeus, quem dicunt natum Oeneo patre.
Ioc. Quare verò feris vos Adraſtus comparavit?
Pol. Eo quòd venimus in certamen de ſtragulis.
Ioc. Ibi filius Talai intellexit vaticinia?
Pol. Et dedit nobis duobus duas puellas.
Ioc. Suntne igitur felices aut infauſtæ nuptiæ?
Pol. Non reprehendo nuptias ad hoc uſque tempus.
Ioc. Quomodo perſuaſiſti huc te ſequi exercitum?

Αἱ δ' ἐλπίδες) αἱ ἐλπίδες, καὶ ἡ προσδοκία τῆς ἐπανόδου τῆς πατρίδος. ἐντεῦθεν καὶ ἡ παροιμία, αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτούς. Καλοῖς) ὄμμασι καλοῖς ὁρῶσιν αἱ ἐλπίδες, ἀλλὰ βραδύνουσιν. Οὐδ' ὁ χρόνος) οὐδ' ἡ πολλὴ παρέκτασις τοῦ χρόνου διεσαφεῖ αὐτὰς οὔσας ματαίας. Ἔχουσιν Ἀφροδίτην) τέρψιν τινὰ ἡδεῖαν ἔχουσιν πρὸς τὰς συμφοράς. Πόθεν) πόθεν πρὶν ἢ τύχῃς ἐτρέφου περὶ τοῦ γάμου. Ἐπ' ἦμαρ) ἐν μιᾷ ἡμέρᾳ εἶχον τροφὴν, ἐν ἄλλῃ δὲ, οὔ. Εὖ πρᾶσσε) οὐχὶ εὐτυχεῖν. ἀνδρὸς γὰρ κακῶς πράσσοντος ἐκποδὼν φίλοι. πῶς δὲ ταῦτα φησίν, ὅπερ ὑπὸ τῶν φίλων εἰς τὴν πατρίδα κατάγῃ, ἢ τὰ περὶ γάμου ὑπὸ τῶν φίλων δυστυχῶν ἠγνοεῖτο. γήμας δὲ, καὶ τῆς δυστυχίας ἀπαλλαγεὶς, τότε πάλιν φίλους ἔσχε. περὶ τὸ τέλος εὐτυχεῖν τῷ Ἀδράστῳ, ταῦτα παθεῖν φησί. 411. Πῶς δ' ἦλθες) πῶς εἰς τὸ Ἄργος ἦλθες, καὶ οὐκ εἰς ἄλλην πόλιν. ἄτοπον δὲ φασὶ τὸν Ἄδραστον πιστεῦσαι τῷ θεῷ, τοσαῦτα δυστυχοῦντα κατὰ τὰς Θήβας, καὶ μόνον φυγάδα ἐκθλίψαντα ὑπὸ τοῦ ἰδίου ἔπειτα Ἀργεῖος. πρὸς ὃ λεκτέον, ἐκδοῦναι προσέταξε τὰς θυγατέρας ὁ θεός, ἀλλ' οὐχὶ καὶ ἐπιστρατεῦσαι ταῖς Θήβαις. Ἔχρησ' Ἀδράστῳ) ὁ μὲν τὴν αἰτίαν τῆς εἰς Ἄργος ἀφίξεως ἐρωτᾷ. ὁ δὲ τὴν αἰτίαν τῆς αὐτόθι κατοικήσεως λέγει. εἰ μὴ γὰρ διὰ τὸν χρησμὸν τοῦ γάμου παρέμεινεν. ἴσως ἂν ἐκεῖθεν παρῆλθεν τὸ Ἄργος. ἀλλὰ φησὶ διὰ τὸ πεπρωμένον ἦλθον ἐπὶ τὸ Ἄργος. ὁ γὰρ χρησμὸς ἐκεῖσε ἦγαγεν. Κάπρῳ) ἔχρησεν ὁ θεὸς ἐκδοῦναι τὰς θυγατέρας λέοντι καὶ κάπρῳ. Καὶ σοὶ τί) καὶ κατὰ τί σοι τοῦ ὀνόματος τῶν θηρῶν ἦν μετουσία, τέκνον. Οὐκ οἶδα) τὸ εἱμαρμένον ἤγαγεν ἡμᾶς εἰς τοῦτο τῆς εὐτυχίας. καὶ οὐκ ἐκ προνοίας μοι ἀπέβη ὁ γάμος, ἀλλ' αὐτομάτως ἐκ τῆς τύχης. Ἄλλως. ὁ χρησμὸς ὑπὸ Μνασέου οὕτως ἀναγέγραπται. Χρησμὸς δοθεὶς τῷ Ἀδράστῳ. * Κούρας μὲν γαμβροῖσιν ζεῦξον Κάπρῳ ἠδὲ Λέοντι, Οὓς κεν ἴδοις προθύροισι τεοῦ δόμου ἐξ ἱεροῖο Ἡμετέρου στείχοντ'· μηδὲ φρεσὶ σῇσι πλανηθῇς. καὶ οἱ μὲν λέγουσιν, ὡς ἀπὸ τῶν ὅπλων τῶν ἀσπίδων συνέβαλεν Ἄδραστος. ὁ μὲν γὰρ εἶχε τὸν Καλυδώνιον σῦν, ὁ δὲ τὴν λεοντοπρόσωπον σφίγγα. οἱ δ' ὡς χρόνος γενόμενοι, ἀφίκοντο εἰς τὸ Ἀπόλλωνος ἱερὸν καὶ δορὰς εὑρόντες λέοντος, καὶ συὸς ἀναθήματα κειμένας τούτων, φιλονεικήσαντες τι, καὶ περὶ τῆς αἰτίας εἰς κρίσιν ἀχθέντες τῷ βασιλεῖ, τῶν γάμων ἔτυχον. ἀπείκασε γὰρ τὸν μὲν, λέοντι· τὸν δὲ Τυδέα κάπρῳ, ὃς ἔγημε Δηϊπύλην, ὁ δὲ Πολυνείκης Ἀργείαν. 423. Τί θηρσὶ δ' ὑμᾶς) κατὰ τί δὲ ὑμᾶς ὁ Ἄδραστος ὡμοίωσε τοῖς θηρσί. Στρωμνῆς ἐς ἀλκὴν) διότι ἤλθομεν εἰς μάχην ἕνεκα στρωμνῆς· στρωμνῆς νῦν τοῦτό τι τῆς κατοικήσεως, ὅτι θηριωδῶς ἐμαχεσάμεθα πρὸς ἀλλήλους θηρσὶν ἡμᾶς εἴκασεν. ἴσως οὐ διέκειτο, ἀλλ' ὅτι ὁ μὲν κάπρου, ὁ δὲ λέοντος δορὰν ἠμφίεστο. Αἰδὰν Κρηθεύς, οὗ Ἀμυθάων, οὗ Βίας, οὗ Ταλαὸς, οὗ Ἄδραστος. Ἐνταῦθα) ἐν τούτῳ ὁ τοῦ Ταλαοῦ παῖς Ἄδραστος ἔγνω τὰ μαντεύματα; καὶ ἀληθεύει. καὶ ἔδωκεν ἡμῖν τοῖς δυσὶν τὰς δύο αὐτοῦ θυγατέρας. 429. Σπέσθαι) ἕπεσθαι.

* Κούρας μὲν γαμβροῖσιν &c.) Hi tres Verſus aliquantò corrupti erant in omnibus editionibus, quos tamen ità reſtitui legendo στείχοντ' pro στείχοντας & ἡμετέρου pro ἡμετέροις; ut nempe τὸ ἡμετέρου referatur ad ἱεροῖο, *Apollinis* enim Templum erat, qui hoc Oraculum dedit, ex quo *Polynices* & *Tydeus* pugnaturi veniebant in Porticum Regii Palatii. Sed hoc Oraculum Latino metro aſtringi debere quis neget? Oraculum *Apollinis Adraſto* datum. *Natas junge tuas Generis* Apro *atque* Leoni, *E templo quos ire meo veſtra Atria contrà Spectàris: Nec te malè devium urgeat error.* De hoc Oraculo ità *Statius* Thebaid. l. 1. *Cui Phœbus Generos ævo ducente canebat Setigerúmque Suem & fulvum adventare* Leonem. *Joſua Barnes.*

ANNOTATIONES.

V. 411. Ἔσχεθες) Ità MS. Collegii *Corporis Chriſti Cantabrigiæ*, quùm prius legebatur ἔσχες, pro quo putabam ſcribi debere ἔσχες δὴ, ſed MS. omnem tulit dubitationem. *Joſua Barnes.*

V. 416. Ἐκάλεσεν) Τὸ ε ſine τῷ ν ſatis longum διὰ τὸ πρὸς· Vid. Not. ad *Oreſt.* v. 1535.

V. 419. Κοίτας ματεύων, ἢ φυγὰς) Rectè hic *Canterus* pro ματεύων legit ματεύων; ſed miſerè errat, quùm addit—præterea videtur legendum ὡς, & *Duportus* eundem errat cum illo errorem; hoc enim nullo legeretur ſenſu; ſed ἢ optimè ſtabit, & pro ὡς ponitur, vel ὡς, ſonántque tepore &c. Scio ego MS. noſtrum in Margine τὸ κοίτας ματεύων explicare per συνάφειαν μετὰ γυναικὸς ζητῶν & τὴν συνοίκησιν μετὰ τῆς θυγατρὸς τοῦ Ἀδράστου; unde & τὸ ὡς ſequitur legendum: ſed ego per κοίτας ματεύων, nihil aliud intelligo, quàm nocturnum refugium, ut exules & hujuſmodi homines quærere ſolent. Nota eſt Fabula & à *Statio* accuratè tractatur *Thebaidos* l. 1. Matrimonium enim, quod Duobus his exulibus initum erat poſteà, fuit πάρεργον, nec ab iis primò expetitum. *Joſua Barnes.*

Πο. Δισ-

Πο. Διοσοῖς Ἄδραστος ὤμοσεν γαμβροῖς * τόδε,
Τυδεῖ τε, κἀμοί, σύγγαμος γάρ ἐστ' ἐμός, * MS. τάδε.
Ἄμφω κατάξειν εἰς πάτραν· πρόσθεν δ' ἐμέ.
Πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
Πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ' ἐμοὶ
Διδόντες· ἐπὶ γὰρ τὴν ἐμὴν στρατεύομαι
Πόλιν. θεοὺς δ' ἐπώμοσ', ὡς ἀκουσίως
Τοῖς φιλτάτοις τοκεῦσιν ἠράμην δόρυ.
Ἀλλ' εἰς σὲ τείνει τῶνδε διάλυσις κακῶν
Μῆτερ, διαλλάξασαν ὁμογενεῖς φίλους,
Παῦσαι πόνων με, καὶ σέ, καὶ πᾶσαν πόλιν.
Πάλαι μὲν οὖν ὑμνηθέν, ἀλλ' ὅμως ἐρῶ.
" Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
" Δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
Ἁ'γὼ μεθ' ἥκω δεῦρο, μυρίαν ἄγων
Λόγχην. " Πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.
Χο. Καὶ μὴν Ἐτεοκλῆς εἰς διαλλαγὰς ὅδε
Χωρεῖ· σὸν ἔργον, μῆτερ Ἰοκάστη, λέγειν
Τοιούσδε μύθους, οἷς διαλλάξεις τέκνα.
Ετ. Μῆτερ, πάρειμι· τὴν χάριν δὲ σοὶ διδοὺς
Ἦλθον. τί χρὴ δρᾶν; ἀρχέτω δέ τις λόγου.
Ὡς ἀμφὶ τείχη καὶ ξυνωρίδας λόχων
Τάσσων, ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
Κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
Τόνδ' εἰσεδέξω τειχέων, πείσασά με.
Ιοκ. Ἐπίσχες. " Οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει·
" Βραδεῖς δὲ μῦθοι, πλεῖστον ἀνύουσιν σοφόν.
Σχάσον δὲ δεινὸν ὄμμα, καὶ θυμοῦ πνοάς.
Οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν.
Σύ τ' αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες· εἰς γὰρ ταυτὸν ὄμμασι βλέπων,
Λέξεις τ' ἄμεινον, τοῦδέ τ' ἐνδέξῃ λόγους.
Παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν.
" Ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ,
" Εἰς ἓν συνελθών, ὄμματ' ὄμμασιν διδῷ,
" Ἐφ' οἷσιν ἥκει, ταῦτα χρὴ μόνον σκοπεῖν.
" Κακῶν δὲ τῶν πρὶν μηδαμῶς μνείαν ἔχειν.
Λόγος μὲν οὖν σὸς πρόσθε, Πολύνεικες, τέκνον·

Pol. Adraſtus juravit duobus generis hoc,
Tydeo & mihi, (hic enim eſt affinis meus)
Se reducturum utrunque in patriam, me verò prius.
Multi autem principes Danaorum & Mycenæorum
Adſunt, officium mihi triſte, ſed neceſſarium
Dantes: duco enim exercitum adverſus meam
Patriam, Deos autem juro, quòd invitus
Intuli bellum chariſſimis parentibus.
Sed ad te pertinet reconciliatio horum malorum,
O mater, et reconciliatis charis fratribus,
Liberes à laboribus me, & te, & totam urbem.
Jam olim quidem celebratum eſt, ſed tamen dicam:
" Opes hominibus ſunt honoratiſſimæ,
" Et habeant maximam potentiam inter homines.
Quas ego propter huc venio, ducens multas
Haſtas: " Nam nobilis vir, ſi pauper ſit, nihil eſt.
Cho. Atqui Eteocles ad reconciliationem ipſe
Accedit: tui officii eſt, ô mater Iocaſte, dicere
Tales ſermones, quibus reconciliare poſſis filios.
Eteo. Mater, adſum: dans verò tibi hanc gratiam,
Veni. Quid me facere oportet? incipiat aliquis dicere:
Quia circa mœnia Curruſ(i.e. *Curribus-vectos-Ductores*) Manipul.
Inſtruens, inhibui civitatem, ut te audirem
De cõmuni recõciliatione, propter quam factis induciis profectum
Hunc recepiſti intra muros, perſuaſo me.
Ioc. Expecta. " Celeritas non juſtè agit:
" Tarda verò conſilia efficiunt multa ſapienter.
Remitte torvos oculos, & animi flatus:
Non enim immeris præciſum à faucibus caput
Gorgonis, ſed vides venientem fratrem tuum.
Tu quoque viciſſim vultum ad fratrem verte,
Polynices: nam in idem videns oculis,
Dices meliùs, & meliùs excipies hujus ſermones.
Admonere verò vos aliquid ſapientèr volo.
" Quando amicus aliquis iratus amico
" Congrediens, mutuò aſpicit,
" Oportet tantùm ea conſiderare propter quæ venit,
" Priorum verò malorum nequaquam meminiſſe.
O fili Polynices, tua oratio prior erit:

Πολλοὶ δὲ Δαναῶν) χεδὸν κατὰ πατρίδος ἐστρατεύσαντο, λυπρὰν φησὶ τὴν χάριν, ἀναγκαίαν· ἐκ ἐξουσίας γὰρ ἄλλους ἠναγκάσθαι διὰ τὸ πόλεμον. ἔμφρων δὲ καὶ ἐλεεινὸς ὁ λόγος. Τοῖς φιλτάτοις τοκεῦσι) γράφεται καὶ ἑκοῦσιν. ἵν' ᾖ, τῷ ἀδελφῷ μου. ὁ γὰρ Ἐτεοκλῆς ἑκὼν προδοὺς τὴν βασιλείαν, διὰ τὸ μὴ ἀφίστασθαι τῆς βασιλείας. [Ἡ ἐμὴ ὑβρισθεὶς) ἐκίνησα πόλεμον.] Εἰς σὲ τείνει) εἰς σὲ ἀφορᾷ. Διαλλάξασ') φιλιώσασαν. 441. Πάλαι μὲν ὑμνηθὲν) πάλαι λαληθέν. ἀλλ' ὅμως ἐρῶ. παροιμιώδης δὲ ὁ στίχος. Καὶ * ὁ ῥήτωρ, Δεῖ δὲ χρημάτων, [καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων.] Ἁ'γὼ μὲν ἥκω) ἐφ' ᾧ χρήματα κἀγὼ ἥκω. Μῆτερ πάρειμι) βέλλοντα πιπίνειν τῷ τραγικῷ τὸ πρόσωπον ἐστὶ δεῖ τὸ ἄδικον ἄνδρα. γινώσκων γὰρ ὡς οὐδὲν δίκαιον ἔχει λέγειν, ἐπείγει τὴν κρίσιν, τὸν ἐκ τῆς δικαιολογίας κατὰ λεπτὸν γινόμενον ἔλεγχον ἐκφεύγων. 450 Ἀρχέτω δέ τις) οὗτος ὁ Πολυνείκης. Καὶ ξυνωρίδας) ... καὶ παρέλκει. Τάσσων) στρατολογῶν. Ξυνωρίδας) τὰς ἱππέας τοῦ στρατοῦ ἐκ τῶν ἁρμάτων δηλοῖ· ξυνωρίδας. τὰ ἅρματα. λόχων δέ, στρατευμάτων. Ὅπως κλύοιμί (σου) διὰ σέ, ὦ μῆτερ, τὴν διακόσμησιν τοῦ στρατοῦ ἐπέσχον, ὅπως ἀκούσω πρότερον τὰς ὑπὸ σοῦ γινομένας κοινὰς ἡμῶν διαλύσεις. Βραβείας γὰρ διαλύσεις, ὅ ἐστι τοὺς κατὰ κρίσιν λόγους. Τόνδ' εἰσεδέξω) ἀντὶ τοῦ εἴσω ἐδέξω. ὡς εἴσιθι ἀντὶ τοῦ εἴσω ἴθι. τούτῳ δὲ ἐναντίον τὸ Ἴλιον εἴσω, ἀντὶ τοῦ εἰς τὴν Ἴλιον. ἐκεῖσε γὰρ ἀντὶ προθέσεως παραλαμβάνεται. Ἐπίσχες) κατάπαυσον, καρτέρησον, ἄνες. Σχάσον) ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων. σχάσαι γὰρ τὸ ἐπισχεῖν τῶν κωπῶν τὴν εἰρεσίαν. βραδεῖς δὲ μῦθοι, οἱ μετ' ἐπισκέψεως, οἳ καὶ τὸ σοφὸν ἔχουσι. Στρέφε) τρέπε. 461. Εἰς γὰρ ταυτὸν) ἀπ' ἐναντίας. Ἐνδέξῃ λόγους) ἀπὸ κοινοῦ τὸ ἄμεινον. Σφῷν) ὑμῖν. Σοφὸν) φρόνιμον. Ὅταν) ὁπόταν τις φίλος θυμωθεὶς ἀνδρὶ φίλῳ, συνελθὼν ἐκείνῳ δηλονότι τὰ αὐτοῦ ὄμματα τοῖς ἐκείνου δίδωσι, ταῦτα μόνον πρέπει σκοπεῖν δι' ἃ παρῆλθε, τῶν προτέρων δὲ κακῶν μὴ μνήμην ἔχειν. 468. Σὸς πρόσθεν) ἀντὶ τοῦ πρότερος γενέσθω.

* Ὁ Ῥήτωρ) *Demoſthenem* hic ſignat Scholiaſtes, cujus ſententiam, quam nos pleniorem reddimus, ex 1° *Olynthiacorum* ſumpſit. Vide quæ Nos ad *Electr.* v. 427. *Joſua Barnes.*

ANNOTATIONES.

V. 431. Σύγγαμος) Itâ cum MS. lego, quia alitèr verſus ſtare nequit. Idem tamen MS. in Margine habet σύγγαμβρος, & hinc puto nonnulla exemplaria in textum recepiſſe. Sed videant qui ſic legunt, utrum ſecunda ſyllaba in τῷ σύγγαμβρος poteſt ullo modo brevis fieri; alitèr enim verſus non ſtabit. Credo ſanè inter ſcribendum pro σύγγαμος hic per incogitantiam primò σύγγαμβρος exaratum, quia γαμβροῖς verſu immediatè præcedente ſcriberetur; hinc malè ortum, diuturnitate confirmatum; ut in aliis fieri videmus. *Joſua Barnes.*

V. 437. Τοκεῦσιν) Aliàs ἑκοῦσιν. Vid. Scholiaſten.

V. 441. Πάλαι μὲν οὖν ὑμνηθὲν &c.) Hunc locum totidem verbis citatum habes apud *Johan. Stobæum* in Florileg. c. 91. cui Titulus, Ἔπαινος πλούτου.

V. 453. Κοινὰς βραβείας) Βραβεὺς propriè Certaminis Judex, qui & præmia ſolet conferre, vel ex cujus arbitrio pendet præmii collatio; Βραβευτὴς idem. Βραβεῖον ipſum Præmium, *Anglicè*, The Prize. Βραβεία autem & *Pluraliter*, ut hic, *Βραβεῖαι* ipſa *Certaminis judicandi Actio*, ac proinde *Reconciliandi ſtudium*. *Joſua Barnes.*

Σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
Ἄδικα πεπονθὼς, ὡς σὺ φής· κριτὴς δέ τις
Θεῶν γένοιτο, καὶ διαλλακτὴς κακῶν.
Πολ. Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
" Κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων.
" Ἔχει γὰρ αὐτὰ καιρόν. ὁ δ' ἄδικος λόγος
" Νοσῶν ἐν αὑτῷ, φαρμάκων δεῖται σοφῶν·
Ἐγὼ δὲ πατρὸς δωμάτων προὐσκεψάμην,
Τοὐμόν τε, καὶ τοῦδ', ἐκφυγεῖν χρῄζων ἀρὰς,
Ἃς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε,
* Ἐξῆλθον ἔξω τῆσδ' ἑκὼν αὐτὸς χθονὸς, * ἂν ἐξῆλθον.
Δοὺς τῷδ' ἀνάσσειν πατρίδος ἐνιαυτοῦ κύκλον,
Ὥστ' αὐτὸς ἄρχειν αὖθις ἀνὰ μέρος λαβὼν,
Καὶ μὴ δι' ἔχθρας τῷδε καὶ φόνου μολὼν,
Κακόν τι δρᾶσαι, καὶ παθεῖν, ἃ γίνεται.
Ὁ δ' αἰνέσας ταῦθ', ὁρκίους τε δοὺς θεοὺς,
Ἔδρασεν οὐδὲν, ὧν ὑπέσχετ', ἀλλ' ἔχει
Τυραννίδ' αὐτὸς, καὶ δόμων ἐμῶν μέρος.
Καὶ νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν,
Στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονὸς,
Οἰκεῖν δὲ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβὼν,
Καὶ τῷδ' ἀφεῖναι τὸν ἴσον αὖθις χρόνον,
Καὶ μήτε πορθεῖν πατρίδα, μήτε προσφέρειν
Πύργοισι πηκτῶν κλιμάκων προσαμβάσεις.
Ἃ μὴ κυρήσας τῆς δίκης πειράσομαι
Δρᾶν. μάρτυρας δὲ τῶνδε δαίμονας καλῶ,
Ὡς πάντα πράσσων σὺν δίκῃ, δίκης ἄτερ
Ἀποστεροῦμαι πατρίδος ἀνοσιώτατα.
Ταῦτ' αὔθ' ἕκαστα, * μῆτερ, οὐχὶ περιπλοκὰς * μῆτερ MS.
Λόγων ἀθροίσας εἶπον, ἀλλὰ καὶ σοφοῖς
Καὶ τοῖσι φαύλοις ἔνδιχ', ὡς ἐμοὶ δοκεῖ.
Χο. Ἐμοὶ μὲν, εἰ καὶ μὴ καθ' Ἑλλήνων χθόνα
Τεθράμμεθ', ἀλλ' οὖν ξυνετά μοι δοκεῖς λέγειν.
Ετ. Εἰ πᾶσι ταὐτὸ καλὸν ἔφυ, σοφόν θ' ἅμα,
" Οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.
" Νῦν δ' [illegible] ὅμοιον οὐδὲν, οὔτ' ἴσον βροτοῖς,

Tu enim venis adducens exercitum Græcorum,
Paſſus injuſta, ut tu dicis: judex verò aliquis
Deorum fiat, & reconciliator malorum.
Pol. Oratio veritatis ſimplex eſt,
" Et non variis eget, quæ Juſta ſunt, interpretationibus.
" Habent enim in ſe vim & utilitatem: Injuſta autem Oratio,
" Ægra cum ſit per ſe, medicamentis eget ſophiſticis.
Ego equidem Domui Patris proſpexi;
Et meo *pariter* cōmodo, ac hujus; & vitare volens execrationes,
Quas Oedipus dixit adverſus nos aliquando
Diſceſſi ſponte-meâ ex hâc terrâ,
Concedens huic, ut regnaret in patriâ per unum annum,
Ut ipſe regnarem rurſus per vices accipiens,
Et non huc veniens per inimicitiam & cædem,
Aliquid mali facerem & paterer, quæ fiunt.
Ipſe probans hæc, & invocans deos teſtes,
Nihil eorum fecit, quæ dixit, [illegible] habet
Ipſe regnum, & partem meæ domûs.
Et nunc paratus ſum meâ recipiens,
Exercitum extra hanc terram dimittere,
Et gubernare meam domum per vices accipiens,
Et huic permittere æquale rurſus tempus *regendum*,
Et non vaſtare patriam, neque admovere
Turribus compactarum ſcalarum gradus ad aſcendendum.
Quæ non conſecutus jus experiar,
Ut faciam *quæ ſtatui*. Teſtes verò horum deos voco,
Quòd omnia juſte faciens, præter jus
Spolier patriâ iniquiſſimè.
Hæc ſingula, mater, non perplexos
Sermones colligens dixi, ſed & ſapientibus
Et rudiuſculis *etiam* juſta, ut mihi videtur.
Cho. Mihi quidem, etiamſi non in Græcia
Simus educatæ, videris tamen prudentèr dicere.
Ete. Si omnibus idem eſſet pulchrum, egregiumque ſimul,
" Non eſſet utique ambigua diſſenſio inter homines:
" Nunc verò nihil ſimile, nihil æquale hominibus eſt,

Ὡς φής) οὕτω διεγκαλεῖ τὸν Ἐτεοκλέα. Διαλλακτὴς) ὁ ξυτονῶς. ἀλλὰ ῥῆμα γὰρ, ὡς ποιητὴς, καλυμβητὴς, καὶ τὰ ὅμοια. Κοὐ ποικίλων δέονται, δεῖ τὰ ἔνδιχ' ἑρμηνευμάτων. Ἵν' ᾖ, καὶ οὐ ποικίλης δεῖται ἔξωθεν ὑπολογίας ἡ ἀλήθεια. ἔχει γὰρ αὐτὰ τὰ ἀληθῆ ἀφ' ἑαυτῶν τὸ εὔκαιρον. ἔνδιχα γὰρ, ἀντὶ τοῦ ἔξωθεν. Ἄλλως. τὰ ἔνδικα, ἀντὶ τοῦ τὰ δίκαια. τὸ δὲ χ' διὰ τὴν δασεῖαν. Ἔχει γὰρ αὐτὰ) τὰ δίκαια ἔχει ἰσχὺν, καὶ εὐκαιρότητα. Νοσῶν ἐν αὐτῷ) ἐν ἑαυτῷ κακῶς ἔχων, συνηγόρων δεῖται, θεραπειῶν πεπλασμένων. καιρὸν δὲ, ἰσχὺν, εὐκαιρίαν, εὐστοχίαν. Προὐσκεψάμην) ἐγὼ φησὶ προνοησάμενος τῆς πατρικῆς οἰκίας, καὶ βουλόμενος ἐμέ τε καὶ τοῦτον ἐκφυγεῖν τὰς Οἰδίποδος ἀρὰς, ἐξῆλθον ἀπὸ τούτων τῶν ὅρων τῆς γῆς. Ἄλλως. ἐγὼ δὲ προνοησάμενος τὸ ἐμὸν καὶ τὸ τούτου συμφέρον, χρῄζων τὰς ἀρὰς τοῦ πατρὸς ἐκφυγεῖν, ἃς ἐφθέγξατο, ἐξῆλθον ἔξω τῆς ἐμῆς πατρίδος. 481. Λαβὼν) Ἀπλῆ ἡ σύνταξις, λαβὼν ἀντὶ τοῦ λαβόντα, αὐτὸν ἐμὲ λαβόντα. ὡς τὸ * Ἔξον παθεῖν τὴν ἐρωμένην ἔχειν. Καὶ νῦν ἕτοιμος εἰμι τὸν μὲν στρατὸν ἀποστεῖλαι, οἰκεῖν δὲ κατὰ διαδοχὴν τὸν ἐμὸν οἶκον λαβόντα. Ὁ δ' αἰνέσας) συγκατατεθεὶς, συνθέμενος. Πηκτῶν κλιμάκων) διὰ πεπηγμένων κλιμάκων ἀναβάσεις. Ἃ μὴ κυρήσας) ἅ τινα ὑποστρέφων ποιήσομαι πρότερον μὴ ἐπιτυχὼν τοῦ δικαίου ἢ ἄλλως. καὶ λείπει ἡ εἰς· εἰς ἃ μὴ κυρήσας, πειράσομαι δρᾶν τὰ ἀπὸ τῆς δίκης. ἐπιβοῶμαι δὲ μάρτυρας τούτων τοὺς θεοὺς, ὅτι πάντα πράξας μετὰ δικαιοσύνης, ἀποστεροῦμαι τῆς πατρίδος ἀδικώτατα. Οὐχὶ περιπλοκὰς) ταῦτα ἕκαστα εἶπον, οὐ συστροφὰς συνάξας λόγων, ἀλλ' ἃ καὶ λογίοις καὶ ἀτέχνοις ὑπάρχει δίκαια φαίνεται. Ἄλλως, αὐθέκαστα, τὰ κεφάλαια καὶ τὰ ἀναγκαιότατα τῶν λόγων μου ταῦτά εἰσι. Ἐμοὶ μὲν) εἰ καὶ μὴ κατὰ γῆν τῶν Ἑλλήνων ἀνετεθράμμεθα, ὅμως συνετά μοι δοκεῖς λέγειν. ἵνα πλεονάζῃ ὁ μὲν, καὶ μία ἀντωνυμία. 502. Εἰ πᾶσι) εἰ ταυτὸ καλὸν ἦν καὶ σοφὸν πᾶσιν ὁμοῦ, οὐκ ἦν ἀμφίβολος φιλονεικία καὶ μάχη ἐν ἀνθρώποις. νῦν δὲ μέχρις ὀνόματος τὸ ὅμοιον καὶ τὸ ἴσον σώζεται τοῖς ἀνθρώποις. ὀνομάζομεν γὰρ κοινῇ πάντες Ἕλληνες χρυσὸν, καὶ τὸ μὲν ὄνομα ὁμοίως προσφερόμεθα, διχοστατοῦμεν δὲ περὶ τὴν τούτου δόξαν, οἱ μὲν ἀγαθὸν, οἱ δὲ φαῦλον αὐτὸν φάσκοντες. ὁμοίως καὶ ἐπὶ τῆς σωφροσύνης, καὶ πάντων τῶν ἄλλων.

* Ἔξον. Vid. ſuprà ad v. 290.

ANNOTATIONES.

V. 473. Κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων) Pro τὰ ἔνδικα, τὰ δίκαια; tum τὸ ἃ Apoſtrophen patitur & κ vertitur in χ ob aſperum ſequentem: Vid. *Gul. Canterum* Var. Lect. l. 2. c. 7. Quæ prius tamen omnia accuratè notaverat *Scholiaſtes*. Vid. & *Æmil. Portum*. Et quidem MS. Coll. *Corp. Chriſti* apertè & diſtinctim legit, ut nos. Et ſic ad marginem explicat, Ἡ ἀλήθεια λόγῳ χρῆται ἁπλῷ, οὐ γὰρ χρείαν ἔχει τοῦ ποικίλου. Et rurſus, ἀντὶ τοῦ δέονται τὰ δίκαια. Ἔνδιχ' autem pro ἔνδικα infrà occurrit, v. 499. *J. B.*

V. 476. Ἐγὼ δὲ πατρὸς δωμάτων) Olim erat δωμάτων πατρὸς· utrinque verſus ſtabit. Sed ſuavius, πατρὸς δωμάτων, & ità MS. noſtrum legit, quarè & in textum recepimus. *J. Barnes.*

V. 481. Ἄρχειν) pro τὸ ἄρχειν. Alii legunt ἄρχειν.

V. 490. Καὶ τῷδ' ἀφεῖναι τὸν ἴσον αὖθις χρόνον) Ità ob verſum ſcribo, nè bis *trochæus* in *Iambo* occurrat, ut ante, dum ſcriptum erat ἀφιέναι & τὸν ἴσον. Nunc autem τὸ ι in ἀφεῖναι cum ſit longum, τὸν ἴσον fiat *tribrachus*, & metrum undiquaque conſtabit. Verſu autem hujus Fabulæ 534. τὸ ι in ἰσότης longum occurrit, ut nè aliàs, quæ infinita occurrunt, exempla proferam. *Canterus* aliàs. *Joſua Barnes.*

V. 492. Προσαμβάσεις) Vid. *Canter.* Novar. Lect. l. 3. c. 3. Vid. infrà ad v. 751. & v. 1180. Et quidem apertè MS. toties à nobis laudatum pro nobis facit in hoc loco, licet infra non item. Idem vocabulum occurrit *Iphig. Tauric.* v. 97. & *Bacch.* v. 1211. *J. B.*

V. 497. Ταῦτ' αὔθ' ἕκαστα) An αὐθέκαστα, i. e. ἁπλᾶ?

V. 501. Ξυνετὰ λέγειν) Ità MS. noſtrum & *Scholiaſtes*; quarè nos δοκεῖ rejecimus & δοκεῖς reſtituimus. *Chorus* enim ipſum *Polynicem* alloquendo laudat, eique ferè ſemper favet, utpote cujus Cauſa melior fuerit viſa. *Chorus* enim plerunque apud *Tragicos* præſertim *Euripidi*, Æquitati favere ſolet. Τὸ μοι verò repetitur, cùm ἐμοὶ ſufficeret. *Joſua Barnes.*

" Πλὴν ὀνομάσαι, τὸ δ' ἔργον οὐκ ἔστιν τόδε.
Ἐγὼ γὰρ οὐδὲν, μῆτερ, ἀποκρύψας, ἐρῶ.
Ἄστρων ἀνέλθοιμ' ἡλίου πρὸς * ἀνατολὰς, *al. ἀντολάς.
Καὶ γῆς ἔνερθεν, δυνατὸς ὢν δρᾶσαι τάδε,
Τὴν θεῶν μεγίστην ὥστ' ἔχειν Τυραννίδα.
Τοῦτ' οὖν τὸ χρηστὸν, μῆτερ, οὐχὶ βούλομαι
Ἄλλῳ παρεῖναι μᾶλλον, ἢ σώζειν ἐμοί.
" Ἀνανδρία γὰρ, τὸ πλέον ὅστις ἀπολέσας,
" Τοὔλασσον ἔλαβε. πρὸς δὲ τοῖσδ', αἰσχύνομαι,
Ἐλθόντα σὺν ὅπλοις τόνδε, καὶ πορθοῦντα γῆν,
Τυχεῖν ἃ χρῄζει. ταῖς γὰρ ἂν Θήβαις τόδε
Γένοιτ' ὄνειδος, εἰ Μυκηναίου δορὸς
Φόβῳ, παρείην σκῆπτρα τἀμὰ τῷδ' ἔχειν.
Χρῆν δ' αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγὰς,
Μῆτερ, ποιεῖσθαι. " Πᾶν γὰρ ἐξαιρεῖ λόγος,
" Ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
Ἀλλ' εἰ μὲν ἄλλως τήνδε γῆν οἰκεῖν θέλει,
Ἔξεστ'. ἐκεῖνο δ' οὐχ ἑκὼν μεθήσομαι.
Ἄρχειν παρόν μοι, τῷδε δουλεύσω ποτέ;
Πρὸς ταῦτ', ἴτω μοι πῦρ, ἴτω δὲ φάσγανα,
Ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλασθ' ἁρμάτων,
Ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα.
" Εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι
" Κάλλιστον ἀδικεῖν. τἄλλα δ' εὐσεβεῖν χρεών.
Χο. Οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς.
" Οὐ γὰρ καλὸν τοῦτ', ἀλλὰ τῇ δίκῃ πικρόν.
Ιοκ. Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ,
" Ἐτεόκλεες, πρόσεστιν. ἀλλ' ἡ 'μπειρία
" Ἔχει τι λέξαι τῶν νέων σοφώτερον.

" Præter nomina, res verò non eſt eadem.
Ego enim, mater, non occultans, dicam:
Aſtra aſcenderem Solis ad ortum,
Et ſub terram deſcenderem, ſi poſſem efficere hæc,
Ut haberem Tyrannidem Dearum maximam.
Hoc igitur bonum, ô mater, non volo
Alteri concedere magis quàm mihi ſervare.
" Ignavus enim eſt, re majori quiſquis amiſſâ,
" Minorem acceperit. Præterea verò pudet me
Venientem hunc cum armis, & vaſtantem terram,
Conſequi, quæ poſtulat. Thebis enim hoc
Fuerit probrum, ſi haſtæ Mycenææ
Metu, traderem ſceptra mea, ut hic haberet.
Oportebat verò ipſum non armis reconciliationem
Facere, ô mater. " Id enim omne conficit oratio,
" Quod vel ferrum hoſtium facere poſſit.
Sed ſi vult alioqui habitare hanc terram,
Licet ſanè: illud verò haud volens concedam;
Cum liceat mihi regnare, huicne ego ſerviam unquam?
Quare veniant mihi ignes, veniant enſes,
Jungite equos, campos implete curribus,
Quia non concedam huic meum regnum.
" Si enim injuſtè facere oportet, regni causâ
" Pulcherrimum eſt injuſtè facere: in aliis v. pietatem colere oportet.
Ch. Non convenit pulchra dicere in rebus inhoneſtis:
" Non enim eſt hoc bonum, ſed res acerba Juſtitiæ.
Joc. O fili, non omnia mala ſenectuti
" Adſunt, Eteocles: ſed Experientia
" Habet aliquid dicere ſapientius quàm juvenes.

Πλὴν ὀνομάσαι) ἐξ ἀνθρώπους φυλάττεται. ὅτι ὄνομα μόνον, ἡ πρᾶξις δ' οὐκ ἔστι τοῦτο. Ἄστρων ἀνέλθοιμι) εἴθε ἐδυνάμην εἰς οὐρανὸν ἀνελθεῖν, καὶ εἰς ᾅδην κατελθεῖν, ὥστε τὴν κατορθοῦσαν τὴν τῶν θεῶν τυραννίδα. οὐκ ἀποτυχεῖν δι' ἁρμόδιοι γὰρ οἱ λόγοι πρὸς πλεονεξίαν διώκοντι, καὶ τῶν ἄστρων, καὶ τοῦ ἡλίου κατακρατεῖν, καὶ τοῦ θρόνου τοῦ Διὸς οὐκ ἂν ἀποσχέσθαι. Δυνατὸς ὢν δρᾶσαι τάδε) εἰ ἐδυνάμην τοῦτο ποιῆσαι. Τοῦτ' οὖν τὸ χρηστὸν) ἀλόγιστος φησὶν ὁ Ἐτεοκλῆς. ἐξὸν γὰρ αὐτῷ τὸ τῆς προσβυτέρας χρηστὸν διαφυλάξαι, ὃ μᾶλλον ἐπέβαλεν ἡ ἀρχὴ. ἀδικεῖν ὁμολογεῖ ἑαυτὸν, εἰ πλεονεκτεῖν φησί. πρὸς ὃ ῥητέον, ὅτι μιμούμενος ἀνδρὸς ἀδίκου ἐξεικονίζει ὁ Εὐριπίδης ὁμοιότητι τοῦ ἀδικεῖν συνεσίων βουλομένου. ἄλλως τε οἱ ἥρωες ἄρχειν, ὡς πρεσβύτεροι, ἠκολούθει τοῦ λόγου, τὸ τῶν κτημάτων μέρος δεῖν ἀποκείμενον. Ἢ σώζειν ἐμοί) ἀλλὰ σώζειν ἐμαυτῷ. 512. Ἀνανδρία γὰρ) δειλία γὰρ ἐστὶ τοῦ ἀνθρώπου ἐκείνου, ὅστις ἀφείς τὸ μεῖζον, τὸ ἔλαττον ἐδέξατο. Πρὸς δὲ τοῖσδε) πρὸς δὲ τούτοις, εἰς εἶπον διανοήτῃ, αἰσχύνη καὶ ὄνειδος ἐστὶν, ὧν χρῄζει τοῦτον τυχεῖν, ἐπὶ πορθήσει παραγενόμενον. Ἄλλως. αἰσχύνη φησὶν ἐστὶν. εἰ συγχωρήσαιμι τὴν ἐμὴν βασιλείαν τὸν Πολυνείκην λαβεῖν τῷ φόβῳ τοῦ Μυκηναίου πολέμου. ἔπρεπε δ' αὐτὸν τὸν Πολυνείκην, ὦ μῆτερ, οὐ δι' ὅπλων ποιεῖσθαι τὰς φιλίας. πᾶν γὰρ πρᾶγμα κατορθοῖ ὁ λόγος. ὅπερ καὶ ὁ σίδηρος τῶν πολεμίων ποιήσειεν ἄν. ὁ λόγος φησὶν, ἴσος ἐστὶ σιδήρῳ. πάντα γὰρ χειροῦται καὶ κατορθοῖ ὁ λόγος διὰ τῆς πειθοῦς, ἅπερ σίδηρος βίᾳ. Ἀλλ' εἰ μὲν ἄλλως) κατ' ἄλλον τρόπον ἐκτὸς τῆς βασιλείας ἔξεστιν. Ἐκεῖνο δὲ) ἤτοι τὸ βασιλεύειν, ἑκὼν οὐκ ἀπολύσω. βασιλεύειν ἐξόν μοι, τῷδε ὑποταγήσομαι; Ἴτω) ἐλθέτω. 529. Οὐκ εὖ λέγειν) οὐ χρὴ τὰ φαῦλα τῶν ἔργων λόγοις καλλωπίζειν. οὐ γὰρ ἐστι τοῦτο καλὸν, ἀλλ' ἐναντίον τῷ δικαίῳ. Ἄλλως [* Οὐ κεκαλλωπισμένοις λόγοις χρὴ λέγειν ἐπὶ τοῖς μὴ καλοῖς· ἤτοι τὰ μὴ καλὰ ἔργα πειρᾶσθαι καλύπτειν κεκαλλωπισμένοις λόγοις οὐκ ἀγαθὸν, ἀλλὰ πικρὸν, ὅ ἐστιν ἀλγεινὸν, βαρύ· τῇ δίκῃ βαρὺ, τουτέστιν ἄδικον.] Οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ) ἔστι γὰρ ἐν τῷ γήρᾳ ἔνια κακά. τὸ ἀσθενὲς, τὸ δυσκίνητον, τὸ ἐπιλήσμον. 532. Ἀλλ' ἡ ἐμπειρία) ἡ ἐμπειρία γὰρ, καὶ ἡ πολυχρόνιος τριβὴ, ἔχει τι λέξαι σοφώτερον, ὥστε μή με καταφρονήσῃς παντελῶς. Ἄλλως. γράφεται καὶ πρὸς ἀντικρύ. ἐν ἧ, τῇ γὰρ ἐμπειρίᾳ τὸ γῆρας ἔχει τι λέξαι τῶν νέων σοφώτερον.

* Hic locus ex MS. C. C. C. ſumptus. *Joſua Barnes.*

ANNOTATIONES.

V. 509. Τὴν Θεῶν μεγίστην) Notandum eſt ſemel, in hoc loco τὸ Θεῶν μονοσυλλάβως legi, per contractionem, ut *Homer.* Ὑμῖν μὲν θεοὶ δοῖεν ὀλύμπια δώματ' ἔχοντες & *Theogn.* Θεοὶ δὲ κατ' ἔτ' ὄντες πάντα τελοῦσι νόον. Sed pudet in re notiſſimâ operoſiùs laborare; licet nec deeſſe ſcio, qui omnium metricarum legum ignari hæc de me & fortè paulò minutiora extorſerint. Quod verò ad mentem hujus verſûs attinet, non ego puto *Eteoclem* hoc in loco optare, ut Rex fiat Deorum; ſed oſtendere velle, adeò ſe Imperii cupidum, ut etiam auderet vel Aſtra ſcandere, Gigantum adinſtar, vel ad Inferos deſcendere, *Herculis* exemplo; ut potiretur amplexibus dilectiſſimæ ſibi *Tyrannidis*, quam Dearum maximam vocat. Hoc eſt, cui ipſe ſupra omnes Deos Deaſque Devotiſſimus extitit. Ad hanc illius falſam rerum exiſtimationem *Epictetus* Enchiridii c. 38. alludens hæc ait, —— Καὶ Πολυνείκει καὶ Ἐτεοκλεῖ τοῦτο πολεμίους ἀλλήλοις ἐποίησεν τὸ ἀγαθὸν δοκεῖν τὴν Τυραννίδα. *Joſua Barnes.*

V. 512. Πλέον) Ita ob verſum lego, expuncto Veteri πλεῖον, quod apertè metro obverſabatur. Ultimum enim τῷ Ἀνανδρία eſt longum: Quare neceſſe eſt, ut πλέον &c. legatur in quarto loco: Et ita quidem MS. Coll. *Corp. Chriſti* legit. *Joſua Barnes.*

V. 519. Μῆτερ, ποιεῖσθαι) τὸ ποι in ποιεῖσθαι eſt ſyllaba Communis, & hic pro brevi habetur, ut Prior ſyllaba τῷ *Poeta* apud *Latinos* brevis eſt, quod ποιητὴς *Græcè* ſonat. Vid. quæ notavimus ad *Hecub.* v. 1108.

V. 525. Πίμπλασθ') Ita lego, rejecto πίμπλατ' & quicquid olim ſimile obtinuerat: Video eandem lectionem à MS. Coll. *C. Chriſti* firmatam. *Joſua Barnes.*

V. 527. Εἴπερ γὰρ ἀδικεῖν &c.) Hos Verſus *Julium Cæſarem* frequenter in ore habuiſſe memorat *Suetonius*: *Cicero* autem illos Officiorum l. 3. ſic reddidit (ſi bene memini) *Nam ſi violandum eſt Jus, regnandi gratiâ Violandum: In aliis rebus Pietatem colas.* Hunc locum *Dionyſ.* l. 4. ſic expreſſit, Καὶ γὰρ ἐὰν τἄλλα τις δίκαιος ᾖ, βασιλείας γε χάριν ἅπαντα τολμᾷ. Malignitatem hujus Dicti facilè evitet is, qui improbatum à Poetâ ipſo ſtatim viderit; qui ſuos plerunque ſenſus & Æqui amorem *Choro* tribuere ſolet. Quod & ſupra notavimus ad v. 501. & ad *Rheſ.* v. 199. notabimus, & plus millies occurrentibus notari poteſt. *Imitantem* autem convenit, Impiis hominibus Impia dicta affigere; modò & Decoro & Moribus conſulatur, per aliam Perſonam, Characteris & Notæ melioris; ut *Chori* plerunque eſſe ſolent. *Joſua Barnes.*

V. 530 Τοῦτ') Aliàs τόδ'.

V. 531. Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ &c.) Hinc *Ovid.*

—— *Non omnia Grandior ætas*
Quæ fugiamus, habet: ſeris venit Uſus ab annis.

Τί τῆς κακίστης δαιμόνων ἐφίεσαι
Φιλοτιμίας, παῖ; μὴ σύγ'. ἄδικος ἡ θεός.
Πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
Εἰσῆλθε, κἀξῆλθ', ἐπ' ὀλέθρῳ τῶν χρωμένων·
" Ἐφ' ᾗ σὺ μαίνῃ. Κεῖνο κάλλιον, τέκνον,
" Ἰσότητα τιμᾶν· ἣ φίλους ἀεὶ φίλοις,
" Πόλεις τε πόλεσι, ξυμμάχους τε ξυμμάχοις
" Συνδεῖ. τὸ γὰρ ἴσον, νόμιμον ἀνθρώποις ἔφυ.
" Τῷ πλέονι δ' αἰεὶ πολέμιον καθίσταται
" Τοὔλασσον, ἐχθρᾶς θ' ἡμέρας κατάρχεται.
" Καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
" Ἰσότης ἔταξε, κἀριθμὸν διώρισε·
" Νυκτός τ' ἀφεγγὲς βλέφαρον, ἡλίου τε φῶς,
" Ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον·
" Κοὐδέτερον αὐτοῖν φθόνον ἔχει νικώμενον·
" Εἶθ' ἥλιος μὲν, νύξ τε δουλεύει βροτοῖς.
Σὺ δ' οὐκ ἀνέξῃ δωμάτων ἔχων ἴσον,
Καὶ τῷδ' ἀπονεῖμαι; κᾆτα ποῦ 'στιν ἡ δίκη;
Τί τὴν Τυραννίδ', ἀδικίαν εὐδαίμονα,
Τιμᾷς ὑπέρφευ, καὶ μέγ' ἥγησαι τόδε;
Περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
Ἢ πολλὰ μοχθεῖν, πόλλ' ἔχων ἐν δώμασι,
Βούλει; τί δ' ἔστι τὸ πλέον; ὄνομ' ἔχει μόνον·
" Ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖσι * σώφροσιν.
Οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί, * al. τοῖς γε
" Τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα·
" Ὅταν δὲ χρῄζωσ', αὔτ' ἀφαιροῦνται πάλιν.
" Ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.
Ἄγ', ἤν σ' ἔρωμαι δύο * λόγους προθεῖσ' ἅμα,
Πότερα τυραννεῖν, ἢ πόλιν σῶσαι θέλεις; * al. λόγῳ MS.
Ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ' ὅδε,

Quare peſſimam Dearum concupiſcis
Ambitionem, ô fili? ne facias hæc. injuſta *enim eſt* hæc Dea.
In multas enim familias, & urbes beatas
Intravit, & egreſſa eſt cum pernicie utentium:
" Propter quam tu inſanis. Illud multo melius eſt, ô fili,
" Æqualitatem colere, quæ ſemper amicos amicis,
" Urbes urbibus, & ſocios ſociis
" Colligat. Æqualitas enim eſt lege *quâdam* ſancita inter hom.
" Abundantiori verò ſemper inimicum eſt
" Id quod minus eſt, & inchoat ſtatim hoſtilem diem.
" Etenim menſuras hominibus & pondera
" Æqualitas ordinavit, & numeros conſtituit:
" Obſcuramque palpebram noctis, & lumen ſolis,
" Ut æqualiter circuirent annuum circulum, *conſtituit*:
" Et neutrum horum duorum victum invidet alteri,
" Atque ita ſol & nox ſerviunt hominibus.
Tu autem non ſuſtinebis habere æquam partem regni,
Et huic tribuere ſuam partem? Tum verò ubi eſt jus?
Quid Tyrannidem, beatam injuſtitiam,
Honoras ſupra modum, & magni facis hoc?
Circumſpici, *ſuſpicique putas eſſe* honorificum? at h. e. inane.
An multum laborare, habens multa in domo,
Vis? quid eſt Superfluitas? nomen habet tantùm:
Nam quæ ſatis-ſunt ſufficiunt Moderatis.
" Neque enim homines proprias poſſident opes,
" Sed habentes a diis datas, curamus eas;
Quum autem *illi* volunt, auferunt ipſas rurſus.
" Opulentia enim non eſt ſtabilis, ſed in diem.
Age, ſi interrogem, duas ſententias proponens ſimul,
Utrum regnare, an urbem ſervare mavis?
Regnare velle dices? Si verò vicerit te iſte,

Τί τῆς κακίστης) τῆς ἐν τοῖς δαίμοσι χειρίστης. ὡς τὸ, δικαιότατος Κενταύρων, ἀντὶ τοῦ, δίκαιος ἐν Κενταύροις. φιλοτιμίας δὲ, κενοδοξίας. μέσον γὰρ τὸ τῆς φιλοτιμίας ὄνομα. Ἐπ' ὀλέθρῳ τῶν χρωμένων) πολλὰ γὰρ τῶν κακῶν ἐπὶ φθορᾷ τῶν ἀπολαυόντων ἀπαλλάσσεται, ὡς νόσος, καὶ πυρετοὶ σφοδροὶ καὶ διάφοροι. Τὸ γὰρ ἴσον νόμιμον) ἀντὶ τοῦ δίκαιον. καὶ ἀσφαλὲς, καὶ βέβαιον, οἱ γὰρ νόμοι ἀμετάστρεπτοι εἰσίν. ἐν τούτοις γὰρ σώζεται τὸ ἴσον. καὶ γὰρ διὰ τῶν μέτρων καταλαμβάνεται τὸ ἴσον. Εἶθ' ἥλιος μὲν καὶ ἡ νὺξ τῷ ἴσῳ δουλεύουσι, σὺ δὲ ἐν βροτοῖς οὐκ ἀνέξῃ τῶν δωμάτων ἔχειν τὸ ἴσον, δουλεύειν τῇ ἰσότητι. 552. Τί τὴν τυραννίδ') λείπει τὸ ἴσως, καὶ τὸ ὡς. τί τιμᾷς τὴν τυραννίδα ἀδικίαν ἴσως, ὡς εὐδαίμονα καὶ μακαρίαν. Ἄλλως. αὐτὴν τυραννίδα, εὐδαίμονα ἀδικίαν φησί. τί τιμᾷς τὴν εὐδαίμονα ἀδικίαν; ἔδει φάσιν δυσδαίμονα αὐτὴν εἰπεῖν, ἵνα τὸν Ἐτεοκλέα τῆς περὶ αὐτὴν ἀσεβοῦς ἐπιθυμίας ἀποστρέψῃ. διὰ μέσου δὲ μετὰ σχετλιασμοῦ τὸ ὑπέρφευ ἀναπεφώνηται. Ὑπέρφευ) ὑπεράγαν καὶ μέγα τοῦτο νομίζεις τὸ ἄρχειν. τὸ γὰρ περιβλέπεσθαι καὶ θαυμάζεσθαι τίμιον τοῦτο δηλοῖ, ἤγουν τὸ ἄρχειν. Ἄλλως. ἐν ἤθει πευστικόν. μέγα νομίζεις τὸ περίβλεπτον εἶναι, καὶ περιφανὴς παρὰ πᾶσιν; ἢ οὕτως. ἀλλὰ τὸ περιβλέπεσθαι τίμιον νενόμικας. κενὸν μὲν οὖν τοῦτον. Ἐπεὶ τά γ' ἀρκοῦνθ') ἐπειδὴ τὰ ἀρκοῦντα, καὶ μεμετρημένα τοῖς φρονίμοις ἱκανὰ λελόγισται. [* Ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖσι σώφροσιν) ἐπεὶ τὰ ἀρκοῦντα ἱκανὰ, εἴ τις τὸ πρᾶγμα σὺν φρονήσει λογίζοιτο. Εἰ οὖν ἱκανὰ, τὰ ἀρκοῦντα, τὸ πλέον, δηλονότι τοῦ ἀρκοῦντος, ἄχρηστον ἂν εἴη καὶ περιττόν· εἰ δὲ περιττὸν ἐστὶ καὶ πρὸς οὐδὲν χρήσιμον· εἴτε πλέον λέγεται, ὀνόματι δηλονότι μόνον λέγεται· ἔργῳ δὲ τί ἂν πλέον ποιήσειεν ἐκεῖνο, οὗ χρεία οὐδεμία ἐστί;] Ἴδια) φυσικὰ, ἤγουν πεφυκότα τῇ ἰδίᾳ φύσει· τὰ ἀπὸ τῶν θεῶν δὲ ἔχοντες χρήματα φροντίζομεν. ὁπόταν δὲ θέλωσιν, αὐτὰ πάλιν ἀφ' ἡμῶν λαμβάνουσιν. Ἄλλως. ὅταν δὲ βούλονται παρέχειν αὐτὰ ἑτέροις, πάλιν ἀφαιροῦνται. Ὁ δ' ὄλβος) ὁ δὲ πλοῦτος οὐ μόνιμος, ἀλλὰ πρόσκαιρος. 562. Ἄγ' ἤν σ') ἄγε, ἀπόκριναι, ἐάν σε ἐρωτήσω δύο λόγους προβαλλομένη. ἆρα τυραννεῖν θέλεις, ἢ τὴν πόλιν σῶσαι; πάντως ἐρεῖς μοι τυραννεῖν. ἐὰν δὲ νικήσῃ οὗτος, καὶ ἡ τῶν Ἀργείων ἰσχὺς τοὺς Καδμείους νικήσει, ὄψει φθαρὲν τὸ ἄστυ τῶν Θηβαίων. καὶ πολλὰς κόρας αἰχμαλωτιζομένας σὺν βίᾳ παρὰ τῶν πολεμίων ἀνδρῶν. ἐπίδηλος λοιπὸν ὁ πλοῦτος καὶ αἰσχύνης αἴτιος γενήσεται ταῖς Θήβαις, ὅντινα ζητεῖς κεκτῆσθαι. γράφεται δὲ καὶ δαπανηρὸς, ὃ ἐστιν ἐπιζήμιος. ἀνάγκη γὰρ εἰς πόλεμον συμμάχους προστίθεσθαι, καὶ δαπανᾶν.

* Hæc Nota ex MS. C. C. C. ſumpta. *Joſua Barnes.*

ANNOTATIONES.

V. 535. Ἄδικος ἡ θεός) ὁ καὶ ἡ θεὸς, cum abſolutè legitur: ſic *Virgil.* Ducente Deo, De *Venere* Deâ loquens.

V. 537. Εἰσῆλθε, κἀξῆλθ' ἐπ' ὀλέθρῳ τῶν χρωμένων) Scriptum erat antehac κἀξῆλθεν, nimis turgidè. Mecum legit *Heinſius*, *Scaliger*, *Duportus*, aliique, & ut jam video MS. noſtrum *Coll. C.C. Joſua Barnes.*

V. 542. Τῷ πλέονι &c.) *Ariſtot.* *Ethicorum* Eudem. l.8. c.1. hujus & ſequentis verſûs mentionem facit: ſed apud eum vitiosè ſcribuntur. Correctionem hinc ſumere licet. *Æmylius Portus.*

V. 543. Ἐχθρᾶς θ' ἡμέρας) Cum MS. δ' rejicio &, θ' in illius locum ſubſtituo: Ratio cuivis in promptu. *Joſua Barnes.*

V. 549. Εἶθ' ἥλιος μὲν Νὺξ τε δουλεύει βροτοῖς) Ex hoc verſu ita *Origenes* contra *Celſum* l. 4. p. 214. Σκόπει δὲ, ὅτι οὐ μόνον Ἰουδαίων καὶ Χριστιανῶν τινες εἰρήκασιν, ἡμῖν δουλεύειν ἥλιον καὶ τὰ ἐν οὐρανῷ· ἀλλὰ καὶ ὁ κατά τινας Σκηνικὸς φιλόσοφος, καὶ φυσιολογίας τῆς Ἀναξαγόρου γνώριμος ἀκροατής· ὅστις ἀφ' ἑνὸς λογικοῦ τοῦ ἀνθρώπου συνεκδοχικῶς πᾶσι τοῖς λογικοῖς ὑποτεταγμένα ἐν τῷ Παντί φησι δουλεύειν, δουλεύματα — Ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς, &c. Hunc locum laudat etiam *Iſidorus* Peluſ. l. 4. Epiſt. 58. *Joſ. Barnes.*

V. 553. Τιμᾷς ὑπέρφευ) Licet *Scholiaſtes* ὑπέρφευ legere videatur, quod authenticum quidem eſt, ab ἴω; metri tamen ratio poſtulat, (niſi ὑπερφεύγει legamus) ut antiquam lectionem retineamus ὑπέρφευ; quod æquè authenticum eſt; & ita MS. noſtrum legit. Et iterum occurrit *Herc. Fur.* v. 1321. Φέρειν ὑπέρφευ τὰς τύχας. Item *Æſchyl.* Perſ. Ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα δεῖ φρονεῖν. Idem videtur, quod ὑπερφυῶς. Et hoc moneo, quia in vulgaribus Lexicis neutrum occurrat; ne paulò rudioribus offendiculo ſimus. *Joſua Barnes.*

V. 557. Τοῖσι σώφροσι) Ita MS. legit, quare τοῖς γε inter varias lectiones repono. *Idem.*

V. 558. Κέκτηνται) *Atticè* pro κεκτημένοι εἰσί· ſic *Sophocl.* Oedip. Colon. v. 1499. τετίμηνται, ſic *Eurip.* Electr. v. 1000. κεκόσμηνται· Et *Danae* v. 70. ἐμμεμίχθαται· Vid. quæ Nos ad *Herc.* Fur. v. 547. *Idem.*

Ἀργεῖά τ' ἔγχη δορὶ τὸ Καδμείων ἕλῃ,
Ὄψει δαμασθὲν ἄστυ Θηβαίων τόδε·
Ὄψει δὲ πολλὰς αἰχμαλωτίδας κόρας,
Βίᾳ πρὸς ἀνδρῶν πολεμίων * πορθουμένας.
Ὀδυνηρὸς ἆρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,
Γενήσεται Θήβαισι. φιλότιμος δὲ σύ.
Σοὶ μὲν τάδ' αὐδῶ· σοὶ δέ, Πολύνεικες, λέγω.
Ἀμαθεῖς Ἄδραστος χάριτας εἰς σ' ἀνήψατο·
Ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πόλιν.
Φέρ', ἢν ἕλῃς γῆν τήνδ', ὃ μὴ τύχοι ποτέ,
Πρὸς θεῶν, τρόπαια πῶς ἀναστήσῃς δορός;
Πῶς δ' αὖ κατάρξῃ θυμάτων ἑλὼν πάτραν,
Καὶ σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς;
Θήβας πυρώσας, τάσδε Πολυνείκης θεοῖς
Ἀσπίδας ἔθηκε· μή ποτ', ὦ τέκνον, κλέος
Τοιόνδε σοὶ γένοιτ' ἂν ὑφ' Ἑλλήνων λαβεῖν.
Ἢν δ' αὖ κρατηθῇς, καὶ τὰ τοῦδ' ὑπερδράμῃ,
Πῶς Ἄργος ἥξεις, μυρίους λιπὼν νεκρούς;
Ἐρεῖ δὲ δή τις, ὢ κακὰ μνηστεύματα,
Ἄδραστε, προσθείς, διὰ μιᾶς νύμφης γάμον
Ἀπωλόμεσθα. δύο κακὼ σπεύδεις, τέκνον,
Κείνων στέρεσθαι, τῶνδέ τ' ἐν μέσῳ πεσεῖν.
" Μέθετον τὸ λίαν, μέθετον· * ἀμαθίαι δυοῖν,
" Εἰς ταὔθ' ὅταν μόλητον, ἔχθιστον κακόν.
Χο. Ὦ θεοί, γένοισθε τῶνδ' ἀπότροποι κακῶν·
Καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.

Τροχαῖοι.

Ετ. Μῆτερ, οὐ λόγων ἔστ' ἀγών, ἀλλ' ἀναλοῦται χρόνος
Οὑν μέσῳ μάτην, περαίνει δ' οὐδὲν ἡ προθυμία.
Οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως, ἢ 'πὶ τοῖς εἰρημένοις,
Ὥστ' ἐμὲ σκήπτρων κρατοῦντα τῆσδ' ἄνακτ' εἶναι χθονός.
Τῶν μακρῶν δ' ἀπαλλαγεῖσα νουθετημάτων μ' ἔα.

* Vid. ad Electr. v. 316.
* al. ἀμαθία.

Et Argivorum haſtæ exercitum Thebanum ceperint,
Videbis domitam Thebanorum civitatem hanc:
Videbis etiam multas puellas captivas,
Vi raptas ab hoſtibus.
Dolorem igitur hæ potentiæ, quam habere quæris,
Allatura eſt Thebanis: tu verò es ambitioſus.
Tibi quidem hæc dico: tibi verò, Polynices, hæc declaro.
Adraſtus contulit in te intempeſtivam gratiam:
Et ſtulté veniſti tu quoque, expugnaturus patriam.
Age, ſi ceperis hanc urbem (quod avertant
Dii) quomodo eriges trophæa iſtius pugnæ?
Quomodo v. primitias dedicabis in ſacrificando, captâ patriâ?
Et quomodo inſcribes ſpolia ad flumen Inachi?
Nempe de Thebis incenſis Polynices diis hos
Clypeos poſuit. Nunquam, ô fili, gloriam
Talem tibi contingat à Græcis conſequi.
Sin fueris victus, & res hujus ſuccedant:
Quomodo Argos redibis innumeris relictis mortuis?
Et dicet aliquis: O miſeras Deſponſationes,
Adraſte, promovens, propter unius puellæ conjugium
Periimus. Duplex malum acceleras, ô fili,
Illis privari, & his, quæ in medio ſunt, excidere.
" Remittite nimiâ animi cupiditate, remittite. Abſurditas enim duor.
" Quandò eòdem pervenerint, maximum malum eſt.
Ch. O dii, ſitis averſores iſtorum malorum,
Et date compoſitionem quandam filiis Oedipi.

Etrocles.

Mater, non eſt certamen diſputationis, ſed perit tempus,
Quod eſt in medio, fruſtra, tua verò diligentia nihil efficit.
Non enim poſſumus aliter pacifici, niſi prædictis conditionibus,
Ut ego ſceptra tenens, rex ſim hujus terræ.
Omittens verò longas admonitiones, ſine me.

570. Φιλότιμος) φιλόνεικος. Ἀνήψατο) ἀνέθηκε, περιῆψατο. ἀπὸ μεταφορᾶς τῶν πλοίων, ἀποδεσμουμένων τῆς λέμβου. Πορθήσων) ἀσυνέτως δὲ καὶ σὺ ἦλθες λεηλατήσων τὴν πόλιν. ἀντὶ γὰρ διαφερόμενος, ἀπώσῃ τὰ πόλει ἐπάγεις κίνδυνον. καὶ ταῦτα ὀπισθόμενος, ὃ διωκεχθεισμένην ἀλλὰ μοναρχουμένην. Τρόπαια) νικητήρια. ἀπὸ τοῦ τρέψαι καὶ διῶξαι τοὺς πολεμίους. λέγει δὲ τὰ ἱστάμενα συμβόλαια τῆς νίκης. Τὰ δὲ σκῦλα γράψεις, ἀντὶ τοῦ τὰ ὅπλα ἐπιγράψεις, ἤτοι τὰ ἀναθήματα τῶν προσφερομένων. τί δ' ἔσται τὸ ἐπίγραμμα. Θήβας πυρώσας τάσδε Πολυνείκης θεοῖς ἀσπίδας ἔθηκεν; μὴ γένοιτό σοι, τέκνον, λαβεῖν ὑπὸ τῶν Ἑλλήνων τοιαύτην φήμην. 581. Ὑπερδράμῃ) περιέλθῃ, νικήσῃ. μετενήνοχε δὲ ἀπὸ τῶν δρομέων, οἷον ὑπερτερήσηται. Κείνων στέρεσθαι) τοῦ Ἄργους δηλονότι. ὃ δὲ νοῦς, μήτε ἐκεῖνα, μήτε ταῦτα ἔχειν, ἤτοι κἀκείνων στερηθῆναι, καὶ τούτων μὴ τυχεῖν. τὸ γὰρ ἐν μέσῳ πεσεῖν, τουτέστι τὸ ἀμφοτέρων ἀφικέσθαι ἐπ' αὐτὰ ἐκπεσεῖν τῆς ἐλπίδος. Μέθετον τὸ λίαν) τὴν ὑπερβολὴν τῶν ὀρέξεων. ἢ τὸ θυμικόν. καὶ ἐν Ὀρέστῃ, τὸ λίαν χαῖρε καλῶς. Ἄλλως. ἐν τούτοις οὐδὲν Ἰοκάστη συμβεβούλευκε τοῖς παισὶ κοινωφελές. ἀλλὰ τῷ μὲν λέγει, εἰς τί φιλοτιμῇ τυραννεῖν; τῷ δὲ, εἰς τί πολεμεῖς τὴν πατρίδα; * ἐχρῆν δὲ τούτοις συμβουλεῦσαι, διελομένους τὰ πατρῷα, καὶ τὴν βασιλείαν παύσασθαι τῆς διχοστασίας, ὅπως ὑπέστησαν ἐξ ἀρχῆς ἀνὰ μέρος ἄρχειν. καὶ γὰρ ἔδει τῷ ποιητῇ ἦν ποιῆσαι αὐτοὺς μὴ πειθομένους, ὅπως τὰ τῆς ἱστορίας μένῃ βέβαια. εἵμαρτο γὰρ αὐτοὺς ἀλληλοκτόνους γενομένους, κατὰ τὰς ἀρὰς τοῦ πατρὸς ἀποθανεῖν. νῦν δὲ, οὐδὲν τούτων πεποίηκεν. Ἀμαθίαι δυοῖν) αἱ τῶν δύο ἀμαθίαι, ὅταν μολῶσιν εἰς ταυτὸν, μέγιστον κακὸν γίνονται. Ἄλλως. Δεινὸν κακὸν, ὅταν εἰς τὸ αὐτὸ κακὸν τῆς ἀμαθίας ἔλθητε· ὅμοιον δὲ ἐστὶ τὸ μηδὲν ἄγαν, τὸ, ἄφετε τὸ λίαν φιλονεικεῖν. Ξύμβασιν) ξυμβίβασιν. 591. Οὐ λόγων) οὐκ ἔτι λόγος ἐστ' ἀγών. ἀπώλετο γὰρ ὁ καιρὸς ὁ ἐν μέσῳ ἀχρεῖος. περαίνει δὲ, ἤτοι πληροῖ οὐδὲ μᾶς ἡ σὴ προθυμία. ἢ δὲ νοῦς, περαίνει δ' οὐδὲν ἡ προθυμία, ἀντὶ τοῦ προθυμουμένη ἡμᾶς εἰς φιλίαν ἀγαγεῖν, οὐ πείθεις. οὐ γὰρ φιλιωθείημεν, καὶ εἰς ξύμβασιν καὶ φιλίαν ἔλθοιμεν ἄλλως, ἢ ἐπὶ τοῖς εἰρημένοις ὑπ' ἐμοῦ. ὥστε με τὰ σκῆπτρα κατέχειν δηλονότι. καὶ βασιλέα ὑπάρχειν τῆς χθονὸς τῆσδε. τῶν ἐπὶ πολὺ δὲ παρατεινομένων νουθετημάτων ἀποστᾶσα, ἄφες ἡμᾶς. καὶ σὺ δὲ τῶν τειχῶν τούτων ἔξερχου. εἰ δὲ μὴ, ἀποθανῇ.

* Ἐχρῆν δὲ τούτοις συμβουλεῦσαι &c.) Ut Inſcitiam Scholiaſtarum & Criticorum ſatis exponam, ex hoc loco notandum, illos Poetæ Vitio Vertere, quòd his aut illis Argumentis uſa ſit Mater, ſed minùs firmis; cùm illos ſcire oportuit, nimis ſervidum Eteoclis ingenium non illud permittere; ſubitò enim multò plura locuturam Matrem interrumpit ferox Juvenis. *Joſua Barnes.*

ANNOTATIONES.

V. 569. Ὀδυνηρὸς) Aliàs *δαπανηρὸς*, Vid. *Scholiaſt.*
V. 570. Φιλότιμος) Aliàs *φιλόνεικος* id.
V. 572. Ἀνήψατο) Aliàs ἀνήψατο. Et ità MS. legit CCC.
V. 576. Κατάρξῃ) Aliàs κατάρξεις MS. CCC. legit.
V. 580. Τοιόνδε) Si per Codicum authoritatem liceret, delerem τὸ ἂν & legerem Τοιόνδε σοὶ γένοιθ' ὑφ' Ἑλλήνων κλέος. Sed non contendo: Poteſt enim aliquandò *Anapæſtus* in quarto loco poni.
V. 581. Ὑπεκδράμῃ) *Canterus*, & *Scaliger* ὑπερδράμῃ legunt; nec tamen auſi ſumus emendare; quia per ὑπεξελθεῖν poteſt explicari. Quanquam ad *Troad.* v. 930. ubi olim legebatur, οἱ θεοὶ ὑπεκδράμοι κάλλει, eo in loco ὑπερδράμοι ſcripſerim, cujus ratio cuivis in promptu. *Cætero* autem in hoc loco MS. noſtrum non favet. *Joſua Barnes.*
V. 587. Ἀμαθίαι δυοῖν) Ità lego, quòd MS. ità legat, & *Scholiaſtes*: Potuit tamen & ἀμαθία in ſingulari ſtare, ut μόλητον referatur ad δυοῖν, quare & inter Varias Lectiones reponatur. *J.B.*
V. 591. Μῆτερ, οὐ λόγων ἔστ' ἀγὼν &c.) [illegible] quarto loco *dam*-*bus*, quod in *Trochaico* nefas eſt; *Canterus* quod ad ſenſum rectè legit ἔτ' ἀγὼν, ſed metro quidem nihil conſulit; niſi τὸ α in ἀγὼν produceretur, quod ille ter apud *Euripidem*, ſemel apud *Sophoclem* factum memorat; ſed locos non indigitat: ego fere hos reperio. *Sophocl.* Electr. v. 1499. Νῦν ἐστ' ἀγών, ἀλλὰ σῆς ψυχῆς πέρι. Et *Euripid.* Heraclid. v. 722. Ὡς ἐγγὺς ἀγών, ὦ μάλιστ' Ἄρης στυγεῖ. Et *Suppl.* v. 754. Ὧν δ' οὕνεκ' ἀγὼν ἦν νεκροὺς κομίζετε, ad quos locos vide quæ Nos. Item *Hercul. For.* v. 1189. Ἥρας ὅδ' ἀγών τις χολουμένης, γέρον. Siquis adhuc dubitat, οὐ γὰρ vel οὐ γάρ, is legat. Certè MS. nihil hic affert auxilii: ſi verò audaciæ faveat lector; aliquid dicendum. Si igitur legamus—οὐ λόγων ἀγὼν ἔτ' ἐστὶν, optimè ſenſui & metro conſuletur: ſed nec ἀγὼν ἐστὶν λόγων ſequitur, nec tam longè à veteri lectione recedendum, quare legas licet Μῆτερ, οὐ λόγων ἔτ' ἐστ' ἀγὼν) adeò ut in tertio loco *Spondæus*, in quarto ſit Anapæſtus, qui pes *Spondæo* ἰσόχρονος. Liber *Heinſio-Scaligerianus* legit ἀγὼν ἐστ'. *Joſua Barnes.*
V. 594. Σκήπτρων) σκῆπτρα MS. CCC.

Καὶ

Καὶ σὺ τῶνδ' ἔξω κομίζου τειχέων, ἢ κατθανῇ.
Π. Πρὸς τίνος; τίς δ' ὧδ' ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος
Φόνιον ἐμβαλὼν, τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;
Ετ. Ἐγγὺς, οὐ πρόσω βέβηκας· εἰς χέρας λεύσσεις ἐμάς;
Π. Εἰσορῶ· δειλὸν δ' ὁ πλοῦτος, καὶ φιλόψυχον κακόν.
Ετ. Κᾆτα σὺν πολλοῖσιν ἦλθες, πρὸς τὸν οὐδὲν εἰς μάχην;
Π. Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης.
Ετ. Κομπὸς εἶ σπονδαῖς πεποιθὼς, αἵ σε σώζουσιν θανεῖν.
Π. Καὶ σὲ δεύτερόν γ' ἀπαιτῶ σκῆπτρα, καὶ μέρη χθονός.
Ε. Οὐκ ἀπαιτούμεσθ'. ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον. * φημὶ MS.
Π. Τοῦ μέρους ἔχων τὸ πλεῖστον; Ε. * φημί. ἀπαλλάσσου δὲ γῆς.
Π. Ὦ θεῶν βωμοὶ πατρῷοι. Ε. οὓς σὺ πορθήσων πάρει.
Π. Κλύετέ μου. Ε. τίς δ' ἂν κλύοι σου πατρίδ' ἐπεστρατευμένου;
Π. Καὶ θεῶν τῶν λευκοπώλων δώματ'. Ε. οἳ στυγοῦσί σε.
Π. Ἐξελαυνόμεσθα πάτρης. Ε. Καὶ γὰρ ἦλθες ἐξελῶν.
Π. Ἀδικίᾳ γε σῇ, ὦ θεοί. Ε. Μυκήναις, μὴ 'νθάδ' ἀνακάλει θεούς.
Π. Ἀνόσιος πέφυκας. Ε. ἀλλ' οὐ πατρίδος, ὡς σὺ, πολέμιος.
Π. Ὅς μ' ἄμοιρον ἐξελαύνεις. Ε. καὶ κατακτενῶ γε πρός.
Π. Ὦ πάτερ, κλύεις ἃ πάσχω; Ε. καὶ γὰρ οἷα δρᾷς κλύει.
Π. Καὶ σὺ, μῆτερ; Ε. οὐ θεμιτόν σοι μητρὸς ὀνομάζειν κάρα.
Π. Ὦ πόλις. Ε. μολὼν ἐς Ἄργος, ἀνακάλει Λέρνης ὕδωρ.
Π. Εἶμι, μὴ πόνει. σὲ δ' αἰνῶ, μῆτερ. Ε. ἔξιθι χθονός.
Π. Ἔξειμι· πατέρα δέ γέ μοι δὸς εἰσιδεῖν. Ε. οὐκ ἂν τύχοις.
Π. Ἀλλὰ παρθένους ἀδελφάς. Ε. οὐδὲ τάσδ' ὄψει ποτέ.
Π. Ὦ κασίγνηται. Ε. τί ταύτας ἀνακαλεῖς, ἔχθιστος ὤν;
Π. Μῆτερ, ἀλλά μοι σὺ χαῖρε. Ι. χαρτὰ γοῦν πάσχω, τέκνον;
Π. Οὐκέτ' εἰμὶ παῖς σός. Ι. εἰς πόλλ' ἀθλία πέφυκ' ἐγώ.
Π. Ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει. Ε. καὶ γὰρ ἀνθυβρίζομαι.
Π. Ποῦ ποτε στήσῃ πρὸ πύργων; Ε. ὡς τί μ' ἱστορεῖς τόδε;
Π. Ἀντιτάξομαι κτενῶν σε. Ε. κἀμὲ τοῦδ' ἔρως ἔχει.
Ι. Ὦ τάλαιν' ἐγώ. τί δράσετ', ὦ τέκν'; Ε. αὐτὸ σημανεῖ.

Et tu Polynices vade extra hæc mœnia, aut morieris.
Pol. Per quem? quis ſic eſt invulnerabilis, qui in nos enſem
Letalem immittens, non feret ſimilem necem?
Ete. Prope adeſt, ante quem ſtas. aſpiciſne manus meas?
Pol. Intueor: timidæ vero res ſunt divitiæ, & amans vitæ malum.
E. Et ideo cum exercitu veniſti ad eum qui nihil eſt in pugnâ?
Pol. Cautus enim dux præſtat feroci.
Ete. Superbus es, confidens induciis, quæ te ſervant à morte.
Pol. Iterum repoſco à te ſceptra, & partem terræ.
E. Non repoſcimur-*juſtum-debitū*. ego enim meâ habitabo domum:
P. Tenens plus quàm partē? *E.* Ità affirmo. verum diſcede ex terrâ.
Pol. O deorum aræ paternæ. *Ete.* Quas tu everſurus ades?
P. Audite me. *E.* Quis v. audiret te gerentem bellū contra patriam?
P. Et domus deorū, qui vehuntur cādidis equis. *E.* Qui oderunt te.
P. Expellimur ex patriâ. *E.* Etenim veniſti patriam everſurus.
P. Id fit tuâ injuſtitiâ, ô dii. *E.* Mycenis, non hic deos invoca.
Pol. Impius es. *Eteo.* Sed non ſum hoſtis patriæ, ſicut tu es.
P. Qui me expellis carētē parte hæreditatis. *E.* Inſup. etiā interſ. te.
Pol. O pater, audis quæ patior? *Ete.* Et qualia facis, audit.
Pol. Et tu, ô mater? *Ete.* Non fas eſt te matris nominare caput.
Pol. O urbs. *Ete.* Profectus Argos, invoca Lernæam aquam.
P. Vado, nè ſis ſollicitus: te a. laudo, mater. *E.* Egredere è terrâ.
P. Egredior verum concede mihi, ut vid. patr. *E.* Nō poteſ. cōſequi.
Pol. Sed ſorores virgines. *E.* Neque has unquam videbis.
Pol. O ſorores. *E.* Quid has vocas, cum illis ſis inimiciſſimus?
Pol. Mater, tu læta vale. *Ioc.* Læta ſcilicet patior, ô fili?
P. Nō amplius ſum filius tuus. *I.* Ad multa ego Calamitoſa ſum.
Pol. Ille enim injuriâ me afficit. *E.* Et ego viciſſim injuriâ afficior.
Pol. Ubinam ſtabis ante turres? *E.* Ad quid hoc me interrogas?
Pol. Adverſus te in acie ſtabo. *Et.* Et me amor habet hujus rei.
Ioc. Me miſeram! quid facietis, ô filii? *Et.* Res ipſa oſtendet.

Πρὸς τίνος) πρὸς τίνος ἀποθανοῦμαι; τίς δ' οὕτως ἄτρωτός ἐστιν, ὅς τις εἰς ἡμᾶς φονικὸν ἐμβαλὼν ξίφος, τὸν ὅμοιον οὐκ ἀπολαβὼν οἴσεται θάνατον; Ἐγγὺς οὐ πρόσω) οὗ τινος ἐγγὺς καὶ ἔμπροσθεν ἵστασαι. τὸ δὲ εἰς χεῖρας λεύσσεις ἐμὰς, ὁρατικῶς λοβεύσας εἰς χεῖρας ἐμὰς, ὑπὸ τούτων θνήσκεις. Δειλὸν δ' ὁ πλοῦτος) παρόσον οἱ πλούσιοι δειλοί εἰσι πρὸς θάνατον, ὡς μεγάλων ἀγαθῶν στερούμενοι. οἱ δὲ πένητες, φιλοκίνδυνοί εἰσιν, ἐπιλογιζόμενοι, ὡς λυσιτελεῖ κινδυνεύσαντας κλῆρον ἔχειν, καὶ ἀποθανεῖν μᾶλλον ἢ πτωχοὺς ὄντας ζῆν. φησὶ γὰρ ὅτι φιλόψυχος εἶ σύ. Πρὸς τὸν οὐδὲν ἐς μάχην) καὶ ἦλθες πρὸς τὸν φιλόζωον, καὶ ἄνανδρον σὺν πλείστοις ἦλθες μαχησόμενος. Ἀσφαλὴς γὰρ) ναὶ, καὶ γὰρ ὁ ἀσφαλιζόμενος ἐν ὅπλοις στρατηλάτης κρείττων ἐστὶ τοῦ θρασέος. [* Ἄλλως, ὁ ἀσφαλιζόμενος γὰρ δυνάμει ἀξιολόγῳ στρατηλάτης ἐστὶν ἀμείνων, ἢ οἱ χωρὶς δυνάμεως θρασυνόμενοι.] 603. Κομπὸς εἶ) ἀλαζονικὸς ὑπάρχεις, θαρρῶν ἐν σπονδαῖς, αἵ σε τηροῦσι θανεῖν. Κόμπος) τὸ μὲν προπαροξύτονον, ὡς τύπος. τὸ δὲ ὀξύτονον, ὡς κομπός, κομπὸς, λόγος κομπὸς, κομπαστής. ὁ δὲ νοῦς, μεγαλοφρονεῖς ἐπὶ ταῖς γινομέναις σπονδαῖς, καὶ συνθήκαις, αἳ πρός σε ῥύονται τοῦ ἤδη τεθνήξεσθαι. Καὶ σε δεύτερον) ἰδοὺ φησὶν ἐκ δευτέρου σοι λέγω ἀποδοῦναι μοι τὸ μέρος τῆς βασιλείας. ἅπαξ γὰρ εἶπεν αὐτὸς, Καὶ νῦν ἕτοιμός εἰμι τὸ ἐμαυτοῦ λαβὼν στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονός. Οὐκ ἀπαιτούμεσθα) οὐ χρεωστοῦμεν. Τοῦ μέρους) τοῦ ἐπιβάλλοντός σοι μέρους κεκτημένος τὸ πλεῖστον; Φημὶ) ναὶ λέγω. ἐλευθεροῦ δὲ καὶ ἀπαλλάσσου τῆς γῆς. Πατρῷοι) πατρικοί. Πάρει) παρεγένου. Τῶν λευκοπώλων) Κάστορος καὶ Πολυδεύκους. ἢ Ζήθου καὶ Ἀμφίονος, ὅπερ ἄμεινον. Ἐξελῶν) ἐξελάσων. Ἀδικίᾳ σῇ τε) τὸ ἑξῆς, ἐξελαυνόμεθα τῆς πατρίδος ἀδικίᾳ τῇ σῇ. τὸ δὲ, ὦ θεοί, διὰ μέσου. Ἄμοιρον) χωρὶς μερίδος. 617. Μὴ πόνει) μὴ κάμνε, μὴ θορυβοῦ τούτου χάριν· ἄπειμι γάρ. ἐπιπολῆς δὲ πεπεισμένῳ φρονήματι ταῦτα φησὶ, προσδοκῶν εἰς τὸ δίκαιον ἔτι καλέσειν τὸν ἀδελφόν. σὲ δὲ ἐπαινῶ, μῆτερ, ὅτι ἐσπούδασας ἡμᾶς εἰς φιλίαν ἀγαγεῖν. Ἀλλὰ) ἀντὶ τοῦ κἂν. Χαρτὰ) ἐν ἤθει· ἄξια χαρᾶς πάσχω, τέκνον. 624. Ποῦ ποτε) κατ' ἐρώτησιν, ἀντὶ τοῦ ἐν ποίῳ τόπῳ παρατάξῃ· ἵνα κἀγὼ ἐκεῖ παρατάξωμαι.

* Locus is uncis incluſus ex MS. C.C.C. ſumptus. *Joſua Barnes.*

ANNOTATIONES.

V. 599. Ἐγγὺς οὐ πρόσω βέβηκας) MS. *C.C.C.* legit ἐγγὺς ὁ πρόσω.

V. 600. Δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν) Hoc apud *Stobæum* Majorem legitur ſermone 91. in Vituperio Divitiarum; malè autem ibi citatur quaſi ex *Carcino* Poetâ quoque Tragico & ipſo.

V. 601. Κᾆτα σὺν πολλοῖσιν ἦλθες, πρὸς τὸν οὐδὲν) Al. οὐδὲν, ſed æquè valet utraque lectio. Vid. ad *Ion.* v. 594.

V. 602. Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης) Hanc ſententiam *Auguſtus* apud *Suetonium* uſurpavit, ad confirmandam ſuipſius ſententiam. Σπεῦδε βραδέως, *Feſtina lentè*, ibi enim ille, Σπεῦδε βραδέως· Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηγός, Lege ex hoc loco, στρατηλάτης. *Eraſmus* in Adagio *Feſtina lentè*, poſt hæc *Suetonii* verba, eſt autem Verſus *Trochaicus*. Tetrameter Catalecticus ex Poetâ quopiam, ut Conjicio, decerptus, cui *Cæſar* de ſuo ſubjecit, Στρατηγός· Errat Vir Magnus, quod Carmen putet à σπεῦδε incipere & in θρασὺς deſinere, & στρατηγὸς à *Cæſare* addi, ex Poetæ hujus loci ignoratione. Ita enim Diſtingui oportet, Σπεῦδε βραδέως· ——— Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης. *Joſua Barnes.*

V. 610. Ἐξελαυνόμεσθα πάτρης) Aliàs πατρίδος, idem enim quoad metrum eſt, ſed omninò ut Νόθον rejecimus. Ἐξελῶν Futur. 2. non Aor. 2. Idem mecum ſtat MS. *C.C.C.* *Joſua Barnes.*

V. 609. Καὶ θεῶν τῶν λευκοπώλων δώματα) Id eſt *Thebæ* Urbs *Amphionis* & *Zethi*. Vid. ad *Herc. Fur.* v. 29. & *Schol.* in hunc locum.

V. 611. Ἀδικίᾳ) In hoc verſu τὸ, ὦ θεοί, ut *Scholiaſtes* obſervat, legitur διὰ μέσου, quaſi interjectio quædam, ut αἶ, αἶ & ſæ aliàs, Vid. Notas ad *Hecub.* v. 1116. MS. legit Ἀδικίᾳ γ' ὦ θεοί, & tum ad verſum pertinet. *Joſua Barnes.*

V. 612. Πολέμιος) Pes proceleuſmaticus, ſive *Pæon* quartus Dactylo eſt ἰσόχρονος, duæ enim breves uni longæ ſunt æquales tempore. Quod moneo, ne quis verſum claudicare putet. *Idem.*

V. 618. Ἔξειμι· πατέρα δέ γέ μοι δὸς εἰσιδεῖν· οὐκ ἂν τύχοις.) Hic verſus jam nunc à me primum reſtitutus ex Optimo illo *C.C.C.* MS. Quanquam & ante id viſum, conjecturâ haud infeliciter explêram legendo Ἔξειμι χθονός, πατέρα δέ μοι δὸς ἰδεῖν &c. Sed conjecturæ non eſt locus, ubi Authoritas adeſt tam ſancta. *J. Barnes.*

V. 620. Ἀνακάλει ἔχθιστος ὤν.) Τό γε, quod intercedebat inter ἀνακαλεῖς & ἔχθιστος, ex MS. Authoritate omiſi.

V. 622. Πόλλ' ἀθλία) aliàs πολλά γ' ἀθλία. Sed MS. prius probat, quod & antè in textum receperam. *Joſua Barnes.*

I. Πατρὸς

Πατρὸς οὐ φεύξεσθε) ἀποφαντικῶς, ὅτι ἐὰν μαχήσησθε, πάντως ἀπολλυσθε. Ἀγυιεῦ) ὁ ἐν τοῖς προπυλαίοις καὶ οἰκήμασιν ἱδρυμένος, ὅτι τὸν ἀγυιᾶ πρὸ πυλῶν ἵστασιν. * κίων δὲ οὗτος ἦν εἰς ὀξὺ λήγων. Δεξίμηλα) τὰ δεχόμενα τὰς θυσίας. Καθεύδουσιν) ἡσυχάζουσιν. Νεικέων ἐπώνυμον) παρετυμολογεῖ τὸ ὄνομα Πολυνείκους, ὄνομα νεικέων φερώνυμον, τουτέστιν ἀπὸ τῶν νεικέων τὴν ἐπωνυμίαν λαβών. Κάδμος ἔμολε) τὰ τοιαῦτα εἴδη τοῦ χοροῦ, καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. εἰσὶ δὲ τὰ παρόντα τελέως ἐπῳδικά. τὰ κῶλα δὲ τῆς μονοστροφῆς, τοσαῦτα. τὸ α' ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον, ἐκ παίωνος α', ἀντὶ ἰωνικοῦ καὶ διιάμβου. οἱ δὲ βούλονται, τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ β' ποδὸς χορείου. ἐχρήσατο δὲ τούτῳ μέτρῳ ἐνταῦθα διὰ τὴν τοῦ Κάδμου κίνησιν. τὸ β' ὅμοιον ἰωνικὸν ἀπ' ἐλάττονος, ἐκ παίωνος δ', ἀντὶ ἰωνικοῦ καὶ διιάμβου. οἱ δὲ βούλονται, τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ α' ποδὸς χορείου. τὸ γ' ὅμοιον τῷ α', δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος α', ἀντὶ ἰωνικοῦ ἐπιτρίτου τρίτου, καὶ συλλαβῆς. οἱ δὲ βούλονται, τροχαϊκὸν, ἑφθημιμερὲς δίμετρον ἀκατάληκτον, τοῦ β' ποδὸς ἀναπαίστου. τὸ δ' ὅμοιον τῷ β', δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ διιάμβου καὶ συλλαβῆς. τὸ ε' τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον, χορεῖον ἔχει τὸν πρῶτον πόδα. τὸ ς' ὅμοιον τῷ β'. τὸ ζ' ἰωνικὸν ἀπὸ μείζονος, ὅμοιον τῷ α', ἐξ ἰωνικοῦ πεντασυλλάβου, καὶ διτροχαίου. τὸ μέν τοι κῶλον τῆς ἀντιστροφῆς, τὸ μὲν πρῶτον ἔχει πόδα διτρόχαιον, τὸ β' ἐπίτριτον. τὸ η' τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἐκ τροχαίου καὶ χορείου. τὸ θ' τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ι' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια' τροχαϊκὸν καθαρὸν πενθημιμερές. τὸ ιβ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς χορείου. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον, καθαρόν ἐστι. τὸ ιγ' καὶ ιδ' τροχαϊκὸν Εὐριπίδειον. τὸ ιε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ' ποδὸς χορείου. τὸ ις' ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ ιζ' ἴαμβος καθαρὸς τρίμετρος. τὸ ιη' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν. τὸ ιθ' ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ, καὶ διτροχαίου, καὶ ἐπιτρίτου δ'. τὸ μέντοι τῆς ἀντιστροφῆς, παρόμοιον. 641. Κάδμος ἔμολε) Κάδμος ζητῶν τὴν ἀδελφὴν Εὐρώπην, μαντεῖον ἔλαβε περὶ αὐτῆς, οὐδὲν σημαῖνον, ἀλλ' ὥστε αὐτὸν ἐξελθόντα ἕπεσθαι βοῒ, καὶ οὗ δ' ἂν αὐτόματος πέσῃ, κτίζειν πόλιν. ἔχει δὲ ὁ χρησμὸς τοῦ Πυθίου οὕτως. Χρησμὸς δοθεὶς τῷ Κάδμῳ.

Ι. Πατρὸς οὐ φεύξεσθ' Ἐρινῦς; Π. ἐρρέτω πρόπας δόμος.
Ε. Ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.
Π. Τὴν δὲ θρέψασάν με γαῖαν, καὶ θεοὺς μαρτύρομαι,
Ὡς ἄτιμος οἰκτρὰ πάσχων, ἐξελαύνομαι χθονὸς,
Δοῦλος ὣς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς.
Κἄν τι σοι, πόλις, γένηται, μή με, τοῦτον δ' αἰτιῶ.
Οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
Καὶ σὺ, Φοῖβ' ἄναξ ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,
Ἥλικές θ' οὑμοὶ, θεῶν τε δεξίμηλ' ἀγάλματα.
Οὐ γὰρ οἶδ', εἴ μοι προσειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτε.
"Ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς
Τόνδ' ἀποκτείνας, κρατήσειν τῆσδε Θηβαίας χθονός.
Ε. Ἔξιθ' ἐκ χώρας· ἀληθῶς δ' ὄνομα Πολυνείκην πατὴρ
Ἔθετό σοι θείᾳ προνοίᾳ νεικέων ἐπώνυμον.

Jo. Non effugietis patris diras?
Pol. Pereat tota domus.
Ete. Quàm citò enſis meus cruentus non erit amplius otioſus?
Pol. Et terram quæ me aluit, & deos teſtor,
Quòd inhonoratus miſeranda patiens ejicior è terra,
Sicut ſervus, nec amplius natus ab ipſo patre Oedipo
Et ſi quid acciderit tibi, ô civitas, non me, ſed hunc accuſato:
Invitus enim veni, invitus etiam expellor è patriâ.
Et tu, Phœbe rex, cuſtos viarum publicarum, & atria valete,
Et æquales mei, & ſtatuæ deorum, recipientes victimas:
Neſcio enim, an aliquando licebit mihi rurſus vos alloqui.
"Spes verò nondum obdormiunt, quibus confido cum diis,
Hoc interfecto, me potiturum hâc Thebanâ terrâ.
Ete. Diſcedito ex terrâ. Verè enim nomen Polynicis pater
Indidit tibi divinâ providentiâ, cognomen contentionis.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Κάδμος ἔμολε τάνδε γᾶν

EPODICA.

Strophe.

Ch. 1 Cadmus venit in hanc terrâ

* Φράζεο δή μοι μῦθον Ἀγήνορος ἔκγονε Κάδμε·
Ἠοῦς ἐγρόμενος, προλιπὼν ἴθι Πυθὼ δῖαν,
1 Ἤθεσ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσὶ,
Τὴν διά τε Φλεγύων καὶ Φωκίδος 2 ἐς τ' ἂν ἵκηαι
Βουκόλον ἠδὲ βόας κηριτρεφέος Πελάγοντος·
Ἔνθα δὲ προσπελάσας ξυλλάμβανε βοῦν ἐρίμυκον,
Ἣ κεν δὴ νώτοισιν ἐπ' ἀμφοτέροισιν ἔχῃσι
Λευκὸν 3 σῆμ' ἑκάτερθε 4 περίδρομον, ἠΰτε Μήνης·
Τὴν δὲ σύ γ' ἡγεμόνα 5 θεῖν ἀτριβέος κελεύθου.
Σῆμα δέ τοι γ' ἐρέω μάλ' ἀριφραδὲς· οὐδέ σε λήσει·
Ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο
6 Ἥξῃ τε κλίνῃ τε πέδῳ γόνυ ποιήεντι·
Καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
Ἁγνῶς καὶ καθαρῶς· Γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
Ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν,
Δεινὸν Ἐνυαλίου πέμψας φύλακ' Ἄϊδος εἴσω.

* Extat etiam apud *Schol. Ariſtoph.* Βατράχοις fol. 177. & Tzetzæ Chil. VI. §. 28.

1 al. Ἔνθα δ'.
2 al. εὖτ' ἄν.
3 al. σῆμ'. 4 al. περίκλοκον.
5 al. χὴ προλείπεσθαι.
6 al. Ἵζηται κλίνῃ τε.

* Κίων &c.) De Columnis Vid. quæ Nos ad *Iphig. Taur.* v. 57.

ANNOTATIONES.

V. 631. Δοῦλος &c.) Prius erat πρὸς, qui error ab antiquæ ſcriptionis ignoratâ ratione manavit; πρὸς pro πατρός. Hæc *Canterus*. Sic verſu ſequenti τὸν δ', pro quo, verſu ità poſtulante, ſuppoſui τοῦτον δ', ut ſequitur in Notâ proximè ſequenti. *J. Barnes.*

V. 632. Κἄν τι σοι, πόλις, γένηται, μή με, τοῦτον δ' αἰτιῶ) Ita nos Verſum reſtituimus, legendo τοῦτον pro τόν· alias τόνγε ita ex MS. τόνδ' legit illius *Scholiaſtes*; Unde & ego τοῦτον ex utriſque malis bonum feci. Quòd ſi τόνγε placeat, tum in *Latinâ* legas, —*Non me horum accuſato*. *Hugo Grotius* aliter ſanare conatur, legitque μή με σύγε· τὸν δ'. Certè ſi meâ conjecturâ illius non ſit minus felix, eſt magis audax. *Joſua Barnes.*

V. 634. Καὶ σὺ, Φοῖβ' ἄναξ Ἀγυιεῦ) Præter Scholiaſten Vid. ad *Ion.* v. 186.

V. 639. Ἔξιθ' ἐκ χώρας) Ita reſcribo pro ἔξελθ', Authoritate MS. illius laudatiſſimi, & quia metro convenientius & quia ſuprà v. 617. ἔξιθι χθονὸς Poeta ipſe dixerat. Ἀληθῶς δ' ὄνομα Πολυνείκην πατὴρ ἔθετό σοι θείᾳ προνοίᾳ &c.) In hanc rem facit Epigramma, quod Nos olim — Περὶ τῶν ὀνομάτων προγνωστικῶν fecimus.

Μῦθον Φυλακίδαο φάσ' ἄθεοι, ὅττι ἰδόντες,
Πρῶτος ἔπ' ἐκ λαοῦ πέσ' ὑφ' Ἕκτορος ἀνδροφόνοιο·
Ἀλλ' ἄθεοι ταύτῃ γε κλυτὸν εἶναι μῦθον ἔλεξαν·
Ἄρτι νέον κόσμον πλεύσας ἐξεῦρε Κόλουμβος·
Οὔνομα δ' ἡμετέροιο τίθει Οἰκονόμος Καρόλοιο,
Ἐκ θείων, τέρας ἐσθλὸν ἀνάκτορος ἐλδομένοιο.
Fabula *Phylacidæ* permultis ficta videtur,
Quòd primus populi cecidit certamine *Graii*:
Verum, *Athei* firmare fidem nunc omine vero:
Namque orbes alios invenit nando *Columbus*:
Et noſtri nomen *Caroli* dixêre *Stuartum*,
Cælitùs immiſſum noménque omènque futuri.

Vid. infrà ad v. 1500. & *Bacch.* v. 44. & v. 356. *Joſua Barnes.*

V. 641. Κάδμος ἔμολε &c.) De hoc *Cadmi* in *Bœotiam* adventu & de Bove & Dracone Vid. *Ovid.* Metamorph. l. 3. Fab. 1. *Pauſan.* in Bœot. fol. 290. lin. 44. &c. Item *Diodori Siculi* Bibliothec. l. 4. & *Apollodori* Biblioth. l. 3. c. 4. Præcipuè *Scholiaſten* in hunc locum. Vid etiam *Bacchas Euripidis* v. 171. Hunc locum autem reſpicit *Scholiaſtes* Ariſtophan. (ad illud *Acharnenſ.* fol. 280. Τὰς δ' ἂν χελιδόνας ἀκλινεῖς παρεστάναι) καὶ περὶ τούτου Εὐριπίδης λέγει· ἔτος γὰρ εἰσάγει τὸν χορὸν, οὐ τὰ ἀκόλουθα συγγινόμενον τῇ ὑποθέσει, ἀλλ' ἱστορίας τινὰς ἀπαγγέλλοντας, ὡς ἐν ταῖς Φοινίσσαις· ἐπεὶ ἐμποδὼν ἀντιλαμβανόμενοι τῆς ὑποθέσεως, ἀλλὰ μεταξὺ ἀναπαύοντας. *Joſua Barnes.*

Καὶ σὺ γ' ἐπ' ἀνθρώποις ὀνομάκλυτος ἔσεαι αὐδῆς,
'Ἀθανάτων λεχέων ἀντήσας, Ὄλβιε Κάδμε. Ταῦτα ἀκούσας Κάδμος, ἀφίκετο εἰς τὸ βουκόλιον τοῦ Πελάγοντος τοῦ Ἀμφιδάμαντος. καὶ ἀγοράσας βοῦν, καὶ ἡγεμόνα ταύτην τῆς ὁδοῦ ποιησάμενος, κτίζει τὰς Θήβας ὁμωνύμως τῶν Αἰγυπτίων Θηβῶν. ἐπεὶ τὸ ἀνέκαθεν Αἰγύπτιος ἦν ὁ Κάδμος. καὶ ἡ Βοιωτία δὲ ἀπὸ τῆς βοὸς ἐκλήθη.

2 Τύριος, ᾧ τετρασκελὴς
3 Μόσχος ἀδάμαστον πέσημα δίκε,
4 Τελεσφόρον διδοῦσα
5 Χρησμὸν, οὗ κατῴκισε.
6 Πεδία μὲν τὸ θέσφατον
7 Πυροφόρα δόμων ἔχρησε,
8 Καλλιπόταμος ὕδατος ἵνα τε
9 Νοτὶς ἐπέρχεται γυίας
10 Δίρκας χλοηφόρους,
11 Καὶ βαθυσπόρους γύας.
12 Βρόμιον ἔνθα τέκε
13 Μάτηρ, Διὸς γάμοισι,
14 Κισσὸς ὃν περιστεφὴς,
15 Ἑλικτὸς, εὐθὺς ἔτι βρέφος,
16 Χλοηφόροισιν ἔρνεσι
17 Κατασκιοῖσιν ὀλβίσας ἐνώτισε,
18 Βάκχιον χόρευμα
19 Παρθένοισι Θηβαίαισι,
20 Καὶ γυναιξὶν Εὐίοις.

Ἀντιστροφή.

1 Ἔνθα φόνιος ἦν δράκων
2 Ἄρεος, ὠμόφρων φύλαξ,
3 Νάματ' ἔνυδρα, καὶ ῥέεθρα
4 Χλοερὰ δεργμάτων κόραισι
5 Πολυπλάνοις ἐπισκοπῶν.
6 Ὃν ἐπὶ χέρνιβας μολὼν
7 Κάδμος, ὤλεσε μαρμάρῳ,
8 Κρᾶτα φόνιον, ὀλεσίθηρος
9 Ὠλέναις δικὼν βολαῖς,
10 Δίας ἀμάτορος
11 Παλλάδος φραδαῖσι,
12 Γαπετεῖς δικὼν ὀδόντας

2 Ex Tyro, cui quadrupes
3 Vitula ſponte corpus proſtravit,
4 Completum reddens
5 Oraculum, ubi habitaret.
6 Campos enim oraculum
7 Ferentes-triticum, loca ædium fore reſpondit,
8 Ubi pulchrifluus aquæ
9 Humor percurrens rigat terras
10 Dirces floriferas,
11 Et profundos habentia ſulcos arva,
12 Bacchum ubi peperit
13 Mater conceptum ex Jove,
14 Quem hederâ circumdatâ
15 Et involutâ, ſtatì adhuc puerâ
16 Virentibus frondibus
17 Obumbrantibus beans texit,
18 Bacchicâ-Feſtivitate-celebrandâ rem
19 Virginibus Thebanis,
20 Et mulieribus Evils.

Antiſtrophe.

1 Ibi ſanguinolentus erat draco
2 Martis, crudelis cuſtos,
3 Flumina & fluenta
4 Viridantia oculorum pupulis
5 Paſſim errantibus cuſtodiens.
6 Quem ad lavacra profectus
7 Cadmus, interfecit marmore,
8 Caput ſanguineum, interfector ferarum,
9 Brachiorum ſauciàns jactibus,
10 Divæ matre carentis
11 Palladis conſiliis,
12 In terram lapſos jaculatus dentes

Ἀδάμαστον) τὸ μὴ ὑπό τινος ἀναγκαζόμενον πτῶμα, ἀλλὰ αὐτοπροαίρετον. πέσημα δὲ τὸ σῶμα ἀπὸ τοῦ πεσόντος. ἢ ἀντὶ τοῦ αὐτόματον ἔβαλλεν τὸ σῶμα ἐπὶ τὴν γῆν. δίκεν γὰρ, τὸ βάλλειν. ὅθεν καὶ δίσκος. τινὲς δὲ τὸ ἀδάμαστον πέσημα, τὸ μηδέπω δεκασθὲν ζεύγλῃ σῶμα. ὑμφαίνει δὲ τὴν νέον μόσχον. Δίκε) κατέβαλε, καὶ ἐν Βάκχαις δίκετε τομεᾶς σφαγματα, Ὅπου κατῴκισε πόλιν) Ἐνταῦθα ἔκτισεν, ὅπου κατῴκησε Κάδμος τὴν πόλιν. Οὗ κατῴκισε) ἐν ἄλλοις τῶν ἀντιγράφων, ἀντὶ τοῦ ἢ κατῴκισε, κατοικίσαι. ὁ δὲ λόγος τοιοῦτος, ἀντὶ τοῦ δὲ κατοικίσαι μὲν, καὶ ὅπου κτίσαι τὰ πεδία τῶν δόμων, ὁ θεὸς ἐμαντεύσατο. ἔνθα ἡ τῆς Δίρκης πηγὴ κατάρδει τὰς γύας. Πεδία μὲν) ὥσπερ ἀπ' ἄλλης ἀρχῆς. κεῖται γὰρ νῦν ὁ μὲν, ἀντὶ τοῦ δή. ἵν' ᾖ, πεδία δὲ πυροφόρα ὁ θεὸς ἔχρησεν ἐσομένων. Ἄλλως. Ὁ νοῦς, τὸ θέσφατον δὲ ἔχρησεν ἐκεῖ οἰκεῖν μέλλων, ἔνθα ὁ καλλιπόταμος νοτὶς ἐπέρχεται τὰς γύας τῆς Δίρκης. Δίρκη δὲ ποταμὸς Θήβας, ὁμώνυμος τῇ πηγῇ. [* Βαθυσπόρους γύας) ὡς Ὅμηρος ἐριβώλακας λέγει· ἔπαινος δὲ ἐστι τῆς Θηβαίων γῆς, τὸ μὴ ξηρὰν αὐτὴν εἶναι, ἀλλὰ λιπαρὰν, καὶ εἰς βάθος παρέχουσαν ῥιζοῦσθαι τὰ σπέρματα.] 652. Ἔνθα τέκετο) ἔνθα φησὶν, ἐν Θήβῃ τὸν Διόνυσον τῷ Διῒ ἡ Σεμέλη ἔτικε· κισσὸς δὲ πανταχόθεν αὐτὸν περιεσκέπασε. τοῦ γὰρ οἴκου κεραυνωθέντος, ἐξήμβλωσεν αὐτὸν ἡ μήτηρ φοβηθεῖσα· κισσὸς δὲ περιείλιξεν. Ἄλλως. ὅντινα Διόνυσον κισσὸς ἔξωθεν περιπλακεὶς ἔτι βρέφος ὄντα, κατὰ τοῦ νώτου ἐκάλυψεν. ἱστορεῖ γὰρ Μνασέας, ὅτι τῶν Καδμείων βασιλείων κεραυνωθέντων, κισσὸς περὶ τοὺς κίονας φυεὶς, ἐκάλυψεν αὐτὸν, ὅπως μὴ αὐθημερὸν, καὶ ἐν μηδενὶ τὸ βρέφος διαφθαρῇ καλυφθέν. διὸ καὶ περικιόνιος ὁ θεὸς ἐκλήθη παρὰ Θηβαίοις. [* 657. Κατασκίοισιν) Κατάσκιος ὁ τόπος, ὁ ὑπό τινος σκιαζόμενος· ἐνταῦθα δὲ κατάσκιοι κλάδοι, οἱ σκιὰν ἐμποιοῦντες τῇ πυκνότητι τῶν φύλλων.] Ὀλβίσας ἐνώτισε) τὸ νῶτον περιείλιξε, μεγάλη γὰρ αὐτῷ δόξα, τὸ τῆς παραδόξου σωτηρίας τέλος. ὀλβίσας δὲ αὐτὸν τὸν Διόνυσον ὁ κισσὸς, ἐνώτισεν τὸ τοῦ βακχεύειν καὶ χορεύειν τὰς Θήβας αὐτόν. Γυναιξὶν εὐίοις) ταῖς Διονύσῳ χορευούσαις. καὶ τὸ εὐοῖ, εὐάν, ἐπιφθεγγομέναις. Ἔνθα φόνιος) παρὰ τῇ Δίρκῃ δεινὸς ἦν δράκων, ὠμὸς τὴν φύσιν, φύλαξ ὑπὸ τοῦ Ἄρεος κατασταθεὶς τῆς Δίρκης, πρὸς τὸ μηδένα ἀπ' αὐτῆς ὑδρεύσασθαι. Ἐπὶ χέρνιβας) ἐπὶ τὸ νίψασθαι τὰς χεῖρας. ἐβούλετο γὰρ τὴν βοῦν θύσαι τοῖς θεοῖς. ὅτι σύμβολον αὐτῷ αὐτόθι γέγονε τοῦ κτίσαι τὴν πόλιν. ὁ μὲν ἐν Ἑλλάνικος λίθῳ φησὶν ἀναιρεθῆναι τὸν δράκοντα. ὁ δὲ Φερεκύδης ξίφει. Ἄλλως. Ἐπὶ χέρνιβας, ἕνεκα τοῦ πρὸς τὴν θυσίας ὕδατος λαβεῖν μολών. ἔθυε γὰρ τῇ γῇ τὴν βοῦν. Ἄρεος ὠμόφρων φύλαξ, ὡς τὸ βασιλέως ἄρχων, ἀντὶ τοῦ βασιλέως κατασταθεὶς ἄρχων. Δεργμάτων) τῶν κορῶν τῶν ὀφθαλμῶν. Πολυπλάνοις) τῶν πανταχοῦ περιαγομένων. Χέρνιβας) χερνιπτῆρα. ὑπὸ τοῦ χέρνιψ. Ὀλεσίθηρος) τοῦ ἀπαλλάξαντος θηρός. ἢ ὀλεσίθηρος, αὐτὸς ὁ Κάδμος. 672. Δικὼν ὀδόντας) ἀντὶ τοῦ βάλλων, ἐξακοντίσας. μετοχὴ ἀντὶ ῥήματος.

* Βαθυσπόρους, Ex MS. Coll. *Corporis Chriſti Cantabrigiæ* locus hic, uncis incluſus, deſumptus erat. *Joſua Barnes.* * Κατασκίοισιν, Scholion hoc Uncis incluſum ex MS. prædicto, *Joſua Barnes.*

ANNOTATIONES.

V. 643. Πέσημα δίκε) Δίκε, ἔβαλε, κατέβαλε, Vid. Scholiaſten, item infra v. 672. & *Bacch.* v. 600. & *Herc. Fur.* v. 498. *Joſ. Barnes.*

V. 645. Κατῴκισε) Legitur in aliquibus exemplaribus κατοικίσαι. *Scaliger* legit κατῴκισεν, malè cum augmento. *Idem.*

V. 660. Εὐίοις) Editio *Hervagiana* ſola, quod ſciam, legit Εὐβοίοις.

V. 663. Ἔνυδρα) Al. ἔνυδρα Vid. *Schol.* in Paraphraſi. Et ita MS. CCC. legit.

V. 669. Ὠλέναις) Ita levi variatione ὠλέναις correxi: Alii longius à Scripturâ recedunt, qui legunt ὠλένας. MS. retinet ὠλέναις Et *Schol.* explicat χειρῶν. *Joſua Barnes.*

Εἰς βαθυσπόρους γύας.
Ἔνθεν ἐξανῆκε γᾶ
Πανοπλον ὄψιν ὑπὲρ ἄκρων
Ὅρων χθονός. σιδαρόφρων
Δέ νιν φόνος πάλιν ξυνῆψε φίλα γᾶ.
Αἵματος δ' ἔδευσε
Γαῖαν, ἅ νιν εὐηλίοισι
Δεῖξεν αἰθέρος πνοαῖς.

Ἐπῳδός.

Καί σε τὸν προμάτορος
Ἰοῦς ποτ' ἔκγονον
Ἔπαφον, ὦ Διὸς γένεθλον,
Ἐκάλεσ', ἐκάλεσα
Βαρβάρῳ βοᾷ.
Ἰὼ βαρβάροις λιταῖς
Βᾶθι, βᾶθι τάνδε γᾶν,
* Σοί νιν ἔκγονοι κτίσαν. * al. Σῷ νιν ἐκγόνῳ vid. Schol.
Αἳ διώνυμοι θεαί

In profundos habentia ſulcos arva:
Unde mox emiſit terra
Armatum ſpectaculum ſupra ſummos
Fines terræ *i. e. ſupra terræ ſuperficiem.* ferrea
Verò cædes ipſum rurſus conjunxit charæ terræ.
Sanguine verò rigavit
Terram, quæ ipſum lucidis
Oſtendit cœli flatibus.

Epodus.

Et te ex avià
Io quondam natum
Epaphum, ô Jovis fili,
Vocavi, vocavi
Barbarâ voce.
Iò barbaris precibus
Veni, veni in hanc terram,
Tibi eam poſteri conditam coluerunt.
Ubi deæ binomines (*i. e. duæ*)

Ἔνθεν ἐξανῆκε γᾶ) διὰ τῶν ὀδόντων ἐξανῆκεν ἡ γῆ ὁπλοφόρους ἄνδρας. εἰσὶ δὲ οἱ ἐπιλέξ αὐτῶν ὑπολειφθέντες, Πέλωρ, Ἐχίων, Χθόνιος, Ὑπερήνωρ. καὶ δὲ Γημαγόρας, καὶ Κρέων. Ἄλλως. Ὁ μὲν Στησίχορος ἐν Εὐρωπείᾳ τὴν Ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησίν. ὁ δὲ Ἀνδρωτίων, σπεῖραι αὐτοὺς φησί, διὰ τὸ ἀκολουθῆσαι τῷ αὐτῷ ἐκ Φοινίκης Κάδμῳ, στρατιὰν εἰκάσαι. Ἀμφίλοχος δὲ, διὰ τὸ ἐπισπεῖσθαι τοῖς οἰκοῦσιν ἐν Θήβαις. Διονύσιος δὲ ἐν Βοιωτίοις αὐτοὺς φησίν. ἔνιοι δὲ παῖδας Κάδμου αὐτοὺς φασιν, ἐκ διαφόρων γυναικῶν γενομένους. Ὑπὲρ ἄκρων ὅρων γῆς) εἰς τὴν ἐπιφάνειαν τῆς γῆς. Σιδαρόφρων δέ νιν) τὸ νὶν πρὸς τὸ ὄψιν. Ξυνῆψεν) ἥνωσε τῇ προσφιλεῖ γῇ. Σιδαρόφρων) ὅτι φησὶν ἀναφανέντες ἐκ γῆς ὁμοῦ τῇ πανοπλίᾳ, εὐθὺς ἅμα τῷ φανῆναι, ἀλλήλους ἐφόνευσαν. τὸ δὲ νὶν πρὸς τὴν ὄψιν ἀπέδωκε. τουτέστιν αὐτὴν δὲ τὴν πανοπλίαν, ὄψιν, τὴν ἀναδοθεῖσαν ἐκ γῆς, ὁ καθ' ἀλλήλων φόνος, πάλιν εἰς γῆν κατήνεγκε. τὴν δὲ ὄψιν ὅταν λέγῃ, τοὺς ἄνδρας σημαίνει. Καί σε τὸν προμάτορος Ἰοῦς ποτ' ἔκγονον. Ἔπαφον) τῆς ἐπῳδῆς ταύτης τὰ κῶλα ιϛ'. τὸ α' τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ β' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τὸ α' ποδὸς χορείου. εἰ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ διϊάμβου καὶ συλλαβῆς. τὸ δ' τροχαϊκὸν πενθημιμερὲς, ἐκ χορείων β' καὶ συλλαβῆς. τὸ ε' ὅμοιον τροχαϊκὸν πενθημιμερὲς καθαρόν. τὸ ϛ', ἀντισπαστικὸν δίμετρον, καταληκτικὸν φερεκράτειον, ἐξ ἀντισπάστου, καὶ κρητικοῦ. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς ἰάμβου ἀρχόμενον. τὸ ζ', τὸ θ', τὸ ι', ὅμοια τῷ α', τροχαϊκὰ Εὐριπίδεια. τὸ ια' ὅμοιον τῷ ε'. τὸ ιβ' ἰαμβικὸν πενθημιμερές. τὸ ιγ' ἰαμβικὸν, ὅμοιον τῷ ιβ'. τὸ ιδ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, καθαρόν. τὸ ιϛ' τροχαϊκὸν Εὐριπίδειον, ὅμοιον τῷ α'. ἐπὶ τῷ τέλει κορωνὶς, καὶ παράγραφος. 683. Ἔπαφον) Ἔπαφος ἐκλήθη, ὅτι ὁ Ζεὺς ἐπαφησάμενος τῆς Ἰοῦς, πάλιν εἰς γυναῖκα αὐτὴν μετεμόρφωσε, καὶ σὲ ἐπικαλέσομαι, ὦ Ἔπαφε, ὃς Ἰοῦς καὶ Διὸς γένεθλον ὑπάρχεις· ἐλθὲ δὲ σωτὴρ εἰς τὰς Θήβας ταῖς ἡμῶν λιταῖς ἐπινεύσας. οἱ γὰρ σοὶ ἔκγονοι, καὶ τὰ ἑξῆς. Σοί νιν ἔκγονοι) ὁ σὸς ἔκγονος Κάδμος ὁ Ἐπάφου τὰς Θήβας ἔκτισε, τούτῳ τῷ τόπῳ, ἐν ᾧ αἱ διώνυμοι θεαὶ ᾤκησαν. δεδόσθαι γὰρ τὰς Θήβας τῇ Περσεφόνῃ ὑπὸ τοῦ Διὸς ἀνακαλυπτήρια, ὡς Εὐφορίων. Ἀλλ' ὑπὸ Θήβῃ πεπτωμένα κεῖτο τάλαντα. Τὴν ῥά ποτε Κρονίδης δῶρον πόρε Περσεφονείῃ, Ἐς γαμετὴν ὅτε πρῶτον ὀπωπήσεσθαι ἔμελλε, Νυμφιδίῃ ἐπί μοι παρθενικὴν καλύπτραν κρηδέμνων γέρας. Σῷ νιν ἐκγόνῳ κτίσαν, ἵν' ᾖ τῷ ἐκγόνῳ (ἐκ τοῦ Κάδμου, αἱ θεαὶ κατῴκησαν) τὰς Θήβας. γέγονε δὲ περὶ τὴν ἀρχὴν ἁμάρτημα. ἐπ' ἄρχοντος γὰρ Ἀθήνησιν Εὐκλείδου, μήπω τῶν μακρῶν εὑρημένων, τοῖς βραχέσιν ἀντὶ μακρῶν ἐχρῶντο, τῷ ε ἀντὶ τοῦ η, καὶ τῷ ο ἀντὶ τοῦ ω. ἔγραφον οὖν τῷ δήμῳ μετὰ τοῦ ο δήμοι. μὴ νοήσαντες δὲ καὶ ὅτι κατὰ τὴν ἀρχαίαν γραφὴν καὶ δεῖ μετατιθέναι τὸ ο εἰς τὸ ω μέγα, ἐπέραξαν τὸ νοητόν. 689. Αἳ διώνυμοι) τὸ αἳ Δωρικόν ἐστιν, ἀντὶ τοῦ ἧ, ὅ ἐστιν ὅπου. τὸ δὲ ἐκτίσαντο, ἀντὶ τοῦ ᾤκησε. ὡς τὸ ὀρικτίτους, παρὰ Πινδάρῳ, ἀντὶ τοῦ ὀρεοίκους. ἱερὰν δὲ τῆς Δήμητρος τὴν Θήβην εἶπεν, ἢ διὰ τὸ εὔκαρπον, ἢ ἐπεὶ πάντα τὰ ἐκ γῆς φυόμενα, ἱερὰ τῇ θεῷ. καὶ οἱ καρποὶ οὖν ἐκ τῆς γῆς. Διώνυμοι δὲ πρόσεισιν ἡ μὲν κόρη καὶ Περσεφόνη, ἡ δὲ Δημήτηρ καὶ γῆ καλεῖται. ἡ μὲν πρεσβυτέρα, ἡ δὲ νεωτέρα.

ANNOTATIONES.

V. 681. Καί σε τὸν προμάτορος Ἰοῦς) Idem ferè paulò poſt ad v. 835. Hæc autem Fabula tractatur ab *Æſchylo* in *Prometheo Vincto*, & ab *Apollodoro* Biblioth. l. 2. c. 1. §. 3. & 4. Item ab *Ovidio* Metamorph. l. 1. fab. 11, 12, 13. *Joſua Barnes.*

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Κάδμος ἦλθεν εἰς τήνδε τὴν γῆν ὁ Τύριος, ἣ χθὼν ἡ τετράπους μόσχος ἔρριψεν ἑαυτὴν αὐτόματον πῶμα, οὐχ ὑπό τινος ἀνάγκης γενόμενος πτῶμα, δεδοῦσα τέλος φέροντα τὸν χρησμὸν, ὅτι οἰκεῖος ἐποίησε πεδία τὰ σιτοφόρα τῶν δόμων, ὁ χρησμὸς ἔχρησε κτίσθαι δηλονότι. ὅπου τε ἡ καλλιπόταμος νοτὶς τοῦ ὕδατος τῆς Δίρκης ἐπέρχεται τὰς βοτανηφόρους αὔλακας τῆς γῆς, καὶ βαθυσπόρους, ἔνθα τὸν Διόνυσον ἔτικτεν ἡ μήτηρ αὐτοῦ ἡ Σεμέλη διὰ τοῦ γάμου τοῦ Διός. ὅν ποτε τὸν Διόνυσον εὐθὺς ἔτι βρέφος ὄντα κισσὸς φυσὶν, ἕλιξ ὢν ἑλίσσεσθαι κύκλῳ, ἐσκέπασε μακάριον δεῖξας, κλάδοις, χλοηφόροις κατασκίοις. κισσὸς δὲ εἰπών, ἐπάγει βακχεῖον χόρευμα. ἤγουν λέγει χόρευμα βακχικὸν, τῶν παρθένων τῶν Θηβαίων, καὶ τῶν γυναικῶν, τῶν εὐϊων, ἤγουν τῶν βακχικῶν. Ἔνθα δράκων ἦν τοῦ Ἄρεως φονικὸς, ἄγριος, ἀπηνὴς, φύλαξ τῆς πηγῆς δηλονότι· τὰ νάματα τὰ ἔνυδρα, καὶ τὰ ὑγρὰ ῥεῖθρα ἐφορῶν ὀφθαλμοῖς, ἐπὶ πολλὰ διάγουσι τὸ βλέμμα, καὶ σκοπευομένοις. ὃν ὁ Κάδμος ὁ ὀλεσίθηρος ἐπὶ θυσίας ἐλθὼν, ὀλέσας, λίθῳ βαλὼν αὐτὸν βολαῖς χειρῶν κατὰ τὸ κρᾶτα τὸ φόνιον, κατὰ βουλὰς τῆς ἐνδόξου Ἀθηνᾶς, ἢ τῆς ὑπὸ τοῦ Διὸς τῆς ἀμήτορος, ἔσπειρε χαμαιριφεῖς τοὺς ὀδόντας αὐτοῦ, εἰς αὔλακας βαθυσπόρους. ὅθεν ἀνέδωκεν ἡ γῆ ὡπλισμένους ἄνδρας ἐπάνω τῆς ἐπιφανείας τῆς γῆς. σιδηρόφρων δὲ φόνος πάλιν ἥνωσεν αὐτὴν, (ἤγουν πάνοπλον ὄψιν ἀνδρῶν) τῇ προσφιλεῖ γῇ. ὑπὸ δὲ τοῦ αἵματος αὐτῆς ἔδευσε τὴν γῆν. ἥτις, ἤγουν ἡ γῆ, ἔδειξεν αὐτὴν ταῖς πνοαῖς τοῦ αἰθέρος, ταῖς εὐκόλοις ὑπὸ τοῦ ἡλίου φωτιζομέναις. καὶ δή σε, ὦ γένεθλον, τοῦ Διὸς, τὸν Ἔπαφον λέγει, τὸν υἱὸν τῆς ποτε Ἰοῦς τῆς προμήτορος ἡμῶν, ἀντὶ τοῦ τῶν ἀρχόντων ἡμῶν. οἰκειοῦται γὰρ τὰ τῶν δεσποτῶν. ἐπικαλοῦμαι βαρβαρικῇ βοῇ, βαρβαρικαῖς λιταῖς. τὸ δὲ ἰὼ διὰ μέσου. βᾶθι, ἤγουν ἐλθὲ εἰς τήνδε τὴν γῆν. οἱ σοὶ ἀπόγονοι ἔκτισαν αὐτὴν ἐκεῖ, ὅπου αἱ διτταὶ θεαὶ, ἡ Περσεφόνη, καὶ ἡ προσφιλὴς Δημήτηρ, ἡ θεὰ ἡ γῆ, ἡ πάντων ἄνασσα, πάντων δὲ τροφὸς, ἐκτίσαντο καὶ κατῴκισαν. ἣ τὴν κτίσιν ἔχει· πέμπε σιτοφόρους θεὰς, ταύτας δηλονότι, τὴν Δήμητρα καὶ τὴν Περσεφόνην, βοηθῆσαι τῇδε τῇ γῇ. πάντα δὲ εὔκολα τοῖς θεοῖς.

10 Περσέφασσα, καὶ φίλα
11 Δαμάτηρ θεὰ, ἁπάντων
12 Ἄνασσ', ἁπάν-
13 των δὲ γᾶ τροφὸς,
14 * Ἐκτήσατο· πέμπε πυρφόρους * al. ἐκτίσαντο.
15 Θεὰς ἀμύνειν τᾷδε γᾷ.
" 16 Πάντα δ' εὐπετῆ θεοῖς.

10 Proſerpina, & amica
11 Ceres dea, omnium
12 Domina (omni-
13 um enim tellus eſt altrix)
14 Habitârunt, mitte frugiferas
15 Deas ad opem ferendam huic terræ.
" 16 Omnia enim facilia ſunt diis.

ANNOTATIONES.

V. 694. Πυρφόρους) Ita *Scholiaſtes* exponit per σιτοφόρους & ita ; ἀντικαλλάβιος MS. legit ; quare πυρφόρες rejicio. *Joſua Barnes.*

ARGUMENTUM *Actûs* Tertii.

ETeocles *cum* Creonte *de Urbis Defenſione conſultat & futurâ Belli imminentis adminiſtrandi ratione.* Creon *ſuadet, ut nequid præcipitanter agat, ſed ubique occaſionem captet; interim ſe & ſuos intrà Mœnia contineat.* Eteocles *præ impatientiâ ad Pugnam feſtinans, Domum* Creonti *commendat & quid porrò fieri velit, imperat.* Chorus Thebarum *miſerias depingit & mala ex* Oedipi *parricidio ac inceſtu ſcaturientia:* Polynicen *denique obliquè taxat, qui in Urbem tam antiquæ Nobilitatis & Famæ hoſtilitèr venerit.* Tireſias *à* Creonte *de rerum ſummâ conſultus reſpondet, Cladem* Thebis *imminentem non niſi magno Piaculo poſſe averti: Quod cùm ille prodere recuſaret, ut qui ſciret, Rem illam* Creonti *ingratam futuram, à* Creonte *tandem coactus, affirmat, filium ejus* Menœceum *à Marte ad necem depoſci, in vindictam* Martii Draconis *à* Cadmo *olim occiſi.* Creon, *excidium potiùs Patriæ, quàm Filii mortem, viſurus, aliò eum cenſet ablegandum. Ille autem, re intellectâ, clam Patre, ad necem voluntariam obeundam ſe accingit.* Chorus Sphyngis *in* Thebanos *Crudelitatem memorat,* Oedipique, *qui Monſtro illo Patriam liberârat, in regnum ſucceſſionem:* Menœcei *denique Virtutem celebrat, qui pro Patriâ oppetere nequaquam dubitabat.*

ΕΤΕΟΚΛΗΣ, ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΤΕΙΡΕΣΙΑΣ, ΜΕΝΟΙΚΕΥΣ.

Ἴαμβοι.

Ετ. Χώρει σὺ, καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν μητρὸς Ἰοκάστης ἐμῆς,
Λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
Θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,
Πρὶν εἰς μάχην τε καὶ δορὸς τάξιν μολεῖν.
Καί τοι ποδῶν σῶν μόχθον ἐκλύει παρὼν·
Ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στείχοντ' ἐμούς.
Κρε. Ἦ πόλλ' ἐπῆλθον εἰσιδεῖν χρῄζων σ', ἄναξ
Ἐτεόκλεες· πέριξ δὲ Καδμείων πύλας
Φύλακάς τ' ἐπῆλθον, σὸν δέμας θηρώμενος.
Ετ. Καὶ μὴν ἐγώ σ' ἔχρῃζον εἰσιδεῖν, Κρέον.
Πολλῷ γὰρ εὗρον ἐνδεεῖς διαλλαγὰς,
Ὡς εἰς λόγους συνῆψα Πολυνείκει μολών.
Κρε. Ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν,
Κήδει τ' Ἀδράστου, καὶ στρατῷ * πεποιθέναι. * an πεποιθότα.
" Ἀλλ' εἰς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν.

Ete. VAde tu, & adduc Menœcei filium,
Creontem, fratrem meæ matris Iocaſtæ,
Dicens hæc, quòd de privatâ & publicâ ſalute terræ
Velim cum ipſo conferre conſilia,
Priuſquam veniamus in pugnam, & ad aciem.
Atqui pedum tuorum labore liberat te præſens:
Video enim ipſum venientem ad domum meam.
Cre. Profectò multa loca perambulavi videre te cupiens, ô rex
Eteocles: undique autem portas Cadmæorum
Et cuſtodes acceſſi, te quærens.
Ete. Atqui ego volebam te videre, ô Creon.
Omnino enim inveni inutiles reconciliationes,
Poſtquam in colloquium veni cum Polynice.
Cre. Audivi ipſum majus quiddam cogitare, quàm Thebas,
Affinitateque Adraſti, & exercitu fretum confidere.
" Verùm oportet iſta deorum arbitrio permittere.

Χώρει σὺ) αἱ συστηματικαὶ αὗται περίοδοι, καὶ οἱ ἑξῆς ἀμοιβαῖοι στίχοι, ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ϛδ', ὧν τελευταῖος, Προσδεξόμεθα πῶς δ' ἂν διασῶσαι πόλιν. ἐπὶ ταῖς ὑποθέσεσι περάγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Χώρει σὺ) δεῖ νοεῖν, ὅτι τῷ χορῷ φάσκοντι, ἴσως μὴν ὁ Ἐτεοκλῆς. πῶς δὲ ἔξεστιν ἀκαίρως, ἐπιταχθεὶς καλέσαι τὸν Κρέοντα. [* Χωρῶ, τὸ δέχομαι, οἷον τοσοῦτον ὕδωρ τόδε τὸ ἀγγεῖον χωρεῖ, ἀφ' οὗ χώρα· καὶ τὸ Ἐκχωρεῖν, τὸ ἐνδέχεσθαι. Συγχωρῶ, ὅταν ἑκὼν ἀπολύω τι· καὶ Παραχωρῶ, ὅταν ἄκων ἀπολύω. καὶ Προχωρεῖ ἀντὶ τοῦ προβαίνει, καὶ Ἀναχωρεῖ, ἀντὶ τοῦ ἐπιστρέφει, καὶ Ἀποχωρεῖ, ἀντὶ τοῦ ἀφίσταται, καὶ Ὑποχωρεῖ ἀντὶ τοῦ ὑπεξίσταται. 699. Οἰκεῖα καὶ κοινὰ) τουτέστιν ἐμοῦ ἴδια καὶ κοινὰ τῆς χθονὸς, ἤγουν καὶ ἐμοῦ περὶ πάσης τῆς γῆς. Διττῶς δὲ δύναται ταῦτα νοεῖσθαι· λέγοιντο γὰρ ἂν βουλεύματα ἴδια ἐμοῦ, ἢ διότι ἐγὼ αὐτὰ ἰδίως συνεβούλευσα, ἢ διότι περὶ ἐμοῦ ἐγὼ αὐτὰ συμβουλεύω, ἢ ἕτερος. Καὶ κοινὰ τῆς χθονὸς, ἢ διότι κοινῶς αὐτὰ ἡ γῆ συμβουλεύει, ἢ διότι ἕτερος αὐτὰ περὶ αὐτῆς ὅλης πάσης συμβουλεύει, ἢ αὐτὴ περὶ ἑαυτῆς.] Συμβαλεῖν) βουλεύσασθαι, καὶ ἀνακοινώσασθαι λόγους. Δορὸς τάξιν) πολέμου παράταξιν. Ἦ πόλλ' ἐπῆλθον) ὄντως ἐπὶ πολλοὺς τόπους ἐπέδραμον χρῄζων εἰσιδεῖν σε, βασιλεῦ. περιῆλθον γὰρ τὰς τῶν Καδμείων πύλας, καὶ φύλακας, ζητῶν τὸ σὸν δέμας, περιφραστικῶς, ἤγουν σέ. Καὶ μὴν) πάντως κἀγὼ ἤθελον σε ἰδεῖν, ὦ Κρέον. καὶ γὰρ πολὺ γὰρ εὗρον ἐνδεεῖς τὰς φιλιώσεις, ἡνίκα εἰς λόγους ἐλθὼν ἐγενόμην τοῦ Πολυνείκει. ἐλθὼν γὰρ εἰς λόγους τῷ Πολυνείκῃ, πολὺ εὗρον ἀτελεῖς τὰς διαλλαγὰς ἡμῶν. ἢ οὕτως. πολὺ λειπομένας τὰς συμβολὰς εἰς τὸ φιλιῶσαι, δοκῶν διαλλάττεσθαι πρὸς Πολυνείκην· ὥστε ὑπολείπεται πολεμεῖν. [709. * Συνῆψα) συνάπτω ἕτερον ἑτέρῳ. καὶ συνάπτω ἐγώ τινι, ἤγουν ἑνοῦμαι, καθὸ λέγεται ἐνταῦθα.] Ἤκουσα μεῖζον) ἤκουσα αὐτὸν φρονοῦντα μεῖζον, ἢ κατὰ δύναμιν Θηβῶν, ἀλλὰ τῇ συγγενείᾳ τοῦ Ἀδράστου, καὶ τῷ στρατῷ θαρροῦντα. Ἀλλ' εἰς θεοὺς) Ἀλλὰ ταῦτα μὲν τῷ θεῷ ἀναθετέον. καὶ ἔστιν ὅμοιον τῷ παρ' Ὁμήρῳ, Ἀλλ' ἤτοι ταῦτα θεῶν ἐν γούνασι κεῖται. Καὶ, Ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις. Ἃ δ' ἔστιν ἐμπόδιον, ἢ ἐν ποσὶν, ταῦτα παρῆλθον λέξων.

* 699. Χωρῶ &c. Hæc omnia uſque ad Συμβαλεῖν, ex MS. prædicto deprompſimus. *Joſua Barnes.* * Quæ *Aſteriſcis* notantur & Uncinis ſtringuntur, ex MS. Coll. *C. C. C. Joſua Barnes.*

Ἃ δ᾽ ἐμποδὼν μάλιστα, ταῦθ᾽ ἥκω φράσων.
Ετ. Τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.
Κρέ. Ἥκει τις * αἰχμάλωτος Ἀργείων πάρα.
Ετ. Λέγει δὲ δὴ τί τῶν ἐκεῖ νεώτερον; * ὁ αὐτόμολος.
Κρέ. Μέλλειν πέριξ πύργοισι Καδμείων πόλιν
Ὅπλοις ἑλίξειν αὐτίκ᾽ Ἀργείων στρατόν.
Ετ. Ἐξοιστέον τἄρ᾽ ὅπλα Καδμείων πόλει.
Κρέ. Ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς ἃ χρή σ᾽ ὁρᾶν;
Ετ. Ἐκτὸς τάφρων τῶνδ᾽, ὡς μαχουμένους τάχα.
Κρέ. Σμικρὸν τὸ πλῆθος τῆσδε γῆς· οἱ δ᾽ ἄφθονοι.
Ετ. Ἐγᾦδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.
Κρέ. Ἔχει τιν᾽ ὄγκον Ἄργος Ἑλλήνων πάρα.
Ετ. Θάρσει, τάχ᾽ αὐτῶν πεδίον ἐμπλήσω φόνου.
Κρέ. Θέλοιμ᾽ ἄν· ἀλλὰ τοῦθ᾽ ὁρῶ πολλοῦ πόνου.
Ετ. Ὡς οὐ καθέξω τειχέων εἴσω στρατόν.
Κρέ. Καὶ μὴν τὸ νικᾶν ἐστι πᾶν εὐβουλία.
Ετ. Βούλει, τράπωμαι δῆθ᾽ ὁδοὺς ἄλλας τινάς;
Κρέ. Πάσας γε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.
Ετ. Εἰ νυκτὸς αὐτοῖς προσβάλοιμεν ἐκ λόχου;
Κρέ. Εἴπερ σφαλείς γε, δεῦρο σωθήσῃ πάλιν;
Ετ. Ἴσον φέρει νύξ· τοῖς δὲ τολμῶσιν, πλέον.
Κρέ. Ἐνδυστυχῆσαι δεινὸν εὐφρόνης κνέφας.
Ετ. Ἀλλ᾽ ἀμφὶ δεῖπνον οὖσι, προσβάλω δόρυ;
Κρέ. Ἔκπληξις ἂν γένοιτο· νικῆσαι δὲ δεῖ.
Ετ. Βαθύς γέ τοι Διρκαῖος ἀναχωρεῖν πόρος.
Κρέ. Ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
Ετ. Τί δ᾽, εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν;
Κρέ. Κἀκεῖ πέφρακται λαὸς ἅρμασιν πέριξ.
Ετ. Τί δῆτα δράσω; πολεμίοις δώσω πόλιν;
Κρέ. Μὴ δῆτα· βουλεύου δ᾽, ἐπείπερ εἶ σοφός.
Ετ. Τίς οὖν πρόνοια γίνεται σοφωτέρα;
Κρέ. Ἑπτ᾽ ἄνδρας αὐτοῖς φασιν, ὡς ἤκουσ᾽ ἐγώ.

Quæ verò nobis impedimento ſunt maximè, hæc venio dicturus.
Ete. Qualia ſunt iſta? non intelligo enim tuum dictum.
Cre. Venit tranſfuga quiſpiam ab Argivis.
Ete. Dicit nè aliquid novi de rebus, quæ ibi ſunt?
Cre. Quòd undique circum turres Thebanam civitatem
Statim armis circumdaturus ſit Argivorum exercitus.
Ete. Sunt igitur urbi Cadmæorum efferenda arma.
Cre. Quò? num juven. ferociens nō vides, quæ oportebat te videre?
Ete. Extra foſſas iſtas, quòd pugnaturi ſimus citò.
Cre. Exigua eſt multitudo hujus agri; illi verò ſunt innumeri.
Ete. Scio illos feroces eſſe verbis.
Cre. Habet aliquas vires apud Græcos Argos.
Ete. Confide; citò implebo campos eorum ſanguine.
Cre. Velim equidem, ſed hoc video magni laboris.
Ete. *Scito*, quòd non continebo copias intra mœnia.
Cre. Atqui tota victoria pendet à conſilio.
Ete. Vis igitur, ut me convertam ad alias aliquas vias?
Cre. Ad omnes potiùs, priuſquam ad periculum ſemel venias.
Ete. Quid ſi noctu impetum faciamus in eos ex inſidiis?
Cre. Si verò eventu ſperato excidas, huc ſalvus redibis iterum?
Ete. Nox pariter commoda utriſque, ſed audenti magis.
Cre. Res atrox eſt, in periculum incidere noctis in tenebris.
Ete. Verum dum cœnabunt, in eos impetum faciam?
Cre. Terrorem tantum feres: oportet autem vincere.
Ete. Vadum verò Dircæum profundum eſt ad recedendum.
Cre. Omnia ſunt deteriora, quàm cuſtodire rectè civitatem.
Ete Quid vero, ſi equitatu adoriamur exercitum Argivorum?
Cre. Et ibi exercitus curribus undique ſeptus eſt.
Ete. Quid igitur faciam? An dedam urbem hoſti?
Cre. Nequaquam: ſed delibera, ſi quidem es ſapiens.
Ete. Quod igitur conſilium erit ſapientius?
Cre. Aiunt apud hoſtes eſſe ſeptem viros, ut ego audivi.

Ἥκει τις) ἴσως κατάσκοπος ληφθείς, νύκτωρ σταλείς. Ὅπλοις ἑλίξειν) πολιορκήσειν. Ἄλλως. περιελίξειν, ἀντὶ τοῦ περιελίξειν, ἤγουν κυκλώσειν. Ἐξοιστέον) ἀνάγκη τῇ πόλει ἐξενεγκεῖν ὅπλα. Ἄλλως. ἐκεῖνον δέον καὶ τὰς Θήβας ἐξενεγκεῖν ὅπλα, καὶ παρατάξασθαι. Ἄλλως. ἄξιον ἄρα ἐστὶ τῇ πόλει τῶν Καδμείων ἐξοίσειν ὅπλα, ἀντὶ ὡπλισμένους ἄνδρας. Μῶν νεάζων) ἐρωτηματικῶς ἀναγνωστέον. οὐκ ἐᾷ δὲ αὐτὸν ἐξελθεῖν. Ἔχει τιν᾽ ὄγκον) ὅ ἐστιν, ὑπολήψεις ἔχει παρὰ τοῖς Ἕλλησι. τινὲς δὲ τὸ Ἄργος Ἑλλήνων, τὸ Ἑλληνικὸν Ἄργος, ἵνα πλεονάζῃ ἡ παρά. ὁ δὲ νοῦς, ἔχει τινὰ δύναμιν τὸ Ἑλληνικὸν Ἄργος. Θάρρει) τῷ αὐτῶν φόνῳ τὸ ἐμὸν πεδίον πληρώσω. Ὡς οὐ καθέξω) ἤδη, ὅτι οὐκ ἐπισχήσω τὸν στρατὸν ἐντὸς τῶν τειχῶν. Καὶ μὴν τὸ νικᾶν) ἀκολουθεῖ γὰρ τῇ εὐβουλίᾳ τὸ νικᾶν, καὶ ἡ εὐβουλία ἔχει τὸ κράτος ἐν ταῖς νίκαις. ὡς τὴν δύναμιν τῆς Νίκης καὶ τὴν ἐνέργειαν οὐκ ἄλλο τι ἢ ἡ εὐβουλίαν αὐτόχρημα. Βούλει τράπωμαι) βούλει ἵνα διανοήσωμαι μεθόδους ἄλλας καὶ αἰτίας βουλευμάτων. Πάσας τράπηθι, πρὶν ἐλθεῖν ἐς κίνδυνον. Εἰ νυκτὸς) εἰ συμπλακείημεν αὐτοῖς νύκτωρ ἐκ λόχου [illegible].

Ἴσον φέρει νύξ.) ἑκατέρῳ μὲν στρατεύματι ἐπίσης ἐμποδίζει τὸ τῆς νυκτὸς σκότος, τοῖς μέν τι [illegible], πλέον τι παρέχει πρὸς νίκην [illegible], ἢ οὕτως καὶ τοῖς ἐπιχειροῦσι, καὶ τοῖς ἐπιχειρουμένοις, ἴσον παρέχει ἡ νὺξ ἐμπόδιον. τοῖς δὲ τολμηροτέροις, τὴν νίκην χαρίζεται. Ἐνδυστυχῆσαι) ἡ ἐν ἀντὶ τῆς κατά. ὁ δὲ νοῦς, δυστυχῆσαι τινὰ κατὰ τὸ σκότος τῆς νυκτὸς χαλεπόν ἐστιν. Ἔκπληξις) ἀντὶ τοῦ ταραχὴ μόνον γίνεται αὐτοῖς, οὐ μέντοι ἧττα, ἐπεὶ εἰκὸς αὐτοὺς ἐνόπλους δειπνεῖν. 737. Βαθύς γέ τοι) τοῦτό φησιν, ὡς [illegible], καὶ δεῖ ἐξαίφνης ἐπιθέσθαι, μήπως τραπέντες [illegible] κατ᾽ αὐτῶν περᾶν τὸν ποταμὸν βαθὺν ὄντα οὐ δυνησόμεθα. Δίρκη δὲ ποταμὸς ὁμώνυμος τῇ κρήνῃ, βαθύς, πλατύς. Ἅπαν κάκιον) ἅπαν δεύτερον καὶ χεῖρον, πᾶν ὅπερ μὴ φυλαττόμενον, τοῦ φυλαττομένου ἀκριβῶς χεῖρόν ἐστιν. Ἄλλως. τὰ πάντα δεύτερα τῆς εὐλόγου ἀσφαλείας. Τί δ᾽, εἰ καθιππεύσαιμεν) τί δὲ ἄρα πλέον ἡμῖν ἔσται, εἰ πάντες ἐφ᾽ ἵππων ὁρμήσωμεν κατ᾽ αὐτῶν. 740. Κἀκεῖ πέφρακται) κἀκεῖ ἠσφάλισται ἅρμασιν ἐν κύκλῳ ὁ στρατός. Τί δῆτα δράσω) ἀγανακτῶν δυσχεραίνει, ἐπεὶ πάντα, ὅσα εἶπεν, ἀποδοκιμάζει, φησί· θέλεις οὖν παραδῶ τὴν πόλιν. [* 743. Γίνεται) ἀντὶ τοῦ γένηται· σύνηθες τραγικοῖς χρῆσθαι ὁριστικῷ ἀντὶ ὑποτακτικοῦ, ὡς ἐν ἄλλοις Οὗτος — ὡς ἂν [illegible] σῖγον, Μή τις πολιτῶν ἐν τείχει φαντάζεται. Καὶ παρ᾽ Ὁμήρῳ, — ἵνα εἴδομεν ἄμφω, ἀντὶ τοῦ εἰδῶμεν.] Ἑπτ᾽ ἄνδρας) τὸ ἑξῆς, ἑπτὰ ἄνδρας ἐν αὐτοῖς φασὶ λόχων ἀνάσσειν, καὶ αὐτὸς εἶναι.

* Ex MS. C.C.C. ſumptum.

ANNOTATIONES.

V. 727. Ὡς οὐ καθέξω) Olim Ἴσθι, in principio addebatur, ex gloſſâ, ut puto, in textum irrepens; cùm autem cautè omnia nobis erant decernenda, primò ita ſumus ratiocinati. Vel τὸ Ἴσθι omninò tollendum eſt, & ſubintelligi tantùm debet, (uti *Cantero* placet, Vid. Lection. Novar. l. 4. c. 1.) vel certè διὰ μέσου legendum, ut v. 611. hujus fabulæ ὦ θεοί. Vid. *Æmylium Portum* in locum. At cum jam Video non modò à *Scholiaſte* omiſſum τὸ Ἴσθι, ſed etiam à toties laudato MS. CCC. omninò ejiciendum duxi. *J. Barnes.*

V. 731. Προσβάλοιμεν) MS. προσβάλωμεν &c.

V. 732. Εἴπερ σφαλείς γε δεῦρο σωθήσῃ πάλιν) Ità quidem vetus *Aldi* editio, quam frequentèr rectam reperi: Ità MS. noſtrum C.C.C. *Canterus* quoque ita legit. Sed & alia lectio non minùs placet, σωθήσῃ, ſive σ᾽ ὠθήσῃ pro eodem. Tum autem legendum ſine notâ quæſtionis & ſic debet exponi, *ſiquidem victus, huc iterum repelleris.* Codex *Heinſio-Scaligerianus* in hâc parte minùs placet, quòd σφαλῇς legat; quàm participium æquè ſufficiat. *Joſua Barnes.*

V. 739. Στρατόν) Deleo στρατὸν & στρατὸς lego, Ita MS. & ſaniores libri.

Ετε. Τί

Ετ. Τί προστετάχθαι δρᾶν; τὸ γὰρ σθένος βραχύ.
Κρέ. Λόχων ἀνάσσειν, ἑπτὰ προσκεῖσθαι πύλαις.
Ετ. Τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μενῶ.
Κρέ. Ἑπτ' ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ.
Ετ. Λόχων ἀνάσσειν, ἢ μονοστόλου δορός;
Κρέ. Λόχων, προκρίνας οἵπερ ἀλκιμώτατοι.
Ετ. Ξυνῆκ'· ἀμύνειν τειχέων * προσαμβάσεις.
Κρέ. Καὶ ξυστρατηγούς. Εἷς δ' ἀνὴρ οὐ πάνθ' ὁρᾷ.
Ετ. Θάρσει προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ;
Κρέ. Ἀμφότερον, ἀπολειφθὲν γὰρ οὐδὲν θάτερον.
Ετ. Ἔσται τάδ'· ἐλθὼν δ' ἑπτάπυργον ἐς πόλιν,
Τάξω λοχαγοὺς πρὸς πύλαισιν, ὡς λέγεις,
Ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
Ὄνομα δ' ἑκάστου διατριβὴ πολλὴ λέγειν,
Ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσιν καθημένων.
Ἀλλ' εἶμ', ὅπως ἂν μὴ καταργῶμεν χέρα.
Καί μοι γένοιτ' ἀδελφὸν ἀντήρη λαβεῖν,
Καὶ ξυσταθέντα διὰ μάχης, ἑλεῖν δορὶ,
Κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
Γάμους τ' ἀδελφῆς Ἀντιγόνης, παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
Σοὶ χρὴ μέλεσθαι· τὴν δόσιν τ' ἐχέγγυον
Τὴν πρόσθε ποιῶ νῦν ἐπ' ἐξόδοις ἐμαῖς.
Μητρὸς δ' ἀδελφὸς εἶ· τί δεῖ μακρηγορεῖν;
Τρέφ' ἀξίως νιν, σοῦ τε τὴν τ' ἐμὴν χάριν.
Πατὴρ δ' ἐς αὐτὸν ἀμαθίαν ὀφλισκάνει,
Ὄψιν τυφλώσας· οὐκ ἄγαν σφ' ἐπῄνεσα·
Ἡμᾶς δ' ἀραῖσιν, ἢν τύχῃ, κατακτενεῖ.
Ἓν δ' ἐστὶν ἡμῖν ἀργὸν, εἴ τι θέσφατον
Οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
Τοῦδ' ἐκπυθέσθαι ταῦτ'. ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς * αὐτεπώνυμον,
Λαβόντα πέμψω δεῦρο Τειρεσίαν, Κρέον·
Σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται.

* MS. πρὸς ἀμβάσεις.
* MS. ἀντεπώνυμον.

Ete. Quid *abunt illis*, esse mand. ut faciat? illæ enî exiguæ sunt vires.
Cre. Præesse certis cohortibus, ut invadant septem portas.
Ete. Quid igitur faciemus? desperatione enim nõ expectabo.
Cre. Et tu ad portas septem viros adversus eos elige.
Ete. Ut præsint copiis, an ut sint soli?
Cre. Ut *imperent* cohortibus, delectis iis, qui *sunt civium* fortissimi.
Ete. Intelligo: ut prohibeant murorum ascensum.
Cre. Et ducibus socios addas. Unus enim vir non omnia videt.
Ete. Secundum audaciam eligens, an secundum prudentiam?
Cre. Utrunque spectabis; nam alterutrum solum nihil valet.
Ete. Fient hæc *ita* Profectus enî in urbem septem habenté portas,
Ordinabo duces ad portas, ut dicis,
Opponens pares paribus hostibus.
Nomina porrò singulorum recensere longum esset,
Cùm sub ipsis muris consederint hostes:
Sed vado, nè simus otiosi manu.
Utinam verò mihi contingat fratrem habere oppositum,
Et congredientem *mecû* in prælio, ut *ipsum* interficiam hastâ,
Et occidam eum, qui venit eversurus meam patriam.
Et nuptias Antigonæ meæ sororis, & filii tui
Hæmonis, si quid ego fortunâ frustratus fuero,
Tibi oportet curæ esse: sponsionémque firmam,
De quâ antè convenit, nunc facio in exitu meo.
Es frater matris meæ, quid multis verbis opus est?
Nutrias eum dignè, & meâ & tuâ causâ.
Pater verò suæ ipse stultitiæ fert præmium,
Excæcans se, non valdè eum laudo:
Et nos simul imprecationibus suis, si exaudiatur, occidet.
Unum omisimus, si quod oraculum
Tiresias vates nobis dicere posset,
Id ab eo exquirere. Ego verò filium tuum
Menœceum, qui nomen idem habet patris tui,
Mittam ut accersat huc Tiresiam, ô Creon:
Tecum enim lubens in colloquium veniet,

Τί προστετάχθαι) τί λέγεις αὐτοῖς προστετάχθαι. τὸ γὰρ σθένος τῶν ἑπτὰ βραχύ. Λόχων) ταγμάτων. Ἀπορίαν γὰρ) οὐ μενῶ φησὶν, ὥστε εἰς ἀπορίαν καὶ ἀμηχανίαν πεσεῖν. Λόχων, προκρίνας) πότερον φησὶν ἑπτὰ ἄνδρας τῶν λόχων ἀρχὴν, ἢ ὡς μονοστόλους, ἵνα οἱ ἑπτὰ καθ' ἰδίαν προσπελάζοντες μάχωνται. Προσαμβάσεις) ἐπαναβάσεις, ἤγουν ἀποβάσεις τῶν τειχῶν τὰς ἐπαναβάσεις. Καὶ ξυστρατηγοὺς) ξυλλέξαι αὐτοῖς δηλονότι, καὶ στρατηγοὺς ἑτέρους μετ' αὐτῶν ἑπτά. καθ' Ὅμηρον γὰρ, * Σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν. Θάρσει) ἀνδρείᾳ. Ἀμφότερον) κατὰ τὸ δεύτερον. οὐδὲν γὰρ δεῖ τὸ ἕτερον, ἀπολειφθὲν τοῦ ἑτέρου. Ἐλθὼν δ' ἐς πόλιν) γελοίως τοῦτο φησὶν, ὡς μὴ ὢν νῦν ἐν τῇ πόλει. παραλείπει δὲ τὰς ὀνομασίας αὐτῶν εἰπεῖν, ὥς φησι Δίδυμος, διὰ τὸ ὑπὸ Αἰσχύλου εἰρῆσθαι, ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις αὐτούς. Ἄλλως. οὐκ ὀφείλομεν ἕκαστον καταλέγειν τὸ ὄνομα, πολέμου ἐπείγοντος. Διατριβή.) ἀργία. Ἀλλ' εἶμ') ἀλλ' ἀπέρχομαι, ὅπως μὴ ἐμποδίζωμεν τὸ τῶν χειρῶν ἔργον. τουτέστι τὸν πόλεμον. 761. Ἀντήρη) ἀντίπαλον. Ἑλεῖν δορὶ) φονεῦσαι διὰ τοῦ δόρατος. Τῆς τύχης) τῆς εὐτυχίας ἀποτύχω. Ἐχέγγυον) ἀσφαλῆ. Ὀφλισκάνει) εἰς ἑαυτὸν χρεωστεῖ μωρίαν. ἀντὶ τοῦ αὐτὸς ἑαυτοῦ κατηγορεῖ μωρίας, ὡς ἄν τις εἴποι, ὁ δεῖνα εἰς τόνδε δίκην χρεωστεῖ. Ἡμᾶς δ' ἀραῖσιν) καὶ ἡμῖν αἴτιος θανάτου γίνεται, ὅσον ἐπὶ ταῖς ἀραῖς, ἐὰν συμβῇ αὐτὰς ἰσχῦσαι. τὸ γὰρ ἢν τύχῃ, τοῦτο δηλοῖ. Ἓν δ' ἐστὶν ἡμῖν ἀργὸν) ἀργὸν, ἄπρακτον, καὶ παραλελειμμένον, ὀφεῖλον γενέσθαι, καὶ μὴ γενόμενον. Ἄλλως. ἐκεῖνο φησὶ μόνον ἡμῖν παραλέλειπται, τὸ παρὰ τοῦ μάντεως ἀκοῦσαι περὶ τούτων. εἰωθότες γὰρ οἱ ἄνθρωποι ἐν ταῖς εὐπραγίαις καταφρονεῖν μαντικῆς, ἐν ταῖς συμφοραῖς ἐπὶ τοὺς μάντεις καταφεύγουσι. [Εἴ τι θέσφατον-----πυθέσθαι ταῦτα) Τὸ τί εἰπὼν ἐπήγαγε πληθυντικῶς τὸ ταῦτα, πρὸς τὸ σημαινόμενον, ὅμοιον τῷ---Κοινὰ δ' εἴ τι πείσεθ' ἑπτάπυργος ἅδε γᾶ Φοίνισσαι χέρες. Αὐτεπώνυμον) ὁμώνυμον, τῷ αὐτῷ ὀνόματι καλούμενον. 777. Λαβόντα πέμψω) ὡς τοῦ Μενοικέως ἐν τῷ στρατοπέδῳ ὄντος οὕτω φησίν. Ἄλλως. ἐγὼ δὲ τὸν παῖδα σοῦ δεῦρο πέμψω, λαβόντα τὸν Τειρεσίαν.

ANNOTATIONES.

* *Homer.* Iliad. κ. v. 224.

V. 751. Προσαμβάσεις) Vid. Notas ad v. 492. & *Canter.* Nov. Lection. l. 3 c. 3. Fatendum autem hic in MS. legi disjunctim, licet aliter suprà, & sanè, ut mihi videtur, non sine causâ; & exponit πρὸς τὰς ἀναβάσεις τῶν τειχῶν. *Josua Barnes.*

V. 753. Θάρσει προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ) *Pindar.* Nem. Od. 9. Dodecad. 6. De præclaris Ducibus dicit, χερσὶ καὶ ψυχᾷ δυνατοί, quod *Schol.* interpretatur γενναῖοι καὶ ἀνδρεῖοι. Et *Homer.* Il. π'. v. 630. Idem ferè sentit---Ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ. *Josua Barnes.*

V. 755. Ἑπτάπυργον) Ita ex MS. restituo, pro veteri ἑπτάπυλον· tu nunc mecum ἑπτάπυργον lege, quod verbum Poetæ nostro familiare de hâc re loquenti. Vid. v. 1065. & 1085. &c. Hæc autem Epitheta passim inter se ab Exscriptoribus erant confusa; sed Metri ratio ▪ mendum diluet. Sed & aliud nobis hic notandum. Ἐλθὼν δ' ἑπτάπυργον ἐς πόλιν. *Profectus in urbem* &c.) *Scholiastes* hæc ab *Eteocle* ridiculè dicta ait, utpote qui jam in urbe erat. Sed hujus & omnium Criticorum pace dico, illud in more esse, ut qui domi toto die maneat, licet in urbe sit, illo die in urbem non profectus dicatur. Quod obiter, né justa desit Poetæ defensio. *Josua Barnes.*

V. 758. Ὄνομα δ' ἑκάστου) Licet *Eurip.* ob decorum hic septem *Thebanorum* Ducum nomina omiserit, hos *Æschyli* inditus *Scholiastes* sic enumerat, *Eteocles*, *Melanippus*, *Polyphontes*, *Megareus*, *Hyperbius*, *Actor*, *Lasthenes*; ita quidem ille, at *Periclymenus* est addendus, Vide *Apollodori* Biblioth. l. 3. c. 6. §. 8. *J. Barnes.*

V. 773. Ἓν δ' ἐστὶν ἡμῖν ἀργὸν) Ita MS. rectè, ità & *Scholiast.* & Nos anteà legebamus cum *Scaligero*, Ἓν δ' ἀργὸν ἡμῖν ἐστιν, Non enim erat ferendum, quod ▪ impressis libris antehæc obtinebat, Ἓν δ' ἡμῖν ἀργὸν ἐστιν. Sed nunc Conjecturæ nostræ omninò cedant necesse est tam illustri Veteris Manuscripti Autoritati. *Josua Barnes.*

V. 776. Μενοικέα) Quòd ultima hujus vocis sit longa, vid. infrà ad v. 1258.

Ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
Ἤδη πρὸς αὐτὸν, ὥστε μοι μομφὰς ἔχειν.
Πόλει δὲ καὶ σοὶ ταῦτ' ἐπισκήπτω, Κρέον·
Ἤνπερ κρατήσῃ τἀμὰ, Πολυνείκους νέκυν
Μήποτε ταφῆναι τῇδε Θηβαίᾳ χθονί·
Θνήσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
Σοὶ μὲν τάδ' αὐδῶ. προσπόλοις δ' ἐμοῖς λέγω,
Ἐκφέρετε τεύχη, πάνοπλά τ' ἀμφιβλήματα,
Ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορὸς
Ὁρμώμεθ' ἤδη ξὺν δίκῃ νικηφόρῳ.
Τῇ δ' Εὐλαβείᾳ, χρησιμωτάτῃ θεῶν,
Προσευξόμεσθα, τήνδε διασῶσαι πόλιν.

Ego enim artem divinandi vituperavi
Jam coram ipſo, ita ut mihi ſuccenſeat.
Urbi verò & tibi hæc mando, ô Creon.
Si ego vicero, cadaver Polynicis
Ne unquam ſepeliri patiaris in hâc terrâ Thebanâ:
Sed ut moriatur, qui id ſepeliêrit, etiamſi ſit aliquis amicus.
Tibi quidem hæc dico. Sed miniſtris meis dico,
Efferte arma, ferreaque indumenta,
Ut in pugnam propoſitam belli
Tendamus jam cum vindictâ victoriâ.
Et Cautionem, quæ eſt utiliſſima Dearum,
Oremus, ut ſervet hanc urbem.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Ὦ πολύμοχθος Ἄρης, τί ποθ' αἵματι
2 Καὶ θανάτῳ κατέχῃ, Βρομίου παράμουσος ἑορταῖς;
3 Οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι νεάνιδος ὥρας,
4 Βόστρυχον ἀμπετάσας λωτοῦ κατὰ πνεύματα μέλπῃ
5 Μοῦσαν, ἐν ᾧ χάριτες χοροποιοί;
6 Ἀλλὰ σὺν ὁπλοφόροις, στρατὸν Ἀργείων ἐπιπνεύσας
7 Αἵματι Θήβαις, κῶμον ἀναυλότατον προχορεύεις.
8 Οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα δινεύεις,
9 Ἅρμασι καὶ ψαλίοις τετραβάμοσι μωνύχα πῶλον,
10 Ἰσμηνοῦ ἐπὶ χεύμασι βαίνων,
11 Ἱππείαισι θοάζεις, Ἀργείοις ἐπιπνεύσας

EPODICA.

Strophe.

Ch. 1 O ærumnoſe Mars, quare ſanguine,
2 Et morte delectaris, à Bacchi feſtis diſſonè, *ac alienè*?
3 Cur non ini. pulchrichoras coronas puellæ viro maturæ,
4 Cincinnum pandens, tibiæ per flatus ſuaviter canis
5 Carmen *aliquod*, in quo *ſunt* gratiæ lætificæ?
6 Sed cum armatis, exercitum Argivorum incitans
7 Cum ſanguine contra Thebas, ſaltationem inconcinnâ præſilis?
8 Neque cum thyrſigero, cervinis pellibus indutus tripudias,
9 Sed curribus (& frænis) quadrijugis unungulum Equum
10 Iſmeni ad flumina vadens
11 Equitationibus incitas, Argivos inſpirans

Ἤδη πρὸς αὐτὸν) πρὸ ὀλίγου ἐνώπιον αὐτοῦ ἐμεμψάμην τὴν μαντικὴν, ὥστε με μέμφεσθαί μοι καὶ μομφὴν ἔχειν. Ἐπισκήπτω) ἐντέλλομαι, λέγω, ἐὰν ὁ ἐμὸς δαίμων ἐπικρατήσῃ. Νέκυν) τὸ σῶμα. Κἂν φίλων τις ᾖ) διὰ τούτου παραναφέρει τὰ κατὰ τὴν ἀδελφήν. Ἐκφέρετε τεύχη) τεύχη, τὰς ἀσπίδας. Ἀμφιβλήματα δὲ) τὰ ἐνδύματα πάντα τὰ τὸν ἄνθρωπον ὁπλίζοντα. λέγει δὲ θώρακα, περικεφαλαίαν, κνημῖδα. οἱ δὲ γράφουσι τὰ σίδηρα. Πάνοπλά τ' ἀμφιβλήματα) ταῦτα τινὲς εἴδη δορατίων φασί. Σὺν δίκῃ) ζὺν κρίσει, νικηφόρῳ. ἑαυτὸν γὰρ δίκαιον ᾤετο ἀμυνόμενος περὶ τῆς πατρίδος· ἐκεῖνον δὲ ἀσεβῆ κατὰ πατρίδος στρατευόμενον. καὶ Ὅμηρος, Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. Τῇ δ' εὐλαβείᾳ) σωματοποιεῖ τὴν εὐλάβειαν. ὡς Ὅμηρος, δεῖμος τὸ φόβος τε. τῇ δ' εὐλαβείᾳ εὔχονται, ἵνα αὐτοὶ ἀφόβως ἀπέλθωσιν, ἢ ἵνα τοῖς πολεμίοις φόβον ἐμβάλωσι. 791. Ὦ πολύμοχθος Ἄρης) τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται τινὰς ἐπῳδικὰ, ὡς εἴρηται· ἔτι δὲ χρὴ γράφειν τὰ, τὰ κῶλα, καὶ τοὺς στίχους, ὡς διωρθώθη παρ' ἐμοῦ. ἀτάκτως γὰρ ἦσαν καὶ ἀναρμόστως ἐν τοῖς ἀντιγράφοις κείμενα, καὶ πολύν μοι παρέσχον πόνον, εἰς τάξιν ταῦτα καὶ ἁρμονίαν μετενεγκεῖν. τὰ μὲν γὰρ ἦσαν δακτυλικὰ, τὰ δὲ ἀναπαιστικὰ κῶλα, οὐ μὴν δὲ καὶ κατὰ λόγον κείμενα. ἀλλ' εἴ τις ὀρθῶς λογίζοιτο, καλῶς ἂν εὕροι ταῦτα διορθωθέντα. ἔστι τοίνυν τῆς στροφῆς τὰ κῶλα καὶ οἱ στίχοι ιζ', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τὰ πάντα μὲν τοι δακτυλικά. τὸ α' τετράμετρον ἀκατάληκτον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. ὁ β', καὶ ὁ γ', καὶ ὁ δ', ἑξάμετροι. τὸ ε' ὅμοιον τῷ α'. ὁ ς', ὁ ζ', ὁ η', καὶ ὁ θ' πάλιν ἑξάμετροι· τὸ ι' καὶ τὰ λοιπὰ ὅμοια τῷ α'. τὸ ιζ' ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς, καὶ τῆς ἀντιστροφῆς, παράγραφος. Ὦ πολύμοχθος Ἄρης) πολλῶν μόχθων καὶ καμάτων αἴτιε. Κατέχῃ) χαίρεις καὶ ἐνθουσιᾷς. Παράμουσος) ἐναντίος, ὁ τὴν αὐτὴν μοῦσαν ἔχων, τουτέστι τῇ τοῦ Βρομίου ἑορταῖς ἀσύμφωνος. Ἄλλως. ἀσύμφωνος, ὡς καὶ τὴν ἄνοιαν ἀφροσύνην φησὶν, οὐ σώφρονος, ἀλλὰ ἀλλότριος. Νεάνιδος ὥρας) τοῖς γαμηλίοις χοροῖς. τινὲς δὲ οὕτως, νεάνιδος ἀκμαίας ὥραν ἐχούσης γάμου. διὰ τί δὲ μὴ τὸν σὸν βόστρυχον ἐπὶ στεφάνοις νεάνιδος ὥρας, ἐπὶ ὥραις ἐκπετάσας μέλπεις πρὸς πνεῦμα λωτοῦ. ἔνιοι δὲ νεάνιδος ὥρας τοῦ ἔαρος, τοῦ πάντα νέα ποιοῦντος. Ἄλλως. οὐ καλλιχόροις στεφάνοις βόστρυχον ἀναπετάσας ἐπὶ γάμοις νεάνιδος μέλπεις, συμφώνους ᾠδὰς πρὸς αὐλὸν, ἢ ἐπὶ πρὸς τὸ ὥραις νεάνιδος· ἀμπετάσας δὲ, ἀνασείσας τὸν πλόκαμον, ὥσπερ ὁ Διόνυσος. Ἢ κατὰ ἀντὶ τῆς πρὸς, πρὸς πνεύματα, ὅ ἐστιν ἀπηχήματα αὐλοῦ. Χοροποιοί) χαρὰν ἐμποιοῦσι καὶ ἀγαλλίασιν. Ἀλλὰ σὺν ὁπλοφόροις) ἀλλὰ ἐν ὁπλοφόροις, κῶμον ἀναυλότατον προχορεύεις, στρατὸν Ἀργείων ἐπιπνεύσας τῷ αἵματι τῆς Θήβης, ὅ ἐστι τῷ φόνῳ τῶν Θηβαίων· Ὅμηρος, αἵματος εἰς ἀγαθοῖο. Ἀλλὰ σὺν ὁπλοφόροις) τὸ ἑξῆς, ἀλλὰ σὺν ὁπλοφόροις Θήβαις στρατὸν Ἀργείων ἐπιπνεύσας, ὅ ἐστιν ἐνθουσιάσας ἑκάτερον στράτευμα, καὶ κατέχεις αὐτοὺς ποιήσας ἑαυτοῦ, αἵματι κῶμον ἀναυλότατον προχορεύεις, ὅ ἐστι προκαλῇ αὐτοὺς εἰς ἄμουσον κῶμον σὺν αἵματι. λέγει δὲ τὸν πόλεμον. ἄναυλον δὲ ἀπὸ τοῦ αὐλὸς, ἐκμελῆ, καὶ ἄμουσον. σάλπιγξ γάρ ἐστιν ὁ αὐλὸς τοῦ πολέμου. ἢ δὲ περὶ πλεονάζει, ὡς τὸ * Νῆάς τε προμνήσας. Κῶμος) εἶδος ὀρχήσεως. [* Κῶμον ἀναυλότατον προχορεύεις, ὑβριστικὴν καὶ κακομουσοτάτην χορείαν.] Οὐδ' ὑπὸ θυρσομανεῖ) ἡ ὑπὸ ἀντὶ τῆς σὺν, σὺν θυρσομανεῖ Διονύσῳ. Θύρσος δὲ ὁ ἁπλῶς κλάδος τοῖς νάρθηξι περιπλεχθείς. Νεβρὶς δέ ἐστι δέρμα ἐλάφου κατάστικτον, ὃ φοροῦσιν οἱ βακχεύοντες. ἐπειδὴ γὰρ οἱ μαινόμενοι τὸ δέρμα αὐτῶν κατατέμνοντες, ποικίλον ποιοῦσιν· οἱ σύμφορα μανίαν μαινόμενοι. τῷ καταστίκτῳ τῆς νεβρίδος, στοιχεῖον δὲ τῆς μανίας τὸ σχῆμα. Ψαλίοις) ψάλιον Ἀττικῶς, ψέλλιον κοινῶς· Ἔστι δὲ ψάλιον ὁ κρίκος τοῦ χαλινοῦ, ἢ ἁπλῶς ὁ κρίκος· Ἐνταῦθα δὲ ψάλια τοὺς χαλινούς φησιν, τῷ μέρει ἀντὶ ὅλου χρώμενος. Ψαλίοις, χαλινοῖς μονωνύχων ἵππων καὶ τετραπόδων. Ἐπὶ χεύμασι βαίνων) οὐδὲ μετ' ᾠδῶν, εἰ καὶ χορεύειν πράττεις. ἐπιβαίνων δὲ τοῖς χεύμασι τοῦ Ἰσμηνοῦ σὺν ἅρμασι καὶ ψαλίοις μονοπώλοις, τῇ ἱππικῇ ἐκμαίνῃ. 801. Ἐπιπνεύσας δὲ) ἀντὶ τοῦ παροξύνας τοὺς Θηβαίους, καὶ

* Iliad. β'. v. 493. —Νῆάς τε προμνήσας.　　* Κῶμον &c.) Ex MS. & hoc.

ANNOTATIONES.

V. 779. Ἐγὼ δὲ τέχνην &c.) De hoc *Eteoclis* contemptu vaticiniorum *Tireſias* ipſe paulò poſt queritur ad v. 872. Sic apud *Homerum Calchanti* infenſus erat *Agamemnon*, Iliad. α'. v. 106.

Μάντι κακῶν, οὐ πώ ποτέ μοι τὸ κρήγυον εἶπας·

Et in ſacris literis *Ahabus Michææ* Prophetæ. Vid. 1 *Reg.* c. 22. v. 8. & 18. & 2 *Chron.* c. 18. v. 7. & 17. Idem ferè hodie contingere videmus, ut hujus terræ Principes Doctis, Sanctis & Veracibus viris haud multùm faveant. Vid. etiam quid de hâc re *Scholiaſtes* dicat. *Joſua Barnes.*

V. 781. Πόλει δὲ καὶ σοὶ &c.) Edictum idem de non ſepeliendo *Polynicis* cadavere vid. fuſius explicatum *Sophocl.* Antig. v. 26. & aliis locis. *Æmyl. Portus.*

V. 790. Διασῶσαι) Ita nunc reſcribo, exploſo illo διασώζειν, non modò quod *Scholiaſtes* ipſe ſupra ad v. 697. Ita legat; ſed quòd & MS. noſtrum id apertè præ ſe ferat. *Joſua Barnes.*

V. 793. Νεάνιδος ὥρας) Legitur & ὥραις. Vid. Schol.

799. Μώνυχα πῶλον) μωνύχα πῶλον, ut *Homerus* μώνυχας ἵππους. MS. μωνύχων πώλων in hoc loco malè. Ἅρμασι verò, ut nos, rectè; vel certè τὸ μώνυχα eſt adverbii inſtar in hoc loco, & ad πῶλον cum ὑπὸ eſt referendum. Tale quid occurrit *Troad.* v. 536. Χρυσεόν ἄζυγος ἔμβεσμα πώλου. *Joſua Barnes.*

Ἐκτείνας

by Google

ἐξεναντίας αὐτοῦ τάξας τοῖς Ἀργείοις. ὑπὸ δὲ τοῦ ἐναντίου τοῦ ἔπους. ἐν γὰρ τοῖς ἀνωτέρω τοὺς Ἀργείους εἶπε παρεξιόντας κατὰ τῶν Θηβῶν. τοῦτο δέ φησιν, ὡς τοῦ ἄρεως ἑκατέρους παροξύνοντος κατ' ἀλλήλων.

Σπαρτῶν γένναν ἀσπιδοφέρμονα,
Θίασον ἔνοπλον, ἀντίπαλον κατὰ
Λάϊνα τείχεα χαλκῷ κοσμήσας.
Ἦ δεινά τις Ἔρις θεὸς, ἃ τάδε
Μήσατο πήματα γᾶς βασιλεῦσι,
Λαβδακίδαις πολυμόχθοις.

Ἀντιστροφή.

Ὦ ζαθέων πετάλων πολυθηρότα-
τον νάπος, Ἀρτέμιδος χιονοτρόφον ὄμμα Κιθαιρὼν,
Μήποτε τὸν θανάτῳ προτεθέντα λόχευμ' Ἰοκάστης,
Ὤφελες Οἰδιπόδαν θρέψαι βρέφος ἔκβολον οἴκων,
Χρυσοδέτοις περόναις ἐπίσαμον·
Μηδὲ τὸ παρθένιον πτερὸν, οὔρειον τέρας ἐλθεῖν,
Πένθεα γαίας, Σφιγγὸς ἀμουσοτάταισι σὺν ᾠδαῖς·
Ἅ ποτε Καδμογενῆ, τετραβάμοσι χηλαῖσι
Τείχεσι χριμπτομένα, φέρεν αἰθέρος εἰς ἄβατον (φῶς
Γένναν, ἂν ὁ κατὰ χθονὸς Ἅιδης
Καδμείοις ἐπιπέμπει. Δυσδαίμων δ' ἔρις ἄλλα
Θάλλει παίδων Οἰδίποδος κατὰ
Δώματα καὶ πόλιν.
“Οὐ γὰρ ὃ μὴ καλὸν, οὔποτ' ἔφυ καλὸν,
“Οὐδ' οἱ μὴ νόμιμοι παῖδες,
“Ματρὶ λόχευμα, μίασμα πατρός·
Ἡ δὲ σύναιμον εἰς λέχος ἦλθεν.

Et ſatorum genus ſcutiferum,
Chorum armatum, adverſarium ad
Lapidea mœnia ferro ornans.
Certè atrox quædam eſt dea Diſcordia, quæ hæc
Excogitavit mala regibus terræ hujus,
Labdacidis miſeris.

Antiſtrophe.

O admirandarum frondium, & abundantiſſimum feris nemus, Dianæ nivoſo oculo Cithæron,
Nunquam morti deſtinatum filium Jocaſtæ
Debueras Oedipum alere infantem ejectum domo,
Aureis fibulis inſignem:
Neque virgineum alatum, montanū monſtrū venire *debuerat*,
Luctus terræ, Sphingis maximè incommodis cum carminibus;
Quæ quondam Cadmi, quadrupedibus ungulis,
Mœnibus appropinquans, tulit ætheris in inacceſſum lumen,
Prolem: quam *Sphingem* infernus
Pluto Cadmeis immiſit. Infelix verò lis alia
Oritur liberorum Oedipi in
Ædibus & Urbe.
“Quod enim honeſtum non eſt, nunquam fiet honeſtum,
“Neque illegitimi liberi,
“Matris partus, piaculum patris, *honeſti cenſeri poterunt*:
Hæc enim conſanguineum in lectum venit.

Σπαρτῶν γένναν) κατὰ τὴν γενεὰν τῶν σπαρτῶν, ἤγουν τῶν ὑπὸ τῆς σπορᾶς τῶν ὀδόντων τοῦ Δράκοντος ἀναδοθέντων. Ἀσπιδοφέρμονα) τουτέστιν ἀσπιδοθρέμμονα. φέρβω γὰρ τὸ θρέψαι. τὸν ἐν ἀσπίδι τραφέντα, τουτέστι τὸν στρατηγὸν λαὸν, τὸν πολεμικὸν, ἐστρατευμένον. Ἄλλως. Ἀσπιδοφέρμονα, ἀσπιδοφόρον. Ἄλλως. Ἀσπιδοφέρμονα θίασον ἔνοπλον. ὁ τοὺς ὑποκοσμήσας χερσὶν οὐ θυρσοφόρον, ἀλλ' ἀσπιδοφέρμονα, οὐ συνθίασον καὶ σύγκωμον χερσὶ, ἀλλ' ἀντίπαλον, οὐ μιτρῷ κοσμήσας, ἀλλὰ χαλκῷ. οἱ δὲ ἦν ὑπὸ Διονύσου, οὕτως ἂν ἦσαν, θυρσοφόρον θίασον, σύγκωμον, κατὰ σύμφυτα ἅμα κισσῷ κοσμήσας κατὰ τὰ λάϊνα τείχη. Ἦ δεινά τις Ἔρις) τοῦτο κατὰ λόγον. ὄντως δεινὴ θεός ἐστιν ἡ Ἔρις. κατεσκεύασε γὰρ κακὰ τοῖς βασιλεῦσι Λαβδακίδαις, τοῖς ἀπὸ τοῦ Λαβδάκου καταγομένοις, τοῖς πολλοὺς καμάτους ὑπομεμενηκόσιν. Ἄλλως. Λαβδακίδαις, ἤτοι τοῖς Θηβαίοις. πρόγονος γὰρ Θηβαίων Λάβδακος. Ὦ ζαθέων πετάλων) ὦ νάπος τῶν ζαθέων καὶ μεγάλων φύλλων. ὁ θεῖον, ὥσπερ φαμὲν θεῖον τόπον διὰ τὸν ἐν αὐτῷ θεόν. λέγονται γὰρ ἐν αὐτῷ ἱδρῦσθαι αἱ μοῦσαι, καὶ δένδρεις διαφόρεις κομᾶσθαι. [* Ἄλλως. ἄγαν θείων δένδρων πεπληρωμένον. Πολυθηρότατον) πολλὰς θήρας ἔχον. Ἄλλως· πολυθηρότατον, δηλονότι πολυειδῶν θηρίων ἀγελαζομένων ἀθροιστικόν. Νάπος) ὁ σύμφυτος τόπος. Χιονοτρόφον) τῶν χιόνων φυλακτικόν.] Ὄμμα Κιθαιρὼν) ἐφ' ὃ ὁρᾷ ἡ Ἄρτεμις ὑπὲρ τὰ ἄλλα ὄρη. ὃ ὡς καλλιστεῦον παρὰ τῇ θεῷ, ὥσπερ ἐν τῷ σώματι τὸ ὄμμα. πολύθηρον γάρ ἐστι, κυνηγέτις δὲ ἡ θεὸς ἡ Ἄρτεμις ὑπάρχει. Ἄλλως. Ὄμμα) περίβλεπτον. 810. Προτεθέντα) ἐκτεθέντα. Λόχευμα) γέννημα. Ἔκβολον) ἐκβεβλημένον. Χρυσοδέτοις) ἡ μὲν Ἰοκάστη ὡς ἀκριβῶς εἰδυῖα, ὅτι σιδηρὰς τὰς περόνας. αὗται δὲ ὡς βάρβαροι οὐκ ἀκριβῶς ἴσασιν. Μὴ δὲ τὸ παρθένιον) ἀπὸ κοινοῦ τὸ ὤφελεν, τουτέστιν οὐ δὲ ἡ Σφὶγξ ὤφελεν εἰς τὰς Θήβας ἐπεληλυθέναι. αὕτη γὰρ ἀρχὴ τῆς συμφορᾶς ἐγένετο τοῦ Οἰδίποδος. διὰ τὸ εὑρηκέναι γὰρ τὸ προτεθὲν ὑπ' αὐτῆς ζήτημα, ἔγημε τὴν μητέρα κατ' ἄγνοιαν. πρόκειτο γὰρ εἰς γάμον τῷ συνιέντι. Οὔρειον τέρας) ἄγριον. ἢ ἴσως ἐπειδὴ ἐν Κιθαιρῶνι ἐτρέφετο τῷ ὄρει, τέρας αὐτὴν φησί. τέρας δέ ἐστι πᾶν τὸ παρὰ φύσιν. τὸ δὲ ἑξῆς, μὴ δὲ τὸ παρθένιον πτερὸν σφιγγὸς ὤφελεν ἐλθεῖν εἰς πένθεα ταύτης τῆς χθονός. τέρας δὲ τὴν σφίγγα λέγει, ἐπειδὴ πτερωτὴ ἦν παρθένου πρόσωπον ἔχουσα. λέοντος δὲ τὸ πᾶν σῶμα μιξοφυὴς οὖσα. Ἀμουσοτάταισι) σὺν κακομούσοις προβλήμασι, καὶ σοφίσμασιν. ᾠδὴν δὲ κακόμουσον τὸ αἴνιγμα φησίν. ἐπεὶ ἐμμελῶς τε καὶ εὐρύθμως, καὶ ἐμμέτρως ἐλέγετο. ἐξαπώλλυε δὲ πολλοὺς τῶν Θηβαίων. μὴ εὑρίσκοντες γὰρ τὸ αἴνιγμα κατεσθίοντο. Ἅποτε) ἥτις ἐπιπελάζουσα τοῖς τείχεσι τετραβάμοσι χηλαῖς, τὴν Καδμογενῆ γένναν εἰς αἰθέρος ἄβατον φῶς ἀνῆγεν, ὅπου ἄβατον καὶ αὐτοῖς τοῖς ὀρνέοις ἐστίν. ὑπερβολικῶς δὲ τοῦτο φησὶν, ἀντὶ τοῦ εἰς ὕψος πολὺ, ὥστε προσεγγίζειν τῷ αἰθέρι, ἀνέφερε τὴν Καδμογενῆ γένναν. τοιοῦτο γάρ τι ἱστορεῖται, ὅτι εἰς ὕψος αὐτοὺς ἀνῆγε, καὶ ἀφίει ἐπὶ γῆς φέρεσθαι ἄνω διασπαράξασα. Ἣν ὁ κατὰ χθονὸς) ἣν ἐρινύς τις, ἢ ἀϊδωνεὺς, ὃ ἀλάστωρ ἔπεμψε τῇ πόλει. πάντα γὰρ δεινὰ χθόνια ἔλεγον οἱ ἀρχαῖοι. Δυσδαίμων) μετὰ δὲ ταῦτα δυσδαίμων ἔρις ἄλλη αὔξεται κατὰ τοὺς οἴκους τοῦ Οἰδίποδος τῶν παίδων. ἄλλη δὲ ἔρις ἄλλα ποιεῖ κατὰ διαδοχὴν κατὰ τὴν πόλιν, καὶ τοὺς οἴκους τῶν Οἰδίποδος παίδων. κακοὶ γὰρ ὄντες κακὰ πάσχουσιν, ὡς παρὰ φύσιν τεχθέντες. 821. Οὐ γὰρ ὃ μὴ καλὸν οὔποτ' ἔφυ καλὸν) οὐ γάρ ποτε τοῦτο καλόν ἐστιν, ὅπερ αὐτὴν τὴν ἀρχὴν ἀπὸ ῥίζης μὴ ἔλαβε καλῆς. τοῦτο δὲ κατὰ τὸν Οἰδίποδα παρανόμως γήμαντα τὴν μητέρα, καὶ παρανόμως παῖδας τεκόντα. τοῦτο οὖν φησὶ, τὸ μὴ καλὸν γενόμενον, οὔποτε ἐπαινέσομεν. οὐδὲ γὰρ αὐτοῖς γέγονεν, ὅ ἐστι καλόν. Οὐδ' οἱ νόμιμοι) ἀπὸ κοινοῦ τὸ καλὸν, οὐδὲ οἱ μὴ νόμιμοι παῖδες καλοὶ, οἱ παρὰ τὸν τῆς φύσεως νόμον γενόμενοι, ἀλλὰ κατάρατοι καὶ ἄνομοι. Μίασμα δὲ πατρὸς) πατρὸς γὰρ σύναιμον εἰς λέχος ἦλθεν. ὅ ἐστι τῇ ἀδελφῇ αὐτῶν τοῦ Οἰδίποδος.

* Ἄλλως &c.) Hæc ex MS.

ANNOTATIONES.

V. 802. Ἀσπιδοφέρμονα) Verbum hoc ſolitarium, ſive ἅπαξ λεγόμενον, nec ulla alia ſui ſimilia habet; de quo vid. *Scholiaſtem*, nec Lexicographos effugit. Hunc locum reſpexit *Euſtathius* Iliad. δ'. fol. 465. lin. 10. Τὰς δὲ ἀσπίδας, ἀσπιδοφέρμονα θίασον ἡ τραγῳδία εἶπεν. Θίασος itaque propriè ἱεράζων ὄχλος, ut *Euſtathius*. per abuſum verò, *quævis Multitudo*, ſive *Chorus*, ſive *Exercitus*, ſive *Eccleſia*, ſive *Turba Bacchantium* aut *Potantium*; vel etiam aliud quodvis agmen. Vid. *Bacch.* v. 56. *Joſua Barnes.*

V. 804. κοσμήσας) lubenter ſi per me liceret, ſcriberem κοσμήσαι & exponerem ferro coronare, hoc eſt, Armatorum obſidio &c. *Canterus* χαλκοφορώνας legit. *Idem.*

V. 815. Χηλαῖσι) Verſûs causâ ita ego ſolus legere audebam; & nunc id video à MS. Vetuſtiſſimo C. C. C. confirmatum. Χηλαῖς antea erat. *Joſua Barnes.*

V. 819. Οἰδίποδος) MS. legit Οἰδιπόδα, eodem recidit. Cæterùm κατὰ χθονὸς ex MS. & *Scholiaſte* legimus Authoritate; & præterea quatuor ſequentes Verſus ita ordinamus, ut *Strophæ* reſpondeant; Religio eſt alios nimis turbare; cum aliquid ſaltem in fine deeſſe videatur. *Manuſcriptum* autem ad amuſſim concordat cum impreſſis libris, in hâc parte, quoad verba, (aliàs enim Verſus ordinat) excepto in ultimo quòd legit Ἣ δὲ σύναιμον pro ἡ δὲ &c. *Joſua Barnes.*

ΠΑΡΑ-

ΠΑΡΑΦΡΑΣΙΣ.

*Ὦ Πολύμοχθος Ἄρης) ὦ πολλῶν καμάτων αἴτιος Ἄρης, διατί πρὸς φόνον καὶ πρὸς θάνατον ἐνθουσιᾷς, ἀνάρμοστος ὑπάρχων ταῖς ἑορταῖς τοῦ Διονύσου, οὐκ ἐν στεφάναις καὶ κύκλοις χορῶν καλλιχόρων εὐπρεπείας, λέγω παρθένων, ἤγουν ἐφ' οἷς διαπρέπουσιν αἱ νεάνιδες, τὸν σὸν βόστρυχον ἀναπετάσας κατὰ τὰ ἀπηχήματα τῆς σύριγγος ἄδεις μέλος, ἐν ᾧ χάριτες εἰσὶ χορὸν ἐμπλῆσαι καὶ ἀγαλλιᾶσθαι. ἀλλὰ σὺν ὁπλοφόροις ἀνδράσι περὶ τῶν Θηβῶν χορεύεις χορείαν ὑβριστικὴν, κακομουσοτάτην, διεγείρας τὸν στρατὸν τῶν Ἀργείων ἐπὶ φόνον, οὐδὲ ὑπὸ τοῦ Διονύσου, τοῦ μετὰ θύρσων μαινομένου χορεύεις, δέρματα ἐλάφων ἐνδεδυμένος, καὶ ἐπὶ τοῖς ῥεύμασι τοῦ Ἰσμηνοῦ τοῦ ποταμοῦ περιελαυνόμενος σὺν ἅρμασι καὶ χαλινοῖς τετραπόδων μονωνύχων ἵππων ἱππεύουσιν ὁρμᾶς. διεγείρας τοὺς Ἀργείους κατὰ τῆς γενεᾶς τῶν ἀπὸ τῆς σπορᾶς τῶν ὀδόντων τοῦ δράκοντος ἀναδοθέντων, λέγω θίασον ἀσπιδοφόρον ἔνοπλον, ἀντίπαλον κατὰ τὰ λάϊνα τείχη τῆς Θήβας ὁπλίσας χαλκῷ. Ὄντως χαλεπὴ θεός ἐστιν ἡ Ἔρις, ἥ τις ταύτας τὰς βλάβας ἐβουλεύσατο κατὰ τῶν βασιλέων τῆς γῆς ταύτης τῶν ἀπὸ τοῦ Λαβδάκου καταγομένων, τῶν πολλοὺς καμάτους ὑπομεμενηκότων. Ὦ Κιθαιρὼν περίβλεπτον καὶ διάδηλον ὄρος τῆς Ἀρτέμιδος, ἄγαν θεῖον δένδρον πεπληρωμένον πολυειδῶν θηρίων ἀχειρωμένων σκεπαστικὸν, τῶν χιόνων φυλακτικὸν, οὐκ ὤφελες τὸν Οἰδίποδα τὸν ἐκτεθέντα τῷ θανάτῳ, τὸν ἐκβεβλημένον τῶν οἴκων, τὸν ἐπίσημον, ἤγουν διάδηλον ταῖς χρυσοδέτοις περόναις, τὸν τόκον τῆς Ἰοκάστης θρέψαι βρέφος ὄντα. οὐ δὲ ὁ ὑπόπτερος σφὶγξ, ἡ παρθένος, τὸ ὄρειον τέρας, τὸ πένθος τῆς γῆς ταύτης, ὤφελε δυλεύσω ἐλθεῖν σὺν αἰνίγμασιν ἀμούσοις κακομουσοτάτοις, ἥτις ποτὲ τὴν γενεὰν τὴν ἀπὸ τοῦ Κάδμου καταγομένην διὰ τῶν ὀνύχων τῶν τεσσάρων αὐτῆς ποδῶν, ἠφάνιζε τοῖς τείχεσιν ἐπιπελάζουσα, ἣν ὁ κατὰ χθονὸς ᾅδης ἔπεμψε κατὰ τῶν Καδμείων. ἄλλη δὲ πάλιν Ἔρις δυστυχὴς αὔξει κατὰ τῶν παίδων τοῦ Οἰδίποδος, κατά τε τὰ δώματα, καὶ τὴν πόλιν. καὶ γὰρ ὅπερ οὐκ ἔστι καλὸν τῇ φύσει, οὐδέποτε καλὸν ὑπάρχει. οὐ δὲ οἱ μὴ ὄντες ἔννομοι παῖδες καλοί εἰσιν, ὡς ὁ Οἰδίπους τὸ κακὸν γέννημα τῆς μητρὸς, τὸ μεμιασμένον σπέρμα τοῦ πατρός. ὁ δὲ Ἰοκάστῃ ἦλθε λέχος εἰς συγγενικόν. *Ἔτικτες, ὦ γῆ τῶν Θηβῶν ποτὲ, καθὼς ἐν τῷ ἐμῷ πατρίδι ποτὲ ἤκουσα λόγον βαρβαρικὸν, τὴν γενεὰν τὴν ἀπὸ τῶν ὀδόντων γεννηθεῖσαν, τῶν ἀπὸ τοῦ δράκοντος τοῦ θηρσὶ τρεφομένου, τοῦ φοινικῆν τὴν κεφαλὴν, κλέος κάλλιστον τῶν Θηβῶν. Εἰς δὲ τοὺς γάμους τῆς Ἁρμονίας τῆς θυγατρὸς τῆς Ἀφροδίτης, ἣν ἔγημεν ὁ Κάδμος, ἦλθον οἱ θεοί· καὶ ὑπὸ τῆς φόρμιγγος καὶ τῆς λύρας τοῦ Ἀμφίονος τὰ τείχη τῶν Θηβῶν καὶ ὁ πύργος ἀνῳκοδομήθη ἀεὶ τὸ μέσον τῶν δύο ποταμῶν τοῦ Δίρκης, ἤγουν τοῦ Ἰσμηνοῦ καὶ τῆς Δίρκης, ἥτις ὁμωνύμως λέγεται τῇ πηγῇ· ἥτις, ἤγουν ἡ Δίρκη, ἡ πηγὴ, τὸ ἔμπροσθεν τοῦ Ἰσμηνοῦ πεδίον τὸ βοτανοφόρον ἄρδει καὶ χλοηφόρον ποιεῖ. Καὶ ἡ Ἰὼ ἡ κέρας ἔχουσα ἡ προμήτωρ τοὺς βασιλεῖς τῶν Θηβαίων ἔτικτεν. Ἡ πόλις δὲ αὕτη μυριάδας ἀγαθῶν ἑτέρας ἐφ' ἑτέραις κατὰ διαδοχὴν ἔχουσα, νῦν ἐπὶ μεγίστῃ καὶ ἐσχάτῃ πολιορκίᾳ τοῦ ἄρεος ἕστηκεν.

* Hæc ex MS.

Ἐπῳδός.

1 Ἔτικες, ὦ γᾶ, ἔτικές ποτε,
2 Βάρβαρον ὡς ἀκοὰν ἐδάην, ἐδάην ποτ' ἐν οἴκοις,
3 Τὰν ἀπὸ θηροτρόφου φοινικολόφοιο δράκοντος.
4 Γένναν ὀδοντοφυῆ, Θήβαις κάλλιστον ὄνειδος.
5 Ἁρμονίας δέ ποτ' εἰς ὑμεναίους
6 Ἤλυθον οὐρανίδαι, φόρμιγγί τε τείχεα Θήβας,
7 Τᾶς Ἀμφιονίας τε λύρας ὕπο, πύργος ἀνέστα
8 Διδύμων ποταμῶν, πόρον ἀμφὶ μέσον
9 Δίρκας, χλοεροτρόφον ἃ πεδίον
10 Πρόπαρ Ἰσμηνοῦ * καταδεύει. (* MS. καταρδεύει.)
11 Ἰώ θ' ἁ κερόεσσα προμάτωρ,
12 Καδμείων βασιλῆας ἐγείνατο.
13 Μυριάδας δ' ἀγαθῶν
14 Ἑτέρας ἑτέραις μεταμειβομένα,
15 Πόλις ἅδ' ἐπ' ἄκροις
16 Ἕστακ' ἀρηΐοις στεφάνοισιν.

Epodus.

1 Genuisti, ô terra Thebana, genuisti quondam,
2 Barbaram ut famam audivi, audivi quondam in ædibus,
3 A feris nutrito, rubram habente cristam dracone ortum
4 Genus ex dentibus natum, Thebis pulcherrimum decus.
5 Harmoniæ verò olim ad nuptias
6 Venerunt cælestes dii. Citharâque mœnia Thebarum,
7 Amphioniàque à lyrâ, turris surrexit
8 Geminorum fluminum, vadum circa medium
9 Dirces, virides herbas alentem quæ campum
10 Ante Ismenum rigat.
11 Ióque cornigera avia,
12 Cadmæorum reges genuit.
13 Innumeráque bona
14 Alia aliis permutans,
15 Urbs hæc in summis
16 Stetit martiis ornamentis.

Ἔτικες ὦ γᾶ) Ταῦτα ἑξῆς μέχρι τοῦ τέλους τοῦ χοροῦ ἀνακλητικῶς προφέρουσι, μακαρίζουσαι τῆς ἀρχαίας εὐδαιμονίας τὰς Θήβας. τὸ δὲ ἑξῆς, ἔτικές ποτε, ὦ γᾶ, γένναν ὀδοντοφυῆ σπαρτῶν τῶν ἀπὸ τοῦ φοινικολόφοιο δράκοντος, ὡς ποτε ἠκουσάμην κατὰ τὴν βάρβαρον ἀκοὴν ἐκείνην, ἐν τῇ πατρίδι οὖσαι. [Ἀκοὴ λέγεται ἐνταῦθα τὸ ἀκουόμενον, ὡς ἐν ἄλλοις αἴσθησις αἰσθητὸν, καὶ ὁ νοῦς τὸ νοούμενον.] τὸ δὲ ἀπὸ φοινικολόφοιο δράκοντος συντακτέον. θηροτρόφον δὲ γένναν, ἀγριωδῶς τοὺς σπαρτοὺς, ἐπεὶ ἀπὸ θηρίου τοῦ δράκοντος ἐγεννήθησαν. τέτοκε) δὲ τὸ τεκφῦναι καὶ ἀντὶ τοῦ γεννηθῆναι, ἢ ἀντὶ τοῦ αὐξηθῆναι, καὶ ἀναδοθῆναι ἀπὸ τῆς γῆς. κάλλιστον δὲ κλέος τῆς Θήβαις αὐτοὺς τοὺς σπαρτοὺς φησί· ἔστι δὲ τὸ ὄνειδος, τῶν μέσων λέξεων, ὡς καὶ τύχη, καὶ δόλος, καὶ ζῆλος. 828. Ὄνειδος) κλέος, ἐγκώμιον. Ὑμεναίους) εἰς τοὺς γάμους δὲ τῆς Ἁρμονίας ἤλυθον ποτὲ οἱ θεοί. Πύργος ἀνέστα) ὁ πύργος δὲ καὶ τὰ τείχη ἀνῳκοδομήθη ὑπὸ τῆς τοῦ Ἀμφίονος λύρας. Χλοεροτρόφον) βοτανοτρόφον. Πρόπαρ) τὸ ἔμπροσθεν τοῦ Ἰσμηνοῦ ποτίζει. Ἰώ θ' ἁ κερόεσσα) καὶ ἡ κερασφόρος Ἰὼ τοὺς βασιλεῖς τῶν Θηβαίων ἐγέννησε. Μυριάδας δ' ἀγαθῶν) δεῖ δὲ φησὶ φράσαι συντόμως, ἡ πόλις αὕτη μυρία ἀνδραγαθήματα νίκης συνάπτουσα εἰς ἄκρον ἐν τῷ πολέμῳ προελήλυθεν ἀνδραγαθημάτων, ὡς εἰ ἔλεγε τῷ ὄντως μακαρίαν, οὐκ ἀπεικὸς τοὺς ἐπελθόντας πολεμίους ἀπώσασθαι. ἢ οὕτως, ἤδη τοσαῦτα πλεονεκτήματα εὐτυχήσασα, καὶ ἄλλως ἄλλοις ἀμειψαμένη, νῦν ἐπὶ ξυροῦ πολέμου ἕστηκεν, ἐπὶ ἀγωνίσμασι πολεμικοῖς.

ANNOTATIONES.

V. 829. Ἁρμονίας δέ ποτ' εἰς Ὑμεναίους Ἤλυθον Οὐρανίδαι) Vid. *M. Anton. Mureti* Var. Lection. l. 4. c. 4. De Diis, Gratiis, & Musis ad *Cadmi* & *Harmoniæ* Nuptias Convenientibus: & *Theogn.* v. 15. Ubi Musarum Cantilenam ait esse, Ὅττι καλὸν φίλον ἐστὶ, τὸ δ' οὐ καλὸν, οὐ φίλον ἐστίν. Idem in *Pelei* & *Thetidis* nuptiis factum Poetæ memorant; unde *Eurip.* in *Iphig.* Aul. v. 707. Ἐγγυᾷ θ' ἕδνωσε Πηλέως γάμους θεοί. ibidem v. 1036, *Chorus* totâ Strophâ & Antistrophâ easdem Nuptias celebrat. Nos etiam olim in *Epithalamio*, quod 16. ab hinc Annis *Academia* nostra *Cantabrigia* in Regis & Reginæ *Gulielmi* & *Mariæ* Nuptiis cecinit, idem de *Thetide* & *Peleo* Græcè canimus,

> Ὡς ὅτε καὶ Πηλῆϊ θεοὶ Θέτιν ἤγαγον ἄκοιτιν,
> Ἐν αὐτοῖς χλοεροῖς Κενταύρου Φιλλυρίδαο,
> Ἀργυρόπεζαν Ἥρη θεαὶ Θέτιν ἱμερόεσσαν ἀλιχθώ·
> Ἐν μὲν Ζεὺς πρώτιστα γάμους ἐγέραιρε καὶ ὄλβῳ·
> Σκῆπτρον ἀνεκτόρεον χρυσόθρονος ὤπασεν Ἥρη·
> Νίκην δ' ἐν πολέμῳ, καὶ ἀγακλυτὸν ἔγχος Ἀθήνη·
> Εὐνὴν δ' αὖ Μοῦσαι, ἱεροὺς γαμέταισιν ἀοιδὰς
> Ἱμερόεντ' Ὑμέναιον· ὁ δ' ἐν μέσσοισιν Ἀπόλλων,
> Ἥδιστον φόρμιγγα· Γάμου δ' ἔλε ἑαυτῷ φωνά.

Nota, quòd *Hesiodus* dicitur Opus scripsisse de *Pelei* & *Thetidis* Nuptiis, cujus Initium erat,

> Τρὶς μάκαρ Αἰακίδη καὶ τετράκις ὄλβιε Πηλεῦ,
> Ὅστε ἐπὶ μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις.

Homer. Iliad. ω. v. 60. & 534. de his Nuptiis loquitur, in quorum ultimum locum Vid. *Eustath.* fol. 1362. Vid. præterea *Coluthum* in libro, de *Raptu Helenæ* ad v. 17. Ubi omnem harum Nuptiarum apparatum fuse descriptum invenies. Item *Catullum* in Epithalamio *Thetidis* & *Pelei*. Deniq; videsis *Ptolomæi Hephæstionis* Novæ Histor. l. 6. Ubi singulorum Deorum Dona singula. *J. Barnes.*

V. 835. Ἰώ θ' ἁ κερόεσσα προμάτωρ) Vid. supra ad v. 681.

TEIPE-

ΤΕΙΡΕΣΙΑΣ ὑπὸ Μαντοῦς ὁδηγούμενος, ΜΕΝΟΙΚΕΥΣ, ΚΡΕΩΝ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Τει. Ἡγοῦ πάροιθε, θύγατερ, ὡς τυφλῷ ποδὶ
Ὀφθαλμὸς εἶ σὺ, ναυβάταισιν ἄστρον ὥς,
Δεῦρ' εἰς τὸ λευρὸν πέδον ἴχνος τιθεῖσ' ἐμὸν,
Πρόβαινε, μὴ σφαλῶμεν· ἀσθενὴς πατήρ.
Κλήρους τέ μοι φύλασσε παρθένῳ χερὶ,
Οὓς ἔλαβον οἰωνίσματ' ὀρνίθων μαθὼν,
Θάκοισιν ἐν ἱεροῖσιν, οὗ μαντεύομαι.
Τέκνον Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι,
Πόση τίς ἡ 'πίλοιπος * ἄστεως ὁδὸς   * Ita MS.
Πρὸς πατέρα τὸν σόν; ὡς τοὐμὸν κάμνει γόνυ·
Πυκνὴν δὲ βαίνων ἤλυσιν μόλις περῶ.
Κρέ. Θάρσει· πέλας γὰρ, Τειρεσία, φίλοισι σοῖς
* Ἐξώρμισας σὸν πόδα· λαβοῦ δ' αὐτοῦ, τέκνον·   * al. Ἐξόρμισον.
" Ὡς πᾶσ' ἀπήνη, πούς τε πρεσβύτου, φιλεῖ
" Χειρὸς θυραίας ἀναμένειν κουφίσματα.
Τει. Εἶεν, πάρεσμεν· τί με καλεῖς σπουδῇ, Κρέον;
Κρέ. Οὔπω λελήσμεθ'· ἀλλὰ σύλλεξαι σθένος,
Καὶ πνεῦμ' ἄθροισον, κἆπος ἐκβαλὼν ὁδοῦ.
Τει. Κόπῳ * πάρειμι γᾶς Ἐρεχθειδῶν ἄπο   * al. παρεῖμαι.
Δεῦρ' ἐκκομισθεὶς τῆς πάροιθεν ἡμέρας.
Κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορὸς,
Οὗ καλλινίκους Κεκροπίδας ἔθηκ' ἐγὼ,

Tir. Ducito ulteriùs, ô filia (quia cæco pedi
Tu es oculus, ſicut ſtella nautis)
Huc in planum ſolum veſtigium ponens meum,
Præcedito, ne impingamus: imbecillis eſt pater tuus.
Serva mihi tabellas ſortium virgineâ manu,
Quas accepi ſervans auguria avium,
In Thacis, *i.e.* ſacris ſedibus, ubi vaticinor.
O fili Menœceu, nate Creontis, dic mihi,
Quàm longa eſt reliqua urbis via,
Ad tuum patrem? quia genu meum defatigatum eſt:
Crebrum enim incedens greſſum, ægrè conficio *longum iter*.
Cre. Confide; prope enim ades, ô Tireſia, & ad amicos tuos
Applicâſti pedem tuum: teneas eum, fili:
" Quia omnis currus, & pes ſenis, ſolet
" Manûs externæ expectare levamina.
Ti. Sit ita, adſumus: quid vocas me tam celeritèr, Creon?
Cre. Nondum obliti ſumus; ſed collige robur,
Et ſpiritû collige, ejiciens anhelationem, quâ contraxiſti in viâ.
Ti. Magno labore adſum ab Athenienſibus,
Huc deductus ſuperiori die.
Nam & illic quoddam erat bellum contra Eumolpum,
Cujus glorioſos victores ego Athenienſes feci;

Ἡγοῦ πάροιθε) αἱ ἑξῆς αὗται ῥήσεις ἔχουσιν εἶδος ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων στίχοι, τελευταῖος. Περισσεύουσι τὸ λοιπὸν ἐντυχεῖν ἄρ. Ἡγοῦ πάροιθε θύγατερ) Μαντὼ ἐκαλεῖτο ἡ θυγάτηρ τοῦ Τειρεσίου. προοδοποίει ἡμᾶς ἔμπροσθεν, ὦ θύγατερ, ὅτι ὀφθαλμὸς ὑπάρχεις σὺ τῷ τυφλῷ καὶ ὁδηγουμένῳ μοι ποδὶ, καθὰ τοῖς ἐπιβάταις ἢ ναύταις τὸ ἄστρον, ὡς ἢ ἠλακάτην ἐπιβλέπουσι. Τυφλῷ ποδὶ) τῷ μὴ ὑπὸ τῶν οἰκείων ὀφθαλμῶν ὁδηγουμένῳ. Ἄγε, πρόβαινε, προέρχου, τιθεῖσα τὸ ἐμὸν ἴχνος, ἤγουν ἐμὲ, εἰς ὁμαλὴν καὶ ἰσόπεδον γῆν, ἵνα μὴ προσκόπτωμεν, μὴ δυνάμενοι πορεύεσθαι. ἀσθενὴς γὰρ ὁ πατήρ σου· καὶ τὰς σημειώσεις τῶν ὑποθέσεων, φύλασσε τῇ παρθενικῇ σου χειρί. Οὓς ἔλαβον) οἱ γὰρ οἰωνοσκόποι ἐν δέλτοις ἐσημειοῦντο τὰς πτήσεις, ἵνα διὰ μνήμης ἄγοιεν. εἰ δὲ τυφλὸς ἦν, μὴ θαυμάσῃς. ἡ γὰρ θυγάτηρ ἔμπειρος οὖσα, ἐσημειοῦτο τὰς πτήσεις. φασὶ δὲ αὐτὴν μετὰ τὸν θάνατον τοῦ πατρὸς, ἀρίστην μάντιν γενέσθαι. ἐν δὲ Θάκοις, τόπος Θήβης, ὅπου ἐμαντεύετο ὁ Τειρεσίας. Τέκνον Μενοικεῦ) ἀντὶ τοῦ, τέκνον ἐμὸν καθ' ἡλικίαν, πόσον διάστημά ἐστιν ὁ ὑπόλοιπος ὁδὸς μέχρι τοῦ ἄστεος, ἢ πρὸς τὸν πατέρα σου; κοπιῶσι γάρ οἱ πόδες μου, καὶ μόλις συνεπτυσμένῃ βαδίσας βάδισιν. * [Ἀπὸ γὰρ τῶν Ἀθηνῶν ἐλθὼν, ἔτι οὔπω ἱκανῶς ἀναπαυσάμενος καὶ νῦν ταύτην μετακληθεὶς ἔρχεται τὴν ὁδόν.] Τέκνον Μενοικεῦ) εἰπέ μοι πόσον διάστημά ἐστιν ἡ ἔμπροσθεν ὁδὸς τοῦ ἄστεος· ἐντὸς γὰρ τοῦ ἄστεος τὴν πορείαν ἐποιοῦντο. διὰ τοῦτο φησὶν, ἡ τοῦ ἄστεος ὁδός. Θάρσει, ὦ Τειρεσία) ἔξεστι σοι γὰρ πλησίον τῶν φίλων στῆσαι τὸν πόδα. γράφεται) καὶ ἐξόρμισαι, ἀντὶ τοῦ στῆσον τὸν σὸν πόδα. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν νεῶν τῶν εἰς λιμένα καταγομένων. ἅψαι δὲ αὐτοῦ καὶ ἀντιλαβοῦ, τέκνον Μενοικεῦ, ὅτι πᾶσα ἀπήνη, καὶ πᾶς πρεσβύτης εἴωθε περιμένειν χειρὸς ἀλλοτρίας χειραγωγήματα. 854. Ὡς πᾶσ' ἀπήνη) ὥσπερ γὰρ ἅρμα, μὴ ὄντος τοῦ κινοῦντος ἡνιόχου, ἀκίνητον μένει, οὕτω καὶ πρεσβύτης, εἰ μὴ τις αὐτὸν ἀνακουφίζοι, ἑαυτοῦ χεῖρον διάκειται. Εἶεν) ἔστω ταῦτα, διατί με, ὦ Κρέον, μετεκαλέσω ἐν σπουδῇ. Οὔπω λελήσμεθα) οὐδαμῶς ἐπελαθόμεθα δι' ὃ σε μετεκαλεσάμεθα, ἀλλ' ἀνάλαβε τὴν δύναμιν, καὶ τὴν πνοὴν σύλλεξον, ἐκβαλὼν τὸ ἆσθμα, ὅπερ ἡ ὁδὸς ἐποίησεν. Καὶ πνεῦμ' ἄθροισον) διὰ τοῦτο πνεῦμα αὐτὸν ἀθροῖσαι φησὶν, ἵνα τὴν ἔνδον ἐκ τῆς ὁδοῦ αὐτῷ συμβᾶσαν θερμότητα ἀναψύξῃ διὰ τοῦ ἔξωθεν πνεύματος. Κἆπος) νῦν τὸν καύματον, ἢ τὸ τῆς ὁδοῦ ἆσθμα γενόμενον. ἄλλοι δὲ ἆπος τὸ ὕψος. νῦν δὲ καταχρηστικῶς τὸ μῆκος, ὡς καὶ τὰς ἐλίθειος ἐν Καλλιμάχῳ. Κόπῳ πάρειμι) χθὲς τῇ παρελθούσῃ ἡμέρᾳ, ἀπὸ τῆς γῆς τῶν Ἀθηναίων παραπεμφθεὶς, δεῦρο σὺν κόπῳ παραγέγονα. γράφεται δὲ καὶ παρεῖμαι, ἀντὶ τοῦ ὑπὸ τοῦ κόπου παραλέλυμαι. 861. Κἀκεῖ γὰρ) καὶ ἐκεῖ γὰρ ἦν πόλεμος, ὃν τινα ἐποίησεν Εὔμολπος, ὅτε νικηφόρους τοὺς Ἀθηναίους ἐποίησα. καὶ τοῦτον τὸν χρυσοῦν στέφανον, ὡς βλέπεις, φορῶ, λαβὼν ὡς ἐξαίρετον ἀπαρχὴν ἀπὸ τῶν πολεμίων σκυλευ-

* Ἀπὸ γὰρ &c. ex MS.

ANNOTATIONES.

V. 843. Πέδον) Ità lego, veteri τὸ πεδίον rejecto; non enim jam in campo, ſed in urbe erant; melius etiam hinc metro conſulitur. Quod quum non viderit *Scaliger* ὁ πάνυ, ut verſui conſuleret, θεῖσ', pro τιθεῖσ' legebat: *Dupertus* hærebat. *Joſua Barnes.*

V. 847. Θάκοισιν) *Scholiaſtes* vult eſſe proprium nomen: certè *Pauſanias* in *Bœoticis* dicit hunc locum οἰωνοσκοπεῖον Τειρεσίου dictum. Et θᾶκος ſimpliciter *ſedes* ſonat, pro quo θῶκος & θόωκος *Homero*. Vid. *Bacch.* v. 347. *Joſua Barnes.*

V. 853. Ἐξώρμισας) Ita textum reſtituo collatis veteri ἐξώρμισαι & ἐξόρμισαι, ut ſcriptum eſt in *Aldino* exemplari; & aliam lectionem Ἐξόρμισον in Marginem rejicio: Uti *Scholiaſtes* dirigit. Non enim mihi *Imperativi* ſed *Indicandi* modi videtur; Et per ἔστησας potiùs quàm per στῆσον exponendum. Quum Cæcus enim ille Vates putabat multum adhuc itineris ſui ſupereſſe, ideòque præ laſſitudine quereretur, ipſe *Creon*, ad quem jam pervenerat, his auditis, ſolatur feſſum ſenem; dicendo *Bono animo eſto, jamjam enim ad itineris tui finem & amicos tuos perveniſti.* Sin *Imperativi* ſit, quod tamen τὸ γὰρ non patietur, maneat ἐξόρμισον. De *Tireſiâ* autem Vate *Thebano*, vide *Apollodori* Biblioth. l. 3. c. 6. §. 7. *Joſua Barnes.*

V. 858. Κἆπος) Ita lego, rejecto illo καὶ ἆπος, quaſi à καὶ & ἆπος, quod pro ἄσθμα frivolo: nec enim καὶ locum hic habet, licet *Euſtath.* in Iliad. γ'. v. 54. fol. 381. lin. 19. Εὐριπίδης δὲ, ἆπος εἰδέναι τὸ κάματον ἔοικε. *Didymus* enim & *Heſychius* κἆπος agnoſcunt pro πνεῦμα & *Homerus* —ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε. Vid. *Cyclop.* v. 625. & *Schol.* præſertim *Euſtathium* Iliad. χ'. fol. 1280. lin. 34. Notandum eſt autem, ubi *Scholiaſtes* notat, quod κἆπος ſignificet καταχρηστικῶς τὸ μῆκος, ὡς καὶ τὰς ἐλίθειος ἐν Καλλιμάχῳ, Magnus latet error, qui tali modo corrigendus eſt, ὡς κἆπος ἐκπνεῖθεν. Nihil autem tale jam apud *Callimachum* extat. *Joſua Barnes.*

V. 859. Πάρειμι) In textum hoc quoque repono; & παρεῖμαι uti *Scholiaſtes*, in Marginem rejicio; etiamſi MS. legat παρεῖμαι, ſed & γῆν pro γᾶς legit, quod ab *Hervagio* etiamnum retinetur. Commodo autem ſenſu & ea lectio ferri poteſt Κόπῳ παρεῖμαι γῆν Ἐρεχθειδῶν ἄπο &c. Sed & meminiſſe debemus τὸ πάρειμι quaſi in animo Poetæ fixum; nam ſuprà tertio abhinc verſu dixit, Εἶεν πάρεσμεν. Novelle autem erat, ut *Tireſias* valdè grandævus fingeretur, utpote qui à *Cadmi* ætate floruerit ad hoc uſque ævum, per quinque vel ſeptem Generationes, ut ex *Melampodiâ* Authore notat *Iſaacus Tzetzes* in *Lycophron* p. 112. qui & ipſe ideò illum vocat πολυχρονιώτατον p. 111. Vide quæ Nos ad *Bacch.* v. 175. *Joſua Barnes.*

μάντιν

μάτων αὐτόν. ἐπίτηδες δὲ περὶ ἐπαίνων τῶν Ἀθηναίων ἀνακεχρόνισται, τέσσαρσι γενεαῖς προέχοντα τοῦ Θηβαϊκοῦ πολέμου. Ἄλλως. Τέσσαρσι γενεαῖς τοῦ Θηβαϊκοῦ πολέμου, πρεσβύτερος ἐστὶν Εὔμολπος ὁ περὶ Ἐρεχθέα πόλεμος. Ἐρεχθέως μὲν γὰρ Κέκροψ ὁ β', οὗ Πανδίων, οὗ Αἰγεὺς, οὗ Θησεὺς ὁ τῶν ἐν Καδμείᾳ πεσόντων τὰ σώματα ἀναλαβόμενος. ἦν δὲ ὁ Εὔμολπος Θρᾳκῶν βασιλεὺς, ὃς λέγεται ἐλθεῖν εἰς Ἐλευσῖνα, ἐπὶ τὸ μυηθῆναι τὰ Ἐλευσίνια καὶ πρῶτος ἱστορεῖται ξένος μυηθῆναι, διὸ καὶ ἀπ' αὐτοῦ ἄρχοντες ἐγένοντο ἱεροῖσιν Εὐμολπίδαι Ἀθήνησιν. οὗτος συμμάχησεν Ἐλευσινίοις, στασιάζουσι κατὰ τοῦ βασιλέως Ἐρεχθέως, καὶ ἡττηθεὶς ἐφονεύθη. ὕστερον δὲ κατὰ πυθόχρηστον ἐτιμήθη, καὶ ὁ τάφος αὐτοῦ ἱερώθη, διὰ τὸ πρῶτον τὰ Ἐλευσίνια μεμυῆσθαι. τινὲς δὲ υἱὸν Ποσειδῶνος τὸν Εὔμολπον φασὶν, ὃς ἡττηθεὶς ὑπὸ τῆς Ἀθηνᾶς εἰς τὴν ἔριν τὴν περὶ τῆς Ἀττικῆς διὰ τῆς ἐλαίας, τὸν υἱὸν αὐτοῦ κατὰ τῶν Ἀθηναίων ἐκίνησεν. χρυσοῦν δὲ στέφανον εἶπεν, ἐπειδὴ στεφάνους ἔχουσιν ἐν τοῖς πολέμοις, ἵνα νικῶντες ἀναδῶσι).

Ἀπαρχὰς) ἀπαρχὴ κυρίως ἐστὶ καρπῶν, ὅταν περὶ πολλῶν ἄλλων τῷ Θεῷ τις ἀποτέμνηται, καὶ ἀναθῇ μοῖραν. Οἰωνὸν ἐθέμην) ἀγαθὸν σημεῖον ἐδεξάμην καὶ σημεῖον ἐθέμην τοῦ ὑμᾶς νικῆσαι τὸν ἐπὶ τῇ νίκῃ δοθέντα σοι στέφανον. ἐν ταραχῇ γὰρ ἐσμὲν, ὡς αὐτὸς οἶδας, τοῦ πολέμου τῶν Ἀργείων. καὶ δὴ καὶ μεγάλη ἐστὶ ταῖς Θήβαις ἀγωνία. ὁ μὲν βασιλεὺς Ἐτεοκλῆς πρὸ ὀλίγου ὁπλισθεὶς ὅπλοις ἐξῆλθε πρὸς μάχην τῶν Ἀργείων, ἐμοὶ δ' ἐνετείλατο παρὰ σοῦ μαθεῖν τί ποιοῦντες τὴν πόλιν ῥυσαίμεθ' ἄν. Ἐτεοκλέους μὲν) περιεῖπον ὁ Ἐτεοκλῆς αἰτίαν τῆς λύπης τοῦ μάντεως,* Σοὶ μὲν γὰρ ἤδη εἰς λόγους ἀφίξεται. Ἐγὼ δὲ τέχνην μαντικὴν ἐμπεφραμένην ἀντὶ τοῦ ἐξεφαύλισα. Ἐξ οὗ τεκνώθη) τέκνων πατὴρ ἐγένετο, ἀντὶ τοῦ ἐτέκνωσε. κατὰ ἀπείθειαν δὲ περαίνει τὸν λόγον. ὑπὸ τοῦ Λαΐου γὰρ ἀρξάμενος, κατέβη εἰς τοὺς περὶ τὸν Ἐτεοκλέα καὶ Πολυνείκην. Αἵ θ' αἱματωποὶ) καὶ ἐξ οὗ ἐγένοντο αἱ ἀμαυρώσεις καὶ πηρώσεις τῶν ὀφθαλμῶν τυφλώσεις, διαφθοραὶ αἱματώδεις. Θεῶν σόφισμα) ἀντὶ τοῦ ἐπίνοια θεῶν, ἵνα πᾶσι δειχθῇ μὴ παραβαίνειν θεῶν, καὶ ἀπόδειξις δὲ, ἤγουν παραίνεσις εἰς τὸ μὴ παραβῆναι τὸ θεῖον. 880. Ὡς δὴ θεοὺς) ὡς δὴ μέλλοντος ἐκ τούτου τὴν τῶν θεῶν κρίσιν καὶ ἀγανάκτησιν ὑπεκδῦναι, καὶ μέχρι τούτου οἰόμενοι σῴζειν αὐτοῖς τὸ κακὸν τοῖς θεοῖς, διὰ τοῦ συγκλείειν τὸν πατέρα περιτρέχοντας· κεκινημένον δὲ τοῖς θεοῖς, ὥστε καὶ αὐτοὺς ἀλλήλους ἀποκτεῖναι. Ἥμαρτον ἀμαθῶς) ἀπέτυχον ἀπαιδεύτως. Οὔτ' ἔξοδον) ἐλευθερίαν προερχομένῳ τῆς οἰκίας. Ἐξηγρίωσαν) εἰς θυμὸν ἐκίνησαν. Ἐκ δ' ἔπνευσ') ἐξεφώνησε κατ' αὐτῶν ἀρὰς χαλεπὰς τυφλὸς ὤν. Καὶ πρὸς ἠτιμασμένος) σὺν τούτῳ δὲ καὶ καταπεφρονημένος, καὶ ὑβριζόμενος. Ἁγὼ) λείπει διὰ, δι' ἃ λέγων. τὸ δὲ οὐ ἀπὸ κοινοῦ. ὁ δὲ νοῦς, πράττων καὶ λέγων πολλά, ἐμισήθην ὑπὸ τῶν παίδων τοῦ Οἰδίποδος. Εἰς ἔχθος ἦλθον) γράφεται καὶ εἰς ὄχλον ἦλθον, ἀντὶ τοῦ εἰς ὄχλησιν. Αὐτόχειρ) ἀντὶ τοῦ, αὐτοχείρως ἀμφότεροι φονευθήσονται). [* Ἄλλως. Αὐτόχειρ θάνατος κυρίως, ὃν αὐτὸς ἑαυτόν τις θανατώσει· ἐνταῦθα δὲ, τὸ ταῖς χερσὶν ἀλλήλων αὐτοὺς θανατωθῆναι καὶ μὴ ὑπὸ χειρῶν ἄλλων, αὐτόχειρα θάνατον ἐκάλεσεν μετακινήσας ἠρέμα τὴν σημασίαν τῆς λέξεως.]

Καὶ τόνδε χρυσοῦν στέφανον, ὡς ὁρᾷς, ἔχω,
Λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.
Κρέ. Οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη·
Ἐν γὰρ κλύδωνι κείμεθ', ὥσπερ οἶσθα σύ,
Δορὸς Δαναϊδῶν, καὶ μέγας Θήβαις ἀγών.
Βασιλεὺς μὲν οὖν βέβηκε κοσμηθεὶς ὅπλοις
Ἤδη πρὸς ἀλκὴν Ἐτεοκλῆς Μυκηνίδα·
Ἐμοὶ δ' ἐπέσταλκ' ἐκμαθεῖν σέθεν πάρα,
Τί δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν.
Τει. Ἐτεοκλέους μὲν οὕνεκ' ἂν κλῄσας στόμα,
Χρησμοὺς ἐπέσχον· σοὶ δ', ἐπεὶ χρῄζεις μαθεῖν,
Λέξω· νοσεῖ γὰρ ἥδε γῆ πάλαι, Κρέον,
Ἐξ οὗ * τεκνώθη Λάϊος βίᾳ θεῶν, * ἐτέκνωσε.
Πόσιν τ' ἔφυσε μητρὶ μέλεον Οἰδίπουν.
Αἵ θ' αἱματωποὶ δεργμάτων διαφθοραὶ,
Θεῶν σόφισμα, * κἀπίδειξις Ἑλλάδι. * ἀπόδειξις MS.
Ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
Χρῄζοντες, ὡς δὴ θεοὺς ὑπεκδραμούμενοι,
Ἥμαρτον ἀμαθῶς. οὔτε γὰρ γέρας πατρὶ,
Οὔτ' ἔξοδον διδόντες, ἄνδρα δυστυχῆ
Ἐξηγρίωσαν. ἐκ δ' ἔπνευσ' αὐτοῖς ἀρὰς
Δεινάς, νοσῶν τε, καὶ πρὸς ἠτιμασμένος.
Ἁγὼ τί δρῶν, ὁποῖα δ' οὐ λέγων ἔπη,
Εἰς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου;
Ἐγγὺς δὲ θάνατος αὐτόχειρ αὐτοῖς, Κρέον.

Et hanc auream coronam, quam vides, habeo,
Accipiens primitias ſpoliorum hoſtilium.
Cre. Duco eſſe bonum ſignum victricem tuam coronam;
In magna enim procellâ poſiti ſumus, ſicut ſcis,
Belli Græcorum; & magnum certamen eſt Thebis.
Rex quidem abiit ornatus armis,
Jam ad pugnam Eteocles Argivam:
Et mihi mandavit, ut audiam ex te,
Quid facientes, maximè ſervemus urbem.
Tir. Eteoclis quidem causâ clauſo ore
Reticerem oracula: tibi verò quandoquidem vis audire,
Dicam. Laborat enim hæc terra jam pridem, ô Creon,
Ex quo Laius ſuſcepit liberos invitis diis,
Et genuit maritum matri miſerum Oedipum,
Illæque cruentæ oculorum lacerationes
Deorum *ſunt* documentum, & exemplum Græciæ.
Quæ occultare filii Oedipi longo tempore
Volentes, tanquam effugituri Deos,
Erraverunt ſtultè: neque enim honorem patri,
Neque liberum exitum dantes, hominem miſerum,
Irritaverunt: edidit enim in eos imprecationes
Diras, languensque, & prætereà ignominia affectus.
Propter quæ ego quid non faciens, quidve non dicens,
Veni in odium filiorum Oedipi?
Propè autem adeſt mors ipſorum manibus ventura ipſis, ô Creon,

* Σοὶ μὲν γὰρ &c. ſupra ad v. 778.

* Hæc Nota uncis incluſa ex MS. C.C.C.

ANNOTATIONES.

V. 865. Οἰωνὸν ἐθέμην) Hunc locum reſpexit *Plato* in ipſo fine *Alcibiadis* 2di. Ὥσπερ δὲ καὶ ὁ Κρέων Εὐριπίδῃ πεποίηται τὸν Τειρεσίαν ἰδὼν ἔχοντα τὰ στέφη, καὶ ἀκούσας ὅτι τῶν πολεμίων ἀπαρχὰς αὐτὸν εἰλήφοι, διὰ τὴν τέχνην, Οἰωνὸν ἐθέμην, φησὶ, καλλίνικα σὰ στέφη· Ἐν γὰρ κλύδωνι κείμεθα, ὥσπερ οἶσθα σύ. *Joſua Barnes.*

V. 866. Ἐν γὰρ κλύδωνι κείμεθα) De *Æſchyli* penu, ut multa alia, hæc hauſit *Euripides*, qui in Fab. Ἑπτὰ ἐπὶ Θήβαις v. 810. hæc habet, cum *Thebæ* jam obſidio fuerint liberatæ——
Πόλις δ' ἐν εὐδίᾳ τε· καὶ κλυδωνίου
Πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο. *Joſua Barnes.*

V. 872. Ἐτεοκλέους μὲν οὕνεκ' ἂν κλῄσας στόμα χρησμοὺς ἐπέσχον) Ita Vates *Eliſæus* in Sacris Literis ſe *Jehorami* gratiâ reſponſum nolle proferre, ſed *Jehoſophati* honoris causâ, quem pium probumque agnovit. Vid. 2 *Reg.* c. 3. v. 14. Et quæ Nos ad ſimilem locum ſuprà ad v. 779. κλῄσας autem pro κλείσας ſcribo, quod magis ſit *Atticum* & MS. κλῄσας. *Joſua Barnes.*

V. 877. Διαφθοραὶ) Ità lego cum *Cantero*, & *Scaligero* & τὸ διαφοραὶ rejicio; quicquid dicat *Æmyl. Portus*; quem contra & MS. noſtrum quoque militat. Quomodò verò *Oedipus* ſibi oculos eruerit. Vid. *Sophocl.* Oedip-Tyrann. v. 1276. *Joſua Barnes.*

V. 883. Ἀρὰς) En! iterum ἀρὰς priore habet breve. Vid. ſup. v. 772.

V. 885. Ἁγὼ τί δρῶν &c.) Antehac legebatur in Impreſſis, ἁγὼ τί οὐ δρῶν &c. Vid. *Gul. Canteri* Novar. Lection. l. 4. c. 1. ubi ex *Scholiaſte* prius οὐ tolli debere contendit & poſterius ἀπὸ κοινοῦ ſumendum, ità & *Æmilius Portus*. Nos licet elegantiam agnoſcimus, nihil mutare decrevimus, eò quòd nulla ſit neceſſitas: Nam ſi τὸ ποῖ, in ὁποῖα ſyllabam communem fecerimus, verſus etiam cum gemino οὐ ſtabit. Vide quæ de ſyllabâ communi Nos ad *Hecub.* v. 1108. *Scaliger* verò legit ποῖα, rectius, ut mihi quidem videtur; ὁποῖος enim eſt indefinitum, ποῖος autem interrogativum; & hic videtur interrogatorium fieri. Notandum autem, MS. legere, ut *Canterus* ex *Scholiaſtâ* feliciter conjectabat——Ἁγὼ τί δρῶν, ὁποῖα δ' οὐ λέγων ἔπη. Quare & Nos ità nunc textum emendamus; oportuit verò aliorum etiam ſententias proferre. Et quidem in noſtro MS. in margine, ad τί notatur οὐ, quaſi intelligeretur ἀπὸ κοινοῦ τὸ οὐ. *Joſua Barnes.*

V. 886. Ἔχθος) al. ὄχλον. Vid. *Scholiaſt.*

Πολλοὶ

Πολλοὶ δὲ νεκροὶ * παρὰ νεκροῖς πεπτωκότες,
Ἀργεῖα καὶ Καδμεῖα μίξαντες βέλη, *al. ἀμφὶ νεκρούς.
Πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί·
Σύ τ', ὦ τάλαινα, συγκατασκαφήσῃ πόλι,
Εἰ μὴ λόγοισι τοῖς ἐμοῖς τις πείσεται.
Ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου
Μηδένα πολίτην, μηδ' ἄνακτ' εἶναι χθονός,
Ὡς δαιμονῶντας κἀνατρέψοντας πόλιν.
" Ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
Μί' ἐστὶν ἄλλη μηχανὴ σωτηρίας.
Ἀλλ', (οὐ γὰρ εἰπεῖν οὐδ' ἐμοὶ τόδ' ἀσφαλές,
" Πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις,
" Πόλει παρασχεῖν φάρμακον σωτηρίας)
Ἄπειμι, χαίρετ'. εἷς γὰρ ὢν, πολλῶν μέτα
Τὸ μέλλον, εἰ χρὴ, πείσομαι· τί γὰρ πάθω;
Κρέ. Ἐπίσχες αὐτοῦ, πρέσβυ. Τ. μὴ 'πιλαμβάνου.
Κρέ. Μεῖνον· τί φεύγεις; Τ. ἡ τύχη σ', ἀλλ' οὐκ ἐγώ.
Κρέ. Φράσον πολίταις καὶ πόλει σωτηρίαν.
Τει. Βούλει σὺ μέν τοι, κοὐχὶ βουλήσῃ τάχα.
Κρέ. Καὶ πῶς πατρῴαν γαῖαν οὐ σῶσαι θέλω;
Τει. Θέλεις ἀκοῦσαι δῆτα, καὶ σπουδὴν ἔχεις;
Κρέ. Εἰς γὰρ τί μ' ἄλλο δεῖ προθυμίαν ἔχειν;
Τει. Κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
Πρῶτον δ' ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
Ποῦ 'στιν Μενοικεὺς, ὅς με δεῦρ' ἐπήγαγεν;
Κρέ. Ὅδ' οὐ μακρὰν ἄπεστι, πλησίον δὲ σοῦ.
Τει. Ἀπελθέτω νῦν θεσφάτων ἐμῶν ἑκάς.
Κρέ. Ἐμὸς πεφυκὼς παῖς, ἃ δεῖ, σιγήσεται.
Τει. Βούλει παρόντος δῆτά σοι τοῦτο φράσω;
Κρέ. Κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
Τει. Ἄκουε * δὴ νῦν θεσφάτων ἐμῶν ὁδὸν, *al. δέχου.
Ἃ δρῶντες ἂν σώσαιτε Καδμείων πόλιν.
Σφάξαι Μενοικέα τόνδε δεῖ σ' ὑπὲρ πάτρας
Σὸν παῖδ', ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.

Multi verò mortui juxta mortuos lapſi,
Argiva & Thebana miſcentes tela,
Acerbum dabunt luctum terræ Thebanæ.
Tu verò, ô miſera urbs, ſimul everteris,
Niſi ſermonibus meis aliquis obtemperaverit.
Nam illud quidem primum erat, ex filiis Oedipi
Neminem civem, neque regem eſſe terræ:
Quòd malis agitentur geniis, & everſuri ſunt urbem.
" Poſtquam autem malum potentius fuit bono.
Una reſtat alia ratio ſalutis:
Sed (non enim eſt mihi tutum hoc dicere,
" Acerbumque eſt hanc fortunam habentibus,
" Urbi exhibere pharmacum ſalutis)
Abeo, valete. Unus enim cum multis,
Quod futurum eſt ſi oportet, patiar: quid enim patiar?
Cre. Expecta hic, ſenex. *Tir.* Nè me prehendas.
Cre. Mane: quid fugis? *Tir.* Fortuna te fugit, non ego.
Cre. Dicito ſalutem civibus & urbi.
Tir. Tu modò quidem vis: ſed mox non voles.
Cre. Quomodo verò non volo ſervare terram patriam?
Tir. Vis igitur audire, & rem ſcire ſtudes?
Cre. Ad quid, n. aliud me majorem promptitudine oportet habere?
Tir. Audies igitur jam mea oracula:
Sed prius hoc certò cognoſcere volo,
Ubi nam ſit Menœceus, qui me huc adduxit.
Cre. Ille non procul abeſt; propè verò te aſtat.
Tir. Abeat nunc procul à meis oraculis.
Cre. Filius ex me natus tacebit, quæ oportebit.
Tir. Vis igitur, ut eo præſente tibi hoc dicam?
Cre. Audiens enim voluptatem capiet ex re tam ſalutari.
Tir. Audi igitur nunc oraculorum meorum viam:
Quæ facientes ſervabitis Cadmeorum urbem:
Mactari à te Menœcea hunc oportet pro patria,
Filium tuum: quandoquidem hanc fortunam ipſe accerſis.

Μίξαντες) συγκεράσαντες. 893. Ἐκεῖνο μὲν γὰρ) τοῦτο πρωτικόν, τὸ ὑπὸ τοῦ γὰρ ἄρχεσθαι. Ὅμηρος, Ὦ φίλοι, ἤδη γάρ τις ἐπιχώριον μέγας ἐστίν. καὶ Μένανδρος, Ἐκ γεγένων γὰρ οἶκον ἐπιχείρησε. Πρῶτον μὲν) ἀντὶ τοῦ προτέρου, αἱρετώτερον, συμφερώτερον, μηδένα τῶν κατηγομένων ὑπὸ τοῦ Οἰδίποδος μὴ βασιλέα, μήτε πολίτην ὑποδέχεσθαι τῆς χθονός, ὡς κακοδαιμονοῦντας, ὡς σκληρῷ δαίμονι καὶ ἀπανθρώπῳ χρωμένους. 894. [* Μηδένα πολίτην) Ἐκεῖνο μὲν γὰρ ἦν ἄριστον, μηδένα ἀπὸ τῶν παίδων τοῦ Οἰδίποδος ἄνακτα εἶναι τῆς χθονός, μηδὲ πολίτην, ἀντὶ τοῦ οἰκήτορα. Πολῖται οἱ τὴν πόλιν οἰκοῦντες ἁπλῶς, καὶ ἐν πόλει τὴν ἀναστροφὴν ποιούμενοι· ἀστοὶ δὲ οἱ ἰθαγενεῖς πολῖται· ἀντὶ τοῖς μὲν ἀντίκειται) οἱ ἐν τοῖς ἀγροῖς τὴν οἴκησιν ἔχοντες· τοῖς δὲ ἀστοῖς οἱ ξένοι.] Ἐπεὶ δὲ κρεῖσσον) ἐπεὶ δὲ ἐπικρατέστερόν ἐστι τὸ κακὸν τοῦ ἀγαθοῦ. καὶ Ὅμηρος, ἐπεὶ τὰ χερείονα νικᾷ. ἔστιν ἄλλη μία μέθοδος, καὶ ἐπίνοια σωτηρίας, ἀλλ' οὐκ ἀκίνδυνον, ἐπεὶ ἐμοὶ τόδε εἰπεῖν, καὶ λυπηρὸν τὸ σύμβαμα τῶν κλήρων τοῖς κεκτημένοις τὴν δυστυχίαν, ὥς τε παρασχεῖν τῇ πόλει θεραπείας φάρμακον, ἀπελεύσομαι, χαίρετε. εἷς γὰρ ὢν καὶ αὐτὸς μετὰ πολλῶν Θηβαίων ἀπολοῦμαι· τοῦτο γὰρ αὐτό).

903. Ἐπίσχες) ἐπίσχες σεαυτὸν, ὦ πρέσβυ, καὶ περίμεινον. Μὴ 'πιλαμβάνου) μή με κράτει. Μεῖνον) ἐπίμεινον, τί φεύγεις; Τύχη σ') ἡ ἀγαθὴ τύχη σε φεύγει, οὐκ ἐγώ. Εἰς γὰρ τί μᾶλλον) δεῖ προθυμίαν ἔχειν, ἢ περὶ τὸ σώζειν τὴν πατρίδα, Ὅμηρος, Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. 910. Κλύοις ἂν ἤδη) ἄκουε δὴ νῦν. Βούλει παρόντος) τὴν διήγησιν ἤδη, φησὶ, μὴ ἀπόντος τοῦ Μενοικέως λέγειν, ἤτοι τοῦ περὶ τῆς σφαγῆς αὐτοῦ. ἀλλ' ὥσπερ καὶ ἐπίτηδες ποιεῖ, δεῦρ' ἦλθ' ἐς [illegible] σοι. λέγει δ' ἄν τις, ὅτι φανερόν ἐστι τὸ προσωπεῖον, καὶ φιλόδοξον. ὡς καὶ τὴν ψυχὴν προδοὺς ὑπὲρ εὐκλείας. 918. Ἄκουε δὴ) τῶν ἐμῶν μαντευμάτων τὴν μέθοδον, ἅ τινα ποιοῦντες σώσετ' ἂν τὴν πόλιν τῶν Θηβαίων. χρεία ἐστὶν ὑπὲρ τῆς πατρίδος σφάξαι τὸν σὸν παῖδα τοῦτον τὸν Μενοικέα, ἐπειδὴ τὴν δυστυχίαν τῆς πόλεως αὐτὸς ἀνακαλεῖς.

* Μηδένα πολίτην &c.] Et hic locus ex Schol. MS.

ANNOTATIONES.

V. 895. Ὡς δαιμονῶντας) Antehac legebatur in impreſſis libb. δαιμονοῦντας, male ut plurimi judicabant. *Æmylius Portus* legit δαιμονῶντας recepto, ut ait, vocabulo; ſed & ipſe, ni & Nos fallimur, deceptus; δαιμονάω enim nuſquam mihi contigit videre, quùm tamen δαιμονιάω frequens ſit; quare δαιμονιῶντας mallem legere; ſed nec auſim; quia MS. δαιμονῶντας habet, levi forte errore, pro δαιμονιῶντας: Quare hoc admiſimus & vetus δαιμονοῦντας rejecimus. Ità nuper ſubtimidè licet judicabamus de Voce δαιμονάω, quam tamen bis nunc legendo apud *Æſchylum* reperio, *Theb.* v. 1009. Ἰὼ δαιμονῶντες ἐν ἄτῃ, de iiſdem ipſis *Polynice* & *Eteocle*. Item *Choeph.* v. 564. ἐγγὺς δαιμονᾷ δόμος κακοῖς, δαιμονᾷ, i.e. ἐν κακῷ κακοδαίμονος τετάρακται. *Ariſtoph.* in *Pluto*, κακοδαιμονᾷς habet. Comico vocabulo, pro ὑπὸ κακοδαίμονος ἐλαύνῃ. Quin & κἀνατρέψαντας rejecimus; & jam hinc κἀνατρέψοντας in Fut. τ. legimus; quod & ita legendum *Scaliger*, *Heinſius*, *Æmylius Portus* vellent & MS. apertè κἀνατρέψοντας legit. *Joſua Barnes.*

V. 896. Ἐπεὶ δὲ κρεῖσσον τὸ κακὸν ἐστι τἀγαθοῦ) *Homericum* illud expreſſit---Iliad. α'. v. 576. ἐπεὶ τὰ χερείονα νικᾷ. Vid. *Scholiaſt.* & *Supplic.* v. 196. *Joſua Barnes.*

V. 909. Εἰς γὰρ τί μ' ἄλλο) Aliàs τί μᾶλλον; ſenſu æquè ſalvo; & ita *Scholiaſt.* videtur legiſſe, at contra MS. fidem. *Joſua Barnes.*

Κρ. Τί φῂς; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;
Τει. Ὥσπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾶν.
Κρ. Ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
Τει. Σοί γ', ἀλλὰ πατρίδι μεγάλα καὶ σωτήρια.
Κρ. Οὐκ ἔκλυον, οὐκ ἤκουσα, χαιρέτω πόλις.
Τει. Ἀνὴρ ὅδ' οὐκ ἔτ' αὐτὸς, ἐκνεύει πάλιν.
Κρ. Χαίρων ἴθ'· οὐ γὰρ σῶν με δεῖ * θεσπισμάτων.
Τει. Ἀπόλωλεν ἡ ἀλήθει', ἐπεὶ σὺ δυστυχεῖς; (* Μανθευμάτων MS.)
Κρ. Ὦ πρός σε γονάτων, καὶ γερασμίου τριχός.
Τει. Τί προσπίτνεις με; δυσφύλακτ' αἰτῇ κακά.
Κρ. Σίγα· πολίταις τούσδε μὴ λέξῃς λόγους.
Τει. Ἀδικεῖν κελεύεις μ'; οὐ σιωπήσαιμ' ἄν.
Κρ. Τί δή με δράσεις; παῖδά μου κατακτενεῖς;
Τει. Ἄλλοις μελήσει ταῦτ', ἐμοὶ δ' εἰρήσεται.
Κρ. Ἐκ τοῦ δ' ἐμοὶ τόδ' ἦλθε καὶ τέκνῳ κακόν;
Τει. Ὀρθῶς μ' ἐρωτᾷς, κεἰς ἀγῶν' ἔρχῃ λόγων.
Δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς
Ἐγένετο, Δίρκης ναμάτων ἐπίσκοπος,
Σφαγέντα, φόνιον αἷμα γῇ δοῦναι χοὰς,
Κάδμου παλαιὸν Ἄρεος ἐκ μηνιμάτων,
Ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
Καὶ ταῦτα δρῶντες, σύμμαχον κτήσεσθ' Ἄρην.
Χθὼν δ' ἀντὶ καρποῦ καρπὸν, ἀντί θ' αἵματος
Αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ
Γῆν, ἥ ποθ' ὑμῖν χρυσοπήληκα στάχυν
Σπαρτῶν ἀνῆκεν. ἐκ γένους δὲ δεῖ θανεῖν
Τοῦδ', ὃς δράκοντος γένυος ἐκπέφυκε παῖς.

Cre. Quid ais? cujuſmodi ſermonem hunc dixiſti, ô ſenex?
Tir. Ut res ſeſe habent; & hæc oportet te facere.
Cre. O quam multa mala parvo tempore dixiſti.
Tir. Tibi quidem, ſed patriæ magna & ſalutaria.
Cre. Non percepi, non intellexi, valeat urbs.
Tir. Vir iſte nô amplius idem eſt: *ſed* ſententiam retractat iterum.
Cre. Lætus abi: nihil enim opus eſt mihi tuis oraculis.
Tir. Num veritas *ideo* periit, quia infelix es?
Cre. Oro te per genua & per venerandam caniciem.
Tir. Quare mihi ſupplicas? inevitabilia poſtulas mala.
Cre. Tace; ne dicas civibus hunc ſermonem.
Tir. Jubes me injuſta facere? non tacebo.
Cre. Quid igitur facies mihi? occides meum filium?
Tir. Aliis hoc curæ erit; ego verò dicam.
Cre. Unde verò hoc malum venit mihi & filio?
Tir. Rectè me interrogas, & in certamen venis verborum.
Oportet illum in ipſo ſpecu, ubi draco terrigena
Fuit cuſtos fontis Dirces,
Mactatum, dare letalem ſanguinem inferias terræ,
Propter veterem iram Martis contra Cadmum,
Qui terrigenæ draconis ulciſcitur cædem.
Et hæc facientes habebitis vobis Auxiliatorem Martem.
Terra verò pro fructu fructum, & pro ſanguine
Sanguinem ſi acceperit humanum, habebitis propitiam
Terram, quæ quondam vobis auro-galeatam ſpicam
Satorum edidit: oportet enim mori aliquem ex genere
Hoc, qui natus ſit filius ex maxilla draconis.

Τί φῂς) τί λέγεις, τίς ἐστιν ὁ λόγος οὗτος, ὃν ἀπαγγέλλεις γέρων; γέροντι καὶ οὕτως, Τί φῂς; ἐμὸν παῖδ' ὑπὲρ γῆς σφάξαι θέλεις; Σοί γε) σοὶ μόνῳ κακά. Χαιρέτω πόλις) φροντίζω, οἰμωζέτω. [* Οὐκέτ' αὐτὸς) ἀντὶ τοῦ οὐκέτι μένει ὁ αὐτός· τὸ αὐτὸς χωρὶς μὲν τοῦ ἄρθρου ἀναφορὰν δηλοῖ μόνον· μετὰ δὲ τοῦ ἄρθρου ὁμοιότητα μετὰ ἀναφορᾶς, οἷον ὁ δεῖνα ἐποίησε τόδε, ὁ αὐτὸς ἐποίησε καὶ τόδε. ἐνίοτε δὲ ταυτότητα, ἤγουν ὁμοίωσιν, ἀπαράλλακτον, οἷον ὁ δεῖνα ὁ αὐτός ἐστι τῷ δεῖνι. καὶ ἀνὴρ ὅδε οὐκέτι ὁ αὐτὸς μένει. ἤγουν ἀπαράλλακτος τὴν γνώμην. καὶ οὐχ, ὅσπερ ἦν πρὸ τούτου, αὐτὸ δὲ τοῦτο ἀπαράλλακτος φυλάττει. ἐνίοτε δὲ λείπει τὸ ἄρθρον ποιητικῶς.] Ἐκνεύει πάλιν) ὑποστρέφει εἰς τοὐπίσω, ἀναχωρεῖ, ἔξω φρενῶν γέγονε. 928. Χαίρων ἄπιθι) οὐ γὰρ χρεία μοί ἐστι τῶν σῶν μαντευμάτων. Ἀπόλωλεν ἡ ἀλήθεια) οὕτω καθ' ἐρώτησιν ὁ Τειρεσίας φησί. Ὦ πρός σε) λείπει τὸ ἱκετεύω σε, ὦ Τειρεσία, προσπίπτω σοι κατὰ τῶν γονάτων, ἢ ἤγουν, καὶ τῆς τιμίας τριχὸς ἕνεκα. Ἀδικεῖν κελεύεις) προστάττων με δηλονότι μὴ λέγειν τὸ δίκαιον. Ἄλλοις μελήσει) ταῦτ' ἄλλοις ἔσται διὰ φροντίδος, τὸ κτανεῖν δηλονότι. [ὑπ' ἐμοῦ δὲ λεχθήσεται]. Ἐκ τοῦ δ' ἐμοί) ὑπὸ ποίας αἰτίας τόδε τὸ κακὸν ἦλθεν ἐμοί καὶ τῷ παιδί. Ὀρθῶς) ἁρμοδίως με ἐρωτᾷς, καὶ εἰς ἐξέτασιν ἔρχῃ τῶν ἐμῶν λόγων· πρέπει τόνδε ἐν τῷ φωλεῷ, ὅπου ὁ γηγενὴς δράκων ἐγένετο φύλαξ τῶν ναμάτων τῆς Δίρκης, σφαγέντα τὸ ἀπὸ τῆς σφαγῆς αἷμα δοῦναι θυσίας τῇ γῇ, διὰ μηνίματα τὰ παλαιὰ τοῦ Ἄρεος, τὰ κατὰ τοῦ Κάδμου, ὃς Ἄρης ἐκδικεῖ τὸν φόνον τοῦ ἐκ γῆς γεννηθέντος δράκοντος, ὃν ἐφόνευσεν αὐτὸς ὁ Κάδμος. καὶ ταῦτα ποιοῦντες βοηθὸν ἕξετε τὸν Ἄρην. Κάδμου παλαιῶν) λείπει ἡ κατά. ὁ δὲ νοῦς, κατὰ Κάδμου, διὰ τὴν παλαιὰν μῆνιν τοῦ Ἄρεος, καὶ τοῦ Κάδμου. ἐπ' ἐκδικίᾳ γὰρ τοῦ δράκοντος ἔτι καὶ νῦν μνησικακεῖ τοῖς περιλειφθεῖσι τῶν σπαρτῶν ὁ Ἄρης, ἐπεὶ μὴ ἤμυνον τῷ δράκοντι γεγονότες ἐξ αὐτοῦ. ἔτι τοῖς ἀδελφοῖς. ἔμειναν δὲ τῷ Κάδμῳ φίλοι, καὶ σὺν αὐτῷ ἔκτισαν τὴν πόλιν. ὁ δὲ Ἐχίων καὶ θυγατέρα Κάδμου ἔγημε. ἀλλαχοῦ δέ φησι ταῦτα ὑπὸ Διονύσου πεπονθέναι τὴν πόλιν. 944. Χθὼν δ' ἀντὶ καρποῦ) ἡ γῆ δὲ ἐὰν ἀντὶ καρποῦ, ἤτοι τοῦ δράκοντος τοῦ υἱοῦ αὐτῆς λάβῃ καρπὸν, τὸν Μενοικέα. καὶ ἀντὶ τοῦ αἵματος τοῦ δράκοντος, αἷμα βρότειον τοῦ Μενοικέως, ἔσται ἵλεως ὑμῖν. ἐλυπεῖτο γὰρ ἡ γῆ, ὅτι τῶν γηγενῶν σπαρτῶν ἐδέξατο τὸ αἷμα. 946. Ἥ ποθ' ὑμῖν) ἥτις ἡ γῆ ἀνέδωκε ποτὲ ὑμῖν στάχυν τῶν σπαρτῶν χρυσοπήληκα, ἤτοι ἄνδρας χρυσαῖς περικεφαλαίαις κεκοσμημένους. ὅπου γὰρ ἀνεδόθησαν, ἐκ ἀπὸ μέρους τῆς πόλεως πᾶσαν τὴν ὅλησιν δεῖ νοεῖν.

* Οὐκέτ' αὐτὸς) Hic locus intra hos Cancellos conſtrictus, ex Schol. MS. *Joſua Barnes.*

ANNOTATIONES.

V. 922. Τί φῂς; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;) Mirum eſt, quòd hic loci *Scholiaſtes* aliam lectionem memorat hujus verſûs toto cœlo diverſam, quæ ita ſe habet

Τί φῂς; ἐμὸν παῖδ' ὑπὲρ γῆς σφάξαι θέλεις;

Ità *Ion.* v. 731. Ubi vulgò hic Verſus legitur,

Ἃ μὴ γένοιτο δ', εἴ τι τυγχάνει κακόν,

Stobæus illius loco legit, Εἰ δ' ἄρα συμβαίνοι τι δυσχερέστερον. Ubi tamen, ut id obiter notem (ἄρα enim non eſt hujus loci) γὰρ, vel tale quid, interſerendum eſt poſt ἄρα, ut Verſus ſibi conſtet. Ità ſæpe fit, de Antiquis Authoribus, ità de nonnullis S. Scripturæ locis obſervare licet. *Joſua Barnes.*

V. 928. Οὐ γὰρ σῶν με δεῖ θεσπισμάτων) Hæc referuntur ad v. 9.. Κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων. De Syntaxi Vid. *Hippolyt.* v. 490. *Æmylius Portus* nugatur; δεῖ enim ſemper cum Genitivo *Rei* & aliquando etiam cum *Perſonæ* Accuſativo. *J. Barnes.*

V. 933. Σιωπήσαιμ' ἄν) Quum olim legebatur σιωπήσαιμ' ἄν, ac proindè verſus laboraret, *Scaliger* quidem σιωπήσαιμι ἂν legebat, alii σιωπήσαιμι ἄν? at *Canterus* σιωπήσαιμ' ἂν longè feliciùs & ὀρθότερον, ità enim & MS. noſtrum legit, quare & ratum eſto. *Joſua Barnes.*

V. 938. Θαλάμαις) Deleo τὸ θαλάμαις, quòd malè hucuſque obtinebat & lego θαλάμοις, non ob unam rationem, nec ob ſingularem cujuſvis authoritatem; nam præter quòd θαλάμη de brutis Animalibus propriè dicitur, θαλάμη, ζώων κατάδυσις, *Euſtath.* θάλαμος de Rationalibus, & quòd ità MS. noſtrum Optimæ fidei ex CCC. ità alibi ipſe *Arſenius*; Vid. *Scholiaſt.* ad v. 1017. ubi, quod obiter notandum, δοῦναι γῇ pro γῇ δοῦναι ſcribitur. Obiter autem notandum Θαλάμαι quoque proprium nomen eſſe Urbis *Meſſeniorum*, unde *Thalamitæ*; item *Laconiæ*; de quibus *Pauſanias* & *Stephanus* περὶ πόλεων. *Joſua Barnes.*

V. 942. Ὃς γηγενεῖ δράκοντι) Præter *Scholia* Vid. *Sophocl.* Antig. & *Ovid.* Metamorph. l. 3. Fabul. 1. *Æmylius Portus* notavit.

V. 943. Κτήσεσθ' Ἄρην) Quum κτήσασθ' olim legebatur, *Æmyl. Portus* mavult κτήσεσθ'; & *Scaligerianus* Codex κτήσασθ' & κτήσεσθ' aſcriptum habet: ſed & MS. κτήσεσθ' legit, *Schol.* ἕξετε. Quare & hoc ratum eſto. *Joſua Barnes.*

V. 946. Χρυσοπήληκα) ὁ καὶ ἡ χρυσοπήληξ, *Homero* χρυσοπήληξ, ηκος. Th. πήληξ Galea: quod notamus, quia *Scalig.* notat v. *Duport.* --ληκας quaſi eſſet χρυσοπήλυξ, υκος, miſerando errore. Στάχυν σπαρτῶν ἀνῆκεν) De Meſſe *Cadmeâ*, ex Dracontis dentium ſeminatione ortâ, Vid. *Suppl.* v. 578. Eorum autem Nomina, qui ex his ſuperfuêre, Vid. infra ad v. 949. apud *Scholiaſten.* item *Bacch* v. 540. item *Apollodor.* l. 3. c. 1. Ex his oriundi omnium *Thebanorum* nobiliſſimi ſunt habiti, unde *Atlus* apud *Nonium*, --*ab Draconis ex ſtirpe armatâ exaratum, genere Antiquior.* Vid. *Jani Gulielmi* Veriſimil. l. 3. c. 5. *Joſua Barnes.*

Σὺ

Σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους,
Ἀκέραιος, ἔκ τε μητρὸς, ἀρσένων τ' ἄπο,
Οἱ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
Σφαγὰς ἀπείργουσ', οὐ γάρ ἐστιν ἤθεος.
Κεἰ μὴ γὰρ εὐνῆς ἥψατ', ἀλλ' ἔχει λέχος.
Οὗτος δ' ὁ πῶλος τῇδ' ἀνειμένος πόλει,
Θανὼν, πατρῴαν γαῖαν ἐκσώσειεν ἄν.
Πικρὸν δ' Ἀδράστῳ νόστον, Ἀργείοισί τε
Θήσει, μέλαιναν κῆρ' ἐπ' ὄμμασιν βαλὼν,
Κλεινάς τε Θήβας. τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν
Τὸν ἕτερον· ἢ γὰρ παῖδα σῶσον, ἢ πόλιν.
Τὰ μὲν παρ' ἡμῶν, πάντ' ἔχεις· ἡγοῦ, τέκνον,
" Πρὸς οἶκον. Ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
" Μάταιος· ἢν μὲν ἐχθρὰ σημήνας τύχῃ,
" Πικρὸς καθέστηχ', οἷς ἂν οἰωνοσκοπῇ.
" Ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων,
" Ἀδικεῖ τὰ τῶν θεῶν. Φοῖβον ἀνθρώποις μόνον
" Χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.
Χο. Κρέον, τί σιγᾷς, γῆρυν ἄφθογγον σχάσας;
Κἀμοὶ γὰρ οὐδὲν ἧττον ἔκπληξις πάρα.
Κρέ. Τί δ' ἂν τις * εἴποι; δῆλον οἵγ' ἐμοὶ λόγοι. * εἴπῃ MS.
Ἐγὼ γὰρ οὔ ποτ' εἰς τόδ' εἶμι συμφορᾶς,
Ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
" Πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος.
" Οὐδ' ἂν τὸν αὐτοῦ παῖδά τις δοίη κτανεῖν.
" Μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.
Αὐτὸς δ', ἐν ὡραίῳ γὰρ ἕσταμεν βίῳ,
Θνήσκειν ἕτοιμος, πατρίδος ἐκλυτήριον.
Ἀλλ' εἶα, τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν,
Ἀκόλαστ' ἐάσας μάντεων θεσπίσματα,
Φεῦγ' ὡς τάχιστα τῆσδ' * ἀπαλλαγεὶς χθονός. * ἀπαλλαχθεὶς MS.
Λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,
Πύλας ἐφ' ἑπτὰ, καὶ λοχαγέταις μολών.
Κἂν μὲν φθάσωμεν, ἔστι σοι σωτηρία·

Tu verò hic nobis reliquus es ex satorum genere,
Integer & ex asse hæres & ex matre, & ex maribus, i.e. patre,
Tuique liberi. Hæmonis sed enim nuptiæ
Cædem ipsius prohibent: non enim est cælebs:
Quamvis enim non attigerit lectum, tamen habet lectum.
Ille verò juvenis huic donatus urbi,
Si moriatur, patriam terram servabit.
Acerbum verò reditum Adrasto, cæterisque Argivis
Faciet, triste fatum oculis objiciens,
Et inclytas faciet Thebas; ex duabus igitur sortibus elige
Alteram; aut enim filium serva, aut urbem.
Quæ igitur à nobis dici poterant, omnia habes: Quamob. me duc, filia,
" Ad domum. Quicunque enim utitur divinandi arte,
" Stultus est. Etenim si fortè dixerit inimica,
" Acerbus est iis, quibus vaticinatur:
" Dicens verò falsa propter commiserationem consulentium,
" Violat deorum jura. Solum Phœbum hominibus
" Oportebat vaticinari, qui neminem timet. * Exit Tiresias.
Cho. Creon, quid taces, remittens vocem non sonantem?
Etenim mihi non minùs quàm tibi stupor adest.
Cre. Quid enim dicat aliquis? manifesta est hæc mihi oratio.
Ego enim nunquam eo veniam calamitatis,
Ut cæsum filium proponam civitati.
" Omnibus enim hominibus est amans liberorum vita:
" Neque aliquis suum ipsius filium dederit ad interficiendum.
" Nè laudet me quisquam, occidens meos liberos.
Ipse verò (sum enim in maturâ vitâ)
Paratus sum mori, patriæ piaculum.
Verum age, fili, priusquam resciscat tota civitas,
Missis immoderatis oraculis vatum,
Fuge quàm celerrimè cedens ex hoc agro.
Dicet enim principibus, & ducibus hæc,
Vadens ad septem portas, & ad duces.
Et si antevetterimus, servaberis:

949. Λοιπὸς εἶ σπαρτῶν γένους) οἱ σπαρτοὶ ἀναιρεθέντες τῶν σπαρτῶν, ὥς Αἰσχύλος φησὶν, ἦσαν Χθόνιος, Οὐδαῖος, Πέλωρος, Ὑπερήνωρ, καὶ Ἐχίων, ὃς ἔγημεν Ἀγαυὴν τὴν Κάδμου θυγατέρα, ἐξ ἧς ποιεῖ Πενθέα. οὗ ὁ Κλάσσος, οὗ Μενοικεὺς, οὗ Κρέων καὶ Ἰοκάστη. Ἀκέραιος) καθαρὸς καὶ ἀνεπίληπτος, καὶ ἀληθὴς ἀπόγονος τῶν σπαρτῶν. Τὸ δὲ ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο) ἀντὶ ἑνικοῦ τὸ πληθυντικὸν εἶπε, ἀντὶ τοῦ ἀκέραιος καὶ ἀπὸ πατρός. Αἵμονος μὲν οὖν) ὁ Αἵμων, φησὶν, ὁ πρεσβύτερος σου υἱὸς διὰ τὸ μεμολύνθαι τῇ μνηστείᾳ, οὐ * σφαγήσεται. ἄφθορον γὰρ ἀνδρὸς χρεία· ἢ καθὸ ἐμνηστεύσατο, ἢ ἐπεὶ ὥς λέγουσι, λάθρα συνῆλθε. τοῦτο δὲ ὡς μάντιν εἰδότα εὐφήμως εἰπεῖν. ἀνειμένος δὲ τῇ πόλει ἀντὶ τοῦ σφαγιασθεὶς καὶ ἱερωθεὶς τῇ πόλει. Πικρὸν δ' Ἀδράστῳ) μόνος γὰρ ἐσώθη τῶν στρατηγῶν, διὸ εἶπε νόστον. πικρὸν δὲ, διὰ τὴν λύπην τῶν συστρατευσαμένων. Κλεινάς τε Θήβας) ἐνδόξως θήσει ἀπὸ κοινοῦ. Τοῖνδ' ἑλοῦ) ἀπὸ τῶν δύο δυστυχιῶν, πρόκρινε τὴν ἑτέραν, ἢ τὸν παῖδα σῶσον, ἢ τὴν πόλιν. Τὰ μὲν παρ' ἡμῶν) πάνθ', ὅσα παρ' ἡμῶν ἐβούλου μαθεῖν, ἔχεις, ἀντὶ τοῦ ἀκήκοας καὶ κατέχεις. Ἡγοῦ, τέκνον) προοδήγει, θύγατερ, πρὸς τὸν οἶκον. ὅς τις δὲ μαντικῇ χρῆται τέχνῃ μάταιός ἐστι. ἐὰν μὲν γὰρ τύχῃ δηλώσας μισητὰ, ἀπεχθὴς ἐγένετο ἐκείνοις δηλονότι, ὧν χάριν τὰς μαντείας ποιεῖται. ψευδῆ δὲ τοῖς χρωμένοις λέγων ὑπὸ συμπαθείας, ἀδικεῖ εἰς τοὺς θεοὺς ψευδόμενος κρύπτων τὸ ἀληθὲς, καὶ μὴ διάδηλον ποιῶν τὴν δύναμιν αὐτῶν καὶ τὴν δωρεάν. τὸν Ἀπόλλωνα δὲ μόνον ἔπρεπε χρησμοὺς διδόναι τοῖς βροτοῖς, ὃς οὐ φοβεῖταί τινα. Κρέον, τί σιγᾷς) ὦ Κρέον, τί σιωπᾷς τὴν φωνὴν ἄηχον ἐπάρας, καὶ μήτι φθεγγόμενος, ὡς εἰ ἔλεγον, οὐ σιωπῆς σοι καιρὸς ἀκούσαντι ταῦτα, ἀλλὰ βουλεύσασθαί τι καὶ πρᾶξαι. Σχάσας) μεταφορικῶς ἀντὶ τοῦ ἀποκόψας καὶ ἀπολέσας. ἄφθογγον δὲ γῆρυν ἀντὶ τοῦ ἄηχον. Κἀμοὶ μὲν) κἀγώ σοι οὐδὲν ἧττον συνάχθομαι· ἀλλ' οὐ σιωπῆς, φησὶ δὲ μᾶλλον καιρὸς ἐστιν· διὸ ἔδει λέγειν σε. Δῆλον οἵγ' ἐμοὶ λόγοι) λείπει τὸ πρᾶγμα, δῆλον τὸ πρᾶγμα. 970. Ἐγὼ γὰρ οὔποτ' εἰς τόδ' εἶμι) ἐγὼ γὰρ οὐδέποτε εἰς τοῦτο τῆς συμφορᾶς, ἀντὶ τοῦ εἰς τοιαύτην συμφορὰν ἀπελεύσομαι, ὥστε προσθεῖναι τῇ πόλει τοῦτον σφαγέντα, ἀντὶ τοῦ ὥστε σφαγιασθῆναι ὑπὲρ τῆς πόλεως. πᾶσι γὰρ ἀνθρώποις ὑπάρχει φιλότεκνος ὁ βίος, ἤγουν πάντες ἄνθρωποι τὰ ἑαυτῶν τέκνα φιλοῦσι. οὐδέ τις ἂν δοίη τὸν αὐτοῦ παῖδα ὥστε φονευθῆναι. μὴ ἐπαινείτω με τις λόγους εὐλόγους λέγων, τὰ ἐμὰ τέκνα συμβουλεύων με κτείνειν. ἐγὼ δὲ θνήσκειν ὑπὲρ πατρίδος ἕτοιμός εἰμι, ἀπολυόμενος αὐτὴν τῶν ἐπερχομένων κακῶν. ἐν ὥρᾳ γὰρ ἐσχάτῳ καθέσταμαι. ἀλλ' ἄγε, ὦ παῖ, πρὸ τοῦ τὴν πόλιν μαθεῖν, τὰ ἀπαίδευτα τοῦ μάντεως ἐάσας χρηστήρια, φεῦγε λίαν ταχέως τῆς χθονὸς ταύτης ἐλευθερωθείς. λέξει γὰρ τοῖς ἄρχουσι καὶ τοῖς στρατηγοῖς ταῦτα, ἐπὶ τὰς ἑπτὰ πύλας καὶ τοὺς λοχαγέτας παραγενόμενος. καὶ ἐὰν προφθάσωμεν, ὑπάρχει σοι σωτηρία· ἐὰν δὲ ὑστερήσωμεν, ἀπολούμεθα, ἀποθανῇ γάρ.

* Fut. β. à σφάζω.

ANNOTATIONES.

V. 952. Ἤθεος) Ità lego pro ἠΐθεος, nè Amphibrachus ſit in quinto loco. Vid. quæ Nos ad *Phœniſſ.* v. 1388. & v. 1391. & v. 1469. &c.

V. 957. Μέλαιναν κῆρ') Ità corrigo μέλαιναν, quod *Canterus* legit μελαίνας & Sophocleam vult λέξιν; ſed *Homeri* ſtudioſior erat *Eurip.* qui paſſim habet κῆρας μελαίνας. Et *Scaliger* atque *Duportus* ita legunt, quin his accedit Authoritas MS. CCC. *Duportus* pro βαλὼν etiam λαβών. *Joſua Barnes.*

V. 962. Μάταιος. ἢν μὲν ἐχθρὰ) Legebatur hactenis μάταιος. ἢν μὲν γὰρ ἐχθρὰ, & *Joh. Miltonus* τὸ μὲν delebat, quùm tamen nulla metri neceſſitas id poſtularet, *Amphimacer* enim aut *Dactylus* non malè in tertio loco: ſed jam video in MS. τὸ γὰρ omitti; quare ita nunc ſcribimus. *Joſua Barnes.*

V. 976. Θνήσκειν ἕτοιμος, πατρίδος ἐκλυτήριον) Deleo τὸ εἰμὶ, ut ſuperfluum. Vid. *Gul. Canteri* Novar. Lection. l. 4. c. 1. Et huic favet *Codex Heinſio-Scaligerianus*. *Duportus* τὸ εἰμὶ retinet & τὸ θνήσκειν delendum putat, certè alterutrum tolli debet: *Johannes Miltonus Duporti* partes defendit; *Æmilius Portus Canteri*; quibus viz. *Porto* & *Cantero* cum *Heinſio-Scaligerio*, nos accedimus. Præterea MS. toties laudatum legit Θνήσκειν ἕτοιμος πατρίδος ἐκλυτήριον. *Joſua Barnes.*

Ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.

Με. Ποῖ δῆτα φύγω; τίνα πόλιν, τίνα ξένων;

Κρ. Ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσῃ.

Με. Οὐκοῦν σε φράζειν εἰκός· ἐκπονεῖν δ' ἐμέ.

Κρ. Δελφοὺς περάσας φεῦγε. Μ. ποῖ με χρὴ μολεῖν;

Κρ. Αἰτωλίδ' εἰς γῆν. Μ. ἐκ δὲ τῆσδε, ποῖ περῶ;

Κρ. Θεσπρωτὸν οὖδας. Μ. σεμνὰ Δωδώνης βάθρα;

Κρ. Ἔγνως. Μ. τί δῆτ' ἔρυμά μοι γενήσεται;

Κρ. Πόμπιμος ὁ δαίμων. Μ. χρημάτων δὲ τίς πόρος;

Κρ. Ἐγὼ πορεύσω χρυσόν. Μ. εὖ λέγεις, πάτερ.

Κρ. Χώρει νυν. Μ. ὡς σὴν πρὸς κασιγνήτην μολὼν,

Ἧς πρῶτα μαστὸν εἵλκυσ', Ἰοκάστην λέγω,

Μητρὸς στερηθεὶς, ὀρφανός τ' ἀποζυγεὶς,

Προσηγορήσων εἶμι, καὶ σώσων πόλιν.

Κρ. Ἀλλ' εἶα, χώρει· μὴ τὸ σὸν κωλυέτω.

Με. Γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον,

Κλέψας λόγοισιν, ὥσθ' ἃ βούλομαι τυχεῖν.

Ὃς μ' ἐκκομίζει, πόλιν ἀποστερῶν τύχης,

Καὶ δειλίᾳ δίδωσι. Καὶ συγγνωστὰ μὲν

Γέροντι, τοὐμὸν δ' οὐχὶ συγγνώμην ἔχει,

Προδότην γενέσθαι πατρίδος, ἥ μ' ἐγείνατο.

Ὡς οὖν ἂν εἰδῆτ', εἶμι, καὶ σώσω πόλιν.

Ψυχήν τε δώσω τῆσδ' * ὑπερθανεῖν χθονός. [* al. ὑπερθανών.]

" Αἰσχρὸν γὰρ, εἰ μὲν θεσφάτων ἐλεύθεροι,

" Κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι,

" Στάντες παρ' ἀσπίδ' οὐκ ὀκνήσουσιν θανεῖν,

" Πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ·

" Ἐγὼ δὲ πατέρα καὶ κασίγνητον προδοὺς,

" Πόλιν τ' ἐμαυτοῦ, δειλὸς ὡς, ἔξω χθονὸς

" Ἄπειμ'· ὅπου δ' ἂν ζῶ, κακὸς φανήσομαι.

Μὰ τὸν μετ' ἄστρων Ζῆν', Ἄρην τε φοίνιον,

Ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ

Σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο,

Ἀλλ' εἶμι· καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων

Si verò cunctatus fueris, perimus, occideris.

Me. Quò fugiam igitur, ad quam civitatem? ad quem hoſpitem?

Cre. Ubi quàm longiſſime ab hâc terrâ abſis.

M. Ergo te dicere convenit, *quonam ſim abiturus*, me v. imper. facere.

Cre. Fugito in Delphos tranſiens. *M.* Quonam me oportet ire?

Cre. In terram Ætolorum. *M.* Ex illâ verò quò fugiam?

Cre. Ad ſolum Theſprotorum. *M.* Religioſam ad ſedem Dodonæ?

Cre. Scis. *M.* Quod verò tutamen mihi erit?

Cre. Deus te comitabitur. *M.* Unde verò erit copia pecuniæ?

Cre. Ego præbebo aurum. *M.* Benè dicis, pater.

Cre. Vade igitur. *M.* Vadens ad tuam ſororem,

Cujus primùm ubera traxi, Jocaſten dico,

Cùm eſſem privatus matre, & avulſus ab ea orphanus,

Tanquam ſalutaturus vado, & urbem ſervaturus.

Cr. Sed age, abi; ne quod ad te attinet, tibi ipſi ſis impedimento.

Me. O mulieres, quàm benè patri exemi metum,

Decipiens eum verbis, ut conſequerer, quæ volo:

Qui ablegat me privans urbem Bonâ Fortunâ,

Et ignaviæ proſtituit. Sed ignoſcendum eſt

Seni: res verò mea non meretur veniam,

Proditorem eſſe patriæ, quæ me genuit.

Ut igitur ſciatis, vadam & ſervabo urbem,

Animamque dabo, ut moriatur pro hâc terrâ.

" Turpe enim eſt, ſi liberi quidem ab oraculis,

" Et non impulſi neceſſitate divinitus,

" Stantes ad clypeos, non detrectent mori,

" Pugnantes pro patriâ ante turres:

" Ego verò patrem & fratrem prodens,

" Et urbem meam, tanquam timidus, ex terrâ

" Diſcedam: ubicunque enim vixero, videbor ignavus.

Non per Jovem, qui eſt in aſtris, & Martem cædium autorem,

Qui exortos è terrâ quondam

Satos reges hujus terræ conſtituit.

Sed abibo; & ſtans in murorum pinnis ſummis

Ποῖ δῆτα) ποῖ λοιπὸν φύγω, εἰς τίνα πόλιν, εἰς τίνα τῶν φίλων; Ὅπου) ποῦ, ὅπου μακρὰν μάλιστα τῆσδε τῆς γῆς γενήσῃ. Οὐκοῦν) πρέπον σε λοιπὸν, ὅπου πορευθῶ, λέγειν, ἐκπληροῦν δ' ἐμέ. Δελφοὺς περάσας) ἐκ τῶν Δελφῶν περάσας δηλονότι. εἰς οὐδὲν δὲ χρήσιμον προσγράφει. μᾶλλον δὲ αὐτὸν ἐχρῆν σκοπεῖν, ὅπως τῶν πολεμίων περικαθεζομένων λάθῃ φυγὼν ὁ Μενοικεύς. Σεμνὰ) τὰ σεβάσμια τῆς Δωδώνης θεμέλια φύλαγμά μοι γενήσεται, ὃ ἐστι ποία πόλις δεξαμένη με σώσει. Πόμπιμος ὁ δαίμων) ὁδηγήσει ἡ τύχη. Χρημάτων δὲ) τίς εὐπορία. Ἐγὼ πορεύσω) ἀντὶ τοῦ πέμψω χρυσὸν, καλῶς λέγεις, ὦ πάτερ. ἀπέρχου δή. 993. Ὡς σὴν πρὸς) ἐκ παραλλήλου. ἢ ὡς εἰς πρόσωπον. πρὸς τὴν σὴν κασιγνήτην Ἰοκάστην ἐλθὼν, ἧς πρώτης κατὰ ἀρχὰς τὸν μαστὸν ἐθήλασα, τῆς μητρὸς στερηθεὶς καὶ ὀρφανὸς γενόμενος προσαγορεύων ἐκείνην, καὶ συνταξόμενος, ἀπελεύσομαι διατηρήσων τὴν ἐμαυτοῦ ζωήν. ἐναντίως δὲ ἱστορεῖ Σοφοκλῆς. μετὰ γὰρ θάνατον τοῦ παιδὸς ἡ μήτηρ αὐτοῦ ζῇ, ὡς ἐν Ἀντιγόνῃ φησὶ, καὶ μίαν ὁρᾷ δάμαρτα τοῦ Κρέοντος. Προσηγορήσων αὐτὴν καὶ σώσων τὸν βίον. Ἄλλως. σώσων τὴν πόλιν, οὐ γὰρ ὡς ὁ πατὴρ ᾤετο. Ἀλλ' εἶα χώρει) σπεῦσον, ἄπελθε· μὴ σὺ σαυτὸν ἐμποδίζε πρὸς τὴν σωτηρίαν. Ἄλλως. μὴ τὸ σὸν, ὅσον τὸ κατὰ σὲ, μὴ γενέσθω κώλυμα. 998. Γυναῖκες) ὦ γυναῖκες, ὡς ἐπιτηδείως καὶ καλῶς ἐξέβαλον τὸν φόβον τοῦ πατρὸς, διὰ λόγων ἀπατήσας αὐτὸν, ὥστε τυχεῖν ὧν βούλομαι, ὅστις ὁ πατὴρ φυγαδεύει καὶ ὑπεξάγει τῆς πόλεως, τῆς εὐτυχίας ἀποστερῶν με καὶ τὴν πόλιν, καὶ φόβῳ δίδωσιν ἐμέ· καὶ συγγνώμης ἄξιον τὸ πρᾶγμα τῷ πατρί· τὸ κατ' ἐμὲ δ' οὐδαμῶς συγγνώμην ἔχει, τὸ προδότην γενέσθαι τῆς πατρίδος, ἥτις ἐγέννησέ με. ἵνα οὖν γνῶτε, ἀπελεύσομαι, καὶ σώσω τὴν πόλιν. τὴν δὲ ζωὴν δώσω, ὥστε ἀποθανεῖν ὑπὲρ τῆσδε τῆς χθονός. αἰσχύνης γὰρ ἄξιον, λείπει τὸ ἐστὶ, ἐὰν οἱ τῶν μαντευμάτων ἐλεύθεροι, καὶ ὑπὸ τῶν θεῶν μὴ ἀναγκαζόμενοι, οὐκ ἀναβάλλονται ἀποθανεῖν παρὰ πόλεμον στάντες, καὶ ὑπὲρ τῆς πατρίδος ἔμπροσθεν τῶν πύργων μαχόμενοι. ἐγὼ δὲ πατέρα καὶ ἀδελφὸν προδοὺς, καὶ πόλιν τὴν ἐμαυτοῦ, ὡς ἄνανδρος ἔξω τῆς χθονὸς ἀπελεύσομαι, καὶ ὅπου ἂν ζῶ, κακὸς φανήσομαι. οὐ ποιήσω τοῦτο μὰ τὸν μετ' ἄστρων Ζῆνα. τὸν ἥλιον φησὶ, τὸν αἴτιον τοῦ φόνου φόνιον, ἐπειδὴ οὗτος φονικὸς τῶν σπαρτῶν. δράκοντα κατασχήσας αὐτόθι φύλακα τῆς κρήνης, ἐξ οὗ οἱ σπαρτοὶ, ὅστις τοὺς ἀνατελλόντας ποτὲ ἐκ τῆς γῆς σπαρτοὺς ἱδρύσατο καὶ βασιλεῖς τῆσδε τῆς γῆς κατεστήσατο. ἀλλ' ἀπελεύσομαι, καὶ στὰς ἐκ τοῦ ἄκρου τῶν ἐπάλξεων, καὶ σφάξας ἐμαυτὸν εἰς τὴν * θαλάμην τὴν σκοτεινὴν τοῦ δράκοντος, ὅπου ὁ Τειρεσίας διηγήσατο καὶ παρῄνεσε φονευθῆναι, ἐλευθερώσω τὴν γῆν.

* Θαλάμην, Vid. ſupra in Notis ad v. 938.

ANNOTATIONES.

V. 986. Οὐκοῦν) Τοιγαροῦν, λοιπόν· ſignificat *Igitur*, & *Non igitur*.

987. Δελφοὺς περάσας φεῦγε. Μ. ποῖ με χρὴ μολεῖν) Ita hunc Verſum ex MS. toties laudati Authoritate reſtituo; cùm antehac legebatur Δελφοὺς περάσας φεῦγε· ποῖ με χρὴ πάτερ μολεῖν. *Scaliger* quidem rectè τὸ φεῦγε (quod *Canterus* rejecerat Novar. Lection. l. 4. c. 1.) retinet, & τὸ πάτερ delet, ut & MS. *J. Barnes.*

V. 999. Ὥσθ' ἃ βούλομαι τυχεῖν) ὥστε τυχεῖν ἐμὲ, ἃ βούλομαι. De hoc uſu τοῦ ὥστε Vide quæ Nos ad *Ion.* v. 90.

V. 1000. Πόλιν ἀποστερῶν τύχης) Ita rectiſſimè legit MS. cùm antè, πόλεως malè legebatur conjunctim cum ἐκκομίζει. Pro quo tamen *Scaliger* πόλεος legebat, aliquantò rectiùs. *Joſua Barnes.*

V. 1001. Συγγνωστὰ μὲν) *Atticè* pro συγγνωστόν. Vid. *Hippol.* v. 371. Præcipuè autem ad *Herc. Fur.* v. 583.

V. 1008. Ὀκνήσουσι) Addendum eſt τὸ ν' in fine, vel vitiosè ſit lectum. Vide quæ Nos ad *Oreſt.* v. 1535.

Σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
Δράκοντος, ἔνθ' ὁ μάντις ἐξηγήσατο,
Ἐλευθερώσω γαῖαν· εἴρηται λόγος.
Στείχω δὲ, * θανάτου δῶρον οὐκ αἰσχρὸν πόλει
Δώσων, νόσου δὲ τήνδ' ἀπαλλάξω χθόνα.
" Εἰ γὰρ λαβὼν ἕκαστος ὅ, τι δύναιτό τις
" Χρηστὸν, διέλθοι τοῦτο, κεἰς κοινὸν φέροι
" Πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
" Πειρώμεναι, τολοιπὸν εὐτυχοῖεν ἄν.

* θανάτῳ MS.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Ἔβας ἔβας, ὦ πτεροῦσα, γᾶς λόχευμα,
2 Νερτέρου τ' Ἐχίδνας,
3 Καδμείων ἁρπαγά,
4 Πολύστονος, * πολύφθορος,
5 Μιξοπάρθενος, δάϊον τέρας,
6 Φοιτάσι πτεροῖς,
7 Χαλαῖσί τ' ὠμοσίτοις.
8 Διρκαίων ἅ ποτ' ἐκ τό-
9 πων νέους πεδαίρου-
10 σ' ἄλυρον ἀμφὶ μοῦσαν,
11 Ὀλομέναν τ' Ἐρινὺν
12 Ἔφερες, ἔφερες ἄχεα πατρίδι
13 Φόνια. Φόνιος ἐκ θεῶν,
14 Ὃς τάδ' ἦν ὁ πράξας.
15 Ἰάλεμοι δὲ ματέρων,
16 Ἰάλεμοι δὲ παρθένων
17 Ἐστέναζον οἴκοις,
18 Ἤϊον βοὰν,
19 Ἤϊον μέλος·
20 Ἄλλος ἄλλον ἐπωτότυζε διαδοχαῖς ἀνὰ πόλιν.
21 Βροντᾷ δὲ στεναγμὸς,
22 Ἰαχά τ' ἦν ὅμοιος,
23 Ὁπότε πόλεως ἀφανίσειεν
24 Ἁ πτεροῦσα παρθένος τιν' ἀνδρῶν.

Ἀντιστροφή.

1 Χρόνῳ δ' ἔβα Πυθίαις ἀποστολαῖσιν

* πολύμοχθος MS.

Interficiens me ipſum ad atrum ſpecum
Draconis, ubi vates dixit,
Liberabo terram: dicta eſt ſententia.
Vado autem, donum mortis non turpe urbi
Daturus, liberabo autem patriam ab hoc malo.
" Si enim accipiens unuſquiſque quodcunque poſſit
" Bonum, hoc perſequatur, & in commune conferat
" Patriæ: civitates minora mala
" Experientes, in poſterum beatæ eſſent.

ANTISTROPHICA.

Strophe.

Cho. 1 Aſcendiſti, aſcendiſti, ô alata, terræ partus,
2 Infernæque Echidnæ, *i.e. viperæ*,
3 Cadmeorum ad raptum,
4 Multorum gemituum autor, multis pernicioſa,
5 Mixta virgo, hoſtile monſtrum,
6 Furioſis alis,
7 Unguibúſque crudivoris:
8 Quæ quondam ex Dircæis lo-
9 cis adoleſcentes è ſolo attol-
10 lens inconcinno cum carmine,
11 Et pernicioſis furiis,
12 Attuliſti, attuliſti dolores patriæ
13 Cruentos. Cruentus *profectò fuit ille* ex diis,
14 Quicunque hæc fecit.
15 Luctus autem matrum,
16 Luctus autem virginum
17 Reſonabant *in* ædibus,
18 Lugubrem vocem,
19 Lugubre carmen:
20 Alius alium lugebat ſucceſſivè per urbem.
21 Tonitruo autem luctus,
22 Clamorique erat ſimilis,
23 Quoties ex urbe, ex hominum conſpectu abripuiſſet
24 Alata virgo aliquem virum.

Antiſtrophe.

1 Tandè verò venit Pythio miſſu

1017. Σφάξας ἐμαυτὸν) Σωσιφάνης ὁ τραγικὸς ὑπὸ τοῦ Λαΐου φησὶ τεθνηκέναι τὸν Μενοικέα· Νικόστρατος δὲ, ὑπὸ τῆς Σφιγγός. Σηκὸν) εἰς τὸν σηκὸν σφάξας ἐμαυτὸν ἀπὸ τῶν τειχέων, ὡς * τοῦ σηκοῦ πλησίον τοῦ τείχους ὄντος. [* Ἄλλως· σηκὸς, ἔνθα ἱδρύετο τὸ ἄγαλμα· λέγεται σηκὸς καὶ ἔνθα ἐγκλείουσιν οἱ νομεῖς τὰ νεογνὰ, ὅπως τὰς μητέρας αὐτῶν ἀμέλγωσιν ἢ εἰς νομὸν ἐκπέμπωσιν, ἀφ' οὗ ἐνταῦθα σηκὸς, ἡ φωλεός.] Ἐξηγήσατο) ὅπου ὁ μάντις ἐξηγεῖτο. εἶπε γὰρ, * Δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς Ἐγένετο, Δίρκης ναμάτων ἐπίσκοπος, Σφαγέντα φόνιον αἷμα δοῦναι γῇ χοάς. Ἀλλ' εἶμι) οὐκ ἐκφεύξομαι, ἀλλ' εἶμι πρὸς θάνατον ἐξ ἐπάλξεων ἄκρων. Εἴρηται λόγος) ἐλέχθη ὁ λόγος, ἀπέρχομαι δὲ διὰ τοῦ ἐμοῦ θανάτου δῶρον οὐκ ἀπρεπὲς τῇ πατρίδι δώσων, καὶ τοῦ κινδύνου ταύτην ἐλευθερώσων. εἰ γὰρ ἕκαστος ὃ κατὰ δύναμιν εἶχεν ἀγαθὸν εἰσέφερε τῇ πατρίδι, ἐκ τούτων ἂν ἧσσον πάσχοιεν κακοῦ αἱ πόλεις. 1026. Ἔβας ἔβας) πρὸς οὐδὲν ταῦτα. ἔδει γὰρ τὸν χορὸν εἰκάσαι καὶ τὸν θάνατον Μενοικέως, ἢ ἀποδέξασθαι τὴν εὐψυχίαν τοῦ νεανίσκου. ἀλλὰ τὸ περὶ Οἰδίπου καὶ τὴν σφίγγα διηγοῦνται τὰ πολλάκις εἰρημένα. Ἔβας) ἦλθες, ἦλθες, ὦ πτερόεσσα σφίγξ, γέννημα μὲν τῆς τῶν Θηβαίων γῆς. ἐνταῦθα γὰρ ἐγεννήθης. λόχευμα δὲ τοῦ Τυφῶνος, καὶ τῆς καταχθονίου ἐχίδνης, ἐπὶ ἁρπαγῇ τῶν Θηβαίων, πολλῶν στεναγμῶν αἰτία, πολύφθορε, μιξοπάρθενε, ἔχεις γὰρ τὰ μὲν παρθένου, τὰ δὲ θηρὸς, ξένης καὶ παραδόξου φύσεως, φονικὸν τέρας τοῖς τε φοιταλέοις καὶ μανικοῖς πτεροῖς, καὶ τοῖς ὄνυξι τοῖς ὠμὰ τὰ κρέα ἁρπάζουσι πρὸς σίτησιν. ἥτις πεδαίρουσα τοὺς νέους, ἀπὸ τῆς γῆς εἰς ὕψος αἴρουσα ποτὲ ἐκ τῶν τόπων τῆς Δίρκης, ἤτοι ἐκ τῶν Θηβῶν, προσῆγες καὶ προσέφερες ἄναυλον καὶ ἀνήδυνον ᾠδήν· ἄλυρον δὲ μοῦσαν, τὸν θρῆνον, παρόσον πρὸς αὐλὸν, οὐχὶ πρὸς λύραν ᾖδοντο οἱ ὕμνοι, ἱερᾶς Ἀπόλλωνος νομιζομένης. ἀπενθὴς δὲ θεὸς ὁ Ἀπόλλων. Αἰσχύλος, Τί ταῦτ' ἀνωλόλυξας ἀμφὶ Λοξίου. Οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν. ἡ ἀμφὶ δὲ πρὸς τὸ ἔφερες, προσέφερες ᾠδήν. λέγει δὲ τὸ αἴνιγμα. Ἄχεα πατρίδι φόνια) λέγει φόνους καὶ λύπας ταῖς Θήβαις. τινὲς δὲ τὸ φόνια πρὸς τὰ ἑξῆς, ὃς τάδε τὰ φόνια πρᾶξαι, φόνιος ἦν θεός. ὁ ἐκ θεῶν ταῦτα πράξας, αὐτὸς φόνιος ἦν. αἱ δὲ ἰάλεμοι τῶν παρθένων, καὶ τῶν μητέρων ἐστέναζον ἐν τοῖς οἴκοις, πενθοῦσαι αἱ μὲν τὰ τέκνα, αἱ δὲ τοὺς ἀδελφούς. Ἤϊον δὲ βοὰν, θρηνητικὴν βοήν. διὸ ἐπὶ μὲν θρήνων ψιλοῦται, ἐπὶ δὲ παιάνων δασύνεται). Ἐπωτότυζεν) ἄλλος ἄλλον ἐθρήνει. ὁ στεναγμὸς δὲ καὶ ἡ ἠχὴ βροντῇ παρεῖχεν ὅμοιος, ὁπόταν ἀναρπάζειεν ἡ σφίγξ ἀπὸ τῆς πόλεως τινὰ τῶν ἀνδρῶν. θρῆνος καὶ βοὴ ἐγένετο. μετὰ χρόνον δὲ ὁ ἄθλιος Οἰδίπους εἰς πέδον τὴν γῆν τῶν Θηβαίων διὰ τοῦ Ἀπόλλωνος παραπομπαῖς ἦλθε. 1050. Ἀποστολαῖς) πυνθανομένῳ γὰρ Οἰδίποδι περὶ τῶν γονέων, ἔχρησεν αὐτῷ ὁ θεὸς, ὡς ἀποκτείνας τὸν πατέρα γαμήσει τὴν μητέρα. διὸ εἰς Θήβας ἦλθεν, οὐκ εἰς Κόρινθον, φοβούμενος, μὴ ἀποκτείνας Πόλυβον, γαμήσοι Μερόπην.

* Ἄλλως· σηκὸς &c. Hæc Nota Uncis incluſa ex MS. prædicto. * Δεῖ τόνδε &c. Vid. ſupra & in Notis ibid. ad v. 938.

ANNOTATIONES.

V. 1021. Ἀπαλλάξω) *Scaliger* legit ἀπαλλάξειν, ſicut δώσων prius, ſed Nobiſcum ſtat MS. *C. C. C.*

V. 1034. Πεδαίρουσα) Πεδαίρειν verbum eſt Poeticum, idem valens ac ἐκ πέδου αἴρειν, *ex-ſolo-tollere, humo-tollere, attollere*: vel etiam pro μεταίρειν, πέδα enim pro μετὰ, Æolicè. Vid. ad *Rheſ.* v. 372. *Joſua Barnes*

V. 1043. Ἤϊον) aliàs ἰήϊον, & ita MS. *C. C. C.*

V. 1049. Πτεροῦσα) pro πτεροῦσσα· Malè olim πτέρουσα, ſicut & ſupra v. 1026.

2 Οἰδί-

2 Οἰδίπους ὁ τλάμων	2 Oedipus miſer
3 Θηβαίαν τάνδε γᾶν,	3 Thebanam in hanc terram,
4 Τότ' * ἄσμενος, πάλιν δ' ἄχη· * al. ἀσμένοις.	4 Tunc quidem populo acceptus; mox a. Dolores-ſubſecuti-ſunt.
5 Ματρὶ γὰρ γάμοις δυσγάμοις ὁ τάλας,	5 Cum matre enim nuptias infelices miſer,
6 Καλλίνικος ὢν	6 Præclaram victoriam adeptus
7 Αἰνιγμάτων, συνάπτει·	7 Ænigmatum, contraxit:
8 Μιαίνει δὲ πόλιν.	8 Polluit autem urbem.
9 Δι' αἱμάτων δ' ἀμείβει	9 Per ſanguinē verò cædiſq; verſat,
10 Μυσαρὸν εἰς ἀγῶνα,	10 Execrandum in certamen
11 Καταβαλὼν ἀραῖσι	11 Conjiciens imprecationibus
12 Τέκεα μέλεος. Ἀγάμεθ', ἀγάμεθα,	12 Liberos ſuos miſer. Admiramur, admiramur illum,
13 Ὃς ἐπὶ θάνατον οἴχεται	13 Qui ad mortem abit
14 Γᾶς ὑπὲρ πατρῴας,	14 Solo pro patrio,
15 Κρέοντι μὲν λιπὼν γόους,	15 Creonti quidem relinquens luctus:
16 Τὰ δ' ἑπτάπυργα κλῇθρα γᾶς	16 Sed ſeptem turribus munita clauſtra hujus agri
17 Καλλίνικα θήσων.	17 Præclara victoriâ inſignia redditurus.
18 Γενοίμεθ' ὧδε ματέρες,	18 Utinam autem ſic ſiamus matres,
19 Γενοίμεθ' εὔτεκνοι, φίλαι, (γᾶσαν,	19 Utinam ſiamus prole fœlices, ô amicæ,
20 Παλλὰς, ἃ δράκοντος αἷμα λιθόβολον κατεργά-	20 O Pallas, quæ draconis ſanguinem ſaxis ſparſum confeciſti,
21 Καδμείαν μέριμναν	21 Cadmi ſollicitudinem
22 Ὁρμήσασ' ἐπ' ἔργον.	22 Impellens ad opus.
23 Ὅθεν ἐπέσσυτο τάνδε γᾶν	23 Unde invaſit hunc agrum
24 Ἁρπαγαῖσι δαιμόνων τις ἄτα.	24 Rapinis dæmonum quædam noxa.

Τότε μὲν ἄσμενος) ἀντὶ τοῦ ἡδύς, διὰ τὸ λῦσαι τὸ αἴνιγμα. πάλιν δὲ, ἤτοι ὕστερον, ἄχη συνάπτει, διὰ τὸν γάμον τῆς μητρὸς, καὶ τὰ λοιπά. ἀπὸ κοινοῦ δὲ τὸ συνάπτει. Καλλίνικος ὢν) τὸ ἑξῆς, καλλίνικος γὰρ ὢν τῶν αἰνιγμάτων τῆς σφιγγὸς ἕνεκα, γάμους συνάπτει τῇ μητρί. Δι' αἱμάτων) τὴν πόλιν δὲ διὰ φόνων ἐναλλάσσει. τὸ δὲ ἀμείβει, ἀμείβεσθαι ποιεῖ, ἐμβαλὼν διὰ καταρῶν τοὺς παῖδας εἰς φιλονεικίαν. Ἄλλως. τὰ πρῶτα κακὰ, δι' αἱμάτων ἤλλαξεν, ἐμβαλὼν τοὺς παῖδας διὰ καταρῶν εἰς φιλονεικίαν. Μέλεος) ἀπὸ τούτου εὐθέως ἐχρῆν ἄρξασθαι τὸν χορόν. ἐκεῖνα γὰρ περιττά εἰσι. διὰ φόνων δὲ διέρχεται εἰς τὴν μεμιασμένην φιλονεικίαν. λέγει δὲ τὴν μονομαχίαν, καταβαλὼν διὰ τῶν ἀρῶν τὰ ἑαυτοῦ τέκνα ὁ ἄθλιος. Ἄλλως. Ἀγάμεθα ἀγάμεθα) θαυμάζομεν, καὶ ἐκπληττόμεθα τὸν Μενοικέα ἐκεῖνον, ὃς ἦλθεν ἐπὶ θάνατον ὑπὲρ τῆς ἑαυτοῦ πατρίδος, Κρέοντι μὲν καταλείψας θρήνους, τὰς δ' ἑπταπύλους Θήβας νικηφόρους καταστήσων, ἀντικαταλλαξάμενος ἑκουσίῳ θανάτῳ τὴν σωτηρίαν. 1067. Γενοίμεθ' ὧδε) εἴθε, ὦ δέσποινα Ἀθηνᾶ, καὶ ἡμεῖς εὐτυχήσωμεν τοιούτων τέκνων. ὡς παρθένοι δὲ παρθένῳ θεᾷ εὔχονται, ταύτην τέλος εἰδυῖαι θεόν. συμπεριλαμβάνουσι δὲ τὸ πᾶν γένος, γενοίμεθα λέγουσαι. Ἃ δράκοντος) ἥτις τὸν φόνον τὸν διὰ λίθων γενόμενον τοῦ δράκοντος πεποίηκας. δοκεῖ γὰρ Ἀθηνᾶ συμπρᾶξαι τῷ Κάδμῳ κατὰ τῶν σπαρτῶν, καὶ ἱδρύσατο ταύτην Ὄγκαν προσαγορεύσας τῇ τῶν φοινίκων διαλέκτῳ. ἐπιγέγραπται δὲ τῷ ἱερῷ τούτῳ, Ὄγκας νηὸς δ' ἐστὶ θεῆς Ἀθηνᾶς, ὅν ποτε Κάδμος εἵσατο, βοῦν θ' ἱέρευσεν, ὅτ' ἔκτισεν ἄστυ τὸ Θήβας. 1070. Καδμείαν μέριμναν) τὸν Κάδμον περιφραστικῶς, διεγείρασα καὶ παρορμήσασα εἰς ἔργον, ἤτοι εἰς τὸν φόνον τοῦ δράκοντος. 1072. Ὅθεν) ἤγουν ἀφ' ἧς αἰτίας ἐπῆλθεν εἰς τήνδε τὴν πόλιν μεγάλη τις βλάβη ταῖς θεῶν ἁρπαγαῖς. ἥρπαζε γὰρ ἡ σφίγξ. ὁ δὲ Μενοικεὺς ἔπαθεν τι ὅμοιον ἁρπαγῇ.

ANNOTATIONES.

V. 1053. Ἄσμενος) Ità MS. & Scholiaſtes: quare ἀσμένοις inter varias lectiones repono & γάμοις vocabulum in textum recipio. *Joſua Barnes.*

V. 1054. Γάμοις δυσγάμοις) Vid. *Supplices* v. 32. & *Medæ.* v. 618.

V. 1062. Ὃς ἐπὶ θάνατον οἴχεται Γᾶς ὑπὲρ πατρῴας) *Chorus* hic *Menecei* Virtutem celebrat, qui pro Patriæ ſalute ſe devoverat. De hoc vid. *Philoſtratum* Icon. l. 1. Λέγει γάρ τι ὁ Τειρεσίας λέγε τέθνεν ἐν Μενοικέα, τὸν Κρέοντος, &c. Item *Apollod.* Biblioth. l. 3, c. 6. §. 7. Οὗτος ἂν (ὁ Τειρεσίας) μαντευόμενος, εἶπε νικήσειν, ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὑτὸν ἐπιδῷ· τοῦτο ἀκούσας Μενοικεὺς ὁ Κρέοντος ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξε. Item *Papinium Statium Thebaidos* l. 10. *Martius* inferias & ſæva efflagitat *Anguis* Sacra; cadat Generis quicunque noviſſimus extat Viperei: Datur hoc tantum Victoria pacto, &c. Hinc illud *Juvenalis* Satyr. xiv. v. 237. ——— ——quarum Amor in te eſt,

Quantus erat Patriæ *Deciorum* in pectore, quantùm
Dilexit *Thebas,* ſi *Græcia* vera, *Menæceus. Joſ. Barnes.*

V. 1065. Ἑπτάπυργα) Vid. ſupra ad v. 755.

V. 1067. Γενοίμεθ' ὧδε ματέρες) Ita MS. rectè, ut & *Scholiaſtes.* Legebatur olim γενοίμεθα δ' ὧδε &c. *Joſua Barnes.*

ARGUMENTUM *Actûs* Quarti.

HIC *Actus duplici Narratione conſtat, quarum primâ Nuntius* Jocaſtæ *declarat Eventum Pugnæ, quæ inter* Thebanos *&* Argivos *ſub* Thebarum *Mœnibus fuerat acritèr pugnata. Altera Narratio exponit, quomodò* Polynices *&* Eteocles *tandem in ſingulare Certamen conſenſerint, ac Fide mutuò datâ, factiſque de more ſacris, jamjam ad pugnam ſe pararent. His auditis* Jocaſta *vehementèr turbata,* Antigonem *filiam evocat, undique cum illâ per mediam urbem ſe proripit, rem tam atrocem, ſi fieri poſſit, prohibitura.* Chorus *demùm Miſeræ Matris vices deplorat, ut quæ geminorum Filiorum cædem brevi ſit aſpectura.*

ΑΓΓΕΛΟΣ, ΙΟΚΑΣΤΗ, ΧΟΡΟΣ, ΑΝΤΙΓΟΝΗ.

Ἴαμβοι.

Αγ. Ὠή, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
Ἀνοίγετ', ἐκπορεύετ' Ἰοκάστην δόμων.
Ὠὴ μάλ' αὖθις· διὰ μακροῦ μὲν, ἀλλ' ὅμως
Ἔξελθ', ἄκουσον, Οἰδίπου κλεινὴ δάμαρ,
Λήξασ' ὀδυρμῶν, πενθίμων τε δακρύων.
Ιοκ. Ὦ φίλτατ', ἦ που ξυμφορὰν ἥκεις φέρων,
Ἐτεοκλέους θανόντος, οὗ παρ' ἀσπίδα
Βέβηκας αἰεὶ, πολεμίων εἴργων βέλη;
Τί μοι ποθ' ἥκεις καινὸν * ἀγγέλλων ἔπος; ἀγγελῶν MS.
Τέθνηκεν, ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.
Αγ. Ζῇ· μὴ τρέσῃς τόδ', ὥς σ' ἀπαλλάξω φόβου.
Ιοκ. Τί δ', ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;
Αγ. Ἑστᾶσ' ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.
Ιοκ. Ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;
Αγ. Ἀκμήν γ' ἐπ' αὐτήν· ἀλλ' ὁ Καδμείων Ἄρης
Κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.
Ιοκ. Ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
Οἶσθ', ὡς μέλει μοι καὶ τόδ', εἰ λεύσσει φάος.
Αγ. Ζῇ σοι ξυνωρὶς εἰς τόδ' ἡμέρας τέκνων.
Ιοκ. Εὐδαιμονοίης· πῶς γὰρ Ἀργείων δόρυ
Πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
Λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
Ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσωσμένης.
Αγ. Ἐπεὶ Κρέοντος παῖς ὁ γῆς ὑπερθανὼν,
Πύργων ἐπ' ἄκρων στὰς, μελάνδετον ξίφος
Λαιμῶν διῆκε, τῇδε γῇ σωτήριον,
Λόχους ἔνειμεν ἑπτὰ, καὶ λοχαγέτας
Πύλας ἐφ' ἑπτὰ, φύλακας Ἀργείου δορός,
Σὸς παῖς ἐφέδρους· ἱππότας μὲν ἱππόταις
Ἔταξ', ὁπλίτας δ' ἀσπιδηφόροις ἔπι,
Ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς
Ἀλκή. δι' ὀλίγου περγάμων τ' ἀπ' ὀρθίων
Λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατὸν

Nun. Heus, quis in portis ædium occurrit?
Aperite, educite Iocaſten ex ædibus.
Heus rurſus: ſerò quidem, ſed tamen
Egredere, audi, ô inclyta uxor Oedipi,
Sedatis luctibus, & lugubribus lacrymis
Ioc. O amiciſſime, an venis ferens aliquam calamitatem
De mortuo Eteocle, cui ad clypeum
Adſtas ſemper, arcens tela hoſtium?
Quodnam mihi veniſti novum nuncians nuncium?
Mortuusne eſt? an vivit filius meus? indica mihi.
Nun. Vivit, ne metuas hoc, quia liberabo te à metu.
Ioc. Quomodo verò ſe habent muri, ſeptem portis diſtincti?
Nun. Stant inconcuſſi, nec capta eſt urbs.
Ioc. Veneruntne verò ad periculum Argivæ pugnæ?
Nun. Ad ipſum articulum ventum eſt. Sed Mars Cadmæus
Superior evaſit Mycenæis haſtis.
Ioc. Unum dic, per deos, ſi quid de Polynice
Scis, quia mihi & hoc curæ eſt, an videat lumen.
Nun. Vivit tibi par liberorum in hunc diem.
Ioc. Sis beatus: quomodo verò Argivorum copias
A portis depuliſtis incluſi turribus?
Dicito, ut cæcum ſenem domum
Veniens oblectem, hâc terrâ ſervatâ.
Nun. Poſtquam filius Creontis, qui mortuus eſt pro patriâ,
Turribus in ſummis ſtans, nigro-manubrio-munitum enſem
Per guttur tranſegit, huic Piaculum agro,
Cohortes diſtribuit ſeptem, & cohortium duces
Ad ſeptem portas, cuſtodes Argivi exercitus,
Tuus filius Obſervatores: equites quidem ad equites
Ordinavit, & pedites ad pedites,
Ut laboranti parti murorum eſſet exercitûs noſtri
Defenſio. Statim autem arcibus ab arduis
Albis ſcutis decorum proſpicimus Argivûm exercitum

Ὠή) τοῦτο καὶ ἐπὶ χαρᾶς λέγεται, καὶ ἐπὶ φόβου καὶ θρήνου, ἐνταῦθα δὲ ἐπὶ χαρᾶς. Ἐκπορεύετε) ἐξάγετε. Διὰ μακροῦ) βραδέως μὲν ὑπάρχει, ἀλλ' ὅμως δὲ ἔξελθε, καὶ ἄκουσον, ἔνδοξε γυνὴ τοῦ Οἰδίποδος, παυσαμένη τῶν θρήνων, καὶ τῶν θρηνωδῶν δακρύων. Οὗ παρ' ἀσπίδα βέβηκας) ἐν πολλοῖς ἀντιγράφοις οὐ φέρεται οὗτος ὁ στίχος, ἐπειδὴ ὑπασπιστὴς αὐτοῦ ἦν. νυνὶ δὲ καλέσειεν τοῦ θανόντος, διὰ τοῦτο ὑπονοεῖ, μὴ καὶ τέθνηκεν. Ὡς ἀπαλλάξω) τὸ ὡς ἀντὶ τοῦ ἵνα, ἦλθον, ἵνα σε ἀπαλλάξω τοῦ φόβου. Ἑπτάπυργοι) ἀντὶ τοῦ ἑπτάπυλοι· πύργος γὰρ ἡ ἀσφάλεια. Ἄλλως. Αἱ ἑπτάπυλοι σκέπαι τῆς πόλεως. 1087. Ἦλθον δὲ πρὸς κίνδυνον) ἀντὶ τοῦ, συμβαλόντες τοῖς Ἀργείοις, κινδύνου διάπειραν ἔχον. Ἀκμὴν ἐς αὐτὴν) εἰς αὐτὴν ἦλθον τοῦ πολέμου τὴν σφοδρότητα· ἀλλ' ὁ τῶν Καδμείων πόλεμος κρείσσων ἐγένετο τῶν Ἀργείων. Εἰπὲ Πολυνείκους πέρι) φιλόστοργον μητρὸς ἦθος· εὔχεται γὰρ ἑκάτερον εὐτυχεῖν. ἀκούσασα δὲ περὶ Ἐτεοκλέους καὶ περὶ Πολυνείκους ἐρωτᾷ. Ξυνωρὶς) ἡ δυάς. Εὐδαιμονοίης) εὐτυχοίης. λέξον δέ. πῶς τοὺς Ἀργείους ἀπὸ τῶν πυλῶν ἀπεδιώξατε περικυκλούμενοι ὑπ' ἐκείνων, ὅπως εἰσελθοῦσα εὐφράνω τὸν τυφλὸν Οἰδίποδα, τῆς γῆς ταύτης φυλαττομένης. Μελάνδετον) μέλαιναν λαβὴν ἔχον καταστίλβουσαν. ἢ σιδηροῦν. Ἡσίοδος, μέλας δ' οὐκ ἔτι σίδηρος. ἐπ' ἄκρων δὲ πύργων, πρὸς τὸ πᾶσι τὴν πρᾶξιν καταφανῆ γενέσθαι. τὸ ἑξῆς ξίφος μελάνδετον, σωτήριον. Λοχαγέτας) λόχους, τάγματα, φύλακας. διὰ τοῦτο ἑπτὰ ἔταξε στρατηγοὺς πρὸς ταῖς ἑπτὰ πύλαις, ἑαυτὸν οὐ κατατάξας, ὅπως αὐτὸς περιέρχοιτο τὰς πύλας. 1102. Ἐφέδρους) ἀντιπάλους, ἀγωνιστάς. ἐπικαθεζομένους ἀντιτίθεσθαι, οἱ ἐπικρατοῦσι τὸ ἀντίπαλον μέρος. [* Ἔφεδρος γὰρ ὁ εὐτρεπισμένος, δύο τινῶν παλαιόντων, παλαίειν τῷ νικῶντι.] Ὁπλίτας) πεζούς. 1104. Ὡς τῷ νοσοῦντι) τῷ νοσοῦντι μέρει τῶν τειχῶν.

* Hæc nota ex MS. *Scholiis* ſuppletur, ut priùs. Hanc rem de *Athletarum* ſortitione & quomodo Ἔφεδροι eventum pugnæ manent, verbi gratiâ in *Olympiacis* Certaminibus, optimè deſcripſit *Lucianus* in *Hermotimo* p. 299. & 300. *J. Barnes.*

ANNOTATIONES.

V. 1078. Πενθίμων τε δακρύων) MS. Scholiaſt. πενθίμων λέγει δάκρυα, ἐπεί εἰσι καὶ χαρᾶς δάκρυα. Vide quæ Nos ad *Eſtheræ* noſtræ v. 1160. Δάκρυ σοι ἐκδιδραμὼν γε θάλποντι ἐπι χαμάζε &c. *Joſua Barnes.*

V. 1085. Ἑπτάπυργοι) *Thebæ* 7 Portas habebant, ad quarum ſingulas Turris erat. Vid. ſuprà ad v. 755. Harum autem Portarum nomina ſingula infrà ad v. 1111. *Joſua Barnes.*

V. 1088. Ὁ Καδμείων Ἄρης) Ἄρης habet primam ancipitem; huc referuntur *Scholia* MS. ex illo *Benedictino* exemplari ſumpta. φασὶ γὰρ ... ἢ τὸ ἱμάτιον, ... ἡ ἀρχὴ· ... τὸ ἀήρ, τὸ ἴσον, τὸ ὕδωρ, τὸ αἷμα, τὸ ἄρης ... καὶ τὸ —Ἄρες, Ἄρες βροτολοιγὲ) τὸ ἄμα ὁ ἔτερα. Nam & ἄμα ſcribitur. Vid. quæ Nos ad *Supplic.* v. 286. *Joſua Barnes.*

V. 1092. Τέκνων) ξυνωρὶς τέκνων, par liberorum. Unde pudet referre, quod *Duportii* magni illius viri manu notatum inveni τέκνων, ſenſu miſerè fœdato. Poeta autem de *Polynice* & *Eteocle* loquitur. *Joſua Barnes.*

V. 1099. Λαιμῶν διῆκε) Ità rectiſſimè MS. C. C. C. legit, cum λαιμοῦ priùs legebatur in impreſſis miſero errore. Eſt autem *Synecdoche* numeri. Ità pauló pòſt v. 1143. de uno homine loquens, λαιμοῖς ἐν βραχίοσιν ἔχων, dicit. *Joſua Barnes.*

Τλήμονος ὃν

Τάλμησσὸν ἐκλιπόντα, Καὶ τάφρου πέλας
Δρόμῳ ξυνῆψεν ἄστυ Καδμείας χθονός.
Παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
Ἐκεῖθεν, ἔκ τε τειχέων, ἡμῶν πάρα.
Καὶ πρῶτα μὲν προσῆγε Νηΐταις πύλαις
Λόχον πυκναῖσιν ἀσπίσιν πεφρικότα,
Ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος,
Ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει,
Ἑκηβόλοις τόξοισιν Ἀταλάντην χερὶ
Χειρουμένην Αἰτωλόν. εἰς δὲ Προιτίδας
Πύλας ἐχώρει, σφάγι' ἔχων ἐφ' ἅρματι,
Ὁ μάντις Ἀμφιάραος, οὐ σημεῖ' ἔχων
Ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.
Ὠγύγια δ' εἰς πυλώμαθ' Ἱππομέδων ἄναξ
Ἔστιχ', ἔχων σημεῖον ἐν μέσῳ σάκει,
Στικτοῖς πανόπτην ὄμμασιν δεδορκότα,
Τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
Βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα,
Ὡς ὕστερον θανόντος εἰσορᾶν πάρα.
Ὁμολωΐσιν δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεὺς, λέοντος δέρος ἔχων ἐπ' ἀσπίδος,
Χαίτῃ πεφρικός· δεξιᾷ δὲ λαμπάδα
Τιτὰν Προμηθεὺς ἔφερεν, ὡς πρήσων πόλιν.
Ὁ σὸς δὲ Κρηναίαισι Πολυνείκης πύλαις
Ἄρην προσῆγε. Ποτνιάδες δ' ἐπ' ἀσπίδι
Ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
Εὖ πως στρόφιγξιν ἔνδοθεν κυκλούμεναι
Πόρπαχ' ὑπ' αὐτὸν, ὥστε μαίνεσθαι δοκεῖν.

Teumeſſum deſeruiſſe. Et tandem veniens prope foſſam
Curſu attigit urbem Cadmeæ terræ.
Pæan verò, & tubæ ſonuerunt ſimul
Inde, & de mœnibus, nempè à nobis.
Et primum quidem adduxit ad Neitas portas
Cohortem crebris clypeis horrentem
Parthenopæus filius venatricis,
Tenens domeſticum ſignum in medio clypeo
Atalantem arcu procul jaculante aprum
Ætolum conficientem. Ad Prætidem vero
Portam vadebat, victimas habens in curru
Vates Amphiaraus, non habens ſigna
Significantia arrogantiam, ſed modeſte ſignis carentia arma.
Ad portam vero Ogygiam Hippomedon rex
Conſtitit, habens ſignum in medio clypeo,
Variis Argum oculis cernentem,
Alios quidem cum aſtrorum ortu oculos habentem
Cernentes, alios verò occluſos cum aſtris occidentibus,
Ut poſtea ipſo mortuo videre licebat.
Ad portam verò Homoloida tenebat locum ſuum
Tydeus, habens in clypeo pellem leonis,
Setis horrentem; dexterâ verò facem
Gigas Prometheus ferebat, ut incenſurus urbem.
Ad Crenæam verò portam filius tuus Polynices
Duxit copias. Potniades verò in clypeo
Inſigne equæ pernices ſaltabant præ metu,
Scite in gyrum intus circumactæ
Ad ipſum clypei manubrium, ut furere viderentur.

Τάλμησσὸν) Ταλμησσὸς, ὄρος Βοιωτίας, ἀντὶ τοῦ τὴν Ταλμησσοῦ ἐσχατιὰν χώραν. ἐπεὶ πῶς ἐφανίσωσαν, τῆς Ταλμησσοῦ ἀφεστηκότες πλέον γ' σταδίους τῶν Θηβῶν; ἢ ἐκ ἐκλιπόντα, ἀλλ' ἤδη μεταλιπόντα. Καὶ τάφρου πέλας) πλησίον τῆς * σούδας. Παιὰν) εἶδος ᾠδῆς λεγόμενον εἰς Ἀπόλλωνα, ἐπὶ καταπαύσει τῶν δεινῶν. Νηΐταις πύλαις) ἢ ἀπὸ Νηΐδος τῆς Ἀμφίονος καὶ Νιόβης. ἢ ἐπεὶ νεάται εἰσίν. ὁ δὲ Φερεκύδης ἀπὸ Νηΐδος τῆς Ζήθου θυγατρός. Πεφρικότα δὲ, ἐξορθούμενον τῶν ἀσπίδων, ὡς τὸ * Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι. Προιτίδας) ἐκλήθησαν γὰρ ἀπὸ Ἀκρισίου, φασὶν ὁ Προῖτος εἰς τὰς Θήβας, πλησίον τούτων τῶν πυλῶν. 1117. Σφάγι' ἔχων) ἱερεῖα εἰς σφαγὴν ἔχων ἕτοιμα ἐν τῷ ἅρματι, ἵν' εἰ χρεία γένοιτο μαντείας, εὐθέως σφάξας μαντεύηται. Οὐ σημεῖ' ἔχων) οὐκ ἔχων ἐπὶ τῇ ἀσπίδι σημεῖα ὑπερήφανα καὶ μετὰ ἀλαζονείας, ὡς ὁ Καπανεύς. καὶ παρ' Αἰσχύλῳ, Τοιαῦθ' ὁ μάντις ἀσπίδ' εὔκυκλον νέμων Πάγχαλκον ἧλλε· σῆμα δ' οὐκ ἐπῆν κύκλῳ. Στικτοῖς) ποικίλοις, κατεστιγμένοις. Πανόπτην τὸν † Ἄργον καλεῖ. Ἐπιτολαῖσι) τοῖς μὲν πρὸς ἀνατολὰς κειμένοις ὄμμασι βλέποντα, μύοντα δὲ τὰ πρὸς δύσιν. δίχα γὰρ αὐτὸν τοῖς μὲν διεγρηγορεῖν, τοῖς δὲ καθεύδειν ὄμμασι. Ἄλλως. Ὁ Εὐριπίδης ἔνια μὲν τῶν τοῦ Ἄργου ὀμμάτων συνανατέλλειν φησὶ τοῖς ἄστροις δεδορκότα, τὰ δὲ πρὸς τὴν δύσιν καλυμμένα. ὁ μὲν γὰρ Φερεκύδης ἐπὶ τοῦ ἰνίου φησὶν αὐτὸν ἔχειν ὀφθαλμὸν, ἅμα δηλῶν, ὅτι δύο ἐγένοντο Ἄργοι. γράφει δὲ οὕτως· Ἄργος ὁ Διὸς, γαμεῖ Πειθὼ τὴν Ὠκεανοῦ θυγατέρα. τοῦ δὲ γίνεται Κρίασος. τοῦ δὲ Ἐρευθαλίων (ἀφ' οὗ Ἐρευθαλία πόλις καλεῖται ἐν Ἄργει) καὶ Φόρβας. τοῦ δὲ γίνεται Ἀρέστωρ, τοῦ δὲ Ἄργος, ᾧ Ἥρα ὀφθαλμὸν τίθησιν ἐν τῷ ἰνίῳ, καὶ τὸν ὕπνον ἐξαιρεῖται, καὶ ἐφίστησι φύλακα αὐτὸν τῇ Ἰοῖ, ἔπειτα Ἑρμῆς αὐτὸν κτείνει. Διονύσιος δὲ ἐν τῷ ἑνδεκάτῳ τοῦ Κύκλου, βύρσαν αὐτὸν ἠμφιέσθαι φησί, καὶ κύκλῳ τὸ σῶμα ὅλον ὀμματοῦσθαι. ὁ δὲ τὸν Νόστον ποιήσας φησί. Καὶ οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε μέγαν τε, Τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα, Ἀκάματον δὲ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος Πῖπτεν ἐπὶ βλεφάροις, φυλακὴ δ' ἔχεν ἔμπεδον αἰεί. Ὁμολωΐσιν) πύλαι Θηβῶν αὗται οὕτως ἐκλήθησαν, ἀπὸ Ὁμολωΐας τῆς Ἀμφίονος. παρ' ἣν γὰρ ὤκει Ἀμφίονα φασὶν ἅμα Κάδμῳ τειχίσαι τὴν πόλιν. Ἀριστόδημος δ' αὐτάς φησιν οὕτω κληθῆναι, διὰ τὸ πλησίον εἶναι τοῦ Ὁμολωΐου. ἄλλοι δὲ ἀπὸ μιᾶς τῶν Νιόβης θυγατέρων, Ὁμολωΐδος καλουμένης. 1127. Λέοντος δέρος) λέοντος δέρμα ὁ Τυδεὺς εἶχεν ἐγγεγραμμένον, τῇ μὲν λαιᾷ τὸ δέρμα, τῇ δὲ δεξιᾷ τὸν πυρσόν. τὸ δὲ, Τιτὰν Προμηθεύς) οὕτως ἐξεδέξαντό τινες, ἀντὶ τοῦ δέρμα εἶχεν ὡς Τιτάν, ἀλλ' αὐτὸ σχῆμα Τιτὰν Προμηθεύς. Κρηναίαισι) τῇ ἐν τῇ Δίρκῃ. Ποτνιάδες) τὰς τοῦ Γλαύκου φησίν, αἳ λυσσήσασαι, κατέφαγον τὸν δεσπότην Γλαῦκον, τὸν Σισύφου, ἐν Ποτνίαις τῆς Βοιωτίας. Ἐσκίρτων) ἐφοίτων. Στρόφιγξι μηχαναῖς· ἔνδοθεν κυκλούμεναι) ἔνδοθεν τῆς ἄντυγος δηλονότι, ἵνα οὕτω κατὰ μέσον τῆς ἀσπίδος. στρόφιγξι δὲ, τῇ περιστροφῇ τοῦ δέρματος. 1134. Πόρπαχ' ὑπ' αὐτὸν) κατὰ τὸ μέσον τῆς ἀσπίδος.

* Σούδας, à σοῦδα eſt Græco-barbarum & *Foſſam* ſonat. Vid. *Joh. Meurſii* Gloſſarium Græco-barbarum & quæ Nos notavimus ad *Hecub.* v. 1114. * *Hom.* Iliad. N. v. 339. † Τὸν Ἄργου κύνα. Videtur hic locus defectum pati. Poeta enim *Argum* hic notat *Areſtoris* filium, non Canem *Ulyſſis*.

ANNOTATIONES.

V. 1107. Τάλμησσὸν) MS. ut & omnes libri impreſſi, quot mihi videre contigit, Ταλμησσὸν legunt; ſed abundè conſtat *Teumeſſum* eſſe montem *Bœotiæ*, præterea oppidulum illius nominis in *Thebanis* finibus eſſe; undè frequentèr apud *Statium Teumeſſius* pro *Thebanus* legitur, ut *Theb.* l. 6. Non alias tacitâ juvenis *Teumeſſius* iras Mente acuit.——Vid. *Pauſan.* in *Bœoticis* fol. 296. lin. 4. &c. Et *Stephanum* περὶ πόλεων. *Joſua Barnes.*

V. 1111. Καὶ πρῶτα μὲν &c.) Hic Poeta ſeptem Portas *Thebarum* enumerat, quibus ſeptem Heroas aſſignat, vide de his *Æſchyli* Ἑπτὰ ἐπὶ Θήβας, *Papinii Statii* Thebaid. l. 7. & *Apollodori Thebaica*, hoc eſt, *Biblioth.* l. 3. c. 6. §. 6. & *Pauſaniæ Bœotica* p. 298. lin. 24. &c. ubi Omnium nomina recenſet & eorum variationes profert: & *Gaſpar. Stiblin.* ad hunc locum. *Euripidis* autem Authoritas omnibus aliis æquipollere mihi videtur, qui has Portas enumerant, quare ex illius Mente has eſſe ſtatuimus, 1. *Neitas.* 2. *Prætidas.* 3. *Ogygias.* 4. *Homoloidas.* 5. *Crenæas.* 6. *Electras.* 7. *Hebdomas.* Quarum à Nonnullis pro *Ogygiis* & *Crenæis*, *Boreæ* & *Oncææ* ſubſtituuntur. *Joſua Barnes.*

V. 1128. Δεξιᾷ δὲ λαμπάδα Τιτὰν Προμηθεὺς ἔφερεν, ὡς πρήσων πόλιν) Ex hoc *Euripidis* loco liquet, quis apud *Æſchylum* ſit ille γυμνὸς ἀνὴρ πυρφόρος, nempè *Prometheus*; ut rectè *Thomas Stanleius* in *Prometh.* Vinct. v. 438. Verſus ſunt hi.

Ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον·
Φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη,
Χρυσοῖς δὲ φωνεῖ γράμμασι, ΠΡΗΣΩ ΠΟΛΙΝ.

Quem locum *Æſchyli* proculdubio *Euripides* expreſſit; at ut verum fatear, aptius ſuo *Capaneo* hæc aſſixit *Æſchylus*, quam *Tydeo Euripides.* Sed noſter de Imagine in Clypeo non hic loquitur; ſed ipſum *Tydea Titana* vocat & ob *Lampadem* in dextrâ, *Prometheum*, & ὡς ſubintelligitur. *Joſua Barnes.*

V. 1133. Στρόφιγξιν) Ità MS. quare στρόφιγξί γ', quod antè obtinebat, rejicio. *Joſua Barnes.*

Ὁ δ'

Ὁ δ' οὐκ ἐλάσσον' Ἄρεος εἰς μάχην φρονῶν,
Καπανεὺς, προσῆγε λόχον ἐπ' Ἠλέκτραις πύλαις.
Σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν
Γίγας, ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
Φέρων, μοχλοῖσιν ἐξανασπάσας βίᾳ,
Ὑπόνοιαν ἡμῖν, οἷα πείσεται πόλις.
Ταῖς δ' Ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,
Ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ
Ὕδρας, ἔχων λαιοῖσιν ἐν βραχίοσιν
Ἀργεῖον αὔχημ'· ἐκ δὲ τειχέων μέσων
Δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.
Παρῆν δ' ἑκάστου τῶνδέ μοι θεάματα,
Ξύνθημα * παραφέροντι ποιμέσιν λόχων. * περιφέροντι MS.
Καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
Ἐμαρνάμεσθα, σφενδόναις θ' * ἑκαβόλοις, * ἑκηβόλοις MS.
Πετρῶν τ' ἀραγμοῖς. ὡς δ' ἐνικῶμεν μάχῃ,
Ἔκλαγξε Τυδεὺς, καὶ σὸς ἐξαίφνης γόνος,
Ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,
Τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
Γυμνῆτες, ἱππῆς, ἁρμάτων τ' ἐπιστάται;
Ἠχῆς δ' ὅπως ἤκουσ', ἀργὸς οὔτις ἦν.
Πολλοὶ δ' ἔπιπτον κρᾶτας αἱματούμενοι.
Ἡμῶν τ' ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων
Πυκνοὺς κυβιστητῆρας ἐκπεπνευκότας.
Ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς.
Ὁ δ' Ἀρκὰς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος,
Τυφὼς πύλαισιν ὥς τις ἐμπεσὼν, βοᾷ
Πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν.
Ἀλλ' ἔσχε μαργῶντ' αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς, λᾶαν ἐμβαλὼν κάρᾳ
Ἁμαξοπληθῆ, γεῖσ' ἐπάλξεων ἄπο.

Non minùs verò Marte in pugnâ audax
Capaneus adduxit copias ad portam Electram.
Ferreis verò in clypeo figuris ſignum erat,
Gigas e terrâ natus, in humeris totam urbem
Suſtinens, vectibus convulſam violentèr:
Ut eſſet ſignum nobis, qualia paſſura eſſet urbs.
Adraſtus verò erat in *Hebdomis* portis,
Centum viperas habentem clypeum implens picturâ
Hydræ: habens in lævo brachio
Argivum arrogantiæ ſignum; ex mœnibus verò mediis
Dracones efferebant pueros Thebanos maxillis.
Fui autem ſpectator horum omnium,
Teſſeram ferens ducibus ordinum.
Et primò quidem arcubus & ſagittis
Pugnabamus, & fundis longè ferientibus,
Saxorumque fragmentis: cum autem eſſemus ſuperiores pugnâ,
Clamavit Tydeus, & tuus derepente filius,
O filii Danaûm, priuſquam laceremur jactibus,
Quid cunctamini ſimul omnes irruere in portas,
Levis armaturæ equites, & gubernatores curruum?
Poſtquam autem audiverunt hanc vocem, nullus erat ignavus:
Multi autem cadebant cruentati capitibus.
Et è noſtris quoque in ſolum *cadentes* vidiſſes ante mœnia
Crebros ſaltatores expirare animam.
Siccam autem rigabant terram fluxu ſanguinis.
Arcas verò ille, non Argivus, filius Atalantæ,
Sicut turbo quidam in portas irruens, clamat
Ignem & ligonem, tanquam everſurus urbem.
Sed repreſſit ipſum furentem marini dei
Filius Periclymenus, dejiciens ſaxum in caput,
Quod implevisset currum, pinnis a propugnaculo *revulſis*:

Ἐπ' Ἠλέκτραις πύλαις) ἀπὸ Ἠλεκτρύωνος τοῦ πατρὸς Ἀλκμήνης, ἢ ἀπὸ Ἠλέκτρας τῆς Ἀμφίονος. ἔνιοι δὲ ἀπὸ Ἠλέκτρας τῆς Ἁρμονίας μητρὸς, ἧς τὸ ἀνάθημα φασὶ τὸ ἐν Τροίᾳ Παλλάδιον, τὸ κλαπὲν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους. Σιδηρονώτοις) πῶς ἂν ἀντιστρέφοι εἶπε Λεύκασπιν εἰσορῶμεν Ἀργεῖον στρατόν. ὡς δὲ τῇ Ἀντιγόνῃ, ὅτι χρυσονώτου ἀσπίδα τὴν Καπανέως. λεύκασπιν μὲν οὖν ἀπὸ τοῦ πλεονάζοντος φησί. χρυσονώτου δὲ, τὴν πολυτελῆ. σιδηρονώτου δὲ, τὴν ἰσχυρὰν ἀσπίδα. Σιδηρονώτοις) χαλκενδύτοις. Ὑπόνοιαν ἡμῖν) τουτέστιν ὑποψίαν καὶ σημεῖον, ὁποῖα ἡ πόλις πείσεται. ὑπέκειτο γάρ φησι, καὶ ἐζωγράφητο ὑπὸ τῆς ἀσπίδος γίγας, φέρων ἐπὶ τοῖς ὤμοις πᾶσαν τὴν πόλιν, ὑπόνοιαν διδούς· καὶ τὰ ἑξῆς. Ἑκατὸν ἐχίδναις) πληρῶν τὴν ἀσπίδα ἑκατὸν ἐχίδναις. ἐχιδνοκέφαλος γὰρ ἡ ὕδρα. ἡ δὲ σύνταξις, πολλαῖς ἐχίδναις, τουτέστι κεφαλαῖς ὕδρας ἐκπληρῶν τὴν ἀσπίδα, ἀντὶ τοῦ πληρώσας, τὸ δὲ ἑξῆς ἀσπίδα ἔχων λαιοῖς ἐν βραχίοσιν, ἑκατὸν ἐχίδναις ὕδρας ἐκπληρῶν τῇ γραφῇ, ἀντὶ τοῦ ἑκατὸν κεφαλαῖς. λέγει δὲ τὴν ὕδραν, ἐχιδνώδεις γὰρ ἦσαν αἱ ταύτης κεφαλαί. 1147. Σύνθημα) ἀγγελίαν, μήνυμα, σημεῖον τι ἴδιον εἰ γινώσκουσιν ὑπὸ τοῦ μὴ τοὺς ἰδίους φονεύειν. Ποιμέσι δὲ λόχων) τοῖς στρατηγοῖς τῶν ταγμάτων. Μεσαγκύλοις δὲ, τοῖς ἀκοντίοις, διὰ τὸ κατὰ μέσον τοῦ ξύλου, τὰ ἀκόντια ἀγκύλον τι καὶ κοῖλον ἔχειν. Κατεξάνθαι) ἐκ μεταφορᾶς τῶν ἐρίων κατὰ μικρὸν ξαινομένων τῇ ἐργασίᾳ. Τί μέλλετε) διατί κατ' ὀλίγον ἀναλισκόμεθα, καὶ οὐχὶ πάντες ἐμπίπτομεν ταῖς πύλαις; γυμνῆτες δὲ οἱ σφενδονῆται καὶ οἱ τοξόται. Κυβιστητῆρας ἐκπεπνευκότας,) τὴν ψυχὴν ἀποδεδωκότας, καὶ ἐπὶ τῆς κεφαλῆς πίπτοντας. Ὁ δ' Ἀρκὰς) Ἀρκὰς γὰρ ὢν ἐν Ἄργει ἐπαιδεύθη, ὡς ἐν ἄλλοις φησίν. † Ἀρκὰς μὲν ἦν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοὰς Παιδεύεται κατ' Ἄργος. Ἀταλάντης γόνος) ὁ Παρθενοπαῖος. * 1161. [Τυφὼς πύλαισι) πρόσθες δεῖ τὸ τοὺς ὀφθαλμοὺς πιμπράσθαι· Μένανδρος ἐν Φιλαδέλφοις, Νὴ τὸν Δία τὸν μέγιστον ἐκτυφήσομαι. Καὶ ἐν Ἐπιτρέπουσιν, ἐξετύφην μὲν οὖν κλαίουσα. Τυφὼς μὲν οὖν ὁ ἐκ τῆς ἀναθυμιάσεως, πρὶν ἐκπυρωθῆναι τοῦ ἀέρος, συστροφή· βούλεται δὲ ἀπὸ μέρους τὸ πῦρ δηλῶσαι· ἐμπεσὼν, φησὶ, ταῖς πύλαις, ὡς πῦρ. ἀντιβοῶσι φωνῇ μεγάλῃ, πῦρ καὶ δικέλλας αἰτῶν· τινὲς ἐκ τοῦ Τυφῶνος ἐδέξαντο ἑνὸς τῶν γιγάντων.] Τυφὼς) πρῆστος δαίμων, καὶ τὸ σφοδρὸν τοῦ ἀνέμου. Ἀλλ' ἔσχε) πρὸς ταῖς Κρηναίαις πύλαις, φησὶ τὸν Παρθενοπαῖον ὑπὸ τοῦ Περικλυμένου λιθοβοληθῆναι Ἀσκληπιόδωρος. Ἁμαξοπληθῆ) δυνάμενον πληρῶσαι ἅμαξαν. ἀπὸ κοινοῦ τὸ ἐμβαλών. Μαργῶντα) μεμηνότα. Ἐναλίου θεοῦ) τοῦ Ποσειδῶνος. Γεῖσ' ἐπάλξεων) τὰ ἄκρα τῶν ἐπάλξεων. Ξανθὴν δὲ κρᾶτα) ἀμφίβολον, πότερον τὸν κρᾶτα εἶπεν, ἢ τὰς κρᾶτας. ἐπεὶ καὶ ἐν Ἀρχελάῳ, ἐγὼ δὲ τὴν σὴν κρᾶτ' ἀναστέψαι θέλω. καὶ Ὅμηρος ἀμφιβόλως εἴρηκεν, εἰπὼν κρατὸς ἀπὸ πολιάν. καὶ Ἴων, τίλλων τὸν αὐτοῦ κρᾶτα.

† Supplic. v. 890.

ANNOTATIONES.

* Τυφὼς &c.) Hæc ex MS.

V. 1139. Φέρων μοχλοῖσιν) τὸ μο in μοχλοῖσιν breve eſt. Vid. quæ Nos ad hujus Fabulæ v. 19.

V. 1143. Λαιοῖσιν ἐν βραχίοσιν) Synecdoche numeri. Vid. ſupra ad v. 1099.

V. 1146. Παρῆν δ' ἑκάστου) Ita MS. optimè; cum in impreſſis libris quod ſcriptum erat ἑκάστῳ *Criticos* malè torquebat. Imprimis *Duportus* legebat ἑκὰς τὰ bene quidem, ſed duriuſculè ſonat; mallem equidem ἕκαστα, inquit alius. *Riſum teneatis?* Nunc verò Hæc noſtra lectio omnes tollit ſcrupulos, Παρῆν δέ μοι, θελοντὴν σύνθημα παραφέροντι ποιμέσιν λόχων, ἑκάστου τούτων ἐμφανῶν θέαμα. *Joſua Barnes.*

V. 1162. Ὡς κατασκάψων πόλιν) MS. κατασκάψω & tum fit *Proſopopœia* hoc ſenſu, —*Clamat, Ferte flammas, ferte ligones, ut funditùs evertam urbem. Joſua Barnes.*

V. 1164. Περικλύμενος) *Euripides* hîc ſequitur *Thebaidos* ſcriptores, qui, uti *Pauſanias* teſtatur in *Bœot.* fol. 295. l. 1. &c. *Parthenopæum* à *Periclymeno* occiſum memorant: *Thebani* ab *Aſphodico* cæſum dixère. *Statius* à *Dryante*, nec enim is ſatis fideliter Veterum hæret veſtigiis. *Joſua Barnes.*

V. 1165. Ἐπάλξεων ἄπο) Vid. *Canterum* Novar. Lection. l. 3. c. 3. Qui tamen hoc in loco mirè videtur hallucinatus. *Periclymenus* enim, cùm deſuper à Muris pugnaret, hoc quicquid erat ſaxi à Propugnaculorum pinnis revulſum in *Parthenopæi* caput dejecit. Et MS. ἄπο legit: Quare τὸ ἄπο mordicus retinendum. Quòd verò in libris *Scaligeri*, *Duportique* γεισεπάλξεων corrigatur, quaſi unicum eſſet verbum, ne illa correctio magnus & monſtroſus eſt error. Γεῖσα autem ponuntur per appoſitionem ad λᾶαν. Ita *Oreſt.* v. 1571. Ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν Ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον. *Joſua Barnes.*

* Ξανθὴν δὲ κρᾶτα διεπάλυνε, καὶ ῥαφὰς
Ἔῤῥηξεν ὀστέων, ἄρτι δ' οἰνωπὸν γένυν
Καθημάτωσεν· οὐδ' ἀποίσεται βίον
Τῇ καλλιτόξῳ ματρὶ, Μαινάλου κόρῃ.
Ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
Ἄλλας ἐπῄει παῖς σὸς, εἱπόμην δ' ἐγώ.
Ὁρῶ δὲ Τυδέα, καὶ παρασπιστὰς πυκνὰς,
Αἰτωλίσιν λόγχαισιν εἰς ἄκρον στόμα
Πύργων ἀκοντίζοντας, ὥστ' ἐπάλξεων
Λιπεῖν ἐρείπνας φυγάδας. ἀλλά νιν πάλιν,
Κυναγὸς ὡσεὶ, παῖς σὸς ἐξαθροίζεται,
Πύργοις δ' ἐπέστησ' αὖθις. εἰς δ' ἄλλας πύλας
Ἠπειγόμεσθα, τοῦτο παύσαντες νοσοῦν.
Καπανέως δὲ, πῶς εἴποιμ' ἂν, ὡς ἐμαίνετο;
Μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
Ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασε,
Μηδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργαθεῖν Διὸς,
Τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
Καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πετρούμενος,
Ἀνεῖρφ' ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
Κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.
Ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων
Βάλλει κεραυνῷ Ζεύς νιν. ἐκτύπησε δὲ
Χθὼν, ὥστε δεῖσαι πάντας. ἐκ δὲ κλιμάκων
Ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη·
Κόμαι μὲν εἰς Ὄλυμπον, αἷμα δ' εἰς χθόνα·
Χεῖρες δὲ καὶ κῶλ', ὡς κύκλωμ' Ἰξίονος,
Ἑλίσσετ'· εἰς γῆν δ' ἔμπυρος πίπτει νεκρός.
Ὡς δ' εἶδ' Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
Ἔξω τάφρου καθεῖσεν Ἀργείων στρατόν.
Οἱ δ' αὖ παρ' ἡμῶν δεξιὸν Διὸς τέρας
Ἰδόντες, ἐξήλαυνον ἁρμάτων ὄχους
Ἱππεῖς ὁπλῖται, κεἰς μέσ' Ἀργείων ὅπλα
Ξυνῆψαν ἔγχη. πάντα δ' ἦν ὁμοῦ κακά.
Ἔθνησκον, ἐξέπιπτον ἀντύγων ἄπο·
Τροχοί τ' ἐπήδων, ἄξονές τ' ἐπ' ἄξοσι·

* Vid. Pag. ſuperiori lin. antepenult.

Flavúmque caput comminuit, & ſuturas
Oſſum rupit; ſtatimque rubras genas
Cruentavit: neque referet vitam
Inſigni jaculatrici matri, *Manali*, i.e. *Arcadicæ*, *Puellæ*.
Poſtquam autem hanc portam vidit fortunatam,
Acceſſit ad reliquas filius tuus, ſequebar verò ego.
Video autem Tydeum, & crebros milites clypeatos
Ætolicis haſtis in ſummitates
Turrium jaculantes, ut murorum
Propugnacula ſumma relinquerêt noſtri fugitivi: ſed eos rurſus,
Tanquam venator, filius tuus colligit,
Et rurſus ad turres collocavit. Ad aliam verò portam
Feſtinabamus, ubi *partem* hanc laborantem curaſſemus.
Quomodo autem dicam, quàm Capaneus inſaniverit?
Longarum enim ſcalarum gradus
Geſtans veniebat, atque hæc ſuperbè protulit,
Ne ſacrum quidem ignem ipſum Joris prohibiturum,
Quominus à ſummis arcibus capiat urbem.
Et hæc ſimul dixit, & quamvis ſaxis peteretur,
Aſcendebat *tamen*, ſub ipſum clypeum contracto corpore,
Scalarum clavis munitarum politos gradus percurrens.
At jam tranſcendentem pinnas murorum,
Perit eum fulmine Jupiter. Strepitum autem edidit
Terra, ut omnes metuerent: at è ſcalis
Ut-fundâ-disjiciebantur ſeorſum alia ab aliis *ejus* membra:
Coma quidem cœlum verſus, ſanguis verò in terram;
Manus verò & pedes, ut rota Ixionis
Volvebantur: ignitum verò in terram cadit cadaver.
Poſtquam autem vidit Adraſtus Jovem inimicum exercitui,
Extra foſſam reduxit Argivum exercitum.
Noſtri verò viciſſim dextrum Jovis ſignum
Videntes, eduxerunt curruum vehicula
Equites graviter armati, & in media Argivorum arma
Ruentes commiſerunt haſtas. Omnia autem mala ſimul erant.
Moriebantur, cadebant ex ſuis curribus,
« Rotæque ſaltabant, axéſque ad axes attriti cadebant:

Διεπάλυνε) διελέπτυνε. Διεπάλυνεν) εἰς λεπτὰ διέχεε. καὶ γὰρ παιπάλη λέγεται τὸ λεπτὸν τοῦ ἀλεύρου. Ὅμηρος, * ὅτε πὲρ τε χιὼν ἐπάλυνεν ἀρούρας, ἀντὶ τοῦ ἐσπέπασεν. παρὰ τὸ, * παλάσσετε δ' αἵματι θώρηξ. Ῥαφὰς) συνθέσεις. Οἰνωπὸν) πυῤῥὰν, ξανθίζουσαν γένυν, τὴν παραγένεια ᾑμάτωσεν. Οὐ δ' ἀποίσεται) οὐδὲ κομίσει ἑαυτὸν ζῶντα, πρὸς τὴν μητέρα. Ἐπῄει) ἐπήρχετο. Παρασπιστὰς) ἀσπιδηφόρους. Ἐρείπνας) τῶν ἐπάλξεων τὰ ἄκρα, ὥστε καταλεῖψαι τὰς ἐπάλξεις φυγάδας γενομένους ἡμᾶς. Ἀλλά νιν) τὸν λαόν. Ἐξαθροίζεται) συνάγει πάλιν, καὶ ἐν τοῖς πύργοις ἔστησεν. Νοσοῦν) τοῦτο τὸ μέρος παύσαντες δυστυχοῦν, καὶ κακῶς ἔχον, ἐσπεύδομεν εἰς ἄλλας πύλας. Ὡς) πῶς. Προσαμβάσεις) τὰς ἀναβάσεις τῆς ὑψηλῆς κλίμακος βαστάζων, ἐπορεύετο. Καὶ τοσόνδ' ἐκόμπασε) καὶ τοσοῦτον ἐκαυχήσατο. μὴ δὲ τὸ σεμνὸν πῦρ, ὅ ἐστιν ὁ κεραυνὸς, κωλύσειν αὐτὸν, τοῦ μὴ πορθεῖν τὴν πόλιν ἀπ' ἄκρων τειχῶν. Κατ' ἄκρων) ὁ κατὰ πρὸς τὸ ἑλεῖν, περγάμων δὲ τῶν τειχῶν. εἰς τὸ μὴ καθελεῖν τὴν πόλιν, τὸ γὰρ οὐ πλεονάζει. Ὑπ' αὐτὴν ἀσπίδα) ἐναργῶς ἔδειξε τοῦτον ὑπὸ τῇ ἀσπίδι κεκαλυμμένον, καὶ βαλλόμενον ἄνωθεν, ὡς τὸ, ἀσπίδι ταυρείῃ κεκαλυμμένος. περιφραστικῶς δὲ ἐνήλατα, ὅτι ἐπιβαινομένων, ἢ τὰς βάσεις τῶν ἐνηλάτων τῆς κλίμακος. Ἄλλως. Ἐνήλατά εἰσι τὰ ὀρθὰ ξύλα, ἔνθα πήγνυται καὶ ἐλαύνεται τὰ βάθρα τῆς κλίμακος. Ἀμείβων) διερχόμενος. 1190. Ἐσφενδονᾶτο) ὡς ἀπὸ σφενδόνης ἐχωρίζετο καὶ ἐῤῥίπτετο τὰ μέλη αὐτοῦ ἀπ' ἀλλήλων. Κῶλα) τὰ ἄκρα τῶν ποδῶν. ὡς κύκλωμα δὲ, ὡς ὁ τροχὸς τοῦ Ἰξίονος, ἀεὶ ὂν ἀεὶ στρέφεται. οὗτος γὰρ ὁ Ἰξίων διὰ τὸ ἐρασθῆναι Ἥρας, ταύτην κατεδικάσθη τὴν τιμωρίαν ἐν ᾅδου. Ἔμπυρος) κεκαυμένος. Καθεῖσεν) καθεῖσαι ἐποίησεν ἔξω * τῆς σύδας. Ἁρμάτων ὄχους) τὰ ἅρματα, περιφραστικῶς. Κεἰς μέσ') ἐν μέσῃ τῇ παρατάξει. 1201. Ἄξονές τ' ἐπ' ἄξοσι) καὶ παρ' Αἰσχύλῳ ἐν Γλαύκῳ, Ἐφ' ἅρματος γὰρ ἅρμα, καὶ νεκρῷ νεκρὸς. Ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐκπεφυρμένοι.

* Il. κ'. v. 7. * Il. ί. v. 100. * Τῆς σύδας) de hoc verbo Vid. ſuprà ad v. 1108.

ANNOTATIONES.

V. 1173. Αἰτωλίσιν λόγχαισιν) Ita egregium illud MS. *C.C.C.* Quum prius obtinebat Λόγχαισιν Αἰτωλοῖσιν pro quo *Deportus* legit Αἰτωλίσιν, haud invidendo ſucceſſu, quia ſic *Trochæum* in *Iambico* facit carmine. *Joſua Barnes.*

V. 1178. Νοσοῦν) τὸ νοσοῦν, ſic ſuprà v. 1104. Ὡς τὸ νοσοῦν τειχέων εἴη δορὶ· &c.

V. 1180. Προσαμβάσεις) Ità unico verbo legit *Canterus*, cui MS. favet. Vid. ſupra v. 492. *Joſua Barnes.*

V. 1183. Τὸ μὴ οὐ) μὴ & οὐ quaſi coaleſcunt μονοσυλλαβοῦντα. Vid. Notas ad *Oreſt.* v. 596. Πέργαμα autem in Plurali Appellative pro *Arcibus*, vel *Muris*; Πέργαμος autem ἡ in ſingulari, pro *Trojâ* plerunque ſumitur; eſt etiam quando pro *Urbe* in genere. *Latinè* autem utrumque *Trojam* ſonat. De hâc re Vid. quæ Nos ad *Iphig.* Aul. 773. *Joſua Barnes.*

V. 1186. Κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα) Præter quod *Scholiaſtes* ad hanc vocem profert, hæc *Euſtathius* de hoc ipſo loco---fol. 598. lin. 29. λέγεται δὲ παρὰ τῷ αὐτῷ Τραγῳ (De *Euripide* loquitur) οὕτω καθ' ὁμωνυμίαν, καὶ κλιμάκων ἐνήλατα, τὰ τῶν βαθμίδων ἄκρα, οἷς ἐνηρμόσθαι τοὺς μηροὺς τῶν κλιμάκων &c. idem ferè fol. 782. lin. 28. Ἐνήλατον autem *impactum* ad verbum ſonat. Fiunt autem & ſcalæ è teretibus lignis, perticas vocant, gradibus interpoſitis & è funibus Canabinis portatiles. Utuntur his Milites etiam in oppugnationibus Urbium, ut ſcandentes muros introire poſſint. Tales, ut eſt apud *Vitruvium*, *Capaneus* excogitavit. *Franciſcus Grapaldus* de Partibus Ædium l. I. Ex *Stiblino* Grapaldum citavimus. *Joſua Barnes.*

V. 1192. Ὡς κύκλωμ' Ἰξίονος) De hâc Hiſtoriâ vide in *Fragmentis* ad *Ixionis* Argumentum, 2 Vol. fol. 473.

Νεκροὶ

Νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
Πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
Εἰς τήνδ' ἡμέραν· εἰ δ' εὐτυχὴς
Ἔσται πόλις γ' ἥδε γῆ, θεοῖς μέλει.
Χο. " Καλὸν τὸ νικᾶν. εἰ δ' ἀμείνον' οἱ θεοὶ
Γνώμην ἔχοιεν, εὐτυχὴς εἴην ἐγώ.
Ιοκ. Καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει.
Παῖδές τε γάρ μοι ζῶσι, *κἀκπέφευγε γῆ. * κ' ἐκπέφευγε MS.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων,
Τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
Παιδὸς στερηθεὶς, τῇ πόλει μὲν εὐτυχῶς,
Ἰδίᾳ δὲ λυπρῶς. ἀλλ' ἄνελθέ μοι πάλιν,
Τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον;
Αγ. Ἔα τὰ λοιπά· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.
Ιοκ. Τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.
Αγ. Μεῖζόν τι χρῄζεις, παῖδας ἢ σεσωσμένους;
Ιοκ. Καὶ τἀπίλοιπά γ', εἰ καλῶς πράσσω, κλύειν.
Αγ. Μέθες μ'· ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.
Ιοκ. Κακόν τι κεύθεις, καὶ στέγεις ὑπὸ σκότῳ.
Αγ. Οὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσι σοῖς κακά.
Ιοκ. Εἰ μή γε φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.
Αγ. Αἶ, αἶ· τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
Φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
Τὼ παῖδε τὼ σὼ μέλλετον τολμήματα
Αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
Λέξαντες Ἀργείοισι Καδμείοισί τε
Εἰς κοινὸν, οἷον μή ποτ' ὤφελον, λόγον.
Ἐτεοκλέης *προὐπῆρξ' ἀπ' ὀρθίου σταθεὶς * δ' ὑπῆρξ' MS.
Πύργου, κελεύσας σῖγα κηρῦξαι στρατῷ.
Ἔλεξε δ', ὦ γῆς Ἑλλάδος στρατηλάται,
* Δαναῶν ἀριστῆς, οἵπερ ἤλθετ' ἐνθάδε, * Δαναῶν τ' ἀριστῆς. MS.
Κάδμου τε λαὸς, μήτε Πολυνείκους χάριν
Ψυχὰς ἀπεμπολᾶτε, μήθ' ἡμῶν ὕπερ.
Ἐγὼ γὰρ αὐτὸς τόνδε κίνδυνον μεθεὶς,
Μόνος συνάψω συγγόνῳ τῷ 'μῷ μάχην.
Κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος·
Ἡσσώμενος δὲ, τῷδε παραδώσω πόλιν.
Ὑμεῖς δ' ἀγῶν' ἀφέντες, Ἀργείαν χθόνα
Νεῖσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.
Σπαρτῶν τε λαὸς ἅλις, ὅσος κεῖται θανών.
Τοσαῦτ' * ἔλεξ'· ὁ σὸς δὲ Πολυνείκης γόνος
Ἐκ τάξεων ὄρουσε, κἀπῄνει λόγους. * ἔλεξε· σὸς &c. MS.
Πάντες δ' ἐπερρόθησαν Ἀργεῖοι τάδε,
Κάδμου τε λαὸς, ὡς δίκαι' ἡγούμενοι.

Et cadavera cadaveribus cumulabantur ſimul.
Prohibuimus igitur everſionem turrium terræ hujus
Hodie, an vere felix
Futura ſit in poſterum hæc urbs, Diis hoc erit curæ.
Ch. Pulchrum eſt vincere: ſi verò dii meliorem
Habuerint ſententiam, ego felix eſſem.
Joc. Pulchrè habent quæ ſunt deorum & fortunæ.
Filii enim ſunt ſalvi, & civitas evaſit periculum,
Creon verò videtur mearum nuptiarum,
Et horum malorum Oedipi pœnas luere infelix,
Filio privatus: urbi quidem fauſtum id & felix,
Privatim verò acerbum eſt. ſed narrato mihi deinceps,
Quid poſt hæc filii mei facere ſtatuerint.
Nun. Omitte reliqua; ſemper enim huc uſque es fortunata.
Joc. Hoc dixiſti ſuſpiciosè; non eſt omittendum.
Nun. Quid vis majus habere, quàm filios ſalvos?
Joc. An & in poſterum prorſus ſim futura felix, audire *volo*.
Nun. Dimitte me: filius tuus eſt ſine armigero.
Joc. aliquod malum occultas. & involvis tenebris.
Nun. Nequaquam dicam poſt bona, tua, mala.
Joc. Niſi dixeris, effugiendum tibi erit in aërem.
Nun. Heu, heu! quare me non ſinis poſt lætum
Nuncium abire, ſed vis me dicere mala?
Filii tui agitant facinora
Turpiſſima, viz. ſingulari-pugnâ cernere ſeparatim ab omni acie.
Etenim dixerunt Argivis & Thebanis
Palam, quæ nunquam dicere debebant.
Eteocléſque ſtans in arduo loco, prior incepit
De turri, jubens indici ſilentium exercitui:
Dixit autem, O duces Græci ſoli,
Præſtantiſſimi Græcorum, qui huc veniſtis,
Et vos cives Thebani, neque Polynicis gratiâ
Vendite animas, neque noſtrâ causâ.
Ego enim ipſe hoc *vobis* periculum remittens,
Solus committam cum meo fratre certamen.
Et ſi quidem hunc occidero, ſolus regnabo in patriâ,
Victus vero, huic tradam urbem:
Vos verò omittentes certamen, in Argivum agrum
Redibitis, non relinquentes hic vitam:
Thebanique populi ſatis eſt, qui jacet mortuus.
Sic dixit. Tuus autem filius Polynices
Ex agmine celeritèr accurrit, & laudavit hoc dictum.
Omnes verò fremitu applauſerunt *Argivi*
Cadmique populus, utpote hæc juſta æſtimantes.

Ἐξεσωρεύονθ' ὁμοῦ) σωρηδὸν ἀλλήλοις ἐπέκειντο. Ἔσχομεν κατασκαφὰς) τοὺς θεμελίους τῶν πύργων κατασκαφῆναι διεκωλύσαμεν. Θεοῖς μέλει) τοῖς θεοῖς φροντὶς ἔσται. Καλὸν τὸ νικᾶν) καλὸν τὸ νικᾶν ἐστιν. εἰ δὲ καὶ βέλτιον τοῦ νικᾶν ἡμᾶς βουλεύονται οἱ θεοὶ, εὐτυχοίην ἄν. λέγει δὲ τὸ φιλίαν ἐμβαλεῖν τοῖς ἀδελφοῖς. Εἰ δ' ἀμείνονα) τινὲς ἀντὶ τοῦ δικαίαν. ὁ δὲ νοῦς, ηὔχετο μὲν νικᾶν τοὺς Θηβαίους. εἰ δὲ οἱ θεοὶ τὰ δίκαια κρίνουσι, καὶ συμβῇ ἡττηθῆναι τοὺς Θηβαίους, ἀλλ' οὖν ἐγὼ διαφύγοιμι. Ἀλλ' ἄνελθέ μοι) ἀνάδραμε, διήγησαι. Ἔα τὰ λοιπὰ) μὴ περαιτέρω πύθου. Δεῦρ' ἀεὶ) ἀντὶ τοῦ μέχρι τοῦ νῦν, ἕως τούτου. ἐπειδὴ δὲ εἶπεν, ἔα τὰ λοιπὰ, οἱ καλῶς πράσσουσι. εἶπεν, ὅτι εἰς ὑποψίαν εἶπας. Ὑπασπιστοῦ) ἀντὶ τοῦ ἀπολειφθεὶς, ἔρημος καὶ μεμονωμένος ἐστὶν ἐμοῦ τοῦ ὑπασπιστοῦ ὁ σὸς παῖς. Καὶ στέγεις ὑπὸ σκότῳ) καὶ καλύπτεις ἐν ἀφανείᾳ. Ἐπ' ἀγαθοῖσι) πρὸς οἷς ἔλεξα ἀγαθοῖς, οὐκ ἂν προσαγγείλαιμι τὰ κακά. Εἰ μή με φεύγων) λέξεις δηλονότι. Τί μ' οὐκ εἴασας) διατί με τὴν εὐάγγελον ἀγγελίαν οὐκ ἀφῆκας ἐμὲ ἀπελθεῖν, ἀλλ' ἀναγκάζεις μηνῦσαι τὰ κακά; Τὼ παῖδε τὼ σὼ) φροντίζουσι τολμᾶν, λέγω ἀπρεπέστατα τολμήματα, μονομαχεῖν ἰδίᾳ παντὸς τοῦ στρατοῦ, λέξαντες εἰς μέσον τῶν Ἀργείων καὶ Καδμείων λόγον τοιοῦτον, ὁποῖον μὴ ὄφελον εἰπεῖν. ὁ Ἐτεοκλῆς δὲ ἤρξατο τοῦ λόγου ἀφ' ὑψηλοῦ πύργου στὰς, κελεύσας τὸν κήρυκα σιγὴν κηρύξαι τῷ λαῷ. Ὦ γῆς Ἑλλάδος) Ὁμηρικῶς, ἤρξατο, Κέκλυτέ μοι Τρῶες, καὶ ἐϋκνήμιδες Ἀχαιοί. οὗτος δὲ ὁ στίχος ἐν πολλοῖς ἀντιγράφοις οὐ φέρεται. Ψυχὰς ἀπεμπολᾶτε) τὴν ζωὴν ὑμῶν προδίδοτε. ἀπεμπολᾶν κυρίως τὸ πεπρακέναι. Ἄλλως. Εἰς κίνδυνον ἐκδίδοτε. ἡ μεταφορὰ ἀπὸ τῶν κινδυνευόντων ἐν θαλάσσῃ κέρδους χάριν. Μεθεὶς) ἐκβαλὼν τὸν θάνατον, μόνος συστήσω τῷ ἀδελφῷ μου μάχην. Μεθεὶς) παύσας. ἐκβαλὼν τὸν κίνδυνον ὑμῶν, καὶ τὸν πόλεμον. 1240. Νεῖσθε) πορεύεσθε. Σπαρτῶν τε) καὶ ὁ τῶν Θηβαίων ὄχλος ἀποθανὼν, αὐτάρκης. 1243. Ἐκ τάξεων) ἐκ τῶν ταγμάτων ὥρμησε, καὶ ἐπῄνεσε τοὺς λόγους. καὶ οἱ Ἀργεῖοι πάντες ἐπεφήμησαν ἃ ὁ Ἐτεοκλῆς εἶπε, καὶ οἱ Καδμεῖοι, ὡς δίκαιον τοῦτο νομίζοντες, ἐπὶ τούτοις ἐφιλονείκησαν, καὶ ἀπὸ τῶν δύο μερῶν ὅρκους ὤμοσαν ἐμμένειν τοῖς ὅρκοις τοὺς στρατηγούς.

ANNOTATIONES.

V. 1244. Ἐπερρόθησαν) Vid. ad Oreſt. v. 899

Ἐπὶ τοῖσι δ' ἐσπείσαντο, κἀν μεταιχμίοις
Ὅρκους συνῆψαν ἐμμενεῖν στρατηλάτας.
Ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
Δισσοὶ γέροντος Οἰδίπου νεανίαι.
Φίλοι δ' ἐκόσμουν, τῆσδε μὲν πρόμον χθονὸς,
Σπαρτῶν ἀριστεῖς· τὸν δὲ, Δαναϊδῶν ἄκροι.
Ἔσταν δὲ λαμπρὼ, χρῶμά τ' οὐκ ἠλλαξάτην,
Μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
Παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων,
Λόγοισι θαρσύνοντες, ἐξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
Τρόπαιον, Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον.
Ἐτεοκλεᾶ δ' αὖ, Νῦν πόλεως ὑπερμαχεῖς,
Νῦν καλλίνικος γενόμενος, σκήπτρων κρατεῖς.
Τάδ' ἠγόρευον, παρακαλοῦντες εἰς μάχην.
Μάντεις δὲ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς,
Ῥήξεις τ' ἐνώμων ὑγρότητ' * ἐναντίαν, * ἐναντίον, MS.
Ἄκραν τε λαμπάδ', ἣ δυοῖν ὅρους ἔχει,
Νίκης τε σῆμα, καὶ τὸ τῶν ἡσσωμένων.
Ἀλλ' εἴ τιν' ἀλκὴν, ἢ σοφοὺς ἔχεις λόγους,
Ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ', ἐρήτυσον τέκνα
Δεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,
Καὶ τἆθλα δεινά, δάκρυά σοι γενήσεται·
Δισσοῖν στερείσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.
Ιοκ. Ὦ τέκνον, ἔξελθ' Ἀντιγόνη δόμων πάρος·
Οὐκ ἐν χορείαις οὐδὲ παρθενεύμασι

Propter hæc ſunt factæ induciæ, & in medio utriuſque aciei loco
Juſjurandum dederunt omnes duces iis ſtaturos eſſe.
Jámque occultabant corpus æneis armis
Duo juvenes ſenis Oedipi.
Amici verò ornabant decem hujus terræ,
Principes Thebani; alterum verò principes Argivorum.
Steterunt autem fulgentes, nec mutaverunt colorem.
Inſano impetu cupientes alter in alterum jaculari haſtam.
Prætereuntes verò alii aliunde amici,
Animabant ſermone & dicebant hæc:
Polynices, penes te eſt erigere Jovis ſtatuam
Trophæi ſignum, & magnam gloriam parare Argis.
Eteoclem verò viciſſim ſic hortabantur: Nunc pro patriâ pugnas,
Nunc præclaræ victoriæ compos factus, ſceptrum regni tenes;
Hæc dicebant, hortantes ad pugnam.
Vates verò mactabant pecudes, & igneas acies,
Rupturaſque obſervabant, & ſpiſſi contrarium humorem,
Summamque flammam, quæ duarû rerum ſignificationes habet,
Victoriæ ſcilicet ſignum & cladis, quâ victi afficiuntur.
Sed ſi quod remedium, ſi quam ſapientem habes rationem,
Et philtra incantationum, vade & cohibe liberos
A ſævo certamine, quia periculum eſt magnum,
Et præmia gravia: lacrymæ verò tibi erunt:
Privaberis duobus filiis in hac die.
Ioc. O filia Antigone, egredere ante ædes.
Non in choreis neque in virginum cœtu

Κἀν μεταιχμίοις) μεταίχμιον λέγεται ὁ τόπος, ὁ μεταξὺ τῶν δύο στρατευμάτων, ἐπὶ τούτοις τοῖς ὡμολογημένοις ἐν τοῖς μεταιχμίοις συνελθόντες, ἐσπείσαντο ἐμμένειν αὐτοῖς οἱ στρατηγοὶ, ἢ τοὺς ἄλλους βασιλεῖς καὶ τὰ στρατεύματα ὤμοσαν ἐμμένειν τοῖς ῥηθεῖσιν ὑπ' ἀμφοτέρων. Ὅρκους συνῆψαν) οἷον τὰ πρὸς τοὺς ὅρκους ἐπιτήδεια συνέμιξαν Θηβαῖοι καὶ Ἀργεῖοι. τουτέστι τὸν οἶνον, καὶ τὸ αἷμα τῶν ἱερείων. Ἤδη δ' ἔκρυπτον) ἐξ ὅπλων τὸ σῶμα [illegible]. [*Νεανίαι) οἱ δύο νεανίαι τοῦ γέροντος Οἰδίποδος, ἀντὶ οἱ δύο παῖδες. καθὸ λέγεται ἡ Κόρη τοῦ δεῖνος, ἀντὶ ἡ θυγάτηρ.] Πρόμον) πρόμαχον. Ἔσταν δὲ) ἔστησαν δὲ φαιδροὶ, καὶ οὐκ ἠλλοίωσαν τὴν ὄψιν. Μαργῶντε) μανικῶς ὁρμῶντες πέμψειν κατ' ἀλλήλων τὸ δόρυ. Ἄλλος) ἄλλος δὲ τῶν φίλων ἀπ' ἄλλου μέρους παρεκβαίνοντες διὰ λόγων εἰς θάρσος προβάλλοντες προσηύδων ταῦτα. 1256. Ἐν σοὶ Ζηνὸς) ἐν σοὶ τρόπαιον στῆσαι Διὸς ἡμῶν ἐλπὶς, καὶ τῷ τ' Ἄργει εὐκλεᾶ ἀπαγγελίαν δοῦναι. ἢ [illegible], λόγον καὶ φήμην καταλεῖψαι τῆς [illegible]. Ἄλλως. Ἐν σοὶ κεῖται ἀνορθῶσαι τὸ εἴδωλον τὸ νικητήριον. οἱ γὰρ νικῶντες εἴδωλον ἵστασαν τοῦ Διός. Ἐτεοκλέα δ' αὖ) ἀπὸ κοινοῦ τὸ ἐθάρσυνόν τε καὶ ἔλεγον. Ἐμπύρους τ' ἀκμὰς) τὰς τοῦ πυρὸς ἀναδόσεις, καὶ τὰ φῶτα τὰ ἐκ τῶν ἐμπύρων ἀναφερόμενα, ἀφ' ὧν σημειοῦνται οἱ μάντεις. Ἀκμὰς δὲ) τὰς ἀναδόσεις, ἐπεὶ βιαιότατον ἐστὶ τὸ πῦρ. Ῥήξεις δ' ἐνώμων) τὰς τῆς χολῆς ῥήξεις ἀποσκοποῦντες τὴν ὄψιν μετεώριζοντες. ταύτην γὰρ οἱ μάντεις τὰς χολάς. Ὑγρότητ' ἐναντίαν) τὰ ἀεὶ τῶν ἐναντίων δηλοῖ, τὴν ὑπὸ τῶν ἐναντίων ἐχθρῶν ἀεὶ παρασκευασθεῖσαν. οἱ γὰρ θύται ἀεὶ τῶν ἐχθρῶν οἱ βουλόμενοι μανθάνειν, ἔχοντες χολὴν ἀφορῶσι. πικροὶ γὰρ οἱ ἐχθροί. ὑγρότητα δὲ λέγει, αὐτὴν τὴν χολήν. Ἄλλως. Ῥήξεις τ' ἐνώμων, τῆς κύστεως τὸ στόμα λίνῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ, καὶ παρετήρουν τὰς ῥαγάσεις, καὶ ποῦ τὸ ὑγρὸν ἀκοντίζει. Σοφοκλῆς ἐν Μάντεσι, τὰς μαλλοδέτους κύστεις. Ὑγρότητα ἐναντίαν· τὴν τὰ ἀεὶ τῶν ἐναντίων δηλοῦσαν, ἢ διὰ τὸ πικρὰν οὖσαν καλεῖσθαι γλυκεῖαν, ἢ ἐναντίαν, ὡς πρὸς τὸ πῦρ. ξηρὸν γὰρ τὸ πῦρ. τὸ δὲ ἑξῆς, μάντεις τε μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς ἐνώμων. κατὰ κοινοῦ γὰρ τὸ ἐνώμων ἄκραν τε λαμπάδα ἐνώμων. ἄκραν τε λαμπάδα, τὸ ἄκρον τοῦ πυρὸς, ὃ καλεῖται κέρας, ἐσκόπουν. οἱ δὲ τὴν καρδίαν, διὰ τὸ εἶναι πυρώδη, καὶ θερμήν. Ἄλλως. τὴν ὀσφὺν τοῦ ἱερείου· ἦν γὰρ δι' αὐτῆς μαντεία. καμπτομένη γὰρ ὑπὸ τοῦ πυρὸς σημαίνει δυσχέρειαν πολέμου. ἀνιεμένη δὲ καὶ κατατείνουσα, ἧτταν. ἀναστρεφομένη δὲ εἰς ὕψος, νίκην. οἱ δὲ ἄκραν λαμπάδα τὴν χολὴν λέγουσι. τὴν ἐν τῷ ἥπατι. σημεῖον γάρ ἐστι νίκης τε καὶ ἥττης. Ἢ σοφοὺς) μαγικούς. Ἢ φίλτρ' ἐπῳδῶν) τῶν ἐπᾳδόντων ἀνθρώπων, ἃ ἐπάγουσα δυνάσαι εἰς φιλίαν αὐτοὺς ἀγαγεῖν [*Ἄλλως. φίλτρα ἐπῳδῶν ἀντὶ τοῦ ἐπῳδὰς φίλτρων. φίλτρον, τὸ φιλίαν ἐμποιοῦν. ὥσπερ μίσητρον, τὸ ἐμποιοῦν μῖσος. καὶ φόβηθρον, τὸ φόβου ποιητικόν· καὶ θέλγητρον, τὸ ἐφελκυστικὸν εἰς τέρψιν. ἐνταῦθα δὲ φίλτρον ἀντὶ φιλίας, ἵν' ᾖ ἐπῳδὰς φιλίας, τουτέστιν εἰς φιλίαν συνάγειν δυναμένας.] Ἁμίλλης) φιλονεικίας. Τἆ δεινά, ἀγωνίσματα. Στεῖχ' ἐρήτυσον) ἄπελθε, κώλυσον ἀπὸ τῆς χαλεπῆς ἔριδος τὰ τέκνα, ἐπεὶ ὁ πόλεμος μέγας ἐστί. [*Καὶ τἆθλα δεινὰ) τὰ ἆθλα ἀμφοτέρων, ἤγουν τὰ ἔπαθλα, τὰ ἐπὶ τῇ νίκῃ γέρα, ταῦτά σοι ἐπιδάκρυτα. 1270. Δόμων πάρος) τὸ πάρος
[***] εis loci ex MS. prædicto.

ANNOTATIONES.

V. 1254. Ἄλλος) Rejeci ἄλλων primo aſpectu, ut ſpurium & ἄλλος ſubſtitui. Faventem nunc video Manuſcriptum Codicem, ut & Scholiaſten quoque. *Joſua Barnes.*

V. 1255. Λόγοισι θαρσύνοντες ἐξηύδων) MS. hic legit θαρσύνοντες προσηύδων. Non æquè bene, ut mihi videtur; licet enim τὸ προσηύδων magis mihi arrideat, quàm ἐξηύδων, vix tamen θαρσύνοντε poſſum admittere pro θαρσύνοντες & tamen hæc ſyllaba neceſſe eſt, ut ſit brevis. Quid? An hic *Dualis* numerus ponitur pro *Plurali*? Certè hoc non novum. En! ſolutionem. Prior ſyllaba in προσηύδων per metri leges hic ſtare nequit, & Scholiaſtes exponit θαρσύνοντες per verbum, hoc modo, ἐθάρσυνόν τε καὶ ἔλεγον, quarè ſic lego Λόγοισι θαρσυνόν τε πρός τ' ηὔδων τάδε. *Joſua Barnes.*

V. 1256. Ζηνὸς ὀρθῶσαι βρέτας τρόπαιον) De Deorum Imaginibus pro Trophæis poſitis, vid. ad *Heraclid.* v. 937. Similem locum vid. infrà ad v. 1482. *Joſua Barnes.*

V. 1258. Ἐτεοκλεᾶ) Ita ſcribo, ut metro conſulatur, eodem modo, quo in præcedenti ſcriptum erat & olim rectè εὐκλεᾶ. Vid. ſuprà v. 74. Sed horum quidem ratio aperta eſt, eò quòd contrahuntur; nam εὐκλεᾶ, ab εὐκλεὴς, & Ἐτεοκλέης & Ἐτεοκλῆς & Ἡρακλέης & Ἡρακλῆς ſcribuntur; ſed in Nominibus in ευς deſinentibus quoque & in ᾱ impuro, aliquando ſimilis invenitur licentia apud *Atticos* præſertim, de quâ re Nos aliàs, nempe ad *Andromach.* v. 545. Cujus rei plurima occurrunt exempla, ut *Phœniſſ.* v. 74. & v. 776. & *Hippolyt.* v. 953. & v. 1193. & *Andromach.* v. 545. & ejuſd. v. 1237. & v. 1247. *Joſua Barnes.*

V. 1259. Σκήπτρων) Ità lego, & ità MS. Olim σκῆπτρον.

V. 1262. Ἀκμὰς) *Ionicè* legimus. Vid. quæ commentati ſumus ad *Phœniſſ.* v. 19.

V. 1272. Οὐκ ἐν χορείαις, οὐδὲ παρθενεύμασι &c.) Simile v. 1282. Οὐκ ἐν αἰδοῖ νῦν ἐστι. Senſus eſt, Non jam modeſtiæ aut Virginalis pudoris ratio habenda eſt, nè ſolùs vageris; Vita enim fratrum tuorum in periculo eſt. Vid. infrà ad v. 1631. Aliò ferè ſenſu *Homerus* Il. δ. v. 508. Οὐ μάν ἐστι χορὸν δὲ ἔρχεσθ', ἀλλὰ μάχεσθαι. Quod Nos in *Franciados* noſtræ l. 1. v. 587. ita expreſſimus

——— *Nec magnus ſolemnia ducere Feſta*
Plantagenetu parat, molli nec ludere ſaltu;
Nec lepidos Puer iſte choros, ſed Prælia quærit.
Joſua Barnes.

ὑπόῤῥημα

ὀπίῤῥημα, ἀδῆς ποιητῆς ἐν χρόνω, ἐνίοτε μὲν πεζὸν, ὡς ἐνταῦθα, ἐνίοτε δὲ χορικόν· καὶ ἀπὸ τούτου τὸ πέρυσιν, περύτερον καὶ περύτατον.]

Νῦν σοι προχωρεῖ δαιμόνων καταστάσις.
Ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν,
Εἰς θάνατον ὁρμῶντε, κωλῦσαί σε δεῖ
Ξὺν μητρὶ τῇ σῇ, μὴ πρὸς * ἀλλήλοιν θανεῖν.
Αν. Τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν
Φίλοις ἀϋτεῖς τῶνδε δωμάτων πάρος;
Ιοκ. Ὦ θύγατερ, ἔρρει σῶν κασιγνήτων βίος.
Αν. Πῶς εἶπας; Ιοκ. αἰχμὴν εἰς μίαν καθέστατον.
Αν. Οἲ 'γώ· τί λέξεις, μῆτερ; Ιοκ. οὐ φίλ', ἀλλ' ἕπου.
Αν. Ποῖ, παρθενῶνας ἐκλιποῦσ'; Ιοκ. ἀνὰ στρατόν.
Αν. Αἰδούμεθ' ὄχλον. Ιοκ. οὐκ ἐν αἰσχύνῃ τὰ σά.
Αν. Δράσω δὲ δὴ τί; Ιοκ. συγγόνων λύσεις ἔριν.
Αν. Τί δρῶσα, μῆτερ; Ιοκ. προσπίτνουσ' ἐμοῦ μέτα.
Αν. Ἡγοῦ σὺ πρὸς μεταίχμι', οὐ μελλητέον.
Ιοκ. Ἔπειγ', ἔπειγε, θύγατερ· ὡς ἢν μὲν φθάσω
Παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος.
Ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.
Θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι.

*al. ἀλλήλων, & ita MS.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Αἶ, αἶ, αἶ, αἶ. τρομερὰν * φρίκᾳ,
2 Τρομερὰν φρέν' ἔχω.
3 Αἶ, αἶ· διὰ σάρκα δ' ἐμὰν
4 Ἔλεος, ἔλεος.
5 Ἔμολε ματρὸς δειλαίας,
6 Δίδυμα * τέκνα· Πότερος ἄρα
7 Πότερον αἱμάξει
8 (Ἰώ μοι πόνων, Ἰὼ Ζεῦ, Ἰὼ γᾶ)
9 Ὁμογενῆ δέραν,
10 Ὁμογενῆ ψυχὰν,
11 Δι' ἀσπίδων, δι' αἱμάτων;
12 Τάλαιν' ἐγὼ, τάλαινα.
13 Πότερον ἄρα νέκυν ὀλό-
14 μενον ἰαχήσω;

* φρίκα MS.

* Schol. τέκεα.

Ἀντιστροφή.

1 Φεῦ δᾶ, φεῦ δᾶ· δίδυμοι θῆρες,
2 Φόνιαι ψυχαί,
3 Δορὶ παλλόμεναι,

Nunc tibi procedit ſtatus fortunæ.
Sed viros optimos & fratres tuos
Tendentes in mortem, impedire te oportet
Cum matre tuâ, ne mutuò concidant.
An. Quem, ô mater, novum horrorem
Amicis inſonas ante has ædes?
Ioc. O filia, perit vita tuorum fratrum.
An. Quomodo dicis? Ioc. Conſtituti ſunt in ſingulare certamen.
An. Heu mihi, quid dicis, mater? Ioc. Non grata, ſed ſequere.
An. Quò, virginum cœtu relicto? Ioc. Ad exercitum.
An. Pudet me venire in turbâ. Ioc. Tuæ res non requirunt pudorē.
An. Quid igitur faciam? Ioc. Solvas diſſidium fratrum.
An. Quomodo ſolvam, mater? Ioc. Mecum procidens ad genua.
An. Præcede tu ad loci inter acies medium, non eſt cunctandum.
Ioc. Feſtina, feſtina, ô filia? quia ſi prævertero
Filios ante pugnam, mea vita erit in luce.
Si verò tardius veneris, periimus, morieris.
Cum ipſis autem mortuis mortua jacebo.

ANTISTROPHICA.

Strophe.

Cho. 1 Heu, heu, heu, heu. tremorem horrorem,
2 Et tremens pectus habeo,
3 Heu, heu, per meum verò corpus
4 Miſeratio, miſeratio,
5 Venit matris miſeræ,
6 Propter duos filios: Quis nempè
7 Quemnam cruentabit
8 (Hei mihi propter labores.
9 O Jupiter, ô Tellus) cognatam cervicem,
10 Cognatam animam,
11 Per clypeos, per ſanguineas cædes?
12 Miſera ego, miſera,
13 Quemnam igitur mortuum ex-
14 tinctum lugebo?

Antiſtrophe.

1 O terra, ô terra. Geminæ feræ,
2 Sanguineæ animæ,
3 Haſtam vibrantes,

Δαιμόνων καταστάσις) κατάστασις ἡ τύχη. ὁ δὲ νοῦς, ἔξεισι ἀπὸ τῶν οἴκων, ὦ τέκνον, ὁ γὰρ ἐν χερσὶ καὶ παρθενῶσιν ἡ παροῦσα τύχη προβαίνει σοι, ὥς τε καὶ ὄχλον διελθεῖν αἰδεῖσθαι. Τίν' ὦ τεκοῦσα) τίνα, ὦ μῆτερ, καὶ νῦν ἐπίσειν συμφορὰν ἐμοὶ τῇ φίλῃ ἀπαγγέλλεις; τὸ γὰρ φίλοις, ἀντὶ τοῦ φίλῃ. ἢ φίλοις ἀντὶ τοῦ τοῖς φίλοις ἡμῶν Ἐτεοκλεῖ καὶ Πολυνείκει. Αἰχμὴν εἰς μίαν) εἰς μονομαχίαν καθεστήκασιν. Οἴ 'γὼ) ἐπίῤῥημα σχετλιαστικόν. Οὐ φίλα) οὐ προσφιλῆ, ἀλλ' ἀκολούθει. Προσπίτνουσα) προσπίπτουσα. Πρὸς μεταίχμιον) πρὸς τὸν τόπον τὸν μεταξὺ τοῦ πολέμου, ἔνθα ἦν τὸ μονομάχιον. 1290. Αἶ αἶ τρομερὰν φρίκᾳ) φεῦ φεῦ ἔντρομον δεσμόν τὴν ψυχὴν ἔχω. τρομερὰν φρένα, ἤτοι ἔντρομον λογισμὸν ἔχω, τουτέστιν ἐν φόβῳ εἰμί. διὰ δὲ τὸ ἐμὸν σῶμα ἔλεος ἦλθε, διὰ τοὺς δύο παῖδας τῆς ἀθλίας μητρός. πότερος ἄρα πότερον αἱμάξει διὰ πολέμου, διὰ φόνου, τὸ συγγενὲς λέγω σῶμα, τὴν συγγενῆ ψυχήν. ὁμογενῆ γὰρ σώματα τοῖς ἀδελφοῖς, καὶ αἱ ψυχαὶ διὰ τῶν ἀδελφῶν, θέλουσι αἱ τοῦ χοροῦ αὐξῆσαι τὸ πάθος, ταῦτα ἐπάγουσι. ὡς εἰ ἔλεγον, πότερος ἂν αὐτῶν τὸν ἕτερον αἱμάξει, οὐ τὸν τυχόντα ἄνθρωπον, ἀλλ' ἀδελφόν, οὗ τὸ σῶμα καὶ ἡ ψυχὴ ὁμογενῆ εἰσιν αὐτῷ. Τρομερὰν φρίκᾳ) φρίκην τρόμου παρέχουσαν. καὶ Πίνδαρος, φρίσσοντας ὄμβρους, τοὺς φρίσσειν ποιοῦντας. Τρομερὰν) τρόμου ἐμποιοῦσαν, καὶ τρομοποιὸν φόβον. Ἄλλως. τῇ φρίκῃ τρομερὰν ἔχω τὴν φρένα. Διὰ σάρκα) ἀντὶ τοῦ διὰ σαρκός. ὡς τὸ, διὰ τ' ἔντεα καὶ μέλαν αἷμα. Ἔλεος) ἔλεός με εἰσῆλθε καὶ οἶκτος ὁ περὶ τῆς Ἰοκάστης, διὰ τὰ δίδυμα τέκνα. Δίδυμα τέκνα) τοῦτό τινες σολοικισμὸν ἡγήσαντο. ἔδει γὰρ εἰπεῖν, διδύμων τέκνων. 1295. Πότερος ἄρα) ὁποῖος τῶν δύο, ποῖος αἱμάξει τὴν ὁμογενῆ δέραν τὸ ἑξῆς, πότερος ἄρα, πότερον αἱμάξει τὴν ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν, δι' ἀσπίδων, δι' αἱμάτων. Πότερον ἄρα) ποῖον ἄρα τῶν νεκρῶν ἀπολλυμένων θρηνήσω. Φεῦ δᾶ) φεῦ γῆ. ἡ δᾶ συλλαβὴ Ἀττικῶς πλεονάζει, ὡς ὅτι τὸ ἴθα καὶ φᾶθι. Ἄλλως. εἰ μὲν ἐν μέρει λόγου ἀνέγνωσαν τὸ φεῦ δᾶ. οἱ δὲ, ὡς ἐν παρέλκει τὸ δᾶ. ἔνιοι δὲ, ἀντὶ τοῦ φεῦ δή. τινὲς δὲ ἀντὶ τοῦ φεῦ γῆ, κατὰ πάθος μεταβληθέντος τοῦ γ' εἰς τὸ δ', ὡς ἐν τῷ δημήτηρ, τοιῷ, πολλὰ πάθη τὸ, τὸ ὕδως πτερὸν ἄμα. 1306. Δορὶ δὲ παλλόμεναι) ἀντὶ τοῦ τὸ δόρυ κατ' ἀλλήλων πάλλουσαι, ἢ ὑπὸ τοῦ δόρατος κινηθεῖσαι.

ANNOTATIONES.

V. 1304. Φεῦ δᾶ &c.) τὸ γᾶ rejeci & δᾶ bis addidi, quod *Aldi* Editio habebat & MS. *C. C. C.* & ipſe *Scholiaſtes* ita legebat; licet per τὸ γᾶ explicet. Sed monendus eſt lector, quod nonnulli legunt, ὁ δᾶν, ὁ δᾶν, i. e. μὰ τὴν γῆν. Uti *Theocriti* Scholiaſt. ad Idyll. 4. quærit Vid. Et ſic eſt *Chori* malè-ominantis ſermo—*Non, per terram, Non, inquam*, per terram, *Unum* duorum fratrum lugebis: ſed ſimul uterque cadet. *Joſua Barnes.*

4 Πόσιν

Ἐπὶ τοῖσι δ' ἐσπείσαντο, κἀν μεταιχμίοις
Ὅρκους συνῆψαν ἐμμενεῖν στρατηλάτας.
Ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
Δισσοὶ γέροντος Οἰδίπου νεανίαι.
Φίλοι δ' ἐκόσμουν τῆσδε μὲν πρόμοι χθονὸς,
Σπαρτῶν ἀριστῆς· τὸν δὲ, Δαναϊδῶν ἄκροι.
Ἔσταν δὲ λαμπροὶ, χρῶμά τ' οὐκ ἠλλαξάτην,
Μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
Παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων,
Λόγοισι θαρσύνοντες, ἐξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
Τρόπαιον, Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον.
Ἐτεοκλέα δ' αὖ, Νῦν πόλεως ὑπερμαχεῖς,
Νῦν καλλίνικος γενόμενος, σκήπτρων κρατεῖς.
Τάδ' ηὔδων, παρακαλοῦντες εἰς μάχην.
Μάντεις τε μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς,
Ῥήξεις τ' ἐνώμων ὑγρότητ' * ἐναντίαν, * ἐναντίον. MS.
Ἄκραν τε λαμπάδ', ἣ δυοῖν ὅρους ἔχει,
Νίκης τε σῆμα, καὶ τὸ τῶν ἡσσωμένων.
Ἀλλ' εἴ τιν' ἀλκὴν, ἢ σοφοὺς ἔχεις λόγους,
Ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ', ἐρήτυσον τέκνα
Δεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,
Καὶ τἆθλα δεινὰ, δάκρυά σοι γενήσεται·
Δισσοῖν στερήσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.
Ιοκ. Ὦ τέκνον, ἔξελθ' Ἀντιγόνη δόμων πάρος·
Οὐκ ἐν χορείαις οὐδὲ παρθενεύμασι

Propter hæc ſunt factæ induciæ, & in medio utriuſque aciei loco
Juſjurandum dederunt omnes duces iis ſtaturos eſſe.
Jamque occultabant corpus æneis armis
Duo juvenes ſenis Oedipi.
Amici verò ornabant decem hujus terræ,
Principes Thebani: alterum verò principes Argivorum.
Steterunt autem fulgentes, nec mutaverunt colorem.
Inſano impetu cupientes alter in alterum jaculari haſtam.
Prætereuntes verò alii aliunde amici,
Animabant ſermone & dicebant hæc:
Polynices, penes te eſt erigere Jovis ſtatuam
Trophæi ſignum, & magnam gloriam parare Argis.
Eteoclem verò viciſſim *ſic hortabantur*: Nunc pro patriâ pugnas,
Nunc præclaræ victoriæ compos factus, ſceptrum *regni* tenes;
Hæc dicebant, hortantes ad pugnam.
Vates verò mactabant pecudes, & igneas acies,
Rupturaſque obſervabant, *& ignì* contrarium humorem,
Summamque flammam, quæ duarū *rerum* ſignificationes habet,
Victoriæ *ſcilicet* ſignum & cladis, quâ victi afficiuntur.
Sed ſi quod remedium, ſi quam ſapientem habes rationem,
Et philtra incantationum, vade & cohibe liberos
A ſævo certamine, quia periculum eſt magnum,
Et præmia gravia: lacrymæ verò tibi erunt:
Privaberis duobus filiis in hoc die.
Joc. O filia Antigone, egredere ante ædes.
Non in choreis neque in virginum cœtu

Κἀν μεταιχμίοις) μεταίχμιον λέγεται ὁ τόπος, ὁ μεταξὺ τῶν δύο στρατευμάτων, ὅτι τούτοις τοῖς ὁμιλήμασιν ἐν τοῖς μεταιχμίοις συνελθόντες, ἐπεποιήσαντο ἐμμένειν αὐτοῖς οἱ στρατηγοὶ, ἤτοι οἱ ἄλλοι βασιλεῖς καὶ τὰ στρατεύματα ποιοῦσιν ἐμμένειν τοῖς ῥηθεῖσιν ὑπ' ἀμφοτέρων. Ὅρκους συνῆψαν) οἷον τὰ πρὸς τοὺς ὅρκους ἐπιτήδεια συνέμιξαν Θηβαῖοι καὶ Ἀργεῖοι. τουτέστι τὸν οἶνον, καὶ τὸ αἷμα τῶν ἱερείων. Ἤδη δ' ἔκρυπτον) ἐξ ἐκείνου τὸ σῶμα καθώπλιζον. [*Νεανίαι) οἱ δύο νεανίαι τοῦ γέροντος Οἰδίποδος, ἀντὶ οἱ δύο παῖδες, καθὸ λέγεται ἡ Κόρη τοῦ Δήμητρος, ἀντὶ ἡ θυγάτηρ.] Πρόμοι) πρόμαχοι. Ἔσταν δὲ) ἔστησαν δὲ φαιδροὶ, καὶ οὐκ ἠλλοίωσαν τὴν ὄψιν. Μαργῶντε) μανικῶς ὁρμῶντες πέμψειν κατ' ἀλλήλων τὸ δόρυ. Ἄλλος) ἄλλος δὲ τῶν φίλων ἀπ' ἄλλου μέρους παραβαίνοντες διὰ λόγων εἰς θάρσος προβάλλοντες προσηύδων ταῦτα. 1256. Ἐν σοὶ Ζηνὸς) ἐν σοὶ τρόπαιον στῆσαι ἐστὶν ἡμῖν ἐλπὶς, τῷ τε Ἄργει εὐκλεῆ ἀπαγγελίαν δοῦναι. ἢ ἐνδεῖξαι, λόγον καὶ φήμην καταλεῖψαι τῆς παιδείας. Ἄλλως. Ἐν σοὶ κεῖται ἀνορθῶσαι τὸ εἴδωλον τὸ νικητήριον. οἱ γὰρ νικῶντες εἴδωλον ἵστασαν τοῦ Διός. Ἐτεοκλέα δ' αὖ) ἀπὸ κοινοῦ τὸ ἐθάρσυνόν τε καὶ ἔλεγον. Ἐμπύρους τ' ἀκμὰς) τὰς τοῦ πυρὸς ἀναδόσεις, καὶ τὰ φάσματα τὰ ἐκ τῶν ἐμπύρων ἀναφερόμενα, ἀφ' ὧν σημειοῦνται οἱ μάντεις. Ἀκμὰς δὲ) τὰς ἀναδόσεις, ἐπεὶ βιαιότατόν ἐστι τὸ πῦρ. Ῥήξεις δὲ ἐνώμων) τὰς τῆς χολῆς ῥήξεις ἐπεσκόπουν τὴν ὄψιν μετεωρίζοντες. τηροῦσι γὰρ οἱ μάντεις τὰς χολάς. Ὑγρότητ' ἐναντίαν) τὰ περὶ τῶν ἐναντίων δηλοῖ, τὴν ἐπὶ τῶν ἐναντίων ἐχθρῶν ἀεὶ παρασκευασμένην. οἱ γὰρ θύται περὶ τῶν ἐχθρῶν εἰ βουληθεῖεν μαντεύεσθαι, ἔχοντες χολὴν ἀποσφάττουσι. πικροὶ γὰρ οἱ ἐχθροί. ὑγρότητα δὲ λέγει, αὐτὴν τὴν χολήν. Ἄλλως. Ῥήξεις τ' ἐνώμων, τὰς κύστεις τὸ στόμα δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ, καὶ παρετήρουν πῶς ῥαγήσονται, καὶ ποῦ τὸ οὖρον ἀκοντίζει. Σοφοκλῆς ἐν Μάντεσι, τὰς μαλλοδέτεις κύστεις. Ὑγρότητα ἐναντίαν· τὴν τὰ περὶ τῶν ἐναντίων δηλοῦσαν, ἢ διὰ τὸ πικρὸν ὕδωρ καλεῖσθαι γλυκεῖαν, ἢ ἐναντίαν, ὡς πρὸς τὸ πῦρ. ξηρὸν γὰρ τὸ πῦρ. τὸ δὲ ἑξῆς, μάντεις τε μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς ἐνώμων. κατὰ κοινοῦ γὰρ τὸ ἐνώμων ἄκραν τε λαμπάδα ἐνώμων. ἄκραν τε λαμπάδα, τὸ ἄκρον τοῦ πυρὸς, ὃ καλεῖται κέρκος, ἐσκόπουν. οἱ δὲ τὴν καρδίαν, διὰ τὸ εἶναι πυρώδη, καὶ θερμήν. Ἄλλως. τὴν ἱερὰν τῶν ἱερείων ἣν γὰρ δι' αὐτῆς μαντεία. καμπτομένη γὰρ ὑπὸ τοῦ πυρὸς σημαίνει διαφορὰν πολέμου. ἀπλουμένη δὲ καὶ κατανεύουσα, ἧτταν. ἀναπεμπομένη δὲ εἰς ὕψος, νίκην. οἱ δὲ ἄκραν λαμπάδα τὴν χολὴν λέγουσι, τὴν ἐν τῷ ἥπατι. σημεῖον γὰρ ἔχει νίκης τε καὶ ἥττης. Ἢ σοφοὺς) μαγικούς. Ἢ φίλτρ' ἐπῳδῶν) τῶν ἐπᾳδόντων ἀνθρώπων, ἃ ἐπᾴδουσι δυνάμενοι εἰς φιλίαν αὐτοὺς ἀγαγεῖν. [**Ἄλλως. φίλτρα ἐπῳδῶν ἀντὶ τοῦ ἐπῳδὰς φίλτρων. φίλτρον, τὸ φιλίαν ἐμποιοῦν. ὥσπερ μίσητρον, τὸ ἐμποιοῦν μῖσος. καὶ φόβητρον, τὸ φόβου ποιητικόν· καὶ θέλγητρον, τὸ προσάγον εἰς τέρψιν. ἐνταῦθα δὲ φίλτρον ἀντὶ φιλίας, ἵν' ᾖ ἐπῳδὰς φιλίας, τουτέστιν εἰς φιλίαν συνάγειν δυναμένας.] Ἁμίλλης) φιλονεικίας. Τὰ δεινὰ, ἀγωνίσματα. Στεῖχ' ἐρήτυσον) ἀπέρχου, κώλυσον ἀπὸ τῆς χαλεπῆς ἔριδος τὰ τέκνα, ἐπεὶ ὁ πόλεμος μέγας ἐστί. [*Καὶ τἆθλα δεινὰ) τὰ ἆθλα ἀμφοτέρων, ἤγουν τὰ ἔπαθλα, τὰ ἐπὶ τῇ νίκῃ γέρα, ταῦτά σοι ἐπιδακρυτέα. 1270. Δόμων πάρος) τὸ πάρος

[* * *] Hi loci ex MS. prædicto.

ANNOTATIONES.

V. 1254. Ἄλλος) Rejeci ἄλλοι primo aſpectu, ut ſpurium & ἄλλος ſubſtitui. Faventem nunc video *Manuſcriptum* Codicem, ut & *Scholiaſten* quoque. *Joſua Barnes.*

V. 1255. Λόγοισι θαρσύνοντες ἐξηύδων) MS. hic legit θαρσύνοντε προσηύδων. Non æquè bene, ut mihi videtur; licet enim τὸ προσηύδων magis mihi arrideat, quàm ἐξηύδων, vix tamen θαρσύνοντε poſſum admittere pro θαρσύνοντες & tamen hæc ſyllaba neceſſe eſt, ut ſit brevis. Quid? An hic *Dualis* numerus ponitur pro *Plurali*? Certè hoc non novum. En! ſolutionem. Prior ſyllaba in προσηύδων per metri leges hic ſtare nequit, & *Scholiaſtes* exponit θαρσύνοντε per verbum hoc modo, ἐθάρσυνόν τε καὶ ἔλεγον, quarè ſic lego Λόγοισι θαρσύνοντε [illegible] ηὔδων τάδε. *Joſua Barnes.*

V. 1256. Ζηνὸς ὀρθῶσαι βρέτας τρόπαιον) De Deorum Imaginibus pro Trophæis poſitis, vid. ad *Heraclid.* v. 937. Similem locum vid. infrà ad v. 1482. *Joſua Barnes.*

V. 1258. Ἐτεοκλέα) Ita ſcribo, ut metro conſulatur, eodem modo, quo in præcedenti ſcriptum erat & olim rectè εὐκλεᾶ. Vid. ſuprà v. 74. Sed horum quidem ratio aperta eſt, eò quòd contrahuntur; nam εὐκλεᾶ, ab εὐκλεέα, & Ἐτεοκλέα & Ἐτεοκλῆς & Ἡρακλέα & Ἡρακλῆς ſcribuntur; ſed in Nominibus in ευς deſinentibus quoque & in ᾶς impuro, aliquando ſimilis invenitur licentia apud *Atticos* præſertim, de quâ re Nos aliàs, nempe ad *Andromach.* v. 545. Cujus rei plurima occurrunt exempla, ut *Phœniſſ.* v. 74. & v. 776. & *Hippolyt.* v. 953. & v. 1153. & *Andromach.* v. 345. & ejuſd. v. 1237. & v. 1247. *Joſua Barnes.*

V. 1259. Σκήπτρων) Ità lego, & ità MS. Olim σκῆπτρον.

V. 1262. Ἀκμὰς) *Iambicè* legimus. Vid. quæ commentavimus ad *Phœniſſ.* v. 19.

V. 1271. Οὐκ ἐν χορείαις, οὐδὲ παρθενεύμασι &c.) Simile v. 1282. [illegible] Senſus eſt, Non jam modeſtiæ aut Virginalis pudoris ratio habenda eſt, nè foràs vageris; Vita enim fratrum tuorum in periculo eſt. Vid. infrà ad v. 1631. Aliò ſtectit ſenſû *Homerus* Il. ξ. v. 508. [illegible] Quod Nos in *Franciados* noſtræ l. 1. v. 587. ita expreſſimus

——— Nec magnas ſolennia ducere Feſta
Plantageneta parat, molli nec ludere ſaltu;
Nec lepidos Puer ille choros, ſed Prælia quærit.

Joſua Barnes.

ἐπίῤῥημα, ὅπερ πρωτεῖς ἐν χερσὶν, ὅποτε μὲν τοπικὸν, ὡς ἐνταῦθα, ὅποτε δὲ χρονικόν· καὶ ἀπὸ τούτου τὸ πέρυσιν, περύτερον καὶ περύτατον.]

Νῦν σοι προχωρεῖ δαιμόνων καταστάσεις.
Ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν,
Εἰς θάνατον ἐκνεύοντε, κωλῦσαί σε δεῖ
Ξὺν μητρὶ τῇ σῇ, μὴ πρὸς * ἀλλήλοιν θανεῖν.
Αν. Τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν   *ἀλλήλοιν, & ita MS.
Φίλοις αὐτεῖς τῶνδε δωμάτων πάρος;
Ιοκ. Ὦ θύγατερ, ἔῤῥει σῶν κασιγνήτων βίος.
Αν. Πῶς εἶπας; Ιοκ. αἰχμὴν εἰς μίαν καθέστατον.
Αν. Οἴ 'γώ· τί λέξεις, μῆτερ; Ιοκ. οὐ φίλ', ἀλλ' ἕπου.
Αν. Ποῖ, παρθενῶνας ἐκλιποῦσ'; Ιοκ. ἀνὰ στρατόν.
Αν. Αἰδούμεθ' ὄχλον. Ιοκ. οὐκ ἐν αἰσχύνῃ τὰ σά.
Αν. Δράσω δὲ δὴ τί; Ιοκ. συγγόνων λύσεις ἔριν.
Αν. Τί δρῶσα, μῆτερ; Ιοκ. προσπιτνοῦσ' ἐμοῦ μέτα.
Αν. Ἡγοῦ σὺ πρὸς μεταίχμι', οὐ μελλητέον.
Ιοκ. Ἔπειγ', ἔπειγε, θύγατερ· ὡς ἢν μὲν φθάσω
Παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος.
Ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.
Θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Αἶ, αἶ, αἶ, αἶ. τρομερὰν * φρίκαν,
2 Τρομερὰν φρέν' ἔχω.   *φρίκα MS.
3 Αἶ, αἶ · διὰ σάρκα δ' ἐμὰν
4 Ἔλεος, ἔλεος,
5 Ἔμολε ματρὸς δειλαίας,   * Schol. ἦλθε.
6 Δίδυμα * τέκνα· Πότερος ἄρα
7 Πότερον αἱμάξει
8 (Ἰώ μοι πόνων, Ἰὼ Ζεῦ, Ἰὼ γᾶ)
9 Ὁμογενῆ δέραν,
10 Ὁμογενῆ ψυχὰν,
11 Δι' ἀσπίδων, δι' αἱμάτων;
12 Τάλαιν' ἐγὼ, τάλαινα.
13 Πότερον ἄρα νέκυν ὀλό-
14 μενον ἰαχήσω;

Ἀντιστροφή.

1 Φεῦ δᾶ, φεῦ δᾶ· δίδυμοι θῆρες,
2 Φόνιαι ψυχαὶ,
3 Δορὶ παλλόμεναι,

Nunc tibi procedit ſtatus fortunæ.
Sed viros optimos & fratres tuos
Tendentes in mortem, impedire te oportet
Cum matre tuâ, ne mutuò concidant.
An. Quem, ô mater, novum horrorem
Amicis inſonas ante has ædes?
Ioc. O filia, perit vita tuorum fratrum.
An. Quomodo dicis? Ioc. Conſtituti ſunt in ſingulare certamen.
An. Heu mihi, quid dicis, mater? Ioc. Non grata, ſed ſequere.
An. Quò, virginum cœtu relicto? Ioc. Ad exercitum.
An. Pudet me venire in turbâ. Ioc. Tuæ res non requirunt pudorē.
An. Quid igitur faciam? Ioc. Solvas diſſidium fratrum.
An. Quomodo ſolvam, mater? Ioc. Mecum procidens ad genua.
An. Præcede tu ad locū inter acies medium, non eſt cunctandum.
Ioc. Feſtina, feſtina, ô filia? quia ſi prævertero
Filios ante pugnam, mea vita erit in luce.
Si verò tardius veneris, periimus, morieris.
Cum ipſis autem mortuis mortua jacebo.

ANTISTROPHICA.

Strophe.

Cho. 1 Heu, heu, heu, heu. trementem horrorem,
2 Et tremens pectus habeo,
3 Heu, heu, per meum verò corpus
4 Miſeratio, miſeratio,
5 Venit matris miſeræ,
6 Propter duos filios: Quis nempe
7 Quemnam cruentabit
8 (Hei mihi propter labores.
9 O Jupiter, ô Tellus) cognatam cervicem,
10 Cognatam animam,
11 Per clypeos, per ſanguineas cædes?
12 Miſera ego, miſera,
13 Quemnam igitur mortuum extinctum
14 tinctum lugebo?

Antiſtrophe.

1 O terra, ô terra. Geminæ feræ,
2 Sanguineæ animæ,
3 Haſtam vibrantes,

Δαιμόνων καταστάσεις) καταστάσεις ἡ τύχη. ὁ δὲ νοῦς, ἔξελθε ἀπὸ τῶν οἴκων, ὦ τέκνον, οὐ γὰρ ἐν χερσὶ καὶ παρθενῶσιν ἡ παροῦσα τύχη προβαίνει σοι, ὥς τι καὶ ὄχλον δεῖ ἐλθεῖν αἰδεῖσθαι. Τίν', ὦ τεκοῦσα) τίνα, ὦ μῆτερ, καὶ νῦν ἑτέραν συμφορὰν ἐμοὶ τῇ φίλῃ ἀπαγγέλλεις; τὸ γὰρ φίλοις, ἀντὶ τοῦ φίλῃ. ἢ φίλοις ἀντὶ τοῦ τοῖς φίλοις ἡμῶν Ἐτεοκλεῖ καὶ Πολυνείκει. Αἰχμὴν ἐς μίαν) εἰς μονομαχίαν καθεστήκασιν. Οἴ 'γὼ) ἐπίῤῥημα σχετλιαστικόν. Οὐ φίλα) οὐ προσφιλῆ, ἀλλ' ἀκολούθει. Προσπιτνοῦσα) προσκυλίουσα. Πρὸς μεταίχμιον) πρὸς τὸν τόπον τὸν μεταξὺ τοῦ πολέμου, ἔνθα ἦν τὸ μονομάχιον. 1290. Αἶ αἶ τρομερὰν φρίκαν) φεῦ φεῦ ἔντρομον δειλίαν τῶν τειχῶν ἔχω. τρομερὰν φρένα, ἤτοι ἔντρομον λογισμὸν ἔχω, τουτέστιν ἐν φόβῳ εἰμί. διὰ δὲ τοῦ ἐμοῦ σαρκὸς οἶκτος ἦλθε, διὰ τοὺς δύο παῖδας τῆς ἀθλίας μητρός. πότερος ἄρα πότερον αἱμάξει διὰ πολέμου, διὰ φόνου, τὸ συγγενὲς λέγω σῶμα, τὴν συγγενῆ ψυχήν. ὁμογενῆ γὰρ σώματα τοῖς ἀδελφοῖς, καὶ αἱ ψυχαὶ διὰ τῶν ἀδελφῶν, θέλουσι αἱ τοῦ χοροῦ αὐξῆσαι τὸ πάθος, ταῦτα ἐπάγουσι. ὡς οἱ ἔλεγον, πότερος ἂν αὐτῶν τὸν ἕτερον αἱμάξει, οὐ τὸν τυχόντα ἄνθρωπον, ἀλλ' ἀδελφὸν, οὗ τὸ σῶμα καὶ ἡ ψυχὴ ὁμογενῆ εἶσιν αὐτῷ. Τρομερὰν φρίκαν) φρίκην τρομερωτάτην. καὶ Πίνδαρος, φρίσσοντας ἀγῶνας, τοὺς φρίσσειν ποιοῦντας. Τρομερὰν) τρόμου ποιητικὴν, καὶ τρομώδη φόβον. Ἄλλως. τῇ φρικὶ τρομερὰν ἔχω τὴν φρένα. Διὰ σάρκα) ἀντὶ τοῦ διὰ σαρκός. ὡς τὸ, διὰ τ' ἔντεα καὶ μέλαν αἷμα. Ἔλεος) ἔλεός με εἰσῆλθε καὶ οἶκτος ὁ περὶ τῆς Ιοκάστης, διὰ τὰ δίδυμα τέκνα. Δίδυμα τέκνα) τοῦτό τινες σολοικισμὸν ἡγήσαντο. ἔδει γὰρ εἰπεῖν, διδύμων τέκνων. 1295. Πότερος ἄρα) ὁποῖος ἀπὸ δύο, ποῖος αἱμάξει τὴν ὁμογενῆ δέρην τὸ ἑξῆς, πότερος ἄρα πότερον αἱμάξει τὴν ὁμογενῆ δέρην, ὁμογενῆ ψυχὴν, δι' ἀσπίδων, δι' αἱμάτων. Πότερον ἄρα) ποῖον ἄρα τῶν νεκρῶν ἀπολλυμένων θρηνήσω. Φεῦ δᾶ) φεῦ γῆ. ἡ δὲ συλλαβὴ Ἀττικῶς πλεονάζει, ὡς ὅτι τοῦ ἴδε καὶ ἰδοῦ. Ἄλλως. δι' ὅλου ἐν μέρει λόγου ἀνέγνωσαν τὸ φεῦ δᾶ. οἱ δὲ, ὡς ἐν παραβολῇ τοῦ δᾶ. ἔνιοι δὲ, ἀντὶ τοῦ φεῦ δή. τινὲς δὲ ἀντὶ τοῦ φεῦ γῆ, κατὰ πάθος μεταβληθέντος τοῦ γ' εἰς τὸ δ', ὡς ἐν τῷ δηλοῦντι παρά, ὅθεν καὶ τὸ, τὶ δᾶ; πεδίον ἄρα. 1306. Δορὶ δὲ παλλόμεναι) ἀντὶ τοῦ τὸ δόρυ κατ' ἀλλήλων πάλλουσαι, ἢ ὑπὸ πολέμου κατασείουσαι.

ANNOTATIONES.

V. 1304. Φεῦ δᾶ &c.) τὸ γᾶ rejeci & δᾶ bis addidi, quod *Aldi* Editio habebat & MS. C. C. C. & ipſe *Scholiaſtes* ita legebat; licet per τὸ γᾶ explicet. Sed monendus eſt lector, quod nonnulli legunt, ὦ δᾶν, ὦ δᾶν, i. e. μὰ τὴν γῆν. Uti *Theocriti* Scholiaſt. ad Idyll. 4. quem Vid. Et ſic eſt *Chori* malè-ominantis ſermo—*Non, per terram, Non, inquam,* per terram, *Unum* duorum fratrum lugebis: ſed ſimul uterque cadet. *Joſua Barnes.*

4 Πέσεα, πέσεα
5 Δάϊα αὐτίχ' αἱμάξετον.
6 Τάλανες, ὅτι ποτὲ μονομάχον
7 Ἐπὶ φρέν' * ἐπελυθέτην. * ἠλθέτην MS.
8 Βοᾷ βαρβάρῳ * στεναχὰν ἰαχὰν
9 * Μελομέναν νεκροῖς, * ἰαχὰν στοναχὰν MS.
10 Δάκρυσι θρηνήσω. * al. μελλομέναν.
11 Σχεδὸν τύχα πέλας φόνου,
12 Κρινεῖ φάος τὸ μέλλον.
13 Ἄποτμος, ἄποτμος ὁ φόνος,
14 Ἕνεκεν Ἐριννύων.

4 Cadavera, cadavera mox
5 Hoſtilia mox ſe mutuis vulneribus cruentabunt.
6 Miſeri ſunt illi, quòd unquam ſingularis prælii
7 In cogitationem venerint.
8 Vociferatione barbarâ lugubrem ſonum
9 Debitum mortuis,
10 Cum lacrymis lugens edam.
11 Prope fortuna; prope cædes eſt,
12 Decernet apertèque demonſtrabit hæc lux futurum rei exitum.
13 Infelix, infelix eſt iſta cædes,
14 Propter Furias.

Τροχαῖοι.

Ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
Πρὸς δόμους στείχοντα, παύσω τοὺς παρεστῶτας λόγους.

Sed enim Creontem video hunc huc triſtem
Ad ædes venientem, miſſa faciam præſentia verba.

Πέσεα) τὰ πτώματα· θέλει εἰπεῖν, ὅτι πεσόντες αἱμάξουσι τὰ σώματα. πέσεα ἦν ἀντὶ τοῦ πτώματα, πτώματα. Τάλανες) δυστυχεῖς εἰσιν, ὅτι εἰς ἐνθύμησιν μονομαχίας ἦλθον. Βοᾷ βαρβάρῳ) τῇ ἐμαυτῆς φησὶ τῇ βαρβάρῳ τὴν ἐπιτήδειον βοὴν τῶν νεκρῶν. οἷον τὴν ἐπὶ τοῖς νεκροῖς σὺν στεναγμῷ προσφερομένην βοὴν μέλλουσαν τοῖς δάκρυσι θρηνήσειν. τουτέστιν ἐπιμελῶς δακρύουσα θρηνήσω. Σχεδὸν τύχα) πέλας. τὸ σχεδὸν καὶ τὸ πέλας ἐκ παραλλήλου. ἡ καθ' αὐτοὺς τύχη τοῦ φόνου πλησίον ἐστὶ, τουτέστιν ὅσον οὔπω γνωσόμεθα, πῶς ἐκβήσεται αὐτοῖς τὸ μονομάχιον. Κρινεῖ φάος) τὸ σήμερον δηλονότι, ἡ παροῦσα ἡμέρα διδάξει τὸ πέρας. καὶ τὸ μέλλον, ἤγουν τὸ ἀποβησόμενον. Μελλομέναν) ἀντὶ τοῦ μέλλουσαν. ἢ μελλομένην τοῖς νεκροῖς, καὶ θεραπεύουσαν τὰς τούτων ψυχάς. Ἕνεκ' ἐριννύων) ὡς τῶν ἐριννύων ἐπιπεμπουσῶν τὰ φαῦλα τοῖς ἀνθρώποις. ἢ διὰ τὰς ἀρὰς τοῦ Οἰδίποδος, καὶ τὰς ἐπηκόους ἐριννῦς. 1318. Συννεφῆ) σκυθρὸν κατηφῆ.

ANNOTATIONES.

V. 1312. Μελομέναν) Ità MS. Olim μελλομέναν.

V. 1314. Σχεδὸν &c.) Hunc verſum Scaliger ſic legit Σχεδὸν τύχα, πέλας φόνος. Sed hoc contra MS. fidem, quæ confirmat libb. Impreſſorum, in hâc re fidem, & Schol. MS. σχεδὸν) ἐγγὺς πλησίον· πέλας τύχη τοῦ φόνου) ἐγγὺς ἡ συντυχία τοῦ φόνου. ἀντὶ τοῦ ὁ φόνος πλησιάζει. Joſua Barnes.

V. 1315. Κρινεῖ) Ità Æmil. Portus legit, excluſo κρίνει, idque metri ratione ductus, & rectè. Verſus enim hic, ut ille ait, Reſpondere debet Verſui 12. τῆς στροφῆς. Sed τὸ κρίνω in præſenti priorem producit, in futuro corripit. Conſentit Codex Heinſio-Scaligerianus & Duportianus, Denique MS. illud Jucundiſſimum. Joſua Barnes.

V. 1318. Συννεφῆ) Rectè Scholiaſtes per σκυθρὸν & κατηφῆ exponit, à νέφος nebula, quæ μεταφορικῶς Vultui mœſto attribuitur. Ità Poeta noſter in Hippolyto v. 173. de Phædrâ animi ægritudinem turbato vultu exprimente, στυγνὸν δ' ὀφρύων νέφος αὐξάνεται. Sic & Horatius, Deme ſupercilio nubem. Vid. P. Victorii Variar. Lection. l. 16. c. 14. Joſua Barnes.

ARGUMENTUM Actûs Quinti.

Actus hic ultimus maximè Tragicus eſt; in eo enim Creon filium Menœceum amiſſum plorat; Cui ſuperveniens Nuntius Μονομαχίας & cædes mutuas Polynicis & Eteoclis narrat; deindè interventum & Αὐτοφονίας Jocaſtæ, fugamque & cædem Argivorum. Hinc Tragica Antigonæ Querela ſuper morte Fratrum Matriſque, & lugubres de his cum Patre Oedipo collocutiones. Creon, quem Regni ſucceſſorem Eteocles deſignârat, Oedipum in Exilium relegat & Polynicis Cadaver inſepultum abjici jubet. Antigone adverſus eum animosè arguit de Fratris ſepulturâ, neque mortis intentatæ periculo territa, neque Regii Sponſi deſiderio commota; ſed Paterni Exilii Comes eſſe mavult, quàm Creontis Nurus. Oedipus Filiæ Generoſitatem laudat & omnia ſua Mala in Fatalem neceſſitatem rejicit.

ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΑΝΤΙΓΟΝΗ, ΟΙΔΙΠΟΥΣ.

Ἴαμβοι.

Κρ. Οἴμοι, τί δράσω; πότερ' ἐμαυτὸν, ἢ πόλιν
Στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
Τοιοῦτον, ὥστε δι' Ἀχέροντος ἰέναι;
Ἐμός τε γὰρ παῖς γῆς ὄλωλ' ὑπερθανὼν,
Τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί.
Ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν,
Αὐτοσφαγῆ * δύστηνον ἐκόμισ' ἐν χεροῖν. * Αὐτοσφαγῆ MS.

Cre. HEu mihi, quid agam? utrùm meipſum, an urbem
Lugeam lacrymans? quam undique habet nubes
Talis, ut ſit eundum per Acherontem.
Meus enim filius pro patriâ mortuus periit,
Nobile nomen conſecutus: ſed mihi moleſtum.
Quem modò rupibus ex draconteis ſublatum,
Propriâ cæde confectum, miſerum tuli in manibus.

Οἴμοι τί δράσω) ἵνα δόξῃ φιλόπατρις ὁ Κρέων, καὶ μὴ μόνον τοῦ παιδὸς λόγον ποιεῖσθαι, φησὶ, τίνος ἄρξομαι, θρῆνον ποιούμενος τοῦ παιδὸς καὶ τῆς πόλεως, καίτοι εἰδὼς, ὅτι διὰ τὸν θάνατον τοῦ παιδὸς εὐτυχεῖ τὰ τῆς πόλεως. μικρὸν γὰρ ὕστερον εἰπών, Ἐμός τε γὰρ παῖς ὄλωλεν, ἐπελάθετο εἰπεῖν, πόλις τε. Νέφος) πλῆθος τῶν πολεμίων. Κρημνῶν ἐκ δρακοντείων) ὡς τοῦ Μενοικέως ἐλθόντος εἰς τὸν τάφον, ἔνθα ἦν ὁ δράκων, κατακρημνίσας ἑαυτόν. Ἄλλως. δεῖ νοεῖν ἔσω τῶν τειχῶν τὸν σηκὸν τοῦ δράκοντος εἶναι. πῶς γὰρ εἶχε τὸ σῶμα ἀναλαβεῖν ὁ Κρέων, τῶν πολεμίων περικαθημένων. ἀπὸ δὲ τοῦ τείχους ἔρριψεν ἑαυτὸν ὁ παῖς, εἰς ἐπίδειξιν τῆς ὑπὲρ τῆς πατρίδος προθυμίας. 1326. Αὐτοσφαγῆ) ταῖς αὐτοῦ χερσὶν ἐσφαγμένον.

ANNOTATIONES.

V. Τοὔνομα) Pro τὸ ὄνομα, præſertim, ut hic, ante Vocalem. Vide ad Troad. v. 973. Joſua Barnes.

Βοᾷ

Βοᾷ δὲ δῶμα πᾶν. ἐγὼ δ' ἥκω μέτα
* Γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως * al. στέλλων.
Λούσῃ προθῆταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
" Τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
" Τιμὰς διδόντα, χθόνιον εὐσεβεῖν θεόν.
Χο. Βέβηκ' ἀδελφὴ σὴ δόμων ἔξω, Κρέον,
Κόρη τε μητρὸς Ἀντιγόνη κοινῷ ποδί.
Κρ. Ποῖ, κἀπὶ ποίαν συμφοράν; σήμαινέ μοι.
Χο. Ἤκουσε τέκνα μονομάχῳ μέλλειν δορὶ
Εἰς ἀσπίδ' ἥξειν βασιλικῶν δόμων ὕπερ.
Κρ. Πῶς φής; νέκυν τοι παιδὸς ἀγαπάζων ἐμοῦ
Οὐκ εἰς τόδ' ἦλθον, ὥστε καὶ τόδ' εἰδέναι.
Χο. Ἀλλ' οἴχεται μὲν σὴ κασιγνήτη πάλαι·
Δοκῶ δ' ἀγῶνα τὸν περὶ ψυχῆς, Κρέον,
Ἤδη πεπρᾶχθαι παισὶ τοῖσιν Οἰδίπου.
Κρ. Οἴμοι, τὸ μὲν σημεῖον εἰσορῶ τόδε,
Σκυθρωπὸν ὄμμα, καὶ πρόσωπον ἀγγέλου
Στείχοντος, ὃς πᾶν ἀγγελεῖ τὸ δρώμενον.

Τροχαῖοι.

Αγ. Ὦ τάλας ἐγώ, τίν' εἴπω μῦθον, ἢ τίνα λόγους;
Κρ. Οἰχόμεσθ'· οὐκ εὐπροσώποις φροιμίοις ἄρχῃ λόγου.
Αγ. Ὦ τάλας, δισσῶς αὐτῶ· μεγάλα γὰρ φέρω κακά.
Κρ. Πρὸς πεπραγμένοισιν ἄλλοις πήμασιν, λέγεις δὲ τί;
Αγ. Οὐκέτ' εἰσὶ σῆς ἀδελφῆς παῖδες ἐν φάει, Κρέον.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

Κρ. Αἶ, αἶ· μεγάλα μοι θροεῖς πάθεα, καὶ πόλει.
Αγ. Ὦ δώματ' εἰσακούετ' Οἰδίπου τάδε,
Παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων;
Χο. Ὥστ' ἐνδακρῦσαί γ', εἰ φρονοῦντ' ἐτύγχανον.

Στροφὴ β'.

Κρ. Οἴμοι ξυμφορᾶς βαρυποτμωτάτας.
Οἴμοι κακῶν δύστηνος· ὦ τάλας ἐγώ.
Αγ. Εἰ καὶ τὰ πρὸς τούτοισιν εἰδείης κακά.
Κρ. Καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμώτερα;
Αγ. Τέθνηκ' ἀδελφὴ σή, δυοῖν παίδοιν μέτα.

Vociferatur autem domus tota. Ego vero venio accerſiturus
Senex ſororem anum Iocaſten, ut
Lavet, & componat filium meum, qui non vivit amplius.
" Mortuis enim oportet non mortuum
" Honores dando, piè colere Deum ſubterraneum.
Cho. Tua ſoror egreſſa eſt ex ædibus, ô Creon,
Puellaque matris Antigone communi greſſu.
Cre. Quò, & in quam calamitatem? ſignifica mihi.
Cho. Audivit filios ſingulari certamine eſſe
Ad pugnam venturos pro regiâ domo.
Cre. Quomodo dicis? ego cadaver mei filii curans,
Non veni huc, ut hoc etiam ſcirem.
Cho. At abiit ſoror tua jamdudum.
Exiſtimo autem certamen de vitâ, Creon,
Jam commiſſum eſſe filiis Oedipi.
Cre. Hei mihi, video quidem ſignum hoc,
Triſtem oculum, & vultum nuncii
Venientis, qui omnem nunciabit rem geſtam.

Nun. O miſer ego, quem dicam ſermonem, aut quod verbum?
C. Perimus! nō ſpecioſis neq; fauſtis procemiis initium fit orationis.
Nun. Heu me miſerum, iterū clamo: magna enim fero mala.
Cre. Quod nam malum dicis, præter alia quæ acciderunt?
Nun. Filii ſororis non ſunt in luce amplius.

ANOMOEOSTROPHA.

Strophe 1.

Cre. Heu, heu, magnos dolores ſonas mihi & urbi.
Nun. O domus Oedipi, audis hæc
De filiis extinctis ſimili clade?
Cho. Ut etiam lacrymaretur, ſi ſenſum haberet.

Strophe 2.

Cre. Heu calamitatem miſerrimā,
Heu mala: miſer ego & infelix.
Nun. Si ſcires mala, quæ præter hæc acciderunt.
Cre. Et quomodo poſſent accidere illis triſtiora?
Nun. Mortua eſt ſoror tua cum duobus filiis,

Βοᾷ) θρηνεῖ δὲ ὁ οἶκος πᾶς ὅλος. Μεταστέλλων) μεταχαλέσων. [* Ἐγὼ δὲ ὁ γέρων μεθήκω, ἢ μετέρχομαι καὶ ζητῶ τὴν ἐμὴν ἀδελφὴν τὴν γραῖαν, τὴν Ἰοκάστην, κ. λ.] Εὐσεβεῖν) τιμᾷν τὸν χθόνιον θεόν. Κόρη τε) τὸ ἑξῆς κόρη τε Ἀντιγόνη, κοινῇ ἐξόδῳ τῆς μητρὸς, ἅμα τῇ μητρὶ, καὶ ἡ Ἀντιγόνη ἐξῆλθε. Ποῖ) ποῖ βέβηκε; Κἀπὶ ποίαν συμφοράν) ἐνταῦθα λέγει τὴν συντυχίαν, ἢ τὸ συμβεβηκός. Εἰς ἀσπίδ' ἥξειν) εἰς μάχην, εἰς συμβολήν. Νέκυν τοι) ἀντὶ τοῦ τὸ νεκρὸν σῶμα τοῦ παιδὸς ἐμοῦ ἐπιμελείας ἀξιῶν. Οὐκ εἰς τόδ' ἦλθον) οὐκ εἰς τόδε ἔφθασα, εἰς τὸ γνωρίσαι, οὐκ ἐπὶ τοῦτο παραγενόμενος, ὥστε καὶ τόδ' εἰδέναι. Οἴμοι, τὸ μὲν σημεῖον) ἐκ τοῦ προσώπου τοῦ ἀγγέλου στοχάζεται τὰ λεχθησόμενα. 1344. Τὸ δρώμενον) τὸ πραχθέν. Οὐκ εὐπροσώποις) προοιμίοις οὐ καλοῖς, οὐκ εὐσήμοις, τὸ ὦ τάλας δεύτερον βοᾷ. Θρηνητικὸν δὲ τὸ ἔθος. Λέγεις δὲ δὴ τί) ἀποφατικῶς, ἢ ἐρωτηματικῶς· πρὸς τοῖς εἰρημένοις πήμασι λέγεις φέρειν ἕτερα; Ἐν φάει) ἐν τῷ φωτὶ, τουτέστιν ἐν σωτηρίᾳ. συνήθως δὲ ὁ Εὐριπίδης ἐν ἑνὶ στίχῳ προειπὼν τῆς συμφορᾶς τὸ κεφάλαιον, καταστατικώτερον ὕστερον διηγεῖται τὸ πᾶν. 1352. Παίδων) λείπει περὶ, τὰ περὶ τῶν παίδων, καὶ τὴν αὐτῶν συμφορὰν ὀλωλότων; Ὥστε δακρῦσαι, εἰ αἴσθησιν εἶχον τὰ οἰκήματα. Εἰ καὶ τὰ πρὸς τούτοισιν εἰδείης κακὰ) τί ἐρεῖς, ἢ πόσον τάλας γένοιο, δηλονότι. 1357. Δυσποτμώτερα) δυστυχέστερα.

*Ex MS. Scholiis.

ANNOTATIONES.

V. 1328. Γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην ὅπως) Hic verſus ita ſe prius habebat --στέλλων ἀδελφὴν Ἰοκάστην ὅπως, magnâ & apertâ lacunâ, quam nunc Ex MS. integerrimo optimoque ita reſtituimus; & tamen idem illud Nobile MS. legit pro στέλλων, γέρων, ita, ἐγὼ δ' ἥκω μέτα (pro μέθηκω, hoc eſt μετέρχομαι) Γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως &c. *Id eſt* --Ego verò jam quæro ſenex *ipſe* ſororem anum &c. Idem poſt v. 1452. Γραῖαν τε μητέρα de *Iocaſtâ* dicit. Et ſanè *Petrus Victorius* in Variar. Lection. l. 10. c. 20. γραῖαν, in hoc Verſu citando legit. *Canterus* tamen, *Scaliger*, *Heinſius*, *Portus*, *Duportus*, hunc verſum inexpletum omiſerunt. Quod verò ad ſenſum hujus loci attinet, quòd nempe Mos erat apud Veteres Defunctorum cadavera ante Funerationem lavare, ut & *ungere*, Vid. *Joh. Kirchmanni* de Funerib. Roman. l. 1. c. 7. Hinc *Ennius*, Tarquinii Corpus bona fœmina lavit & unxit. Vid. *Mureti* Variar. Lection. l. 3. c. 19. Item *Petri Victorii* Variar. Lection. l 10. c. 20. Hinc & hujus fabulæ v. 1661. *Antigone* à *Creonte* petit, ut *Polynicis* cadaver ſibi ſaltem lavare liceat --Σὺ δ' ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ' ἔα. *Joſua Barnes.*

V. 1344. Στείχοντος, ὃς πᾶν ἀγγελεῖ) Ita legimus, rejectâ veteri lectione --Στείχοντος, ὃς ἡμῖν &c. Nullo enim alio modo verſus ſanabitur. Neque tamen, quod miror, aut *Scaliger*, aut *Heinſius*, aut *Rutgerſius*, aut *Canterus*, aut *Portus* hoc vidit; ſolus *Duportus*, ut Nos nuper legebamus, ita libro ſuo notavit, viz. Στείχοντος ἡμῖν δ' ἀγγελεῖ &c. Sed nunc ex optimo illo MS. edocti & *Duporti* lectionem procul ablegamus & cum illo fideliſſimo Codice legimus Στείχοντος ὃς πᾶν ἀγγελεῖ τὸ δρώμενον. *Joſua Barnes.*

V. 1345. Τίνα λόγον) λ eſt ἀνατατικὸν, quare non eſt opus, ut *Scaligerianus* Codex legeret τίν' αὖ; Præterea MS. legit τίνας λόγους. *Joſua Barnes.*

V. 1346. Ἀρχῇ) An ἄρχῃ; *Idem.*

V. 1357. Δυσποτμώτερα) Ita *Scalig.* & MS. legit, ut & ſupra v. 1354. βαρυποτμωτάτας. Rectè quidem, quòd prior ſyllaba in πότμος brevis habeatur; ut & aliàs obſervavimus. Lubet autem hoc aſcribere ex MS. *Scholiis*, quæ in hanc rem faciunt, μέγα δὲ γίνεται τὸ τμ, διὰ τὸ μέτρον μὴ ὅμως ἐν ἀλόγως, ἐπεὶ ἡ πρὸ αὐτοῦ συλλαβὴ ἐκτείνεται κατ' εὖ εἶναι, ἡ αὐτὴ καὶ βραχεῖα. *Joſua Barnes.*

Στροφὴ

Ἀνάγετε, ὑψοῦτε θρῆνον) καὶ κτύπον λευκοπήχεων χειρῶν. ἀνάγετε ἀπὸ κοινοῦ. Ὦ τλῆμον, ὦ ἀθλία Ἰοκάστη, οἷον τέλος τοῦ βίου καὶ τῶν γάμων ὑπέμεινας διὰ τοὺς αἰνιγμοὺς τῆς σφιγγός. Ἀρᾶς τ' ἀγώνισμα) τὸ κατόρθωμα. τουτέστιν, εἰπέ μοι, πῶς ἀπέβη ἡ κατάρα τοῦ Οἰδίποδος. Τὰ μὲν πρὸ πύργων) εὐτυχήματα γνώσεις. λέγει δὲ τὴν νίκην, ἣν ἐνίκησαν πρὸ πυλῶν τῆς πόλεως. Τειχέων περιπτυχαὶ) περιφραστικῶς τὰ τείχη. οὐ μακρὰν εἰσίν, ὥστε μὴ οὐχὶ πάντας εἰδέναι τὸ δρώμενον. λείπει γὰρ τὸ μή. Οἶσθ' ὥς· οὐ) πρὸς τὸ οὐ στίζουσιν. οὐκ οἶδα, φησί, τὰ περὶ τῶν πύργων εὐτυχήματα· μακρὰ γὰρ εἰσί. Ἄλλως. τειχέων περιπτυχαί, περιφραστικῶς τὰ τείχη. ἐκ τοῦ περιπτύσσεσθαι, καὶ κυκλοῦν τὴν πόλιν. περιλαμβάνονται γὰρ αἱ πόλεις τοῖς τείχεσι. καλῶς δὲ διὰ πάσης ἀφορμῆς τὰ προειρημένα ὑπὸ τοῦ πρώτου ἀγγέλου ἐπιτέμνει. ἡ δὲ διάνοια, τὰ μὲν περὶ τῶν τειχῶν εὐτυχήματα, ὡς ἐνικήσαμεν δηλαδὴ τοὺς Ἀργείους, οἶδας. οὐ γὰρ μακρὰν τὰ τείχη, ὡς μὴ πάντα σε εἰδέναι. Εἰς μέσον μεταίχμιον) παρῆλθον εἰς τὸ μέσον ὡς εἰς ἀγῶνα δορὸς, καὶ ἀλκὴν μονομαχίας.

Στροφὴ γ'. — *Strophe 3.*

Χο. Ἀνάγετ', ἀνάγετε κωκυτὸν,
Ἐπὶ κρᾶτά τε λευκοπήχεις κτύπους χεροῖν.

Ch. Elevate, extollite luctum,
Et candidarum manuum planctus supra caput.

Ἴαμβοι. — *Creon.*

Κρ. Ὦ τλῆμον, οἷον τέρμον' Ἰοκάστη βίου, * Vid. supra v. 19.
Γάμων τε τῶν σῶν, Σφιγγὸς αἰνιγμοὺς * ἔτλης.
Καὶ πῶς πέπρακται διπτύχων παίδων φόνος,
Ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου; σήμαινέ μοι.
Αγ. Τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς,
Οἶσθ'· οὐ μακρὰν γὰρ τειχέων περιπτυχαί,
Ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα.
Ἐπεὶ δὲ χαλκοῖς σῶμ' ἐκοσμήσανθ' ὅπλοις
Οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι,
Ἔστησαν ἐλθόντ' εἰς μέσον μεταίχμιον,
Δισσὼ στρατηγὼ, καὶ διπλὼ στρατηλάτα,
Ὡς εἰς ἀγῶνα * μονομαχοῦντ' ἀλκὴν δορός. * μονομάχου τ' MS.
Βλέψας δ' ἐς Ἄργος, ἧκε Πολυνείκης ἀράς.
Ὦ * πότνια Ἥρα, σὸς γάρ εἰμ', ἐπεὶ γάμοις * πότνι' MS.
Ἔζευξ' Ἀδράστου παῖδα, καὶ ναίω χθόνα,
Δός μοι κτανεῖν ἀδελφὸν, ἀντήρη δ' ἐμὴν
Καθαιμάξαι δεξιὰν νικηφόρον·
Αἴσχιστον αἰτῶ στέφανον, ὁμογενῆ κτανεῖν.
Πολλοῖς δ' ἐπῄει δάκρυα τῆς τύχης ὅση,
Κἄβλεψαν ἀλλήλοισι διαδόντες κόρας.
Ἐτεοκλέης δὲ Παλλάδος χρυσάσπιδος
Βλέψας πρὸς οἶκον, ηὔχετ'· ὦ Διὸς κόρη,
Δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
Εἰς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν,
Κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
Ἐπεὶ δ' ἀφείθη πυρσὸς, ὡς Τυρσηνικῆς

Cre. O misera Iocaste, qualem finem vitæ,
Et nuptiarum tuarum propter ænigmata sphingis sustinuisti?
Quomodo verò facta est cædes geminorum filiorum,
Et certamen ortum ex diris Oedipi? dic mihi.
Nun. Successus quidem secundos urbis nostræ ante mœnia
Scis: non enim ita procul sunt ambitus murorum,
Ut nescias omnia quæ ibi geruntur.
Postquam igitur armaverunt corpus ferreis armis
Senis Oedipi adolescentes,
Steterunt venientes in locum medium inter acies
Duo duces, & duo imperatores,
Ut in certamen singulare descensuri robore hastæ.
Spectans autem versùs Argos, emisit Polynices preces:
O veneranda Juno, tuus enim sum, postquam nuptiis
Adjunxi *mihi* Adrasti filiam, & illius habito terram,
Da mihi occidere fratrem, & contrariam meam
Dextram cruentare victricem:
Peto turpissimam coronam, videlicet ut interficiam fratrem.
Multis obortæ sunt lacrymæ, ob magnitudinem calamitatis.
Intuebanturque se mutuò obvertentes pupillas.
Eteocles verò Palladis armatæ aureo scuto
Respiciens ad ædem precatus est: O filia Jovis,
Da ut hastam victricem ex manu *emissam*
In pectus fratris ab hoc brachio jaculer,
Et interficiam eum, qui venit eversurus meam patriam.
Postquam autem missa est fax (ut Tyrrhenicæ

1373. Βλέψας δ' ἐς Ἄργος) τὸν νῦν ὅπισθεν ἔχων, ἀφῆκεν εὐχὰς ὁ Πολυνείκης λέγων, ὦ σεβασμία Ἥρα, σός εἰμι· ἐπολιτογραφήθην γὰρ παρὰ σοί, ἐμαυτῷ ζεύξας, ἀντὶ τοῦ εἰς ζεῦξιν λαβών, τὴν παῖδα τοῦ Ἀδράστου. καὶ οἰκῶ τὴν σὴν χθόνα. δός, ὦ Ἥρα, ἐμοὶ κτεῖναι τὸν ἀδελφόν, καὶ καθαιμάξαι τὴν ἐμὴν δεξιὰν νικηφόρον, τὴν ἀντήρη, ἤτοι τὴν ἐκείνῳ ἐναντίαν, αἴσχιστον αἰτῶ νίκην τὸν ἀδελφὸν φονεῦσαι. ἄκρως δὲ δηλοῖ ἦθος ἀνδρὸς, μεμφομένου ἑαυτὸν ἐπὶ ὠμότητι. Πολλοῖς δ' ἐπῄει) τοσαῦτα φησὶν ἐπῄει δάκρυα τοῖς πολλοῖς, ὅση τῆς τύχης ἦν συμφορὰ τοῖς μονομαχοῦσι, τουτέστι συμφώνως τῇ καθ' αὐτοὺς τύχῃ, ἐδάκρυον οἱ ἐκτός. Ἄλλως. πολλοῖς δὲ ἐπῄει δάκρυα τῆς τύχης ὅσον. λείπει γὰρ τὸ ἕνεκεν τῆς τύχης ἡ δίκη ἦν. 1379. [Ἄλλως. Τῆς τύχης ὅση) ἕνεκα τῆς τύχης τῶν ἀθλίων ἀδελφῶν, ὅση ἦν καὶ ὁποία διὰ τὸ μέγεθος τῆς δυστυχίας.] Διαδόντες κόρας) οἰκτρὸν γὰρ θέαμα μονομαχοῦντας ἀδελφοὺς ἦν ἰδεῖν, οἷς καὶ τὸ πατὴρ καὶ τὸ μήτηρ εἰπεῖν ἦν. Ἄλλως. ἐμφαίνεται καὶ κατ' ἀλήθειαν θυμὸς πολέμου ἐνδεικνύμενος διὰ τοῦ βλέμματος. Ηὔξατ' δ') καὶ οὗτος νῦν εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἀποβλέψας τὸ ἐν Θήβαις. Ἐπεὶ δ' ἀφείθη) ἐπὶ τῶν ἑπτὰ ἐπὶ Θήβας οὔπω ἐχρῶντο τῇ σάλπιγγι Ἕλληνες. ἀλλ' οὐδὲ ἐπὶ τοῦ Τρωϊκοῦ πολέμου. Ὅμηρος δὲ αὐτὸς μὲν οἶδε σάλπιγγα, οὐ ποιεῖ δὲ σάλπιγγι χρωμένους τοὺς ἥρωας. πρῶτος δὲ Ἀρχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις, ἤγαγε τὴν Τυρσηνικὴν σάλπιγγα εἰς Ἕλληνας. ἐχρῶντο δὲ κατὰ τὸ παλαιὸν ἐν τοῖς πολέμοις ἀντὶ σαλπιγκτῶν πυρφόροις. οὗτοι δὲ ἱεροὶ ἦσαν Ἄρεως. ἐξελθόντες στρατιᾶς προηγούμενοι μετὰ λαμπάδος. ἣν ἀφιέντες εἰς τὸ μεταίχμιον, ἀνεχώρουν ἀκίνδυνοι. καὶ οὕτως συνέβαλον αἱ στρατιαί. ἐσώζοντο δὲ οἱ πυρφόροι, ὡς ἱεροὶ τοῦ θεοῦ, εἰ καὶ πάντες οἱ ἄλλοι ἀπώλοντο· ὅθεν παροιμία ἐπὶ τῶν ἄρδην ἀπολλυμένων στρατευμάτων, οὐδὲ πυρφόρος ἐσώθη. 1386. Ἄλλως. πυρσὸς δέ ἐστιν ἡ λαμπὰς, ἣν ἀνῆπτον ἐν νυκτί, σημεῖον τοῦ χωρεῖν πολεμεῖν. καὶ ἄλλως. Πυρσὸς ὡς Τυρσηνικῆς) ἀντὶ τοῦ μεγάλως, ὡς τῶν Τυρσηνικῶν γεγωνότερον τῇ σάλπιγγι χρωμένων. ὁ δὲ νοῦς. ἐπειδὴ ἀφείθη τὸ σημεῖον ὡς Τυρσηνικῆς σάλπιγγος ἠχὴ, σῆμα τῆς φονικῆς μάχης, ὥρμησαν δρόμον χαλεπὸν κατ' ἀλλήλων.

ANNOTATIONES.

V. 1361. Τέρμον' Ἰοκάστη) Olim legebatur hic τέρμα Ἰοκάστη) Ita omnes libri & ipsum MS. Sed ut Chasma impleatur, Codex *Heinsio-Scaligerianus* legit τέρμον'· & sane ὁ τέρμων pro τὸ τέρμα non modo *Æschylo* usurpatur, sed & legitur aliàs apud hunc Authorem, ut *Hippolyt.* v. 3. Ὅσοι τε πόντου, τερμόνων τ' Ἀτλαντικῶν. & v. 746. Τέρμονα κυανέου οὐρανοῦ. & v. 1159. Ναίων καὶ γῆς τέρμονας Τροιζηνίας. Et *Heraclid.* v. 37. —— ἐν ἔσχατον, τέρμονας κλεινῶν Ἀθηνῶν τόνδ' ἀφικόμεσθ' ἔπι. Ut *Medea* v. 276. Πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω. Et denique *Troad.* v. 1068. Τέρμονά τε πρωτόβολον ἁλίῳ. *Josua Barnes.*

V. 1368. Ἐπεὶ δὲ χάλκεοις σῶμ' ἐκοσμήσανθ' ὅπλοις) Hanc lectionem confirmat MS. & *Scaliger.* Codex, *Josua Barnes.*

V. 1371. Δισσὼ στρατηγὼ καὶ διπλὼ στρατηλάτα) inanis & frivola ταυτολογία, nisi fortè Exaggerationis causâ excusetur.

V. 1376. Αἴσχιστον αἰτῶ) *Gul. Canterus* mavult hoc in loco αἰτῶ, sed mirè hallucinatur vir magnus: Quare αἰτῶ retinendum mordicus. Et MS. retinet. *J. Barnes.*

V. 1382. Ηὔχετ') Aliàs ηὔξατ'. Vid. *Schol.* cujus lectionem MS. nostrum confirmat. *Idem.*

V. 1386. Ἐπεὶ δ' ἀφείθη πυρσὸς φοινίας μάχης) *Postquam missa est Fax-signum cruentæ pugnæ.* Præter ea, quæ benè in hanc rem *Scholiastes*, vid. quæ Nos in *Esther* â nostrâ, sive Ἀἰλινακλιτάλγια ad v. 1406. Ubi & τὸ Ἀρχίδας, quod hic corruptè hactenùs legebatur, corrigitur in Ἀρχώνδας. Vid. *Sophoclis* Scholiast. ad hunc Versum *Ajacis* Flagelliferi—viz. v. 17. Χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς. Vid. *Johan. Hartungi* inter Criticos *Jani Gruteri* Tom. 2. Et quæ Nos ad *Iphig.* Taur. v. 303. & *Rhes.* v. 144. & 988. & *Heraclid.* v. 830. Hic autem *Aricbondas Tyrrhenus* opem laturus *Heraclidis* primus tubam *Græciæ* intulit; ut *Johannes Tzetzes* in *Lycophronem* notat. *J. Barnes.*

Σάλπιγγος

Σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης,
Ἤιξαν δράμημα δεινὸν ἀλλήλοις ἔπι.
Κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν,
Ξυνῆψαν, ἀφρῷ διάβροχοι γενειάδας.
Ἤισσον δὲ λόγχαις· ἀλλ' ὑφίζανον κύκλοις,
Ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
Εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἄτερος μάθοι,
Λόγχην ἐνώμα στόματι προφθῆναι θέλων.
Ἀλλ' εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν
Ὀφθαλμὸν, ἀργὸν ὥστε γίνεσθαι δόρυ.
Πλείων δὲ τοῖς ὁρῶσιν * ἐστάλαξ' ἱδρὼς,
Ἢ τοῖσι δρῶσι, διὰ φίλων ὀρρωδίαν.
Ἐτεοκλέης δὲ, ποδὶ μεταψαίρων πέτρον,
Ἴχνους ὑπόδρομον κῶλον ἐκτὸς ἀσπίδος
Τίθησι. Πολυνείκης δ' ἀπήντησεν δορὶ,
Πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδὼν.
Κνήμην τε διεπέρασεν Ἀργεῖον δόρυ.
Στρατὸς δ' * ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
Κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
Ὁ πρόσθε τρωθεὶς, στέρνα Πολυνείκους βίᾳ
Διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ' ἔθραυσ' ἄκρον δόρυ.
Ὡς δ' ἄπορον ἧκεν δορὸς, ἐπὶ σκέλος πάλιν
Χωρεῖ· λαβὼν δ' ἀφῆκε μάρμαρον πέτρον,
Μέσον δ' ἄκοντ' ἔθραυσεν, ἐξ ἴσου δ' Ἄρης
Ἦν, κάμακος ἀμφοῖν χεῖρ' ἀπεστερημένοιν.
Ἔνθεν δὲ, κώπας ἁρπάσαντε φασγάνων,
Ἐς ταυτὸν ἧκον· συμβαλόντε δ' ἀσπίδας
Πολὺν ταραγμὸν ἀμφιβάντ' εἶχον μάχης.

* ἐστάλαξ' MS.

* Scholiast. ἀνηλάλαξε.

Tubæ ſonitus) ſignum cruentæ pugnæ,
Saltaverunt contra ſe mutuo atroci ſaltu.
Et ſicut apri acuentes ſævas genas, *i.e. dentes*,
Commiſerunt pugnam, madidi genis propter ſpumam.
Impetum autè faciebant haſtis, ſed ſedebant ſub clypeis rotundis,
Ut *haſtæ* ferrum excideret fruſtrà.
Si verò alter oculum *alterius* eminentem ſupra clypeum vidiſſet,
Vibrabat haſtam verſus os volens convertere:
Sed ſcitè admovebant clypeorum foraminibus
Oculos, ut eſſet otioſa haſta.
Plus verò ſpectantibus ſtillabat ſudoris,
Quàm agentibus, propter metum amicorum.
Eteocles autem offendens pedem ad ſaxum,
Veſtigio excurrens membrum extra clypeum
Ponit: Polynices verò occurrit haſtâ,
Plagam ferro traditam conſpicatus,
Tibiamque tranſegit Argiva haſta.
Totus autem exercitus Græcus exclamavit *præ jubilo*.
Et in hoc labore nudum humerum videns,
Prius vulneratus, per pectus Polynicis vi
Tranſegit haſtam, & *ablatam* reddidit voluptatem
Cadmi civibus: ſed fregit ſummam haſtam.
Veniens autem ad inopiam haſtæ, in crus *inclinatus* retrò
Cedit, & correptum jecit marmoreum ſaxum,
Et contudit medium telum. Jam verò Mars æqualis
Erat, amborum manibus privatis haſtâ.
Poſtea verò, manubria corripientes gladiorum,
Congreſſi ſunt cominùs; committentes autem clypeos
Habebant magnum pugnæ tumultum circumſtantem ipſos.

Ξυνῆψαν ἀφρῷ) λείπεὶ ὁ γὸ, ἢ ἄλλως, συνῆψαν μάχην εἰς πάσαις τὰς γενειάδας ἀφρῷ διάβροχοι, ἢ τὴν ἀγρίαν γένυν θήγοντες, ἐπὶ γὸ τῶν κάπρων ἀμφότερα ληπτέον, τὸ, τε θήγοντες, ἢ τὸ διάβροχοι γενειάδας. Ἤισσον δὲ λόγχαις) ἀντὶ τοῦ ὥρμων, ὑπὸ τοῦ ἀΐσσω. κατ᾽ ἀλλήλων δὲ ὥρμων τὰς λόγχας ἀκοντίζοντες. ἀλλ᾽ ἑκάτερος ἐν τῷ βάλλειν τὸν ἕτερον, ὑπεκαθίζετο τῷ τῆς ἀσπίδος κύκλῳ, ἵνα αὐτὴν ὑποστηρίσασαν τὸ δόρυ, ἢ ὀλισθῆσαν τῷ κύκλῳ τῆς ἀσπίδος, μάταιον, ἢ ἀνεπίτευκτον γένηται. Εἰ δ' ὄμμ' ὑπερσχὸν) εἰ δὲ ἴδῃ ὁ ἕτερος τὸ προέχοντα τοῦ ἄλλου, ὑπὲρ ἄνω τῆς ἀσπίδος ἐκίνει τὴν λόγχην. Ἄλλως. [illegible] δὲ ὁ ἕτερος τὸ ὄμμα τῆς ὑπεροχῆς ὑπερέχον ἐβούλετο θᾶττον, ὁ ἕτερος τὴν λόγχην ἐκίνει, ὥστε τυχεῖν πλῆξαι τῷ στόματι. ὄμμα δὲ φησὶν ὑπὸ μέρους τὸ πρόσωπον. Κεγχρώμασι) κέγχρους καλοῦσι τὰς ὀπὰς τὴν ἴτυν τῆς ἀσπίδος κόσμον. μικροὶ δὲ ἧλοι εἰσὶν, οἱ ἐκ χρυσοῦ γίνονται. πρὸς δὲ μικρὰς ὀπὰς ἀεὶ τὴν ἴτυν δι' ὧν ἑώρων τοὺς ἐναντίους. Ἀργὸν) ὡς μὴ δύνασθαι τρῶσαι.

Πλείων δὲ) πλείων δὲ ἱδρὼς ἐστάλαξε τοῖς ὁρῶσι, διὰ τὸν φόβον τῶν φίλων, ἢ τοῖς ἀγωνιζομένοις. 1399. Μεταψαίρων) μετακινῶν, μεταφέρων τῷ ποδὶ κατὰ τὸ λεληθὸς, οἱονεὶ περιψαίρων. ὑπὸ τοῦ ψῶ, ὃ παράγωγόν ἐστι τὸ ψαύω, ἢ οἱ ναῦται χαίρειν φασὶ τὸ ἄνεμον, ὅταν μὴ πολὺς ἄνεμος πνέῃ, ἀλλὰ μόνον ψαύῃ. Ἴχνους ὑπόδρομον) ἴχνους ὑπόδρομον, μεταφορικῶς τὸ ἴχνος. ὑπόδρομον δὲ, ἔξω ὑποδεδραμηκός. Εἰσιδὼν) ἰδὼν τὸν πόδα πρὸς τὸ πλάγιον τῆς ἀσπίδος, ὅ ἐστιν ἐκπεπτωκὸς τὸ σκέλος πρὸς τὸ προφθῆναι ἰδεῖν. Πληγὴν σιδήρῳ) τόπον δυνατὸν πληγῆναι. Ἀνηλάλαξεν) ἦχησεν. Κἀν τῷδε) ἢ ἐν τούτῳ, ὑπὸ τοῦ μόχθου γυμνὸν τῆς ἀσπίδος τὸν ὦμον τοῦ Πολυνείκους θεασάμενος, ὁ πρόσθεν τρωθεὶς Ἐτεοκλῆς, εἰς τὰ στέρνα τοῦ Πολυνείκους ἔπεμψε σὺν βίᾳ τὴν λόγχην. λόγχην δὲ νῦν τὸ ξίφος. σύνηθες δὲ οὕτω τοῖς τραγικοῖς. Ἀπὸ δ' ἔθραυσεν) εἰς τὰ στέρνα βίᾳ ὡς τὸ δόρυ καθῆκεν, ἀπεκλάσθη τὸ δόρυ μὴ δυνηθὲν περάσαι τὸν θώρακα. τὸ ἑαυτοῦ δὲ δόρυ ἀπέκλασεν, τῇ σφοδρᾷ ῥύμῃ τρῶσας. 1410. [* Μάρμαρον πέτρον) εἶδος λίθου τὸ μάρμαρον, εἰπὼν ἐν πέτρον τὸ γένος, ἀποδίδωσι ἢ τὸ εἶδος, μάρμαρον.] Ἐξ ἴσου δ' Ἄρης) ἀγαθὸν τοῖς ἀκροαταῖς. τὸ ἴσον ἀπονέμων τῆς τύχης ἑκατέρῳ τῶν ἀγωνιζομένων. Ἀπεστερημένοιν) ἀμφοτέρων ἀπεστερημένων τὰς χεῖρας τοῦ δόρατος. 1413. Ἔνθεν δὲ) ἀπὸ τούτου δὲ ἁρπάσαντες τὰς κώπας τῶν φασγάνων, συνῆλθον, ἐγγὺς ἀλλήλων ἦλθον. συμβαλόντες δὲ τὰς ἀσπίδας, ἢ ἀμφοτέρωθεν τοῖς ποσὶ βάντες, ἢ στάντες, πολλὴν ταραχὴν ἐποίουν πρὸς ἑαυτοὺς ὡρμηκότες.

* Ex MS. *Scholiis*.

ANNOTATIONES.

V. 1388. Ἤιξαν) ſine Dialyſi legendum διϲυλλάβως ἦξαν pro ἤιξαν Eodem modo v. 1391. Ἤισσον legendum, ita v. 1469. Vid. ſupra v. 952. MS. ita legit, ut Nos monemus, viz. ſine Dialyſeos notâ. De hâc re videſis *Henr. Stephan.* Tractat. de Orthograph. ad finem. *Joſua Barnes.*

V. 1389. Κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν) De Apro Dentes in pugnam acuente, Vid. *P. Victorii* Variar. Lection. l. 12 c. 9.

V. 1390. Ξυνῆψαν, ἀφρῷ &c.) [illegible] τὸ ξυνῆψαν ſubintelligitur ἔγχη, vel πόλεμον, quorum prius in textum irrepſit, ſed nunc rejecimus. Vid. *Gul. Canteri* Novar. Lect. l. 4. c. 1. Alii τὸ ἀφρῷ rejiciunt, ἔγχη retinentes (ut *Dupertus* &c.) haud æquè bene. Nam ξυνῆψαν ſimpliciter ponitur, pro πόλεμον vel ἔγχη συνῆψαν; διάβροχοι autem ſine τῷ ἀφρῷ non æquè intelligitur. Ita quoque MS. apertè legit; ut Nos. De Apris Dentes acuentibus Vide notam præcedentem; de ſpumâ, quod ſint, ut hic Poeta noſter, ἀφρῷ διάβροχοι γενειάδας, Nos inter cætera ita olim ex Veterum ſententiâ in *Franciados* noſtræ l. 5. v. 705.

Qualis torvus Aper, Montis convallibus altis,
Cùmque Canum Juvenùmque ſonum primò auribus hauſit,
Se parat, exertíſque horrendo murmure Dentes
Exacuit: Tum ſpumâ natans fera proluit Ora;
Igne micant Oculi; crudeſcunt hiſpida Colla;
Setoſáque riget ſylvâ implacabile Dorſum.

Joſua Barnes.

V. 1409. Ὡς δ' ἄπορον) *Dupertus* legit ἐς δ' ἄπορον, parum memor, quod ipſum ὡς pro ἐς ponatur, ſic *Hecub.* v. 993. Καὶ δεῦρ' γ' ὡς σὲ κρυφίως ἥξοι μόνον. Sic *Ariſtoph.* Plut. Ἐμπεσόντες ἐν σχήματι ὡς τὸν θεόν. Vid. quæ Nos ad *Hippolyt.* v. 1298. & *Iphig.* Taur. v. 335. *Suppl.* v. 516. Ita *Homer.* Odyſſ. ρ'. v. 218. Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον. Ita *Xenoph.* συναπιόντας ὡς ἐμέ. &c. Non tamen hic multum repugnamus, quum in MS. videamus Εἰς δ' ἄπορον. *Joſ. Barnes.*

V. 1412. Κάμακος) i. e. Κοντοῦ, vel λόγχης, ita *Hecub.* v. 1155. Ἄλλαι δὲ κάμακα Θρηκίας ὁρώμεναι &c. MS. autem legit ἀπεστερημένοιν rectius quàm ἀπεστερημένοιν, quod priùs obtinebat. *J. Barnes.*

Καί πως νοήσας Ἐτεοκλῆς, τὸ Θεσσαλὸν
Εἰσήγαγεν σόφισμ' ὁμιλίᾳ χθονός.
Ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
Λαιὸν μὲν εἰς τοὔπισθεν ἀμφέρει πόδα,
Πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος·
Προβὰς δὲ κῶλον δεξιὸν, δι' ὀμφαλοῦ
Καθῆκεν ἔγχος, σφονδύλοις τ' ἐνήρμοσεν.
Ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας,
Σὺν αἱματηραῖς σταγόσι Πολυνείκης πίτνει.
Ὁ δ' ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
Ξίφος δικὼν ἐς γαῖαν, ἐσκύλευέ νιν,
Τὸν νοῦν πρὸς αὐτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
Ὁ καί νιν ἔσφηλ'. ἔτι γὰρ ἐμπνέων βραχὺ,
Σώζων σίδηρον ἐν λυγρῷ πεσήματι,
Μόλις μὲν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους, ὁ πρόσθε Πολυνείκης πεσών.
Γαῖαν δ' ὀδὰξ ἑλόντες, ἀλλήλων πέλας
Πίπτουσιν ἄμφω, κοὐ διώρισαν κράτος.
Κρ. Φεῦ, φεῦ· κακῶν σῶν Οἰδίπου,* σὸς ὢν, στένω· * al. [illegible]
Τὰς σὰς δ' ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός.
Αγ. Ἄκουε * δὴ νῦν καὶ τὰ πρὸς τούτοις κακά. * al. δὲ νῦν.
Ἐπεὶ τέκνω πεσόντ' ἐλειπέτην βίον,
Ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπίτνει,
Σὺν παρθένῳ τε, καὶ προθυμίᾳ ποδός.
Τετρωμένους δ' ἰδοῦσα καιρίους σφαγὰς,
Ὤιμωξεν· ὦ τέκν', ὑστέρα βοηδρόμος
Πάρειμι, προσπίτνουσα δ' ἐν μέρει, τέκνα
Ἔκλαι', ἐθρήνει τὸν πολὺν μαστῶν πόνον,
Στένουσ', ἀδελφή θ' ἡ παρασπίζουσ' ἐμοῦ,
Ὦ γηροβοσκὼ μητρὸς, ὦ γάμους ἐμοὺς

Et quodammodo rei *ſucceſſum* præſentiens Eteocles, Theſſalicū
Uſurpavit commentum *ſibi notum* ob commercium agri.
Omittens enim præſentem laborem,
Siniſtrum quidem pedem retro refert,
Ante concavitati ventris & *lateribus* cavens:
Protendens verò dextrum pedem, per umbilicum
Demiſit enſem, egitque ad ſpinæ vertebras.
Simul autem flectens latera, & ventrem miſer
Polynices cum ſanguineis guttis cadit.
Hic verò tanquam vincens jam, & victor pugnâ,
Abjiciens gladium in terram, ſpoliabat eum,
Non habens mentem ad illum, ſed illic *i.e.* ad ſpolia.
Quod & feſellit eum: adhuc enim exiguum quiddam ſpirans,
Servanſque enſem in triſti caſu,
Vix quidem, extendit tamen enſem in hepar
Eteoclis Polynices, qui prius lapſus erat.
Terram autem mordicùs apprehendentes alter prope alterum,
Cadunt ambo, nec diſcreverunt victoriam.
Cre. Heu, heu, tuus quàm ſim, ego gemo mala tua, Oedipe.
Tuas autem execrationes videbatur impleturus eſſe Deus.
Nun. Audi nunc etiam, quæ præter hæc acciderunt mala.
Poſtquam filii lapſi reliquerunt vitam, *i.e.* ſpem vitæ,
Tunc mater miſera accedit
Cum filiâ, celerique greſſu.
Videns autem vulneratos letali cæde,
Ejulavit: O filii, tarda auxiliatrix
Adſum. Advoluta autem per vices, filios
Deplorabat. & lugebat magnum laborem ſuorum uberum,
Gemens, & ſoror *eorum* comes matris ſimul.
O nutricii ſenectutis matris, ô mearum nuptiarum

Ὁμιλίᾳ χθονός) ὅσον ἔλεγεν ὁμιλίᾳ τῇ ἔργῳ τῆς πατρίδος συνήθειαν σοφισμὰ τὴν μάχην. ἦγε γὰρ πλεῖον τῆς πατρίδος, διὰ τὸ εἰθίσθαι ἄρχειν. τινὲς δὲ ὁμιλεῖν, ἀντὶ τοῦ συμμαχεῖν. Ὅμηρος. Καὶ μὲν πρίν ποτ' ἐγὼ μεθομίλεον ἐν Πύλῳ ἐλθών. καὶ Νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ. ὁμιλία οὖν αὐτῇ ἡ συμμαχία, βοήθεια· τουτέστι συμμαχῶν τῇ πατρίδι, καὶ βοηθῶν ἐξεῦρε τὸ σόφισμα τοῦτο. Τὸ Θεσσαλὸν εἰσήγαγε σόφισμα) τέτακται δὲ ἐπὶ τοῦ παραλογίζεσθαι καὶ ἀποστερεῖν. ποικίλοι γὰρ τὰ ἤθη οἱ Θεσσαλοὶ, καὶ οὐκ ὀρθοὶ τὴν γνώμην. διαδοθῆναι δὲ τὴν παροιμίαν ἐντεῦθεν. Δεσποίνῃ τῇ Θεσσαλῶν κατάξειν μέλλοντι, λόγον ὀξὺ ἐποίησαν, ὑποσχεῖν μὴ λάθωσιν αὐτὸν ἐς ἐναντίους μεῖζον αὐξάμενοι. σπουδῆς οὖν ἐκείνους ὑπερβαλέσθαι, καθ' ἓν ἐκτεμόντες ἀνδρῶν ηὔξατο καταθύσειν τῷ Ἀπόλλωνι. κατελθὼν δ' ὡς θῦσαι, ἀνθρώπους ἐλογίσατο μὴ πρέπειν θεῷ, μὴ δ' ἄλλως ἐναγὲς εἶναι, καὶ ὑπερέθετο. τοῦτο δὲ ἰσχύειν τοὺς ἀεὶ τοὺς Θεσσαλούς φασι, τὴν θυσίαν ὑπερχρονίζοντας. * ὁ δὲ Εὐριπίδης ἐπὶ τῷ τὸν Πολυνείκην σοφιζόμενον, τὸ Θεσσαλὸν παρέλαβε σόφισμα. λοιδορεῖ δὲ Θεσσαλοὺς ὁ Εὐριπίδης, Πολλοὶ γάρ εἰσιν, ἀλλ' ἄπιστοι Θεσσαλοί. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ, Ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν. καὶ ὁ Ῥήτωρ ἐν Ὀλυνθιακοῖς, ἄπιστα μὲν τῶν Θετταλῶν, ταῦτα γὰρ ἄπιστα μὲν δήπου φύσει καὶ ἀεὶ πᾶσιν ἀνθρώποις. ὅτι δὲ καὶ φαρμακίδες εἰσὶν αἱ Θετταλαὶ, Ἀριστοφάνης φησί. γυναῖκα φαρμακίδα εἰ πριάμενος Θετταλήν. οὐχ ὡς τραφέντος δὲ τοῦ Ἐτεοκλέους ἐν Θετταλίᾳ, ἀλλ' ὡς ἐξ εὐτυχίας αὐτοῦ πεποιηκότος σχῆμα Θετταλόν. οὐχ ὡς Θετταλῶν οὕτω πολεμούντων, ἀλλ' ὡς δι' ἀπάτης νικώντων. Λαιὸν μὲν) τοῦτό φησιν, ὅτι ὑπέστη τὸ ἀντιπαρεστῶτος μάχεσθαι, ὀπίσω ἔστησε τὸν ἀριστερὸν πόδα, ἵνα τὸ ἔγχος ἐκφυγεῖν, καὶ μὴ ἀνθυπομάχην ἔχον τὴν ἀσπίδα τοῦ Πολυνείκους, κατὰ τὴν πλευρὰν αὐτὸν τρώσῃ. 1420. Πρόσω τὰ κοῖλα) τὰ περὶ τὴν λαγόνα φυλάσσων τὰ ἔμπροσθεν κοῖλα τῆς ἑαυτοῦ γαστρὸς φυλάττων. Προβὰς δὲ) προβαλὼν δὲ τὸν δεξιὸν πόδα, ἐνέβαλε τὸ ἔγχος διὰ τοῦ ὀμφαλοῦ, καὶ ἐνήρμοσε καὶ διεπέρασε μέχρι τοῦ σπονδύλου τῆς ῥάχεως. ἅμα δὲ κλίνας τὴν πλευρὰν καὶ τὴν γαστέρα σὺν σταλαγμοῖς αἱμάτων ἔπεσεν ὁ ἄθλιος Πολυνείκης. ὁ δὲ Ἐτεοκλῆς ὡς νενικηκὼς τὴν μάχην, ῥίψας τὸ ξίφος εἰς γῆν, ἐλαφυραγώγει αὐτὸν, τὸν νοῦν πρὸς τὸν Πολυνείκην οὐκ ἔχων. Ἐκεῖσε δὲ πρὸς τὸ σκυλεύειν, ἢ πρὸς τὸν νεκρὸν, ἢ πρὸς ἑαυτόν. οἷον οὐκ ἔχων ἑαυτὸν, ὃ δι' αὐτὸν ἀποτυχεῖν ἐποίησεν. Ἄλλως. Οὐ πρὸς τὸν νεκρὸν ἔχων τὸν νοῦν, ἀλλ' εἰς τὸ σκυλεύειν τὸν Πολυνείκην. ᾤετο γὰρ αὐτὸν εἶναι νεκρόν. Κοὐ διώρισαν) οὐκ ἐχώρισαν τὴν ἀρχήν. ἢ οὐκ ἐσοφίσαντο τὴν νίκην. Χο. τινὲς Κρέων. Φεῦ, φεῦ) ἔοικε τῶν σῶν κακῶν Οἰδίπου ὅσον καὶ μέγα στενάζειν. τὰς σὰς δὲ κατάρας ἔοικεν ἐκπληρῶσαι ὁ θεός. Βοηδρόμος) ὁ μετὰ βοῆς καὶ ἐπείξεως παραγενόμενος εἰς βοήθειαν. ἢ ὁ ἐν τῇ βοῇ, τουτέστιν ἐν τῷ πολέμῳ τρέχων. τελευταία βοηθὸς παραγέγονα. Ἡ παρασπίζουσα) συμπαρατυχοῦσα παρασπίζουσα. 1445. Ὦ γηροβοσκὼ μητρὸς) λείπει τὸ ταῦτα λέγουσα.

* Ὁ δὲ Εὐριπίδης ἐπὶ τῷ τὸν Πολυνείκην &c.) Poeta loquitur de hoc Commento ab *Eteocle* excogitato: Quare lapſus eſt *Scholiaſtes*. Bis autem Poeta hic lapſus videtur, qui gladiis pugnare dicit, poſtquam tractos gladios dixiſſet, & loqui *Polynicen*, poſtquam utroſque functos dixiſſet. v. 1537. *Joſua Barnes.*

ANNOTATIONES.

V. 1416. Τὸ Θεσσαλὸν εἰσήγαγεν σόφισμα) De *Theſſalorum* calliditate Aſtutiâ, vide *Scholiaſten*. Et *Rheſ.* v. 699.

V. 1434. Φεῦ, φεῦ) *Creontis* verba hic dubio procul initium habent, aut is nihil hic omninò loquitur: nullo enim alio modo σὰς ἀρὰς intelligi poteſt, quàm ſi referas [illegible] τὸ Οἰδίπου quare vel Χο. tantùm retinendum & Κρ. delendum; vel certè Χο. deleo & Κρ. ſurſum tollo; quin *Scholiaſtes* fatetur id nonnullis viſum & ita in aliquibus exemplaribus Manu notatis reperi; tum verò textus ab *Scholiaſte* (quod facit *Canterus*) l. 4. c. 19. non eſt emendandus; ſed è contra; & σὸς ὢν legendum utrobique, quia *Creon* erat *Oedipo* neceſſarius. Nec tamen ullo modo diſſimulandum, quòd MS. *C. C. C.* legat Οἰδίπου γ' ἴσως, & hos duos verſus *Choro* tribuat; hinc duplex illa in Margine notatio Χο. & Κρ. *J. B.*

V. 1435. Τὰς σὰς δ' ἀρὰς) prior ſyllaba τοῦ ἀρὰς ferè ſemper longa eſſe ſolet: ſemel tamen, ut & hic, brevem me inveniſſe memini, Ut *Hom.* Odyſſ. ρ'. v. 538. Οἷος Ὀδυσσεὺς ἔσκεν ἀρὴν ἀπὸ οἴκου ἀμῦναι. Et ter apud *Heſiodum*, ut *Theogon.* v. 657. Ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο. Idem in *Scuto Herc.* v. 29. & v. 128. *Euripides* ſuprà v. 772. Ἡμᾶς δ' ἀρήξει, ἐνὶ τύχῃ, κατακανεῖ. & v. 883. Ἐξηγάγοντο· ἐκ δ' ἔπνευσ' αὐτοῖς ἀράς. & v. 1373. Βλέψας δ' ἐς Ἄργος ἧκε Πολυνείκης ἀράς. Ita quoque *Æſchylus* Choephor. v. 143. & v. 144. Ταῦτ' ἐν μέσῳ τίθημι τῆς κακῆς ἀρᾶς, Κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν. & v. 690. Ὦ δυσπάλαιστε τῶνδε δωμάτων ἀρά. *Joſua Barnes.*

Προδόντ' ἀδελφὼ φιλτάτω. στέρνων δ' ἄπο
Φύσημ' ἀνεὶς δύσταλτον Ἐτεοκλῆς ἄναξ,
Ἤκουσε μητρός. κἀπιθεὶς ὑγρὰν χέρα,
Φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
Προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
Ὁ δ' ἦν ἔτ' ἔμπνους, πρὸς κασιγνήτην δ' ἰδὼν,
Γραῖάν τε μητέρ', εἶπε Πολυνείκης τάδε·
Ἀπωλόμεσθα, μῆτερ· οἰκτείρω δέ σε,
Καὶ τήνδ' ἀδελφὴν, καὶ κασίγνητον νεκρόν.
Φίλος γὰρ, ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος.
Θάψον δέ μ', ὦ τεκοῦσα, καὶ σὺ, σύγγονε,
Ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
Παρηγορεῖτον. ὡς τοσόνδε δὴ τύχω
Χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
Ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερὶ,
Μῆτερ, τίθησι δ' αὐτὸς ὀμμάτων ἔπι,
Καὶ χαίρετ'· ἤδη γάρ με περιβάλλει σκότος.
Ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον.
Μήτηρ δ' ὅπως * εἰσεῖδε τήνδε συμφορὰν, *al. ἰσεῖδε.
Ὑπερπαθήσασ', ἥρπασ' ἐκ νεκροῦ ξίφος,
Κἄπραξε δεινά. διὰ μέσου γὰρ αὐχένος
* Ὠθεῖ σίδηρον. ἐν δὲ τοῖσι φιλτάτοις * vel [illegible]
Θανοῦσα κεῖται, περιβαλοῦσ' ἀμφοῖν χέρας.
Ἀνῇξε δ' ὀρθὸς λαὸς εἰς ἔριν λόγων.
Ἡμεῖς μὲν, ὡς νικῶντα δεσπότην ἐμὸν,
Οἱ δ', ὡς ἐκεῖνον. ἦν δ' ἔρις στρατηλάταις,
Οἱ μὲν πατάξαι πρόσθε Πολυνείκην δορὶ,
Οἱ δ' ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
Κἀν τῷδ' ὑπεξῆλθ' Ἀντιγόνη στρατοῦ δίχα,
Οἱ δ' εἰς ὅπλ' ᾖσσον. εὖ δέ πως προμηθίᾳ
Καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι.
Κἀφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατόν.
Κοὐδεὶς ὑπέστη· πεδία δ' ἐξεπίμπλασαν
Φεύγοντες· ἔρρει δ' αἷμα μυρίων νεκρῶν,
Λόγχαις πιτνόντων. ὡς δ' ἐνικῶμεν μάχῃ,
Οἱ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
Οἱ δ' ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν,
Σκυλεύματ' εἴσω τειχέων ἐπέμπομεν.
Ἄλλοι [redacted] τοὺς θανόντας Ἀντιγόνης μέτα
Νεκροὺς φέρουσιν ἐνθάδ' οἰκτίσαι φίλοις.
Πόλει δ' ἀγῶνες οἱ μὲν εὐτυχέστατοι
Τῇδ' ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι.

Proditores fratres chariſſimi. ex pectore autem
Flatum emittens difficilem rex Eteocles,
Audivit matrem, & porrigens humidam manum,
Vocem quidem non edidit, ſed ex oculis
Salutavit eam lacrymis, ut ſignificaret amorem.
Alter verò adhuc ſpirabat, & intuens ſororem,
Et anum matrem, Polynices hæc dixit:
" Periimus, ô mater: miſeret me verò tui,
" Et ſororis hujus, & fratris mortui.
" Amicus enim hoſtis factus eſt, ſed tamen amicus,
" Sepelias verò me, ô mater; & tu, ſoror,
" In terrâ patriâ, & urbem iratam
" Placate; ut catenùs ſaltem conſequar
" Terram patriam, etſi regnum perdidi.
" Compone verò palpebras meas tuâ manu,
" O mater (ponit autem eam ſimul ipſe ad oculos ſuos)
" Et valete: jam enim circumdant me tenebræ.
Ambo autem ſimul exhalaverunt miſeram vitam.
Mater vero poſtquam vidit hanc calamitatem,
Vehementer dolens rapuit gladium hærentem in cadavere,
Et fecit atrocia. Nam per medium guttur
Adigit ferrum, inter verò ſuos chariſſimos
Mortua jacet, complexa utrumque manibus.
Surrexit autem erectus exercitus in contentionem ſermonum,
Nos quidem quaſi viciſſet dominus meus:
Illi verò quaſi alter: erat autem contentio inter duces.
Illi enim Polynicem prius verberâſſe *fratrem* haſtâ dicebant:
Illi verò, quòd utroque mortuo nuſquam victoria eſſet.
Interea verò receſſit Antigone ſeorſim ab exercitu,
Illi verò ad arma ruerunt. Bene autem quâdam providentiâ
Conſederat Thebanus exercitus in clypeis,
Et antevertimus nondum armis ſeptum
Argivum exercitum, irruentes ſubitò:
Et nullus *impetum noſtrum* ſuſtinuit: compleverunt autè campos
Fugientes. fluebat autem ſanguis innumerorum cadaverum
Cadentium haſtâ. Ut autem vicimus pugna,
Alii quidem ſtatuerunt trophæum Jovis ſtatuam,
Alii verò prædantes clypeos Argivorum cadaverum,
Spolia intra urbem miſimus.
Alii verò cum Antigone, mortua
Cadavera ferunt huc, ut miſericordiâ moti ſepeliant amici.
Urbi verò hæc quidem certamina feliciſſima
Huic evenerunt, alia verò infeliciſſima.

1447. Ἀνεὶς) ἀναπέμψας. Δύσταλτον) δυσκατάσχετον. Ὑγρὰν χέρα) ὑγρὰν ὑπὸ τοῦ αἵματος. γράφεται καὶ λυγρὰν, ἤτοι χαλεπήν. Ὥστε σημῆναι) ὡς δηλοῦν ὅτι ἀσπάζεσθαι τὴν μητέρα βούλεται.

1458. Ὡς τοσόνδε δὴ τύχω) ὁ νοῦς, ἵνα κἂν τοῦτο τύχω τοῦ θάπτεσθαι εἰς τὴν πατρίδα. Ξυνάρμοσον) κάλυψον. Τίθησι δ' αὐτὸν) τοῦτο διὰ μέσου ὁ ποιητής. τὰς χεῖρας τὰς μητρὸς ἐπιτιθεὶς τοῖς ἑαυτοῦ ὄμμασι, λέγει τὸ χαίρετε. Ὑπερπαθήσασα) ὑπεραλγήσασα. Ἐν δὲ τοῖσι φιλτάτοις) γράφεται σὺν τέκνοις δὲ φιλτάτοις. Ὅμηρος δὲ φησὶν, αὐτὴν ἀγχόνῃ ἀπολέσθαι, † Ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου. Ἀνῇξε) ἀνέδραμεν. Οἱ μὲν πατάξαι) λείπει τὸ λέγοντες. 1475. Ἧσσον) ὥρμησαν. Προμηθείᾳ) προνοίᾳ καὶ λογισμῷ ἐκάθηντο ὡπλισμένοι. Κἄφθημεν) τὸ ἑξῆς, προελάβομεν Ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατὸν, οὔπω τεύχεσι πεφραγμένον, καὶ οὐδεὶς ἐκαρτέρησεν, ὑπέμεινεν.

1480. Ἔρρει) ἔρρεεν.

1482. Οἱ μὲν Διὸς) Οἱ μὲν Ἀργεῖοι ἵστασαν τὸ εἴδωλον τοῦ Διός.

1486. Οἰκτίσαι) ἀντὶ τοῦ κλαῦσαι, θάψαι.

1486. Πόλει δ' ἀγῶνες) ὁ κατὰ τὴν πόλιν πόλεμος. οἱ ἀγῶνες ἐξέβησαν τῇ πόλει εὐτυχεῖς μὲν, ἐπεὶ ἐνίκησαν· δυστυχεῖς δὲ, διότι ἐσφάγησαν οἱ βασιλεῖς.

A N N O T A T I O N E S.

† *Hom.* Odyſſ. λ. v. 277.

V. 1448. Ὑγρὰν χέρα) Aliàs λυγρὰν, ut Scholiaſtes, MS. ὑγρὰν.

V. 1460. Ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερὶ) Ità *Homerus* Iliad. λ. v. 452. Ἆ δείλ', οὐ μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ Ὄσσε καθαιρήσουσι, θανόντι περ. Sic *Eurip.* Hecub. v. 430. Σὺ δ' ὦ ξυναρμόσασα ὄμματα συγκλείσεις τὰ σά. De hoc veterum more in claudendis Morientium oculis Vid. *Joh. Kirchman.* de Funer. *Roman.* l. 1. c. 6. *Joſua Barnes.*

1464. Μήτηρ δ' ὅπως ἰσεῖδε &c.) *Sophocles* in *Oedipo* Tyranno aliam illius necis formam refert. Ut & *Homerus*. Licet tamen Poetis Oeconomiam Fabularum variare. Vid. [redacted] Helen. v. 60. *J. Barnes.*

V. 1467. Ἐν δὲ τοῖσι φιλτάτοις, aliàs legitur — σὺν τέκνοις δὲ φιλτάτοις. Vide Scholiaſten.

V. 1469. Ἀνῇξε) ita lego pro ἀνῆξε; ut Verſui conſulatur: Quin & *Schol.* ita legit. Vid. ſupra v. 1388.

V. 1475. Ἧσσον) lego pro ἧσσον eâdem de causâ. [redacted] legit & MS. Vide ſupra ad v. 1388. *Ibid.* Προμηθίᾳ) ita pro προμηθείᾳ reponimus, quòd carmini conducat & verbum ſit *Sophocl.* in *Electrâ.* Quin MS. ſic habet. *Joſua Barnes.*

V. 1482. Οἱ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας) βρέτας fit per Appoſitionem ad τρόπαιον. Idem ſuprà [redacted] v. 1256. Vid. ad *Heraclid.* v. 937. Οἱ μὲν, *Alii quidem* &c.) *Alii* utrinque [redacted] *Thebanos* referendum; quod moneo, quia *Scholiaſtes* prius *alii* ad *Argivos* incogitanter ſatis retulit. *Joſua Barnes.*

V. 1486. Φίλοις) *Duportus* legit φίλοις, [redacted] MS. contra.

Ἀνάπαιστοι.

Χο. Οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία δώματος ἥκει·
Πάρα γὰρ λεύσσειν πτώματα νεκρῶν
Τρισσῶν ἤδη τάδε πρὸς μελάθροις,
Κοινῷ θανάτῳ σκοτίαν αἰῶνα λαχόντων.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Αν. Οὐ προκαλυπτομένα βοτρυχώδεος
Ἁβρὰ παρηίδος, οὐδ' ὑπὸ παρθενίας
Τὸν ὑπὸ βλεφάροις φοίνικ', ἐρύθημα
Προσώπου αἰδομένα, φέρομαι βάκχα νεκύων,
Κράδεμνα δικοῦσα κόμας ἀπ' ἐμᾶς,
Στολίδα κροκόεσσαν ἀνεῖσα τρυφᾶς,
Ἁγεμόνευμα νεκροῖσι πολύστονον, αἶ, αἶ.
Ἰώ μοι μοι, ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος.
(Ὤμοι μοι, Θῆβαι) σὰ δ' ἔρις, οὐκ ἔρις,
Ἀλλὰ φόνῳ φόνος * Οἰδιπόδα δόμον ὤλεσε, * Οἰδιπόδου MS.
* Κρανθεὶς αἵματι δεινῷ, αἵματι λυγρῷ. * al. κρανθεῖσ'.
Τίνα δὲ προσῳδὸν,
Ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ δάκρυσι,
Δάκρυσιν, ὦ δόμος, δόμος, ἀνακαλέσωμαι,
Τρισσὰ φέρουσα τάδ' αἵματα σύγγονα,
Ματέρα, καὶ τέκνα χάρματ' Ἐρινύος;
Ἃ δόμον Οἰδιπόδαο πρόπαν ὤλεσε,

Chorus.

Non ad aures *ſolùm* ampliùs calamitas regiæ domûs venit:
Licet enim videre cadavera mortuorum
Trium jam hæc ante atria,
Qui communi morte conſecuti ſunt obſcurum ævum.

MONOSTROPHICA.

Ant. Non velans cincinnis ornatas
Teneras genas, nec à virginitate *manantem*
Sub palpebris purpureum colorem, ruborem
Vultûs, verita feror ut Baccha *ad* cadavera,
Velis rejectis à meâ comâ,
Et depoſitâ ſtolâ fimbriatâ deliciarum *mearum*,
Pompæ dux mortuis luctuoſa, heu, heu!
Hei mihi, Polynices, profectò reſpondiſti tuo nomini.
(Hei mihi mihi, Thebæ) tua enim lis non eſt lis,
Sed cæde cædes perdidit domum Oedipi,
Commiſta ſanguine diro, ſanguine triſti.
Quem accentorem,
Aut quem tragicum gemitum ad lacrymas,
Lacrymas, ô domus, domus, accerſens ciebo?
Ferens hæc tria cruenta cognata cadavera,
Matrem & filios, gaudia Erinnyis?
Quæ domum Oedipi prorſus perdidit,

Οὐκ εἰς ἀκοὰς) οὐκ ἄχρις ἀκοῆς ἐστὶ τὰ κατὰ τὴν οἰκίαν, ἤγουν οὐκ ἀκοῇ ἔτι γινώσκομεν τὴν συμφορὰν, ἀλλ' ὄψει καὶ πείρᾳ. Πρὸς μελάθροις) ἐγγὺς μελάθρων. Αἰῶνα) βίον, ζωήν. Οὐ προκαλυπτομένα) οὐ καλύπτουσα τὰ ἁβρὰ καὶ τρυφερὰ τῆς παρειᾶς τῆς βοτρυχώδους. οὐ δὲ τὸ ὑπὸ τῆς παρθενίας παρθενικὸν φοίνισμα τὸ ὑπὸ τοῖς ὀφθαλμοῖς, λέγω τὸ ἐρύθημα τοῦ προσώπου, ἤγουν τὸ ἐν τῷ προσώπῳ αἰδουμένη, φέρομαι βάκχα. ἤτοι ὑπεργὸς τῶν νεκύων, δικοῦσα καὶ ῥίψασα ἀπὸ τῆς ἐμῆς κόμης τὸ σκέπασμα, ἀνεῖσα ἀντὶ τοῦ ἀφεῖσα τὴν ἀνθηρὰν στολὴν, τὴν ἁρμόζουσαν τῇ τρυφῇ, τὴν ἀπὸ κρόκου βεβαμμένην, διὰ ἡγεμόνευμα, ἤτοι διὰ προπεμπτὴν τῶν νεκρῶν πολύστονον, καὶ πολλῶν στεναγμῶν πλήρη. Οὐ προκαλυπτομένα) Ἀντιγόνη τραγῳδεῖ. νῦν φησὶν, οὐ προκαλυπτομένη τὰς παρειάς. οὐ δὲ φυλάττουσαν παρθένοις αἰδῶ ἀνδραγαθοῦσα, ἐξορμῶ καὶ ἐκβακχεύω ὡσπερεὶ βάκχη τις ἐπὶ τοὺς νεκροὺς, ἀπορρίψασα τὸ κρήδεμνον, καὶ τὴν στολὴν μεθεῖσα τὴν τῆς ἐμῆς τρυφῆς, τουτέστιν ἣν ὅτε ἐτρύφων καὶ εὐδαιμόνουν περιεβαλλόμην. ἀπέρχομαι θρηνεῖν τοῖς νεκροῖς. οὐ γὰρ τρυφῆς ὁ καιρός. Ἄλλως. Οὐ προκαλυπτομένη) ἀπρεπῶς εἰσβέβληκα, καὶ οὐ παρθενικῶς. τίνι γὰρ ἀπολογεῖται, εἰ μὴ τῷ θεάτρῳ; Ἄλλως. Οὐ προκαλυπτομένη τὰ φαιδρὰ τῆς βοτρυχώδους παρειᾶς. βοτρυχώδη δὲ εἶπε, ἐπεὶ μέχρι τῶν παρειῶν εἶχε τὰ οὖλα τῶν τριχῶν. Βοτρυχώδεος) ἐν ᾗ οἱ βόστρυχοι κεῖνται. Ἁβρᾶ παρηίδος) τὰ φαιδρὰ τῆς παρειᾶς, περιφραστικῶς τὴν παρειάν. Τὸν ὑπὸ βλεφάροις) οὐ πρὸς τὸ αἰδουμένα. Φοίνικ' ἐρύθημα) τὸν πυρρόν. ἀρσενικῶς δὲ εἶπε τὸν φοίνικα ἐρύθημα, ἀντὶ οὐδετέρου. ἔδει γὰρ εἰπεῖν βλεφάροις φοινικοῦν ἐρύθημα. πῶς δὲ, τὴν ὑπὸ βλεφάροις φοίνικα αἰδουμένη, ὅπερ ἐστὶν ἐρύθημα προσώπου αἰδουμένη δὲ, ἀντὶ τοῦ οὐδ' ὑπαιδουμένη τὸ βλεφάροις φοινικοῦν ἐρύθημα τῆς παρθενίας. καὶ τὸ φέρομαι βάκχα νεκύων, παρόσον αἱ βάκχαι ἀπογυμνούμεναι χορεύουσιν. οὐ Διονύσου δὲ βάκχη, ἀλλὰ νεκρῶν. Στολίδα κροκόεσσαν) τὴν ἐκ κρόκου στολὴν χαλάσασα, ὥς τι γυμνὰ μεῖναι τὰ στήθη. Ἄλλως. Τὴν ἐμὴν στολὴν πάσης τρυφῆς ἐκβαλοῦσα. Χλιδᾶς) τρυφῆς. 1499. Ἁγεμόνευμα) ἑαυτὴν γὰρ λέγει προηγουμένην τῶν νεκρῶν. Αἶ αἶ, ἰὼ Πολύνεικες, ἔφυς ἄρα ἐπώνυμος. ἤγουν αὐτὸ ὃ ἐπωνόμασαι, τουτέστι φιλόνεικος, ἐριστικός. Ὤμοι μοι Θῆβαι) τοῦτο διὰ μέσου. ἡ σὴ δὲ ἔρις, οὐκ ἔρις ἦν δηλονότι, ἀλλὰ φόνος κρανθεὶς καὶ ἑνωθεὶς φόνῳ, λέγω αἵματι καὶ φόνῳ δεινῷ καὶ χαλεπῷ, ὤλεσε τὸν δόμον τοῦ Οἰδίποδος. τίνα δὲ τραγῳδίαν, ἢ τίνα στοναχὴν ἐμμελῆ ἐπὶ δάκρυσιν, ὦ δόμος, ἀνακαλέσωμαι, φέρουσα τάδε τὰ τρία σώματα τὰ συγγενικά, λέγω τὴν μητέρα καὶ τὰ τέκνα, τὴν χαρὰν καὶ ἡδονὴν τῆς Ἐρινύος, καὶ τῆς μητέρας τοῦ Οἰδίποδος; ἡ Ἐρινὺς ὤλεσε παντελῶς τὸν οἶκον τοῦ Οἰδίποδος, τότε μὲν ὤλεσε δυνάμει δὲ, οὐκ ἐνεργείᾳ, ὅτε ὦ πάτερ, ἔγνως τὸ μέλος, ἤτοι τὸ αἴνιγμα τῆς δυσερμηνεύτου σφιγγὸς, συνετὸς γενόμενος, τὸ σῶμα αὐτῆς φονεύσας. ἀντὶ τοῦ αὐτὴν περιφραστικῶς λέγει.) δὲ ἀντιστρέψας, ἀντὶ τοῦ, ὅτε ἔγνως τὸ αἴνιγμα τῆς Σφιγγὸς, ἐφόνευσας αὐτήν. ἰώ μοι διὰ μέσου. τίς Ἑλλὰς, ἤτοι Ἑλληνικὴ γυνὴ, ἢ βαρβαρικὴ, ἢ τίς ἕτερος τῶν ἔμπροσθεν εὐγενῶν αἵματος καὶ γένους ὑπάρχων δηλονότι ἀνθρωπείου, τοιαύτας λύπας φανερὰς ὑπέμεινε τοσούτων κακῶν, ὡς ἐγὼ δηλονότι; 1501. Σὰ δ' ἔρις) ἡ ἔρις φησὶν, οὐκ αὐτὸ μόνον ἄχρι φιλονεικίας τὸ τέλος ἔσχεν, ἀλλ' ἄχρι φόνου ἐπαλλήλου διελθοῦσα, ἄρδην τὸν πάντα οἶκον τοῦ Οἰδίποδος ἀπώλεσεν. πῶς δὲ οὕτως, ἡ σὴ ἔρις, οὐκ αὐτὸ μόνον γέγονε φιλονεικία, ἀλλὰ φόνος φόνῳ κρανθεῖσα. Ἄλλως. Τὸ τέλειον κρανθεῖσα, οἷον οὐκ ἄχρι ψιλῆς φιλονεικίας προελθοῦσα ἡ ἔρις, ἀλλὰ φόνος ἐπὶ φόνῳ κρανθεῖσα. Τίνα προσῳδὸν) τίνα θρῆνον ἄξιον, καὶ τίνα στεναγμὸν σύμφωνον τῆς προκειμένης συμφορᾶς καὶ τῶν τριῶν τούτων νεκρῶν ἀνακαλέσω προσᾴδοντα φησὶ καὶ ἁρμόζοντα τοῖς νῦν πάθεσι. Μουσοπόλον δὲ) μουσικόν. ἔστι γὰρ καὶ θρῆνος μουσικός. Ὅμηρος, * παρὰ δ' εἷσαν ἀοιδοὺς θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδὴν καὶ τὰ ἑξῆς. Μουσοπόλον) θρηνητικόν. 1505. Στοναχὴν) στένω κοινὸν, καὶ στενάζω· στενάχω δὲ ποιητικὸν καὶ στεναχίζω, καὶ στοναχὴ, ἀπὸ τοῦ στένω, στόνος ποιητικῶς, καὶ στονόεις· ἀπὸ τοῦ στενάζω, στεναγμὸς κοινὸν· ἀπὸ τοῦ στενάχω, στοναχὴ παρὰ ποιηταῖς. 1507. Σύγγονα) συγγενικά, μητέρα λέγω, καὶ τέκνα, χαρμονὴ τῆς Ἐρινύος, ἥτις παντελῶς τοῦ Οἰδίποδος τὸν δόμον ὤλεσε.

* Iliad. ω. v. 721.

ANNOTATIONES.

V. 1489. δώματος) Olim legebatur δωμάτων, quod quia minimè placebat, malui, δώματος, potius quàm quod *Cantero* placuit δόμασιν. Quin MS. δώματος, quare nunc fidentior in textum recipio. *Joſua Barnes.*

V. 1498. τρυφᾶς) aliàs χλιδᾶς, quam vocem agnoſcit *Scholiaſt.* & exponit per τρυφῆς. Sed MS. habet τρυφᾶς. *Idem.*

V. 1500. Ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος) De Nominibus προσημαντικοῖς Vid. ſupra ad hujus Fab. v. 639. Notandum eſt verò à Veteribus Nomina fauſta & infauſta plurimùm ſolita diſtingui; & legimus apud *Livium* l. 28. *Scipionem* ſeditioſo Exercitui objeciſſe, illos elegiſſe ſibi *Atrium Umbrum* Nominis abominandi Ducem; quòd in illius Nomine ſignificatio eſſet *Atrarum Umbrarum*, unde Mortis & inferorum ominatio oriretur. *Idem.*

V. 1503. Κρανθεὶς) rejeci vetus κρανθεὶς vel κρανθεῖσ', in æternum. Vid. *Gul. Canteri* Novar. Lection. l. 1. c. 9. *Canteri* conjecturam confirmat inſuper MS. illud irrefragabile. *Joſua Barnes.*

V. 1504. Τίνα δὲ προσῳδὸν) τὸ δὲ addo ex MS. *Joſua Barnes.*

V. 1507. Τρισσὰ φέρουσα τάδ' αἵματα σύγγονα) Paulo aliter & melius forſan MS. legit, Τρισσὰ φέρουσα τάδε σώματα σύγγονα. *Joſua Barnes.*

Τᾶς

Τᾶς ἀγρίας ὅτε δυσξυνέτου
Ξυνετὸν μέλος ἔγνως
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας, ἰώ μοι μοι, πάτερ.
Τίς Ἑλλὰς, ἢ βάρβαρος, ἢ τῶν προπάροιθεν
Εὐγενετᾶν ἕτερος ἔτλα κακῶν τοσῶν
Δι' αἵματος ἁμερίου τοιάδ' ἄχεα φανερά;
Τάλαιν' ὡς ἐλελίζω· τίς τ' ἄρ' ὄρνις,
Δρυὸς, ἢ ἐλάτας ἀκροκόμοις ἀμφὶ κλάδοις
Ἑζομένα * μονομάτωρ, * μονομάτορος MS.
Ὀδυρμοῖς ἐμοῖς, ἄχεσι συνῳδός;
Αἴλινον αἰάγμασιν ἃ τοῖσδε προκλαίω.
Μονάδ' αἰῶνα διάξουσα τὸν ἀεὶ χρόνον
Ἐν λειβομένοισι δακρύοισιν ἰαχήσω.
Τίν' ἐπὶ πρῶτον ἀπὸ χαίτας σπαραγμοῖς
Ἀπαρχὰς βάλω; ματρὸς ἐμᾶς ἐν διδύμοις
Γάλακτος παρὰ μαστοῖσιν,
Ἢ πρὸς ἀδελφῶν οὐλόμεν' αἰκίσματα * νεκρῶν;
Ὀτοτοῖ· λεῖπε σοὺς δόμους, * ὀτοτοῖ MS.
Ἀλαὸν ὄμμα φέρων, πάτερ γεραιὲ,
Δεῖξον, Οἰδίποδα, σὸν αἰῶνα μέλεον, ὃς ἐπὶ δώμασιν
Ἀέριον σκότον ὄμμασι σοῖσι βαλὼν,
Ἕλκεις * μακρόπνουν ζωάν. * al. μακραίων.
Κλύεις, ὦ κατ' αὐλὰν ἀλαίνων,
Γεραιὸν πόδα δεμνίοις δύστανον ἰαύων;
Οἰδ. Τί μ', ὦ παρθένε, βακτρεύμασι τυφλοῦ,

Quando ſævæ & perplexæ
Subtile carmen intellexiſti,
Interficiens corpus Muſicæ ſphingis (hei mihi mihi) pater.
Quæ *Græca mulier*, quis barbarus *Vir*, aut quis ſuperiorum
Nobilium alius ſuſtinuit tot mala
Per quotidianum ſanguinem, tales luctus manifeſtos?
O miſera ego, ut ploro! Quænam avis
In ſummis ramis quercûs vel abietis,
Sedens privata matre,
In meis ejulatibus & doloribus concentrix erit?
Quæ lamẽtationẽ lamẽtationibus illis ante *fratrũ cadav.* plor. edo.
Sola verò vitam actura ſemper
In ſtillantibus lacrymis lugens reſonabo.
Ad quem primum à laceratione comæ
Primitias jaciam: an ad gemina matris meæ
Ubera lactis?
An ad mortuorum fratrum vulnera pernicioſa?
Heu, relinque tuam domum,
Efferens cæcum oculum, ô ſenex pater:
Oſtende, ô Oedipe, tuam miſeram vitam, qui intra domum,
Conjiciens caliginoſas tenebras in tuos oculos,
Trahis longam vitam.
Audiſne, ô errans in domo,
Miſerum pedem ſenilem in cubili fovens?
Oed. Quare me, ô filia, inceſſu baculi & cæci

1510. Δυσξυνέτου) τῆς σφιγγὸς τῆς ἀσόφου. ἐπεὶ πᾶσι δυσξύνετον ἦν τὸ αἴνιγμα, πλὴν τοῦ Οἰδίποδος μόνου. διὰ γὰρ τοῦτο συνετὸν ἐπὶ τοῦτο εἴρηκε τὸ μέλος, πᾶσι μὲν τοῖς ἄλλοις ἀσαφὲς, αὐτῷ δὲ μόνῳ σαφὲς καὶ καταληπτόν. ξυνετὸν, δὲ, τὸ σαφές. Ἄλλως. Τῷ Οἰδίποδι ξυνετόν. ἀπὸ κοινοῦ δὲ τὸ σφιγγός. πῶς δὲ ξυνετὸν τὸ βαθύτατον μέλος τὸ αἴνιγμα εἶπεν, ἐπεὶ μετὰ μέλους πρὸς περιέφερεν αὐτὸ ἡ σφίγξ. διὸ καὶ ἀοιδοῦ σφιγγὸς εἶπεν. Φονεύσας δὲ) ἀντὶ τοῦ φόνῳ καὶ ἀναιρέσει παραδοὺς αὐτὴν αὐτός. Τίς Ἑλλὰς) τίς Ἑλληνικὴ γυνὴ, ὁ βάρβαρος γυνὴ δηλονότι. Ἄλλως. Τίς φησιν Ἑλλήνων ἢ βαρβάρων, καὶ τῶν ἀνέκαθεν ἀνδρῶν τοσοῦτον πλῆθος κακῶν ὑπέμεινε, καὶ λύπης ἐπὶ ἀνθρωπίνῳ αἵματος. τὸ γὰρ ἀνθρωπείῳ, ἀντὶ τοῦ ἀνθρωπίνου. Ἢ τῶν προπάροιθεν) ἀπὸ κοινοῦ τὸ τίς. ἢ τίς τῶν πάλαι εὐγενῶν τοσαύτας λύπας ὑπέμεινε. Τάλαιν' ὡς ἐλελίζω) τάλαινα εἰμὶ ἐγὼ, πῶς ἐλελίζω καὶ περιστρέφομαι. [* Καὶ περιστρέφομαι ἀγωνιῶ.] καὶ τίς ἄρα ὄρνις καθεζομένη ἐπὶ κλάδοις τοῖς κατ' ἄκρον κομῶσιν, ἢ δρυὸς ἢ ἐλάτης στερηθεῖσα τῆς μητρὸς συνῳδὸς καὶ σύμφωνος ἔσται τοῖς ἐμοῖς ὀδυρμοῖς ἐν ἄχεσι καὶ λύπαις, εἰς αἴλινον καὶ θρῆνον, ἐν αἰάγμασι καὶ θρηνητικοῖς ἀπηχήμασι· ἃ τις ἐπὶ τούτοις κλαίω. μόνη δὲ τὸν ἀεὶ χρόνον, ἤτοι διαπαντὸς ἰαχήσω καὶ θρηνήσω, διάξουσα τὴν ζωὴν ἐν σταζομένοις δακρύοις. ἐπὶ τινὰ πρῶτον βάλλω ἀπαρχὰς [ἤγουν ἀνάθημα] ἀπὸ τῆς χαίτης, ἤτοι ἀπὸ τῆς κόμης διὰ σπαραγμῶν. πότερον δηλονότι παρὰ τοῖς δυσὶ μαστοῖς τοῦ γάλακτος τῆς μητρὸς, ἢ πρὸς τὰ ὀλόμενα αἰκίσματα τῶν δισσῶν ἀδελφῶν, ἤτοι πρὸς τὰς ἀξίας ἀπωλείας πληγὰς τῶν δύο ἀδελφῶν. φεῦ, ὦ πάτερ ἀλαὲ, ὁ φέρων ὄμμα τυφλόν· λεῖπε τοὺς σοὺς δόμους. δεῖξον, ὦ Οἰδίπους, τὴν σὴν ζωὴν τὴν ἀθλίαν. ὅστις ἐμβαλὼν τοῖς σοῖς ὄμμασιν ἀορασίαν καὶ τύφλωσιν, ἐπὶ τοῖς δώμασιν ὀδυνηρῶς ἀνύεις ἐπὶ πολὺ ζωὴν παρατεινομένην καὶ μακροχρόνιον. ἀκούεις σὺ ὁ πλανώμενος κατὰ τὴν αὐλὴν καὶ κατὰ τὸν οἶκον, ἰαύων καὶ διατρίβων καὶ κινῶν ἐν τοῖς δεμνίοις γεραιὸν πόδα δύστηνον, ἤτοι γεροντικὴν ἀθλίαν πορείαν. Τάλαιν' ὡς ἐλελίζω) ἐγὼ φησὶ τάλαινα, ἥτις αἴλινον ἀνακλαίω, καὶ ἀναθρηνῶ, ἐπὶ τούτοις τοῖς οἰκείοις ἀτυχήμασι, καθάπερ τις ὄρνις θρηνοῦσα ἀκραίοις δρυὸς πετάλοις ἐφεζομένη. 1518. Μονομάτωρ) ἡ μεμονωμένη τῆς μητρός. Αἰάγμασι, θρηνητικοῖς ἀπηχήμασι. Ἃ τοῖσδε) ἅ τινα ᾄσματα θρηνῶ, ἐπὶ τοῖσδε τοῖς νεκροῖς. Μονάδα δὲ αἰῶνα) ἀντὶ τοῦ μονάδα βίον, ὀρφανὸν, μονήρη, μεμονωμένον, ἔρημον. ἡ δὲ πρὸ ἀντὶ τῆς ἀνὰ, τουτέστιν ἀνακλαίω. τοῦτο ἰδίᾳ ἀναστρέφεται. Ἐν λειβομένοις) ἐν ὑγροῖς. Ἀπαρχὰς) θυσίας. Γάλακτος) λείπει τοῖς ποιητικοῖς. Αἰκίσματα) πρὸς τὰς ὀλεθρίας πληγάς. Οἰδίποδα) ἀπὸ τῆς Οἰδιπόδης εὐθείας. 1530. [* Ἀέριον σκότον) ἀὴρ λέγεται δὲ τὸ ὁμιχλῶδες καὶ ἀόρατον· ὡς παρ' Ὁμήρῳ † Ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖα· εἰπὼν δὲ ἐνταῦθα σκότον, ἐπάγει ἀέριον ἐπιθετικῶς κατὰ ταύτην τὴν σημασίαν τοῦ ἀέρος, ἵνα δηλώσῃ τὸ εἶδος τοῦ σκότου, ὅτι οἷον τὸ τοῦ ἀέρος, ὥσπερ εἴποις εἴποι, φῶς ἡλιῶδες, ἤγουν οἷον τὸ τοῦ ἡλίου· μεταφορικῶς δὲ λέγει ἀπὸ τοῦ σκότου τοῦ ἐν ἀέρι τοῦ μὴ βλεπομένου τὴν στέρησιν τῆς ὁράσεως καὶ τὴν τύφλωσιν. ἔχει οὖν τὸ πᾶν οὕτως. ὃς ἐμβαλὼν τοῖς σαυτοῦ ὄμμασι σκότον ἀέριον, ἤγουν οἷος ὁ τοῦ ἀέρος, ἀντὶ ἀορασίαν καὶ τύφλωσιν, ἐπὶ τοῖς δώμασιν ὀδυνηρῶς ἀνύεις ζωὴν ἐπιπολὺ παρατεινομένην.] Ἕλκεις) παρέλκεις, καὶ παραστείνεις μακρόπνουν βίον, πλανώμενος καὶ τυφλώττων. [* Μακρόπνουν) ἀντὶ τοῦ, ἐπιπολὺ παρατεινομένην. ὁ πνοῦς γὰρ ἀντὶ τῆς κινήσεως καὶ παρατάσεως ἐνταῦθα λαμβάνεται) μεταφορικῶς ἀπὸ τῶν ζώων. οὐ γὰρ διὰ ποδῶν ὁ Ζεὺς τὴν ἑαυτοῦ ἀνύει ὁδόν.] Κλύεις ὦ κατ' αὐλὰν) ἀπὸ μέρους τοῦ ποδὸς, τὸ ὅλον σῶμα δηλοῖ. τουτέστι κλύεις, ὦ πάτερ, ὃς ἔνδον κατὰ τὴν αὐλὴν διὰ τὴν τυφλότητα ἀλαίνων καὶ πλανώμενος διατρίβεις, καὶ τὸ γηραιὸν σου σῶμα τοῖς δεμνίοις ἐγκρύπτεις. Ἰαύων) ἐγκοιμίζων, ἐγκρύπτων. 1534. Τί μ' ὦ παρθένε) διατί, ὦ παρθένε, ἀδήλοις τῆς τυφλῆς πορείας ἐξήγαγές με εἰς φῶς, συσκιασαμένη τοῖς δάκρυσι τὴν

* * * Ex MS. C. C. C. † Odyſſ. ρ'. v. 144.

ANNOTATIONES.

V. 1511. Ξυνετὸν μέλος ἔγνως) ἔγνως in ſecundâ Perſonâ (& non ἔγνω, ut olim, in tertiâ) ex MS. authoritate lego, quia *Pater* in vocativo ſequitur, & eandem ob cauſam bis μοι lego. *Joſua Barnes.*

V. 1515. Δι' αἵματος ἁμερίου) Videtur *Scholiaſtes* legiſſe — Δι' αἵματος ἀνθρωπείου; quod ſanè prætulerim. Quanquam de ἁμερίου ſignificatione Vid. ſupra ad v. 132. Et *Argentarius* — Ὁ γὰρ καὶ θῆρας δαμάσας Ἀγρεὺς, οὐδ' ὀλίγον φεύγει ἁμερίου. Vid. plura etiam *Iphig.* Aul. v. 1331. Et ſanè MS. retinet ἁμερίου. Sed pro δι' αἵματος legit δι' αἵματος, fortè rectiùs. *Joſua Barnes.*

V. 1516. Τάλαιν' ὡς ἐλελίζω) Vetus ἐλελίζει rejicio & ἐλελίζω ſcribo ex MS. Authoritate & quia ipſe *Scholiaſtes* ita legit, quin totum verſum ex eâdem fide ita lego, Τάλαιν' ὡς ἐλελίζω | τίς τ' ἄρ' ὄρνις &c. *Joſua Barnes.*

V. 1518. Μονομάτωρ) aliàs μονομάτορος, ſed minùs rectè, ut obſervat *Æmyl. Portus.* μονομάτορος verò, ut MS. legit, ſi admittamus, erit ὁ καὶ ἡ μονομάτωρ, quod vix aliàs reperias. *Scholiaſtes* explicat per τὸ στερηθεῖσα τῆς μητρός.

V. 1520. Προκλαίω) Ita potiùs lego ex MS. quàm προσκλαίω ex Impreſſis. Et *Scholiaſtes* tamen προκλαίω legit.

1527. Ὀτοτοῖ, ὀτοτοῖ· λεῖπε σοὺς δόμους) Ita MS. legit, Libri impreſſi Ὀτοτοῖ· λεῖπε σοὺς δόμους, non æquè benè, ut mihi videtur. *Joſua Barnes.*

V. 1529. Οἰδίποδα) Ita *Scholiaſtes* & MS. Collegii Corporis *Chriſti*, à recto Οἰδιπόδης. Quare Οἰδίπου deleo. *Joſua Barnes.*

1531. Μακρόπνουν ζωάν) Deleo μακραίων, quod prius in Impreſſis aderat & MS. ac *Scholiaſtæ* authoritate μακρόπνουν in textum recipio. *Joſua Barnes.*

ὄντα ἐν λέχει καὶ κοίτῃ ὑπάρχοντα. Τί μ' ὦ) ὅλως ἐν πᾶσιν Εὐριπίδης πανουργότατός ἐστιν. καὶ νῦν ὁ Οἰδίπους ἐστὶ ὁδηγὸν αὐτῷ ἔχει ἐν τῷ παλαιῷ ὤν, ἀλλὰ καὶ μόνος ἐκπορεύεται ἑαυτὸν ὁδηγῶν. τάχα δὲ καὶ πάντες ἐξῆλθον θεασάμενοι τῶν παρόντων κακῶν. διὸ μεμονωμένον θεράποντος, τὸ Οἰδίποδος πρόσωπον ἔξεισι. λεχήρη δὲ φησί, τὸν ἀεὶ ἐν λέχει καὶ σκότει ὑπάρχοντα. τὸ ἑξῆς τοῦ νοῦ, διατί με τὸν πολιόν, ἀντὶ τοῦ πεπολιωμένον, ἐξάγαγες, ὦ παρθένε, σκοτίων ἐκ θαλάμων, εἰς φῶς ἀέρος. ὄντα με ἀφανὲς εἴδωλον, ὅ ἐστι τυφλὸν σκιάν. ἀλλὰ τὸ αἰθέρος, ἀφανὲς εἴδωλον κατ' ἰδίαν προσυνεκτέον. τί με φησὶν ἐξήγαγες ὥσπερ εἴδωλον ὄντα αἰθέρος, τουτέστι τοῦ ἀέρος. καὶ γὰρ τὸν ἀέρα περιΐπταται τὰ εἴδωλα, καὶ αἱ ψυχαί. ἢ καὶ ὡς νεκρόν με ὑπάρχοντα, ἢ ὡς σκιᾶς ὄνειρον.

Ποδὸς ἐξάγαγες εἰς φῶς,
Λεχήρη σκοτίων ἐκ θαλάμων,
Ὀικτροτάτοισι δακρύοισι,
Πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον,
Ἢ νέκυν ἔνερθεν, ἢ πτανὸν ὄνειρον;

Ἀνάπαιστοι.

Αν. Δυστυχὲς ἀγγελίας ἔπος οἴσῃ.
Πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
Φάος, οὐδ' ἄλοχος, παρὰ βάκτροις,
Ἃ πόδα σὸν * τυφλόπουν θεραπεύμασιν
Αἰὲν ἐμόχθει, πάτερ, ὤ μοι.
Οἰδ. Ὤι μοι ἐμῶν παθέων.
Πάρα γὰρ στενάχειν, τάδ' ἀϋτεῖν.
Τρισσαὶ ψυχαὶ ποίᾳ μοίρᾳ,
Πῶς ἔλιπον φάος; ὦ τέκνον, αὔδα.
Αν. Οὐκ ἐπ' ὀνείδεσιν, οὐδ' ἐπὶ χάρμασιν,
Ἀλλ' ὀδύναισι λέγω· ὁ σὸς Ἀλάστωρ
Ξίφεσι βρίθων καὶ πυρὶ καὶ σχετλίαισι μάχαις,
Ἐπὶ παῖδας ἔβα σούς, ὦ πάτερ.
Οἰδ. Ἰώ μοι, Ἰώ μοι· αἶ, αἶ. Α. τί τάδε καταστένεις;
Οἰδ. Τέκνα. Α. δι' ὀδύνας ἔβας,
Εἰ τὰ τέθριππά γ' ἐς ἅρματα λεύσσων
Ἀελίου, τάδε σώματα νεκρῶν
Ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.
Οἰδ. Τῶν μὲν ἐμῶν τέκνων φανερὸν κακόν.
Ἃ δὲ τάλαιν' ἄλοχος, τίνι μοι, τέκνον, ὤλετο μοίρᾳ;

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Αν. Δάκρυα γοερὰ φανερὰ πᾶσι * τιθεμένα.
Τέκεσι μαστὸν ἔφερεν, ἔφερεν
Ἱκέτις ἱκέτιν * αἰρομένα.
Εὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα,
Λωτότροφον κατὰ λείμακα λόγχαις

* πολὺν MS.
* τιθεμένα MS.
* al. ὀρομένα.

Pedis, eduxiſti in lucem,
Manentem in lecto, ex thalamis tenebricoſis,
Maximè miſerandis lacrymis,
Canum & obſcurum ætheris ſimulachrum,
Aut cadaver ſubterraneum, aut volucre ſomnium?

Antigone.

Miſerum nuntii ſermonem feres.
O pater, non ampliùs tibi filii vident
Lucem, neque conjunx, quæ ad baculum
Pedem tuum cæcum regendi miniſteriis
Semper curabat, pater: heu mihi.
Oed. Hei mihi, hei mihi *ob* mea mala.
Licet enim gemere, licet vociferari.
Tres animæ, quo fato,
Quomodo reliquerunt vitam? ô filia, loquere.
Ant. Non exprobrandi causâ, nec inſultandi Gratiâ,
Sed cum dolore dico; tuus Genius malus,
Gravis gladiis & igne & ſævis pugnis,
In filios irruit tuos, ô pater.
Oed. Heu, heu. *Ant.* quare iſta gemis?
Oed. Propter liberos. *Ant.* Per dolorem vadens perires,
Si intuens currus quadrijugos
Solis, hæc corpora mortuorum,
Oculorum tuorum acie conſiderares.
Oed. Meorum quidem liberorum manifeſtum eſt malum:
Sed miſera conjux quonam fato periit, ô filia?

MONOSTROPHICA.

Ant. Lacrymæ lugubres manifeſtæ omnibus factæ ſunt.
Filiis mammas oſtendebat, oſtendebat
Supplex *mater* ſupplices exerens,
Invenit autem filios ad portam Electram,
In prato, ubi naſcitur lotus, haſtis

1539. Πτηνὸν) ταχύτατον. Δυστυχὲς ἀγγελίας) ἀντὶ τοῦ δυστυχῆ ἀγγελίαν κομίσῃ· οὐκέτι ζῶσι τὰ τέκνα σου, οὐδὲ ἡ γυνή σου, ἥτις τὸν τυφλόν σου πόδα θεραπεύμασιν ἀεὶ μετὰ μόχθου ὡδήγει. Πάρα γὰρ) πάρεστι γὰρ στενάζειν διὰ ταῦτα, καὶ βοᾶν. Οὐκ ἐπὶ χάρμασιν) οὐκ ἐπιχαίρουσα, οὔτε ὀνειδίζουσα νῦν λέγω τοῦτο, ἀλλ' ὀδυνωμένη, καὶ συναλγοῦσα τὴν ψυχήν. ὅτι ἡ σὴ κακοδαιμονία, ἣν ἔδει μέχρι σοῦ εἶναι, καὶ ἐφ' ἡμᾶς τοὺς παῖδας κατέσκηψεν οὐχ ὁσίως. Ἀλάστωρ δὲ) ἔφορος δαίμων τῶν τὰ ἄλαστα πεποιηκότων, καὶ τιμωρὸς, καὶ κακοποιός. [* Ἀλάστορες λέγονταί τινες, ἢ οἱ κακοποιοῦντες αὐτόν, ἢ οἱ δι' ἐκδίκησιν αὐτοῦ ἑτέρους κακοποιοῦντες ἐστι δῆθεν ἐπὶ τῆς προστίμου λαμβάνει) σημαινόμενον.] Σχετλίαισι) φονίαις μάχαις, ξίφεσί τε βρίθων, καὶ πυρί. 1554. Τέκνα) διὰ τὰ τέκνα. Δι' ὀδύνας ἐπίδηλος ὁ σὸς θρῆνος. πολλὰ γὰρ τὰ περιέχοντά σε κακά, διατί ταῦτα στενάζεις· διὰ τὴν τύφλωσιν· διὰ τὸν τῆς μητρὸς γάμον. εἶπον, οὐ διὰ ταῦτα θρηνῶ. λείπει δὲ ἡ διά. διατί τάδε καταστένεις. Εἰ τὰ τέθριππά γ' ἐς) μειζόνως ἂν ὠδυνήθης, εἰ τοὺς ὀφθαλμοὺς ἔχων ὁρῶντας, καθεώρας τούτους κειμένους νεκρούς. τὸ γὰρ ἐπενώμας, ἀντὶ τοῦ ἐπέκεινας, καὶ ἐπισκέπτῃς. Ὄμματος αὐγαῖς) ἀντὶ τοῦ τῶν ὀμμάτων. Τῶν μὲν ἐμῶν) ἐγὼ κατηρασάμην τῷ † θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τοὺς παῖδας. Ἃ δὲ τάλαιν' ἄλοχος) καὶ τοῦτο ἀπρεπές, ἔτι τὸν Οἰδίποδα ἄλοχον τὴν Ἰοκάστην ποιεῖ λέγοντα, ἐπιγνόντα ὅτι ἡ μήτηρ ἦν. ἔδει οὖν τὸ ὄνομα παραιτήσασθαι. 1560. * Δάκρυα γοερὰ κ. λ.) Δάκρυα θρηνώδη φανερὰ πᾶσι ποιοῦσα, μαστὸν ἱκέτιν αἴρουσα ἔφερε τοῖς τέκνοις ἱκέτις αὐτοῖς ἀπελθοῦσα. Εὗρε δὲ ἐν τῇ Ἠλέκτραις πύλαις κατὰ τὸν λειμῶνα τὸν λωτοτρόφον τὰ τέκνα ἡ μήτηρ ἐν πληγαῖς φόνου, ὥστε λέοντας ἐν τῇ ἐπαύλει μαχομένους. λόγχαις μαχεσάμενα κοινὸν πόλεμον· θυσίαν διὰ ῥοῆς αἵματος φονικοῦ ἤδη ψυχρὰν· ἣν ὁ ᾅδης ἐκληρώσατο, παρέσχε δὲ ὁ ἄρης.] Ἱκέτις) ἱκέτιν τὸν μαστὸν αἰρομένη καὶ μετεωρίζουσα, ἵνα οἱ παῖδες ἰδόντες, λήξωσι τῆς μάχης. γράφεται δὲ καὶ ὀρομένα, ὅ ἐστιν ὀρύουσα, καὶ προτείνουσα τὸν μαστόν. 1564. Λείμακα) λειμῶνα.

* Ex MS. C. C. C. *Joſua Barnes.* † Vid. ſuprà v. 68. * Ex MS. C. C. C. *Joſua Barnes.*

ANNOTATIONES.

V. 1546. Πάρα γὰρ στενάχειν τάδ' αὐτεῖν) Ita Omnes libri Impreſſi & MS. & *Scholiaſt.* exponit διὰ τάδ', quare *Canteri* emendationem non hìc admittimus, qui legit Πάρα γὰρ στενάχειν, πάρα δ' αὐτεῖν. Ut neque *Æmylii Porti* παρ' αὐτεῖν; licet elegans, fateor, ita fiat ἐπαναφορά. At Veteres libros temerare nefas: Videtur autem intelligi καὶ inter duo verba. Quin & MS. τὸ μοι ſemel tantùm legit, & ea lectio verſui convenientior, quare alterum μοι delevimus. *Joſua Barnes.*

V. 1560. Τιθεμένα) Mallem equidem cum MS. τιθεμένα legere in præſenti *fæminino* genere: tum verò de *Iocaſtâ* dicitur & ita *Scholiaſtes* activè exponit per ποιοῦσα. *Joſua Barnes.*

V. 1562. Αἰρομένα) Aliàs ὀρομένα, teſte *Scholiaſte.* Sed MS. pro nobis ſtat.

V. 1663. Λείμακα) Eſt λεῖμαξ *Euripideum* verbum pro λειμὼν uſurpat idem *Iphig.* Aul. v. 1544. Item *Bacch.* v. 865. Eſt & λειμακώδης pro eodem. *Joſua Barnes.*

Κοινὸν

Κοινὸν ἐνυάλιον μῆτερ,
Ὥστε λέοντας ἐναύλους,
Μαρναμένους ἐπὶ τραύμασιν αἵματος.
Ἤδη ψυχρὰν λοιβὰν, φονίαν,
Ἂν ἔλαχ' Ἀΐδας, ὤπασε δ' Ἄρης.
Χαλκόκροτον δὲ λαβοῦσα τεκνῶν πάρα
Φάσγανον, εἴσω σαρκὸς * ἔπεμψεν· (* ἔβαψε MS.)
Ἄχει δὲ τέκνων ἔπεσ' ἀμφὶ τέκνοισι.
Πάντα δ' ἐν ἤματι τῷδε συνάγαγεν, ὦ πάτερ,
Ἀμετέροισι δόμοισιν ἄχη θεὸς,
Ὃς τάδε τελευτᾷ.

Ἴαμβοι.

Χο. Πολλῶν κακῶν * κατῆρξεν Οἰδίπου δόμοις (* ὑπῆρξεν MS.)
Τόδ' ἦμαρ. εἴη δ' εὐτυχέστερος βίος.
Κρ. Οἴκτων μὲν ἤδη λήγεθ', ὡς ὥρα τάφου
Μνήμην τίθεσθαι. τούσδε δ', Οἰδίπου, λόγους
Ἄκουσον. Ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης σὸς παῖς, γάμων φερνὰς διδοὺς
Αἵμονι, κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
Οὔκουν σ' ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι.
Σαφῶς γὰρ εἶπε Τειρεσίας, οὐ μήποτε,
Σοῦ τήνδε γῆν οἰκοῦντος, εὖ πράξειν πόλιν,
Ἀλλ' ἐκκομίζου. καὶ τάδ' οὐχ ὕβρει λέγω,
Οὐδ' ἐχθρὸς * ὢν σὸς, διὰ δὲ τοὺς ἀλάστορας (* ὢν σοὶ MS.)
Τοὺς σοὺς δεδοικὼς, μή τι γῆ πάθῃ κακόν.
Οἰδ. Ὦ μοῖρ', ἀπ' ἀρχῆς ὥς μ' ἔφυσας ἄθλιον,
Καὶ τλήμον', εἴ τις ἄλλος ἀνθρώπων ἔφυ·
Ὃν καὶ πρὶν εἰς φῶς ματρὸς ἐκ γονῆς μολεῖν,

Communem Martem, mater,
Ceu leones contubernales
Pugnando committentes in vulneribus sanguinis,
Jam frigidam & cruentam libationem,
Quam Pluto quidem sortitus erat, præbuerat verò Mars.
Æneum autem accipiens à mortuis
Ensem, misit in sinum corpus:
Præ dolore verò filiorum cecidit juxta filios.
Omnes autem hoc die congregavit, ô pater,
Nostræ domui dolores Deus,
Qui hæc perficit.

Chorus.

Multorum malorum initium fuit Oedipi domui
Hic dies. Utinam autem posthac sit felicior vita.
Cre. Luctuum quidem jam finem facite, quia tempus est sepulturæ
Mentionem facere: hæc verò, Oedipe, verba
Audi. Principatum hujus terræ dedit mihi
Eteocles filius tuus, dans dotem propter nuptias
Hæmoni, & conjugium filiæ tuæ Antigones:
Non igitur sinam te hanc terram amplius incolere.
Clarè enim dixit Tiresias, nunquam
Te in hac terrâ habitante, benè acturam urbem.
Quare abi. Hæc verò non dico tibi per contumeliam,
Neque tuus existens inimicus, sed propter malum genium,
Qui te agitat, timens, ne terra aliquid mali patiatur.
Oed. O fatum quàm me ab initio genuisti miserum
Et infelicem, si quis alius hominum fuit:
Quem priusquam venirem ex conceptu materno in lucem,

Κοινὸν) συγκρουστικὸν πόλεμον, κοινὸν τὸ ἄρη. ὁ δὲ λόγος ἀσύνετος. ἐπὶ τοῖς τραύμασιν ἔχεε ψυχρὰν σπονδὴν αἵματος. ἤγουν αἱμάτων φονευομένων σπονδὴν ἐπὶ τῷ ᾅδῃ. Ἐναύλους) συνοίκους, ἢ ἐν ἐπαύλει μαχομένους. Ψυχρὰν λοιβὰν) τὴν εἰς ψύξιν καὶ θάνατον ἄγουσαν. Ἂν ἔλαχ' αΐδας) ἥν τινα λοιβὴν τοῦ αἵματος κεκλήρωται ὁ ᾅδης. παρέσχον δὲ φονευόμενοι εἰς ᾅδη χωροῦσι. παρεξένισε δὲ φησὶ ὁ Ἄρης τῷ ᾅδῃ τὴν ἐξ αἵματος σπονδήν. Χαλκόκροτον) τὸ ὑπὸ χαλκοῦ συγκεκροτημένον καὶ κατεσκευασμένον ξίφος. Ἄχει δὲ τέκνων) ἐπὶ τῶν τέκνων τῶν νεκρῶν. Εὐτυχέστερος βίος) οὐχ ὡς τοῦ προτέρου βίου εὐτυχοῦς ὄντος, τῷ συγκριτικῷ ἐχρήσατο. ἔθος ἐστὶ γὰρ τὰ συγκριτικὰ ἐξ ἀπολελυμένων λέγεσθαι, ὡς τὰ πρεσβύτερα παίδων. οὐχ ὡς καὶ τῶν ἄλλων παίδων παλαιῶν ὄντων. Ὡς ὥρα τάφου) καιρὸς ἐστὶ μνήμην ποιεῖσθαι τῶν τάφων καὶ τῶν θανόντων. Ὡς ὥρα τάφου) οὐχ ἵνα πάντας θάψωσιν, ἀλλὰ μόνος Ἐτεοκλῆς, καὶ Ἰοκάστη. τὸν γὰρ Πολυνείκην ἀκήδευτον ῥιφῆναι κελεύει.

1580. Ἀρχὰς τῆσδε γῆς) τὰς ἀρχὰς διδούς. ἀπὸ κοινοῦ δὲ τὸ διδούς. φερνὰς οὖν φησὶν ἔδωκε τῇ ἑαυτοῦ ἀδελφῇ, ἑαυτοῦ τὴν ἀρχήν. φερνὰς δὲ φασὶ τὰ διδόμενα χάριν προικὸς τῇ νύμφῃ. Αἵμονι) τῷ υἱῷ μου. Διὰ δὲ τοὺς ἀλάστορας) τὰς δυστυχίας τὰς σάς. Ὦ μοῖρ' ἀπ' ἀρχῆς) ὦ μοῖρα καὶ τύχη λίαν ἐποίησας ἐμὲ ἀπ' ἀρχῆς ἄθλιον καὶ τλήμονα. ὡς οὐδεὶς ἄλλος τῶν ἀνθρώπων ἐγένετο, ὃν, ἐμὲ δηλονότι, καὶ πρὸ τοῦ ἐλθεῖν εἰς φῶς ἐκ τῆς γονῆς τῆς μητρὸς, ἤτοι ἐκ τῆς φυτεύσεως τῆς μητρὸς, ἐθέσπισεν ὁ Ἀπόλλων τῷ Λαΐῳ ἄγονον, ἤτοι μὴ γεννηθῆναι ὀφείλοντα γενέσθαι φονέα τοῦ πατρός. φεῦ, ἄθλιος εἰμὶ ἐγώ. ἐπεὶ δὲ ἐγεννήθην, ὅτε εἰς φῶς ἦλθον, πάλιν ὁ σπείρας πατὴρ ἐκτείνει με, ἤτοι κτεῖναί με ἐκέλευε, νομίσας γεγονέναι πολέμιον. ἐγένετο δὲ θανεῖν αὐτὸν, ἐξ ἐμοῦ. πέμπει δέ με, ἀντὶ τοῦ ἐξέπεμψεν ἐμὲ, ποθοῦντα μαστὸν, ἤτοι ὑπομαζίον ὄντα, βορὰν ἀθλίαν γενησόμενον, δηλονότι θηρσὶν ἀντὶ τοῦ θηρῶν. οὗ καὶ ὅπου σωζόμεθα, ἀντὶ τοῦ ἐσώθημεν. ὤφελε γὰρ ἀντὶ τοῦ ὤφειλεν ἐλθεῖν ὁ Κιθαιρὼν, εἰς τὰ χάσματα καὶ εἰς τὰ χάσματα τοῦ Ταρτάρου, τὰ ἄβυσσα καὶ τὰ βαθύτατα, ὃς οὐκ ἀπώλεσεν ἐμὲ, ἀλλὰ ἔδωκεν ἐμοὶ ὁ δαίμων δουλεῦσαι τὰ ἀμφὶ δεσπότην τὸν Πόλυβον. κτανὼν δὲ ὁ δυστυχὴς τὸν ἐμαυτοῦ πατέρα ἦλθον εἰς συνάφειαν τῆς ταλαιπώρου μητρός. ἔτεκον τε παῖδας ἀδελφοὺς, οὓς ἀπώλεσα λαβὼν ἀρὰς παρὰ τοῦ Λαΐου, καὶ δοὺς τοῖς παισίν. οὐ γὰρ τοσοῦτον ὑπάρχω ἀσύνετος καὶ ἀνόητος, ὥστε ἄνευ τοῦ καὶ τινὸς τῶν θεῶν ἐμηχανησάμην ταῦτα εἰς τὰ ἐμὰ ὄμματα, καὶ εἰς τὸν βίον καὶ τὴν ζωὴν τῶν ἐμῶν παίδων. εἶεν καὶ ἔσω ταῦτα. τί δῆτα δράσω ὁ δυστυχὴς ἐγώ; τίς ἀκολουθήσει μοι ὁδηγὸς ποδὸς τυφλοῦ; ἡ θανοῦσα ἤδη, ἤγουν ἡ Ἰοκάστη; ζῶσα γὰρ ἂν ἦλθε σαφῶς, ὅτι ἐγένετο ἡγεμὼν δηλονότι. ἀλλ' ἡ τῶν καλῶν παίδων δυάς; ἀλλ' οὐκ ἔστι μοι. ἀλλ' ἔτι νεάζων, ἤτοι νέος ὢν, εὕροιμι αὐτὸς πόθεν ζῷης; πόθεν; ἀντὶ τοῦ οὐδαμῶς. τί ἀποκτείνεις ἐμὲ, ὦ Κρέον, οὕτως ἄρδην καὶ παντελῶς; ἀποκτενεῖς γὰρ, εἰ ἐκβάλῃς ἐμὲ ἔξω τῆς γῆς. οὐ μὴν ἑλίξας τὰς χεῖρας περὶ τὸ σὸν γόνυ φανοῦμαι δειλός. τὴν γὰρ ποτὲ οὖσαν ἐμοὶ γενναιότητα, οὐκ ἂν καταλίποιμι. καίπερ πράσσων δυστυχῶς. Ὥς μ' ἔφυσας) λίαν ἐξ ἀρχῆς ἐποίησας ἄθλιον, καθὸ πρὶν γενέσθαι δυστυχὴς ὑπῆρχον.

1591. Ματρὸς ἐκ γονῆς) γόνος καὶ γονὴ τὸ σπέρμα τοῦ ἀνδρός. ὃ συλλαβοῦσα ἡ γυνὴ, καὶ θάλψασα, καὶ τὸν τετυχηκότα χρόνον κατασχοῦσα, ἀποτίκτει. ὥσπερ δὲ λέγεται σπέρμα τῆς γῆς ὁ σῖτος, καὶ ἡ κριθὴ, καὶ τὰ τοιαῦτα, διότι εἰς τὴν γῆν σπείρονται, οὕτω καὶ ὁ καταβαλλόμενος σπόρος εἰς τὴν γυναῖκα σπόρος τῆς γυναικὸς ἂν λέγοιτο, καὶ τὸν προσήκοντα λόγον, καθ' ὃ λέγεται ἐνταῦθα τὸ ματρὸς ἐκ γονῆς, ἤγουν διὰ τοῦ σπέρματος καὶ τῆς μητρὸς, ἀντὶ τοῦ ἐκ τοῦ πρὶν τὴν ἐμὴν μητέρα καταβληθέντος σπέρματος. ἀπὸ τούτων, καὶ τὸ γόνιμον καὶ τὸ ἄγονον. λέγεται δὲ ταῦτα, ἐναντία γάρ εἰσι. καὶ ἐπὶ τῶν αὐτῶν λέγεται, πρῶτα μὲν ἐπὶ ἀνδρὸς δυναμένου παιδοποιεῖν, ἢ μὴ δυναμένου. καὶ ἐπὶ μήτρας δυναμένης σπέρμα ζωογονεῖν, ἢ μὴ δυναμένης. ἔπειτα δὲ ἐπὶ φυτῶν δυναμένων καρποφορεῖν, ἢ μὴ δυναμένων. καὶ ἐπὶ γῆς ἐπιτηδείας σπέρματα τρέφειν καὶ θάλπειν, ἢ μὴ ἐπιτηδείας. καὶ ἐπὶ ποιητοῦ δυναμένου ποιεῖν ποιήματα, ἢ μὴ δυναμένου. καὶ ἔτι ἐπὶ βρέφους δυναμένου τεχθῆναι, ἢ πρέποντος. ὡς ἐν τούτοις. καὶ τοῦτο φασὶν, ἔνθα μηνὶ γόνιμον ἐστί. ἐνταῦθα δὲ ἀντὶ τοῦ δυναμένου τεχθῆναι, ἢ μὴ δυναμένου, ἢ πρέποντος. οἷον ἐνταῦθα τὸ ἄγονον.

ANNOTATIONES.

V. 1579. Τάνδε δ') Ita pro τῆσδε, cum Gul. Cantero lego, versus causâ; sic infrà v. 1662. Τῶνδε δ' legitur.

Ἄγονον

Ἄγονον Ἀπόλλων Λαΐῳ μ' ἐθέσπισε
Φονέα γενέσθαι πατρός· ὢ τάλας ἐγώ.
Ἐπεὶ δ' ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
Κτείνει με, νομίσας πολέμιον * δυσδαίμονα, * πημαίνειν MS.
Χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ. πέμπει δέ με,
Μαστὸν ποθοῦντα, θηρσὶν * ἄθλιον βοράν. * ἀθλίαν MS.
Οὗ σωζόμεσθα. Ταρτάρου γὰρ ὤφελεν
Ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα,
Ὅς μ' οὐ διώλεσ', ἀλλὰ δουλεῦσαί τί μοι
Δαίμων ἔδωκε Πόλυβον ἀμφὶ δεσπότην.
Κτανὼν δ' ἐμαυτοῦ πατέρ' ὁ δυσδαίμων ἐγὼ,
Εἰς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος.
Παῖδάς τ' ἀδελφοὺς ἔτεκον, οὓς ἀπώλεσα,
Ἀρὰς παραλαβὼν Λαΐου, καὶ παισὶ δούς.
Οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ' ἐγὼ,
Ὥστ' εἰς ἔμ' ὄμματ', εἴς τ' ἐμῶν παίδων βίον
Ἄνευ θεῶν του ταῦτ' ἐμηχανησάμην.
Εἶεν· τί δράσω δῆθ' ὁ δυσδαίμων ἐγώ;
Τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσει τυφλοῦ;
Ἥδ' ἡ θανοῦσα; ζῶσα γὰρ σάφ' οἶδ' ὅτι.
Ἀλλ' εὔτεκνος ξυνωρίς; ἀλλ' οὐκ ἔστι μοι.
Ἀλλ' ἔτι νεάζων αὐτὸς εὕροιμ' ἂν βίον;
Πόθεν; τί μ' ἄρδην ὧδ' ἀποκτείνεις, Κρέον;
Ἀποκτενεῖς γὰρ, εἴ με γῆς ἔξω βαλεῖς.
Οὐ μὴν ἑλίξας γ' ἀμφὶ σὸν χεῖρας γόνυ,
Κακὸς φανοῦμαι. τὸ γὰρ ἐμόν ποτ' εὐγενὲς
Οὐκ ἂν προδοίην, οὐδὲ περ πράσσων κακῶς.
Κρ. Σοί τ' εὖ λέλεκται, γόνατα μὴ χρώζειν ἐμά¶
Ἐγὼ δὲ ναίειν σ' οὐκ ἐάσαιμ' ἂν χθόνα.
Νεκρῶν δὲ τῶνδε, τὸν μὲν εἰς δόμους χρεὼν
Ἤδη κομίζειν. τόνδε δ', ὃς πέρσων πόλιν

Nondum natum me Apollo Laio vaticinatus eſt
Homicidam fore patris. O miſerum me!
Poſtquam verò natus ſum, ſtatim pater, qui me ſeminavit,
Interfici me jubet, exiſtimans me ſibi hoſtem infelicem fore:
(Oportebat enim eum interfici à me) mittit autem me
Deſiderantem ubera, pendum feris infelicem;
Ubi ſervatus ſum. Utinam verò Tartari
Veniſſet in profundos hiatus Cithæron,
Qui me non perdidit: ſed ut ſervirem, mihi
Dedit fortuna, apud Polybum dominum.
Deinde cùm interfeciſſem meum patrem infelix ego,
In matris veni miſeræ lectum,
Filioſque fratres genui, quos perdidi,
Accipiens imprecationes à Laio, & dans liberis:
Non enim tam ſtultus ego natus ſum,
Ut in meos oculos ſuque meorum filiorum vitam,
Sine deorum aliquo hæc commiſcerer.
Sint iſta. Quid faciam igiturò infelix ego?
Quis comitabitur me dux cæci pedis?
Hæcne quæ mortua eſt? vivens enim ſatis ſcio feciſſet.
At beatum jugum filiorum? ſed non ſunt *amplius* mihi.
Verùm ipſe adhuc juvenis inveniam mihi cibum?
Unde? quare me funditus ſic occidis ô Creon?
Occides enim, ſi me ex *hac* ego ejicias.
Non tamē admovens manus ad tuum genu,
Timidus videbor: nam meam priſtinam generoſitatem
Non prodam, neque quamvis rem geram malè.
Cre. Tibi rectè dictum, quòd nolis genua mea polluere;
Ego verò non ſinam te habitare *hanc* terram.
Horum verò mortuorum alterum quidem domum oportet
Jam portare: alterum verò, qui everſurus urbem

Ἀπόλλων Λαΐῳ μ' ἐθέσπισεν) ἄγονον ὄντα ὑπεῦθεν, ἀντὶ τοῦ μὴ πρότερόν τε εἶναι τεχθέντα. Ἐθέσπισεν) ἐμαντεύσατο, ἐχρησμῴδησεν. Ἐπεὶ δ' ἐγενόμην) ἐπεὶ δ' ἐγεννήθην, πάλιν ὁ σπείρας πατὴρ κτείνει με, δοὺς κατὰ τὴν οἰκείαν προαίρεσιν. Χρῆν γὰρ) ἀπέκειτο, ὥριστο. Μαστὸν ποθοῦντα) ἔτι χρήζοντα μαστοῦ τὸν ἄθλιον πέμπει με τροφὴν τοῖς θηρσί. Δουλεῦσαί τί μοι) δοῦλον γενέσθαι, καὶ τοῦτο συνηθές. ὁ γὰρ δοῦλον αὐτὸν ἐποίησεν, ὡς καὶ ἡ Ἰοκάστη φησίν. ἡ δὲ τὸν ἐμὸν ὠδίνων πόνον μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν. ἀλλὰ φαμὲν, ὅτι ἕνεκα τοῦ εἰς οἶκτον κινῆσαι τοὺς θεωμένους, ἢ ὅτι οἱ βαρυνόμενοι συμφοραῖς ὑπὸ προκειμένης δυστυχίας, καὶ τὰς προγεγενημένας εὐδαιμονίας, δυστυχίας ἀποκαλοῦσι. Πόλυβον ἀμφὶ δεσπότην) οὐκ ἐξέφαινεν αὐτὸν πατέρα, οὐκ ἐτέχθη υἱὸς, ἀλλὰ δοῦλος, καὶ κτῆμα αὐτοῦ γέγονεν. 1605. Ἀρὰς παραλαβὼν) θέλει εἰπεῖν ὅτι εἵμαρται ταῦτα παθεῖν τῷ γένει. ὁ γὰρ Λάϊος φησὶ, γοὺς μὴ κατὰ βούλησιν θεῶν γεγονότα με, κατηράσατο, ἵνα δηλονότι ἀποθάνω. ἐγὼ δὲ ὑπὸ σκαιοῦ δαίμονος τὰς παρ' ἐκείνου ἀρὰς δεξάμενος, παρέδωκα φησὶ, καὶ τοῖς ἐξ ἐμοῦ παισί. Ἄλλως. [* Ἀρὰς παραλαβὼν) κατάρας παρὰ τοῦ Λαΐου λαβὼν, ἀντὶ κληρονομήσας καὶ πρὸς τοὺς παῖδας παραπέμψας· ἀρὰς δὲ λέγει τὰς παρακολουθούσας τῷ γένει αὐτῶν ἀπὸ τοῦ Πέλοπος· οὐχ ὡς αὐτῷ ὁ Λάϊος κατηράσατο (ἐπεὶ οὐδὲ φέρεταί τι τοιοῦτον ὑπὸ τοῦ Λαΐου πρὸς τὸν Οἰδίποδα) ἀλλ' ὡς ὁ Πέλοψ Λαΐῳ κατηράσατο, δυσθυμήσας ἐπὶ τῇ τοῦ υἱοῦ αὐτοῦ Χρυσίππου ἁρπαγῇ, ἣν ἐπράξατο ὁ Λάϊος. Οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ' ἐγὼ, ὥστε χωρὶς τινὸς τῶν θεῶν εἰς τὰ ἐμὰ ὄμματα ταῦτα ἐμηχανησάμην καὶ εἰς τὴν ζωὴν τῶν ἐμῶν παίδων. ὅμοιον τοῦτο παρὰ Σοφοκλεῖ — Ἦν ὧδε τλήμων, ὥστε τῷ μιάσματι Ἐπέστη· Τὸ γὰρ ὥστε μετὰ ἀπαρεμφάτου οἰκείως ἔχον τέθειται ἐν τούτοις μετὰ ὁριστικοῦ κεῖται καθ' ὁμοίαν ἀκολουθίαν. ἴσως ὁ καὶ σύνδεσμος ἐπὶ τούτου συνυπακούεται· μετὰ γὰρ τοῦ καὶ συνδέσμου ὥστε οὐκ ἀνακολούθως πρὸς ὁριστικὸν λέγεται.] 1610. Ὁμαρτήσει) ἀκολουθήσει, ὁδηγήσει. Ζῶσα γὰρ σάφ' οἶδα) σαφῶς οἶδα ὅτι εἰ ἔζη, (συνήθως ἄν με ἐχειραγώγησεν Ἰοκάστη. Ἀλλ' εὔτεκνος) ἀλλ' ἡ εὐτεκνία τῶν δύο μου παίδων. Πόθεν) οὐδαμῶς. Τί δ' ἄρδην) παντελῶς. Ἑλίξας) συμπλέξας τὰς ἐμὰς χεῖρας ὑπὸ τὸ σὸν γόνυ δειλὸς φανοῦμαι. τὴν γὰρ ἐμὴν εὐγένειαν οὐκ ἂν προδώσω, κἂν δυστυχῶ. 1619. Σοί τ' εὖ λέλεκται) σοί τε εὖ καὶ καλῶς λέλεκται μὴ θέλειν τὰ ἐμὰ γόνατα, ἤτοι μὴ χρώζειν ἁπτόμενος τῶν ἐμῶν γονάτων. ἐγὼ δὲ οὐκ ἂν ἐάσαιμί σε οἰκεῖν τὴν χθόνα. ἀπὸ τούτων δὲ τῶν νεκρῶν τὸν μὲν, ἤγουν τὸν Ἐτεοκλῆν, πρέπον κομίζειν ἤδη εἰς τοὺς δόμους. τόνδε δὲ, λέγει τὸν νέκυν τοῦ Πολυνείκους, ὃς ἦλθε σὺν ἄλλοις πορθήσων τὴν πατρίδα, ἐκβάλλετε καὶ ῥίψατε ἄταφον ἔξω τῶν ὅρων τῆσδε τῆς χθονός. κηρυχθήσεται δὲ πᾶσι τοῖς Καδμείοις τάδε, ὃς ἂν ἁλῷ καὶ κρατηθῇ, ἢ καταστέφων καὶ τιμῶν τόνδε τὸν νεκρὸν, ἢ καλύπτων γῇ, ἤτοι θάπτων, θάνατον ἀνταλλάξεται, ἤγουν ἀντὶ κόσμου καὶ τῆς ταφῆς λήψεται θάνατον. κηρύξεται δὲ κατὰ κοινοῦ, ἐᾶν ἄκλαυστον, ἄταφον, βορὰν τοῖς ὀρνέοις. σὺ δὲ, ὦ Ἀντιγόνη, ἐκλιποῦσα τοὺς θρήνους τῶν τριῶν νεκρῶν, κόμιζε σεαυτὴν ἔσω τῶν δωμάτων, καὶ παρθενεύου, ἀντὶ τοῦ ἐν τῷ παρθενῶνι μένε, προσμένουσα τὴν ἐπερχομένην ἡμέραν, ἐν ᾗ μένει σε τὸ λέκτρον καὶ ἡ συνάφεια τοῦ Αἵμονος. Σοί τ' εὖ λέλεκται) καλῶς εἶπας ὅτι οὐχ ἱκετεύω σε. εἰ γὰρ καὶ σὺ ἠθέλησας, ἐγὼ οὐ συνεχώρησα. [¶ Χρώζειν) ἀντὶ χρίζειν· καὶ τοῦτο οἰκείως μὲν χρωματίζειν σημαίνει, μεταφορικῶς δὲ μιαίνειν ---ὡς αἵματι χρῶσαι τὰς παλάμας. Ἀνθολογία.] 1622. Τόνδε δ', ὃς) τὸν δὲ Πολυνείκους νέκυν. Πέρσων) πορθήσων.

† Suprà v. 36. * Ex MS. *Coll. Corporis Chriſti* hæc protulit *J. Barnes.* ¶ Hanc notulam addidit ex ſuis *J. Barnes.*

ANNOTATIONES.

V. 1601. *Δαίμων ἔδωκε Πόλυβον ἀμφὶ δεσπότην*) Rectiùs ſic legunt hunc verſum libri impreſſi; MS. enim hic ſolum miſerè eſt titubare viſum; ita enim legit (*δαίμων* omiſſo) Πόλυβον ἔξω δοῦναι ἀμφὶ δεσπότην, Nota phraſin, ἰσχεὶ ὁ Δαίμων ἔδωκε δουλεύειν ἀμφὶ Πόλυβον. De ſenſu autem loci *Scholiaſtes* adeundus. *Joſua Barnes.*

Πατρίδα

Πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν,
Ἐκβάλλετ' *ἄταφον τῆσδ' ὅρων ἔξω χθονός. * al. ἄθαπτον.
Κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε·
Ὃς ἂν νεκρὸν τόνδ' ἢ καταστέφων ἁλῷ,
Ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται.
Ἐᾶν δ' ἄκλαυστον, ἄταφον, οἰωνοῖς βοράν.
Σὺ δ' ἐκλιποῦσα τριπτύχων νεκρῶν γόους,
Κόμιζε σαυτὴν, Ἀντιγόνη, δόμων ἔσω,
Καὶ παρθενεύου, τὴν ἰοῦσαν ἡμέραν
Μένουσ', ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.
Αν. Ὦ πάτερ, ἐν οἵοις κείμεθ' ἀθλίοις κακοῖς;
Ὥς σε στενάζω τῶν τεθνηκότων πλέον.
Οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ' οὐ βαρύ.
Ἀλλ' εἰς ἅπαντα δυστυχὴς ἔφυς, πάτερ.
Ἀτὰρ σ' ἐρωτῶ τὸν νέον τύραννον,
Τί τόνδ' ὑβρίζεις πατέρ' ἀποστέλλων χθονός;
Τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;
Κρ. Ἐτεοκλέους βουλεύματ', οὐχ ἡμῶν, τάδε.
Αν. Ἄφρονά γε, καὶ σὺ μῶρος, ὃς *ἐπείθου τάδε. * ἐπείθες MS.
Κρ. Πῶς; τἀντεταλμέν' οὐ δίκαιον *ἐκπονεῖν; * ἐκτελεῖν MS.
Αν. Οὐκ, ἢν πονηρά τ' ᾖ, κακῶς τ' εἰρημένα.
Κρ. Τί δ'; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται;
Αν. Οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν.
Κρ. Εἴπερ γε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὤν.
Αν. Οὐκ οὖν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα;
Κρ. Καὶ τῷ τάφῳ νῦν τὴν δίκην παρασχέτω.
Αν. Τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;
Κρ. Ἄταφος ὅδ' ἀνὴρ, ὡς μάθῃς, γενήσεται.
Αν. Ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
Κρ. Σαυτὴν ἄρ' ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.
Αν. Ἀλλ' εὐκλεές τοι δύο φίλω κεῖσθαι πέλας.
Κρ. Λάζυσθε τήνδε, κεἰς δόμους κομίζετε.
Αν. Οὐ δῆτ', ἐπεὶ τοῦδ' οὐ μεθήσομαι νεκροῦ.
Κρ. Ἔκριν' ὁ δαίμων, παρθέν', οὐχ ἅ σοι δοκεῖ.
Αν. Κἀκεῖνο κέκριται, μὴ 'φυβρίζεσθαι νεκρούς.
Κρ. Ὡς οὔτις ἀμφὶ τῷδ' ὑγρὰν θήσει κόνιν.
Αν. Ναὶ πρός σε τῆσδε μητρὸς Ἰοκάστης, Κρέον.
Κρ. Μάταια μοχθεῖς· οὐ γὰρ ἂν τύχοις τάδε.

Patriam cum aliis venit, Polynicis cadaver,
Ejicite inſepultum extra fines hujus terræ.
Promulgabuntur autem hæc omnibus Thebanis,
Quicunque deprehenſus fuerit hunc mortuum aut coronans
Aut terra tegens & *ſepeliens*, is pœnas morte luet.
Relinquere oportet indeploratū & inſepultum, volucribus prædam
Tu verò relinquens luctus trium cadaverum,
Recipe te ipſam, Antigone, intra ædes,
Et fac officia virginis, futuram diem
Expectans, in quâ te expectat lectus Hæmonis.
Ant. O pater, in quantis ſumus miſeris malis?
Quàm te gemo, plus quàm mortuos!
Non enim pars quidē malorū tibi gravis eſt, pars verò non gravis.
Sed in omnibus infelix es, pater.
Sed te interrogo novum tyrannum,
Quid hunc contumeliâ afficis, patrem expellens terrâ?
Quare facis leges de miſero mortuo?
Cre. Eſt Eteoclis ſententia hæc, non mea.
Ant. Stulta eſt, & tu ſtultus, qui obtemperas iſtis.
Cre. Quomodo? non eſt juſtum exequi mandata?
Ant. Non, ſi quidem mala ſunt & malè dicta.
Cre. Quid verò? non juſtè hic canibus dabitur?
Ant. Non legitimam enim pœnam exigitis ab eo.
Cre. Siquidem urbis hoſtis fuit, qui hoſtis eſſe non debuerat.
Ant. Annon dedit fortunæ ſuam animam?
Cre. Et nunc in ſepulturæ-causâ pœnam det.
Ant. Quo peccato commiſſo, ſi *ex parte ſuam* Regni partē quæſivit?
Cre. Inſepultus erit hic vir, ut ſcias.
Ant. Ego verò eum ſepeliam, etiam ſi prohibeat urbs.
Cre. Teipſam prope ſepelies cum hoc cadavere.
Ant. At glorioſum *eſt* profectò duos amicos jacere ſimul.
Cre. Prehendite hanc, & portate domum.
Ant. Nequaquam, non enim relinquam hoc cadaver.
Cre. Decrevit Deus, ô virgo, quæ tibi non videntur.
Ant. Et illud decretum eſt, non eſſe contumeliâ afficiendos mortuos.
Cre. Ut nullus circa hunc ponat mollem pulverem.
Ant. Quin te, Creon, per matrem hanc Iocaſten *obteſtor*.
Cre. Inutilitèr laboras; non enim conſequeris hæc.

Κηρύξεται) κηρυχθήσονται. Καταστέφων ἁλῷ) εἰώθασι γὰρ στέφειν τοὺς νεκρούς. Θάνατον ἀνταλλάξεται) ἀντὶ τῆς ταφῆς θάνατον λήψεται. Καὶ παρθένευε) παρθένος διάγε, ἐκδεχομένη τὴν ἑξῆς ἡμέραν. Ὥς σε στενάζω) πρὸς τὸν Οἰδίποδα λέγει, ὅτι στένω σε, ὦ πάτερ, πλέον τῶν τεθνηκότων. Ἀτὰρ σ' ἐρωτῶ) πρὸς τὸν Κρέοντα ἀποστρέφει τὸν λόγον. τί ἀπαγορεύεις τὴν ταφὴν τοῦ παιδὸς Πολυνείκους; Θεσμοποιεῖς) νομοθετεῖς. 1640. [* Ἐτεοκλέους βουλεύματ', οὐχ ἡμῶν, τάδε) πρὸς τὴν δευτέραν ἐρώτησιν ἀπαντᾷ τὴν περὶ τοῦ Πολυνείκους· περὶ γὰρ τοῦ Οἰδίποδος οὐδὲν ὁ Ἐτεοκλῆς διετάξατο.] Ἄφρονά γε) τὰ βουλεύματα, καὶ σὺ μωρὸς, ὃς ἐπείθου τάδε εἰς πέρας ἀγαγεῖν. Οὐκ ἔννομον γὰρ) οὐκ ἔννομον τιμωρίαν ἀπαιτεῖτε αὐτόν. Ἄλλως. ἀπὸ κοινοῦ τὸ οὐ δικαίως, ἀνόσιον γὰρ φησὶν, ἐπιτιμᾶν τὴν τιμωρίαν αὐτὸν ἀπαιτεῖς. λέγει δὲ τὸ ἄταφον εἶναι. Εἴπερ γε πόλεως) ναὶ φησὶν ἔννομος, εἴπερ ἦν ἐχθρὸς τῆς πόλεως, οὐκ ἐχθρὸς ὢν, ὅτε οὐκ ὀφείλων εἶναι ἐχθρός. Οὐκοῦν ἔδωκεν) κατ' ἐρώτησιν ὁ λόγος, οὐκ ἔδωκεν ἐν τῇ ἀποβάσει τὴν κόλασιν; δαίμονα δὲ φησὶ τὸν ἐξ εἱμαρμένης καὶ δαίμονος θάνατον. τύχην δὲ τὴν κατὰ τὸν πόλεμον συντυχίαν. οὐκοῦν φησὶν ἀρκέσθητι τῷ θανάτῳ, ὃν ἔτυχεν αὐτὸν ἐν τῷ πολέμῳ ἀνατλῆσαι. 1648. Καὶ τῷ τάφῳ) καὶ ἐν τῷ ἐνταφιασμῷ τὴν δίκην διδότω. Τί πλημμελήσας) κατ' ἐρώτησιν ἐν ἤθει, τί πλημμελήσας ἀπῄτησε τὸ μέρος. Κἂν ἀπεννέπῃ) κἂν ἀπαγορεύῃ ἡ πόλις. Σαυτὴν ἄρ' ἐγγὺς συνθάψεις τῷδε τῷ νεκρῷ ἐγγύς. Ἀλλ' εὐκλεές) ἀλλ' ἔνδοξον δύο φίλους κεῖσθαι πλησίον. Λάζυσθε) λαμβάνετε. Οὐχ ἅ σοι δοκεῖ.) ταῦτα ἔκρινεν ὁ δαίμων, τὸ μὴ ταφῆναι τὸν ἀδελφόν σου, οὐχ ἃ σοι δοκεῖ. Ὡς οὔτις) γίνωσκε ὅτι οὐδεὶς τοῦτον θάψει. Ὑγρὰν κόνιν λέγει τὴν χυτὴν καὶ λεπτὴν, πρὸς ἀντιδιαστολὴν τῆς βώλακος. Ὅμηρος, χυτὴν δ' ἐπὶ γαῖαν ἔχευε. ἔστι δὲ ὑγρὰ ἡ προσχαρὴς γῆ. Ναὶ πρός σε) λείπει ὁ ἱκετεύω, καὶ τῆσδε. ἐάσον ταφῆναι, ὦ Κρέον, τὸν Πολυνείκην πρὸς τῆσδε τῆς Ἰοκάστης ἀντιβολῶ σε.

* Ex MS. C. C. C. ſuppleſt *Joſua Barnes*.

ANNOTATIONES.

V. 1624. Ἐκβάλλετ' ἄταφον) Aliâs Ἐκβάλετ' ἄθαπτον. Quod rotundius & *Heinſio* præplacet. Et MS. quidem ἄθαπτον legit, at quòd etiam ἐκβάλλετ' legit, id ... per incuriam exſcriptoris *duplici* lambda, cum ſimplici erat utendum. *Joſua Barnes*.

V. 1626. Ὃς ἂν νεκρὸν τόνδ' ἢ καταστέφων ἁλῷ &c.) *Scholiaſt.* Εἰώθασι γὰρ στέφειν τοὺς νεκρούς. Vid. *Joh. Kirchmanni* de Funerib. *Roman.* l. 1. c. 11. *Joſua Barnes*.

V. 1629. Τριπτύχων νεκρῶν γόους) MS. legit τριπτύχους θρήνους νεκρῶν. *Joſua Barnes*.

1631. Καὶ παρθένευε) Vid. ſupra ad v. 1271. & v. 1281. & 1282. Ἰοῦσαν) hoc verbum verè γνήσιον in textum recepimus, abjudicato illo, quod prius obtinuerat, ἐλθοῦσαν, Scolio iterum, Metro & *Cætero* poſtulante. Quin id quoque MS. toties laudatum apertiſſimè legendo extra omnem dubitationis aleam ponit. *Joſua Barnes*.

V. 1632. ... λέκτρον Αἵμονος μένει) Vid. ſupra ad v. 1381. MS. legit μένει. *Idem.*

V. 1633. Ἀθλίοις) Mallem ἄθλιοι. Sed non ita MS. *Idem.*

V. 1651. Ἐγώ σφε θάψω) Hemiſtichium *Æſchyleum* ἐν Ἑπτὰ ἐπὶ Θήβαις v. 1035. σφε pro αὐτὸν, vel αὐτὴν, etiam in *Singulari* uſurpatur ab *Eurip.* ut *Oreſt.* v. 29. *Medea.* v. 33. & 806. & 944. & 1296. &c. Vid. *Indicem* in Schol. *Idem.*

V. 1652. Σαυτὴν ἄρ' ἐγγὺς) Ita legit MS. quare ἂν deleo & ἄρ' illius loco ſubſtituo. *Joſua Barnes*.

Σὺ δ' ἀλλὰ) ἀλλὰ κἂν λουτρὰ ἔασόν με περιβαλεῖν τῷ νεκρῷ. Τῶν ἀπορρήτων) τῶν ἀπηγορευμένων. Ἀπορρήτους, καὶ ὅς τ' ἀπόρρητ' ἐμπορεύεται ἐξ Αἰγίνης. [* Ἄλλως. Τῶν ἀπορρήτων πόλει) ἀπὸ τῶν ἀπηγορευμένων πρὸς τὴν πόλιν. Οὐ γὰρ ἡ πόλις ταῦτα ἀπηγόρευσεν, ἀλλ' ὁ Κρέων. συλλαβοῦσα δ' ἐν δύο, ἵνα μὴ νοῇς ταῦτα περὶ τῶν ἀπηγορευμένων ὑπὸ τῆς πόλεως. οἱ καὶ σαφέστερον λέγω, κἂν ἀπειπὼν τῇ πόλει ἐκεῖνο γὰρ ὑποδεικτικῶς ἡ Ἀντιγόνη λέγει.] Ἀλλ' ἀμφὶ τραύματα) οἰδοῦσι γὰρ τῶν τραυμάτων ἐπιμελοῦντες τῶν νεκρῶν, ὑπὲρ τοῦ αὐτοὺς εὐσχήμονας φαίνεσθαι. τελαμῶνας δὲ τὰ ῥάκη, ὡς φασὶν ἐπιδέσμους. Ὦ φίλτατε Πολύνεικες) ἀλλὰ προσπτύξομαι κἂν τὸ στόμα σου, ἐπεὶ οὐ συγχωροῦμαι θάψαι σε. Οὐκ εἰς γάμους σοὺς) οὐκ ὀφείλεις κλαίειν μέλλουσα γαμεῖν. ἢ οὕτως, οὐ κτήσῃ τοῖς γόοις συμφορὰς εἰς γάμους σούς. Οἷς ἐξωνείδισεν) κακολογήσασα εἶπεν, ἐξύβρισεν. ὄνειδος γὰρ, τὸ τοῦτον εἶδον ὑπὸ γυναικὸς ἀπολέσθαι. ἢ ἐπὶ τοῦ κλέους εἴληπται, ἀντὶ τοῦ ἐκλέισε καὶ ἔνδοξον ἐποίησεν, μιμήσασθαι φήσασα τὰς Δαναΐδας. τὸ γὰρ ὄνειδος, καὶ ἐπὶ ἀγαθοῦ τίθεσθαι δύναται, καὶ

Αν. Σὺ δ' ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ' ἔα.
Κρ. Ἓν τοῦτ' ἂν εἴη τῶν ἀπορρήτων πόλει.
Αν. Ἀλλ' ἀμφὶ τραύματ' ἄγρια τελαμῶνας βαλεῖν.
Κρ. Οὐκ ἔσθ', ὅπως σὺ τόνδε τιμήσεις νέκυν.
Αν. Ὦ φίλτατ', ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.
Κρ. Οὐκ εἰς γάμους σοὺς συμφορὰν κτήσῃ γόοις.
Αν. Ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
Κρ. Πολλή γ' ἀνάγκη· ποῖ γὰρ ἐκφεύξῃ λέχος;
Αν. Νὺξ ἄρ' ἐκείνη Δαναΐδων μ' ἕξει μίαν.
Κρ. Εἶδες τὸ τόλμημ', οἷς ἐξωνείδισεν;
Αν. Ἴστω σίδηρος, ὅρκιον * τέ μοι ξίφος. * ϗ μοι MS.
Κρ. Τί δ' ἐκπροθυμῇ τῶνδ' ἀπαλλάχθαι γάμων;
Αν. Συμφεύξομαι τῷδ' ἀθλιωτάτῳ πατρί.
Κρ. Γενναιότης σοι, μωρία δ' ἔνεστί τις.
Αν. Καὶ ξυνθανοῦμαί γ', ὡς μάθῃς περαιτέρω.
Κρ. Ἴθ', οὐ φονεύσεις παῖδ' ἐμόν· λεῖπε χθόνα.
Οι. Ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας.
Αν. Ἀλλ' εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις, πάτερ;
Οι. Μέν' εὐτυχοῦσα, τἄμ' ἐγὼ στέρξω κακά.
Αν. Καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;
Οι. Πεσὼν, ὅπου μοι μοῖρα, κείσομαι πέδῳ.
Αν. Ὁ δ' Οἰδίπους ποῦ, καὶ τὰ κλείν' αἰνίγματα;
Οι. Ὄλωλ'· ἓν ἦμάρ μ' ὤλβισ', * ἓν δ' ἀπώλεσεν. * ἓν θ' MS.
Αν. Οὔκουν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν;
Οι. Αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
Αν. Οὐ σωφρονούσῃ γ', ἀλλὰ γενναίᾳ, πάτερ.
Οι. Προσάγαγέ νύν με, μητρὸς ὡς ψαύσω σέθεν.
Αν. Ἰδοὺ, γεραιᾶς * φιλτάτης ψαῦσον χερί. * ἑαυτῆ MS.
Οι. Ὦ μῆτερ, ὦ ξυνάορ' ἀθλιωτάτη.
Αν. Οἰκτρὰ πρόκειται, πάντ' ἔχουσ' ὁμοῦ κακά.
Οι. Ἐτεοκλέους δὲ πτῶμα, Πολυνείκους τε ποῦ;

Ant. Tu verò ſaltem cadaver aquâ lavare me ſine.
Cre. Unum hoc fuerit prohibitorum urbi.
Ant. Sine ſaltem, ut circa ſæva vulnera faſcias ponam.
Cre. Nullo modo tu iſtum honorabis mortuum.
Ant. O chariſſime frater, ſaltem os tuû labris applicitis exoſculabor.
Cre. Ne compares calamitatem luctu ad nuptias tuas.
Ant. An unquam igitur vivens nubam filio tuo?
Cre. Multa neceſſitas *incumbit*: quomodo enim effugies nuptias?
Ant. Nox igitur illa habebit me Danaidum unam.
Cre. Vidiſtine audaciam, quàm ſuperbè ſit locuta?
Ant. Teſtis ſit ferrum, & gladius adjuratus mihi.
Cre. Quare verò cupis liberari ab his nuptiis?
Ant. Fugiam unà cum miſerrimo hoc patre.
Cre. Generoſus animus, & præterea ſtultitia quadâ ineſt tibi.
Ant. Etiam unà moriar, ut ſcias amplius
Cre. Vade; non occides filium meum: linque terram.
Oed. O filia, laudo quidem te propter tuam promptitudinem.
Ant. Sed ſi nuberem, & tu ſolus fugeres, pater?
Oed. Mane felix, ego mea feram patientèr mala.
Ant. Quis verò te cæcum curabit, pater?
Oed. Cadens, ubicunque mihi fatum eſt, jacebo in campo.
Ant. Ubi nunc eſt Oedipus ille, & inclyta ænigmata?
Oed. Periit: una dies me bearit, & una me perdidit
Ant. Non igitur oportet & me participê fieri tuorum malorû?
Oed. Turpe eſt exilium filiæ cum cæco patre.
Ant. Modeſtæ quidem non *eſt turpe*, ſed ſuperbæ, pater.
Oed. Adducito igitur me, ut attingam matrem tuam.
Ant. Ecce; tange manu chariſſimam anum.
Oed. O mater, ô conjunx miſerrima.
Ant. Miſeranda jacet, habens ſimul omnia mala.
Oed. Ubi verò eſt cadaver Eteoclis & Polynicis?

ἡμῖν συνήθως, πάρεσον ὄνειδος τῷ Κρέοντι, εἰ ὁ υἱὸς αὐτοῦ ὑπὸ γυναικὸς ἀπολεῖται. Γενναιότης σοι) εὐψυχία, ἀντὶ τοῦ γενναίως μὲν πράττεις. μωρῶς δὲ, ὁ δὲ δὲ ἀντὶ τοῦ καί. τουτέστιν, εὐψυχία καὶ μωρία ἔνεστί σοι. Καὶ ξυνθανοῦμαι) συναποθνήσκω φησὶν αὐτῷ, ἵνα πλέον τι μάθῃς. Ἀλλ' εἰ γαμοίμην) ἠθικῶς τοῦτο προσεκτέον, καὶ δεῖ συναπτικῶς τὸ καλῶς δ' ἂν ἔχῃ, εἰ ἐγὼ γαμοίμην, καὶ σὺ μόνος φεύγοις, πάτερ; συναπτέον δὲ τὸ ἀλλ' εἰ γαμοίμην, τίς σε τυφλὸν ὄντα θεραπεύσει; 1681. Πεσὼν) πεσὼν κείσομαι ἐν ἐκείνῳ τῷ τόπῳ, ὅπου μοι μοῖρα. Καὶ τὰ κλεινὰ) οἱ ἀοιδίμοι λόγοι ποῦ εἰσί; Ἓν ἦμαρ) γράφεται ἓν ἦμάρ μ' ὤλβισεν ἓν δ' ἀπώλεσεν. τὸ δὲ ἓν δὲ ἀντὶ τοῦ καί. οὕτω ἓν ἦμαρ με ὤλβισε καὶ ἀπώλεσε. ποῖον δή δεῖ; καθὸ ὄλβιος καὶ δυστυχὴς, ὅτι τὸ αἴνιγμα τῆς σφιγγὸς ἔλυσε. κατὰ γὰρ τὴν αὐτὴν ἡμέραν, καὶ ἔγημε τὴν μητέρα, καὶ τῆς ἀρχῆς ἀντέλαβεν. τὸ μὲν ἦν εὐτύχημα, τὸ λῦσαι τὸ αἴνιγμα, καὶ βασιλεῦσαι. δυστύχημα δὲ, τὸ γῆμαι τὴν μητέρα παρὰ τὸν τῆς φύσεως θεσμόν. Αἰσχρὰ φυγὴ) τὸ οὐ (ἐναντίον πρὸς τὸ αἰσχρὰ, τουτέστιν οὐκ αἰσχρά. οὐ παρεῖ τὸ σῶφρον, ἀλλὰ κατὰ δρᾶμα ὑποτίθεται. πῶς γὰρ θάψει Πολυνείκην, αὐτὴ συμφεύγουσα τῷ πατρί; πλεονάζει δὲ τούτῳ τῷ εἴδει Εὐριπίδης. Προσάγαγέ με, ἵνα ψαύσω τῆς μητρός (σ) ἰδοὺ ψαῦσον διὰ τῆς χειρὸς τῆς φιλτάτης γεραιᾶς. ὦ μῆτερ καὶ γυνὴ μου ἀθλιωτάτη. ἐλεεινῶς πρόκειται, ὁμοῦ πάντ' ἔχουσα τὰ κακά. ποῦ δὲ τὸ πτῶμα τοῦ Πολυνείκους καὶ τοῦ Ἐτεοκλέους κεῖται; ὅτι ἐξηπλωμένοι κεῖνται πλησίον ἀλλήλων, ὁ προσφιλῶς πτώματι ἄθλια τοῖς τελευτῶσι καὶ ἀθλία. ποῦ, ὦ θύγατερ, ἡ τοῦ Ἀπόλλωνος τελευτᾷ μαντεία. ὅποιος χρησμὸς, ἄρα πρὸς τοῖς κακοῖς λέξεις κακά;

* Ex MS. *Joſua Barnes.*

ANNOTATIONES.

V. 1661. Σὺ δ' ἀλλὰ νεκρῷ λουτρὰ) De lotione Mortuorum & de hoc loco vid. ſupra ad v. 1328. *Joſua Barnes.*

V. 1663. Τελαμῶνας βαλεῖν) Præter Scholiaſt. Vid. quæ Nos ad *Troad.* v. 1232. Τελαμῶσιν ἕλκη τὰ μὲν ἰᾶσθαι σ' ἰάσομαι. *J. Barnes.*

V. 1666. *Ibid.*) Ità *Scholiaſtes* explicando legit, ità ſenſus poſtulat, ità denique MS. legit apertè, quare Apage τί γάρ, quod in Impreſſis libris obtinebat. *Joſua Barnes.*

V. 1668 Πολλή γ' ἀνάγκη) Ità MS. quarè admiſi hanc lectionem in textum, utpote ſaniorem, quàm quæ olim obtinebat Πολλή σ' ἀνάγκη. *Joſua Barnes.*

V. 1670. Ἐξωνείδισεν) Præter quod *Scholiaſtes* habet de vocabulo ὄνειδος quod ἐγκωμιαστικὸν, Vid. *M. Anton. Mureti* Variar. Lection, l. 6. c. 18 Ubi κλέος aliquandò in malo ſenſu & ὄνειδος in bono reperiri oſtendit. Huc refer illud Authoris *Etymologici Magni*, Ὄνειδος, λαμβάνεται καὶ ἐπὶ τοῦ κλέους, ὡς Εὐριπίδης ἐν Φοινίσσαις. ἔστι δὲ τῶν μέσων λέξεων, ὡς τύχη, καὶ ζῆλος, καὶ δόλος. Ità *Heſychius*. Ὄνειδος, ψόγος, μέμψις, ἐπαινετὸν καὶ κλέος. Sic ſupra v. 828. κάλλιστον ὄνειδος. *Joſua Barnes.*

V. 1683. Ὄλωλ'· ἓν ἦμάρ μ' ὤλβισ', ἓν δ' ἀπώλεσεν) Simile quiddam legitur & apud *Ovid. Faſt.* l. 2.

Una dies Fabios ad bellum miſerat omnes;
Ad bellum miſſos perdidit una dies.

Notavit *Æmilius Portus*.

V. 1685. Γενναίᾳ) *Joh. Miltonus* legit γενναία, & exponit *Generoſum*, ut reſpondeat τῷ αἰσχρὰ & *Turpe*.

Αν. Τώδ᾽ ἐκταδὴν σοι κεῖσθον ἀλλήλοιν πέλας.
Οι. Πρόσθες τυφλὴν χέρ᾽ ἐπὶ πρόσωπα δυστυχῆ.
Αν. Ἰδού· θανόντων σῶν τέκνων ἅπτου χερί.
Οι. Ὦ φίλα πτώματ᾽ ἄθλι᾽ ἀθλίου πατρός.
Αν. Ὦ φίλτατον δῆτ᾽ ὄνομα Πολυνείκους ἐμοί.
Οι. Νῦν χρησμὸς, ὦ παῖ, Λοξίου περαίνεται.
Αν. Ὁ, ποῖος; ἀλλ᾽ ἦ πρὸς κακοῖς ἐρεῖς κακά;
Οι. Ἐν ταῖς Ἀθήναις κατθανεῖν μ᾽ ἀλώμενον.
Αν. Ποῦ; τίς σε πύργος Ἀτθίδος προσδέξεται;
Οι. Ἱερὸς Κολωνὸς, δώμαθ᾽ ἱππείου θεοῦ.
Ἀλλ᾽ εἶα, τυφλῷ τῷδ᾽ ὑπηρέτει πατρὶ,
Ἐπεὶ πρόθυμη τῆσδε κοινοῦσθαι φυγῆς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Αν. Ἴθ᾽ εἰς φυγὰν τάλαιναν· ὄρεγε χεῖρα φίλαν
* Πάτερ γεραιὲ, πομπίμαν *MS. Πάτερ abell.
Ἔχων ἔμ᾽, ὥστε ναυσὶ πομπὸν αὔραν.
Οι. Ἰδοὺ πορεύομαι· Τέκνον, σύ μοι ποδαγὸς ἀθλία γενοῦ.
Αν. Γενόμεθα, γενόμεθ᾽ ἄθλιαί γε
Δῆτα Θηβαιᾶν μάλιστα παρθένων δή.
Οι. Πόθι γεραιὸν ἴχνος τίθημι;
Βάκτρα πρόσφερ᾽, ὦ τέκνον.
Αν. Τᾷδε τᾷδε βᾶθί μοι. τᾷδε τᾷδε
Πόδα τίθει, πάτερ, ὥστ᾽ ὄνειρον ἰσχὺν ἔχων.
Οι. Ἰὼ ἰὼ δυστυχεστάτας φυγάς.
* Ἐλαύνει τὸν γέροντά μ᾽ ἐκ πάτρας. * ἐλαύνων MS. & Schol.
Ἰὼ, ἰὼ, * δεινὰ δείν᾽ ἐγὼ τλάς. * δεινὰ ἐγὼ ὁ τλάς. MS.
Αν. Τί τλᾷς; τί τλᾷς; Οὐχ ὁρᾷ Δίκα κακοὺς,
" Οὐδ᾽ ἀμείβεται βροτῶν ἀσυνεσίας.
Οι. Ὅδ᾽ εἰμὶ, μοῦσαν ὃς ἐπὶ
Καλλίνικόν τ᾽ οὐράνιόν τ᾽ ἔβαν,
Παρθένου κόρας αἴνιγμ᾽ ἀσύνετον εὑρών.
Αν. Σφιγγὸς ἀναφέρεις ὄνειδος;
Ἄπαγε τὰ πάρος εὐτυχήματ᾽ αὐδῶν.
Τάδε σ᾽ ἐπέμενε μέλεα πάθεα,

Ant. Illi duo porrectim tibi jacent juxta ſe invicem.
Oed. Appone cæcam manum ſuper vultus infelices.
Ant. Ecce, tange manu tuos mortuos liberos.
Oed. O chara cadavera, & miſera miſeri patris.
Ant. O chariſſimum igitur nomen Polynicis mihi.
Oed. Nunc oraculum Apollinis, ô filia, perficitur.
Ant. Quod? an dices alia mala præter hæc?
Oed. Me Athenis moriturum eſſe exulem.
Ant. Ubinam? quænam te turris Attica recipiet?
Oed. Sacer Colonus, domus equeſtris dei.
Sed age, ſervito huic cæco patri,
Siquidem cupis eſſe ſocia hujus exilii.

MONOSTROPHICA.

Ant. Vade in exilium miſerum; præbe charam manum,
O pater ſenex, comitem
Me habens, ſicut ſecundum ventum comitantem naves.
Oed. Ecce vado. Filia, tu ſis mea dux miſera.
Ant. Sumus, ſumus miſerrimæ utique
Inter omnes Thebanas virgines.
Oed. Ubi ponam ſenile veſtigium pedis?
Porrige mihi baculum, filia.
Ant. Huc huc vade mihi, huc huc
Pone pedem, ô Pater, habens vires ſicut ſomnium.
Oed. O fugam miſerrimam,
Ejicit *Creon* ſenem me ex patriâ.
Heu, ego atrocia, atrocia paſſus.
Ant. Quid ſuſtines? quid pateris? non aſpicit Juſtitia malos;
" Neque compenſat mortalium imprudentiam.
Oed. Ego ſum is qui [illegible] Muſam
Victricem & cæleſtem veni,
Cum ſolviſſem obſcurum ænigma virginis Sphingis.
Ant. Quid Sphingis refers gloriam?
Deſine priſtinam felicitatem narrare.
Hæ expectabant te miſeræ calamitates,

Ὁ, ποῖος) ἄρθρον ἐδασύνθη τὸ ὁ, καθὸ λέγεται καὶ ἐπὶ οὐδετέρου ποιεῖν. Ἀλλ᾽ ἦ) τὸ ἦ ἀντὶ τοῦ ἆρα, ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ δέ. ὁ δὲ λόγος κατ᾽ ἐρώτησιν. ἆρα δὴ πρὸς τοῖς οὖσι κακοῖς, ἄλλα κακὰ ἐρεῖς. Ὁ χρησμὸς ὁ λέγων ---Ἐν δὲ Ἀθήναις κ. λ. Τίς σε πύργος) ἀντὶ τοῦ πόλις. τετράπολις γὰρ ἡ Ἀττική. Ἱερὸς Κολωνὸς) λέξεται, μὲ δηλονότι* ἔστι δὲ ἀκρωτήριον τῆς Ἀττικῆς· ἔστι καὶ ἕτερος κολωνὸς ἐργάτης. ἵππειον δὲ θεὸν τὸν Ποσειδῶνα λέγει. Δώματ᾽ ἱππείου) διχῶς λέγεται, καὶ πληθυντικῶς, καὶ ἑνικῶς. περὶ δὲ τοῦ ἐν τῷ ἱππείῳ Κολωνῷ τεθάφθαι τὸν Οἰδίποδα, ἐν ἄλλοις ἐξεφρασάμεθα ἀκριβῶς. ἀλλ᾽ ἄγε ὑπηρέτει τῷδε τῷ τυφλῷ πατρὶ, ἐπεὶ πρόθυμος εἶ κοινωνεῖν μοι τῆς φυγῆς. 1704. Ἴθ᾽ εἰς φυγὰν) διὰ μέσου τοῦ † Ἐγὼ σφε θάψω, κἂν ἀπειπῇ πόλις. ἀφορμὴ τῆς Σοφοκλέους Ἀντιγόνης παρῆκται. διὰ δὲ τοῦ φεύγειν, τὸ ἐπὶ Κολωνῷ Οἰδίποδι. Ναυσίπομπον) ἄπιθι, ὦ πάτερ, γηραιὲ εἰς φυγὴν τάλαιναν, πάρεχε, δίδου χεῖρα προσφιλῆ, ἔχων ἐμὲ πομπὴν καὶ ὁδηγὸν καθάπερ πνοὴν ναυσίπομπον, ἤτοι τὴν τὰς ναῦς διαπέμπουσαν. Ποδηγὸς) ὁδηγὸς ποδῶν. Γενόμεθα) Ἀττικὸν δὲ τὸ μετὰ τοῦ σ᾽, πασῶν Θηβαίων παρθένων ἀθλιώταται τυγχάνομεν.

Πόθι γεραιὸν) ὅπου φησὶ μέλλω τὸ ἴχνος τιθέναι, ὅπου χειραγωγεῖς με. 1711. Βάκτρα δὲ, τὴν ὁδηγίαν. Τᾷδε τᾷδε) ὧδε πορεύθητι ὑπ᾽ ἐμοῦ, τῇδε τῇδε τίθει, ὦ πάτερ, τὸν πόδα, ἔχων ἰσχὺν, ὥσπερ ὄνειρον, σαθρὰν καὶ ἀνυπόστατον. 1713. Ὥστ᾽ ὄνειρον) ὀνείρου τὴν ἰσχὺν εἴκελον ἔχων. Ἰὼ ἰὼ) ἕνεκα τῆς δυστυχεστάτης φυγῆς καὶ ἐξορίας. ὁ Κρέων, δηλονότι ὁ ἐλαύνων καὶ διώκων τὸν γέροντα ἐμὲ δηλονότι ἐκ τῆς πατρίδος, ἰὼ ἐγὼ ὁ τλὰς καὶ ὑπομείνας δεινὰ καὶ χαλεπά. Ἐλαύνει) λείπει τὸ, ὁ Κρέων· φεῦ φεῦ ἐγὼ ὁ ὑπομένας χαλεπά. τί τλᾷς, τί φησιν ἀεὶ λέγεις, ὅτι δεινὰ τλᾷς; εἰ γὰρ καὶ συνεχῶς αὐτὸ λέγεις, ὅμως ἡ Δίκη τοὺς κακοὺς οὐχ ὁρᾷ, οὐδὲ μετέρχεται αὐτῶν τῆς ἀσελγείας καὶ ἀσυνεσίας. Μοῦσαν οὐράνιον φησὶ, τὴν μεγάλην καὶ περίβλεπτον σοφίαν. Ὅδ᾽ εἰμὶ) ἐγὼ εἰμι φησὶν, ὃς ἔδοξα πάντας ὑπερβεβηκέναι σοφίᾳ, λύσας τὸ αἴνιγμα. Ὅδ᾽ εἰμὶ) ἐγὼ εἰμὶ, ὃς ἦλθον ἐπὶ μοῦσαν καὶ σοφίαν μεγάλην, καλλίνικον καὶ νικηφόρον εὑρὼν τὸ αἴνιγμα τῆς παρθένου κόρης, ἤγουν τῆς σφιγγὸς τὸ ἀσύνετον καὶ δυσνόητον. Σφιγγὸς) τὸ ὄνειδος, ἀντὶ τοῦ τὸ κλέος, τῆς σφιγγὸς ἀναφέρεις καὶ ἀναμιμνήσκεις, οὐχ ὃ εἶχεν ἡ Σφίγξ, ἀλλ᾽ ὃ ἔλαβεν αὐτὸς διὰ τὴν σφίγγα. ἄπαγε σαυτὸν δηλονότι αὐδῶν καὶ λέγων τὰ πάρος καὶ τὰ πρότερον εὐτυχήματα, τάδε τὰ μέλεα καὶ ἄθλια πάθη ἐπέμενεν, ἤτοι ἐξεδέχετο φευγόμενον σὲ φυγάδα καὶ ἐξόριστον θανεῖν, ὦ πάτερ, μακρὰν τῆς πατρίδος. ποῦ, ἤτοι ἔν τινι τόπῳ, ποθεινὰ δάκρυα λιποῦσα παρθένοις φίλαις, ἄπειμι καὶ ἀπέρχομαι ὑπ᾽ ἄγαν, ἤτοι λίαν μακρὰν τῆς πατρίδος γαίας, ἀλωμένη ἀντὶ τοῦ πλανηθησομένη, ἀπαρθένευτα καὶ πολυπαρθένευτα, ἤτοι ἐπὶ πολὺ παρθενεύουσα. Ἀναφέρεις) ἀναπολεῖς. κατ᾽ ἐρώτησιν δὲ ὁ λόγος, καὶ νῦν δὲ τὸ ὄνειδος ἐπὶ τοῦ κλέους εἴρηται. 1723. Ἄπαγε τὰ) διὰ τὸ μνήμην ποιήσασθαι τῆς κατὰ τὴν σφίγγα σοφίας, ἐπήγαγε. φησὶ τοῦτον τὸν λόγον· παρελθόντων γάρ φασι παρελθούσης ὁμιλίας μνημονεύειν, ἐπεὶ πλείων ἡ λύπη γίνεται. ἄπαγε οὖν, πέπαυσο, καὶ παράλιπε τὰ εὐτυχήματα, δυστυχημάτων παρόντων.

* Κολωνὸς locus *Atticæ* diſtitus 1500 p. ab Urbe, de quo Vid *Hofmann.* in voce *Colonos.* † Hic Verſus ſuprà v. 1652.

ANNOTATIONES.

V. 1693. Τυφλὴν) Τὸ τυ in τυφλὴν in hoc loco communis eſt. Vid. Quæ ejuſmodi exempla protulimus ad hujus Fabulæ v. 10.

V. 1698. Ὁ, ποῖος) MS. apertè diſtinguit hoc modo ὁ, ποῖος; quare ita ſcribo, ὁποῖος enim eſt indefinitum, ποῖος verò interrogativum. Ποῖος ὁ χρησμός; ἀλλ᾽ quid ſi legamus ἀλλ᾽ pro ἄλλα, & tum non erit ſuperfluum? Sed & ἀλλ᾽ elegans. *Joſua Barnes.*

V. 1713. Πόδα τίθει, πάτερ,) Olim erat πόδα τίθ᾽ ὡς &c. in *Pauli Stephani* editione; ut ex MS. jam locum reſarcivimus. *Scholiaſtes* confirmat. *Joſua Barnes.*

V. 1720. Καλλίνικόν τ᾽ οὐράνιόν τ᾽ ἔβαν) MS. utrobique τι rejicit. *Joſua Barnes.*

Φυγάδα πατρίδος ἄπο γενόμενον,
Ὦ πάτερ, θανεῖν πυ. Ποθεινὰ δάκρυα
Παρὰ φίλαισι παρθένοις λιποῦσ' ἄπειμι
Πατρίδος ἀπόπρο γαίας,
Ἀπαρθένευτ' ἀλωμένα.
Οι. Φεῦ τὸ χρήσιμον φρενῶν.
Αν. Εἰς πατρός γε συμφορὰς εὐκλεᾶ με θήσει.
Τάλαιν' ἐγὼ δὲ συγγόνου θ' ὑβρισμάτων,
Ὃς ἐκ δόμων νέκυς ἄθαπτος οἴχεται,
Μέλεος· Ὃν, εἴ με καὶ θανεῖν, πάτερ, χρεὼν,
Σκοτία γᾶ καλύψω.
Οι. Πρὸς ἥλικας φάνηθι σάς.
Αν. Ἅλις ὀδυρμάτων * ἐμοί. * al. ἐμῶν.
Οι. Σὺ δ' ἀμφὶ βωμίους λιτάς.
Αν. * Κόρον ἔχουσ' ἐμῶν κακῶν. * al. κόρου.
Οι. Ἴθ' ἀλλὰ Βρόμιος ἵνα γε σηκὸς
Ἄβατος ὄρεσι Μαινάδων.
Αν. Καδμείαν ᾧ νεβρίδα
Στολιδωσαμένα ποτ' ἐγὼ
Σεμέλας θίασον ἱερὸν ὄρεσιν ἀνεχόρευσα,
Χάριν ἀχάριστον εἰς θεοὺς διδοῦσα.

Τροχαῖοι. * Schol. κλεινῆς.

Οι. Ὦ πάτρας * κλεινοὶ πολῖται, λεύσσετ', Οἰδίπους ὅδε,
Ὃς τὰ κλείν' αἰνίγματ' ἔγνω, καὶ μέγιστος ἦν ἀνήρ.
Σφιγγὸς ὃς μόνος κατέσχον τῆς μιαιφόνου κράτη.

Exulem ex patriâ factum,
O pater, moriturum te alicubi. Deſiderabiles lacrymas
Apud amicas virgines relinquens, diſcedo,
Procul à patriâ terrâ,
Non more virginum errans.
Oed. O mentem generoſam!
Ant. In patris calamitate nobilem me faciet.
Miſera verò ego etiam propter fratris contumelias;
Qui mortuus periit inſepultus extra *paternas* ædes,
Miſer: Quem, etiamſi me mori oporteat, pater,
Clàm terrâ tegam.
Oed. Vade ad tuas ſodales.
Ant. Abundè lamentationum mihi.
Oed. Tu verò *abi, ut concipias* preces ad aras.
Ant. Habent ſaturitatem meorum malorum.
Oed. Vade ſaltem, ubi eſt templum Bromii
Inacceſſum in montibus Mænadis.
Ant. In quo *templo* Thebanam cervi pellem
Induta ego quondam,
In montibus, Semeles ſaltavi ſacrum tripudium,
Beneficium ingratum in Deos conferens.

Oedipus.

O patriæ inclyti cives videte, *ſum* Oedipus ille,
Qui ſolvit inclyta ænigmata & vir fuit maximus:
Qui ſolus compeſcui tyrannidem ſphingis cruentæ.

Ποθεινὰ) ποθεινοποιὰ καταλιποῦσα δάκρυα ταῖς παρθένοις, ἔξειμι, ἀφ' ἑαυτῆς ... μετ' αὐτῶν, ἀφ' ὧν δακρύων εἰς πόθον καὶ εἰς μνήμην ἥξουσί μου τὰ ταῦτα. Ἄλλως. Ἀντὶ τοῦ δακρύσασα ὑπὸ τῶν παρθένων, ἔξειμι τῆς πόλεως. Ἀπαρθένευτα) ἀντὶ τοῦ κακοπαρθενεύτως, παρθένου ἀναξίως, πλανωμένη. Φεῦ τὸ χρήσιμον) τινὲς καὶ τοῦτο τῆς Ἀντιγόνης λέγουσιν. Φεῦ θαυμαστικόν. τὸ χρήσιμον τῶν φρενῶν ἡλίκον ἐστὶ δηλονότι, ἤτοι μέγα. Εἰς πατρός γε συμφορὰς) δυστυχὴς ἐγώ φησιν, ὅτι ἐν ταῖς ἐμοῦ συμφοραῖς τοῦ πατρὸς δόξαν ἀποίσομαι, ὡς φρονίμη καὶ συνετή. συνετῆς γάρ τὸ καὶ δυστυχοῦντι τῷ πατρὶ αἱρεῖσθαι συνεῖναι, ὥστε ἔλεγον· ἐβουλόμην τὸ συνετόν μου τῶν φρενῶν ἐν εὐτυχίας καιρῷ ἐπιδεῖξαι. Ἄλλως. Εἰς τὰς συμφορὰς τοῦ πατρὸς ποιήσει ἐμὲ τὸ χρήσιμον τῶν φρενῶν εὐκλεᾶ καὶ ἔνδοξον. Τάλαινα δὲ εἰμὶ ἐγὼ καὶ ἕνεκα τῶν ὑβρισμάτων τοῦ ἀδελφοῦ, ὃς οἴχεται ἐκ τῶν δόμων, ἤτοι ἐξερρίφη ἄθαπτος, μέλεος, ὃν, εἰ καὶ ἀποθανεῖν δεῖ με, ὦ πάτερ, καλύψω γῇ σκοτίᾳ, ἤτοι τάφῳ. Τάλαινα ἐγὼ) ἀθλία εἰμὶ ἕνεκα τῶν σῶν κακῶν, καὶ τῶν τοῦ ἀδελφοῦ Πολυνείκους ὕβρεων. Πρὸς ἥλικας) Δίδυμός φησι συμβουλεύειν αὐτῇ τοῦτο ποιῆσαι, ἵνα ἐρανίσωσιν αὐτήν· οὐδὲν γὰρ λαμβάνειν ἐξιόντες ἐφόδιον, ἢ ἵνα συντάξηται αὐταῖς. Ἅλις ὀδυρμάτων ἐμῶν) ἀρκούντως ὠδύραντο τὴν ἐμὴν δυστυχίαν αἱ ὁμήλικες, ὃ αὐτάρκη μοι τῶν θρήνων ἐστί. Ἅλις ὀδυρμάτων] ἀρκούντως ἔχει τὸ πρᾶγμα ἐμοί, ἕνεκα τῶν ὀδυρμάτων. Σὺ δ' ἀμφὶ βωμίους] ἀπὸ κοινοῦ τὸ φάνηθι, ἵνα ἱκετεύσῃς τοὺς θεοὺς λῆξαι δοῦναι τῶν κακῶν, καὶ εὐμενεῖς πρὸς τὰ λοιπὰ γενέσθαι, ... ἡμᾶς εἰς Ἀθήνας. Σὺ δὲ ἄπελθε ἀμφὶ τὰς βωμίους λιτάς, ἤτοι εἰς τὰς λιτὰς τῶν βωμῶν, τουτέστιν εἰς τὸ προσεύξασθαι ἐν τοῖς βωμοῖς. Κόρον) ἔχουσιν οἱ βωμοὶ δηλονότι τῶν ἐμῶν κακῶν. Ἵνα τι σηκὸς) ὁ τάφος τῆς Σεμέλης, ὅπου ἐστὶν ἐν Κιθαιρῶνι. σηκὸς δέ, ὁ ναός. ἄβατος δέ, δηλονότι τοῖς βεβήλοις, τοῖς τὰ Διονυσιακὰ μὴ γινώσκουσι μυστήρια. ἐπὶ γοῦν τὸν Βρόμιον φησὶν ἴθι. ἄδηλον δὲ πρὸς τί ποτε φησὶν αὐτὴν πρὸς θεοὺς ἀξιοῦν καὶ μάλιστα τὸν Διόνυσον· ὁ δὲ χορὸς ἀσυμπαθής, παρθένον οὕτως ἀτυχοῦς φεύγοντος μὴ οἰκτιζόμενος. Καδμείαν) εἰς τὸν ναὸν ἀπελεύσομαι δηλονότι ἐκεῖνον, ᾧ ἀντὶ τοῦ, οὗ χάριν, ποτὲ ἐγὼ Καδμείαν, ἤτοι Θηβαΐαν νεβρίδα στολιδωσαμένη, καὶ ἐνδυσαμένη, ἀνεχόρευσα κατὰ τὸν ἐν ὄρεσιν ἱερὸν θίασον καὶ χορὸν τῆς Σεμέλης χάριν διδοῦσα εἰς θεοὺς ἀχάριστον, ἤτοι ἀντίχαριν μὴ ἔχουσαν. Καδμείαν) ἀντὶ τοῦ ἐπιχωρίαν, ἣν ... οἱ Θηβαῖοι φοροῦσιν. Ἄλλως. τοῦτο κελεύεις χορεῦσαι, ᾧ ποτε ἀνεχόρευσα ἐγὼ Καδμείαν νεβρίδα λυσαμένη, κατὰ τὸν ἐν ὄρεσι θίασον τῆς Σεμέλης· ἀλλ' ὅμως χάριν οὐκ ἐδεξάμην, ἀνθ' ὧν ἐχόρευσα. πῶς οὖν με κελεύεις καὶ νῦν αὐτῷ χορεῦσαι τῷ ἅπαξ καταφρονήσαντί μου, ὡς χάριν ἀμοιβὴν παρὰ τῶν θεῶν οὐκ ἔχειν, ἀλλ' ὑπὸ τοῦ Οἰδίποδος τοιαῦτα πέπονθα. Ὦ πάτρας κλεινῆς) ὦ πολῖται τῆς κλεινῆς πατρίδος, βλέπετε. ὅδε ὁ Οἰδίπους, ὃς ἔλυσε τὰ κλεινὰ αἰνίγματα, καὶ ἦν ἀνὴρ μέγιστος· ὃς μόνος κατέσχε τὰ κράτη, καὶ τὰς νίκας τῆς μιαιφόνου σφιγγός, νῦν αὐτὸς ἄτιμος οἰκτρὸς ἐξελαύνομαι, καὶ ἀποδιώκομαι τῆς χθονός, ἀλλὰ διατί ὀδύρομαι ταῦτα ματαίως. τὰς γὰρ ἐκ θεῶν ἀνάγκας, ἤτοι τὰς ἀναγκαίας συμφοράς, δεῖ φέρειν καὶ ὑπομένειν ὄντα θνητόν. Ἦν) ἤμην, ὑπῆρχον. 1748. Ὃς μόνος σφιγγὸς) ἱστορεῖ Πείσανδρος, ὅτι κατὰ χόλον τῆς Ἥρας ἐπέμφθη ἡ σφὶγξ τοῖς Θηβαίοις ἀπὸ τῶν ἐσχάτων μερῶν τῆς Αἰθιοπίας, ὅτι τὸν Λάϊον ἀσεβήσαντα εἰς τὸν παράνομον ἔρωτα τοῦ Χρυσίππου, ὃν ἥρπασεν ἀπὸ τῆς Πίσης, οὐκ ἐτιμωρήσαντο. ἦν δὲ ἡ σφίγξ, ὥσπερ γράφεται, τὴν οὐρὰν ἔχουσα δράκοντος. ἀναρπάζουσα δὲ μικροὺς καὶ μεγάλους κατήσθιεν, ἐν οἷς καὶ Αἵμονα τὸν Κρέοντος παῖδα, καὶ Ἵππιον τοῦ Εὐρυνόμου τοῦ τοῖς Κενταύροις μαχεσαμένου. ἦσαν δὲ Εὐρύνομος καὶ Ἠιονεύς, υἱοὶ Μάγνητος τοῦ Αἰολίδου καὶ Φιλοδίκης. ὁ μὲν οὖν Ἵπ-

ANNOTATIONES.

V. 1726. Θανεῖν) *Scholiaſtes* ita diſtinguit θανεῖν. Πυ ποθεινὰ &c.

V. 1730. Οι. De interloquentium Perſonarum diſtinctione Vid. *Schol.* Et MS. ita diſtinguit

V. 1735. Σκοτία γᾶ καλύψω) Vid. *Gul. Canteri* Novar. Lection. l. 4. c. 1. ubi γᾶ tolli vult. Ego nullam hic neceſſitatem video (nec *Æmyl. Portus* vidit) quare id fiat; cum τὸ σκοτία exponendum ſit clam & γᾶ καλύψω ſimul ordinanda. Quia MS. retinet, ſed γῇ legit. Nec in v. 338. τὸ σκοτία eo ſenſu occurrit, ut tumulum ſignificet, ſed quo nos jam exponimus. *Joſ. Barnes.*

V. 1737. Ἅλις ὀδυρμάτων ἐμοί) Ita MS. legit optimè; ut & *Scholiaſt.* quare deleo illud ἔχω, quod *Canterum* torquebat.

1741. Ἐν ὄρεσι Μαινάδων) in Monte *Mænadum Bacchi* Miniſtrarum, *i. e. Cithæronis*. Vid. *Virgil*, Æn. l. 4. v. 301.

*——— Qualis commotis excita ſacris
Thyias, ubi audito ſtimulant trieterica Baccho
Orgia, nocturnuſque vocat clamore Cithæron.*

V. 1742. Καδμείαν ᾧ νεβρίδα) Olim ἂν ſcriptum erat: *Scaliger* ὅταν legebat; *Canterus* Nov. Lect. l. 1. c. 9 legebat ᾧ. Et ita MS. ſanctiſſimum; refertúrque non ad ὄρεσι, ſed ad Βρόμιος σηκὸς ἐν ὄρεσι. Vid. *Scholiaſt.* Quare *Scaligeri* ὅταν non hic placet. *Joſua Barnes.*

V. 1745. Χάριν ἀχάριστον) Tale *Oxymori* genus vid. *Medea*: v. 6.8 & *Supplic.* v. 32.

V. 1748. Σφιγγὸς ὃς μόνος) Aliàs Ὃς μόνος σφιγγὸς, non æque volubili metro.

πος.

πος, καὶ ξένος ὤν, ὑπὸ τῆς σφιγγὸς ἀνῃρέθη. ὁ δὲ Ἱππεὺς ὑπὸ τοῦ Οἰνομάου, ὃν τρόπον καὶ οἱ ἄλλοι μνηστῆρες. ἀθρῶς δὲ ὁ Λάϊος τὸν ἀθέμιστον ἔρωτα τοῦτον ἔσχεν. ὁ δὲ Χρύσιππος ὑπὸ αἰσχύνης ἑαυτὸν διεχρήσατο τῷ ξίφει. τότε μὲν ἦν ὁ Τειρεσίας, ὡς μάντις, ἰδὼν ὅτι θεοστυγὴς ἦν ὁ Λάϊος, ἀπέτρεπεν αὐτὸν τῆς ἐπὶ τὸν Ἀπόλλωνα ὁδοῦ. τῇ δὲ Ἥρᾳ μᾶλλον τῇ γαμοστόλῳ δεῖν θύειν ἱερά. ὁ δὲ αὐτὸν ἐξεφαύλιζεν. ἀπελθὼν τοίνυν ἐφονεύθη ἐν τῇ σχιστῇ ὁδῷ αὐτὸς καὶ ὁ ἡνίοχος αὐτοῦ, ἐπειδὴ ἔτυψε τῇ μάστιγι τὸν Οἰδίποδα. κτείνας δὲ αὐτοὺς ἔθαψε παραυτίκα σὺν τοῖς ἱματίοις, ἀποσπάσας τὸν ζωστῆρα καὶ τὸ ξίφος τοῦ Λαΐου καὶ φορῶν. τὸ δὲ ἅρμα ὑποστρέψας ἔδωκε τῷ Πολύβῳ, εἶτα ἔγημε τὴν μητέρα λύσας τὸ αἴνιγμα. μετὰ ταῦτα δὲ θυσίας τινὰς τελέσας ἐν τῷ Κιθαιρῶνι, κατήρχετο ἔχων καὶ τὴν Ἰοκάστην σὺν τοῖς ὀχήμασι. καὶ γενομένων αὐτῶν κατὰ τὸν τόπον ἐκεῖνον τῆς σχιστῆς ὁδοῦ, ὑπομνησθεὶς ἐδείκνυε τῇ Ἰοκάστῃ τὸν τόπον, καὶ τὸ πρᾶγμα διηγήσατο, καὶ τὸν ζωστῆρα ἔδειξεν. ἡ δὲ δεινῶς φέρουσα, ὅμως ἐσιώπα· ἠγνόει γὰρ υἱὸν ὄντα. καὶ μετὰ ταῦτα ἦλθέ τις γέρων ἱπποβουκόλος ἀπὸ Σικυῶνος, ὃς εἶπεν αὐτῷ τὸ πᾶν, ὅπως τε αὐτὸν εὗρε, καὶ ἀνείλετο, καὶ τῇ Μερόπῃ δέδωκε. καὶ ἅμα τὰ σπάργανα αὐτῷ ἐδείκνυε, καὶ τὰ κέντρα. ἀπῄτει τε αὐτὸν τὰ ζωάγρια, καὶ οὕτως ἐγνώσθη τὸ ὅλον. φασὶ δὲ, ὅτι μετὰ τὸν θάνατον τῆς Ἰοκάστης, καὶ τὴν αὐτοῦ τύφλωσιν, ἔγημεν Εὐρυγάνειαν παρθένον, ἐξ ἧς αὐτῷ γεγόνασι τέσσαρες παῖδες. ταῦτά φησι Πείσανδρος. κατῖσχον δὲ, ἀντὶ τοῦ ἐνίκησα, ὃ ἔχειν. Μιαιφόνε) κόρῃ γὰρ καὶ κρείττω τὰ σοφίσματα, δι᾽ ὧν ἐκράτει τῆς πόλεως.

Νῦν ἄτιμος αὐτὸς, οἰκτρὸς ἐξελαύνομαι χθονός.
Ἀλλὰ γὰρ τί ταῦτα θρηνῶ καὶ μάτην ὀδύρομαι;
“ Τὰς γὰρ ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν.
Χο. Ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

Nunc ignominiâ affectus idem miſer expellor ex terrâ.
Sed quid hæc gemo, & fruſtrà deploro?
“ Fatales enim caſus oportet ferre mortalem.
Cho. O valde clara Victoria, meam
Vitam teneas, me
Nec unquam ceſſes coronare.

1752. Ὦ μέγα σεμνὴ) ὦ νίκη μεγάλως σεμνὴ, οὕτω κατέχοις τὸν ἐμὸν βίοτον, καὶ τὴν ἐμὴν ζωὴν, καὶ μὴ λήγοις καὶ παύσαιο στεφανοῦσα καὶ τιμῶσα ἐμὲ διηνεκῶς.

Εὐριπίδου Φοινισσῶν Τέλος.

Eurip. Phæniſſ. Finis.

ANNOTATIONES.

V. 1749. Νῦν δ᾽ ἄτιμος αὐτὸς, οἰκτρὸς) Ita ex MS. C. C. C. reſtituo; cùm olim bis οἰκτρὸς erat, nec ſemel αὐτὸς, quod tamen abeſſe ſalvo ſenſu vix poteſt; nec οἰκτρὸς rectè bis adeſſe. Et *Scholiaſtes* τὸ αὐτὸς agnoſcit. *Joſua Barnes.*

V. 1750. Ἀλλὰ γὰρ τί ταῦτα &c.) ſcriptum erat Ἀτὰρ τί, magnâ cum metri jacturâ, quare *Canteri* authoritate & ipſius Poetæ, qui ſimili formâ alias utitur, ita luxatum verſum resarcire veriti non ſumus. Sic Poeta in *Troadibus* v. 444. Ἀλλὰ γὰρ τί τοὺς Ὀδυσσέως ἐξακοντίζω πόνους; Quin Clariſſimus Vir *Hugo Grotius* teſtatur ita in MS. ſe legiſſe. Et Nos quidem teſtamur ita etiamnum, nec alitèr legi in MS. Coll. *Corporis Chriſti* toties laudato, cujus rei Teſtes, cum Magiſtro & Sociis ejuſdem Collegii, illos omnes facio, qui mihi fidem non habuerint: illius enim Societatis Humanitas in his rebus Omnium votis & curioſitati ſatisfacere ſolet. Imprimis verò ſummæ ſpei Virum Juvenem appello, Dominum *Robertum Moſs* illius Collegii Socium meritiſſimum, quem & Arbitrum & Inſpectorem & Teſtem mearum cum hoc MS. Collationum habui. Ridicule igitur *Duportus* vult legi, ne minimâ metri ratione habitâ, Τί δ᾽ ἄρα ταῦ ταῦτα &c. Eundem ſenſum, quem *Oedipus* hîc duobus profert verſibus, *Jocaſta* unico expreſſit ſuprà, eoque *Iambo*, Ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν. & hinc forſan *Iambi* illius principium per errorem in *Trochæi* hujus principium irrepſit. *Joſua Barnes.*

V. 1752. Ὦ μέγα σεμνὴ &c.) Idem Epilogus ad *Oreſtæ* Fabulam & *Iphigen.* Tauric. Mirum eſt autem *Chorum* omninò mutum fuiſſe, totâ hac Scenâ, nec *Antigonæ* Optimæ Virgini, nec miſerrimo ſuo Regi *Oedipo* condoluiſſe: Quod & *Scholiaſtæ* notatur. *J. Barnes.*

Honora-

Honoratiſsimo Domino, Amico plurimum Colendo, Domino

MATTHÆO DUDLEY

De *Clapton*

In Agro NORTHAMPTONIENSI

BARONETTO,

Hanc *MEDÆÆ* Fabulam

Honoris causâ Sacram Voluit

JOSUA BARNES.

ΥΠΟΘΕΣΙΣ

ΜΗΔΕΙΑΣ.

ΙΑΣΩΝ εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος, τοῦ Κορινθίων βασιλέως, θυγατέρα Γλαύκην πρὸς γάμον. Μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι, καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ, ἐσθῆτα καὶ χρυσοῦν στέφανον. οἷς ἐκείνη χρησαμένη, διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ, ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐφ' ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ' Ἡλίου ἔλαβεν, ἔποχος γενομένη, ἀποδιδράσκει εἰς Ἀθήνας. κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν, ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς * Νόστους ποιήσας φησὶν οὕτως·

Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
Γῆρας ἀποξύσασ' εἰδυίῃσι πραπίδεσσι,
Φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησιν.

Αἰσχύλος δ' ἐν ταῖς τοῦ Διονύσου τροφοῖς ἱστορεῖ, ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα, ἐνεοποίησε. Στάφυλος δὲ φησὶ, τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι. ἐγκελεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου. ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι, τελευτῆσαι αὐτόν.

ARGUMENTUM

MEDÆÆ.

JASON profectus *Corinthum*, adducens & *Medeam*, ducit in matrimonium *Glaucam* filiam *Creontis*, regis *Corinthiorum*. *Medea* autem, cùm in exilium à *Creonte* releganda è *Corintho*, deprecata eſſet, ut uno die maneret, & impetràſſet, dona mittit *Glaucæ* per ſuos liberos, quaſi mercedem pro Beneficio *accepto*, veſtem & auream coronam, quibus illa uſa perit: *Creon* etiam complexus filiam, moritur. *Medea* verò cùm interfeciſſet ſuos liberos, fugit *Athenas* in curru draconum alatorum, quem à Sole acceperat, vecta: ibi verò nubit *Ægeo* filio *Pandionis*. *Pherecydes* autem & *Simonides* aiunt, quòd *Medea Jaſonem* coquens juvenem fecerit. De patre verò ejus *Æſone*, ſic inquit poeta, qui confecit (*Argonautarum*) Reditus,

* *Æſona* tum ſubitò fecit juveneſcere lætâ
Fronte ſenem, exutis per *Theſſala* Carmina rugis,
Pharmaca multa coquens, auro fulgente Lebete.

Æſchylus verò in Nutricibus *Bacchi* narrat, quòd etiam nutrices *Bacchi* cum maritis earum coquens, juvenes fecerit. *Staphylus* verò dicit aliquo modo interfectum eſſe *Jaſonem* à *Medeâ*. Nam juſſu ejus eum dormìſſe ſub puppe navis Argûs, cùm eſſet diſſolvenda tempore: incidente igitur puppi ſuper *Jaſonem*, ipſum eſſe mortuum. * *Ex Goſp. Stiblini* Editione.

ΑΛΛΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΜΗΔΕΙΑ διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν, τῷ ἐκεῖνον γεγαμηκέναι Γλαύκην τὴν Κρέοντος θυγατέρα, ἀπέκτεινε μὲν Γλαύκην καὶ Κρέοντα, καὶ τοὺς ἰδίους υἱούς· ἐχωρίσθη δὲ Ἰάσονος, Αἰγεῖ συνοικήσουσα. Παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων. Ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος, κατὰ τὴν ὀγδοηκοστὴν ἑβδόμην Ὀλυμπιάδα. Πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης. Μήδεια, Φιλοκτήτης, Δίκτυς, Θερισταὶ Σάτυροι, οὐ σώζεται.

ALIUD ARGUMENTUM

ARISTOPHANIS GRAMMATICI.

MEDÆA, odio *Jaſonis*, quòd is *Glaucam Creontis* filiam duxiſſet, *Glaucam* & *Creontem* interfecit, ſuóſque ipſius filios: unde à *Jaſone* ſeparata, cum *Ægeo* habitavit. Hæc fabula apud Neutrum eſt, h. e. neque *Æſchylum*, neque *Sophoclem*. Scena fabulæ *Corinthi* ponitur: Chorus ex illius urbis mulieribus conſtat. Acta eſt *Pythiodoro* Archonte, circa octogeſimam ſeptimam *Olympiadem*. Primus *Euphorion*, ſecundus fuit *Sophocles*, tertius *Euripides*. *Medea*, *Philoctetes*, *Dictys*, *Meſſores Satyrici*: non extat.

* Ὁ τοὺς Νόστους) De Carminibus, quorum Nomina οἱ Νόστοι, & Κυκλικοὶ & Κύπρια, eorundemque Authoribus vid. *Jacobi Nicolai Loenſis* Miſcell. Epiphill. l. 2. c. 3. & 4. Item *Thom. Stanleii* Commentarium in *Æſchyl.* in Catal. ad vocem Ἀθάμας. *Hofmanni* denique Lexici Univerſ. Continuat. in voce *Cyclicus*-Scriptor. Putabatur autem *Staſinus* Author *Cypriorum*. Ita *Tzetzes* in *Lycophron*. p. 90. & alii. Erant & Poemata *Thebaica* dicta & *Troica* & *Argonautica*, & Hiſtoriæ ſingulares, quas vocabant *Alcmæonida* & *Danaida* &c.

Τὰ

ΕΥΡΙΠΙΔΟΥ ΜΗΔΕΙΑ.

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ. **PERSONÆ hujus Fabulæ *ſunt hæ.***

ΤΡΟΦΟΣ ΜΗΔΕΙΑΣ.
ΠΑΙΔΑΓΩΓΟΣ.
ΜΗΔΕΙΑ.
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.
ΚΡΕΩΝ.
ΙΑΣΩΝ.
ΑΙΓΕΥΣ, Βασιλεὺς Ἀθηνῶν.
ΑΓΓΕΛΟΣ.
ΠΑΙΣ ΜΗΔΕΙΑΣ.
ΕΤΕΡΟΣ παῖς.

Προλογίζει δὲ ἡ τροφός.

NUTRIX MEDÆÆ.
PÆDAGOGUS.
MEDÆA.
CHORUS MULIERUM.
CREON.
JASON.
ÆGEUS, *Rex Athenarum.*
NUNTIUS.
FILIUS MEDÆÆ.
ALTER filius.

Prologum autem agit Nutrix.

ARGUMENTUM *Actûs* Primi.

NUtrix *Prologum agens occaſionem totius Fabulæ aperit, Dominæque* Medææ *vicem deplorat: Hinc Colloquium* Nutricis & Pædagogi, *qui Periculum invicem exaggerant, quod non ſolùm* Creonti & Glaucæ (*quos hoſtes ducunt*) *ſed etiam Liberis* Medææ *ab impotenti ipſius irâ impendeat: Quin his malis ſuperventurum dicunt* Medææ *& illius Liberorum exilium. Ipſa interim magno & miſerabili ejulatu ſe cum liberis &* Jaſone *diris devovet & gemiſcit intùs.* Nutrix & Chorus *mutuam fidem ergà Dominam liberóſque illius ſpondent, &* Nutrix *ad evocandam* Medæam *it intrò.*

Ovidius Naſo ſcripſit Fabulam hujus Nominis & Argumenti; quam Laudant Veteres & præcipuè *Fabius Quintilianus* l. 8. c. 5. ubi & hunc ex eâ Verſum laudat, *Servare potui; Perdere an poſſim rogas?* Hanc Fabulam dicunt illum ex *Euripide* vertiſſe; quod tamen haud credo, quià nullus eſt in hâc *Græcâ* locus, qui *Latino* illi reſpondeat. Quin & ipſe *Mecenas* dicitur *Medæam* ſcripſiſſe. *Ennius* certè hanc ipſam Fabulam *Latinè* vertit, uti mox conſtabit, ubi illius Verſus nonnullos laudavero. *Senecæ* Fabula etiamnum extat ex hâc compaginata, licet variatâ paulùm, ut in rebus iſtiuſmodi fieri ſolet, Oeconomiâ. *Georgius Buchananus* verò hanc Fabulam *Latino* Carmine eleganti donavit. De Hiſtoriâ autem *Jaſonis* & *Medeæ* conſulatur *Diodori Siculi* Bibliotheca l. 4. Item *Apollodori* Bibliotheca l. 1. c. 9. §. 16. & præcipuè §. 28. Qui locus in aliis libris dicitur, *Argonautica*, & ſub eo nomine extat ad Finem antiqui Poematis, cujus Nomen quoque Ἀργοναυτικὰ, Impreſſ. *Lipſiæ* An°. 1588. Ubi & *Apollodori Thebaica*, præter Poema ejuſdem Nominis; item *Troica* Carmine Heroico, præter *Manaſſæ* Troica, Carmine Politico (cum Parvâ Iliade) & Poema demùm ſuaviſſimum de *Arione Methymnæo*. Simul extant in Bibliothecâ Collegii SS. Trinitatis *Cantabr.* inter Libros Doctoris *Duporti*. Huc refer *Ovidii* Epiſtolas *Jaſonis* & *Medææ*. Item *Hygini* Fabul. xxv. *Joſua Barnes.*

ΤΡΟΦΟΣ, ΠΑΙΔΑΓΩΓΟΣ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Τρ. ΕΙΘ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν, Κυανέας Συμπληγάδας,
Μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε

Nutr. UTinam navis Argo non volâſſet per
Cyaneas Symplegadas in terram Colchicam:
Neque in ſaltibus Pelii cecidiſſet unquam

Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτᾶσθαι σκάφος) Τὸ ὤφελε πρὸς ἐπιρρηματικῶς λέγεται, ὡς τὸ Ὤφελλε μηδ' ἐγένοντο δυαὶ νῆες. ἐν δὲ ὑπαλλάξον τὸ σχῆμα, ἡ γενὰς συνεχῶσιεν ἀπὸ δεχομένους τῇ ἀφίξει τῆς Ἀργοῦς. ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ οἶδεν, * Οὐκ ὄφελον Τρῴεσσι μετατετάχθαι, † καὶ Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα. ἐκποιεῖται δὲ ἡ

* Οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη) Olim κοτεσσάμενος legebatur; ſed hic Verſus cùm ſumatur ex *Homeri* Iliad. ε'. v. 367. Ita legendum conſtat, Οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι. † Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα) Extat Iliad. ι. v. 694.

ANNOTATIONES.

V. 1. Εἴθ' ὤφελ' Ἀργοῦς &c.) Quod polliciti ſumus in ſuperioribus ad Argumentum Notis, id nunc præſtandum cenſeo, nempè ſpecimen quoddam *Ennianæ* Verſionis hujus Fabulæ proferre. Et id *Cicero* in ſecundo ad *Herennium* ita exhibet,

Utinam, ne in Nemore Pelio ſecuribus
Cæſa cecidiſſet Abiegna *ad terram trabes;*
Neve inde Navis inchoandæ exordium
Cœpiſſet, quæ nunc nominatur nomine
Argo, quâ vecti Argivi delecti Viri
Petebant illam Pellem inauratam Arietis,
Colchis, imperio Regis Peliæ per dolum.
Nam nunquam Hera errans mea, domo efferret pedem
Medæa, *animo ægra, amore ſævo ſaucia.* Joſua Barnes.

V. 2 Κυανέας) *Latinè* Cyaneas. Ità verto, rejecto *Cæruleas*, quod priùs obtinebat; *Cyaneæ* enim eſt proprium nomen hoc in loco earum Inſularum *Ponti*, quæ ob concurſum, quem navigantibus facere videntur, *concurrentia ſaxa* Latinis & συμπληγάδες & συνδρομάδες, & συνορμάδες vocantur *Græcis*. Vide quæ Nos ad *Iphig. Taur.* v. 241. Ubi tamen Doctus Vir Dom. *Ricardus Bentley* monet pro κυανέας Συμπληγάδας πλάτη legi debere vel κυανέας Συμπληγάδας, vel κυανέας Συμπληγάδων πέτρας. Vide etiam *Iſaac. Tzetzem* in *Lycophron.* p. 189. *Joſua Barnes.*

V. 3. Μηδ' ἐν νάπαισι &c.) Vide *Johannis Brodæi* Miſcell. l. 6. c. 9. ubi hic locus expenditur & *Ennii* ſimul Verſio.

διεσολὴ

εἰσβολὴ διὰ τὸ ἀπρεπῶς ἄγαν ἔχειν, καὶ ταῖς ὑπερβολαῖς εὖ κεχρῆσθαι. Ἄλλως) ἐπαινεῖται ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν. εὖ δὲ καὶ τὸ ταῖς ὑπερβολαῖς κεχρῆσθαι. πολὺ τὸ τοιοῦτον εἶδος παρ' Ὁμήρῳ. ὁ δὲ Τίμαρχος τὸν τρόπον τῆς ποιήσεως ἀγνοήσας ποιητικὸν ὄντα, τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι. ὡς καὶ Ὅμηρος, Εἵματα δ' ἀμφιέσασα θυώδεα καὶ λούσασα· πρότερον γάρ φησιν εἶναι τὰ δένδρα, [illegible] οὕτως κατασκευασθῆναι τὴν Ἀργώ. Εἴθε] ἐπίρρημα εὐκτικόν. * Εἴθ' ὡς ἡβώοιμι. ἀεὶ δὲ προτάττεται τῆς συντάξεως. τὸ δὲ ὤφελε ῥῆμα ὡς ἀπαρέμφατον ἔπεται, † Ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακός. τὸ δὲ διαπτάσθαι τραγικῶς, ὡς ἐπὶ ὀρνέου. ἔδει δὲ εἰπεῖν διαπλεῦσαι. Ἀργὼ δὲ ἀπὸ Ἄργου τοῦ ναυπηγήσαντος. ἢ διότι ἐταχυδρόμει. ἀργὸν γὰρ τὸ ταχύ. ἐντεῦθεν καὶ λήθαργος, ὁ τῇ λήθῃ ταχύς. καὶ πρώτην γε αὐτὴν ναυπηγηθῆναι φασίν· ἄλλοι δὲ τὴν ὑπὸ Δαναοῦ γεγενημένην. ἔστι δὲ ὑπόθεσις ὁ τρόπος. τὰ γὰρ δεύτερα τῇ τάξει, πρῶτα ὑπέθετο. Ἀργοῦς σκάφος] περιφραστικῶς ἡ Ἀργώ, οὐκ ὤφελεν ἡ Ἀργὼ παρελθοῦσα τὰς συμπληγάδας εἰς Σκυθίαν ἐλθεῖν. τὸ δὲ Κόλχων ἐς αἶαν) πόλις ἐν Σκυθίᾳ οὕτω καλουμένη ὀνομαστικῶς. Κυανέας δὲ.) τὰς περὶ τὸ στόμα τοῦ Πόντου λέγει, αἳ δι' ἀπάτην τῆς ὄψεως δοκοῦσιν ἐνταῦθα κἀκεῖ φέρεσθαι. τὰς δὲ Συμπληγάδας ὁ Σιμωνίδης συνορμάδας φησίν. Ἐρατοσθένης δὲ ἐν γεωγραφουμένοις, φησὶ τὸν πλοῦν στενὸν εἶναι καὶ σκολιόν, δι' ὃ φαντάζεσθαι τοὺς πλέοντας τὴν ἀπόκλεισιν τῶν πετρῶν.

* Εἴθ' ὡς ἡβώοιμι) Hemiſtichium *Homericum*, Iliad. ἠ. v. 157. † Ὡς ὄφελεν θάνατός μοι &c.) Hemiſtichium *Homer*. Iliad. γ'. v. 173.

Τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
Ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρας
Πελίᾳ μετῆλθον· οὐ γὰρ ἂν δέσποιν' ἐμὴ,
Μήδεια, πύργους γῆς ἔπλευσ' Ἰωλκίας,
Ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος.
Οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
Πατέρα, κατῴκει τήνδε γῆν Κορινθίαν,
Ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἀνδάνουσα μὲν
Φυγῇ πολιτῶν, ὧν ἀφίκετο χθόνα,
Αὐτή τε πάντα συμφέρουσ' Ἰάσονι·
" Ἥπερ μεγίστη γίγνεται σωτηρία,
" Ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
Νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
Προδοὺς γὰρ αὑτοῦ τέκνα, δεσπότιν τ' ἐμὴν,
Γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
Γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη,
Βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς,
Πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται,
Οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.

Secta pinus: neque manus remigâſſent
Virorum præſtantiſſimorum, qui aureum vellus
Allatum Peliæ iverunt: Neque enim mea domina
Medea navigâſſet ad turres agri Iolcii,
Capta vehementèr animo amore Jaſonis.
Neque perſuadens filias Peliæ, ut interficerent
Patrem, inhabitaret hanc terram Corinthiam,
Cum viro & liberis: placens quidem
Exilio ſuo civibus ad quorum terram pervenit;
Et ipſa Jaſonem tunc adjuvans in omni re:
" Quæ maxima ſalus eſt conjugi,
" Quando conjux à marito non diſſidet.
Nunc verò omnia *ſunt* inimica, & laborant chariſſima:
Nam proditis ſuis liberis meâque dominâ,
Jaſon cubat in nuptiis regiis,
Ductâ Creontis filiâ, qui princeps eſt hujus agri.
Medea vero infelix, contumeliâ affecta
Clamat jusjurandum, vocat & dexteras *datas*,
Maximam fidem, & Deos teſtatur,
Qualem gratiam relatam conſequatur ex Jaſone.

Τμηθεῖσα πεύκη) συνεκδοχὴ ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ κοινοῦ δὲ τὸ ὤφελε μὴ ἐρετμῶσαι ἡ Ἀργὼ τὰς τῶν ἀρίστων χεῖρας. Πάγχρυσον δέρας) τὸ δέρμα. τοῦτο οἱ μὲν ὁλόχρυσον εἶναι φασιν, οἱ δὲ πορφυροῦν. καὶ Σιμωνίδης δὲ ἐν τῷ εἰς τὸν Ποσειδῶνα ὕμνῳ, ἀπὸ τῶν ἐν τῇ θαλάσσῃ πορφυρῶν κεχρῶσθαι αὐτὸ λέγει. 9. Οὐδ' ἂν κτανεῖν πείσασα) πολυειδής τις λόγος φέρεται τῶν φιλοσόφων, ὃν καὶ Παρμενίσκος ἐκτίθησιν, ὡς * ἄρα πέντε τάλαντα λαβὼν παρὰ Κορινθίων Εὐριπίδης, μετηγάγε τὴν σφαγὴν τῶν παίδων ἐπὶ τὴν Μήδειαν. ἀποσφαγῆναι γὰρ τοὺς παῖδας Μηδείας ὑπὸ Κορινθίων, προξενηθέντων ἐπὶ τῷ βασιλεύειν αὐτὴν θέλειν, διὰ τὸ τὴν Κόρινθον πατρῴαν αὐτῆς κτῆσιν εἶναι. ὃν μετήγαγεν ἐπὶ Μήδειαν. περὶ δὲ τῆς εἰς Κόρινθον μετοικήσεως, Ἱππεὺς ἐκτίθεται καὶ Ἑλλάνικος. ὅτι δὲ βεβασίλευκε τῆς Κορίνθου ἡ Μήδεια, Εὔμηλος ἱστορεῖ καὶ Σιμωνίδης· ὅτι δὲ καὶ ἀθάνατος ἦν ἡ Μήδεια, Μουσαῖος ἐν τῷ περὶ Ἰσθμίων ἱστορεῖ, ἅμα καὶ περὶ τῶν τῆς ἀκραίας Ἥρας ἑορτῶν ἐκτιθείς. Πελιάδας) τὰς Πελίου θυγατέρας ἔπεισεν ἡ Μήδεια, τὸν πατέρα σφάξαι, καὶ ἑψῆσαι, ὡς ἐσομένου νεωτέρου. ἑψήσασα πρότερον κριόν, καὶ ποιήσασα ἄρνα διὰ φαρμάκων. Τὸ δὲ ἀνδάνουσα) ὀρθῶς ἀντὶ δοτικῆς, ἀντὶ τοῦ ἀνδανούσῃ. ἤρεσκε δὲ τοῖς Κορινθίοις, ἀπαλλάξασα λιμῷ [illegible] αὐτοὺς [illegible] ἰάσατο, καὶ αὐτὴ δὲ ἤρεσκετο τῇ Κορίνθῳ. ἐπεὶ λέγονται καὶ οἱ Κορίνθιοι φαρμακοὶ εἶναι. τὰ δὲ ὅμοια τοῖς ὁμοίοις φίλα εἶναι, καὶ χαίρειν ἀλλήλοις ἴσμεν. Αἰσυμνᾷ) αἰσυμνᾶν ἐστι τὸ ἡγεῖσθαι καὶ ἄρχειν. ἰδίως δέ φησιν Ἀριστοτέλης, ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα κ. λ. ὅτι ὁ ποιητὴς δηλοῖ τοὺς ἄρχοντας τῶν ἀγώνων. Φασὶ δὲ τινὲς μὲν Ἱππότου, οἱ δὲ Κρέοντος παῖδα γαμῆσαι τὸν Ἰάσονα. περὶ δὲ τῆς Κρέοντος θυγατρός, οὐχ ὁμοφωνοῦσι τῷ Εὐριπίδῃ οἱ συγγραφεῖς. Κλειτόδημος μὲν γὰρ Κρέουσαν φησὶ καλεῖσθαι, γῆμαι δὲ Ξοῦθον. Ἀναξικράτης δὲ Γλαύκην. 20. Μήδεια δ' ἡ δύστηνος) Μήδειαν ὑπὸ Ἀκάστου ἐκπεσοῦσαν σὺν Ἰάσονι, Ἱππότης ὑπεδέξατο Κρέοντος τοῦ Λυκαίθου. ὁ Λύκαιθος δέ, ἐπεὶ Βελλεροφόντης ᾤχετο, ἦρξεν ἔτη κζ'. ἔπειτα Κρέων λβ'. εἶτα Ἱππότης. ἐπεὶ δὲ Ἰάσων ἔγημε τὴν Ἱππότου θυγατέρα, τότε δὴ κτείνασα τοὺς παῖδας αὐτῆς, ἀπαλλάσσεται πρὸς Αἰγέα. ὅτι δὲ καὶ ἐβασίλευσε Κορίνθου, ἱστοροῦσιν Εὔμηλος καὶ Σιμωνίδης, λέγων οὕτω, ὁ δὲ γὰρ † εἰς Κόρινθον οὐ Μαγνησίαν ναῖεν. ἀλόχου δὲ Κολχίδος συνθετος, θρόνε λεχαίου τ' ἄνασσεν.

* Πέντε τάλαντα λαβὼν) De *Talento* Vid. *Cel. Rhod.* Antiqu. Lect. l. 25. c 18. & *Marſilii Cagnati* Variar. Obſervat. l. 4. c. 6. ubi etiam de *Drachmâ*, *Obolo* & *Triobolo*. Hi autem duo ſtatuunt ſingula talenta valere ſexcentos coronatos aureos; hoc eſt *Anglicè* noſtræ monetæ 187l—10s—0 adeò ut quinque hæc talenta, Attica cum fuerint, valuerint tres mille aureos, hoc eſt, noſtræ monetæ. 937l—10—0. De hâc autem *Corinthiorum* ad *Euripidem* largitione Vid. etiam *Plutarchum* in *Alexandro*, *Apollodorus* quoque Biblioth. l. 1. c. 9. §. 28. *Medeæ* filios à *Corinthiis* cæſos memorat. *Joſua Barnes.*

† Κατ' οὐ) Videtur hic locus aliquantò corruptus.

ANNOTATIONES.

V. 9. Πελιάδας κόρας) Earum Nomina & Hiſtoriam vide in Argumento Fabulæ *Peliades* dictæ, quæ inter Fragmenta cernitur ad Finem hujus Operis Vol. 2. fol. 486. & infra [illegible] hujus Fabulæ v. 486. & v. 504. Item *Apollodori* Biblioth. l. 1. c. 9. §. 27. *J. B.*

V. 12. Φυγῇ) Aliàs φυλῇ, vel ψυχῇ. Vid. *Canteri* Novar. Lect. l. 2. c. 21. Sed has ejus conjecturas damnat Codex *Heinſio-Scaligerianus*. Ego quidem φυγῇ manere velim & πολίταις legi, unde omnis prorſus difficultas tolleretur: Vel ita lego, φυγῇ, πολιτῶν ὧν, &c. Sicut. *Urbem quam ſtatuo, veſtra eſt*; ut πολιτῶν includatur. Confer *Scholiaſt.* notavit *Joſua Barnes.*

V. 19. Αἰσυμνᾷ) De Origine hujus Dictionis vid. *Euſtathium* & Lexicographos: De ſignificatione vid. *Scholiaſtem*, quem egregiè corruptum nos ad priſtinum ſplendorem reſtituimus. Olim enim ita legebatur, Αἰσυμνῆται δὲ κριταὶ θ'. οἱ ἄρχοντες τῶν ἀγώνων. Hunc ego locum ex *Homero* reſtituo; nec enim dubitandum, *Scholiaſten* reſpicere illud *Homeri*, Odyſſ. θ'. v. 258.

Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν
Δήμιοι, οἳ κατ' ἀγῶνας ἐΰ πρήσσεσκον ἕκαστα.

Hunc locum breviter pro more deſignabat *Scholiaſtes*, θ'. enim ἐννέα valet, κριταὶ autem malè pro κριτοὶ, & ὅτι ὁ ποιητὴς δηλοῖ, vel tale quid, excidebat ante τοὺς &c. De voce Αἰσυμνήτας ita quoque *Sophoclis* Scholiaſtes ad *Oedipum* Tyrannum ὁ δ' Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ, τοὺς Τυράννους φησὶ τὸ πρότερον Αἰσυμνήτας προσαγορευθῆναι· εὐφημότερον δ' εἶναι τοὔνομα. *J. Barnes.*

Κεῖται

Κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
Τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
Ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
Οὔτ' ὄμμ' ἐπαίρουσ', οὔτ' ἀπαλλάσσουσα γῆς
Πρόσωπον· ὡς δὲ πέτρος, ἢ θαλάσσιος
Κλύδων, ἀκούει νουθετουμένη φίλων,
Ἢν μή ποτε στρέψασα πάλλευκον δέρην,
Αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώξῃ φίλον,
Καὶ γαῖαν, οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
Μετ' ἀνδρὸς, ὅς σφε νῦν ἀτιμάσας ἔχει.
" Ἔγνωκε δ' ἡ τάλαινα, συμφορᾶς ὕπο,
" Οἷον πατρῴας μὴ 'πολείπεσθαι χθονός.
Στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται.
Δέδοικα δ' αὐτὴν, μή τι βουλεύσῃ νέον.
Βαρεῖα γὰρ φρὴν, οὐδ' ἀνέξεται κακῶς
Πάσχουσ'· ἐγᾦδα τήνδε· δειμαίνω δέ νιν,
Μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ,
Κἄπειτα μείζω συμφορὰν λάβῃ τινά·
Δεινὴ γάρ. οὔτοι ῥᾳδίως γε συμβαλὼν
Ἔχθραν τις αὐτῇ, καλλίνικον οἴσεται.
Ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
Στείχουσι μητρὸς οὐδὲν ἐννοούμενοι
" Κακῶν. Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.
Παι. Παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
Τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν
Ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
Πῶς σου μόνη Μήδεια λείπεσθαι θέλει;
Τρο. Τέκνων ὀπαδὲ, πρέσβυ, τῶν Ἰάσονος,
" Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
" Κακῶς πιτνοῦντα, καὶ φρενῶν ἀνθάπτεται.
Ἐγὼ γὰρ εἰς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
Ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
Λέξαι, μολούσῃ δεῦρο, Μηδείας τύχας.
Παι. Οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;

Jacet autem ſine cibo, ſubjiciens corpus doloribus,
Omni tempore contabefaciens corpus lachrymis,
Poſtquam animadvertit ſe injuriâ affectam à viro:
Neque oculos tollens, neque avertens à terrâ
Faciem, ſed ut ſaxum, aut marinus
Fluctus, audit monitus amicorum:
Niſi quando vertens candidam cervicem,
Ipſa apud ſeſe deploraverit patrem ſuum,
Et terram & ædes, quibus relictis venit *huc*
Cum marito, qui nunc contumeliâ-affecit eam.
" Et miſera agnovit ob ipſam calamitatem,
" Quid *ſit* non deſerere terram patriam.
Odit autem liberos, neque lætatur aſpectu eorum.
Metuo verò ipſam, nè quid novi moliatur,
Nam animus *ejus eſt* vehemens, nec ſuſtinebit mala
Pati: ego novi eam, metuo autem eam
Ne acutum tranſigat gladium per hepar,
Clam ingreſſa domum, ubi ſtratus eſt lectus:
Aut etiam occidat regem & hunc, qui duxit uxorem,
Deinde verò majorem aliquam cladem accipiat.
Eſt enim vehemens. Non facilè ſi ſuſceperit
Cum eâ odium aliquis, præclaram victoriam auferet.
Sed iſti pueri ceſſantes à ſcholâ curuli
Veniunt, nihil cogitantes de matris
" Malis. Nam puerilis animus non ſolet dolere.
Ped. Antiquum mancipium meæ dominæ,
Quid ad portas hanc agens ſolitudinem,
Stas, ipſa tibi recenſens mala?
Quomodo ſine te ſola Medæa relinqui vult?
Nut. O ſenex, comes liberorum Jaſonis,
" Fidelibus miniſtris calamitati ſunt dominorum
" Res adverſæ, & angunt *ipſorum* animos.
Ego enim eò perveni doloris,
Ut mihi venerit deſiderium terræ & cœlo
Dicere calamitates Medææ, egredienti huc.
Ped. Nondum ergo ceſſat à luctu miſera?

Δακρύοις χρόνον) ἀνενδότως δάκρυσιν, ἀντὶ τοῦ συντηκομένη τὸν πάντα χρόνον, οἷον συνεχῶς κλαίουσα ἄνεσιν οὐ λαμβάνει. Ἢν μή ποτε στρέψασα) τὸ δέρην ἐὰν μὲν μετὰ τοῦ ι ὀξυτόνως, δειρήν. εἰ δὲ χωρὶς τοῦ ι, δέρην. Ἀτιμάσας ἔχει) Ἀττικῶς, ἀντὶ τοῦ ἠτίμασε. καὶ Σοφοκλῆς, παῖδας γὰρ οὓς ἔφυσ' ἀναλώσας ἔχει. καὶ πάλιν, εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω. οἷον λείπει τὸ ἀγαθόν. Ὅμηρος, * ὡς οὐδὲν γλύκιον ἧς πατρίδος. Φάσγανον δι' ἥπατος) ἐπὶ τῶν παίδων ἀκουστέον. καὶ γὰρ φησί· στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται. δύναται καὶ ἐπὶ αὐτῆς ἀκούεσθαι. ὁ δὲ Εὐριπίδης τὰ μέλλοντα ἀναφωνεῖ. ὁμοία δὲ ἡ ἀμφιβολία, καὶ παρ' Ὁμήρῳ,* δείδιε γὰρ μὴ λαιμὸν ἀπαμήσειε σιδήρῳ. καὶ τὸ διὰ τοῦ ἥπατος δὲ τῶν παίδων λέγει. ἦθος γάρ ἐστιν αὐτῷ, ὡς εἴρηται, προλέγειν τὰ μέλλοντα. Τύραννον) τὸν Κρέοντα φησί. τὸ δὲ ἑξῆς ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ, δεινὴ γάρ. Συμφορὰν δὲ λάβῃ) οἱονεὶ μείζονι κακῷ περιπέσῃ. πρὸς τὸ ἤδη μεμισῆσθαι ὑπὸ Ἰάσονος. Ἐκ τρόχων) δρόμων, ὡς νόμων. Ἀριστοφάνης, βαδίζει μοι τὸ μειράκιον ἐξ ἀποτρέχων. ὡς ἀπὸ γυμνασίας ἐπελθόντας τοὺς παῖδας. Θρεομένη) συννοουμένη, ὁμιλοῦσα. εἴρηται δὲ ἀπὸ τοῦ θρόου. Ὅμηρος, † οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς. ἢ διαλεγομένη παρὰ τὸν θροῦν. Νέα γὰρ φροντὶς) ἡ γὰρ τῶν νέων διάνοια πονεῖν ἢ λυπεῖσθαι οὐ φιλεῖ. οἱ γὰρ νέοι ἔξω πάσης φροντίδος καὶ κακίας εἰσί. 49. Παλαιὸν οἴκων) ἀντὶ τοῦ παλαιὰ θεράπαινα. Χρηστοῖσι δούλοις) τοῖς χρηστοῖς δούλοις τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα συμφορὰν φέρει καὶ ὀδύνας. κακῶς ἐμπίπτοντα, εἰς κακὸν ἀποβαίνοντα τὰ τῶν δεσποτῶν. 57. Ὥσθ' ἵμερός μ' ὑπῆλθε) τὸ σχῆμα σολοικοφανὲς, διὰ τὴν ἐναλλαγὴν τῆς πτώσεως. οὕτω δὲ φησὶ πέπληγα τὴν ψυχὴν ὑπὸ τῶν κακῶν τῶν κατὰ Μήδειαν, ὡς ἀφιέναι λόγους εἰς τε γῆν καὶ τὸν ἀέρα, ἀποδυρομένη τὰς ἐκείνης τύχας. οὐρανὸν γὰρ λέγει νῦν τὸν ἀέρα. οἱ δὲ στενοχωρούμενοι τῷ κακῷ, τῷ οὐρανῷ, ἢ τῷ ἡλίῳ, ἢ τινὶ ἄλλῳ θεῷ ὑφηγοῦνται τὰ καθ' ἑαυτοὺς πράγματα. Ἄλλως. μεμίμηται τοὺς ἐν μεγάλαις δυσχερείαις ἐξεταζομένους. οὗτοι γὰρ σιωπᾶν τὰς συμφορὰς μὴ δυνάμενοι, καὶ λέγειν ἀνθρώποις φοβούμενοι, οὐρανῷ, ἢ ἡλίῳ, ἢ γῇ, ἢ θεοῖς ἄλλοις διηγοῦνται.

* *Odyſſ.* ι. v. 34. * *Iliad.* σ' v. 34. † *Iliad.* Δ'. v. 437.

ANNOTATIONES.

V. 45. Καλλίνικον οἴσεται) *M. Anton. Muretus Variar. Lection.* l. 3. c. 11. legit ᾄσεται, cui aſſentit *Canterus*. Et ſcio phraſin hanc uſitatam. De quâ Nos plura in *Hercule Fur.* v. 681. ſed opus hic non video, ut tollatur τὸ οἴσεται, bono enim cum ſenſu & illud ſtabit: Quarè & *Buchananus* retinet, qui ſic vertit,

Metuenda ſane eſt, nec facilè Victoriam
Referet, *in illam ſiquis odia exerceat.*

Hugo Grotius quoque retinet in Excerptis ſuis & ſic vertit,

Dura eſt; nec illam qui habeat inimicam ſibi
Facilem ac paratam ſpondeat Victoriam. Joſua Barnes.

V. 46. Ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι στείχουσι) Ita idem *Euripides* in *Alope*, inter Fragmenta, v. 3. Ὅσοι μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον στείχοντες θεωροῦ, ἐκ τρόχων πεπαυμένοι. Uterque locus de Gymnaſiis intelligitur, de quâ re vide Scholiaſt. *J. Barnes.*

V. 58. Μολούσῃ) Syntaxis mira, ἵμερός με ὑπῆλθε μολούσῃ, quam *Scholiaſtes* refert ad *Solœciſmum*: Vid. *Hippolyt.* v. 23. alii putant τὸ μ' pro μοι poni, ut ſit μοι μολούσῃ; ſed videant illi, quomodo μοι ſequatur ὑπῆλθε. Frequens verò Poetis eſt mos, ſyntaxin mutandi in ſententiæ progreſſu, ut & omnes homines in familiaribus congreſſibus facere ſolent. Vid. etiam quæ Nos ad *Iphigen.* Taur. v. 695. *Bacch.* v. 1307. & *Cyclop.* v. 330. Quod autem ad morem attinet Terræ, aut Cœlo, Soli, aut Lunæ aliquid narrandi, elegantèr *Plautus*, in *Mercatoris* Prologo, v. 3. Non ego item facio, ut alios in Comœdiis Vidi facere Amatores, qui aut Nocti, aut Diei, aut Soli, aut Lunæ Miſerias narrant ſuas. *Ennius* hunc locum ita vertit, *Cupido cepit miſeram nunc me proloqui Cœlo atque Terræ Medeai miſerias. Cicero* Tuſc. Quæſt. l. 3. *Joſua Barnes.*

Τρ. Ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ.
Παι. Ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε,
Ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
Τί δ' ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.
Παι. Οὐδέν, μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
Τρ. Μὴ πρὸς γενείου κρύπτε σύνδουλον σέθεν·
Σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.
Παι. Ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
Πεσσοὺς προσελθών, ἔνθα δὴ παλαίτατοι
Θάσσουσι σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
Ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
Σὺν μητρὶ μέλλει τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε,
Οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.
Τρ. Καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
Πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
Παι. « Παλαιὰ καινῶν λείπεται κηδευμάτων,
Κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.
Τρ. Ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
Νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.
Ἀτὰρ σύγ' (οὐ γὰρ καιρὸς εἰδέναι τάδε
Δέσποιναν) ἡσύχαζε, καὶ σίγα λόγους.
Τρ. Ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ.
Ὄλοιτο μὲν μή, δεσπότης γὰρ ἔστ' ἐμός,
Ἀτὰρ κακός γ' ὢν εἰς φίλους ἁλίσκεται.
Παι. Τίς δ' οὐχὶ θνητῶν ἄρτι γινώσκει τόδε,
« Ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ;
« Οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν.
« Εἰ τούσδε γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ;
Τρ. Ἴτ', εὖ γὰρ ἔσται, δωμάτων ἔσω, τέκνα.
Σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε,
Καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
Ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην,
Τοῖσδ' ὥστι δρασείουσαν· οὐδὲ παύσεται

Nut. Laudo te: malum inchoatum eſt, nondum eſt in medio.
Pæd. O ſtultam, ſi licet hoc dicere de dominis,
Ut nihil novit de recentioribus malis.
Nut. Quid verò eſt, ô ſenex? ne graveris dicere.
Pæd. Nihil; pœnitet me & priora dixiſſe.
Nut. Ne celes conſervam tuam per barbam:
Nam reticebo ea, ſi opus erit.
Pæd. Audivi quendam dicentem, cùm non viderer audire,
Accedens ad locum ubi luditur calculis, ubi natu grandes
Sedent, ad ſacram aquam Pirenes;
Quòd liberos hos è terrâ Corinthiâ ejicere
Velit cum matre dominus hujus terræ
Creon. Hic tamen ſermo an verus ſit,
Haud ſcio: equidem vellem hoc non ſic eſſe.
Nut. Et patietur Jaſon hæc liberis ſuis
Accidere, etiam ſi cum matre diſſidium habeat?
« *Pæd.* Veteres novis cedunt affinitatibus?
Et ille non eſt amicus his ædibus.
Nut. Actum eſt igitur de nobis, ſi addamus malum
Novum veteri, priuſquam illud exhauſtum ſit.
Pæd. At tu (non enim commodum eſt hæc ſcire
Dominam) quieſce & retice hos ſermones.
Nut. O liberi, audite, qualis in vos ſit pater:
Non precor quidem ut pereat; eſt enim dominus meus,
Sed tamen impius in amicos invenitur.
Pæd. Quis verò mortalium jam non novit hoc,
« Quod quiſque ſe ipſum magis quàm proximum amet?
« Alii quidem juſtè, alii verò etiam quæſtûs gratiâ.
« *Quid mirì ig.* ſi hos eriſ novi connubii causâ non diligit pater?
Nut. Ite intra domum, liberi, bene enim erit.
Túque tene hos quàm longiſſimè abductos,
Neque adducas ad matrem mœſtam.
Nam jam vidi eam oculis efferari,
Ut aliquid patrare cupientem adverſus hos: neque deſiſtet

Ζηλῶ σε) ἠθικῶς· ὡς εἰ εἶπε, μακαρίως σὺ τοιαύτην διάνοιαν ἔχεις. Ἄλλως. θαυμάζω σε, πῶς οὐκ ἔγνωκας. ἄρτι γὰρ ἀρχὴν εἴληφε τὸ κακόν, καὶ οὐδ' εἰς μεσότητα προῆλθε, τοσοῦτον ἀπέχει τοῦ πεπαῦσθαι τὸ κακόν. ἐν ἤθει δὲ εἴρηται, οἷον μακάριος εἶ τοιαύτην διάνοιαν ἔχων. τὸ γὰρ κακόν, οὐ μόνον οὐ λήγει, ἀλλ' οὐδὲ μεσάζει, οἷον ἀκμάζει. τὸ δὲ μεσοῖ, τρίτης συζυγίας. Ἤκουσά του) ἤκουσα φησὶ τινὸς λέγοντος τῶν ὀπαδῶν, προσποιούμενος μὴ ἀκούειν. Πεσσοὺς προσελθὼν) ἐπεὶ ἀπὸ τῶν ἐν τοῖς τόποις ὀνόμαζον τοὺς τόπους· πεσσοὺς γὰρ νῦν, τοὺς τόπους τῶν κυβευτῶν, ὡς ὄψον καὶ μύρα, ἔνθα ταῦτα συνήθως ἐστίν. ὅτι φασὶν εἰθισμένοι εἰσὶ πεττεύειν. προσελθὼν ἤκουσα, ἀντὶ τοῦ προσελθοῦσα. καὶ τὸ οὐ δοκῶν, ἀντὶ τοῦ οὐ δοκοῦσα. Κοὐκ ἔστιν ἐκεῖνος) Ὅμηρος ἀπὸ τῆς γυναικὸς ἔλαβε, καίτοι βέλτιον εἶχεν, ὤφελλεν, ὥσπερ ὤφειλε. ἔξωθεν δὲ τὸ ἔστι, καὶ οὐκ ἔστιν ἐκεῖνος τοῖσδε φίλος δώμασι. 76. Παλαιὰ καινῶν) τὸ διὰ τὸν Πελίου θάνατον ἐκβεβλῆσθαι Θετταλίας ὑπὸ Ἀκάστου τοῦ παιδὸς Πελίου, ἢ τὸ καταλειφθῆναι αὐτὴν ὑπὸ Ἰάσονος, ὃ καὶ μᾶλλον. νέον δὲ τὸ ἐκβληθῆναι τῆς Κορίνθου. τὸ δὲ ἐξηντληκέναι ἀντὶ τοῦ πεπαῦσθαι, ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ἀντλούντων. Πειρήνης ὕδωρ) Πειρήνη κρήνη ἐν Κορίνθῳ, ἣν Ἀσωπὸς εὗρεν, Ὠκεανοῦ παῖς, χαριζόμενος Σισύφῳ τῷ Κορινθίῳ σπανίζοντι ὕδατος, ὅτι αὐτῷ Αἰγίνης τῆς θυγατρὸς τὴν ὑπὸ Διὸς ἐμήνυσεν ἁρπαγήν. 85. Τίς δ' οὐχὶ θνητῶν) οὕτως ἀναγνωστέον, τίς δ' οὐχὶ θνητῶν. καὶ στικτέον. εἶτα ἀπὸ ἄλλης ἀρχῆς, ἄρτι γινώσκεις τόδε. Διὸ καὶ μετὰ τοῦ σ' χαράττειν, οἷον τίς οὐκ ἔστι κακὸς εἰς φίλους, εἶτα τὸ ἄρτι γινώσκεις τόδε, οἷον ἄρτι ἔγνωκας, ὅτι ἑαυτοὺς μᾶλλον φιλοῦσιν, ἢ τοὺς πέλας. οἱ δὲ ὑποκριταὶ τοῦτο ἀγνοήσαντες, τὸ τῆς ἀντιδιαστολῆς μεταποιοῦσιν, εἰς τό, τίς δ' οὐχὶ θνητῶν τοῦτο γινώσκει σαφῶς. τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ἐν Κρεσφόντῃ κέχρηται οὕτως. Ἐκεῖνο γὰρ πέπονθ', ὅπερ ἅπαντες βροτοί, φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι. Οἱ μὲν δικαίως) περισσὸς ὁ στίχος φαίνεται, ὁ τὴν ἐπεξεργασίαν περιέχων, καὶ ὅτι προχειρισθεὶς ἑνικῶς τοῦ τις ἐπιλέγεται τὸ οἱ μέν. καὶ ὁ τέταρτος δὲ σημειοῦνται, ὅτι περισσός. Ἴτ' εὖ γὰρ ἔσται) τὸ ἑξῆς ἴτε δωμάτων ἔσω τέκνα. τὸ δὲ εὖ γὰρ ἔσται, εὐχομένη λέγει. τουτέστιν ἐπὶ καλῷ δὲ εἰσελθεῖν ὑμᾶς. Ἐρημώσας ἔχε) χωρίσας τῆς μητρὸς αὐτοὺς ἀπόκρυψον. Ταυρουμένην) ἀγριουμένην, καὶ διὰ τοῦ βλέμματος τὸ ὀργίλον ἐπιδεικνῦσαν, οἷον ὡς ταῦρος θυμικὸν καὶ φοβερὸν ὁρῶσαν, καὶ οὐχὶ μητρικόν. 93. Δρασείουσαν) ἀντὶ τοῦ δράσουσαν· ἔστι δὲ Ἀττικόν. καὶ Σοφοκλῆς ἐν Αἴαντι, ὦ δύσμορ' Αἴας, τί ποτε δρασείεις φρενί.

* Odyſſ. v. 21.

ANNOTATIONES.

V. 68. Πεσσοὺς προσελθὼν) Aliàs πεσσοῖς; ſed non æquè benè. *Scholiaſtes* errat, cùm dicit προσελθὼν pro προσελθοῦσα poni; de ſe *Pædagogus* enim dicit, non de fœminâ.

V. 85. Τίς δ' οὐχὶ &c.] *Scholiaſtes* hunc Verſum aliàs legendum vult, nempe hoc modo

Τίς δ' οὐχὶ θνητῶν, Ἄρτι γινώσκεις τόδε.

Quem vide. Eodem modo legit *Pet. Victorius* Variar. Lectionum l. 14. c. 6. Qui & notavit *Terentium* in *Andriâ* hunc locum *Euripidis* expreſſiſſe; ubi *ſervus* verum affirmat ac vulgò dici ſolere oſtendit, "Omnes ſibi melius eſſe malle, quàm alteri. De quo loco vide *Jani Gulielmii* Veriſimil. l. 1. c. 16. ubi v. 87. pro οἱ μὲν δικαίως, legit οἱ μὲν διὰ κλέος, ſane veriſimiliter; locúmque ex *M. Tullio* in rem ſuam adducit. Vid. inſuper *Tho. Gatakeri* Adverſar. Miſcell. l. 13. fol. 129. ubi tamen *Bellerophonte* pro *Creſphonte* per errorem legit Vir alioquin ſagaciſſimus. Et *ſenarius* ille, quem idem fol. 130. profert, ita legendus Φιλεῖ δ' ἑαυτῶν πλέον οὐδεὶς οὐδένα· Ille legit ἑαυτὸν, niſi ſit error Typographicus; quod puto. *Joſua Barnes.*

V. 92. Ὄμμα νιν ταυρουμένην] Vid. de hâc voce *Scholiaſt.* & infra ad v. 188. Aliàs eleganter *Euripides* Tauri furentis aſpectum deſignat in Fabulâ *Syleo* dictâ, v. 7. inter Fragmenta,

—ὄμμα γὰρ πυρὸς γέμων,
Ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν. *J. Barnes.*

Χόλου,

Χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα·
Ἐχθρούς γε μέντοι, μὴ φίλους δράσειέ τι.

Ἀνάπαιστοι.

Μή. Δύστανος ἐγὼ, μελέα τε πόνων,
Ἰώ μοί μοι, πῶς ἂν ὀλοίμην;
Τρο. Τόδ' ἐκεῖνο· φίλοι παῖδες, μάτηρ
Κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
Σπεύσατε θᾶσσον δώματος εἴσω,
Καὶ μὴ πελάσητ' ὄμματος ἐγγὺς,
Μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσ-
θ' ἄγριον ἦθος, στυγεράν τε φύσιν
Φρενὸς αὐθάδους.
Ἴτε νῦν, χωρεῖθ' ὡς τάχος εἴσω.
Δῆλον δ' ἐξ ἀρχῆς ἐξαιρόμενον
Νέφος οἰμωγῆς, ὡς τάχ' ἀνάψει
" Μείζονι θυμῷ. τί ποτ' ἐργάσεται
" Μεγαλόσπλαγχνος, δυσκατάπαυστος
" Ψυχὴ, δηχθεῖσα κακοῖσιν.
Μή. Αἶ αἶ· ἔπαθον τλάμων ἔπαθον μεγάλων
Ἄξι' ὀδυρμῶν. ὦ κατάρατοι
Παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
Σὺν πατρὶ, καὶ πᾶς δόμος ἔῤῥοι.
Τρο. Ἰώ μοί μοι, ἰὼ τλήμων.
Τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
Μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι,
Τέκνα, μή τι πάθηθ', ὡς ὑπεραλγῶ.
" Δεινὰ τυράννων λήματα· καί πως
" Ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες,
" Χαλεπῶς ὀργὰς μεταβάλλουσι.
" Τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισι,
" Κρεῖσσον ἔμοιγ' οὖν, εἰ μὴ μεγάλως,
" Ὀχυρῶς τ' εἴη καταγηράσκειν.
" Τῶν γὰρ μετρίων, πρῶτα μὲν εἰπεῖν,
" Τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
" Λῷστα βροτοῖσι. τὰ δ' ὑπερβάλλον-
" τ', οὐδένα καιρὸν δύναται θνατοῖς.

Ab irâ, benè ſcio, priuſquam fulmine feriat aliquem.
Utinam tamen inimicis, non amicis aliquid faciat.

Medea.

Infelix ego & ærumnoſa propter labores,
Heu me, me, quomodo peream?
Nut. Hoc illud eſt; chari liberi, mater
Movet cor, movet bilem.
Feſtinate celeritèr intra ſedes,
Neque veniatis propiùs in conſpectum,
Nec accedatis, ſed cavete
Sævum impetum, & horribilem naturam
Animi contumacis.
Ite jam, procedite quàm celerrimè intro.
Certum enim *eſt indicium* ab initio ſublata
Nubes ejulatûs, quod mox incandeſcet
" Majori furore: quid tandem faciet
" Iracundus, & implacabilis
" Animus, malis punctus?
Med. Heu, heu, paſſa ſum miſera, paſſa ſum quæ magnis
Digna ſunt lamentis. ô execrandi
Liberi funeſtæ matris, pereatis
Cum patre, & tota domus pereat.
Nut. Heu me me, heu me miſeram!
Quid verò tibi filii patris peccata
Participant? cur hos odiſti? hei mihi,
Liberi, quàm metuo, nè quid vobis accidat.
" Sævi *ſunt* tyrannorum ſpiritus, & quodammodo
" Levi de causâ initio ſuſcipientes, *poſtea* diu retinentes.
" Difficultèr iras, animo mutato deponunt.
" Nam aſſuefactum eſſe ad vivendum moderatè,
" Melius mihi videtur, ſi non magnificè,
" Tutóque liceat conſeneſcere.
" Nam, ut hoc primum dicam, moderatè viventium
" Nomen vincit; & uti eo, longè
" Optimum eſt hominibus. Sed immoderata
" Nullo tempore valent hominibus ad diuturnitatem:

Κατασκῆψαι) ἤγουν ἀντὶ τοῦ βλάψαι. ἀπὸ τοῦ κεραυνοῦ τοῦ σκηπτοῦ, ὅ ἐστι κεραυνῶσαι. Ἰώ μοί μοι) ἀπ' ἐμφαντικῶν ταῦτ' ἐστὶ τοῖς ὑπὸ τῆς πρεσβύτιδος εἰρημένοις, ὅτι ἄγριος λέγεται καθόλου, καὶ ἐν αὐτοῖς δὲ τοῖς προλόγοις τὸ μαχόμενόν ἐστι. Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη βοᾷ μὲν ὅρκους, καὶ τὰ ἑξῆς. Κεῖται δ' ἄσιτος σῶμ' ὑφεῖσ' ἀλγηδόσι) ταῦτα λέγει ἔνδοθεν, καὶ οὐκ ἐν φανερῷ. ἡ δὲ φωνὴ μόνη ἐξάκουστος γίνεται. Δῆλον δ' ἐξ ἀρχῆς) δῆλον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς οἰμωγῆς, ὅτι ἀνάψει ἤτοι, τοῦτο γὰρ τὸ ἐξ ἀρχῆς ἐξαιρόμενον νέφος τῆς οἰμωγῆς δηλονότι, σκηπτοῦ δίκην ἐγκατασκῆψαι τινὶ, καὶ μέγα τι κακὸν κατεργάσεται. ἐὰν δὲ γράφεται ἀνάξει, ἀντὶ τοῦ ἐπιπολὺ ἀνάξει τὰ τῆς ὀργῆς, ἀντὶ τοῦ ἄνω ἄξει, εἰς ὕψος ἀνατείνει, ὅ ἐστιν αὐξήσει τὸν θυμόν. ἐξ οὗ πάλιν δῆλον, ὡς αὐξανομένη ἐπιπολὺ ἡ ὀργὴ, πάντως δεινόν τι ἐργάσεται. 116. Τί δέ σοι παῖδες,) τί τούσδε μισεῖς οὐκ ὄντας αἰτίους; λέγει δὲ τοὺς παῖδας, Μέρμερον καὶ Φέρητα. Ὀλίγ' ἀρχόμενοι) ἀντὶ τοῦ ἐξ ὀλίγου καὶ βραχέος ἀρχόμενοι τοῦ θυμοῦ, καὶ ἐπιπολὺ τούτου κρατοῦντες. τὸ γὰρ πολλὰ ἀντὶ τοῦ ἐπιπολύ. ἔχομεν δὲ καὶ τὴν ἔννοιαν παρ' Ὁμήρῳ, εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ· καὶ θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων· δηλ. τὸ δὲ ὀλίγ' ἀρχόμενοι, ἀντὶ τοῦ οὐχ ὅλως ἀρχόμενοι, ἀλλ' εἰς τὸ ἐναντίον, αὐτοὶ πολλῷ κρατοῦντες. πέφυκε δ' ἐξουσία ἐπαίρειν ἀεὶ τοὺς ἀνθρώπους τὸν λογισμόν. Τὸ γὰρ εἰθίσθαι) ὁ γὰρ, ἀντὶ τοῦ δέ. τὸ δὲ ζῆν ἐπ' ἴσοισι, ἀντὶ τοῦ μετ' ἰσότητος, καὶ μὴ τυραννίδι κρεῖσσον, τουτέστι φησὶ πάντας ἀνθρώπους μηδένα μηδενὸς ὑπερέχειν τῆς συμμετρίας, καὶ μὴ ἐπιθυμεῖν· τοῦτο μέγιστον ἀνθρώποις καὶ λυσιτελέστατον. Ὀχυρῶς τ' εἴη) ἀντὶ τοῦ μετρίως καὶ ἀσφαλῶς, ὡς τῆς συμμετρίας τὸ ἀσφαλὲς τῆς εὐδαιμονίας ἐχούσης. τῆς δὲ ὑπερβολῆς μεγάλας καὶ τὰς ἀπωλείας ἐχούσης, ὡς ἐπάγει, ἀμφότερα δὲ λέγει ἠσύχως καὶ ὀχυρῶς. Ἄλλως. αἱρετὸν μὲν φησὶ τὸ εὐδαιμονεῖν. εἰ δὲ μὴ ἐνδέχεται ἀεὶ καὶ μέχρι γήρως εὐτυχεῖν, κρεῖσσον τὸ ζῆν ἐπ' ἴσοις, ὅ ἐστιν ἐν μεσότητι, τῇ ἴσῃ ἀπεχούσῃ εὐτυχίας καὶ ἀτυχίας. ὁ τοιοῦτος γὰρ βίος κρείσσων, εἰ μόνιμος. Πρῶτα μὲν) αὐτὸ γάρ φησι καθ' ἑαυτὸ, τὸ τῆς συμμετρίας ὄνομα, καὶ τῇ παρ' ... προσφορᾷ μόνη νικᾷ, καὶ εὐφημότερόν ἐστι. λέγει δὲ ὁ σοφὸς,* πᾶν μέτρον ἄριστον. ὅτι δὲ ὑπερβολῆς, μηδὲν ἄγαν. Τὸ γὰρ λῷστα) ἀντὶ τοῦ λῷστον, ὅ ἐστι βέλτιστον. πληθυντικὸν ἀντὶ ἑνικοῦ. τὸ χρῆσθαι ἐν τῇ συμμετρίᾳ, εἰς ὅλον τὸν χρόνον βέλτιον. κἀγὼ ἐν φησὶ τῆς μεγάλης καὶ ὑπερβαλλούσης εὐτυχίας τὴν συμμετρίαν προκρίνω. ἐν ταύτῃ γάρ ἐστι τὸ εἰ μὴ μεγάλως. ἀντὶ τοῦ εἰ μὴ μεγάλῃ καὶ ὑπερβαλλούσῃ εὐτυχίᾳ, τὸ ἀσφαλέστερον. 127. Τὰ δ' ὑπερβάλλοντ' οὐδένα) αἱ δὲ ὑπερβολαί φησιν ἀδεεῖς καὶ οὐ βέβαιοι τοῖς ἀνθρώποις, τῇ ἀρχαίᾳ μεταβολῇ, οὐδ' εἰ γένηται τὴν ἀρχὴν νομιζόμεναι. ὁ γὰρ τὴν συμμετρίαν ἔχων, εἰ καὶ πέσοι ταύτης τέλειον τινὰ, οὐδεμίαν δεινὴν ... ἀπαλλαγήν. ὅπου τὸ δὲ ὑπερβολὴν ἔχοντι, φθόνος παρακολουθεῖ· τοῖς δ' οὐχί. διὸ ἐπιπολὺ ἀσφαλεστέρα ἡ συμμετρία. τὸ δὲ ὅταν ὀργισθῇ, εὐδαιμονέστερον εἴρηκεν. τουτέστι γὰρ εἰπεῖν, ὅταν χολωθῇ.

* Lego πᾶν μέτρον ἄριστον. Vel fortè eſſet Hemiſtichium — μέτρον δ' ἐν πᾶσιν ἄριστον. Huc refer, Μηδὲν ἄγαν, ἄγαν φιλῶ.

ANNOTATIONES.

V. 106. Ἐξαιρόμενον) *Canterus* legit αἰρόμενον, quia ἐξ ἀρχῆς præceſſit; ſed Præpoſitionem duplicari non eſt novum, ἐκβάλλειν ἐκ τῆς πόλεως *Demoſthenes*. ἐσβάλλειν εἰς τὴν Ἀττικὴν *Thucydides*. & innumera ejuſmodi. *Joſua Barnes.*

V. 107. Ἀνάψει) aliàs ἀνάξει vid. Schol.

V. 109. Μεγαλόσπλαγχνος) *Ariſtoph.* Scholiaſt. in *Acharn.* Παρῳδία χρῆται· Ἔστι γὰρ ἐν τῇ Μηδείᾳ τοῦ Εὐριπίδου, Θερμόσπλαγχνον. Id jam hîc non extat. *Joſua Barnes.*

V. 119. Δεινὰ τυράννων λήματα) Ità *Hom.* Iliad. α'. v. 80. Κρείσσων γὰρ βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ· Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον &c. item *Iliad.* β. v. 196. — Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος. Quod tamen Schol. notabat.

" Μείζων

“ Μείζους δ’ ἄτας, ὅταν ὀργισθῇ
“ Δαίμων, οἴκοις ἀπέδωκεν.
Χο. Ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
Τᾶς δυστάνου Κολχίδος.
Οὐδέ πω ἤπιος. ἀλλ’, * ὦ γεραιά,
Λέξον· * ἐπ’ ἀμφιπύλου γὰρ ἔσω
Μελάθρου βοὰν ἔκλυον.
Οὐδὲ συνήδομαι, γύναι,
Ἄλγεσι δώματος,
Ἐπεὶ μὴ φίλα κέκρανται.
Τρ. Οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ’ ἤδη.
Ὁ μὲν γὰρ ἔχει δῶμα τυράννων.
Ἡ δ’ ἐν θαλάμοις τάκει βιοτὰν
Δέσποινα, φίλων οὐδενὸς οὐδὲν
Παραθαλπομένα φρένα μύθοις.
Μη. Αἰαῖ· διά μου κεφαλᾶς φλὸξ οὐρανία
Βαίη. τί δέ μοι ζῆν ἔτι κέρδος;
Φεῦ, φεῦ· θανάτῳ καταλυσαίμαν,
Βιοτὰν στυγερὰν προλιποῦσα.
Χο. Ἄϊες, ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς,
Ἰαχὰν, οἵαν ἁ δύστανος μέλπει νύμφα;
Τίς σοί ποτε τᾶς ἀπλήστου
Κοίτας ἔρος, ὦ ματαία,
Σπεύσει θανάτοιο τελευτάν;
Μηδὲν τόδε λίσσου.
Εἰ δὲ σὸς πόσις
Καινὰ λέχη σεβίζει,
Κείνῳ τόδε μὴ χαράσσου.
Ζεύς σοι τάδε συνδικήσει.
Μὴ λίαν τάκου,
Ὀδυρομένα σὸν εὐνέταν.
Μη. Ὦ μεγάλα Θέμι, καὶ πότνι’ Ἄρτεμι,
Λεύσσεθ’, ἃ πάσχω, μεγάλοις ὅρκοις
Ἐνδησαμένα τὸν κατάρατον
Πόσιν; ὅν ποτ’ ἐγὼ νύμφαν τ’ ἐσίδοι-
μ’ αὐτοῖς μελάθροις διακναιομένους·
Οἵ γ’ ἐμὲ πρόσθεν τολμῶσ’ ἀδικεῖν.
Ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
Αἰσχρῶς, τὸν ἐμὸν κτείνασα κάσιν.
Τρ. Κλύεθ’, οἷα λέγει, κἀπιβοᾶται
Θέμιν εὐκταίαν, Ζῆνά θ’, ὃς ὅρκων

* Vid. Hippolyt. v. 171.

“ Majores enim calamitates, quando iraſcitur
“ Deus, affert familiis.
Cho. Audivi vocem, audivi clamorem
Infelicis Colchidis.
Nec adhuc eſt placata. Sed, ô vetula,
Dicito: nam intra biforem
Domum, clamorem audivi.
Neque delector, ô mulier,
Luctibus domûs;
Quia non grata ſunt ea, quæ fiunt.
Nut. Non ſunt ædes: evanuerunt hæc jam.
Jaſon enim tenet domum principum,
Medea verò tabefacit vitam in thalamis
Domina, nullius amicorum quicquam
Verbis leniens animo.
Med. Heu, heu, utinam flamma cœleſtis per meum caput
Eat! Quid enim mihi boni eſt amplius vivere?
Heu heu, divertam ad mortem,
Relictâ odioſâ vitâ.
Cho. Audiviſti, ô Jupiter, & terra, & lux,
Qualem vocem infelix edidit ſponſa?
Quænam tibi inſatiabilis
Thori cupiditas, ô ſtulta,
Accelerabit mortis finem?
Nè hoc preceris.
Quòd ſi tuus maritus
Colit novum lectum,
Illi nè hoc (gravius) imputa?
Jupiter hæc ulciſcetur pro te.
Nè nimis tabefacias teipſam,
Plorans tuum maritum.
Med. O magna Themis, & veneranda Diana,
Videtis, quæ patior? quæ magno juramento
Obligavi execrandum
Maritum? Quem utinam aliquando ego, & ſponſam videam
In ædibus diſcerptos,
Qui me prius audent injuriâ afficere.
O pater, ô civitas, à quibus diſceſſi
Turpitèr, occiſo meo fratre.
Nut. Auditis, quæ dicit, & ut invocat
Themidem, invocatam optatis, & Jovem, qui juramentorum

Οὐδέπω ἤπιος) ἤπια φησὶν ἡ Μήδεια, μηδέπω πεπραΰνθαι. Ἀμφίπυλον) τὸ ἔχον δύο πύλας, καὶ εἰσόδους, μίαν μὲν τὴν αὐθεντικὴν, ἑτέραν δὲ ἣν Ὅμηρος λέγει ὀρσοθύρην. ἐγὼ γὰρ φησὶν ἐπὶ τοῦ ἀμφιπύλου οὖσα, ἤκουσα φωνῆς ἔσω τοῦ μελάθρου. Ἐπεί μοι φίλον) τὸ οἴκημα φησὶ τετέλεσται ἐμοὶ φίλον οἷον ὑπάρχει, οὐκ εἰσὶ δόμοι, οἷον ἀνατέτραπται ὁ οἶκος. ἠφάνισται. ἀπὸ δὲ δεσποινικῶν, εἰς ὑπηρετικὴν μετέστη. φροῦδα γὰρ τάδε, τὰ οἰκήματα λέγει. Φλὸξ οὐρανία βαίη) οἷον κεραυνωθείην, κεραυνοβοληθείην. φλόγα γὰρ οὐρανίαν τὸν κεραυνὸν λέγει. Ἄϊες, ὦ Ζεῦ) τὸ ἄϊες ὁ Δίδυμος πρὸς τὰς τοῦ χοροῦ φησὶ λέγεσθαι ὡς ἤκουσε τῆς, καὶ ὁ πρὸς τὸν Δία ἐν ἤδη ἐν τῷ Ζεῦ καὶ γᾶ, καὶ φῶς. τοῦτο δὲ Ἀπολλόδωρος τῆς Μηδείας φησίν. ἀπὸ δὲ τοῦ ἰαχὰν τοῦ χοροῦ, ἵν’ ἔχῃ λέγειν, τὸ κἀπιβοᾶται Θέμιν εὐκταίαν, Ζῆνά τε, [illegible]. Τίς σοί ποτε) τὸ μάταιον θαυμάζει τοῦ ἔρωτος. τίς ἄρα φησὶν οὗτος ὁ ἔρως, ὁ τῆς ἀκορέστου ταύτης κοίτης, ὃς σπεύσει θάνατον ἐπιπέμψαι. ἄπληστον δὲ λέγει τὴν κοίτην, ἐπεὶ δίον καταφρονητικῶς φέρει, καὶ μισεῖ τὸν Ἰάσονα συνελθόντα. ἡ δὲ καὶ οὕτως αἰτίζεται, ὅτι μὴ συνέσεσθαι αὐτῷ. ἡ δὲ σπεύσει θανάτου τελευτὰν) ἀντὶ τοῦ ἐπείξει, καὶ ἐμβαλεῖ σοι θάνατον. Μηδὲν τόδε λίσσου) μὴ λίσσου φησὶν, ὦ Μήδεια, τὸ θανεῖν. εἰ δὲ ὁ σὸς ἀνὴρ ἠθέτησε τοὺς ὅρκους, ἐκείνῳ χαρίζῃ λίσσου τόδε, δηλονότι τὸ κεραυνωθῆναι καὶ ἀποθανεῖν. 156. Κείνῳ τόδε) τουτέστιν ἐκείνῳ τόδε τὸ ἁμάρτημα μὴ λογίζου, καὶ δι’ ἐλπίδος ἔχε τοῦ θεὸς ἀποτίσειν αὐτὸν τιμωρίαν. Μὴ λίαν τάκου) σὺ φησὶ μὴ χαλέπαινε, μηδὲ θυμοῦ. σὺν δίκῃ δέ, ἀντὶ τοῦ σὺν τῷ δικαίῳ, ἐπεξελεύσεται. Κτείνασα κάσιν) Τιμαγίδας ἐπὶ τὰ [illegible] ἐκχθείς, τὸν Ἄψυρτον φησὶ λέγεσθαι αὐτόν, τοῦ Εὐριπίδου μή τι [illegible], [illegible] τοῦ [illegible] τὸν Ἄψυρτον ὀνομάζει. ὁ δὲ Φερεκύδης διὰ τοῦ Ε ὀνομάζει αὐτόν. Δημοσθένης δὲ ἐν τῇ Μηδείᾳ μεταπόντιον αὐτὸν ὀνομάζει. ἀνῃρῆσθαι δὲ αὐτὸν, οἱ μὲν ὑπὸ Μηδείας, οἱ δὲ ὑπὸ Ἀργοναυτῶν. Λέων δὲ ὁ [illegible] σφαγῆναι, ἀλλὰ διαφθαρῆναι αὐτὸν φαρμάκοις. 169. Θέμιν εὐκταίαν) [illegible] διαλεγομένων [illegible] ζητοῦσιν [illegible] τοῦτο, πῶς ἡ μὲν Μήδεια τὴν Θέμιν καὶ τὴν Ἄρτεμιν βοῶσα. ἡ δὲ πρεσβῦτις, ἀντὶ τῆς Ἀρτέμιδος τὸν Δία φησὶν αὐτὴν ἐπιμαρτύρεσθαι. Ἀπολλόδωρος μὲν οὖν φησὶν ὁ Ταρσεὺς, τῆς ἀμφιβολίας αἴτιος [illegible] τοὺς ὑποκριτὰς, συγχέοντας τὰ χορικὰ τοῖς ὑπὸ Μηδείας λεγομένοις. Δεῖ δὲ τὴν διασκευὴν γενέσθαι μὲν, ἐν τῷ τὴν Μήδειαν ἅπαντα ταῦτα

ANNOTATIONES.

V. 138. Ἐπεί μοι φίλα κέκρανται) Scholiaſt. legiſſe videtur ἐπεί μοι φίλον. Ego utcunque velim κέκρανται, à κραίνω, ut κεκράανται à κραιαίνω Homer. Odyſſ. δ'. v. 616. Vel etiam κέκρανται in ſingulari à κραίνω tamen.

V. 140. Ὁ μὲν &c.) Hæc de *Jaſone* ſunt accipienda, ut ſequens verſus de *Medeâ*; quare hâc in re Codex *Hemſio-Scaligerianus* malè legit Ἡ μὲν &c. *Joſua Barnes.*

V. 148. Ἄϊες, ὦ Ζεῦ) De Ordinatione hujus Verſûs vid. Scholiaſt.

λέγειν,

λέγουσα, αἲ αἲ διά μου κεφαλᾶς φλὸξ οὐρανία βαίη, ἕως τοῦ, αἴεις ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς. τὰ δὲ ἑξῆς τῇ χειρὶ προσνεῖμαι, ὅπου γὰρ ἠχούσης τῆς δεσποίνης, ὡς αὐτῆς φησὶ τῆς Μηδείας διαῤῥήδην προσκαλεῖσθαι τὸν Δία. τὰ ἑξῆς τὸν χορὸν λέγειν, ἰαχὰν οἵαν ἀΰτησε μελέα νύμφα. οἱ δὲ μὴ, γελοῖον δοκεῖ εἶναι τῆς Μηδείας κατειρωνευομένης ἑαυτῇ. τὸν χορὸν λέγειν, αἴεις ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς. κωλύει δὲ ἐν τῇ ἀποδόσει εἰκότως, τὴν πρεσβῦτιν ἔνδοθεν καθηκούσης τῆς Μηδείας, καὶ λέγειν, κλύεθ' οἷα λέγει. ὁ δὲ Δίδυμος φησὶν, ὅτι διὰ τοῦ λέγειν διά μου κεφαλᾶς φλὸξ οὐρανία βαίη, ἐπικαλεῖται τὸν Δία. τίς γὰρ εἶχεν αὐτῇ ἐπιπέμψαι τὸν κεραυνὸν, εἰ μὴ ὁ Ζεύς; εἰ καὶ ἡ πρεσβῦτις μου πάντων ἂν ἡ Μήδεια ἐπικαλέσαιτο ὀμώμοκε, οὐ παράδοξον. ἐκάλουν γὰρ τοὺς σημειωτάτους. οἱ δὲ φασὶ λείπειν, τὸ ὀμώμοκε Ζῆνα καὶ Θέμιν.

Θνατοῖς ταμίας νενόμισται;
Οὐκ ἔστιν, ὅπως ἔν τινι σμικρῷ
Δέσποινα χόλον καταπαύσει.
Χο. Πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν
Ἔλθοι, μύθων τ' αὐδαθέντων
Δέξαιτ' ὀμφάν,
Εἴ πως βαρύθυμον ὀργὰν,
Καὶ λῆμα φρενῶν μεθείη.
Τρ. Μήτοι τόγ' ἐμὸν πρόθυμον
Φίλοισιν ἀπέστω.
Χο. Ἀλλὰ βᾶσά νιν δεῦρο πόρευσον οἴκων
Ἔξω, φίλα, καὶ τάδ' αὔδα.
Σπεῦσον, πρίν τι κακῶσαι τοὺς εἴσω.
Πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶται.
Τρ. Δράσω τάδ', ἀτὰρ φόβος, εἰ πείσω
Δέσποιναν ἐμήν.
Μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
Καίτοι τοκάδος δέργμα λεαίνης
Ἀποταυροῦται δμωσὶν, ὅταν τις
Μῦθον προφέρων πέλας ὁρμηθῇ.
" Σκαιοὺς δὲ λέγων, κοὐδέν τι σοφοὺς
" Τοὺς πρόσθε βροτοὺς, οὐκ ἂν ἁμάρτοις,
" Οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις,
" Ἐπί τ' εἰλαπίναις, καὶ παρὰ δείπνοις
" Εὕροντο, βίου τερπνὰς ἀκοάς.
" Στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
" Εὕρετο μούσῃ καὶ πολυχόρδοις
" Ὠιδαῖς παύειν, ἐξ ὧν θάνατοι,
" Δειναί τε τύχαι σφάλλουσι δόμους.
" Καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
" Μολπαῖσι βροτούς. ἵνα δ' εὔδειπνοι
" Δαῖτες, τί μάτην τείνουσι βοήν;

Custos hominibus existimatur?
Non fieri potest, ut in aliquâ parvâ re
Domina iram sedet.
Cho. Quomodo in conspectum nostrum
Veniat, & dictorum verborum
Vocem accipiat:
Si fortè acerbam iram,
Et impetum animi remittat.
Nut. Meum certè studium non
Deerit amicis.
Cho. Sed vade, & eam huc adducito domum
Extra, chara, & hæc dicito:
Propera, priusquam aliquid mali faciat iis, qui intus sunt.
Nam luctus hic valde augetur:
Nut. Faciam hæc. Sed metuo an persuadeam
Dominam meam:
Laboris tamen gratiam hanc vobis largiar.
Quanquam leænæ, quæ catulos peperit, aspectu
Efferatur in famulos, quum quis
Accedit propè collocuturus.
" Stultos autem dicens & insipientes
" Homines, qui ante nos fuerunt, non erraveris.
" Qui hymnos in festivitatibus,
" Et conviviis & cœnis
" Invenerunt, vitæ jucundas auditu voluptates.
" Sed nemo hominum horribiles mœrores
" Invenit, quomodo Musicâ & vario nervorum
" Cantu sedare possimus, ex quibus cædes,
" Et graves casus, evertunt domos.
" Atqui in rebus his maxima utilitas esset mederi
" Hominibus cantu: ubi verò sunt læta
" Convivia, quid frustrà intendunt vocem?

Ἔν τινι σμικρῷ) λείπει κακῷ· ἀλλὰ δηλονότι μέγα κατειργασμένη κακὸν, παύσεται τῆς ὀργῆς. Πῶς ἂν ἐς ὄψιν) πῶς φησὶ συντυχοῦσα αὐτῇ διαλεχθείην, καὶ πῶς τῶν παρ' ἐμοῦ ἐνδυομένων λόγων τὴν φωνὴν δέξαιτο. ὀμφὴν γὰρ νῦν τὴν φωνὴν λέγει ἢ τὴν ὁμιλίαν, καὶ οὐχ τὴν κληδόνα. Μήτοι τό γ' ἐμὸν) ἡ ἐμὴ περὶ τοὺς φίλους προθυμία μὴ ἐκ τοῦ φίλων ἀπέστω. Ἀτὰρ φόβος εἰ πείσω) ἀλλ' εἰ φοβερὸν καὶ δυσχερὲς πεῖσαι τὴν ἐμὴν δέσποιναν θυμωθεῖσαν ἐνταῦθα προσελθεῖν. ὅμως ἐγὼ τήνδε σοὶ τὴν χάριν χαριοῦμαι, καὶ εἰσελθοῦσα πείσω αὐτὴν, ὑπὲρ τοῦ μὴ μοχθεῖν καὶ ἀδημονεῖν σε ἐάσουσα καὶ προσδεχομένην. 186. Μόχθου δὲ χάριν) ὑπὸ τοῦ μόχθου, ὃ περὶ ὑμᾶς ἔχω. τὸ δὲ χάριν, κατὰ κοινοῦ. Καίτοι τοκάδος) λείπει τὸ ἔχουσα. καίτοι φησὶν ἡ δέσποινα δεινὸν ὁρᾷ, τοῖς πλησίον αὐτῇ πελάζειν, ἢ ὥσπερ λεαίνης τετοκυίας τὸ βλέμμα, καὶ ὅμως οὕτως ἐχούσης αὐτῆς θυμοῦ, εἰ σὴν χάριν εἰσελεύσομαι· τοῦτο γὰρ ἀπὸ κοινοῦ. Ἀποταυροῦται) ἀντὶ τοῦ ταυρηδὸν σχηματίζεται τὸ πρόσωπον, ὡς ταῦρος μὴ ἔχων λεαίνης. σχηματίζεται δὲ τὸ πρόσωπον. ὁμοίως ταύρῳ θυμωθέντι. Ἀποταυροῦται) ὅτι φησὶν ἐπιβλέπει εἰς ἡμᾶς ὀργίλως, ὡς λέαινα ἐρεθισθεῖσα τῶν τέκνων αὐτῆς. 19. Στυγίους βροτῶν) τὴν λύπην θεραπεύειν δι' ᾠδῶν κέρδος ἐστὶ, καὶ ὠφέλιμα. καίτοι τὸ ἀκεῖσθαι καὶ θεραπεύειν τὰς λύπας τῶν ἀνθρώπων, κέρδος ἐστὶ καὶ ὠφέλιμα. τίς δὲ χρεία ἐν συμποσίῳ φέρειν ὕμνους, ὅπου καὶ χωρὶς τῶν ὕμνων αὐτὰ ἡ παρουσία τῶν συμποσίων τέρψιν ἔχει. Θαλίαις) θυσίαις, εἰλαπίναις, ἑορταῖς. λέγει δὲ τὴν πανήγυριν. Ἐξ ὧν θάνατοι) ἐξ ὧν λυπῶν αἱ δειναὶ συμφοραὶ, πάλιν καὶ ἀποτυγχάνειν ποιοῦσι τοὺς δόμους. 201 Τί μάτην) τίς γὰρ ἐκεῖ χρεία μουσικῆς, αὐτῶν τῶν ἀπὸ θοίνης τερπόντων, τείνουσι δὲ βοὴν, ἀντὶ τοῦ ᾄδουσι μετὰ τόνου. καὶ ἡ γὰρ εὐωχία ἱκανὴ ἐστὶν εἰς τὸ τέρψαι τοὺς ἀνθρώπους.

A N N O T A T I O N E S.

V. 188. Ἀποταυροῦται) Vid. suprà v. 92. Ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην. & Schol. ibid.

V. 189. Ὁρμηθῇ) Ita lego pro ὁρμηθῇ prioris; ab ὁρμάθω enim, quod pro ὁρμάω, ut πελάθω pro πελάω. Vid. Scholia nostra ad Andromach. v. 859. *Josua Barnes.*

V. 190. Σκαιοὺς δὲ λέγων &c.) Elegans locus, cui similem ferè habet Hippolyt. v. 916. &c. Hunc autem sic vertit *Hugo Grotius*,

Nil me peccet judice, siquis
Priscos multum sapuisse negat,
Placuit thalamos quibus & festas
Ornare Dapes carmine, lætas
Quod mulceret mollitèr aures:
At Multifidâ nemo Camænâ
Docuit Stygios sistere luctus,
Unde & mortes & funesti
Casus totas tenuere Domos.
Atqui potiùs debuit istis
Musa mederi: Nam quid tensâ
Ridente juvat tendere vocem;
Cùm res per se sit grata satis
Dulcis mortalibus Esca?

Cum hâc *Buchanani* Versionem conferat, qui volet; ego hanc in hâc parte prætereo. Hunc locum expendit *Joach. Camerarius* in Tusculanas Decur. 2. c. 7. Vid. *Alcest.* v. 817. *J. Barnes.*

" Τὸ

Λιγυρὰ δ' ἄχεα) ἀντὶ τοῦ λιγυρῶς καὶ ὀξέως τὰ ἄχεα φησὶν ἡ μογερὰ Μήδεια βοᾷ. Τὰν Ζηνὸς ὁρκίαν Θέμιν) ταῦτα τοῖς ᾄδουσιν ὑπὸ τῆς Μηδείας διὰ τῆς Θέμιδος προσκαλεῖσθαι τὸν Δία, συμπράττει. ὀργιοῦ προσυπομνηματισάμενοι γράφουσιν ὑποπτεύεται τὸ λέγειν Ζηνὸς ὁρκίαν Θέμιν βοηθοῦσι τοῖς προκειμένοις, ὅτι διὰ τῆς Θέμιδος τὸν Δία ἐπικαλεῖται, διὰ τὸ εἶναι Διὸς τὴν Θέμιν. λέγει οὖν ὅτι τὴν πάρεδρον τοῦ Διὸς δικαιοσύνην, ἥγουν τοῖς ταύτης ὅρκοις πεποιθυῖα, ἐπεκαλεῖτο. ὁρκίαν δὲ αὐτὴν εἶπεν, ὡς τῶν ὅρκων ἔφορον, καὶ συνθηκῶν πρύτανιν, ἥτις Θέμις αὐτὴν τὴν Μήδειαν καὶ διαβῆναι πεποίηκεν εἰς τὴν Ἑλλάδα, διὰ τὴν ἀντίπορον τῆς Σκυθίας. ἀντίπορον δὲ τὴν ἐναντίαν κατὰ τὸν πόρον, ἢ κατὰ τὸν τόπον. ἡ μὲν γὰρ ἐν ταῖς δυσμαῖς κεῖται ἡ Ἑλλάς. ἡ δὲ Σκυθία ἐν ταῖς ἀνατολαῖς. πῶς δὲ ἡ Θέμις διαβῆναι ἐποίησε τὴν Μήδειαν; ὅτι τοῖς ὅρκοις πεισθεῖσα ἠκολούθησεν Ἰάσονι. 211. Δι' ἅλα νύχιον ἐφ' ἁλμυρὰν πόντου) ἀντὶ τοῦ δι' ἁλὸς ἁλμυρᾶς, προστιθέντος τῆς ἐπιθέσεως. ἢ τὸ ἁλμυρὰν, πρὸς τὸ ἑξῆς συναπτέον, τουτέστι διεβίβασεν αὐτὴν δι' ἁλὸς εἰς τὴν Ἑλλάδα, ἐπὶ τὴν ἁλμυρὰν τοῦ πόντου κλεῖδα. λέγει δὲ τὸ στενὸν, ὅθεν καὶ κλεῖδα τὸ στενὸν ἐκεῖνο ὀνόμασε, παρὰ τὸ ὥσπερ κλεῖδα εἶναι τοῦ προκειμένου πόντου. ἀπὸ γὰρ τοῦ στενοῦ, ἐπὶ τὸν πόντον ἐξιᾶσι. νύχιον δὲ λέγει τὴν θάλασσαν, ὡς ἑξῆς ἐπάγει. ὅτι καὶ ἄνω διὰ τῆς Θέμιδος τὸν Δία ἐπικαλεῖται. ἡ Θέμις δὲ αὐτὴν φησὶ διὰ νυκτὸς παρήγαγε.

" Τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ
" Δαιτὸς πλήρωμα βροτοῖσιν.
Χο. Ἰαχὰν ἄϊον πολύστονον γόων,
Λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ
Τὸν ἐν λέχει προδότην, κακόνυμφον.
Θεοκλυτεῖ δ' ἄδικα παθοῦσα,
Τὰν Ζηνὸς ὁρκίαν Θέμιν,
Ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
Δι' ἅλα νύχιον,
Ἐφ' ἁλμυρὰν πόντου
Κλῇδ' ἀπέραντον.

" Præſens enim præbet voluptatem per ſe
" Convivii abundantia mortalibus.
Cho. Audivi clamorem cum multis gemitibus lamentationum:
Miſeros verò, & triſtes dolores clamat
Jaſonem connobii proditorem malúmque ſponſum.
Invocat autem Deos injuriis affecta,
Et Themidem, filiam Jovis, quæ eſt cuſtos juris jurandi,
Quæ ipſam duxit
In Græciam intermedio freto ſitam è *regione Colchidis*,
Per mare nocturnum,
Supra ſalſas ponti
Immenſi anguſtias.

ARGUMENTUM *Actûs Secundi.*

MEdæa à Choro *foràs evocata communem ſexûs ſui calamitatem, ſuámque privatim deplorat: Chori quoque ad ulciſcendum* Jaſonem *operam ac fidelitatem poſtulat.* Creon *ſuperveniens* Medæam *in exilium iri jubet, causâſque addit, quòd Magicarum Artium ſit perita, minâſque in illum filiámque projecerit. Illa ſubdolè Tyrannum blanditiis excipit, fruſtrà ſe jam metui ait, Peregrinam, ab omnibus deſtitutam; Malevolentiæ eſſe, Artes ſuas alicui terrori eſſe dicere, quæ ſibi potiùs obſint: Unicum demùm moræ diem ad res neceſſarias exilio providendas (ut iſta quidem ſimulabat) poſtulat impetrátque.* Creonte *itaque digreſſo, omnidque in tuto æſtimante,* Medea *atrocem vindictam meditatur, ſéque ipſam ad immane quoddam facinus extimulat.* Chorus Jaſonis *Perfidiam exagitat,* Medeæque *vicem miſeratur.*

ΜΗΔΕΙΑ, ΚΡΕΩΝ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Κορίνθιαι γυναῖκες) κατὰ κοινοῦ, ὅτι κατὰ τὸ ... εἰσελθοῦσα ἡ χορὸς παρεκάλεσε τὴν Μήδειαν ἐξελθεῖν πρὸς τὰς ἀπὸ τοῦ χοροῦ. αὕτη οὖν ἐξελθοῦσα φησίν, ἐξῆλθον πρὸς ὑμᾶς, ὦ γυναῖκες, ἵνα μή μοι τι μέμψησθε. ὡς δι' ὑπερηφανίαν μὴ προελθούσῃ. Ἄλλως. Ὦ Κορίνθιαι γυναῖκες, ἐξῆλθον ἐκ τῶν δόμων, ἵνα μὴ μέμψησθέ μοι, καίτοι ἐπίσταμαι πολλοὺς τῶν ἀνθρώπων σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο, τοὺς δ' ἐν θυραίοις, οἷον ὑπερηφάνους νομιζομένους, τοὺς μὲν ἀπὸ τοῦ κεχωρίσθαι καὶ ἄποθεν τῶν ὀμμάτων εἶναι, τοὺς δὲ διὰ τὸ προσέρχεσθαι, καὶ συνεχῶς ἐπιφέρεσθαι. ἐξ οὗ τὸ ἀπεναντίον ὑπερθεῖναι(?) καὶ εὐδιάβολον τῶν ἀνθρώπων σημαίνει, ὅτι εἰς μηδὲν ἀρέσκονται. εἶτα πάλιν κατὰ τοῦτον ἐπιφέρει, ὅτι καὶ οἱ ἀφ' ἡσύχου ποδὸς, καὶ ἐν ἐρημίᾳ τὰ ἑαυτῶν πράττοντες, δύσκλειαν κτῶνται, καὶ ἀργίαν, οἷον καὶ οὕτως διαβάλλονται ὑπὸ τούτων. Σεμνοὺς γεγῶτας) πολλοὶ γὰρ φησὶ τῶν ἀνθρώπων, διὰ τὸ κεχωρίσθαι, καὶ μὴ ὁμιλεῖν τισὶν, ἀλαζόνες καὶ ὑπερήφανοι ἔδοξαν εἶναι. οἱ δὲ ἐκ τῶν ἐναντίων, συνεχῶς φαινόμενοι. Ὀμμάτων ἄπο) ἀντὶ τοῦ κεχωρισμένους καὶ πόρρωθεν ὄντας, ἀπονομένους ὑπὸ τῆς τῶν ὀφθαλμῶν κατασκέψεως. τοῦτο δὲ οὐκ οἰκεῖον τοῖς ἐπιφερομένοις. Τοὺς δ' ἐν θυραίοις) τοὺς ἐν τοῖς οἴκοις τῶν ἑτέρων συνεχῶς φαινομένους, παρὰ τὸ Ἰσοκρατικὸν, τὰς ἐντεύξεις μὴ ποιουμένους. Οἱ δ' ἀφ' ἡσύχου) ἡσύχιον βίον ἐπανῃρημένοι, ἀντὶ τοῦ φαινόμενοι. μηδὲν δὲ πράττοντες, ἀλλ' ἡσυχίαν ἄγοντες. ἄλλοι δὲ ἐπὶ ἡσυχίας ἰδιοπραγμονοῦντες, ὑπόνοιαν ἔσχον δυσκολίας καὶ ἀργίας. ῥᾳθυμίαν γὰρ τὴν ἀργίαν, οἱ ἡσύχιον βίον ἐπανῃρημένοι, δυσκλεεῖς μὲν ἀνομίασθησαν, πρᾶοι δὲ τὴν ψυχήν. 219. Δίκη γὰρ οὐκ ἔνεστιν ὀφθαλμοῖς βροτῶν) φησὶ γὰρ, ὅτι διὰ τοῦτο προῆλθον πρὸς ὑμᾶς. καίτοι ἐπισταμένη, ὅτι καὶ τὸ ἐπιφοιτᾶν ἐπικίνδυνόν ἐστιν. ὅμως δ' οὖν, ἵνα μὴ δι' ἔχθραν, καὶ

Μή. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
Μή μοί τι μέμψησθ'. "οἶδα γὰρ πολλοὺς βροτῶν
" Σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
" Τοὺς δ' ἐν θυραίοις, οἱ δ' ἀφ' ἡσύχου ποδὸς
" Δύσκλειαν ἐκτήσαντο, καὶ ῥᾳθυμίαν.
" Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν.

Med. MUlieres Corinthiæ, exivi è domo.
Nè reprehendatis me: " novi enim multos homines,
" Qui clari fuerunt, alios quidem procul à conſpectu.
" Alios verò inter ſuos: alii verò ex eo, quod quieverunt,
" Comparaverunt ſibi infamiam, & opinionem ignaviæ.
" Juſtitia.n.nõ ineſt in oculis hom. *i.e. juſti ex aſp. dign. nequeunt.*

ANNOTATIONES.

V. 217. Ἡσύχου ποδὸς) Ita dixit *Heraclid.* v. 476. ἔσω δ' ἡσυχον εἶναι δόμων.

V. 219. Δίκη γὰρ οὐκ ἔνεστ' &c.) De hâc phraſi Vid. *Dan. Heinſi Exer. Sacr.* l. 6. c. 2. Tale quid *Virgil.* dixit, *Fronti nulla fides. J. Barnes.*

ἵν'

ὑπ' αὐτῆς τῆς ἀγνοίας γινώσκουσί με, ὅπις εἰμί. οὐ γάρ φησιν ἐν ὀφθαλμοῖς ἀνδρῶν, καὶ ἐν τῇ ὄψει μόνῃ δεῖ τινος δίκην καὶ κρίσιν εἶναι. οὐ δὴ τὸ δίκαιον οὐκ ἀπὸ μόνης τῆς ὄψεως συνίσταται. τὸ δὲ κατάλληλον ἔτι μᾶλλον σαφὲς γίνεται, ὅτι ἡ δίκη οὐκ ἔστιν ἐν ὀφθαλμοῖς, βροτῶν. ὁ δὲ δίκαιος οὗτος, ὃς πρὶν τὸ σπλάγχνον σαφῶς ἐκμαθεῖν τοῦ πέλας στυγεῖ ἀπὸ τῆς ὄψεως τινά, οὐδὲν ἠδικημένος ὑπ' αὐτοῦ. οὕτως Εὐριπίδης. εἰς δὲ τὸ μή μοί τι μέμφησθε, προσληπτέον ἔξωθεν τὸ ὅπως. αἰτίαν γάρ φησι τοῦ ἐξεληλυθέναι, ὅπως μὴ ὑπὸ αἰτίαν πέσῃ. Δίκη γὰρ οὐκ ἔνεστιν) διὰ τοῦτο δὲ συμβαίνει τὸ ἄλλοτε ἄλλως τοὺς ἀνθρώπους τὰ ἀλλήλων δοξάζειν, διὰ τὸ μὴ δύνασθαι ἐκ τῆς ὄψεως δοκιμάζειν ἑκάστου τὸν τρόπον, ὅθεν πταίουσιν οἱ πολλοί. οἱ πρὶν τὸν τρόπον σαφῶς καταμαθεῖν, ἁπλῶς ἐκ τῆς τῶν ὀφθαλμῶν προσβολῆς μισοῦσι τὸν δεῖνα, οὐδὲν ἠδικημένοι πρὸς αὐτοῦ.

“ Ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς,
“ Στυγεῖ δεδορκὼς, οὐδὲν ἠδικημένος.
“ Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
“ Οὐδ' ἀστὸν ᾔνεσ', ὅστις αὐθάδης γεγὼς,
“ Πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
Ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε,
Ψυχὴν διέφθαρκ'· οἴχομαι δὲ, καὶ βίου
Χάριν μεθεῖσα, κατθανεῖν χρῄζω, φίλαι.
Ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκειν καλῶς,
Κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις.
“ Πάντων δ', ὅσ' ἔστ' ἔμψυχα, καὶ γνώμην ἔχει,
“ Γυναῖκες ἐσμὲν ἀθλιώτατον φυτόν.
“ Ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
“ Πόσιν πρίασθαι, δεσπότην τε σώματος
“ Λαβεῖν· κακοῦ γὰρ τοῦδ' ἔτ' ἄλγιον κακόν,
“ Κἀν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν,
“ Ἢ χρηστόν· οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
“ Γυναιξὶν, οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
Εἰς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην,
Δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
Ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ.
Κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
Πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγὸν,
Ζηλωτὸς αἰών· εἰ δὲ μὴ, θανεῖν χρεών.
Ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνὼν,
Ἔξω μολὼν ἔπαυσε καρδίας χόλον,
“ Ἢ πρὸς φίλον τιν', ἢ πρὸς ἥλικα τραπείς.
“ Ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
Λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
Ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορὶ,
Κακῶς φρονοῦντες. “ Ὡς τρὶς ἂν παρ' ἀσπίδα
“ Στῆναι θέλοιμ' ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.
Ἀλλ' οὐ γὰρ αὑτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος.
Σοὶ μὲν πόλις θ' ἥδ' ἐστὶ, καὶ πατρὸς δόμοι,
Βίου τ' ὄνησις, καὶ φίλων συνουσία·
Ἐγὼ δ' ἔρημος, ἄπολις οὖσ', ὑβρίζομαι

“ Quiſquis ante quam hominis animum manifeſtè cognoverit,
“ Odit *ſemel* intuitus, nullâ injuriâ affectus, *is injuſtè facit.*
“ Oportet autem hoſpitem valdè ſe accommodare civitati:
“ Neque laudo civem qui contumax exiſtens,
“ Moleſtus eſt civibus propter imperitiam, *ac inſolentiam.*
Mihi verò hæc res, quæ præter ſpem contigit,
Corrupit animum; perii verò & vitæ
Voluptate omiſſâ, volo mori, amicæ.
In quantum enim licuit mihi omnia rectè diſcernere,
Peſſimus *omnium* hominum evaſit ille meus maritus.
“ Omnium autem, quæcunque ſunt animata & mentem habent,
“ Nos mulieres ſumus miſerrima propago.
“ Quas primùm quidem oportet maximis opibus
“ Comparare maritum, dominumque corporis
“ Accipere: illo enim malo hoc longe gravius,
“ Et in hoc maximum *eſt* periculum, aut malum accipere,
“ Aut bonum. Non enim honeſta *ſunt* divortia
“ Mulieribus, neque licet abdicare maritum.
Sed venientem ad novos mores & leges,
Vatem eſſe oportet, (quia per ſe *alitèr* haud noverit)
Quem maximè ſit habitura virum.
Et ſi nobis hæc quidem peragentibus benè
Cohabitaverit maritus, non violentum *nobis* imponens jugum,
Beata eſt vita: ſin minùs, ſatius eſt mori.
Vir verò cùm dolet propter res domeſticas,
Foras egreſſus ſedat cordis bilem,
“ Converſus aut ad aliquem amicum, aut coætaneum:
“ Sed nos oportet ſpectare ad unam animam.
Dicunt autem quod nos periculorum immunem vitam
Vivamus domi, ipſi verò pugnent haſtâ,
Malè ſentientes: “ quia ter ad clypeum
“ Stare mallem, quàm ſemel parere.
Sed enim non eadem ad me & te pertinet oratio:
Tibi enim eſt hæc urbs & paterna domus,
Vitæque commoditas, & amicorum congreſſus:
Ego verò deſerta & extorris injuriâ afficior

Χρὴ δὲ ξένον μὲν) προσήκει δὲ πάντα ξένον πρὸς τὰ τῆς πόλεως νόμιμα χωρεῖν, καὶ ἁρμόζειν ἑαυτὸν τοῖς ἤθεσι τῶν πολιτῶν. ὅθεν κἀγὼ προσίσταμαι πρὸς ὑμᾶς, τὸ πρέπον τοῖς ἐπὶ ξένης πράττουσα. Βίου χάριν) τὴν ἐν τῷ βίῳ ἡδονὴν, ἀφελομένη αὐτὸ τὸ ζῆν. Κατθανεῖν χρῄζω) τοῦτο ἐν ἤθει ἀναπεφώνηται. Κάκιστος ἀνδρῶν) ἐν ᾧ ἦν μοι πάντα, κάκιστος ἀνδρῶν ἐκβέβηκεν. εἰ δὲ ὑπόκειται οὐ συμφθειρομένοις τὸν τρόπον, λέγουσι γινώσκειν καλῶς. Χρημάτων ὑπερβολῇ) χρημάτων λέγει τῶν εἰς τὴν † φερνήν. τοῦτο δὲ ὁ Εὐριπίδης ἀπὸ τῆς καθ' αὐτὸν συνηθείας λέγει. οἱ δὲ ἥρωες οὐχ οὕτως ἐποίουν τοὺς γάμους, ἀλλ' ἐκ τῶν ἐναντίων αὐτοὶ ἐδίδοσαν, καθάπερ καὶ αὐτὸς ἐν ἄλλοις παρίστησι. καὶ Ὅμηρος, * πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλια. ἔστι δὲ ἀναχρονισμός. οἱ γὰρ ἥρωες τὸ ἐναντίον παρεῖχον. 234. Κακοῦ γὰρ) κακὸν μὲν τὸ χρημάτων ὑπερβολῇ πρίασθαι. ἀλγεινότερον δὲ κακὸν, τὸ καὶ δεσπότην ἄντικρυς λαμβάνειν. Οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ) ὅτι κἂν κακὸν ᾖ, στέργειν δεῖ. οὐ γὰρ εὐκλεὲς γυναῖκας καταλιπεῖν τὸν οἰκεῖον ἄνδρα, ἀλλὰ ἀκλεές. Εἰς καινὰ δ' ἤθη) οὕτω πρῶτον ἐστὶ τῇ τάξει τοῦ πράγματος τοῦ κατὰ νόμον τοῦ γάμου. πρότερον γὰρ ἐστὶ τὸ τὴν παρθένον περὶ τῶν πραγμάτων δοκιμάζειν πρὸς τὸν νυμφίον. οὐδ' οὕτως πειρᾶσθαι οὗτος, εἴτε δεξιοῦ, εἴτε κακοῦ. καινὰ δ' ἤθη λέγει καὶ νόμους τοὺς παρὰ τῷ ἀνδρί. νόμους δὲ λέγει τοὺς τῆς οἰκίας κανόνας καὶ τύπους, τὰ ἤθη καὶ τοὺς νόμους τῶν ἀνδρῶν. Βίᾳ φέρων) μὴ βίαν ἡγούμενος, μηδὲ ἀνάγκην τὴν συμβίωσιν. Ὅταν τοῖς ἔνδον) προσελθών τινι παραμυθήσεται. 252. Κἄμ' ἥκει λόγος) οὐχὶ περὶ σοῦ ταῦτα λέγω. οὐ γὰρ ὁμοίας ἔχεις ἐμοὶ τύχας.

† Φερνήν· Ita reſtituo pro φονήν. *Joſua Barnes.* * *Iliad.* λ'. v. 244.

ANNOTATIONES.

V. 228. Ἐν ᾧ γὰρ ἦν μοι &c.) Vid. *Gul. Canter.* Novar. Lection. l. 4. c. 11. Ubi tamen, ut mihi videtur, non ſatis dextrè Poetæ mentem eſt aſſecutus. Nec enim ulla erat corrigendi neceſſitas; ſed *Latinæ* Verſioni tantum erat medendum; quæ jam ad Verbum hunc locum ſatis evidentèr exponit. *Joſua Barnes.*

V. 234. Λαβεῖν· κακοῦ γὰρ τοῦδ' ἔτ' ἄλγιον κακόν·) Κακοῦ γὰρ τοῦδε τοῦ πρώτου δηλαδὴ, ἔτι ἀλγίον ἐστὶν ἄλλο κακὸν, καὶ ἐν τούτῳ ἀγὼν μέγιστος, ποῖον ἄν τις ἔχῃ ἄνδρα, ἢ κακὸν, ἢ χρηστόν. Vid. in hanc rem *Scholiaſten. Joſua Barnes.*

V. 251. Θέλοιμ' ἂν) fruſtrà emendant nonnulli Θέλοιμι, cùm Duplex ἂν ſæpè legatur: Ut videre licet *Hecub.* v. 359. Vid. *Turneb.* l. 26. c. 32. Ubi *Ennii* Verſio hujus Verſûs -- *Nam ter ſub armis malo vitam cernere, Quàm ſemel modo parere.* Ut ſupplevit *H. Stephanus.* Vid. illius ſelectas Tragœdias p. 948. *Joſua Barnes.*

Πρὸς

Πρὸς ἀνδρὸς, ἐκ γῆς βαρβάρου λελησμένη.
Οὐ μητέρ', οὐκ ἀδελφὸν, οὐδὲ συγγενῆ,
Μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
Τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
Ἤν μοι πόρος τις, μηχανή τ' ἐξευρεθῇ,
Πόσιν δίκην τῶνδ' ἀντιτίσασθαι κακῶν,
Τὸν δόντα τ' αὐτῷ θυγατέρ', ἥν τ' ἐγήματο,
« Σιγᾶν. Γυνὴ γὰρ, τἄλλα μὲν φόβου πλέα,
« Κακή δ' ἐς ἀλκὴν, καὶ σίδηρον εἰσορᾶν.
« Ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
« Οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
Χο. Δράσω τάδ'. ἐνδίκως γὰρ ἐκτίσῃ πόσιν,
Μήδεια· πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
Ὁρῶ δὲ καὶ Κρέοντα τῆσδ' ἄνακτα γῆς
Στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.
Κρ. Σὲ τὴν σκυθρωπὸν, καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
Φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
Καὶ μή τι μέλλειν. ὡς ἐγὼ βραβεὺς λόγου
Τοῦδ' εἰμὶ, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
Πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
Μη. Αἶ, αἶ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
Ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
Κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
Ἐρήσομαι δὲ, καὶ κακῶς πάσχουσ' ὅμως,
Τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον;
Κρ. Δέδοικά σ'· οὐδὲν δεῖ παραμπίσχειν λόγους·
Μή μοι τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
Ξυμβάλλεται δὲ πολλὰ τοῦδε δείματος.
Σοφὴ πέφυκας, καὶ κακῶν πολλῶν ἴδρις·
Λυπῇ δὲ, λέκτρων ἀνδρὸς ἐστερημένη.
Κλύω δ' ἀπειλεῖν, ὡς ἀπαγγέλλουσί μοι,
Τὸν δόντα, καὶ γήμαντα, καὶ γαμουμένην,
Δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν, φυλάξομαι.
Κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπέχθεσθαι, γύναι,
Ἢ μαλθακισθένθ', ὕστερον μέγα στένειν.

A marito, ex agro barbaro abrepta.
Neque matrem, neque fratrem, neque cognatum
Habens, qui me in portum ducat hujus calamitatis:
Tantum igitur cupio à te conſequi,
Si mihi via aliqua, & ratio inveniri poſſit,
Quâ maritum jure ulciſcar pro his malis,
Illumque, qui dedit ipſi *ſuam* filiam, & *Glaucam*, quam duxit,
« Ut taceas. Nam mulier alioqui eſt plena timore,
« Ignavaque ad prælium, & ad intuendum ferrum:
« Sed quando eſt injuriâ affecta, in matrimonio,
« Non eſt alia mens crudelior.
Cho. Faciam hæc: nam juſtè ulciſceris maritum,
Medæa: non miror autem te lugere iſtam fortunam.
Sed video Creontem, dominum hujus terræ
Venientem, nuncium novorum conſiliorum.
Cre. Te torvam, & iratam marito,
Medæam, jubeo exire ex hâc terrâ,
Extorrem, aſſumptis tecum duobus pueris,
Et nihil cunctari: quia ego autor edicti
Iſtius ſum, neque redibo domum,
Priuſquam ejecero te è finibus hujus terræ.
Med. Heu, heu, prorſus miſera perii.
Inimici enim expediunt jam omnem rudentem *adverſus me*,
Neque eſt effugium commodum hujus mali.
Sed quanquam malè tractor, tamen dicam:
Cur me, Creon, ejicis ex hâc terrâ?
Cre. Metuo te (nihil opus eſt involvere ſermones)
Nè quod inſanabile malum facias meæ filiæ.
Multæ enim ſunt conjecturæ hujus metûs.
Es callida, & artifex multorum malorum.
Doles verò, quòd orbata ſis thalamo mariti tui:
Audio inſuper te minari, ut mihi nunciant,
Et ſocero, & ſponſo, & nuptæ
Te aliquid facturam. Hæc igitur caveho, priuſquam accidant.
Multò enim ſatius eſt mihi, mulier, nunc in odiũ tuũ incurrere,
Quam placatum, poſtea valde gemere.

256 Λελησμένη) ἀντὶ τοῦ λελῃϊσμένη. ἀπειλῆφθαι γάρ. καὶ ὥσπερ δεινοπαθοῦσα τοῦτο λέγει, ὡς προσδοκήσασα μὲν σύνοικον ἕξειν τὸν Ἰάσονα· δεινότερα δὲ αἰχμαλώτου πάσχουσα. 258. Μεθορμίσασθαι) λείπει τὸ ὡς, ὥστε μεθορμίσασθαι. τὸ δὲ ἑξῆς, οὐ μητέρα, οὐκ ἀδελφὸς, οὐχὶ συγγενῆ ἔχουσαν πρὸς τὸ καταφυγοῦσαν πρός τινα τούτων μεταβληθῆναι τῆς συμφορᾶς. ἡ μεταφορὰ ἀπὸ τῶν μεθορμιζόντων εἰς τοὺς ἀσφαλεστέρους τόπους. Κακὴ δ' ἐς ἀλκὴν) ἀντὶ τοῦ ἀσθενής. ὁ δὲ λόγος, πάντα μὲν γυνὴ δειλοτάτη ἐστὶν ἐν τοῖς ἄλλοις ἅπασι, καὶ ἀσθενής. οὐ δὲ δύναται γυμνὸν ἰδεῖν ξίφος καρτερῆσαι. ὅταν δὲ εἰς κοίτην ἀδικηθῇ, τολμηροτάτη γίνεται. Πενθεῖν δ' οὔ σε θαυμάζω) οὐ θαυμάζω σε ἐπὶ τῷ πενθεῖν τὰς τύχας, δικαίως γὰρ πενθεῖς. Δισσὰ σὺν αὐτῇ τέκνα) Παρμενίσκος γράφει κατὰ λέξιν οὕτως. τὰς δὲ Κορινθίας οὐ βουλομένας ὑπὸ βαρβάρου καὶ φαρμακίδος γυναικὸς ἄρχεσθαι, αὐτῇ τε ἐπιβουλεῦσαι, καὶ τὰ τέκνα αὐτῆς ἀνελεῖν ἑπτὰ μὲν ἄρρενα, ἑπτὰ δὲ θήλεα. Εὐριπίδης δὲ δυσὶ μόνοις φησὶν αὐτὴν κεχρῆσθαι. ταῦτα δὲ διωκόμενα καταφυγεῖν εἰς τὸ τῆς ἀκραίας Ἥρας ἱερὸν, καὶ ἐπὶ τὸ ἱερὸν καθίσαι. Κορινθίους δὲ αὐτῶν οὐδ' οὕτως ἀποσχέσθαι, ἀλλ' ἐπὶ τοῦ βωμοῦ πάντα ταῦτα ἀποσφάξαι. λοιμοῦ δὲ γενομένου εἰς τὴν πόλιν, πολλὰ σώματα ὑπὸ τῆς νόσου διαφθείρεσθαι. μαντευομένοις δὲ αὐτοῖς, χρησμῳδῆσαι τὸν θεὸν ἱλάσκεσθαι τὸ τῶν Μηδείας τέκνων ἄγος, ὅθεν Κορινθίοις μέχρι τῶν καιρῶν τῶν καθ' ἡμᾶς καθ' ἕκαστον ἐνιαυτὸν ἑπτὰ κούρους καὶ ἑπτὰ κόρας τῶν ἐπισημοτάτων ἀνδρῶν ἐναπενιαυτίζειν τῷ τῆς θεᾶς τεμένει, καὶ μετὰ θυσιῶν ἱλάσκεσθαι τὴν ἐκείνων μῆνιν, καὶ τὴν δι' ἐκείνους γενομένην τῆς θεᾶς ὀργήν. Δίδυμος δὲ ἐναντιοῦται καὶ παρατίθεται τὰ Κρεωφύλου ἔχοντα οὕτως, τὴν γὰρ Μήδειαν λέγει διατρίβουσαν ἐν Κορίνθῳ τὸν ἄρχοντα τότε τῆς πόλεως, Κρέοντα ἀποκτεῖναι φαρμάκοις. δείσασαν δὲ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ υἱοὺς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν, καθεῖσαι ἐπὶ τὸν βωμὸν τῆς ἀκραίας Ἥρας, νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς, διαδοῦναι λόγους, ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε. γεγονέναι δὲ παραπλήσιον μυθεύεται καὶ περὶ τὸν Ἄδωνιν. 278. Ἐχθροὶ γὰρ ἐξιᾶσι) οἱ ἐχθροὶ ὑπερδραμοῦσι καθ' ἡμῶν, καὶ ὁρμῶνται πάντα τρόπον πρὸς ἡμᾶς, ἀπὸ μεταφορᾶς τῶν ὑπερδραμόντων καὶ χαλώντων πρὸς τὸ πνεῦμα τοὺς ἀρτέμονας. Εὐπρόσοιστος) εὐεπίβατος, καὶ ῥᾳδία πρὸς τὸ διαφυγεῖν αὐτήν. Ἀποστέλλεις) ἀπάγεις, ἐξεδέξατο δὲ κατὰ ἀναστροφὴν ἀπὸ γῆς στέλλεις. Δέδοικά σ') τὸ ἑξῆς δέδοικα μή μοι τι δράσῃς παῖδα. Παραμπίσχειν) κρύπτειν, φυλάσσεσθαι, ὅ ἐστι φυλάσσειν, περιστέλλειν, ἀποκρύπτειν. 289. Δράσειν τι) κακοποιήσειν. καὶ τὸ μαλθακισθέντα, ἀντὶ τοῦ ἁπλῶς προσενεχθέντα, ἢ μαλαχθέντα τοῖς λόγοις.

ANNOTATIONES.

258. Μεθορμίσασθαι &c.) τὸ ὡς, quod *Pauli Stephani* Editioni, *Canteri*que & aliis irrepſerat ex margine, jam penitus rejicio; neque enim Verſus ipſius ratio, neque *Scholiaſtes*, neque *Aldina* Editio (quæ certe correctior) illam dictionem agnoſcit. Et ipſe *Canterus* rejiciendam putat. Eadem etiam phraſis mox occurrit v. 443. *J. B.*

V. 271. Σὲ, τὴν σκυθρωπὸν &c.) τὸ σκυ- breve eſt. Ita & verſu abhinc tertio τι in τέκνα. Vid. Notas ad *Phœniſſ.* v. 19.

278. Ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων) Ἐξιᾶσι pro Ἐξίασι ab Ἐξίημι emitto *Atticè*. De hoc autem Proverbio Vide quæ Nos ad *Iphig. Aul.* v. 1249.

V. 288. Τὸν δόντα &c.) Reſpicit ad *Medeæ* verba ſuprà v. 261. & 262. Sed ex hoc Verſu & v. 257. Οὐ μητέρ', οὐκ ἀδελφὸν, οὐδὲ συγγενῆ, & ex innumeris aliis horum ſimilibus locis, qui aures habet terſas, *Euripidis* Facilitatem, Rotunditatem, & geminatam elegantiam, quibus ſuprà omnes mortales longè excellit, libenter agnoſcet. *Joſua Barnes.*

Μη. Φεῦ,

Μη. Φεῦ, φεῦ· Οὐ νῦν με πρῶτον ἀλλὰ πολλάκις, Κρέον,
" Ἔβλαψε δόξα, μεγάλα τ' εἴργασται κακά.
" Χρὴ δ' οὔποθ', ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ,
" Παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.
" Χωρὶς γὰρ ἄλλης, ἧς ἔχουσιν, ἀργίας,
" Φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
" Σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ,
" Δόξεις ἀχρεῖος, κοὐ σοφὸς πεφυκέναι.
" Τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον,
" Κρείσσων νομισθεὶς ἐν πόλει, λυπρὸς φανῇ.
Ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.
Σοφὴ γὰρ οὖσα, τοῖς μὲν εἰμ' ἐπίφθονος,
Τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,
Τοῖσδ' ὖν προσάντης· εἰμὶ δ' οὐκ ἄγαν σοφή.
Σὺ δ' οὖν φοβῇ με, μή τι πλημμελὲς πάθῃς.
Οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
Ὥστ' εἰς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
Σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου κόρην,
Ὅτῳ σε θυμὸς ἦγεν· ἀλλ' ἐμὸν πόσιν
Μισῶ· σὺ δ' οἶμαι, σωφρονῶν ἔδρας τάδε.
Καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.
Νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
Ἐᾶτέ μ' οἰκεῖν· καὶ γὰρ ἠδικημένοι
" Σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
Κρ. Λέγεις ἀκοῦσαι μαλθάκ'· ἀλλ' εἴσω φρενῶν
Ὀρρωδία μοι, μή τι βουλεύσῃς κακὸν,
Τοσῷδέ γ' ἧσσον, ἢ πάρος, πέποιθά σοι.
" Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνὴρ,
" Ῥᾴων φυλάσσειν, ἢ σιωπηλὸς σοφός.
Ἀλλ' ἔξιθ', ὡς τάχιστα· μὴ λόγους λέγε·
Ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην, ὅπως
Μενεῖς παρ' ἡμῖν, οὖσα δυσμενὴς ἐμοί.
Μη. Μὴ πρός σε γονάτων, τῆς τε νεογάμου κόρης.
Κρ. Λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.
Μη. Ἀλλ' ἐξελᾷς με, κοὐδὲν αἰδέσῃ Λιτάς;
Κρ. Φιλῶ γὰρ οὐ σὲ μᾶλλον, ἢ δόμους ἐμούς.
Μη. Ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.

Med. Heu, heu! Non mihi nunc primùm, ſed ſæpe, ô Creon,
" Nocuit exiſtimatio, & magna mala attulit.
" Non oportet autem eum, qui ſapiens eſt,
" Liberos edocendos curare, ut nimiùm ſint ſapientes.
" Præter enim aliam, quam habent, ignaviam
" Invidiam apud cives *ſibi* conciliant odioſam.
" Apud ſtultos enim proferens aliquid novum & ſapiens,
" Videberis inutilis, & non ſapiens eſſe:
" At contra illis qui videntur variâ aliquâ cognitionem habere,
" Præſtantior ſi exiſtimeris in civitate, moleſtus videberis.
Ego verò ipſa quoque particeps ſum hujus fortunæ.
Nam cùm ſim ſapiens, aliis quidem ſum inviſa,
Aliis verò ignava, aliis verò aliis moribus *prædita videor*,
Aliis difficilis, & *moroſa*: tamen non ſum nimis ſapiens.
Tu igitur metuis me ne quid mali tibi a me accidat.
Non ſic res meæ ſe habent, ne metuas me, Creon
Ut in viros principes delinquam.
Tu enim quâ injuriâ me affeciſti? elocâſti filiam et,
Cui te animus impulit. Sed meum maritum
Odi: tu autem, ut opinor, ſapienter hæc feciſti.
Et nunc non invideo, quòd res tuæ præclarè ſe habeant:
Deſpondete, bene ſit vobis: ſed jam in hâc terrâ
Sinite me habitare: quamvis enim injuriâ ſimus affecti,
" Tacebimus, à potentioribus victi.
Cre. Dicis auditu mollia: ſed in animo
Mihi eſt pavor, nè quid mali moliaris,
Et tanto minus, quàm antea, confido tibi.
" Nam mulier quæ citò iraſcitur, ſimiliter & vir,
" Facilius cavetur, quàm taciturnus ſapiens.
Proinde exi quàm celerrimè; nè facias multa verba:
Quia hoc decretum eſt, neque habes artem, ut
Apud nos maneas, cùm ſis mihi infeſta.
Med. Ne per genua & filiam tuam recens nuptam.
Cre. Conſumis verba: nunquam enim per ſuaſeris me.
Med. Expelles igitur me, neque revereberis Litas *i.e. Preces*?
Cre. Non enim mihi charior es meâ domo.
Med. O patria, quàm valde nunc tui recordor.

Ἔβλαψε δόξα) ἀντὶ τοῦ, ἡ δόξα με βλάπτει. οἱ γὰρ νομίζοντες με σοφὴν ἐπιβουλεύουσι με δεδοικότες. Ἧς ἔχουσιν ἀργίας) τὸ ἧς ἔχουσιν ἀργίας εἶπεν, ὡς οὐχ ὄντος τοῦ ὄντι ἀργῶν ὄντων τῶν σοφῶν. περιφανὴς γάρ ἐστιν, ὅτι μέγιστος πόνος ἐστὶ τὴν φιλοσοφίαν, καὶ Ἡσίοδος, Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν, ἀλλ' ὡς πολλῶν δοξαζόντων οὐκ ὀρθῶς, ἀργοὺς εἶναι τοὺς σοφούς. οἱ σοφοὶ οὖν φησὶ πρὸς τὸ δόξαν ἀργίας ἔχειν, καὶ φθονοῦνται ὑπὸ τῶν ἄλλων ἀνθρώπων, ὅθεν φησὶ, καλῶς ἔχειν κρίνω, μὴ χλιδᾶσαι εἰς ἄκρον παιδεύσαντας ἀκεῖν τινὰ ἀλλὰ καὶ τούτων αὐτοὺς εἶναι. τοῦτο δὲ οὐ δογματίζων ὁ ποιητὴς φησὶν, ἀλλ' ἁρμοζόμενος πρὸς τὸ ὑποκειμένον ἦθος, ἐπεὶ δοκεῖ ἡ Μήδεια σοφίας ἔχουσα δύναμιν βλάπτεσθαι σκαιοῖσι, ὁ σοφὸς, φησὶ, καθ' ἑκάτερον ἀδικεῖται. ὑπὸ μὲν γὰρ τῶν ἀπαιδεύτων οὐ σοφὸς εἶναι νομίζεται. τοῖς δὲ ἐλλογίμοις λυπηρὸς εἶναι καταφαίνεται, ὅταν τούτων κρείττων νομισθῇ. τὸ δὲ δοκούντων οὐκ ἐπὶ ἀμφιβόλου κεῖται, ἀλλ' ἐπὶ τῶν τῷ ὄντι ὑπαρχόντων, ἢ δοκούντων, ἢ καὶ πρὸς εἰσβολὴν τῶν δοκούντων ἐλλογίμων, οἱ καὶ τῇ ἀληθείᾳ ἐλλόγιμοι εἰσὶ διὰ τὸ νοσεῖν τὸν φθόνον, ὃ οὐ πρὸς σοφοῦ. Ἀλφάνουσιν) εὑρίσκουσιν. ἀπὸ τοῦ ἀλφεῖν. Τῶν δ' αὖ δοκούντων) τῶν δοκούντων, φησὶν, εἰδέναι τι, κρείσσων νομισθεὶς, ἐπαχθὴς ἔσῃ.

ὅθεν συμβαίνει καὶ παρὰ τοῖς ἀπαιδεύτοις ἀπεχθῆ εἶναι, διὰ τὸ μὴ περισσεύειν αὐτούς. καὶ παρὰ τοῖς συνετοῖς ὁμοίως, ἕνεκα τοῦ διαφέρειν δοκεῖν αὐτῶν, ἐπίφθονον καὶ λυπηρὸν γίνεσθαι. 303. Ἐπίφθονος) ζηλωτὴ τοῖς εἰδόσι, φθονουμένη. ἡσυχαία δὲ ἀνόνητος, ἄχρηστος. Θατέρου τρόπου) ἢ πρὸς τὸ ἡσυχαία, ἵν' ᾖ συνετὴ, ἢ πρὸς τὸ τοῖς μὲν εἰμ' ἐπίφθονος. ὃ ἐστιν ἐπίμεμπτος παρὰ τοῖς ἀπαιδεύτοις καὶ ἀμαθὴς νομίζομαι. Προσάντης) ἐναντία εἰμὶ τοῖς ἀπαιδεύτοις, καὶ οὐκ ἄγαν σοφή. Τοσῷδε δ' ἧσσον) τοσούτῳ δὲ φησιν, ὅσῳ γλυκεῖα μὲν εἶ τῷ λόγῳ, ἄλλα δὲ φρονεῖς, τοσούτῳ μᾶλλον ἀπιστότερος τυγχάνω, ἢ πρὶν τῶν λόγων σου τούτων ἀκοῦσαι. Γυνὴ γὰρ ὀξύθυμος) πᾶσα γὰρ, φησὶν, ὀξύθυμος γυνὴ, ὁμοίως δὲ ἂν καὶ ἀνὴρ, εὐμαρέστερον ἂν φυλαχθείη, ἢ ὁ κρύπτων τὴν ὀργήν. τοῦτο γὰρ φανερῶς ὀργιζομένους εὐμαρῶς προορώμενοι φυλάττεσθαι. τοὺς δὲ ἐν ἀφανεῖ κρύπτοντας τὴν μῆνιν, οὐχ οἷόν τε διὰ τὸ ἀπρόοπτον. καὶ σὺ οὖν φησὶ σιωπηλὴ οὖσα, οὐκ εὐμαρὴς φυλάξασθαι. Ῥᾴων φυλάσσειν) ἀντὶ τοῦ φυλαχθῆναι καὶ τηρηθῆναι ἐνεργητικὸν ἀντὶ παθητικοῦ. τοῦτο δὲ ἔθος ὡς ἐπιτοπλεῖστον τοῖς Ἀττικοῖς. λέγει δὲ σιωπηλός. Ἄλλως. Ῥᾷον ἐστὶ φυλάττεσθαι φησὶν ὀξύθυμος ἀνήρ. ὡσαύτως δὲ καὶ γυνή. φανεροὶ γάρ εἰσι, καὶ πάντα ἐκχέουσιν ὀργιζόμενοι. ὁ δὲ σιωπηλὸς, δυσπαρατήρητός ἐστιν, ἐν ἑαυτῷ κρύπτων καὶ προφυλάσσων τὴν ὀργήν. 324. Μὴ πρός σε) μέμφονται τῷ Εὐριπίδῃ, ὅτι πεποίηκε τὴν Μήδειαν, ὡς ἂν λέγει τῷ Κρέοντι, ὡς ὑπτίως ἔχει πρὸς τὴν νύμφην.

ANNOTATIONES.

V. 292. Φεῦ, φεῦ) hæc exclamatio extra Verſum eminet. Vid. *Hecub.* v. 55. item v. 864 & v. 1116.

V. 316. Λέγεις ἀκοῦσαι μαλθακὰ) Codex *Heinſio-Scaligerianus* notat ad marginem ἄκουε pro ἀκοῦσαι, ob luxuriem puto ingenii oſtendendam potiùs, quàm quòd crederent veram illam aut veriſimilem lectionem; quum frigida ſit omninò & inelegans, præ lectione τοῦ ἀκοῦσαι, quam retinendam omninò pronuntio. Et prætereà prior ſyllaba τοῦ ἄκουε producitur, quæ res in hoc loco fieri nequit. *Joſua Barnes.*

V. 326. Λιτὰς) Προσωποποιΐα. Reſpicit *Homeri* locum Iliad. ι. v. 498. Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι &c. *Joſua Barnes.*

Κρ. Πλὴν γὰρ τέκνων, ἔμοιγε φίλτατον πολύ.
Μή. Φεῦ, φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
Κρ. Ὅπως ἂν οἶμαι καὶ παραστῶσιν τύχαι.
Μή. Ζεῦ, μὴ λάθοι σε, τῶνδ' ὃς αἴτιος κακῶν.
Κρ. Ἕρπ' ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
Μή. Πονοῦμεν ἡμεῖς, κοὐ πόνων κεχρήμεθα.
Κρ. Τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ.
Μή. Μὴ δῆτα τοῦτό γ'· ἀλλά σ' αἰτοῦμαι, Κρέον.
Κρ. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
Μή. Φευξόμεθ'· οὐ τοῦθ' ἱκέτευσά σου τυχεῖν.
Κρ. Τί δ' οὖν βιάζῃ, κοὐκ ἀπαλλάσσῃ χθονός;
Μή. Μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν,
Καὶ ξυμπερᾶναι φροντίδ', ᾗ φευξούμεθα,
Παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
Οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
Οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
Πέφυκας. εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν.
Τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα·
Κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.
Κρ. Ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν.
Αἰδούμενος δὲ, πολλὰ δὴ διέφθορα.
Καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
Ὅμως δὲ τεύξῃ τοῦδε. προὐννέπω δέ σοι·
Εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ,
Καὶ παῖδας ἐντὸς τῆσδε * τερμόνων χθονός,
Θανῇ. λέλεκται μῦθος, οὐ ψευδὴς ὅδε.
Νῦν δ' εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν·
Οὐ γάρ τι δράσεις δεινὸν, ὧν φόβος μ' ἔχει.

* Vid. *Phoeniſſ.* v. 1361.

Ἀνάπαιστοι.

Χο. Δύστανε γύναι,
Φεῦ, φεῦ· μελέα τῶν σῶν ἀχέων.
Ποῖ ποτε τρέψῃ; τίνα προξενίαν,
Ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
Ἐξευρήσεις;
Ὡς εἰς ἄπορόν σε κλύδωνα θεὸς,
Μήδεια, κακῶν ἐπόρευσε.

Ἴαμβοι.

Μή. Κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;

Cre. Præter liberos enim eſt mihi longe chariſſima.
Med. Heu, heu! quàm magnum malum hominibus eſt amor?
Cre. Credo, ut tulerit fortuna.
Med. Jupiter, non lateat te is, qui autor eſt horum malorum.
Cre. Vade, ô vana, & libera me curis.
Med. Nos laboramus, neque indigemus aliis miſeriis.
Cre. Citò extruderis violenter manu famulorum.
Med. Nequaquam ita: ſed rogo te, Creon.
Cre. Negotium faceſſes, ut videris, ô mulier.
Med. Fugiam: non hoc te rogo, ut impetrem ne *diſcedam*.
Cre. Quid igitur reſiſtis, & non diſcedis e terrâ?
Med. Concede mihi, ut poſſim tantum hunc diem manere,
Et perficere deliberationem, quâ fugiam,
Et viaticum meis liberis: quandoquidem pater
Nihil curat vitæ *ſubſidium* parare liberis.
Miſerare igitur illos; nam & tu pater liberorum
Es. Conſentaneum autem eſt te habere benevolentiam.
Non enim de me ſum ſollicita, quòd in exilium ſimus ituri:
Illorum verò calamitatem, quâ premuntur, lugeo.
Cre. Animus meus minimè eſt tyrannicus:
Sed verecundiâ victus, multa perperàm egi.
Et nunc video quidem me peccare, mulier,
Attamen conſequeris hoc. ſed prædico tibi,
Si te poſtera lux Dei viderit,
Et liberos tuos intra fines hujus terræ,
Morieris. Dictus eſt ſermo hic, neque irritus erit.
Nunc igitur ſi oportet te manere, mane ad unum diem:
Non enim facies aliquid mali eorum, quæ metuo.

Chorus.

Infelix mulier,
Heu, heu! miſera *es* ob tuos dolores.
Quonam te vertes? quod hoſpitium,
Aut quam domum terràmve, quæ liberet te his malis,
Invenies?
Quam te Deus in difficilem tempeſtatem
Malorum duxit, Medea.

Medea.

Ubique malè mecum agitur: quis contradicet?

Ὅπως ἂν οἶμαι) ἐπειδὴ κακὸν ἡ Μήδεια τὸν ἔρωτα κακὸν ἀπεφήνατο, ὑπεισήγαγε ὁ Κρέων τοῦτο ἀπαντῶν, καὶ φησὶν, ὁ ἔρως οὐκ ἀεὶ κακὸς, ἀλλ' ὡς ἂν ἄγηται ὑπὸ τῆς τύχης. πολλοὶ γὰρ ἐρασθέντες ἐπέτυχον. διαστρέφει δὲ τὸν ἔρωτα ἡ Μήδεια, ἐπεὶ καὶ ἐρασθεῖσα τοῦ Ἰάσονος, ἐξέπεσε τῆς ἐλπίδος· ὅπως δὲ φησὶ μὴ κατηγόρει τοῦ ἔρωτος. ἔσθ' ὅτε γὰρ ἀγαθόν τι ποιεῖ, ἔσθ' ὅτε δὲ κακὸν, ὡς ἂν ἡ τύχη παραστήσῃ. Πονοῦμεν ἡμεῖς) ἐπεὶ εἶπεν ὁ Κρέων, καί μ' ἀπάλλαξον πόνων. φησὶ, ποίων πόνων; ἐγὼ γὰρ εἰμὶ ἐν πόνοις νῦν, καὶ οὐκ ὀφείλουσα ἄλλους πόνους ἀνέχεσθαι ἐφ' οἷς ἔχω, ἀλλ' οὐκ ἐν σπάνει κακῶν. σὺ γὰρ οὐ πονεῖς, καὶ ἐν κακοῖς τυγχάνεις. ἐπειδὴ δ' εἶπεν ὁ Κρέων καί μ' ἀπάλλαξον πόνων, φησὶ ποίων πόνων; ἐγὼ γὰρ εἰμὶ ἡ ἐν πόνοις νῦν, καὶ οὐκ ὀφείλω ἄλλους πόνους ἀναδέχεσθαι πόνοις ἐφ' οἷς ἔχω, ὅτι μή τι ἀπέλαυνέ με τῆς Κορίνθου, καὶ τοῦτό μοι προσέθηκε τῶν πόνων ἐφ' οἷς ἔχω. ἱκανῶς γὰρ ἔχω πόνων τῆς τε πατρίδος ἐστερημένη, καὶ νῦν τὸν ἄνδρα ἀπολέσασα διὰ τὴν σὴν θυγατέρα. ὅτι τὸ πονοῦμεν ἡμεῖς διασταλτικῶς εἶπεν. οἷον ἐγὼ πονῶ, τοιαῦτα δεινὰ πεπονθυῖα. σὺ δὲ οὔ, μηδὲν χαλεπὸν ὑπομείνας. Παισίν τ' ἀφορμὴν) τὴν ἡμεῖς προβολὴν καλοῦμεν εἰς τὸ ζῆν, οἱ Ἀττικοὶ ἀφορμὴν καλοῦσιν. Εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν) οὐδὲν φησὶν ἀπεικὸς πατέρα σε ὄντα εὔνοιαν καὶ στοργὴν ἔχειν, ἣν ἂν ἔχοιεν πατέρες περὶ παῖδας. ὅθεν οἰκτείρω μὲν, εἰδὼς αὐτῇ πείρᾳ τὴν πρὸς τὰ φίλτατα διάθεσιν. 356. Οὐ γάρ τι δράσεις) Δίδυμος μετὰ τοῦτον φέρει τὸ στιχ. δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος, καὶ μέμφονται τοῖς ὑποκριταῖς ὡς ἀγνοοῦσιν αὐτὸν παρεισάγουσιν. 364. Κακῶς πέπρακται πανταχῇ. τίς ἀντερεῖ) ἀντὶ τοῦ, οὕτω φανερῶς καὶ ἐναργῶς δυστυχοῦμεν, καὶ ἐν κακοῖς ἐσμὲν, ὡς μηδένα δύνασθαι ἀντιλέγειν, ὅτι οὐχ οὕτως ἔχομεν δυστυχίας.

ANNOTATIONES.

V. 332. Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν) Hunc verſum ex duobus, quos *M. Brutus* deſperatis ſuis rebus dixerit, unum fuiſſe *Plutarchus* memorat. Quidni & alterum, quem *Volumnius*, qui præſens audiverat, è memoriâ ſibi excidiſſe dixit, ſequentem ſtatuamus, ſi ματαία tantum in στρατιῶτα mutemus; ſicut enim *Dion.* Hiſt. l. 47. teſtatur, παρεκάλεσέ τινα τῶν στρατιωτῶν, ἵνα αὐτὸν ἀποκτείνῃ. Ita itaque *Volumnii* memoriæ ſublevandum judico,

Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν!
Ἕρπ', ὦ στρατιῶτα, καί μ' ἀπάλλαξον πόνων.

Credo equidem, ſi hæc *Victorio* in mentem veniſſent, feliciùs ſibi locum ornatum putâſſet, quem de hâc re tractat *Variar. Lection.* l. 23 c. 2. Nec omittendum, quòd *Paulus Leopardus* obſervavit, hunc Verſum eleganti Parodiâ, unius duntaxat literæ mutatione, in *Lenticula* vituperium detortum apud *Athenæum* l. 4. Ζεῦ, μὴ λάθοι σε, τῆσδ' ὃς αἴτιος φακῆς. Vid. *Paul. Leopardi* Emendat. lib. 6. c. 12. *Joſua Barnes.*

V. 352. Εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ) Hunc Verſum ita vertit *Ennius* — *Si te ſecundo lumine hic offendero.* Θεοῦ verò ponitur abſolutè pro *Sole*, de quâ re vide *Ludov. Carrionis* Emendat. l. 2. c. 1. de Anno *Dei*, hoc eſt, *Solari*, ubi & hunc ipſum Verſum profert, ubi tamen *Ægeum* pro *Creonte* per lapſum memoriæ dicit hæc *Medeæ* interminatum. Vide *Sole* pro *Sole* poſitum *Suppl.* v. 208. & v. 469. *Joſua Barnes.*

'Αλλ'

Ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
Ἔτ' εἴσ' ἀγῶνες τοῖς νέοισι νυμφίοις,
Καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
Δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτ' ἄν,
Εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
Οὐδ' ἂν προσεῖπον, οὐδ' ἂν ἡψάμην χεροῖν·
Ὁ δ' εἰς τοσοῦτον μωρίας ἀφίκετο,
Ὥστ', * ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
Γῆς ἐκβαλόντι, τήνδ' ἀφῆκεν ἡμέραν
Μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
Θήσω, πατέρα τε, καὶ κόρην, πόσιν τ' ἐμόν.
Πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς,
Οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι.
Πότερον ὑφάψω δῶμα νυμφικὸν πυρὶ,
Ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἀλλ' ἕν τί μοι πρόσαντες, εἰ ληφθήσομαι
Δόμους ὑπερβαίνουσα, καὶ τεχνωμένη,
Θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
Κρατίστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
Σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.
Εἶεν· Καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
Τίς γῆν ἄσυλον, καὶ δόμους ἐχεγγύους
Ξένος παρασχὼν, ῥύσεται τοὐμὸν δέμας;
Οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
Ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
Δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον.
Ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
Αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
Κτενῶ σφε· τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
Οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω
Μάλιστα πάντων, καὶ ξυνεργὸν εἱλόμην
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
Χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
Πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,
Πικρὸν δὲ κῆδος, καὶ φυγὰς ἐμὰς χθονός.
Ἀλλ' εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα, καὶ τεχνωμένη.
Ἕρπ' εἰς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
Ὁρᾷς ἃ πάσχεις; οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
Τοῖς Σισυφείοις, τοῖς τ' Ἰάσονος γάμοις,
Γεγῶσαν ἐσθλοῦ πατρὸς, Ἡλίου τ' ἄπο·
Ἐπίστασαι δέ. "Πρὸς δὲ καὶ πεφύκαμεν

* Vid. infrà v. 448.

Sed nondum hæc ſunt eodem modo, ne puteris.
Reſtant adhuc alia certamina novis ſponſis,
Et non exigua mala affinibus.
Putas enim me hûc blandis verbis compellaturum fuiſſe unquam,
Niſi aliquid lucri captarem, aut machinarer?
Neque ſanè allocuta eſſem, neque attigiſſem manibus.
Ille verò eo ſtultitiæ pervenit,
Ut, cùm poſſet ipſe evertere mea conſilia,
Si me ejeciſſet ex hâc terrâ, conceſſerit hoc die
Me manere, quo tres ex meis inimicis
Interficiam, patrem, puellam, & meum maritum.
Sed cùm habeam multas vias interficiendi eos,
Non ſcio quam primùm aggrediar, amicæ.
Utrum accendam domum ſponſæ igni.
An adigam acutum enſem per hepar.
Clam ingreſſa domum, ubi lectus eſt ſtratus.
Sed unum eſt mihi periculoſum, ſi deprehendar,
Ingreſſa domum & moliens iſta
Morte meâ riſum præbebo meis inimicis.
Optimum eſt rectâ viâ ingredi, quâ ſumus
Potentes maximè, venenis ut eos interficiamus.
Eſto, & jam ſint mortui: quæ me civitas excipiet?
Quis terram tutam & domum ſervantem promiſſa,
Præbens hoſpes liberabit meum corpus?
Nemo eſt. Igitur manens adhuc exiguum tempus,
Siquidem aliqua *ſalutis* turris tuta nobis apparuerit,
Aggrediar hanc cædem dolo & clàm.
Si verò calamitas inevitabilis me exagitet,
Ego correpto gladio, etiamſi mihi moriendum ſit,
Occidam eos: vado autem ad extremam audaciam.
Non enim per dominam, quam ego colo
Omnium maximè, & adjutricem elegi
Hecaten, quæ habitat in angulis larium meorum,
Aliquis ex eis gaudens, dolore afficiet meum animum
Ego autem faciam ipſis nuptias acerbas & triſtes,
Et acerbam affinitatem & exilium meum ex hâc terrâ.
Age verò, nulli arti eorum quæ ſcis, parcas,
Medea, deliberans, & machinans.
Vade ad atrox facinus: nunc eſt certamen audaciæ.
Vides quæ patiaris? non oportet te derideri
A genere Siſyphi, & nuptiis Jaſonis.
Quæ nata es ex præſtanti patre, & à Sole:
Et calles aliquid. "Præterea verò naturâ ſumus

Ἀλλ' οὔτι ταύτῃ ταῦτα) ἀλλ' οὐχὶ κατὰ τοῦτο τὸ μέρος φησὶ κακῶς ἔχει τὰ καθ' ἡμᾶς, καθὸ πεισθεὶς ἡμῖν ἀπῆλθε Κρέων. τὸ ταύτῃ οὖν ἀντὶ τοῦ κατὰ ταύτην τὴν ὁδὸν, καὶ τοῦτον τὸν τρόπον ταῦτα καλλῶς πέπρακται. ἢ τὸ ταυτὰ ὀξυτόνως, τουτέστιν ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς ἀπῆλθεν, οὐ ταυτὰ τὰ πράγματα, ἀλλὰ καλλίονα. ἀμφότερα δὲ εἰς ταυτὸ ἀναστρέφουσιν. Ἄλλως. τὸ ταῦτα τῇ μὲν περισπᾶται, τῇ δὲ ὀξύνεται. ὅ ἐστιν, ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς ἀπῆλθεν Κρέων, οὐ ταῦτα τὰ πράγματα δεινὰ, ἀλλὰ βελτίονα. Πόσιν τ' ἐμὸν) πῶς ἐπαγγειλαμένη ἀνελεῖν τὸν Ἰάσονα οὐκ ἀνεῖλε; ἢ τάχα ἐπεὶ ἐλθὼν ὁ ἄγγελος κατὰ θάνατον Γλαύκης καὶ Κρέοντος, ἐθορύβησεν αὐτὴν λέγων χρῆναι τάχιστα φυγεῖν. ἔνθα καί φησι, Μήδεια φεῦγε. ὅθεν οὐκ ἔσχε σχολὴν τοῦτο ἐργάσασθαι. εὐθὺς οὖν καὶ ὁ Ἰάσων παραγίνεται πρὸς αὐτήν. Ἢ θηκτὸν) οὐδὲ καλῶς κεῖται. Δίδυμος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τάσσουσιν ἐπὶ τῷ β' τὸ σιγῇ δόμους εἰσβᾶσα, καύσω ἢ σφάξω αὐτούς. Εἰ ληφθήσομαι) σοφῶς δεῖ τὰ ἀντιπίπτοντα λύειν. Τεχνωμένη) πρὸς τὸ ἐπελθεῖν αὐτοῖς κοιμωμένοις. Ἧ, πεφύκαμεν) ᾗ μηχανῇ σοφαὶ ἐσμέν. κράτιστον δέ φησι φαρμάκοις αὐτοὺς κτανεῖν, κατὰ τὴν ὁδὸν ἐν ᾗ σοφαὶ πεφύκαμεν, μάλιστα δηλαδὴ τῇ τῶν φαρμάκων. 389. Οὐκ ἔστι) ἢ περιττῶς πρᾶξαί τι οὐκ ἔστιν, ἢ οὐκ ἔστι μοι φίλος οὐδεὶς ὁ μέλλων με ὑποδέχεσθαι καὶ κρύπτειν. Πύργος ἀσφαλὴς) ἀντὶ τοῦ ὀχύρωμα σωτηρίας. μεταφορικῶς δὲ τὴν σωτηρίαν πύργον ὀνόμασεν, παρὰ τοὺς ὑποδεδεγμένους ὑπὸ πύργου ἐν τῷ πολέμῳ σώζεσθαι. Ἄλλως. εἰ μὲν εὕρω ἐχυρὰν καταφυγὴν σιωπῇ μετέρχομαι φαρμάκοις τὸν φόνον. ἐὰν δὲ ἐλαύνῃ με ἡ ἐξουσία, τότε ξίφος λαβοῦσα κτενῶ σφε φανερῶς. εἰ καὶ ἐμοὶ [illegible] συναπολέσθαι αὐτοῖς. 392. Ἀμήχανος) ὃ ἐστι μὴ παρέχουσα μηχανὴν, πρὸς τὸ καταγελάσαι αὐτοὺς τοὺς ἐχθρούς. 407. Ἐπίστασαι δὲ) ἐπίστασαι δὲ μηχανὰς μέν τινας, δι' ὧν αὐτοὺς φονεύσεις. εἰ δὲ μὴ ᾔδεις, ἔχειν αὐτὸ τὸ αἴτιον ταῖς γυναιξὶν εὑρεσίτεχνον.

ANNOTATIONES.

V. 368. Δοκεῖς γὰρ ἄν με &c.) En! iterum bis ἂν legi in eâdem clauſâ. Vid. *Hecub.* v. 359.

V. 386. Καὶ δὴ τεθνᾶσι·) τι in τεθνᾶσι brevis eſt. Vid. Notas ad *Phœniſſ.* v. 19. Hic autem Εἶεν redundat, & Verſus incipit ad Καὶ δὴ &c.

V. 404. Δεῖ σ' ὀφλεῖν) τὸ ὀφλεῖν Iambus eſto, juxta inſtantias, quas videre eſt, *Phœniſſ.* v. 19.

V. 405. Τοῖς Σισυφείοις) i. e. *Creonti* & illius Familiæ; is enim erat filius [illegible] *Siſyphi*: Per contemptum autem vocat eos *Siſyphios*. Vid. ad *Iphig.* Aul. v. 524. *Joſua Barnes*

" Γυναῖκες εἰς μὲν ἔσθλ' ἀμηχανώταται,
" Κακῶν δὲ πάντων τέκτονες σοφώταται.

" Nos mulieres ad bona quidem ineptiſſimæ,
" Malorum verò omnium artifices peritiſſimæ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ANTISTROPHICA.

Στροφὴ ά.

Χο. 1 Ἄνω ποταμῶν ἱερῶν
2 Χωροῦσι παγαὶ,
3 Καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
4 Ἀνδράσι μὲν δόλιαι βουλαί· θεῶν
5 Δ' οὐκέτι πίστις ἄρηρε.
6 Τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν,
7 Στρέψουσι φᾶμαι·
8 Ἔρχεται τιμὰ
9 Γυναικείῳ γένει.
10 Οὐκέτι δυσκέλαδος
11 Φάμα γυναῖκας ἕξει.

Strophe 1.

Cho. 1 Surſum versùs fluminum ſacrorum
2 Vadunt fontes,
3 Et jus & omnia retrò vertuntur.
4 Viris quidem doloſa ſunt conſilia: Deorum
5 Verò fides non ampliùs eſt rata.
6 Mea quidem vita ut non habeat laudem,
7 Fama obſtat.
8 Honos venit
9 Muliebri generi.
10 Non ampliùs infamia
11 Fama mulieres premet.

Ἀντιστροφὴ ά.

1 Μοῦσαι δὲ παλαιγενέων
2 Λήξουσιν ἀοιδᾶν,
3 Τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
4 Οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
5 Ὤπασε θέσπιν ἀοιδὰν
6 Φοῖβος ἁγήτωρ μελέων. ἐπεὶ ἀν-
7 τάχησ' ὕμνον
8 Ἀρσένων γέννᾳ.
9 Μακρὸς δ' αἰὼν ἔχει
10 Πολλὰ μὲν ἁμετέραν
11 Ἀνδρῶν τε μοῖραν εἰπεῖν.

Antiſtrophe 1.

1 Muſæ verò priſciæ
2 Deſinent carminibus
3 Meam celebrare perfidiam.
4 Neque enim in mentibus noſtris lyræ
5 Divinum carmen dedit
6 Phœbus, dux carminum: quia vi-
7 ciſſim hymnum mulieres accinuiſſent in
8 Genus maſculinum.
9 Longa autem ætas habet
10 Multa de noſtrâ,
11 Virorumque ſorte dicenda.

Στροφὴ β'.

1 Σὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας
2 Μαινομένᾳ κραδίᾳ, διδύ-
3 μους ὁρίσασα πόντου

Strophe 2.

1 Tu autem navigâſti ex domo patriâ
2 Furenti animo, gemi-
3 na maris metiens

Γυναῖκες εἰς μὲν) ἀντὶ τοῦ εἰς μὲν τὰ ἀγαθὰ ἄποροι. καὶ οὐχ ἱκαναὶ ἐξανύειν τὸ αἴτιον. εἰς δὲ τὰ κακὰ εὔποροι καὶ ἱκαναί, καὶ ἐξαρκετικαί. Ἄνω ποταμῶν) θέλει εἰπεῖν, ὅτι ἀντιστρέφεται ἡ φύσις. οὐκέτι γὰρ δόλιαί εἰσιν αἱ γυναῖκες, ἀλλ' οἱ ἄνδρες. παροιμία δὲ τοῦτο, ἐπὶ τῶν εἰς τὸ ἐναντίον καὶ παρὰ τὸ προσῆκον μεταβαλλομένων πραγμάτων. οἷον ἀντιστρέφεται τὰ πράγματα, ὥστε δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. λέγει δὲ ταῦτα διὰ τὸν Ἰάσονα. ἀντεστράφη φησὶν ἡ τάξις, καὶ ἄνδρες μὲν δόλιοι καὶ ἄπιστοι γεγόνασιν, γυναῖκες δὲ αἱ πρώην διαβεβλημέναι ἔνδοξοι καὶ πισταί. Τὰν δ' ἐμὰν) τὸ ἑξῆς, τὰν δ' ἐμὰν βιοτὰν οὐδὲν ὡς ὁ λόγος ἀναφέρεται), ὅτι ἄπιστοι μὲν οἱ ἄνδρες, πισταὶ δὲ αἱ γυναῖκες. καὶ ἔρχεται πάντας τὸν ἡμέτερον βίον, τουτέστι τὴν γυναικείαν φύσιν εὐκλεεστέραν εἶναι). Τὰν δ' ἐμὰν εὔκλειαν) ἐκ τῶν κατὰ τὴν Μήδειαν ἀδικημάτων, ἐπελεύσονται) τιμαὶ τῇ γυναικείᾳ φύσει, ἀνδρῶν ἀδίκων ἀποδειχθέντων, τῶν δὲ γυναικῶν ἔμπαλιν δικαίων. οὐκ ἔτι γὰρ ῥηθήσεται τό, οὐ δεῖ πιστεύειν γυναικί. καθόλου γὰρ λέγει), ὅτι ἀντιστρέφεται τὰ πράγματα, διὰ τὸ δολίους μὲν καὶ ἐπιβούλους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. ταῦτα δὲ λέγει διὰ τὸν Ἰάσονα. Ὑμνεῦσαι) καὶ ἐπὶ κακοῦ τὸ ὑμνεῦσαι. λοιπὸν δέ φησιν αἱ μοῦσαι, αἱ τοὺς παλαιγενεῖς ἄνδρας τοὺς σοφοὺς παρορμήσασαι διασύρειν τὸ γυναικεῖον ἔθνος λήξουσι τῶν ἀοιδῶν τῶν καθ' ἡμᾶς, ἐν αἷς ὡς ἄπιστοι διαβεβλήμεθα. τουτέστιν οὐκέτι τοῖς ποιηταῖς ἐμποδίσουσι τὸ καθ' ἡμῶν τι λέγειν. ἢ μοῦσαι παλαιγενέων, τὰ ποιήματα τῶν πάλαι σοφῶν ποιητῶν. τουτέστι τάδε εἰρημένα τοῖς πάλαι σοφοῖς καθ' ἡμῶν, καὶ ἐν οἷς ποιήμασι διαβεβλήμεθα ταῦτα [illegible], καὶ λῆρος εἶναι νομισθήσεται), ἵν' ᾖ τὸ λήξουσιν, ἀντὶ τοῦ παύσουσι καὶ ἀφανισθήσονται). 424. Οὐ γὰρ ἐν ἁμετέρᾳ) οὐ καθ' ἡμετέραν φησὶ γνώμην, οὐδὲ ὡς ἡμῖν ταῖς γυναιξὶν ἀρέσκει, ἐδωρήσατο τοῖς ἀνδράσιν ἐξ ἀρχῆς ὁ Ἀπόλλων τὸ δύνασθαι λέγειν. ἔδει γὰρ καὶ τῇ γυναικείᾳ φύσει τοῦτο δεδωρῆσθαι. καὶ τάχ' ἂν πολλαὶ τῶν ποιητριῶν γενόμεναι, ἑαυτὰς μὲν ὑμνήσαμεν, τοὺς ἄνδρας δὲ ἐψέγομεν. καὶ τὸ ἐν ἡμετέρᾳ γνώμῃ ἀντὶ τοῦ γυναικείᾳ φύσει, οὐ δέδωκεν ὁ Ἀπόλλων, ἤτοι ἡμῖν ταῖς γυναιξὶν τὸ δύνασθαι λέγειν. τὸ αὐτὸ δὲ δηλοῖ). Ἄλλως. οὐ γὰρ ἐν ἡμετέρᾳ γνώμῃ τῆς λύρας θέσπιν ἀοιδὴν ἐδωρήσατο Ἀπόλλων, οὐ δυνάμεθα ἐσμὲν ἡμεῖς αἱ γυναῖκες ποιήματα γράφειν, ἐπεὶ τάχα ἂν αἱ γυναῖκες ἀντεκωμῴδουν τοὺς ἄνδρας. τὴν δὲ ἑαυτῶν φύσιν ἐπῄνουν, [illegible] τὸν τοῦ λέοντος μῦθον. Λέων γὰρ ἰδὼν λέοντα ὑπὸ ἀνδρὸς αἰσχυνόμενον ἐν γραφῇ, εἶπεν, καὶ ἡμεῖς εἰ ἠδυνάμεθα γράφειν, ἢ πλάττειν, ἔμπαλιν ἂν οἱ ἄνθρωποι ἐπάθοντο αἰσχυνόμενοι ὑπὸ λεόντων. Ἐπεὶ ἀντάχησεν) ταῦτα καὶ εἰς τὰ Ἡσιόδου καὶ Ὁμήρου, † ὃς δὲ γυναικὶ πέποιθε, καὶ * ἐπεὶ οὐκ ἔτι πιστὰ γυναιξί· συμβαίνει δὲ τῷ [illegible] ταῦτα πολλῷ χεῖρον τάς τε γυναῖκας [illegible] τῶν ἀνδρῶν, καὶ τοὺς ἄνδρας κατὰ τῶν γυναικῶν, καὶ οὐκ ἔτι μόναι γυναῖκες βλασφημηθήσονται). ἢ οὕτως. αἱ ὕμνοι τῶν μελῶν ἀντήχησαν ἂν πρὸς τοὺς ἄνδρας, ἀντεκωμῳδήσαντο καὶ ἀντεδιέβαλον ἄν, εἰ ὁ Ἀπόλλων ἐδωρήσατο τῷ γυναικείῳ τὸ λέγειν. Μοῖραν) τὴν ἡμῶν μοῖραν, καὶ τῶν ἀνδρῶν. μοῖραν δὲ, τὴν μερίδα, ἀντὶ τοῦ συμβαίνει κατ' ἀλλήλων εἰπεῖν ἄνδρας καὶ γυναῖκας τῷ χρόνῳ. 434. Ὁρίσασα) ἀντὶ τοῦ διαστείλασα καὶ διεξελθοῦσα τὰς Συμπληγάδας, ἤγουν διαπλεύσασα καὶ διελθοῦσα. [illegible] δύο πετρῶν ὑποκειμένων, ὁ μέσον γενόμενος ἑκάτερον ὁρίζει. καὶ Ἡρόδοτος λέξει, [illegible]. ἀεὶ γὰρ ὁ μέσον τινῶν γενόμενος, διορίζει τὰ μὲν ἔνθεν, τὰ δὲ ἔνθεν.

† Heſiod. Ἔργ. v. 373.

* Hom. Odyſſ. λ' v. 455.

ANNOTATIONES.

V. 410. Ἄνω ποταμῶν) Hunc locum Theocriti Scholiaſtes notat, in Idyllio, α'. v. 134. Πάντα δ' ἔναλλα γένοιτο) Πάντα δὲ ἐναλλαγμένα γένοιτο κατὰ τὸ Ἄνω ποταμῶν χωροῦσιν αἱ πηγαί. Sed ut Daniel Heinſius addit Lection. Theocr. c. 4. abſolute περὶ τῶν [illegible] φύσεων. Lucianus Dial. Terpſionis & Plutonis, Ἐκεῖνο γὰρ τὸ τεράστιον ἔξω πως γίνεται, τὸν πρεσβύτερον, [illegible] ἀναστρέφεσθαι δὲ [illegible], μηδὲ ζῆν μὲν τὸν νεώτερον, [illegible] ταῦτα [illegible] Vide & hæc & alia ſimilia ab Eraſmo obſervata ad Proverbium, ſurſum Verſus ſacrorum Fluminum feruntur Fontes. Hinc Heſychius, Ἄνω ποταμῶν, παροιμία [illegible] ἐναντία χωρούντων, [illegible] καὶ Αἰσχύλος καὶ Εὐριπίδης. Joſua Barnes.

V. 434. Διδύμους ὁρίσασα πέτρας) de verbo ὁρίζω & hiſce Petris vid. Schol. Sic Ion. v. 46. [illegible] pro exterminare legitur. Joſua Barnes.

Πέτρας,

4 Πέτρας. ἐπὶ δὲ ξένᾳ
5 Ναίεις χθονί, τᾶς ἀνάνδρου
6 Κοίτας ὀλέσασα λέκτρον.
7 Τάλαινα, φυγὰς δὲ χώρας ἄτιμος ἐλαύνῃ.

Ἀντιστροφὴ β΄.

1 Βέβακεν ὅρκων χάρις, οὐδ᾽ ἔτ᾽ αἰδὼς
2 Ἑλλάδι τᾷ μεγάλᾳ μένει·
3 Αἰθερία δ᾽ ἀνέπτα.
4 Σοὶ δ᾽ οὔτε πατρὸς δόμοι,
5 Δύστανε, μεθορμίσασθαι
6 Μόχθων, πάρα· τῶνδε λέκτρων
7 Ἀλλὰ βασίλεια κρείσσων δόμοισιν ἐπέστα.

4 Saxa: in peregrinâ verò
5 Terrâ habitas, vidui
6 Cubilis amiſſo lecto.
7 Infelix tu, ignominiâ verò affecta, pelleris ex hac terrâ exul.

Antiſtrophe 2.

1 Abiit gratia jurisjurandi, neque amplius pudor
2 Manet in magnâ Græciâ:
3 Evolâvit autem in ætherem.
4 Tibi autem non eſt paterna domus,
5 O miſera, ut ad eam appellas, *teque recipias*
6 Ex miſeriis hujus thalami.
7 Sed regina potentior *Glauce* domum occupavit.

ANNOTATIONES.

V. 443. Μεθορμίσασθαι μόχθων) Vid ſuprà ad v. 285.

ARGUMENTUM *Actûs* Tertii.

JAſonis & Medææ *congreſſus, undè ob oculos ponitur muliebris hujus pervicacia, aſperitas & ſævitia; illius autem Verecundia & Gratitudo; qui tamen factum ſuum omnibus modis excuſare contendit; at malè exceptus ab iratâ Conjuge digreditur. Hinc* Chorus *execratur Immodicos & Inſanos Amores (quales* Medææ*) qui multorum Malorum ac Cladium cauſa eſſe ſolent; Mediocres autem ac Modeſtos commendat. Succedit inſperatus Ægei* Athenarum *Regis adventus & cum* Medæâ *colloquium; Cui Ille, causâ ejus & calamitate cognitâ, Hoſpitium* Athenis *pollicetur: Quo promiſſo illa animata* Jaſonem *accerſit, ut odium ergà illum diſſimulans blandis eum verbis in perniciem ipſius ac Conjugis novæ decipiat.* Chorus *ab* Athenarum *Rege arripit occaſionem,* Athenas *à Sapientiæ &* Poeticæ *ſtudio commendandi; &* Medæam *à cæde liberorum obnixè dehortatur.*

ΙΑΣΩΝ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ, ΑΙΓΕΥΣ.

Ἴαμβοι.

Ἰα. Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,
Τραχεῖαν ὀργὴν, ὡς ἀμήχανον κακόν.
Σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν,
Κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
Λόγων ματαίων οὕνεκ᾽ ἐκπεσῇ χθονός.
Κἀμοὶ μὲν οὐδὲν πρᾶγμα, μὴ παύσῃ ποτὲ
Λέγουσ᾽, Ἰάσων ὡς κάκιστός ἐστ᾽ ἀνήρ.
Ἃ δ᾽ εἰς τυράννους ἐστί σοι λελεγμένα,
Πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
Κἀγὼ μὲν αἰεὶ βασιλέων θυμουμένων
Ὀργὰς ἀφῄρουν, καί σ᾽ ἐβουλόμην μένειν.
Σὺ δ᾽ οὐκ ἀνίεις μωρίας, λέγουσ᾽ ἀεὶ
Κακῶς τυράννους· τοιγὰρ ἐκπεσῇ χθονός.
Ὅμως δὲ κἀκ τῶνδ᾽ οὐκ ἀπειρηκὼς φίλοις
Ἥκω, τὸ σὸν γε προσκοπούμενος, γύναι.
Ὡς μήτ᾽ ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς,
Μήτ᾽ ἐνδεής του. « Πόλλ᾽ ἐφέλκεται φυγὴ
« Κακὰ ξὺν αὐτῇ. καὶ γὰρ εἰ σύ με στυγεῖς,
Οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.

Jaſ. NON nunc primum animadverti, ſed ſæpè,
« Quòd aſpera ira ſit intractabile malum.
Tibi enim cum liceret hanc terram & domum incolere,
Leviter *& æquo animo* ferenti potentiorum conſilia,
Propter inania verba ejiciêris ex hâc terrâ.
Ego quidem nihil curo, etiamſi nunquam deſinas
Dicere, quàm malus vir ſit Jaſon:
Ob ea verò, quæ dixiſti in dominos,
Putes magnum eſſe lucrum, quòd tantùm exilio puniris.
Ego quidem ſemper ab iratis dominis
Iram abſtuli, & volebam te manere;
Tu verò non remittis ſtultitiam, ſemper dicens
Convitia dominis: itaque expelleris ex hâc terrâ.
Ego tamen nè propter hæc quidem defeſſus amicorum gratiâ
Venio, proſpecturus tibi, ô mulier,
Nè ſine viatico cum liberis expellaris,
Neque indigeas aliquâ re: « exilium trahit multa
« Mala ſecum. Quamvis enim tu me oderis,
Non poſſem tibi malè unquam velle.

Κρεισσόνων) κρατούντων, κρείττων γὰρ γυναικὸς ὁ ἀνήρ. καὶ κατὰ τοῦτο κρείττων ἐστὶν, ὑποτεταγμένην ἔχων τὴν γυναῖκα. κρεισσόνων ἀντὶ τοῦ κρείττονος. πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ, ἐπὶ αὐτοῦ τοῦ Ἰάσονος. Κἀμοὶ μὲν) κἀμοὶ μέν φησιν οὐδὲν μέλλει ἀεὶ ἂν σὺ λέγῃς κατ᾽ ἐμοῦ. ἃ δὲ κατὰ τοῦ βασιλέως τετόλμηκας εἰπεῖν, ἀγάπα φυγῇ ζημιουμένη, καὶ μὴ μείζονι κακῷ περιπίπτουσα. οἷς ἐπικερδὲς ἡγοῦ, τὸ φυγῇ ζημιωθῆναι μόνον, καὶ μὴ μείζονι περιπεσεῖν αἰκίᾳ, διὰ τὰ εἰς τοὺς τυράννους εἰρημένα σοι δύσφημα. 459. Ὅμως δ᾽) ὅμως δὲ καίπερ βλασφημησάσης μου καὶ κακῶς διατεθειμένης τὰ ἀεὶ ἐμὲ καὶ σὲ, καὶ μελλούσης ἐκβάλλεσθαι τῆς πόλεως οὐκ ἀπεῖπον τὴν πρὸς σὲ φιλίαν,

κρατοῦ. ἀλλ᾽ ἦλθον πρὸς σὲ, οὐ παντελῶς ἀπογνούς,

ANNOTATIONES.

V. 448. Παρὸν) *Abſolutè* ponitur pro παρόντος, ita ſuprà v. 372. ἐξὸν, ita ὂν, & ſimilia. Ut plenius obſervamus ad *Iphigen. Taur.* v. 688. & v. 1088. & ad *Erechtheum* v. 81.

Μὴ, Ὦ

Μη. Ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω
Γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν·
Ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγὼς
Θεοῖς τε, κἀμοὶ, παντί τ' ἀνθρώπων γένει;
Οὔτοι θράσος τόδ' ἐστὶν, οὐδ' εὐτολμία,
Φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν·
Ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
Πασῶν, ἀναίδει'. εὖ δ' ἐποίησας μολών.
Ἐγώ τε γὰρ λέξασα, κουφισθήσομαι
Ψυχὴν, κακῶς σε, καὶ σὺ λυπήσῃ κλύων.
Ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.
Ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
Ταυτὸν συνεισέβησαν Ἀργῷον σκάφος,
Πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
Ζεύγλῃσι καὶ σπεροῦντα θανάσιμον γύην.
Δράκοντά θ', ὃς πάγχρυσον ἀμφέπων δέρας,
Σπείραις ἔσωζε πολυπλόκοις, ἄυπνος ὤν,
Κτείνασ', ἀνέσχον σοὶ φάος σωτήριον.
Αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς,
Τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
Σὺν σοὶ, πρόθυμος μᾶλλον ἢ σοφωτέρα.
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν
Παίδων ὕπ' αὐτοῦ· πάντα τ' ἐξεῖλον φόβον.
Καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν,
Προὔδωκας ἡμᾶς, καινὰ δὲ κτήσω λέχη,
Παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,
Σύγγνωστ' ἂν ἦν σοι, τοῦδ' ἐρασθῆναι λέχους.
Ὅρκων δὲ φρούδη πίστις. οὐδ' ἔχω μαθεῖν,
Ἢ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
Ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τανῦν,
Ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
Φεῦ δεξιὰ χεὶρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
Καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα
Κακοῦ πρὸς ἀνδρὸς, ἐλπίδων δ' ἡμάρτομεν.
Ἄγ', ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,

Med. O peſſime omnium (Hoc enim tibi poſſum dicere
Lingua ſummum convicium in tuam ignaviam)
Veniſti ad nos, veniſti, qui es inviſus
Diis, & mihi, & univerſo humano generi?
Illa non eſt audacia, neque fortitudo,
Intueri coràm amicos, quos injuriâ affeceris:
Sed graviſſimus inter homines morborum
Omnium *eſt* impudentia. Benè tamen feciſti quòd veneris.
Ego enim levabor animo, dicens
Tibi convicia, & tu dolebis audiens *ea*.
Sed ab iis quæ prima ſunt, primum incipiam dicere.
Servavi te (ut nôrunt quicunque Græcorum
Conſcenderunt eandem navim Argo)
Miſſum ut regeres tauros, ſpirantes flammas,
Jugis, & ſeminares letalem ſegetem:
Et dracone, qui cuſtodiens aureum vellus,
Servabat multis voluminibus, ipſe pervigil exiſtens,
Occiſo, attuli tibi lucem ſalutarem,
Ipſa verò prodito patre, & domo meâ,
Peliotem ad Iolcum veni
Tecum, promptior quàm ſapientior.
Et occidi Peliam eo genere mortis, quod eſt miſerrimum,
Per ejus filias: omnémque tibi metum exemi.
His tamen beneficiis à me affectus ô peſſime mortalium,
Prodidiſti me, novóſque tibi comparâſti lectos,
Cùm habeas liberos: ſi enim ſine liberis adhuc fuiſſes,
Ignoſcendum tibi eſſet, quòd hunc amâſſes lectum.
Sed evanida eſt fides jurisjurandi, neque poſſum ſcire,
An exiſtimes Deos qui tunc regnârunt, non ampliùs regnare:
An verò putes nova jura conſtituta eſſe hominibus nunc;
Quia tibi conſcius es te non ſervaſſe mihi fidem.
Mei dexteram manum, quàm tu ſæpe apprehendiſti,
Et hæc genua mea! Quàm fruſtra ſumus pollutæ
Ab improbo marito, & ſpes meæ fruſtratæ ſunt me.
Age verò; colloquar enim tecum tanquam cum amico,

Ὦ παγκάκιστε) τοῦτο γάρ σ' εἰπεῖν ἔχω. τοῦτο γὰρ εἰπεῖν ἔχω σοι μέγιστον κακὸν διὰ τὴν ἀσθένειαν τὴν ἐμήν. γυνὴ γάρ εἰμι, καὶ ἀσθενὴς, μὴ δυναμένη χερσὶν ἐπιτιμωρήσασθαι. διὸ τῇ διὰ τοῦ στόματος κατηγορίᾳ κολάζω σε. ἢ εἰς ἀντὶ τοῦ διὰ, δι' ἀνανδρίαν. τοῦτο δέ φησιν, ὡς μὴ δυνηθέντος αὐτοῦ χωρὶς αὐτῆς ἀνύσαι τὸν ἆθλον. τοῦτο γὰρ ὁ Ἰάσων, ἀποσταλεὶς παρὰ τοῦ Πελίου, ἐπῆλθε τὸ χρυσοῦν δέρας, ὑπὸ τῶν Κόλχων, διὰ φαρμάκων τινῶν τῆς Μηδείας, ὡς βοηθησάσης αὐτῷ. Εἰς ἀνανδρίαν) ἤτοι ὡς ἐπιμεμφθῇ, ἄνανδρον αὐτὸν ἀποκαλεῖ. τῶν γὰρ λοιδορουμένων οἰκεῖον καὶ τὰ μὴ προσόντα πολλάκις προφέρειν. ὀνειδίζει δὲ αὐτῷ ἀσθένειαν, ὡς μὴ δυνηθέντι ἄνευ αὐτῆς ἀνύσαι τοὺς ἄθλους. 470. Φίλους κακῶς) κακῶς φίλους δράσαντα, ἐναντίον βλέπειν. τινὲς δὲ ἐπιλαμβάνονται Εὐριπίδου, ὡς κακῶς. * τὸ γὰρ θράσος ἔδει μᾶλλον εἰπεῖν θάρσος. διαφέρει δὲ, ὡς ἀρετὴ κακίας. τὸ μὲν γὰρ ἐπὶ κακοῦ καὶ ῥιψοκινδύνων τάσσεται, τὸ δὲ ἐπὶ ἀγαθοῦ. ὅθεν οἱ ἀγαθοὶ αὐτὸ διῄρεσαν οὕτως, ὅτι θάρσος μὲν τὸ τῆς ψυχῆς ὅρμημα μετὰ λογισμοῦ. θράσος δὲ ἡ ἄλογος τόλμη. 475. Ἐκ τῶν δὲ πρώτων) ἀπὸ τῶν πρώτων δὲ εὐεργεσιῶν προκατάρξομαι νυνί. πρῶται δὲ αἱ ἐπὶ Σκυθίας, † ὅτι Ἰάσων παρὰ τοῦ Αἰήτου ἐκτελέσαι τοῦτον τὸν ἆθλον κελευσθεὶς, τὸ σιδηροῖς ζεύγλαις τοὺς πυρπνόους ζεῦξαι βόας, καὶ σπεῖραι τοὺς δρακοντείους ὀδόντας, δι' αὐτῆς τοῦτο ἐξετέλεσεν. Ἔσωσά σ' ὡς ἴσασιν) πλεονάζει ὁ στίχος τῷ σ'. ὅθεν καὶ ὁ Πλάτων ἐν ταῖς ἑορταῖς φησιν, Ἔσωσας ἐκ τῶν σιγμάτων Εὐριπίδου. καὶ Εὔβουλος, ἐν δ' ἔσωσας ὡς ἴσασί σοι. καὶ παρθενεύσης ἔξει μοι χάριν Καὶ τοῖς ἐμοῖσιν ἀγγελοῖσι πήμασι Τὰ σίγματ' ἀλλάξαντες, ὡς αὐτοὶ σοφοί. Σὺν σοὶ, πρόθυμος μᾶλλον ἢ σοφωτέρα) ἀντὶ τοῦ ἔρωτι μᾶλλον τῷ πρὸς σὲ νικωμένη, ἢ μετὰ λογισμοῦ τι πράττουσα. 487. Πάντα δ' ἐξεῖλον) ἀντὶ τοῦ ἐπόρθησα. ἐλὼ δὲ φόβον γὰρ ἐξεῖλον, ἀντὶ τοῦ διέφθειρα καὶ ἠφάνισα.

† † De his rebus vid. *Apollonium*, *Valer. Flacc.* & *Argonauticos* Scriptores. * Vid. ad *Alceſt.* v. 605.

ANNOTATIONES.

476. Ἔσωσά σ', ὡς ἴσασιν &c.) Quòd *Euripides* fuerit σιγματιζόμενος, Vide *Euſtathium* in *Homer.* fol. 1170. lin. 53. &c. Verſum verò hunc *Euripidis* ob frequentiam τοῦ σίγμα à *Platone* & *Eubulo* Poetis Comicis irriſum, mirifque aliquando in *Athenis* Theatro cachinnis exceptum aiunt. Vid. *Joh. Brodæi* Miſcell. l. 3. c. 14. & Scholiaſten ad hæc verba. Similem Verſum πολύσιγμον invenies *Iphig.* Taur. v. 765. Τὰ σώματ' σώσας σοὺς λόγους σώσεις ἐμοί. Vid. quæ Nos ad *Ion.* v. 386. Et *Sophocles* tamen frequentiùs literam τ repetit in illo verſu, Τυφλὸς τά τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ. Et *Ennius* ---*O Tite, tute Tati, tibi tanta, tyranne, tuliſti.* Eodem modo *Homerus* τὸ κ'. repetit, Odyſſ. δ'. v. 754. Μηδὲ γέροντα κάκου κεκακωμένον. --Hæc *M. Anton. Muretus* Var. Lect. l. 1. c. 15. Quin & Nos olim, cùm Regulas de Accentibus *Græcis* deſcripſimus, ita cum literis ι & τ. luſimus---

Μήτε τί τέρψιν ἔχοι τότε ἔμπν τῶν ἀεὶ ἴσως
Τρίμμα· τρία τίκτ. κ. τοῦτο τέρπν τίκτ. *J. Barnes.*

V. 484. Τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν) Ἰωλκὸς & Ἰαωλκὸς *Poeticè*, erat Urbs *Theſſaliæ* ſeptem ſtadiis à Mari diſtans, ubi *Jaſonis* Parentes habitabant. *Pelion* quoque & Urbs & Mons *Theſſaliæ*, *Iolco* conterminus unde & *Iolcos Pelliotis* dicitur. Vide *Stephanum* in Πήλιον. *Joſua Barnes.*

V. 486. Πελίαν τ' ἀπέκτειν') Vide de hâc re *Ovid.* Metamorph. l. 7. Fab. 4. *Neve doli ceſſent, odium cum conjuge falſum Phaſias adſimulat, Peliæque ad limina ſupplex Confugit, &c.* Præterea de hoc ipſo Argumento Drama edidit *Euripides*, cujus Fragmenta Nos collegimus; Vocabatur *Peliades*, nempè à *Pelia* filiabus, ut mox ipſe teſtatur, v. 504. Ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν Δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον. *Joſua Barnes.*

V. 491. Σύγγνωστ' ἂν ἦν σοι) Ita quidem rectè legit *Canterus*, non rectè autem ſimulat hoc aliis inobſervatum: Quùm tamen *Aldina* Editio ſic habet. *Venetiis* facta Anno 1503. Quod & in plurimis *Canteri* emendationibus obſervavimus. Quare non audiendi ſunt, qui legunt συγγνωστὸν ἂν σοι, συγγνωστὰ enim magis *Atticum* eſt, ac proinde *Euripidæum*, ſed & prima optimaque omnium Editio, *Aldina* nempe, illos erroris arguit. De τῷ συγγνωστὰ pro συγγνωστὸν vid. etiam *Hecub.* v. 1107. & *Herc. Fur.* v. 583. *Joſua Barnes.*

Δοκοῦσα μὲν τι πρός γε σοῦ πράξειν καλῶς,
Ὅμως δ', ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ,
Νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
Οὓς σοὶ προδοῦσα, καὶ πάτραν, ἀφικόμην;
Ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
Δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον.
Ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
Ἐχθρὰ καθέστηχ'· οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
Δρᾷν, σοὶ χάριν φέρουσα, πολεμίους ἔχω.
Τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίδων
Ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
Ἔχω πόσιν, καὶ πιστόν, ἡ τάλαιν' ἐγώ.
Εἰ φεύξομαι δὲ γαῖαν ἐκβεβλημένη,
Φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
Καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
Πτωχοὺς ἀλᾶσθαι παῖδας, ἥ τ' ἔσωσά σε.
« Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ,
« Τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
« Ἀνδρῶν δ', ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
« Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;
Χο. « Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
« Ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.
Ια. Δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
Ἀλλ' ὥστε ναὸς κεδνὸν οἰακοστρόφον,
Ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
Τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
Ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
Σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
Σοὶ δ' ἔστι μὲν νοῦς λεπτός, ἀλλ' ἐπίφθονος
Λόγος διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε
Πόνων ἀφύκτων τοὐμὸν ἐκσῶσαι δέμας·
Ἀλλ' οὐκ ἀκριβῶς αὐτὰ θήσομαι λίαν·
Ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.

Fingens quidē me præclarum aliquod beneficiū a te accepturā,
Tu tamen interrogatus videberis turpior.
Quò me nunc vertam? an ad domum patris,
Quibus tibi proditis, & patriā, huc veni;
An ad miſeras filias Peliæ? ſcilicet illæ pulchrè
Me reciperent in ſuas ædes, quarum patrem interfeci.
Sic enim ſe res habet, amicis quidem domeſticis,
Sum invila: quos verò mihi non oportebat malè
Facere, eos tibi gratificans, inimicos habeo.
Ergo inter multas Græcas me beatam
Feciſti, pro hiſce beneficiis: egregium verò te
Et fidum maritum habeo infelix ego.
Si verò fugiam expulſa ex hâc terra,
Sola cum ſolis liberis orbata amicis,
Præclara verò gloria erit tibi novo ſponſo,
Mendicos errare filios tuos, meque, quæ te ſervavi.
« O Jupiter, quare auri quidem, quod ſit adulterinum
« Clara ſigna hominibus dedi ſti?
« Sed quo oporteat diſcerni malum virum,
« Nullum ſignum ineſt corpori?
Cho. « Gravis quædam ira & ægrè ſanabilis eſt,
« Quando amici incipiunt contendere cum amicis.
Ia. Oportet me non ſegnem eſſe in dicendo, ut videtur,
Sed velut navis prudentem gubernatorem
Summis oris veli ſubterfugere
Tuam effrænem loquacitatem, mulier.
Ego, poſtquam valde exaggeras tuum beneficium,
Exiſtimo meæ navigationis Venerem
Servatricem eſſe ſolam inter homines deoſque.
Tibi verò eſt quidem mens ſubtilis: at invidioſa erit mihi
Oratio percurrere, quomodò Amor te coegerit
Laboribus inevitabilibus meum eripere corpus:
Sed non accurate nimis illa perſequar.
Quatenus igitur me juviſti, benè ſe res habet.

Δοκοῦσα μὲν τι) ἀντὶ τοῦ οὐδὲν προσδοκῶσα πράξειν καλῶς. ταῦτα δὲ ἐν ἤθει προσακτέον, φησὶ δὴ ὡς φίλῳ σοι διαλεχθῶ. καί τοι προσδοκῶσα τι πράξειν καλόν, καὶ διαψευσθεῖσα. καὶ οὐδὲν ὠφελήσοντί με, ὅμως ἐρωτήσω. οὕτω γὰρ ἂν πικροτέρως ἐλεγχθείης, οὐδὲν ἔχων πρὸς ἔπος ἀποκρίνασθαι. διαστέλλουσι δὲ δεῖ κατ' ἀνάγνωσιν τὸ τι. ἐκ δὲ τοῦ ὑποκειμένου ἐμφαίνει τὸ οὐδὲν τι. παραθετικὴν δὲ ὑπόκεισιν δηλοῖ τὸ τί. καί τοι γέ τι δοκοῦσα πράξειν παρὰ σοῦ. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει) ἡ συστιχία τοῦ χοροῦ ἐστι. κατὰ δὲ τούτους ἤδη τὰ τῶν χορῶν ἠμαύρωται. τὰ μὲν γὰρ ἀρχαῖα διὰ τῶν χορῶν ἐπιπλεῖτο. ὅθεν ὁ Εὔπολις φησί, τί χορὸς οὗτος, κλαίειν εἰ πονηρὸν πυρέσσειν, ἵν' ᾖ κατὰ ταῦτα ἰαμβεῖα. Κρασπέδοις) περιφραστικῶς εἶπεν ἀντὶ τοῦ παντὶ ἀρμένῳ. ὑπεκδραμεῖν δέ, ἤγουν δεῖ με ὑπεκδραμεῖν τὴν σὴν γλωσσαλγίαν. καθάπερ κυβερνήτης τοῖς κρασπέδοις τοῦ λαίφους χρώμενος ἐκφεύγει. Κύπριν νομίζω τῆς ἐμῆς) ἐγὼ νομίζω σεσῶσθαι ἀπὸ τῆς Ἀφροδίτης σπουδῆς, ἣν μόνην φησὶ τῶν ἄλλων ἀνθρώπων καὶ θεῶν ἰσχύειν. τοῦτο γάρ ἐστιν, μόνην φησὶ τὴν Ἀφροδίτην σεσωκέναι αὐτόν, καὶ οὐδένα ἄνθρωπον, οὐδὲ θεόν. τοῦτο δὲ ψεῦδος. φαίνεται γὰρ τὴν Ἥραν προστάτιν ἐσχηκώς, ὡς αὐτῆς ὅλως φροντίσῃ ἐχθρὸν ὄντα καὶ ὑπὸ ταύτης παραμυθηθεὶς ἐπὶ τὸν ἆθλον, ἐφ' ὃν εἰκὸς αὐτὸν σπουδάσαι, ἵνα τὸν Πελίαν τῆς Ἥρας. ἔτι δὲ ἡ Ἀθηνᾶ, ἡ κινδυνεύουσαν τὴν ναῦν προσεργάσασθαι ταῖς πέτραις ἀνεσώσατο. 529. Ἐπίφθονος) ὑπὸ φθόνου κατεχόμενος ὁ λόγος οὗτος. λέγει δὲ τὸν ἔρωτα σεσωκέναι με. ἐρασθεῖσα γὰρ αὐτοῦ ἡ Μήδεια, ἔσωσεν αὐτόν. δύναται δὲ καὶ οὕτως νοηθῆναι, καὶ ἐπίφθονος ὁ λόγος ῥηθῆναι. τουτέστι κινεῖ μοι φθόνον ὁ λόγος. ἀλαζονεύσομαι φησὶν ὑπὲρ ἐμαυτοῦ, ὅτι ὁ ἔρως ὁ ἐμὸς μεγάλως με σέσωκέ με. Ἄλλως. ἐμὸς λόγος φησὶ λεπτὸς μέν, ἐπίφθονος δέ, τουτέστι φθονηθησόμενος μέν, δυνάμενος δὲ διαδεῖξαι παῖδας τοῦ ἰσχυροῦ. ἐὰν γάρ τις ἀκριβῶς ἐξετάσῃ, ὁ ἔρως σε ἠνάγκασε τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας. οὐκ εἰς χάριν τὴν ἐμήν, ἀλλὰ κατ' ἀνάγκην ταῦτα ἔπραξας, καὶ τῶν ἀφύκτων πόνων ἐξέσωσας τοὐμὸν σῶμα. ἢ οὕτως. καὶ σὺ μὲν φησι σοφὴ εἶ, ὅτι δὴ λεπτὸν καὶ ὀξὺν ἔχεις τὸν νοῦν. ὅτι ἡ Ἀφροδίτη με ἔσωσεν. ἀλλ' ὑπὸ φθόνου ὁ λόγος σοι ὑποφέρεται, ὅς ἐστιν ἀληθής, τὸ σὲ διὰ τὸν ἔρωτα σεσωκέναι με. Λόγος διελθεῖν) ἀντὶ τοῦ παρελθεῖν καὶ εἰπεῖν. Ἀλλ' οὐκ ἀκριβῶς) ἀλλ' οὐκ ἀκριβολογοῦμαι περὶ τούτου, ἀλλὰ δίδωμί σοι τῷ λόγῳ ὠφεληκέναι. κἀγὼ μὲν ὁμολογῶ, ὅτι ἔνθα με ὠφέλησας, καλῶς ἔχει. 533. Ἐπεὶ γὰρ οὖν ὤνησας) ἔνθα γάρ φησιν ὠφέλησας, οὐ κακῶς ἔχει. οὐχ ὅτι ὠφέλησας. ὅθεν μεθ' ἡμᾶς τὰς ἀποδείξεις τοῦ μηδὲν ὠφελῆσαι προσθήσω, τοῦ πράγματος οὐ καλῶς ἔχοντος.

ANNOTATIONES.

V. 504. Ἢ πρὸς ταλαίνας Πελιάδας) De *Peliadibus*, *Peliæ* filiabus & earum Nominibus & Hiſtoriâ, Vide quæ Nos in Argumento Fabulæ *Peliades* dictæ, inter Fragmenta *Euripidis*, item ſuprà ad v. 486. & v. 9. *Joſua Barnes.*

V. 516. Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν, ὃς κίβδηλος ᾖ &c.) Vid. ſimilem locum *Hippolyt.* v. 925. & in hunc & illum Notas *Gaſpar. Stiblini*; item *Clement. Alexandr.* Stromat. l. 6. & *Ludovici Lavateri* Commentar. in Prov. *Salomonis* c. 18. §. 3. *Idem.*

V. 529. Ἀλλ' ἐπίφθονος λόγος διελθεῖν, &c.) ſimile illud *Ciceronis* Tuſcul. lib. 4. *Tu me Amoris magis quàm Honoris ſervaviſti gratiâ.* De quo loco infra ad ver. 531.

V. 531. Πόνων ἀφύκτων) aliàs legitur τόξοις ἀφύκτοις, Vide *Schol.* ſed & noſtram lectionem agnoſcit; quæ certè longè potior. Et πόνων reſpicit ad *Draconem* & *Tauros* flammivomos, & Armatorum ſegetem, à quibus Veneficiis ſuis *Medea Jaſonem* eripuit. Sin τόξοις legatur, ad Ἔρως referendum. Hunc autem locum ita vertit *Ennius* apud *Ciceronem*, Tuſc. Quæſt. l. 4. §. 32. Quid ait ex Tragœdiâ Princeps ille Argonautarum, *Tu me Amoris magis, quàm Honoris ſervaviſti gratiâ.* Vide *Petri Victorii* Variar. Lection. l. 19. c. 8. *Joſua Barnes.*

Μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
Εἴληφας, ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
Πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
Γαῖαν κατοικεῖς, καὶ δίκην ἐπίστασαι,
Νόμοις τε χρῆσθαι, μὴ πρὸς ἰσχύος χάριν.
Πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφήν.
Καὶ δόξαν ἔσχες. εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
Ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
“ Εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις,
“ Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
“ Εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
Τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
Ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
Ἃ δ' εἰς γάμους μοι βασιλικοὺς ὠνείδισας,
Ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγὼς,
Ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος,
Καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος.
Ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς,
Πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
Τί τοῦδ' ἂν εὕρημ' εὗρον εὐτυχέστερον,
Ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
Οὐχ ᾗ σὺ κνίζῃ, σὸν μὲν ἐχθαίρων λέχος,
Καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
Οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων.
Ἅλις γὰρ οἱ γεγῶτες, οὐδὲ μέμφομαι.
Ἀλλ' ὡς τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς,
Καὶ μὴ σπανιζοίμεσθα· γιγνώσκων, ὅτι
“ Πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος.
Παῖδάς τε θρέψαιμ' ἀξίως δόμων ἐμῶν.
Σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις,
Εἰς ταυτὸ θείην, καὶ συναρτήσας γένος
Εὐδαιμονοίην. σοί τε γὰρ παίδων τί δεῖ,
Ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις,
Τὰ ζῶντ' ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
Οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
“ Ἀλλ' εἰς τοσοῦτον ἥκεθ', ὥστ' ὀρθουμένης
“ Εὐνῆς, γυναῖκες πάντ' ἔχειν νομίζετε.
“ Ἢν δ' αὖ γένηται ξυμφορά τις εἰς λέχος,
“ Τὰ λῷστα καὶ κάλλιστα, πολεμιώτατα
“ Τίθεσθε· χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
“ Παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος.
“ Οὕτω δ' ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.
Χο. Ἰᾶσον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους·
Ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην λέγω,
Δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.

Atqui ſervatione mei majora beneficia
Accepiſti, quàm dederis, quemadmodum ego jam dicam.
Primùm quidem pro barbarâ terrâ in Græcâ
Terrâ habitas, & ſcis jus,
Et legibus uti, non pro viribus agere.
Deinde omnes Græci ſenſerunt te eſſe ingenioſam,
Et adepta es gloriam: ſi verò in extremis terræ
Finibus habitares, nulla fieret mentio tui.
“ Mihi verò neque aurum ſit domi,
“ Nec Orphei carmen ſonare pulchrius velim,
“ Niſi illuſtris mihi contingat fortuna.
Atque hæc quidem tibi de meis laboribus
Dixi: certamen enim tu propoſuiſti verborum.
Cæterùm quæ mihi de nuptiis regiis objeciſti,
In hoc monſtrabo primum quidem quòd ſim prudens,
Deinde caſtus, denique tibi magnus amicus,
Et meis liberis. Sed mane quieta.
Poſtquam huc veni ex Iolciâ terrâ,
Multa mecum trahens & magna incommoda,
Quodnam conſilium hoc melius potuiſſem invenire,
Quàm ducere filiam regis, cùm eſſem exul?
Non, ut tu me vellicas, odio quidem habens tuum conjugium
Perculſus verò deſiderio novæ ſponſæ,
Neque certatim numeroſæ ſobolis procreandæ ſtudio.
(Sufficiunt enim qui nati ſunt, nec *ideo* conqueror)
Sed quod maximum eſt, ut commodè viveremus
Neque *rerum neceſſariarum* inopiâ laboraremus, ſciens quòd
“ Pauperem omnes amici procul fugiunt:
Et ut liberos educarem, quemadmodum decet meam familiam,
Et gignens fratres liberis ex te *mihi procreatis*,
Unum genus facerem, idque conjungens,
Beatiùs viverem. tibi enim & aliquo-modo opus eſt liberis;
Et mihi conducit futurorum liberorum causâ,
Eos, qui vivunt juvare: an malè conſultavi?
Ne tu quidem diceres hoc, niſi te offenderent novæ nuptiæ.
“ Sed eò venitis, ut cùm rectè ſe habet
“ Conjugium, putetis vos mulieres omnia habere.
“ Quòd ſi contra calamitas aliqua inciderit in conjugium,
“ Etiam ea, quæ ſunt optima & pulcherrima, inimiciſſima vobis
“ Ducitis. Oportebat autem homines aliundè
“ Gignere liberos, neque eſſe genus muliebre:
“ Sic enim homines nullum malum haberent.
Ch. Jaſon, pulchrè tu quidem ornaſti tuam cauſam:
Mihi tamen (etiamſi præter voluntatem hoc dicam)
Videris injuſte feciſſe, quòd prodidiſti tuam uxorem.

ANNOTATIONES.

V. 543. Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος) De Orphei cantilenâ Vid. quæ Nos ad *Iphig.* Aul. v. 1211. *Joſua Barnes.*

V. 563. Τέκνοις) En iterum τε in τέκνοις communem ſyllabam, ut & v. 566. & v. 574. in τεκνοῦσθαι. Vid. *Phœniſſ.* v. 19.

V. 566. Ἐμοί τε λύει &c.) Notandum eſt hic τὸ λύει ſingulari ſignificatione uſurpari pro λυσιτελεῖ, quod in Vulgaribus Lexicis notari debuit. *Heſychius* ad hunc locum reſpexit, Λύει, λυσιτελεῖ, συμφέρει· & *Phavorinus* Λύει, ἀντὶ τοῦ λυσιτελεῖ. Nec mirum, τὸ λύει enim ſimpliciter pro τέλη λύει ponitur, quod pro λυσιτελεῖ à *Sophocle* uſurpatur, ut ἱκοῦ τέλη λύει φρονεῖν. *Sophocl.* Oedip. Tyrann. v. 324. ———— ἵνα μὴ τέλη λύει φρονοῦντι. —*Schol.* ὅπου ἀλυσιτελὴς δὲ ἐστι, τέλη λύει, ἀντὶ τοῦ λυσιτελεῖ. Idem quoque *Electr.* v. 1008. Λύει γὰρ ἡμᾶς οὐδὲν, οὐδ' ἐπωφελεῖ. *Scholiaſt.* οὐ λυσιτελεῖ γὰρ ἡμῖν &c. Similiter *Euripides* facit hujus Fab. v. 1362. & *Alceſt.* v. 628. *Joſua Barnes.*

Μη. Ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν·
" Ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν
" Πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει.
" Γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,
" Τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
Ὡς καὶ σὺ μὴ νῦν εἰς ἔμ' εὐσχήμων γένῃ,
Λέγειν τε δεινός. ἓν γὰρ ἐκτενεῖ σ' ἔπος·
Χρῆν σ', εἴπερ ἦσθα μὴ κακός, πείσαντά με
Γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
Ια. Καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
Εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
Τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.
Μη. Οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
Πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
Ια. Εὖ νῦν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
Γῆμαί με λέκτρα βασιλέων, ἃ νῦν ἔχω.
Ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
Σὲ, καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
Φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.
Μη. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
" Μηδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.
Ια. Οἶσθ', ὡς μετεύξῃ, καὶ σοφωτέρα φανῇ;
Τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ·
Μηδ' εὐτυχοῦσα δυστυχὴς εἶναι δόκει.
Μη. Ὕβριζ', ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφή·
Ἐγὼ δ' ἔρημος τήνδε φεύξομαι χθόνα.
Ια. Αὐτὴ τάδ' εἵλου· μηδέν' ἄλλον αἰτιῶ.
Μη. Τί δρῶσα; μῶν γαμοῦσα, καὶ προδοῦσά σε;
Ια. Ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
Μη. Καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
Ια. Ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
Ἀλλ' εἴ τι βούλει παισὶν, ἢ σαυτῆς φυγῇ,
Προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
Λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ,
Ξένοις τε πέμπειν σύμβολ', οἳ δράσουσί σ' εὖ.
Καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι·
Λήξασα δ' ὀργῆς, κερδανεῖς ἀμείνονα.

Med. Profectò multùm à multis diſſentio mortalibus:
" Mihi enim quiſquis injuſtus exiſtens, *tamen* ſapiens in dicendo
" Eſt, maximâ mulctâ dignus videtur.
" Nam cum glorietur, ſe dicendo poſſe ornare injuſtas cauſas,
" Audet fallere: non eſt autem admodum ſapiens.
Sic & tu nè nunc apud me ſpecioſus ſis, *ſpecioſis verbis utaris*,
Et nè *ſis adeo* bonus orator. Unum enim verbum occidet te.
Oportuit te, ſiquidè nō feciſti malo animo, me prius perſuaſâ,
Has nuptias contrahere, non autem clam amicis.
Ja. Præclarè verò mihi hâc in re tuam navâſſes operam,
Si tibi nuptias *iſtas antè* declarâſſem; quæ nè nunc quidem
Vis remittere magnam iracundiam animi.
Med. Non hoc te movit: ſed barbara conjunx
Non ſatis glorioſa tibi in ſenectute fuiſſet.
Ja. Hoc itaque probè ſcias, non propter mulierem
Me duxiſſe filiam Regis, quam nunc habeo:
Sed ut antea dixi, *eam duxi*, volens ſervare
Te, & meis liberis fratres
Regios gignere, propugnaculum domûs.
M. Nè contingat mihi talis beata vita, quæ afferat mihi tant. mol.
" Neque divitiæ, quæ meum animum dolore afficiant!
Ja. Scisne, quomodo preces contrarias facias & ſapientior videb.
Bona ne tibi moleſta videantur unquam.
Nec putato te eſſe infelicem, cùm ſis felix.
Med. Inſulta *mihi*, quandoquidem tibi quidem eſt refugium:
Ego verò deſerta fugiam ex hâc terrâ.
Ja. Tu ipſa hæc elegiſti: nullum alium accuſa.
Med. Quid faciens? num *alteri* nubens, aut prodens te?
Ja. Imprecationes regibus impias imprecans.
Med. Et diris devota ſum, *devovear* in tuis ædibus.
Ja. Sed non litigabo tecum de his diutiùs.
Si verò vis pueris, aut exilio tuo aliquod
Subſidium de meâ pecuniâ accipere,
Dicito: quia ſum paratus largâ manu dare,
Et mittere hoſpitibus teſſeras; ut tibi benè faciant.
Si hæc non vis, ſtulta es, ô mulier:
Deſiſtens verò ab irâ, lucraberis meliora.

Εὐσχήμων φανῇ) ἀντὶ τοῦ συσχηματίζων τοὺς λόγους, πρὸς τὸ συναρπάζειν ἐμὲ, τουτέστι κοσμίως τὸ λέγειν. τὸ δὲ μὴ νῦν κατ' Ἀττικὸς σεσημείωται. Οὐ τοῦτό σ' εἶχεν) ἀντὶ τοῦ οὐ ταύτην εἶχες τὴν διάνοιαν ἔγημας, οὐδ' ἵνα τοῖς ἐμοῖς παισὶ τὸ ἀσφαλὲς τῶν τροφῶν παράσχῃς, καὶ τῆς ἐν τῇ πόλει οἰκήσεως τὸ ἀσφαλὲς, ἀλλ' αἰσχυνόμενος ἐπὶ τὸ βάρβαρον ἔχειν γυναῖκα. τοῦτο δὲ ἀποδίδωσι πρὸς ἐκεῖνο, ἔνθα φησὶν ὁ Ἰάσων, † ἀλλ' ὡς τὸ μὲν μέγιστον οἰκοῖμεν καλῶς. καὶ τὰ ἑξῆς. 592. Οὐκ εὔδοξον) εἰς ἀδοξίαν ἦγε τὸ μέχρι γήρως βαρβάρῳ συνοικῆσαι, καὶ ἀποδεῖσαι Ἑλληνικοῖς γάμοις τὴν προτέραν ἀιδοτίαν καλύψαι. τουτέστιν εἰ μοι μέχρι γήρως συνώκεις, ἀδοξία σοι προσῆλθεν, ἐπ' αἰσχύνῃ ἐγίνου διὰ τέλους ἀνὴρ βαρβάρου γυναικὸς καλεῖσθαι. Λυπρὸς εὐδαίμων) ἀντὶ τοῦ λυπηρὸς κατ' ἔλλειψιν τοῦ ν. ὡς καὶ τὸ δοῦλος δηλὸς ὤν, περὶ τὴν δίλην ὃ σημαίνει τὴν ταλαιπωρίαν. 598. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος) μέμφεται αὐτῆς τὴν εὐχὴν. εἰ θέλεις φησὶ σοφωτέρα εἶναι, μετάθου τὴν προτέραν εὐχὴν, καὶ εὔξαι μηδέποτε τὸ χρηστόν σοι λυπηρὸν φαίνεσθαι. Μηδ' ὄλβος ὅστις) οὐκ ἂν φησιν εὐξαίμην τοιαύτην μοι εὐδαιμονίαν γενέσθαι, δι' ἧς ἂν ἔτερος λυπηθείη, καθάπερ καὶ ὁ σὸς νῦν ὄλβος λυπεῖ τὴν ἐμὴν φρένα. οὐ βούλομαι εὐδαιμονίζεσθαι λυπουμένη κατὰ ψυχήν. τοῦτο δὲ εἶπε πρὸς τὸν Ἰάσονος λόγον ἀντιλεγομένη, παρ' ὅσον αὐτὸς ἔλεγεν διὰ τὸ συμφέρειν αὐτῇ τε καὶ τοῖς παισὶν, εἰς τὸν γάμον προεληλυθέναι κατὰ τῆς Γλαύκης. Οἶσθ' ὡς μετεύξῃ) τοῦτο κατ' ἐρώτησιν. οἶσθα φησὶν, ὡς σὺ ἔδει μετεύξασθαι, ἵνα δόξῃς τὴν εὐχὴν φρονίμως ποιεῖσθαι; νῦν γὰρ ἀσυνήθη λόγον εἴρηκας, ὥστε τὰ χρηστά σοι λυπηρὰ φαίνεσθαι, μηδὲ τὴν εὐτυχίαν νομίζεσθαι δυστυχίαν. Ἄλλως. οἶσθ' ὡς μετεύξῃ, καὶ τοῦτο ποιήσουσα σοφωτέρα γένῃ. Γαμοῦσα καὶ προδοῦσα) σεσημείωται τὸ γαμοῦσα. θέλει δὲ εἰπεῖν, ἆρα τοιοῦτον ἔργον ποιήσασα. οὐ γὰρ ἐφ' ἑαυτῆς ἔλεγε, ἐπεὶ εἶπεν ἂν γαμουμένη. ἀλλὰ τὸν Ἰάσονος λόγον ἐφ' αὑτῆς μετέστρεψεν. γαμεῖ μὲν γὰρ ὁ ἀνὴρ, γαμεῖται δὲ ἡ γυνή. Οὐ κρινοῦμαι) ἀντὶ τοῦ οὐκ ἀντιλεγοῦμαι περὶ τῶν τοιούτων οὐδὲν πρὸς σέ, μεθίημι δὲ τούτων τὰ πολλά. 613. Σύμβολα) οἱ ἐπιξενούμενοί τισιν, ἀστράγαλον κατατέμνοντες, θάτερον μὲν αὐτοὶ κατεῖχον μέρος, θάτερον δὲ κατελίμπανον τοῖς ὑποδεξαμένοις. ἵνα εἰ δέοι πάλιν αὐτοὺς ἢ τοὺς ἐκείνων ἐπιξενοῦσθαι πρὸς ἀλλήλους, ἐπαγόμενοι τὸ ἥμισυ ἀστραγάλιον, ἀνανεοῖντο τὴν ξενίαν. Εὔβουλος Κύθῳ, τί ποτ' οὖν ἅπαντα διαπεπεισμένα ἡμίσεως ἀκριβῶς ὥσπερ εἰς τὰ σύμβολα. ὕτως Ἑλλάδος.

† Suprà v. 555.

ANNOTATIONES.

V. 581. Ζημίαν ὀφλισκάνει) *Mulctam debet, pœnæ eſt obnoxius*; de hâc phraſi vide infra v. 1227.

V. 584. Εὐσχήμων γένῃ) legit *Schol.* φανῇ pro γένῃ, fortè rectiùs.

V. 600. Μετεύξῃ) ita unico verbo lego à μετεύχομαι, quare & Latinam interpretationem, ubi priùs erat, *mei compos fies*, mutavi. Miror autem *Canterum* hoc apud *Scholiaſten* non vidiſſe: *Hugo Grotius* noſtræ lectioni favet, & credo nemini unquam improbatam iri. *Joſua Barnes.*

V. 610. Σαυτῆς) rejeci σαυτῇ & σαυτὴ lego; ita enim ipſa vult ratio & *Dupertus* & *Scaliger*, *Heinſiuſque* ita legunt. *Idem.*

V. 613. Ξένοις τε πέμπειν σύμβολα) De hoc Veterum more vid. *Scholiaſten* & *Jacobi Nicolai Loenſis* Miſcell. *Epiphill.* l. 4. c. 19. De Hoſpitali teſſerâ Vid. *Samuelis Petiti* Miſcell. l. 2. c. 1. ubi *Plautum* in *Pœnulo* explicat. De Teſſerâ *Militari*, *Gladiatoriâ*, *Frumentariâ* & *Hoſpitali*, & quæ cujus figuræ, Vid. *Andr. Schotti* Nodor. *Ciceron.* l. 2. c. 6. *Joſua Barnes.*

Μη. Οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἄν,
Οὔτ' ἄν τι δεξαίμεσθα, μηδ' ἡμῖν δίδου.
" Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Ια. Ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
Ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω·
Σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
Φίλους ἀπωθῇ· τοιγὰρ ἀλγυνῇ πλέον.
Μη. Χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
Αἱρῇ, χρονίζων δωμάτων ἐξώπιος.
Νύμφευ'· ἴσως γὰρ, σὺν θεῷ δ' εἰρήσεται,
Γαμεῖς τοιοῦτον, ὥστε σ' ἀρνεῖσθαι, γάμον.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ ά.

1 Ἔρωτες ὑπὲρ μὲν ἄγαν
2 Ἐλθόντες, οὐκ εὐδοξίαν
3 Οὐδ' ἀρετὰν παρέδωκαν
4 Ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
5 Κύπρις, οὐκ ἄλλα θεὸς
6 Εὔχαρις οὕτω.
7 Μή ποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ
8 Χρυσέων τόξων ἐφείης
9 Ἱμέρῳ χρίσασ', ἄφυκτον οἰστόν.

Ἀντιστροφὴ ά.

1 Στέργοι δέ με σωφροσύνα,
" 2 Δώρημα κάλλιστον θεῶν.
3 Μηδέ ποτ' ἀμφιλόγους ὀρ-
4 γὰς, ἀκόρεστά τε νείκη
5 Θυμὸν ἐκπλήξασ' ἑτέ-
6 ροις ἐπὶ λέκτροις
7 Προσβάλοιμ'. ὦ δεινὰ Κύπρις,
8 Ἀπολέμους εὐνὰς σεβίζου-
9 σ', ὀξύφρων κρίναι λέχη γυναικῶν.

Στροφὴ β'.

1 Ὦ πατρὶς, ὦ δῶμά τ' ἐμὸν,
2 Μὴ δῆτ' ἄπολις γενοίμαν,
3 Τὸν ἀμηχανίας ἔχουσα
4 Δυσπέρατον αἰ-
5 ῶν' οἰκτροτάτων ἀχέων.
6 Θανάτῳ θανάτῳ πάρος δαμείην,

Med. Neque tuis hoſpitibus utemur,
Neque quicquam accipiemus, neque *quidquam* nobis des.
" Improbi enim viri dona juvamen non habent, *nihil juvant.*
Ja. Ego tamen teſtor deos,
Quòd volo tibi liberiſque omnia ſuppeditare:
Tibi verò non placent bona: ſed cum contumaciâ
Amicos repellis; quamobrem dolebis magis.
Med. Vade: amore enim novæ ſponſæ
Captus maceraris, tardans extra domum.
Duc eam: fortaſſis enim (cum Deo autem dicetur)
Eas celebrabis nuptias, quas tu ipſe *poſtea pœnit. ductus* recuſabis.

ANTISTROPHICA.

Strophe 1.

1 Amores quidem nimium immoderati
2 Venientes, non bonum nomen,
3 Neque laudem *gloriámque* conciliant
4 Viris: ſi verò moderatè veniat
5 Venus, non eſt alia Dea
6 Æquè grata.
7 Nunquam, ô domina *Venus*, adverſus me
8 Emittas ex aureis arcubus
9 Inevitabile telum, perunctum deſiderio.

Antiſtrophe 1.

" 1 Pudicitia verò me delectet,
" 2 Pulcherrimum donum deorū.
3 Nunquam ambigua certa-
4 mina, & inſatiabiles *i.e. immodicas* rixas
5 Conſternata animo propter alienum
6 illi conjugium,
7 Miſceam. O potens Venus,
8 Pacata conjugia colens,
9 Acutam ingenii aciem habens diſcerne lectos mulierum.

Strophe 2.

1 O patria, ô domus mea,
2 Nunquam ſiem exul,
3 Habens paupertatis
4 Tranſactu difficilem vitam,
5 *In* acerbiſſimis doloribus.
6 Morte, morte prius domer,

Κακοῦ γὰρ ἀνδρὸς) παροιμία ἐστὶν, Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα. Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ.

624. Αἱρῇ) κρατῇ ὑπὸ τοῦ ἔρωτος. Ἐξώπιος) ἀντὶ τοῦ ἀφανῶς αὐτῆς, ἔξω τῶν ὀφθαλμῶν τῆς κόρης ὢν, ὅπως ἦν φανερὸς, ἀντὶ τοῦ φανερός. Ὥστε σ' ἀρνεῖσθαι) ὥστε μεταμεληθῆναί σε ἐπὶ τῷ γάμῳ. Ἔρωτες) τοῦτο ὁ χορὸς λέγει περὶ τῆς Μηδείας, ἐρώσης τοῦ Ἰάσονος, εὐχόμενος μὴ τοιοῦτον ἔχειν ἔρωτα. ἐκ γὰρ τῶν τοιούτων ἐρώτων, περιστάσεις τοῖς ἀνθρώποις συμβαίνουσιν. Μηδέποτ' ὦ δέσποινα) τὸ ἑξῆς μηδέποτε, ὦ δέσποινα, ἐκ χρυσέων τόξων ἐπ' ἐμοὶ ἐφείης ἄφυκτον οἰστὸν ἱμέρῳ χρίσασα· μὴ ποιήσῃς τοιοῦτον ἔρωτα ἐμπεσεῖν εἰς ἐμὲ, ὦ Ἀφροδίτη, ὥσπερ εἰς τὴν Μήδειαν. 639. Ἀκόρεστά τε νείκη) μηδὲ εἰς νείκη, μηδὲ εἰς ὀργὰς καὶ εἰς φιλονείκους λόγους, καὶ ὀργῆς κινητικούς. Νείκη) τὰ νείκη κατ' εὐθεῖαν πληθυντικὴν εἴρηται, τουτέστι τὰς μάχας καὶ τὰς φιλονεικίας ἀπαύστους.

643. Ἀπολέμους) ἐν τῷ ἀπολέμους. σεβίζουσα δὲ, προκρίνασα, προτιμῶσα. Ἄλλως· κρίναι τὰ λέκτρα τῶν γυναικῶν. ἢ ἵνα σεβίζουσα τὰς ἀπολέμους εὐνὰς, ὅ ἐστι προσκυνάζουσα ἀπολέμους, ἤγουν ἀφιλονείκους. ὃ, τιμῶσα δὲ ἡ Ἀφροδίτη τὰς εὐνὰς τὰς ἀπολέμους, καὶ ἐάσω αὐτὰς σεβάζειν. ἢ ὀξύφρονα τὴν Ἀφροδίτην φησὶν, ἐπεὶ ὀξεῖς οἱ ἔρωτες αὐτῆς, καὶ ὑποδέχε-

ANNOTATIONES.

V. 618. Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει) Simile hoc *Sophocleum*, Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα. Ajax Flagell. v. 676. Quibus utriſque *Homerus* anſam dedit *Iliad.* I. v. 378.

Ἐχθρὰ δέ μοι τοῦ δῶρα· τίω δέ μιν ἐν καρὸς αἴσῃ.

Ut obiter verò hic notem, multa *Græcè* extant ad formam ἄδωρα δῶρα, ut *Hecub.* v. 612. Νύμφην τ' ἄνυμφον, παρθένον τ' ἀπάρθενον. Et *Supplic.* v. 32. Δεσμὸν δ' ἄδεσμον τόνδ' ἔχουσα φυλλάδος. Sic *Phœniſſ.* v. 1054. γάμους δυσγάμους. Sic μήτηρ ἀμήτωρ, χάρις ἄχαρις, ἄγαμος γάμος &c. Sic *Homer.* δύσπαρις & Μήτηρ δύσμητερ &c. & Αἰνόπαρις *Euripi.* Hecub. v. 945. Vid. *Supplic.* v. 32. Ex quibus utriſque *Alcman*, Δύσπαρις, αἰνόπαρις, κακὸν Ἑλλάδι βωτιανείρᾳ. Ita *Latini* Innuptas Nuptias, Mentes dementes, Vid. *Andr. Schott.* Nod. *Ciceron.* l. 1. c. 17. Et *Petr. Victorii* Variar. Lection. l. 10. c. 12. *Joſua Barnes.*

V. 626. Γαμεῖς τοιοῦτον) τι vox in τοιοῦτον communis eſt Syllaba, & in hoc loco brevis: Vid. Not. ad *Hecub.* v. 1108.

V. 627. Ἔρωτες ὑπὲρ μὲν ἄγαν) Verſionem hujus loci meliùs ab *Hugone Grotio* factam puto, quàm à noſtro *Buchanano*, conferat qui velit; ita *Grotius*,

Quicunque modum non ſervat Amor,
Hunc & Virtus & Fama fugit:
At ſi veniat moderata Venus,
Nulla eſt æquè pulchra Dearum.
Parce, auratos, Dea, parce, precor,
Arcus in me tentare tuos:
Parce indomita ſtringere tela,
Deſiderii tiŝta veneno.

De Moderato Amore vide *Tobiæ Magiri* Polymnemon. Titulo *Amor* Puellarum §. 9. ubi hunc locum expendit. *Pindarus*, εἴη καιρῷ, καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν. Antholog. Ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι. *Oppian.* Halieut. l. 4. v. 32. Ὃ δ' ἐκλαζόμενος, ὅσσον ἔολπε Κύπριδι καλὸν ἕκ τε καὶ ἐν σέρνοισι φυλάσσει. Vide quæ Nos ad *Euripid.* Antigon. v. 17. & locum *Iphigeniæ* Aulidenſis ibi citatum cum hoc conferas. Vide etiam quæ Nos ad *Euripid.* Æolum v. 36. *Joſua Barnes.*

V. 634. Ἐφείης) Ita nos cum *Æmylio Porto*, rejecto ἐφίεις.

V 635. Οἰστόν) In ſcanſione ut οἰστὸν legendum.

" 7 Ἀμέ-

" 7 Ἁμέραν τάνδ' ἐξανύσαιμι. Μόχθων
" 8 Δ' οὐκ ἄλλος ὕπερθεν,
" 9 Ἢ γᾶς πατρίας στέρεσθαι.

Ἀντιστροφὴ β'.

1 Εἴδομεν, οὐκ ἐξ ἑτέρων
2 Μῦθον ἔχομεν φράσασθαι.
3 Σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις
4 Ὤικτειρε, παθοῦσαν
5 Δεινότατον παθέων.
" 6 Ἀχάριστος ὄλοιθ', ὅτῳ πάρεστι
" 7 Μὴ φίλους τιμᾷν, καθαρὰν ἀνοίξαν-
" 8 τι κλῇδα φρενῶν·
" 9 Κἀμοὶ φίλος οὔ ποτ' ἔσται.

Ἴαμβοι.

Αι. Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον
Κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν * φίλους. *[illegible] φίλοις
Μη. Ὦ χαῖρε καὶ σύ, παῖ σοφοῦ Πανδίονος,
Αἰγεῦ. πόθεν γῆς τῆσδ' ἐπιστρωφᾷ πέδον;
Αι. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
Μη. Τί δ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐστάλης;
Αι. Παίδων ἐρευνῶν σπέρμ', ὅπως γένοιτό μοι.
Μη. Πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;
Αι. Ἄπαιδές ἐσμεν, δαίμονός τινος τύχῃ.
Μη. Δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
Αι. Οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
Μη. Τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
Αι. Σοφώτερ', ἢ κατ' ἄνδρα συμβαλεῖν, ἔπη.
Μη. Θέμις δ' ἂν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
Αι. Μάλιστ', ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
Μη. Τί δῆτ' ἔχρησε, λέξον, εἰ θέμις κλύειν.
Αι. Ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα.
Μη. Πρὶν ἂν τί δράσῃς, ἢ τίν' ἐξίκῃ χθόνα;
Αι. Πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
Μη. Σὺ δ' ὡς τί χρῄζων, τήνδε ναυστολεῖς χθόνα;

" 7 Hoc die confecto. Malû enim
" 8 Non eſt aliud majus,
" 9 Quàm ſolo patrio privari.

Antiſtrophe 2.

1 Vidimus, non ex alienis
2 Sermonibus *hæc* poſſumus referre.
3 Te enim neque civitas, neque aliquis amicorum
4 Miſeratus eſt, quæ paſſa es
5 Graviſſima mala.
" 6 Pereat invíſus, qui non vult
" 7 Amicos juvare, aperiens candidam
" 8 Clavem pectoris;
" 9 Nec mihi unquam erit amicus *talis*.

Ægeus.

Salve Medæa: hoc enim exordio
Pulchrius nemo novit *aliud* ad ſalutandum amicos.
Med. Salve & tu, ô fili ſapientis Pandionis.
Ægeu, unde accedis ſolum hujus terræ?
Æg. Relicto antiquo ſacello Apollinis.
Med. Quare verò ad umbilicum terræ, ubi eſt oraculum, iviſti?
Æg. Quærens quomodo mihi contingat ſatio liberorum.
Med. Per Deos, ergo ſine liberis adhuc trahis vitam?
Æg. Sumus ſine liberis, dæmonis alicujus invidiâ.
Med. Cùm habeas uxorem, an es ſine uxore?
Æg. Non ſumus lecti nuptialis expertes.
Med. Quid igitur dixit tibi Phœbus de liberis?
Æg. Obſcuriora verba, quàm ut poſſit homo conjicere.
Med. Eſtne fas nos ſcire oraculum Dei?
Æg. Maximè, quidoq. & ſapientis indiget mĕtis. *acutæq. poſt. ing.*
Med. Quid igitur reſpondit? dicito, ſi fas eſt audire.
Æg. Nè ego prominentem utris ſolverem pedem.
Med. Priuſquam quid facias, aut ad quam terram venias?
Æg. Priuſquam patrios ruſus ad lares venero.
Med. Tu verò quâ re indigens navigas in hanc terram?

Μόχθων οὐκ ἄλλος) τῶν μόχθων τῶν ἐν ἀνθρώποις οὐδεὶς ἄλλος μείζων, ἢ τὸ στέρεσθαι τῆς πατρίδος. μόχθων δὲ λέγει, τῶν συμφορῶν. Ὅμηρος ἐκ τοῦ ἐναντίου. * Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, οὐδὲ τοκήων. τοῦτο δὲ αὐτὸ τὸ στέρεσθαι τῆς πατρίδος, ὅτι πάνδεινόν ἐστιν, αὐτοὶ ὄψιν ἑωράμεθα ἐπὶ τῆς Μηδείας, καὶ οὐκ ἐξ ἀκοῆς τοῦτο μανθάνομεν. 665. Σοφοῦ Πανδίονος) ἐπιφορός ἐστιν ὁ Εὐριπίδης εἰς τὸ λέγειν σοφὸς καὶ σοφή, πρὸς μηδὲν χρήσιμον παραλαμβάνων τὸ ὄνομα. κατὰ τί γὰρ σοφὸς ὁ Πανδίων γίνεται; οὐ γὰρ δὴ ὀνόμασε τοιοῦτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οὐδὲ πανουργίας ἐχόμενον, ὥστε διὰ τοῦτο λέγεσθαι αὐτὸν σοφόν· ἀλλ' ἁπλῶς παραπληρώματι χρῆται τῇ λέξει. Αἰγεῦ πόθεν) λέγουσι τὸν Αἰγέα εἰς Τροιζῆνα ἐληλυθέναι, διὰ τὸ δεδοικέναι περὶ τὴν παροῦσαν τὴν πορείαν, Σίνιδος κατ' ἐκείνους τοὺς χρόνους ἐπιπολάζοντος. Νεόφρων δὲ εἰς Κόρινθον τὸν Αἰγέα φησὶ παραγενέσθαι πρὸς Μήδειαν, ἕνεκα τοῦ σαφηνισθῆναι αὐτῷ τὸν χρησμὸν ὑπ' αὐτῆς τῆς Μηδείας, γράφων οὕτως· Καὶ γάρ τιν' αὐτὸς ἦλθον λύσιν μαθεῖν, Σοῦ φροῦν. † Θεῖαν γὰρ ὄσσαν, ἥν ἔχρησέ μοι Φοῖβος προμάντις, συμβαλεῖν ἀμηχανῶ· Σοὶ δ' εἰς λόγους μολὼν γὰρ ἤλπιζον μαθεῖν. Τί δ' ὀμφαλὸν γῆς) τὸ μέσον τῆς οἰκουμένης τὸ μαντεῖον. ἐστάλης δέ, ἀπεδήμησας, ὥδευσας. Οὐκ ἐσμὲν εὐνῆς.) πρώτην ἔσχε Μελίτην τὴν Ὅπλητος, δευτέραν Χαλκιόπην τὴν Χαλκώδοντος, τρίτην τὴν Μήδειαν. Δεῦρ' ἀεί) ἀντὶ τοῦ μέχρι νῦν ἄπαις ὑπάρχεις. τὸ δὲ ἀεί, ἀντὶ τοῦ ἕως τοῦ νῦν. σεσημείωται δέ, ἐπεὶ τὸ δεῦρο χρονικὸν εἶπεν. ἢ οὕτως. ἀντὶ τοῦ ἕως χρόνου τούτου ἄπαις τυγχάνεις; τὸ δὲ ἀεὶ Εὐριπίδης ἐπὶ χρόνου τάσσει. ἀντὶ τοῦ ἕως τοῦ δεῦρο. νῦν δὲ ἐπὶ χρόνου. καὶ σημείωσαι. Μάλιστ' ἐπεί τοι) σοφωτέρας διανοίας χρείαν ἔχει τὰ ἤδη λεγόμενα ῥήματα. 679. Ἀσκοῦ με) χρησμὸς δοθεὶς τῷ Αἰγεῖ, οὗτός ἐστιν. Ἀσκοῦ τὸν προὔχοντα πόδα, μέγα φέρτατε λαῶν, Μὴ λῦσαι, πρὶν γουνὸν Ἀθηναίων ἀφικέσθαι. Ἀσκοῦ οὖν τῆς γαστρός· Πόδα δὲ τὸ μόριον. παρόσον ὡς ὁ ποδεὼν τοῦ ἀσκοῦ προέχει. λέγει οὖν, ὅτι ἔχρησέ μοι μὴ συνελθεῖν ἑτέρᾳ, πρὶν ἐπιβῆναι τῆς πατρίδος. τοῦτο γὰρ αἰνίττεται, ὅπερ αὐτὸς οὐ συνίησιν. ἀσκὸν τοίνυν λέγει τὸν περὶ τὴν γαστέρα τόπον. Ἀρχίλοχος, καὶ πονῶ δρῆστιν ἐπ' ἀσκόν, μαζός τι μηρίς. δρῆστιν λέγων, οἷα δρώμενά τι. πολλάκις δὲ εἰώθασι λέγειν, τὸ τοῦ ἀνδρὸς αἰδοῖον.

* *Hom.* Odyſſ. I. v. 34. † Θεῖαν γὰρ ὄσσαν &c.) τὸ Θεῖ in Θεῖαν eſt ſyllaba Communis (quales videſis in Notis ad *Hecub.* v. 1108.) Hi enim quatuor Verſus ſunt *Iambici* ex *Neophrone* Tragico Poetâ. Vid. *Sam. Petiti* Miſcell. 6. c. 15. à quo tamen ultro Nos digredimur.

ANNOTATIONES.

V. 660. Ἀχάριστος ὄλοιθ' &c.) Hunc locum gratiſſimæ mihi *Amicitiæ* gratiâ, *Grotio* vertente, addo,

Pereat, pereat genus exoſum,
Qui non verâ coluêre fide,
Et reſeratâ fore ſinceri
Cordis, Amicos: Mihi nè tales
Unquam eveniat noſſe ſodales.

Vide quæ Nos pleniùs de Amicitiâ ad *Herc. Fur.* v. 1425. *J. Barnes.*

V. 663. Χαῖρε) De hâc ſalutandi formâ Vid. quæ nos ad *Electr.* v. 1357.

V. 668. Ἐστάλης;) Hoc verbum ſuo jam loco reſtituimus, à *Scholiaſtâ* edocti, & τὸ ἱκάνεις, quod ex gloſsâ in textum irrepſerat, rejecimus. Vid. de hâc re *Gul. Canteri* Novar. Lection. l. 4. c. 1.

V. 679. Ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα &c.) *Euripides* in hoc loco *ſtrictim*, non ipſa verba Oraculi profert; ea enim Heroico erant metro dicta, quomodo à *Plutarcho* & *Scholiaſtâ Euripidis* proferuntur; notanda autem eſt quædam variatio: hi enim ποδεῶνα, ὦ φέρτατε, ut *Muretus*. alii, quorum *Iſaacus Tzetzes* in *Lycophron* p. 86. πυθμένα. alii denique πόδα, μέγα φέρτατε; & *Plutarchus* in *Theſeo* pro γουνὸν Ἀθηναίων legit δῆμον Ἀθηνῶν εἰσαφικέσθαι. *Tzetzes* item loco ſupra laudato, εἰς ἄκρην. Hoc autem Oraculum ità vertit *Antonius Muretus* Var. Lection. l. 3. c. 14.

Ne ſolvas ex Utre pedem, qui prominet, ante
Cecropia pingues quàm ſis delatus in agros.

Ibidem ille haud ineptè diſputat de raro *Veneris* uſu, ſiquis liberis procreandis operam dare velit, quem videſis. Vid. *Suppl.* v. 7. & *Pauli Leopardi* Emendat. l. 7. c. 13. *Joſua Barnes.*

Αι. Πιτθεὺς τίς ἐστι γῆς ἄναξ Τροιζηνίας.
Μη. Παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.
Αι. Τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
Μη. Σοφὸς γὰρ ἀνὴρ, καὶ τρίβων τὰ τοιάδε.
Αι. Κἀμοί γε πάντων φίλτατος δορυξένων.
Μη. Ἀλλ' εὐτυχοίης, καὶ τύχοις ὅσων ἐρᾷς.
Αι. Τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ' ὅδε;
Μη. Αἰγεῦ, κάκιστός ἐστι μοι πάντων πόσις.
Αι. Τί φής; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
Μη. Ἀδικεῖ μ' Ἰάσων, οὐδὲν ἐξ ἐμοῦ παθών.
Αι. Τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
Μη. Γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
Αι. Ἦ που τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
Μη. Σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
Αι. Πότερον ἐρασθεὶς, ἢ σὸν ἐχθαίρων λέχος;
Μη. Μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
Αι. Ἴτω νυν, εἴπερ ὡς λέγεις ἐστὶν κακός.
Μη. Ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
Αι. Δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
Μη. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
Αι. Συγγνωστὰ μὲν γὰρ ἦν, σε λυπεῖσθαι, γύναι.
Μη. Ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
Αι. Πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
Μη. Κρέων μ' ἐλαύνει φυγάδα τῆσδ' ἔξω χθονός.
Αι. Ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπῄνεσα.
Μη. Λόγῳ μὲν οὐχὶ, καρτερεῖν δὲ βούλεται.
Ἀλλ' ἀντομαί σε τῆσδε πρὸς γενειάδος,
Γονάτων τε τῶν σῶν, ἱκεσία δὲ γίγνομαι,
Οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα,
Καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς·
Δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
Οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
Γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
Εὕρημα δ' οὐκ οἶσθ', οἷον ηὕρηκας τόδε·
Παύσω δέ σ' ὄντ' ἄπαιδα, καὶ παίδων γονὰς
Σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.
Αι. Πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
Γύναι, πρόθυμός εἰμι· πρῶτα μὲν θεῶν,
Ἔπειτα παίδων, ὧν ἐπαγγέλλῃ γονάς.
Εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
Οὕτω δ' ἔχοιμι. σοῦ μὲν ἐλθούσης χθόνα,
Πειράσομαί σου προξενεῖν δίκαιος ὤν.
Τοσόνγε μέντοι σοὶ προσημαίνω, γύναι,
Ἐκ τῆσδε μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι.
Αὐτὴ δ' ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
Μενεῖς ἄσυλος, κοὔ σε μὴ μεθῶ ποτε.
Ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·

686. Τρίβων τὰ τοιάδε) ἔμπειρος ὤν. περιπεπειραμένος τῶν τὰ τοιαῦτα λέγειν. τουτέστι τῶν χρησμῶν.

Δορυξένων) οἱ κατὰ τὸν πόλεμον πρὸς ἀλλήλους φιλίαν πεποιηκότες, ὡς Γλαῦκος καὶ Διομήδης. Τί χρῆμα δράσας) σεσημείωται ὁ στίχος, ὅτι καὶ ἐν Τηλέφῳ ἐστὶν, ὅτ' ἄρχει Μήδεια πρὸς μὲν δήμασι τυραννικοῖς.

[* 694. Γυναῖκ' ἐφ' ἡμῖν) ἔχει γυναῖκα τὴν Γλαύκην ἐμοὶ ἐπεισαγαγών.]

570. Πρὸς τοῦ) πρὸς τίνος;

708. Καρτερεῖν) ἀντὶ τοῦ κρατεῖν καὶ ἀντέχειν. καὶ τὸν ἰσχυρὸν λέγουσι καρτερόν. Ἀρχίλοχος, ἡ δ' Ἀθήνη τε καρτερὸς μυλοτρόφος. φησὶν ὅτι τῷ λόγῳ μὲν παραιτεῖται, τῷ δὲ ἔργῳ οὐ θέλει κρατεῖν καὶ ἀντέχειν. [* Ἄλλως. λόγῳ μὲν οὐκ ἐπαινεῖ τὸ ἐξοικισμόν με· ὑπομένει δὲ ἐᾷ καὶ οὐ κωλύει.]

722. Εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι) κατὰ τοῦτο τὸ μέρος τῆς παιδοποιΐας ἔρημός εἰμι. ἢ τὸ φροῦδον, ἀντὶ τοῦ πρόθυμον καὶ ἀσπουδαστόν. ὅπως εἰς τὸ παῖδας ποιῆσαι, πάνυ ἐσπούδακα, καὶ πρόθυμός εἰμι. ἔτι δὲ κυρίως ὁ προσδοκῶν.

Æg. Eſt quiſpiam Pitheus, rex terræ Trœzeniæ.
Med. Filius Pelopis, ut aiunt, piiſſimus.
Æg. Cum hoc Dei oraculum communicare volo.
Med. Eſt enim vir ſapiens, & exercitatiſſimus in hujuſmodi *rebus*.
Æg. Et mihi chariſſimus amicorum, quos in militiâ paravi.
Med. Benè igitur tecum agatur, & conſequaris quæ expetis.
Æg. Quare verò oculi tui & corpus ita contabuerunt?
Med. Ægeu, peſſimus eſt mihi omnium maritus.
Æg. Quid ais? dic mihi apertè tuam triſtitiam.
Med. Jaſon injuriâ me afficit, nullâ à me affectus.
Æg. Quo facinore facto? dic mihi apertius.
Med. Habet aliam uxorem præter me, dominam hujus domûs.
Æg. An igitur auſus eſt hanc turpiſſimam rem?
M. Certò ſcias: nos v. qui antè eramus amici, rejecti ſumus ignom.
Æg. Utrum *alterius* amore captus, an tuum exoſus lectum?
Med. Magno ſane amore *captus*: fidelis non fuit amicis.
Æg. Eat ergò, *i.e. valeat*, ſiquidem eſt malus, ut dicis.
Med. Cupivit accipere affinitatem regum.
Æg. Quis verò dat ei? pertexe hanc orationem.
Med. Creon, qui dominus eſt hujus terræ Corinthiacæ.
Æg. Ignoſcendum igitur tibi eſt, quòd doles, ô mulier.
Med. Perii; præter hoc etiam expellor ex hâc terrâ.
Æg. A quo? hoc aliud rurſus novum narras malum.
Med. Creon me exulem expellit ex hâc terrâ.
Æg. Et permittit Jaſon? neq; hæc quidem laudo.
Med. Verbis quidē non *permittit hoc*: ſed *tamen reipsâ* pati vult.
Sed rogo te ſupplex per genas has,
Et tua genua, ſupplex jam *tibi* fio,
Miſerere, miſerere mei infelicis,
Neque me deſertam *ac* ejectam aſpicias;
Sed recipe me hoſpitam in tuam regionem & domum.
Sic tibi amor à Diis fœcundus
Liberis fiat, & ipſe beatus moriaris.
Lucrum autem non ſcis quantum inveneris hic:
Faciam enim ut non amplius ſis ſine liberis, ſed liberos
Procreare ut poſſis, efficiam: talia pharmaca novi.
Æg. Propter multa tibi hanc gratiam dare
Sum paratus, ô mulier. Primum quidem propter deos,
Deinde propter liberos, quorum generationem promittis.
Ad hoc enim ego jam prorſus ſum ineptus.
Sic verò *utinam* habeam. Tu igitur ubi veneris *in Atticum* agrum,
Conabor te hoſpitio excipere, quia ſum juſtus.
Tantum verò hoc tibi prædico, mulier,
Nolo quidem te ex hâc terrâ abducere:
Quòd ſi ipſa veneris in meam domum,
Manebis ibi tuta, neque dimittam te unquam.
Ex hoc verò agro tu ipſa diſcedens effer pedem:

** Hos locos addidit *Joſua Barnes*.

ANNOTATIONES.

V. 686. Τρίβων τὰ τοιάδε) τρίβων, eſt Vox *media*, hic in meliorem capitur partem; ut & *Rheſ.* v. 625. Τρίβων γάρ εἶ τὰ κομψὰ καὶ νοεῖν σοφός, ubi & *Accuſativum* habet, ut hîc loci. Aliàs *Genitivo* gaudet & in malam partem frequentiùs ſumitur, ita *Bacch.* v. 716. Καί τις πλάνης κατ' ἄστυ καὶ τρίβων λόγων. Vid. quæ Nos ad utrumque locum, ſuprà citatum. *Joſua Barnes.*

Ἀναίτιος

Ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.
Μη. Ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
Τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.
Αι. Μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;
Μη. Πέποιθα· Πελίου δ' ἐχθρός ἐστί μοι δόμος,
Κρέων τε· τούτοις δ', ὁρκίοισι μὲν ζυγεὶς,
Ἄγουσιν οὐ μεθῇς ἂν ἐκ γαίης ἐμέ.
Λόγοις δὲ συμβὰς, καὶ θεῶν ἀνώμοτος,
Φίλος γένοι' ἂν, * κἀπικηρυκεύμασιν
Οὐκ ἂν πίθοιο. τἀμὰ μὲν γὰρ ἀσθενῆ·
Τοῖσδ' ὄλβος ἐστὶ, καὶ δόμος τυραννικός.
Αι. Πολλὴν ἔλεξας ἐν λόγοις προμηθίαν.
Ἀλλ' εἰ δοκεῖ σοι δρᾷν τάδ', οὐκ ἀφίσταμαι,
Ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστερα,
Σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι·
Τὸ σόν τ' ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.
Μη. Ὄμνυ πέδον γῆς, πατέρα θ' Ἥλιον πατρὸς
Τοὐμοῦ, θεῶν τε συντιθεὶς ἅπαν γένος.
Αι. Τί χρῆμα δράσειν; ἢ τί μὴ δράσειν; λέγε.
Μη. Μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτέ·
Μήτ', ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
Χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
Αι. Ὄμνυμι γαῖαν, λαμπρὸν ἡλίου τε φῶς,
Θεούς τε πάντας, ἐμμενεῖν, ἅ σου κλύω.
Μη. Ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;
Αι. Ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.
Μη. Χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
Κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
Πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' * ἃ βούλομαι.

Ἀνάπαιστοι.

Χο. Ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
Πελάσειε δόμοις.
Ὧν τ' ἐπίνοιαν σπεύδεις κατέχων,
Πράξειας· ἐπεὶ γενναῖος ἀνὴρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

* al. κ[illegible]ρυκεύματα.

* al. ὧν.

Inculpabilis enim etiam apud hoſpites eſſe volo.
Med. Erunt hæc, *& ita fient:* ſed ſi fides daretur mihi
Horum, haberem omnia præclarè à te.
Æg. Annon confidis? aut quid tibi eſt moleſtum?
Med. Confido. Sed domus Peliæ eſt mihi inimica,
Et Creon? his enim, ſi jurejurando mihi devinctus fueris,
Abducere volentibus me ex agro non permittes *nec trades.*
Verbis verò compoſitione factâ, & diis jurejurando obſtrictus,
Amicus eris *illis*, & *inimicorum meorum* legationibus
Non parebis, *ut ipſis me dedas.* Res enim meæ ſunt infirmæ:
Illis verò ſunt opes, & domus regia.
Æg. Oſtendiſti magnam providentiam in tuâ oratione.
Sed ſi placet tibi hæc facere, non recuſo:
Mihi enim hæc quoque tutiora ſunt,
Si oſtendere poſſim aliquam excuſationem tuis inimicis:
Et tua res erit firmior; præi verbis quos jurem deos.
Med. Jura ſolum terræ, & Solem patrem patris
Mei, & totum ſimul genus Deorum.
Æg. Quam rem facturum, aut quid non facturum? dicito.
Me. Quod neque tu ejecturus me ſis unquam è terra tuâ,
Neque, alius ſi quis meorum inimicorum me abducere
Velit, permiſſurum te id viventem & volentem.
Æg. Juro terram, & ſplendidum lumen Solis,
Et omnes deos, me his ſtaturum, quæ ex te audio.
Med. Satis eſt: quid a.patieris, ſi non præſtiteris hoc juſjurandū?
Æg. Quæ hominibus impiis ſolent accidere.
Med. Lætus abi: omnia enim rectè ſe habent.
Et ego *in* tuam civitatem quamprimùm veniam,
Ubi confecero quæ paro, & conſecuta fuero, quæ volo.

Chorus.

Sed te, rex, natus ex Maiâ, deductor
Ducat domum,
Et ea, quæcunque in animo habens feſtinas,
Perficias: quia præſtans vir,
Ægeu, apud me, *meo judicio,* viſus es.

Ἀναίτιος) ἀνέγκλητος, ἄμεμπτος. οὐδὲ γὰρ βούλομαι φησὶ ὑπὸ τῶν περὶ τὸν Κρέοντα αἰτιαθῆναι, ὡς ἐγὼ αὐτός σε ἀπαγαγών. Πελίου δ' ἐχθρὸς) κατὰ κοινοῦ τὸ ἐχθρός. ὁ δὲ νοῦς, σοὶ μὲν θαρρῶ καὶ πεπίστευκα, ἀλλὰ φοβοῦμαι μὴ ἄρα ὁ τοῦ Πελίου δόμος καὶ ὁ Κρέων ἐχθροί μου ὄντες βιάσωνταί σε, καὶ [illegible] περιΐδοις με ἂν αὐτοῖς, ὅθεν ὁρκῶ σε. τοῦτο βουλομένη ποιῆσαί σε, ὡς οὐκ ἂν με προδῷς. Τούτοις δ' ὁρκίοισι μὲν) ἐγκατειλημμένος, ἐμπεπλεγμένος. ἀντὶ τοῦ μετὰ βίας ἄγουσι. τὸ δὲ ἑξῆς τούτοις ἄγουσιν οὐ μεθῇς ἄν. τούτοις δ' ἐν ὅρκοις ζυγείς. ὁ νοῦς. τούτοις δὲ τοῖς ἄγουσί με καὶ βιαζομένοις, οὐκ ἂν ἐκδοίης ὅρκοις προκατειλημμένος. διὸ βούλομαί σε ὀμνύειν. ἐὰν γὰρ ὀμόσῃς μοι τοῖς περὶ τὸν Κρέοντα βουλομένοις με ἄγειν ἀπὸ τῆς Ἀττικῆς, οὐκ ἂν μεθείης, ἀλλ' ἐξαιτουμένοις με ἄγειν, οὐκ ἂν δοίης. μὴ ὀμόσας, δὲ φίλος γένοιο αὐτοῖς διὰ τοῦ ἐπικηρυκεύματος, θέλει εἰπεῖν, ἀντὶ τοῦ ἐπικηρυκεύμασιν. λείπει δὲ ἡ διά. ἦν δὲ πᾶς ὁ λόγος, πέποιθα μὲν ἐν οἷς λέγεις μοι. ὁ δὲ τοῦ Πελίου δόμος, καὶ ὁ τοῦ Κρέοντος, ἐχθροὶ ἐμοί εἰσιν. τούτοις οὖν βουλομένοις ἐξαιτεῖσθαί με, οὐκ ἂν ἐκδοίης ὀμόσας. καὶ διὰ λόγων μόνον συνθεὶς, ὅπως ἂν ἐκείνων γένοιο φίλος. καὶ διὰ τὰ ἐπικηρυκεύματα, ὃ ἔστι τὰς πρεσβείας ἐξαιτουμένοις με ἐκδοίης ἂν αὐτοῖς. 737. Λόγοις δὲ συμβὰς) εἰ δὲ ἔλθοις εἰς τὴν σύμβασιν τῶν ἐμῶν λόγων, καὶ συνθήκας ἀνωμότους ποιήσαιο πρὸς ἐμὲ, εὖ οἶδα, ὅτι μοι φίλος γένοιο, καὶ ἐπίκουρος ἀσφαλὴς, καὶ οὐκ ἂν τὴν πρὸς ἐκείνους φιλίαν προκρίνειας. ἐπικηρυκεύματα χρεῖαι, τὰ διὰ τῶν κηρυγμάτων γινόμενα πρὸς φιλίας. κεῖται οὖν ἡ λέξις ἀντὶ τοῦ τῆς φιλίας. τῇ δὲ εὐθείᾳ ἀντὶ δοτικῆς κέχρηται. ἔδει γὰρ εἰπεῖν, καὶ τοῖς ἐπικηρυκεύμασιν οὐκ ἂν πίθοιο. Δίδυμος δέ φησι ἐλλείπειν τὴν διὰ, διὰ τὰ ἐπικηρυκεύματα. Ἐμοί τε γὰρ) καὶ ἐμοί φησιν ἀσφαλές ἐστι πρὸς τὸ μηδεμίαν μέμψιν ἔχειν παρ' αὐτῶν, τὸ τὴν σκῆψιν ταύτην προβάλλεσθαι, τὸ φάσαι ὀμωμοκέναι μὴ προδοῦναί σε. καὶ τὸ σὸν [illegible] σε. βεβαιότερον ἔσται τὴν σκῆψιν ταύτην προΐσχοντί μοι. σκῆψιν δὲ λέγει τὸ ὀμωμοκέναι αὐτῇ. τὸ δὲ ἐξηγοῦ θεοὺς, ἀντὶ τοῦ ὀνόμαζε τοὺς θεοὺς, οὓς βούλει με ὀμόσαι. 759. Ἀλλά σ' ὁ Μαίας) ὁ χορὸς ἐπεύχεται Αἰγεῖ ἐπὶ τῇ ἐπαγγελίᾳ. πομπαῖον δὲ τὸν Ἑρμῆν λέγει, ἐπεὶ [illegible] καὶ εἰρηνικὸς ὁ θεός. οἱ δὲ ὁδεύοντες μάλιστα εἰρήνης δέονται.

A N N O T A T I O N E S.

V. 736. Μεθῇς ἂν) ita lego pro *μεθείης*, quod nullo cum ſenſu prius obtinuit. Et hâc quidem in parte *Gul. Cantero* aſſentio; nequaquam autem in verſu ſequenti; ubi ille legit *ἀνώμοτος*; licet & illi favere *Scholiaſtes* videatur; qui tamen paulò poſt apertè pro nobis facit. Paulò alitèr hunc locum exponit *M. Antonius Muretus* Variar. Lection. l. 7. c. 3. quem videſis. Senſum ſatis ex *Latinâ* Verſione expeditum habebis. *Joſua Barnes.*

V. 746. Ὄμνυ πέδον γῆς &c.) Ita *Latinus* apud *Virgil. Æn.* l. 12. v. 197. Terram, Mare, Sydera (i. e. Solem, inquit *Servius*) Juro. *Romani* tamen *Jovem* lapidem teſtabantur, Vide *Tobiæ Magiri* Polymneon titulo, *Juramentum.*

V. 758. Πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ', ἃ βούλομαι) Ultimum ἃ audacter reſtituo, & ὧν, quod priùs aderat, in Marginem rejicio, *Heſychii* Veteris Grammatici Authoritate, qui ita legebat. Ita enim ille in A, ἃ) Βραχέως καὶ δασέως [illegible] ἄττα σημαίνει· παρὰ δὲ Δημοκρίτῳ ἴδια. καὶ παρ' Ὁμήρῳ δὲ τὰ ἑαυτοῦ, — τὰ ἃ [illegible] τάσσεται δὲ καὶ ἀντὶ τοῦ ὧν, ὡς καὶ παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ, πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι. Οὕτως δὲ καὶ Χοιροβοσκός, Αὐτοῖς, ἃ τάξει. Ita totidem verbis *Suidas*; ita ferè *Phavorinus*, Τίθεται καὶ ἀντὶ τοῦ ὧν, ὡς παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ, Πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι. Supradictus *Heſychii* locus in aliquibus deſideratus additur ex Antiquis exemplaribus ad marginem. Hoc verò in loco αὐτῶν poteſt ſubintelligi, quaſi eſſet τυχοῦσ' αὐτῶν, ἃ βούλομαι, *Antecedens* ſanè in *Relativo* includitur, & *Relativum* ſolet verbum alterutrum ſequi, pro lubitu Authoris, ut ſit vel τυχοῦσ', ὧν βούλομαι, vel τυχοῦσ' ἃ βούλομαι. Quod obſervandum. *Joſua Barnes.*

Ὦ Ζεῦ) τοῦτο μόνον ἡ Μήδεια αὐτὴ καθ' ἑαυτὴν ἀναφωνεῖ τῇ δικαιοσύνῃ, καὶ τοῖς λοιποῖς θεοῖς ὡς εὐχαριστοῦσα, τὰ δὲ λοιπὰ πρὸς τὸν χορόν. Φίλαι) φίλας λέγει τὰς ἀπὸ τοῦ χοροῦ, πρὸς αὐτὰς γὰρ νῦν διηγεῖται. Εἰς ὁδὸν γὰρ, φησὶ, τοῦ εἰς τὴν τῆς νίκης ἀρχὴν ἐληλύθαμεν. Ἧ μάλιστ' ἐκάμνομεν) καθὸ μάλιστα ἐδυστύχουν. ἀλλ' ἔχουσα πρὸς ὃν καταφύγω, νῦν ἀνεύρηκα. Ἐκ τοῦδ' ἀναψόμεθα) πεισόμεθα τὴν περαιτέρω τῶν κακῶν. ὅταν γὰρ ἀπόγεια δεθῇ, παύονται τῶν κυμάτων οἱ ναῦται. Λέξω δὲ μὴ πρὸς ἡδονὴν) μὴ νομίσῃς φησὶν ἡδέα καὶ προσηνῆ εἶναι, τὰ μέλλοντά σοι ῥηθήσεσθαι. ἔστι γὰρ ἀηδέα μὲν εἰς ἀκοὴν ἐλθεῖν, ἀναγκαῖα δὲ ὅμως. ὡς εἰ ἔλεγεν, οὐκ ὤφειλον μὲν ὑμῖν τοιαῦτα ἐπαγγέλλειν, ὡς ἔτι πράξειν κακῶς. ὅμως ἐπειδὴ εἰς τοῦτο τύχης ἤλθομεν, ἀκούσατε τὰ βεβουλευμένα, καίπερ ἀηδῆ ὄντα. αἰτήσομαι δὲ φησὶν αὐτὸν τοὺς παῖδας [illegible] ἐνταῦθα μεῖναι, καὶ αὐτοὺς ἐμοὶ συγκαταχθῆναι. ἀλλ' ἵνα πρότερον διακονήσωσί μοι πρὸς τὸν τῆς Γλαύκης θάνατον.

785. Τήνδε μὴ φυγεῖν χθόνα) γράφεται δῆθεν δὴ, ἵν' ᾖ ἀντὶ τοῦ ὡς δή. ἐνταῦθα μέντοι μάχεται μὲν τούτῳ ἀποσιωπᾶν ζει σοι, καὶ ἴσασι τὸν λέγειν σιωπῶντα.

Ἴαμβοι.

Μη. Ὦ Ζεῦ, δίκη τε Ζηνὸς, ἡλίου τε φῶς,
Νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
Γενησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν·
Νῦν δ' ἐλπὶς, ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην.
Οὗτος γὰρ ἁνὴρ, ᾗ μάλιστ' ἐκάμνομεν,
Λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
Ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήσιον κάλων,
Μολόντες ἄστυ, καὶ πόλισμα Παλλάδος.
Ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
Λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
Πέμψασ' ἐμῶν τιν' οἰκετῶν, Ἰάσονα
Εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι.
Μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
Ὡς καὶ δοκεῖ μοι * ταῦτα, καὶ καλῶς ἔχειν   * ἐν ταυτά.
Γάμους τυράννων, οὓς προδοὺς ἡμᾶς ἔχει,
Καὶ ξύμφορ' εἶναι, καὶ καλῶς εἰργασμένα.
Παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
Οὐχ ὡς λιποῦσα πολεμίας ἐπὶ χθονὸς
Ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
Ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
Πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν,
Νύμφῃ φέροντας, τήνδε μὴ φύγειν χθόνα,
Λεπτόν τε πέπλον, καὶ πλόκον χρυσήλατον.
Κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
Κακῶς ὀλεῖται, πᾶς θ' ὃς ἂν θίγῃ κόρης·
Τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
Ὤιμωξα δ', οἷον ἔργον ἔστ' ἐργαστέον
Τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
Τἄμ'· οὔτις ἐστὶν, ὅς τις ἐξαιρήσεται.
Δόμον τε πάντα συγχέασ' Ἰάσονος,
Ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
Φεύγουσα, καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
" Οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
Ἴτω· τί μοι ζῆν κέρδος; οὔτ' ἐμοὶ πατρὶς,
Οὔτ' οἶκός ἐστιν, οὔτ' ἀποστροφὴ κακῶν.
Ἡμάρτανον τόθ', ἡνίκ' ἐξελίμπανον
Δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
Πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην.
Οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
Ζῶντας τὸ λοιπὸν, οὔτε τῆς νεοζύγου
Νύμφης τεκνώσει παῖδ'· ἐπεὶ κακὴν κακῶς
Θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
Μηδείς με φαύλην κἀσθενῆ νομιζέτω,
Μηδ' ἡσυχαίαν· ἀλλὰ θατέρου τρόπου,
" Βαρεῖαν ἐχθροῖς, καὶ φίλοισιν εὐμενῆ.

Medea.

O Jupiter, & vindicta Jovis, & lumen ſolis,
Nunc glorioſe-victrices meorum inimicorum, ô amicæ,
Erimus, & in *rectam* viam ſumus ingreſſæ:
Nunc demum ſpes eſt meos hoſtes daturos pœnas.
Hic enim vir, quâ parte maximè laborabamus,
Apparuit portus meorum conſiliorum:
Ex hoc ſuſpendemus rudentem in puppe,
Ubi venerimus in civitatem & urbem Palladis.
Jam verò tibi omnia mea conſilia
Dicam: expecta verò non jucunda verba.
Miſſo aliquo ex meis domeſticis, ut Jaſon
Veniat in meum conſpectum, poſtulabo.
Ipſi verò profectò blanda dicam verba,
Quòd & mihi hæc placeant, & quòd bene ſe habeant
Nuptiæ regiæ, quas proditâ me habet,
Et utilia hæc eſſe, & rectè facta.
Petam verò, ut liberi mei maneant:
Non ut relictura hoſtium in agro
Filios meos inimicis contumeliâ afficiendos:
Sed ut dolo filiam regis interficiam.
Mittam enim eos, habentes dona in manibus,
Et ferentes ſponſæ, ne pellantur ex hâc terrâ,
Tenuem veſtem, & cirrum auro textum, *vel, coronam auream.*
Ea ſi acceptum ornamentum circumdederit corpori,
Miſerè peribit, & omnis qui attigerit puellam:
Hujuſmodi pharmacis perungam dona.
Hic autem finio hunc ſermonem.
Ingemiſco autem, quale facinus eſt faciendum
Deinde nobis. Interficiam enim liberos
Meos; nemo eſt qui poſſit eos eripere:
Domumque totam Jaſonis ubi miſcuero *luctu*,
Exibo ex hâc terrâ, necem chariſſimorum liberorum
Fugiens, & auſa facinus impiiſſimum.
" Non enim ferendum eſt, ut derideamur ab inimicis, ô amicæ.
Actum ſit: quid me juvat vivere? neque mihi patria
Eſt, neque domus, nec aliud effugium malorum.
Peccavi tunc, quando reliqui
Domum paternam, verbis viri Græci
Perſuaſa: qui mihi pœnas dabit, Deo volente.
Nam nunquam liberos, quos ex me ſuſtulit, videbit
Deinceps vivos: neque ex novâ
Sponſâ gignet liberos; quia malam malè
Perire ipſam neceſſe eſt meis pharmacis.
Nemo me ignavam & imbecillem exiſtimet,
Neque tranquillam: ſed alterius ingenii,
" Gravem inimicis, & benignam amicis.

ANNOTATIONES.

V. 770. Ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήσιον κάλων) De hâc Metaphorâ vide ad *Herc. Fur.* v. 478.
V. 798. Ἴτω &c.) Vide infra ad v. 819. Et ſuprà v. 699.

V. 805. Νύμφης τεκνώσει) τεκνω- in τεκνώσει eſt *Iambus*, vid. ſupra ad *Phœniſſ.* v. 19. Eodem modo occurrit hujus Fabulæ v. 810. Τοὶ in ταῦτα.

“ Τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.

Χο. Ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
Σέ τ' ὠφελεῖν θέλουσα, καὶ νόμοις βροτῶν
Ξυλλαμβάνουσα, δρᾶν σ' ἀπεννέπω τάδε.

Μη. Οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
Τάδ' ἐστί, μὴ πάσχουσαν, ὡς ἐγώ, κακῶς.

Χο. Ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις, γύναι;

Μη. Οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.

Χο. Σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.

Μη. Ἴτω· περισσοὶ πάντες οἱ 'ν μέσῳ λόγοι.
Ἀλλ' εἶα, χώρει, καὶ κόμιζ' Ἰάσονα·
Εἰς πάντα γὰρ δή σοι τὰ πιστὰ χρώμεθα.
Λέξεις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων·
Εἴπερ φρονεῖς εὖ δεσπόταις, γυνή τ' ἔφυς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ ά.

Χο. 1 Ἐρεχθεῖδαι τὸ παλαιὸν ὄλβιοι,
2 Καὶ θεῶν παῖδες μακάρων,
3 Ἱερᾶς χώρας, ἀπορθήτου
4 Τ' ἄπο, φερβόμενοι
5 Κλεινοτάταν σοφίαν,
6 Αἰεὶ διὰ λαμπροτάτου
7 Βαίνοντες ἁβρῶς αἰθέρος·
8 Ἔνθα ποθ' ἁγνὰς
9 Ἐννέα Πιερίδας
10 Λέγουσι Μούσας
11 Ξανθὰν Ἁρμονίαν φυτεῦσαι.

Ἀντιστροφὴ ά.

1 Καλλινάου τ' ἐπὶ Κηφισοῦ ῥοαῖς
2 Τὰν Κύπριν κλῄζουσιν ἀφυ-
3 σαμέναν χώραν καταπνεῦσαι
4 Μετρίας ἀνέμων
5 Ἡδυπνόους αὔρας.
6 Αἰεὶ δ' ἐπιβαλλομέναν
7 Χαίταισιν εὐώδη ῥοδέ-
8 ων πλόκον ἀνθέων,
9 Τᾷ σοφίᾳ παρέδρους

“ Hujuſmodi enim hominum vita eſt glorioſiſſima.

Ch. Quandoquidem nobiſcum communicaſti hunc ſermonem,
Tibique prodeſſe volens, & legibus mortalium
Opitulans, dehortor te ab his faciendis.

Med. Non erit aliter: tibi verò venia danda eſt, quòd dicas
Iſta, quæ non ea mala pateris, quæ ego.

Ch. An igitur audebis tuos liberos occidere, mulier?

Med. Sic enim maximè cruciabitur maritus.

Ch. Tu verò eris miſerrima mulier.

Med. Eſto. Superflui ſunt intermedii ſermones.
Sed age vade, & adducito Jaſonem:
Ad omnia enim fidelis te utimur.
Nihil autem dices eorum quæ decrevi;
Si modò benè vis dominæ, & es mulier.

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 O Erechthidæ quondã beati,
2 Et deorum filii beatorum,
3 Sacrâ terrâ invictâque *oriundi* indigenæ,
4 Qui depaſcitis
5 Nobiliſſimam ſapientiam,
6 Semper per lucidiſſimum
7 Ætherem jocundè ambulantes:
8 Ubi aliquando caſtas
9 Novem Pierides
10 Muſas dicunt
11 Plantâſſe flavam Harmoniam.

Antiſtrophe 1.

1 Pulchrifluique ad Cephiſi fluenta
2 Venerem ferunt *ex Cephiſo* exhauri-
3 entem, regionem perflâſſe,
4 Mediocres ventorum,
5 Dulce ſpirantes auras.
6 Semper autem injicientem
7 Comis fragrans roſe-
8 orum ſertum florum,
9 Sapientiæ aſſeſſores

Ἐπείπερ ἡμῖν) τὸ ἑξῆς, ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον, δρᾶν σ' ἀπεννέπω τάδε. ἀπεννέπω δὲ καὶ σὲ ὠφελοῦσα, καὶ τοῖς νόμοις βοηθοῦσα. 823. Εἴπερ φρονεῖς γ' εὖ δεσπόταις) Δεσποίναν ἑαυτὴν λέγει, οὐχ ὡς θεραπαινῶν οὐσῶν τῶν ὑπὸ τοῦ χοροῦ, ὅτι κατ' ἀρχὴν τοῦ λόγου φίλας αὐτὰς ὀνομάζει. ἀλλὰ τὸ δεσπόταις, ἀντὶ τοῦ τοῖς ἄρχουσι καὶ τοῖς κρατοῦσι· τὸ δὲ πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ. θέλει γὰρ εἰπεῖν, ἐμοὶ τῇ κρειττόνι· καὶ γὰρ βασιλέως θυγάτηρ ἦν, καὶ γυνὴ βασιλέως τοῦ Ἰάσονος, καὶ σώζει τὸ εὐγενὲς φρόνημα· μὴ τοίνυν θαυμάζωμεν, αἱ Κορίνθιαι οὖσαι, δι' ὃ τὰ τοῦ Κρέοντος μέρει προσθεῖσαι, ταύτην αἱροῦνται συγκρύπτειν. ἐλεύθεραι γὰρ οὖσαι τὸ πειθόμενον αὐταῖς δίκαιον προτιμῶσιν. ἔπειτα καὶ ἀεὶ ὁ χορὸς ἐν προσώπῳ τοῦ ποιητοῦ εἰσάγεται τοῦ δικαίου προϊστάμενος. 824. Ἐρεχθεῖδαι τὸ παλαιὸν) μακαρίζει αὐτοὺς Ἀθηναίους, ὡς εὐδαίμονας, καὶ σοφίας πλείστης ἐπιστήμονας, ἱερούς τε καὶ μούσας. ὅτι μέλλει τὰ κατὰ τὴν Μήδειαν ἐκλέγειν μιάσματα. τῷ γὰρ προθέσθαι βέλτιον αὐτὴν ἀποτρέψασθαι τὸν κατὰ τῶν παίδων φόνον. οὕτω γὰρ ἐν τοῖς ἑξῆς ἐπάγει, ὅτι οὐκ εἰκὸς τοὺς οὕτως ἱεροὺς καὶ σοφοὺς ἄνδρας, τὴν μιαιφόνον γενομένην ὑποδέξασθαι. Ἐρεχθεῖδαι) ἐγκώμιον ὁ χορὸς καταβάλλεται, τοὺς Ἀθηναίους δικαίους καὶ θεοσεβεῖς ἀποκαλῶν, ἀποτρέπων τῆς πράξεως ✝ Μήδειαν. καὶ οὐκ ἂν οἱ τοιοῦτοι τὴν τοιαῦτα δράσασαν δέξαιντο. Χώρας ἀπορθήτου) ἡ σύνταξις, ἀπὸ ἀπορθήτου χώρας. ἀπόρθητον δὲ αὐτὴν εἶπεν, διὰ τὰς θρυλλουμένας πολλὰς νίκας αὐτῶν. αὐτοὶ γὰρ ἀπόρθητοι καὶ ἀήττητοι διετέλεσαν. τὸ δὲ φερβόμενοι σοφίαν, ἀντὶ τοῦ προσλαμβάνοντες, καὶ παιδευόμενοι πᾶσαν σοφίαν. οὕτω δὲ εἶπεν, ὡς ἀναγκαίας αὐτῆς οὔσης τῆς παιδεύσεως, καθάπερ ἄλλης τροφῆς. 831. Ἔνθα ποθ' ἁγνὰς) ὅτι λέγεται ὑπὸ τῶν Μουσῶν τὴν ἐν μουσικῇ ἁρμονίαν γεννηθῆναι. παρόσον οἱ σοφίας ὄντες, καθαρώτερον τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς τὰ θεῖα φαντάζονται, μονονουχὶ καὶ θεοῖς αὐτοῖς ὁμιλεῖν πεπιστευμένοι. ἢ ὡς τοῦ παρ' αὐτοῖς ἀέρος φύσιν ἔχοντος φέρειν ἀεὶ σοφοὺς ἄνδρας, τουτέστιν ἀεὶ βιοτεύουσι τῇ [illegible] δέουσιν ἁπλῶς καὶ εὐμαρῶς ταύτην μεταχειρίζεσθαι, ἀντὶ δὲ τοῦ παρ' αὐτοῖς ἀέρος εἰς τοῦτο πεφυκότος. ἵνα τὸ μὲν βαίνοντες ἀντὶ τοῦ βιοτεύοντες. τὸ δὲ αἰθέρος ἀντὶ τοῦ ἀέρος ἐκδεξάμεθα. ἔνιοι δὲ λέγουσιν Εὐριπίδην τὰς Μούσας λέγειν Ἁρμονίας θυγατέρας, ἀγνοοῦσί τις. οὐ γὰρ τοῦτο λέγει. ἀλλ' ὅτι αἱ Μοῦσαι πρῶτον εἰς τὴν Ἀττικὴν ἐλθοῦσαι ἁρμονίας [illegible] καὶ τὴν μελῳδίαν. διὰ γὰρ τοῦ φυτεῦσαι τοῦτο παρίστησιν. δεῖ δὲ τοῦ τὰς Μούσας ἐν τῇ Ἀττικῇ ἱδρῦσθαι, [illegible] Πελασ[illegible] φάτω. ὁ δὲ λόγος ἔνθα φησίν, ἐν τῇ Ἀθηναίων λέγεται) αἱ Μοῦσαι ἐφύτευσαν, καὶ κατασκευάσασθαι πάσης σοφίας ἁρμονίαν. λέγει δὲ τὴν παίδευσιν, ὥσπερ τὸ ἁρμόζεσθαι καὶ ἑνοῦσθαι τῇ ψυχῇ ταύτην. ἢ ὅτι συγκεχυμένας ψυχὰς αὕτη ἐπισταλεῖσα εἰς ἁρμονίαν καὶ εὐαρμοστίαν εἰσάγει, συμφέρον παρέχουσα. Τοῦ καλλινάου) [illegible] τοῦ ἐν Ἀττικῇ μνημονεύει. ἔστι γὰρ καὶ ἕτερος ὁμώνυμος ἐν Βοιωτίᾳ. εἰσὶ δὲ καὶ ἕτεροι, καθά φησι Πολέμων ἐν τῷ περὶ ποταμῶν, γράφων οὕτως· ἐν Ἀθήναις τε Κηφισός, καὶ ἐν Σικυῶνι, καὶ ἐν Ἄργει. * [Στράβων δὲ γεωγραφουμένων θ' βιβλίῳ ἑπτὰ Κηφισοὺς ἀριθμεῖ.] 836. Κλῄζουσιν) κατὰ κοινοῦ τὸ κλῄζειν, τουτέστι λέγουσι δὲ τὴν Ἀφροδίτην καὶ [illegible] ποιεῖν, [illegible] δὲ τοῖς

* Vid. quæ Nos ad *Ion.* v. 1261.

ANNOTATIONES.

V. 819. Ἴτω) Deſperantis animi ſermo, ut ſupra v. 798. *Eat, curra*t &c. Male ergo in Libro *Heinſio-Scaligeriano* ἴτων ſcribitur; quaſi λόγοι ad ▮ referatur; Quum poſt ἴτω punctum debeat apponi & ad λόγοι ſubaudiatur εἰσί. *Joſua Barnes.*

ἑαυτῆς

ἑαυτοῖς πλοκάμοις πολύν τινα κόσμον, καὶ οὕτως δὴ ἐρωτικῶς ἑαυτὴν παραδίδωσιν, ἐξαποστέλλειν τοὺς ἐπὶ πάσῃ σοφίᾳ ὁδηγοὺς, ἔρωτας. ἐμφαίνει δὲ διὰ τούτων, ὡς ἐρωτικῶς ἔχοντες πρὸς πᾶσαν σοφίαν οἱ Ἀθηναῖοι, εἰκότως τὸν κατὰ πάντων ἔχουσι τῆς παιδεύσεως στέφανον. ἢ ὡς εἰ ἔλεγεν, τοὺς δὲ ἔρωτας ἔχοντες πρὸς πᾶσαν σοφίαν περιτίθενται τὸν πολυανθῆ τῆς παιδεύσεως στέφανον, μόνον πειθόμενοι πάντας νικᾶν τῇ παιδεύσει. ἀεὶ γὰρ λέγουσι τὴν Ἀφροδίτην στεφανοῦσαν τούτους εὐώδει ῥόδων πλόκῳ πέμπειν αὐτοὺς τῇ σοφίᾳ παρέδρους. Παρέδρους) συνοίκους, παρ᾽ ὅσον οὐκ ἀλλὸς εἴσιν ἔρωτος, οἱ ἀεὶ σοφίαν καὶ πᾶσαν ἀρετὴν διακείμενοι.

10 Πέμπειν ἔρωτας,
11 Παντοίας ἀρετᾶς ξυνεργούς.

Στροφὴ β.

1 Πῶς οὖν ἱερῶν ποταμῶν
2 Ἢ πόλις, ἢ φίλων
3 * Πόμπιμόν σε χώρα
4 Τὰν παιδολέτειραν ἕξει,
5 Τὰν οὐχ ὁσίαν, μετ᾽ ἄλλων
6 Σκέψαι τεκέων πλαγὰν,
7 Σκέψαι φόνον, οἷον αἴρῃ.
8 Μὴ, πρὸς γονάτων σε πάντες
9 Πάντως ἱκετεύομεν,
10 Μὴ τέκνα φονεύσῃς.

* Schol. πόμπιμος.

Ἀντιστροφὴ β.

1 Πῶς δὲ θράσος ἢ φρενὸς, ἢ
2 Χειρὶ τέκνων σέθεν,
3 Καρδίᾳ τε λήψῃ,
4 Δεινὰν προσάγουσα τόλμαν;
5 Πῶς δ᾽ ὄμματα προσβαλοῦσα
6 Τέκνοις, ἄδακρυν μοῖραν
7 Σχήσεις; φόνου οὐ δυνήσῃ,
8 Παίδων ἱκετᾶν πιτνόντων,
9 Τέγξαι χέρα φοίνιον
10 Ἐν τλάμονι θυμῷ.

10 Mittere amores,
11 Variæ virtutis adjutores.

Strophe 2.

1 Quomodo igitur ſacrorũ fluviorũ
2 Aut urbs, aut amicorum
3 Regio te *ad ſe* deductam,
4 Interfectricem *tuorum* liberorum recipiet,
5 Non puram nec *piam mulierem?* cum aliis (*i.e.* nobiſcum)
6 Conſidera liberorum plagam *cædemque*,
7 Conſidera cædem, quam *faciendam* ſuſcipis.
8 Ne, per genua te omnes
9 Supplices vehementèr oramus,
10 Ne *tuos* liberos interficias.

Antiſtrophe 2.

1 Quomodo verò confidentiam aut *in* mente aut
2 Manu, de tuis liberis,
3 Et animo ſumes,
4 Immanem admovens audaciã?
5 Quomodo etiam oculis conjectis
6 In filios, lacrymarum expertem ſortem
7 Continebis? *in cæde* non poteris,
8 Liberis ſupplicibus cadentibus,
9 Madefacere manum cæde cruentam
10 In miſero animo.

Πῶς οὖν ἱερῶν) ἡ μεταξὺ τῶν ἱερῶν κειμένη ποταμῶν. τῷ προτέρῳ δὲ διαζευκτικῷ συνδέσμῳ τὸ ἢ, τὸ ἢ ἄρθρον ἔξωθεν προσδιατέον, τουτέστιν ἢ ἡ πόλις, ἢ ἡ χώρα. ὁ δὲ νοῦς. πῶς ἂν οὖν σε δέξαιτο ἡ πόλις αὕτη, ἡ ἱεροὺς ἔχουσα ποταμοὺς, ἡ καθαρὸς παντὸς μολύσματος, ἢ ἡ τῶν κατ᾽ αὐτὴν ἀνδρῶν προσφιλεστάτη ἡμῖν πόλις, παιδοκτόνον γενομένην καὶ ἀνοσίαν τῷ κατὰ τῶν φιλτάτων φόνῳ. 847. Ἢ φίλων) ἀντὶ τοῦ προσφιλεστάτων καὶ φιλοξενωτάτων. οὐκ ἐπεὶ δὲ τοῦτο, ἀλλ᾽ ἵνα ἐνδείξηται πρὸς ἀποβολὴν καὶ ὑπερβάλλουσαν ἀνοσιότητα τοῦ φόνου, ὡς καίπερ φιλόξενοι πεφυκότες πρὸς σὲ τοιαύτην γενομένην ἀξενώτατοι γενήσονται. Πόμπιμος) ἤγουν τὴν ἐκπεμφθεῖσαν ἐπιδεχομένην. οὐκ αὐτὴ πόμπιμος ἔσται. 851. Πλαγάν) τὴν πληγὴν φησι τῶν τέκνων, καὶ τὸν φόνον, μὴ πρότερον δράσῃς. ἀλλὰ πρότερον μεθ᾽ ἡμῶν ἢ ἄλλων τινῶν σκέψαι εἰ τοῦτο δρᾶσαι σ᾽ ἐχρῆν. 856. Πόθεν θράσος) τίνι λογισμῷ χρησαμένη, τουτέστι τίς σε ὁ τῶν πάντων πείσας τοσοῦτον θράσος, ἐνθεῖναι τῇ σαυτῆς ψυχῇ, ἢ τῇ δεξιᾷ ὁπλιζομένη κατὰ τῶν φιλτάτων παίδων παρασκευάσαι. Καρδίᾳ τε λήψῃ) ἀντὶ τοῦ κατὰ τὴν σαυτῆς καρδίαν καὶ τὸν λογισμὸν προσλήψῃ. Σχήσεις) παύσεις. 864. Τέγξαι χεῖρα φόνῳ) τὸ ἑξῆς φόνῳ χεῖρα φονίαν. εὖ οἶδα φησὶ, ὅτι οὐ καρτερήσεις τῇ ἐργασίᾳ τοῦ φόνου, τέγξαι, μολῦναι τὴν χεῖρα αἵματι τῶν παίδων γονυπετούντων σοι.

ANNOTATIONES.

V. 848. Πόμπιμον) Scholiaſtes legit πόμπιμος; ita *Duportus.* V. 850. Μετ᾽ ἄλλων) *Sam. Petit.* Miſcell. l. 3. c. 20. legit μετάλλων, *Accuratè-perpendens*, ut idem exponit, oblitus, de *Medeâ* ad *Medæam* loqui *Chorum*, & nihil aliud hic per μετ᾽ ἄλλων, quàm μεθ᾽ ἡμῶν, *unà-nobiſcum* intelligi, non autem, ut ille deceptus putat, *alios*; quare μετάλλων in Maſculino genere, cum paulò pòſt προσάγουσα & προσβαλοῦσα occurrat, eſt *monſtrum* hinc procul abigendum. *Scholiaſtes* ergò hic rectè agit. *Joſua Barnes.*

V. 851. Πάντες) Pro πάντως. Vid. *Alceſt.* v. 383.

V. 856. Πῶς δὲ) Scribitur & πόθεν, ut agnoſcit *Scholiaſtes.*

V. 862. Σχήσεις; φόνου &c.) alii legunt σχήσεις φόνῳ;

ARGUMENTUM *Actûs* Quarti.

MEdæa *ex compoſito* Jaſoni *& rationibus ejus ſe jam conciliatam ſimulat, veterique iræ ac pervicaciæ renuntiat. Laudat eam* Jaſon, *quòd ſapere tandem inciperet, hortatúrque eodem deinceps animo eſſe velit: ſuâ ſe operâ & officiis, quantum potuerit, tum apud* Creontem, *tum* Glaucen, *illius causâ uſurum. Quin* Medæa, *quaſi hoc modo faciliùs* Glaucen *exoratura, Pretioſiſſima illi Donaria, quæ tamen lethalibus erant Veneficiis imbuta, per Liberorum manus, quos Pædagogus ducebat, mittit.* Chorus *horum moliminum haud ignarus futuram Cladem miſeratur.* Pædagogus *jam tandem reverſus omnia bona* Medææ *renuntiat; Donaria nempè illius à Reginâ letâ fronte accepta, adeò ut Liberis ejus exilium remiſerit. Quem tamen nuntium, quòd nimis lentè vim ſuam exerere Pharmaca videantur, impatientèr audit. Nihilominùs illorum virium certa ac ſecura ſecum tandem vehementiſſimè luctatur, an odio* Jaſonis *liberos ſuos jam occîdat; & hîc mirum apparet Certamen Maternæ Charitatis cum iræ & vindictæ cupiditate depugnantis.* Chorus *de incerto Liberorum in hâc vitâ ſucceſſu agit, Conjugiique & Cælibatûs commoda inter ſe confert.*

ΙΑΣΩΝ,

ΙΑΣΩΝ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ, ΠΑΙΔΑΓΩΓΟΣ.

Ἴαμβοι.

Ια. Ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς,
Οὐκ ἂν γ' ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι,
Τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι.
Μη. Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
Συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
Εἰκός γ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
Ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
Κἀλοιδόρησα· σχετλία, τί μαίνομαι,
Καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ;
Ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι,
Πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
Γήμας τύραννον, καὶ κασιγνήτους τέκνοις
Ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
Θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
Οὐκ εἰσὶ μέν μοι παῖδες; οἶδα δὲ χθόνα
Φεύγοντας ἡμᾶς, καὶ σπανίζοντας φίλων.
Ταῦτ' ἐννοηθεῖσ', ᾐσθόμην ἀβουλίαν
Πολλὴν ἔχουσα, καὶ μάτην θυμουμένη.
Νῦν οὖν σ' ἐπαινῶ· σωφρονεῖν τ' ἐμοὶ δοκεῖς,
Κῆδος τόδ' ἡμῖν προσλαβών· ἐγὼ δ' ἄφρων,
Ἣ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων,
Καὶ ξυμπεραίνειν καὶ παρεστάναι λέχει,
Νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
" Ἀλλ' ἐσμὲν, οἷόν ἐσμεν, οὐκ ἐρῶ κακὸν,
" Γυναῖκες· οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,
" Οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
Παριέμεσθα, καὶ φαμὲν κακῶς φρονεῖν
Τότ'· ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
Ὦ τέκνα, τέκνα, δεῦτε, λείπετε στέγας,
Ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
Πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
Τῆς πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα·
Σπονδαὶ γὰρ ἡμῖν, καὶ μεθέστηκεν χόλος.
Λάβεσθε χειρὸς δεξιᾶς. οἴμοι κακῶν·
Ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
Ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον,
Φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγὼ,
Ὡς ἀρτίδακρύς εἰμι, καὶ φόβου πλέα·

Ja. Venio vocatus: etenim quâvis mihi ſis infenſa,
Tamen non fruſtraberis hâc re; ſed audiam
Quam rem novam ex me velis, mulier.
Med. Jaſon, rogo te, ut ea mihi, quæ dicta ſunt,
Condones: meas enim iras te ferre
Æquum certè eſt, quia ſunt multa benef. præſtita inter nos mutuò.
Ego enim mecum ipſâ rationem ini,
Et conviciata ſum mihi: miſera, quid inſanio?
Et iraſcor illis, qui rebus meis benè conſulunt?
Inimica verò terræ hujus dominis ſum facta,
Et marito, qui parat mihi utiliſſima,
Ducens puellam regiam, & fratres liberis
Meis gignens? annon tandem miſſam faciam
Iram? quid doleo, cùm dii dent bona?
Nonne ſunt mihi liberi? ſcio autem è terra Theſſalica
Exules nos (ob Peliæ cædem) & egenos ſuper amicorum.
His animo agitatis, agnovi imprudentiam
Magnam me habere, & fruſtrà iratam eſſe.
Nunc igitur laudo te, ſapereque mihi videris,
Qui aſſumpſeris nobis hanc affinitatem: ego verò ſtulta,
Quam oportebat participem horum conſiliorum,
Et ſimul perficere, & aſtare lecto.
Et gaudere, quòd ſponſa te curet.
" Sed ſumus id, quod ſumus, non dicam malum,
" Mulieres: non igitur oportet te imitari malos mores noſtros,
" Neque reddere ſtulta pro ſtultis.
Concedimus & dicimus nos malè ſenſiſſe
Tunc; ſed nunc melius hæc conſideravi.
O liberi, liberi, venite huc, relinquite tecta.
Exite, ſalutate, & compellate
Patrem nobiſcum, & reconciliamini ſimul
Ex priori odio ſuſcepto adverſus amicos, cum matre:
Fœdus enim eſt nobis, & omnis receſſit ira.
Prehendite manum dextram. Hei mihi propter mala,
Dum cogito de quodam facinore, quod eſt occultum.
An igitur, ô filii, ſic & longum viventes tempus,
Charam præbebitis manum? Miſera ego,
Ut recèns ad lacrymas profundendas, proclivis facta ſũ, & metus pl.

Ἥκω κελευσθεὶς) ἥκω φησὶν ὑπὸ σοῦ κελευσθείς. καὶ γὰρ οἶδα δυσμενῆ σε, ὅμως τούτου οὐκ ἂν ἁμάρτοις τοῦ ἐμὲ ἐλθεῖν. ἰδὲ φησὶ καίπερ δυσμενῶς ἔχουσα πρὸς ἐμὲ τυγχάνεις τῆς ἐμῆς παρουσίας, καὶ κελεύσασα οὐκ ἠπείθησα. Τὰς δ' ἐμὰς ὀργὰς φέρειν) αἰτοῦμαι φησὶ ὡς πειρῶμαι πρὸς σὲ μετ' ὀργῆς ὕβρεις, ῥᾳδίως φέρειν, μὴ μνησικακεῖν ὑπομιμνησκόμενον τῆς πρότερον ἡμῶν φιλίας, καὶ ὧν ἐπράξαμεν πρὸς ἀλλήλους συνεργησάντων. Οὐκ εἰσὶ μέν μοι) ταῦτα φησὶ πρὸς ἐμαυτὴν διείλεγμαι, ὦ Ἰάσον, ὅτι παῖδας ἔχω τοὺς ἐκ σοῦ, καὶ οὐ δεῖ με λυπεῖσθαι τῷ νυνὶ γάμῳ. οἶδα δ' ὅτι καὶ φυγάδες ἐσμὲν ἐκβεβλημένοι τῆς Θεσσαλίας. καὶ διὰ τοῦτό μοι δίκαιον τὴν ἐνταῦθα διατριβὴν ἀσπάζεσθαι, ἔρημον οὖσαν φίλων, ἐγὼ ἐμαυτῇ διὰ λόγων ἐπιτίμησα. ὑποκρίνεται δὲ νῦν, καὶ μετ' εἰρωνείας ταῦτα λέγει. 892. Παριέμεσθα) παυόμεθα, παραιτούμεθα. οἷον παραιτοῦμαι, συγχωρῶ. Οἴμοι κακῶν) τοῦτο ἠρέμα καὶ καθ' ἑαυτὴν, ὡς ἐννοοῦσα τὴν ἀπήνειαν τοῦ φόνου. φεῦ μοι φησὶ τῶν κακῶν, ὡς ἀλγῶ τὴν ψυχὴν, ἐννοοῦσα τὸ κεκρυμμένον ἐν τῇ ἐμῇ ψυχῇ κακὸν, ὅπερ γε περιαλγεῖ τὴν ἐμὴν ψυχὴν τῷ πάθει. ἀλλὰ διὰ τὸ προτεθυμεῖσθαι ἀμύνασθαι τὸν Ἰάσονα. δύναται δὲ καὶ εἰς ἐπήκοον τοῦ Ἰάσονος λεγόμενον πρὸς τοῦτον, ὅτι ἀγωνιῶ καὶ πάνυ τεταραγμαι. ἐκεῖνο ἐνθυμουμένη τῶν κεκρυμμένων καὶ ἀδήλων ἀνθρώποις πραγμάτων, εἰ ζήσονται οὕτω σὺν ἡμῖν πολὺν χρόνον, ὡς ὅτι περ μὲν αὐτὴν νοεῖν, ὅπερ ἤμελλε δρᾶν, ἑτέρως δὲ ἐκδέχεσθαι τὸν Ἰάσονα, ὅτι ἄρα ἄδηλα τὰ κατ' ἀνθρώπους κεκρυμμένα. Ὡς ἐννοοῦμαι) οὐκ ἀναγκαῖον ἦν ταῦτα λέγειν, φαντασίαν γὰρ παρέχει τῷ Ἰάσονι ὡς κακοτυχοῦσα. ἀλλ' ἕνεκα τῶν κακῶν ἀνθρώπων τὰ τοιαῦτα παρεσχηκοῖ λέγειν. Ἆρ' ὦ τέκν' οὕτω καὶ πολὺν ζῶντες χρόνον) καὶ τοῦτο κατὰ διάνοιαν εἴρηκεν, ἣν ὁ Ἰάσων ὑπολαμβάνει οὐχ ὑγιῶς. καὶ ἣν αὐτὴ κρύπτει ἀληθεύουσα. 903. Ὡς ἀρτιδακρὺς) ἀντὶ τοῦ προσφάτως δακρύουσα, χρὴ δὲ νοεῖν, ὅτι ἐδάκρυσεν μὲν ἀλγοῦσα τὴν ψυχὴν, ὅτι πρὸς τοῦτο τῆς τύχης κατέστησεν, καὶ νῦν ἀναγκάζεται δρᾶν· ὁ δὲ Ἰάσων ᾤετο αὐτὴν δακρύειν, οἰκτείρουσαν τὰ παιδία ἐπὶ τῷ τοῦ πατρὸς ἰσχυρῷ.

ANNOTATIONES.

V. 877. Τέκνοις) Vid. *Phœniſſ.* v. 19.
V. 885. Ἄφρων) Iambus & hic. Vid. ſuprà ad *Phœniſſ.* v. 19.
V. 892. Παριέμεσθα) *Johannes Miltonus* ita rectè legit & *Æmyl.* *Portus* agnoſcit hoc verbum in Cod. *Baſilienſ.* & multis præfert τῷ φείμεσθα, rectè quidem; at non vidit παριέμεσθα etiam eſſe in toties laudatâ *Aldi* Editione. Quin *Scholiaſt.* agnoſcit. *J. Barnes.*

Χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη,
Ὄψιν τέρειναν τήνδ' ἔπλησα δακρύων.
Χο. Κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ.
Καὶ μὴ προβαίη μεῖζον, ἢ τὸ νῦν, κακόν.
Ια. Αἰνῶ, γύναι, τάδ'· οὐδ' ἐκεῖνα μέμφομαι·
Εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος,
Γάμους παρεμπολῶντί γ' ἀλλοίους πόσει.
Ἀλλ' εἰς τὸ λῷον σὸν μεθέστηκεν κέαρ.
Ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ,
« Βουλήν. γυναικὸς ἔργα ταῦτα σώφρονος.
Ὑμῖν δὲ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
Πολλὴν ἔθηκε σὺν θεοῖς σωτηρίαν.
Οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
Τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
Ἀλλ' αὐξάνεσθε· τἆλλα δ' ἐξεργάζεται
Πατήρ τε, καὶ θεῶν ὅστις ἐστὶν εὐμενής.
Ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
Μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
Αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
Στρέψασα λευκὴν ἔμπαλιν παρηΐδα,
Κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
Μη. Οὐδέν, τέκνων τῶνδ' ἐννοουμένη πέρι.
Ια. Θάρσει νυν· εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι.
Μη. Δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις.
« Γυνὴ δὲ, θῆλυ, κἀπὶ δακρύοις ἔφυ.
Ια. Τί δῆτα λίαν τοῖσδ' ἐπιστένεις τέκνοις;
Μη. Ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
Εἰσῆλθέ μ' οἶκτος, εἰ γενήσεται τάδε.
Ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
Τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι·
Ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,
Κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
Μήτ' ἐμποδὼν σοὶ, μήτε κοιράνοις χθονὸς
Ναίειν. δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις.
Ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ·
Παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερὶ,
Αἰτοῦ Κρέοντα, τήνδε μὴ φεύγειν χθόνα.

Serò enim Contentionem, quam cum Patre habui, abjiciens,
Implevi teneram hanc faciem lacrymis.
Cho. Et mihi ex oculis recentes eruperunt lacrymæ.
Atque utinam non evadat majus malum, quàm nunc est!
Ja. Probo hæc, mulier; neque illa improbo:
Verisimile enim est, *nec mirum*, irasci fœmineum genus
Marito nuptias alienas mercanti *sibique comparanti*.
At in melius tuum mutatum est cor.
Agnovisti verò *meliorem atque* victricem, sed serò,
« Sententiam, hæc *sunt* facta mulieris sapientis.
Vobis verò, liberi, non inconsultè pater
Comparavit multam salutem cum diis, *i.e. deorum favore*.
Existimo enim vos hujus terræ Corinthiacæ
Principes fore cum fratribus cæteris ex *Glaucâ suscipiendis*.
Sed crescite: reliqua enim perficiet
Pater, & quisquis deorum favet *vobis*.
Utinam verò vos videam benè educatos ad finem pubertatis
Pervenire, superiores meis inimicis.
Heus tu, quid rigas pupillas teneris lacrymis,
Avertens verò candidas genas,
Neque libenti animo à me accipis hunc sermonem?
Med. Nihil est causæ; de liberis hisce cogito.
Ja. Confide vero: ego enim bene curabo hæc.
Med. Faciam hæc; non diffidam tuis verbis, *vel*, *parebo tuis verb.*
« Mulier v. est sexus naturâ mollis, & ad lacrymas proclivis.
Ja. Quid autem tantoperè ingemiscis propter liberos hosce?
Med. Peperi eos: quando autem *te modò* optabas vivere lib. *meos*,
Miseratio me subiit, an hoc futurum sit.
Cæterum quorum causâ mecum in colloquium venisti,
partim quidem dicta sunt, partim verò dicentur.
Quandoquidem principibus *hujus* agri me ablegare placet,
Et mihi hæc sunt optima, cognosco bene,
Ut neque tibi, neque dominis *hujus agri* impedimento sim
Habitans *hic*; videor enim inimica esse *huic* familiæ:
Nos quidem ex hoc agro abibimus in exilium.
Ut autem liberi possint educari tuâ manu,
Roga Creontem; ne fugiant hanc terram.

Χρόνῳ δὲ νεῖκος) διὰ πολλοῦ φησὶ χρόνου τῆς πρὸς τὸν πατέρα ὑπὲρ σοῦ φιλονεικίας ἀποστᾶσα, καὶ νῦν διαλλαττομένη, πλήρης γέγονα δακρύων. Ἀλλὰ τῷ χρόνῳ βουλήν) ἀλλὰ νῦν ὥσπερ ἐκ μετανοίας τὸ κάλλιστον σαυτῇ βουλεύῃ, τὸ δὲ ἑξῆς. ἔγνως δὲ τῷ χρόνῳ τὴν νικῶσαν βουλήν. ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ καὶ, τουτέστι καὶ τὴν νικῶσαν βουλὴν ἔγνως τῷ χρόνῳ. λέγει δὲ πεπαῦσθαι αὐτὴν τῆς πρὸς αὐτὸν ὀργῆς. Παρεμπολῶντι) πεθανῶς κέχρηται τῇ τοιαύτῃ λέξει, ἐμφαίνων αὐτὸν κέρδους ἕνεκα καὶ τοῦ τοὺς ἐκ Μηδείας παῖδας ὠφελῆσαι, τοῦτον ὡς πραγματευσάμενον ἑαυτῷ τὸν γάμον. τὸ γὰρ παρεμπολᾶν ἀντὶ τοῦ κερδαίνειν τίθεται, ἤγουν ἄλλοις γάμοις χρωμένῳ παρὰ τοὺς ὑπάρχοντας. ἢ τὸ πόσει ἀντὶ τοῦ πόσις, δοτικὴ ἀντὶ γενικῆς. παρεμπολοῦντος δὲ, ἀντὶ τοῦ ὠνουμένου. πέφυκε γὰρ φησὶν τὸ θῆλυ γένος δυσμενῶς ἔχειν τῷ ἀνδρὶ, ὅπερ ὥσπερ εἰπεῖν ἐμπορευομένῳ καὶ πραγματευομένῳ γάμον ἑαυτῷ, ἤγουν ἄλλοις χρωμένῳ γάμοις παρὰ τοὺς ὑπάρχοντας. ἰδίως οὖν εἶπε πόσει ἀντὶ τοῦ πόσιος. οἱ δὲ ὑποκεῖται ἀγνοήσαντες γράφουσιν, ἀντὶ τοῦ πόσει ἐμοὶ, ὅπερ οὐ δεῖ. Τὰ πρῶτ' ἔσεσθαι) τὰ πρωτεῖα ἀπενέγκασθαι καὶ βασιλεύειν Κορίνθου ἅμα τοῖς ἐκ Γλαύκης τεχθησομένοις ὑμῖν ἀδελφοῖς. τὸ δὲ ἔτι κατ' ἐπίτασιν, ἤγουν ἔτι μᾶλλον ὑμᾶς διαπρέψειν, συναπτομένους βασιλικῷ γένει. ἢ ὅσης ὑμῖν ἀξίας μετὰ τῶν ἐξ ἐμοῦ μόνη. 922. Αὕτη τί χλωροῖς) πάλιν εἰς τὴν αὐτὴν ἔννοιαν. ἔδει δὲ αὐτὴν μηδὲ κλαίουσαν εἰσάγεσθαι, οἰκεῖον τῷ προσώπῳ τούτῳ, ἀλλ' ἐκφέρεσθαι τῇ ὀχλικῇ φαντασίᾳ. ποιήσας κλαίουσαν καὶ συμπάσχουσαν. ἀπηθάνοις γὰρ τὴν τοιαύτην διαχειριζομένην τὰ τέκνα, εἰκάζει. ἄμεινον δὲ Ὅμηρος, * ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν. Οὐδὲν τέκνων τῶνδ') οὐδέν φησι δακρύω ἕτερον, ἐννοουμένη δὲ πῶς ἕξουσι τύχης οἱ παῖδες ἀναχωρησάσης ἐμοῦ. Γυνὴ δὲ θῆλυ κἀπὶ) ἀσθενὲς φησὶ τὸ γυναικεῖον πέφυκε γένος πρὸς τὰς καταλαμβανούσας συμφορὰς, ὡς ἕτοιμον εἰς δάκρυα, ἔτικτον αὐτούς. συγγνῶθι μοι φησὶ δακρυούσῃ. Ἔτικτον αὐτοὺς) νῦν δὲ, ὅτι εὔξω τοὺς παῖδας τὸ ἀσφαλὲς ἔχειν τοῦ ζῆν εἰς τοῦτο παρελθόντας ἡλικίας, καὶ τῆς ἐν βρέφεσιν ἐπισφαλοῦς ἀνατροφῆς ἀπαλλαγέντας, καὶ λοιπὸν ἐσομένους μὴ παῖδας οὐκ ἔχοντας ἔχειν. τότε δὲ ἕτερον ἀγωνιῶ, εἰ τὸ ἀσφαλὲς αὐτοῖς τῆς σωτηρίας ὑπάρξει, ὑπὸ μητρυιᾶς γενομένοις. τοῦτο γὰρ ἐμφαίνει. Εἰσῆλθέ μ' οἶκτος) ἐν γὰρ τῇ βραχείᾳ ἡλικίᾳ, ἐν πλείονι ἀδηλίᾳ ζωῆς εἰσὶν οἱ ἄνθρωποι. 935. Κἀμοὶ τάδ' ἐστὶ λῷστα) ἀντὶ τοῦ καλῶς ἔχειν κεῖνο. μετὰ γνώμης ὑμῶν ζῆν τε καὶ τοῦ Κρέοντος, καὶ τῆς τούτου θυγατρὸς οἰκεῖν τὴν Κόρινθον. ἢ οὕτως, κἀμοὶ αὐτῇ συναινέσει.

* Odyss. τ'. v. 211.

ANNOTATIONES.

V. 923. Στρέψασα &c.) Eadem ferè verba mox habes v. 1006 & 1007.

V. 925. & 929, 930. Τὸ τί in τέκνων, τέκνοις, τέκνα Commune est. Vid. suprà ad *Phœniss.* v. 19.

V. 927. Ἀπιστήσω) Genuinum hoc verbum est & *Homericum* *Odyss* Ν'. v. 339. Αὐτὰρ ἐγὼ τὸ μὲν οὔποτ' ἀπίστεον &c. quare nugatur *Æmilius Portus* de eo emendando, & notas suas in *Xenophontem* laudando. *Josua Barnes.*

V. 930. Ἐξηύχουν) ita legimus pro ἐξηύχου, non enim *Medea* hic optarat filios vivere; sed *Jason* v. 920. Ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος μολόντας. Ad quod verbum illa, eorum, quæ factura erat, conscia vultum reflexit & præ miseratione lacrymabat. Codex verò *Heinsio-Scaligerianus* hoc notatum habet. *Josua Barnes.*

Ια. Οὐκ οἶδ' ἂν εἰ πείσαιμι· πειρᾶσθαι δὲ χρή.
Μη. Σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
Γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθόνα.
Ια. Μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ;
" Εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.
Μη. Συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
Πέμψω γὰρ αὐτῇ δῶρ', ἃ καλλιστεύεται
Τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολύ,
Λεπτόν τε πέπλον, καὶ στέφος χρυσήλατον,
Παῖδας φέροντας· ἀλλ' ὅσον τάχος χρεὼν
Κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
Εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία,
Ἀνδρός γ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου,
Κεκτημένη τε κόσμον, ὅν ποθ' Ἥλιος
Πατὴρ πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς.
Λάζυσθε φερνὰς τάσδε, παῖδες, εἰς χέρας,
Καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
Φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.
Ια. Τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
Δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων;
Δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου τάδε.
Εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
Γυνή, προθήσει χρημάτων σάφ' οἶδ' ἐγώ.
Μη. Μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος.
" Χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
" Κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,
Νέα τυραννεῖ. τῶν δ' ἐμῶν παίδων φυγὰς
Ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
Ἀλλ', ὦ τέκν', εἰσελθόντε * πλησίους δόμους, * al. πλουσίους.
Πατρὸς νέαν γυναῖκα, δεσπότιν τ' ἐμήν,
Ἱκετεύετ', ἐξαιτεῖσθε, μὴ φυγεῖν χθόνα,
Κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
Εἰς χεῖρ' ἐκείνην δῶρα δέξασθαι τάδε.
Ἴθ' ὡς τάχιστα· μητρὶ δ', ὧν ἐρᾷ τυχεῖν,
Εὐάγγελοι γένοισθε, πράξαντες καλῶς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. 1 Νῦν ἐλπίδες οὐκ ἔτι μοι παίδων ζωᾶς·
2 Οὐκέτι· στείχουσι γὰρ εἰς φόνον ἤδη.
3 Δέξεται νύμφα χρυσέων ἀναδεσμῶν

Ja. Haud ſcio an *ei rem* perſuaſurus ſim: ſed *tamen* oportet tentare.
Med. Tu verò ſaltem jube petere à patre tuam
Uxorem; nè *mei* liberi fugiant hanc terram.
Ja. Maxime, & exiſtimo ego me *rem* perſuaſurum eſſe ipſi;
"Si modò mulierum eſt aliarum una.
Med. Ego quoque te adjuvabo in hoc labore:
Nam mittam ei dona, quæ pulchritudine ſuperant *res*
Nunc inter homines *exquiſitas, hoc probè* novi ego, multò;
Tenuem veſtem, & coronam auream:
Ea ferunt mei filii. Sed quàm celerrime oportet
Aliquem ex famulis huc afferre ornatum.
Erit autē beata *ſponſa tua* non in unâ, ſed in ſexcentis *rebus*;
Virum optimum te nacta conjugem,
Et poſſidens ornatum, quem olim Sol
Pater patris *mei* dat ſuis poſteris.
Sumite hæc dona nuptialia, Pueri, in manus;
Et beatæ dominæ ſponſæ date
Ferentes: non accipiet contemnenda munera.
Ja. Cur verò, ô demens, his evacuas tuas manus?
Putáſne domum regiam carere ſtolis?
Putáſne auro? ſerva, nè des hæc.
Si enim nos alicujus precii æſtimat
Mulier, anteponet opibus, certò ſcio ego.
Med. Ne tu mihi *hæc dicas*: muneribus n. vel Deos flecti fama *eſt*;
"Aurū v. potentius eſt inter homines, quàm infinitæ orationes.
"Illi favet fortuna, illam nunc auget Deus.
Nova *ſponſa* dominatur. Meorum verò liberorum exilium
Etiam vitâ permutaremus, non ſolùm auro.
Verum, ô filii, ingreſſi vicinas ædes,
Patris novam uxorem, dominámque meam,
Supplices orate, exorate, nè fugiatis *hanc* terram,
Dantes *iſtum* ornatum: hoc enim re potiſſimum opus eſt;
Ut ipſa accipiat in manus hæc dona.
Ite quàm celerrimè, & matri de illis, quæ cupit conſequi,
Afferte bonum nuncium, re proſpere geſtâ.

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 Nunc ſpes nulla ampliùs *eſt* mihi liberorum vitæ;
2 Nulla *ſupereſt* amplius: eunt enim ad cædem jam.
3 Accipiet ſponſa aureorum redimiculorum

Σὺ δ' ἀλλὰ σὴν) τὸ ἑξῆς. ἀλλὰ τὴν γυναῖκα κέλευσον αἰτήσασθαι τοῦτο παρὰ τοῦ πατρός, τὸ τοὺς παῖδας μὴ ἀπελαθῆναι τῆς Κορίνθου. Εἴπερ γυναικῶν) ἀντὶ τοῦ φιλάνδρων. καὶ εἴπερ φίλανδρός ἐστι, πείθεσθαί μοι ὑπολήψεται. Ἃ καλλιστεύεται) ἅπερ χρήματα καὶ κάλλιστα νομίζεται τῶν νῦν δώρων παρὰ τοῖς ἀνθρώποις. τὸ δὲ πολὺ πρὸς τὸ καλλιστεύεται. ἢ πολὺ ἀντὶ τοῦ πάνυ. Παῖδας φέροντας) ἀλλ' ὅσον τάχος φησὶ δέον τῶν θεραπόντων τινὰ ἅμα τοῖς παιδίοις ἀποκομίζειν τὰ δῶρα τῇ Γλαύκῃ. Πατὴρ πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς) ἤτοι ἀντὶ τοῦ χαρίζεται, ἢ τοῖς ἑαυτοῦ ἰδίοις ἐκγόνοις, τουτέστι παισίν, ἵνα τοῦτο λείπῃ. Φερνὰς) φερνὴ ἡ προίξ. λάβετε φησὶ τὴν ἐμὴν φερνήν, ἣν εἰσηνεγκάμην τῷ πατρὶ ὑμῶν, καὶ ἀποκομίζετε τῇ νύμφῃ. Οὔτοι δῶρα) τοῦτο διπλῆν ἔχει τὴν ἔννοιαν, μίαν μέν, ἣν ὁ Ἰάσων ἐκδέχεται, ὅτι οὐκ ἀποβάλλεται αὐτῇ τὰ δῶρα, ἀλλὰ θαυμασεῖ. ἑτέραν δέ, ἣν αὐτὴ κρύπτει, ἀντὶ τοῦ οὐ γελάσει τὰ δῶρα ὡς ἀδρανῆ, ἀνυσίμως γὰρ αὐτὰ. Εἴπερ γὰρ ἡμᾶς) εἴπερ φησὶ τῶν ὄντων πάσαν γυνὴ ἡμᾶς τοὺς ἄνδρας ἀξιοῖ λόγου πρὸς κεῖνον, προτιμήσει καὶ χρημάτων τὸ πείθεσθαι τῷ ἀνδρί. ἢ ἰδίᾳ τοῦτον καὶ ἐπὶ τῆς Γλαύκης, οἶδα με τῷ ὄντι στέρξει ἡ γυνή, καὶ ἀντὶ τοῦ λαβεῖν τὰ δῶρα πεισθήσεται. Κείνης ὁ δαίμων) ἀντὶ τοῦ ἡ εὐδαιμονία, τουτέστιν ἐκείνη κρείττων εὐδαιμονεῖν. Νέα τυραννεῖ) ἀντὶ τοῦ ἡ Γλαύκη φησὶ νέα οὖσα τὴν ἡλικίαν ἄρχει καὶ κρατεῖ. ὀνειδιστικῶς δὲ τοῦτο. ὡς τοῦ Ἰάσονος διὰ τὸ νέον τῆς ἡλικίας προτετιμηκότος τὴν Γλαύκην. Ψυχῆς ἂν ἀλλάξαιμ') ἀντὶ τοῦ ἑλοίμην ἂν καὶ ἀποθανεῖν, ὑπὲρ τοῦ μὴ τοὺς παῖδας ἀπελθεῖν μὲν. καὶ τοῦτο κατ' εἰρωνείαν. 972. Κόσμον διδόντες) καὶ τοῦτο προθύμως, τὸ παρεγγυᾶσθαι τοῖς παισὶν ἐντελλομένην ἐκείνην αὐτῇ διδόναι ὑπόληψιν ἔχουσα φαρμακίδος.

ANNOTATIONES.

V. 941. Οὐκ οἶδ' ἂν εἰ πείσαιμι) Cùm olim erat, Οὐκ οἶδ' ἂν &c. *Canterus* carmen luxatum vidit, &, ut reſarciret, ita legit, Οὐκ οἶδά γ' εἰ ἄν. Nequaquam ineptè. Sed Prima omnium Editio *Aldina* rectè habet, ut nos legimus: Quod miror Doctum hominem & cæteroqui diligentem fugiſſe. Hunc verò *Dupertus* & *Scaliger* ſequuntur. *Joſua Barnes.*

V. 954. Ἥλιος πατὴρ πατρὸς) *Sol ex Perſeide Oceaninâ* genuit *Circen* & *Æëten Colchorum* Regem, qui ex *Eidyiâ* genuit *Medeam*. Vid. *Heſiod*. Theogon. v. 956. &c. *Idem*

V. 960. Πέπλων) prior communis. Vid. ſupra ad v. 925.

V. 964. Πείθειν δῶρα καὶ θεοὺς λόγος) Alludunt [illegible] Vetus illud dictum apud *Platonem* de Repub. l. 3. Δῶρα θεοὺς πείθει, καὶ αἰδοίους βασιλῆας. Item, Ἀργυρέαις λόγχαισι μάχου καὶ πάντα κρατήσεις. Unde & *Ovidius* l. 3. Art. Amandi,

Munera, crede mihi, placant Hominesque Deosque;
Placatur Donis Jupiter ipſe datis.
Quid faciet Sapiens? Stultus quoque munere gaudet;
Ipſe quoque accepto munere Mitis erit.

Vid. *Petri Victorii* Var. Lect. l. 12. c. 5. Et *Horat.* Carm. l. 3. Od. 16.

Incluſam Danaen turris ahenea
Robuſtaque fores & vigilum Canum
Triſtes Excubiæ munierat ſatis
Nocturnis ab adulteris: &c.

V. 973. Εἰς χεῖρ' ἐκείνην) Hic omninò *Æmylio Porto* aſſentior, qui pro ἐκείνης legit ἐκείνην. Quod cuivis locum conferenti apparebit.

4 Δέξεται δύστανος ἄταν.
5 Ξανθᾷ δ᾽ ἀμφὶ κόμᾳ
6 Θήσει τὸν ἅιδα κόσμον,
7 Ταῦτα ταῖν χεροῖν λαβοῦσα.

'Αντιστροφὴ α´.

1 Πείσει χάρις, ἀμβρόσιός τ᾽ αὐγὰ πέπλων,
2 Χρυσότευκτον στέφανον περιθέσθαι.
3 Νερτέροις δ᾽ ἤδη πάρα νυμφοκομήσει·
4 Τοῖον εἰς ἕρκος πεσεῖται,
5 Καὶ μοῖραν θανάτου
6 Προσλήψεται δύστανος·
7 Ἄταν δ᾽ οὐχ ὑπεκφεύξεται.

Στροφὴ β´.

1 Σὺ δ᾽, ὦ τάλαν, ὦ κακόνυμφε,
2 Κηδεμὼν τυράννων,
3 Παισὶν οὐ κατειδὼς
4 Ὀλέθριον βιοτὰν προσάγεις,
5 Ἀλόχῳ τε σᾷ στυγερὸν θάνατον.
6 Δύστανε, μοίρας ὅσον παροίχῃ.

'Αντιστροφὴ β´.

1 Μεταστένομαι δὲ σὸν ἄλγος,
2 Ὦ τάλαινα παίδων
3 Μᾶτερ· ἃ φονεύσεις
4 Τὰ τέκνα, νυμφιδίων ἕνεκεν
5 Λεχέων, ἅ σοι προλιπὼν ἀνόμως
6 Ἄλλῃ ξυνοικεῖ πόσις συνεύνῳ.

Ἴαμβοι.

Παι. Δέσποιν᾽, ἀφεῖνται παῖδες οἵδε σοι φυγῆς·
Καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
Ἐδέξατ᾽· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
Μη. Ἔα. Π. Τί συγχυθεῖσ᾽ ἕστηκας, ἡνίκ᾽ εὐτυχεῖς;
Τί σὴν ἔστρεψας ἔμπαλιν παρηΐδα,
Κοὐκ ἀσμένη τόνδ᾽ ἐξ ἐμοῦ δέχῃ λόγον;
Μη. Αἶ, αἶ. Π. Τάδ᾽ οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
Μη. Αἶ αἶ μάλ᾽ αὖθις. Π. μῶν τιν᾽ ἀγγέλλων τύχην
Οὐκ οἶδα, δόξης δ᾽ ἐσφάλην εὐαγγέλου;
Μη. Ἤγγειλας, οἷ᾽ ἤγγειλας· οὐ σὲ μέμφομαι.
Παι. Τί δὴ κατηφεῖς ὄμμα, καὶ δακρυρροεῖς;
Μη. Πολλή μ᾽ ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοί,
Κἀγὼ κακῶς φρονοῦσ᾽ ἐμηχανησάμην.
Παι. Θάρσει· κρατεῖς τοι καὶ σὺ πρὸς τέκνων ἔτι.

4 Accipiet infelix noxam.
5 Flavam verò circa comam
6 Ponet Plutonis, *i.e. letalem*, ornatum,
7 Hæc *Medeæ munera* manibus accipiens.

Antistrophe 1.

1 Alliciet *eam* gratia divinúsque fulgor pepli,
2 Auream coronam ut *capiti* circumponat.
3 Apud inferos autem mox sponsa ornabitur:
4 Tale in septum cadet,
5 Et sortem mortis *talem*
6 Accipiet infelix:
7 Aten verò non subterfugiet.

Strophe 2.

1 Tu verò, ô miser, ô infelix sponse,
2 Gener regum,
3 Non animadvertens, liberis
4 Adducis perniciosam vitam, *i.e. exitium paras,*
5 Et uxori tuæ tristem mortem.
6 O infelix, quantam calamitatum ignoras!

Antistrophe 2.

1 Gemo tuum dolorem,
2 O misera liberorum
3 Mater, quæ interficies
4 Liberos, propter nuptiales
5 Lectos, quibus in tuam contumeliam relictis injuste
6 Maritus habitat cum aliâ uxore.

Pædagogus.

Liberi tui, ô domina, liberati sunt ab exilio,
Et regia sponsa libens dona manibus
Accepit: indè verò pax est tuis liberis.
Med. Sine. *P.* Cur stas perturbata, quùm feliciter rem geris?
Cur retrò vertisti tuas genas,
Et non libenter à me accipis hunc sermonem?
M. Heu, heu! *P.* Hæc nō cōsentiunt cum illis, quæ nunciavi tibi.
Med. Heu, heu valdè rursus. *P.* An, aliquem casum nuncians
Insciens, & spe læti nuncii frustratus sum?
Med. Nunciâsti, quæ nunciâsti; non tibi vitio verto.
Pæd. Cur igitur oculos demittis, & lacrymas?
Med. Multa me necessitas, ô senex, *hæc facere cogit.* Talia enim dii,
Et ego malè cogitans machinata sum.
P. Confide tu: obtines, *i.e.* adhuc, *&* *in tua potestate habes* liberos.

Θήσει τὸν ἅιδα) θάνατον φησὶ μᾶλλον περιθήσεται ὁ κόσμος. Αὐγὰ πέπλων) τὸ ἑξῆς αὐγὰ καὶ χάρις ἀμβρόσιος πέπλων, πείσει περιθέσθαι χρυσότευκτον στέφανον. Νερτέροις) ἀντὶ τοῦ παρὰ τοῖς νερτέροις καὶ τοῖς κατοιχομένοις αὐτὴν κοσμήσει ταῦτα τὰ δῶρα. Νυμφοκομήσει δὲ δεῖ. τὸ τὴν νύμφην κοσμῆσαι. νυμφοκοσμήσει δὲ ἀντὶ τοῦ νυμφευθήσεται. Σὺ δ᾽ ὦ τάλαν) τοῦτο πρὸς Ἰάσονα ἀποτείνει. Κηδεμὼν δὲ, παρὰ τὸ κῆδος. ἀντὶ τοῦ γαμβρέ. σὺ δὲ φησὶν, ὦ ἐπ᾽ ὀλέθρῳ γενόμενε νυμφίε τῆς Γλαύκης, καὶ ἐπιγαμβρείαν ἐκ συντυχίας ταύτην πρὸς τοὺς βασιλεῖς ἰσχηκὼς, ὄλεθρον τοῖς αὐτοῦ παισὶ καὶ τῇ νύμφῃ κατασκευάζεις, οὐ συνεὶς τὸ ἐπ᾽ ὀλέθρῳ μηχάνημα. Βιοτὰν δὲ παισὶν, ἀντὶ τοῦ τῇ βιοτῇ τῶν παίδων. Δύστανε μοίρας) τουτέστι τοῦ πρέποντος. καὶ τοῦτο πρὸς Ἰάσονα ἀποτείνει. τὸ δὲ πρὸς τὴν Μήδειαν, ἵνα φονεύσῃς τέκνα σοῦ. Τὸ δὲ παροίχῃ) παρελθεῖν πεποίηκας, ὦ Ἰᾶσον, πολὺ μέρος τῆς θανατηφόρου μοίρας, ὡς ἐγγὺς εἶναι τὸν θάνατον αὐτῆς. ἀφ᾽ οὗ τὸν καιρὸν τοῦ θανάτου τῇ Γλαύκῃ συνήγαγες, καὶ πλησίον εἶναι πεποίηκας, συγχωρήσας ὑπ᾽ ἀνοίας ἀποκομισθῆναι τὰ δῶρα. Μοίρας δὲ τῆς θανατηφόρου φησίν. τὸ δὲ ὅσον, ἀντὶ τοῦ πολύ. 996. Μεταστένομαι) ἡ μετὰ ἀντὶ τοῦ ἐπί. τουτέστι, στένω δὲ καὶ ἐπὶ σοὶ ἄλγος ἔχω. μεταστένομαι δὲ καὶ ἐπὶ σὸν ἄλγος, καὶ στένω τὴν σὴν τύχην, ἐφ᾽ ᾗ τὴν ψυχὴν ἀλγεῖς. λέγει δὲ τὸ [illegible] τοῦ Ἰάσονος. 1009. Μῶν τιν᾽ ἀγγέλλων τύχην) ἡ μὲν Μήδεια ἐννοοῦσα τὸ ὅσον οὐδέπω μέλλοντα δι᾽ αὐτὴν ἔσεσθαι φόνον, αἰτίως κατεστέναξε μόνη. ὁ δὲ παιδαγωγὸς ἐνόμιζεν αὐτὴν ἐφ᾽ οἷς ἐπήγγειλε λυπεῖσθαι. ἆρ᾽ οὖν φησὶ, μὴ οὐ χρηστά σοι ἀπήγγειλα, καὶ ἐσφάλην, νομίσας εὐαγγελίσασθαι πρὸς σὲ ταῦτα; Πολλή μ᾽ ἀνάγκη) ὡς μὲν πρὸς τὸν πρεσβύτην, ὅτι καταλείψει αὐτά. ὡς δὲ πρὸς ἀλήθειαν ὅτι φονεύσει αὐτά. τὸ δὲ τὸ ὀδύρεσθαι, ἀνάγκη φησὶ τοῖς παροῦσι κακοῖς κλαίειν. ὁπότε γὰρ ἡ ἐμὴ ἄνοια, καὶ τῶν θεῶν χόλος τὰ κατ᾽ ἐμὲ κακῶς διάκειται. ταῦτα δὲ λέγει, προσποιείας ἑαυτῆς κατηγοροῦσα, ἐπὶ τῷ τὰ δῶρα ἀποστεῖλαι. ἀνάγκη γὰρ εἰ ἔμελλεν ἡ Γλαύκη ἀπόλλυσθαι, καὶ αὐτῆς τὰ τέκνα ὑπ᾽ αὐτῆς ἀναιρεῖσθαι, ἵνα μὴ ὑποβάλλῃ τοῦτο [illegible]. αὐτὴ μὲν οὖν ἐπὶ τούτῳ μετανοεῖ. αὐτὸς δὲ ᾤετο αὐτὴν ὀδύρεσθαι, ὅτι ἔμελλε φεύξεσθαι φυγάς. 1015. Θάρσει) ἔτι θαρσεῖν ὀφείλεις. καὶ γὰρ εἰ καὶ φεύγειν μέλλεις τῶν παίδων ὑποστάσεις καὶ ζωῆς, ὅμως ἰσχὺν ἔχει τὰ κατὰ σέ. καὶ ἐλπίζεις εἰ τούτοις πρὸς τὸ μέλλον ἀμβιῶναι. τὸ δὲ ἔτι, καὶ ἐπὶ τοῦ μέλλοντος κεῖται. τὸ οὖν κρατεῖς ἀντὶ τοῦ νενίκηκας, καὶ ἐπιτέτυχας τὸ ὅσον ἐπὶ τοῖς τέκνοις, ὡς ἐλπὶς εἰ πρὸς τὸ μέλλον.

ANNOTATIONES.

V. 1005. Ἔα) Redundat extra versum, ut & v. 1008. Αἶ, αἶ. De quâ re videsis *Hecub.* v. 1116.

V. 1015. Πρὸς τέκνων ἔτι) pro [illegible] per Tmesin.

Μη. Ἄλλους

Μη. Ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν᾽ ἐγώ.
Παι. Οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων.
" Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
Μη. Δράσω τάδ᾽· ἀλλὰ βαῖνε δωμάτων ἔσω,
Καὶ παισὶ πόρσυν᾽, οἷα χρὴ καθ᾽ ἡμέραν.
Ὦ τέκνα, τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις,
Καὶ δῶμ᾽, ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ,
Οἰκήσετ᾽ αἰεὶ μητρὸς ἐστερημένοι.
Ἐγὼ δ᾽ ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
Πρὶν σφῷν ὄνασθαι, κἀπιδεῖν εὐδαίμονας,
Πρὶν λέκτρα, καὶ γυναῖκα, καὶ γαμηλίους
Εὐνὰς ἀγῆλαι λαμπάδας τ᾽ ἀνασχεθεῖν.
Ὦ δυστάλαινα, τῆς ἐμῆς αὐθαδίας.
Ἄλλως ἄρ᾽ ὑμᾶς, ὦ τέκν᾽, ἐξεθρεψάμην·
Ἄλλως δ᾽ ἐμόχθουν, καὶ κατεξάνθην πόνοις,
Στερρὰς ἐνεγκοῦσ᾽ ἐν τόκοις ἀλγηδόνας.
Ἦ μήν ποθ᾽ ἡ δύστηνος εἶχον ἐλπίδας
Πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ᾽ ἐμὲ,
Καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
Ζηλωτὸν ἀνθρώποισι. Νῦν δ᾽ ὄλωλε δὴ
Γλυκεῖα φροντίς· σφῷν γὰρ ἐστερημένη,
Λυπρὸν διάξω βίοτον, ἀλγεινόν τ᾽ ἐμοί.
Ὑμεῖς δὲ μητέρ᾽ οὐκέτ᾽ ὄμμασιν φίλοις
Ὄψεσθ᾽, ἐς ἄλλο σχῆμ᾽ ἀποστάντες βίου.
Φεῦ, φεῦ· τί προσδέρκεσθέ μ᾽ ὄμμασιν τέκνα;
Τί προσγελᾶτε τὸν πανύστατον γέλων;
Αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,
Γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων,
Οὐκ ἂν δυναίμην. χαιρέτω βουλεύματα
Τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
Τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
Λυποῦσαν, αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ᾽ ἔγωγε· χαιρέτω βουλεύματα.

Med. Alios prius *ad inferos deducam* [*i.e.* mittam], misera ego.
Pæd. Non tu sola divulsa es à tuis liberis.
" Oportet hominem leviter ferre calamitates.
Med. Faciam hæc: Sed ingredere in domum,
Et para pueris, quæ convenit quotidie.
O filii, filii, vobis quidem jam est urbs,
Et domus, in quâ me miserâ relictâ,
Habitabitis semper orbati matre.
Ego verò jam vado in aliam terram exul,
Priusquã ex vobis potueri capere voluptate, & vos videre florentes,
Priusquam connubium, & uxorem, & nuptiales
Lectos ornarim, facesque sustulerim accensas.
O me miseram ob meam contumaciam.
Frustrà igitur vos, ô filii, educavi,
Frustraque laboravi, & consumpta sum laboribus,
Ferens duros dolores in partu.
Profectò quondam infelix habui spem
Magnam in vobis *fitam fore videl.* ut senio gravem me nutriretis,
Et mortuam manibus rectè componeretis:
Quæ res expetenda Mortalibus. Nunc verò jam periit
Hæc dulcis cura: nam vobis orbata
Tristem degam vitam, acerbamque mihi.
Vos verò matrem non ampliùs charis oculis
Videbitis, transeuntes in aliud vitæ genus.
Heu, heu! cur me oculis aspicitis liberi?
Cur arridetis hoc extremo risu?
Heu, heu! quid faciam? cor enim *mihi* dissperit.
Mulieres, quia vidi lætos oculos liberorum,
Non possem *facere quod statui.* Valeant consilia
Priora: abducam filios meos è terra.
Quid opus est me patrem horum, horum malis
Cruciantem, mihi bis tanta mala accersere?
Nequaquam ego *hoc faciam.* Valeant *illa* consilia!

Ἄλλους κατάξω) τὸν ἐσόμενον τῶν παίδων φόνον πάλιν προσδέχεται. ἀσήμως δὲ ὑπὲρ τοῦ μὴ συνιέναι τὸν παιδαγωγόν. τὸ μὲν ἄλλους, ἀντὶ τοῦ τέτους. τὸ δὲ κατάξω, ἀντὶ τοῦ πέμψω εἰς τὸν ᾅδην. Οὔτοι μόνη σὺ) ἡ μὲν ἔλεγεν, ὅτι πρὶν ἀπευξῆσαι ὑπ᾽ αὐτῶν, ἀλλοτρίους με γενομένους τοὺς παῖδας πέμψω εἰς τὸν ᾅδην. ὁ δὲ παιδαγωγὸς τὸ κατάξω νοεῖ, ἀντὶ τοῦ ἀποπέμψω πρὸς Ἰάσονα, ἀλλοτριωθέντας μου τοὺς παῖδας. ἦν δὲ τὸ ἄλλους, ἀντὶ τοῦ ἀλλοτρίους. Σφῷν μὲν ἔστιν) τοῦ σφῷν πλῆρες τὸ σφῶιν, τουτέστιν ὑμῖν τῶν δύο, τὴν μὲν πόλιν φησὶν τήνδε οἰκήσετε, ὦ τέκνα, καὶ τὸν οἶκον τοῦτον δι᾽ αἰῶνος. λέγει δὲ ἀσήμως τὸν ᾅδην, καὶ πάντα τὰ ἑξῆς αἰνιγματωδῶς ὁμιλεῖ, ὑπὲρ τοῦ μὴ αἰσθέσθαι τὸν παιδαγωγόν. τὸ δὲ ἐν ᾧ πρὸς τὸ οἰκήσετε συναπτέον. τουτέστιν ἐν τῷ ᾅδῃ οἰκήσετε, ἀπολιπόντες ἐμέ. Εὐνὰς ἀγῆλαι) φαιδρὰς ἀγῆλαι ἀντὶ κοσμῆσαι. καὶ παρὰ Ἀριστοφάνει, διὰ παντὸς, ὦ δέσποιν᾽, ἀγλαϊοῦμαι ὑμᾶς σ᾽ ἀεί. καὶ Ἕρμιππος ἐν Ἀρτοπώλισι, Φέρε νῦν ἀγήλω τοὺς θεοὺς ἴσως ἴσως. Ἀποστάντες βίου) ἄλλον βίον λέγει τὸν κατὰ τὸν ᾅδην, ὡς καὶ τοῖς καταχθονίοις οὔσης πρὸς ἑτέρας πολιτείας. 1043. Γυναῖκες ὄμμα) πρὸς τὰς τοῦ χοροῦ λέγει. θέλει δὲ εἰπεῖν, ὅτι τὸν φόνον οὐκέτι μου ἡ ψυχὴ τολμᾷ, ἀλλὰ λύομαι ταῖς τῶν ὀφθαλμῶν χάρισιν, ἀνατενιζόντων εἰς ἐμὲ τῶν φιλτάτων. Χαιρέτω βουλεύματα) διὰ τὸ σφάξαι τὰ τέκνα. καὶ ἐλθέτω φησὶν ὁ ἐπὶ τῷ σφάξαι μου τὰ τέκνα κρατήσας λογισμός. Τί δεῖ με πατέρα) ἀφίσταμαι φησὶ τοῦ φόνου τῶν παίδων. οὐ γὰρ ἵνα τὸν πατέρα τούτων νικήσω τῷ θανάτῳ αὐτῶν, ὀφείλω ἐμαυτῇ διπλασιᾶν τὰ κακά. λέγει δὲ τὴν λύπην, τὴν ἐπὶ τοῖς παισίν. ἢ οὕτως, σαφῶς εἰδυῖα ὅτι ἐργαζομένη μὲν τὸν φόνον τοῖς φιλτάτοις, ὅτι τῷ τὸν πατέρα λυπῆσαι, αὐτὴν διπλασίαν λύπην κτήσασθαι διὰ τῆς τούτων τελευτῆς. δοκοῦσι γὰρ αἱ μητέρες περιπαθέστεραι εἶναι ἐν ταῖς τῶν παίδων συμφοραῖς. θαυμάσαι δὲ δεῖ τὸν ὑπερβάλλοντα θυμὸν, ὃν ἔχει κατὰ τοῦ Ἰάσονος ἡ Μήδεια, ὅτι καίτοι προσδοκῶσα μειζόνως λυπηθήσεσθαι, ὅμως ὑπὲρ τοῦ λυπῆσαι τὸν Ἰάσονα, αἱρεῖται τούτους φονεύειν. 1048. Οὐ δῆτ᾽ ἐγώ) ὅτι μετάνοιά ἐστιν, οὐκ ἂν ἐγὼ φονεύσαιμι. ἀλλὰ μεθιέσθω μοι, ὁ κρατήσας τοῦ φόνου λογισμός. χαιρέτω δὲ, καὶ παύσομαι βουλευμάτων.

ANNOTATIONES.

V. 1016. Ἄλλους) *Duportus* legit ἀλλ᾽ οὐ κατάξω.

V. 1017. Τέκνων) Vid. supra ad v. 960.

V. 1021. Ὦ τέκνα, τέκνα) Vid. de hoc loco Ἐκφράσεις *Callistrati* εἰς τὸ Μηδείας ἄγαλμα, ubi Statuarius optimè illam ex mente *Euripidis* effinxit; etenim elegans illa Descriptio ad hunc locum spectat, lucemque illi affert & ab illo mutuatur. De hâc ipsâ re En! optimum *Antiphili Byzantini* Epigramma ex *Anthol.* l. 4. fol. 317.

Τὰν ὀλοὰν Μήδειαν ὅτ᾽ ἔγραφε Τιμομάχου χεὶρ
 Ζάλῳ καὶ τέκνοις ἀντιμεθελκομέναν,
Μυρίον ἄρατο μόχθον, ἵν᾽ ἤθεα δισσὰ χαράξῃ,
 Ὧν τὸ μὲν εἰς ὀργὰν νεῦε, τὸ δ᾽ εἰς ἔλεον·
Ἄμφω δ᾽ ἐπλήρωσεν· ὅρα τύπον· ἐν γὰρ ἀπειλῇ
 Δάκρυον, ἐν δ᾽ ἐλέῳ θυμὸς ἀναστρέφεται.
Ἀρκεῖ δ᾽ ἁ μέλλησις, ἔφα σοφός· αἷμα δὲ τέκνων
 Ἔπρεπε Μηδείῃ, κοὐ χερὶ Τιμομάχου.

Medeam vellet cùm pingere Timomachi Mens
 Volventem in Natos crudum animo facinus,
Immanem exhausit rerum in diversa laborem,
 Fingeret affectum Matris ut ambiguum:
Ira subest Lacrymis, Miseratio non caret Irâ;
 Alterutrum videas ut sit in alterutro.
Cunctantem satis est; Nam digna est sanguine Mater
 Natorum; sed non dextera Timomachi.

De hâc Versione *Ausonii* Vid. *Jacobi Lectii* Miscell. Epiphill. l. 4. c. 6. Alia quoque nonnulla Epigrammata ibidem de eâdem re extant, ex *Anthologiâ* sumpta, ut & elegans *Neophronis* Tragici locus capite sequenti: Quæ satis mihi sit Lectori indigitâsse, etiam vide infrà ad v. 1241. *Josua Barnes.*

V. 1027. Λαμπάδας τ᾽ ἀνασχεθεῖν) Quod Mos erat Matribus liberorum suorum Nuptiis faces præferre, Vid. ad *Iphig.* Aul. v. 732. *J. Barnes.*

V. 1048. Χαιρέτω βουλεύματα) Alias scribitur παύσομαι βουλευμάτων, sed non æquè benè.

Καί τοι τί πάσχω; βούλομαι γέλωτ᾽ ὀφλεῖν,
Ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
Τολμητέον τάδ᾽. ἀλλὰ τῆς ἐμῆς κάκης,
Τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενί.
Χωρεῖτε, παῖδες, εἰς δόμους. ὅτῳ δὲ μὴ
Θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
Αὐτῷ μελήσει. χεῖρα δ᾽ οὐ διαφθερῶ.
Ἆ, ἆ. Μὴ δῆτα, θυμὲ, μὴ σύ γ᾽ ἐργάσῃ τάδε·
Ἔασον αὐτοὺς, ὦ τάλαν, φεῖσαι τέκνων·
Ἐκεῖ μεθ᾽ ἡμῶν ζῶντες, εὐφρανοῦσί σε.
Μὰ τοὺς παρ᾽ ᾅδῃ νερτέρους ἀλάστορας,
Οὔτοι ποτ᾽ ἔσται τοῦθ᾽, ὅπως ἐχθροῖς ἐγὼ
Παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
Πάντως σφ᾽ ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρὴ,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρακται ταῦτα, κοὐκ ἐκφεύξεται.
Καὶ δὴ ᾽πὶ κρατὶ στέφανος, ἐν πέπλοισί τε
Νύμφη τύραννος ὄλλυται· σάφ᾽ οἶδ᾽ ἐγώ.
Ἀλλ᾽ εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
Καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι.
Παῖδας προσειπεῖν βούλομαι· δότ᾽, ὦ τέκνα,
Δότ᾽, ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χεὶρ, φίλτατον δέ μοι στόμα,
Καὶ σχῆμα, καὶ πρόσωπον εὐγενὲς τέκνων,
Εὐδαιμονοῖτον· ἀλλ᾽ ἐκεῖ· τὰ δ᾽ ἐνθάδε,
Πατὴρ ἀφείλετ᾽. ὦ γλυκεῖα προσβολὴ,
Ὦ μαλθακὸς χρὼς, πνεῦμά θ᾽ ἥδιστον τέκνων.
Χωρεῖτε, χωρεῖτ᾽. οὐκέτ᾽ εἰμὶ προσβλέπειν
Οἵα τ᾽ ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
Καὶ μανθάνω μὲν, οἷα τολμήσω κακά·
Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
Ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

Ἀνάπαιστοι.

Χο. Πολλάκις ἤδη διὰ λεπτοτέρων
Μύθων ἔμολον, καὶ πρὸς ἁμίλλας

Verùm quid patior? an volo derideri,
Dimittens meos inimicos impunitos?
Audendum hoc eſt. Nam ignaviæ meæ eſt
Hoc, quòd & illos molles ſermones animo *cogitatos* protulerim.
Intrate, pueri, in ædes. Cui verò non
Licet adeſſe meis ſacrificiis, hoc
Ipſi curæ erit. Manũ v. *meam cæde* non corrumpam *æque polluam.*
Heu, heu! nequaquã verò, mi anime, nè tu ſaltem hæc patres:
Mitte eos, ô miſer; parce liberis:
Illic nobiſcum viventes exhilarabunt te.
Non per dæmones infernos, qui ſunt apud Plutonem,
Nunquam hoc fiet; ut ego inimicis
Filios meos relinquam injuriâ afficiendos.
Omninò neceſſe eſt eos mori: & quoniam hoc oportet,
Nos occidemus *eos*, qui procreavimus *eos*.
Omninò actum eſt hoc, & non aliter fiet.
Et jam corona in capite eſt, & in peplis
Sponſa regia perit: *hoc* ego benè ſcio.
Verum ego vado miſerrimam viam,
Et hos longè triſtiore viâ mittam.
Liberos *meos* alloqui volo: date, ô liberi,
Date matri dextram manum, ſalutate *matrem*.
O chariſſima manus, & mihi chariſſimum os,
Et ſpecies, & vultus generoſus liberorum,
Sitis felices: *ſed* illic; res enim, quæ *hic erant*,
Pater abſtulit. O jucundum complexum,
O teneram cutem, & dulciſſimum halitum liberorum.
Ite, ite. Non ampliùs intueri
Vos poſſum, *ſed* vincor malis.
Et intelligo quidem qualia *ſint ea* mala, *quæ* ſum auſura:
Sed ira eſt potentior meis conſiliis.
Quæ quidem hominibus cauſa eſt maximorum malorum.

Chorus.

Sæpe jam per ſubtiliores
Sermones ivi, & ad certamina

Καί τοι τί πάσχω) ἐνταῦθα ὥσπερ ἀναζωπυροῦσα τὸν κατ᾽ Ἰάσονος θυμὸν καὶ λαμβάνουσα ἑαυτῆς, καὶ φησὶ, τί δὴ πέπονθα εἰς οἶκτον ἐκπεσοῦσα τῶν παίδων. οὐ γὰρ ἐμὲ καταισχύνειν ἑαυτὴν, ἀφεῖσαν ἀτιμώρητον τῶν πάντων ἐμοὶ πολεμιώτατον Ἰάσονα, ἐξὸν φονεῦσαι τούτους μόνον. ἐχθροὺς οὖν λέγει, ἀντὶ τοῦ ἐχθρὸν τὸν Ἰάσονα. τοιοῦτον δὲ καὶ τὸ παρ᾽ Ὁμήρῳ, ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός; Ὅτῳ δὲ μὴ) ὅτῳ δέ φησιν οὐκ εὐαγὲς φαίνεται παρεῖναι τῷ φόνῳ τούτῳ, καὶ δέχεσθαι τοιαύτας θυσίας, οὗτος ἀπίτω. οὕτω δὲ εἶπεν, ὡς ὄντων θεῶν τινῶν χαιρόντων ἀνδροφονίᾳ, οἷον Ἐριννύων, Ἄρεως, καὶ τινῶν ἑτέρων. Ὅμηρος, Ἄρες, Ἄρες βροτολοιγέ. τῷ δὲ αὐτῷ μελήσει, συναπτέον τὸ μὴ παρεῖναι. Χεῖρα δ᾽ οὐ διαφθερῶ) πάλιν ἐνταῦθα λύεται πρὸς οἶκτον. ἔστι γὰρ μίμησις μητρὸς, οὐ προαιρέσεως, ἀνάγκη δὲ τὴν τοὺς ἐχθροὺς ἀμυνομένην τολμήσαι φόνον κατὰ τῶν φιλτάτων. οὐκ ἂν φησὶν, ἐγὼ μολύναιμι τῷ ἐκ τῶν ἐμῶν παίδων αἵματι τὴν ἐμαυτῆς χεῖρα. 1059. Μὰ τοὺς παρ᾽ ᾅδῃ) τοὺς καταχθονίους. Ἀλάστορας δὲ) οὓς οὐκ ἔστι λαθεῖν. ἐπειδὴ δὲ συνεχῶς ὁρᾷ ἑαυτὴν νικωμένην πρὸς τοὺς παῖδας οἴκτῳ, ὅρκῳ φρικωδεστάτῳ κατακλείει ἑαυτὴν, πρὸς τὸ μηδὲν ἕτερον ἢ τὸν φόνον τῶν παίδων ἐξάπτεσθαι δρᾶσαι. καὶ οὐκ ἂν ἐγώ φησι καταλείψαιμι τοὺς ἐμοὺς παῖδας ὑπὸ τῶν ἐχθρῶν καθυβρίζεσθαι, λέγει ὑπὸ τῶν πρὸς γένος τῆς Γλαύκης. Καθυβρίσαι δὲ λέγει) τὸ μετ᾽ αἰκίας τινὸς ἀνελεῖν. καὶ ἐγὼ φησὶ μὴ φονεύσω τούτους, ἀλλ᾽ οἱ ἐχθροὶ πάντως ἀναιρήσουσιν. εἰ δὲ ἅπαξ χρὴ τούτοις ἀποθανεῖν, μᾶλλον ὑφ᾽ ἡμῶν ἀναιρεθῆναι, ἵνα μὴ δοκοῖεν οἱ ἐχθροὶ τιμωρίαν ταύτην λαμβάνειν ἐξ ἡμῶν. Καὶ δὴ ᾽πὶ κρατὶ) ταῦτα ἐκ τοῦ χρόνου ἀναλογιζομένη πρὸς ἑαυτὴν λέγει. καὶ δή φησιν ἡ μὲν Γλαύκη, ὡς εἰκὸς, ἔχει τὸν στέφανον, καὶ λοιπὸν ἐγγὺς ἐστὶ τοῦ θανάτου. Ἀλλ᾽ εἶμι) ὡς μέλλουσα ἥκειν ἐπὶ τὴν δυσχερεστάτην ὁδὸν τοῦ φόνου. Τὰ δ᾽ ἐνθάδε) τὰ ἐν τοῖς ζῶσι, τουτέστιν ὁ πατὴρ αἴτιος τοῦ μὴ σώζεσθαι ὑμᾶς. προσβολὴ δὲ περίπτυξις, ἡ ἀντὶ τοῦ πρόσω θέα. ἐν τῷ περιπτύσσεσθαι δὲ καὶ καταφιλεῖν ταῦτα λέγει. 1081. Πολλάκις ἤδη) πολλάκις φησὶ κατ᾽ ἐμαυτὴν ἐλογισάμην, καὶ δι᾽ ἀκριβεστέρων λογισμῶν προῆλθον αὐτὴ πρὸς ἐμαυτὴν λογιζομένη, καὶ ζητοῦσα εἰ δυνατὸν καὶ τῇ γυναικείᾳ φύσει ἐρευνᾶν τὰ τῶν

ANNOTATIONES.

V. 1049. Ὀφλεῖν) Iambus & hic, ut τέκνων v. 1043. & τέκνα v. 1040. Vid. ſuprà v. 1017. &c.

V. 1051. Ἐμῆς κάκης) ἡ κάκη *Ignavia* vel *Perfidia*. Verbum *Platoni* cognitum & *Æſchylo* Theb. v. 198. & *Æliano*, ut Κάκην τὴν ἑαυτῶν κατεῖπε. Hunc locum reſpicit *Heſychius* & explicat, Κάκης, δειλία, κακία, Ἀλλὰ τῆς ἐμῆς κάκης· Κακουργίας. Idem verbum apud hunc Poetam *Androm.* v. 967. *Hippolyt.* v. 1335. & *Iphig. Taur.* v. 676. *Joſua Barnes.*

V. 1056. Ἆ, ἆ.) Hæc interjectio extra Verſum redundat, vid. *Hecub.* v. 1116.

V. 1057. Τέκνων) Vid. ſuprà v. 1049.

V. 1069. Δότ᾽, ὦ τέκνα) Et hic loci & ſuprà v. 1057. & infrà v. 1072, 1075. & centies in aliis locis τέ in τέκνον corripitur, de quâ re videſis *Phœniſſ.* v. 19.

V. 1078. Καὶ μανθάνω μὲν, οἷα τολμήσω κακὰ) Hunc verſum paulò aliter apud varios Authores citatum accepimus. Imprimis bis *Hierocli* Edit. *Cantabr.* p. 75. οἷα μέλλω δρᾶν κακά· Pluries apud alios eodem modo, tantùm unico vocabulo tranſpoſito viz. Καὶ μανθάνω μὲν, οἷα δρᾶν μέλλω κακά· Et ita quidem *Simplicius* in Epictet. c. 4. & c. 11. & *Arrian.* Epictet. l. 1. c. 28. Vid. *Thomæ Gatakeri* Adverſaria Miſcellanea c. 10. fol. 114. Ubi & ſeptem Authores ita legentes inducit, cùm tamen nullum *Euripidis* exemplar noſtram lectionem non præferat, (licet in hâc parte minùs placeat) & *Luciani* elegantem versûs ſequentis παρῳδίαν memoret, de Doctis Hominibus, quorum Virtutibus obſtat Res anguſta Domi, Πενία δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων. Hæc autem *Ovidius* reſpexit *Metam.* l. 7. Fab. 1. ——*Video meliora proboque; Deteriora ſequor*—— *Joſua Barnes.*

βίῳ πράγματα, καὶ εἰδέναι τί μὲν ἀνθρώποις καλὸν, τί δ' οὔ· καὶ λογισαμένη, εὗρον ἐπὶ μέτρῳ γυναιξὶ σοφίαν, καὶ τῆς ἀνθρώπων πραγμάτων καταλήψεως οὐ πάσαις, ἀλλ' ὀλίγαις, ὧν οὖσα μία καὶ αὐτὴ τυγχάνω. καὶ λογίζομαι τῶν ἀνθρώπων τοὺς ἀπείρους παιδοποιίας πολλῷ προφέρειν καὶ ὑπερβάλλειν εὐτυχίᾳ τοὺς γεννήσαντας. ὅσοι μὲν γὰρ τῶν ἐκ παιδοποιίας μόχθων ἐκτὸς εἰσὶν, εἴτε καλὸν οἱ παῖδες οὐκ ἴσασιν. οἱ δ' ἔχοντες, ἀνάγκῃ τῇ ἀεὶ τοὺς παῖδας ἐπιμελείᾳ κατατρυχόμενοι διατελοῦσιν, πρῶτον μὲν ὅπως ἀνάγωσι τοὺς παῖδας κοσμίως ἀνατρέφοντες, δεύτερον δὲ καὶ πόθεν τούτοις χρημάτων πόρον καταλείψειαν. τρίτον ἐπὶ τούτοις οὐκ εἰδότες πότερον χρηστοῖς ἐστὶ τοῖς παισὶν ἢ πονηροῖς. τοῦτον δὲ τὸν τρόπον μοχθοῦσι τὸν χρόνον ἅπαντα. οὐ γὰρ εἱμαρμένως ζωΐναι τρόπον ἀνθρώπων. ὅτε γε τοὺς νομιζομένους εἶναι χρηστοὺς, πονηροὺς πολλάκις ἐξαίφνης εὑρίσκομεν. ἓν δὲ πάντων τῶν κακῶν τελευταῖον βούλομαι πᾶσιν ἀνθρώποις ἐξειπεῖν. δέδομεν γὰρ ἔτι καὶ βίον αὐτάρκη τοῖς παισὶ κέκτηνται, καὶ εἰς ἀκμὴν ἡλικίας ἦλθον οἱ παῖδες, καλοί τε κἀγαθοὶ τὸν τρόπον ἀποβεβήκασιν· εἰ δὲ δὴ τούτων οὕτως ἐχόντων φθάσας ὁ δαίμων, πρὶν ὄνασθαι τῶν ἀγαθῶν, τούτους ἁρπάσει, πῶς ἔτι λυσιτελεῖ πρὸς τοῖς ἄλλοις τῶν ἀνθρώπων κακοῖς τοὺς παῖδας εὔξασθαι τοὺς θεοὺς προσαγαγεῖν λύπην ἄντικρυς οὖσαν;

Ἦλθον μείζους, ἢ χρὴ γενεὰν
Θῆλυν ἐρευνᾶν· ἀλλὰ γάρ ἐστι
Μοῦσα καὶ ἡμῖν, ἣ προσομιλεῖ,
Σοφίας ἕνεκεν· πάσαισι μὲν οὔ.
" Παῦρον δὴ γένος ἐν πολλαῖσιν
" Εὕροις ἂν ἴσως,
" Κοὐκ ἀπόμουσον τὸ γυναικῶν.
" Καί φημι βροτῶν, οἵτινές εἰσι
" Πάμπαν ἄπειροι, μηδ' ἐφύτευσαν
" Παῖδας, προφέρειν εἰς εὐτυχίαν
" Τῶν γειναμένων.
" Οἱ μὲν τ' ἄτεκνοι δι' ἀπειροσύναν,
" Εἴθ' ἡδὺ βροτοῖς, εἴτ' ἀνιαρὸν
" Παῖδες τελέθουσ', οὐχὶ τυχόντες,
" Πολλῶν μόχθων ἀπέχονται.
" Οἷσι δὲ τέκνων ἐστὶν ἐν οἴκοις
" Γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
" Κατατρυχομένους τὸν ἅπαντα χρόνον.
" Πρῶτον μὲν ὅπως θρέψουσι καλῶς,
" Βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις.
" Ἔτι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
" Εἴτ' ἐπὶ χρηστοῖς μοχθοῦσι, τόδ'
Ἐστὶν ἄδηλον.
Ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
Πᾶσιν κατερῶ θνητοῖσι κακόν.
" Καὶ δὴ γὰρ ἅλις βίοτον εὗρον,
" Σῶμά τ' εἰς ἥβην ἤλυθε τέκνων,
" Χρηστοί τ' ἐγένοντ', εἰ δὲ κυρήσει
" Δαίμων, οὗτος φροῦδος ἐς ᾅδην
" Θάνατος προφέρων σώματα τέκνων.
Πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
Τήνδ' ἔτι λύπην ἀνιαροτάτην
Παίδων ἕνεκεν
Θνητοῖσι θεοὺς ἐπιβάλλειν;

Magna veni, ſi convenit genus
Muliebre ſtudiis incumbere: ſed enim eſt
Muſa etiam nobis, quæ verſatur nobiſcum,
Sapientiæ *docendæ* cauſâ, verum non cum omnibus *habitat*.
" Exiguum enim numerum inter multas
" Invenias fortaſſe,
" Nec à Muſis alienum, *numerum inquam* mulierum.
" Et aio mortalium, quicunque ſunt
" Omninò *nuptiarum* expertes, nec genuerunt
" Liberos, anteire felicitate
" Eos, qui *liberos* progenuerunt.
" Qui enì nõ habent liberos propter imperitiam, *quid ignorent*,
" Utrum res ſuavis hominibus, an verò ingrata
" Sint liberi, cum non habeant,
" Carent multis miſeriis.
" Sed quibus in ædibus eſt liberorũ
" Dulce germen, eos video curis
" Confici omni tempore.
" Primum quidem quo pacto benè *ipſos* educent,
" Et unde victum relinquant liberis:
" Præterea verò utrum pro malis,
" An pro bonis laborent,
Hoc incertum eſt.
Unum verò, quod eſt omnium extremum, jam
Dicam, omnibus hominibus malum.
" Etenim jam *multi* abundè victum invenerunt *liberis*,
" Corporáque liberorum ad pubertatem pervenerunt,
" Boníque evaſerunt. Si tamen *malus ipſis* occurrat
" Dæmon, hæc procul ab hominũ oculis rapiens ad Plutonem
" Mors fert corpora liberorum.
Quomodo igitur prodeſt præter alios
Hunc etiam acerbiſſimum dolorem
Propter liberorum mortem
Addere Deos hominibus?

Μοῦσα καὶ ἡμῖν) ἀντὶ τοῦ φρόνησις, παίδευσις πρὸς τὸ δύνασθαι διακρίνειν τὰ ἀνθρώπινα. καὶ ἡμῖν ἐν φησὶ Μοῦσα προσομιλεῖ σοφίαν χαριζομένη, πρὸς τὸ ἡμᾶς ἀποφαίνεσθαί τι περὶ τῶν τοιούτων.

1099. Ὁρῶ μελέτῃ) τούτους φησὶν ὁρῶ τῇ ἀεὶ τοὺς παῖδας συνεχεῖ κατατρυχομένους μελέτῃ, τουτέστι τῇ καθημερινῇ ἐπιμελείᾳ.

1110. Δαίμων οὗτος) τὸ δαίμων τὸν θανάτου σημαντέον. δαίμονα γὰρ τὸν θάνατον ὠνόμασεν, φροῦδος δὲ ἀφανὴς ἄδηλος ἀνθρώποις ὁ θάνατος.

ANNOTATIONES.

V. 1084. Ἀλλὰ γάρ ἐστι Μοῦσα καὶ ἡμῖν) Doctæ Mulieres inter Veteres recenſentur *Corinna*, *Erinna*, *Sappho* *Hippo Chironis* filia, *Caſſandra Priami*, *Hypatia Theonis* Philoſophi, *Anna Comnena Alexii*, *Theano*, *Meliſſa*, *Myia*, nè dicam ex noſtris Dominam *Elizabetham Angliæ* Reginam, *Janámque Graiam*, quæque *Orindæ* nomine celebratur. Adeò verè à *Socrate* dictum eſt in *Platonis* Πολιτείας l. 5. Γυναῖκες μέντοι πολλαὶ πολλῶν ἀνδρῶν βελτίους εἰς πολλά. Huc refer *Cæl. Rhodig.* l. 14. c. 1.

V. 1112. Λύει) λυσιτελεῖ. Vid. ſuprà ad v. 556.

ARGUMENTUM *Actûs* Quinti.

N*untius funeſtum novæ Sponſæ & Creontis exitium* Medææ *narrat, ac per partes deſcribit; quâ re Implacabilis Veneficæ animus mirificè gaudio perfunditur. Illa demùm, quanquam vel ſolâ immanis facinoris cogitatione reſiliat, ruptis tamen Naturæ legibus, quos ipſa pepererat, dulciſſimos Pueros, Genitoris odio, ferro conficit. Hinc ipſe* Jaſon, *auditâ* Glaucæ *&* Creontis *pernicie,* *ad* Medæam *tendit, ut & illam juſto ſupplicio tollat & innocentes Liberos, nequid propter Matris impietatem à* Corinthiis *paterentur, authoritate ſuâ defendat. Ex* Choro *autem accipit, illos jam*

nunc à Crudeli leænâ ferro extinctos, unde infelix Pater acerbiſſimo dolore obrutus cum Medæâ *expoſtulat. Illa quidem extra omnem inimicorum poteſtatem poſita & in curru Draconum alatorum jamjam avolatura, ſe ſuámque cauſam tuetur,* Jaſonemque *& illius Inconſtantiam execratur: Ille è contrà amaris convitiis & querelis, quæ unica jam ulciſcendi reſtabat via, abeuntem inſectatur.*

ΜΗΔΕΙΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΠΑΙΣ, ΙΑΣΩΝ.

Ἴαμβοι.

Μη. Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην,
Καραδοκῶ τἀκεῖθεν, οἷ προβήσεται.
Καὶ τοι δέδορκα τόνδε τῶν Ἰάσονος
Στείχοντ' ὀπαδῶν, πνεῦμά τ' ἠρεθισμένον
Δείκνυσι δ' ὥς τι καινὸν ἀγγελεῖ κακόν.
Αγ. Ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐαν
Λιποῦσ' ἀπήνην, μήτ' ὄχον πεδοστιβῆ.
Μη. Τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;
Αγ. Ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη,
Κρέων θ' ὁ φύσας, φαρμάκων τῶν σῶν ὕπο.
Μη. Κάλλιστον εἶπας μῦθον· ἐν δ' εὐεργέταις
Τὸ λοιπὸν ἤδη, καὶ φίλοις ἐμοῖς ἔσῃ.
Αγ. Τί φῄς; φρονεῖς μὲν ὀρθὰ, κοὐ μαίνῃ, γύναι;
Ἥτις τυράννων ἑστίαν ᾐκισμένη,
Χαίρεις κλύουσα, κοὐ φοβῇ τὰ τοιάδε;
Μη. Ἔχω τι κἀγὼ τοῖς γε σοῖς ἐναντίον
Λόγοισιν εἰπεῖν. ἀλλὰ μὴ σπέρχου φίλος.
Λέξον δὲ πῶς ὤλοντο· δὶς τόσον γὰρ ἂν
Τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
Αγ. Ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
Σὺν πατρὶ, καὶ παρῆλθε νυμφικοὺς δόμους,
Ἥσθημεν, οἵπερ σοῖς ἐκάμνομεν κακοῖς,
Δμῶες· δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος,
Σὲ, καὶ πόσιν σὸν, νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
Κυνεῖ δ' ὁ μέν τις χεῖρ', ὁ δὲ ξανθὸν κάρα
Παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο,
Στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
Δέσποινα δ', ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
Πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
Πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
Ἔπειτα μέντοι προὐκαλύψατ' ὄμματα,
Λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηΐδα,
Παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
Ὀργάς τ' ἀφῄρει, καὶ χόλον νεάνιδος,

Med. Amicæ, jampridem præſtolàs eventû fortunæ,
Expecto ab illâ parte, quò res ſit caſura.
Equidem video hunc ex Jaſonis
Miniſtris venientem ſpirituque irritato, *i.e. anhelo*:
Significat autem ſe novum aliquod malum nunciaturum.
Nun. O quæ dirum facinus impiè patraſti,
Medæa, fuge, fuge, neque navalem
Relinquens currum, *i.e. navem*, neque vehiculum terrâ calcans.
Med. Quid verò mihi dignum hoc exilio *patratum* eſt?
Nun. Puella regia modò periit,
Et Creon, qui *eam* genuit, tuis incantamentis.
Med. Pulcherrimum ſermonem dixiſti: inter benefactores
Et amicos meos poſthac jam eris.
Nun. Quid ais? an rectè ſapis, & non inſanis, mulier?
Quæ cum injuriâ affeceris lares regios,
Gaudes audiens, & non metuis hæc?
Med. Ego etiam poſſum aliquid contra tua
Verba dicere: ſed ne nimium properes, amice;
Verum enarra, quomodo perierint. Nam bis tantum
Nos delectareris, ſi peſſimè ſint mortui.
Nun. Poſtquam gemina ſoboles tuorum liberorum venit
Cum patre, & ingreſſa eſt nuptiales ædes,
Gaviſi ſumus, qui tuis laborabamus malis,
Famuli: per aures verò ſtatim ibat multus ſermo,
Te, & tuum maritum diremiſſe priorem diſcordiam.
Oſculabatur autē alius quidē manum, alius verò flavum caput
Puerorum: ego verò & ipſe præ lætitiâ
Simul tuos filios comitabar in conclave mulierum.
Domina verò, quam nunc pro te admiramur,
Priuſquam vidiſſet par tuorum liberorum,
Habebat promptum oculum in Jaſonem:
Deinde verò texit oculos,
Et retrò avertit candidas genas,
Abominans ingreſſum puerorum: ſed maritus tuus
Abſtulit iram & bilem puellæ,

Λιποῦσ' ἀπήνην) καταχρηστικῶς νῦν τὴν ναῦν ἀπήνην ὠνόμασεν. ἀπήνη γὰρ κυρίως ἡ ἅμαξα. ὄχον δὲ λέγει, τὸ ὄχημα. ὁ δὲ νοῦς, εἴτε διὰ νεὼς, εἴτε δι' ὀχήματος, εἴθ' ὁπωσοῦν φεῦγε. Τί φῄς; φρονεῖς μὲν) πῶς, φησὶν, εἶπας τοῦτο; ὅτι μὲν γὰρ κατὰ φύσιν φρονεῖς, καὶ οὐκ ἐξέστης, δῆλον. θαυμάζω δὲ πῶς οὐκ ἀγωνιᾷς ἀκούσασα τὸν βασιλικὸν οἶκον διαφθαρῆναι ὑπὸ τῶν σῶν φαρμάκων. ἢ κατ' ἐρώτησιν διανεκτέον τὸν λόγον, πῶς εἶπας τοῦτο; πῶς οὐχὶ μαίνεσθαι σὲ καὶ παραφρονεῖν ἄν τις νομίσειεν, οὐκ ἀγωνιῶσαν ἐπὶ τούτῳ, ἵνα ὁ μὲν παρέλκῃ. Ἔχω τι) κἀγὼ φησὶν ἔχω πρὸς τὰς ἐπενεχθείσας μοι μέμψεις παρὰ σοῦ, πρόφασιν εὔλογον προσάγειν, δι' ἣν εὐλόγως δοκῶ μοι χαίρειν, ἐφ' οἷς ἀπήγγειλας, ἀλλὰ τέως μὴ σπεῦδε καὶ ἐπιχειρεῖν. αἰνίττεται δὲ τὸ αὐτὴν πρότερον ἀδικεῖσθαι ὑπὸ τοῦ Ἰάσονος. Ἐπεὶ τέκνων σῶν) ὡς εἴδομεν φησὶ τοὺς σοὺς παῖδας τὰ δῶρα προσφέροντας, ἐχαίρομεν ἡμεῖς οἱ θεράποντες, οἵτινες ἐλυπούμεθα περὶ τούτου, ἐννοοῦντες τὴν σὴν σκαιὰν τύχην. λέγει δὲ τὸ ἀπεζεῦχθαι τοῦ Ἰάσονος. ὡς οὖν φησὶν εἴδομεν τὰ δῶρα κομιζόμενα ὑπὸ σοῦ, εὐφράνθημεν, ἐλπίσαντες ὑμᾶς πεπαῦσθαι τῆς ἔχθρας. ἐπεὶ καὶ πολὺς ἦν λόγος κατὰ τὴν οἰκίαν διαλελύσθαι ὑμᾶς, καὶ τὴν προτέραν φιλονεικίαν εἰς φιλίαν μεταβεβληκέναι. Στέγας γυναικῶν) τοὺς οἴκους, ἔνθα αἱ γυναῖκες διέτριβον αἱ ταλασιουργοῦσαι, μεθ' ὧν ἦν καὶ Γλαύκη ἐπισκοποῦσα τὴν ἐργασίαν. κἀγὼ οὖν φησὶν ὑπὸ πολλῆς χαρᾶς συνῆλθον τοῖς σοῖς τέκνοις. λείπει δὲ ἡ εἰς, ἵν' ᾖ εἰς στέγας. 1146. Πρόθυμον εἶχ' ὀφθαλμὸν) ἀντὶ τοῦ προθύμως καὶ ἡδέως ἑώρα τὸν Ἰάσονα. ὡς δὲ εἶδε τούτους παρόντας, ἀπεστράφη τὸν Ἰάσονα, τὸ μητρυιᾶς μῖσος εἰς τοὺς προγόνους νοσήσασα. Ὀργάς δ' ἀφῄρει, ἀντὶ τοῦ μὴ ὀργίζεσθαι τοῖς παισὶ, παρῄνει αὐτῇ μὴ βδελύττεσθαι τούτους.

ANNOTATIONES.

V. 1122. Ναΐαν λιποῦσ' ἀπήνην) Simile *Iphig*. Taur. v. 410. Ναΐοις ὀχήμασι. Sic ἅρμα θαλάσσιον & ποντίων ἅρμα & ἅρμα ποντοδίνητον. Navis frequenter vocatur apud *Nonnum* in Dionyſ. Hinc *Virgilius* Æn. l. 6. —*Claſſique immittit habenas.* Multas præterea *M. Antonius Muretus* (Variar. Lection. l. 1. c. 11.) ex variis Authoribus ſimiles locutionis formulas profert; quem videat Curioſus Lector. Sic *Æſchyl.* λινόπτερα ναυτίλων ὀχήματα. *Joſua Barnes.*

V. 1127. Ἐν δ' εὐεργέταις) Vid. quæ Nos ad *Herc. Fur.* v. 877.

V. 1140. Ἐσπεῖσθαι) Infinit. Perfect. & Plusquam Perfect. à σπένδω, σπείσω, ἔσπεισα, ἔσπεισμαι &c.

V. 1145. Τέκνων ξυνωρίδα) Suprà v. 1136. Dicuntur τέκνων δίπτυχος γονή. Et eadem Phraſis extat *Phœniſſ.* v. 1092. Ζῇ σοι ξυνωρὶς εἰς τόδ' ἡμέρας τέκνων. Συνωρὶς autem par quodvis ſonat, Vide quæ Nos ad *Bacch.* v. 324. *Joſua Barnes.*

V. 1148. Λευκὴν &c.) Eadem locutio ſuprà v. 923.

Λέγων

Λέγων τάδ'· οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
Παύσῃ δὲ θυμοῦ, καὶ πάλιν στρέψεις κάρα,
« Φίλους νομίζουσ', οὕσπερ ἂν πόσις σέθεν.
Δέξῃ δὲ δῶρα, καὶ παραιτήσῃ πατρὸς
Φυγὰς ἀφεῖναι παισὶ τοῖσδ', ἐμὴν χάριν.
Ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
Ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα· καὶ πρὶν ἐκ δόμων
Μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
Λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο,
Χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις,
Λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
Ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
Κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων, διέρχεται
Στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
Δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
Τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
Τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν·
Χροιὰν γὰρ ἀλλάξασα, λεχρία πάλιν
Χωρεῖ τρέμουσα κῶλα, καὶ μόλις φθάνει
Θρόνοισιν ἐμπεσοῦσα, μὴ χαμαὶ πεσεῖν.
Καί τις γεραιὰ προσπόλων, δόξασά που
Ἢ Πανὸς ὀργὰς, ἤ τινος θεῶν μολεῖν,
Ἀνωλόλυξε, πρίν γ' * ὁρᾷ διὰ στόμα (* an ἴδῃ)
Χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ' ἄπο
Κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·
Εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
Κωκυτόν· εὐθὺς δ' ἡ μὲν εἰς πατρὸς δόμους
Ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
Φράσουσα νύμφης συμφοράν· ἅπασα δὲ
Στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
Ἤδη δ' ἀνέλκων κῶλον ἔκπλεθρον δρόμου
Ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο.
Ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος * ὄμματος. (* ἴσ. ὄμματα)
Δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο·
Διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο.
Χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος,
Θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός.
Πέπλοι δὲ λεπτοὶ, σῶν τέκνων δωρήματα,

Hæc dicens: Ne sis inimica amicis.
Desistéque ab irâ, & huc iterum converte caput,
" Existimans amicos eosdem, quos maritus tuus.
Accipe verò munera, & roga patrem,
Ut remittat exilium his meis liberis, in meam gratiam
Hæc verò ut aspexit ornatum, non continuit se,
Sed promisit viro omnia. Et priusquam ex ædibus
Procul abirent pater & liberi tui,
Acceptam variam vestem induit,
Ponensque auream coronam supra cincinnos,
Nitidum ad speculum componit comam,
Inanimæ corporis imagini arridens.
Deinde ubi surrexisset de solio, perambulat
Ædes, delicatè incedens candidis pedibus,
Donis hisce vehementer gaudens, multum & sæpe
Cervicem ad erectam oculis respiciens.
Postea verò erat miserabile spectaculum videre:
Nam mutato colore, obliqua retro
Cedit, tremens membris: & vix antevertit
Solio illapsa, ne caderet in terram.
Tum verò una ex famulis anus, cum existimaret
Aut Panis iram, aut alicujus alius Dei in ipsam venisse,
Ululatum edidit, prius quam videret per os
Exeuntem candidam spumam, & ab oculis
Vertentem pupillas, & non amplius in corpore esse sanguinem.
Deinde sono diversam ab ululatu emisit magnam
Ejulationem: statim verò una quidem in domum patris
Cucurrit, alia verò ad recentem maritum,
Dictura calamitatem sponsæ: tota verò
Domus resonabat frequentibus discursitationibus.
Jam vero Morbus tollens celerem pedem
Velut Equus velox cursûs metam attigit;
Quum illa ex mutâ & quæ clauserat oculos,
Graviter ingemiscens misera excitabatur:
Nam duplex malum infestabat eam.
Aurea quidem corona capiti imposita,
Emittebat mirabilem vorticem ignis omnia devorantis:
Pepli verò tenues, tuorum liberorum dona,

Λέγων τάδε) αἱ δύο ἀρνήσεις ἀντὶ μιᾶς κεῖνται, τουτέστι μὴ δυσμενὴς τοῖς φίλοις ἴσθι, ἀλλὰ παῦσαι θυμοῦ, καὶ ἐπίστρεψον πρὸς αὐτοὺς τὰς ὄψεις. Οὐκ ἠνέσχετο) ἀντὶ τοῦ οὐκ ἠνέσχετο ἐν τοιαύτῃ κατηφείᾳ μεῖναι, ἀλλὰ μετεβλήθη τῆς ἀγριότητος τοῦ θυμοῦ. Μακρὰν ἀπεῖναι) ὅτι δὲ περιχαρὴς γέγονε τὸν κόσμον ἰδοῦσα, καὶ ἕρμαιον ἡγήσατο δῶρον, ὡς μὴ ἀναμεῖναι τὴν ἄπειξιν τοῦ Ἰάσονος, ἀλλ', ἔτι πλησίον ὄντος τοῦ πατρὸς καὶ τῶν παίδων, εὐθὺς λαβοῦσα περιέθετο τὸν κόσμον. ἰστέον δὲ ὅτι αἱ γυναῖκες οὐκ ἐπὶ παρουσίᾳ τῶν ἀνδρῶν κοσμοῦνται. αὕτη οὖν φησιν ὑπερησθεῖσα τῷ δώρῳ οὐ περιέμεινε, καὶ παρόντος τοῦ Ἰάσονος, περιέθετο τὸν κόσμον. Ἄψυχον εἰκὼ) γελῶσα τῇ προσβλέψει τοῦ σώματος, ἄψυχον εἰκόνα φησὶ τὴν ἐν τῷ κατόπτρῳ φαινομένην μορφήν. Ἄψυχον οὖν εἰκὼ) τὴν εἰς τὸ ἔσοπτρον φαινομένην. Σώματος δὲ λέγει, τῆς τοῦ ἐστι ὄψεως· τὸ δὲ ἑξῆς πρὸς τὴν ἄψυχον εἰκόνα τοῦ σώματος γελῶσα, τουτέστι χαίρουσα ὅτι τῇ ὑποπτεύσῃ αὐτῇ κατόπτρῳ συμμετρίᾳ. Ἢ Πανὸς ὀργὰς) ἐξαίφνης καταπίπτοντες ἔφασκον τὸ παλαιὸν ἄνθρωποι ὑπὸ Πανὸς μάλιστα καὶ Ἑκάτης κατεσχῆσθαι τὸν νοῦν. ὁ δὲ νοῦς, καί τις τῶν θεραπαινῶν γεραιὰ πρότερον ἰδοῦσα διὰ στόμα προϊόντα τὸν ἀφρὸν, ἐκστρέφοντα τοὺς ὀφθαλμοὺς καὶ τὸ αἷμα ἐκλιπὸν λοιπὸν τὸ σῶμα, νομίσασα θεοῦ τινος ἐπ' ἄλλον, ηὔξατο αἰτοῦνται αὐτήν. εἶτα ὡς συνεχομένης ἐπίτεινε τὸ κακὸν, ζηλῶσαν ἀφῆκε, ὡς λοιπὸν ἀπολλυμένης αὐτῆς. 1172. Πανὸς ὀργὰς) τὰ πανικὰ δείματα, οἱ μὲν τῶν αἰφνιδίων φόβων καὶ ταραχῶν αἰτίας τῷ Πανὶ ἀνατιθέασιν. Ἀντίμολπον) ἀντίφθογγον, ἐναντίον τῇ εὐχῇ. ὁ γὰρ κωκυτὸς μολπὴ καὶ θρῆνος. Εὐθὺς δ' ἡ μὲν) ἡ μὲν τῶν θεραπαινῶν πρὸς τὸν πατέρα ὥρμησε τῆς Γλαύκης, ἀπαγγέλλουσα τὸ συμβάν. ἡ δὲ πρὸς τὸν Ἰάσονα. Ἤδη δ' ἀνέλκων) ἤδη δὲ καὶ ταχὺς βαδιστὴς τὸ ὑπόμετρον ἑαυτοῦ κῶλον ἀνέλκων, τῶν τερμόνων τοῦ δρόμου ἀνθήπτετο, ὡς ταχὺ βαδιστὴς ἵππος, τουτέστιν ἤδη ἡ ταχεῖα νόσος ὀξὺ καὶ ὑπέρμετρον ὑπερβαίνουσα τῶν μυελῶν αὐτῆς ἀνθήπτετο. ὁ δὲ νοῦς, ἤδη δὲ καὶ τὸ πῦρ τῶν ὀστῶν ἀνθήπτετο, ὡς ταχὺς βαδιστὴς ἵππος ταχέως ἀφίκνεται εἰς τὸν καμπτῆρα. τέλος δὲ σώματος τὰ ὀστᾶ. Ἄλλως. Ἐκ παραδείγματος ἔλαβε τὴν ἔννοιαν, δηλῶσαι βουλόμενος τὴν ὀξύτητα τοῦ κακοῦ. οὕτω δὲ ταχέως ἐνέμετο αὐτὴν τὸ πῦρ, καὶ οὕτως ὀξέως τῶν ὀστῶν αὐτῆς ἀνθήπτετο, ὥσπερ ὀξύτατος ἵππος ἀνακουφίζων ἑαυτοῦ τὸν πόδα, τουτέστι μεγάλοις καὶ ταχίστοις πηδήμασι χρώμενος, ἵνα πρὸς τὸ τέλος ἀφίκοιτο τοῦ δρόμου, τουτέστι τὸν καμπτῆρα. τοῦ γὰρ σώματος τὸ τέλος τὰ ὀστᾶ εἰσιν, ὡς τοῦ δρόμου ὁ καμπτήρ. πλέθρον δέ ἐστιν μέτρον γῆς. ἔκπλεθρον δὲ, μέγα πήδημα, καὶ ὑπερβαῖνον πλέθρου μέτρον. 1182. Ταχὺς) βαδιστὴς, τὸ διάστημα λέγει τὸ γενόμενον, ἐξ οὗ ἄναυδος ἦν, μέχρις οὗ ἐφθέγγετο. ὅσον γὰρ δύναται τρέχων κατὰ ἔχων ταχὺς δρομεὺς ἀπὸ βαλβῖδος ἀρθεὶς μέχρι καμπτῆρος, τοσοῦτον καὶ αὐτὴ ἄναυδος ἦν.

ANNOTATIONES.

V. 1162. Προσγελῶσα) ἄλλως προσβλέπουσα. Schol.
V. 1164. Ἁβρὸν βαίνουσα) ἁβροβατοῦσα. Vide ad Cyclop. v. 40.
V. 1172. Ἢ Πανὸς ὀργὰς) Hinc Πανικὰ δείματα. De Panicis verò terroribus Vid. Rhes. v. 36. & Bacch. v. 305.
V. 1182. Τερμόνων) De hac voce, vide ad Phœniss. v. 1361.
V. 1183. Μύσαντος ὄμματος) Mallem ὄμματα legi; ut sit ἐξ ἀναύδου γενομένη καὶ τὰ ὄμματα μύσαντος. Josua Barnes.

Λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
Φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη,
Σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,
Ῥῖψαι θέλουσα στέφανον. ἀλλ' ἀραρότως
Σύνδεσμα χρυσὸς εἶχε· πῦρ δ', ἐπεὶ κόμην
Ἔσεισε, μᾶλλον δὶς τόσως ἐλάμπετο.
Πιτνεῖ δ' ἐπ' οὖδας συμφορᾷ νικωμένη,
Πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν.
Οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις,
Οὔτ' εὐφυὲς πρόσωπον· αἷμα δ' ἐξ ἄκρου
Ἔσταζε κρατὸς, συμπεφυρμένον πυρί.
Σάρκες δ' ἀπ' ὀστέων, ὥστε πεύκινον δάκρυ,
Γναθμῶν ἀδήλοις φαρμάκοις ἀπέρρεον·
Δεινὸν θέαμα. πᾶσι δ' ἦν φόβος θιγεῖν
Νεκροῦ. τύχην γὰρ εἴχομεν διδάσκαλον.
Πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ,
Ἄφνω προσελθὼν δῶμα, προσπίτνει νεκρῷ,
Ὤιμωξε δ' εὐθὺς· καὶ περιπτύξας χέρας
Κυνεῖ, προσαυδῶν τοιάδ'· ὦ δύστηνε παῖ,
Τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
Τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
Τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
Χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας,
Προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
Λεπτοῖσι πέπλοις· δεινὰ δ' ἦν παλαίσματα.
Ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
Ἡ δ' ἀντελάζυτ'· εἰ δὲ πρὸς βίαν ἄγοι,
Σάρκας γεραιὰς ἐσπάραξ' ἀπ' ὀστέων.
Χρόνῳ δ' ἀπέσβη, καὶ μεθῆχ' ὁ δύσμορος
Ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
Κεῖνται δὲ νεκροὶ, παῖς τε, καὶ γέρων πατὴρ,
Πέλας· ποθεινὴ δακρύοισι συμφορά.
Καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
Γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
“ Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν·
“ Οὐδ' ἂν τρέσας εἴποιμι, τοὺς σοφοὺς βροτῶν,
“ Δοκοῦντας εἶναι, καὶ μεριμνητὰς λόγων,

Devorabant candidam carnem infelicis.
Ipſa verò inflammata fugiebat, ſurgens de ſolio,
Concutiens crines & caput huc & illuc,
Volens abjicere coronam: ſed firmiter *herens capiti*
Vinculū auru, *i. e. aurea corona*, habebat ignis v. poſtquam comam
Concuſſit, magis, *atque adeò* bis tantum emicuit.
Ipſa vero victa malo cadit in terram,
Et à nemine potuit facilè agnoſci præterquam à patre,
Nec oculorum enim clarus erat ſtatus,
Nec liberalis facies: ſanguis verò ex ſummo
Capite ſtillabat mixtus igni,
Et caro ex oſſibus, ſicut piceæ lacrymæ,
Per genas defluebat arcanis illis pharmacis,
Horrendum ſpectaculum: omnes verò metuebant attingere
Cadaver. Fortunam enim habebamus magiſtram.
Sed infelix pater ignoratione mali,
Statim ingreſſus domum, irruit in eam jam mortuam,
Et ſtatim cœpit ejulare: & manibus circundans *eam*,
Oſculabatur, his *eam* compellans: O miſera filia,
Quis Deorum tam turpitèr te perdidit?
Quis me ſenem ſilicernium orbatum te
Facit? hei mihi! Utinam tecum morier filia.
Poſtquam autem lamentationum & luctuum finem fecit,
Volens ſenile excitare corpus,
Adhæſit, ſicut hedera ramis lauri,
Tenuibus peplis. erat autem horribilis lucta.
Ipſe enim volebat excitare genu,
Ipſa verò retrahebat. ſi verò per vim trahebat,
Senilem carnem divellebat ab oſſibus.
Tandem verò defecit, & infelix dimiſit
Animam: non enim amplius malo erat ſuperior.
Jacent autem mortui, filiaque, & ſenex pater, *alter*
Prope *alterum*, digna lacrymis calamitas
Quare mihi tua quidē *perſonæ* è medio recedat *audito hoc* ſerm.
Cognoſces enim tu ipſa pœnæ effugium.
“ Res verò mortalium non nunc primùm arbitror umbram *eſſe*:
“ Neque trepidans dixerim, illos, qui de mortalibus ſapientes
“ Videntur eſſe, & indagatores *artificeſque* ſermonum,

Πλὴν τοῦ τεκόντος) ἀντὶ τοῦ πᾶσι, τουτέστι πᾶσιν ἄλλοις. σφόδρα δυσεπίγνωστος ἦν, πλὴν τοῦ τεκόντος· μόνος γὰρ οὗτος ἐπεγίνωσκε τὴν Γλαύκην, ἐπείπερ ὀξύτερον κατεῖχε τὴν κόρην. Τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὅμως· Εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον. * Πίνδαρος. Γναθμοῖς ἀδήλοις) αἱ δὲ σάρκες αὐτῆς διὰ τῶν γναθμῶν κατέρρεον, ὑπὸ τῶν ἀδηλοποιῶν φαρμάκων. δαπανῶ δὲ αὐτὰ τῆς φαρμακικῆς κέχρηται. Τύχην γὰρ εἴχομεν) ἀντὶ τοῦ ἡ δυστυχία τῆς Γλαύκης καὶ τὸ περὶ ταύτην πάθος ἐπαίδευσεν ἡμᾶς καὶ ἀπέτρεπεν. Συμφορᾶς δὲ ἀγνωσίᾳ, ἤτοι ἀγνοῶν ὅτι φαρμακεία ἐστὶ τὸ πάθος καὶ τὴν συμπεσοῦσαν αὐτῇ φύσιν. Τίς τὸν γέροντα) τὸν πλησίον θανάτου ὄντα. τύμβους δὲ καλοῦσι τοὺς γέροντας, παρόσον πλησίον εἰσὶ τοῦ θανάτου καὶ τοῦ τάφου. Προσείχεθ' ὥστε κισσὸς) προσεκεκόλλητο, περιεπέπλεκτο τοῖς πέπλοις αὐτοῖς, ὥσπερ ὁ κισσὸς περιπλέκεται τοῖς περὶ αὐτὸν τυγχάνουσιν ἔρνεσιν. Ἡ δ' ἀντελάζυτ') ἀλλ' ἀντελαμβάνετο, ὡς δὴ προσδοκῶσα ἀπαλλαγῆναι τοῦ κακοῦ. Εἰ δὲ πρὸς βίαν ἄγοι) ὅτε δέ φησιν αὐτὸς ἑαυτὸν ἐβιάζετο ἀναστῆναι βίᾳ, ἐμοῦ καὶ τὰς σάρκας ἀπώλεσε. Πέλας ποθεινὴ) ἡ συμφορὰ ὄντως ποθεινὴ πρὸς δάκρυα καὶ θρήνους κεῖται, ἀντὶ τοῦ ἀξιοδάκρυτος συμφορά. ὡς ἄν τις ἰδὼν ποθήσειε δακρῦσαι, ἐλεεινὸς ὄντως τοῦ θεάματος. Καί μοι τὸ μὲν σὸν) τὸ σὸν ἀντὶ τοῦ σύ. αὐτή, φησί, ἀφ' οὗ ἤκουσας ἐμοῦ λόγου, ἐκποδὼν ἔσῃ καὶ φύγῃ. πειραθήσῃ γὰρ αὐτὴ τιμωρίας. τοῦ δὲ λόγου καὶ ὧν ἀπήγγειλα φρούδη γίνου. ζημίας δὲ ἀποστροφὴν τὴν ἀνταπάλλαξιν τῆς συμφορᾶς, ἣ δέδορκε καταληψομένη σε. ὁ δὲ νοῦς οὕτως, καὶ σὺ μὲν αὐτὴ ὑπὸ τοῦ ἐμοῦ λόγου πεισθεῖσα φεῦγε. εἰ γὰρ μὴ φύγῃς τῇ πείρᾳ γνώσῃ καὶ ἐπαναστρεφομένην εἰς σὲ τὴν ζημίαν, καὶ τὴν συμφοράν. ἢ οὕτως, τὸ κατὰ σὲ ἔξω τοῦ λόγου μου ἔστω. ὅ ἐστι, τὸ κατὰ σὲ οὐκ ἐξεργάσομαι τῷ λόγῳ. αὐτὴ γὰρ γνώσῃ τὰ λοιπὰ ἐκ τῆς εἰς σὲ ἀνακυκλουμένης ζημίας. Γνώσῃ γὰρ αὐτὴ) γράφεται καὶ γλώσσῃ, ἵν' ᾖ τῇ ἑαυτῆς γλώσσῃ καὶ φλυαρίᾳ ὄψει, ὅσον οὐδέπω τὴν καταληψομένην σε τιμωρίαν, εἰ μὴ ζητήσεις φυγῆς. 1224. Τὰ θνητὰ δ' οὐ νῦν) τοῦτο εἶπεν, ἐπεὶ τινὲς τῶν σοφῶν μεγάλα δύνασθαι τοὺς ἀνθρώπους ὑπέθεντο, καὶ λογισμῷ δευτέρους εἶναι θεῶν. Ὅμηρος μὲν γὰρ Ὀδυσσέα καλεῖ, Διῒ μῆτιν ἀτάλαντον. Πίνδαρος δέ φησιν οὕτως, † Ἀλλά τι προσφέρομεν ἔμπαν, ἢ μέγαν νόον, ἤτοι φύσιν Ἀθανάτοις. ἐγὼ οὖν, φησί, καὶ εἴποιμ' ἂν δόξῃ τῶν σοφῶν ἐναντίως τὸ ἀνθρώπινον γένος, ὃ παραδείξομαι σκιὰν ἀποφαίνειν τὰ κατὰ τοὺς ἀνθρώπους πράγματα.

* *Pind.* Neme. Od. 1. Ep. γ'. Unde locum priùs corruptum reſtitui. † *Pindar.* Neme. Od. 6. Stroph. 1. Unde & hunc locum miſerè priùs corruptum reſtitui. *Joſua Barnes.*

ANNOTATIONES.

V. 1201. Γναθμῶν) *Schol.* γναθμοῖς legere videtur; ſed γναθμῶν retinendum.

V. 1209. Γέροντα τύμβον) aliàs unico verbo vocant τυμβογέροντα. Vid. quæ Nos ad *Heraclid.* v. 168.

V. 1210. Τίθησιν) Vid. ſuprà ad v. 1069.

V. 1213. Λεπτοῖσι) *Iamb.* eſt. Vid. quæ ſupra notavimus ad *Phœn.* v. 19.

V. 1216. Ἀντελάζυτ') aliàs ἀντελάζετ'. Vid. *Scholiaſten* ad *Hecub.* v. 64. de λάζυμαι & λάζομαι. & *Bacch.* v. 451.

“ Τούτους

" Τούτους μεγίστην μωρίαν ὀφλισκάνειν.
" Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
" Ὄλβου δ' ἐπιρρυέντος, εὐτυχέστερος
" Ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.
Χο. Ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
Κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
Ὦ τλῆμον, ὥς σου συμφορὰν οἰκτείρομεν,
Κόρη Κρέοντος, ἥ τις εἰς ᾍδου δόμους
Οἴχῃ γάμων ἕκατι τῶν Ἰάσονος.
Μη. Φίλαι, δέδοκται τοὔργον, ὡς τάχιστά μοι
Παῖδας κτανούσῃ, τῆσδ' ἀφορμᾶσθαι χθονός·
Καὶ μὴ, σχολὴν ἄγουσαν, ἐκδοῦναι τέκνα
Ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρὴ,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Ἀλλ' εἶ', ὁπλίζου, καρδία· τί μέλλομεν
Τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
Ἄγ', ὦ τάλαινα χεὶρ ἐμὴ, λάβε ξίφος,
Λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
Καὶ μὴ κακισθῇς, μηδ' ἀναμνησθῇς τέκνων,
Ὦ φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
Λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν.
Κἄπειτα θρήνει. καὶ γὰρ εἰ κτάνῃς σφ', ὅμως
Φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Ἰὼ γᾶ τε, καὶ παμφαὴς ἀκτὶς
2 Ἀελίου, κατείδετε, ἴδετε τὰν
3 Ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
4 Τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·
5 Σᾶς γὰρ ἀπὸ χρυσέας
6 Γονᾶς ἔβλαστεν· θεῶν
7 Δ' αἷμα πίτνειν φόβος ὑπ' ἀνέρων.
8 Ἀλλά νιν, ὦ φάος διογενὲς, κάτειργε,
9 Κατάπαυσον, ἔξελ' οἴκων φονίαν,
10 Τάλαινάν τ' ἐρινὺν ὑπ' ἀλαστόρων.

Ἀντιστροφή.

1 Μάταν μόχθος ἔρρει τῶν τέκνων,
2 Καὶ μάταν γένος φίλιον ἔτεκες, ὦ

" Hos maximè ſtultos eſſe judicandos.
" Nemo enim mortalium eſt beatus vir:
" Opibus verò affluentibus, fortunatior
" Alio fieri poteſt alius, beatus verò nequaquam.
Cho. Videtur Deus multa hoc die
Mala congeſturus juſtè in Jaſonem.
O miſera, quàm miſeramur tuam calamitatem,
Filia Creontis, quæ in Plutonis domo
Vadis propter nuptias Jaſonis.
Med. O amicæ, decretum eſt mihi negotium, quàm primum
Interfecero liberos, diſcedere ex hàc terrâ:
Neque cunctando prodere liberos,
Ut interficiantur ab aliâ infeſtiore manu.
Omninò neceſſe eſt eos mori: quia verò oportet,
Nos occidemus *eos*, qui etiam *eos* procreavimus.
Sed age, ô cor, armeris: quid cunctamur
Mala dira, & neceſſaria facere?
Age ô miſera manus mea, arripe gladium,
Corripe, vade ad triſtem metam vitæ,
Et ne ſis ignara, neque memineris liberorum;
(Oh chariſſimos,) ut peperiſti! ſed hoc ſaltem
Brevi die obliviſcaris filiorum tuorum.
Poſteà verò luge: etſi enim occideris eos, tamen
Chari fuerunt, ſed ego infelix mulier,

ANTISTROPHICA.

Strophe.

1 Iô terra, & omnia illuſtrans radius
2 Solis, aſpicite, videte illam
3 Perditam mulierem, priuſquam cruentam
4 Liberis admoveat manum, quæ cædem ipſa patrabit:
5 Tuo enim ex aureo
6 Genere orti ſunt; Deorum verò
7 Sanguinem nefas eſt cadere ab hominibus.
8 Quamobrem ipſam, ô divinum lumen, coerce,
9 Compeſce, expelle ex ædibus cruentam
10 Miſeramque furiam à malis dæmonibus *agitatam*.

Antiſtrophe.

1 Fruſtrà labor perit liberorum,
2 Et fruſtrà peperiſti charum genus, ô tu,

Εὐδαίμων ἀνὴρ) εὐδαίμονα δὲ λέγει, τὸν ἄχρι τέλους ἀπείρατον κακῶν. 1238. Σχολὴν ἄγουσαν) διατρίβουσαν, βραδύνουσαν. πάλιν δὲ τῷ συνήθει σχήματι ἐχρήσατο, καὶ ἔστιν ἀντὶ τοῦ ἀλύουσαν. 1245. Πρὸς βαλβῖδα) βαλβὶς κυρίως ἡ τῶν δρομέων ἄφεσις. ἄγε δὴ, ὦ Μήδεια, πρὸς ἄφεσιν ὅρμα, καὶ ἀρχὴν δυστυχοῦς βίου καὶ πράξεως ἐντεῦθεν. λέγει δὲ τὸν φόνον τῶν παίδων. 1251. Ἰὼ γᾶ τε καὶ παμφαὴς) ὡς δῆλον ὁ χορὸς, ὅτι πάντως ἔδοξε τῇ Μηδείᾳ φονεῦσαι τὰ τέκνα, καὶ ὥρμησε πρὸς τὴν πρᾶξιν. καὶ ὅτι ἀδύνατος ἦν αὐτὴ τὸ κωλῦσαι τοῦτο τὸ ἐγχείρημα, θεοῦ δὲ μόνον τοῦτο, ἐπικαλεῖται τοὺς θεοὺς παρακλητικοῖς λόγοις, εἰς τὸ κωλῦσαι αὐτὴν τῆς τοιαύτης τόλμης. καὶ ἥλιον μὲν ἐπικαλεῖται, ὡς πρόγονον Μηδείας. καὶ ὅτι πάντ' ἐπισκοπεῖ. τὴν δὲ γῆν, ὡς μέλλουσαν εἰσδέχεσθαι ταῖς μιαιφονίαις τὸ αἷμα. Κατείδετε) κατοπτεύσατε, καὶ ἐλεήσατε ἀποβλέψαντες, καὶ προνοήσασθε, δι' οὗ τρόπου δυνατὸν αὐτὴν ἀποσχεθῆναι τοῦ φόνου τῶν παίδων. 1256. Γονᾶς ἔβλαστεν) ἀντὶ τοῦ ἐβλάστησε, ἔφυ. ἐπεὶ ἡ Μήδεια μὲν ἔγγονος ἡλίου, οὗτοι δὲ ἐκ Μηδείας. θεῶν δ' αἷμα, γένος. ἐπεὶ οὖν φόβος ἐστὶ, τὸ θεῖον αἷμα ὑπὸ ἀνθρώπων πεσεῖν, καὶ σὺ αὐτὴν τιμωρῆσαι. Ἔξελ' οἴκων) τὸ ἑξῆς, ὑπέξελε τῶν οἴκων τὴν φονίαν τὴν ἐρινὺν τῶν ἀλαστόρων. τάλαιναν δὲ ἐρινὺν αὐτὴν φησὶ τὴν Μηδείας δαίμονα, ἢ τὴν Μήδειαν. ὑπείληφε γὰρ τῶν τοιούτων κακῶν αἰτίας τὰς ἐρινῦς. τάλαιναν δὲ τὴν ταλαίπωρον ποιοῦσαν. 1261. Μάταν μόχθος) μάτην φησὶν ὑπὸ δαιμόνων πονηρῶν ἀπόλλυνται τὰ τέκνα, μηδὲν πταίσαντα. μόχθος δὲ τέκνων, ὁ μοχθηρὸς βίος τῶν τέκνων. λέγει δὲ περιφραστικῶς τὰ κακὰ ἤθη, καὶ μοχθηρὰ τέκνα.

ANNOTATIONES.

1227. *Μωρίαν ὀφλισκάνειν*) ὄφλω, ὀφλίσκω, & ὀφλισκάνω pro ὀφείλω; & *Demoſthenes* ἄνοιαν ὀφλισκάνειν dixit, ut hic *Euripides* μωρίαν ὀφλισκάνειν. Et *Chryſoſtomus* —τὶς γέλωτα ὀφλισκάνειν παρ' ὑμῖν. Et in hâc Fabulâ v. 581. πλείω ζημίαν ὀφλισκάνει. Sic δίκην ὀφλισκάνω. Vid. *Andr.* Schotti Obſervat. Human. l. 2. c. 23. Et *Gulielmi Budæi* Comment. Græc. Ling. fol. 78. *J. Barnes.*

V. 1241. Ἡμεῖς κτενοῦμεν &c.) Idem verſus ſupra legitur *viz.* v. 1063. De Genere *Maſculino* Plurali pro *unâ Fœminâ*, Vid. ad *Hecub.* v. 511. De hâc autem *Medeæ* inter Iram & Miſerationem ſuſpenſione, Vid. *Calliſtrati* Imagines, & *Jacobi Nicolai Loenſis* Miſcell. Epiphill. l. 4. c. 16. & c. 17. ubi & hic locus expenditur & locus ex *Neophrone* Poetâ de hâc ipſâ re elegantiſſimus, qui etiam apud *Stobæum* invenitur Titulo 20. De Irâ p. 107. Ex *Hugonis Grotii* Editione. Vid. etiam ſupra ad hujus Fabulæ v. 1021. *Joſua Barnes.*

V. 1247. Τέκνων, ὦ φίλταθ', ὡς ἔτικτες) Sic legit Codex *Scaliger.* Noſque refert ad ſimilem locum infra v. 1280. quem videas. *Duportus* quoque ὃν legit pro ὡς; ſed & ὡς benè poteſt ſtare, quare nec amovendum puto. Hic verò ſemel in genere obſervandum, quòd *Genitivus Relativi* quodvis verbum ſequi ſolent, etiam Tranſitivum, ſi modo *Antecedens* fuerit in *Genitivo*; ut etiam quivis alius Caſus, nam & *Atticum* eſt, quòd *Relativum* & *Antecedens* eodem caſu gaudeant; ſic χεῖράς μου βέβληκα, οἷς ἔχω. *Pſalm.* 119. v. 47. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα, cum in ſequenti verſu ſit Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα. *Joſua Barnes.*

V. 1251. Ἰὼ γᾶ τε, καὶ παμφαὴς ἀκτὶς Ἀελίου) Hunc locum ita vertit *Ennius*, *Jupiter*, tuque adeò ſumme Sol, qui res omnes inſpicis, Quique tuo lumine Mare, Terram, ac Cœlum contines, aſpice: Hoc Facinus priuſquam fiat, prohibeſſis ſcelus. *Joſua Barnes.*

3 Κυανεᾶν λιποῦσα Συμπληγάδων
4 Πετρᾶν ἀξενωτάταν εἰσβολάν.
5 Δειλαία· τί σοι φρενῶν
6 Βαρὺς χόλος προσπιτνεῖ,
7 Καὶ δυσμενὴς φόνος ἀμείβεται;
8 Χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσμα-
9 τ' ἐπὶ γαῖαν αὐτοφόνταισι. ξυνῳ-
10 δὰ θεόθεν πιτνοῦντ' ἐπὶ δόμοις ἄχη.

Παῖς. Οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;
Ετ. Οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γάρ.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ἀκούεις βοὰν; ἀκούεις τέκνων;
Ἰὼ τλᾶμον, ἰὼ κακοτυχὲς γύναι.
Παρέλθω δόμους. ἀρῆξαι φόνον
Δοκεῖ μοι τέκνοις.
Παι. Ναὶ πρὸς θεῶν ἀρήξατ', ἐν δέοντι γάρ·
Ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.
Χο. Τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος, ἢ σί-
δαρος, ἅ τις τέκνων, ὧν ἔτεκες,
Ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.
Μίαν δὴ κλύω, μίαν τῶν πάρος
Γυναῖκα φίλοις χέρα προσβαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ' ἡ Διὸς
Δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ.
Πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν, φόνῳ
Τέκνων δυσσεβεῖ,
Ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
Δυοῖν δὲ παίδοιν ξυνθανοῦσ', ἀπόλλυται.
Τί δή ποτ' οὖν γένοιτ' ἂν ἔτι δεινόν;
" Ὦ γυναικῶν λέχος πολύπονον,
" Ὅσα δὴ βροτοῖς ἔρεξας ἤδη κακά;

Ἴαμβοι.

Ια. Γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕστατε στέγης,
Ἆρ' ἐν δόμοισιν ἡ τὰ δείν' εἰργασμένη
Μήδεια * τοῖσιν, ἢ μεθέστηκεν φυγῇ; * Cant. ubicl.
Δεῖ γάρ νυν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
Ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος,
Εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.

3 Quæ reliquiſti cærulearum Symplegadum
4 Scopulorum inhoſpitaliſſimum ingreſſum,
5 Infelix tu: Quare ad animum tuum
6 Accedit gravis indignatio,
7 Et ei ſuccedit hoſtilis cædes?
8 Noxia enim ſunt hominibus piacula cognatorum
9 Parricidis in terrâ. Scio
" 10 Divinitus immitti mala in domum.
Puer. Heu quid faciam? quò effugiam manus matris?
Alt. Neſcio, chariſſime frater; actum enim eſt de nobis.

MONOSTROPHICA.

Ch. Audis clamorem? audis liberos?
O miſera, ô mulier infelix,
Accedam domum; depellere necem à
Liberis ego conſtitui.
Puer. Per deos ferte opem, opportunè enim *feretis*:
Quia ſumus jam prope retia gladii.
Cho. O miſera, quàm es ſaxum, aut fer-
rum, quæ liberorum, quos peperiſti,
Frugem parricidiali modo occides?
Unam hactenus audio, unam tantùm de priſcis
Mulierem injeciſſe manum charis liberis,
Ino furentem divinitùs, quando Jovis illa
Conjux ipſam emiſit extra domum in exilium.
Miſera verò cadit in mare propter cædem
Impiam liberorum,
Pedem ſupra marinum littus extendens.
Moriens verò cum duobus filiis, periit.
Quidnam igitur poteſt accidere triſtius?
" O mulierum conjugia ærumnoſa,
" Quanta hominibus mala jam attuliſtis?

Jaſon.

Mulieres, quæ ſtatis prope hanc domum,
Num in ædibus *eſt* illa, quæ facinus hoc atrox commiſit,
Medæa illis? an hinc ſe proripuit fugâ?
Oportet enim ipſam aut abſcondi ſub terrâ,
Aut attollere volatile corpus in aeris profunditatem,
Niſi regum domui det pœnas.

Πέτρας ἀξενωτάτων) περιφραστικῶς τὴν Προποντίδα, παρόσον οἱ περιβάλλοντες τῷ τόπῳ σαφῶς διατίθενται. Αὐτοφόνταις) τοῖς αὐτοχειρίοις, ἤτοι τοῖς π[…]φονα, καὶ ἄξια τοῦ τολμήματος κακὰ παρὰ τῶν θεῶν ἐπὶ προσπίπτοντα. θέλει δὲ εἰπεῖν, ὅτι ἀξίως οἱ θεοὶ τούτους κολάζουσιν. ὁ δὲ νοῦς χαλεπὰ οἱ φόνοι τοῖς αὐτοχειρίοις, τουτέστι χαλεπὸν μίασμα καὶ δυσέκνιπτον ὁ φόνος ὁ κατὰ τῶν ὁμογενῶν τοῖς τολμῶσιν αὐτόν. γράφεται δὲ, καὶ συνῳδὰ, ὃ ἐστι τὸ ἑξῆς ξυνῳδὰ θεόθεν ἐπὶ δόμοις πιτνοῦντ' ἄχη. χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματα ἐπὶ γαῖαν αὐτοφόνταις. Ἀκύεις βοάν) τοῦτο πρὸς ἀλλήλας αἱ ἀπὸ τοῦ χοροῦ φασὶν πρὸς ἐρώτησιν. τὸ δὲ ὦ κακοτυχὲς γύναι, ἰδίως πρὸς τὴν Μήδειαν ἀναπεφώνηται. τὸ δὲ Παρέλθω δόμους, πάλιν πρὸς ἀλλήλας· τὸ δὲ ἀρῆξαι φόνον δοκεῖ μοι τέκνοις, κατὰ ἀπόφασιν. Ἄροτον τέκνων) ἥτις τὸν ἄροτον τῶν τέκνων, ὧν ἔτεκες, αὐτοχειρὶ θανάτῳ κτενεῖς. Ἰνὼ μανεῖσαν) Ἰνὼ κατὰ χόλον τῆς Ἥρας μανεῖσα, ἔρριψεν αὐτὴν εἰς τὴν θάλασσαν, ἅμα τῷ υἱῷ αὐτῆς Μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς Θηβαίους ἡ Ἥρα, ἐπεὶ παρ' αὐτοῖς ἐτέχθη ὁ Διόνυσος. καὶ αὐτὰς δὲ ὁ Διόνυσος ἐξέμηνε τὰς τόπων γυναῖκας, μὴ προσιεμένας αὐτὸν ὕστερον τῶν Θηβαίων. ἴσως δὲ καὶ τοῦτο τῆς Ἥρας ἐργασαμένης. οἱ μὲν ἱστοροῦσι τοῖ[ς] παισὶ συγκατενεχθῆναι τὴν Ἰνὼ εἰς τὴν θάλασσαν. Εὐριπίδης δὲ φησὶν αὐτόχειρα τῶν δύο παίδων γενομένην, Λεάρχου καὶ Μελικέρτου, αὐτὴν ὕστερον εἰς τὴν θάλασσαν ῥῖψαι. φασὶ δὲ αὐτοὺς εἰς Κόρινθον ἐκβρασθέντας, Ἰνὼ καὶ Μελικέρτην ἀναληφθῆναι προστάξει Σισύφου, ὡς καὶ ἀγῶνα Ἴσθμιον ἐπὶ Μελικέρτῃ κατὰ χειμῶνα θεῖναι τοῦτο ἐμπεσόντος. Μανεῖσαν) κατὰ χόλον τῆς Ἥρας Ἀθάμας κατετόξευσε Λέαρχον, τὸν ἐξ Ἰνοῦς γενόμενον αὐτῷ παῖδα. καὶ αὐτὴ δὲ ἡ Ἰνὼ μανεῖσα ὑπὸ τῆς Ἥρας (ὠργίζετο γὰρ αὐτῇ, ὅτι ἐτιθήνησε τὸν Διόνυσον) τὸν ἕτερον ἑαυτῆς παῖδα ἀποσφάξασα Μελικέρτην, ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. Εὐριπίδης δὲ φησὶν αὐτὴν αὐτόχειρα γενομένην Λεάρχου καὶ Μελικέρτου, ὕστερον εἰς τὴν θάλασσαν ἁλέσθαι. 1296. Δεῖ γάρ νιν) δεῖ γὰρ αὐτὴν ἢ καταποντωθῆναι, ἢ ἀναπτῆναι. εἰ ἄρα τι πάθοι μὴ δώσειν δίκην τῶν τολμηθέντων.

ANNOTATIONES.

V. 1263. Κυανεᾶν &c.) Quod hic de *Propontide*, aliàs de *Ponto* dixit, *Iphig.* Taur. v. 241. Quæ Lectio ex hoc loco confirmatur & illuſtratur; utraque enim Regio dicitur Symplegadum terra, ob viciniratem. *Joſua Barnes.*

V. 1269. Ξυνῳδὰ) aliàs ξυνῳδά.

V. 1278. Ἐγγὺς ἐσμὲν ἀρκύων) De hâc proverbiali formâ Vid. ad *Electr.* v. 665.

V. 1280. Τέκνων, ὧν ἔτεκες) Vid. ſupra ad v. 1247.

V. 1283. Γυναῖκα φίλοις χέρα &c.) Puto χέρα legendum; (præcipuè duobus Iambis aliis additis) quià nihil aliud deeſt ad Iambi trimetri conſtitutionem, cùm τὸ ε in φίλοις fit communis, ut *Hom.* Iliad. Δ. v. 155. [Φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι' ἔταμνον. Item Θ. v. 308. Φίλε κασίγνητε, ὄλωλε ἀνὴρ ὤριστος ... Σχέδιος. Exempla brevitatis paſſim invenias. *J. Barnes.*

1296. Δεῖ γάρ νυν ἤτοι γῆς σφε κρυφθῆναι κάτω) Video τὸ σφε hic, ut ſæpè alibi, poni pro αὐτὴν, nempe ſuprà v. 944 & v. 806. & v. 33. & *Oreſt.* v. 29. &c. quare τό νιν vetus mutandum erat in νυν particulam expletivam, neceſſe enim erat ut brevе fieret ob verſum. *Joſua Barnes.*

Πέποιθ',

Πέποιθ', ἀποκτείνασα κοιράνους χθονὸς,
Ἀθῶος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
Ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ', ὡς τέκνων ἔχω·
Κείνην μὲν, οὓς ἔδρασεν, ἔρξουσιν κακῶς.
Ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
Μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
Μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
Χο. Ὦ τλῆμον, οὐκ οἶδ', οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.
Ια. Τί δ' ἔστιν; ἦπου κἄμ' ἀποκτεῖναι θέλει;
Χο. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
Ια. Οἴμοι, τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
Χο. Ὡς οὐκ ἔτ' ὄντων σῶν τέκνων φρόντιζε δή.
Ια. Ποῦ γάρ νιν ἔκτειν', ἐντὸς, ἢ 'ξωθεν δόμων;
Χο. Πύλας ἀνοίξας, σῶν τέκνων ὄψει φόνον.
Ια. Χαλᾶτε κλῇδας, ὡς τάχιστα, πρόσπολοι.
Ἐκλύεθ' ἁρμοὺς, ὡς ἴδω διπλοῦν κακὸν,
Τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι δίκην.
Μη. Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
Νεκροὺς ἐρευνῶν, κἀμὲ τὴν εἰργασμένην;
Παῦσαι πόνου τοῦδ'· εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
Λέγ' εἴ τι βούλει· χειρὶ δ' οὐ ψαύσεις ποτέ.
Τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
Δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
Ια. Ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
Θεοῖς τε, κἀμοὶ, παντί τ' ἀνθρώπων γένει.
Ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
Ἔτλης, τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας.
Καὶ ταῦτα δράσασ', ἥλιόν τε προσβλέπεις,
Καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
Ὄλοι'. ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
Ὅτ' ἐκ δόμων σε, βαρβάρου τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
Πατρός τε, καὶ γῆς προδότιν, ἥ σ' ἐθρέψατο.
Τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί·
Κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
Τὸ καλλίπρωρον εἰσέβης Ἀργοῦς σκάφος.
Ἤρξω μὲν ἐκ τοιῶνδε· νυμφευθεῖσα δὲ
Παρ' ἀνδρὶ τῷδε, καὶ τεκοῦσά μοι τέκνα,
Εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
Οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
Ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
Γῆμαί σε, κῆδος ἐχθρὸν, ὀλέθριόν τ' ἐμοὶ,
Λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
Ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι

Num confidit, cùm interfecerit principes hujus terræ,
Se poſſe impunitam aufugere ex his ædibus?
Sed non tam ipſius, quàm liberorum curam gero:
Illam enim punient *cives*, quos læſit:
Meorum verò liberorum veni ut ſervarem vitam,
Ne aliquid mihi faciant Creontis cognati,
Vindicantes injuſtam cædem à Matre *eorum* perpetratam.
Cho. O infelix, neſcis quò malorum veneris,
Jaſon: nam non dixiſſes hæc verba.
Ja. Quid eſt? an vult etiam me occidere?
Cho. Liberi tui manu matris perierunt.
Ja. Heu quid dicis? quàm me perdidiſti mulier!
Cho. Cogita igitur tanquam de mortuis liberis tuis.
Ja. Ubinam eos interfecit, intuſne, an extra domum?
Cho. Aperi fores, & videbis cædem tuorum liberorum.
Ja. Laxate ſeras quàm celerrimè, miniſtri,
Solvite repagula, ut videam geminum malum,
Hos *liberos* interfectos, & ut illam puniam.
Med. Quid haſce moves, & vectibus removes portas,
Quærens mortuos, & me quæ cædem patravi?
Deſiſte ab hoc labore, ſi verò tibi me opus eſt,
Dic ſi quid vis. Nunquam verò manu me attinges:
Talem currum Sol pater patris
Dat nobis, propugnaculum contra manum hoſtilem.
Ja. O ſceleſta, ô maximè inviſa mulier
Diis, & mihi, & univerſo mortalium generi,
Quæ tuis liberis injicere gladium
Auſa es, quos peperiſti, & me filiis orbatum perdidiſti:
Et cùm hæc feceris, tamen ſolem aſpicis,
Et terram, quæ auſa es rem impiiſſimam.
Pereas. Ego vero nunc primum ſapio, tunc non ſapiens,
Cùm te ex domo, & terrâ barbarâ
Duxi in domum Græcam, magnum malum,
Et patris & terræ, quæ te nutrivit, proditricem.
Dii verò conjecerunt in me tuum malum dæmonem;
Nam occiſo jam tuo fratre *Abſyrto*, quocum ſimul educata es,
Conſcendiſti navem Argo, habentem pulchram proram.
Hæc quidem ſunt tua initia. Inde verò nupta
Huic viro, *i.e. mihi*, & cùm pepereris mihi liberos,
Propter lectum, & *alias* nuptias eos perdidiſti.
Nulla eſt Græca mulier, quæ hoc
Unquam auſa eſſet: præ quibus ego te dignam duxi,
Quam ducerem, connubium infeſtum, & mihi perniciosum,
Leænam, non mulierem, Tyrrhenâ
Scyllâ ſæviorem naturam habentem.
Verùm nequaquam te plurimis conviciis

1300. Ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι) ἀτιμώρητος. Μητρῷον τὸν ὑπὸ μητρὸς φόνον ἐκπράσσοντες αὐτοὶ, ἀντὶ τοῦ, δίκην ἀπαιτοῦντες, ὑπὲρ οὗ εἰργάσατο φόνου ἡ τούτων μήτηρ. τὸ ἑξῆς Παῖδες σέθεν τεθνᾶσι μητρῴᾳ χειρὶ, ἄνω ἐπὶ τοῦ πύργου ἑστῶσα, ταῦτα λέγει. Χειρὶ δ' οὐ ψαύσεις) ἀντὶ τοῦ, οὐ δυνήσῃ κατασχεῖν ἡμᾶς, οὐδὲ καταλαβεῖν. ἔχομεν γὰρ ὄχημα πρὸς ἀποφυγὴν τῶν πολεμίων. ἐπὶ ὕψους γὰρ φαίνεται ἡ Μήδεια, ὀχουμένη δρακοντείοις ἅρμασιν, καὶ βαστάζουσα τοὺς παῖδας.

Παρέστιον) Ἄψυρτον, τὸν ἀδελφὸν παρὰ τὴν ἑστίαν καὶ τὸν βωμὸν ἀνεῖλεν, ὡς ἔνιοι· ἢ ἐπὶ τοῦ βωμοῦ τῆς Ἀρτέμιδος, ὡς Ἀπολλώνιός φησιν. ἢ ἔτι νήπιον ὄντα ἐν τῇ Κολχίδι, ὡς Καλλίμαχος.

Τῆς Τυρσηνίδος) τῆς Σικελικῆς. Τυρσηνὸν γὰρ πέλαγος Σικελίας. ἐν τούτοις φησὶ δὲ Εὐριπίδης, τὴν Ὀδυσσέως πλάνην περὶ Ἰταλίαν καὶ Σικελίαν ὑποτιθέμενος γεγονέναι.

ANNOTATIONES.

V. 1309. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν) Scholiaſtes videtur hunc Verſum ita legiſſe, Παῖδες σέθεν τεθνᾶσι μητρῴᾳ χειρί.

V. 1321. Τοιόνδ' ὄχημα πατρὸς Ἥλιος &c.) Hæc referenda ad Fabulam, quæ *Medeam* junctis ad currum Draconibus, ex Avo Sole Patri *Æeta* datis, per *Aerem* avectam aufugiſſe narrat. Quem locum *Horatius* reſpicit, *Epod.* 5. *Hoc delibutis ulta Donis Pellicem ſerpente fugit alite.* Huc addatur *Senec. in Medea.* v. 1020. *Sic fugere ſoleo: Patuit in cœlum via: Squamoſa gemini colla ſerpentis jugo ſummiſſa præbent. Recipe jam natos, Parens, Ego inter auras aliti curru vehar.* De Sole *Medeæ* Avo, vide ſuprà ad v. 954. *Joſua Barnes.*

V. 1338. Εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας) Idem ferè infra v. 1367.

Δάκοιμι,

Δάκοιμι, τοιόνδ' ἐμπέφυκέ σοι θράσος.
Ἔῤῥ' αἰσχροποιὲ, καὶ τέκνων μιαιφόνε.
Ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα·
Ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
Οὐ παῖδας, οὓς ἔφυσα, κἀξεθρεψάμην,
Ἕξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.
Μη. Ἦ μάκρ' ἂν ἐξέτεινα τοῖσδ' ἐναντία
Λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο,
Οἷ' ἐξ ἐμοῦ πέπονθας, οἷά τ' εἰργάσω.
Σὺ δ' οὐκ ἔμελλες, τἄμ' ἀτιμάσας λέχη,
Τερπνὸν διάξειν βίοτον, ἐγγελῶν ἐμοὶ,
Οὐδ' ἡ τύραννος, οὐδ' ὁ σοὶ προσθεὶς γάμους
Κρέων ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
Πρὸς ταῦτα, καὶ λέαιναν, εἰ βούλει, κάλει,
Καὶ Σκύλλαν, ἣ Τυρσηνὸν ᾤκησεν πέδον.
Τῆς σῆς γὰρ, ὡς χρὴ, καρδίας ἀνθηψάμην.
Ια. Καὐτή γε λυπῇ, καὶ κακῶν κοινωνὸς εἶ.
Μη. Σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.
Ια. Ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
Μη. Ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
Ια. Οὐ τοίνυν ἡ 'μὴ δεξιά σφ' ἀπώλεσεν.
Μη. Ἀλλ' ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.
Ια. Λέχους σφε κἠξίωσας οὕνεκα κτανεῖν;
Μη. Σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;
Ια. Ἥτις γε σώφρων· σοὶ δὲ πάντ' ἐστὶν κακά.
Μη. Οἵδ' οὐκ ἔτ' εἰσί· τοῦτο γάρ σε δήξεται.
Ια. Οἵδ' εἰσὶν, οἴμοι, σῷ κάρᾳ μιάστορες.
Μη. Ἴσασιν, ὅστις ἦρξε πημονῆς, θεοί.
Ια. Ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.
Μη. Στύγει· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν·
Ια. Καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.
Μη. Πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
Ια. Θάψαι νεκρούς μοι τούσδε, καὶ κλαῦσαι πάρες.
Μη. Οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερὶ,
Φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας θεοῦ,
Ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
Τύμβους ἀνασπῶν. γῇ δὲ τῇδε Σισύφου
Σεμνὴν ἑορτὴν, καὶ τέλη προσάψομαι
Τολοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
Αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
Σὺ δ', ὥσπερ εἰκὸς, κατθανῇ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
Πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων.

Pungerem: talis confidentia tibi innata eſt.
Pereas tu venefica, & cæde liberorum polluta.
Me verò decet lugere meum fatum:
Qui neque novis nuptiis fruar,
Nec liberos, quos genui, & educavi,
Habebo, ut alloquar vivos, ſed amiſi.
Med. Profectò prolixam orationē haberem, & huic contrariam
Orationi, niſi Jupiter pater ſciret,
Qualia beneficia à me acceperis, & quæ tu viciſſim feceris.
Tu verò non debebas, meo connubio contempto,
Jucundam vitam agere, inſultans mihi.
Neque puella regia, neq; qui tibi eam in matrimonium collocavit,
Creon, impunè debebas me ejicere ex hâc terrâ.
Quamobrem, ſi libet, voca me leænam,
Et Scyllam, quæ in Tyrrheno ſolo habitavit.
Tuum enim, ut convenit, cor viciſſim ſauciavi.
Ja. Tu quoque doles, & particeps es malorum.
Med. Bene ſcito. Juvat autem dolor, ſi tu me non irrideas.
Ja. O liberi, quàm malam matrem habuiſtis?
Me. O liberi, quàm periiſtis propter patris cupiditatem.
Ja. Tamen mea manus non perdidit eos.
Med. Sed injuria, & novæ tuæ nuptiæ.
Ja. An tu voluiſti propter nuptias eos occidere?
Med. An tu hoc exiguum malum eſſe putas mulieri?
Ja. Quæ quidem modeſta ſit: tibi verò omnia ſunt mala.
Med. Sed hi ſunt mortui: hoc enim te mordebit.
Ja. Iſti verò ſunt, hei mihi, tuo capiti dæmones infeſti.
Med. Dii nôrunt, quis cœperit hoc malum.
Ja. Nôrunt ſanè tuum abominabilem animum.
Med. Odioſus es *mihi*, amarulentumque tuum ſermonem odi.
Ja. Et ego tuum. Facilis eſt *Diſceſſio & Separatio*.
Med. Quomodo igitur? quid faciā? vehementer enim & ego cupio.
Ja. Sine me hos mortuos ſepelire, & lugere.
Med. Nequaquam, quia ego ſepeliam eos hâc manu,
Ferens in lucum Junonis deæ Acrææ, *i.e. arcium cuſtodis*,
Nè quis hoſtium eos contumeliâ afficiat,
Sepulcrum revellens. In hâc porrò terrâ Siſyphi
Conſtituam præclarum feſtum, & ſacrificia
Deinceps pro iſtâ impiâ cæde.
Ego verò vado in terram Erechthei.
Habitatura cum Ægeo filio Pandionis.
Tu verò, quemadmodum convenit, malus malè morieris,
Percuſſus caput tuum reliquiis navis Argûs,
Ubi videris miſerum exitum mearum nuptiarum.

Ἔῤῥ' αἰσχροποιὲ) ὅτι δοκεῖ τὸν στίχον τοῦτον εἰπὼν Εὐριπίδης ἐκβεβλῆσθαι, οἷα καὶ κεχίασμ.
Ἦ μάκρ' ἂν) μακρὰ ἂν ἐξέτεινα ῥήματα, ἐναντία τούτοις τοῖς λόγοις.
1357. Ἀνατεὶ) ἄνευ ἄτης καὶ βλάβης. γράφεται δὲ καὶ ἀνατὶ παρὰ Σοφοκλεῖ ἐν Ἀντιγόνῃ.
1362. Λύει δ' ἄλγος) λυσιτελεῖ δή μοι τὸ ἄλγος, ἕως σὺ μὴ ἐγγελᾷς.
1364. Ὡς ὤλεσθε) μανίᾳ ἤτοι λαγνείᾳ καὶ ἀκρασίᾳ τοῦ πατρὸς ἀπώλεσθε.
Ἥτις γε σώφρων) ναὶ φησὶν ἐκείνη, ἥτις σώφρων γυνὴ, οὐδὲν ἠδικῆσθαι νομίζει τοῦ ἀνδρὸς ἐφ' ἑτέρων λέχος τραπέντος.
1379. Φέρουσ' ἐς Ἥρας) Ἥραια πάνδημος ἑορτὴ παρὰ Κορινθίοις. ἀκραία δὲ εἴρηται, παρὰ τὸ ἐν ἀκροπόλει ἱδρῦσθαι. τέλη δὲ λέγει τὰ μυστήρια, καὶ τὰς τελετάς. ἐγὼ δὲ φησὶ ἀνεπιποιήσω αὐτοῖς πάνδημον ἑορτὴν, ἐν ᾗ πανηγυρίσουσι πάντες οἱ δημόται θυσίας ἐπιτελοῦντες αὐτοῖς. θύουσι δὲ αὐτοῖς καὶ Ἀργεῖοι κατὰ χρησμόν. 1387. Ἀργοῦς κάρα σὸν λειψάνῳ) ἱστορεῖται Ἰάσονα πλὴν ταύτῃ χρήσασθαι. κοιμώμενον γὰρ αὐτὸν ὑπὸ τῆς Ἀργοῦς κατασαπείσης ὑπὸ πολλοῦ χρόνου, μέρος τι ταύτης ἀποπεσὸν κατὰ τῆς κεφαλῆς ἔκτεινεν. Ἀργοῦς δὲ λειψάνῳ λέγει, ἀντὶ τοῦ μέρει τινὶ τῆς Ἀργοῦς. Ἄλλως. οἱ μὲν λέγουσι κατὰ Μηδείας χόλον ἀπολέσθαι ὑπὸ τῆς πρύμνης τῆς Ἀργοῦς καταπεσούσης τὸν Ἰάσονα τελευτῆσαι, ἐμπεσόντος αὐτῷ ξύλου. Νεόφρων ξενικῶς πως τὸν παραγγελθέντα εἰσφέρει τὴν Μήδειαν πρὸς αὐτὸν εἰποῦσαν,* Τέλος γὰρ αὐτὸς ἐχθίστῳ μόρῳ φθερεῖς, Βρόχον αὐχένι ἀμφὶ στρεψάμενος δέρῃ· Τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει· Διδάξεις δὲ τ' ἄλλους μυρίους ἐφημέρους, Θεῶν ὕπερθε μήποτ' αἴρεσθαι βροτούς.

* Τέλος γὰρ αὐτὸς ἐχθίστῳ) i.e. ἐχθίστῳ. Vid. de his *Neophronis* Poetæ Verſibus *Jacobi Nicolai Loenſis* Miſcell. Epiphill. l. 4. c. 18. Ubi tamen incorrectè citat carmina, legitque *βρόχον*, quod nos *βρόχω*, ut *Nonnus βρόχῳ μόρῳ* dixit.

ANNOTATIONES.

V. 1346. Ἔῤῥ' αἰσχροποιὲ &c.) Vide *Athenæi* l. 13. c. 5. ferè ad finem: item *Pauli Leopardi* Emendat. l. 1. c. 7. De *Laide* cum *Euripide* jocoſo congreſſu circa hæc verba. De voce χέζω, quâ notatum hunc Verſum dicit *Scholiaſtes*, diximus [illegible] *Hippolyt.* v. 1192. *Joſua Barnes.*

V. 1362. Λύει pro λυσιτελεῖ, Vid. quæ ſuprà notavimus ad hujus Fabulæ v. 566. *Idem.*

V. 1371. Σῷ κάρᾳ) κάρα τι, κάρατι, κάρᾳ, pro κεφαλῇ, à κάρας ὁ, quod tamen in *Nominativo* potiùs effertur κάρα. Vid. ad *Herc. Fur.* v. 910. *Joſua Barnes.*

1385. Αἰγεῖ συνοικήσουσα) Quomodò *Thais* hoc Carmen alio ſenſu de *Graſone* hircum olente uſurpaverit, vide ex *Athenæo Paul. Leopardi* Emendat. l. 1. c. 8. *Idem.*

V. 1386. Σὺ δ' ὥσπερ εἰκὸς, κατθανῇ κακὸς κακῶς) Vid. *Jacobi Nicolai* Miſcell. Epiphill. l. 4. c. 18. ubi Authorum de *Jaſonis* morte locos varios profert. *Joſua Barnes.*

Ἀνάπαιστοι

Ἀνάπαιστοι.

Ια. Ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων,
Φονία τε Δίκη.
Μη. Τίς δὲ κλύει σου θεὸς, ἢ δαίμων,
Τοῦ ψευδόρκου, καὶ ξειναπάτα;
Ια. Φεῦ, φεῦ μυσαρὰ, καὶ παιδολέτορ.
Μη. Στεῖχε πρὸς οἴκους, καὶ θάπτ' ἄλοχον.
Ια. Στείχω, δισσῶν γ' ἄμορος τέκνων.
Μη. Οὔπω θρηνεῖς· μένε καὶ γῆρας.
Ια. Ὦ τέκνα φίλτατα. Μ. μητρί γε, σοὶ δ' οὔ.
Ια. Κἄπειτ' ἔκτας; Μ. πημαίνουσα σέ.
Ια. Αἲ, αἲ· φιλίου χρήζω στόματος
Παίδων ὁ τάλας, προσπτύξασθαι.
Μη. Νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,
Τότ' ἀπωσάμενος. Ια. δός μοι πρὸς θεῶν
Μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.
Μη. Οὐκ ἔστι· μάτην λόγος ἔρριπται.
Ια. Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμεθ', οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς,
Καὶ παιδοφόνου τῆσδε λεαίνης;
Ἀλλ' ὁπόσον γοῦν πάρα, καὶ δύναμαι,
Τάδε θρηνῶ, κἀπιθεάζω,
Μαρτυρόμενος δαίμονας, ὥς μοι
Τέκνα κτείνασ', ἀποκωλύεις
Ψαῦσαί τε χεροῖν, θάψαι τε νεκροὺς,
Οὓς μή ποτ' ἐγὼ φύσας ὄφελον
Πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.
Χο. " Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
" Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
" Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
" Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

Jaſon.

Sed te Erinnys perdat ultrixque filiorum,
Cædiſque vindex Juſtitia.
Med. Quis verò deus, aut dæmon audiret te
Perjurum, & deceptorem-hoſpitum?
Ja. Hei hei ſceleſta, & interfectrix-liberorum!
Med. Vade domum, & ſepeli uxorem tuam.
Ja. Vado, orbatus duobus pueris.
Med. Nondum lamentaris *ſatis*; expecta & ſenectam.
Ja. O chariſſimi liberi. *M.* Matri quidem, tibi verò nequaquam.
Ja. Et tamen *eos* occidiſti? *M.* Ut tibi nocerem.
Ja. Heu heu, cupio charum os
Miſer ego liberis admovere.
Med. Nunc ipſos alloqueris, nunc ſalutas,
Tunc repellens. *Ja.* Da mihi per deos
Ut poſſim attingere tenerum corpus liberorum.
Med. Non licet: fruſtrà à *te hæc* verba ſunt projecta.
Ja. O Jupiter, audis hæc, quomodo repellimur.
Et qualia patimur ab execranda,
Et interfectrice liberorum hâc leænâ?
Sed quantum ſaltem licet, & poſſum,
Hæc lamentor, & concitus feror,
Obteſtans deos, quòd me
Liberos, quos necâſti, prohibes
Attingere manibus, & ſepelire mortuos.
Quos utinam ego nunquam genitos
A te perditos vidiſſem.
Ch. " Multarum *rerum* Jupiter *eſt* diſpenſator in cœlo,
" Multaque præter ſpem perficiunt Dii,
" Et ſperata non fiunt,
" Eorum verò, quæ non ſperantur, Deus exitum invenit.
Talis evaſit hæc res. *Talem eventum eſt ſortita.*

Εὐριπίδου Μηδείας Τέλος.

Euripid. Medææ Finis.

ANNOTATIONES.

V. 1391. Κλύει) *Æmylius Portus* mavult κλύοι, nec repugnamus ægre.

V. 1392. Ξειναπάτα) ξειναπάτου, à Recto ξειναπάτης, unde *Julius Pollux* l. 3. c. 4. Εἴρηται δὲ ξειναπάτης παρ' Εὐριπίδῃ. Vel hunc nempe locum reſpiciens, vel certe illum ex *Sthenobœâ* quē præ feſtinatione omiſimus in Fragmentis illius Fabulæ, in *Addēdis* autē reponimus; quem & *Photius* memorat MS. in Voce ξειναπάτας, Ἴδοις δὲ τῶν ἀκρήτων ἀνθρώπων, ὅτας σοι πάντες πέλωσιν ἄτιμοι ἐν τοῖς πολλοῖς λέγουσιν, ὁποῖοι ἐν τοῖς λιμέσι· Εὐριπίδης Σθενοβοίᾳ —Τίς ἄνδρα τινὰ ξειναπάτας. *Joſua Barnes.*

V. 1415. Πολλῶν ταμίας) Eadem ferè Concluſio *Helenæ*, *Bacchantium*, *Andromachæ*, *Alceſtidis*; excepto quòd hîc primus Verſus adſit, qui in cæteris deſideratur, alius autem in iis legatur, qui hîc deſideratur, viz. Πολλαὶ μορφαὶ τῶν δαιμονίων. *Joſua Barnes.*

Honora-

Honoratiſſimo Viro, Amico plurimùm Colendo, Domino

GULIELMO TEMPLE,

De *Moreparke*

In Agro *Farnhamenſi* Comitatus *Surrey*

BARONETTO,

Hanc *HIPPOLYTI* Fabulam

Honoris causâ Sacram Voluit

JOSUA BARNES.

Ὑπόθεσις ΙΠΠΟΛΥΤΟΥ.

Θησεὺς υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων. γήμας δὲ μίαν τῶν Ἀμαζόνων Ἀντιόπην, ἢ ὥς τινες, Ἱππολύτην, Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνωος τοῦ Κρητῶν βασιλέως καὶ Πασιφάης θυγατέρα, Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα ἕνα τῶν συγγενῶν φονεύσας, φεύγει εἰς Τροιζῆνα μετὰ τῆς γυναικὸς, οὗ συνέβη τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι. θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα, εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Ἀφροδίτης μῆνιν, ἣ τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα, τὴν Φαίδραν εἰς ἔρωτα παρώρμησε, τέλος δὲ τοῖς προτεθεῖσιν ἐπέθηκε· στέγουσα γὰρ τὴν νόσον ἡ Φαίδρα, χρόνῳ πρὸς τὴν τροφὸν δηλῶσαι ἠναγκάσθη. ἣ δὲ κατεπηγγείλατο, αὐτῇ βοηθήσειν. ἥτις καὶ παρὰ τὴν αὐτῆς προαίρεσιν, λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα, τῇ μὲν τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησε. καθ' ὃν καιρὸν φανεὶς Θησεὺς, καὶ καθελεῖν θέλων τὴν ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι' ἧς Ἱππολύτου φθορὰν κατηγόρει, καὶ ἐπιβουλήν. πιστεύσας δὲ τοῖς γεγραμμένοις, τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν. αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο, ὧν ἐπακούσας ὁ θεὸς, τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστα διασαφήσασα Θησεῖ, τὴν μὲν Φαίδραν οὐκ ἐμέμψατο, τοῦτον δὲ παρεμυθήσατο υἱοῦ καὶ γυναικὸς στερηθέντα. τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη ἐγχωρίους ἱδρύσασθαι. Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροιζῆνι κεῖται. Ἐδιδάχθη * ἐπὶ Ἀμείνονος Ἄρχοντος Ὀλυμπιάδι πζ', ἔτει δ', πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων. Ἔστι δὲ οὗτος ὁ Ἱππόλυτος δεύτερος, καὶ Στεφανίας προσαγορευόμενος. Ἐμφαίνεται δὲ ὕστερος γεγραμμένος, τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορίας ἄξιον, ἐν τούτῳ διώρθωται τῷ δράματι. Τὸ δὲ Δρᾶμα τῶν πρώτων.

ὙΠΟΘΕΣΙΣ ἄλλη ἐκ τῶν Πλουτάρχου Παραλλήλων.

Θησεὺς ταῖς ἀληθείαις παῖς Ποσειδῶνος, ἔχων δὲ ἐξ Ἱππολύτης Ἀμαζόνος Ἱππόλυτον, ἐπέγημε μητρυιὰν Φαίδραν τὴν Μίνωος, ἥτις τοῦ προγόνου εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τὴν τροφὸν ἔπεμψεν. Ὁ δὲ καταλείψας Ἀθήνας καὶ εἰς Τροιζῆνα παραγενόμενος, κυνηγεσίαις προσανέκειτο. Τῆς δὲ προαιρέσεως ἡ ἀσελγὴς ἀποτυχοῦσα, ψευδεῖς κατὰ τοῦ Σώφρονος ἐπιστολὰς ἐχάραξε, καὶ βρόχῳ τὸ ζῆν (an ἑαυτὴν) ἀνήρτησε. Θησεὺς δὲ πιστεύσας, ᾐτήσατο παρὰ Ποσειδῶνος ἀπολέσθαι τὸν Ἱππόλυτον, ἐκ τῶν τριῶν εὐχῶν, ὡς εἶχε παρ' αὐτοῦ. Ὁ δὲ παρ' αἰγιαλὸν ἐπὶ ἅρματος τυχόντι ταῦρον ἔπεμψε, καὶ ἐπτόησε τοὺς ἵππους, οἳ συνέτριψαν τὸν Ἱππόλυτον.

Argumentum HIPPOLYTI.

Theſeus filius erat *Æthræ* & *Neptuni*, & Rex *Athenienſium*. Is ex *Antiopâ*, vel, ut nonnulli, *Hippolytâ* uxore, unâ ex *Amazonibus*, genuit *Hippolytum*, præſtantem & formâ & modeſtiâ. Poſtquam verò conjux mortua eſt, duxit aliam uxorē *Cretenſem Phædrā* filiā *Minois* regis *Cretenſiū* & *Paſiphaes*. *Theſeus* autem interfecto *Pallante*, qui unus è cognatis erat, fugit in *Træzenem* unà cum uxore, ubi accidit ali *Hippolytum* apud *Pittheum*. *Phædra*, cùm conſpexiſſet adoleſcentem, impulſa eſt in amorem ejus, non quòd eſſet impudica, ſed ut impleret iram *Veneris*, quæ decreverat, *Hippolytum* propter caſtitatem perdere, atque idcirco *Phædram* in amorem ejus impulit, finémque impoſuit ſuo propoſito. Nam *Phædra*, cùm diù tuliſſet morbum ſuum, tandem coacta eſt aperire nutrici. Hæc autem promiſit ſe opitulaturam ei: quæ etiam præter ejus voluntatem, allocuta eſt adoleſcentem. *Phædra*, ubi cognovit ipſum exaſperatum, nutricem quidem objurgavit, ſe ipſam verò ſuſpendit. Quo tempore *Theſeus* reverſus, & volens detrahere ſtrangulatam, invenit adpendentes ei literas, in quibus accuſabat *Hippolytum* de ſtrupro illato, & vi intentatâ. Ille credens ſcriptis, conſtituit, ut *Hippolytus* iret in exilium. Ipſe verò fecit preces ad *Neptunum*; quas Deus exaudiens, perdidit *Hippolytum*. At *Diana* indicans unumquodque eorum, quæ acciderant, *Theſeo*, non accuſavit *Phædram*, ſed illum conſolata eſt orbatum filio & uxore: *Hippolyto* autem juſſit fieri honores uſitatos in patriâ. Scena Fabulæ eſt in *Træzene*. Acta eſt * *Ameinone* Archonte, Olympiadis Octogeſimæ ſeptimæ Anno quarto. Primus *Euripides*, *Jophon* ſecundus, tertius *Ion*. Hic verò *Hippolytus* eſt Duorum poſterior & *Coronatus* dictus. Apparet autem, quod poſt Alium ſit ſcriptus; quia in hâc Fabulâ, quod contra Decorum erat in Alterâ & vituperio dignum, corrigitur. Eſt autem hæc Fabula inter Optimas numeranda.

Argumentum aliud ex Plutarchi *Parallelis.*

Theſeus reverâ *Neptuni* filius, ſuſcepto ex Amazone *Hippolytâ* filio *Hippolyto*, ſuperinduxit (*ei*) Novercam *Phædram Minois* filiam quæ Privignum deperiens, *Nutricem* miſit *ad amorem ſollicitandum*. Ille relictis *Athenis*, *Træzenem* ſe contulit, venatui vacans. Impura autem iſta propoſito excidens, mendaces contra Caſtum literas exaravit, & laqueo vitam finiit. *Theſeus* fidem literis habens, à *Neptuno* petiit, ut *Hippolytum* perderet, *uno* viz. ex tribus votis, quorum jus ab eo habuit. *Neptunus Hippolyto* ad littus auriganti *Taurum* immiſit, & equos terruit, qui contriverunt *Hippolytum*.

* * Ἐπὶ Ἀμείνονος Ἄρχοντος) legendum fortè Ἐπαμείνονος. Hujus autem Archontis nomen variè effertur *Epameinon*, *Aminias* & *Epaminondas*, Vide Catalogum *Marmor. Oxonien.*

ΕΥΡΙΠΙΔΟΥ ΙΠΠΟΛΥΤΟΣ
ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ.	PERSONÆ hujus Fabulæ ſunt hæ.
ΑΦΡΟΔΙΤΗ.	VENUS.
ΙΠΠΟΛΥΤΟΣ.	HIPPOLYTUS.
ΧΟΡΟΣ ἐκ Τροιζηνίων γυναικῶν.	CHORUS ex Mulieribus Trœzeniis.
ΘΕΡΑΠΩΝ.	FAMULUS.
ΤΡΟΦΟΣ ΦΑΙΔΡΑΣ.	NUTRIX PHÆDRÆ.
ΦΑΙΔΡΑ.	PHÆDRA.
ΘΗΣΕΥΣ.	THESEUS.
ΗΜΙΧΟΡΙΟΝ.	SEMICHORUS.
ΑΓΓΕΛΟΣ.	NUNCIUS.
ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.	ALTER NUNCIUS.
ΑΡΤΕΜΙΣ.	DIANA.
Προλογίζει δὲ ἡ Ἀφροδίτη.	Prologum autem agit Venus.

ARGUMENTUM *Actûs* Primi.

IN *Prologo* Venus *introducitur de* Hippolyti *pervicaciâ querens, quòdque* Dianæ *ſe totum dederit,* Veneris *Sacra Deſpectui habens; quare & illi Mortem ex Novercæ amore & Patris imprecationibus minitatur: Unde excitatur magna Auditorum de Eventu Expectatio.* Hippolytus *à Venatu rediens cum ſuis Comitibus, Hymnum* Dianæ *canit: Famulo interim monente, ut etiam* Veneri *ſuos honores concedat, illam prorſus inhonoratam præterit.* Chorus *auditis* Phædræ (*quæ* Hippolytum *miſerè deperibat*) *ægrimoniis, varias ſecum cauſas illarum auguratur.* Nutrix *faſtidioſam & languidam* Phædram *foràs è cubiculo ducit, ſimúlque Humani Generis miſerias deplorat. Ipſa* Phædra *adeò in ſcenam producta, Pudoris memor, Amorem ſuum celare conatur: ſed ægra, furioſa, impatiens, miſerationem omnium incurrit.*

Senecæ extat Fabula ejuſdem Nominis & Argumenti: ſed Oeconomia ejus cum hâc non convenit. *Vid. etiam* de hoc Argumento *Philoſtrati* Iconas l. 2. in *Hippolyto.* Item *Diodori Siculi* Bibliothec. l. 4. *Joſua Barnes.*

ΑΦΡΟΔΙΤΗ, ΙΠΠΟΛΥΤΟΣ, ΧΟΡΟΣ, ΘΕΡΑΠΩΝ.
ΤΡΟΦΟΣ, ΦΑΙΔΡΑ.

Ἴαμβοι.	*Venus.*
ΠΟΛΛΗ μὲν ἐν βροτοῖσι, κοὐκ ἀνώνυμος Θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω, Ὅσοι τε πόντου, τερμόνων τ' Ἀτλαντικῶν Ναίουσιν εἴσω, φῶς ὁρῶντες ἡλίου, Τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,	EGO celebris quidē inter homines, & nō ignobilis Dea vocor Venus, & in cælo, Et apud eos, quicunque intra mare fineſque Atlanticos Habitant, videntes lumen ſolis. Honore quidem afficio eos, qui colunt meam potentiam,

Πολλὴ μὲν ἐν βροτοῖσι, κοὐκ ἀνώνυμος) δυνατὴ, θαυμαστὴ, μεγίστη. Ὅμηρος, * πολλὸς γάρ τις ἔκειτο πεσών. πάσαις δὲ ταῖς ὑπὸ Ἡλίου οἰκοῦσι δέχεται ἡ Ἀφροδίτη, διὰ τὸν ἔλεγχον τῆς μοιχείας Ἄρεος. ἡ δὲ διάνοια ἐμφαντικώτερον πέφρασται, ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον ἀπολαμβάνουσα. Ὅσοι τε πόντου τερμόνων) ἐπὶ μέγιστον ηὔξησε τὸ κατηγόρημα τοῦ νεανίσκου. εἰ γὰρ ἐκεῖνοι θηριώδεις ὄντες τὴν φύσιν, καὶ νόμων καὶ γραμμάτων ἄπειροι, σέβουσιν ὅμως τὴν θεὸν, τὴν φύσιν δεξάμενοι διδάσκαλον πάσης κατηγορίας, ὁ ἐν μέσῃ τῇ Ἑλλάδι τραφεὶς, καὶ μέγιστον ἐπὶ φιλοσοφίᾳ φρονήσας, εἰ δὲ καὶ σωφρονεῖν ἀπὸ γάμων ἤθελεν, οὐδὲν ἧττον ἔδει πάλαι αὐτὸν σέβειν τὴν δαίμονα, σεμνοτέρων τῶν ἀγαθῶν ἐπιθυμιῶν. πάντες γὰρ οἱ φιλόσοφοι τιμῶσι τὴν θεὸν, πρὸς τὸ μὴ πρὸς ταύτην ἀνθιστάμενοι τὰ ἐναντία τῆς γνώμης δυστυχεῖν. τερμόνων δὲ Ἀτλαντικῶν, ὅτι τὸ Ἀτλαντικὸν πέλαγος ἤκουσαν. ἔνιοι δὲ τὰ Γάδειρα, ἔνθα ἐστὶν ὄρος ὁ Ἄτλας, ὅπερ ἐστὶ δυτικόν. ὁ δὲ Πόντος, ἀνατολικόν. Τερμόνων) εἰς τὸ ἔσχατον. ἵνα καὶ τοῖς στοιχείοις Ἀφροδίτην γνώσκηται, δι' ὧν φύεται. ἀλλὰ καὶ τὰ ἔσω τοῦ πόντου φυόμενα, Ἀφροδίτην οἶδε τῇ φύσει· τοὺς ἐν τοῖς πέρασι τῶν στοιχείων τούτων κατοικοῦντας θηριώδεις ἀνθρώπους λέγει, ὃ καὶ βέλτιον. 5. Τοὺς μὲν σέβοντας) τὸ ἑξῆς τῆς διανοίας. ἀναποδειχθεὶς τοῦ μεγάλου με τιμᾶν, καὶ ἐπιτίμια φέρω τοῖς ἀνθρώποις, τοιαύτη τις εἰμὶ τὴν φύσιν, ὡς τοὺς μὲν σέβοντας τιμᾶν, τοὺς δὲ ἀπονοουμένους τὴν εἰς ἐμὲ εὐσέβειαν καταβάλλειν. ἀντὶ τοῦ κοινοῦ τις ἐστι, τοὺς μὲν τιμῶ, τοὺς δὲ σφάλλω. πρεσβεύω, δὲ τὸ ὑπερτιμῶ. οὕτως Ἀττικοί. πρεσβεύειν γὰρ τὸ τιμᾶν.

* *Iliad.* λ. v. 156.

ANNOTATIONES.

V. 3. Τερμόνων τ' Ἀτλαντικῶν] De Voce τέρμων pro τέρμα, unde *Latinum* Terminus, vide ad *Phæniſſ.* v. 1361. De *Atlantico* Oceano præter *Scholiaſten* vide *Plinium* l. 5. c. 1. *Melam* & *Solinum* c. 56. *Salmaſium* item in eundem. Et Nos ad *Herc. Fur.* v. 234. *Joſua Barnes.*

V. 5. Πρεσβεύω] Vid. de hoc verbo *Scholiaſten*, qui dicit *Atticum* eſſe in hoc ſenſu & ſignificare ὑπερτιμῶ. Vid. *Alceſt.* v. 282. Ἐγώ σε πρεσβεύουσα &c. De aliis hujus verbi ſignificationibus vid. Lexicographos. De Amoris Potentiâ vid. infra ad v. 445. *Joſua Barnes.*

Σφάλλω δ', ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.
" Ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε,
" Τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.
Δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα·
Ὁ γάρ με Θησέως παῖς, Ἀμαζόνος τόκος,
Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα,
Μόνος πολιτῶν τῆσδε γῆς Τροιζηνίας,
Λέγει κακίστην δαιμόνων πεφυκέναι.
Ἀναίνεται δὲ λέκτρα, κοὐ ψαύει γάμων·
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸς κόρην
Τιμᾷ, μεγίστην δαιμόνων ἡγούμενος.
Χλωρὰν δ' ἀν' ὕλην παρθένῳ ξυνὼν ἀεὶ
Κυσὶν ταχείαις θῆρας ἐξαιρεῖ χθονός,
Μείζω βροτείας προσπεσὼν ὁμιλίας.
Τούτοισι μὲν γ' οὖν οὐ φθονῶ· τί γάρ με δεῖ;
Ἃ δ' εἰς ἔμ' ἡμάρτηκε, τιμωρήσομαι
Ἱππόλυτον ἐν τῇδ' ἡμέρᾳ. Τὰ πολλὰ δὲ
Πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.
Ἐλθόντα γάρ νιν Πιτθέως ποτ' ἐκ δόμων,
Σεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων
Πανδίονος γῆν, πατρὸς εὐγενὴς δάμαρ
Ἰδοῦσα Φαίδρα, καρδίαν κατέσχετο
Ἔρωτι δεινῷ, τοῖς ἐμοῖς βουλεύμασι.
Καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροιζηνίαν,
Πέτραν παρ' αὐτὴν Παλλάδος, κατόψιον
Γῆς τῆσδε ναὸν Κύπριδος ἐγκαθίσατο,

Everto verò, quicunque ſuperbiunt adverſus nos.
" Ineſt enim hoc etiam in deorum genere,
" Ut gaudeant, cum honore afficiuntur ab hominibus.
Oſtendam autem mox veritatem verborum horum:
Nam me Theſei filius, Amazonis progenies,
Hippolytus, diſcipulus caſti Pitthei,
Solus ex civibus hujus terræ Trœzeniæ,
Dicit peſſimam eſſe Dearum,
Et recuſat lectos, neque attingit nuptias:
Sed ſororem Phœbi Dianam, filiam Jovis
Honorat, exiſtimans eam maximam eſſe Dearum:
Semperq; habitans cum virgine in viridi ſilvâ,
Expellit feras è terrâ velocibus canibus,
Expetens majora humanâ conſuetudine.
His quidem ego non invideo: quid enim opus eſt?
Sed tamen ulciſcar, ob ea, quæ in me deliquit,
Hippolytum hoc die. Verùm cùm multa
Antea præparârim, non opus habeo magno labore.
Nam quondam profectum eum ex domo Pitthei,
Ad ſpectaculū, & ſacras ceremonias venerandorum myſteriorū,
Pandionis in agrum, *i. e. Athenas*, patris nobilis conjux
Conſpicata Phædra, occupata eſt in corde
Vehementi amore, idque meo conſilio.
Et priuſquam veniret in hanc terram Trœzeniam
Ad ipſam rupem Palladis, excelſum,
In hâc terrâ ædificavit templum Veneris,

Σφάλλω) βλάπτω. Εἰς ἡμᾶς) καθ' ἡμῶν. Ἔνεστι γὰρ δή) ἔνεστι δὲ ἐν τοῖς θεοῖς τὸ χαίρειν ταῖς τιμαῖς, ὥσπερ καὶ ἐπὶ τῶν ἀνθρώπων. καὶ διὰ τοῦ καὶ ἔδειξεν, ὅτι ὁμολόγηται πᾶσιν ἀνθρώποις. Δείξω δὲ) ἔξεστί μοι τοῦτο καὶ ἐπὶ τῶν καθόλου προειρημένων νοημάτων λαβεῖν. ἐξαιρέτως δὲ ἐπὶ τοῦ τοὺς μὲν σέβοντας τιμῶ, τοὺς δὲ βλασφημοῦντας με σφάλλω. Ὁ γάρ με Θησέως) ὅτι γὰρ μετὰ Ἡρακλέους ὁ Θησεὺς ταῖς Ἀμαζόσιν ἐπολέμησε διὰ τὸν ζωστῆρα, καὶ νικήσας, ἔλαβεν αἰχμάλωτον, καὶ ἤγαγεν εἰς τὴν Ἑλλάδα, καὶ συμμιγεὶς αὐτῇ ἐποίησεν υἱὸν ὁμώνυμον τῇ Ἱππολύτῃ. Ἁγνοῦ Πιτθέως) ἁγνὸν Πιτθέα, ὡς καὶ ἐν Μηδείᾳ φησί, * παῖς ὡς λέγουσι Πέλοπος εὐσεβέστατος· παρὰ Πιτθεῖ τῷ πατρὶ τῆς Αἴθρας, τῆς μητρὸς Θησέως, ἐπαιδεύετο ὁ Ἱππόλυτος. ἦν δὲ ὁ Πιτθεὺς σοφὸς καὶ χρησμολόγος, καὶ ἱερὸς θεοῖς, ὃς καὶ ἔλυσε τὸν χρησμὸν τῷ Αἰγεῖ, καὶ τὴν θυγατέρα ἔδωκεν, εἰδὼς τῇ σοφίᾳ, οἷος ἔσται ὁ τεχθησόμενος. παρ' αὐτῷ δὲ, Πλούταρχός φησιν, ὁ Θησεὺς ἐπαιδεύετο, ὡς καὶ Καλλίμαχος μαρτυρεῖ. Πεφυκέναι) ὑπάρχειν. καὶ τί φησιν ἐλύπει αὐτὴν τὸ τῆς φιλοσοφίας καὶ λεκτέον, ὅτι ὡς αὐτὴν ἀτιμάζων, καὶ τοῦτο ἐποίει, ὡς καὶ αὐτῇ μὴ ποιεῖν τὰ τερπνά, ἀγνοῶν ὅτι καὶ σωφροσύνης ἔρωτας αὐτὴ ἀποστέλλει, ὡς αὐτὴ ἐν τῇ διηγήσει λέγει. Ἄλλως. καὶ τί φησιν αὐτὴν ἐλύπει τοῦτο; ἀλλ' οὕτως αὐτὸ εἶπεν, ὡς ἐκείνου πρὸς χλευασμὸν αὐτῆς τοῦτο ποιοῦντος. Ἐξαιρεῖ) ἐκ μέσου αἴρει, ἀφανίζει. 19. Προσπεσὼν ὁμιλίας) ἐντυχών. ἐντυχὼν τῆς ἐπιμιξίας τοῦ δαίμονος πλέον, ἢ ὡς δεῖ ἀξιοῦσθαι ἄνθρωπον φιλίας θεοῦ. ἤγουν μεῖζόν τι τῆς ἀνθρωπίνης ὁμιλίας ἐντυχὼν τῆς Ἀρτέμιδος. Τούτοισιν) ἕνεκεν τούτων. Τί γάρ με δεῖ) οὐ δεῖ γάρ με φθονεῖν. Πάλαι προκόψασα) ἀρχαϊσμός ἐστι τοῦτο, οὐ σολοικισμός. Πάλαι προκόψασ' οὐ πόνου) τοῦτο ἐσολοίκισεν. οὕτω γὰρ ἔδει εἰπεῖν, τὰ πολλὰ δὲ πάλαι προκόψασα οὐκ ἔτι πολὺν ἔχω πόνον. Προκόψασα) προκατασκευάσασα, ἐπαυξήσασα τὴν διάνοιαν. ὥσπερ ἂν εἴ τις εἴποι, προοικονομήσασα, ὀλίγου χρείαν ἔχω πόνου. γέγονε δὲ σολοικισμὸς πρὸς τὸ ἀκατάλληλον τῆς πτώσεως. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. προετοιμάσασα μοι τὰ πρὸς ἔρωτα τοῦδε τρόπῳ, ὀλίγα λείπει πρὸς τὴν τιμωρίαν. Ἐλθόντα γάρ νιν) ἐν τῇ Ἀττικῇ ἔτι οὖσα ἡ Φαίδρα, πρὶν μετοικῆσαι εἰς Τροιζῆνα, ἰδοῦσα τὸν Ἱππόλυτον ἐλθόντα ἐπὶ μύησιν τῶν Ἐλευσινίων, ἤρα, καὶ πρὶν εἰς Τροιζῆνα ἐλθεῖν. δεῖ καὶ ἐκ τῆς [illegible] θέας δυνατὸν γενέσθαι τὸν ἔρωτα, ὡς πολὺς ἦν. ὅτι καὶ ἐξ αἰφνιδίου θέας τηλικοῦτον ἔχει. Σεμνῶν ἐς ὄψιν) μεγάλων, σεπτῶν. ἔοικε δὲ λέγειν τὴν Ἐλευσῖνα. ὄψιν δὲ λέγει τὴν θέαν. τέλη δὲ τὴν τελετήν. καὶ πρὶν μὲν ἐλθεῖν, τὸ ἐξαίρετον τοῦ ἔρωτος δηλοῖ ὅτι καὶ πρὸ τοῦ ἐλθεῖν εἰς Τροιζῆνα, οὕτως ἤρα. ὡς καὶ Ἀφροδίτης ἱερὸν ἱδρύσασθαι ἐν τῇ Ἀττικῇ, ἐξικετευθεῖσα τὸν ἔρωτα καὶ μὴ παρόντος ἐρῶσα τοῦ Ἱππολύτου. ὥστε καὶ ἐν αὐτῷ ἱδρύσασθαι τὸ ἱερὸν ἐπὶ πέτρας διὰ τὸν ἔρωτα ἐν τῇ Ἀττικῇ. ἀφ' ἧς ἀπέβλεπε τὴν Τροιζῆνα, Ἀφροδίτης ναὸν ἱδρύσασθαι τὴν Φαίδραν φασί. ἐκάλεσε δὲ Ἀφροδίτην ἐφ' Ἱππολύτῳ, ἣν καὶ Ἱππολυτίαν καλοῦσι. ὅτι ἡ Τροιζὴν τὸ τέλος ἐστὶ τῆς Πελοποννήσου, ἀντικειμένη τῇ Ἀττικῇ, καὶ τῷ † Γλαυκωπίῳ ὄρει τῆς Ἀττικῆς. τὸ Σούνιον οἱ δὲ Ἀττικῶς λεγόμενον ἐπὶ Τροιζῆνος λαμβάνουσιν, ἐπειδὴ καὶ ἐν αὐτῇ ὑφίστησι τὰ πράγματα. βέλτιον δὲ, ἐπακολουθοῦντα τοῖς προτέροις πρὸς τὴν Ἀττικὴν Πανδίονα αὐτήν. καὶ τὰ ἄλλα ὡς προειρημένα αὐτὸ λαμβάνειν. Παλλάδος κατόψιον) ἀντὶ τοῦ κατὰ τὸ ἀντικείμενον. τοῦτο δὲ τὸ κατόψιον πιθανώτερον ἐξηγούμενοι, ἤκουσαν τὸ ὄρος τὸ ἀντικείμενον, τῷ Γλαυκωπείῳ τῆς γῆς τῆσδε, ὅ ἐστι Τροιζῆνος. Ἄλλως. κατόψιον, τὸ ὑψηλόν, παρόσον τὰ ὑψηλὰ καθορῶσι πάντα τὰ ὑποκείμενα, πέτραν δὲ Παλλάδος, τὸ Γλαυκώπειον ὄρος. 31. Ἐγκαθίσατο) ἔκτισεν.

* *Med.* v. 684. † Γλαυκωπίῳ) Vid. *Euſtath.* fol. 1451. lin. 61. † Monſtrum hoc amovendum puto.

ANNOTATIONES.

V. 11. Ἱππόλυτος ἁγνοῦ Πιτθέως παιδεύματα) Hunc locum *Plutarchus* in *Theſeo* laudat. Παιδεύματα pro παίδευμα, hoc pro πεπαιδευμένος, ſic Θρέμμα, ὁ τεθραμμένος. Vid. *Andromach.* v. 436. *J. Barnes.*

V. 17. Χλωρὰν δ' ἀν' ὕλην) ita reſtituimus, non ex conjecturâ, nec *Canteri* authoritate, ſed quòd Vetuſtiſſima & optima *Aldi* editio ita legat. Quam rem aut *Canterus* non vidit, aut diſſimulavit; ut in multis aliis. *Joſua Barnes.*

V. 23. Πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ) De hâc Syntaxi vide *Scholiaſten*; & quæ Nos ad *Phœniſſ.* v. 290. Alii quidem referunt ad *Atticiſmum*, alii ad *Archaiſmum*, ad *Solœciſmum* alii: ſed in omnibus linguis datur Paſſionibus locus, ut ſententiam uno modo liceat inchoare, tum demum, quaſi ἐκπεσόντες quâdam, ad aliam Syntaxin recurrere. Et licet hæc ſit figura etiam optimis Authoribus nota, Solœciſmus tamen rectè dicitur, hoc eſt, λόγος ἀκατάλληλος συντεταγμένος, cujus exempla nonnulla Vid. apud *Donatum* libro de Barbariſmo; item *Chariſium* Inſtitut. Grammat. l. 4. c. 2. item *Diomedem* l. 2. de *Solœciſmo*. Similis locutionis forma eſt *Medeæ*. v. 58. Et *Iphig. Taur.* v. 695. *Joſua Barnes.*

V. 31. Ναὸν Κύπριδος ἐγκαθίσατο) Quod *Phædra Veneri* Templum dicârit, inter cæteros teſtatur, & proinde totum hunc locum declarat, *Iſaac Tzetzes* in *Lycophron.* fol. 56. Λαβὼν δὲ (Θησεὺς) ἔλαβε τὴν Ἱππολύτην κατὰ τινὰς τὴν Ἀντιόπην, ἐξ ἧς ἔσχε τὸν υἱὸν Ἱππόλυτον. μετὰ δὲ θάνατον αὐτῆς, ἔλαβε Φαίδραν, ἥτις ἤρα τοῦ Ἱππολύτου· καὶ μὴ ἰσχύουσα σχεῖν τοῦτον, [illegible] ναὸν τῇ Ἀφροδίτῃ, Ἱππολύτειον αὐτὸν [illegible]. εἶτα διὰ τὸ πάλιν [illegible] αὐτὴν εἰς γάμον [illegible], καὶ τῆς [illegible] αὐτῆς [illegible] εἰπεῖν, μεθ' [illegible]· ἡ δὲ φαρμακεῖ [illegible] τὸν ἔρωτα αὐτῆς, καὶ μὴ δυνηθεῖσα, [illegible] Ἱππόλυτον. [illegible] δὲ μὴ δεξάμενος τοὺς λόγους, [illegible] μετ' ὀργῆς· ἡ δὲ Φαίδρα [illegible], ἑαυτὴν ἀπέπνιξεν. *Joſua Barnes.*

Ἔρωτ'

Ἐρῶσ' ἔρωτ' ἔκδημον. Ἱππολύτῳ δ' ἔπι
Τὸ λοιπὸν ὠνόμαζεν ἱδρῦσθαι θεάν.
Ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λείπει χθόνα,
Μίασμα φεύγων αἵματος Παλλαντιδῶν,
Καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα,
Ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγήν·
Ἐνταῦθα δὴ στένουσα, κἀκπεπληγμένη
Κέντροις ἔρωτος ἡ τάλαιν' ἀπόλλυται
Σιγῇ· ξύνοιδε δ' οὔτις οἰκετῶν νόσον.
Ἀλλ' οὔτι ταύτῃ τόνδ' ἔρωτα χρὴ πεσεῖν·
Δείξω δὲ Θησεῖ πρᾶγμα, κἀκφανήσεται·
Καὶ τὸν μὲν ἡμῖν πολέμιον πεφυκότα,
Κτενεῖ πατὴρ ἀραῖσιν, ἃς ὁ πόντιος
Ἄναξ Ποσειδῶν ὤπασεν Θησεῖ γέρας,
Μηδὲν μάταιον εἰς τρὶς εὔξασθαι θεῷ.
Ἡ δ' εὐκλεὴς μέν, ἀλλ' ὅμως ἀπόλλυται
Φαίδρα· τὸ γὰρ τῆσδ' οὐ προτιμήσω κακόν,
Τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ
Δίκην τοσαύτην, ὥστε μοι καλῶς ἔχειν.
Ἀλλ', εἰσορῶ γὰρ τόνδε παῖδα Θησέως
Στείχοντα, θήρας μόχθον ἐκλελοιπότα,
Ἱππόλυτον, ἔξω τῶνδε βήσομαι τόπων.
Πολὺς δ' ἅμ' αὐτῷ προσπόλων ὀπισθόπους
Κῶμος λέλακεν, Ἄρτεμιν τιμῶν θεὸν
Ὕμνοισιν· οὐ γὰρ οἶδ' ἀνεῳγμένας πύλας
Ἅδου, φάος δὲ λοίσθιον βλέπων τόδε.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ἱππ. Ἕπεσθ' ᾄδοντες, ἕπεσθε
Τὰν Διὸς οὐρανίαν Ἄρτεμιν,
Ἄρτεμιν, ᾇ μελόμεσθα.

Ardens amore abſentis. Et propter Hippolytum
In poſterum dici voluit Deæ templum fundatum fuiſſe.
Sed poſtquam Theſeus reliquit Cecropium agrum, *i.e. Athenas*,
Fugiens piaculum cædis Pallantidarum,
Et navigavit *in* hanc terram cum uxore,
Annuū *i.e. unius anni* ultrò ſubiens exilium peregrè tranſigendum;
Ibi ſanè gemens, & conſternata
Miſera ſtimulis amoris perit
Silentio; & nemo ex domeſticis novit morbum.
Sed non oportet hunc amorem iſti excidere.
Oſtendam autem hoc negotium Theſeo, & palam fiet res:
Et hunc meum hoſtem, qui mihi inimicus eſt,
Pater interficiet imprecationibus, quas marinus
Rex Neptunus præbuit munus Theſeo;
Ut nihil fruſtrà ter peteret à Deo.
Illa verò inclyta quidem *eſt & me colit*; ſed tamen peribit
Phædra: non enim tanti faciam hujus exitium,
Ut mihi mei inimici non dent
Tantas pœnas, ut mihi rectè *res habeat, animoque ſatisfiat*.
Sed (video enim filium hunc Theſei
Venientem, relicto labore venationis,
Hippolytum) ex his diſcedam ædibus.
Multus autem cum eo miniſtrorum à tergo ſequens
Cœtus clamitat, celebrans Dianam deam
Hymnis; neſcit enim apertas portas
Mortis, & ſe videre hunc poſtremum diem.

MONOSTROPHICA.

Hip. Sequimini canentes, ſequimini
Jovis *filiam* cœleſtem Dianam,
Dianam, cui curæ ſumus.

Ἱππολύτῳ δ' ἔπι) ἐπ' αὐτῷ τῷ Ἱππολύτῳ. Τὸ λοιπὸν) εἰς τὸ μετὰ ταῦτα. Ἱδρῦσθαι θεάν) ἐν γὰρ τῇ ἀκροπόλει ἱδρύσατο Ἀφροδίτης ἱερόν, ἐπὶ ταχῶν Ἱππολύτου. Κεκροπίαν) τὴν Ἀττικήν. Μίασμα φεύγων) τοὺς Παλλαντίδας ὑπὸ Θησέως ἀνῃρῆσθαι Φιλόχορος ἱστορεῖ οὕτω, Πάλλαντος ἐπιθέσθαι ταῖς Ἀθήναις διανοουμένου, καὶ τὴν Σφηττίαν ὁδὸν προφανῶς διαπορευομένου ἐπὶ τὸ ἄστυ μετὰ τῆς δυνάμεως αὐτοῦ, οἱ τούτου παῖδες κατὰ βούλησιν τοῦ πατρὸς † Γαργηττῷ ἐγκαθίζουσι μετὰ τῶν ἡλικιωτῶν, ἵν' ὅταν ἐπεξέλθωσιν οἱ Ἀθηναῖοι, καὶ ὁ Πάλλας συμβάλῃ, ἐξ ἐφόδου προσπεσόντες λάβωσι τὴν πόλιν. ἀνὴρ δέ τις, ὃς ἐκηρύκευσε τῷ Πάλλαντι, ἀπαγγέλλει τῷ Θησεῖ τὸ γινόμενον. ὁ δὲ προσπεσὼν μετὰ τῶν ἡλικιωτῶν αὐτοὺς ἀναιρεῖ. ἡ δὲ ἱστορία οὕτως ἔχει. Νῖσος, καὶ Πάλλας, καὶ Αἰγεύς, τρεῖς ἀδελφοὶ ἐκ Πανδίονος. καὶ ὁ μὲν Νῖσος τὰ Μέγαρα ᾤκει, Αἰγεὺς δὲ καὶ Πάλλας δήμων τινῶν ἦρχον, τῆς Ἀττικῆς οὔπω συνῳκισμένης εἰς ἕν. λόγος δὲ ἦν, τὸν Θησέα ἀνεψιὸν ὄντα τῶν Παλλαντιδῶν παίδων, ἵνα αὐτῶν ἀντιποιούμενον τῆς βασιλείας ἀνελεῖν. οἱ δὲ οὕτως ἱστοροῦσι. φασὶ γὰρ τοὺς Παλλαντίδας παῖδας ἀνελεῖν τὸν Θησέα λοχῶντας, ἵνα εἰσπέσωσι τῇ πόλει, ὅτ' ἂν ὁ πατὴρ αὐτῶν Πάλλας ἐγγὺς γένηται. ὁ δὲ Θησεῖ μηνύσας τὴν ἔφοδον αὐτῶν ἀνὴρ ἦν, ὃς Πάλλαντι ἐκηρύκευσεν. ὡς οὖν βοηθῶν τῷ Πάλλαντι τοὺς παῖδας αὐτοῦ καταλύοντας ἀνεῖλεν ὁ Θησεύς. ἐπεὶ δὲ νόμος ἦν, τοὺς ἐμφύλιον καὶ συγγενικὸν φόνον ποιήσαντας ἑκουσίᾳ φυγῇ ζημιοῦσθαι τὸ μίασμα, ἔξορον αὐτὸν ἐποίησε, καὶ τὴν γυναῖκα πλησιάζειν ὡς τοὺς συγγενεῖς μετῴκισεν εἰς ἑαυτὸν ἐκ ταύτης, καὶ πάσης τῆς Πελοποννήσου ἀφοσιοῦν. ἔθος γὰρ τοῖς ἐφ' αἵματι φεύγουσιν, ἐνιαυτὸν ποιεῖν ἐκτὸς τῆς πατρίδος. 36. Ναυστολεῖ) μεθίσταται. * ἐκ τῆς Ἀττικῆς ἦλθε πλεύσας, ὅπως ἐνιαυτὸν ποιήσῃ. Αἰνέσας) ἐπαινέσας. συγκατατιθέμενος. Δεῖ πεσεῖν) ἀνενέργητον γενέσθαι. Πρᾶγμα) τὸν ἔρωτα. Ἡ δ' εὐκλεὴς μέν) Μίνωος γάρ ἐστι θυγάτηρ, καὶ Θησέως γυνή. ἢ ὅτι ἐρῶσα καρτερεῖ, διὰ τὸ Θησέως μὲν εἶναι γυνή, Μίνω δὲ θυγάτηρ, εὐκλεής ἐστι. τὸ δὲ ἀπόλλυται, ἀντὶ τοῦ ἀπολεῖται, καίπερ οὖσα εὐκλεής. τὸ δὲ αἴτιον, ὅτι πάσαις ταῖς ἀφ' Ἡλίου γενομέναις ἐμήνισεν Ἀφροδίτη διὰ τὴν μηνυθεῖσαν αὐτῆς ὑφ' Ἡλίου μοιχείαν. τὴν οὖν Πασιφάην οὐ μόνον τοῦ ταύρου, ἀλλὰ καὶ τοῦ Μίνωος ἐρασθῆναι φασίν, ὡς ἱστορεῖ Σωσικράτης. εἰκότως δὲ ἡ Ἀφροδίτη τὴν παρ' ἀμφοῖν εἰσπράττεται τιμωρίαν. παρὰ μὲν Φαίδρας, ὅτι ἀφ' Ἡλίου. παρὰ δὲ Ἱππολύτου, ὅτι οὐκ εἶχε τὰ κατ' αὐτὴν ἐν τιμῇ ἅπαξ, οὐδὲ τὴν πρὸς τὰς γυναῖκας ὁμιλίαν. Τὸ τῆσδ' οὐ προτιμήσω) οὐ τὸ ταύτης κακὸν ἔμπροσθεν θήσομαι, μὴ τιμωρήσασθαι τοὺς ἐχθρούς, ἀντὶ τοῦ μὴ φροντίσω τῆς ἀπωλείας αὐτῆς. Τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς δίκην ὕστερον θήσομαι. Ἄλλως. Οὐκ ἂν προτιμήσαιμι τὴν ταύτης ἀπώλειαν. καὶ τὸ μὴ τιμωρήσασθαι τοὺς ἐμοὺς ἐχθρούς, ἐν ὑστέρῳ θήσομαι. καὶ Πάλλας πολύπαις ὤν, ὡς ἄπαιδα τὸν Αἰγέα κατιδών, ἕως ἐλθὼν ὁ Θησεὺς ἠμύνατο τοὺς Παλλαντίδας. βαλὼν γὰρ ἐν κυνηγίῳ κατὰ συός, τινὰ τῶν Πάλλαντος παίδων ἀπέκτεινεν. Βήσομαι δόμων) χωρήσομαι τόπων. Ὀπαδόντες) ὁ ἑπόμενος χορός. Λέλακεν) βοᾷ, ὑμνεῖ. Οὐ γὰρ οἶδ' ἀνεῳγμένας πύλας) οὐκ ἐπίσταται φησίν, ὅτι ἕτοιμος αὐτῷ ὁ θάνατος. 58. Ἕπεσθ' ᾄδοντες) τὸ ἄγαλμα τῆς Ἀρτέμιδος, οἱ μὲν δικτύμῳ, οἱ δὲ ἐχίνῳ, οἱ δὲ λευκῷ στέφεσθαι φασί.

† Γαργηττῷ, ita corrigo pro *βαρβίτῳ*. * Ita corrigo vetus εἰς τὴν Ἀττικήν, quia exulabat ab *Atticâ* & venit in *Trœzenem*.

ANNOTATIONES.

V. 37. Ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγήν) Veteres annuo exilio ob homicidium mulctabantur quo ſe expiabant tempore, & cæſorum amicos conciliabant ſibi vel muneribus, vel aliis officiis. Et hæc Pœna antiquiſſima videtur: *Adamus* enim primus ob neglecta Dei mandata exulabat ex *Paradiſo*; *Cainus* ob fratricidium à Conſpectu Dei pellebatur; quod nonnulli ad Excommunicationem referri malunt. Heroica tempora hâc pœnâ uti ſolebant; ut ex *Homeri* plurimis locis conſtat, præcipuè *Iliad.* ψ. v. 85. Hujus Pœnæ nomen erat ἀπενιαυτισμὸς & *Latinè* Abannatio erat autem ex Lege. Τὸν ἐργασάμενον φόνον ἀπενιαυτεῖν ἐξ ὅλης ἐνιαυτόν, μὴ φαίνεσθαι τοῖς παθοῦσι, ἕως ἂν αἰδέσηταί τινα τῶν ἐν γένει τοῦ τεθνηκότος. ἅπαν δὲ καὶ Νόμος καὶ καθαρθῆναι. Vide *Schol.* ad *Oreſt.* v. 511. & in hunc locum v. 35 & *Hofman.* in Vocibus *Abannatio*, *Exilium*, & *Heſych.* in Ἀπενιαυτισμός, item Etymolog. Mag. *J. Barnes.*

V. 47. Ἡ δ' εὐκλεὴς μέν, ἀλλ' ὅμως ἀπόλλυται) Haud ineptè de hoc loco diſputat *Sam. Petitus* Miſcell. l. 3. c. 19. ubi legi vult ἐ͂ κλύει μοί γ'. Ego verò veterem Lectionem haud temerè movendam reor. Hunc enim ſenſum facile feret, *Phædra*, quæ Numen meum colit & Templum nomini meo dicavit, *hæc quidem apud me benè audiet*, ἡ δ' εὐκλεὴς μέν, & tamen quanquam nihil mali poſſim ejus Nomini affigere, nec minimæ culpæ ream facere, ipſam hanc ad mortem adigam, potiùs, quam *Hippolytus* iram meam effugiat. *Joſua Barnes.*

V. 49. Τὸ μὴ οὐ) Hæ tres ſyllabæ ſicut duæ in ſcanſione ſunt habendæ, eodem modo ac duæ Ἢ οὐ pro una. Vide *Oreſt.* v. 595.

V. 53. Δόμων) alias τόπων. Vide *Schol.*

δίκτυμον

Δίκταμον φασὶν ἐν Κρήτῃ μόνῃ. τοῦτο δὲ καὶ ὠκυτόκιον ἐστὶ, διὸ καὶ ταῖς δυστοκούσαις δίδοται χάριν τοῦ ταχέως τίκτειν. Ἕπεσθ᾽ ᾄδοντες) τοῦτο ἔνιοι τὸν Ἱππόλυτον φασὶν ᾄδειν. ἄμεινον δὲ τοὺς ἑπομένους τῷ Ἱππολύτῳ ἀπὸ τῶν κυνηγεσίων ταῦτα λέγειν. ἕτεροι δέ εἰσι τοῦ χοροῦ, καθάπερ ἐν τῷ Ἀλεξάνδρῳ ποιμένες. ἐνταῦθα μὲν ἦν διπλῆ) προσφωνήσασθαι τοῖς ὑπὸ τοῦ χοροῦ. ὅπου δὲ ζωμαστὴς τοῦ χοροῦ, ἐπεισάγει τοῦτο τὸ ἄθροισμα. Ἄλλως. Ὁ Ἱππόλυτος ὑμνεῖν παρακελεύεται. ἢ ἀλλήλους προτρέπονται οἱ ἀπὸ τοῦ χοροῦ, ἤγουν οἱ συμπέμψαντες τῷ Ἱππολύτῳ κυνηγέται. ἄλλοι δὲ πρὸς εἰσι παρὰ τὸν χορόν. ὁ γὰρ χορὸς, ὡς εἴρηται, ἐκ Τροιζηνίων γυναικῶν.

68. Εὐπατέρειαν) τὴν καλλίστην τοῦ πατρὸς Διὸς αὐλήν. 73. Σοὶ τόνδε πλεκτὸν) διαβέβηκε τοῦτο τὸ ζήτημα. καὶ οἱ μὲν ὑπέλαβον τὸν Ἱππόλυτον στέφειν τὴν Ἄρτεμιν ἀνθίνῳ στεφάνῳ. ὁ δὲ Φιλόχορος τὴν ἐν ἀρχῇ Ἄρτεμιν, τῷ δὲ λόγῳ στέφεσθαι φησίν. ἐφ᾽ ἑαυτῷ καὶ τὸν Ἱππόλυτον ταῦτα λέγειν. ὅτι ἐμαυτὸν σοὶ ἀνατίθημι, ὦ θεὰ, στέφανον, τουτέστι κόσμον ἀνθρώπειον. κόσμον γὰρ εἶναι τῇ παρθένῳ τὸ μετὰ τοῦ σωφρονεστάτου τὸν νοῦν διακοσμεῖν. ἄλλοι δέ φασι μηδὲν αἰνίττεσθαι τὸν ποιητὴν, μηδὲ ἀλληγορεῖν, ἀλλὰ κυρίως λέγειν, καὶ τῷ ὄντι στέφανον φέρειν τὸν Ἱππόλυτον, τοῦτον δὲ ἐκ τοιούτου λειμῶνος, καθ᾽ ὃν οὐκ ἔστιν ἡμῖν ὅσιον, οὐδὲ θρέπτειν τῶν ἀνθέων. τὸ γὰρ οὐκ ἦλθέ πω σίδηρος εἰς τοῦτο καταφέρει, ὅτι οὐδὲ δρέπεσθαι ὑπό τινος, οὐδὲ εἰργάσθαι. ἄλλοι δέ φασι τὸν Εὐριπίδην τεχνικώτερον τὸν ἐπὶ τῇ Ἀρτέμιδι ὕμνον, στέφανον λέγειν. καὶ γὰρ ὂν ἀνάλογον ἐστὶ, καὶ πολλὴν ἀπορίαν ἔχον, καὶ δοκεῖν ἄνθιμον λειμῶνα εἶναι. ὅθεν ἀκολούθει τὰ ἄνθη, καὶ τοιοῦτον, εἰς ὃν οἱ εἰπόντες ἐξετάζονται. καὶ πότερον διδακτὴν ἔχουσι τὴν σωφροσύνην, ἢ ἐκ φύσεως, καὶ κατέσχηνται αὐτήν. Φιλόχορος δέ φησι, τῷ μὲν ξοάνῳ πλεκτὸν στέφανον προσφέρειν. τῇ δὲ θεῷ τὸν ὕμνον. ἐξ ἀκηράτου δὲ, τῆς ἀδόλου καὶ ἀφθάρτου διανοίας. Ἄλλως, ὁμοιωτικῶς οἱ ποιηταὶ τὰς μὲν ἰδίας φύσεις λειμῶσιν, ἢ ποταμοῖς, ἢ μελίσσαις εἰκάζουσι. τὴν δὲ ποίησιν στεφάνοις. διὰ μὲν τῶν ἀνθέων τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῆς παριστάντες. διὰ δὲ τῶν ἀνθέων τὴν ποικίλην, καὶ τὴν εἰς τὸ ποιεῖν ὁρμήν. διὰ δὲ τῶν μελισσῶν, τὸ μελιχρόν. διὰ δὲ τῶν στεφάνων, τὸν κόσμον τῶν ὑμνουμένων. ταῦτα δὲ πάντα ζωγραφῶν ὁ ποιητὴς, ἐφαρμόζει τῆς ἀλληγορίας τὸν τρόπον. τὸ δὲ ἐξ ἀκηράτου λειμῶνος, ὅτι δεῖ πάντως τὸν μετιόντα μουσικὴν καθαρὰν καὶ ἀκήρατον ἔχειν τὴν ψυχὴν παντὸς, καὶ ἄχραντον ἀπὸ κακοῦ. καὶ μάλιστα τῆς αἰδοῦς μεμοιραμένην. διὰ γὰρ τὸ αἰδέσιμον, καὶ παρθένους ὑποτίθενται τὰς μούσας γενναιοτάτας οὔσας. Ἄλλως, καθαρὰν μὲν ἔστι τῆς διανοίας καὶ στέφανον αὐτὸν προσφέροντα, ἔτι δὲ σοφόν. τῷ μὲν γὰρ ξοάνῳ, τὸν χειροποίητον στέφανον προσφέρειν. τῇ θεῷ δὲ, τὸν ὕμνον. πλεκτὸν τοίνυν στέφανον λέγει τὸν ὕμνον, δίκην πλοκῆς συντιθέντας τοὺς λόγους ἀποτελεῖν τὸν ὕμνον. ἀκήρατον δὲ λειμῶνα ἀνθοφορεῖ τὸν ἐξ ἀνθέων πεπλεγμένον στέφανον τῇ παρθένῳ, καὶ ἄδολον ἔννοιαν, ἐν ᾧ λειμῶνι οὐδὲ ποιμὴν ἄξιον νενόμικε τὰ ποίμνια ἄγειν. τὰ γοῦν ἄνθη τούτου τοῦ λειμῶνος, σοφίας ἐστὶ καὶ ἀρετῆς ἀποτελέσματα. ἀλλὰ μὴν οὐδὲ σίδηρος εἰς τμῆσιν ἦλθε τοῦ λειμῶνος, καὶ αὐτὰ τὰ ἄνθη ἐθέρισε. σίδηρον δὲ λέγει, ἤτοι τὴν περίεργον φιλοπραγμοσύνην καὶ κακοπραγίαν, ἢ τὴν τῶν αἰσχρῶν ἡδονῶν φθορὰν, ἵνα αὐτῆς τὸ παρθένιον καὶ ἄδολον δηλοῖ. βοτὰ δὲ λέγεται τὰ ποίμνια. μέλισσαν δὲ, ἀλληγορικῶς αὐτὴν τὴν ψυχήν. καθαρὸν γάρ τι ζῶον ἡ μέλισσα. ὅθεν τὰς ἱερείας [Δήμητρος] μελίσσας καλοῦσιν οἱ ποιηταί. ἐαρινὴν δὲ αὐτὴν λέγει. ἤτοι ὅτι μέλισσα ἥδεται τῷ ἔαρι, διὰ τὰ ἄνθη, ἢ ὅτι αἱ καθαραὶ ψυχαὶ ἀεὶ ἐν ἄνθεσιν εἰσί. τὸ γὰρ ἀνθεῖν ἐαρινόν. 78. Αἰδὼς δὲ ποταμίαισι) ἡ αἰδώς φησι τοῦτον τὸν λειμῶνα γεωργεῖ, καὶ αὐτὸν τοῖς ὕδασι τοῖς ποταμίοις κηπεύει καὶ ποτίζει, καὶ γεωργεῖ. τοῦτο δὲ λέγει, ἐπεὶ πλεῖστον μέρος τῆς σωφροσύνης ἡ αἰδὼς ἔλαχεν. καὶ τοῖς ἀγαθοῖς ἀνθρώποις καὶ σοφοῖς ἔνεστι τὸ αἰδημονικόν. ὅσοις ἐν μηδὲν καὶ ἐκ μιᾶς φύσεως ἔγνωσται, ἀλλὰ φύσει τὴν σωφροσύνην ἠγάπησαν, τούτοις θέμις ἐκ τούτου τοῦ λειμῶνος μόνοις δρέπεσθαι. καὶ καρποῦσθαι τοιαύτης ψυχῆς καὶ σοφίας ἀπόλαυσιν. Ἄλλως, ταῦτα οὐκ ἔστιν ἐπινοῆσαι, εἰ κυρίως τις βέλτιστα ἐπὶ τῶν κειμένων ἐκδέχεται τὸν λόγον. ἀλληγορεῖται οὖν τὰ προκείμενα. οἱ γὰρ ποιηταὶ ἐπιεικῶς τὰς ἰδίας φύσεις μελίσσαις καὶ ποταμοῖς καὶ λειμῶσι προσομοιοῦσιν. αὐτὴν δὲ τὴν ποίησιν στεφάνοις, διὰ μὲν τῶν ἀνθέων, ὡς εἴρηται, τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῶν παριστάντες. διὰ δὲ τῶν ποταμῶν τὸ πλῆθος καὶ τὴν ἐπὶ τὰ ποιήματα ὁρμήν. διὰ δὲ τῶν μελισσῶν τὸ ἐμμελὲς καὶ τὸ συντετυγμένον, ἅμα καὶ τὸ μελιχρὸν τῶν ποιημάτων, τοὺς στεφάνους, ἕνεκα τοῦ λαμπρύ-

Χο.	* Πότνια, πότνια, σεμνοτάτα,	* De hâc mutatione Chori, vid. Scholiaſt. ſupra ad v. 58.	Cho. Veneranda, veneranda, auguſtiſſima Dea,
	Ζηνὸς γένεθλον,		Jovis ſoboles,
	Χαῖρέ μοι, ὦ κόρα,		Salve mihi, ô puella,
	Χαῖρέ μοι, Λατοῦς,		Salve mihi Latonæ,
	Ἄρτεμι, καὶ Διὸς,		Et Jovis filia Diana,
	Καλλίστα πολὺ παρθένων,		Virginum multò formoſiſſima,
	Αἳ μέγαν κατ᾽ οὐρανὸν		Quæ in amplo cœlo
	Ναίετ᾽ εὐπατέρειαν αὐλὰν,		Habitatis nobilem patris aulam,
	Ζηνὸς πολύχρυσον οἶκον.		Jovis auri-copiâ-fulgentē domum.
Ιπ.	Χαῖρέ μοι, ὦ καλλίστα,		Hip. Salve mihi, ô pulcherrima,
	Καλλίστα τῶν κατ᾽ ὄλυμπον		Pulcherrima in cœlo degentium
	Παρθένων, Ἄρτεμι.		Virginum Diana.
	Ἴαμβοι.		*Hippolytus*, ad eum *Famulus*.
	Σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου		Tibi hanc coronam contextam ex illibato
	Λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω,		Prato, ô domina, *floribus* ornatam fero;
	Ἔνθ᾽ οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ,		Ubi neq; e paſtor vult paſcere ſuos greges,
	Οὔδ᾽ ἦλθέ πω σίδηρος, ἀλλ᾽ ἀκήρατον		Quò neque venit adhuc ferrum, ſed illibatum
	Μέλισσα λειμῶν᾽ ἠρινὸν διέρχεται·		Pratum vernum apis peragrat:
	Αἰδὼς δὲ ποταμίαισι κηπεύει δρόσοις,		Pudor verò rigat rore fluviatili,

ANNOTATIONES.

V. 73. Σοὶ τόνδε πλεκτὸν Στέφανον ἐξ ἀκηράτου Λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω) Πλεκτὸς στέφανος, *Plauto* dicitur *Corolla Plectilis*, Fabula *Bacchides* Act. 1. Scen. 1. *Corolla plexa* eſt, quæ ex variis floribus contexitur, puta ex Herbis Odoratis, Roſis, Myrti, Laurique ramis, ſine Lemniſcis tamen, aut ſupervacaneis ornamentis. Vid. *Turneb.* l. 2 c. 30. *Plauti* autem eſt *Amori*, quùm hæc *Caſtitati* ſit dicata. Ex hoc verò loco Docti homines putant Nomen hujus Fabulæ Ἱππόλυτος στεφανηφόρος ortum, poſtquam emendatior ab *Euripide* exhibita eſt, ut ejuſdem prior Appellatio (nempe, antequam corrigeretur) Ἱππόλυτος Καλυπτόμενος dicebatur ex loco in fine hujus Fabulæ v. 1457. Κεκαρτέρηται τἀμά· ὄλωλα γὰρ, πάτερ· Κρύψον δέ μου πρόσωπον, ὡς τάχος, πέπλοις. Vide Veterem Grammaticum additum ad finem Argumenti *Græci* prioris hujus Fabulæ. Et tamen credibile eſt, Priorem hujus Fabulæ Editionem, quanquam Poetæ ipſi diſplicuerit, ſervatam eſſe ab aliis & etiam quos in ſecundâ Editione Poeta ſuppreſſerit Verſus, paſſim ab Authoribus citari, quales ultra quadraginta occurrent in Fragmentis, titulo *Hippolytus* καλυπτόμενος. In cujus tamen *Argumento* hujus loci notatio per errorem fit 91. pro 73. quod notandum. *Joſua Barnes*.

V. 77. Μέλισσα) Quod ad hunc locum *Scholiaſtes* dicat, *Cereris* Sacerdotes *Meliſſas* vocari, quoniam ego in Textum Δήμητρος induxi, audiendus eſt *Callimachus* Hymn. in *Apollin*. v. 110. Δηοῖ δ᾽ οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι μέλισσαι. *Porphyrius* item libro de Nympharum Antro, Τὰς Δήμητρος ἱερείας, ὡς τῆς χθονίας θεᾶς μύστιδας, Μελίσσας οἱ παλαιοὶ ἐκάλουν. Illæ autem ſunt eo nomine, ut nonnulli volunt, à *Meliſſâ Meliſſei* Reges *Cretenſium* filiâ, *Amaltheæ* ſorore. Vide *Lactantii* l. 1. c. 22. ubi *Didymum* citat è libro Ἐξηγήσεως Πινδαρικῆς. *Joſua Barnes*.

νέμει δ' αὐτῇ τὸ ἐπιτεύγμα. ταῦτα δὲ πάντα συλλαβὼν ὁ Εὐριπίδης, ἐφιλοτιμήσατο τὴν ἀλληγορίαν, δι' ἧς τὸν εἰς τὴν Ἄρτεμιν ὕμνον ἐβουλήθη φράσαι, ἐκ τῶν ἄλλων ποιητῶν ἀφελὼν τοῖς τρόποις χρησάμενον. τὸ δὲ ἐξ ἀκηράτου λειμῶνος δρέπεσθαι, διὰ τὸ δεῖν τὴν ποιητικὴν ψυχὴν καθαρεύοντα καὶ ἀκήρατον εἶναι, καὶ παρ' ἧς ἁγνοῦ ἀρχαῖον. δεῖ γὰρ τοὺς ποιητὰς ... αὐτοὺς μιμεῖσθαι πάντων· διὸ δὲ τὰς μούσας παρθένους εἶπον ἔνιοι.

Ὅσοις διδακτὸν μηδὲν, ἀλλ' ἐν τῇ φύσει
Τὸ σωφρονεῖν εἴληχεν· εἰς τὰ πάντ' ἀεὶ
Τούτοις δρέπεσθαι, τοῖς κακοῖσι δ' οὐ θέμις.
Ἀλλ', ὦ φίλη δέσποινα, χρυσέας κόμης
Ἀνάδημα δέξαι, χειρὸς εὐσεβοῦς ἄπο.
Μόνῳ γάρ ἐστι τοῦτ' ἐμοὶ γέρας βροτῶν·
Σοὶ καὶ ξύνειμι, καὶ λόγοις ἀμείβομαι,
Κλύων μὲν αὐδῆς, ὄμμα δ' οὐχ ὁρῶν τὸ σόν.
Τέλος δὲ κάμψαιμ', ὥσπερ ἠρξάμην βίου.
Θε. Ἄναξ· θεοὺς γὰρ δεσπότας καλεῖν χρεών,
Ἆρ' ἄν τι μου δέξαιο βουλεύσαντος εὖ;
Ιπ. Καὶ κάρτα γ'· ἦ γὰρ οὐ σοφοὶ φαινοίμεθ' ἄν.
Θε. Οἶσθ' οὖν, βροτοῖσιν ὃς καθέστηκεν νόμος;
Ιπ. Οὐκ οἶδα· τοῦ δὲ καί μ' ἀνιστορεῖς πέρι;
Θε. Μισεῖν τὸ σεμνὸν, καὶ τὸ μὴ πᾶσιν φίλον.
Ιπ. Ὀρθῶς γε· τίς δ' οὐ σεμνὸς ἀχθεινὸς βροτῶν;
Θε. Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις;
Ιπ. Πλείστη γε, καὶ κέρδος γε σὺν μόχθῳ βραχεῖ.
Θε. Ἦ κἀν θεοῖσι ταὐτὸν ἐλπίζεις τόδε;
Ιπ. Εἴπερ γε θνητοὶ θεῶν νόμοισι χρώμεθα.
Θε. Πῶς οὖν σὺ σεμνὴν δαίμον' οὐ προσεννέπεις;
Ιπ. Τίν'; εὐλαβοῦ δὲ, μή τι σου σφαλῇ στόμα.
Θε. Τήνδ', ἣ πύλαισι σαῖς ἐφέστηκεν Κύπρις.
Ιπ. Πρόσωθεν αὐτὴν ἁγνὸς ὢν ἀσπάζομαι.
Θε. Σεμνή γε μέντοι, κἀπίσημος ἐν βροτοῖς.
Ιπ. Ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει.
Θε. Εὐδαιμονοίης, νοῦν ἔχων, ὅσον σε δεῖ.
Ιπ. Οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν.

Quibus nihil *eſt* ſtudio partum, ſed illi ab ipſâ naturâ
Caſtitatem ſortiti ſunt, in omnibus *rebus* ſemper
Illis *fructum* decerpere *fas eſt*, improbis verò nefas
Quare, ô chara domina, aureæ comæ
Coronam accipe à piâ manu.
Soli enim mihi eſt hoc munus ex mortalibus:
Et tecum verſor, & tecum colloquor,
Audiens quidem *tuam* vocem, ſed non videns tuam ſpeciem:
Finem autem vitæ faciam, ſicut incœpi.
Fam. O rex: oportet enim dominos vocare deos,
Num vis aliquod à me accipere bonum conſilium?
Hip. Maximè. Alioqui enim non videremur ſapientes.
Fam. Scis igitur, quæ lex mortalibus ſit conſtituta?
Hip. Non novi: quâ de re verò me interrogas?
Fam. Odiſſe faſtum, & id quod non omnibus *eſt* gratum.
Hip. Probè ſcio: quis enim hominû ſuperbus non *eſt* odioſus?
Fam. In illis verò, qui ſunt comes, èſtne aliqua gratia?
Hip. Plurima certè, & quidem etiam lucrum cum parvo labore.
Fam. Exiſtimas nè verò & inter deos idem eſſe?
Hip. Siquidem homines utimur legibus deorum.
Fam. Cur ergo tu venerandam Deam non ſalutas?
Hip. Quam? cave verò, nè quid tuum os offendat.
Fam. Venerem illam quæ tuis foribus præſidet.
Hip. Eminùs ipſam purus exiſtens ſaluto.
Fam. Veneranda tamen *eſt*, & inſignis inter mortales.
Hip. Aliis alii dii & homines curæ ſunt.
Fam. Beatus eſſes, ſi ſaperes, quantum te opus eſt ſapere.
Hip. Nemo deorum mihi placet, *qui ſit* admirandus noctu.

Ὅσοις διδακτὸν) διδακτὸν ἐστιν, τὸ μὴ ἐκ φύσεως πλεονέκτημα, ἀλλ' ἐκ συνηχείας μελέτης ἀνυόμενον. καὶ οἱ φιλόσοφοι διδακτὰ λέγουσι, τὰ κακά· φυσικὰ δὲ, ἀγαθά. δυνατὸν οὖν τὸ ἐκ βίου φύσεως μάθημα, ἢ συνεχὴς μελέτη. Χρυσέας κόμης) τοῦτο πάλιν πρὸς τὸν χειροποίητον στέφανον, ὃν ἔφερε τῇ ξοάνῳ. τινὲς μέντοι καὶ τοῦτο ἐπὶ τῆς αὐτῆς ἀλληγορίας ἀκούουσι, λέγοντες τὸν ὕμνον κόσμιον εἰρῆσθαι αὐτῆς. οὕτω γὰρ λέγεις τὸν ὕμνον δεικτικῶς, πρὸς τὸ εἰρημένον πότνια. 87. Ἄναξ) ἀπὸ τοῦ ἔχειν τὴν ἄνω ἀξίαν. Ἄναξ) κυρίως σωτήρ. τοὺς γὰρ θεοὺς ἄνακτας καὶ σωτῆρας καλοῦμεν. καταχρηστικῶς δὲ καὶ τοὺς δεσπότας ἄνακτας καλοῦμεν, ὡς δευτέρους σωτῆρας. δηλοῖ δὲ τοῦτο μάλιστα Ὅμηρος. * Ἀστυάνακτ'· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ. εἴρηται γὰρ οἷον ὁ τοῦ ἄστεος σωτήρ. ὦ ἄναξ· θεοὺς γὰρ καὶ σωτῆρας τοὺς δεσπότας καλεῖν χρή. δύναται δὲ τὸ μὲν ἄναξ ἐπὶ τοῦ Ἱππολύτου, τὸ δὲ δεσπότας ἐπὶ τῶν θεῶν· εἰκὸς γὰρ καὶ αὐτὸν, μέλλοντα πρὸς ἀνθρωπίνης φύσεως ὑπερτίθεσθαι τὸ κρεῖττον. 90.

Καὶ κάρτα γε) καὶ μάλιστα. τὸ δὲ κάρτα, κατ' ἐναλλαγὴν λέγεται στοιχείου, κράτα. ἤτοι κρατερῶς, ὡς ἀπὸ τοῦ σφόδρα σχεροῦ. Καὶ κάρτα γ' ἦ γὰρ) εἰ γὰρ μὴ ὑπὸ τῶν ὑπεξόντων ἐκδεχοίμεθα λόγους, οὐκ ἐσόμεθα σοφοί. νόμος τὸ γεγραμμένον διάταγμα, τὸ κρατοῦν καὶ γεγραμμένον. ἔθος δὲ, τὸ μὴ γεγραμμένον. Ἦ κἀν θεοῖσι) ἆρα οὖν καὶ αὐτὸ τοῖς θεοῖς ὑπονοεῖς, χάριν ἔχειν αὐτοὺς τοῖς εὐπροσηγόροις. Εἴπερ γε θνητοὶ) ἐπεὶ παρὰ θεῶν ἔλεγον τοὺς νόμους ἀκηκοέναι οἱ νομοθέται, ὡς Λυκοῦργος μὲν ὑπὸ Ἀπόλλωνος, Μίνως δὲ ὑπὸ Διός. Ὅμηρος. † Ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής. Ἄλλως. τοῦτο εἶπεν, ἐπεὶ ἐξ ἀρχῆς Ῥαδάμανθυς καὶ Μίνως παρὰ θεῶν τὰ νόμιμα διδασκόμενοι, τοῖς ἀνθρώποις φανερὰ ταῦτα ἐποίησαν. Οὐ προσεννέπεις) προσαγορεύεις. Σεμνή γε) σεμνὸν τὸ ὑπερήφανον, καὶ τὸ ἐπαχθές. δηλοῖ δὲ καὶ τὸ τίμιον, ὡς ἐρωτηματικῶς φησι, πῶς οὖν σὺ σεμνὴν δαίμονα οὐ προσεννέπεις. δηλοῖ δὲ καὶ τὴν πάνυ τιμίαν. σεμνή γε μέντοι, τῆς προσηγορίας ὁ μόχθος βραχύς. δι' αὐτῆς γὰρ πρᾶγμα εὑρίσκει. Ἄλλοισιν ἄλλος) ὃ λέγει τοιοῦτόν ἐστιν, οὐ πάντες τοὺς αὐτοὺς θεοὺς σέβομεν, οὐδὲ τοὺς αὐτοὺς ἀνθρώπους ἀγαπῶμεν, ἀλλ' οἱ μὲν τόνδε. ὁμοίως δὲ τὴν Ἄρτεμιν σέβω, ἄλλοι δὲ τὴν Ἀφροδίτην. Εὐδαιμονοίης) ἤτοι φρονῶν περὶ τῶν θεῶν, μήτε ὑπὲρ τὸ καθῆκον φρονῶν, μήτε ὑπὸ ἄνθρωπον ὃ ἐστιν, εἴη σοι τῆς ἀρετῆς ἔχειν τὸ ἄκρον. μὴ ὑπὸ ἄνθρωπον φρονοῦντα. Ἄλλως, εἴης εὐδαίμων τὰ καθήκοντα φρονῶν. λυποῦμαι γὰρ νῦν ὁρῶν σε ἀφρονοῦντα. 106. Οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεὸς) οὐδείς ἐστι θεὸς μυούμενος ἐν νυκτὶ ἐμοὶ ἐν ἀρέσκει, διὰ τὸ τῆς νυκτὸς θαυμάζεσθαι.

* Iliad. ζ'. v. 403. † Odyſſ. τ' v. 179.

ANNOTATIONES.

V. 88. Ἄναξ· θεοὺς γὰρ δεσπότας καλεῖν χρεών·) Θεοὺς ἄνακτας & δεσπότας quòd dixerint Veteres, Vide quæ Nos ad *Iphig. Aul.* v. 482. Quòd verò viciſſim δεσπότας dixerint θεοὺς & ἄνακτας, ex hoc loco partim evincitur, necnon ex illo *Telemachi* apud *Homerum*, Αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο. Hinc præcipuè Reges Domini vocantur & Dei, hinc item Regum *Perſicorum* Adoratio; cujus rationem hanc profert *Artabanus* Perſa apud *Plutarchum* in *Themiſtocle*, Ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν ὄντων, κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα καὶ προσκυνεῖν, εἰκόνα θεοῦ τοῦ τὰ πάντα σώζοντος. Vide *Aueſtoriſtiorum*, ſive *Eſtheram* Noſtram, ad v. 1261. Item quæ Nos ad *Troad.* v. 1021. Καὶ προσκυνεῖσθαι βαρβάρων ὑπ' ἤθελες. *Joſua Barnes.*

V. 89. Μὴ ἀναλόγιστός) Hinc & ex aliis locis colligo Perſonam loquentem eſſe Maſculum, ac proinde Θεράπαινα, quod prius obtinebat, in Θεράπων mutari, inter Δραμάτων πρόσωπα: Vel certè & Θεράπων & Θεράπαινα poni; quia in Actu quinto videtur etiam *Ancilla Phædræ* ſuſpendium nuntiare. *Idem.*

V. 102. Πρόσωθεν αὐτὴν ἁγνὸς ὢν ἀσπάζομαι) Hunc locum laudat *Famianus Strada* Proluſ. de Poeticâ p. 153. *In Deorum cultu cùm cederet omnino nemini, unam tamen Venerem procul ab ſe ſalutari dicebat caſtiſſimus* Hippolytus *apud veterem Poetam. Imò idcircò* Etruſcorum *Diſciplinâ jubebatur extra Mœnia fanum Veneris collocari; ut nihil in urbe adverſus caſtimoniam Adoleſcentibus verſaretur ob oculos.* *Joſua Barnes.*

V. 103. Σεμνή γε μέντοι, κἀπίσημος ἐν βροτοῖς) τὸ ἐν hic ponitur pro μετὰ vel παρὰ, *In* pro *Inter*: ſic *Iphig. Aul.* v. 429. Ὡς αὐτὴ κλεινὴ ἐν στρατεύμασι βροτοῖς. Eodem modo & τὸ εἰς aliquando legitur, ut *Suppl.* v. 340. ... εἰς Ἕλληνας ἐξαιρέσιμον. De utriſque vid. *Pſochenium* in Diatrib. de Gr. Ling. N. T. Puritate. *Joſua Barnes.*

Θε. Τι-

Θε. Τιμαῖσιν, ὦ παῖ, δαιμόνων χρῆσθαι χρεών.
Ιπ. Χωρεῖτ', ὀπαδοί, καὶ παρελθόντες δόμους,
Σίτων μέλεσθε. " Τερπνὸν ἐκ κυναγίας
" Τράπεζα πλήρης· καὶ καταψήχειν χρεὼν
Ἵππους, ὅπως ἂν ἅρμασι ζεύξας ὕπο
Βορᾶς κορεσθεὶς, γυμνάσω τὰ πρόσφορα.
Τὴν σὴν δὲ Κύπριν πόλλ' ἐγὼ χαίρειν λέγω.
Θε. Ἡμεῖς δὲ, τοὺς νέους γὰρ οὐ μιμητέον,
Φρονοῦντες οὕτως, ὡς πρέπει δούλοις λέγειν,
Προσευχόμεσθα τοῖσι σοῖς ἀγάλμασι,
" Δέσποινα Κύπρι. Χρὴ δὲ συγγνώμην ἔχειν,
" Εἴ τις γ' ὑφ' ἥβης σπλάγχνον ἔντονον φέρων,
" Μάταια βάζει· μὴ δόκει τούτου κλύειν·
" Σοφωτέρους γὰρ δεῖ βροτῶν εἶναι θεούς.

ΕΠΩΙΔΙΚΑ.

Στροφὴ ά.

Χο. 1 Ὠκεανοῦ τις ὕδωρ
2 Στάζουσα πέτρα λέγεται,
3 Βαπτὰν κάλπισι ῥυτὰν παγὰν
4 Προϊεῖσα κρημνῶν.
5 Ὅθι μοί τις ἦν φίλα,
6 Πορφύρεα φάρεα
7 Ποταμίᾳ δρόσῳ,
8 Τέγγουσα, θερμᾶς δ' ἐπὶ νῶτα πέτρας
9 Εὐαλίου κατέβαλλ'. ὅθεν μοι
10 Πρώτα φάτις ἦλθε, δεσποίνας

Ἀντιστροφὴ ά.

1 Τειρομέναν νοσερᾷ
2 Κοίτᾳ, δέμας ἐντὸς ἔχειν
3 Οἴκων, λεπτὰ δὲ φάρεα ξανθὰν
4 Κεφαλὰν σκιάζειν.
5 Τριτάταν δέ νιν κλύω
6 Τάνδε κατ' ἀμβροσίου

Fam. O fili, oportet honorare deos.
Hip. Ite comites: & prætereuntes hanc Ædem,
Curate cibos. " Jucundum eſt poſt venationem
" Menſa plena; & convenit recreare
Equos, ut jungens currui eos
Saturatus cibo, exerceam commodè:
Tuam verò Venerem longum ego valere jubeo. * *Exit Hippolyt.*
Fam. Nos verò (juvenes enim non ſunt imitandi)
Sapientes, ita ut convenit ſervis dicere,
Adoramus tuam ſtatuam,
" O domina Venus. Oportet autem veniam dare,
" Si quis propt. adoleſcentiam habēs vehementiorē animi impetū,
" Stulta loquitur; diſſimula te eum audire:
" Sapientiores enim hominibus oportet eſſe Deos.

EPODICA.

Strophe 1.

Ch. 1 Aquam Oceani quoddam
2 Saxum ſtillare dicitur,
3 Fontem fluentem, in quo urnæ merguntur,
4 Emittens ex rupibus:
5 Ubi erat mihi quædam ſocia,
6 Purpureas veſtes
7 Fluviatili rore
8 Lavans, quas inde ſupra tergum tepidi ſaxi
9 Aprici depoſuit. Unde mihi
10 Primùm fama venit, dominam

Antiſtrophe 1.

1 Confectam tabido, *i.e. in quo decumbit tabeſcens,*
2 Lecto, corpus continere intra
3 Ædes, tenuéſq; veſtes flavum ejus
4 Caput velare.
5 Tertiam autem ipſam audio
6 Hunc, in ambroſio

Τιμαῖσιν ὦ παῖ) χρὴ ταῖς τιμαῖς τῶν θεῶν προσέρχεσθαι, τουτέστι τιμᾶν τοὺς θεοὺς ταῖς νομιζομέναις τιμαῖς τῶν θεῶν, ὡς προσήκει χρῆσθαι τὰ πρόσφορα, ἤτοι τὰ ἕτοιμα, τὰ ἁρμόζοντα, τὰ καθήκοντα, τὰ σύμφορα. Σίτων μέλεσθε, τερπνὸν) τερπνὸν γὰρ ἐκ κόπου κυνηγίας εὑρεῖν τράπεζαν γέμουσαν, καὶ κορεσθῆναι. Ἄλλως. τράπεζα πλήρης τερπνὸν δῆθεν δηλονότι. καὶ καθολικὸν ἐπὶ τοῦ καμάτου, ὀνειρώττερα τοῦ ὕπνου τὰ σώματα τῇ κινήσει τοῦ θερμοῦ. Ὡς πρέπει δούλοις λέγειν) ὡς πρέπει δούλοις τὴν εὐχὴν ποιησόμεθα, ἀντὶ τοῦ οὐ μετὰ πολυτελοῦς θυσίας, ἀλλὰ ψιλὴν προσφώνησιν ποιησόμεθα. Τὸ ἥβης) ὑπὸ νεότητος. Σοφωτέρους) φιλανθρωποτέρους. 121. Ὠκεανοῦ τις) ὁ χορὸς ἥκει ἐκ Τροιζηνίων γυναικῶν. συναχθεὶς εἰς ἐπίσκεψιν τῆς Φαίδρας. καὶ πρῶτα μὲν διηγεῖται, πόθεν αὐτῇ ἡ φήμη τῆς βασιλίσσης ἦλθεν. ἔπειτα δὲ καὶ ζητεῖ, τίς ἂν εἴη ἡ περίστασις τῆς νόσου. ὁ δὲ νοῦς, πέτρα τις ἐπὶ ὕδωρ ὠκεάνιον στάζουσα, οὐ διὰ τέχνης, οὐδὲ ὕπνον, ἀλλ' αὐτομάτως βλύζον. πᾶν δὲ ὕδωρ Ὠκεανὸς λέγεται. τοσοῦτον ὕδωρ ἔχουσα πηγαῖον, ὥς τι βάπτειν ὑδρίαν. Ὠκεανοῦ δὲ καθὸ γλυκὺ, καὶ πότιμον. Βαπτὰν κάλπισι) ἀντὶ ὥς τε βαπτίζειν ἐν τῇ ἀντλητῇ πηγῇ τὴν ὑδρίαν γεμίζειν, ἢ τὴν πειρωμένην ὑπὸ τοῦ ὕδατος πηγήν. Ἄλλως, ὡς κοτυλήρυτον αἷμα, τὸ τὴν κοτύλην ἀναβαλεῖν. ἢ ὅτι περὶ τὴν Τροιζηνίαν τοιαύτη τις ἐπὶ πέτρα, ἐξ ἧς τὸ καταφερόμενον ὕδωρ βάπτει τὰς ὑδρίας, ὡς Διονυσόδωρος ἐν τῷ περὶ ποταμῶν λέγει. 123. Ῥυτὰν) δυναμένην βάψαι κάλπιν καὶ περαιτέρω. Προϊεῖσα κρημνῶν) τὸ ὕδωρ κατὰ τῶν κρημνῶν ἐξ ὕψους καταχέουσα. 128. Τέγγουσα) βρέχουσα, πλύνουσα ἐπὶ τὰ νῶτα τῆς θερμαινομένης τοῦ ἡλίου βολαῖς πέτρας, ἐκεῖ μοι φίλη τις ἐνέτυχεν, ἐδέχετο. ἀπὸ δεῖνος δὲ κεῖται τὸ ἦν. ἔδει γὰρ λέγειν, ἔνθα μοί τις συνέτυχε φίλη. Ἄλλως. ἐνταῦθα μοί τις γυνὴ ἐπελθοῦσα πλύνειν τὰ ἱμάτια, καὶ ταῦτα ἐπὶ τῆς εὐηλίου πέτρας ἐπὶ ξηρασίαν καταβαλοῦσα, ἀκούσασα τῆς βασιλίσσης τὴν νόσον, πρώτη ἤγγειλεν ἐλθοῦσα. φιλοῦσι γὰρ ἐν ταῖς τοιαύταις συνόδοις ὁμιλεῖν περὶ βασιλέων, παραπέμπειν πρὸς παραμυθίαν τῶν καμάτων. ὅσα ἐκ ἀπηκόους περὶ πλουσίων φίλων πυθέσθαι καὶ εἰπεῖν. Ὅθεν μοι πρῶτον) ὅθεν ἐκ τῆς φίλης δηλονότι, πρῶτον ἔμαθον τὴν Φαίδραν κειμένην ἔσω τῶν οἴκων ἐπὶ τῆς κλίνης εἶναι. δέμας δὲ ἐντὸς ἔχειν, ἀντὶ τοῦ ἔσω τῆς κλίνης ἐν τοῖς μυχοῖς τοῦ οἴκου. τοῦτο δέ φησιν, ἐπεὶ καὶ συμφορᾶς ἕνεκα πολλάκις ἀπαρρησίαστα γίνεται. λεπτὰ δὲ φάρεα, λεπτοῖς δὲ φάρεσι κατακαλύπτεται τὴν κεφαλήν. οὐ γὰρ ἀνέχεται βαρύτερα διὰ τὴν προσβολήν. 135. Τριτάταν δέ νιν κλύω) τὸ ἑξῆς τριτάταν δέ νιν κλύω τάνδε ἡμέραν κατέχειν, ἁγνὸν τὸ σῶμα τῆς Δήμητρος ἀκτῆς. ὁ λόγος, τρεῖς ἡμέρας ἔχω ἀκούων περὶ αὐτῆς, ὅτι ἀσθενεῖ, καὶ οὐ μεταλαμβάνει βρώσεως ἐν τῷ σώματι αὐτῆς. τὸ δὲ κρυπτῷ πένθει, ἀντὶ τοῦ ἐπὶ ἀδήλῳ συμφορᾷ, καὶ μὴ ἐκφαινομένῃ, πρὸς τὸ τέλος τοῦ θανάτου φέρεται, ἀντὶ τοῦ ὑπὸ τῆς ἀλγηδόνος καὶ τῆς νόσου τῆς κρυπτῆς μέλλει ἀποθνήσκειν. θαυμασίως δὲ ὁ Εὐριπίδης * φησὶν, ὅτι οὕτω διὰ λέξεως ἐδείξατο. ὡς βουλομένη μὲν φαγεῖν, μὴ δυναμένη δὲ καταπιεῖν ὑπ' ἀσθενείας. περὶ δὲ Φαίδρας αὐτῆς βουλομένης θάνατον, τὸ αἴτιον αὐτὴν μὴ δέχεσθαι εἰς τὸ σῶμα τροφήν.

* Hoc aliis de Oreſte dixit, Vide Oreſt. v. 41. & Schol. ibid.

ANNOTATIONES.

V. 109. *Τερπνὸν ἐκ κυναγίας τράπεζα πλήρης*) *Petrus Victorius* Variar. Lection. l. xi. c. 6. ubi tractat de loco *Euripidis Electræ* cum *Horatio* collato, Addit, quæ hunc locum reſpiciunt, hæc verba; *Ut autem è Ruſtico opere redeunti parata Menſa vehementer jucunda, ita etiam è Venatione; laborioſáque hâc ipsâ Corporis exercitatione. Quod ab hoc ipſo quoque Poetâ in eâdem hâc Fabulâ declaratum eſt ex Perſonâ* Hippolyti, *qui valde eo ſtudio delectabatur.* Τερπνὸν ἐκ τῆς κυναγίας τράπεζα πλήρης. *Joſua Barnes.*

V. 123. *Βαπτὰν κάλπισι ῥυτὰν παγὰν*) μεστὴν πηγὴν, ἐν ᾗ βάπτουσι κάλπιδας, *Theocrit.* Idyll. 5. v. 127. Ἁ παῖς ἀνθ' ὕδατος τᾷ κάλπιδι κηρία βάψαι. Ita βεβαμμένον ὕδωρ, pro ἀρυσθὲν *Arrianus* Periplo Ponti. ἡ δὲ χρόα τοῦ Φάσιδος, οἷα ἀπὸ μολύβδου, ἢ κασσιτέρου βεβαμμένου τοῦ ὕδατος· καταστὰν δὲ καθαρώτατον γίνεται. *Joſeph.* Scaliger ad *Theocriti* locum ſuprà citatum.

7 Στόμα-

7 Στόματος ἀμέραν
8 Δάματρος ἀκτᾶς δέμας ἁγνὸν ἴσχειν,
9 Κρυπτῷ τε πένθει θανάτου θέλουσαν
10 Κέλσαι ποτὶ τέρμα δύστανον.

Στροφὴ β'.

1 Σὺ γὰρ ἔνθεος, ὦ κούρα,
2 Εἴτ' ἐκ Πανός, εἴθ' Ἑκάτας,
3 Ἢ σεμνῶν Κορυβάντων,
4 Ἢ ματρὸς ὀρείας φοιταλέου.
5 Σὺ δ' ἀμφὶ τὰν πολύθηρον
6 Δίκτυνναν, ἀμπλακίαις
7 Ἀνίερος ἀθύτων πελάνων τρύχῃ. *dele τὴν obversum.
8 Φοιτᾷ γὰρ καὶ διὰ λίμνας,
9 * Χέρσον θ', ὑπὲρ πελάγους *al. χέρσου.
10 Δίναισι νοτίαις ἅλμας.

Ἀντιστροφὴ β'.

1 Ἢ πόσιν τὸν Ἐρεχθειδᾶν
2 Ἀρχαγόν, τὸν εὐπατρίδαν,
3 Ποιμαίνει τις ἐν οἴκοις,
4 Κρυπτᾷ κοίτᾳ * τῶν σῶν λεχέων;
5 Ἢ ναυβάτας τις ἔπλευσεν
6 Κρήτας ἔξορμος ἀνὴρ
7 Λιμένα τὸν εὐξεινότατον ναύταις,
8 Φήμαν πέμπων βασιλείᾳ.
9 Λύπᾳ δ' ὑπὲρ παθέων
10 * Εὐναία δέδεται ψυχά. *al. εὐναίᾳ.

Ἐπῳδός.

1 Φιλεῖ δὲ τᾷ δυστρόπῳ γυναικῶν

7 Ore, diem,
8 Cereris fructu cibiſque corpus caſtum abſtinere,
9 Occultoque luctu, mortis velle
10 Provehi ad miſerum finem.

Strophe 2.

1 Tu enim numine afflata *furis* ô puella,
2 Sive à Pane, ſive ab Hecate *agitera*,
3 Aut à venerandis Corybantibus,
4 Aut à matre montivagâ, lymphata, *i.e. Cybele.*
5 Tu verò *etiam fortaſſe* circa multis feris-gaudentem
6 Dictynnam *i.e. Dianam*, propter peccata,
7 Quòd ei ſacrificium non ſeceris nec immolâris liba, ſic tabeſcis.
8 It at enim *hæc Dea* & per paludes,
9 Et *per* terram, & ſupra pelagi
10 Humidam ſalſuginem fluctibus *invecta*.

Antiſtrophe 2.

1 Aut maritum Erechthidarum *i.e. Athenienſium*,
2 Principem, illum nobilem virum,
3 Lædit aliquis in ædibus,
4 Arcano concubitu tui lecti.
5 Aut nauta aliquis navigavit,
6 Ex Cretâ veniens vir,
7 Ad portum maximè hoſpitalem nautis,
8 Adferens nuncium reginæ.
9 Mœrore verò propter mala nunciata,
10 In-lecto ligata-detinetur anima.

Epodus.

1 Solet enim cum moroſo mulierum

Δάματρος ἀκτῆς) περιφραστικῶς μὴ ἐσθίειν τροφῆς τῆς γῆς. λέγει δὲ τὴν διοσεὶ ἁγνὴν καὶ κλάσιν τοῦ σίτου διὰ τὸ κατέχειν αὐτὴν ἐν ἄλλοις, ἐν τῷ μέλανι θρανίσθαι. Κέλσαι ποτὶ τέρμα) ἐπὶ ἀδήλῳ συμφορᾷ, καὶ μὴ ἐμφαινομένῃ πρὸς τὸ τέρμα τοῦ θανάτου, κέλσαι, προσπελάσαι θέλει. οὐ ἀκούω αὐτὴν ἐσθίειν καὶ ἀποθανεῖν σπουδάζουσαν, διὰ μετάστασιν βίου. Ποτὶ τέρμα) ἤτοι δύστανον τέρμα, ἢ αὐτὴν δύστανον. 141. Σὺ γὰρ ἔνθεος ὦ) ἀπῆτε λοιπὸν λόγον πρὸς τὴν Φαίδραν, τῆς νόσου τὴν περίφρασιν ἐπιζητοῦσα ἐκ τοῦ τῆς μανίας αἴτιον προσθέμενος δαίμονα. δοκεῖ γὰρ καὶ μαίνεσθαι ἐνίοτε τῇ ὑπερβολῇ τοῦ ἔρωτος, μὴ καθεστῶσα δοκοῦντα ῥήματα φθεγγομένη, οἷάπερ αὐτὴν εἰσάγει καὶ κυνηγεσίων ἐρῶσαν, καὶ δι' αἰνιγμάτων τὰ τοῦ ἔρωτος φράζειν, δοκοῦσαν μαίνεσθαι. Ἄλλως. ἐμάνης ἐν σεαυτῇ μανιώδης τι ἔχουσα, τὸ ἑξῆς ἔνθεος φοιτᾷς. ἀπὸ κοινοῦ τὸ ἑξῆς τῆς διανοίας οὕτως. σὺ γὰρ ὦ κόρη Φαίδρα, ἔνθεος καὶ ἐμμανὴς φοιτᾷς καὶ ἐνθουσιᾷς ἔκ τινος θεῶν τοῦτο πάσχουσα. καὶ ἀπόκρισιν εἰπέ μοι, ἐκ Πανὸς σὺ ἐμάνης, ἢ καὶ ἐκ τῆς Ἥρας, ἢ Κορυβάντων τοῦτο νοσεῖς· καὶ εἴ τι τούτων ἁμαρτήσασα τὴν ὀργὴν, καὶ μανίας αἰτίαν. Ἔνθεος) ἔνθεοι λέγονται οἱ ὑπὸ φάσματός τινος ἀφαιρεθέντες τὸν νοῦν. καὶ ὑπ' ἐκείνου τοῦ θεοῦ, τοῦ φάσματος κατεχόμενοι, καὶ τὰ δοκοῦντα ἐκείνῳ ποιοῦντες. Δίκτυνναν ἀμπλακίαις) ἐνίων τὴν αὐτὴν εἶναι φασκόντων. τινὲς δὲ Δίκτυνναν τὴν Βριτόμαρτιν ἀπὸ τῆς κυνηγοῦ νύμφης ἐμπεσούσης εἰς δίκτυα Βριτομάρτιδος φυγούσης τὸν Μίνωα. παρὰ δὲ Καλλιμάχῳ * ἐν Ἀρτέμιδος ὕμνῳ ἡ ἱστορία. τινὲς δὲ τὴν αὐτὴν εἶναι τῇ Ἑκάτῃ, περὶ ἧς φησιν Ἡσίοδος, μοῖραν ἔχει γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης. ὁ δὲ νοῦς· σὺ δὲ μὴ θύσασα τῇ Ἀρτέμιδι τρύχῃ ἢ διότι τῇ Ἑκάτῃ οὐκ ἐτέλεσας θυσίαν. πέλανοι δὲ, τὰ εἰς θυσίαν πέμματα. Ἄλλως. τῶν μὴ τεθυμένων πελάνων ἐκτὸς μείνασα, καὶ μὴ ἀνιερώσασα ἑαυτὴν διὰ τῶν θυμάτων τῇ θεῷ τρύχῃ. πελάνων δὲ, τῶν πλακούντων, καὶ πελάνων, τῶν ἐπιθυομένων. Ἢ πόσιν τὸν Ἐρεχθειδᾶν) στοχαστικὸν τὸ ἦθος. ἢ φησιν εἰς οὐδένα τῶν θεῶν οὐχ ἥμαρτες, ἀλλ' ἔρωτι νοσεῖς πρός σε μοιχευομένου. καὶ τὸν ἄνδρα σου καὶ τὸν Ἀθηναίων βασιλέα βουκολεῖς καὶ ἐξαπατᾷς, ἐπὶ τῶν σῶν λεχέων κρυπτῇ χρωμένη κοίτῃ. δυναμὲ) δὲ καὶ ἀντεστραμμένος ὁ λόγος ἐστίν. ἤ τις γυνὴ ἀπατᾷ σου τὸν ἄνδρα τῷ ἔρωτι τῷ αὐτῆς χρωμένη, καὶ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίας κατήχθης. Ἄλλως. ἢ φησιν εἰς οὐδένα τῶν θεῶν ἥμαρτες· ἀλλὰ τάχα τὸ δεινὸν ἔρως ἐστί, καὶ μοιχεία ἑτέρου. φόβῳ δὲ τοῦ ἀνδρὸς, καὶ ἔρωτι τοῦ μοιχοῦ κατεχομένη ἀγωνιᾷς. δυναμὲ) καὶ ὡς τοῦ Θησέως ἔχοντος ἑτέραν γυναῖκα, ἑτέρως τέτηκας. ἤ τις γυνὴ ἀπατᾷ ζοῦ τὸν ἄνδρα τῇ ἑαυτῆς λαθραίᾳ συνουσίᾳ. σὺ δὲ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίας κατέπεσες. ἀγνοεῖ γὰρ ὁ χορὸς ἔκδημον ὄντα τὸν Θησέα, ὅπου γε καὶ ἐν τοῖς ἑξῆς φησιν. † ὃς δ' εἰς προσώπων ὁ τεκμαίρεται) βλέπων. εἶτα ἡ τροφὸς. ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός. ἀγνοοῦν γὰρ καὶ αὐτὴν ἐνόμιζε παρόντα συνορᾶν τὰ γινόμενα. Ἢ ναυβάτας ἔπηρος λογισμὸς νόσου. ἢ τάχα τις ναύτης ἐκ Κρήτης ὁρμήσας εἰς Γερῆζωνα φήμην πένθους τῶν οἰκείων ἀπήγγειλεν αὐτῇ. Ἄλλως. τάχα τις ἦλθεν ἐκ τῆς πατρίδος αὐτῆς λυπηρὰν φήμην κομίζων, καὶ ἐκ τούτου δὲ τῶν παθῶν τῶν ἠγγελμένων. καὶ τῇ ὑπὸ παθῶν εὐναίᾳ λύπῃ δέδεται τὴν ψυχήν, ὡς καὶ εἰς τηλικαύτην νόσον ἀποσκῆψαι τῆς λύπης. εὐναία δὲ λύπη τῇ εἰς εὐνὴν κατακλινούσῃ, διὰ τὴν νόσον. τουτέστιν ὅπου συνδέδεται ἡ Φαίδρα τῇ εὐναίᾳ λύπῃ, ὡς ὑπερβαίνειν ἅπαν πάθος. γέγραπται δὲ καὶ πρὸς εὐθεῖαν. ὑπὸ τῆς λύπης εὐναία ἡ Φαίδρα δέδεται τὴν ψυχήν. 161. Φιλεῖ δὲ) καθολικῶς τοῦτο λέγει. εἰώθασιν αἱ γυναῖκες, ὅτε ἐγγὺς τοῦ τίκτειν ὦσιν, δυσχερεῖ ἕξει χρῆσθαι. καθὸ καὶ δύστροπον αὐτῶν τὸ ποίημα

* *Callim.* Hym. Dian. v. 190. quem Videſis & *Vulcanium* in locum item *Pauſaniam*, & *Virgilii* Ceirim v. 275. &c. ut & *Pauli Leopardi* Emendat. l. 10. c. 24. p. 207. item *Antonini Liberalis* Metamorph. c. 40. *Ovidius* hanc Metamorphoſin omiſit. De nomine autem & quid ſignificet, ita *Solinus*. "Cretes Dianam religioſiſſime venerantur, Βριτόμαρτιν gentiliter nominantes, quod ſermone noſtro ſonat *Virginem dulcem*. Et *Joſ. Scaliger* ait, ſe in Gloſſariis Græcorum inveniſſe. Βριτὺ τὸ γλυκὺ, ὡς Κρῆτες. Ita *Nicolaus Lloydius* amicus noſter jamdudum defunctus in Dictionario Hiſtorico-Poetico. Et fides *Scaligero* in hac parte habenda; ipſe enim *Heſychius* ita, Βριτόμαρτις ἐν Κρήτῃ ἡ Ἄρτεμις· Βριτὺ, γλυκὺ, Κρῆτες. *Joſua Barnes.*

† Infra v. 280.

ANNOTATIONES.

V. 140. Ποτὶ) Ita legimus, ut reſpondeat ultimo verſui prioris Strophæ, & rejecimus πρὸς, quod nihil eſt, nec admittimus *Scaligeri* πέρας, quod ſonat πρὸς τι, quia verſui obſtiit. *Duportus* mecum ſtat & *Scholiaſtes*. *Joſua Barnes.*

V. 153. Πημαίνει) Lapſus eſt *Canterus*, qui quòd Scholiaſtes hoc verbum exponit per βουκολεῖ, putat ſtatim illum legiſſe ποιμαίνει, quum ille tantum reddat ποιμαίνει per βουκολεῖ, & hi per ἐξαπατᾷ; βουκολῶ enim ſæpe in malam partem accipitur; ποιμαίνω autem nunquam. *Joſua Barnes.*

V. 160. Εὐναία) Alias Εὐναίᾳ & ψυχάν. Nempe ἡ Φαίδρα τῇ εὐναίᾳ λύπῃ δέδεται ψυχάν. Vid. Schol.

τῶν ὠδίνων. Ἄλλως. πρὸς ἀνακεκραμένοις τῶν εἰρημένων συγκριμὸν ἐπάγει τὸ γνωμικὸν, ὅτι γυναικείας φύσεως διαφόρως ἀμηχανιῶν ἐπάγειν αἰτίας, ποτὲ μὲν δι' ὠδίνων πόνον, ποτὲ μὲν διὰ πορνείας, ἤτοι αὐτῶν μοιχευομένων, καὶ ἐπὶ τῷ ἀλλοίως ἀπορουσῶν. ἢ τῶν ἀνδρῶν πρὸς ἄλλας ἐχόντων καὶ ἐπὶ τούτων ἀπορουσῶν τῇ ζηλοτυπίᾳ. Ἄλλως. μὴ ἄρα ἐν γαστρὶ ἔχει ἡ Φαίδρα, καὶ διὰ τοῦτο ἄσιτός ἐστι. φιλεῖ γὰρ ὁ τῶν ἐγκυμονούντων καιρὸς, δυσχροίαν ταῖς γυναιξὶν ἐργάζεσθαι, καὶ ἀποστροφὴν τῶν σιτίων, ἀφροσύνας δὲ ἀφροσύνας, ἀνοίας, ἐκ τῆς πορνείας. Ἄλλοι δὲ γράφουσι δυσφροσύναις. ὅ ἐστι κακοχυμίας τῶν τεκουσῶν. δηλοῖ δὲ λέγειν, τὴν κατὰ τὰς ἀλγηδόνας γινομένην ἔκπληξιν ἐν τῶν ὠδίνων. λοιπὸν δὲ τὸ ἕνεκεν.

2 Ἁρμονίᾳ κακὰ δύστανος
3 Ἀμηχανία συνοικεῖν
4 Ὠδίνων τε καὶ ἀφροσύνας. Δι' ἐμᾶς
5 Ἤιξέ ποτε νηδύος ἅδ' αὔρα·
6 Τὰν δ' εὔλοχον οὐρανίαν,
7 Τόξων μεδέουσαν,
8 Ἄρτεμιν αὔτευν·
9 Καί μοι πολυζήλωτος
10 Αἰεὶ σὺν θεοῖσι φοιτᾷ.

Ἀνάπαιστοι.

Ἀλλ' ἥδε τροφὸς γεραιὰ πρὸ θυρῶν
Τήνδε κομίζουσ' ἔξω μελάθρων·
Στυγνὸν δ' ὀφρύων νέφος * αὔξεται.
Τί ποτ' ἐστὶ, μαθεῖν ἔραται ψυχὴ·
Τί δεδήληται
Δέμας ἀλλόχροον βασιλείας.
Τρο. Ὦ κακὰ θνητῶν, στυγεραί τε νόσοι·
Τί σ' ἐγὼ δράσω; τί δὲ μὴ δράσω;
Τόδε σοι φέγγος λαμπρὸν, ὅδ' αἰθήρ.
Ἔξω δὲ δόμων ἤδη νοσερᾶς
Δέμνια κοίτας.
Δεῦρο γὰρ ἐλθεῖν, πᾶν ἔπος ἦν σοι,
Τάχα δ' εἰς θαλάμους σπεύσεις τὸ πάλιν·
Ταχὺ γὰρ σφάλλῃ, κοὐδενὶ χαίρεις·
Οὐδέ σ' ἀρέσκει τὸ παρὸν, τὸ δ' ἀπὸν
Φίλτερον ἡγῇ.
Κρεῖσσον δὲ νοσεῖν, ἢ θεραπεύειν·
" Τὸ μὲν ἐστιν ἁπλοῦν, τῷ δὲ συνάπτει
" Λύπη τε φρενῶν, χερσίν τε πόνος.
" Πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων,
" Κοὐκ ἔστι πόνων ἀνάπαυσις·
" Ἀλλ' ὅ, τι τοῦ ζῆν φίλτερον ἄλλο,
" Σκότος ἀμπίσχων κρύπτει νεφέλαις.

* Contrac. αὐξάνεται.

2 Temperamento *ingeniique* malè *&* miſera
3 Ægritudo cohabitare
4 *Propter* partus dolores, & amentiam. Per meum
5 Ventrem venit aliquando iſta aura:
6 Deam verò cœleſtem, quæ partus faciles reddit,
7 Sagittas curantem, *iiſque gaudentem*,
8 Dianam invocavi:
9 Et mihi imprimis veneranda
10 Cum aliis diis ſemper *opem latura* venit.

Sed hæc nutrix vetula ante fores
Hanc portat extra domum:
Triſtis autem ſuperciliorum nubes augetur:
Quidnam ſit *hoc*, ſcire cupit animus *meus*:
Quid læſerit
Corpus reginæ priſtinum colorem mutatum habens.
Nut. O quantum eſt in rebus humanis mali, ô morbos odioſos.
Quid ego tibi faciam? quid verò non faciam?
Ecce tibi hæc lux clara, ecce hic aer.
Extráque domum jam *eſt* morbidi
Cubile lecti.
Huc enim venire, erat omnis ſermo tuus:
Brevi verò rurſus feſtinabis in thalamos.
Nam citò mutaris, & nullâ re gaudes,
Neque tibi placet, quod adeſt: quod vero abeſt,
Gratius ducis.
Facilius autem *eſt* ægrotare, quàm ſanare:
" Illud enim eſt ſimplex malum, cum hoc verò conjunctus eſt
" Dolórque mentis, manuúmque labor.
" Omnis enim hominum vita *eſt* plena dolore,
" Neque eſt requies laborum;
" Sed aliud quiddam, quod dulcius eſt vitâ,
" Tenebræ continentes occultant nebulis.

Ἤιξέν ποτε νηδύος) τὸ πνεῦμα φησὶ τῶν ὠδίνων καὶ ἡ αὔρα αὕτη διῆλθε ποτὲ διὰ τῆς ἐμῆς γαστρός. τουτέστι, καὶ (ἐγὼ) αὐτὴ ποτὲ ὠδίνων πεῖραν ἔσχον, καὶ ἔπαθον τοῦτο. ἐπηυξάμην, φησὶ, κἀγὼ ποτὲ ἐν ἀμηχανίᾳ. Τήνδε κομίζουσ') τοῦτο σεσημείωκεν Ἀριστοφάνης, ὅτι κατὰ τὸ ἀκριβὲς τὸ σχῆμα τοιοῦτον ἐστὶ τῆς ὑποθέσεως. ἐπὶ γὰρ τῆς σκηνῆς δείκνυται τὰ ἔνδον πραττόμενα. ὁ δὲ ἔξω προϊοῦσαν αὐτὴν ὑποτίθεται. Τί σ' ἐγὼ δράσω) τὸ ἦθος ἀπειροκαλίας τῆς θεραπείας, ὥστε κοινῇ τὸν βίον βλασφημεῖν, ἐξείργασται. διὸ καὶ γνωμικὸν ἐπιφέρεται ὅτι συνήθες τοῖς δυστυχοῦσιν ἐπιπτεῖν. ἐκκομίσασα δὲ αὐτὴν πρὸ τῆς σκηνῆς, καὶ πάλιν ὁρῶσα αὐτὴν ἀχθομένην ἐπὶ τῇ ἐξόδῳ, τὰ τοιαῦτα λέγει. Τόδε σοι φέγγος) δυσπαθῶς ἅμα καὶ ἀναφορικῶς λέγει. ἤδη σοι τὰ δέμνια τῆς κοίτης ἔξω τῶν οἴκων εἰσίν. οἱ δὲ καὶ καθὼς ἐπεθύμεις ἀνακλισίς σοι ὑπαίθριος παρεσκεύασται. καὶ γὰρ ἐνταῦθα ἐλθεῖν πᾶς λόγος ἦν σοι, καὶ ἡ διηνεκὴς λέγουσα ἐθέλειν προελθεῖν. οἶδα μέν τοι τοῦτο ὅτι ταχέως σπεύσεις πάλιν εἰς τοὺς οἴκους ἀφικέσθαι, καὶ δίδωσί μοι ἐντεῦθεν στοχάζεσθαι τὸ παλίμβολον ζητεῖ καὶ δυσάρεστον τῆς νόσου. 187. Τὸ μὲν ἐστιν) ἤγουν τὸ νοσεῖν, τὸ δὲ θεραπεύειν πολὺ διπλοῦν. ὁ γὰρ αὐτῷ χάριτι καὶ τῇ λύπῃ ἀνιᾶται διὰ τὸν κακούμενον, καὶ κάμνει ἀεὶ αὐτὸν ἀνυχῶν, καὶ ἐνεργῶν ἐν τῷ ὑπηρετεῖν. βέλτιον οὖν συντόμως κακοῦσθαι, ἢ κακουμένῳ ἀνέχεσθαι. Ἀλλ' ὅτι τοῦ ζῆν) ὁ νοῦς, ἐγὼ φησι προκρίνω μᾶλλον τὰ καθ' ᾅδου· καὶ πᾶς ἄνθρωπος προκρίνειεν ἄν, εἰ κἀκεῖνα ὁρῶν συνῴκει τοῖς ἐνθάδε. νυνὶ δὲ ἐπειδὴ τοῦτο μὲν θέλγει τῷ ἰδίῳ φωτὶ τὴν θέαν. ἐκεῖνο δὲ κεκαλυμμένον τοῖς μυθοποιίαις φοβερὸν εἶναι νομίζεται· τούτου χάριν δυσέρωτες μὲν αὐτοῦ ὑπάρχομεν, σφοδρῶς δὲ ἐρῶντες τούτου. τοῦτο δέ φησι, παρ' ὅσον διάφορος δόξα παρὰ τοῖς φιλοσόφοις περὶ τῆς τοῦ ἡλίου δυνάμεως. οἱ μὲν γὰρ ἐδόξασαν σῶμα εἶναι πλὴν φωτεινὴν αὐτοῦ δύναμιν, ὧν ἐστι καὶ Ἀριστοτέλης, διὰ τὰς γινομένας ἀντανακλάσεις τῶν ἀκτίνων. τὰ γὰρ ἀσώματα ἀνεμποδίστως περιϊόντα, ἀνακλᾶσθαι οὐ δύνανται, ὅτι δὲ καὶ ἐσκοτισμένοις οἴκοις μὴ εἰσδύειν τὸ φῶς, δείκνυσιν ὅτι οὐκ ἔστιν ἀσώματον. οἱ δὲ ἀσώματον αὐτὸν φάσκοντες ἐν τῶν χειμερινῶν ἐλλάμψεων τῶν γινομένων ἐξ ἡλίου πιθανῶς κατασκευάζουσι. Ἄλλως. ἐκ τοῦ ὀδυνηροῦ βίου στοχάζεται βελτίονα εἶναι τὰ ἐν ᾅδου τῶν ἐν γῇ, ὡς καὶ αὐτὸς ἐν Πολυΐδῳ. † τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν· τὸ ἑξῆς, ἀλλ' ὅ, τι βέλτιον κέκρυφεν ὁ σκότος ὑπὸ γῆν, καὶ βέλτιόν τι ἄλλο τοῦ ἐνταῦθα εἶναι ὑπὸ γῆν σκότῳ κρυπτόμενον, πρὸ δυσέρωτες φαινόμεθα καὶ σφόδρα φιλοῦντες τοῦτον τὸν βίον, διὰ τὸ ἀπειρίαν ἔχειν τοῦ ἄλλου βίου, καὶ μὴ εἰδέναι βελτίονα εἶναι τὰ ὑπὸ γῆν, μάτην τοῖς μύθοις προσέχοντες φαινόμεθα, τοῖς ποιοῦσιν αὐτὰ φοβερά.

† Fragment. *Polyid.* v. 15. ubi tamen addendum erat, κάτω νομίζεται.

ANNOTATIONES.

V. 164. Ἀφροσύνας) Aliâs δυσφροσύνας.
V. 171. Τροφὸς γεραιὰ) Ità *Medeæ* v. 133. *Chorus alloquitur Medeæ* Nutricem, ἀλλ' ὦ γεραιὰ &c.
V. 190. Κοὐκ ἔστι πόνων ἀνάπαυσις) Οὐκ ἔστι τῶν ἀνθρωπίνων μόχθων βεβαία λύσις καὶ ἀνάπαυσις, εἰ μὴ ἐν θανάτῳ, ὃ μετὰ θάνατον ὅπου ἀνάκειται ἡ ἀληθὴς εἰρήνη καὶ ἰδίω ἄπονος· ὃ διὰ τὸ σκότος τῆς βροτείας φύσεως οὐχ ὁρᾶται ἐμφανῶς. *Joſua Barnes.*

" Δυσέρω-

“ Δυσέρωτες δὴ φαινόμεθ' ὄντες
“ Τοῦδ', ὅ τι τοῦτο στίλβει κατὰ γῆν,
“ Δι' ἀπειροσύναν ἄλλου βιότου,
“ Κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίας·
Μύθοις δ' ἄλλως φερόμεσθα.
Φαί. * Ἄρατέ μου δέμας, ὀρθοῦτε κάρα· * Αἴρετε Schol.
Λέλυμαι μελέων σύνδεσμα, φίλαι.
Λάβετ' εὐπήχεις χεῖρας, πρόπολοι.
Βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχειν·
Ἄφελ', ἀμπέτασον βόστρυχον· οἴμοι.
Τρο. Θάρσει, τέκνον, καὶ μὴ χαλεπῶς
Μετάβαλλε δέμας.
“ Ῥᾷον δὲ νόσον μετά θ' ἡσυχίας
“ Καὶ γενναίου λήματος οἴσεις·
“ Μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη. * Αἶ, αἶ· Schol.
Φαί. * Ἒ, ἒ. πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος
Καθαρῶν ὑδάτων πόμ' ἀρυσαίμην;
Ὑπό τ' αἰγείροις, ἔν τε κομήτῃ
Λειμῶνι κλιθεῖσ' ἀναπαυσαίμην;
Τρο. Ὦ παῖ, τί θροεῖς;
Οὐ μὴ παρ' ὄχλῳ τάδε γηρύσῃ,
Μανίας ἔποχον ῥίπτουσα λόγον.
Φαί. Πέμπετέ μ' εἰς ὄρος· εἶμι πρὸς ὕλαν
Καὶ παρὰ πεύκας, ἵνα θηροφόνοι
Στείβουσι κύνες,
Βαλιαῖς ἐλάφοις ἐγχριμπτόμεναι.
Πρὸς θεῶν, ἔραμαι κυσὶ θωΰξαι,
Καὶ παρὰ χαίταν ξανθὰν ῥῖψαι
Θεσσαλὸν * ὅρπακα, * ob metrum lege ὅρπακ'.

“ Malè-amantes igitur videmur esse
“ Hujus lucis, quia hæc fulget per terram,
“ Propter imperitiã alterius vitæ à nobis nondum gustatæ,
“ Et propter nullam demonstrationem rerum sub terrâ:
Fabulis enim poetarum decepti, temere ferimur.
Phæ. Tollite meum corpus, erigite caput:
Soluta ſum membrorum vinculis, ô amicæ.
Apprehēdite meas ex pulchris brachiis pendētes manus, ô famulæ.
Eſt mihi grave habere ornamentum capitis:
Aufer, extende contortum capillum, heu mihi.
Nut. Forti animo ſis, filia, neque moleſtè
Agites corpus.
“ Facilius enim morbum cum quiete
“ Et generoſo animo feres:
“ Neceſſe enim eſt homines conflictari cum multis malis.
Phæ. Eheu, quomodo ex roſcido fonte
Hauriam potum limpidæ aquæ?
Et ſub alnis, & in viridi
Prato reclinata quieſcam?
Nut. O filia, quid dicis?
Nè apud turbam hæc dicas,
Effundens ſermonem obnoxium furori.
Phæ. Ducite me in montem: eo ad ſylvam,
Et ad pinus, ubi ferarum-interfectores
Frequentant canes,
Maculoſis cervis inſilientes.
Per deos cupio clamore excitare canes,
Et circa flavam comam projicere
Jaculum Theſſalicum,

Μύθοις δ' ἄλλως) ὁ δὲ ἀντὶ τοῦ γάρ, τοῖς γὰρ μύθοις ἀπατώμεθα, καὶ ταῖς τούτων σκηνοποιίαις διδασκόμεθα ἀναπλαττόντων αὐτῶν Κωκυτόν, καὶ Πυριφλεγέθοντα, καὶ Ἀχέροντα, ποταμοὺς ᾅδου, καὶ κύνα Κέρβερον καὶ Χάρωνα, καὶ πορθμεῖα, καὶ τὰ φοβερὰ τῶν ὀνομάτων καταπλαττόντων ἡμᾶς. Αἴρετέ μου) ἐφύλαξε τὸ τῶν νοσούντων ἦθος πρὸς τὴν τοῦ σώματος ἀκηδιμονίαν(?) καταγινομένην, μονονουχὶ αὐτὴν ἡμῖν ὑποστήσας τὴν Φαίδραν προσκομιζομένην καὶ τοῖς λόγοις καὶ τοῖς σχήμασιν. ὁ δὲ νοῦς. ἐπιθεῖσαι τοῖς ἑαυτῶν ὤμοις τοὺς ἐμοὺς βραχίονας, καὶ ταῖς χερσὶν ἀντερειδόμεναί μου τοῦ αὐχένος, ὅπως με ἐπαίρητε. κομματικαὶ δὲ αἱ διάνοιαι, καὶ τῇ τῶν πόνων ὀλιγωρίᾳ τὸ ἀσυνδεζόμενον(?) συνδέσμους ἐξαιρούμεναι. Βαρύ μοι κεφαλῆς) βαρὺ μέν μοι φησὶν τὸ ἔχειν τὸ κεφαλόδεσμον. ἄμεινον ἐν τῇ ἐρωτικῇ(?) πυρώσει, ὑπὸ τοῦ συνάθους ἀναχωρεῖν(?) στολίσματος. ἄφελέ τι τοῦτο αὐτὸ καὶ ἀναπέτασόν μοι τὸν πλόκαμον. Μετάβαλλε δέμας) μὴ ἐπὶ χαλεπότητι καὶ κακοῖς διάρριπτε τὸ σῶμά σου. ῥᾷον γὰρ μᾶλλον οἴσεις τὴν νόσον γενναιάζουσα. Ἄλλως. μὴ ἐπὶ τὰ ἀσύμφορα διάρριπτέ σου τὸ σῶμα. μᾶλλον γὰρ εὖ οἴσεις τὴν νόσον μετὰ γενναιότητος. 208. Αἶ, αἶ, πῶς) ἐπανέβηκε λοιπὸν ὁ λόγος, ὥσπερεὶ συναυξόμενος τῷ πάθει, καὶ λοιπὸν ἐσχηματισμένη τὰ τοῦ ἔρωτος αἰνίττεται. λέγει οὖν, ὅτι ηὐχόμην ψυχρῶν ὑδάτων τυχεῖν, ἵνα τὴν ἐν ἐμοὶ τοῦ ἔρωτος φλόγα σβέσω, ἀναπαύσασα ἑαυτὴν ὑπὸ αἰγείροις καὶ λειμῶσι, κομῶσι τοῖς ἄνθεσιν ἀνακλιθεῖσα. ταῦτα δὲ ἔξωθεν ἐσχημάτισται πρὸς τὸ ἦθος τῶν νοσούντων. Οὐ μὴ παρ' ὄχλῳ) ἀντὶ τοῦ οὐ μὴ φθέγξῃ ταῦτα μεταξὺ πλήθους, μανιώδεις λόγους ῥίπτουσα. ἔδοξε γὰρ αὐτῇ τὰ ῥηθέντα ἄσημα(?) εἶναι, καὶ οὐκ αὐτῆς ἄξια. τί γὰρ ἦν ὕδατος ψυχροῦ ψυχῇ καὶ κομῶντος λειμῶνος ἄνθη ποθεῖν τὴν βασιλείαν ἐχούσης, ἢ μήπου ἔλεγε. πῶς μοι ἔρωτος γένοιτο σβέσαι τὸ πῦρ; ἢ τίς τοσαύτη τέρψις ἀνθέων, ὡς ἀναπαῦσαι τὸν πόθον; μανίας δὲ ἔποχον, ὅτι ὑπὸ μανίας ἐχόμενον, ἐμμανῆ, κατεχόμενον ὑπὸ μανίας. Παρ' ὄχλῳ δέ, ἀντὶ τοῦ ἐπὶ τοῦ χοροῦ. Πέμπετέ μ' εἰς) ἐπανέβηκεν ὁ λόγος ἐπὶ τὸ μανικώτερον ἅμα τῷ πάθει, ὡς λοιπὸν σαφέστερον τὸν αἰνιγμὸν τοῦ ἔρωτος ἔξωθεν εἶναι σχηματισμοῦ. καὶ εἰς τὸ ὄρος βούλεται προπέμπεσθαι πρὸς θέαν τοῦ ἐρωμένου, καὶ εἰς κυνηγίαν πρὸς συνομιλίαν τοῦ ποθουμένου. ἐνταῦθα δὲ δεῖ τὸν ὑποκρινόμενον κινῆσαι ἑαυτόν, καὶ σχήματι καὶ φωνῇ, καὶ ἐν τῷ εἶμι πρὸς ὕλας ἀναπηδᾶν ὡς αὐτὴ προθυμουμένη. τὸ δὲ ἑξῆς οὕτως· πέμπετέ με εἰς ὄρος πρὸς θεῶν. μᾶλλον δὲ δι' ἐμαυτῆς ἄπειμι πρὸς ὕλαν, καὶ πρὸς τὰς πεύκας, ὅπου εἰσὶ τὰ κυνηγέσια, καὶ ὅπου αἱ κύνες τρέχουσι ταῖς ἐλάφοις πρὸς τὸ ἐπιπηδᾶν προσπελάζουσαι. ἐπιθυμῶ κυνηγετικὴν τέχνην ἀναδέξασθαι, καὶ κυσὶ μὲν συρίζειν, διὰ θήρας δὲ ἐρᾶν, καὶ τὸ ἀκόντιον πρὸς τὴν κεφαλὴν ἀνατεῖναι, τὸ δὲ σίδηρον αὐτοῦ ταῖς χερσὶ κατέχουσα, καὶ οὕτως ἀκοντίζειν. οἱ μὲν ἀκοντίζοντες τὴν χεῖρα ἄνω πρὸς τὴν κεφαλὴν ἀνατείνουσι. τὸ δὲ σίδηρον τοῦ ἀκοντίου πρὸς τὸν λεῖχον(?) τοῖς δυσὶ δακτύλοις τοῖς μέσοις κατέχοντες, οὕτω ῥίπτουσιν. ἔοικε δὲ τὸ λεπτομερὲς τῆς φράσεως μιμεῖσθαι τὸ τῶν ἐρώντων ἦθος, ὅτι πάντες ἐρῶντες τέχνην ὑπογράφουσιν ὥσπερ ζωγράφοι τῇ λεπτολογίᾳ, ἐκείνην τὴν τέχνην καὶ τὰ αὐτῆς ὄργανα, καὶ ὥσπερ ὡς εἰς ἐπίδειξιν αὐτοῖς ἐρχόμενοι ἐρεθίζουσι τῷ λεπτομερεῖ τῆς φράσεως τὸν ἔρωτα, καθόλου δὲ τοῦτο ἐπὶ τῶν ἐρώντων συμβαίνει. Πρὸς θεῶν ἔραμαι) ἀντὶ τοῦ ἐρῶ, παθητικὸν ἀντὶ ἐνεργητικοῦ. καὶ οἰκείως τῇ μεσότητι ἐχρήσατο. ἄκρως δὲ ἐρωτικὸν ἦθος ἀπεμάξατο, τῇ λεπτομερεῖ τῆς ἐκφράσεως ἐνεργείᾳ. εἰς ὑπόμνησιν γὰρ ἐρχόμενοι τῶν ποθουμένων, καὶ μονονουχὶ ζωγραφοῦντες αὐτὰ τοῖς λόγοις, ἔτι μᾶλλον τὴν ἐπιθυμίαν ἐγείρουσι. 221. Θεσσαλὸν ὅρπακα) Θεσσαλικὸν γὰρ εὕρημα τὸ δόρυ. ἐπίλογχον(?) δὲ ξύλον αὐτὸ τὸ πηγνύμενον σιδήρεον, ὅπερ ὁ λεῖχος ἐμβεβλημένος ἐν τῷ ξύλῳ συνέχει, διὰ τὸ ἐπὶ τῇ λόγχῃ κοῖλον, ὃ δεῖ τῷ ξύλῳ. οἱ γὰρ ἀκοντίζοντες τὸ σιδήρεον τοῦ ἀ-

ANNOTATIONES.

V. 205. Ῥᾷον οἴσεις) De Phraſi ῥᾷον φέρειν diximus ad *Danaen* v. 69. Et ſanè ſignificat, vel *Malum*, vel *Morbum* facilè aut patienter ferre. ῥᾷον γίνεσθαι autem de iis dicitur, qui cùm ægri decubuerint, iterum convaleſcere incipiunt. *Joſua Barnes.*

V. 215. Ὕλαν) aliàs ὕλας, *Scholiaſtes.* Hunc locum expreſſit *Ovidius* in Epiſtolâ *Phædræ*, v. 41.

In nemus ire juvat, preſſiſque in retia Cervis
Hortari celeres per juga ſumma Canes.

Vide *Jani Vlitii* Comment. ad *Nemeſiani Cynegeticon* v. 196. Ubi totũ hunc locum expendit & Verbum θωΰξαι ſatis rectè exponit. *J. Barnes.*

V. 218. Βαλιαῖς) Vox βαλιὸς accentu & ſignificatione differt, ſcribitur enim & βάλιος, Et *maculoſum*, vel *celer* ſonat. Vid. *Rheſ.* v. 356. Et *Iphig.* Aul. v. 222. *Joſua Barnes.*

κοντὸν πρὸς τὴν χεῖρα ἐν δυσὶ δακτύλοις κατέχοντες, οὕτω ῥίπτουσιν. Ἄλλως, ἐπίλογχον, ἐπεὶ βέλος πᾶν τὸ βαλλόμενον, δέδειχεν εἰποῦσα ἐπίλογχον, ὅ ἐστι βέλος ἔχουσα ἐν τῇ χειρὶ τὴν λόγχην ἔχον, ἵνα σημάνῃ τὸ ἀκόντιον.

Τί κυνηγεσίων καὶ σοὶ μελέτης) ἀντὶ τοῦ ἐπιμελείας. τουτέστι, τί σοι περὶ κυνηγεσίας μέλει τι, φησιν, ὦ τέκνον; καὶ σοὶ καθάπερ τοῖς ἀνδράσι μελετᾶται τὰ κυνηγέσια; τί δὲ καὶ τὸ τυχεῖν κρηναίων ἐν ἔρωτι μεγάλῳ τίθεσαι; εἰ μὲν γὰρ ἀληθῶς ἐπιθυμεῖς, πάρεστιν ἐπὶ τῶν οἴκων δροσώδης καὶ ὑψηλὴ πέτρα, συνεχὲς ὕδωρ στάζουσα. ὅθεν σοὶ ποτὸν ἂν γένοιτο, καὶ τὸν πόθον ἐκπληρώσεις. εἰ δ᾽ οὐ βούλει, τί καὶ τοῦτο ἐν ἔρωτος τάξει λέγεις; Πύργοις συνεχὴς) ἀθρόως τοῖς δώμασιν. ὁ δὲ νοῦς, εἰ τὸ ὅλως ἐπιθυμεῖς ὑδάτων, πάρεστιν ἐπὶ τῶν οἴκων δροσώδης καὶ ὑψηλὴ πέτρα κλιτὺς, ὅ ἐστιν ἀνακεκλιμένη καὶ ὑψηλὴ πέτρα συνεχὲς ὕδωρ στάζουσα. Δέσποινα δίας) Λίμνη γυμνάσιον ἐν Τροιζῆνι, ὡς καὶ ἐν τοῖς ἑξῆς φησὶ τὸν ἀμφὶ λίμνης τροχόν. ὁ δὲ νοῦς, ὦ δέσποινα, τῆς ἱππώδους λίμνης, καὶ τῶν ἐν αὐτῇ γυμνασίων τῶν ἱπποκρότων. ἐνδέχεται δὲ λοιπὸν τῇ οἰκείᾳ διὰ τῶν κυνηγεσίων, ὥστε τὰ τοῦ ἔρωτος ἐπιθυμήματι χρήσασθαι πρὸς τὸ αὐτὸ συναναστρέφεσθαι, καὶ συνδιατρίβειν.

Ἐπίλογχον ἔχουσ᾽ ἐν χειρὶ βέλος.
Τρο. Τί ποτ᾽, ὦ τέκνον, τάδε κηραίνεις;
Τί κυνηγεσίων καὶ σοὶ μελέτης;
Τί δὲ κρηναίων νασμῶν ἔρασαι;
Πάρα γὰρ δροσερὰ πύργοις συνεχὴς
Κλιτὺς, ὅθεν σοι * πῶμα γένοιτ᾽ ἄν. (* Scol. πῶμα γένοιτ᾽ &c.)
Φαι. Δέσποινα δίας Ἄρτεμι λίμνας,
Καὶ γυμνασίων τῶν ἱπποκρότων,
Εἴθε γενοίμην ἐν σοῖς δαπέδοις,
Πώλους Ἐνέτας δαμαζομένα.
Τρο. Τί τόδ᾽ αὖ παράφρον ἔρριψας ἔπος;
Νῦν δὴ μὲν ὄρος * βᾶσ᾽ ἐπὶ θήρας (* i.e. ἀναβᾶσα βαίνεις.)
Πόθον ἐστέλλου· νῦν δ᾽ αὖ ψαμάθοις
Ἐπ᾽ ἀκυμάντοις πώλων ἔρασαι.
Τάδε μαντείας ἄξια πολλῆς,
Ὅστις σε θεῶν ἀνασειράζει,
Καὶ παρακόπτει φρένας, ὦ παῖ.
Φαι. Δύστανος ἐγὼ τί ποτ᾽ εἰργασάμην;
Ποῖ παρεπλάγχθην γνώμας ἀγαθᾶς;
Ἐμάνην, ἔπεσον δαίμονος ἄτᾳ.
Φεῦ, φεῦ, τλήμων.
Μαῖα, πάλιν μου κρύψον κεφαλάν·
Αἰδούμεθα γὰρ τὰ λελεγμένα μοι.
Κρύπτε· κατ᾽ ὄσσων δάκρυ μοι βαίνει, * ἀλ. ἔβη
Καὶ ἐπ᾽ αἰσχύνην ὄμμα τέτραπται.
" * Τὸ γὰρ ὀρθοῦσθαι γνώμην, ὀδυνᾷ. (* Vid ad Bacch. v. 1259. & Antiope v. 28.)
" Τὸ [illegible] μαινόμενον, κακόν· ἀλλὰ κρατεῖ
" Μὴ γιγνώσκοντ᾽ ἀπολέσθαι.

Cuſpide munitum teneres in manu telum.
Nut. Curnam, ô filia, curas iſta?
Quid tibi eſt negotii cum exercitio venationis?
Quid verò fontanos latices expetis?
Etenim juxta arcem eſt continuus roſcidus
Aquæductus, unde tibi poteſt eſſe potus.
Phæ. O domina ſacræ paludis Diana,
Et certaminum equeſtrium,
Utinam eſſem in tuo campo,
Equos Venetos domans.
Nut. Quid rurſus hoc ſtultum profudiſti verbum?
Nam modò quidem montem conſcendens, ad venationis
Deſiderium ferebaris: modò verò contra arenâ
In fluctuum-experte, i.e. aridâ, equos agitare cupis.
Hæc profectò divinatione digna ſunt multâ,
Quòd aliquis Deus te vexet,
Mentémque mutilet, deliràmque reddat, ô filia,
Phæ. Infelix ego quidnam feci?
Quò aberravi à ſanâ mente?
Inſanivi, lapſa ſum dæmonis noxâ.
Heu, heu miſera!
Nutrix, tege rurſus caput meum:
Pudet enim me eorum quæ dixi.
Tege; lacrymæ mihi ex oculis erumpunt,
Et oculi vertuntur ad pudorem.
" Nam ad ſanam redire mentem, dolore afficit animum.
" Ipſa verò inſania malum quoddam eſt: ſed præſtat
" Non cognoſcentem ſuos errores ac inſaniam, perire.

τὰ δὲ θαλάσσης φησὶν αὐτὴν ἀγωνίζεσθαι, ὡς καὶ Ἡσίοδος, † Μοῖραν ἔχει γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης. ἢ ἐπεὶ * λιμνᾶτις ἡ Ἄρτεμις. 231. Πώλους Ἐνέτας) ταῦτα ἀνακεχείρισται. οὐδέπω γὰρ Ἕλληνες ἐχρῶντο ἵπποις τούτοις. οἱ γὰρ Ἐνετοὶ Παφλαγονίαν πρότερον οἰκοῦντες, ὕστερον ἐπὶ τὸν Ἀδρίαν διέβησαν. Λέων δὲ πρῶτος Λακεδαιμόνιος ἐνίκησεν Ἐνέταις ἵπποις, ὡς Πολέμων ἱστορεῖ, καὶ ἐπέγραψεν ἐν εἰκόνι, Λέων Λακεδαιμόνιος ἵπποισι νικῶν Ἐνέταις Ἀντικλείδα πατήρ. Νῦν δὴ μὲν ὄρος βᾶσ᾽) ἄρτι μὲν εἶχες ἔρωτα εἰς ὄρος ἀπελθεῖν, καὶ ἐπὶ θήρας πόθον ὥρμας, καὶ κυνηγεσίων· πάλιν δὲ νῦν ἐν πεδίοις, πώλων δρόμων ἐπιθυμεῖς, καὶ ἐπὶ ταύταις ἐχρῆσθαι γυμναστικῶς. τινὲς δὲ γράφουσι καὶ πόθον, δηλοῦντες ὅτι τὸν πόθον εἰς θήρας καὶ κυνηγέσια ἔρριψας. ἐπ᾽ ἀκυμάντοις δὲ, ταῖς μὴ θαλασσίαις, ἀλλ᾽ ἠπειρωτικαῖς, τουτέστιν ἐν πεδίοις, ἢ ἐν ἀνυγρόμοις αἰγιαλοῖς, ἔνθα καὶ πεδία πολλάκις ἐστίν. Ἀνασειράζει δὲ) ἤτοι τοῦ καλῶς ἔχοντος ἀνθέλκει καὶ ἀνακρούει, ἀπὸ μεταφορᾶς τῶν ταῖς σειραῖς ἀνακρουομένων ἵππων, καὶ τοῦ εὐθέος δρόμου παρεκβαινομένων. Καὶ τὸ παρακόπτει δὲ, ἀντὶ τοῦ ἐλαττοῖ, ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων, ἅπερ ἅμα τῇ τῶν πτερῶν τμήσει τὴν ἰσχὺν ἀποβάλλουσι, καὶ παντελῶς ἀσθενῆ γίνεται. Ποῖ παρεπλάγχθην) πάλιν καλασᾶσα τῆς μανίας καὶ ἔμφρων γενομένη, αἰσθάνεται ἑαυτὴν παρεληρηκυῖαν, καὶ μανιωδῶς φθεγγομένην. τὸ γὰρ τοῦ ἔρωτος ἐνδιδόμενον τῇ ὀδύνῃ τῶν λόγων, καὶ ἐρεθιζόμενον ὥσπερ εἰς θέαν τῶν ἐπιθυμουμένων τῇ λεπτολογίᾳ πρὸς ἐκφορὰν ἐξήγαγε, καὶ πάλιν εἰς ἔννοιαν καθισταμένη τῶν ῥηθέντων ἐντρέπεται, καὶ ἐπὶ τοῖς ῥηθεῖσιν αἰδεῖται. Τὸ γὰρ ὀρθοῦσθαι) τὸ γὰρ ἀπὸ τῆς μανίας ὀρθοῦσθαι τὴν γνώμην ὀδυνηρὸν λυπηρόν, ἐπὶ τοῖς ἐν τῇ μανίᾳ ῥηθεῖσιν, ὡς ἐν τῷ καθεστῶτι δίκας περὶ αἰδέσεως διδόναι. 248. Τὸ δὲ μαινόμενον) αὐτὸ δὲ τὸ μανιῶδες κακόν ἐστιν, ὅτι ἃ μὴ βούλεται φθέγγεται. κρεῖττον δὲ καὶ ὑπερέχει τοῦ μετὰ συνειδήσεως ἀπολέσθαι. οὔτε γὰρ τῶν ἁμαρτημάτων ἐν τῇ μανίᾳ αἰσθάνεται, οὔτε τοῦ θανάτου τὴν ἀλγηδόνα λογίζεται τῶν τοῦ βίου πρακτῶν ἕνεκα. Ἄλλως, τὸ δὲ μαινόμενον, ἀντὶ τοῦ κακὸν μὲν τὸ μαίνεσθαι, ἀλλὰ κρατεῖ, τουτέστι κρεῖττόν ἐστι καὶ ὑπερέχει τοῦ μετὰ συνειδήσεως ἀποθανεῖν, ὡς [illegible] τις λέγοι λυσιτελές ἐστι μὴ γινώσκοντα ἀπολέσθαι, ὡς κρείττονος ὄντος τοῦ τοιούτου βίου.

* Λιμνᾶτις ἡ Ἄρτεμις) Ita corrigo pro λιμνᾶτις ὁ δρομαῖος, Vide Pauſan.

† Theogon. v. 413.

ANNOTATIONES.

V. 222. Ἐπίλογχον ἔχουσ᾽ ἐν χειρὶ βέλος) Γαισὸν δηλοῖ, ὅ ἐστιν ὁλοσίδηρον ἀκόντιον. *Latinè*, Venabulum, Sariſſa, Gæſus & Gæſum dicitur. *Seneca* Hippolyt. v. 395. *Haſtile vibret Dextra Theſſalicum manus.* Hinc putes expreſſum: Θεσσαλὸν ὄρπακα, *Haſtile Theſſalicum.* Et iterum, *Et rigida molli Gæſa jaculari manu.* Vid. *Hercul.* Fur. v. 1003. Quòd verò *Theſſalicum* Jaculum nondum *Hippolyti* ætate fuerit, id gratis dictum à *Criticis*; & quòd *Scholiaſtes* tradit de altero *Anachroniſmo* circa *Venetos* equos infra ad v. 231. Eſt merum *Grammaticorum* inſomnium; *Venetorum* enim Nomen antiquius, unde *Homerus* Iliad. β. v. 852. Ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων. Vide *Strabon.* l. 5. Quare nimium à *Criticis* deceptus eſt *Gerard. Joh Voſſius* Inſtitut. Poet. l. 1. c. 3. ubi hæc *Euripidi* vitio vertit. Cùm etiamſi vera notâſſet, per *Prolepſin* potuit *Euripidis* honor ſalvari. *Joſua Barnes.*

V. 228. Δέσποινα δίας Ἄρτεμι λίμνας) Vid. ſupra ad v. 148. Et tamen *Scholiaſtes* ait Λίμνην hic eſſe proprium nomen loci, ubi Schola equeſtris erat, quem tu videſis. Vid. Not. ad *Schol.*

V. 229. Καὶ γυμνασίων τῶν ἱπποκρότων) *Hippodromum* notat, quem frequentâſſe par eſt *Hippolytum*, juvenem Venationi & Equis deditum. De *Hippodromis* autem vid. quæ Nos ad *Helenæ* v. 209. & aliàs. Item *Scholiaſten.*

V. 231. Πώλους Ἐνέτας) Equos Venetos. *Veneti* ab *Henetis* oriundi ex *Paphlagoniâ*, qui pernicibus utebantur equis. Vide quid Nos ſuprà ad v. 222. Eſt & *Venetus* color; ſed nihil hic facit.

Τρο. Κρύπτε·

Τρο. Κρύπτω· τὸ δ' ἐμὸν πότε δὴ θάνατος
Σῶμα καλύψει;
" Πολλὰ διδάσκει γάρ μ' ὁ πολὺς βίος.
" Χρῆν γὰρ μετρίας εἰς ἀλλήλους
" Φιλίας θνητοὺς ἀνακίρνασθαι,
" Καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς,
" Εὔλυτα δ' εἶναι στέργηθρα φρενῶν,
" Ἀπό τ' ὤσασθαι, καὶ ξυντεῖναι.
" Τὸ δ' ὑπὲρ δισσῶν μίαν ὠδίνειν
" Ψυχὰν, χαλεπὸν βάρος, ὡς κἀγὼ
" Τῆσδ' ὑπεραλγῶ.
" Βιότου δ' ἀτρεκεῖς ἐπιτηδεύσεις
" Φασὶ σφάλλειν πλέον ἢ τέρπειν,
" Τῇ θ' ὑγιείᾳ μᾶλλον πολεμεῖν.
" Οὕτω τὸ λίαν γ' ἧσσον ἐπαινῶ
" Τοῦ μηδὲν ἄγαν·
" Καὶ ξυμφήσουσι σοφοί μοι.

Nut. Tego: meum verò quandonam mors
Corpus teget?
" Multa me docet vita longa.
" Oportebat enim mediocres inter ſe mutuò
" Mortales miſcere, *jungere & contrahere* amicitias,
" Et non uſque ad extremam medullam animæ *penetrare*,
" Et amores animorum facilè ſolvi poſſe,
" Et expelli, & intendi, *minui, & augeri*.
" Sed affligari pro duabus unam
" Animam, grave onus *eſt*. Sicut etiam ego
" Pro illâ doleo.
" Accurata verò vitæ ſtudia
" Plus aiunt nocere, quàm delectare,
" Et pugnare magis cum ſanitate.
" Sic id quod nimium eſt, minus laudo
" Quàm illud, Ne quid nimis:
" Et aſſentientur mihi ſapientes.

Κρύπτω τὸ δ' ἐμὸν) ἐγὼ μὲν φησι τὴν σὴν κεφαλὴν ἀσθενῆ οὖσαν τοῖς εἰρημένοις κρύπτω καὶ σκεπάζω, πότε δὲ καὶ τὸ ἐμὸν σῶμα ἀσθενῶς ἔχον, πρὸς βίον, ὁ θάνατος καλύψει. Χρῆν γὰρ μετρίας) ἔδει φησὶ τοὺς ἀνθρώπους μεμετρημένως φιλεῖν, ὡς μὴ εἰς ἄκρον ἐξικνεῖσθαι τοῦ στέργειν. Ἄλλως. τὸ εὐκόλως ἐκβάλλειν τὰ τῆς ὀρέξεως φίλτρα, καὶ πάλιν αὔξειν, ὥστε ποτὲ μὲν ἐλαττοῦν, ποτὲ δὲ αὔξειν τὰ τῆς ψυχῆς φίλτρα. οἱ γὰρ ἄγαν στέργοντες δυσχερῶς κάμνουσι, ὑπέρ τε τῆς ἑαυτῶν σωτηρίας καὶ τῆς τῶν φίλων φροντίζοντες. ἐχρῆν οὖν φησι τοὺς ἀνθρώπους συμμέτρως ἀλλήλους φιλεῖν, καὶ μὴ εἰς ἄκρον, ὥστε καὶ σῶμα κατατήκειν, καὶ μὴ δύνασθαι λύεσθαι τὴν φιλίαν. 255. Μυελὸν ψυχῆς) οὐ γὰρ μόνη ἡ σοφία διδάσκει, ἀλλὰ καὶ ὁ πολὺς καὶ μακρὸς χρόνος, καὶ ἡ πολυπειρία, τὸν ἐσώτατον τόπον. τροπικῶς δὲ εἶπεν, ὡς ἐπὶ σώματος καὶ ὀστέου τὸ βάθος τῆς ψυχῆς. παραινεῖ δὲ μὴ πρὸς ἄκρον ποιεῖσθαι τὰς φιλίας, ἵνα καὶ πρὸς ἀπόστασιν εὐλύτως ἔχωμεν. Στέργηθρα) τὰς φιλίας, τὰς ἀγάπας. 261. Βιότου) τὰ δὲ τῶν κατὰ τὸν βίον τι πραγμάτων ἀκριβῶς ἐπιτηδεύειν, οὐκ ἀσφαλές. ἀντὶ τοῦ ἐπιτηδεύων τις πρᾶγμα ποιεῖν ὑπεράγαν, πάντως ἐπιλήψιμόν τι ἐν αὐτῷ εὑρίσκεται. ἐπιτηδεύσεις δέ φησι τὰς μελέτας, τὰς τῇ ὑπερβολῇ τῆς σπουδαιότητος ἀτρεκεῖς. καθόλου δὲ τὰς ἀληθεῖς, καὶ εἰς ἄκρον ἐκβαινούσας τῆς ἀληθείας μελέτας, ἐπιτηδεύσεις, ὥς φασιν οἱ σοφοί, ὡς μὴ μόνον σφάλλειν, ἀλλὰ καὶ πρὸς ὑγείαν ἐμποδίζειν εὑρίσκεσθαι. ὡς εἴ τις ἐπιμελῶς ἀδιαλείπτως χρῷτο τῷ λόγῳ, ὡς κατὰ μηδὲν ὑστερεῖν, οὗτος εἰς ἄλλο τι ἐκπίπτει τοῦ λόγου, καὶ εἰς τι μανιῶδες, καὶ τὸ σῶμα εἰς νόσον μεταπίπτειν ποιεῖ. Οὕτω τὸ λίαν ἧσσον) ἀντὶ τοῦ, οὐδ' ὅλως οὕτω τὸ λίαν ἐπιτηδεύειν ἐπαινῶ, ὡς τὸ μηδὲν ἄγαν, τουτέστι τὸ μὴ λίαν ἐπιτηδεύειν, καὶ συγκατατιθέασι μοι πάντες οἱ σοφοί. Ἄλλως. οὕτω τὸ λίαν ἔλαττον ἐπαινῶ, τοῦ μηδὲν ἄγαν καὶ μεμετρημένου, καὶ μάρτυρες ἔσονται οἱ σοφοί, ὥστε ἕνα τῶν ζ' σοφῶν εἶναι ἀπόφθεγμα τὸ μηδὲν ἄγαν, ὅπερ Χίλωνι ἀνατιθέασιν, οἱ δὲ Κριτίᾳ καὶ Πινδάρῳ. οἱ δὲ Σωδάμῳ, ὡς τὸ ἐν Τεγέᾳ ἐπίγραμμα δηλοῖ, Ταῦτ' ἔλεξε Σώδαμος Ἐπηράτου, ὅς μ' ἀνέθηκε, Μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά. ὁ Θεόφραστος, ὡς τὰ Σισύφου λεγόμενα καὶ Πιτθέως, οἷον μηδὲν ἄγαν, μηδὲ δίκην δικάσῃς.

ANNOTATIONES.

V. 252. Πολλὰ διδάσκει γάρ μ' ὁ πολὺς βίος) Huc refer illud *Solonis*, Αἰεὶ γηράσκω πολλὰ διδασκόμενος.
V. 264. Οὕτω τὸ λίαν &c.) Simile illud Τὸ γὰρ Μηδὲν ἄγαν, ἄγαν μοι φίλον. Vel ut *Alphæus Mitylenæus*, Antholog. l. 1. c. 12. Τὸ μηδὲν γὰρ ἄγαν, ἄγαν με τέρπει. Vide de hoc loco *Eraſmi* Adagiorum Chiliad. 1. Centur. 6. Adag. 96. *Nequid. Nimis. Joſua Barnes.*

ARGUMENTUM *Actûs* Secundi.

CHorus Nutricem *rogat de causâ* Phædræ *ægritudinis: Quæ nihil omninò ſe poſſe elicere affirmat; ſed nè nunc inquirere deſtituram. Heram ergò denuò aggreditur; ut Morbi cauſam ex Dominæ confeſſione exploratam habeat. Illius demùm ex verbis vix tandem divinando colligit, illam* Hippolyti *amore perire.* Phædra Choro *&* Nutrici *exponit ſuum conſilium, quo morte voluntariâ inhoneſtum & inceſtum hunc Amorem ſeu fugere, ſeu vindicare ſtatuerat. Contrà* Nutrix *illam à tam atroci propoſito avertere conatur, pollicita inſuper ſe Remedia adhibituram. Hæc nihilominùs obſtinatè in priore manet ſententiâ. Hinc* Chorus *irati* Cupidinis *ſævitiam deprecatur; ſimúlque* Iölæ, Semelæque *exemplis oſtendit, quàm diræ clades ex immodicis Amoribus aliquandò oriantur.*

ΧΟΡΟΣ, ΤΡΟΦΟΣ, ΦΑΙΔΡΑ.

Ἰαμβοί.

Χο. ΓΥναι γεραιὰ, βασιλίδος πιστὴ τροφὲ
Φαίδρας, ὁρῶμεν τάσδε δυστήνους τύχας·
Ἄσημα δ' ἡμῖν, ἥτις ἐστὶν ἡ νόσος.
Σοῦ δ' ἂν πυθέσθαι καὶ κλύειν βουλοίμεθ' ἄν.

Chorus.

MUlier vetula, fidelis nutrix reginæ
Phædræ, videmus miſeras iſtas calamitates:
Obſcurum verò nobis *eſt*, quiſnam ſit hic *dominæ* morbus.
Ex te igitur ſciſcitari, & audire vellemus.

Γύναι γεραιὰ) διὰ τοῦτο ἔδειξεν, ὅτι ἀφορμὰς θαρρήσουσα τὰ κατὰ τὴν Φαίδραν, γυναῖκα αὐτὴν ὑποκαλοῦσα. γυναιξὶ γὰρ μᾶλλον αἱ γυναῖκες θαρρῶσι τὰ καθ' ἑαυτάς, ἄλλως τε καὶ γεραιὰν καὶ πιστὴν τροφόν. 269. Ἄσημα δὲ) ἀντὶ τοῦ ἄγνωστα. οὕτω δ' εἰώθασι χρῆσθαι Ἀττικοί, ὡς καὶ Θουκυδίδης, ἀδύνατα ἦν, ἀντὶ τοῦ ἀδύνατον.

Τρ. Οὐκ οἶδ' ἐλέγχουσ'· οὐ γὰρ ἐννέπειν θέλει.
Χο. Οὐδ' ἥτις ἀρχὴ τῶνδε πημάτων ἔφυ;
Τρ. Εἰς ταυτὸν ἥκεις· πάντα γὰρ σιγᾷ τάδε.
Χο. Ὡς ἀσθενεῖ τε καὶ κατέξανται δέμας.
Τρ. Πῶς δ' οὐ, τριταίαν γ' οὖσ' ἄσιτος ἡμέραν;
Χο. Πότερον ὑπ' ἄτης, ἢ θανεῖν πειρωμένη;
Τρ. Θανεῖν· ἀσιτεῖ δ' εἰς ἀπόστασιν βίου.
Χο. Θαυμαστὸν εἶπας; εἰ τάδ' ἐξαρκεῖ πόσει.
Τρ. Κρύπτει γὰρ ἥδε πῆμα, κοὔ φησιν νοσεῖν.
Χο. Ὁ δ' εἰς πρόσωπον οὐ τεκμαίρεται βλέπων;
Τρ. Ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός.
Χο. Σὺ δ' οὐκ ἀνάγκην προσφέρεις, πειρωμένη
Νόσον πυθέσθαι τῆσδε, καὶ πλάνον φρενῶν;
Τρ. Εἰς πάντ' ἀφῖγμαι, κοὐδὲν εἴργασμαι πλέον.
Οὐ μὴν ἀνήσω γ' οὐδὲ νῦν προθυμίας·
Ὡς ἂν παροῦσα καὶ σύ μοι ξυμμαρτυρῇς,
Οἵα πέφυκα δυστυχοῦσι δεσπόταις.
Ἀλλ', ὦ φίλη παῖ, τῶν πάροιθε μὲν λόγων
Λαθώμεθ' ἄμφω, καὶ σύ θ' ἡδίων γενοῦ,
Στυγνὴν ὀφρὺν λύσασα, καὶ γνώμης ὁδόν.
Ἐγώ θ', ὅπῃ σοι μὴ καλῶς τόθ' εἱπόμην,
Μεθεῖσ', ἐπ' ἄλλον εἶμι βελτίω λόγον.
Κεἰ μὲν νοσεῖς τι τῶν ἀπορρήτων κακῶν,
Γυναῖκες αἵδε συγκαθιστάναι νόσον.
Εἰ δ' ἔκφορός σοι συμφορὰ πρὸς ἄρσενας,
Λέγ', ὡς ἰατροῖς πρᾶγμα μηνυθῇ τόδε.
Εἶεν· τί σιγᾷς; οὐκ ἐχρῆν σιγᾶν, τέκνον,
Ἀλλ' ἤ μ' ἐλέγχειν, ἤν τι μὴ καλῶς λέγω,
Ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
Φθέγξαι τι· δεῦρ' ἄθρησον. ὦ τάλαιν' ἐγώ.
Γυναῖκες, ἄλλως τούσδε μοχθοῦμεν πόνους,
Ἴσον δ' ἄπεσμεν τοῦ πρίν· οὔτε γὰρ τότε
Λόγοις ἐθέλγεθ' ἥδε, νῦν τ' οὐ πείθεται.
Ἀλλ' ἴσθι μέντοι, πρὸς τάδ' αὐθαδεστέρα
Γίγνου θαλάσσης, εἰ θανῇ, προδοῦσα σοὺς
Παῖδας, πατρῴων μὴ μεθέξοντας δόμων·
Μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα,

Nut. Haud ſcio certò; neque enim vult dicere.
Cho. Neque quæ ſit cauſa horum malorum?
Nut. Eodem redis. Nam reticet hæc omnia.
Ch. Quàm eſt ægrota, & contabuit corpore!
Nut. Quidni *contabeſceret*, quæ tertiũ jã diem impaſta manet?
Ch. Utrum ab Ate *vexata*, an mori nitens?
Nut. Mori *nitens*, abſtinet enim à cibo ad deceſſ. è vita, *i.e. ut mor.*
Cho. *Rem* miram dixiſti, ſi hæc placeant marito.
Nut. Occultat enim hæc malum, & dicit ſe non ægrotare.
Cho. Ille verò in *ejus* faciem intuens non conjicit *morbum*?
Nut. *Minimè*; peregrè enim eſt, procul ab hoc agro.
Cho. Tu vero nullam vim adhibes, conans
Cognoſcere morbum hujus, & errorem mentis?
Nut. Omnia tentavi, & nihil plus effeci.
Tamen non remittam etiam nunc de meo ſtudio:
Ut præſens tu quoque poſſis teſtis eſſe,
Qualis fuerim erga dominos calamitate afflictos.
Sed, ô filia *Phædra*, priorem quidem ſermonem
Obliviſcamur ambæ, & tu placatior fias,
Solvens triſte ſupercilium, & *aſperam* conſilii viam.
Egóque, ſi quid tibi non rectè tunc obſecuta ſum,
Mutata, ad alium veniam meliorem ſermonem.
Atque ſi quo laboras occulto, *nec aliis declarando* malo,
Mulieres iſtæ *adſunt* ad ſedandum morbum:
Si verò tibi calamitas *edita* ad mares efferenda, *viriſq; declaranda*,
Dic, ut medicis indicetur hæc res.
Eſto, quid taces? non oportet te tacere, filia,
Sed aut me reprehendere, ſi quid non rectè dico,
Aut bene dictis obtemperare verbis.
Loquere, quid? huc ſpecta. ô me miſeram.
Mulieres, fruſtrà inſumimus hos labores,
Abſumus a à *propoſito* tam procul quàm prius; neque enim tunc
Verbis demulcebatur hæc, neque nunc obtemperat.
Sed ſcias tamen (quamobrem pertinacior
Sis mari) ſi moriaris, proditis tuis
Liberis, *eos* paternæ non fore participes domûs,
Non per reginam equeſtrem Amazonem,

Οὐκ οἶδ' ἐλέγχουσα) ἐρωτῶσα, ἐρευνῶσα, ἀνακρίνουσα, ὅτις ἐστὶν ἡ ὑποβολή. τὸ γὰρ ἐπίμονον ἐρώτημα ἔλεγχον ὀνόμασεν. Εἰς ταυτὸν) ἐὰν μὲν ἥκῃς γὰρ πρὸς τὴν ἀρχὴν ἐστὶν ὁ λόγος, ὃ ἐστιν εἰς ταυτὸν ἥκει ἡ ἀρχὴ τῷ τέλει, ὥσπερ οὐχ ὁμολογεῖ, οὕτως οὐδὲ τὴν ἀρχήν. εἰ δὲ ἥκεις πρὸς τὸν χορὸν· ἐμοὶ εἰς ταυτὸν τῆς ἀγνοίας ἥκεις, ἢ εἰς ταυτό μοι ἀγνοίας ἥκεις. πάντα γὰρ σιγᾷ, ὃ ἐστιν οὐκ ἀποκρίνεται, οὔτε πρὸς ἀρχὴν, οὔτε πρὸς τέλος. Τὸ δ' ἀσθενεῖ τε καὶ κατέξανται δέμας.) ἀντὶ τοῦ κατατήκει τὸ σῶμα. πῶς δὲ οὐκ ὤφειλε κατατετηκέναι τριταίαν οὖσαν, ὅτι τρίτην ἡμέραν ἔχουσα ἄγευστος. Ἀλλ', ὦ φίλη παῖ) ἀπέτεινε τὸν λόγον πάλιν πρὸς τὴν Φαίδραν, ἄλλο ἦθος μετιοῦσα νουθεσίας. τὸ γὰρ παραινέσει πείθειν βέλτιον, ἢ ἐπαχθέσι ῥήμασιν εἰπεῖν τὴν πρόφασιν, ἄγε, ὦ φίλη παῖ, ἀμφοτέραι ὅπως ἐπιλαθώμεθα τῶν προειρημένων, καὶ σύγε ἡδίων καὶ πρᾳοτέρα γένου, εἰ δόξει τὴν παραίνεσιν, ἐγώ τε ὅπου ἔδοξα τὸ πρὶν ἐπαχθής τις εἶναι ἕως τούτου τοῦ μέρους ἀποστᾶσα, ἐπ' ἄλλην ἔρχομαι κρείττονα νουθεσίαν. Στυγνὴν ὀφρὺν) τὴν στυγνὴν τῆς ἀφροσύνης, ὅτε οὐ καλῶς ἠκολούθουν σοι τῇ ἀσθενούσῃ, ἀποστᾶσα ἀπὸ τούτου ἐπὶ νουθεσίαν ἑτέραν μετέρχομαι, τουτέστι τὴν στυγνότητα τοῦ προσώπου ἄφελε, καὶ τῆς χαλεπῆς γνώμης ἑαυτὴν παῦσαι. Ἄλλως. Ἐγώ θ' ὅπη) εἴ τι φησὶ πρότερον ἐλύπει σε τῷ συνεχεῖ τῆς ἐρωτήσεως, παύω ἐπὶ τὸ κολακεῦόν σε τρέπομαι. 294. Γυναῖκες αἵδε) συμπράξουσι, συνεργήσουσι. γυναῖκες γὰρ ἴσασι ἐν ταῖς τοιαύταις συμβάλλονται νόσοις, αἱ μὲν συνεργαθεῖσαι, αἱ δὲ προσεθισθεῖσαι πείσονται. καὶ γὰρ συνεπίβατον ἄγαν εἰς τὰ τοιαῦτα τὸ τῶν γυναικῶν φῦλον. ἔοικε δὲ λέγειν ἑταίρας ἢ τοιοῦτον. συνδιοικήσουσιν ἕν, ἀποκαταστήσουσιν, θεραπεύσουσι τὴν μοιχείαν. Εἰ δ' ἔκφορός σοι) ἀντὶ τοῦ ἐξελεγχθῆναι καὶ ῥηθῆναι δυναμένη. τουτέστιν εἰ δὲ δύνανται καὶ ἄρσενες ἀκοῦσαι τὰς συμφοράς. Δεῦρ' ἄθρησον) δεῦρο εἰς ἐμὲ βλέψον, ἵνα κἂν διὰ τῆς ὄψεως αἰσθηθῇς με, εἶτα ὡς ἐκείνης μὴ ἐνατενιζούσης, μηδὲ προσνευούσης τῇ ἀσθενούσῃ φησὶ πρὸς τὸν χορὸν, μάτην, ὦ γυναῖκες, μοχθοῦμεν, πείθειν ταύτην πειρώμεναι ἢ ὅπως. εἰς δὲ τὸ πείθειν ὁμοίως ἀπέστημεν τοῖς πρὶν ῥήμασιν. ὥσπερ γὰρ δι' ἐκείνων οὐδὲν ἠνύσαμεν, οὕτως οὐδὲ διὰ τούτων. Ἀλλ' ἴσθι μέν τοι) λοιπὸν ἀπογνοῦσα τὴν κολακείαν κινητικοῖς αὐτὴν λόγοις ἐρεθίζει, φάσκουσα ὅτι ἐὰν θανῇ, μὴ ἀξιώσουσι λόγου τὸν σὸν ἄνδρα προδοῦσα τοὺς σοὺς παῖδας. ἐκβληθήσονται γὰρ τοῦ οἴκου, λοιπὸν πάλιν ἀναπληρώσασα τὸν λόγον διὰ μέσου φησὶ, πρὸς τὰ δ' αὐθαδεστέρα γενοῦ θαλάσσης. Ἄλλως) γίνωσκε προδιδοῦσα τοὺς σοὺς παῖδας, εἰ θανῇ. 307. Μὰ τὴν ἄνασσαν) ἰστέον ὅτι ἀδίκως ὀμνύομεν κατὰ τῶν ἐχθρῶν, οὐ σημαίνειν αὐτοὺς βουλόμενοι, ἀλλ' ἐπιπορευόμενοι, ἢ πρὸς

ANNOTATIONES.

V. 276. Πότερον ὑπ' ἄτης) *P. Victorius* Variar. Lection. l. 13. c. 17. ἄσης legit, quod faſtidium ſonat, & huic *Canterus* aſſentit. *Antonius* autem *Muretus* Variar. Lection. l. 10. c. 12. licet huic conjecturæ faveat, ob quantitatem τῦ ἄσης, cujus prior ſyllaba brevis eſt, legit Πότερον ἄσης ὕπ', ἢ θανεῖν πειρωμένη. *Hemſio-Scaligerianus* Codex legit ἄσης majori quidem audaciâ. *Joſua Barnes.*

290. Ὀφρὺν) *Iambus* & hic; vid. *Phœniſſ.* v. 19. γνώμης ὁδὸν, Vid. idem infra ad v. 391.

V. 302. Ἴσον δ' ἄπεσμεν τοῦ πρὶν) Ita lego τοῦ pro τῷ, præeunte *Scaligero* & ſenſu agmen ducente.

V. 305. Γίγνε) aliàs γενοῦ *Schol.*

πλείονα

πλείονα ἐρεθισμὸν κατ' ἐκείνης ὤμνυσιν, ἢ ἐπεὶ οἴδασιν ὡς εἰρωνευόμενοι κατὰ τῶν ἐχθρῶν ὀμνύουσι. ὡς ἡ Σοφοκλῆς ἐν Μυκηναῖς. Μὰ τὴν ἐκείνου δειλίαν, ἣ βόσκεται, Θῆλυς μὲν αὐτὸς, ἄρρενας δ' ἐχθροὺς ἔχων. νόθον δὲ φρονοῦντα, μηδὲ φιλοσοφίαν ἤσκει, ὅπερ ἐστὶν ἐλευθέριον.

Ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο
Νόθον, φρονοῦντα γνήσι', οἶσθά νιν καλῶς,
Ἱππόλυτον. Φ. οἴμοι. Τ. θιγγάνει σέθεν τόδε;
Φα. Ἀπώλεσάς με, μαῖα, καί σε πρὸς θεῶν
Τοῦδ' ἀνδρὸς αὖθις λίσσομαι σιγᾶν πέρι.
Τρ. Ὁρᾷς; φρονεῖς μὲν εὖ· φρονοῦσα δ' οὐ θέλεις
Παῖδάς τ' ὀνῆσαι, καὶ σὸν ἐκσῶσαι βίον.
Φα. Φιλῶ τέκν'· ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι.
Τρ. Ἁγνὰς μὲν, ὦ παῖ, χεῖρας αἵματος φέρεις;
Φα. Χεῖρες μὲν ἁγναὶ, φρὴν δ' ἔχει μίασμά τι.
Τρ. Μῶν ἐξ ἐπακτοῦ πημονῆς ἐχθρῶν τινος;
Φα. Φίλος μ' ἀπόλλυσ' οὐχ ἑκοῦσαν οὐχ ἑκών.
Τρ. Θησεύς τιν' ἡμάρτηκεν εἰς σ' ἁμαρτίαν;
Φα. Μὴ δρῶσ' ἔγωγ' ἐκεῖνον ὀφθείην κακῶς.
Τρ. Τί γὰρ τὸ δεινὸν τοῦθ', ὅ σ' ἐξαίρει θανεῖν;
Φα. Ἔα μ' ἁμαρτεῖν· οὐ γὰρ εἰς σ' ἁμαρτάνω.
Τρ. Οὐ δῆθ' ἑκοῦσά γ'· ἐν δὲ σοὶ λελείψομαι.
Φα. Τί δρᾷς; βιάζῃ χειρὸς ἐξαρτωμένη;
Τρ. Καὶ σῶν γε γονάτων, οὐ μεθήσομαί ποτε.
Φα. Κάκ', ὦ τάλαινα, σοὶ, τάδ', εἰ πεύσῃ, κακά.
Τρ. Μεῖζον γὰρ, ἢ σοῦ μὴ τυχεῖν, τί μοι κακόν;
Φα. Ὀλῇ· τὸ μέντοι πρᾶγμ' ἐμοὶ τιμὴν φέρει.
Τρ. Κἄπειτα κρύπτεις, χρήσθ' ἱκνουμένης ἐμοῦ;
Φα. Ἐκ τῶν γὰρ αἰσχρῶν ἐσθλὰ μηχανώμεθα.
Τρ. Οὐκοῦν λέγουσα, τιμιωτέρα φανῇ.
Φα. Ἄπελθε πρὸς θεῶν, δεξιᾶς τ' ἐμῆς μέθες.
Τρ. Οὐ δῆτ', ἐπεί μοι δῶρον οὐ δίδως, ὃ χρῆν.
Φα. Δώσω, σέβας γὰρ χειρὸς αἰδοῦμαι τὸ σόν.
Τρ. Σιγῷμ' ἂν ἤδη· σὸς γὰρ οὑντεῦθεν λόγος.
Φα. Ὦ τλῆμον, οἷον, μῆτερ, ἠράσθης ἔρον;
Τρ. Ὃν ἔσχε ταύρου, τέκνον, ἢ τί φῂς τόδε;
Φα. Σύ τ', ὦ τάλαιν' ὅμαιμε, Διονύσου δάμαρ.
Τρ. Τέκνον, τί πάσχεις; συγγόνους κακορροθεῖς;

Quæ tuis liberis dominum procreavit
Spurium, ſapientem liberalia, probe ipſum noſti
Hippolytum. *P.* Heu me. *N.* Tangit te hoc?
Phæ. Perdidiſti me, nutrix; téque per Deos
Oro, ut de hoc viro taceas in poſterum.
Nut. Vides? rectè quidem ſapis, prudens verò non vis
Filiiſque prodeſſe, & tuam ſervare vitam.
Phæ. Amo liberos: ſed aliâ tempeſtate jactor.
Nut. O filia, puras quidem manus habes à ſanguine?
P. Manus quidē ſunt puræ ſed mēs piaculū quoddā habet, *eſt polluta.*
Nut. Num ex aliunde-oblato malo inimici alicujus?
Phæ. Amicus me perdit non volentem non volens.
Nut. An Theſeus aliquod peccatum in te peccavit?
Phæ. Utinam ego nunquam illum læſiſſe videar!
Nut. Quæ eſt igitur illa magna res quæ te cogit mori?
Phæ. Sine me peccare, nec enim in te pecco.
Nut. Haud profectò volens *ſinam*, ſed in te deficiam.
Phæ. Quid agis? Vimne facis, pendens ex manu?
Nut. Et tua genua non dimittam unquam.
Phæ. Si audies hæc mala, ô miſera, audies tibi mala.
Nut. An verò mihi majus malum accidere poteſt, quàm te privari?
Phæ. Peribis. Res tamen iſta mihi gloriam afferet.
Nut. Et deinde *rem tam glorioſam* occultas, bona petente me?
Phæ. Ex honeſtis enim turpia molimur.
Nut. Ergo ſi dixeris *hæc*, honoratior videberis.
Phæ. Abi per Deos, & dimitte meam dextram.
Nut. Nequaquā: ſiquidem non das mihi donum, quod oportebat.
Phæ. Dabo; nam revereor tuam venerandam manum.
Nut. Tacebo jam; jam enim tuum eſt loqui.
Phæ. O miſera, qualem mater amâſti amorem!
Nut. Quo amavit taurum, filia, aut cur hoc dicis?
Phæ. Et tu miſera ſoror, Bacchi conjunx.
Nut. O filia, quid accidit tibi? cognatis maledicis?

Οἶσθά νιν καλῶς) τοῦτο προσέθηκε, πρὸς πλείονα γὰρ ὀδύνην αὐτὴν ἐκίνησεν, οὐκ ἀμφίβολον αὐτῇ τὴν γνῶσιν τούτου εἶναι λέγουσα. Θιγγάνει δὲ σέθεν τόδε, ὅ ἐστι καθάπτεται (οὐ φησι τῆς ψυχῆς, ἀλλ' ἢ λόγῳ μόνον εἰρημένον τοῦτο τὸ περὶ ὀργανίας τῶν παίδων, οἶμαι ὅτι τοῦτον οὐκ ἐφόνευσας, διὰ τὸ εἰρηκέναι. ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι. μῶν ἐξ ἐπακτοῦ διὰ φαρμακείας γεγενημένην. ἐπακτὸν γὰρ πημονὴ, ἔξωθεν ἐπηγμένη μαγγανεία διὰ τῶν ἐχθρῶν. μή τις σοι φησι τῶν ἐχθρῶν ἐπάγει τι λύπης ἄξιον, ἀρα τινὸς ἔχθραν μηχανησαμένης σου. εἰώθασιν οἱ ἐχθροὶ ἐπάγειν τινῶν δαιμόνων πονηρῶν ἐπὶ τὰς οἰκίας. ἢ οὕτως, μή τις σε τῶν ἐχθρῶν ἐφάρμαξε. λέγει δὲ διὰ τὸ εἰρηκέναι, φρὴν δ' ἔχει μίασμά τι, φίλος μ' ἀπόλλυσιν. ἐπειδὴ εἶπεν φίλος λέγει, μή τι ἄρα ὁ Θησεὺς εἰς σέ τι ἥμαρτεν. τὸ μὲν οὐ ἥμαρτεν, πρὸς ἀντιδιαστολὴν ἐχθροῦ τινος. τὸ δὲ οὐχ ἑκὼν, ἐπεὶ οὐκ ἐκ προνοίας αὐτῷ ἦν ὁ ἔρως. Ἐξαρτωμένη) ἐξαρτηθήσομαι σου τῇ ἱκεσίᾳ, ἢ ἐν σοὶ τὸν βίον λείψω, εἰ μὴ ἄρα φησὶ μετά τινος ἀνάγκης οὐ συγχωρήσω, ἀλλ' ἀπολύσομαι. Κάκ' ὦ τάλαινά σοι) ἤτοι πρὸς ἀνάστασιν τοῦ πυθέσθαι, ἐπάγει δ' ἄπειρον τὸ κακὸν καὶ ἐν δεινόν. εἰ πεύσῃ τὰ σεσιωπημένα κακά.

329. Ὀλῇ) ἀπολῇ φησιν, εἰ ἀναγκάσεις με λέγειν. ἐμοὶ δὲ τὸ σιωπᾶν τιμὴν φέρει, καθὸ οὐκ ἐκφορος εἰς πολλοὺς ἡ νόσος, ἀλλὰ συγκαταθάψω ἐμαυτῇ τὸ τῆς σωφροσύνης ὄνομα, μείνασα ἐν σωφροσύνῃ τελευτᾶν. ἢ οὕτως. ἐὰν μή μοι εἴπῃς, ἀποθανῇ. τοῦ δὲ στερηθῆναί σου, μεῖζον οὐκ ἔστι μοι κακόν. εἶτα φησιν. ἀπολοῦμαι. τὸ δὲ ἀπολέσθαι με τιμήν μοι φέρει. ἡ δὲ γραῦς μὴ νοήσασα τὸ πρᾶγμα, φησί· εἰ τιμήν σοι φέρει τὸ πρᾶγμα, διὰ τί μὴ λέγεις, κρύπτεις χρηστά; ἂν μὴ ἡ στίξις εἰς τὸ χρηστὰ, ἐστὶν ὁ λόγος, κρύπτεις τὰ καλὰ ἐμοῦ παρακαλούσης σε λέγειν αὐτά. ὅ ἐστιν ἐμοὶ τὰ τιμῆς σοι αἴτια ἐσόμενα οὐκ ἀξιοῖς ἀνακοινώσασθαι, κρύπτεις μοι ἐμοῦ χρηστὰ ἱκετευούσης, καὶ χρήσιμος ἀξιούσης ἀνακοινοῦσθαί μοι. Ἐκ τῶν γὰρ) εἰκότως κρύπτω, φησι, διὰ τῶν ἐσθλῶν δηλαδὴ τῆς ἐγκρατείας εἰς αἰσχρὰ μεταβαίνειν, ὅ ἐστι φεύγουσα ἀπειλεῖς με λέγειν. μέλλω γὰρ ἐκ τούτων τῶν ἐσθλῶν ἀναλόγως ὁμολογῆσαι ἐμαυτήν, ἐὰν μὲν τοι ἡ λέγουσα ἡ γραῦς, χρηστά με ἀναγκάζουσα σε λέγειν κρύπτεις με, ἀναλόγως ἀποφήσομαι ἐπεὶ ἐκ γὰρ τῶν ἀγαθῶν τούτων ὧν λέγεις, ὅ ἐστι φανερῶσαι τὸ πάθος, ἐγὼ εἰς αἰσχρὸν ποιοῦμαι φήμην, ἢ καὶ πορνεύειν ἀναγκασθήσομαι. ἐκ τῶν γὰρ αἰσχρῶν, ὅ ἐστι, πειρῶμαι γὰρ ἀπὸ πορνείας ἐκφυγεῖν, εἰς σωφροσύνην δὲ παιδεῦσαι, διὸ ἐν σιωπῇ βούλομαι ἀποθανεῖν καὶ ἔστιν αὕτη ἡ γραφὴ ἁρμοζομένη τοῖς ἑξῆς. εἰ δὲ κρύφα φησὶν ἐξ αἰσχρῶν μηχανᾶσθαι βουλεύσῃ, πόσῳ μᾶλλον θαυμασθήσῃ αὐτὴν τὴν βουλὴν διελθοῦσα σαφῶς. καθόλου γὰρ ἡ σαφὴς ἀπόδειξις ἐστὶν ἰσχυροτέρα. διὸ καὶ ἀπορρήσασα ἀνελπιστὸν φησί. Ἄπελθε πρὸς θεῶν δεξιᾶς τ' ἐμῆς μέθες) ὅμως ἡ πρώτη γραφὴ βελτίων. Τιμιωτέρα φανῇ) σοφωτέρα, ὡς φίλοις θαρροῦσα τὴν συμφορὰν, καὶ μὴ κρύπτουσα πάθος πολιορκοῦσαν. κατὰ γὰρ Μένανδρον, σοφῶν ἀνδρῶν ἐστι τὸ τοῖς φίλοις λέγειν τὰ ἀναγκαῖα, ἐν οἷς φασι λανθάνειν τὰ πράγματα, καὶ λέγειν τὴν ὑπὲρ τῆς ἀληθείας ἀεὶ τοῖς ἀναγκαίοις, καὶ τὰ ἑξῆς. λέγει οὖν ὅτι σεβασμιωτέρα ἐμοὶ φανῇ τὰ ὄντως ἀπόρρητά μοι θαρροῦσα. 337. Ὦ τλῆμον) αἰνιγματωδῶς φράσαι θέλει τὸν ἔρωτα. παρατίθεται δὲ ἅμα τῇ ἀτιμίᾳ καὶ τὴν συγγενικὴν συγγνώμην ἐπήνεσε, ὡς συγγενικὸν κεκινημένη τὸ πάθος, καὶ οὐκ ἰδίας φύσεως ἁμάρτημα.

ANNOTATIONES.

V. 324. Ἐν δὲ σοὶ) aliâs οὐ δὲ σοὶ λελείψομαι. Ita *Scaliger* & *Duportus*, rectè ut ego puto.

Φα. Τεί-

Φα. Τρίτη δ' ἐγὼ δύστηνος ὡς ἀπόλλυμαι;

Τρ. Ἔκ τοι πέπληγμαι· ποῖ προβήσεται λόγος;

Φα. Ἐκεῖθεν ἡμεῖς, οὐ νεωστί, δυστυχεῖς.

Τρ. Οὐδέν τι μᾶλλον οἶδ', ἃ βούλομαι κλύειν.

Φα. Φεῦ· Πῶς ἂν σύ μοι λέξειας, ἃ 'μὲ χρὴ λέγειν;

Τρ. Οὐ μάντις εἰμί, τἀφανῆ γνῶναι σαφῶς.

Φα. Τί τοῦθ', ὃ δὴ λέγουσιν ἀνθρώπους ἐρᾶν;

Τρ. Ἥδιστον, ὦ παῖ, ταὐτόν, ἀλγεινόν θ' ἅμα.

Φα. Ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημέναι.

Τρ. Τί φής; ἐρᾷς, ὦ τέκνον, ἀνθρώπων τινός;

Φα. Ὅστις ποθ' οὗτός ἐσθ' ὁ τῆς Ἀμαζόνος;

Τρ. Ἱππόλυτον αὐδᾷς; Φ. σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις.

Τρ. Οἴμοι, τί λέξεις, τέκνον; ὥς μ' ἀπώλεσας.

Γυναῖκες, οὐκ ἀνασχέτ'· οὐκ ἀνέξομαι
Ζῶσ'· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰσορῶ φάος.
Ῥίψω, μεθήσω σῶμ'· ἀπαλλαχθήσομαι
Βίου θανοῦσα· χαίρετ'· οὐκ ἔτ' εἴμ' ἐγώ.
Οἱ σώφρονες γὰρ οὐχ ἑκόντες, ἀλλ' ὅμως
Κακῶν ἐρῶσι. " Κύπρις οὐκ ἄρ' ἦν θεός,
" Ἀλλ' εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
Ἣ τήνδε, κἀμέ, καὶ δόμους ἀπώλεσεν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Ἄϊες ὦ, ἔκλυες ὦ, ἀνήκουστα τᾶς
2 Τυράννου πάθεα μέλεα θρεομένας;
3 Ὀλοίμαν ἔγωγε, πρὶν σὰν φίλαν
4 Κατανύσαι φρενῶν. ἰώ μοι μοι· φεῦ, φεῦ.
5 Ὦ τάλαινα τῶνδ' ἀλγέων·
6 Ὦ πόνοι τρέφοντες βροτούς.
7 Ὄλωλας, ἐξέφηνας εἰς φάος κακά.
8 Τίς σε παναμέριος ὅδε χρόνος μένει;

Pha. Ergóque tertia infelix, quomodo pereo!
Nut. Perculſa ſum: quonam evadet hæc oratio?
Pha. Inde nos, non recens *ſumus* miſeræ.
Nut. Nihilo magis ſcio, quæ volo audire.
P. Heu; quomodo tu mihi poſſes dicere, quæ me oportet dicere?
Nut. Non ſum vates ad obſcura clarè cognoſcenda.
Ph. Quid *eſt* hoc, quod Viros dicunt amare?
Nut. Idem, ô filia, eſt dulciſſimum & ſimul acerbiſſimum.
Ph. Nos ſumus re expertæ alterutrum.
Nut. Quid ais? amas, ô filia, aliquem hominem?
Ph. Quis nam eſt ille Amazonis filius?
Nut. Hippolytum dicis? *Ph.* Ex te hæc, non ex me audis.
Nut. Heu me, quid dicis, filia? Ut me perdidiſti!
Mulieres, intolerabilia dicis. Non ſuſtinebo
Vivens: ingratam diem, intueor lucem inviſam.
Abjiciam, relinquam corpus, diſcedam
Ex hâc vitâ moriens. Valete; non vivo ego amplius.
Continentes enim non volentes *quidem*, ſed tamen
Amant mala. " Venus igitur non eſt dea:
" Sed ſi quid aliud majus eſt deâ,
Quæ hanc & me, & domum perdidit.

ANTISTROPHICA.

Strophe.

Ch. 1 Audiviſti ô, audiviſti ô, non audiendos
2 Reginam morbos miſeros fatentem?
3 Utinam periiſſem ego; priuſquam tua amica
4 Excideret ex ſano mentis ſtatu: heu mihi, mihi; heu, heu.
5 O miſera propter hos dolores.
6 O ærumnæ, quæ nutritis homines.
7 Periiſti, emiſiſti in lucem *tua* mala.
8 Quodnam perpetuum hoc tempus te manet?

Ἐκεῖθεν ἡμεῖς) ἐκ τῆς μεταγωγῆς τοῦ γένους δυστυχοῦμεν τὴν νόσον τοῦ ἔρωτος, ἀντὶ τοῦ προγονικὴν τινα δυστυχίαν δυστυχοῦντες τοῦτο πάσχομεν. Οὐδέν τι μᾶλλον) οὐδὲν πλέον ζῳ ἐκβιαζομένης ἔχω γνῶναι, ὃ βούλομαι ἀκοῦσαι, τουτέστι προφάσει τῆς νόσου. οὐδὲν μᾶλλον οἶδα ἀκοῦσαι ὃ βούλομαι. Πῶς ἂν σύ μοι) ἐπεὶ παχυτέρα τὸν νοῦν οὖσα ἡ γραῦς οὐ συνῆκε τὸ λεγόμενον ὑπὸ τῆς Φαίδρας, ἀγανακτοῦσα ἡ Φαίδρα φησί, πῶς ἂν δυνηθείης εἰπεῖν μοι ταῦτα, ἃ ἤδη ἐμὲ ἀποκεῖναι δεῖ; καὶ πῶς μοι λέγεις, ἃ λέγειν μέλλω; ἐπεὶ οὖν ὡς εἴρηται πολυμερῶς αἰνιξαμένη τὸ παχύτερον τῆς γραός, οὐκ ἠδυνήθη συμβαλεῖν. ὑποφυθεῖσα τὸ πάθος ἐξειπεῖν. εἰς τοῦτο ἀπορίας ἦλθεν, ὥστε ἐρωτᾶν αὐτὴν ἀφ' αὐτῆς ἤδη λέγειν. τοῦτο δὲ καὶ τὸ αἰδεστικὸν τῆς γυναικὸς τεκμαίρει, καὶ τὸ κομματικὸν τῶν τοσούτων. κεκομμένον) δὲ ὁ στίχος οὗτος ὑπὸ Ἀριστοφάνους, καὶ εἰς παροιμίαν μετῆκται. Τί τοῦθ' ὃ δὴ) αἰνιγμάτων δ' αἰνιγματωδῶς αὐτῇ συμβάλλειν, αὐτὸ λοιπὸν ἐρωτᾷ τὴν ἔρωτος φύσιν, δηλοῦσα ὅτι ἐκ τινος θείας ὀργῆς τοῦτο νοσεῖ. Ὅστις ποθ' οὗτος) πιθανώτατα παρέδραμε τὸ ὄνομα, ἤτοι αἰδουμένη. ἢ διὰ τούτου σημαίνειν θέλουσα, ὡς οὐκ ἐξ εἰδήσεως, οὐδὲ ἀπὸ τρυφῆς καὶ συνηθείας αὐτοῦ ἐρᾷ, ἀλλὰ χόλῳ τῆς Ἀφροδίτης, οὐ τῷ κάλλει τοῦ νέου. οἱ σώφρονες γὰρ οὐχὶ θέλοντες κακῶν ἐρῶσιν, ἀλλ' ἀναγκαζόμενοι. Σοῦ τάδ' οὐκ ἐμοῦ) ἀρεστὰ δὲ καὶ ἡ ἄρνησις μετὰ τὴν ὁμολογίαν τὴν σαφῆ. Οἴμοι τί λέξεις) σαφῶς ἀκούσασα τοῦ ἔρωτος, λοιπὸν θρηνεῖ ἐπὶ τὴν ὑπερβολὴν τοῦ πάθους. κομματικὴ δὲ ἡ διάνοια, ὥσπερ ἐκπεπληγμένης τῷ θαύματι. Οὐκ ἄρ' ἦν θεός) θεὸν γὰρ κυρίως φησὶ τὸν μετὰ τοῦ δυνατοῦ καὶ τὸ προστατικὸν ἔχοντα τῶν δυναστευομένων. μείζονα ἦν αὐτὴν θεοῦ, καθὸ μόνον ἐνδείξασθαι δύναμιν δύναται ὁ προστατεύων. Ἄϊες ὦ) ἐκπλαγεῖς ὁ χορὸς τὴν ὑπερβολὴν τοῦ πάθους, θρηνεῖ οἴκτιστον ἅμα καὶ δηλοῖ τὸ συμβὰν καὶ τὸ θρηνητικόν, ὃ διὰ μέσου κείμενον οἰκείως ὡς λυπουμένης, οὐκ εὐαπόδεκτον ἀποτελεῖ τὸ σχῆμα τοῦ λόγου, διαφθείρει τι ῥήμασιν αὐτὸ κατασπᾷ. τὸ τῶν λυπουμένων ἦθος μιμούμενος, ὅσοι τὰ αὐτὰ καταπλήγουσι πρὸς πλείονα ἐνδείκνυσιν τῶν ἑαυτῶν κακῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ἤκουσας φησὶ τὰ ἀνήκουστα καὶ δυστυχῆ πάθη τῆς τυράννου θρηνούσης καὶ λεγούσης. πρὸς ἀλλήλας δὲ φασίν, οὐχ ὡς ἀγνοοῦσαι τὰ λεχθέντα, ἀλλὰ πρὸς πλείονα σύστασιν καὶ ἐνδείκνυσιν τοῦ πάθους. οἰκειότατα δὲ μέσον παρεντίθησι τὸ θρηνητικόν, ὡς ἂν τῇ λύπῃ κωλυομένη ἀναρτῆσαι τὴν διάνοιαν. Ἀνήκουστα δὲ) τὰ μήτε ἀκοῆς ἄξια, τὰ ἄρρητα. 369. Τίς σε παναμέριος) τίς ἄρα σε χρόνος ἐκ πάντων τῶν ἡμερῶν οὕτως ἐξεδέξατο, ᾧ τὰ τῆς

ANNOTATIONES.

V. 345. Φεῦ) Extra carmen ponitur. Vid. *Hecub.* v. 1116.

V. 352. Σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις) Ita aliàs, Σὺ δὲ λέγεις ταῦτ', οὐκ ἐγώ. Modus loquendi in Sacris Literis pauló frequentior, ut inter cætera D. *Joban* c. 18. v. 37. Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος, Οὐκοῦν βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησοῦς, Σὺ λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ. Item. D. *Matth.* c. 27. v. 11. Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Ἡγεμών, λέγων, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ, Σὺ λέγεις. Vid. quomodo locus ex *Platonis Alcibiade* ſit illuſtratus per hunc locum, *M. Anton. Mureti* Var. Lection. l. 5. c. 20. *Joſua Barnes.*

V. 355. Εἰσορῶ) Rectè manet; *Scaliger* itaque cùm legebat εἰσορᾷς, oblitus eſt *Nutricem* loqui (quæ ἡ τροφὸς dicitur) vel certè *Phædram*, ut nunc certis rationibus ordinavimus. *J. Barnes.*

V. 357. Οὐκ ἔτ' εἴμ' ἐγώ) εἰμὶ pro ζῶ, *ſum* pro *vivo* frequenter apud Authores reperias. Ita infrà hujus Fab. v. 1162. Ἱππόλυτος οὐκ ἔτ' ἐστίν. Ita *Suppl.* v. 1139. —Οὐκ ἔτ' εἰσὶ σοι, μῆτερ τέκνα. Sic D. *Matth.* c. 2. v. 18. Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. *Lucian.* in Tyrannicidâ —Μὴ τοίνυν ἀμφιβάλλετε ὅτι πρὸ τοῦ τέρμα τοῦ τυραννοῦ, μηδ' ἐξέταζε, ὅπως ἀπέθανεν. ἀλλ' εἰ μηκέτ' ἔστιν, εἰ δι' ἐμὲ τὸ μηκέτ' εἶναι ἔχει. Ante omnes *Homerus* Iliad. χ. v. 384. Ἠὲ μένειν μεμάασι καὶ Ἕκτορος οὐκ ἔτ' ἐόντος.
Vid. *Sebaſtian. Pfochen.* de Græc. Linguæ N. T. Puritate. *Joſua Barnes.*

V. 359. Κύπρις οὐκ ἄρ' ἦν θεός, Ἀλλ' εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ) Ita Poeta noſter frequenter Amoris vim extollit & præcipuè in hoc Tetraſticho à *Stobæo* laudato

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν
Καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
Ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὢν
Οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

Quos verſus imitatus eſt *Cecilius* apud *Ciceronem Tuſculan.* l. 4.

(*Amorem*) —Deum qui non ſummum putat,
Aut ſtultum aut rerum imperitum exiſtimo:
Cui in manu ſit, quem eſſe Dementem velit,
Quem ſapere, quem inſanire, quem in morbum injici;
Quem contra Amari, quem acceríri, quem expeti.

Vid. de hâc re *P. Victorii* Variar. Lection. l. 12. c. 4. *J. Barnes.*

ἔρωτος

ἑρπετὸς νοήσασα ἐξέφηνας; ὁ ἐν μέσῳ τῶν ἡμερῶν ἐς ταύτην συνέβη. ὦ ὄντως, ἐν τίνι ἄρα χρόνῳ, καὶ ποίας ἡμέρας αὕτη ἡ δυστυχὴς ἡμέρα ἐξεδέχετό σε;

9 Τελευτήσεται τι καινὸν δόμοις.
10 Ἄσημα δ' οὐκ ἔτ' ἐστὶν, οἷ φθίνει τύχα
11 Κύπριδος· ὦ τάλαινα παῖ Κρησία.

Ἴαμβοι.

Φα. Τροιζήνιαι γυναῖκες, αἳ τόδ' ἔσχατον
Οἰκεῖτε χώρας Πελοπίας προνώπιον,
Ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ
Θνητῶν ἐφρόντισ', ᾗ διέφθαρται βίος.
Καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν
Πράσσειν κάκιον. Ἔστι γὰρ τό γ' εὖ φρονεῖν
Πολλοῖσιν, ἀλλὰ τῇδ' ἀθρητέον τάδε.
" Τὰ χρήστ' ἐπιστάμεσθα, καὶ γιγνώσκομεν,
" Οὐκ ἐκπονοῦμεν δ'. οἱ μὲν ἀργίας ὕπο,
" Οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
" Ἄλλην τιν'. εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,
" Μακραί τε λέσχαι, καὶ σχολὴ τερπνὸν κακόν,
" Αἰδώς τε. δισσαὶ δ' εἰσίν· ἡ μὲν οὐ κακή,
" Ἡ δ' ἄχθος οἴκων. εἰ δ' ὁ καιρὸς ἦν σαφής,
Οὐκ ἂν δύ' ἤστην ταῦτ' ἔχοντε γράμματα.
Ταῦτ' οὖν ἐπειδὴ τυγχάνω φρονοῦσ' ἐγὼ,

9 Aliquid novi fiet in his ædibus.
10 Nō enī est ampliùs obſcurum, quomodo domū hæc perdat ſort.
11 Veneris: O miſera puella Creſſa.

Phædra.

Mulieres Trœzeniæ, quæ extremum hoc
Veſtibulum terræ Pelopiæ habitatis,
Jam ſæpe mecum aliàs noctis in longo tempore
Cogitavi, quomodo corrupta ſit hominum vita.
Et mihi videntur non ſecundum animi naturam, *at præter eam,*
" Deterius facere: eſt enim recta rerum cognitio
" Multis; Sed ſic ſpectanda *ſunt* hæc.
" Bona *quidem* tenemus & novimus,
" Sed non facimus: alii quidem propter ignaviam,
" Alii verò anteponentes voluptatem honeſto.
" Aliam aliquam Sunt enim multæ voluptates vitæ,
" Et longæ confabulationes, & ocium, jucundum malum,
" Et pudor. Sunt a. duo pudorum genera: alterū quidem, bonum:
" Alterū v. onus *i.e. calam.* domûs.
Quod ſi appareret, ubi opus eſſet,
Hæc non eſſent duo, cum habeant eaſdem literas.
Hæc igitur ego cùm cogitarem,

Τροιζήνιαι γυναῖκες) ἔσχατον γὰρ μέρος τῆς Πελοποννήσου ἡ Τροιζηνία πρὸς θαλάσσῃ, κατ' ἀντικρὺ τῆς Ἀττικῆς κειμένη. ἤδη δὲ λοιπὸν ἐγνωσμένη τῷ πάθει ἀρχομένη τῶν ἐπ' αὐτοῖς αἰνιγματωδῶν διανοιῶν, ἀπολογεῖσθαι διαρρήδην ἄρχεται, ὡς κατὰ φύσιν νοήσασα τὸν ἔρωτα, καὶ βουλομένη ἐγκρατῶς ἑαυτὴν ἀπελθεῖν. οἰκείως δὲ τοῖς ἀπολογουμένοις πολλῷ τῷ γνωμικῷ χρῆται. Προνώπιον δὲ, προέδραν. κατὰ γὰρ τὴν Πελοπόννησόν ἐστιν ἡ Τροιζηνία, πρὸς ἀνατολάς. Ἤδη ποτ' ἄλλως) πολλάκις φησὶ διαγρυπνήσασα ἐν νυκτὶ, ἐσκόπησα πῶς διέφθαρται ὁ ἀνθρώπινος βίος. ἆρα ἐκ φύσεως ἐχόντων ἀνθρώπων τὸ ἁμαρτάνειν, ἢ ἐκ ῥᾳθυμίας. καὶ κρίνασα ἔγνων, ὅτι οὐκ ἐκ φύσεως πρόσεστιν ἡμῖν ἡ κακία. καὶ ἐκ τούτου δῆλον, ὅτι τὰ φυσικὰ πάντα πᾶσι παρέπεται, οἷον τὸ γελαστικὸν, τὸ ὁρᾶν, καὶ τὰ ὅμοια, καὶ οὐκ ἄν τινα εὕροις χωρὶς τούτων. εἰ δὲ εὑρίσκεις ἀεὶ πολλοῖς ἀνθρώποις τὸ εὖ φρονεῖν καὶ διαγρυπνεῖν, δηλονότι οὐ φύσει πρόσεστιν ἡμῖν τὸ φαῦλον. οὐ γὰρ ἂν εὑρίσκοντο πολλοὶ καὶ ἀγαθοί. Ἄλλως. Ἤδη ποτ' ἄλλως) χωρὶς τοῦ τυχεῖν τούτου δηλονότι. πιθανῶς δὲ ἐν νυκτὶ φησὶν ἐνθυμηθῆναι, ὁπότε πάσης τῆς τῶν αἰσθήσεων ἀπηλλαγμένη ἀλλοιώσεως ἡ ψυχὴ, φιλοσοφωτέροις ἐγκαταγίνεται ζητήμασι. πιθανῶς δὲ καὶ τὸ πρᾶγμα ἀναπλαττομένην αὐτὴν ἐνθυμεῖσθαι πεποίηκε. τότε γὰρ γνωμικώτεροι γινόμεθα τῆς φύσεως ἡμᾶς διὰ τοῦ πάθους ἐκπαιδευούσης. 377. Καί μοι δοκοῦσιν) οὐκ ἀγνοίᾳ μοι δοκοῦσιν οἱ ἄνθρωποι ἐκπίπτειν εἰς τὰ ἁμαρτήματα, ὅτε γε πολλοὶ καὶ εὖ φρονοῦντες καὶ αἰσθανόμενοι κακῶν τε καὶ ἀγαθῶν, ἐκπίπτουσιν εἰς τὸ κακόν. ἐπειδὴ τοίνυν οὐκ ἀγνοίᾳ, ἀλλὰ γινώσκοντες ἁμαρτάνομεν, ταύτῃ σκεπτέον τοῦ βίου τὴν λύμην, τί ἐστι. Γνώμης) τῆς γνώσεως, οὐχ ἁμαρτίᾳ δὲ τῆς γνωμικῆς φύσεως, ὅτε γε πολλοὶ αἰσθανόμενοι τὸ ἀγαθὸν προκρίνουσιν αὐτοῦ τὸ κακόν. Τὰ χρήστ' ἐπιστάμεσθα) δεῖξαι βούλεται, ὅτι οὐκ ἀγνοίᾳ τοῦ καλοῦ τὸ κακὸν πράττομεν. ἅπερ μὲν οὖν χρηστὰ καὶ χρήσιμα τῷ βίῳ καθέστηκεν, ἴσμεν. ἐκπονεῖν δὲ αὐτὰ οὐ θέλομεν, διαφόροις ἡδοναῖς ἡττώμενοι. ὑπό τινος γὰρ ἀργίας καὶ ὄκνου τοῦ ἐκπονεῖν τὰ καλὰ, τὰ κακὰ μετερχόμεθα. ὅσῳ γὰρ δυσπόνητός ἐστιν ἡ ἀρετὴ, τοσοῦτον ἡ κακία εὐάλωτος. καὶ Ἡσίοδος, † Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι. Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν. 382. Οἱ δ' ἡδονὴν προθέντες) καλῶς τὰς αἰσχρὰς ἡδονὰς ἀπεσιώπησεν, ὡς ἤδη διὰ τούτων ἐκείνας σημάνασα. αὗται γὰρ ἐκείνων εἰσὶ ποιητικαί. σχολὴ δὲ καὶ ὁμιλία προσκαλοῦνται εἰς ἀπορρήτους ἡδονὰς προκαλοῦνται τὴν φύσιν. οὐ γὰρ δὴ μία, ἀλλὰ διάφοροι ἡδοναί εἰσιν. εἶτα μεταξὺ διηγεῖται τὰς ἀρχὰς τῶν κακῶν. Λέσχαι) ὁμιλίαι καὶ σχολὴ, ῥᾳθυμία, ἀργία. ἡ σχολή φησιν ἡδεῖα μὲν τῇ ἀναπαύσει, ἐπιβλαβὴς δὲ τῷ ἐπιζημίῳ καὶ ἀργῷ τοῦ σώματος, διὸ καὶ τερπνὸν κακὸν εἶπεν. Αἰδώς) ταῖς αἰσχραῖς ἡδοναῖς συγκαταριθμοῦσι τὴν αἰσχρὰν αἰδῶ. διαφθείρει γὰρ τοὺς κεκτημένους, ὥσπερ ἐκεῖναι τοὺς ἐμπεσόντας αὐταῖς αὐτοὺς ἀπολλύουσιν. Ἡ δ' ἄχθος οἴκων) τί φῂς Εὐριπίδη, κακὴ ἡ αἰδώς; ναὶ φησὶν, ἔστιν ὅτε κακή. δισσαὶ γάρ εἰσιν αἰδοῖ. εἰ δὲ ἦσαν συγκαίρως αἰδοῖ, οὐκ ἂν δύο ἦσαν ἑνὶ ὀνόματι καλούμεναι. ἴσως δὲ τὸ Ὁμηρικὸν ἀνέγνω Εὐριπίδης, Ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησιν. Ἄλλως. εἰ δ' ὁ καιρὸς ἦν σαφὴς, ἐπεί φησιν ὁ Ὅμηρος μίαν μὲν εἶναι τὴν αἰδῶ, δισσὴν δὲ δύναμιν ἔχειν. Αἰδὼς, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι) τὴν διαφωνίας ἰώμενος φησὶν, ὅτι ἡ αἰδὼς ἡ ἄγνοια παρὰ τὴν ἡμετέραν γίνεται ἄνοιαν. ἡμεῖς γὰρ οὐ κατὰ καιρὸν αὐτῇ χρώμενοι, διπλῆν ἡγούμεθα τὴν μίαν. ἤδη γὰρ τὴν εὔκαιρον γινομένην ὀνομάζει αἰδῶ. τὸ δὲ ταῦτ' ἔχοντε γράμματα, οἷον ἑνὶ τόνῳ καὶ φθόγγῳ προσαγορευόμενα. 388. Ταῦτ' οὖν ἐπειδὴ) ἐπειδὴ τοίνυν τὴν φύσιν ἀμείνω πράγματος ἐπέσχηκεν γινώσκουσα καὶ πάθει ἐκ

† Ἐργ. v. 285.

ANNOTATIONES.

V. 371. Ἄσημα) *Atticè* pro ἄσημον. Vid. ſuprà ad *Phœniſſ.* v. 1001. & *Hecub.* v. 1240. & infrà ad *Herc. Fur.* v. 583.

V. 374. Προνώπιον) Quaſi προπρόσωπον. Vide *Scholiaſt.* ad *Medeam* v. 624. Et *Euſtath.* in *Homer.* fol. 82. lin. 35.

V. 380. Τὰ χρηστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν, Οὐκ ἐκπονοῦμεν δ') Hic Poeta putatur obliquè taxare ſuos *Athenienſes*, de quibus tritum hoc erat, " *Athenienſes* quidem ſcire, quæ ſint agenda, " verum non facere. Unde *Laco* ille apud *Plutarchum*, in *Lacon. Apophthegm.* Ναὶ τὼ Σιὼ, ἴσαντι μὲν οἱ Ἀθηναῖοι τὰ καλά, οὐ πράττοντι δέ. Hoc de *Medeâ Ovidius* —— Video meliora proboque Deteriora ſequor. —— Sed in hâc parte, Nos omnes ſumus *Athenienſes*, *Medeæque*, *Phædræque*. *Joſua Barnes.*

V. 385. Αἰδώς τε· δισσαὶ δ' εἰσίν· ἡ μὲν οὐ κακή, Ἡ δ' ἄχθος οἴκων) Præter ea, quæ *Scholiaſtes* de hoc loco profert, obſervandum eſt, quòd per lapſum memoriæ *Henricus Stephanus* verſum hunc *Alcæo* tribuit; de quâ re videſis *Theodori Canteri* Variar. Lection. l. 2. c. 18. Αἰδὼς verò ἀμφοτερίζει, hoc eſt in *bonam* & *malam* partem accipitur, ut *Homerus* Iliad. ω. v. 44. —— Οὐδέ οἱ Αἰδὼς Γίνεται, ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι. Quem locum ita *Euſtathius* proſequitur, Τὸ δὲ περὶ τῆς Αἰδοῦς γνωμικὸν, ὡς ἡ διαλῦσαι δεῖ ἡ Αἰδὼς διπλῆ ἐστι. Ἡ μὲν, μέγα βλάπτουσα, ἡ δὲ ὠφελοῦσα. Καὶ παρ' Ἡσιόδῳ κεῖται, καὶ Εὐριπίδης δὲ οὕτω δοξάζει. Γνωμολογεῖ δὲ οὕτω καὶ ἡ Ὀδύσσεια. Quæ *Euſtathii* verba quatenùs *Euripidem* ſpectant, hunc ipſum locum deſignant, *Heſiodum* autem reſpiciunt ad Ἔργων καὶ Ἡμερῶν v. 315.

Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
Αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.

Locum autem *Odyſſeæ* quem *Euſtathius* vult, videſis *Odyſſ.* ρ. v. 347. *Joſua Barnes.*

V. 387. Ταῦτ' ἔχοντε γράμματα) Ἔχοντε *Atticè* pro ἐχόντων in Duali. Ita *Homer.* Iliad. θ. v. 455. De *Junone* & *Minervâ* πληγέντε κεραυνῷ dixit, pro πληγεῖσαι. In quem locum, ita *Euſtathius* fol. 723. l. 13. Ὅτι τὸ, πληγέντε κεραυνῷ, ῥηθὲν ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς, ὡς καὶ προοδεδείχαμεν, Ἀττικῶς εἶπεν Ἀριστεῖς, ὁ ἐν ἑτέροις ἐσημειώσαμεν. Καὶ Ἡσίοδος δὲ, οὕτω φησὶ, προλιπόντ' ἀνθρώπους Αἰδὼς καὶ Νέμεσις. Καὶ Εὐριπίδης, ταῦτ' ἔχοντε γράμματα, ἤγουν ἔχουσαι αἱ δύο Αἰδοῖ. Καὶ ὁ τοῦ Σοφοκλέους δὲ Ἠλέκτρα, ἐν τοῦ αὐτῷ καὶ τῷ ἀδελφῷ λέγει, Ἴδεσθε τὼ κασιγνήτω, ἤγουν ταύτας τὰς ἀδελφὰς, τούτω χὰ τιμᾶν, ὦ ψυχῆς ἀφειδήσαντε, ὅ ἐστι, τούτας ψυχῆς ἀφειδησάσας. Hæc ille. *Joſua Barnes.*

[illegible]

ἄνθρωποι τὸν βίον ἑαυτῶν διαφθείρουσιν, ἐδοκίμαζον τοῦτο, ἐλπίδα προφάσεις ὅπως ἰσχυρὰς οὐκ ἔδει [illegible] τοιοῦτον, ὥστε ἐκ τῶν φρενῶν καὶ τῆς τοσαύτης σωφροσύνης μεταστῆσαί με εἰς πορνείαν. οὐκ ἀπεικότως δὲ τοῦτο φησί, ἀλλὰ πρὸς τὸ [illegible] δεῖξιν τοῦ μὴ μόνον οὐ κατὰ φύσιν, ἀλλὰ καὶ παρ' ἐλπίδα νοσεῖν ἔρωτα.

Οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ διαφθερεῖν
Ἔμελλον, ὥστε τοὔμπαλιν πεσεῖν φρενῶν.
Λέξω δὲ καὶ σοὶ τῆς ἐμῆς γνώμης ὁδόν.
Ἐπεί μ' ἔρως ἔτρωσεν, ἐσκόπουν, ὅπως
Κάλλιστ' ἐνέγκαιμ' αὐτόν. ἠρξάμην μὲν οὖν
Ἐκ τοῦδε σιγᾷν τήνδε, καὶ κρύπτειν, νόσον.
« Γλώσσῃ γὰρ οὐδὲν πιστόν, ἣ θυραῖα μὲν
« Φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται·
« Αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.
« Τὸ δεύτερον δὲ τὴν ἄνοιαν εὖ φέρειν,
« Τῷ σωφρονεῖν νικῶσα, προὐνοησάμην.
« Τρίτον δ', ἐπειδὴ τοῖσιν οὐκ ἐξήνυτον
« Κύπριν κρατῆσαι, κατθανεῖν ἔδοξέ μοι
« Κράτιστον· οὐδεὶς ἀντερεῖ βουλεύμασιν.
« Ἐμοὶ γὰρ εἴη, μήτε λανθάνειν καλά,
« Μήτ' αἰσχρὰ δρώσῃ μάρτυρας πολλοὺς ἔχειν.
Τὸ δ' ἔργον ᾔδειν, τὴν νόσον τε δυσκλεᾶ,
Γυνή τε πρὸς τοῖσδ' οὖσ', ἐγίγνωσκον καλῶς,
« Μίσημα πᾶσιν. Ὡς ὄλοιτο παγκάκως,
« Ἥτις πρὸς ἄνδρας ἤρξατ' αἰσχύνειν λέχη
« Πρώτη θυραίους. ἐκ δὲ γενναίων δόμων
« Τόδ' ἦρξε θηλείαισι γίγνεσθαι κακόν.
« Ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ,
« Ἦ κάρτα δόξει τοῖς κακοῖς εἶναι καλά.
« Μισῶ δὲ καὶ τὰς σώφρονας μὲν ἐν λόγοις,
« Λάθρᾳ δὲ τόλμας οὐ καλὰς κεκτημένας.
« Αἳ πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
« Βλέπουσιν εἰς πρόσωπα τῶν ξυνευνετῶν;
« Οὐδὲ σκότον φρίσσουσι τὸν ξυνεργάτην,
« Τέρεμνά τ' οἴκων, μή ποτε φθογγὴν ἀφῇ.
« Ἡμᾶς γὰρ αὐτὸ τοῦτ' ἀποκτείνει, φίλαι,

Sperabam me nullo pharmaco corrumpi
Poſſe, ut facerem præter animi ſententiam.
Sed dicam tibi etiam meæ mentis viam:
Poſtquam me vulneravit amor, conſiderabam, quâ ratione
Pulcherrimè ferrem ipſum. Itaque cœpi
Ex eo tempore occultare & celare hunc morbum.
" Nam nihil fidendum linguæ, quæ prolatas quidem
" Hominum cogitationes corrigere novit:
" Ipſa verò ſibi plurima mala accerſit.
" Secundò verò hanc amoris amentiam fortiter ferre,
" Calliditate vincens eam, antè decreveram.
" Tertiò autem, quando modis iſtis non potui
" Venerem, *i.e. amorem* ſuperare, mori viſum eſt mihi
" Optimum: Nullus *his meis* obloquetur conſiliis.
" Mihi enim contingat, ut neque lateant præclara *mea facinora*,
" Neque ſi turpia *facinora* faciam, teſtes multos habeam.
Ego quidem nôram hanc rem, & morbum iſtum infamem,
Mulierque præterea cùm ſim, ſciebam bene,
" Omnibus rem eſſe inviſam. Utinam *illa* pereat peſſimè,
" Quæcunque cœpit polluere *conjugales* lectos *congreſſa* cù viris
" Prima externis. Ex nobilibus autem familiis
" Hoc malum cœpit in fœminas ſpergi.
" Nam cùm turpia placent iis, qui habentur boni,
" Certè valde honeſta videntur eſſe malis.
" Odi autem eas, quæ palam verbis quidem ſunt caſtæ,
" Clàm verò audaciæ facinora non honeſta patrant.
" Quæ quonam modo, ô domina marina Venus,
" Intuentur in vultus *ſuorum* conjugum?
" Neque horrent tenebras malorum cooperatrices,
" Tectaque ædium, ne quando vocem edant.
" Nos enim hoc ipſum interficiet, ô amicæ,

Ἐπεί μ' ἔρως ἔτρωσεν) ὅτι λοιπὸν κατασκευαστικώτερον αὐτὴν τὴν διοίκησιν τῆς νόσου διηγεῖται. ἠρξάμην μὲν οὖν φησιν εὐλαβεῖσθαι σιγᾷν, ἵνα διὰ τῆς ἡσυχίας λάθῃ μοι γένηται. Γλώσσῃ γὰρ) ἔοικε τὸ συμβαῖνον ἐκ τῆς γλώττης δι' ἄλλων προστεθεικέναι. καθὸ πολλῶν τοὺς ἀκούσαντας ἀπίστους γινομένους, αὕτη τῆς προδοσίας αἰτία νομίζεται. ἄμεινον φησὶν ἡγησάμην τὸ σιωπᾶν, εὐλαβουμένη μὴ γλώσσῃ χρήσωμαι σύμβουλον, λόγῳ μὲν [illegible] τὰς ἀρετὰς, ἔργῳ δὲ ἀκόλαστον. δύναται γὰρ τὸ παραινούμενον σύμβουλον, ὅταν τις ἕτερον νουθετῇ ἐν φρενί, ἄλλο δ' εἴπῃ. ἄνοιαν δὲ τὴν πορνείαν καλεῖ. ἐπεὶ καὶ τὸ ἐναντίον σωφροσύνη καλεῖται, ἐν ᾗ σώζομεν τὰς φρένας. Τρίτον δ' ἐπειδὴ) ἐπειδὴ τοῖς β' τρόποις οὐδὲν ἴσχυον πρὸς ἐγκράτειαν τοῦ ἔρωτος, ὅτι τῇ σιωπῇ, ὅτι τῇ σωφροσύνῃ, ἔδοξέ μοι ἀποθανεῖν, καὶ οὐδεὶς ἀντιλέξει τοῖς βουλεύμασιν, ὡς οὐ καλῶς ἐσκεψάμην, ἢ σιωπᾶν, καὶ σωφρονεῖν, ἢ ἀποθανεῖν. Γυνὴ δὲ) τὸ ἑξῆς, πρὸς τοῖσδε οὖσα γυνὴ προῄδειν τὴν νόσον ταύτην δυσκλεᾶ, καὶ τὸ ἔργον τῆς πορνείας, μίσημα ὂν παρὰ πᾶσι. τὸ δὲ γυνὴ οὖσα, ἐπειδὴ μάλιστα αἱ γυναῖκες μισεῖν ὀφείλουσι τὴν πορνείαν, αἱ μὲν δι' αὐτὴν μεμισημέναι ἀνδράσι τε καὶ γυναιξίν, αἱ δὲ φεύγουσαι τὴν ἐξ αὐτῆς αἰσχύνην. Ἄλλως. καὶ τοῦτο οὐχ ἁπλῶς γνῶσιν ἔξωθεν ἐπιστάμην, ἀλλὰ καὶ γυνὴ πεφυκυῖα ἀκριβῶς εἶχον τοῦ μίσους τούτου τὴν γνῶσιν, ὥς τε καὶ μέχρι τοῦ νῦν, ὅτε μέχρι τοῦ νοσῆσαι καὶ νικηθῆναι τῷ πάθει, οὐδέπως ἂν κατηγορούμην τῷ πρώτῳ [illegible]. Ἄλλως. μίσημα πᾶσι, ἀκριβῶς. ἔγνω ὁ Εὐριπίδης τὴν ῥίζαν τῆς πορνείας ἄνωθεν † ἐξ εἰδῶν συστᾶσαν τὸ ἐξαπλῶσθαι εἰς πολὺ τὸ κακόν. εἰ γὰρ ἐβεβλαστήκει ἐξ εὐτελῶν, τάχεως ἂν ἐξεκόπη, καὶ οὐκ ἐξηλοῦτο. 408. Ἥ τις πρὸς ἄνδρας) Ἡρωδιανὸς ἐν τῷ μονοβίβλῳ τῷ περὶ [illegible] καὶ προσηγορικῶν, λέγει εἶναι τὰς πρώτας πορνευσάσας θυγατέρας Εὐρυπύλου, οὐ τοῦ Κῴου, ἀλλ' ἄλλου τινός. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν, Μορφὴ καὶ Κλυτή. ὡς φιλόσοφος δὲ συμβάλλει τοῦτο, ὅτι εὐγενεῖς καὶ πλούσιαι κατήρξαντο τῆς πορνείας, οὐ μόνον ἐκ τοῦ [illegible], ὅτι τὸν ἔρωτα [illegible], ἀλλὰ καὶ ἐκ τοῦ ἐπιζηλωθῆναι τὸ ἁμάρτημα ἐξ εὐτελοῦς τινὸς γινόμενον. Ὅταν γὰρ αἰσχρὰ) ἐπεξειργάσατο τὸ τοιοῦτον οὐ μόνον ἀπὸ τῆς κολακείας, ἀλλὰ καὶ ἐκ τῆς τῶν ἁμαρτανόντων ἀξιοπιστίας. ὅταν γὰρ αἰσχρὰ ποιῶσιν αἱ βέλτισται, πάντως αἱ εὐτελεῖς μιμοῦνται, καὶ ἀκολουθοῦσιν ἐκείναις. εἰ γὰρ τοῖς ἀγαθοῖς τὰ αἰσχρὰ νομίζεται καλά, πολλῷ μᾶλλον τοῖς κακοῖς. Αἳ πῶς ἄρα) πῶς οὐχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων τὴν [illegible] φύσιν ἔλεγχον δεδοίκασι, πῶς τολμῶσιν ὁρᾶν τοὺς ἄνδρας μονονουχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων [illegible] φύσιν ἔχειν, δεδοικυῖαι τὴν νύκτα; θεὸς γὰρ ἐστι θεοῖς ἀνακείται.

† ἢ ἐκ μεγίστων συστᾶσαν;

ANNOTATIONES.

V. 391. Τῆς ἐμῆς γνώμης ὁδόν) Eandem locutionis formulam Vid. ſupra ad v. 290.

V. 410. Ἦρξε) pro ἤρξατο, ἀρχὴν ἔλαβε. Sic *Homer.* Iliad. *ι.* v. 371.—ἦρχ' ἀγορεύειν.

V. 413. Μισῶ δὲ καὶ τὰς &c.) Tale quid *Sophocles* in *Oedip. Colon.* in χρησμολόγας illos jacit, οἳ λόγῳ μὲν ἐσθλοί, τοῖσι δ' ἔργοισιν κακοί. *Hom.* Iliad. *ι.* v. 312.

Ἐχθρὸς γάρ μοι κεῖνος, ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ βάζει.

V. 418. Τέρεμνα) Alias τέραμνα. Vide hujus Fab. v. 536. & 768. & *Alceſt.* v. 457. Vid. etiam in Τέραμνα apud *Euſtathium.* Hæc *Æmilius Portus.* Et tamen Τέρεμνα æquè extat, ut τέρεμνα, οἰκήματα, *Heſych.* & *Phavorinus.* *Lucianus* in libello περὶ ἀπαιδεύτου dicto, hoc Diſtichon citat, velut ex *Euripidis* Phædrâ; cùm ſit ex *Hippolyto*, ab illâ tamen prolatum; quod ab Authoribus fieri ſolere obſervamus ad Fabulam, *Atreus*, & ad Fabulam *Capaneus* dictam. Et tamen à nonnullis Fabula, *Phædra* dicta, *Euripidi* attribuitur, ut ad Fragmenta notamus; hujuſmodi tamen *Johannes Meurſius* in *Euripidis* Fabularum Catalogo nihil agnoſcit. Solus *Grotius* in Excerptis *Stobæum* laudat hanc Fabulam *Euripidis* laudantem, quod tamen is non facit, nè quidem in ipſius *Grotii* Editione fol. 245. Ibi enim poſt, *Sophocles* in *Trachiniis*, ſequitur, *Idem Phædrâ*. *Joſua Barnes.*

" Ὡς

" Ὡς μή ποτ' ἄνδρα τὸν ἐμὸν αἰσχύνασ' ἁλῶ,
" Μὴ παῖδας, οὓς ἔτικτον· ἀλλ' ἐλεύθεροι
" Παῤῥησίᾳ θάλλοντες, οἰκοῖεν πόλιν
" Κλεινῶν Ἀθηνῶν, μητρὸς οὕνεκ' εὐκλεεῖς.
" Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
" Ὅταν ξυνειδῇ μητρὸς, ἢ πατρὸς κακά.
" Μόνον δὲ τοῦτο φάσ' ἁμιλλᾶσθαι βίῳ,
" Γνώμην δικαίαν κἀγαθὴν ὅτῳ παρῇ.
" Κακοὺς δὲ θνητῶν ἐξέφην', ὅταν τύχῃ,
" Προθεὶς κάτοπτρον, ὥστε παρθένῳ νέᾳ,
" Χρόνος. παρ' οἷσι μή ποτ' ὀφθείην ἐγώ.
Χο. Φεῦ, φεῦ· " τὸ σῶφρον ὡς ἁπανταχοῦ καλὸν,
" Καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς κομίζεται.
Τρ. Δέσποιν', ἐμοί τοι συμφορὰ μὲν ἀρτίως
Ἡ σὴ παρέσχε δεινὸν ἐξαίφνης φόβον.
" Νῦν δ' ἐννοοῦμαι φαῦλος οὖσα. κἀν βροτοῖς
" Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.
Οὐ γὰρ περισσὸν οὐδὲν, οὐδ' ἔξω λόγου
Πέπονθας· ὀργαὶ δ' εἰς σ' ἐπέσκηψαν θεᾶς.
Ἐρᾷς; τί τοῦτο θαῦμα; σὺν πολλοῖς βροτῶν.
Κἄπειτ' ἔρωτος οὕνεκα ψυχὴν ὀλεῖς;
Οὐκ ἄρα γ' οὐ δεῖ τοῖς ἐρῶσι τῶν πέλας,
Ὅσοι τε μέλλουσ', εἰ θανεῖν αὐτοὺς χρεών·
" Κύπρις γὰρ οὐ φορητὸς, ἢν πολλὴ ῥυῇ.
" Ἣ τὸν μὲν εἴκονθ' ἡσυχῇ μετέρχεται·
" Ὃν δ' ἂν περισσὸν καὶ φρονοῦνθ' εὕρῃ μέγα,
" Τοῦτον λαβοῦσα, πῶς δοκεῖς, καθύβρισε.
" Φοιτᾷ δ' ἀν' αἰθέρ', ἔστι δ' ἐν θαλασσίῳ
" Κλύδωνι Κύπρις· πάντα δ' ἐκ ταύτης ἔφυ·
" Ἥδ' ἐστὶν ἡ σπείρουσα, καὶ διδοῦσ' ἔρον,
" Οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν' * ἔκγονοι.
" Ὅσοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων *al. ἔγγονοι.

" Ne unquam deprehendar dedecoraſſe meum maritum;
" Nec liberos, quos peperi: ſed ingenue
" Libertate florentes incolant urbem
" Nobilium Athenarum, clari propter matrem.
" Servum n. reddit virum, quamvis quis audaci animo ſit præd.
" Quùm ſibi conſcius eſt maternorū, aut paternorum ſcelerum.
" Solum autem hoc aiunt certare cū vitâ *longeque præſtare*,
" Si cui juſta & honeſta mens adſit.
" Malos autem homines oſtendit, quando contigerit,
" Proponens ſpeculum, ut virgo juveni,
" Tempus. Apud quos ego utinam nunquam videar.
Ch. Heu heu," quam ubique pulchra eſt modeſtia:
" Et egregiam gloriam inter homines affert.
Nut. Domina mihi quidem calamitas modò
Tua repentè præbuit ingentem metum:
" Nunc verò agnoſco me eſſe timidam; inter homines autem
" Cogitationes poſteriores aliquando ſunt prudentiores.
Nihil enim ſingulare, *nihil novi* neque præter rationē *quidquam*
Paſſa es, *tibi contigit*. Ira enim Deæ *Veneris* in te eſt graſſata.
Amas? quid hoc eſt mirum? cum multis hom. *hoc habes commune*.
Deinde vero amoris causâ animam perdes?
Haud igitur, haud opus eſt *amore* illis, qui alios amant,
Et quotquot ſunt amaturi, ſi ipſos mori ſit neceſſe.
" Nam Venus non eſt tolerabilis, ſi cum magno impetu irruat.
" Quæ cedentem quidem leviter perſequitur:
" Quem verò ſuperbum, magnificeque *de ſe* ſentientem invenerit,
" Hunc arreptum, (quomodo putas) duriter tractat!
" Vadit enim per aerem, eſt & in marinis
" Fluctibus Venus. Omnia autem ex hâc ſunt nata.
" Hæc eſt quæ ſeminat, & dat amorem,
" Cujus *amoris* omnes in terrâ ſumus poſteri.
" Quicunque igitur ſcripta veterum

426. Μόνον δὲ τοῦτο) ὁ βίος ἤδη τοῖς πονηροῖς. ὡς Μένανδρος, Πράττει δ' ὁ κόλαξ ἄριστα πάντων· δεύτερα Ὁ συκοφάντης, ὁ κακοήθης τρίτα λέγει. παλαίειν ἐν τῷ βίῳ, καὶ ἁμιλλᾶται, ὅστις βούλοιτο δικαιοπραγεῖν, τῷ διαφανεῖ. πρὸς τὴν κοσμίαν πολιτείαν. ἢ ἐπειδὴ οἱ φαῦλοι, ἔτι τῶν ἀεὶ δικαιοπραγοῦς τινος ἀκούουσι, ζηλοῦσι ποτὲ τρόπῳ ὑποστελλόμενοι αὐτόν. παλαίει ἐν τοῖς φαύλοις ὁ ἀγαθός. Ἄλλως. μόνον τοῦτο νικᾷ φησὶ τὸν βίον, οὐ καλύπτεται ὑπ' αὐτοῦ, ἀλλὰ μετὰ θάνατον λάμπει τὸ τῆς σωφροσύνης. τοὺς γὰρ ἀκολάστους ἐλέγχει καὶ διγματίζει ὁ χρόνος, ὡς καὶ παρθένον κάτοπτρον, ὥστε δεῖ με μὴ τοῦ παρόντος μόνον ἀντιποιήσασθαι, ἀλλὰ καὶ τοῦ μετ' αὐτόν. Μόνον δὲ τοῦτο) τὸ κεκτῆσθαι, διάνοιαν ἀγαθὴν, ὡς οἱ ἔλεγον, ὅτι ἀθάνατόν τι ἔχει, καὶ ὡς ὅλον τὸν βίον συμμετρεῖσθαι. δεῖ μὲν ἔν, μὴ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος ἀντιποιεῖσθαι, εἰδότας, ὅτι ὥσπερ τοὺς ἀγαθοὺς ἐπιδεικνύει, οὕτω καὶ τοὺς πονηροὺς ἐλέγχει ὁ χρόνος. κάτοπτρον δὲ παρείκασε τὸ ἐν τῷ προϊόντι χρόνῳ ἐν νόμῳ τιμωρεία τῶν πρὶν ἁμαρτηθέντων, καθὸ παρελθόντων τῶν ἔργων αὐτῶν, ὥσπερ ἐν κατόπτρῳ τιμωρεῖ καὶ σκιὰς τῶν παλαιῶν αὐτῶν δρωμένων ἁμαρτημάτων. Ἄλλως. γνώμην δικαίαν, θαυμασίως ἔχειν ἀπολύτως ἐχρήσατο. 427. Ὅτῳ παρῇ) οὐ διαστολὴν ἐπιδεχομένη πλοῦτος καὶ πένητος, οὐ εὐφυοῦς καὶ εὐτελοῦς, ἀλλὰ καθολικωτέρα ὑπάρχουσα ἐπὶ πάντων. Κακοὺς δὲ θνητῶν) πρὸς οὕτως τὸ ἑξῆς, τοὺς κακοὺς τῶν θνητῶν ἐλέγχει ὁ χρόνος, ὅταν τύχῃ προθεὶς τὸ κάτοπτρον ὡς τῇ νέᾳ παρθένῳ, τουτέστιν ὅταν τύχῃ αὐτοὺς ἐλέγχων, καὶ φανεροποιῶν. Δέσποιν' ἐμοί τοι) ἐμοί φησιν ἀρτίως ἡ σὴ συμφορὰ ἀγγελθεῖσα δεινὸν φόβον ἐνέβαλεν. Ἄλλως. καλῶς ἐμιμήσατο τὸ τῶν γραῶν εὐμετάβολον, ὑποφοβοῦνται γὰρ καὶ θρασύνονται ταῖς συμφοραῖς. νῦν δ' ἐννοοῦμαι, εἰ καὶ εὐτελής φησι τυγχάνω τὴν γνώμην, οὐκ ἀπ' ἐμαυτῆς ὀφείλουσα στοχάζεσθαι, ὅμως δ' ἐρῶ, ὅτι παρὰ πᾶσιν ἀνθρώποις ἀκριβέστεραί εἰσιν αἱ ἐπισκέψεις, καὶ αἱ δεύτεραι γνῶμαι. Οὐ γὰρ περισσὸν) οὐδὲν φησὶν ἔπαθες περισσὸν ὧν πάσχουσι πάντες. τοῦτο δὲ πρὸς παραμυθίαν, ὡς μισούσης αὐτῆς ἐξ ἰδίας φύσεως τὸν ἔρωτα. μὴ οὖν φησι διεργάσῃ σεαυτὴν, ἀλλὰ συγγίνωσκε τῷ πάθει βιαζομένη ὑπὸ τοῦ κρείσσονος. ἄλλως τὸ καὶ τῶν πολλῶν ἐκ φύσεως αὐτῶν νοσούντων. Οὔτ' ἄρα γ' οὐ δεῖ τοῖς ἐρῶσι) τοῦτο ἐκ τοῦ καθολικωτέρου, ὅπως οὐ λυσιτελεῖ, οὐ χρὴ, οὐ συμφέρει φησὶ τοῖς τῶν πλησίον ἐρῶσι, καὶ ὅσοι μέλλουσιν ἐρᾷν, εἰ χρεὼν αὐτοῖς ἐστὶ τοῦ θανεῖν. Κύπρις γὰρ) οὐ φέρειν πολλὴν ῥυεῖσαν τὴν θεὸν ὑπείκοντα μᾶλλον, οὐ γὰρ ἀνθισταμένον. οἶδε γὰρ ἄρα ὑποχωροῦσιν ὑπείκειν ἡ θεός. Ἄλλως. οὐκ ἔστιν δυνατὸν βαστάσαι τὴν Κύπριν μεγάλως ἐπερχομένην, ἀλλὰ χρὴ εἴκειν μᾶλλον τῇ Ἀφροδίτῃ, ἢ ἀντιμάχεσθαι αὐτῇ, πῶς δοκεῖς καθύβρισεν· ὅσῳ γὰρ ἀνθίσταταί τις τῇ θεῷ τὴν δυναστείαν, τοσούτῳ μᾶλλον ἐπιδείκνυται εἰς αὐτὸν τὴν ἀνδραγαθίαν. καὶ στοχάζου μοι τῆς τιμωρίας τὴν ὑπερβολήν. κρείσσων γάρ ἐστι τῆς λόγου διηγήσεως. τοῦτο γὰρ δηλοῖ τὸ πῶς δοκεῖς. 447. Φοιτᾷ δ' ἀν' αἰθέρα) ἐντεῦθεν ἄρχεται τὸ τῆς Ἀφροδίτης αὔξειν μέγεθος. ἐν θαλάσσῃ δὲ αὐτήν φησιν, ἢ ὅτι ἀφρογενής ἐστιν, ἢ ὅτι ἐπειδὴ καὶ τὰ ἐν θαλάσσῃ ἀφροδισιάζει, καὶ ἔοικεν ἐκ τοῦ [illegible] συνεστηκέναι, φημὶ δὲ τὸ ἐπὶ γῆς εἶναι τὴν θεόν.

ANNOTATIONES.

V. 424. Δουλοῖ γὰρ ἄνδρα &c.) Vid. *Plutarchum* hunc locum citantem & illuſtrantem in libro περὶ Παίδων ἀγωγῆς & *Jacobi Nicolai Loenſis* Miſcell. Epiphill. l. 7 c. 22. *Joſua Barnes.*

V. 429. Προθεὶς) Aliàs προθεὶς, ita Scholiaſtes. Παρθένῳ νέᾳ, aliàs παρθένῳ νέα & παρθένοις νέαις. Vide *Gaſp. Stibilini* Notas in hunc locum; & *Jacobi Nicolai Loenſis* Miſcell. Epiphill. l. 7. c. 22. ubi *Terentii* locum, *aliorum errata tanquam ſpeculum inſpicere jubentem*, ex hoc *Euripidis* derivatum ait videri. *Joſua Barnes.*

V. 436. Αἱ δεύτεραί πως φροντίδες) Hic Verſus Famoſus planè in Proverbium jam diu abiit.

V. 439. Ἐρᾷς) *Scaliger* includit τί τοῦτο θαῦμα in Parentheſi.

V. 441. Οὐκ ἄρα γ' οὐ δεῖ) *Scaliger* legit Οὔ τἄρα τοῦ δεῖ.

V. 443. Κύπρις γὰρ οὐ φορητὸς, ἢν πολλὴ ῥυῇ) Hunc locum egregiè explicat & ſimilibus confert *Tobias Magirus* in *Polymnemon.* titulo. *Amoris Potentia* §. 40.

V. 449. Διδοῦσ' ἔρον) cum ἔρος pro ἔρως ſit verbum *Homericum*, adeóque authenticum; neſcio quare adeò anxie certârint aliqui corrigere aliàs & legere διδοῦσα ἵμερον &c. Nugæ: ſed Magnis Nominibus parco.

“ Ἔχουσιν, αὐτοί τ' εἰσὶν ἐν μούσαις ἀεί,
“ Ἴσασι μὲν, Ζεὺς ὥς ποτ' ἠράσθη γάμων
“ Σεμέλης· ἴσασι δ', ὡς ἀνήρπασέν ποτε
“ Ἡ καλλιφεγγὴς Κέφαλον εἰς θεοὺς Ἕως
“ Ἔρωτος οὕνεκ'· ἀλλ' ὅμως ἐν οὐρανῷ
“ Ναίουσι, κοὐ φεύγουσιν ἐκποδὼν θεούς·
“ Στέργουσι δ', οἶμαι, ξυμφορᾷ νικώμενοι.
Σὺ δ' οὐκ ἀνέξῃ; χρῆν σ' ἐπὶ ῥητοῖς ἄρα
Πατέρα φυτεύειν, ἢ 'πὶ δεσπόταις θεοῖς
Ἄλλοισιν, εἰ μὴ τούσδε γε στέρξεις νόμους.
“ Πόσους δοκεῖς δὴ κάρτ' ἔχοντας εὖ φρενῶν,
“ Νοσοῦνθ' ὁρῶντας λέκτρα, μὴ δοκεῖν ὁρᾷν;
“ Πόσους δὲ παισὶ πατέρας ἡμαρτηκόσι
“ Συνεκκομίζειν Κύπριν; ἐν σοφοῖσι γὰρ
“ Τάδ' ἐστὶ θνητῶν, λανθάνειν τὰ μὴ καλά.
“ Οὐδ' ἐκπονεῖν τοι χρὴ βίον λίαν βροτούς,
“ Οὐδὲ στέγην γὰρ, ἧς κατηρεφεῖς δόμοι,
“ Καλῶς ἀκριβώσειαν. εἰς δὲ τὴν τύχην
“ Πεσοῦσ', ὅσην σὺ, πῶς ἂν ἐκνεῦσαι δοκεῖς;
“ Ἀλλ' εἰ τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις,
“ Ἄνθρωπος οὖσα, κάρτα γ' εὖ πράξειας ἄν.
“ Ἀλλ', ὦ φίλη παῖ, λῆγε μὲν κακῶν φρενῶν,
“ Λῆξον δ' ὑβρίζουσ'· οὐ γὰρ ἄλλο πλὴν ὕβρις
“ Τάδ' ἐστὶ, κρείσσω δαιμόνων εἶναι θέλειν·
“ Τόλμα δ' ἐρῶσα· θεὸς ἐβουλήθη τάδε.
“ Νοσοῦσα δ', εὖ πως τὴν νόσον καταστρέφου.
“ Εἰσὶν δ' ἐπῳδαὶ, καὶ λόγοι θελκτήριοι·
“ Φανήσεταί τι τῆσδε φάρμακον νόσου.
“ Ἤ τἄρα γ' ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἄν,

“ Habent, & qui ſemper verſantur in poematis,
“ Nôrunt quomodo quondam Jupiter amaverit nuptias
“ Semeles; & nôrunt, ut aliquando rapuerit
“ Pulchram lucem ſpargens Aurora Cephalum inter deos,
“ Propter amorem: ſed tamen in cœlo
“ Habitant, nec fugiunt procul à diis:
“ Sed dii patiuntur eos, credo, victi calamitate
Tu verò hæc non ſuſtinebis? oportebat igitur te côditione cert.
Patrem genuiſſe, aut ſub dominis diis
Aliis genitam vivere, ſi non acquieſcis hiſce legibus.
“ Quot putas prorſus valde ſanâ mente præditos eſſe,
“ Qui quamvis ſuos lecti amore ſimor. laborâtes videât, ſeſe vid. diſſim.
“ Quot etiam patres cum filiis, qui peccârant,
“ Levaſſe Venerem, eorumque culpam extenuâſſe putas? ſapientum.
“ Hæc tribuuntur hominum, ut lateant quæ non ſunt honeſta.
“ Nec oportet homines vitam nimis ſeveram excolere.
“ Nam ne tectum quidem, quo tectæ ſunt ædes,
“ Nimis exactâ curâ faciunt artifices: in calamitatem verò
“ Lapſa, quantam tu dixiſti, quomodo te bene evaſuram putas?
“ Sed, ſi habes plura bona, quam mala,
“ Cùm ſis homo, prosperè agitur tecum.
“ Sed ô chara filia, malam mentem habere ceſſa,
“ Ceſſaque Venerem afficere contumeliâ. nô n. aliud q. â contum.
“ Hæc ſunt, quæ facis, ſuperiorem diis eſſe velle.
“ Fortiter autem amorem tolera: Deus enim voluit hæc ita fieri.
“ Laborans verò amoris morbo, morbum hunc bene ſisti.
“ Sunt autem incantationes, & verba animos demulcentia;
“ Invenietur aliquod remedium morbi.
“ Profectò enim ſerò aliquid viri invenient,

Ἡ καλλιφεγγὴς) Κέφαλος εἷς ἐστι τῶν ἐξ Ἐνδυμίωνος. οὗτος γαμεῖ * Πρόκριν τὴν Ἀθηναίαν. ὅτι δὲ Κέφαλον ἡ Ἡμέρα ἥρπασεν διὰ κάλλος, καὶ Ὅμηρος εἴρηκεν. ἦν δὲ ὁ Κέφαλος Δηϊονέως παῖς. Ἔρωτος οὕνεκα) ταῦτα δυσωπητικῶς λέγει. ἄδειν μὲν γὰρ ἐκ τῶν μειζόνων παραπειθ[illegible] αὐτὴν, εἰπὼν καὶ θεοὺς ἐρᾶν. λοιπὸν δὲ καὶ τὸ δύσφορον, καὶ τὸ μωρὸν αὐτῆς ἐλέγχει. Ναίουσι κοὐ φεύγουσι) [illegible] πρὸς τοὺς οἴκους, καὶ περιγίνονται, ἀλλὰ σὺν τοῖς θεοῖς διατρίβουσιν, οὐκ ἐπὶ τῶν ἐρώντων θεῶν, καὶ οὐ φεύγουσι τὴν δίαιταν τὴν μετὰ τῶν ἄλλων θεῶν, αἰδούμενοι ὅτι ἐρῶσι. κοινὸν γάρ ἐστι πάντων συμβαίνει τὸ τοῦ ἔρωτος πάθος. Χρῆν σ' ἐπὶ ῥητοῖς) ἐπὶ συνθήκαις ἐχρῆν τὸν πατέρα σε φυτεῦσαι, ἐπὶ ὡρισμένοις, ἢ ὑπ' ἄλλοις δεσπόταις θεοῖς, εἰ μὴ στέργεις τούσδε νόμους τῆς Ἀφροδίτης φησί, καὶ τοῦ ἔρωτος. Πόσους δοκεῖς δή) ἴσως τὸ εὖ φρονεῖν, καὶ οὐχ ὑπ' ἀγνοίας ἀνεξικακοῦντας, ἵνα μὴ τοῦτο ἐντεθῇ. Νοσοῦνθ' ὁρῶντας) μὴ δοκεῖν ὁρᾶν τὰ ἁμαρτήματα, τῇ κοινῇ δυναστείᾳ τοῦ ἔρωτος συγγνώσκοντας. 464. Πόσους δὲ παισὶ πατέρας) πόσους δὲ οἴει πατέρας τοῖς παισὶν ἁμαρτηκόσι δι' ἔρωτα, συμβαστάζειν αὐτοῖς ὁρᾷς τῆς Ἀφροδίτης τὴν νόσον, καὶ τοῦτον ἀπέχειν τῆς μέμψεως. ὥς τι καὶ συγγνώμην ἔχειν τοὺς ἐρῶντας αὐτοῖς. τὸ γὰρ ἐλέγχειν τὰ τοιαῦτα, οὐδέν ἐστιν ἄλλο, ἀλλ' ἢ συμφορὰν ὀνειδίζειν. Οὐδ' ἐκπονεῖν τοι χρή) οὐδ' ἐξακριβάζεσθαι, ἢ κατεπείγεσθαι δεῖ πάνυ τοὺς ἀνθρώπους, ἀντιτείνοντας πρὸς τὸν ἔρωτα. οὐδὲ στέγην γὰρ ὑφ' ἧς οἱ δόμοι κατηρεφεῖς γίνονται, ἀκριβώσειαν, οἱ τέκτονες δηλονότι, καὶ τὸ μηδὲν τοῦ διαστήματος τῶν δόμων φυλάξαι, ὡς [illegible] ἄλλην [illegible]. οὕτω πρὸς μὲν ξύλον συνθέντες, καὶ κανόνας οὐ συνθέντες, [illegible] τῆς ἀκριβείας ἡ τέχνη. οὐ δὲ [illegible] τὴν συμφοράν. ἀπαραίτως βούλει [illegible]. Εἰς δὲ τύχην) εἰς δὲ πέλαγος ἄδηλον τῆς τύχης ἐκκολυμβῆσαι. [illegible] τῇ λέξει κέχρηται, ὡς ἐπὶ πλεόντος καὶ χειμῶνος. ἀκολούθως δὲ καὶ τὸ πεσοῦσα πρὸς τὴν συμφορὰν ἐξήνεγκε. ἐν γὰρ τοῖς σοφοῖς τῶν ἀνθρώπων τοῦτο ὑπάρχει, τὸ λανθάνειν ἑαυτὸν, καὶ [illegible] τῶν πλησίον τὰ μὴ καλὰ ἁμαρτήματα. Ἀλλ' εἰ τὰ πλείω) ἀλλ' ἐὰν ἔχῃς πλείονα καλὰ, βραχύτερα δὲ κακὰ, καλῶς ἂν πράξειας. Λῆγε κακῶν φρενῶν) τῶν [illegible] φρενῶν, καὶ ἐπ' ἔρωτι θάνατον μηχανωμένων. Λῆξον) τὸ γὰρ ἀρχόμενόν τινα δυσφορεῖν, οὐδέν ἐστιν, ἢ κρείσσονα [illegible] νομίζειν τοῦ κρατοῦντος, καὶ τὴν διαπολείαν ἄδικον [illegible]. καὶ λέγειν κρείσσω δαιμόνων, ἢ καθὸ μὴ βούλεται ὑποχωρεῖν τῇ Ἀφροδίτῃ, ἣ ἐκεῖ καὶ οἱ θεοὶ πολλάκις ἐρῶσιν, ὡς καὶ ἡ γραῦς ἔφη. διὰ τοῦτο δὲ [illegible] τὴν [illegible] εἰς [illegible] ἀνάγκην τὸ ἀκούσιον τῆς γνώμης ἀναφέρουσα. Νοσοῦσα δ' εὖ πως) καλῶς σαυτὴν διάθου καὶ γενναίως φέρε [illegible], ὅπως μὴ ἡττηθῇς τῇ νόσῳ, ἀλλὰ γενναίως φέρε, καὶ ἐπὶ πέρας ἄγε. 480. Ἦ τἄρα γ' ὀψέ γ') βραδέως ἂν οἱ ἄνδρες διαμηχανήσαιεν ἀεί τι, εἰ μὴ ἡμεῖς αἱ γυναῖκες μηχανὰς εὑρίσκομεν ἀεί τινα. εἰ γὰρ αἱ γυναῖκες [illegible], πόσῳ μᾶλλον εἰς ἔσχατον ἀμηχανίας [illegible] οἱ ἄνδρες. ὥσπερ γὰρ τὸ [illegible] τοῖς ἀνδράσιν, οὕτω τὸ πανουργεῖν καὶ μηχανὰς ἐξευρίσκειν ταῖς γυναιξί.

* Πρόκριν ſcripſi ex Hiſtoria; cùm ante Πρόκνην ſcriptum erat per errorem; ſicut & apud Callimachi Scholiaſten ad Hym. Dian. v. 209. Πρόκνην malè legitur pro Πρόκριν. De hac re videſis Ovid. Metamorph. l. 7. Fab. 26. & Antonini Liberalis c. 41. J. Barnes.

ANNOTATIONES.

V. 455. Ἡ καλλιφεγγὴς Κέφαλον) De Cephalo & Procride Vid. Ovid. Metamorph. l. 7. Fab. 26. Notandum eſt Scholiaſten antehac corruptum legiſſe Procnen pro Procrin; & ex Homero per lapſum citâſſe, quòd Cephalus ab Aurorâ ſit raptus, quùm ille hoc de Clito dicat, Ἀλλ' ἤτοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠώς. De Cephalo autem nè verbum ille. Joſua Barnes.

V. 465. Συνεκκομίζειν Κύπριν) Anglicè, to Pimp. Petrus Victorius Variar. Lection. l. xi. c. 6. Quùm idem Verbum per Horatianam explicaverit phraſin, in partem juvare (de quâ re vide ad Electr. v. 74.) de hoc loco hæc addit, Ipſo autem (vocabulo) uſus etiam eſt in Hippolyto Coronato idem Poeta, ita diſputantem inducens ſceleratam illam Anum, quæ ad Facinus Phædram impellebat, Πόσους δὲ παισὶ πατέρας ἡμαρτηκόσι Συνεκκομίζειν Κύπριν. Videtur enim ſignificare Patres quoque multos præſidio fuiſſe filiis amore pereuntibus, atque auxilium ipſis ad fruendum Deliciis ſuis præbuiſſe. Hæc ille. Hoc Scholiaſtes advertitur. Joſua Barnes.

V. 470. Ἐκνεῦσαι δοκεῖς) ab ἐκνέω, aliàs ἐκνεύω, Enato, ut Cyclop. v. 373. Metaphoricè Elabor. Hunc locum tractat & cum ſimilibus confert Petrus Victorius Variar. Lection. l. 3. c. 10. Vid. Evang. D. Johan. c. 5. v. 13. Ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει, τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν, ὄχλου ὄντος ἐν τῷ τόπῳ. Et Thucydid. l. 2. Ὅσοι μὴ ἐξένευσαν αὐτῶν. Et Lucianus propriè Ἐξένευσεν εἰς τὴν γῆν. Quin Euríp. intrà ad v. 823. Κακὸν δ' ὁ τλάμων πέλαγος εἰσορῶ Τοσοῦτον, ὥστε μή ποτ' ἐκνεῦσαι πάλιν. Eſt & nutu-jubeo, ut Iphig. Taur. v. 1330. Joſua Barnes.

V. 478. Εἰσὶν δ' ἐπῳδαὶ &c.) Hunc locum apertè expreſſit Horatius l. 1. Epiſt. 1. v. 33.

Fervet Avaritia, miſeroque Cupidine pectus?
Sunt Verba & Voces, quibus hunc lenire dolorem
Poſſis; & magnam Morbi deponere partem. Idem.

“ Εἰ

" Εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.
Χο. Φαίδρα, λέγει μὲν ἥδε χρησιμώτερα
Πρὸς τὴν παροῦσαν ξυμφοράν. αἰνῶ δέ σε.
Ὁ δ' αἶνος οὗτος δυσχερέστερος λόγων
Τῶν τῆσδε, καὶ σοὶ μᾶλλον ἀλγίων κλύειν.
Φα. Τοῦτ' ἔσθ', ὃ θνητῶν εὖ πόλεις οἰκουμένας
" Δόμους τ' ἀπόλλυσ', οἱ καλοὶ λίαν λόγοι.
" Οὐ γάρ τι τοῖσιν ὠσὶ τερπνὰ δεῖ λέγειν,
" Ἀλλ' ἐξ ὅτου τις εὐκλεὴς γενήσεται.
Τρ. Τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων
Δεῖ σ', ἀλλὰ τἀνδρός. ὡς τάχος διϊστέον
Τὸν εὐθὺν ἐξειπόντας ἀμφὶ σοῦ λόγον.
Εἰ μὲν γὰρ ἦν σοι μὴ 'πὶ συμφοραῖς βίος
Τοιαῖσδε, σώφρων δ' οὖσ' ἐτύγχανες γυνή,
Οὐκ ἄν ποτ' εὐνῆς οὕνεχ', ἡδονῆς τε σῆς,
Προσῆγον ἄν σε δεῦρο. νῦν δ' ἀγὼν μέγας
Σῶσαι βίον σόν, κοὐκ ἐπίφθονον τόδε.
Φα. Ὦ δεινὰ λέξασ', οὐχὶ συγκλείσεις στόμα;
Καὶ μὴ μεθήσεις αὖθις αἰσχίστους λόγους;
Τρ. Αἰσχρ', ἀλλ' ἀμείνω τῶν καλῶν, τάδ' ἐστί σοι.
Κρεῖσσον δὲ τοὔργον, εἴπερ ἐκσώσει σε,
Ἢ τοὔνομ', ᾧ σὺ κατθανῇ γαυρουμένη.
Φα. Καὶ μή γε πρὸς θεῶν (εὖ λέγεις γάρ, αἰσχρὰ δὲ)
Πέρα προβῇς τῶνδ', ὡς ὑπείργασμαι μὲν εὖ
Ψυχὴν ἔρωτι· τἀσχρὰ δ' ἢν λέγῃς καλῶς,
Εἰς τοῦθ', ὃ φεύγω νῦν, ἀναλωθήσομαι.
Τρ. Εἴ τοι δοκεῖ σοι, χρῆν μὲν οὔ σ' ἁμαρτάνειν.
Εἰ δ' οὖν, πιθοῦ μοι· δευτέρα γὰρ ἡ χάρις.
Ἔστιν κατ' οἴκους φίλτρα μοι θελκτήρια
Ἔρωτος· ἦλθε δ' ἄρτι μοι γνώμης ἔσω·
Ἅ σ' οὔτ' ἐπ' αἰσχροῖς, οὔτ' ἐπὶ βλάβῃ φρενῶν,
Παύσει νόσου τῆσδ', ἢν σὺ μὴ γένῃ κακή.

" Si nos mulieres nullas artes inveniamus.
Ch. Phædra, hæc quidem dicit utiliora
Ad præſentem calamitatem: laudo verò te.
Sed hæc laus *eſt* odioſior verbis
Hujus, & tibi longè moleſtior auditu.
Phæ. Hoc eſt, quod bene conſtitutas hominum civitates
" Et familias evertit nimis ſplendidi ſermones.
" Non enim oportet dicere jucunda auribus,
" Sed id, ex quo glorioſus quis evadat.
Nut. Quid adeò magnificè loqueris! non verbis ſpecioſis nunc
Opus eſt tibi: ſed viro. Celeriter autem ſunt diſpiciendi
Qui rectum, apertùmque Hippolyto de te ſermonem enuntient.
Niſi enim tua vita in calamitatibus verſaretur
Tantis, & ſi eſſes pudica mulier,
Nunquam propter lectum, & voluptatem tuam,
Huc te adhortarer: nunc verò eſt magnum certamen
Ut ſervem vitam tuam, neque hoc invidiæ *eſt* obnoxium.
Phæ. O atrocia locuta: non claudes os?
Et non omittes iterum turpiſſimos ſermones?
Nut. ſunt quidem hæc turpia, ſed meliora tamē tibi, quàm honeſta.
Melior enim *erit* res, ſi modò te ſervârit
Quàm illud nomen, quo tu ſuperbiens morieris.
Phæ. Ne per Deos (benè enim dicis, ſed turpia)
Ultra hæc progrediaris, quòd rectè ſubjecerim
Animam amori: ſi verò turpia pulchrè dixeris,
In id, quod fugio nunc, delapſa conſumar *ac peribo*.
Nut. Si igitur tibi *hæc* videbatur, non oportebat te peccare.
Si tamen *hoc decreviſti*, pare mihi: ſecunda enim *eſt* hæc gratia.
Sunt mihi domi demulcentia philtra
Amoris. (venerunt autem mihi modò in mentem,
Quæ te neque turpiter, neque cum læſione mentis)
Liberabunt hoc morbo, ſi tu non fueris ignava, atque contumax.

Φαίδρα λέγει) πρὸς μὲν τὴν παροῦσαν φησὶ συμφορὰν τοῦ ἔρωτος, χρησιμώτερα σοι λέγει ἡ τροφός, εἰ τὸ μὲν ἐκβάλλεις σαυτῆς ζωήν· ἡ δὲ τὸ ζῆν σοι προσφωνεῖ. σὲ δὲ φησὶν ὅμως ἐπαινῶ τῆς σωφροσύνης. συγκριτικῶς δὲ εἶπε τὸ δυσχερέστερος, ὡς ἂν ἀμφοτέρων τῶν λόγων τὸ δυσχερὲς κεκτημένων, τοῦ μὲν διὰ τὴν αἰσχύνην, τοῦ δὲ διὰ τὸν θάνατον. ἐμφαντικώτερον δὲ καὶ ἀλγίονα εἶπεν ἔπαινον, τὸν οὐχ ἡδονὴν προξενοῦντα κατὰ τοὺς ἄλλους ἐπαίνους τοῖς ἀκούουσιν, ἀλλὰ θάνατον. Ὁ δ' αἶνος οὗτος) ἴσθι μὲν τοῦτο, ὅτι ὁ ἔπαινος τῆς σωφροσύνης ὁ παρ' ἐμοῦ λεγόμενος, εἰ καὶ καλλίων ἐστὶ τῶν ταύτης λόγων, ἀλλ' οὖν γε δυσχερέστερός ἐστι. τὸν γὰρ θάνατόν σοι προξενεῖ. διὰ τοῦτο εἰκότως οὐκ ἔστι σοι λυπηρὸς ἀκούειν, εἰς ἀπώλειάν σε προτρεπόμενος. ἀλγίονα δὲ ἔφη τὸν ἔπαινον, ὡς ἂν μετὰ ἔπαινον κινδυνεύοντα ἔχοντα. οἱ γὰρ ἔπαινοι ἡδονὴν τοῖς ἐπαινουμένοις. Τοῦτ' ἔσθ' ὃ θνητῶν) μάλιστα τὰς πόλεις τοῦτο ἀπόλλυσι, τὸ τοὺς κόλακας μὲν τὰ ὅμοια λέγειν πρὸς τὴν ἰδίαν οἴησιν. ὅταν γὰρ ἁμαρτάνοντι μὴ πρὸς σωφροσύνην, ἀλλὰ πρὸς αὔξησιν τῆς ἁμαρτίας συμβουλεύῃ τις οὕτως, διὰ τῶν ἡδέων λόγων, ἀπόλλυσι τὰς καλῶς οἰκουμένας πόλεις καὶ τοὺς δόμους. 491. Διιστέον τὸν ἁμαρτήσαντα. οἱ ἡδεῖς γὰρ λόγοι καὶ κολακευτικοὶ ἀπόλλυσι τὰς καλῶς οἰκουμένας πόλεις καὶ τοὺς δόμους. Τὸν εὐθὺν) ἐκ σοῦ διαγνωστέον ὁ δὲ νοῦς, ἀλλὰ πειρατέον τῆς γνώμης τοῦ Ἱππολύτου, ποῖος ἔσται πρὸς τὰ λεγόμενα. Τὸν εὐθὺν) ἐκ σοῦ διαγνωστέον· ὁ δὲ νοῦς, ἀλλὰ πειρατέον τῆς γνώμης τοῦ Ἱππολύτου, καὶ οὐκ αὐτόθεν τοῦ ποικίλου τῆς ἀπαγγελίας, ὡς ἐνδεὴς τῆς γὰρ τῆς συντόμου ὁμιλίας ἄλλοις τὸ τῆς φύσεως αἰφνίδιον νόσημα, καὶ οὐκ αὐτόθεν μηκέτι ἀεὶ τοιούτων μυθῶν μισοῦσιν. Καὶ μὴ μεθήσεις αὖθις) ἀπειρηκυῖα τοῖς σοφίσμασι τῆς γραός, παρακαλεῖ μηκέτι ἀεὶ τοιούτων μυθῶν μισοῦσιν. Αἰσχρ' ἀλλ' μνᾶσθαι μὲν δὲ λέγειν, ὅτι καλῶς καὶ μελείως εἴργασται αὐτὴν ὁ ἔρως, οὐ παράλογος, οὐ δὲ ἄξιος θανάτου. Αἰσχρ' ἀλλ' ἀμείνω) οὐδὲ μὲν ὅπερ τοῖ μὴ ἐρῶντι αἰσχρὰ νομισθείη· οὐδὲ σοὶ δὲ βελτίω εἰσὶ τῶν παρὰ σοῦ καλῶς λεγομένων, ὡς καθὼς τὸ μὲν θάνατον, τὰ δὲ σωτηρίας σοι περιποιεῖ. πρὸς πλείονα δὲ πειθώ, τὸ μὲν ἔργον, τὸ δὲ ὄνομα ἀφαλεῖπεν, ὡς φήμῃ καὶ ἀμφιβολίᾳ τοῖς ἔξωθεν. Ἄλλως. Τὰ τοιαῦτα μὲν τῇ ἀληθείᾳ σωτηρίαν ἔχοντος, τοῦ δὲ τὸ ἐπάγγελμα ἐν φήμῃ καὶ ἀμφιβολίᾳ τοῖς ἔξωθεν. ἢ αἰσχρὰ μὲν τὰ λεχθέντα τῷ προσυχόντι, σοὶ μέν τοι κτῶντα σοι αἰσχρὰ εἶναι, τῶν καλῶν λόγων κρείσσονά ἐστιν. Εὖ λέγεις γὰρ) καλῶς μὲν γὰρ λέγεις, καὶ πιθανῶς, αἰσχρὰ δὲ ἔστι τῇ φύσει τὰ λεγόμενα, περὶ τὸν ἔρωτα βελτίονα. Εὖ λέγεις γὰρ) καλῶς μὲν γὰρ λέγεις, καὶ πιθανῶς. καὶ μή γε πρὸς θεῶν πέρα προβῇς τι τῶν λόγων τούτων μὴ δὲ σοφιζομένη λέγε, ὅτι καλὸν ὑπείργασμαι καὶ ὑποδαλ. Αἰσχρὰ δ' ἢν λέγῃς) ὅπως δὲ τὰ λεγόμενα τὴν ψυχήν, καὶ καρτερῶ τὸν ἔρωτα. καὶ οὐδὲν ἡμᾶς ἔβλαψεν ἄξιον θανάτου. Αἰσχρὰ δ' ἢν λέγῃς) ὅπως δὲ τὰ αἰσχρὰ λέγεις, πιθανῶς καλὰ τῇ δεινότητι. διαφθαρήσομαι ἐγώ, καὶ ἐμπίπτω εἰς ὃ φεύγω, τουτέστι τὴν ὁμιλίαν καὶ συνουσίαν τοῦ ἔρωτος. Εἴ τοι δοκεῖ σοι,) μὴ ἀναπεισθῇς τοῖς σοφίσμασι. δέδοικα γὰρ ἡ Φαίδρα μὴ λαθοῦσα ἁλῷ τῇ πιθανότητι. Εἴ τοι δοκεῖ (σοι,) μὴ ἀναπεισθῇς τοῖς σοφίσμασι τοῦ ἔρωτος. δεύτερον εἰσηγεῖται γνώμην ἡ γραῦς, καὶ ὑπισχνεῖται ἀντιπείσειν ἐκεῖνον φαρμάκοις τισίν, ὡς ἂν μοῖς ἐπιθυμίας, δεύτερον εἰσηγεῖται γνώμην ἡ γραῦς, καὶ ὑπισχνεῖται ἀντιπείσειν ἐκεῖνον φαρμάκοις τισίν, ὡς πάντως πείσουσι. εἰ τοίνυν φησὶ δοκεῖ σοι τὸ μὴ συμπαθεῖν τῷ ἔρωτι, θεραπευτικώτερον αὐτὸν τὸν ἔρωτα μιμήσωσιν, ὡς πάντως πείσουσι. εἰ τοίνυν φησὶ δοκεῖ σοι τὸ μὴ συμπαθεῖν τῷ ἔρωτι, ἤδη μηδ' ὅλως ἁλῶναι τῷ ἔρωτι. μέν, ἔδει σε μηδὲ τὴν ἀρχὴν ἁμαρτάνειν ἐραθεῖσαν· καὶ εἰ τὸ σωφρονεῖν σοι δέδοκται, ἤδη μηδ' ὅλως ἁλῶναι τῷ ἔρωτι. ἔστι δέ μοι φησὶν ἐν τῇ οἰκίᾳ κἂν γοῦν φησι, δεύτερον χάριν μοι δός. δεύτερον τρόπον πεισθεῖσα τοῖς τῶν φαρμάκων. ἔστι δέ μοι φησὶν ἐν τῇ οἰκίᾳ φάρμακα ἐρωτικά, ἃ δύναταί σε παῦσαι τὴν νόσον, καὶ τελέσαι τὸν ἔρωτα, πράττοντα δηλονότι τὸν ἐρώμενον. εἰ δὲ πάλιν φάρμακα ἐρωτικά, ἃ δύναταί σε παῦσαι τὴν νόσον, καὶ τελέσαι τὸν ἔρωτα. Ἄλλως. τοῖς ἔπεσι, εἰ δοκεῖ σοι σωφρονεῖν, ὤφελες σὺ ἀποδιδόναι οὐκ ἐάσεις με οὕτω ποιήσειν, βλάβη σοι γενήσεται. Ἄλλως. πάντως γὰρ ἐκεῖνον ὅπως μηδέν μοι λέγῃς, εἰ δέδοκταί σοι τὸ μὴ πλημμελῆσαι, κἂν δεύτερον καὶ ἥσσονά μοι χάριν δός. πάντως γὰρ ἐκεῖνον ὅπως μηδέν μοι λέγῃς, εἰ δέδοκταί σοι τὸ μὴ πλημμελῆσαι, κἂν δεύτερον καὶ ἥσσονά μοι χάριν δός. 512. Παύσει νόσου) τὸν ἐρῶντα προσλαμβάνων, ἤ τινα φίλτρα ἐρῶντος, οὐκ ἂν ἀποτυχὼν τῆς κοινωνίας ἐπιθυμίας. 512. Παύσει νόσου) τὸν ἐρῶντα προσλαμβάνων, ἤ τινα φίλτρα ἐρῶντος, οὐκ ἂν ἀποτυχὼν τῆς κοινωνίας, ὅτι ἐπικαλοῦμαι παρθένος σοι θέντα, ὁ δὲ ἀπελεύσεταί σε παύσει τῆς νόσου, ἐὰν σὺ οὕτως φάρμακα τὰ θέλγοντα εἰς φιλίαν, ὅτι ἐπικαλοῦμαι παρθένος σοι θέντα, ὁ δὲ ἀπελεύσεται· σε παύσει τῆς νόσου, ἐὰν σὺ μὴ ᾖς κακή, ἀντὶ τοῦ, εἰ μὴ ἀντιβῆναι κωλύσεις με.

ANNOTATIONES.

V. 490. Οὐ λόγων εὐσχημόνων δεῖ σε) Talis ſyntaxis in *Phœniſſ.* v. 928. Χωρεῖν δεῖ· ἐγὼ γὰρ οὐδέν σε δεῖ θεσπισμάτων & infra *Hippolyt.* v. 688. Θανεῖν· ἀλλὰ δεῖ με δὴ καινῶν λόγων.

V. 491. Διϊστέον) Ita lego, quia Scholiaſtes explicat per διαγνωστέον, παρὰ τὸ διΐσταμαι. *Aldi* verò editio legit διοιστέον.

V. 496. Προσῆγον) alii προσῆγε.

Δεῖ δ' ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου
Σημεῖον, ἢ λόγον τιν', ἢ πέπλων ἄπο
Λαβεῖν, συνάψαι τ' ἐκ δυοῖν μίαν χάριν.
Φα. Πότερα δὲ χριστὸν, ἢ ποτὸν τὸ φάρμακον;
Τρ. Οὐκ οἶδ'· ὀνάσθαι, μὴ μαθεῖν, βούλου, τέκνον.
Φα. Δέδοιχ', ὅπως μοι μὴ λίαν φανῇς σοφή.
Τρ. Πάντ' ἂν φοβηθεῖσ' ἴσθι· δειμαίνεις δὲ τί;
Φα. Μή μοί τι Θησέως τῷδε μηνύσῃς τόκῳ.
Τρ. Ἔασον, ὦ παῖ· ταῦτ' ἐγὼ θήσω καλῶς.
Μόνον σύ μοι, δέσποινα ποντία Κύπρι,
Συνεργὸς εἴης, τἄλλα δ', οἷ' ἐγὼ φρονῶ,
Τοῖς ἔνδον ἡμῖν ἀρκέσει λέξαι φίλοις.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. Ἔρως, ἔρως, ὃ κατ' ὀμμάτων
Στάζεις πόθον, εἰσάγων γλυκεῖαν
Ψυχᾷ χάριν, οὓς ἐπιστρατεύσῃ,
Μή μοι ποτὲ σὺν κακῷ φανείης,
Μηδ' ἄρρυθμος ἔλθοις.
Οὔτε γὰρ πυρὸς, οὔ-
τ' ἄστρων ὑπέρτερον βέλος,
Οἷον τὸ τᾶς Ἀφροδίτας
Ἵησιν ἐκ χερῶν
Ἔρως ὁ Διὸς παῖς.

Oportet enim jam ab illo, quem amas, aliquod
Signum, aut ſermonem aliquem, aut à veſtibus ejus
Accipere, & conjungere ex duobus unum amorem.
Phæ. Utrum autem unctile, an potabile *erit* hoc pharmacum?
Nut. Haud ſcio, ô filia; velis juvari, non doceri.
Phæ. Metuo, nè mihi nimis ſapiens videaris.
Nut. Omnia timere te ſcito: quid vero vereris?
Phæ. Ne quid horum indices Theſei filio.
Nut. Sine, ô filia: ego rectè curabo hæc.
Tantum tu mihi, domina marina Venus,
Auxiliatrix ſis. Alia enim, quæ ego cogito,
Sufficiet dicere noſtris amicis, qui ſunt intus.

ANTISTROPHICA.

Strophe 1.

Cho. Amor, Amor, qui per oculos
ſtillas deſiderium, inducens ſuavem
Animæ voluptatem *illis*, adverſus quos militas,
Ne mihi unquam cum damno appareas,
Nè mihi immoderatus venias.
Neque enim ignis, ne-
que aſtrorū ſuperū telū *eſt tale*,
Quale Venereum
Mittit è manibus
Amor filius Jovis.

Σημεῖον ἢ λόγον) δεῖ φησιν αὐτῇ φαρμάξει σημεῖον ἐκ τοῦ Ἱππολύτου τι λαβεῖν, ἢ λόγου μνημόνευμα, ἢ κρασπέδου ἀπόσπασμα. καὶ τὸν μὲν λόγον αὐτοῦ τῷ λόγῳ τῆς Φαίδρας συνάψαντες ἐπᾴδειν. τὸ δὲ ἀπόσπασμα ἐσθῆτος πάλιν, ἐπαοιδαῖς ἀπεσπασμένῳ τῆς ἐσθῆτος Φαίδρας συνάπτειν, ἵν' εἰ αὐτοῦ διὰ λόγου ἀποτύχοιμεν, τῷ δι' ἐσθῆτος χρησόμεθα. συνάψαντες γὰρ ἀμφοτέρους τοὺς λόγους, ἢ τὰ ἀποσπάσματα τῶν ἱματίων, οὕτως ἐπᾴδουσιν, ὅθεν Ἱππόλυτος ὁ τότε εἰπὼν ἐρασθεὶς Φαίδρας τῆς τάδε εἰπούσης. μαγικῶς δὲ καὶ τὸ φυσιολογικὸν μᾶλλον διήγημα εἰπεῖν. συνάψαι τ' ἐκ δυοῖν μίαν χάριν. διὰ γὰρ φυσιολογικῶν τινῶν, ἀμφοτέρας τὰς φύσεις εἰς ἕνα ξυνάγουσιν ἔρωτα. ἔοικε δὲ καὶ ἐνταῦθα ἡ διοίκησις, τὴν μὲν ἄλλην φαρμάξιν, οὐκ ἐπὶ σελήνης, ἀλλ' ἵνα δὴ πείσειν μέλλουσα, πιθανῶς ἤδη τὸ κεφάλαιον ὑπέθετο τῆς φαρμάξεως. ἔδοξε γὰρ ἂν ἐνοχλεῖν διηγουμένη φανερῶς. Ὀνάσθαι μὴ μαθεῖν) διδάσκουσα πῶς δεῖ τοῖς ἀναγκαίοις κεχρῆσθαι εἰς τὴν θεραπείαν μόνον ἀπαλλαγὴν τῶν κακῶν. ὁ γὰρ εἰς τὴν διηνεκῆ γνῶσιν. τὸ γὰρ τούτων πορισμὸς ἐστὶν ἐπιθυμία, ἡ διηνεκὴς τῆς κακουργίας ἀπόλαυσις. δεῖ οὖν πρὸς τὸ λυσιτελὲς ἀπολαύοντας τῶν τοιούτων [illegible] τὴν διηνεκῆ εἴδησιν, ὠφεληθῆναι φησὶ βούλου μόνον, ἀλλὰ μὴ μαθεῖν τῆς ὠφελείας τὴν φύσιν. τὸ δὲ ὀνάσθαι, ὡς ἰᾶσθαι, τὸ θέμα ὄνημι. 518. Δέδοιχ' ὅπως) δέδοικα φησὶ μὴ μηνύσῃς τὴν φαρμάξιν, ἔργῳ δηλώσῃς τὴν νόσον. τὸ δὲ πάντ' ἂν φοβηθεῖσ' ἴσθι) ἀντὶ τοῦ εἰ τὸ μηδὲν ἄξιον φόβου φοβῇ, πάντα ἂν φοβηθείσης γνῶθι σαυτήν. φοβοῦμαι, μὴ ἐπ' ἐμοὶ σφόδρα τις πανοῦργος ἀποδειχθεῖσα, μηνύσῃς τῷ Ἱππολύτῳ τὸν πρὸς αὐτὸν ἐπ' ἐμοῦ ἔρωτα. Ἔασον, ὦ παῖ) οἰκονομικώτατα οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀνθυπήνεγκεν. καί τοι αὐτὴ ἐρωτήσασα τὴν Φαίδραν διὰ τί φοβοῖτο, ἀλλὰ μόνον φησὶν ἐγὼ ταῦτα θήσω καλῶς, ἡ βουλομένη καλύπτεσθαι ἑαυτῆς ὕστερον φωρᾶσθαι. τὴν Ἀφροδίτην δὲ ἐπικαλεῖται ὡς [illegible] ταῖς τοιαύταις περὶ ἐργασίαις. Τοῖς ἔνδον ἡμῖν) φίλον ὀνομάζει τὸν Ἱππόλυτον καθ' ἡδονὴν ἢ χάριν, προλαμβάνουσα ταῖς ἐλπίσι. τὰ δὲ ἄλλα ἃ φρονῶ, ἀρκέσει ἄρα ἔνδον, διηγήσασθαι τοῖς ἔνδον φίλοις ὅπη δεῖ, καὶ μὴ ἐπὶ πάντων, καὶ ἐπὶ τοῦ θεάτρου ταῦτα ἐκφέρειν. Ἄλλως. Οὐ βούλομαι παρρησιάζεσθαι τὰ τῆς χρείας, ἀρκεσθήσομαι τοῖς ἔνδον. Ἔρως, ἔρως) λοιπὸν ὁ χορὸς ὑμνεῖ πρὸς τὸν ἔρωτα λέγων, ὦ ἔρως, ὅς τις διὰ τῶν ὀμμάτων τῶν ἀνθρώπων στάζεις τὸν πόθον, διὰ τούτου εἰσάγων ταῖς ψυχαῖς, καὶ τὴν γλυκεῖαν ἡδονὴν, καθ' ὧν ἂν ψυχῶν ἐπιστρατεύσῃ τῷ ἐρωτικῷ τόξῳ, καὶ ἐρᾷν ποιήσῃς. τὸ δὲ ἑξῆς οὕτως. ὦ ἔρως, ὃς κατὰ τῶν ὀμμάτων τῶν ἐρωμένων ἡδονὴν καὶ ἐπιθυμίαν ἐπιχέεις, διὰ τούτου γλυκεῖάν τινα ἡδονὴν εἰσάγων ταῖς ψυχαῖς ἐκείνων, καθ' ὧν ἂν ἐπιστρατεύσῃ τοῖς ἐρωτικοῖς βέλεσιν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι ἐπιστρατεύσας τινὰ ἐρᾷν τοῦ ἐρωμένου, γλυκεῖαν ἐπιτιθεὶς ταῖς ὄψεσιν ἡδονὴν, ὅπως τοὺς ἐρῶντας [illegible] ἀνάγκῃ, διὰ τῆς ἡδονῆς. τὸ δὲ ἑξῆς. Ὦ ἔρως ἔρως) ὃς κατ' ὀμμάτων στάζεις πόθον, μή μοι ποτὲ σὺν κακῷ φανείης. οὐ πάντα δὲ ἀπεύχεται τὸν ἔρωτα, ἀλλὰ τὸν ἐπὶ τῷ κακῷ· εἰσὶ γὰρ καὶ ἀγαθοὶ ἔρωτες. Μηδ' ἄρρυθμος) μηδὲ ἀμελὴς πως, καὶ ἀτάκτως ἔλθοις. ῥυθμὸς γάρ ἐστιν ἡ μουσικὴ τάξις· πᾶς δέ τις ἔρως μεμετρημένος ἔχει τὸ τῆς ἰάσεως τὸ χαίρειν ἅμα καὶ ἀβλαβές. 530. Οὔτε γὰρ πυρὸς) οὔτε γὰρ τὸ βέλος τοῦ πυρὸς οὔτε τὸ ὑψηλότατον βέλος τῶν ἄστρων, τοιοῦτόν ἐστιν, οἷον ἵησιν ἐκ χειρὸς ὁ ἔρως ὁ Διὸς παῖς. οὕτως ἵνα μὴ δόξῃ τὸ κοινὸν βέλος λέγειν, φησὶ τὸ τῆς Ἀφροδίτης· καὶ

ANNOTATIONES.

V. 513. Δεῖ δ' ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου) Præter *Scholiaſten*, vide *Franciſci Rous* Archaiolog. Attic. l. 4. c. v. De Philtris & Incantamentis, ubi hunc locum notat. *Joſua Barnes.*

V. 516. Πότερα δὲ χριστὸν, ἢ ποτὸν τὸ φάρμακον) In noſtris literis Χριστὸν, cui Nomini inſcribimur, χριόμενος vel κεχρισμένος ſonat; in hoc verò loco ſignificat τὸ μέλλον χρίεσθαι ἐργασθέν. Ita quidem *Æſchylus* in *Prometheo* Vincto, v. 469. Οὐκ ἦν ἀλέξημ' οὐδὲν, οὔτε βρώσιμον, Οὐ Χριστὸν, οὐδὲ πιστὸν, ἀλλὰ φαρμάκων Χρείᾳ κατεσκέλλοντο &c.—— In quem locum *Scholiaſtes* ——Οὔτε τὸ δι' ἐπιχρίσεως ἰᾶσθαι. *Ariſtoph. Pluto* fol. 37. Πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον Καταπλαστὸν ἐνεχείρει τρίβειν &c. Ubi *Scholiaſtes* ——Τῶν φαρμάκων, τὰ μὲν ἐστὶ καταπλαστὰ, τὰ δὲ Χριστὰ, τὰ δὲ ποτά. [illegible] Addo & ego, καὶ χριστὸν, τὸ ἔξωθεν ἐγχριόμενον. Ut ſit idem quod ἔγχριστον apud *Theocrit.* Idyll. 11. v. 1. Οὐδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο, Νικία, οὔτ' ἔγχριστον (ἐμὶν δοκεῖ) οὔτ' ἐπίπαστον, Ἢ ταὶ Πιερίδες. &c. Ubi *Scholiaſtes* iterum, Ἴσθι, ὅτι τῶν φαρμάκων τὰ μὲν οἷον χριστὰ, ἅπερ ἐπιχριόμεθα εἰς θεραπείαν, τὰ δὲ ποτὰ, ἅπερ πίνομεν, τὰ δὲ ἐπίπαστα, ἅπερ ἐπιπάσσομεν. Vid. quæ Nos ad *Euripid.* Ino. v. 12. *Joſua Barnes.*

V. 525. Ἔρως, ἔρως, ὃ κατ' ὀμμάτων) Ita lego Veterum librorum authoritate, nec enim ὃς cum *Scaligero* legere auſim, nè verſui noceam; ſed nec opus, ὃ enim pro ὃς & poni poteſt & ab *Homero* non ſemel ponitur, *Iliad.* α. v. 388. Ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστί & v. 351. [illegible] Ὃ κατ' ὀμμάτων στάζεις πόθον) Hunc locum *Tibullus* imitatus eſt in laude *Sulpitiæ* ad *Martem*,

Illius ex oculis, cùm vult exurere Divos,
Accendit geminas lampadas acer Amor.

Obſervavit *Andr. Schottus* Human. Obſer. l. 2. c. 13. *Propertius* l. 2. Eleg. 12. v. 12. *Si neſcis, Oculi ſunt in amore Duces.* Ita *Muſæus* v. 93. Ὀφθαλμὸς δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων Ἕλκος ὀλισθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει. Vid. plura in hanc rem apud *Tobiæ Magiri* Polymnemon, titulo *Amoris* Incentiva, §. 22. ad §. 26. His adde, Σχεδὸν γὰρ [illegible] διὰ τῶν ὀφθαλμῶν ἐπὶ τὴν ψυχὴν παρίει. *Lucian.* I. 902. Vid. ad *Eſtheram* noſtram v. 377. *J. Barnes.*

κινεῖ δὲ τὸ βέλος τοῦ πυρὸς, καὶ τὸ βέλος τῶν ἄστρων. Ἄλλως. ὁ μὲν τοῦ πυρὸς βολὰ τὸ δυνατόν· ὁ δὲ τῶν ἄστρων πρὸς τὸ ἐπιδεικτικόν. τὸ μὲν γὰρ ἀναλωτικὸν τῶν ἐμπιπτόντων· τὸ δὲ ὀξείας καὶ ὑπόχους ἔχον τὰς ἀφὰς, ὥστε τὸ μὲν πρὸς τὴν ἰσχὺν, τὸ δὲ πρὸς τὴν εὐστοχίαν. ἔτι γὰρ τοῦ πυρὸς ἔτι τῶν ἄστρων τῶν τοῖς χειμερίοις ἐμπιπτόντων τὸ βέλος, χεῖρόν ἐστι τοῦ τῆς Κύπριδος βέλους. Ἄλλως. Μάτην θύομεν Διὶ Ὀλυμπίῳ καὶ Ἀπόλλωνι Πυθίῳ, μὴ τιμῶντες τὸν Ἔρωτα τὸν ὄντα φύλακα μὲν ἀνθρώπων, φύλακα δὲ τῶν ἀφροδισίων θαλάμων, τὸν περθόντα καὶ ὀλοθρεύοντα τὸν τῶν ἀνθρώπων βίον, καὶ διὰ πάσης συμφορᾶς πόνοις καὶ λύπαις περιέχοντα, καὶ θνητοὺς παρεθλίβοντα, ὅτ' ἂν πρὸς αὐτοὺς ἔλθῃ.

Ἀντιστροφὴ α΄.

1 Ἄλλως ἄλλως παρά τ' Ἀλφεῷ,
2 Φοίβου τ' ἐπὶ Πυθίοις τεράμνοις,
3 Βούταν φόνον Ἑλλὰς αἔξει δή.
4 Ἔρωτα δὲ τὸν τύραννον ἀνδρῶν,
5 Τὸν τᾶς Ἀφροδίτας
6 Φιλτάτων θαλάμων
7 Κλῃδοῦχον, οὐ σεβίζομεν,
8 Πέρθοντα, καὶ διὰ πάσας
9 Ἰόντα συμφορᾶς
10 Θνατοῖς, ὅταν ἔλθῃ.

Στροφὴ β΄.

1 Τὰν μὲν Οἰχαλίαν
2 Πῶλον, ἄζυγα λέκτρων,
3 Ἄνανδρον τοπρὶν, καὶ
4 Ἄνυμφον, οἴκων
5 Ζεύξασ' ἀπ' εἰρεσίαν δρομάδα,
6 Τὰν ναΐδ', ὅπως τε βάκχαν,
7 Σὺν αἵματι, σὺν καπνῷ,
8 Φονίοις θ' ὑμεναίοις,
9 Ἀλκμήνας τόκῳ Κύπρις ἐξέδωκεν·
10 Ὦ τλᾶμον ὑμεναίων.

Ἀντιστροφὴ β΄.

1 Ὦ Θήβας ἱερὸν
2 Τεῖχος, ὦ στόμα Δίρκας,
3 Συνείποιτ' ἂν, οἷον
4 Ἁ Κύπρις * ἕρπει. [* Scal. ἵρπει.]
5 Βροντᾷ γὰρ ἀμφιπύρῳ, τοκάδα
6 Τὰν Διογόνοιο Βάκχου

Antiſtrophe 1.

1 Fruſtrà, fruſtrà, & ad Alpheum,
2 Phœbique in Pythiis delubris,
3 Mactationem boum jam auget Græcia.
4 Amorem verò tyrannum hominum,
5 Filium Veneris,
6 Gratiſſimum thalamorum
7 Janitorem *atque cuſtodem* non colimus,
8 Perdentem homines, & per omnes
9 Calamitates euntem
10 Mortalibus, quû *ad eos* venerit.

Strophe 2.

1 Oechaliam enim
2 Puellam expertem conjugii,
3 Quæ priùs ſine marito fuerat, &
4 Innuptam ædibus,
5 Jungens connubio inexpertem, liberam,
6 Rodem illam, velut baccham,
7 Cum ſanguine, & cum fumo,
8 Cruentiſque hymenæis,
9 Alcmenæ filio *i. e. Herculi*, Venus dedit:
10 O miſeram propter nuptias.

Antiſtrophe 2.

1 O ſacer Thebarum
2 Murus, ô os Dircæ,
3 Dicite ſimul quomodo
4 Venus veniat.
5 Cum fulmine enim ignito matrē
6 Bacchi à Jove geniti

Τὸν τύραννον) καλῶς ὁ βασιλέα, ἀλλὰ τύραννον αὐτόν φησιν, ἐπειδὴ μὴ προνοεῖται τῆς τῶν ἀρχομένων ὠφελείας. πονοῦντα δὲ λυσιτελοῦντα τῇ ἑαυτοῦ προαιρέσει κατεργάζεται, ἐπίδειξιν τῆς δυναστείας ποιούμενος. Κλῃδοῦχον οὐ σεβίζομεν) τὸν φύλακα τῶν οἴκων οὐ τιμῶμεν. φύλακα δὲ τῶν ἀφροδισίων αὐτὸν ἔφη θαλάμων. δι' ἔρωτος γὰρ ἀφροδισιάζομεν, καὶ τότε καθ' αὐτῶν ὀργῶμεν, ὁπότ' ἂν ἐκεῖνος τὴν ἐπιθυμίαν εἰς ὑμᾶς ἐπιπέμψῃ. Τὰν μὲν Οἰχαλίαν) περὶ τῆς Ἰόλης ὁ λόγος, ὅτι ὁ πατὴρ ἕνεκα τὴν Οἰχαλίαν ἐπόρθησεν. ἔνιοι μὲν γάρ φασιν ἀτιμασθέντα τὸν Ἡρακλέα ὑπὸ Εὐρύτου καὶ τῶν ἀδελφῶν αὐτῆς (οὐ γὰρ ἐδίδοσαν αὐτῷ τὴν κόρην) πορθῆσαι τὴν Οἰχαλίαν. Ἡρόδοτος δέ φησιν, ὅτι τοῦ τῆς Ἰόλης γάμου προκειμένου τοξείας ἔπαθλον, Ἡρακλέα νικήσαντα ἀπαξιωθῆναι τοῦ γάμου. διὸ καὶ κατὰ κράτος ἑλεῖν τὴν Οἰχαλίαν, καὶ τοὺς ἀδελφοὺς αὐτῆς ἀνελεῖν. Εὔρυτον δὲ φυγεῖν εἰς Εὔβοιαν. Λυσίμαχος δέ φησιν ἐν τοῖς Θηβαϊκοῖς παραδόξοις λ΄. ἀργυρείῳ ταλάντῳ ἀπελύετο τὸν φόνον ἐπὶ Ἰφίτῳ, ἕως ὑπ' αὐτοῦ Ἡρακλῆς ἐφείσθη. 546. Πῶλον ἄζυγα) παρθένον, ἄπειρον γάμου, πρότερον οὖσαν. τὴν δὲ τὸ ἀνανδρὸν αὐτῆς οἴκησιν. λέγει δὲ τὴν Ἰόλην τὴν παῖδα τοῦ Εὐρύτου, ἣν ἔλεγε διδόναι τῷ νικῶντι ἐάν. πόλιν δὲ τὸ ἄνανδρον αὐτῆς οἴκησιν. λέγει δὲ τὴν Ἰόλην τὴν παῖδα τοῦ Εὐρύτου, ἣν ἔλεγε διδόναι τῷ νικῶντι αὐτὸν κατὰ τὴν τοξικήν. ἐλθὼν γὰρ ὁ Ἡρακλῆς ἐνίκησε τοῦτον. ὁ δὲ Εὔρυτος παρῃτήσατο δοῦναι αὐτὴν, καὶ ἕνεκα τούτου πορθήσας ὁ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, καὶ αὐτὴν ἔλαβε πρὸς γάμον. Ζεύξασ' ἀπ' εἰρεσίαν) ἀποζεύξασα ἀπὸ βασιλείας ὁ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, καὶ αὐτὴν ἔλαβε πρὸς γάμον. ὁ δὲ νοῦς· τὴν μὲν ἐν Οἰχαλίᾳ παρθένον, ἄνανδρον, ἄνυμφον οὖσαν τὸ πρότερον, δὲ καὶ ἀποχωρήσασαν τῶν οἴκων. ὁ δὲ νοῦς τὴν μὲν ἐν Οἰχαλίᾳ παρθένον ... ἀποχωρήσασαν τῶν οἴκων. ἡ δὲ καὶ ἀποχωρήσασα τῶν οἴκων ἡ Ἀφροδίτη τῷ Ἡρακλεῖ σὺν φόνοις καὶ ἐπὶ πορθήσει τῷ πατρὸς ἐπέδωκεν. τῶν νομικῶν οἴκων ἀποχωρήσασα ἡ Ἀφροδίτη τῷ Ἡρακλεῖ σὺν φόνοις καὶ ἐπὶ πορθήσει τοῦ πατρὸς ἐπέδωκεν. Σὺν αἵματι) πρέπον σὺν αἵματι καὶ καπνῷ ὁ πατρὸς αἰτία γέγονεν, ἤτοι πρέπον ὁ γάμος αὐτῆς πρόξενος τοῦ ἐκείνου ὀλέθρου ἐγένετο, ὡς καὶ Σοφοκλῆς ἐν Τραχινίαις· τὸ ἑξῆς, ἐπειδὴ Ἀλκμήνης τόκῳ Κύπρις ἔδωκεν, ἀντὶ τοῦ νομίμου ὄλεθρον ἐγένετο. δηλοῖ δὲ ἐπιθέτῳ τὸ προσηγορικόν. Βροντᾷ γάρ) τῇ Ἀφροδίτῃ ἀναπέθησε τὴν Σεμέλης κεραύνωσιν, ὅτι καθὼς Ζεὺς ἀνακρινόμενος ὑπὸ ἥλιον... τοῦ ἔρωτι ἐπειδὴ τῇ Σεμέλῃ τὸ τῶν ἐρώτων ἀναδεξάμενος πάθος. ἢ καθὸ ἐν μέσῃ ἀφροδισιασμῷ ἀπώλετο. διαπέπλασται δὲ τὰ τοῦ μύθου, καθὸ ῥιζοβολεῖν ἀρχόμεναι πολλάκις ἐν τῇ μίξει, καὶ τῷ ἀφροδισιασμῷ ἀπώλετο. Ἀμφιπύρῳ δὲ) τῷ πεπυρωμένῳ, ὡς εἰ ἔλεγε τῷ ἐκ ἀμφοτέρων ..., πολλάκις τῇ καύσει τῶν νότων ἐκκόπτονται. τὴν γὰρ μητέρα τοῦ Βάκχου Σεμέλην συγκοιμηθεῖσαν τῷ Διΐ, ἀλλὰ περὶ ἀμφιπύρῳ, πότμῳ φονίῳ κατακοιμισεν εὐφήμως, ἀντὶ τοῦ ἀπώλεσεν, ἡ Ἀφροδίτη δηλονότι.

ANNOTATIONES.

V. 545. Τὰν μὲν Οἰχαλίαν πῶλον) *Iolen* vocat πῶλον, ut aliàs *Oreſtem* infantem μόσχον vocat. Vid. *Scholiaſten* & quæ Nos ad *Rheſ.* v. 261. Huc refer illud *Epicratis* apud *Ælian.* De Animal. l. 12. c. 10. Τέλος δ' ὑπαλθὼν ὁ κατάρατος προαγωγὸς Ἐμπορεύεται τὰς πώλους, τὰς Ἀφροδίτας, Τὰς περιστερὰς, ὡς δάμαλις, ὡς παρθένος. Ὦς ἀπῆλθ' ἄδμης· ὁ δ' ἄρ' ἐν μόνῳ μία. *Joſua Barnes.*

V. 546. Ἄζυγα λέκτρων) *Pleonaſmus*, ut πῶλος ἄζυξ. Vide quæ Nos ad *Androm.* 612.

V. 550. Τὰν ναΐδ', ὅπως τε Βάκχαν) Τὰ ναΐδα hîc non ut proprium nomen Nympham *Naiada* ſignificat, ut & Scholiaſtes vocat; ſed ab νάω ὁ ἐξῶ, *rudis*, *infolens*, quod à νέω *dilo*, *fero*, derivatur: Verbum *Homero* notum *Iliad.* l. v. 998. Οὐδ' ἐ' εἴδρισι, ἀλλά γ' ἔτι Ἄλκυμος ὁ Σάρωνι ... ſeq. Unde & *Latinæ* Verſioni medicas manus attuli. *Joſua Barnes.*

V. 560. Τὰν Διογόνοιο Βάκχου) Ingenioſè ſatis hîc *Scaliger* legit διγόνοιο, quia *Bacchus* erat bis genitus; ſed illa lectio verſiui obeſt, qui reſpondet 600. Strophe præcedentis per omnia —— Τὰν ναΐδ', ὅπως τε Βάκχαν. Quare retinendum Διογόνοιο, à *Jove* genitum. *Joſua Barnes.*

7 Νυμφί-

Δεινὸν γὰρ πάντα) ὑπὸ θαυμαστοῦ ἀρξαμένη, καὶ εἰς θαυμαστὸν κατέληξεν, ὥς τι θαυμάζων ἄρχεται, καὶ θαυμάζων παύεται. δεινὴ γὰρ ἡ Ἀφροδίτη, καὶ πανταχόθεν δίκην μελίσσης ἐφίπταται, τὰ κάλλιστα τῶν σωμάτων μαραίνουσα.

7 Νυμφευσαμένην, πότμῳ
8 Φονίῳ κατεύνασε.
" 9 Δεινὸν γὰρ τὰ πάντ' ἐπιπνεῖ· μέλισσα
" Δ' οἵα τις πεπόταται.

7 Nuptam, fato
8 Letali sopivit, ac necavit.
" 9 Horribili enim Venus omnia afflatu ciet: apis autem
" Ut quædam ad flores, sic Venus ad homines volat.

ARGUMENTUM Actûs Tertii.

PHædra præ foribus auscultans, intelligit Nutricem amorem suum Hippolyto jam intùs revelare: Quâ de re exclamat; Nutricem, seque ipsam devovet. Scenâ apertâ, Nutrix & Hippolytus apparent: illa Dominæ causâ nihil non agit; hic autem vehementi indignatione motus in Phædram & illius gratiâ omne Genus muliebre invehitur. Phædra, Hippolyti duritiem intelligens, suámque turpitudinem palàm factam & amorem penitùs rejectum, Nutricem acritèr incessit, cujus nimis officiosâ operâ res fuerat prodita; tandémque Vitam sibi laqueo abrumpere decernit; tacitè interim Hippolyto, ob quem erat peritura, minitando. Chorus intelligens quorsum hæ minæ spectarent, optat se procul esse vel in Avem mutari, quò in alium Orbem avolaret; ne miserias, quas Thesei Domui hinc orituras auguratur, præsens videret. Postremò mala Conjugii Phædræ auspicia plorans memorat.

ΙΠΠΟΛΥΤΟΣ, ΤΡΟΦΟΣ, ΦΑΙΔΡΑ, ΧΟΡΟΣ.

Σιγήσατ' ὦ) ἐξελθοῦσα περιχαρῶς ἡ Φαίδρα, τὴν ἀπειλὴν τῆς γραὸς αἰσθηθεῖσα. σιγὴν δὲ αἰτεῖ πρὸς ἀκρίβειαν πυθέσθαι βουλομένη καὶ αὐτὴ ἀκοῦσαι προτρεπομένη τὰ λεγόμενα παρὰ Ἱππολύτου. Τί δ' ἐστὶ Φαίδρα) περὶ τὴν τῆς Φαίδρας ἀγωνίαν καταγινόμενος ὁ χορὸς, οὐκ ἐπαΐει τῶν τοῦ Ἱππολύτου λόγων. καὶ τοῦτο εἰκότως φυλάξαντος τοῦ τραγικοῦ, προσπαθέστερα γάρ ἐστιν τὰ Φαίδρας λεγόμενα. Ἰώ μοι μοι, αἶ αἶ) πρὸς ὀλίγον ἐν τῇ σκηνῇ σιωπῆς γενομένης, ἀκούσασα τὰ λεγόμενα ἡ Φαίδρα καὶ μὴ ἐνεγκοῦσα τὸ πάθος, ἀνέκραξεν. ἡ οἰκονομικῶς οὐκ ἐξέβαλεν Ἱππολύτῳ, ἀλλὰ συντελεσμένην τῆς Φαίδρας τὴν ἀγωνίαν. Ἔνεπε τίς) εἰπὲ, γύναι, ποῖος ὑπολαβὼν εἰσελθὼν εἰς τὰ ὦτά σου, ἐξέπληξέ σε. Ἢ οὕτως· εἰπέ μοι, ποία φήμη καὶ βοὴ ἀφορμήσασα ἐκφοβεῖ σου τὰς φρένας. ἐπίσσυτον δὲ εἰς τὰς φρένας, ἢ συναπτέον αὐτῷ τὸ ἐπίσσυτος. ἑκατέρως γὰρ δύναται νοηθῆναι. Παρὰ κλῇθρα) παρὰ ταῖς πύλαις· παραιτεῖται τὴν ἀκοήν, ἐπεὶ πολλάκις ἔμελλε διαδιδόναι αὐτῇ ἃ ἤκουσεν, καὶ ἐν τούτῳ μείζων αὐτῇ ἡ λύπη γίνεται. ὁ δὲ νοῦς· σὺ παρὰ κλῇθρα ἵστασο. σοὶ γὰρ ἐν φροντίδι ἐστὶν ἡ ἐκ τῶν οἴκων πεμπομένη φωνή. Ὁ τῆς φιλίππου) ὁ τῆς Ἀμαζόνος Ἱππόλυτος, Ἀντιόπης παῖς τῆς φιλούσης τοὺς ἵππους, βοᾷ ὑβρίζων τὴν δούλην, ἤτοι τὴν τροφόν. Ἰαχὰν μὲν) φωνὴν μὲν κλύω, αὐτὰ δὲ τὰ λεγόμενα οὐκ ἔχω σαφῶς εἰπεῖν. 586. Τὸ δὲ ἔπα) ἀντὶ τοῦ ὁπόθεν καὶ ἐκ τίνος οὖν. διὰ τὸ μὴ ἀκούειν ἔτι τῶν λόγων, οὐδὲ εἰπεῖν δύναται, τίς ἡ βοή. παραιτεῖται δὲ πάλιν ὁ θέλουσα μαρτυρεῖν τὸ δυσχερὲς, διὰ τὸ αἰσθέσθαι τῶν λεγομένων. [Ἄλλως, ὄπα. φωνήν· οὐκ ἔχω σαφῶς διακρῖναι, τίς ἡ φωνή, διὰ τὸ μὴ ἐγγὺς εἶναι.]

Φα. Σιγήσατ', ὦ γυναῖκες· ἐξειργάσμεθα.
Χο. Τί δ' ἐστὶ, Φαίδρα, δεινὸν ἐν δόμοισι σοῖς;
Φα. Ἐπίσχετ'· αὐδὴν τῶν ἔσωθεν ἐκμάθω.
Χο. Σιγῶ· τὸ μέντοι φροίμιον κακὸν τόδε.
Φα. Ἰώ μοι. αἶ, αἶ, αἶ, αἶ.
Ὦ δυστάλαινα, τῶν ἐμῶν παθημάτων.

Phæ. TAcete, mulieres; perditæ sumus.
Cho. Quid verò est mali, ô Phædra, in tuis ædibus?
P. Cohibete vos, ut cognoscâ clamorem illorum, qui intus sunt.
Cho. Taceo: hoc tamen est malum exordium.
Phæ. Heu me, heu, heu, heu, heu!
O me miseram propter mea mala, quæ patior!

ΠΕΡΙΚΟΜΜΑΤΑ.

PERICOMMATA.

Στροφὴ α΄.

Χο. 1 Τίνα θροεῖς αὐδάν;
2 Τίνα βοᾷς λόγον;
3 Ἔνεπε, τίς φοβεῖ σε
4 Φάμα, γύναι, φρένας ἐπίσσυτος;

Strophe 1.

Ch. 1 Quem edis ejulatum?
2 Quæ vociferaris verba?
3 Dicito, quæ terret te
4 Fama, ô mulier, in tuum animum subitò ruens?

Σύστημα α΄.

Φα. 1 Ἀπωλόμεσθα· ταῖσδ' ἐπιστᾶσαι πύλαις,
2 Ἀκούσαθ', οἷος κέλαδος ἐν δόμοις πίτνει.

Systema 1.

Phæ. 1 Periimus: his autem vos astantes foribus,
2 Audite, qualis strepitus in ædibus ruat, excitetur.

Στροφὴ β΄.

Χο. 1 Σὺ παρὰ κλῇθρα· σοὶ
2 Μέλει πομπίμα
3 Φάτις δωμάτων.
4 Ἔνεπε δ' ἔνεπέ μοι,
5 Τί ποτ' ἔβα κακόν;

Strophe 2.

Cho. 1 Tu stas ad januam; tibi
2 Curæ est, quæ venit
3 Ex ædibus fama.
4 Dic autem, dic mihi,
5 Quidnam accidit mali?

Σύστημα β΄.

Φα. 1 Ὁ τῆς φιλίππου παῖς Ἀμαζόνος βοᾷ,
2 Ἱππόλυτος, αὐδῶν δεινὰ πρόσπολον κακά.

Systema 2.

Phæ. 1 Filius bellicosæ Amazonis clamat
2 Hippolytus, dicens contra Nutricem gravia mala.

Ἀντιστροφὴ β΄.

Χο. 1 Ἰαχὰν μὲν κλύω,
2 Σαφὲς δ' οὐκ ἔχω
3 Γεγωνεῖν * ὄπα.

* al. ἔσω.

Antistrophe 2.

Cho. 1 Audio quidem sonum:
2 Clarè tamen non possum
3 Percipere vocem.

4 Δια

4 Διὰ πύλας ἔμολεν,

5 Ἔμολέ σοι βοά.

Ἀντισύστημα β'.

Φα. 1 Καὶ μὴν σαφῶς γε τὴν κακῶν προμνήστριαν,

2 Τὴν δεσπότου προδοῦσαν ἐξαυδᾷ λέχος.

Ἀντιστροφὴ α'.

Χο. 1 Ὤιμοι ἐγὼ κακῶν·

2 Προδέδοσαι, φίλα.

3 Τί σοι μήσομαι; πῶς

4 Κρυπτὰ γὰρ πέφηνε, διὰ δ' ὄλλυσαι.

Φα. Αἶ, αἶ· ἒ, ἕ. Χ. Πρόδοτος ἐκ φίλων.

Ἀντισύστημα α'.

Φα. 1 Ἀπώλεσέν μ' εἰποῦσα συμφορὰς ἐμάς,

2 Φίλως, καλῶς δ' οὐ, τήνδ' ἰωμένη νόσον.

Ἴαμβοι.

Χο. Πῶς οὖν; τί δράσεις, ὦ παθοῦσ' ἀμήχανα;

Φα. Οὐκ οἶδα, πλὴν ἕν, κατθανεῖν, ὅσον τάχος,
Τῶν νῦν παρόντων πημάτων ἄκος μόνον.

Ιπ. Ὦ γαῖα μῆτερ, ἡλίου τ' ἀναπτυχαί,
Οἵων λόγων ἄρρητον εἰσήκουσ' ὄπα.

Τρ. Σίγησον, ὦ παῖ, πρίν τιν' αἰσθέσθαι βοῆς.

Ιπ. Οὐκ ἔστ', ἀκούσας δείν', ὅπως σιγήσομαι.

Τρ. Ναὶ πρός σε τῆς σῆς δεξιᾶς εὐωλένου.

Ιπ. Οὐ μὴ προσοίσεις χεῖρα, μηδ' ἅψῃ πέπλων.

Τρ. Ὦ πρός σε γονάτων, μηδαμῶς μ' ἐξεργάσῃ.

Ιπ. Τί δ', εἴπερ, ὡς φής, μηδὲν εἴρηκας κακόν;

Τρ. Ὁ μῦθος, ὦ παῖ, κοινὸς οὐδαμῶς ὅδε.

Ιπ. Τά τοι καλ' ἐν πολλοῖσι κάλλιον λέγειν.

Τρ. Ὦ τέκνον, ὅρκους μηδαμῶς ἀτιμάσῃς.

Ιπ. Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Τρ. Ὦ παῖ, τί δράσεις; σοὺς φίλους διεργάσῃ;

Cho. 4 Per fores tranſiit,

5 Venit tibi vox.

Antiſyſtema 2.

P. 1 Atqui perſpicuè ſane illã malorũ pronubã, *& conciliatricem,*

2 Quæ domini lectum prodidit, eloquitur.

Antiſtrophe 1.

Cho. 1 Hei mihi, mihi, propter mala.

2 Prodita es, ô chara.

3 Quid tibi dem conſilii?

4 Arcana enim ſunt revelata: periiſti.

Ph. Heu, heu! heu heu! *Cho.* Prodita es ab amicis.

Antiſyſtema 1.

Phæ. 1 Perdidit me, dicens mea mala,

2 Amicè *quidem,* ſed non rectè curans hunc morbum.

Chorus.

Quomodo igitur? quid facies, ô *mulier* paſſa incurabilia *mala*?

Phæ. Haud ſcio, niſi unum, mori quàm primum,

Quod eſt præſentium malorum remedium unicum.

Hip. O terra mater, Soliſque volumina, *radiiq; per aerem explic.*

Qualium ſermonum infandam audivi vocem?

Nut. Tace, ô fili, priuſquam audiat vocem aliquis.

Hip. Non poteſt fieri ut taceam, cum tam atrocia audiverim.

Nut. Oro te per tuam pulchram dextram.

Hip. Ne admoveas manum, neque attingas veſtem

Nut. O per genua tua te rogo, ne me perdas.

Hip. Quid verò *tacebo,* ſiquidem, ut dicis, nihil mali locuta es?

Nut. O fili, hoc meum dictum non eſt evulgandum.

Hip. Honeſta tamen inter multos honeſtum eſt dicere.

Nut. O fili, jusjurandum ne contemnas

Hip. Lingua juravit, mens verò *manet* injurata.

Nut. O fili, quid facies? perdes tuos amicos?

Προμνήστριαν) καὶ ἐρμηνεύτριαν, προξενήτριαν. Φίλως μὲν) καλῶς δ' οὔ. προσφιλῶς μὲν ἐμοὶ πρᾶξαι βουλομένη, καὶ πάντα τεύχω τοῦτο σκοποῦσα, οὐ μὴν τι καλῶς, ἐπεὶ οὐκ ἐστοχάσατο τοῦ μέλλοντος τὸ τέλος. καὶ εὐνοίας μὲν φησὶ, καὶ οὐκ ἐξ ἐπιβουλῆς. καὶ ἔστιν ὁμοία τῷ παροιμίᾳ, † δ' εὖ νοιᾶ ἄκαιρος οὐδὲν διαφέρουσα ἔχθρας. Οὐκ οἶδα πλὴν ἕν) τὸ ἑξῆς οὐκ οἶδα τῶν νῦν παρόντων πημάτων ἄκος, πλὴν ἓν τὸ κατθανεῖν ὅσον τάχος, οὐκ οἶδα φησί τι πρακτέον μοι ἐν τοῖς νῦν κακοῖς, πλὴν ἓν μοι ἴαμα τὸ ἀποθανεῖν διὰ τάχους. Ὦ γαῖα μῆτερ) ὡς φιλόσοφος τὸν ἥλιον καὶ τὴν γῆν ἐπικαλεῖται, προσμαρτυροῦντας χάριν τῶν εἰρημένων. ὅθεν δὲ προτραγῳδήσας ἱκανῶς ἐπὶ τὴν ὀργὴν Ἱππολύτου, καὶ τὴν ἱκεσίαν τῆς γραὸς ἀπεξέρχεται, πρότερον ἀρξάμενος ὑπὸ τοῦ τραγικοῦ, δηλαδὴ τῆς ὀργῆς τοῦ Ἱππολύτου, τὴν ἐξ ἀρχῆς ἀδολεσχίαν τῆς γραὸς, καὶ τὸν ὅρκον ἀποκρυψάμενος. ὡς φιλόσοφος δὲ γῆν καὶ ἥλιον ἐπιβοᾷ. ἐπεὶ ἀρχαὶ πάντων εἰσὶ, γῆ μὲν πάντων μήτηρ κατὰ Ἡσίοδον, ἥλιος δὲ ἐπεὶ πάντα ἐφορᾷ καὶ πάντ' ἐπακούει. Ἀναξαγόρας οὖν τὸν ἥλιον μύδρον ἔφη, καὶ ἐξ αὐτοῦ πάντα γίνεσθαι. ὁ ἀκολουθήσας Εὐριπίδης, χρυσέαν βῶλον αὐτὸν εἴρηκεν. ἡλίου δὲ ἀναπτυχαὶ, αἱ ἀκτῖνες, καθὰ τὰ σκότος ἀναπτύσσουσι, καὶ ἡμῖν δηλοῦσι τὰ πάντα διὰ τοῦ φωτός. Ἄρρητον) οὐκ ἀξίαν τοῦ ῥηθῆναι καὶ ὀνομασθῆναι, ἣν οὐδὲ λόγῳ διεξιέναι καλόν. 605. Ναὶ πρὸς σὲ) ναὶ σίγησον λιτομαί σε, πρὸς τῆς σῆς δεξιᾶς τῆς καλὸν βραχίονα ἐχούσης. ἐνομίζετο γὰρ κατὰ τῆς δεξιᾶς ἱκετεύειν, ὡς κατὰ τῶν γονάτων. Μὴ προσοίσης χεῖρα) ὡς μυσαττόμενος καὶ τὴν δεξιὰν αὐτῆς, τοῦτο φησὶ, ἢ μᾶλλον φοβούμενος ἁλῶναι ταῖς ἱκεσίαις. Τί δ' εἴπερ ὡς φὴς) τί δὲ ἐκ τῆς διανοίας σιωπᾶσαί με θέλεις, εἴπερ οὐδὲν εἴρηκας κακόν; Ὡς) ὁρᾷς φησὶν, ὅτι σκέπτεις τῶν εἰρημένων τὴν κακίαν τῇ σιωπῇ. ἐπεὶ δὲ καλά ἐστι, τί με κωλύεις βοῶντα; ἔστι δὲ ὁ λόγος ἐν ἤθει ἐκ τοῦ ἀντικειμένου. εἰ δὲ μηδὲν εἴρηκας κακὸν, οὐδὲν σοι κακοῦ κακὸν, κἂν εἴπω. Ὁ μῦθος ὦ παῖ) παραλογίζεται τὸν νεανίσκον τῇ μεταθέσει τῶν ὀνομάτων, κλέψασα τὴν ἀκρόασιν. δέον γὰρ εἰπεῖν οὐ καλὸν, φησὶν οὐ κοινὸς, οὐ πᾶσιν ὀφείλων ἀνακοινωθῆναι. τὸ γὰρ μέχρι τινὸς καὶ καλὰ σιωπώμενα. Ἄλλως. ὁ περὶ γάμων μῦθος οὐκ ὀφείλει λεχθῆναι πᾶσι. Τά τοι καλ' ἐν πολλοῖσι) δεινότερον αὐτῆς εἶλε τὴν ἐκ τῶν ὀνομάτων ἀπάτην, εἰ γὰρ οὐ κοινὰ, δῆλον, ὡς οὐδὲ τὰ καλά. τῷ γὰρ δημοτελεῖ τῆς ἐπιδείξεως πλέον δοξάζεται τὸ χρηστόν. 612. Ἡ γλῶσσ' ὤμοσεν) μὴ οὐκ εἰδὼς ὤμοσα. οὐ γὰρ γνοὺς περί τινος ὀμνύω, ὤμοσα. τὰ δὲ κατ' ἄγνοιαν τῶν ὅρκων γενόμενα συγγνώμης τυγχάνει παρὰ θεοῦ. οὐ κακόδολος δὲ τὸ τοιοῦτον, ἀλλὰ νῦν ἐπειδὴ ἡ γραῦς πρὶν εἰπεῖν τὸν μῦθον αὐτῷ, καὶ πρὶν εἰς ἔννοιαν ἐλθεῖν αὐτὸν τοῦ ῥηθησομένου, ὅρκον ᾔτησεν τῆς σιωπῆς καὶ τῆς διανοίας. ὃ δὲ μὴ προειδὼς ἐφ' ᾧ ὤμοσεν, ὤμοσε. φησὶν ἡ γλῶσσα προπετέστερον, καὶ παρὰ γνώμην τῆς φρενὸς ὀμώμοκεν. Ἀριστοφάνης καθολικώτερον νοήσας φησὶ, τὸν Εὐριπίδην ὑβρίζειν τῆς γλώττης τὴν διάνοιαν, ὡς ἂν μὴ τὰ δόξαντα τῇ κρίσει τῆς διανοίας φθεγγομένης, ἄλλως τε φαίνει

† Lego, Εὔνοι' ἄκαιρος οὐδὲν ἔχθρας διαφέρει.

ANNOTATIONES.

V. 601. Ἡλίου τ' ἀναπτυχαί) *Scholiaſtes* explicat per αὐγὰς, quem videſis; ita *Ion.* v. 1445. Ἰὼ, ἰὼ· λαμπρᾶς αἰθέρος ἀναπτυχαί· Similiter *Ion.* v. 1516. Φῶς. Ἄρ' ὦ φοιβαῖς ἡλίου ἀναπτυχαῖς, in quem locum vide quæ Nos. *Joſua Barnes.*

V. 610. Τά τοι καλ' ἐν πολλοῖσι κάλλιον λέγειν) Huc refer illud *Agathiæ* Scholiaſtici in Imaginem *Hippolyti* cum Nutrice colloquentis, Ἱππόλυτος· σὺ γραὺς ἐπ' ἐμὲ τῶν κακῶν μῦθον φθέγξῃ· ἀλλ' ἐμοῖς οὐ δυναμένη πλάσσειν· Ὅσον δ' ἐκ βλεφάρων μαρτυρεῖται ὁ πᾶσιν, Ὅτι κακῶς ἔφησας, μᾶλλον ἄδικον λέγειν. Extant *Antholog.* l. 4. c. 8. fol. 312.

V. 612. Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος) Vid *Ciceronem* l. 3. Officiorum, de Fortitudine, ubi inter alia hæc dicit, "Non enim falſum jurare, Pejerare eſt; ſed quod ex animi ſententia juraveris, ſicut verbis concipitur (more noſtro) id non facere, Perjurium eſt. Scitè enim *Euripides, Juravi linguâ, Mentem injuratam gero.* Hæc ille. Quem Verſum tamen *Grotius* vertit magis Ἰαμβικῶς *Jurata Lingua eſt, Mente Juravi nihil.* Hunc locum ita *Ovidius* in *Cydippa* Epiſtolâ expreſſit, *Quæ jurat Mens eſt; nil conjuravimus illâ.* Vid. de hoc verſu *Ariſtot.* Ῥητορικῶν l. 3. & *Dan. Heinſii* Exercit. Sacr. p. 642. Item *Hug. Grotii* de Jure Belli & Pacis l. 2. c. xiii. §. iv. Ubi affirmat hæc, *Nam ſi certum eſt, eum, qui juravit, aliquod factum ſuppoſuiſſe, quod reverà ſe ita non habeat, non obligabit Juramentum.* Ἱππόλυτος γὰρ ἀπατηθεὶς ὑπὸ τῆς τροφοῦ ὠμόμοκεν. *Joſua Barnes.*

Διὸ

διὰ τῶν ἑξῆς τὸ εὐσεβὲς αὐτοῦ φυλάττων. φησὶν εἰ μὴ λέγοις ὅπως ἄφρακτος εὑρέθην, ὅς τι μή τι δίκαιον αὐτοῦ ἐπιορκίας πλάττων.

Ιπ. Ἀπέπτυσ'· οὐδεὶς ἄδικός ἐστί μοι φίλος.
Τρ. Σύγγνωθ'· ἁμαρτεῖν εἰκὸς ἀνθρώπους, τέκνον.
Ιπ. Ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν,
" Γυναῖκας, εἰς φῶς ἡλίου κατῴκισας;
" Εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
" Οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε·
" Ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
" Ἢ χαλκὸν, ἢ σίδηρον, ἢ χρυσοῦ βάρος,
" Παίδων πρίασθαι σπέρμα, τοῦ τιμήματος
" Τῆς ἀξίας ἕκαστον· ἐν δὲ δώμασι
" Ναίειν ἐλευθέροισι, θηλειῶν ἄτερ.
" Νῦν δ' εἰς δόμους μὲν πρῶτον ἄξεσθαι κακὸν
" Μέλλοντες, ὄλβον δωμάτων ἐκτίνομεν.
" Τούτῳ δὲ δῆλον, ὡς γυνὴ κακὸν μέγα·
" Προσθεὶς γὰρ ὁ σπείρας τε καὶ θρέψας πατὴρ
" Φερνὰς, ἀπῴκισ', ὡς ἀπαλλαχθῇ κακοῦ.
" Ὁ δ' αὖ λαβὼν ἀτηρὸν εἰς δόμους κακὸν,
" Γέγηθε, κόσμον προστιθεὶς ἀγάλματι
" Καλὸν κακίστῳ, καὶ πέπλοισιν ἐκπονεῖ,
" Δύστηνος, ὄλβον δωμάτων ὑπεξελών.
" Ἔχει δ' ἀνάγκην, ὥστε κηδεύσας καλοῖς
" Γαμβροῖσι, χαίρων σώζεται πικρὸν λέχος.
" Ἢ χρηστὰ λέκτρα, πενθεροὺς δ' ἀνωφελεῖς
" Λαβὼν, πιέζει τἀγαθῷ τὸ δυστυχές.
" Ῥᾷστον δ', ὅτῳ τὸ μηδὲν, ἀλλ' ἀνωφελὴς
" Εὐηθίᾳ κατ' οἶκον ἵδρυται γυνή.
" Σοφὴν δὲ μισῶ· μὴ γὰρ ἔν γ' ἐμοῖς δόμοις
" Εἴη φρονοῦσα πλεῖον, ἢ γυναῖκα χρή.

Hip. Abominor: nullus *enim* ſceleratus eſt mihi amicus.
Nut. Ignoſce: Conſentaneum *eſt* homines errare, ô fili.
Hip. O Jupiter, quidnam fucatum malum hominibus,
" Mulieres ſub Solis luce collocaſti?
" Si enim volebas ſeminare genus humanum,
" Non oportebat hoc fieri ex mulieribus:
" Sed *oportebat* homines dicantes in tuis templis
" Aut æs, aut ferrum, aut auri pondus,
" Liberorum emere ſemen, pro precio
" Æſtimationis unſquemq; *i.e. pro oblati muneris æſtim.* & in ædibus
" Liberis habitare, ſine mulieribus.
" Nunc verò primum hoc malum ducere in ædes
" Volentes, expendimus *omnes noſtræ* domus facultates.
" Inde autem manifeſtum eſt, quàm magnum malū ſit mulier:
" Pater enim qui genuit, & educavit, addens
" Dotem in alienas ædes elocatam mittit.
" Qui verò contra malum noxium in ædes recepit,
" Gaudet, ornatum addens ſtatuæ
" Peſſimæ pulchrum, & ornat veſtibus
" Infelix, *omnes* facultates *ſuæ* domûs ſubtrahens, *exhauriens*.
" Habet enim neceſſitatem, quia junctus affinitate claris
" Affinibus, gaudens ſervat acerbum, *moleſtumque* lectum.
" Aut bonum connubium, *i.e. bonam uxorem*, ſoceros verò malos
" Nactus, premit *tegitque* bono *ſuum* infortunium.
" Melius verò, cui nihil *eſt uxorum*, ſed inutilis
" Propter ſimplicitatem mulier in ædibus collocatur.
" Odi enī ſapientē *mulierem*: utinā verò ne ſaltem in meâ domo
" Sit mulier, quæ plus ſapiat, quàm oporteat mulierē *ſapere*.

615. Σύγγνωθ' ἁμαρτεῖν) σύγγνωθι φησὶν ἐπὶ τῇ ἁμαρτίᾳ τοῦ λόγου. εἰκὸς γὰρ ἀνθρώπους οὕτως ἁμαρτάνειν, καὶ πέφυκε τοῦτο τῆς ἀνθρωπίνης φύσεως ἁλίσκεσθαι τοῖς ἁμαρτήμασιν. Ἄλλως. διὰ τῆς κοινῆς προφάσεως ἀπολύεται τῶν ἰδίων πλημμελημάτων τὴν ἀκολασίαν. Ὦ Ζεῦ, τί δή) λοιπὸν [illegible] τὴν γυναικείαν διαβάλλει φύσιν, ἀναφέρων τὸ προοίμιον ἐπὶ τὸν τοῦ κρείσσονος νόσον. φιλοσοφώτερον δὲ τὴν ἀντίθεσιν λέγει, τὴν ἀρχὴν ἀξιῶν μὴ ὑπὸ ἀφροδισιασμοῦ παῖδας γίνεσθαι. ὁ δὲ νοῦς, διατί φησιν εἰς τὸ φῶς τοῦ ἡλίου ἀδόκιμον κακὸν τοῖς ἀνθρώποις κατῴκισας; κίβδηλον δὲ τὸ μηδὲ δοκιμασίας ἀξιούμενον, ἀλλὰ [illegible]. 618. Εἰ γὰρ βρότειον) εἰ γὰρ ἤθελες εἶναι γένος τοῖς ἀνθρώποις, ὤφειλες ποιῆσαι μὴ ἀπὸ γυναικῶν αὐτὸ εἶναι, ἀλλ' ἕκαστον διδόναι, ἢ χρυσὸν, ἢ χαλκὸν ἐν τοῖς ναοῖς, οὕτως ἀγοράζειν. τὸ δὲ ἀντιθέντας, ἤτοι ἀνατιθέντας, ἢ ἀντὶ τῶν παίδων τιθέντας εἰς σημεῖον τοῦ [illegible] τὴν αἴτησιν. ἀτόπως δὲ ταῦτα. οἱ γὰρ πένητες οὐκ ἂν ἐκτήσαντο παῖδας. Τῆς ἀξίας ἕκαστον) ἄμεινον τὴν ἀξίαν ἐπὶ τῆς φύσεως ἀκούειν. καὶ πάλιν τοὐναντίον, ἵνα τὸ μὲν ἀνάθημα τῆς αἰτήσεως ἕνεκα διδῶται, τὸ δὲ βρέφος πρὸς τὴν φύσιν τοῦ αἰτοῦντος. τινὲς δὲ ἐπὶ τῆς ἀξίας τοῦ ἀναθήματος, καὶ τιμήματος. βέλτιον δὲ τὸ πρῶτον, ὡς ἐάν τις ᾖ ἀγαθὸς τοὺς τρόπους καὶ τοῖς ἐπιτηδεύμασιν, ἵνα καὶ τοῦ υἱοῦ ἀξίως τὸ ἔργον καὶ ὁμοίως μεταλάβοι, καὶ πάλιν τοὐναντίον, ἐὰν ὑπάρχῃ χείρων ἀξίως καὶ τοῦ παιδὸς τύχῃ. 625. Νῦν δ' ἐς δόμους) ἕδνα παρέχοντες, δαπάνην ἀγοράζομεν. ἕδνα ὑπὲρ τῆς οὐσίας καὶ περὶ τῆς [illegible] τοῦ κακοῦ καταπιθεῖμεν, ὥσπερ αὐθαίρετον τὸ κακὸν ἐπισπώμενοι. δυνατὸν δὲ τὸ πρῶτον, καὶ ὡς ἐν τάξει διηγήσεως λαμβάνεσθαι, πρῶτον μὲν τὴν θυσίαν ὑπὸ κακοῦ δίδομεν, καὶ τὰ ἑξῆς. [illegible] ὃν λογισμὸν εἰκότατα τῷ προσώπῳ, λοιπὸν κατατρέχει, καὶ ἐπὶ τὴν διαβολὴν τῆς γυναικείας φύσεως. ἔδει γὰρ πρῶτον λογισμῷ τινι ἀναιρῆσαι τὸ εἶναι αὐτὰς, εἶθ' οὕτως ἄρξασθαι τῶν διαβολῶν. τὸ δὲ ἑξῆς δεῖται ὡς ἐκ συγκρίσεως ἐπιφέρεται. Προσθεὶς γὰρ) ὁ δὲ τεκὼν αὐτὴν καὶ ἀναθρέψας προσδίδωσι πρᾶγμα, ὥστε ἀπαλλαγῆναι αὐτὴν τοῦ κακοῦ, καὶ ὅτι τὴν φύσιν τῆς παιδοποιίας σώζει ὁ πατὴρ εἰς αὐτὴν τὴν ἀπαλλαγὴν, ἀντὶ τῆς φιλοστοργίας τῆς παιδὸς ἀντικαταλλαξάμενος. ἄγαλμα δὲ, ἐφ' ᾧ τις ἀγάλλεται. ἀγάλλεται δὲ καὶ ὁ πατὴρ ἐπὶ τῷ γάμῳ, ὡς ἀνδριάντα ἀναθεὶς τινας [illegible]. λείπει δὲ τὸ ὡς ἀγάλματι. Καλὸν κακίστῳ) τιθεὶς τὸν χρυσὸν τῷ κακίστῳ, γυναικείῳ φυτῷ προστιθεὶς, ὡς ἀγάλματι χαίρει. Ἔχει δ' ἀνάγκην) ταῦτα διεξέρχεται. πάντα τὰ περὶ τὴν γυναῖκα μοχθηρὸν [illegible], ὡς μὴ μόνον τὸ πρὸς ταύτην σκοπεῖν. ἀλλὰ καὶ τοὺς γάμους εἰ καλῶς εἶεν. διαλῇ δὲ δεῖ πρὸς τὴν [illegible] ἢ ἀναγκαιότερος γὰρ οὕτως. εἰ δὲ καλὸν λάβοι τὸ λέχος, γαμβροὺς δὲ χρηστοὺς, ἀναγκάζεται στέργειν, τὰ κεχαρισμένα κεῖνα [illegible] δῆλοι. τινὲς δὲ οὕτως σώζουσιν εἰς τὸ ἔχει ἀνάγκην, ἵν' ᾖ ὅτι πάντα τε καὶ πάντως ἐλεύθερος ὁ γαμήσας εἶναι οὐ δύναται. ἀλλὰ τὸ ἀναγκάζον καὶ καταδουλοῦν αὐτὸν ἔχει. ἐὰν μὲν γὰρ κακῆς τύχῃ γυναικὸς, ἀναγκάζεται στέργειν αὐτὴν τῶν γάμων ἕνεκα καλῶν ὄντων. ἢ δι' ἐκείνην ἀναγκάζεται [illegible] γαμβρῶν αἰσχίστων. τὸ σώζεται δὲ πικρὸν λέχος, ἀντὶ τοῦ σώζει. καὶ † γαμβροὺς τοὺς πενθεροὺς λέγει, συγχέων τῆς ὀνομασίας τὸ ἀκριβές. ἐν μέν τοι, τῷ πενθεροὺς δ' ἀνωφελεῖς ὑγιῶς [illegible]. 638. Ῥᾷστον δ' ὅτῳ) βέλτιον δὲ μήτε πενθερὸν, μήτε γυναῖκα χρηστὸν ἔχειν. Ἄλλως. ὠφελιμώτερόν ἐστιν, ᾧ τινι φησὶ, τὸ μηδὲν ἴσον πρὸς σωφροσύνην γυνή. ἀλλ' ἀνωφελὴς τῇ εὐηθείᾳ ἵδρυται. ὡς ἐπὶ ἀνδριάντος δὲ τὸ ἵδρυται, οὐκ ἔργοις ἀλλὰ δίχα τέρψεως τὸν κεκτημένον.

† Quòd γαμβροὺς ſit Vox generalis, diximus [illegible] Rheſ. v. 260.

A N N O T A T I O N E S.

V. 616. Ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν &c.) Vid. *Petri Victorii* Variar. Lection. l. 12. c. 21. Ubi lepidum *Plauti* locum huic comparat. *Joſua Barnes.*

V. 626. Ὄλβον δωμάτων ἐκτίνομεν) Vid. paulò infra [illegible] v. 633.

V. 640. Σοφὴν δὲ μισῶ) Huc refer illud *Epigrammation*, cujus ſenſum, quia verborum haud memini, ita tibi propino, *At nolo, Docta mihi ſit Uxor in thoro: Eſt Una cælo Pallas ſit Haſtam gerit.* Vid. *M. Anton. Mureti* Var. Lect. l. 8. c. 21. Ubi Mulieres Eruditas plerumque libidinoſas, hujus loci & *Juvenalis* teſtimonio, *Sapphus* denique exemplo, confirmat. *Joſua Barnes.*

" To

" Τὸ γὰρ πανοῦργον μᾶλλον ἐντίκτει Κύπρις
" Ἐν ταῖς σοφαῖσιν· ἡ δ' ἀμήχανος γυνὴ
" Γνώμῃ βραχείᾳ μωρίαν ἀφῃρέθη.
" Χρῆν δ' εἰς γυναῖκας πρόσπολον μὲν οὐ περᾶν,
" Ἄφθογγα δ' αὐταῖς συγκατοικίζειν δάκη
" Θηρῶν, ἵν' εἶχον μηδὲ προσφωνεῖν τινὰ,
" Μήτ' ἐξ ἐκείνου φθέγμα δέξασθαι πάλιν.
" Νῦν δ' αἱ μὲν ἔνδον δρῶσιν αἱ κακαὶ κακὰ
" Βουλεύματ', ἔξω δ' ἐκφέρουσι πρόσπολοι.
Ὡς καὶ σύ γ' ἡμῖν πατρὸς, ὦ κακὸν κάρα,
Λέκτρων ἀθίκτων ἦλθες εἰς συναλλαγάς.
Ἁγὼ ῥυτοῖς νασμοῖσιν ἐξομόρξομαι,
" Εἰς ὦτα κλύζων· πῶς ἂν οὖν εἴην κακὸς,
" Ὃς οὐδ', ἀκούσας τοιάδ', ἁγνεύειν δοκῶ;
" Εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σώζει, γύναι.
Εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφρακτος ηὑρέθην,
Οὐκ ἄν ποτ' ἔσχον μὴ τάδ' ἐξειπεῖν πατρί.
Νῦν δ' ἐκ δόμων μὲν, ἔς τ' ἂν ἔκδημος χθονὸς
Θησεὺς, ἄπειμι, σῖγα δ' ἕξομεν στόμα.
Θεάσομαι δὲ σὺν πατρὸς μολὼν ποδὶ,
Πῶς νιν προσόψει καὶ σὺ, καὶ δέσποινα σή·
Τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.
" Ὄλοισθε. Μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι
" Γυναῖκας, οὐδ' εἴ φησί τις μ' ἀεὶ λέγειν·
" Ἀεὶ γὰρ οὖν πως εἰσὶ κἀκεῖναι κακαί.
Ἢ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
Ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Ἀντιστροφή.

Χο. 1 Τάλανες, ὦ κακοτυχεῖς γυναικῶν πότμοι.
2 Τίνα νῦν ἢ τέχναν ἔχομεν, ἢ λόγον,

" Nam Venus magis parit aſtutiam
" In ſapientibus; mulier verò ſimplex
" Propter mentem *exiguam*, ſtultitiæ *venereæ* eſt immunis.
" Non oportebat autem ad dominas venire ancillam,
" Sed unà habitare cum ipſis muta animantia
" Fera, ne quemquam alloqui poſſent,
" Nec ex illo vocem iterum accipere.
" Nunc verò malæ quidem *mulieres* mala intus agitant
" Conſilia, foras verò efferunt ancillæ.
Ut & tu nobis patris, ô ſceleſtum caput,
Lectorū intactorū, *nec tangendor*. veniſti ad fœdera concilianda.
Quæ *ſcelera* ego fluentibus aquis abſtergam,
" In aures inſtillans *eaſque eluens*. quomodo igitur fierem malus,
" Qui nè purus quidem eſſe videor, his auditis?
" Probe autem *hoc* ſcias; te mea pietas ſervat, mulier.
Niſi enim jurejurando deorum incautus eſſem deprehenſus,
Nunquam me continuiſſem, quin dicerem hæc patri.
Nunc verò ex ædibus quidem, quādiu peregri extra hanc terrā
Theſeus *fuerit*, abibo, tacitè vero continebimus os.
Videbo autem cum patre profectus, *i. e. huc reverſus*, pedibus,
Quomodo ipſum ſis inſpectura & tu, & domina tua:
Tuam autem audaciam *jam* expertus cognoſcam.
" Pereatis. Nunquam verò odio ſatiatus deſinam odiſſe
" Mulieres, neque ſi quis dicat me hoc ſemper dicere:
" Nam profectò & illæ ſemper ſunt malæ.
Aut nunc eas doceat aliquas caſtas eſſe,
Aut me quoque ſinat in illas invehi ſemper.

ANTISTROPHICA.

Antiſtrophe.

Cho. 1 Infelices! ô miſerum mulierum fatum.
2 Quam jam artem, aut rationem habemus *ſpe*

Τὸ γὰρ πανοῦργον) τὸ γὰρ πανοῦργον καὶ φιλάργυρον πρὸς πορνείαν ἐν ταῖς σοφαῖς γυναιξὶ πλέον ἡ Κύπρις ἐμφύει. αἱ γὰρ μεγαλόφρονες πολύτολμοι γινόμεναι, εὐθυμήτως διὰ τὸ βραχὺ τῆς γνώμης καὶ ἄδολον εἰσὶν εἰς τὸ ἁμαρτάνειν. ἡ δὲ ἀποροῦσα καὶ ἀβέλτερος, τὴν πορνείαν ἀφῄρηται, τουτέστιν οὐχ ἁμαρτάνει. Ἄλλως, μωρίαν ἀφῃρέθη. τουτέστι τῆς ἁμαρτίας ἀπεστερήθη, ἤτοι τῆς πορνείας. Μωρίαν γὰρ τὴν πορνείαν, ὥσπερ καὶ συνήθως ὁ πόρνος. αὕτη γὰρ οὐκ ἔχουσα τὸ πλημμέλημα προσθεῖναι κερδαίνει τὴν σωφροσύνην. Χρὴ δ' εἰς γυναῖκας) διεξελθὼν ὡς εἰσὶν αἱ γυναῖκες πάντων πανουργότεραι τῶν κακῶν, λοιπὸν ἐπὶ τὴν διήγησιν καὶ χρῆσιν αὐτῶν μεταβαίνει, πῶς ἔδει τὴν κακουργίαν αὐτῶν νικᾶν τοὺς ἄνδρας. ἔδει φησὶ τοὺς ἄνδρας ἀντὶ διακόνων θηρία αὐταῖς συνοικίζειν. ἵνα κἂν τῇ ἀπορίᾳ τῆς διακονίας, νικᾶσι τὴν κακίαν τῆς φύσεως. τοῦτο δὲ μάλιστα πρὸς τὸ ὑπόθεσιν εἴρηκεν. Δάκη) ἢ θηρευτικῶς τὰ θηρία, ἢ γοῦν θηρῶν. 649. Νῦν δ' αἱ μὲν ἔνδον) αἱ μὲν δέσποιναι αὐτῶν ἔνδον μηχανῶνται τὰ κακά· αἱ δὲ δοῦλαι σημαίνουσι τοῖς φίλοις αὐτῶν. Ὡς καὶ σύ γ' ἡμῖν) ὅπου καὶ σὺ κάρα κακὸν τῶν ἀθίκτων λέκτρων τοῦ πατρὸς εἰς συναλλαγὰς ἦλθες, ἀφ' ὧν τὰ ῥήματα ἐγὼ ἀποκαθαρθήσομαι ῥαντικοῖς ὕδασι. ταῦτα γὰρ μάλιστα τῶν ἱερῶν διαυγέστερα τυγχάνει. 654. Εἰς ὦτα κλύζων) εἰσκλύζομαι τὰ ὦτα, δι' ὧν μετέλαβον τῆς ἀνομίας τῶν λόγων. πῶς οὖν μᾶλλον ἐξαμαρτεῖν ποιήσαιμι ἄν; Εὖ δ' ἴσθι, τοὐμόν) οὐκ ἔστι φορτικὸς ὁ λόγος, ἀλλὰ μᾶλλον τῆς ὑπερβολῆς τοῦ ἁμαρτήματος θεραπευτικός. ἢ τάχα προσεπεγράφη τὸ πάθος τοῦτο μικρὸν ὕστερον, ὅτε κατηγορεῖται μοιχείας ποιῶν κατηγορούμενος. Εἰ μὴ γὰρ ὅρκοις) ἀντὶ τοῦ ἐλήφθην καὶ εὑρέθην ἀπαράφρακτος εἰς τὴν κατὰ σοῦ κόλασιν. Τὸ δὲ μὴ καὶ οὐ μίαν κατάθεσιν ποιοῦσι, ὥστε τὸ οὐ ἐξήγησιν εἶναι. Νῦν δ' ἐκ δόμων μέν) ἤτοι διὰ τὸ μὴ μετασχεῖν τοῦ μύσους αὐτῆς, ἢ διὰ τὸ δεδοικέναι τινὰ ἐξ αὐτῶν ἐπιβουλήν. ἄλλως τε καὶ ὁ ποιητὴς οἰκονομικῶς τοῦτο ἐξεργάζεται, διὰ τῆς τοῦ Ἱππολύτου ἀπουσίας ἐξουσίαν διδοὺς τῇ Φαίδρᾳ ἐργάσασθαι τὴν ἀγχόνην, καὶ τὴν διαβολὴν αὐτοῦ τὴν διὰ τῶν γραμμάτων. ἵνα ὁ δέλτος καὶ ἡ τοῦ Ἱππολύτου ἐρημία πιστώσηται τὴν κατηγορίαν τῆς μοιχείας. Θεάσομαι δὲ) συνεπὼς δὲ τῷ πατρὶ θεάσομαι, ποίοις ὄμμασιν αὐτὸν προσβλέψετε, ὑπὸ τῆς συνειδήσεως μὴ καταπληττόμεναι. Τῆς σῆς δὲ) καὶ πάντως τότε τὸ ἀναιδὲς σου καὶ τολμηρὸν διαγνώσομαι, πεπειραμένος αὐτῆς ἤδη καὶ διὰ τῶν παρόντων. 664. Μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι) οὐδαμῶς χορτασθήσομαι κακῶς λέγων τὰς γυναῖκας. ταῦτα δὲ λοιπὸν, ὡς τεχνίτης ῥήτωρ. Οὐδ' εἴ φησι) οὐδ' εἰ λέγοι μέ τις τοῦτο κατὰ φύσιν φιλαπεχθήμονα πρὸς αὐτάς. ὁ γὰρ ἐκ περιουσίας φησὶ τὰς κατηγορίας. τῷ συνεχεῖ δὲ τῶν πλημμελημάτων ὑπόθεσιν γίνεται τῆς κατηγορίας. Τάλανες) ἀπὸ κοινοῦ πάλιν ἀτυχούμενος ποιεῖται ὀδύρεσθαι τὸ πταῖσμα. ὁ δὲ λόγος, τίνα νῦν ἢ τέχνην, ἢ λόγον ἔχομεν ποιήσασθαι, δι' οὗ δυνησόμεθα σφαλεῖσαι τῆς ἐλπίδος τὸν δεσμὸν τῶν ἐγκλημάτων ἀπολύσασθαι, τὸν ἀνηρτημένον καθ' ἡμῶν ὑπὸ τοῦ Ἱππολύτου, ὅταν ἔλθῃ ὁ Θησεύς; 670. Τίνα νῦν) τουτέστι πῶς καθ' ἥν δεσμὸν κατηγορίας ἀπολυσώμεθα τὰ ἐγκλήματα τοῦ Ἱππολύτου, σφαλεῖσαι τῆς ἐλπίδος, δι' ἧς προσεδοκῶμεν πείσειν αὐτὸν ἐπὶ τὴν ἁμαρτίαν;

ANNOTATIONES.

V. 654. Πῶς ἂν οὖν εἴην κακὸς &c.) *Scaliger* & *Portus* legunt pro οὖν, οὐ, quia de purgandis auribus loquitur; ſed tantorum virorum pace οὖν retinendum, ſenſus enim eſt hic, quomodò igitur ego Malus fierem, idque tu ſperâſti; qui nè his quidem auditis, ſatis mihi caſtus videor, licet illa ex animo deteſtor & abominor? *Joſua Barnes.*

V. 661. Σὺν πατρὸς μολὼν) ultimum τοῦ πατρὸς fit longum ante μ' ἐντατικόν, quod *Scaliger* non videns legebat πατρὶ συνελθὼν; mirâ licentiâ; rectius legas συμμολών. *Joſua Barnes.*

V. 669. Τάλανες) Ita nos audactèr legimus, nihil moti notis illis *Æmylii Porti*, qui τάλαιναι retinebat, putans ita fortè poſſe legi, quamvis irregulariter; & quòd ſic ſlet hic verſus *Senarius*: & tamen ſi ſic legeremus, *Trochæus* eſſet in quarto loco. Quare Τάλαιναι ex omnibus libris ejiciendum pronuntio. *Joſua Barnes.*

3 Σφαλεῖσαι καθ' ἅμμα λύσειν λόγου;

Φα. 4 Ἐτύχομεν δίκας, ὦ γᾶ, καὶ φῶς.

5 Πᾶ ποτ' ἐξαλύξω τύχας;

6 Πῶς δὲ κρύψω, φίλαι, πῆμα;

7 Τίς ἂν θεῶν ἀρωγὸς, ἢ τίς ἂν βροτῶν

8 Πάρεδρος, ἢ ξυνεργὸς ἀδίκων ἔργων

9 Φανείη; τὸ γὰρ παρ' ἡμῖν πάθος

10 Παρὸν, δυσεκπέρατον ἔρχεται βίου.

11 Κακοτυχεστάτα γυναικῶν ἐγώ.

Ἴαμβοι.

Χο. Φεῦ, φεῦ. πέπρακται, κοὐ κατώρθωνται τέχναι,

Δέσποινα, τῆς σῆς προσπόλου· κακῶς δ' ἔχει.

Φα. Ὦ παγκακίστη, καὶ φίλων διαφθορεῦ,

Οἷ' εἰργάσω με. Ζεύς σ' ὁ γεννήτωρ ἐμὸς,

Πρόρριζον ἐκτρίψειέ σ', οὐτάσας πυρί.

Οὐκ εἶπον (οὐ σῆς προὐνοησάμην φρενός)

Σιγᾶν, ἐφ' οἷσι νῦν ἐγὼ κακύνομαι;

Σὺ δ' οὐκ ἀνέσχου. τοιγὰρ οὐκ ἔτ' εὐκλεεῖς

Θανούμεθ'· ἀλλὰ δεῖ με δὴ καινῶν λόγων.

Οὗτος γὰρ ὀργῇ συντεθηγμένος φρένας,

Ἐρεῖ καθ' ἡμῶν πατρὶ τὰς ἁμαρτίας,

Ἐρεῖ δὲ Πιτθεῖ τῷ γέροντι συμφορὰς,

Πλήσει τε πᾶσαν γαῖαν αἰσχίστων λόγων.

" Ὄλοιο καὶ σὺ, χ' ὅστις ἄκοντας φίλους

" Πρόθυμός ἐστι μὴ καλῶς εὐεργετεῖν.

Τρ. Δέσποιν', ἔχεις μὲν τἀμὰ μέμψασθαι κακά.

Τὸ γὰρ δάκνον, σοῦ τὴν διάγνωσιν κρατεῖ.

3 Fruſtratæ, ad diſſolvendum nodum *hujus* cauſæ?

Phæ. 4 Luimus *meritas* pœnas, ô terra, & lux.

5 Quonam fugiens vitabo *præſentes* calamitates?

6 Quomodo verò, ô charæ, celabo malum?

7 Quis deus auxiliator, aut quis hominum

8 Adjutor, aut cooperator injuſtorum facinorum

9 Apparebit? nam hoc noſtrum malum

10 Vitæ præſens inexplicabile, *ac inevitabile* venit.

11 Ego *ſum* miſerrima *omnium* mulierum.

Chorus.

Heu, heu! actum eſt; nec enim ſucceſſerunt technæ

Tuæ ancillæ, ô domina: malè verò ſe res habet.

Phæ. O peſſima, & amicorum corruptela, *i. e. corruptrix*,

Quæ feciſti mihi! Jupiter *pater* meus

Perdat te radicitus, fulmine percutiens.

Nonne dixi (an non prævidi tuum conſilium)

Ut taceres *in iis*, propter quæ nunc ego malè affligor?

Tu verò nō potuiſti *tacere*. Quamobrem non amplius gloriosæ

Moriemur: ſed opus eſt mihi jam novis rationibus.

Hic enim *Hippolytus* animum irâ concitatum habens,

Dicet contra nos patri peccata,

Dicet etiam Pittheo ſeni calamitates,

Implebitque terram omnem turpiſſimis ſermonibus.

" Et tu pereas, & quicunque amicis repugnantibus

" Promptus eſt ad non honeſtè benefaciendum.

Nut. Domina, potes quidem *jure* mea reprehendere peccata:

Quod enim *te* mordet, *i. e. dolor*, tuum *rectum* judicium ſuperat.

Καθ' ἅμμα λύσ(ειν)) παρὰ τὴν παροιμίαν, ἥ τις ἐστὶν, οὐχ ἅμμα λύσεις. εἴρηται δὲ ἀπὸ τοιαύτης αἰτίας. τοῖς Φρυξὶ λόγος ἐδόθη, ἐκεῖνον βασιλεύσειν τῆς Ἀσίας, ὃς ἂν τῆς ἀπήνης λῦσαι τὸν δεσμὸν δυνηθείη, τῆς κομισάσης Μίδαν εἰς Φρυγίαν, ὃς ἦν ἀμπέλινος, ᾧ συνεδέδετο ὁ ζυγὸς καὶ ὁ ῥυμός. λόγος δὲ, Ἀλέξανδρον διαλῦσαι, ἐξελόντα τὸν ἔμβολον, ᾧ κατείχετο ὁ ῥυμός. ἢ τῷ ἐγχειριδίῳ ἀποτεμόντα, μετὰ τὴν ἐπὶ Γρανίκῳ μάχην. γέγονε δὲ Ἀλέξανδρος ὁ κατὰ τοὺς Εὐριπίδου χρόνους. παροιμιῶδες οὖν ἐστιν ἐπὶ τῶν δίσλυτόν τι ἐπιχειρούντων λύσειν. Μαρσύας δὲ ὁ νεώτερος ἐν τῇ πρώτῃ τῶν Μακεδόνων ἱστοριῶν φησιν οὕτως. τῆς δὲ ἁμάξης λέγεται τὸν ζυγὸν τῷ ῥυμῷ δεδέσθαι κλήματι ἀμπελίνῳ. ἦν δὲ λόγιον, ὃς ἂν τὸν δεσμὸν τοῦτον λύσῃ, βασιλεύσει τῆς Ἀσίας. Ἀλέξανδρον δέ φασι τὸν Μακεδόνων βασιλέα λῦσαι αὐτόν. ὃς διαβὰς τὸν Ἑλλήσποντον ἐπὶ Γρανίκῳ μάχην ἐνίκησε, καὶ παρεγένετο ἐπὶ τὸν τόπον. ὡς δὲ οὐκ ἠδύνατο εὑρεῖν τὴν ἀρχὴν τοῦ δεσμοῦ τοῦ κατίσχοντος, οἱ μὲν λέγουσι τῷ ἐγχειριδίῳ κόψαι αὐτὸν τὸν δεσμὸν, καὶ ταύτην εἶναι τὴν λύσιν. οἱ δὲ ὡς τὸν ἔμβολον ἐξέλοι, ᾧ συνείχετο ὁ ζυγὸς πρὸς τῷ ῥυμῷ, περιειλημμένον [illegible] καὶ τοῦτο κλήματος· τούτου δὲ ἐξαιρεθέντος καὶ τοῦ δεσμοῦ χαλασθέντος, οὕτως λυθῆναι τὸν δεσμὸν τοῦ ῥυμοῦ. Ἐτύχομεν δίκας) μετάγεται πάλιν ὁ σκοπὸς ἐπὶ δεύτερον μέρος, τουτέστιν ἐπὶ τὴν τῆς Φαίδρας ἀγωνίαν. καὶ τὴν τοῦ χοροῦ συμπάθειαν. τραγικώτατα εἰς ἄλλον οἶκτον βελτίονα πάλιν τοῦ ποιητοῦ τρέψαντος. ἄριστα δὲ τὴν ὑπερβολὴν τῆς συμφορᾶς μιμεῖται αὐτὸ τὸ πάθος διεξιὼν, ὅπερ εἰώθασι πολλάκις ποιεῖν οἱ ἀξίαν ἀποροῦντες θρήνων. δικαίως δὲ ἐπιμεμφθῆναι, καὶ τῆς ἀξίας δίκης παρὰ θεοῦ ἐπιχειρεῖν. πάλιν δὲ τὴν γῆν καὶ τὸ φῶς ἐπικαλεῖται, ὡς ἀναγκαιότατα στοιχεῖα. καθὼς καὶ ἀλλαχοῦ φησὶ, ὦ γαῖα μῆτερ, ἡλίου τ' ἀναπτυχαί. 678. Παρὸν δυσεκπέρατον) ἢ ἐν ὑπερβατῷ. ἵν' ᾖ οὕτως. τὸ γὰρ παρόν μοι δυστύχημα τοῦ βίου δυσεκπέρατόν ἐστι. ἢ οὕτως. τὸ γὰρ νῦν πάθος παρὸν παύλας τοῦ βίου, καὶ τῶν ἐν αὐτῷ δυσφορῶν δυσεκφευκτότατον καθέστηκεν. ἢ οὕτως. τὸ γὰρ παρὸν πάθος δυσκόλως ἄν μοι περάσαι τὸν βίον. καὶ δυσκόλως αὐτὸ φύγοιμι. Φεῦ φεῦ) ἀκούσασα τῆς θεοῦ κατηφὴς ὁ χορός φησι. πάλιν δὲ κομματικός ἐστιν ὁ λόγος, διὰ τοῦ πέπρακται δεῖ στίζειν. οὕτως γὰρ ἁρμόσει τοῖς ἑξῆς. τὸ δὲ καὶ οὐ κατορθοῦνται τέχναι, ἀντὶ τοῦ οὐδὲν τοῦ πράγματος κατώρθωσαν αἱ τέχναι τῆς δούλης, ἀλλὰ κατέστρεψαν. Ζεύς σ' ὁ γεννήτωρ) Εὐρώπης γὰρ καὶ Διὸς ὁ Μίνως. ὁ Ζεύς σε φησὶν, ἐκτρίψειε, καὶ παντελῶς ἀπολέσειεν, οὐτάσας πυρί. ἀντὶ τοῦ βαλὼν τῷ κεραυνῷ. οἱ δὲ νεώτεροι οὐκ ἴσασι τὴν διαφορὰν τοῦ οὐτάσαι καὶ βαλεῖν. Ὅμηρος δὲ οὐτάσαι μὲν τὸ ἐκ χειρὸς καὶ ἐκ τοῦ συνεγγὺς τρῶσαι, βαλεῖν δὲ τὸ πόρρωθεν. Οὐκ εἶπον σιγᾶν) ἐλεγκτικὸν τὸ ἦθος. τὸ δὲ ἑξῆς οὕτως. οὐκ εἶπον σιγᾶν ἐφ' οἷς κακῶς διάκειμαι, ἢ διάγω καὶ νοσηλεύομαι. τουτέστι τὸν ἔρωτα. ὁ δὲ νοῦς, οὐχὶ τὸ προπετὲς τῆς διανοίας προγνοῦσα, ἐκέλευόν σε σιωπᾶν, καὶ μὴ ἐκφαίνειν τὴν ἐμὴν ἐρωτικὴν κάκωσιν. Ὄλοιο καὶ σὺ) γνωμικώτερόν πως ἐπάγει τὴν κατάραν. ἀπόλοιο φησὶ πρὸς γνώμην με εὐεργετῆσαί με θελήσασα, καὶ πᾶς ἄλλος ταυτά σοι δρῶν, καὶ προθυμούμενος ἄκοντας τοὺς φίλους μὴ καλῶς εὐεργετεῖν· ἄντικρυς ἐλέγχων τὸ φαινόμενον τῆς τοιαύτης εὐεργεσίας. μὴ καλῶς προσέθηκεν. οὐ γὰρ εἴδει φύσις εὐεργετήματος ἀνάγκην ἐπιδέχεται, εἴτε τὰς χρείας κατὰ θυμοὺς δεῖ ποιεῖσθαι. 695. Δέσποιν' ἔχεις μὲν) καταδέχεται τὴν ἐξ αὐτῆς μέμψιν, ἵνα οὕτως καὶ αὐτὴ τὴν τοῦ σφάλματος ἀπολογίαν καταδέξηται. ἑξῆς δὲ πάλιν εἰς ἔννοιαν αὐτὴν προάγειν βούλεται, τὸν σκοπὸν τῆς μηνύσεως, καθ' ὃν γεγένηται λέγουσα. τὸ δὲ ἑξῆς οὕτως. ἔχεις μὲν δικαίως τὰ ἐμὰ πταίσματα μέμψασθαι. παραλογίζεται γάρ σου τὸ λογιστικὸν ἡ λύπη, καὶ τὴν αἰτίαν τοῦ πταίσματος γινώσκειν οὐ συγχωρεῖ σοι. αἰτία γὰρ ἐγώ εἰμι τῆς συμφορᾶς. ὁ δὲ νοῦς ἔχει οὕτως. ἔχεις μὲν μέμψασθαι τὰ ἐμὰ κακὰ, ὦ δέσποινα. τὸ γὰρ λυπεῖν σε κρατεῖ, ὅθεν καὶ μέμφῃ μοι. εἰ γὰρ μὴ ἐλυποῦ, οὐκ ἂν ἐμέμφου. ἀλλ' ἐπῄνεις. ὅθεν ἐπιφέρει, πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα. ἡ μὲν κατασκευὴ τοῦ λογισμοῦ τῆς εὐνοίας ἀπόδειξις, ἡ δὲ τῆς ἀτυχίας δυσχέρεια τῆς τύχης κατηγόρημα.

ANNOTATIONES.

V.671. Καθ' ἅμμα λύσ(ειν)) ita quidem *Aldi* Editio rectè; ut ſit per *Tmeſin* pro ἅμμα καταλύσειν. Κάθαμμα non æquè placet, ut nonnulli ſcribunt: Quin & *Scholiaſtes* pro nobis facit. Qui tamen miſerè errat, quum dicit *Alexandrum* Magnum circa tempus *Euripidis* vixiſſe, quandoquidem *Euripides* mortuus eſt pluſquam ſexaginta Annis, antequam Regnaret *Alexander*; ut ex Catalogo Regum *Macedonicorum* poſt *Archelaum*, ſub quo is obiit diem ſuum, conſtat. Et ſane *Euripides* & *Socrates* ſimul *Anaxagoram* audiebant; *Plato* & *Xenophon Socratem*, *Platonem Ariſtoteles*, qui Senex Juvenem *Alexandrum* inſtruebat. Quare Nodum *Gordianum* neſciebat *Euripides*; nec tamen (quod erat Scholiaſtæ delirium) alios fuiſſe Nodos ægrè ſolvendos ignorare potuit. *Joſua Barnes.*

V.678. δυσεκπέρατον) Legitur & δυσεκπέρατον. Vid. infra v. 883.

V. 688. Δεῖ με δὴ καινῶν λόγων) Vid. ſupra ad v. 490.

V. 696. Τὸ γὰρ δάκνον) Hic *δάκνον Iambus* eſt; Vid. *Phœniſſ.* v. 19.

Ἔχω

Ἔχω δὲ κἀγὼ πρὸς τάδ', εἰ δέξῃ, λέγειν.
Ἔθρεψά σ', εὔνους τ' εἰμί· τῆς νόσου δέ σοι
Ζητοῦσά γ' εὗρον φάρμαχ', οὐχ ἃ βουλόμην.
Εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν σοφοῖσιν ἦν·
" Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.
Φα. Ἦ γὰρ δίκαια ταῦτα, κἀξαρκοῦντά μοι,
Τρώσασ' ἡμᾶς, εἶτα συγχωρεῖν λόγοις;
Τρ. Μακρηγοροῦμεν· οὐκ ἐσωφρόνουν ἐγώ.
Ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι, τέκνον.
Φα. Παῦσαι λέγουσα· καὶ τὰ πρὶν γὰρ οὐ καλῶς
Παρῄνεσάς μοι, κἀπεχείρησας κακά.
Ἀλλ' ἐκποδὼν ἄπελθε, καὶ σαυτῆς πέρι
Φρόντιζ'· ἐγὼ γὰρ τἀμὰ θήσομαι καλῶς.
Ὑμεῖς δὲ, παῖδες εὐγενεῖς Τροιζήνιαι,
Τοσόνδε μοι παράσχετ' ἐξαιτουμένῃ,
Σιγῇ καλύψαθ', ἅ 'νθάδ' εἰσηκούσατε.
Χο. Ὄμνυμι σεμνὴν Ἄρτεμιν Διὸς κόρην,
Μηδὲν κακῶν σῶν ἐς φάος δείξειν ποτέ.
Φα. Καλῶς ἐλέξαθ'. ἓν δὲ προστρέπουσ' ἐγὼ
Εὕρημα δή τι τῆσδε συμφορᾶς ἔχω,
Ὥστ' εὐκλεᾶ μὲν παισὶ προσθεῖναι βίον,
Αὐτή δ' ὄνασθαι πρὸς τὰ νῦν πεπτωκότα.
Οὐ γάρ ποτ' αἰσχυνῶ γε Κρησίους δόμους,
Οὐδ' εἰς πρόσωπον Θησέως ἀφίξομαι,
Αἰσχροῖς ἐπ' ἔργοις, οὕνεκα ψυχῆς μιᾶς.
Χο. Μέλλεις δὲ δή τι δρᾷν ἀνήκεστον κακόν;
Φα. Θανεῖν· ὅπως δὲ, τοῦτ' ἐγὼ βουλεύσομαι.
Χο. Εὔφημος ἴσθι. Φ. καὶ σύ γ' εὖ με νουθέτει.
Ἐγὼ δὲ Κύπριν, ἥπερ ἐξόλλυσί με,
Ψυχῆς ἀπαλλαχθεῖσα τῇδ' ἐν ἡμέρᾳ,
Τέρψω· πικροῦ δ' ἔρωτος ἡττηθήσομαι.
Ἀτὰρ κακόν γε χἀτέρῳ γενήσομαι
Θανοῦσ', ἵν' εἰδῇ μὴ 'πὶ τοῖς ἐμοῖς κακοῖς
Ὑψηλὸς εἶναι· τῆς νόσου δὲ τῆσδέ μοι
Κοινῇ μετασχὼν, σωφρονεῖν μαθήσεται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ ά.

Χο. 1 Ἠλιβάτοις ὑπὸ κευθμῶσι γενοίμαν,
2 Ἵνα με πτεροῦσσαν ὄρνιν

Possum verò & ego ad hæc, ſi mea verba admittas, reſpondere.
Educavi te, & benevola ſum: morbi verò tibi
Quærens remedia, inveni non quæ volui.
Si verò feliciter rem geſſiſſem, valde ſapiens fuiſſem:
" Pro variis enim eventibus mentes habemus, & de rebus judicamus.
Phæ. An verò juſta ſunt hæc, mihique ſufficientia, i.e. grata,
Te fauciatis nobis, deinde nobiſcum congredi verbis?
Nut. Prolixâ nimis oratione utimur; ego non ſapiens fui:
Sed tamen vel propter hæc licet tibi, filia, ſervari.
Phæ. Deſiſte loqui; nam & prius non rectè
Conſuluiſti mihi, & aggreſſa es mala.
Quamobrem de medio ſecede, & de teipsâ
Sis ſolicita. Ego enim mea rectè curabo.
Vos verò, nobiles puellæ Trœzeniæ,
Hoc tantùm mihi præbete deprecanti,
Silentio tegite quæ hic audiviſtis.
Cho. Juro per caſtam Dianam, filiam Jovis,
Me nihil unquam ex tuis malis Prolaturam in lucem.
Phæ. Rectè dixiſtis. Unum verò ego, admonens me,
Jam quoddam hujus calamitatis inventum remedium habeo,
Ut addam glorioſam quidem vitam meis liberis,
Ipſa verò juver in præſenti caſu.
Nunquam enim dedecorabo familiam Cretenſem,
Neque veniam in conſpectum Theſei,
Turpibus polluta factis, propter animam unicam.
Ch. Eſne igitur factura aliquod immedicabile malum?
Phæ. Mori ſtatui, quomodo verò ſim moritura hoc ego cogitabo.
Cho. Bona verba dic. Phæ. Et tu me rectè mone.
Ego enim Venerem, quæ me perdit,
Diſcedens è vitâ hodie,
Delectabo: vincar autem ab acerbo amore.
Sed tamen fiam etiam alteri malum
Defuncta, ut diſcat in meis malis non
Elato animo eſſe, & hujus morbi mecum
Communitèr particeps, modeſtior eſſe diſcet.

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 Excelſis ſub ſcopulorum latebris utinam eſſem,
2 Ubi me volantem avem

Εἰ δ' εὖ γ' ἔπραξα) εἰ καλῶς φησὶν ἔπραξα, καὶ μὴ ἐσφάλην τῆς ἐλπίδος, ἐθαυμάζετό μου τὸ βούλευμα. οὐκ ἄρα ἡ ἐμὴ βουλὴ ἠδίκησεν, ἀλλ' ἡ τύχη. εἰ γὰρ καλῶς ἀπέβη τὸ πρᾶγμα, ἔλεγες ἂν ὅτι οὐκ ἔστιν ἄλλη κρείττων τῆς τροφοῦ. Ἦ γὰρ δίκαια ταῦτα) ὀργίζεται καλῶς ἐπὶ τῷ καὶ ἀπολογίαν ἐθέλειν σοφίσασθαι. ἆρα οὖν φησὶ δίκαιόν ἐστι τοῦτο, καὶ οὐχὶ φανερῶς ἄτοπον, τὸ καὶ ἐθέλειν σε ἀπολογεῖν μοι, καὶ ἐκ τῶν ἴσων ἀμφισβητεῖν τρώσασάν με; ἐξαρκοῦντα δέ μοι ἐστὶν ἱκανὰ πρὸς θεραπείαν τῆς βλάβης. Μακρηγοροῦμεν) ἀντὶ τοῦ μάτην φλυαροῦμεν, καὶ ἐπιτείνομεν τὸν λόγον ἐπὶ τοῖς ἤδη πραχθεῖσιν. οὐκ ἐσωφρόνουν ἐγώ. ὁμολογεῖ ἡμαρτηκέναι, ἐπεὶ εἶδεν αὐτὴν πρὸς τὴν ἀπολογίαν δυσχεραίνουσαν, ὁμολογῶ φησι τὸ πρότερον πταῖσμα οὐκ ἐκ τύχης ἀλλ' ἐξ ἐμῆς ἀνοίας γενόμενον. Ὑμεῖς δὲ παῖδες) μεταφέρεται νῦν πρὸς τὰς γυναῖκας τοῦ χοροῦ. αἱ δὲ ὀμνύουσιν οἰκονομικῶς, καὶ σιωπᾷν ἐπαγγέλλονται. λύοιτο γὰρ ἂν τὰ τῆς ὑποθέσεως. Ἓν δὲ προστρέπουσα) ἀντὶ τοῦ ζητοῦσα καὶ ἐξερευνῶσα. μεταστρέπουσά φησι. καὶ πολλὰ δοκιμάζουσα, καὶ εἰς πολλὰ μεταφέρουσα μου τὴν γνώμην. ἓν μόνον ἴαμα τῆς συμφορᾶς εὗρον. Οὐ γάρ ποτ' αἰσχυνῶ) ὅτι Μίνως βασιλεὺς ἐγένετο τῶν Κρητῶν, ὁ πατὴρ αὐτῆς. καὶ διὰ τοῦτο Κρησίους δόμους λέγει. Οὕνεκα ψυχῆς μιᾶς) ἐγὼ γὰρ τῆς μιᾶς μου ψυχῆς καταφρονήσασα, πολλὰς ἑτέρας διασώσω, τὰς τῶν οἰκείων δηλονότι, ῥυομένη τῆς αἰσχύνης. οὐχ ὑπερτιμῶσα τὴν μίαν ψυχὴν τῆς αἰσχύνης τῶν πολλῶν. Καὶ σύ γ' εὖ με νουθέτει) ἀπειλητικώτερον εἴρηται ὁ λόγος, ὡς εἰ ἔλεγε, μὴ καὶ σὺ ζήλου τὴν τροφὸν τῆς παραινέσεως, μηδὲ τὰ αὐτὰ ἐκείνῃ νουθετήσῃς με, ἃ ἦν ἐπιζήμια καὶ φαῦλα, ἀλλὰ πρὸς τὸ χρηστὸν εὖ με νουθέτει. Ἀτὰρ κακόν γε) καὶ δὴ ἀποθανοῦσα κακὸν γενήσομαι καὶ ἄλλῳ. ἀντὶ τοῦ τῷ Ἱππολύτῳ διὰ τῆς κατηγορίας. ἵν' εἰδῇ κοινῇ ταύτης μοι μετασχὼν τῆς νόσου, μετριάζειν, καὶ μὴ ὑψηλοφρονεῖν ταῖς ἑτέρων δυστυχίαις. 732. Ἠλιβάτοις) ἀντὶ τοῦ βαθυτάτοις. ἠλίβατον γὰρ οὐ μόνον τὸ ὑψηλὸν, ἀλλὰ καὶ τὸ βαθὺ, ὃ δεῖ ἀλιτεῖν τῆς βάσεως. κευθμῶσι δὲ, τοῖς ἐρήμοις καὶ κεκρυμμένοις τόποις, καὶ πάσης ἐντυχίας ἀνθρώπων χωρίς. τὸ ἑξῆς οὖν οὕτως. Πτερωσάτω με ὄρνιν θεὸς ὧδε, ἵνα γενοίμην ἐν ἠλιβάτοις κευθμῶσι, καὶ πλεῖστον ἀπόντος εἴην τοῦ ἀνθρωπίνου γένους. ἀφανισμὸν δὲ καὶ μετα-

ANNOTATIONES.

V. 700. Εἰ δ' εὖ γ' ἔπραξα) Fruſtrà hic eſt Canterus, cum ἔπραξεν anteponit; quod nihil melius ad ſenſum facit, ad carmen non æque bene. Nec ideò legendum, quia Scholiaſtes fortè ſic habet; ſæpe enim ille in aliis caſibus effert Poetæ verba.

V. 723. Θανεῖν· ὅπως δὲ, τοῦτ' ἐγὼ βουλεύσομαι) Hoc Carmen, quod prius erat luxatum, Cantero præeunte, ita reſtituimus: Prius enim ſcriptum erat Θανεῖν· ὅπως δ', ἐγὼ τοῦτο βουλεύσομαι. Nobiſcum facit Codex Heinſio-Scaligerianus.

V. 728. Ἀτὰρ κακόν γε χἀτέρῳ γενήσομαι) Hippolytum notat, quem morientis illius Calumniæ exitio propinabant. Huc refer illud Antholog. Græc. l. 1. c. 50. Epigr. 2. Μητρυιὴ προγόνοισιν ἀεὶ κακόν· οὐδὲ φιλοῦσα Ζώζει. Φαίδρας γνῶθι καὶ Ἱππόλυτον. Privignis ſemper vel Amet ſolet eſſe Noverca Exitio: Phædra eſt teſtis & Hippolytus. Joſua Barnes.

βολὴν τῆς φύσεως ἐπεύχεται ἑαυτῇ ὁ χορὸς, ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ. ἤτοι πρὸς τὸ ἄπειρον φυλάξαι τῶν ἐπιγεγενημένων συμφορῶν. ἢ ἐπειδὴ μέλλει σιωπῆς φυλάξαι τῇ Φαίδρᾳ, εἰς τὴν κατὰ τοῦ Ἱππολύτου διαβολὴν, καὶ παντελῶς ἁμαρτίαν εἰς ἑαυτὸν ἐπισπᾶσθαι, ψευδομαρτυρεῖν ἀναγκασθεῖσα κατ' αὐτοῦ. πρὶν ἂν ἐκεῖνον ἐπισπάσαι αὐτῷ τὸν κίνδυνον, ἀπαλλαγῆναι τῆς φύσεως εὔχεται. ἢ ὅπερ ἄμεινον, καταγνοῦσα τῆς ἀνθρωπίνης φύσεως, καὶ διὰ τῶν παρόντων κακῶν, ἄριστα παιδευθεῖσα, ὄρνις εὔχεται εἶναι πρὸς τὸ μηδὲ συνεχείας ἢ θείας ἀπολαύειν ἀνθρώπων. τοῦτο γὰρ τὸ ζῷον καθαρώτερόν ἐστι πάντων. διὸ καὶ ἕκαστον αὐτῶν θεοῖς ἀνάκειται. καὶ τῷ πλέον μᾶλλον τῶν ἄλλων ζώων ἀπονοσφίζεσθαι τῶν ἀνθρώπων οἰκεῖται. ὡς καὶ ἐν ἐρημίᾳ ἀνθρώπων ἐπιπᾶν ἀνίπτασθαι, καὶ νικᾶν τῇ φύσει τὴν τούτων διαστ. πρὸς τὴν Ἀδρίαν δὲ καὶ τὴν Κελτικὴν ἀφθῆναι εὔχεται οἰκείοις τοῖς προειρημένοις, καὶ ὡς μάλιστα τῶν τόπων τούτων λύπας ἀναδεξαμένων. ἐν γὰρ τῇ Ἀδρίᾳ ἡ Ἰὼ εἰς βοῦν μεταβληθεῖσα διὰ βούλησιν Ἥρας, διεπέρασε τὸ ἀπ' αὐτῆς Ἰόνιον πέλαγος κληθέν. αἱ δὲ Ἡλιάδες κόραι ἐν Ἠριδανῷ δακρύουσι τὸν Φαέθοντα, εἰς αἰγείρους μεταβληθεῖσαι.

3 Θεὸς ἐν ποταναῖς ἀγέλαισι θείη.
4 Ἀρθείην γὰρ ἐπὶ πόντιον κῦμα
5 Τᾶς Ἀδριηνᾶς ἀκτᾶς,
6 Ἠριδανοῦ θ' ὕδωρ.
7 Ἔνθα πορφύρεον * σταλάσσουσιν [* σταλάσσουσ'.]
8 Εἰς οἶδμα πατρὸς τάλαιναι
9 Κόραι Φαέθοντος οἴκτῳ, δακρύων
10 Τὰς ἠλεκτροφαεῖς αὐγάς.

Ἀντιστροφὴ α'.

1 Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον ἀκτὰν
2 Ἀνύσαιμι τᾶν Ἀοιδᾶν,
3 Ἵν' ὁ ποντομέδων πορφυρέας λίμνας
4 Ναύταις οὐκ ἔθ' ὁδὸν νέμει, σεμνὸν
5 Τέρμονα κυρῶν οὐρα-
6 νοῦ, τὸν Ἄτλας ἔχει·
7 Κρῆναί τ' ἀμβρόσιαι χέονται
8 Ζηνὸς μελάθρων παρὰ κοίταις,
9 Ἵν' ὀλβιόδωρος αὔξει ζαθέα
10 Χθὼν εὐδαιμονίαν θεοῖς.

Στροφὴ β'.

1 Ὦ λευκόπτερε Κρησία
2 Πορθμίς, ἃ διὰ πόντιον
3 Κῦμ' ἁλίκτυπον ἅλμας

3 In volatili grege faceret Deus,
4 Tollerer enim ſupra marinum fluctum,
5 Adriatici littoris,
6 Eridanique aquam.
7 Ubi ſtillant purpuream
8 In aquam patris ter miſeræ
9 Puellæ, Phaethontis miſeratione, lacrymarum
10 Electro pellucidos ſplendores.

Antiſtrophe 1.

1 Et ad littus pomis plenum Heſperidum
2 Cantatricum conficerem iter, *i. e.* valerem,
3 Ubi *Neptunus* marinus rector purpurei ſtagni,
3 Nō amplius, *i. e. non ulterius* cōcedit viam nautis, venerandum
5 Limitem habens cœ-
6 li, quod Atlas ſuſtinet:
7 Fontéſque ambroſii ſcaturiunt
8 Apud cubicula aulæ Jovis,
9 Ubi beata dona donans, & valde divina facit
10 Tellus beatitudinem diis.

Strophe 2.

1 O albis velorum alis inſtructa Cretenſis
2 Navis, quæ per marinos
3 Fluctus mariſtrepos ſali

Κῦμα τῆς Ἀδριηνᾶς) τὸ πόντιον κῦμα ἀντιδιαστελτικόν ἐστι τοῦ ῥεύματος τοῦ Ἠριδανοῦ. ὁ δὲ Ἀδρίας πέλαγός ἐστι μέγιστον πρὸς τῇ Ἰταλίᾳ. ὁ δὲ Ἠριδανὸς ποταμὸς Κελτικός. ἐν τούτοις δ' ἄρα εὔχεται μάλιστα τοῖς τόποις εἶναι, ὡς πειραθεῖσι συμφορῶν. ὁ μὲν γὰρ Ἀδρίας συνέπαθε τῇ βοΐ, ὁ δὲ Ἠριδανὸς τῷ Φαέθοντι. ὅπως ἂν παραφασιν ἔχωσι τὸν τόπον ἀκαταπαύστως θρηνοῦν τοὺς ἀνθρώπους. ἢ ὅπερ ἄμεινον, εὔχεται μεταβολὴν τῆς φύσεως εἰς τοὺς τόπους ἐκείνους φθάσαι, οἵτινες μάλιστα πεῖραν μετεμψυχώσεως ἐδέξαντο. ἐν μὲν γὰρ τῇ Ἀδρίᾳ ἡ Ἰὼ ἐκεῖ ἀπεβάλη εἰς βοῦν μεταμορφωθεῖσα, ἐν δὲ τῷ Ἠριδανῷ εἰς αἰγείρους αἱ Ἡλιάδες μετεβλήθησαν. Ἔνθα πορφύρεον) εἰς πορφυροῦν οἶδμα τοῦ Ἠριδανοῦ αἱ τοῦ πατρὸς ἡλίου ἄθλιαι κόραι Ἡλιάδες, τῷ οἴκτῳ τοῦ Φαέθοντος εἰς δένδρα μεταβληθεῖσαι, δακρύουσιν οὕτω τὸ δάκρυον ὅπερ πηγνύμενον ἐν τῇ ψυχρότητι τοῦ ὕδατος, ἀποτελεῖ τὸν ἤλεκτρον. πατέρα δὲ αὐτῶν τὸν Ἠριδανόν φασι. πορφύρεον τὸ θολὸν) αὐτοῦ τῷ ὕδατι αἰγείροις οὔσαις. Ἄλλως. κόραι Φαέθοντος) ἡλίου γὰρ βούλεται ὁ μῦθος αὐτὰς εἶναι. διὰ τί καὶ τὸ δάκρυον αὐτῶν φαεινοειδὲς λέγεσθαι εἶναι, ἤλεκτρον ὀνομαζόμενον, ἐπεὶ καὶ Ἠλέκτωρ ὁ ἥλιος λέγεται. 742. Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον) ἔνθα τὰ χρύσεα μῆλα ἐπετήρησαν. Φερεκύδης δὲ Διὸς καὶ Θέμιδος φησὶν αὐτάς. ἔνιοι δὲ τὰς αὐτὰς ταῖς Ἀτλαντίσιν. Ἑσπερίδες δὲ ὀνομάζονται, διὰ τὸ ἐν τῇ ἑσπέρᾳ, τουτέστιν ἐν τῇ δύσει κεῖσθαι. ὁ δὲ λόγος, ἀνύσαιμι καὶ ἔλθοιμι ἐπὶ τὴν ἀκτὴν τῶν Ἑσπερίδων νυμφῶν τῶν ἀοιδῶν, ἔνθα εἰσὶ χρύσεα μῆλα σπαρέντα. πάλιν δὲ ἀκολούθως τοῖς προειρημένοις. καὶ ἐνταῦθα εὔχεται φθάσαι. ἐπειδὴ καὶ αὗται νῦν ἐν θρήνοις εἰσί, θρηνοῦσαι τὸν δράκοντα τὸν μηλοφύλακα, τὸν πάρος ὑφ' Ἡρακλέους φονευθέντα. διὰ τοῦτο γὰρ ἀοιδοὺς αὐτὰς λέγει, διὰ τὸ ἐπὶ θρήνοις εἶναι. Ἵν' ὁ ποντομέδων) ὅπου ὁ Ποσειδῶν οὐκ ἔτι δίδωσι τοῖς ναύταις διέξοδον προσεγγίζειν εἰς τὸν ὠκεανόν. τέρμονα γὰρ οὐρανοῦ τὸν ὠκεανόν φησι, εἰς ὃν δοκεῖ τῇ θέᾳ τῇ ἀνθρωπίνῃ ἀποπερματίζεσθαι καὶ καταπίπτειν ὁ οὐρανός. πάλιν δὲ πρὸς τὴν διήγησιν ἐτράπη τῶν τόπων, ἔνθα ὁ Ποσειδῶν τὸν πλοῦν τῆς θαλάσσης τοῖς ναύταις οὐ δίδωσιν ἔτι. καθὰ καὶ Πίνδαρος * Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν. Τὸν Ἄτλας ἔχει) τὸν Ἄτλαντα οἱ μὲν ὄρος εἰρήκασι, μυθολογοῦντες τὸν οὐρανὸν βαστάζειν. ἐπειδὴ πάνυ ὑψηλὸν ὑπάρχει, καὶ δοκεῖ ἐπικεῖσθαι αὐτῷ ὁ οὐρανός. ὅθεν καὶ Ἄτλας εἴρηται, διὰ τὸ ἄτλητον ποιήσασθαι τὴν εἰς αὐτὸν ἀνάβασιν. τινὲς δὲ ἄτλαντα εἰρήκασιν αὐτὸν τὸν ἄξονα τοῦ οὐρανοῦ, δι' οὗ ἡ τοῦ παντὸς κίνησις γίνεται. δηλοῖ δὲ καὶ Ὅμηρος, † ἔχει δέ τε κίονας αὐτὸς μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι. εἴρηται δὲ ἄτλαντα, οἱονεὶ πολύτλαν, διὰ τὸ αὐτὸν πάντα βαστάζειν. Κρῆναί τ' ἀμβρόσιαι) αἱ τοῦ νέκταρος κρῆναι, καθὸ ἡ ἀμβροσία καὶ τὸ νέκταρ ἐκεῖσε φύονται. Ἄλλως. Ὑπερίδι) τὴν τῶν Φαιάκων γῆν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμότητος, καὶ ἐκ τοῦ ἐπιπνέοντος ἀνέμου τρὶς τοῦ ἐνιαυτοῦ τὸν σῖτον, καὶ τὰ ἄλλα χρήσιμα φέρειν λέγεται. τὸ δὲ ἑξῆς, καὶ ἔλθοιμι ἐν ἐκείνῳ τῷ τόπῳ, ὅθεν ἐκ τῶν κοιτῶν τῶν οἴκων τοῦ Διὸς χέονται αἱ πηγαί, αἳ τὸ ζῆν τοῖς θεοῖς δωροῦνται. Ἵν' ὀλβιόδωρος αὔξει) πρὸς τῷ πνεῖν κύκλῳ, καὶ τῇ ζωῇ τοῦ πυρός. ἐπίσης γὰρ μυθεύουσιν εἶναι γῆν, ἐκ γὰρ τῆς πολλῆς θερμασίας τρίτον τοῦ ἐνιαυτοῦ συμβαίνει τὰ χρήσιμα φύεσθαι, καὶ τὸ νέκταρ φησὶ γῆν κρήνας μὲν ἀμβροσίας τὰς τοῦ νέκταρος, εὐδαιμονίαν δὲ τὴν ἀμβροσίαν καὶ ἀθανασίαν. 754. Κῦμ' ἁλίκτυπον) ἑτέρα μοῖρα χορική, ἣ δὴ καὶ τὰ πρότερα θρηνεῖ ἄνωθεν ἐκ τῆς ἐπιδημίας ὀλοφυρομένη τὴν Φαίδραν. οὐ μοι φησὶ προοίμιον τῶν θρήνων, ὦ πορθμίς, ἐπεὶ καὶ τῶν συμφορῶν ὑπόθεσις γέγονε.

* *Pindar.* Neme. Od. 4. Epod. γ. † *Hom.* Odyſſ. α. v. 53.

ANNOTATIONES.

V. 735. Ἀρθείην δ' ἐπὶ πόντιον κῦμα) Vide *Plinii* Cavillationem de *Apollonio* & hoc loco *Euripidis*; & quid in utriuſque defenſionem dicatur à *P. Victorio* Variar. Lection. l. 25. c. 4. Etiam *Scholiaſten* in hunc locum. *Joſua Barnes.*

V. 737. Ἠριδανοῦ θ' ὕδωρ) *Eridanique* aquam, ubi ſtillant &c. Vide de *Phaethontis* Sororibus in arbores converſis & Electrum lacrymantibus præter *Scholiaſten*, *Ovidii* Metamorph. l. 2. Fab. 2. & 3. & Αἰλουροκάτωλεγε ſive *Æſtheram* noſtram à v. 1138. ad v. 1157. *Joſua Barnes.*

V. 745. Τέρμονα) Vid. *Phœniſſ.* v. 1361.

V. 750. Ἄξει) *Canterus* legit αὔξει Nov. Lection. l. 1. c. 13.

4 Ἐπί-

4 Ἐπόρθμευσας ἐμὰν ἄνασσαν
5 Ὀλβίων ἀπ' οἴκων,
6 Κακονυμφοτάταν ὄνασιν.
7 Ἦ γὰρ ἀπ' ἀμφοτέρων,
8 Ἢ Κρησίας ἐκ γᾶς δύσορνις
9 Ἔπτατο κλεινὰς Ἀθήνας, Μου-
10 νυχίου δ' ἐπ' ἀκταῖς ἐκδήσαντο
11 Πλεκτὰς πεισμάτων ἀρχὰς,
12 Ἐπ' ἀπείρου τε γᾶς ἔβασαν.

Ἀντιστροφὴ β'.

1 Ἀνθ' ὧν οὐχ ὁσίων ἐρώ-
2 των δεινᾷ φρένας Ἀφροδί-
3 τας νόσῳ κατεκλάσθη.
4 Χαλεπᾷ δ' ὑπέραντλος οὖσα
5 Συμφορᾷ, τεράμνων
6 Ἀπὸ νυμφιδίων κρεμαστὸν
7 Ἅψεται ἀμφὶ βρόχον
8 Λευκᾷ καθαρμόζουσα δέρᾳ,
9 Δαίμονα στυγνὸν καταιδεσθεῖ-
10 σα, τάν τ' εὔδοξον ἀνθαιρουμένα
11 Φήμαν, ἀπαλλάσσουσά
12 Τ' ἀλγεινὸν φρενῶν ἔρωτα.

4 Adduxiſti meam dominam,
5 Beatis ab ædibus,
6 Ad infeliciſſimas nuptiarum delicias.
7 Certè enim ab utrâque *regione*,
8 Aut è terrâ Cretenſi infauſta
9 Volavit inclytas Athenas: Mu-
10 nychii verò in littore ligavit
11 Contorta funium initia, *tortos rudentes*,
12 Et in terram continentem *Vectores* deſcenderunt.

Antiſtrophe 2.

1 Quamobrem non licitis amo-
2 ribus animo horribilitèr Vene-
3 ris morbo fracta eſt.
4 Sævâ autem ſuperata à
5 Calamitate, tectis
6 A ſponſalibus pendentem
7 Nectet laqueum circa
8 Candidam adaptans cervicem,
9 Deam triſtem reveri-
10 ta, honeſtámque *turpi* anteponens
11 Famam, depellénſ-
12 que moleſtum ex animo amorem.

Ἦ γὰρ ἀπ' ἀμφοτέρων) οὕτως γὰρ ἀπὸ τῶν δύο ἀπό τε τῆς Κρήτης καὶ τῆς Ἀττικῆς κακὰ σημεῖα ἐφαίνοντο αὐτῇ. τὸ δὲ ἀμφοτέρων ἐκείνων ἔχετε ... καὶ ... ἐν ᾗ ὅπως. ὅτι κακοῖς γὰρ σημείοις ἐκδοθεῖσα τῶν γονέων ἦλθεν εἰς Ἀττικὴν ἀπὸ τῆς Κρήτης. ἐπεὶ δὲ καὶ δύσορνιν αὐτὴν ἔφη, εἶπε τὸ ἔπτατο ἀντὶ τοῦ ἦλθεν. Μούνυχος δὲ λιμὴν Ἀττικῆς. ... δέ φησιν ἐν τῷ Μουνύχου λιμένι τῆς Ἀττικῆς παρέβαλον τὰς ἀρχὰς τῶν σχοινίων, καὶ ἔδησαν ἐν αὐτῷ, καὶ ἐξέβησαν ἐν τῇ γῇ. τὸ πλωικῶς ... ἡ Ἀφροδίτη κακὸν ἔρωτα ἔπεμψε τῇ ἐμῇ δεσποίνῃ. Ὑπέραντλος) ἐκ μεταφορᾶς τῶν ἐν τῇ νηὶ ... τῆς ἀντλίας ... ἀδυνατοῦσα φησὶ πρὸς τὴν συμφοράν, καὶ ὑπερβαρῆ νοσοῦσα τὴν αἰσχύνην ἐβουλεύσατο.

ARGUMENTUM *Actûs* Quarti.

PHædræ *ſuſpendio extinctæ ſupervenit Maritus* Theſeus, *qui illius interitum deplorat. Inventis tandem literis, quibus miſera illa Noverca* Hippolytum *tentatæ Caſtitatis ſuæ falsò accuſârat, Filium execratur. Innocens ille Juvenis audito tumultu queritabundus accedit; malè à Credulo Patre acceptus ſe ſuámque cauſam tuetur, nihil apertè de Novercâ fatens, eo quòd Juramentum temerè Nutrici datum Religiosè obſervaret. Quanquam autem plurima Innocentiæ ſuæ argumenta protuliſſet, in exilium pellitur.* Chorus, *qui omnia noverat, ut geſta fuerant, quùm vidit Innocentiam Injuſtè opprimi, querelam ſuper* Hippolyto *orditur, à loco nempe communi de Providentiâ Deorum imperveſtigabili & incertis rerum humanarum vicibus; quibus omnia veluti æſtu quodam volvantur & revolvantur.*

ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΘΗΣΕΥΣ, ΙΠΠΟΛΥΤΟΣ.

Ἴαμβοι.

Αγ. ἸΟΥ, ἰού. Βοηδρομεῖτε πάντες οἱ πέλας δόμων.
Ἐν ἀγχόναις δέσποινα, Θησέως δάμαρ.
Χο. Φεῦ, φεῦ, πέπρακται· βασιλὶς οὐκ ἔτ' ἔστι δὴ
Γυνή, κρεμαστοῖς ἐν βρόχοις ἠρτημένη.
Αγ. Οὐ σπεύσετ'; οὐκ οἴσει τις ἀμφιδέξιον
Σίδηρον, ᾧ τόδ' ἅμμα λύσομεν δέρης;
Ημ. Φίλαι, τί δρῶμεν; ἦ δοκεῖ περᾶν δόμους,
Λῦσαί τ' ἄνασσαν ἐξ ἐπισπαστῶν βρόχων;
Ημ. Τί δ'; οὐ πάρεισι πρόσπολοι νεανίαι;
" Τὸ πολλὰ πράσσειν, οὐκ ἐν ἀσφαλεῖ βίου.

Nuntius.

HEU, heu! Accurrite omnes, qui prope domum eſtis:
Domina, Theſei uxor, eſt in laqueis.
Cho. Heu, heu, actum eſt. Regia jam non eſt amplius
Mulier, penſilibus in laqueis ſuſpenſa.
Nun. Non feſtinatis? Non adferet aliquis anceps
Ferrum, quo ſolvamus hunc nodum cervicis?
Sem. Amicæ, quid agimus? an placet ingredi in ædes,
Et ſolvere dominam ex aſtrictis laqueis?
Sem. Cur verò non adſunt juvenes famuli?
" Multarū *rerum* ſatagere & *curioſum eſſe*, non eſt in vitâ tutum.

Ἰὼ) πρὸς βοῦλον ταῦτα τὴν τροφὸν ἔξωθεν λέγειν. τινὲς δὲ ἐξάγγελον φασί. ἐξάγγελος δὲ ὁ τὰ πραγμέν' ἔνδον τῆς σκηνῆς τοῖς ἔξω ἀγγέλλων. Βοηδρομεῖτε δὲ, τὸ ἐκ βοῆς τρέχειν. ἵνα διὰ τῆς βοῆς, καὶ ἄλλους πρὸς βοήθειαν κινήσωσι. Ἀμφιδέξιον σίδηρον) ἀντὶ τοῦ δίστομον, ᾧ ἄν τις πρὸς ἀμφότερα τὰ μέρη δεξιῶς χρήσαιτο. ἐδόκει γὰρ μετέχειν τοῦ μιάσματος, ὥστε μὴ ἔχοντα τὰς αἰσχύνας τῶν ἀγχονισμένων. ἅμμα δὲ δεσμὸς σχοινίων. καὶ τὸ ἐξ ἐπισπαστῶν βρόχων, ἀντὶ τοῦ τῶν δεδεμένων βρόχων. 785. Τὸ πολλὰ πράσσειν) οὐκ ἔστιν ἀσφαλὴς ὁ βίος τῶν ἐμβαλόντων ἑαυτοὺς εἰς πολλὰ πράγματα.

ANNOTATIONES.

V. 776. Ἰὼ, Ἰώ.) Hæc exclamatio extra Carmen ponitur. Vide ad hujus Fabulæ v. 345. & *Hecub.* v. 1116. Nuntius autem hæc loquitur, quare dele Sτ. & ſic ἄγ. i. e. ἄγγελος. Ità quidem Codex *Hemſio-Scaligerianus.*

Αγ. Ὀρ-

Αγ. Ὀρθώσατ' ἐκτείνοντες ἄθλιον νέκυν.
Πικρὸν τόδ' οἰκούρημα δεσπόταις ἐμοῖς.
Χο. Ὄλωλεν ἡ δύστηνος, ὡς κλύω, γυνή.
Ἤδη γὰρ ὡς νεκρόν νιν ἐκτείνουσι δή.
Θη. Γυναῖκες, ἴστε, τίς ποτ' ἐν δόμοις βοὴ;
Ἠχὼ βαρεῖα προσπόλων ἀφίκετο.
Οὐ γάρ τί μ' ὡς θεωρὸν ἀξιοῖ δόμος
Πύλας ἀνοίξας εὐφρόνως προσεννέπειν.
Μῶν Πιτθέως τι γῆρας εἴργασται νέον;
Πρόσω μὲν ἤδη βίοτος· ἀλλ' ὅμως ἔτ' ἂν
Λυπηρὸς ἡμῖν τούσδ' ἂν ἐκλίποι δόμους.
Χο. Οὐκ εἰς γέροντας ἥδε σοι τείνει τύχη
Θησεῦ· νέοι θανόντες ἀλγυνοῦσί σε.
Θη. Οἴμοι· τέκνων μοι μή τι συλᾶται βίος;
Χο. Ζῶσιν, θανούσης μητρὸς, ὡς ἄλγιστά σοι.
Θη. Τί φής; ὄλωλεν ἄλοχος; ἐκ τίνος τύχης;
Χο. Βρόχον κρεμαστὸν ἀγχόνης ἀνήψατο.
Θη. Λύπῃ παχνωθεῖσ', ἢ 'πὸ συμφορᾶς τινός;
Χο. Τοσοῦτον ἴσμεν· ἄρτι γὰρ κἀγὼ δόμους,
Θησεῦ, πάρειμι, σῶν κακῶν πενθήτρια.
Θη. Αἶ, αἶ. τί δῆτα τοῖσδ' ἀνέστεμμαι κάρα
Πλεκτοῖσι φύλλοις, δυστυχὴς θεωρὸς ὤν;
Χαλᾶτε κλῇθρα πρόσπολοι πυλωμάτων.
Ἐκλύσαθ' ἁρμοὺς, ὡς ἴδω δυσδαίμονα
Γυναικὸς, ἥ με κατθανοῦσ' ἀπώλεσεν.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ἰὼ, ἰὼ· τάλαινα μελέων κακῶν.
Ἔπαθες, εἰργάσω
Τοσοῦτον, ὥστε τούσδε συγχέαι δόμους·
Αἶ αἶ τόλμας, ὦ βιαίως θανοῦσ', ἀνοσίῳ τε συμφορᾷ,
Σᾶς χερὸς πάλαισμα μελέας,
Τίς ἄρα σὰν τάλαιναν ἀμαυροῖ ζωάν;
Θη. Ὤμοι ἐγὼ παθέων, ὧν ἔπαθον, ὦ τάλαινα.
Τὰ κάκιστ' ἐμῶν κακῶν. ὦ τύχα,
Ὥς μοι βαρεῖα καὶ δόμοις ἐπεστάθης,
Κηλὶς ἄφραστος ἐξ ἀλάστορος τινός,

Nun. Rectam collocate, extendentes miſerum cadaver.
Acerbum *eſt* hoc miniſterium dominis meis,
Cho. Periit infelix mulier, ut audio:
Jam enim ut cadaver *compoui ſolet*, ipſam extendunt.
The. Mulieres, ſcitis, quiſnam clamor ſit in ædibus?
Vehemens ſonitus ancillarum pervenit *ad me*.
Haud enim Me, ut peregre advenientem dignatur Familia
Portis apertis hilariter ſalutare.
Num Pittheo ſeni aliquid novi accidit?
Provecta quidem jam eſt ætate: ſed tamen etiam
Cum magno meo dolore has relinqueret ædes.
Ch. Non ad ſenes tibi tendit hæc fortuna,
O Theſeu: juniores mortui dolore afficient te.
The. Heu, an meorum ſpoliatur vita liberorum?
Ch. Vivunt, mortuâ matre quàm acerbiſſimè.
The. Quid ais? periit uxor? ex quo caſu?
Ch. Laqueû penſilē ſtrāgulationis, *i.e. ut ſe ſtrangularet*, ſuſpendit.
The. Doloréne confecta, an ab aliquâ calamitate *ad hoc impulſa*?
Ch. Tantum *hoc* ſcimus, recens enim & ego ad ædes
The. accedo, tuorū malorū deploratrix, *i.e. ut tua mala lugeam.*
The. Heu, heu! quid igitur his coronatus ſum caput
Contextis foliis, qui ſum *infelix Oraculorum Conſultor*.
Laxate clauſtra miniſtri portarum,
Solvite compages, ut videam infelix *cadaver*.
Conjugis, quæ me mortua perdidit.

MONOSTROPHICA.

Cho. Heu, heu, miſera propter miſera mala.
Paſſa es *atrocia*, confeciſti *hoc*
Tantum, ut confunderes hanc domum.
Heu heu audaciam: ô violenter mortuam, & ſcelerato caſu,
Certamen tuæ miſeræ manus.
Quis verò delevit tuam miſeram vitam?
The. Hei mihi propter mala, quæ ſum paſſus. ô miſera *Uxor*.
Peſſima mea mala: ô fortuna,
Quàm gravis mihi, & meis ædibus acceſſiſti,
Non dicenda macula ex aliqua furiâ.

Ὀρθώσατ' ἐκτείνοντες) ἀπορθώσατε, φησὶν, αὐτῆς τὰ μέλη, καὶ κατ' ὀρθὸν σχηματίσατε τὸν νεκρὸν, τὸ πικρὸν οἰκούρημα τῶν ἐμῶν δεσποτῶν, ὃ ἔστι τὸν ἀτυχῆ οἰκουρόν. Γυναῖκες ἴστε τίς) τὸ ἑξῆς, ἠχὼ βαρεῖα προσπόλων ἀφίκετο. Ἴστε τίς ποτ' ἐν δόμοις βοὴ) ἴστε φησὶ τίς ἡ βοὴ, ἡ ἐν τοῖς οἴκοις, ὦ γυναῖκες. ἠχὼ γὰρ βαρεῖα πρός με ἀφίκετο. Οὐ γάρ τί μ' ὡς θεωρὸν) ἀντὶ τοῦ ἀπὸ μαντείας. [illegible] γὰρ εἶχον οἱ ἀρχαῖοι τοῦτο, ὅτε ἤρχοντο ἀπὸ μαντείας ἐστεφανωμένοι ἤρχοντο, καὶ πάντες οἱ οἴκοι προσεκύνουν αὐτούς. τὸ δὲ ἑξῆς οὐκ ἔτι γάρ ὡς θεωρόν με ἀξιοῖ προσκυνεῖν, ἀλλ' ἔχω ἀφελέσθαι τὸν στέφανον διὰ τὴν βοήν. θεωροὶ δὲ ἐκαλοῦντο, πάντες οἱ ἐκ θεοῦ στελλόμενοι· ἢ ὕστερον ὑποστρέφοντες. Πρόσω μὲν ἤδη) ἤδη πόρρω, μακρός. ἀντὶ τοῦ προβέβηκε τῇ ἡλικίᾳ. ἤτοι γέρων μέν ἐστιν. ἀλλ' ὅμως λυπηρὸς ἡμῖν φανήσεται ἀποθανών. Οἴ μοι τέκνων μοι) μὴ ἄρα τῶν τέκνων μου ἡ ζωὴ κλέπτεται, ἀντὶ τοῦ ἀπέθανον. Λύπῃ παχνωθεῖσα) ἀντὶ τοῦ παγωθεῖσα. ἁπάντων γὰρ τῶν φυτῶν φθαρτική ἐστιν ἡ πάχνη. οἰκονομικῶς δὲ ψεύδεται τὰ λοιπὰ μὴ εἰδέναι ὁ χορός. Αἶ αἶ τί δῆτα) ἔθος γὰρ ἦν, τοὺς ἐξ ἱεροῦ στελλομένους στέφεσθαι. πλεκτοῖς δὲ φύλλοις, ἀντὶ τοῦ πλεκτοῖς στεφάνοις. Χαλᾶτε κλῇθρα) ἀντὶ τοῦ ἀνοίξατε τὰς θύρας. Ἔπαθες εἰργάσω) πέπονθας τὸ τῆς ἀγχόνης κακόν. εἰργάσω εἰς σαυτὴν τὸν δι' ἀγχόνης θάνατον. τὸ δὲ αἶ αἶ τόλμας, διὰ μέσου ἀναπεφώνηται, καὶ οὕτως τὸ ἑξῆς ἔσται. Πάλαισμα μελέας) τὸ [illegible] τῆς ἀγχόνης. ἀπὸ μεταφορᾶς τῶν παλαιόντων, οἳ οἱονεὶ πνίγουσιν ἑαυτοὺς ἐν τῷ τραχήλῳ πιέζοντες. Τίς ἄρα) λείπει τὸ δαιμόνων, τίς ἄρα δαιμόνων ἀμαυροῖ, ἤτοι ἀφανῆ καθιστᾷ τὴν σὴν ζωήν. 820. Κηλὶς ἄφραστος) ῥυπαρία μιαίνουσα, αἰσχύνη. Ἄφραστος δὲ, ἀντὶ τοῦ ἀνεκφράστος, ἀδόκητος σπίλος καὶ αἰσχύνη.

ANNOTATIONES.

V. 786. Ὀρθώσατ' ἐκτείνοντες ἄθλιον νέκυν) De hoc Veterum more in dirigendo & extendendo ad priſtinam formam Functorum corpora, Vid. *Petr. Victorii* Var. Lection. l. 10. c. 20. & *Iſaac. Caſaubon.* Lection. *Theocrit.* c. 1. *Joſua Barnes.*

V. 789. Νεκρὸν) Ὁ νεκρὸς *Cadaver* ſonat & dicitur tam de *Muliere*, quàm de *Viro*, ſicut & ὁ νέκυς· paulò ſupra v. 786. ἄθλιον νέκυν de *Phædrâ* dicitur. Vid. infra v. 809. De *Extenſione* & Collocatione Mortuorum, vid. ſupra ad v. 786. *Joſua Barnes.*

V. 792. Ὡς θεωρὸν) Ridiculè hactenus in hoc certè loco per *Spectator* hoc verbum reddiderunt interpretes; cùm propriè hic & ſæpe aliàs uſurpatur de Homine, qui de conſulto Oraculo *Delphico* redit, ex more coronatus. Quales ut ſancti homines, ab omnibus comitèr & reverentèr excipi ſolebant; de quâ re vide *Scholiaſten*. Quin Navis illa, quam Oraculum quotannis *Athenienſes* coronatam miſerunt, dicta erat Θεωρὶς, eò quòd in illâ Θεωροὶ *Delum* veherentur, alio nomine Πάραλος & Δηλιάς· De quâ *Callimachus* Hymn. εἰς Δῆλον v. 314. Ἐξότε κεκλήισται Θεωρὶς ἱερὴ Φοίβου Κεκροπίδαι πέμπουσι τοπήϊα νηὸς ἐκείνης. Vid. *Hofmanni* Lexicon Contin. Tom. 2. & *Cal. Rhodigin.* l. 8. c. præcipuè verò *Æſchyl.* Scholiaſt. ad Ἑπτὰ ἐπὶ Θήβας v. 864. quæ Nos ad *Supplic.* v. 97. Θέωρος quoque Nomen proprium Poetæ Veteris Ῥητοριζου. Vid. *Sam. Petiti* Miſcell. l. 7. c. 6. & eund. Comm. in LL. *Atticas* l. 8. tit. 1. *Joſua Barnes.*

V. 803. Λύπῃ παχνωθεῖσ') τὸ πα in παχνωθεῖσα brevis eſt. Vide *Phœniſſ.* v. 19.

V. 806. Αἶ, αἶ· τί δῆτα τοῖσδ' ἀνέστεμμαι κάρα) *Theſeus* ab Oraculo coronatus redit. Vid. *Scholiaſten* ad hunc locum & paulò ſuprà ad v. 792. Vid. etiam *Sophocl.* in *Oedipo* Tyranno — εἰ γὰρ ἂν κάρα Πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης. *Scholium* — Οἱ γὰρ ἐπί τινι αἰσίῳ παραγινόμενοι ἐκ Δελφῶν ἐστεμμένοι ἀνεχώρουν. *Ariſtoph.* in *Pluto.* Οὐ γάρ με τωθάσεις, στέφανον ἔχοντά γε. Vid. *Joh. Brodæi* Miſcell. l. 4. c. 15. Item *Julii Cæſaris Bulengeri* de Oraculis & Vatibus l. 1. c. 101. *Joſua Barnes.*

V. 809 Δυσδαίμονα γυναικὸς) Subaudi νεκρὸν· De *Muliere* autem æquè ac de *Viro* ὁ νεκρὸς & ὁ νέκυς dicitur & ſignificat *Cadaver*. Vid. ſuprà ad v. 789. *Joſua Barnes.*

Κατα-

Κατακονᾷ μ' οὖν ἀβίωτος βίος.
Κακῶν δ' ὁ τάλας πέλαγος εἰσορῶ
Τοσοῦτον, ὥστε μή ποτ' ἐκνεῦσαι πάλιν,
Μηδ' ἐκπερᾶσαι κῦμα τῆσδε συμφορᾶς.
Ἐκλύεθ' ἁρμοὺς, ὡς ἴδω πικρὰν θέαν.
Τίνα λόγον τάλας, τίνα τύχαν σέθεν
Βαρύποτμον, τλῆμον, προσαυδῶν τύχω;
Ὄρνις γὰρ ὥστις ἐκ χερῶν ἄφαντος εἶ,
Πήδημ' ἐς ᾅδου πικρὸν ὁρμήσασά μοι.
Αἶ, αἶ, αἶ, αἶ. μέλεα πάθη τάδε.
Πρόσωθεν δέ ποθεν ἀνακομίζομαι
Τύχαν, δαιμόνων ἀμπλακίαισι
Τῶν πάροιθέν τινος.
Χο. Οὐ σοὶ τάδ', ὦ 'ναξ, ἦλθε δὴ μόνῳ κακά·
Πολλῶν μετ' ἄλλων ὤλεσας κεδνὸν λέχος.
Θη. Τὸ κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας
Μετοικεῖν, σκότῳ θανὼν ὁ τλήμων,
Τῆς σῆς στερηθεὶς φιλτάτης ὁμιλίας·
Ἀπώλεσας γὰρ μᾶλλον, ἢ κατέφθισο.
Τίνος κλύω; πόθεν θανάσιμος τύχα,
Γύναι, σὰν ἔβα τάλαιναν καρδίαν;
Εἴποι τις ἂν τὸ πραχθὲν, ἢ μάτην ὄχλον
Στέγει τύραννον δῶμα προσπόλων ἐμῶν;
Ἰώ μοι μοι, σέθεν μέλεος,
Οἷον εἶδον ἄλγος δόμων,
Οὐ τλητὸν, οὐδὲ ῥητόν· ἀλλ' ἀπωλόμην·
Ἔρημος οἶκος, καὶ τέκν' ὀρφανεύεται.
Χο. Ἔλιπες, ἔλιπες, ὦ φίλα γυναικῶν,
Ἀρίστα θ', ὁπόσας ἐφορᾷ
Φέγγος ἀελίου τε,
Καὶ νυκτὸς ἀστερωπὸς σελάνα.
Ἰὼ τάλας, ὦ τάλας, ὅσον κακὸν ἔχει δόμος.
Δάκρυσί μου βλέφαρα
Καταχυθέντα, τέγγεται σᾷ τύχᾳ·
Τὸ δ' ἐπὶ τῷδε πῆμα φρίσσω πάλαι.
Θη. Ἔα, ἔα· Τί δή ποθ' ἥδε δέλτος ἐκ φίλης χερὸς
Ἠρτημένη, θέλει τι σημῆναι νέον;
Ἀλλ' ἢ λέχους μοι καὶ τέκνων ἐπιστολὰς
Ἔγραψεν ἡ δύστηνος, ἐξαιτουμένη;
Θάρσει, τάλαινα· λέκτρα γὰρ τὰ Θησέως

Conſumit igitur *me* mea miſera vita.
Ego verò miſer intueor pelagus malorum
Tantum, ut ego nunquam poſſim emergere rurſus,
Nec ſuperare fluctus hujus calamitatis.
Solvite nodos, ut videam miſerum ſpectaculum.
Quâ oratione te miſer, quam tuam fortunam
Infelicem, miſera, compellem?
Avis n. ut quædā ex manib. evolans ex homin. conſpectu ſublata, abis
Saltu mihi acerbo ad Plutonem ruens.
Heu, heu; heu, heu! miſeranda, miſeranda *ſunt* hæc mala.
Ex anteacto autem ævo alicunde, refero *&* patior
Calamitatem *hanc*, propter peccata *in deos commiſſa*,
Superiorum alicujus *meorum progenitorum*.
Cho. O rex non tibi ſoli hæc mala acciderunt:
Cum multis aliis perdidiſti tuam inclytam conjugem.
The. Sub terrâ volo, ſub terrâ caliginem *hinc*
Migrans habitare, mortuus in tenebris miſer,
Orbatus tuâ chariſſimâ conſuetudine:
Perdidiſti enim *me* magis, quàm *ipſa* perieris.
Ex quo audio? unde letalis ille caſus,
Mulier, acceſſit *ad* miſerum cor tuum?
Dicitne aliquis factum, an fruſtrà turbam
Famulorum meorum continet domus regia?
Heu mihi, mihi, propter te miſer *ſum*,
Quantum luctum vidi ædium
Non ferendum, neque dicendum; ſed perii:
Domus *eſt* deſerta, & liberi ſunt orphani.
Ch. Reliquiſti, reliquiſti *nos*, ô chariſſima mulierum,
Optimáque, quotquot aſpicit
Lumen ſolis,
Et noctu ſplendens luna.
Hei miſer, miſer; quantum malum habet domus!
Palpebræ meæ lacrymis
Perfuſæ madeſcunt tuo fato:
Sed & ſequens malum horreo jampridem.
The. Sine, ſine. Quidnam verò iſtæ literæ ex charâ manu
Suſpenſæ *ſibi volunt*? Quid novi volunt ſignificare?
An verò de lecto liberiſque mihi literas
Scripſit infelix, *aliquid à me petens*?
Bono ſis animo, miſera. Lectos enim Theſei

Κατακονᾶ μ' οὖν) ἀντὶ τοῦ καταφθορᾶ. λείπει δὲ τὸ κατέλαβε με. ὁ δὲ νοῦς· καταφθορὰ ζωῆς ἀβιωτοποιὸς κατέλαβέ με. κακῶν δὲ ὁ τάλας πέλαγος εἰσορῶ. γράφεται δὲ καὶ τὸ κατακονᾶ ῥῆμα, ἵν' ᾖ οὕτως· μιαίνει με ἡ δυστυχία τοῦ βίου. γράφεται καὶ κατακονᾷ μ' οὖν, ἀντὶ τοῦ καταπαλαίει. Μηδ' ἐκπερᾶσαι κῦμα) ἀντὶ τοῦ ἐκκολυμβῆσαι. ἐπεὶ καὶ πέλαγος προείρηται. ἐμμένει δὲ τῇ μεταφορᾷ. Ὄρνις γὰρ ὥς τις) ὥσπερ ὄρνις κρατηθεὶς ὑπό τινος, ἀφανὴς γίνεται. οὕτω καὶ σὺ, ταχέως εἰς τὸν ᾅδην ἐπήδησας. Πρόσωθεν δέ ποθεν) πόθεν ζυμβαίνει μοι αὕτη ἡ συμφορά, μὴ ἄρα ἕνεκεν τῶν πρόσθεν ἁμαρτημάτων μοι, ἢ πρός τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων. Ἄλλως. Ἀμπλακίαισι τῶν πάροιθεν) ὃ δὴ ἐστὶν ἐμὸν ἁμάρτημα τιμωροῦμαι, ἀλλὰ λείπει προγονικόν. Ἄλλως. μὴ διὰ τὰς ἁμαρτίας τῶν προτέρων μου, ἤτοι ἀρχαίων προγόνων, ἀναλαμβάνω τοιαύτην δυστυχίαν παρὰ θεῶν. Οὔ σοι τάδ' ὦ 'ναξ) καὶ ἐν τῇ Ἀλκήστιδι,† οὐ γάρ τι πρῶτος, οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες. Τίνος κλύω) λείπει ἡ παρά. παρά τινος ἀκούσω καὶ μαθήσομαι τὸ συμβὰν σοι, αἴτιον ὅθεν ἀπώλου. τίς ἂν εἴποι τὸ γενόμενον. ἢ οὕτως τὸ δῶμα μάτην ἔχει θεραπόντων ὄχλον. Οὐ τλητὸν οὐδὲ ῥητὸν) ὃ οὔτε σιωπᾶν δύναμαι, μέγα γάρ ἐστιν· οὔτε λέγειν, αἰσχύνην γάρ μοι φέρει τὸ παράδοξον τοῦ θανάτου. Νυκτὸς ἀστερωπὸς) καὶ ἡ διὰ νυκτὸς λαμπρὰ σελήνη, ὡς πρὸς ἀντιπαραβολὴν τοῦ ἡλίου· ἐκεῖνος γὰρ κρύπτει πάντων τῶν ἀστέρων τὸ φῶς. Τὸ ἔλιπες ἔλιπες ὦ φίλα) ἀντὶ τοῦ ἀπέθανες, ἔλιπες τὸ ζῆν. καὶ τὸ ἰὼ τάλας, ἀντὶ τοῦ τάλαινα. καὶ γὰρ ταῦτα τοῦ χοροῦ φασι. Τὸ δ' ἐπὶ τῷδε) διὰ τὸ γὰρ κακῶς ἀπήγξω, πάλαι δὲ φοβοῦμαι, μὴ καὶ ἕτερόν τι πάθω κακόν. Ἔγραψεν ἡ δύστηνος) μᾶλλον ἔγραψα παρακλήσεις, ἵνα μὴ ἄλλην μνηστεύσωμαι, ἢ διὰ τὰ τέκνα. 860. Θάρσει τάλαινα) γελοῖον πρὸς νεκρὸν τὸ θάρσει. συγγνωστέος δὲ διὰ τὴν παρακειμένην συμφοράν. σφενδόνην λέγει τὴν δακτύλιον, τὸν δεσμόν. τύπον δὲ τὴν ἐπικειμένην σφραγῖδα τῶν δεσμῶν. προσσαίνουσί με δὲ, ἀντὶ τοῦ ἥδυνον, προσῆγόν με, κολακεύουσιν· αὐτῆς γάρ εἰσι. φέρε δὴ ἂν ἀνακαλύψω τὸν δεσμὸν τῆς σφραγῖδος τοῦ δακτυλίου, καὶ τὰς περιπλοκὰς ἀναλύσας, ἴδω τί βούλεται σημῆναι ἡ δέλτος. † *Alceſt.* v. 417.

ANNOTATIONES.

V. 821. Κατακονᾷ) Aliàs κατακονά. Vid. *Schol.* Et *Heſychius* κατακονᾷ, φονεύει. Hoc verbum agnoſcit etiam inter ἀπαξ εἰρημένα λεγόμενα *Euſtathius* fol. 381. lin. 20. & *Phavorinus*: Videtur attinere ad καταχαίρω. Utramque lectionem agnoſcit *Scholiaſtes* ut & *Euſtathius* loco prædicto. *Scaliger* autem pro μ' οὖν legit μὲ νῦν. *Joſua Barnes.*

V. 822. Κακῶν δ' ὁ τάλας πέλαγος εἰσορῶ) Ita infra ad *Ion.* v. 923. Dixit κακῶν θησαυρόν· In quem locum vide quæ Notavi. Ita *Herc. Fur.* v. 1088. Κακῶν δὲ πέλαγος εἰς τόδ' ἥκομεν. *Joſua Barnes.*

V. 823. Ἐκνεῦσαι) De hoc verbo vid. ſupra ad v. 470.

V. 833. Τῶν) aliàs ταῖς. Vid. *Schol.*

V. 834. Ὦ 'ναξ) quomodo differt ab ὦναξ vid. *Phavorinum.*

V. 856. Ἔα, ἔα) Extra Carmen & hæc leguntur vid. ſupra v. 778.

Οὐκ ἔστι, δῶμά θ', ᾗ τις εἴσεισιν γυνή.
Καὶ μὴν τύποι γε σφενδόνης χρυσηλάτου
Τῆς οὐκ ἔτ' οὔσης τῆσδε, προσσαίνουσί με.
Φέρ', ἐξελίξας περιβολὰς σφραγισμάτων,
Ἴδω, τί λέξαι δέλτος ἥδε μοι θέλει.
Χο. Φεῦ, φεῦ· τόδ' αὖ νεοχμὸν ἐκδοχαῖς
Ἐπεισφέρει θεὸς κακόν. ἐμοὶ μὲν οὖν
Ἀβίωτος βίου τύχα πρὸς τὸ κρανθὲν
Εἴη τυχεῖν. ὀλομένους γὰρ, οὐκέτ' ὄντας, λέγω
(Φεῦ, φεῦ·) τῶν ἐμῶν τυράννων δόμους.
Ὦ δαῖμον, εἴ πως ἔστι, μὴ σφήλῃς δόμους.
Αἰτουμένης δὲ κλῦθί μου· πρὸς γάρ τινος
Οἰωνὸν, ὥστε μάντις, εἰσορῶ κακοῦ.
Θη. Οἴμοι· τόδ' οἷον ἄλλο πρὸς κακῷ κακὸν,
Οὐ τλητὸν οὐδὲ λεκτόν. ὦ τάλας ἐγώ.
Χο. Τί χρῆμα; λέξον, εἴ τι μοι λόγου μέτα.
Θη. Βοᾷ, βοᾷ δέλτος ἄλαστα. πῇ φύγω
Βάρος κακῶν; ἀπὸ γὰρ ὀλόμενος οἴχομαι.
Οἷον, οἷον εἶδον ἐν γραφαῖς μέλος
Φθεγγόμενον, τλήμων.
Χο. Αἰ, αἰ· κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.
Θη. Τόδε μὲν οὐκ ἔτι στόματος ἐν πύλαις
Καθέξω δυσεκπέρατον, ὀλοὸν, ὀλοὸν
Κακόν. ὦ πόλις, πόλις,
Ἱππόλυτος εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν
Βίᾳ, τὸ σεμνὸν Ζηνὸς ὄμμ' ἀτιμάσας.
Ἀλλ', ὦ πάτερ Πόσειδον, ἃς ἐμοί ποτε
Ἀρὰς ὑπέσχου τρεῖς, μιᾷ κατέργασαι
Τούτων ἐμὸν παῖδ'· ἡμέραν δὲ μὴ φύγῃ
Τήνδ', εἴπερ ἡμῖν ὤπασας σαφεῖς ἀράς.

Ἴαμβοι.

Χο. Ἄναξ, ἀπεύχου ταῦτα πρὸς θεῶν πάλιν·
Γνώσῃ γὰρ αὖθις ἀμπλακών· ἐμοὶ πιθοῦ.
Θη. Οὐκ ἔστι. καὶ πρός γ' ἐξελῶ σφε τῆσδε γῆς.
Δυοῖν δὲ μοίραιν θατέρᾳ πεπλήξεται·
Ἢ γὰρ Ποσειδῶν αὐτὸν εἰς ᾅδου δόμους
Θανόντα πέμψει, τὰς ἐμὰς ἀρὰς σέβων·
Ἢ τῆσδε χώρας ἐκπεσὼν, ἀλώμενος
Ξένην ἐπ' αἶαν, λυπρὸν ἀντλήσει βίον.
Χο. Καὶ μὴν ὅδ' αὐτὸς παῖς σὸς εἰς καιρὸν πάρα
Ἱππόλυτος· ὀργῆς δ' ἐξανεὶς κακῆς, ἄναξ
Θησεῦ, τὸ λῷστον σοῖσι βούλευσαι δόμοις.
Ιπ. Κραυγῆς ἀκούσας σῆς ἀφικόμην, πάτερ,
Σπουδῇ. τὸ μέντοι πρᾶγμ', ἐφ' ᾧ τινι νῦν στένεις,
Οὐκ οἶδα, βουλοίμην δ' ἂν ἐκ σέθεν κλύειν.
Ἔα, τί χρῆμα; σὴν δάμαρθ' ὁρῶ, πάτερ,
Νεκρόν· μεγίστου θαύματος τόδ' ἄξιον.
Ἣν ἀρτίως ἔλειπον εἰς φάος τόδε,
Οὔπω χρόνον παλαιὸν εἰσεδέρκετο.
Τί χρῆμα πάσχει; τῷ τρόπῳ διόλλυται;

Domúmque, non eſt ulla, quam fit ingreſſura mulier.
Atqui notæ palæ aureæ annuli
Hujus non amplius viventis, ac defunctæ, blandiuntur mihi.
Age, explicatis vinculis ſigillorum,
Videam quid mihi literæ iſtæ dicere velint.
Cho. Heu, heu, hoc iterum novum *malum* per ſucceſſionem
Malorum addit Deus. Mihi igitur
Vitæ miſera conditio propter factum hoc
Erit. Dico enim periiſſe, neque amplius eſſe
(Heu, heu) domum dominorum meorum.
O Deus, ſi poſſibile eſt, nè evertas domum.
Audi verò precantem: præterea enim alicujus
Novi mali ſiniſtrum augurium, ut vates, proſpicio.
The. Hei mihi, quale hoc aliud malum ad malum *acceſſit*,
Non ferendum, neque dicendum? ô me miſerum.
Ch. Quid rei eſt? dicito, ſi quid verbis mecum communicari poteſt.
The. Clamant, clamant literæ non ferenda. Quò fugiens vitabo
Molem malorum? perditus enim pereo!
Quale, quale vidi in ſcriptis carmen
Sonans, miſer!
Ch. Heu, heu; profers ſermonem autorem malorum.
The. Hoc profectò non amplius intra portas oris
Continebo inexplicabile, noxium, noxium
Malum. ô civitas, civitas,
Hippolytus auſus eſt attingere meum thalamum
Per vim, venerando Jovis oculo contempto.
Sed, ô pater Neptune, quas mihi aliquando
Tres imprecationes promiſiſti, unâ confice
Ex iſtis meum filium: diem verò nè effugiat
Hunc, ſi modò nobis dediſti certas imprecationes, *eventu ratas*.

Chorus.

Cho. Rex, deprecare hæc rurſus à diis:
Intelliges enim te peccâſſe: pare mihi.
The. Non fiet. Præterea verò expellam ipſum ex hâc terrâ.
Duorum verò fatorum altero mactabitur:
Aut enim Neptunus ipſum ad domum Plutonis
Mittet mortuum, meas imprecationes honorans:
Aut expulſus ex hâc terrâ, vagans
In terrâ peregrinâ, miſeram vitam deget.
Ch. Atqui ille ipſe filius tuus opportunè adeſt
Hippolytus: remittens autem malam iram, rex
Theſeu, optimè tuæ conſule familiæ.
Hip. Audiens tuum clamorem, pater, veni
Celeriter. ſed tamen rem, propter quam nunc gemis,
Non novi; cuperem autem ex te audire.
Eia, quid rei eſt? tuam conjugem, pater, video
Mortuam: hoc dignum eſt maximâ admiratione.
Quam modò reliqui in hâc luce,
Non diu ex illo intuebatur *hanc lucem*.
Quid accidit ei? quo modo periit?

Φεῦ φεῦ) κατὰ διαδοχὴν νέα κακὰ ὁ θεὸς ἐπεισφέρει τούτοις τοῖς τύποις.

868. Ἀβίωτος βίου τύχα) τύχη ἀβίωτος τῆς ζωῆς. ἀντὶ τοῦ βίου πρὸς τὸ συμβὰν ἀβίωτός ἐστι. πρὸς τὸ κρανθὲν γὰρ, νῦν ἀντὶ τοῦ πρὸς συμβάν.

Ὀλομένους γὰρ) τὸ ἑξῆς ὀλομένους δόμους τῶν ἐμῶν δεσποτῶν οὐκ ἔτ' ὄντας λέγω.

Τὸ δὲ φεῦ φεῦ) διὰ μέσου. Πρὸς γάρ τινος) ἢ πρὸς ἀντὶ τοῦ ἀπό. ἵν' ᾖ οὕτως, ἀπό τινος τύχης.

881. Κακῶν ἀρχηγὸν) ἀντὶ τοῦ κακοῦ λόγου ἀρχηγὸν λέγεις. τὸ ἑξῆς τόδε μὲν δυσεκπέρατον ὀλοὸν κακὸν, οὐκ ἔτι στομάτων. στόματος δὲ πύλαις περιφραστικῶς ἐν τῷ στόματι. ὅμοιον δὲ τοῦτο τῷ Ὁμηρικῷ, ἕρκος ὀδόντων. Δυσεκπέρατον δὲ) δυσαπάλλακτον, δυσεκπλήρωτον. Ζηνὸς ὄμμ' ἀτιμάσας) ἀντὶ τοῦ πρῶτον Δία ὑβρίσας.

Ἀλλ' ὦ πάτερ Πόσειδον) μιᾷ τούτων τῶν κατάρων κατέργασαι τὸν ἐμὸν παῖδα. ποίων δέ; ἃς ἐμοὶ ὑπέσχου τὸ ἀνελθεῖν ἐξ ᾅδου, τὸ ἀποστρέψαι ἀπὸ τοῦ λαβυρίνθου, τὸ τιμωρῆσαι τὸν ὑφ' αὐτοῦ θάνατον.

Γνώσῃ γὰρ αὖθις) ἕξεις γὰρ γνῶναι ὅτι ἥμαρτες. ἀμπλακὼν, ἁμαρτών. καὶ ἐν Ἀλκήστιδι, οὐ γὰρ πρῶτος οὐδὲ λοῖσθος βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες.

Καὶ πρός γ' ἐξελῶ) αὖθις ἐπαναλαβὼν, ἀντὶ τοῦ ἐλάσω. ἀλλὰ πρὸς τούτοις ἐκδιώξω αὐτὸν ἐκ ταύτης τῆς γῆς. 894. Δυοῖν δὲ μοίραιν) θατέρᾳ μιᾷ τῶν δύο μοιρῶν πληγήσεται. Θατέρᾳ) τῇ ἑτέρᾳ. Λέγε.) καὶ θάτερος, ἀντὶ τοῦ ὁ ἄτερος· καὶ ἅτερος, ὁ ἕτερος, Δωριστὶ καὶ μακρωνεῖ) ἢ θατέρᾳ. Ἐκ τῶν Εὐσταθίου εἰς Ὅμηρον παρεκβολῶν.

908. Οὔπω χρόνον παλαιὸν) οὐ πρὸ πολλοῦ χρόνου, ἀλλ' ἔναγχος. ἀντὶ τοῦ ἣν ἀρτίως κατέλιπον τὸ φῶς ὁρῶσαν, ἄρτι ἀπέθανεν.

Πάτερ,

Πάτερ, πυθέσθαι βούλομαι σέθεν πάρα.
Σιγᾷς; "Σιωπῆς δ' οὐδὲν ἔργον ἐν κακοῖς·
" Ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν,
" Κἀν τοῖς κακοῖσι λίχνος οὖσ' ἁλίσκεται.
Οὐ μὴν φίλους γε, κἄτι μᾶλλον ἢ φίλους,
Κρύπτειν δίκαιον σὰς, πάτερ, δυσπραξίας.
Θη. Ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
" Τί δὴ τέχνας μὲν μυρίας διδάσκετε,
" Καὶ πάντα μηχανᾶσθε, κἀξευρίσκετε;
" Ἓν δ' οὐκ ἐπίστασθ', οὐδ' ἐθηράσασθέ πω,
" Φρονεῖν διδάσκειν, οἷσιν οὐκ ἔνεστι νοῦς;
Ιπ. Δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
" Τοὺς μὴ φρονοῦντας δυνατός ἐστ' ἀναγκάσαι.
Ἀλλ' (οὐ γὰρ ἐν δέοντι λεπτουργεῖς) πάτερ,
Δέδοικα, μή σου γλῶσσ' ὑπερβάλῃ κακοῖς.
Θη. Φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον
" Σαφές τι κεῖσθαι, καὶ διάγνωσιν φρενῶν,
" Ὅστις τ' ἀληθής ἐστιν, ὅστε μὴ φίλος·
" Δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
" Τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν·
" Ὡς ἡ φρονοῦσα τἄδικ' ἐξηλέγχετο
" Πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα.
Ιπ. Ἀλλ' ἦ τις εἰς σὸν οὖς με διαβαλὼν ἔχει
Φίλων, νοσοῦμεν δ' οὐδὲν ὄντες αἴτιοι.
Ἔκ τοι πέπληγμαι· σοὶ γὰρ ἐκπλήσσουσί με
Λόγοι, παραλλάσσοντες ἔξεδροι φρενῶν.
Θη. Φεῦ, τῆς βροτείας ποῖ προβήσεται φρενός;
" Τί τέρμα τόλμης καὶ θράσους γενήσεται;
" Εἰ γὰρ κατ' ἀνδρὸς βίοτον ἐξογκώσεται,
" Ὁ δ' ὕστερος τοῦ πρόσθεν εἰς ὑπερβολὴν
" Πανοῦργος ἔσται, θεοῖσι προσβαλεῖν χθονὶ
" Ἄλλην δεήσει γαῖαν, ἣ χωρήσεται
" Τοὺς μὴ δικαίους καὶ κακοὺς πεφυκότας.
Σκέψασθε δ' εἰς τόνδ', ὅστις ἐξ ἐμοῦ γεγὼς
Ἤισχυνε τἀμὰ λέκτρα, κἀξελέγχεται
Πρὸς τῆς θανούσης ἐμφανῶς κάκιστος ὤν.
Δεῖξον δ', ἐπειδή γ' εἰς μίασμ' ἐλήλυθας,

Pater, volo ex te audire.
Taces? "Silentii verò nullus eſt uſus in malis:
" Cor enim cupiens omnia audire,
" Et in malis *aliorum audiendis* avidum eſſe deprehenditur.
Non tamen amicos & aliquid amplius quam amicos
Celare *eſt* juſtum, ô pater, tuas calamitates.
The. O in multis rebus peccantes homines temerè,
" Cur utiq; artes quidem ſexcentas docetis,
" Et omnia machinamini, & excogitatis?
" Unum verò non ſcitis, neque invenitis adhuc,
" Ut ſapere doceatis *illos*, quibus non ineſt mens?
Hip. Peritum ſapientiæ doctorem dixiſti, quicumque recte ſapere
" Non ſapientes potis eſt, *i. e. poteſt*, cogere:
Sed (non opportuno enim tempore ſubtiliter diſputas) pater
Metuo ne tua lingua excedat *in* malis.
The. Heu, Oportebat hominibus notam amicorum
" Manifeſtam aliquam eſſe, & dijudicationem mentis,
" Quiſnam verus ſit & quis non *ſit verus* amicus:
" Et omnes homines duplicem vocem habere,
" Unam quidem veracem, alteram verò qualemcunque:
" Ut quæ cogitaret injuſta, *&* *mentiretur*, argueretur
A juſtâ, & tum neutiquam deciperemur.
Hip. Sed profectò apud tuas aures aliquis me calumniatus eſt
Ex amicis; laboramus autē quamvis nulli culpæ ſimus affines.
Obſtupui. Nam perterrefaciunt me tua
Verba, erumpentia extra ſedem mentis, *i.e. præter rationem.*
The. Heu, quò progredietur humana mens?
" Quis finis temeritatis: & audaciæ erit?
" Si enim uniuſcujuſque viri vita ſuperbe propagetur,
" Et poſterior priore longè
" Deterior ſit, deos adjicere terræ
" Oportebit aliā terrā, quæ capiat
" Eos, qui ſunt injuſti & mali.
Intuemini verò in hunc, qui cum ex me natus ſit,
Polluit meum thalamum, & deprehenditur
A mortua manifeſtè, quòd fuerit flagitioſiſſimus.
Oſtende igitur, quandoquidem in hoc piaculum es progreſſus,

Σιωπῆς δὲ οὐδὲν ἔργον) τὸ τέλειον οὕτως. ἐν τοῖς κακοῖς οὐδεὶς ὀφείλει σιγᾶν. οὐδὲν ὄφελος φησὶν, οὐδὲ κέρδος ἐν τοῖς κακοῖς ἡ σιωπή. Ἡ γὰρ ποθοῦσα) ἡ γὰρ καρδία ἐπιζητοῦσα πάντα ἀκούειν, ἁλίσκεται λίχνος δὴ, ἤτοι ἐπιθυμητικὴ, ἀκόρεστος. Κρύπτειν δίκαιον) οὐ γὰρ ὀφείλεις καὶ κρύπτειν τὰς σὰς δυσπραγίας πρὸς φίλους σου. Ὦ πόλλ' ἁμαρτάνοντες) ὦ ἄνθρωποι πολλὰ ἐπιστάμενοι καὶ διδάσκοντες τοὺς ἀνθρώπους πλὴν τούτου, τὸ διδάσκειν συνετοὺς τοὺς ἀξιωτέρους φρονεῖν. Δεινὸν σοφιστὴν) λογιστὴν, ἐξαιρετικὸν διδάσκαλον. ὁ νοῦς τοιοῦτος, ἀληθῶς καλὸν διδάσκαλον εἶπας τὸ δυνάμενον διδάξαι φρονεῖν τοὺς μὴ φρονοῦντας. Ἀναγκάσαι) ἀντὶ τοῦ φησὶν αἱ παραινέσεις καὶ συμβουλίαι τῶν σοφῶν· οὐχὶ τὸ δέοντι φρονεῖν διδάσκουσι τοὺς ἀνθρώπους αὗται. λέγεται δὲ, ὅτι τῷ φρονοῦντι τὴν ἄνοιαν ἔλυσαν. εἶπεν οἷσιν οὐκ ἔνι νοῦς. εἰς γὰρ νοῦν ἔχοντα ἄνδρα καταβαλλομένη παραίνεσις καρπὸν φέρει· εἰς δὲ ἄνουν, μάτην ἐκρίπτεται. Δέδοικα μή σου) φοβοῦμαι μὴ ἐν τοῖς κακοῖς ὑπερβάλλῃ τὰ σὰ ἡ γλῶσσα, ἤγουν καὶ παράφορα ποιήσῃ. Ὅστις τ' ἀληθής) ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων εὑρίσκομεν διάκρισιν, εἴτε καλόν ἐστιν, εἴτε κακὸν, ὥσπερ ἐπὶ τοῦ χρυσοῦ. δοκιμαζόμενος γὰρ φαίνεται, εἰ καλός ἐστιν, ἢ κακός· ἐπὶ δὲ τοὺς ἀνθρώπους οὐχ εὑρίσκομεν. ἐχρῆν οὖν καὶ τοῖς ἀνθρώποις δύο φωνὰς ἔχειν, δικαίαν τε καὶ ἄδικον. ἵνα ἐὰν ὁ ἄδικος φωνῇ ἐθέλησῃ ψεύσασθαι, ἐλέγχηται ὑπὸ τῆς δικαίας, ἵνα μηδεὶς ἀπατηθῇ. Ἀλλ' ἦ τις εἰς σὸν οὖς) μὴ ἄρα τίς με διέβαλεν εἰς τὸ σὸν οὖς ἀπὸ τῶν φίλων. 934. Ἔκ τοι πέπληγμαι) ξένους λόγους ἀκούων παρὰ σοῦ ἐκπλήττομαι. οἱ γὰρ σοὶ λόγοι ἐξεδρεύουσι τῶν φρενῶν μου, ὥς τε μαινόμενοι, ἐξεστηκότες, ἄδικοι, παραλογιστικοὶ, μὴ καλῶς λεγόμενοι, ἀλλ' ἔξω τῆς διανοίας ὄντες. Τί τέρμα τόλμης) τί ἔσται τὸ τέλος τοῦ θράσους, τὸ θράσος δηλονότι. Εἰ γὰρ κατ' ἀνδρὸς) εἰ γὰρ ἐπαρθήσεται ὧδε ἑκάστου ἀνδρὸς ὁ βίος, καὶ ἐπιγινόμενος χείρων ἔσται τοῦ πρὸ αὐτοῦ, ὀφείλομεν δώσειν τοῖς θεοῖς ἀντεισάγειν, ἵνα ἄλλην γῆν τινα ἀπομερίσῃ, ἣ τις τοὺς κακοὺς χωρήσει. ἐκ τούτου διαβάλλει τὸν τρόπον τοῦ Ἱππολύτου. Ἄλλως. Εἰ γὰρ κατὰ ζωὴν ἑκάστου ἀνδρὸς ἡ κακουργία αὐξάνεται, ἵνα ὁ μεταγενέστερος τοῦ προβεβηκότος πανουργότερός ἐστιν, ἐχρῆν τοὺς θεοὺς ἄλλην πόλιν κτίσαι εἰς τὸ χωρῆσαι τοὺς πανούργους. Θεοῖσι) αἱ φύσεις ζώων πρὸς ἑτέραν φύσιν ζώων ἐναντίως ἔχουσαι. ὡς ἡ τῶν λεόντων πρὸς τὴν τῶν ἀνθρώπων, ἢ τῶν λύκων πρὸς τὴν τῶν προβάτων. καὶ Ὅμηρος, † ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονες. καὶ τοῖς μὲν θηρίοις δέδοται πρὸς οἴκησιν ἡ ἐρημία, τοῖς δὲ ἀνθρώποις τὰ ἡμέτερα τῶν χωρίων. οὕτω φησίν. πρὸς ἄκρον κακίας προκόψῃ ἡ τῶν ἀνθρώπων φύσις, ἀπορήσουσιν οἱ θεοὶ, ποῦ τοὺς πονηροὺς κατοικίσουσιν· εἰς τὰς ἐρήμους; ἀλλ' ἐκεῖ θῆρες. εἰς τὰ ἡμέτερα χωρία; ἀλλ' ἐκεῖ δίκαιοι ἄνθρωποι. λοιπὸν ἀνάγκη ἑτέρας δεῖσθαι γῆς. 943. Σκέψασθε δ' εἰς τόνδε) ἀποβλέψατε φησὶ πρὸς τὸν ἐμὸν υἱὸν, ὅστις ἠθέλησε μιᾶναι τὴν ἐμὴν κοίτην, καὶ ἐλέγχεται ὑπὸ τῆς ἀποθανούσης.

† *Iliad.* χ. v. 262.

ANNOTATIONES.

V. 917. Τί δὴ τέχνας) τὸ τὶ in thesi brevis eſt. Vid. ad *Phœniſſ.* v. 19. Similem verò locum & in eundem ferè ſenſum expreſſum habes *Medea.* v. 190.

V. 925. Φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον) Vid. ſimilem locum *Medea.* v. 516.

V. 946. Δεῖξον—τὸ σὸν πρόσωπον) Quando loquentium fraudes aut mendacia ſuſpicamur, jubemus eos coram nos rectis oculis aſpicere. Vid. quid de hâc re ad *Cyclop.* v. 210. *Joſua Barnes.*

Τὸ σὸν πρόσωπον δεῦρ' ἐναντίον πατρί.
Σὺ δὴ θεοῖσιν, ὡς περισσὸς ὢν ἀνὴρ,
Συνεῖ; σὺ σώφρων καὶ κακῶν ἀκήρατος;
Οὐκ ἂν πιθοίμην τοῖσι σοῖς κόμποις ἐγὼ,
Θεοῖσι προσθεὶς ἀμαθίαν φρονεῖν κακῶς.
Ἤδη νυν αὔχει, καὶ δι' ἀψύχου βορᾶς
Σίτοις * καπήλευ', Ὀρφέα τ' ἄνακτ' ἔχων, * D. Paul. 2 Cor. 4. 2.
Βάκχευε, πολλῶν γραμμάτων τιμῶν καπνούς·
Ἐπεί γ' ἐλήφθης. Τοὺς δὲ τοιούτους ἐγὼ
Φεύγειν προφωνῶ πᾶσι· θηρεύουσι γὰρ
Σεμνοῖς λόγοισιν αἰσχρὰ μηχανώμενοι.
Τέθνηκεν ἥδε· τοῦτό σ' ἐκσώσειν δοκεῖς·
Ἐν τῷδ' ἁλίσκῃ πλεῖστον, ὦ κάκιστε σύ.
Ποῖοι γὰρ ὅρκοι κρείσσονες; τίνες λόγοι
Τῆσδ' ἂν γένοιντ' ἄν, ὥστε σ' αἰτίαν φυγεῖν;
Μισεῖν σε φήσεις τήνδε, καὶ τὸ δὴ νόθον
Τοῖς γνησίοισι πολέμιον πεφυκέναι;
Κακὴν ἄρ' αὐτὴν ἔμπορον βίου λέγεις,
Εἰ δυσμενείᾳ σῇ τὰ φίλτατ' ὤλεσεν.
Ἀλλ' ὡς * τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι, * Τὸ μῶρον ut supra v. 644. pro μωρία.
Γυναιξὶ δ' ἐμπέφυκεν, " οἶδ' ἐγὼ νέους
" Οὐδὲν γυναικῶν ὄντας ἀσφαλεστέρους,
" Ὅταν ταράξῃ Κύπρις ἡβῶσαν φρένα.
" Τὸ δ' ἄρσεν αὐτοὺς ὠφελεῖ περικείμενον.
Τί οὖν; τί ταῦτα σοῖς ἁμιλλῶμαι λόγοις,
Νεκροῦ παρόντος μάρτυρος σαφεστάτου;
Ἔξερρε γαίας τῆσδ' ὅσον τάχος φυγάς.
Καὶ μήτ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
Μήτ' εἰς ὅρους γῆς, ἧς ἐμὸν κρατεῖ * δόρυ.
Εἰ γὰρ παθών γε σοῦ τάδ' ἡσσηθήσομαι, * Vid. Hecub. v. 9.
Οὐ μαρτυρήσει μ' Ἴσθμιος Σίνις ποτὲ
Κτανεῖν ἑαυτὸν, ἀλλὰ κομπάζειν μάτην.
Οὐδ' αἱ θαλάσσῃ σύννομοι Σκειρωνίδες

Tuam faciem hic coram patre.
Tu igitur cum diis, tanquam excellens vir exiſtens
Verſaris? tu caſtus es & incorruptus à malis?
Ego non amplius credam tuæ jactationi,
Tribuens diis imperitiam & imprudentiam.
Jam gloriare, & cibis inanimatorum
Cibis cauponare, & habens magiſtrum Orphea,
Bacchare, multarum literarum colens fumos.
Siquidem *in crimine manifeſto* deprehenſus es. Tales autem ego
Omnibus fugiendos eſſe moneo: venantur enim *hominum gratiam*
Magnificis verbis, *interim facinora* turpia molientes.
Hæc eſt mortua; hoc tibi ſaluti fore putas:
At in hoc ipſo, ô peſſime, captus es.
Nam quod jusjurandum gravius? quæ verba
Hâc *epiſtolâ contra te ſcriptâ* potiora eſſe poſſent, ut crimē effug.
Dicéſne quòd iſta te oderit, & nothum genus
Tuum legitimis ac ingenuis hominibus inviſum eſſe?
Dicis igitur ipſam malam eſſe mercatricem vitæ;
Si odio tui perdidit chariſſima.
An verò *dices*, quòd ſtultitia viris quidem non ineſt:
Mulieribus vero innata eſt? " Ego novi juvenes
" Nihilo tutiores eſſe mulieribus,
" Quando Venus turbat juvenilem animum.
" Sed virilitas prodeſt eis quæ adeſt.
Quid igitur? quid de his tuum verbis certo,
Cum cadaver adſit, *quod eſt* certiſſimus teſtis?
Diſcede ex hac terrâ quàm celerrimè exul,
Et non proficiſcaris Athenas divinitus-ædificatas, *i. e.* à *Minervâ*;
Neq; in fines terræ, cujus imperii ſcept. meū tenet. *i. e. cui ego imp.*
Si enim affectus hâc injuria à te, vincerer,
Nunquam Iſthmius Sinis teſtaretur à me
Se cæſum: ſed me fruſtra gloriari diceret.
Neque maris conſortes Scironides unquam

Σὺ δὴ θεοῖσιν) σὺ δὲ ὁ ἐμὸς [illegible] ὡς περισσὸς ὢν, καὶ σώφρων, καὶ ἀκέραιος [illegible] τῶν κακῶν. οὐδαμῶς ἐγὼ πείθομαι ταῖς σαῖς φάσεσιν. Σίτοις καπήλευε) ἀντὶ τοῦ χλεύαζε, [illegible] τοὺς ἀνθρώπους, ὡς τι μεῖζον [illegible]. ἢ ἐν λόγοις ἐμπορεύου, καθάπερ οἱ λεγόμενοι λογέμποροι, καὶ μὴ κατὰ φύσιν φιλοσοφοῦντες, ἀλλ' ἐν τοῖς λόγοις καπηλεύοντες. καὶ τοῖς σιτίοις τοῖς δι' ἀψύχου βορᾶς· ἁπλῶς, ἀντὶ τοῦ ἀγνεύοντι, ὡς οἱ φιλόσοφοι μηδὲν κατὰ τῶν ἐσθιομένων ζώων ἢ ἐμψύχων ἐσθίοντες, ἀλλὰ σῖτον μόνον. καὶ ἔχοντες τὸν Ὀρφέα βασιλέα, ὡς σώφρονα. ἐπεὶ γὰρ ἔνδοξος ἦν ὁ Πυθαγόρας, ὅθεν καὶ πολλοὶ ἐμψύχων ἀπέχονται. ἀνάγει δὲ τοὺς χρόνους. περὶ αὐτοῦ γὰρ αἰνίξασθαι βούλεται ὁ Εὐριπίδης. τοιοῦτος δὲ ἦν, ὡς τὰ ἱερατικὰ [illegible] εἰσάγων φιλοσοφοῦντα. Βάκχευε) πολλῶν γραμμάτων [illegible]. τὸ γὰρ ληφθῆναί σε κακὸν ἐποίησέ σε τὴν ἄσκησιν. Τέθνηκεν ἥδε) εἰ δὲ νομίζεις φυγεῖν ἐκφυγεῖν ταύτης ἀποθανούσης, οὐδαμῶς ἔχει τοῦτο. ὅτι ἔχεις εἰς ἔλεγχον τὰ γράμματα. Μισεῖν σε φήσεις τήνδε) ἀλλ' ἔχεις εἰπεῖν, ὅτι ἐμίσησεν ὡς νόθον ὄντα. ἐπειδὴ οἱ γνήσιοι πολέμιοι εἰσὶ τοῖς νόθοις. Κακὴν ἄρ' αὐτὴν) οἱ ἔμποροι τὰ μὲν παρέχουσι, τὰ δὲ λαμβάνουσι, καὶ οὕτω ἐπ' ὠφελείᾳ ποιοῦσιν. εἰ οὖν αὕτη τὴν ψυχὴν αὐτῆς ἔδωκεν, ἵνα σε ἐναντίον τῷ πατρὶ καταστήσῃ, ἄφρων ἄρα καθέστηκε, τοιαύτην ὁδὸν ἐμπορευομένη. οἱ γὰρ ἔμποροι ἐπὶ κέρδει πραγματεύονται. θέλεις φησὶν εἰπεῖν, ὅτι ἐπραγματεύσατο, θέλουσά σε φονεῦσαι, διὰ τὸ τὰ τέκνα αὐτῆς κρατῆσαι τῆς πόλεως ταύτης. ἔμπορος δὲ διοικήσασα, [illegible] πραγματική. Οἶδ' ἐγὼ νέους) οἶδα ἐγὼ νεωτέρους, ὅτι ὁπηνίκα αὐτοὺς ἡ Κύπρις ταράξῃ, μωρότεροι γίνονται τῶν γυναικῶν. Τὸ δ' ἄρσεν αὐτοὺς) συγγνώμην αὐτοῖς παρέχει τὸ εἶναι ἄνδρας, ταῖς γυναιξὶ δὲ οὔ. [illegible] ἐπεὶ οὐκ αἰσχύνονται ἐρῶντες, ὡς τὸ θῆλυ καὶ ἀναιδές. Νῦν οὖν τί ταῦτα) ἐναντιούμενος ἐν ἐγὼ τοῖς σοῖς ταῦτα λέγω. ἔχω καὶ σαφῆ μάρτυρα νεκρόν. Ἔξερρε γαίας) φθεῖρε ἐκ ταύτης τῆς γῆς φυγὰς γενόμενος, καὶ μήτε εἰς τὴν πόλιν ταύτην εἰσέλθῃς τὴν ὑπὸ Ἀθηνᾶς οἰκοδομηθεῖσαν. ἡ γὰρ ὑπὸ θεῶν [illegible]. Εἰ γὰρ παθών γε) εἰ μὴ τιμωρήσομαί σε, οὐδὲ [illegible] κατώρθωκα, ἐμὰ νομισθήσεται, ἀλλὰ μάτην ἂν ἐπαινοίμην ἐπ' αὐτοῖς. Οὐ μαρτυρήσει) Ἴσθμιος Σίνις ἐγένετο ὅς τις εἶχε κράββατον ἀνὰ μέσον τῆς ὁδοῦ, καὶ κρατῶν τοὺς παριόντας [illegible] τῷ κραββάτῳ, καὶ εἰ μὲν ἦν μακρὸς, ἀπέκοπτεν ἐκ τῶν ποδῶν αὐτοῦ, ἵνα ἐξισωθῇ τῷ κραββάτῳ. τοῦτον ἐφόνευσεν ὁ Θησεὺς μόνος. λέγει οὖν, ὅτι ἐὰν ὑπὸ σοῦ ἡττηθήσομαι, οὐ μὴ [illegible] ὁ Ἴσθμος, ὅτι αὐτὸν ἐφόνευσα. ἦν δὲ οὗτος ὁ Σίνις υἱὸς Πολυπήμονος, [illegible] τὸν Ἴσθμον ξενοκτονῶν, ὁ καὶ πιτυοκάμπτης. 979. Σκειρωνίδες) ὁ Σκείρων ἐν Μεγάροις ἦν, πειρατὴς ξένος, ὃς

ANNOTATIONES.

V. 953. Ὀρφεᾶ) Ita hic lego metri gratiâ. Vid. [illegible] *Phœniſſ.* v. 1258. in Ἐτεοκλεῖ. Præſertim vid. infra hujus Fabulæ v. 1153. Et *Supplices* v. 3. v. 37. & v. 934. Ubi ultima τῦ Θησεῖ eodem modo producitur. *Orpheum* autem Literarum Antiſtitem, Philoſophum & Muſis Charum videbunt, quotquot, quæ Nos ad *Rheſ.* v. 941. & 943. diximus, legant. *Theſeus* verò hanc Doctrinæ *Lucem* ſine morum integritate *fumum* vocat. *Joſua Barnes.*

V. 954. Καπνὸς) Iambos. Vide Notas ad *Phœniſſ.* v. 19.

V. 971. Τί οὖν) aliàs νῦν οὖν vid. *Schol.*

V. 774. Καὶ μήτ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς) *Athenas* θεοδμήτους vocat, uti *Scholiaſtes* obſervat, non quòd à Diis aliis ædificatæ fuerint, ſed à *Minervâ* tantum: Hinc Παλλάδος πόλιν Poetæ paſſim vocant; de quâ re videſis *Johan. Meurſii* de Fortunâ *Athenarum* c. 2. p. 8. &c. Vide ad *Iphigen.* Taur. v. 1449. Ubi hic ipſe locus falsò notatur v. 1479. pro v. 974. *Joſua Barnes.*

V. 977. Οὐ μαρτυρήσει μ' Ἴσθμιος Σίνις &c.) De hoc Latrone videſis *Pauſaniam* in *Corinthiacis* p. 44. lin. 27. De quo licet *Scholiaſtes* aliam narret Hiſtoriam circa grabbatum illius, non tamen omiſit & illam de lignis ad Arbores hominibus; unde Πιτυοκάμπτης dicebatur. Ubi autem *Gaſpar Stiblinus* dicit illum à *Pauſaniâ Schinis* vocatum, vel errat, vel aliâ illius editione uſus eſt; Mea enim rectè ſe habet. Vid. *Scholiaſt.* [illegible] *Med.* v. 665. Vid. etiam *Ovid.* Metamorph. l. 7. Fab. 23. *Occidit ille Sinis* &c.

V. 979. Σκειρωνίδες πέτραι) Vid. de his *Scholiaſten*, & *Ovid.* Metamorph. l. 7. Fab. 23. ubi de *Theſei* geſtis, & *Scironis* oſſibus in ſcopulos mutatis. Vid. etiam *Papinii Statii* locum apud *Andr. Schottum* Obſervat. Human. l. 2. c. 29. Ubi & de *Cercyone* Πετροκάμπτῃ à *Theſeo* etiam occiſo, de quo *Ovid.* in *Ibin*,

Quaque Ceres vidit læto peremtia Vultu
Corpora Theſeâ Cercyonæa manu. *Joſua Barnes.*

τῇ χελώνῃ ἔῤῥιψεν ὁ Θησεύς. Σκειρωνίδες δὲ πέτραι καλοῦνται, ἀπὸ τοῦ Σκείρωνος, ὃς τὴν χελώνην ἔτρεφεν, ὥς μέμνηται Καλλίμαχος. οὗτος ἠνάγκαζε τοὺς παριόντας νίπτειν τοὺς πόδας, καὶ λακτιζομένους ὑπ' αὐτοῦ, βρῶμα ἐποίει γίνεσθαι χελώνης. Θησεὺς δὲ αὐτὸν ὑψόθεν τῆς κεφαλῆς ῥίψας εἰς τὴν θάλασσαν, ἐποίησε βρωθῆναι ὑπὸ τῆς χελώνης.

Φήσουσι πέτραι, τοῖς κακοῖς μ' εἶναι βαρύν.
Χο. Οὐκ οἶδ', ὅπως εἴποιμ' ἂν εὐτυχεῖν τινα
" Θνητῶν· τὰ γὰρ δὴ πρῶτ' ἀνέστραπται πάλιν.
Ιπ. Πάτερ, μένος μὲν, ξύστασίς τε σῶν φρενῶν,
Δεινή· τὸ μέντοι πρᾶγμ' ἔχον πολλοὺς λόγους,
Εἴ τις διαπτύξειεν, οὐ καλὸν τόδε.
Ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον·
Εἰς ἥλικας δὲ κὠλίγους σοφώτερος.
" Ἔχει δὲ μοῖραν καὶ τόδ'. Οἱ γὰρ ἐν σοφοῖς
" Φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι λέγειν.
Ὅμως δ' ἀνάγκη, ξυμφορᾶς ἀφιγμένης,
Γλῶσσάν μ' ἀφεῖναι. πρῶτα δ' ἄρξομαι λέγειν,
Ὅθεν μ' ὑπῆλθες πρῶτον ὡς διαφθερῶν,
Κοὐκ ἀντιλέξοντ'. εἰσορᾷς φάος τόδε,
Καὶ γαῖαν; ἐν τοῖσδ' οὐκ ἔνεστ' ἀνὴρ ἐμοῦ,
Οὐδ' ἢν σὺ μὴ φῇς, σωφρονέστερος γεγώς.
Ἐπίσταμαι γὰρ πρῶτα μὲν θεοὺς σέβειν,
Φίλοις τε χρῆσθαι, μὴ 'δικεῖν πειρωμένοις, *al. ἐπιχειροῦσιν.
Ἀλλ' οἷσιν αἰδὼς, μήτ' * ἀπαγγέλλειν κακὰ,
Μήτ' ἀνθυπουργεῖν αἰσχρὰ τοῖσι χρωμένοις.
Οὐκ ἐγγελαστὴς τῶν ὁμιλούντων, πάτερ,
Ἀλλ' αὑτὸς οὐ παροῦσι κἀγγὺς ὢν φίλοις.
Ἑνὸς δ' ἄθικτος, ᾧ με νῦν ἑλεῖν δοκεῖς·
Λέχους γὰρ εἰς τόδ' ἡμέρας ἁγνὸν δέμας.
Οὐκ οἶδα πρᾶξιν τήνδε, πλὴν λόγῳ κλύων,
Γραφῇ τε λεύσσων· οὐδὲ ταῦτα γὰρ σκοπεῖν
Πρόθυμός εἰμι, παρθένον ψυχὴν ἔχων.
Εἰ δὴ τὸ σῶφρον τοὐμὸν οὐ πείθει σ' ἴσως,
Δεῖ δή σε δεῖξαι, τῷ τρόπῳ * διεφθάρη. * αι διεφθάρην;
Πότερα τὸ τῆσδε σῶμ' ἐκαλλιστεύετο
Πασῶν γυναικῶν; ἢ σὸν οἰκήσειν δόμον,
Ἔγκληρον εὐνὴν προσλαβὼν, ἐπήλπισα;
Μάταιος ἆρ' ἦν, οὐδαμοῦ μὲν οὖν φρενῶν.
" Ἀλλ' ὡς τυραννεῖν ἡδὺ τοῖσι σώφροσιν;
" Ἥκιστά γ', εἰ μὴ τὰς φρένας διέφθορε

Petræ dicerent, me gravem eſſe malis.
Ch. Neſcio quomodo dicam felicem eſſe ullum
" Mortalium; nam prima rurſus retroverſa ſunt.
Hip. " Pater, tua quidem ira, & commotio animi tui
Vehemens *eſt*: res tamen quæ multas habet rationes,
(Si quis *eas* evolveret) hæc non *eſt* honeſta.
Ego verò *ſum* ineptus ad verba faciendum apud turbam:
Apud æquales verò paulo *ſum* peritior.
" Habet autē & hoc *aliquam veriſim.* rationē. qui n inter ſapien.
" Nullius ſunt pretii, iſti ſunt aptiores ad loquendū apud turbā.
Tamen neceſſe eſt, veniente calamitate,
Linguâ me ſolvere, *ut loquar*: primum autē incipiā dicere, *inde*,
Unde me prius adortus es ut perditurus,
Et non contradicturum. Intueris hoc lumen,
Et terram? in his non eſt vir me
Caſtior natus, etiamſi tu neges.
Nam primum quidem novi colere deos,
Et uti amicis, qui non conantur injuriâ me afficere,
Sed *in* quibus *eſt* pudor, neque petere inhoneſta,
Neque ſubminiſtrare turpia iis, qui turpibus utuntur.
Præterea non *ſum* deriſor familiarium, pater:
Sed idem ſum amicis tam abſentibus, quam præſentibus.
Unius *v. criminis ſum* immunis, quo me nūc cep. *& cuj. me corr.* put.
In hunc n. diē meū corpus eſt purū à thalamo, *i.e. à re Venereâ.*
Neque novi hunc *Veneris* actum, niſi verbis audiens,
Picturâque cernens: neque enim hæc ſpectare
Promptus ſum, habens animum virginalem.
Si verò mea pudicitia tibi fortè *rem* non perſuadet,
Oportet te oſtendere, quo modo periērit, vel corruptus fuerim.
Utrum hujus corpus pulchritudine ſuperaret
Omnes mulieres. an me habitaturum tuam domum
Speraverim, accepto hereditario lecto?
Stultus enim ſic fuiſſem, & plane deſipiens.
" An *hoc feci*, quòd regnare jocundum *ſit* ſapientibus?
" Minimè profectò, niſi mentes corruperit

Πάτερ, μένος μὲν) πάτερ, ἡ μὲν δύναμίς σου μεγάλη ἐστὶ, καὶ ἡ διάνοια τῶν σῶν φρενῶν. ἀλλ' ὅμως ἐάν τις ἐξετάσῃ τὸ πρᾶγμα τοῦτο, οὐ καλόν ἐστι. λέγει δὲ ταῦτα διὰ τὸ νοῆσαι ἐκεῖνον, ὅτι Φαίδρα αὐτοῦ ἠράσθη, καὶ οὐκ αὐτὸς ἐκείνης. Τὸ μέντοι πρᾶγμα οὕτω) τὸ πρᾶγμα ὃ ἐστὶ μέν σοι ἄδηλον ὄν, ὦ πάτερ, δοκεῖ δικαίως ἔχειν κατ' ἐμοῦ λόγους. εἰ δέ τις αὐτὸ ἐξετάσαι, οὐκ ἔχει κατ' ἐμοῦ δικαίαν τὴν μέμψιν. Ἐγὼ δ' ἄκομψος) ἐγὼ δὲ ἐν τοῖς μωροῖς ἀνεπιτήδειός εἰμι, διὰ τὸ μὴ εἰδέναι αὐτούς τι ἀκούειν. ἐν δὲ τοῖς σοφοῖς λέξαι, καὶ νικῆσαι. ἀναιδῶν γάρ ἐστιν ἐν ὄχλῳ δημηγορεῖν, εἰς ἥλικας, ἤτοι εἰς ὁμήλικας καὶ σοφούς. Ἔχει δὲ μοῖραν) ἔχει δὲ καὶ τοῦτο λόγον, ὅ ἐστιν οὐκ ἀλόγως τοῦτο εἶπον, ὅτι ἄκομψος μὲν εἰς λόγον εἰμί. εἰς ἥλικας δὲ σοφώτερος, καὶ τοὐναντίον φησὶν οἱ παρ' ὄχλῳ φαῦλοι ἐν σοφοῖς μουσικώτεροι λέγειν. Ὅθεν μ' ὑπῆλθες) ὅθεν κατέβαλες πρῶτα, ὡς διαφθερῶν ἄνθρωπον ἀπολογίαν οὐκ ἔχοντα. ὅθεν με φησὶ διαφθεῖραι ἔδοξας, ὡς ἀπολογίαν μὴ ἔχοντα πρὸς τὰ ἐγκληθέντα. Ἄλλως, Ὁρᾷς με ὅτι οὐκ ἀντιβλέπω πρὸς σὲ καὶ ἀντιλέγω τοῖς ὑπό σου εἰρημένοις. καὶ διανοῇ, ὅτι ἐγὼ αὐτὴν διέφθειρα. Ἐπίσταμαι γὰρ) ἀντὶ τοῦ φίλος εἰμὶ τῶν δικαίων ἀνθρώπων, μήτε ἀνταποδιδόναι κακὰ τοῖς χρωμένοις ἐν αὐτοῖς, ὅ ἐστι τοῖς μὴ ἀμυνομένοις τοὺς προαδικοῦντας. Ἄλλως. Ἐπίσταμαι δὲ ἁπλῶς φίλους ποιεῖν τοὺς μὴ ἐπιχειροῦντας, μηδὲ ἐθέλοντας ἀδικεῖν. Ἀλλ' οἷσιν αἰδὼς) ἀλλ' ἐν οἷς πρόσεστιν ἡ αἰσχύνη, καὶ μὴ ὁμιλοῦσι κακοῖς, μηδὲ ἀντὶ κακοῦ ἀποδιδοῦσι, μηδὲ συμπράττειν τοῖς αἰσχροῖς, καὶ τοῖς ταῦτα βουλομένοις. Οὐκ ἐγγελαστὴς) ὅτι οὐχ ἕνεκα τοῦ ἐπιγελᾶν φίλος εἰμὶ, ἀλλ' ἀρετῆς χάριν. Ἄλλως. ὡς οὐδὲ προσγελῶν τοῖς φίλοις μου. ἀλλὰ καὶ τοῖς πρὸς ἐμὲ οὖσι, καὶ τοῖς ἄποθεν μου οὖσιν ὁ αὐτός εἰμι, καὶ τὴν αὐτὴν διάθεσιν ἔχω πρὸς ἀμφοτέρους. Ἄλλως. Οὐκ ἐγώ εἰμι ἐγγελαστὴς, ὅτι οὐκ ἐγγελῶ τοῖς φίλοις τὰ τοιαῦτα ἔχουσιν, ἀλλὰ μόνον οὐ συνίημι αὐτοῖς. Ἑνὸς δ' ἄθικτος) ἑνὸς δὲ πράγματος εἰμὶ ἀμίαντος, ἐν ᾧ καὶ νομίζεις με ληφθῆναι. μέχρι γὰρ ταύτης τῆς ἡμέρας ἀμίαντος λέχους εἰμὶ, καὶ τὸ λέχους οὐκ οἶδα πρᾶξιν. Γραφῇ τε λεύσσων, καὶ ἐν τοῖς ἀναγνώσμασιν ὁρῶν, καὶ ὅμως οὐδὲ ἐκεῖνο κατασκοπῶ καλῶς, οὕτως ἀμίαντός εἰμι. Ἔγκληρον εὐνὴν) πρὸς τοῖς οἴκοις λαβὼν καὶ τὴν ὑπερέχουσάν σου κοίτην. Ἄλλως. Μονοκληρονόμον εἰ προσεδόκησα τελείως γυναῖκα λαμβάνειν. 1012. Μάταιος ἆρ' ἦν) οὐδαμοῦ φησι [illegible] ἐγὼ τοιαῦτα ἐννοούμενος, ἀλλ' ὡς τυραννεῖν, οὐδαμῶς σώφρων ἐπιθυμεῖ βασιλεύειν, εἰ μὴ ἐκστῇ τῶν φρενῶν, τὸ δὲ ἑξῆς, εἰ μὴ τὰς φρένας διέφθειρε τῶν θνητῶν ἡ μοναρχία. ὑπὸ κοινοῦ δὲ λειπτέον τὸ μοναρχία.

ANNOTATIONES.

V. 987. Εἰς ἥλικας δὲ κὠλίγων) Laudo *Æmylii Porti* conjecturam, quâ legendum putat Εἰς ἥλικας δ', κ' ὀλίγους σοφώτερος.

V. 997. φίλοις τε χρῆσθαι) Vid. *Pet. Victorii* Variar. Lect. l. 12. c. 5. de hâc phraſi, ubi *Epicharmum, Iſocratem* & *Ariſtotelem* laudat, optimè *Eurip. Oreſt.* v. 300. Ἐπιχείρει τοῖς φίλοις χρῆσθαι. Vide *Tobiæ Magiri Polymnemon* & alios Communium Locorum Authores titulo, *Amicitia*. Item elegans Poema *Cyri Theodori*, cui nomen *Amicitia Exulans*. Deniq; quid Nos ad *Med.* v. 660. *Herc. Fur.* v. 1425. *J. Barnes.*

" Θνητῶν, ὅσοισιν ἁνδάνει, μοναρχία.
Ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς
Πρῶτος θέλοιμ' ἄν· ἐν πόλει δὲ δεύτερος
Σὺν τοῖς ἀρίστοις εὐτυχεῖν ἀεὶ φίλοις.
" Πράσσειν γὰρ εὖ πάρεστι· κίνδυνός δ' ἀπὼν,
" Κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.
Ἓν οὐ λέλεκται τῶν ἐμῶν, τὰ δ' ἄλλ' ἔχεις·
Εἰ μὲν γὰρ ἦν μοι μάρτυς, οἷός εἰμ' ἐγὼ,
Καὶ τῆσδ' ὁρώσης φέγγος ἠγωνιζόμην,
Ἔργοις ἂν εἶδες τοὺς κακοὺς διεξιών.
Νῦν δ' ὅρκιόν σοι Ζῆνα, καὶ πέδον χθονὸς
Ὄμνυμι, τῶν σῶν μήποθ' ἅψασθαι γάμων,
Μηδ' ἂν θελῆσαι, μηδ' ἐς ἔννοιαν λαβεῖν.
Ἦ τ' ἂν γ' ὀλοίμην ἀκλεὴς, ἀνώνυμος,
Ἄπολις, ἄοικος, φυγὰς ἀλητεύων χθόνα,
Καὶ μήτε πόντος, μήτε γῆ δέξαιτό μου
Σάρκας θανόντος, εἰ κακὸς πέφυκ' ἀνήρ.
Εἰ δ' ἥδε δειμαίνουσ' ἀπώλεσεν βίον,
Οὐκ οἶδ'· ἐμοὶ γὰρ οὐ θέμις λέγειν πέρα·
" Ἐσωφρόνησεν, οὐκ ἔχουσα σωφρονεῖν·
" Ἡμεῖς δ' ἔχοντες, οὐ καλῶς ἐχρώμεθα.
Χο. Ἀρκοῦσαν εἶπας αἰτίας ἀποστροφὴν,
Ὅρκους παρασχὼν, πίστιν οὐ σμικρὰν θεῶν.
Θη. Ἆρ' οὐκ ἐπῳδὸς καὶ γόης πέφυχ' ὅδε,
Ὃς τὴν ἐμὴν πέποιθεν εὐοργησίᾳ
Ψυχὴν κρατήσειν, τὸν τεκόντ' ἀτιμάσας;
Ιπ. Καὶ σοῦ γε κάρτα ταῦτα θαυμάζω, πάτερ·
Εἰ γὰρ σὺ μὲν παῖς ἦσθ', ἐγὼ δὲ σὸς πατὴρ,
Ἔκτεινά τοι σ' ἂν, κοὐ φυγαῖς ἐζημίουν,
Εἴπερ γυναικὸς ἠξίους ἐμῆς θιγεῖν.
Θη. Ὡς ἄξιον τόδ' εἶπας· οὐχ οὕτω θανῇ,
Ὥσπερ σὺ σαυτῷ τόνδε προὔθηκας νόμον.
" Ταχὺς γὰρ ᾅδης ῥᾷστος ἀνδρὶ δυστυχεῖ.
Ἀλλ' ἐκ πατρῴας φυγὰς ἀλητεύων χθονὸς,
Ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσεις βίον·
" Μισθὸς γάρ ἐστιν οὗτος ἀνδρὶ δυσσεβεῖ.
Ιπ. Οἴμοι. τί δράσεις; οὐδὲ μηνυτὴν χρόνον
Δέξῃ καθ' ἡμῶν, ἀλλά μ' ἐξελᾷς χθονός;
Θη. Πέραν γε Πόντου, καὶ τόπων Ἀτλαντικῶν,

" Hominum, quibus placet, monarchia.
Ego enim in certaminibus quidem Græcis vincere
Primus vellem; in urbe verò ſecundus
Cum optimis amicis ſemper vivere feliciter.
" Rem enim feliciter gerere *ſic* licet; periculumque abſens
" Majorem tyrannide largitur voluptatem.
Unū meārū *rationū argumentū* à *me* nō eſt dictū, cætera v. habes.
Si enim eſſet mihi teſtis, qualis ego ſum,
Et certarem iſtâ lucem vidente, *i.e. vivente*,
Reipsâ videres malos, ſi indagares.
Nunc verò Jovem cuſtodem juriſjurandi, & hoc ſolum terræ
Juro, me nunquam attigiſſe tuam conjugem,
Neque voluiſſe, neque in mentem hoc mihi veniſſe.
Alioqui peream inglorius, infamis,
Sine civitate, ſine ædibus, exul errans in terrâ.
Et neque mare, neque terra recipiat meas
Carnes defuncti, ſi ſum ſceleratus vir.
An autem illa metuens, perdiderit vitam,
Neſcio: nam mihi non licet dicere ultra.
" Fuit caſta, cùm *tamen re verâ* non poſſet eſſe caſta:
" Nos verò habentes *caſtitatem*, eâ non rectè ſumus uſi.
Ch. Sufficientē dixiſti criminis *objecti* depulſionē, *conſeq arſenſ.*
Quia juſjurandum præbuiſti, non levem deorum fidem.
The. Nonne hic eſt incantator & præſtigiator,
Qui confidit *jurisjurandi religione ſe meum*
Animum flexurum, cùm patrem me ignominiâ-affecerit?
Hip. Atqui *in te* valde hæc miror, pater:
Si enim *meus* tu eſſes filius, ego verò tuus pater,
Interfeciſſem profectò te, nec exilio mulctâſſem,
Siquidem auſus fuiſſes meam uxorem attingere.
The. Quàm rectè hoc dixiſti: non ſic morieris,
Sicut tu tibiipſi hanc propoſuiſti legem.
" Feſtinata enim mors eſt gratiſſima infelici homini.
Sed ex patriâ terrâ exul errans,
In terrâ peregrinâ miſeram vitam ages:
" Hæc enim eſt merces homini impio.
Hip. Hei mihi, quid facies? neque tempus indicem
Contra nos recipies, ſed me expelles è terrâ?
The. Ultra quidem Oceanum, & loca Atlantica,

Ἐγὼ δ' ἀγῶνας μὲν) ἐγὼ πρῶτος θέλω εἶναι ἐν τῇ κυνηγεσίᾳ, καὶ ἐν τῇ φιλοσοφίᾳ· ἐν δὲ τῇ πόλει δεύτερος. Πράσσειν γὰρ εὖ) ὁ γὰρ ἐν ἀγῶσι τοιοῦτος ὢν καλῶς πράττει, καὶ ἀκίνδυνός ἐστιν. ὁ δὲ πόλεως πρῶτος ὢν, κίνδυνον ἔχει. οἱ γὰρ βασιλεύοντες κινδύνοις διάγουσιν. Εἰ μὲν γὰρ ἦν μοι) εἰ γάρ φησι καὶ ἕτερος ἦν, τὰ αὐτά μοι ἔλεγε καὶ ἐμαρτύρει. τοῦτο γὰρ δηλοῖ τὸ οἷος εἰμὶ ἐγὼ καὶ ἦν ὁ ἀγὼν ζώσης αὐτῆς. Ἄλλως. εἴπερ ἦν μοι μάρτυς δίκαιος, οἷος εἰμὶ ἐγώ. ὅ ἐστιν, εἰ εὐπόρησα μάρτυρος ἀληθοῦς, ὁμοίου τοῖς ἐμετέροις τρόποις. μηδ' ἂν θελῆσαι, μηδὲ εἰς ἔννοιαν ἐλθεῖν ποτὲ τοῦ μιγῆναι τῇ σῇ κοίτῃ, οὐχ ὅτι λέγειν με καὶ φθεῖραι αὐτήν. Ἦ τ' ἄρα γ' ὀλοίμην) διαζευκτικὸς ὁ ἢ, ἢ ὀλοίμην, εἰ κακὸς φανήσομαι. Ἐσωφρόνησεν) δυνατὸν [illegible] κρατῆσαι ἵν' ᾖ οὕτως. ἡ Φαίδρα ὡς σώφρων ἐσωφρόνησεν, καίτοι μὴ φύσει ὑπάρχουσα τοιαύτη. ἐγὼ δὲ ὁ ἔχων οὐκ ἐσωφρόνησα, ἀλλ' ἐβουλήθην αὐτῇ μιγῆναι αὐτῆς μὴ βουλομένης. Ἡμεῖς δ' ἔχοντες) ἡμεῖς δὲ σωφρονήσαντες οὐ καλῶς ἐποιήσαμεν. τὸ γὰρ ἔχοντες, ἀντὶ τοῦ σωφρονήσαντες, ἢ τὴν σωφροσύνην φυλάξαντες. Ἀρκοῦσαν εἶπας) ἀπολογίαν ἀρκοῦσαν εἶπας, τὸ μὴ φονεῦσαι τὴν Φαίδραν. Ἐπῳδὸς) ἀντὶ τοῦ ἀπατεὼν, φαρμάκων ἔμπειρος. Εὐοργησίᾳ δὲ, πραότητι, βαθύτητι. οὕτως Ἀττικοί. τινὲς δὲ εὐήθειαν, ἀντὶ τοῦ εὐήθης εἶναι ὑποκρινόμενος. Καὶ σοῦ γε κάρτα) θαυμάζω σε, ὦ πάτερ, εἰ ταῦτα καρτερεῖς. εἰ γὰρ ἐγὼ πατὴρ ἤμην σὸς, οὐδαμῶς ἐφυγάδευον, ἀλλ' ἐφόνευον ἄν σε, εἰ ὑπελάμβανον τὴν γυναῖκά μου διαφθείροντα. Ταχὺς γὰρ ᾅδης) ῥᾷστος, ἀντὶ τοῦ ἥδιστος. ταχὺς δὲ, ἀντὶ τοῦ ὀξύς. οἱ γὰρ ἄδικοι, ταχὺν τὸν θάνατον λαμβάνοντες χαίρουσι, διὰ τὸ μὴ κρίνεσθαι αὐτοὺς πολλάκις. 1051. Οὐδὲ μηνυτὴν χρόνον) οὐδὲ ἀναμείνας ὀλίγον χρόνον, ἵνα μάθῃς τὸ ἀσφαλές· ἀλλ' οὕτως με διώκεις;

ANNOTATIONES.

V. 1025. Ὅρκιόν σοι Ζῆνα) Περὶ Ζηνὸς ὁρκίου, quòd Jurantibus erat Invocatus, diximus ad *Iphigen. Taur.* v. 749. Vid. *Scholiaſten* ad *Hecub.* v. 345. *Joſua Barnes.*

V. 1030. Καὶ μήτε πόντος, μήτε γῆ δέξαιτό μου Σάρκας θανόντος) Qui gravi quodam facinore notati è vitâ migrabant, omni ſepulturâ indigni habebantur, præcipuè homines Inceſti, cujus Criminis ipſe nunc *Hippolytus* à Patre inſimulatur. Huc refer illud *Agathiæ* Hiſtor. l. 2. Ubi ſcribit, *Duos Philoſophos è Perſide redeuntes incidiſſe in Cadaver barbâ promiſſâ venerabile; quod pietate Moti terrâ illi condiderunt. Cùm verò ſe inſequenti nocte quieti dediſſent, eadem Cadaveris Forma, utriſque apparere viſa, his verbis ad eos eſt uſa,* Μὴ θάψῃς τὸν ἄθαπτον· ἔα κυσὶ κύρμα γενέσθαι· Γῆ πάντων μήτηρ μητροφθόρον οὐ δέχετ' ἄνδρα. *Ne ſepeli indignum; canibus ſine præda ego ſiam: Haud vult Terra Parens Raptorem condere Matris.* Unde patebat hunc Virum matri ſuæ flagitium feciſſe; quare nec ſepultura dignus habebatur. Et hanc ſibi pœnam *Hippolytus* hic imprecatur; ſi Novercæ ſtuprum intulerit. *Joſua Barnes.*

V. 1047. Ταχὺς γὰρ ᾅδης ῥᾷστος ἀνδρὶ δυστυχεῖ.) Ita *Salluſtius* de Conjuratione *Catilinæ Cæſarem* inducit loquentem, " In luctu atque in Miſeriis, Mortem ærumnarum requiem, non cruciatum eſſe: Eam cuncta Mortalia mala diſſolvere, Ultra neque Curæ neque Gaudio locum eſſe. Vid. *Pet. Victorii* Var. Lection. l. 12. c. 8. Ubi hunc Poetæ noſtri locum cum illo confert. *J. Barnes.*

Εἰ-

Εἴπως δυναίμην· ὡς σὸν ἐχθαίρω κάρα.

Ιπ. Οὐδ᾽ ὅρκον, οὐδὲ πίστιν, οὐδὲ μάντεων

Φήμας ἐλέγξας, ἄκριτον ἐκβαλεῖς με γῆς;

Θη. Ἡ δέλτος ἥδε, κλῆρον οὐ δεδεγμένη,

Κατηγορεῖ σου πιστά· τοὺς δ᾽ ὑπὲρ κάρα

Φοιτῶντας ὄρνις πόλλ᾽ ἐγὼ χαίρειν λέγω·

Ιπ. Ὦ θεοὶ, τί δῆτα τοὐμὸν οὐ λύω στόμα,

Ὅστις γ᾽ ὑφ᾽ ὑμῶν, οὓς σέβω, διόλλυμαι;

Οὐ δῆτα· πάντως οὐ πίθοιμ᾽ ἂν οὓς με δεῖ·

Μάτην δ᾽ ἂν ὅρκους συγχέαιμ᾽, οὓς ὤμοσα.

Θη. Οἴμοι· τὸ σεμνὸν ὥς μ᾽ ἀποκτενεῖ τὸ σόν.

Οὐκ εἶ πατρῴας ἐκτὸς ὡς τάχιστα γῆς;

Ιπ. Ποῖ δῆτ᾽ ὁ τλήμων τρέψομαι; τίνος ξένων

Δόμους ἔσειμι, τῇδ᾽ ἐπ᾽ αἰτίᾳ φυγών;

Θη. Ὅστις γυναικῶν λυμεῶνας ἥδεται

Ξένους κομίζων, καὶ ξυνοικούρους κακῶν·

Ιπ. Αἰ, αἰ· πρὸς ἧπαρ, δακρύων τ᾽ ἐγγὺς τόδε,

Εἰ δὴ κακός γε φαίνομαι, δοκῶ τέ σοι.

Θη. Τότε στενάζειν καὶ προγιγνώσκειν σ᾽ ἐχρῆν,

Ὅτ᾽ εἰς πατρῴαν ἄλοχον ὑβρίζειν ἔτλης.

Ιπ. Ὦ δώματ᾽, εἴθε φθέγμα γηρύσαισθέ μοι,

Καὶ μαρτυρήσαιτ᾽, εἰ κακὸς πέφυκ᾽ ἀνήρ.

Θη. Εἰς τοὺς ἀφώνους μάρτυρας φεύγεις; * σαφῶς

Τόδ᾽ ἔργον, οὐ λέγον, σε μηνύει κακόν. * al. σαφῶς.

Ιπ. Φεῦ. Εἴθ᾽ ἦν ἐμαυτὸν προσβλέπειν ἐναντίον

Στάνθ᾽, ὡς ἐδάκρυσ᾽, οἷα πάσχομεν κακά.

Θη. Πολλῷ γε μᾶλλον σαυτὸν ἤσκησας σέβειν,

Ἢ τοὺς τεκόντας ὅσια δρᾷν, δίκαιος ὤν.

Ιπ. Ὦ δυστάλαινα μῆτερ, ὦ πικραὶ γοναί·

Μηδεὶς ποτ᾽ εἴη τῶν ἐμῶν φίλων νόθος.

Θη. Οὐχ ἕλξετ᾽ αὐτὸν, δμῶες; οὐκ ἀκούετε

Πάλαι ξενοῦσθαι τόνδε προὐννέποντά με;

Siquomodo poſſim: ſic odi tuum caput.

Hip. Neque jusjurandum, neque fidem, neque vatum

Dicta explorans, me indemnatum ex hoc agro ejicies?

The. Hæc epiſtola, ſortitionem non expectans,

Accuſat te fideliter, iſtis verò ſupra caput

Volantibus avibus longùm ego valere dico.

Hip. O Dii, cur igitur non ſolvam meum os,

Qui à vobis, quos colo, perdor!

Haudquaquam; neque ſic enim perſuaſero iis, queis me oportet;

Fruſtra autem confunderem jusjurandum, quod juravi.

The. Hei mihi, quàm me interficiet tua ſanctimonia!

Non abibis quàm celerrimè extra patrium ſolum?

Hip. Quò igitur miſer me vertam? cujus hoſpitis

Domum ingrediar, propter hoc crimen exulans?

The. Qui libenter corruptores conjugum

Recipit peregrinos, & eos qui cohabitant cum malis.

Hip. Heu, heu! hoc afficit hepar, & hoc prope lacrymas eſt,

Quòd jam malus appareo & videor tibi.

The. Tunc oportebat gemere & providere,

Cùm auſus es injuriâ afficere uxorem patris tui.

Hip. O domus, utinam mihi vocem edere poſſes,

Et teſtareris, an ſim malus vir.

The. Confugis ad teſtes mutos? clarè

Hæc res, quæ non loquitur, indicat te eſſe malum.

Hip. Heu, utinam liceret mihi me ipſum aſpicere coram

Stantem, ut deplorarem qualia mala patior.

The. Multo magis aſſueſciſti teipſum colere,

Quam pietatem exercere erga parentes juſtè.

Hip. O mater infelix, ô acerba progenies!

Nemo meorum amicorum ſit unquam nothus.

The. Non trahetis eum, ſervi? non auditis

Me jampridem juſſiſſe hunc in exilium pelli?

Ἡ δέλτος ἥδε) αὕτη ἡ δέλτος οὐκ ἔστιν ἀπὸ μαντείας κατεσκευασμένη, ἀλλὰ κατηγορεῖ σου· ἥνπερ ἐγὼ δέχομαι, καὶ ταύτῃ πιστεύω. τοὺς δὲ μάντεις πολλάκις ἐγὼ χαίρειν λέγω, ἀντὶ τοῦ οἰμώζειν. οὐ γὰρ μάντεως φησὶ μαθοῦσι, ἀλλ᾽ αὐτοῖς παθοῦσι, καὶ πλέον ἄλλων εἰδῆ. κλῆρος δὲ ἐστι τὸ σημεῖον τὸ διδόμενον τοῖς μαντευομένοις, ἀφ᾽ ὧν οἱ μάντεις ἑρμηνεύοντες προφητεύουσι περὶ τῶν μελλόντων. οἱ δὲ τῶν μάντεων ὄρνισι προσέχουσιν, οἱ δὲ κλήρεσι. κλῆρον οὖν τὴν μαντείαν. εἰσὶ γάρ τινες κλήρῳ μαντευόμενοι, ὅ ἐστι λαχμοῖς. Οὐ δῆτα πάντως) οὐδὲν ἀναγκαστέον. καὶ πρoστεῖναι ἡ μία ἄρνησις. Οὐ δῆτα) ἀντὶ τοῦ οὐδαμῶς λύσω τὸν ὅρκον, ἐγχειροῦν με ποιοῦ με. καὶ μάτην λύσω τὸν ὅρκον, ὃν ὤμοσα τῇ τροφῷ μηδὲν εἰπεῖν. Ἄλλως. Πολλάκις φησὶν ἂν εἴπω, οὐ πείθω τι, καὶ τοὺς ὅρκους παραβαίνω. Οὐκ εἶ πατρῴας) τὸ εἶμι τὸ πορεύομαι, καὶ τὸ εἰμὶ τὸ ὑπάρχω, ἐν τῇ συνηθείᾳ κατὰ τὸ δεύτερον πρόσωπον συμβαλλὼ πάσχουσι σ᾽, ἀεὶ λόγους φασὶ γὰρ ποῖ ἄπει, καὶ τί εἶ. Τίνος ξένων) τῶν ξένων εἰς τοὺς οἴκους πορεύσομαι, διὰ τοιαύτην αἰτίαν φυγόντα τίς με ἐν οἴκῳ εἰσδέξεται; Ὅς τις λυμεῶνας) ὅς τις ἥδεται κομίζων τοὺς ξένους λυμεῶνας τῶν γυναικῶν, καὶ ξυνεργάτας τῶν κακῶν. Ὦ δώματ᾽ εἴθε) εἴθε φωνὴν ἀφῆτε, καὶ ἐμαρτυρήσατέ μοι, εἰ τοιοῦτος ἀνὴρ γέγονα. 1076. Εἰς τοὺς ἀφώνους) γράφεται καὶ σαφῶς. ἵν᾽ ᾖ σοφιστικῶς καὶ τεχνικῶς· εἰς τὸ φεύγεις ὑποστικτέον. τὸ δὲ λοιπὸν κατ᾽ ἀπόφασιν εἰς τοὺς ἀφώνους μάρτυρας ἀπαγγελεῖ. τὸ δὲ κατὰ Φαίδραν πρᾶγμα, μὴ φθεγγόμενον σαφῶς μηνύει τὸ κακόν. Εἴθ᾽ ἦν ἐμαυτὸν) εἴθε δυνατὸν ἦν ἐμαυτὸν ἄλλον γενόμενον προσβλέψαι δακρύοντα, καὶ κατιδεῖν ἐν ὁποίοις κακοῖς εἰμί. τοῦτο δὲ λέγει διὰ τὸ μὴ τὸν Θησέα προσβλέποντα αὐτὸν οἰκτείρειν. Πολλῷ γε μᾶλλον) σαυτὸν ἐμελέτησας μᾶλλον σέβειν ἢ τοὺς τεκόντας, ἢ καλῶς ποιεῖν, ὢν δίκαιος, ὡς αὐτὸς λέγεις, μᾶλλον σεαυτὸν ἤσκησας σέβειν. Οὐχ ἕλξετ᾽ αὐτὸν) οὐ διώκετε αὐτὸν ἐκ ταύτης τῆς γῆς; οὐκ ἐκ πολλοῦ χρόνου εἶπον ὑμῖν; 1085. Πάλαι ξενοῦσθαι) ἀπὸ ξένης γῆς διατελεῖν, ξένος ἀλλ᾽ οὐ πολίτης γίνεσθαι. ἔστι δὲ Ἀττικόν.

ANNOTATIONES.

V. 1055. *Οὐδ᾽ ὅρκον, οὐδὲ πίστιν, οὐδὲ μάντεων*) Vide infrà v. 1321. ubi ob hanc temeritatem *Theſeus* arguitur.

V. 1057. *Ἡ δέλτος ἥδε κλῆρον οὐ δεδεγμένη*) De Sortibus & Oraculis copiosè latis *Julius Cæſar Bulengerus* l. 2. c. 1. Ubi hunc locum expendit & *Scholiaſten* ad eundem laudat; non autem rectè ἀφ᾽ ὧν corrigit legendo ἀφ᾽ οὗ. Quanquam enim *σημεῖον* ſingulare præceſſerit, potuit & *σημεῖα* intelligi ad ἀφ᾽ ὧν, cùm de illâ Voce in genere loquatur Author & de pluribus *μαντευομένοις*, quibus plura *σημεῖα* dari erat conſentaneum. *Joſua Barnes.*

V. 1058. *Τοὺς δ᾽ ὑπὲρ κάρα Φοιτῶντας ὄρνις πόλλ᾽ ἐγὼ χαίρειν λέγω*) Auguria hic iterum pius Poeta damnat, ut ſæpe alias ſuo more Gentium ſuperſtitiones elevare ſolet. Vide ad *Helen.* v. 750. *Hercul. Fur.* v. 596. & *Electr.* v. 399. De Oraculorum autem Fraudibus, præter quod diximus ad *Ion.* v. 302. & 685. Conſulatur etiam *Julius Cæſar Bulengerus* de Oraculis & Vatibus l. 3. c. 1. Item l. 2. c. 5. *Ennius* demum eleganter omnes Divinandi rationes vilipendit,

Non habeo denique nauci Marſum *Augurem,*
Non vicanos Aruſpices, non de Circo Aſtrologos;
Non Iſiacos *Conjectores, non Interpretes ſomniûm:*
Non enim ſunt ii aut Arte Divini, aut Scientiâ;
Sed Superſtitioſi Vates, Impudentiſque Arioli,
Aut inertes, aut inſani, aut quibus Egeſtas imperat.
Qui ſui quæſtûs causâ fictas ſuſcitant ſententias;
Qui ſibi ſemitam non ſapiunt, alteri monſtrant viam;
Quibus Divitias pollicentur, ab iis Drachmam petunt:
De his Divitiis ſibi deducant Drachmam, reddant cætera.

Nec minùs eleganter *Accius*,

Nil credo Auguribus, qui Aures verbis ditant
Alienas; ſuas ut auro locupletent Domos.

Denique *Pacuvius* ſuaviſſimè,

Nam iſtis, qui linguam Avium intelligunt,
Pluſque ex alieno Jecore ſapiunt, quam ſuo,
Magis audiendum, quàm auſcultandum cenſeo.

Vid. *Ciceron.* de Divinatione l. 1. ad finem. *Joſua Barnes.*

V. 1060. *Ὦ θεοὶ*) hic τὸ θεοὶ *μονοσυλλάβως* legitur. Vid. ad *Phœniſſ.* v. 509.

V. 1074. *Ὦ δώματ᾽*) Cur *Nutrix*, quod verum erat, coacta loqui non erat? *Euripides* huic Objectioni nihil providet.

V. 1076. *Σαφῶς*) aliàs *σαφῶς* ſcribi ait *Schol.* tunc punctum poſt *φεύγεις* tollendum; & ad *σαφῶς* cuſtos.

V. 1078. *Φεῦ*) Hoc extra verſum vid. ſupra v. 854.

Ιπ. Κλαίοιν

Ιπ. Κλαίων τις αὐτῶν ἆρ' ἐμοῦ γε θίξεται.
Σὺ δ' αὐτὸς, εἴ σοι θυμὸς, ἔξωθεν χθονός.
Θη. Δράσω τάδ', εἰ μὴ τοῖς ἐμοῖς πείσῃ λόγοις·
Οὐ γάρ τις οἶκτος σῆς μ' ὑπέρχεται φυγῆς.
Ιπ. Ἄρηρεν, ὡς ἔοικεν· ὦ τάλας ἐγώ.
Ὡς οἶδα μὲν ταῦτ'· οἶδα δ' οὐχ, ὅπως φράσω.
Ὦ φιλτάτη μοι δαιμόνων Λητοῦς κόρη,
Σύνθακε, συγκύναγε, φευξόμεσθα δὴ
Κλεινὰς Ἀθήνας. ἀλλὰ χαιρέτω πόλις,
Καὶ γαῖ' Ἐρεχθέως· ὦ πέδον Τροιζήνιον,
Ὡς ἐγκαθηβᾷν πόλλ' ἔχεις εὐδαίμονα,
Χαῖρ'· ὕστατον γάρ σ' εἰσορῶν προσφθέγγομαι.
Ἴτ', ὦ νέοι μοι τῆσδε γῆς ὁμήλικες,
Προσείπαθ' ἡμᾶς ϗ προπέμψατε χθονός·
Ὡς οὔποτ' ἄλλον ἄνδρα σωφρονέστερον
Ὄψεσθε, κεἰ μὴ ταῦτ' ἐμῷ δοκεῖ πατρί.

ΕΠΩΙΔΙΚΑ.

Στροφὴ α΄.

Χο. 1 Ἦ μέγα μοι τὰ θεῶν
2 Μελεδήμαθ', ὅταν φρένας ἔλθῃ,
3 Λύπας παραιρεῖ.
4 Ξύνεσιν δέ τιν' ἐλπίδι κεύθων,
5 Λείπομαι, ἔν τε τύχαις θνατῶν,
6 Καὶ ἐν ἔργμασι λεύσσων.
7 Ἄλλα γὰρ ἄλλοτ' ἀμείβεται.
8 Μετὰ δ' ἵσταται ἀνδράσιν αἰὼν,
9 Πολυπλάνητος αἰεί.

Ἀντιστροφὴ α΄.

" 1 Εἴθε μοι εὐξαμένῃ
" 2 Θεόθεν τάδε μοῖρα παράσχοι,
" 3 Τύχαν μετ' ὄλβου,
" 4 Καὶ ἀγήρατον ἄλγεσι θυμόν.
" 5 Δόξα δὲ μήτ' ἀτρεκὴς, μήτ' αὖ
" 6 Παράσημος ἐνείη.
" 7 Ῥᾴδια δ' ἤθεα τὸν αὔριον
" 8 Μεταβαλλομένα χρόνον αἰεί,
" 9 Βίον συνευτυχοίην.

Hip. Florans igitur aliquis ipſorum me tanget.
Tu verò ipſe, ſi tibi animus *eſt*, expelle *me ex hâc* terrâ.
The. Faciam hæc, niſi meis pareas verbis:
Nulla enim miſericordia tui *me* ſubit exilii.
Hip. Statutum eſt, ut videtur. O me miſerum;
Quia ſcio quidem hæc, neſcio tamen quomodo *hæc* efferam.
O chariſſima mihi dearum, filia Latonæ,
Cohabitatrix, ſocia-venationis, fugiemus igitur
Inclytas Athenas: [illegible] valeat urbs,
Et terra Erechthei: ô ſolum Trœzenium,
Quàm multa habes jocunda ad pubertatem tranſigendam,
Vale: Poſtremum enim te videns alloquor.
O juvenes, quos æquales habui in hâc terrâ, ite,
Salutate nos, & deducite *ex hâc* terrâ:
Quia non alium *me* caſtiorem hominem unquam
Videbitis, etiamſi hæc non videantur patri meo.

EPODICA.

Strophe 1.

Cho. 1 Certè valde mihi deorum
2 Curæ, quoties animum ſubeunt,
3 Dolores *ac mærorem* auferunt.
4 Prudentiam verò quandam *ſpe* celans *fovénſque*,
5 Deficio, & fortunas hominum,
6 Et facta intuens.
7 Alia enim aliàs *incertis* vicibus mutantur.
8 Et hominibus variatur vita
9 Semper multis erroribus obnoxia.

Antiſtrophe 1.

" 1 Utinam mihi precanti
" 2 Divinitus fatum hoc concedat,
" 3 Fortunam cum divitiis,
" 4 Et animum non ſeneſcentem curis:
" 5 Et exiſtimatio neque eximia, neque etiam
" 6 Mala contingat.
" 7 Faciles verò mores in craſtinum
" 8 Tempus ſemper immutans, *temporique ſerviens*,
" 9 Vitam beatam degam.

Κλαίων τις) οὐχ ὡς ἀπειλητικὸν λέγω, ἀλλ' ὡς ἐξ ἀληθείας χωρὶς αὐθεντείας κωλυόμενος· ὄντως ἐάν μέ τις διώξῃ ἐκ δόλων, κλαίων ἀναχωρήσει. ἐὰν δὲ θέλῃς σὺ, δίωξόν με ἐκ τῆς γῆς ταύτης. Φευξόμεσθα δὲ) εἰς Ἀττικὴν φασὶ φεύγειν, ὅτι ὑπὸ μίαν βασιλείαν ἦσαν Ἀττική τε ϗ Τροιζήν. ϗ ὑπέρων λόγων ἑκατέραν εὐδαιμονοῦν. Γαῖ' Ἐρεχθέως δὲ τὸ αὐτὸ λέγει. Ἐρεχθεὺς γὰρ ἐβασίλευσεν τῆς Ἀθήνας. ἐγκαθηβᾷν δὲ ἐνταῦθα ἡβητὰς τρέφειν, διὰ τὸ ἔχειν τόπους πρὸς τὸ ἀσκεῖσαι ἐπιτηδείους, ὅθεν ϗ ἡβητήρια τὰ γυμνάσια. Ἦ μέγα μοι τὰ θεῶν) γυναῖκας μέν εἰσιν αἱ τοῦ χοροῦ. μεταφέρει δὲ τὸ πρόσωπον ἐφ' ἑαυτοῦ ὁ ποιητὴς, καταλιπὼν τὸ χορικὸν πρόσωπον. μετοχαῖς γὰρ ἀρσενικαῖς κέχρηται. τὸ δὲ μοι ἀντὶ τοῦ μοῦ, ὡς τὸ † Μητέρι μοι μνηστῆρες. τὸ δὲ ἑξῆς, ὄντως μὲν τὰς λύπας μεγάλας ἀφαιρεῖ καθίστησι τὰ περὶ θεῶν μελεδήματα, ὅταν εἰς φρένας ἔλθῃ. ὁρῶν δὲ ὁ Χορὸς ἐνταῦθα μὲν ὄντα τὸν Ἱππόλυτον, κακῶς δὲ πράττοντα παρὰ τὸ δίκαιον, θαυμάζει τοῦ βίου τὸ ἀνώμαλον, ϗ παραπλῆκτά φησι τὴν διάνοιαν, ὑπονοῶν μὲν τὸ θεῖον προνοεῖσθαι τῶν ἀνθρώπων. ὁρῶν δὲ θείας προνοίας μὴ μετέχοντα τῶν ἀνθρώπων τὰ πράγματα, ἐκ τοῦ τοὺς μὲν ἀδίκους εὖ πράττειν, τοὺς δὲ δικαίους παρὰ τὴν ἀξίαν πράττειν κακῶς. ὁ δὲ νοῦς, ὅταν φησὶ θεοὺς λογίσωμαι, πάσας λύπας ἀπολλύομαι, ἐνθυμούμενος, ὅτι ἀδεκάστως τὰ πράγματα κρίνουσι, τὰ πρὸς ἀξίαν ἑκάστῳ παρέχοντες, ϗ δικαίων χάριν τοῦτο (αὐτὸς εἰμὶ) ἄφρων ἐλέγχομαι ὁρῶν τοῦ βίου τὴν σύγχυσιν. Ξύνεσιν γάρ τινα ταῖς ἐλπίσιν ἔχων ἐλαττοῦμαι, ϗ ἀπολείπομαι, βλέπων ἔν τε ταῖς τύχαις τῶν ἀνθρώπων ϗ ἐν τοῖς ἔργοις, τουτέστιν ὁπηνίκα αὐτὰ ἀνθρώπινα ἐννοήσω, ἐλαττοῦμαι, ϗ οὐ μέγα φρονῶ. 1105. Ξύνεσιν) σοφίαν δέ τινα ἐν τῇ διανοίᾳ ἔχων, ὡς προνοίας θεῶν λογιζόμενος, ἀπελπίζω ταύτης, ἔν τε ταῖς τύχαις τῶν θνητῶν, ϗ ἐν ἔργμασι λεύσσων. Ἄλλα γὰρ πράγματα ἐναλλάσσεται, ἡ πολλὴ μεταβολὴ τῶν ἀνθρωπίνων πραγμάτων. Μετὰ δ' ἵσταται) εἰς πολλὰ πλανώμενος μεταβαίνει ὁ βίος, οὐ γὰρ μόνιμος βέβαιος τοῖς ἀνθρωπίνοις ὁ αἰὼν, ἀλλὰ μεταβάλλεται. Ἄλλως. Τὸ ζῆν ἀεὶ μεταβάλλεται πολυπλάνητον ὂν τοῖς ἀνθρώποις. Δόξα δὲ) οὐ μὴν τῆς μεγάλης δόξης, μήτε μικρᾶς, ἀλλὰ μέσην ϗ σεμνήν. Παράσημος δὲ) ἀντὶ τοῦ ἀδόκιμος. ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων. Ῥᾴδια δ' ἤθεα) ἀντὶ τοῦ εὐχερῆ ϗ ἄλυπα ἤθη ἔχουσα ϗ προβαίνουσα εὐτυχοίην ἀεί. Ἄλλως. Εὐχερῶς δὲ τὰ συνήθη μεταβάλλουσα τὸν αὔριον χρόνον εὐτυχοίην τὸν βίον. τὸ δὲ ἑξῆς, εὔκολον δὲ ζωὴν εἰς τὸν καθ' ἡμέραν χρόνον ἀεὶ διαδεχοίμην, ϗ σὺν ἄλλοις τὸν βίον εὐτυχοίην. δύναται δὲ ϗ ἀντὶ ἐνεργητικοῦ κεῖσθαι τὸ μεταβαλλομένη, ἀντὶ τοῦ μεταβάλλουσα, δύναται δὲ πάλιν εἶναι ϗ τὰ ἤθη μεταβαλλομένην. 1119. Βίον συνευτυχοίην) καλῶς ἡ σὺν ἔγκειται πρόθεσις, δηλοῦσα ὡς οὐκ ἄκρας εὔχεται εὐδαιμονίας, οὐδὲ πλεονεκτεῖν τῶν ἄλλων, ἀλλὰ σὺν ἄλλοις εὐτυχεῖν τὸν βίον.

† Hemiſtich. Hom. Odyſſ. β΄. v. 50.

ANNOTATIONES.

V. 1102. Ἦ μέγα μοι τὰ θεῶν) Refer huc Chorum *Senecæ* in tertio *Hippolyti* Actu, cujus initium *O magna Parens, Natura, Deûm* &c.

V. 1111. Εἴθε μοι εὐξαμένᾳ) Quidni legamus εὐξαμένῳ: Nam etſi *Chorus* ex Mulieribus conſtet, ſæpè tamen de iis *Maſculinum* ſingulare uſurpari probavimus ad *Andromach.* v. 421. Quin id apertè fit bis in hoc ipſo *Choro*, v. 1105. & v. 1107. Quod & *Scholiaſtes* notat, licet infrà *Chorus* ſuo genere utatur. *Joſua Barnes.*

Στροφὴ

Στροφὴ β΄.

1 Οὐκέτι γὰρ καθαρὰν
2 Φρέν' ἔχω, παρὰ δ' ἐλπίδα λεύσσω·
3 Ἐπεὶ τὸν Ἑλλανίας
4 Φανερώτατον ἀστέρ' Ἀθάνας,
5 Εἴδομεν εἴδομεν ἐκ πατρὸς ὀργᾶς
6 Ἄλλαν ἐπ' αἶαν ἱέμενον.
7 Ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς,
8 Δρυμός τ' ὄρειος, ὅθι κυνῶν
9 Ὠκυπόδων ἐπέβας
10 Θεᾶς μέτα θῆρας ἐναίρων,
11 Δίκτυνναν ἀμφὶ σεμνάν.

Ἀντιστροφὴ β΄.

1 Οὐκ ἔτι συζυγίαν
2 Πώλων Ἐνετᾶν ἐπιβάσῃ,
3 Τὸν ἀμφὶ λίμνας τρόχον
4 Κατέχων ποδὶ γυμνάδας ἵππους.
5 Μοῦσα δ' ἄυπνος ὑπ' ἄντυγι χορδᾶν
6 Λήξει πατρῷον ἀνὰ δόμον.
7 Ἀστέφανοι δὲ κόραι ἀνάπαυλαι
8 Λατοῦς βαθεῖαν ἀνὰ χλόαν.
9 Νυμφιδία δ' ἀπόλω-
10 λε λέχει φυγᾷ σᾷ
11 Λέκτρων ἅμιλλα κόραις.

Ἐπῳδός.

1 Ἐγὼ δὲ σᾷ δυστυχίᾳ
2 Δάκρυσι διοίσω
3 Πότμον, ἄποτμον, ὦ τάλαινα
4 Μᾶτηρ, ἔτικες ἀνόνητα. Φεῦ,
5 Μανίω θεοῖσιν.
6 Ἰὼ, ἰὼ, * συζυγίαι Χάριτες,
7 Τί τὸν τάλαν' ἐκ πατρίας γᾶς,
8 Οὐδὲν ἄτας αἴτιον,
9 Πέμπετε τῶνδ' ἀπ' οἴκων;

*al. συζύγιαι.

Strophe 2.

1 Non amplius enim puram
2 Mentem habeo. Spe verò etiam deficio:
3 Poſtquam civitatis Græcæ
4 Athenarum clariſſimam ſtellam
5 Vidimus, vidimus ob patris iram
6 In aliam terram mitti.
7 O arenæ urbani littoris,
8 Et ſaltus montane, quò *cum* canibus
9 Celeribus *Hippolyte* aſcendiſti,
10 Cum deâ feras interficiens,
11 Circa caſtam Dictynnam.

Antiſtrophe 2.

1 Non ampliùs jugum
2 Equorum Venetorū conſcendes,
3 Ad *Limnæ* Hippodromū *in aſſicie*
4 Continens pede equos deſtinatos exercitiis.
5 Et vigilans Muſa ſub jugo chordarum
6 Deſinet, *meloſque ſiſtet* in domo paternâ.
7 Sine coronis autem *erunt aræ* puellæ
8 Latonæ in profundo gramine.
9 Nuptiales verò perierunt
10 Lecti propter exilium tuum,
11 *Et tuorum* lectorum certamen, *nuptiarumq; ſpes periit* puellis.

Epodi.

1 Ego verò propter tuam calamitatem
2 Lacrymis *oculos rigans* feram
3 Fatum infelix, ô miſera
4 Mater; fruſtra *talem filium* peperiſti! heu,
5 Succenſeo Diis.
6 Heu, heu, vos Gratiæ concordes, *concordiæq; conciliatrices*,
7 Quare hunc miſerum è terra patriâ,
8 Nullius culpæ reum,
9 Emittitis procul ab his ædibus?

Οὐκ ἔτι γὰρ) οὐκ ἔτι εὖ καὶ ἀτάραχον καὶ ἄφοβον, διὸ καὶ αὐτῷ φυλακῆς ηὐξάμην. Ἄλλως. Ἄδηλον τοῖς θεοῖς δηλονότι. τοῦτο δὲ ἐν τοῖς ἀνθρώποις συνέβη, ἵν' ἢ ὅτως ἐκπέσῃ τοῦ ἀνάγειν εἰς θεοὺς πρόνοιαν τῶν ἀνθρωπίνων πραγμάτων. οὐκ ἔτι γὰρ καθαρὰν φρένα ἔχω, τουτέστιν οὐκ ἔχω γὰρ ἀτάραχον φρένα ἐπὶ τῷ μαθεῖν ὅτι ἀδίκως ἀπόλλυται ὁ Ἱππόλυτος. Ἐπεὶ τὸν Ἑλλανίας) ἐπεὶ τὸν Ἑλληνικῆς γῆς φανερώτατον ἀστέρα, καὶ τὰ ἑξῆς. ἀστέρα δὲ λέγει τὸν Ἱππόλυτον, διὰ τὸ ἐμφανὲς τῆς παρθενίας αὐτοῦ. Ὦ δρυμὸς ὄρειος) ἀνέβαινες, ὅθι κατὰ κυνῶν ἐπέβης ὠκυπόδων. Θεᾶς μέτα θῆρας ἐναίρων) μετὰ τῆς Ἀρτέμιδος, ὁ ἐστι μετὰ ὑποτεταγμένος τῇ Ἀρτέμιδι. Δίκτυνναν ἀμφὶ σεμνάν) Δίκτυννα ἐκλήθη ἡ Ἄρτεμις διὰ τοιαύτην αἰτίαν. Βριτόμαρτις νύμφη ἐγένετο συγκυνηγοῦσα τῇ Ἀρτέμιδι. ταύτης ἠράσθη Μίνως, καὶ κατεδίωξεν αὐτὴν ἐπὶ ἡμέρας θ΄. καὶ μὴ ὑποφέρουσα ἔτι ἔρριψεν αὐτὴν ἀπὸ τοῦ ὄρους εἰς τὴν θάλασσαν, καὶ ἐσώθη ἐν τοῖς δικτύοις, καὶ τούτου χάριν ἐκλήθη ἡ Ἄρτεμις Δίκτυννα. Πώλων Ἐνετᾶν) Παφλαγονικῶν. Ἐνετοὶ γὰρ ἔθνος Παφλαγονίας. εἰ δέ τις εἴποι, ἐκ ποίας πόλεως ὀνομαστικὸς ἐστιν, ὅτι πολλοὶ βάρβαροι οὐκ ἐκ πόλεων, οὐδὲ χώρας, ἀλλ' [illegible] ἔθνους ὀνομάζονται, ὡς Νομάδες, Βλέμυες. ὁ δὲ ἐπὶ, ἀντὶ τοῦ εἰς. οὐκ ἔτι εἰς συζυγίαν πώλων βήσῃ, ὡς τὸ, * Ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο. 1133. Τὸν ἀμφὶ λίμνας) λίμνη τόπος Τροιζῆνος ἀπλῶς, ἔνθα Λιμνᾶτις Ἄρτεμις καλεῖται. περὶ τὸ πεδίον τῆς λίμνης τὸ ἐγχώριον, τοὺς γυμναστικοὺς ἵππους κατέχων τῷ ποδὶ, καὶ γυμνάζων. Μοῦσα δ' ἄυπνος) τουτέστιν ὑπὸ τῇ κιθάρᾳ παύσεται ἐν τῷ οἴκῳ τοῦ σοῦ πατρὸς, ἄυπνος, ἢ ἄπαυστος. τὸν ζυγὸν δὲ τῆς κιθάρας ἄντυγα καλεῖ, ἢ τὸν πῆχυν, ὡς κιθαρίζοντος αὐτοῦ. ἡ δὲ ἄυπνος φησὶν, οὐδὲ τῶν χορδῶν τῶν ὑπὸ τῇ ἄντυγι λήξει. Ἀστέφανοι δὲ) αἱ δὲ ἀναπαύσεις τῆς θυγατρὸς Λητοῦς, ὅ ἐστι τῆς Ἀρτέμιδος, αἱ κατὰ τὴν βαθεῖαν ὕλην ἀστέφανοι ἔσονται. λείπει γὰρ τὸ ἔσονται. ἄλλως αἱ ἀναπαύσεις τῶν κορῶν τῶν συγχορευουσῶν, ἀεὶ τὸ τῆς Λητοῦς ἱερὸν, ἀστέφανοι ἔσονται, τουτέστι λυπηθήσονται ἐπὶ σοὶ αἱ παρθένοι. τινὲς δὲ τὸ ἀστέφανοι, ἀντὶ τοῦ πολυστέφανοι ἔσονται, τὸ α΄ λέγοντες ἐπιτατικόν. Φυγᾷ σᾷ) διὰ τὴν φυγὴν οὐκ ἔτι ἀμιλληθήσονται αἱ παρθένοι ὑπὲρ τοῦ γάμου, τίς σοι δοθήσεται γυνή. Ἄλλως, φυγάδος σοῦ ὄντος, ἡ φιλονεικία τῶν παρθένων τῶν ἐπιδοξαζουσῶν τῷ σῷ γάμῳ ἀπώλετο. 1147. Συζυγίαι χάριτες) αἱ συνεζευγμέναι χάριτες τῷ Ἱππολύτῳ, αἱ συζυγοῦσαι, ὅ ἐστι γαμήλιοι, ἀντὶ τοῦ, αἱ χάριτες ἔφοροι τῆς συζυγίας.

* *Hom. Iliad.* ε. v. 745.

ANNOTATIONES.

V. 1120. Παρὰ δ' ἐλπίδα λεύσσω) Tmeſis pro παραλεύσσω. Hoc pro παρορῶ. In quē ſenſum *Latinam* Verſionem emendavi. *Joſua Barnes.*

V. 1128. Ἐπέβας) Aliàs ἐπέβα ſcribi dicit *Æmyl. Portus*, nec tamen mutat, eò quòd Apoſtrophe pateat magis ex verſu 1132. Πώλων Ἐνετᾶν ἐπιβάσῃ. De *Venetis* equis vide ſuprà ad v. 231.

V. 1133. Λίμνας τρόχον) De *Limnâ* Gymnaſii nomine vide *Scholiaſten* hic & ad *Hippolyt.* v. 148. De τρόχῳ & τρόχος pro Ἱππόδρομος; vid. *Medea.* v. 46.

V. 1146. Μανίω) *Doricè* pro μηνίω, à μῆνις, *Ira.*

ARGUMENTUM *Actûs* Quinti.

Nuntius Theſeo *miſerandum* Hippolyti *exitium prolixè narrat:* Chorus *vim Amoris celebrat.* Diana *Innocentiam Filii* Theſeo *teſtatur, illius Credulam Crudelitatem damnans: Unde acerrimus miſero Parenti Dolor oritur. Ipſe* Hippolytus *ſemimortuus in Scenam producitur,* quem Diana

illius

illum Patrem solatur, vindictam illi ex inimicis & Divinos honores pollicita; monstratque illum non Patris Culpâ, sed Veneris *machinis periisse. Quare* Hippolytus *jam expirans Patri dat veniam. Exitus Fabulæ luctu & miseratione plenus.*

ΑΓΓΕΛΟΣ ΘΗΣΕΥΣ, ΑΡΤΕΜΙΣ, ΙΠΠΟΛΥΤΟΣ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Ημ. Καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ
Σπουδῇ σκυθρωπὸν πρὸς δόμους ὁρμώμενον.
Αγ. Ποῖ γῆς ἄνακτα τῆσδε Θησέα μολὼν
Εὕροιμ' ἄν, ὦ γυναῖκες; εἴπερ ἴστε, μοι
Σημήνατ'. ἆρα τῶνδε δωμάτων ἔσω;
Ημ. Ὅδ' αὐτὸς ἔξω δωμάτων πορεύεται.
Αγ. Θησεῦ, μερίμνης ἄξιον φέρω λόγον
Σοί, καὶ πολίταις, οἵ τ' Ἀθηναίων πόλιν
Ναίουσι, καὶ γῆς τέρμονας Τροιζηνίας.
Θη. Τί δ' ἔστι; μῶν τις συμφορὰ νεωτέρα
Δισσὰς κατείληφ' ἀστυγείτονας πόλεις;
Αγ. Ἱππόλυτος οὐκ ἔτ' ἔστιν, ὡς εἰπεῖν ἔπος.
Δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.
Θη. Πρὸς τοῦ; δι' ἔχθρας μῶν τις ἦν ἀφιγμένος,
Ὅτου κατῄσχυν' ἄλοχον, ὡς πατρός, βίᾳ;
Αγ. Οἰκεῖος αὐτὸν ὤλεσ' ἁρμάτων ὄχος,
Ἀραί τε τοῦ σοῦ στόματος, ἃς σὺ σῷ πατρὶ
Πόντου κρέοντι παιδὸς ἠράσω πέρι.
Θη. Ὦ θεοί, Πόσειδον, ὡς ἄρ' ἦσθ' ἐμὸς πατήρ,
Ὀρθῶς ἀκούσας τῶν ἐμῶν κατευγμάτων.
Πῶς καὶ διώλετ', εἰπέ, τῷ τρόπῳ Δίκης
Ἔπαισεν αὐτὸν ῥόπτρον αἰσχύναντά με;
Αγ. Ἡμεῖς μὲν ἀκτῆς κυμοδέγμονος πέλας
Ψήκτραισιν ἵππων ἐκτενίζομεν τρίχας,
Κλαίοντες. ἦλθε γάρ τις ἄγγελος λέγων,
Ὡς οὐκ ἔτ' ἐν γῇ τῇδ' ἀναστρέφοι πόδα
Ἱππόλυτος, ἐκ σοῦ τλήμονας φυγὰς ἔχων.
Ὁ δ' ἦλθε ταυτὸν δακρύων φέρων μέλος
Ἡμῖν ἐπ' ἀκτάς, μυρία δ' ὀπισθόπους
Φίλων ἅμ' ἔστειχ' ἡλίκων ὁμήγυρις.
Χρόνῳ δὲ δή ποτ' εἶπ', ἀπαλλαχθεὶς γόων,
Τί ταῦτ' ἀλύω; πειστέον πατρὸς λόγοις.
Ἐντύνεθ' ἵππους ἅρμασι ζυγηφόρους,
Δμῶες, πόλις γὰρ οὐκ ἔτ' ἔστιν ἥδε μοι.
Τοὐνθένδε μέντοι πᾶς ἀνὴρ ἠπείγετο·

Θησεῦ, μερίμνης) οἱ ἀρχαῖοι καὶ ἐξ ὀνόματος τοὺς δεσπότας ἐκάλουν. πολίταις δέ φησι τοῖς Θησέως τοῖς Ἀθηναίοις καὶ Τροιζηνίοις. τούτων γὰρ ἀμφοτέρων πολίτης ἐστίν, ἐκ μὲν πατρὸς Ἀθηναῖος, ἐκ δὲ μητρὸς Τροιζήνιος.

Καὶ γῆς τέρμονας) περὶ τὰ τέλη τῆς Τροιζῆνος, τοὺς ὅρους φησί. ἀστυγείτονας δὲ πόλεις τὰς δύο φησί, Τροιζῆνα καὶ Ἀθήνας. Πρὸς τοῦ) αὐτὸν διολέσαντος, μὴ ἄρα γυναῖκά τινος ἔφθειρεν, ὡς τὴν ἐμὴν ἠθέλησε φθεῖραι, καὶ φονεύει αὐτόν.

1168. Ἠράσω πέρι) περὶ αὐτοῦ τοῦ κτ. κτ. τοῦ σοῦ παιδός. Ὦ Πόσειδον) ὄντως ἦσθα, ὅτι ἐμὸς εἶ πατήρ.

Ῥόπτρον) ἡ ῥομφαία, ὅ ἐστιν εἶδος ξίφους. καὶ ὁ μέγα, καὶ τὸ δίκαιος ἐστι. Ἄλλως. Πλῆγμα, κυρίως δὲ ῥόπτρον τὸ τῆς δίκης ῥόπαλον, ἀπὸ τοῦ ῥαπίζω. Κυμοδέγμονος) ἡμεῖς μὲν ἐν αἰγιαλῷ τῷ δεχομένῳ τὰ κύματα ἐφιλοκαλοῦμεν τοὺς ἵππους, κλαίοντες ἐπὶ τῇ φήμῃ τῆς ἐξορίας τοῦ Ἱππολύτου. Ψήκτραισιν) ἀπὸ τοῦ καταψήχειν ὀνομάσθη ψήκτρα. Ὡς οὐκ ἔτ' ἐν γῇ) ὅτι ὁ Ἱππόλυτος φεύγει τὴν ἰδίαν γῆν καὶ πόλιν. 1178. Ταυτὸ δακρύων) τὸν αὐτὸν στεναγμόν. Μυρία δ' ὀπισθόπους) ἀντὶ τοῦ πολλὴ παραπομπή, πολλὴ ἄθροισις, ὄπισθεν ἀκολουθοῦσα τοῦ Ἱππολύτου. Τί ταῦτ' ἀλύω) διατί δυσφορῶ, διατί ἀδημονῶ καὶ θρηνῶ; οὐκ ἐγχωρεῖ μὴ πεισθῆναί με τοῖς λόγοις τοῦ πατρός μου, καὶ ἀναχωρῆσαι ἐκ ταύτης τῆς γῆς;

Semichorus.

Atqui miniſtrum hunc Hippolyti video,
Celeriter triſtem tendentem ad domum.
Nun. Quò vadens dominum hujus terræ Theſeum
Inveniam, ô mulieres? ſi noviſtis, mihi
Significate. Nunquid intra hanc domum?
Sem. Ille ipſe egreditur ex ædibus.
Nun. Theſeu, affero rem dignam conſideratione *curaque*,
Tibi, & civibus, qui urbem Athenienſium
Habitant, & fines terræ Trœzeniæ.
The. Quidnam eſt? an nova aliqua calamitas
Duas vicinas urbes invaſit?
Nun. Hippolytus non ampliùs eſt, *obiit*, ut ſummatim dicam.
Exiguo tamen temporis momento videt hanc lucem *adhuc*.
The. A quo *caſus obiit?* Num aliquis invaſit *eum* hoſtiliter,
Cujus conjugem per vim, ut patris, fœde ſtupràrit?
Nun. Jugum proprii currûs perdidit eum,
Et imprecationes oris tui, quas tu patri tuo
Domino maris voviſti de tuo filio.
The. O dii, ô Neptune, quàm verè es pater meus,
Quia rectè audiviſti meas imprecationes.
Quomodo etiam periit, dic: quo modo Juſtitiæ
Clava percuſſit eum, qui me dedecore affecit?
Nun. Nos quidem juxta littus, quod alluitur fluctibus,
Strigilibus equorum pectebamus crines,
Plorantes. Nam venit nuncius quidam, dicens
Quòd non amplius in hâc terrâ verſurus eſſet pedem
Hippolytus, habens à te mandatum miſeri exilii.
Ipſe autem venit ferens idem carmen lacrymarum
Nobis ad littus: maximus autem à tergo ſequens
Cœtus amicorum æqualium ſimul ibat.
Tandem verò dixit, ſedatis luctibus,
Quid iſta deploro? obtemperandum eſt verbis patris.
Jungite equos ferentes juga curribus
Servi; non enim ampliùs eſt mihi hæc civitas.
Indè tamen omnes feſtinabant,

ANNOTATIONES.

V. 1153. Θησέα) Idem de hoc dicimus, quòd de Ὀρφέα ſuprà ad v. 953. Vel τὸ α producendum ante μολών.

V. 1159. Καὶ γῆς τέρμονας) τέρμων pro τέρμα haud rarò *Euripidi* uſurpatur. Vide ad *Phœniſſ.* v. 1361.

V. 1162. Ἱππόλυτος οὐκ ἔτ' ἔστι) Vide ſuprà ad hujus Fabulæ v. 357.

V. 1167. Ἀραί τε τοῦ σοῦ [illegible]) Huc refer illud *Philoſtrati Iconum* l. 2 titulo *Hippolytus*, Τὸ μὲν θηρίον, ἀρὰ Θησέως ἐμπίπτουσα τοῖς Ἱππολύτου ἵπποις, ἐν εἴδει ταύρου λευκοῦ &c. ubi graphice depingitur hæc Fabula. *Joſua Barnes.*

V. 1172. Δίκης ῥόπτρον) Hæc Phraſis eſt *Euripidæa*, de quâ *Euſtath.* fol. 381. lin. 22. fol. 501. lin. 19.

V. 1173. Κυμοδέγμονος) Hoc verbum non regularitèr componitur; ratio enim compoſitionis veræ fit ex Genitivo creſcentium, & rectius ſcriberetur κυματοδέγμονος. Sed hæc Regula non Religiosè ſatis à *Scenicis* Poetis obſervatur, nam & μεταιχμιος pro μεταιχματος ab *Euripide* uſurpatur *Alceſt.* v. 92. & κυματορρέος pro κυματορρέος legitur apud *Heſychium*; & αἱματοσταγὴς *Euripid.* in *Theſeo* pro αἱματοσταγής. & pauca alia ejuſmodi; quæ tamen ſunt vitanda, ut minus authentica. Sic αἱματίας & αἱμάτιος & δαιμος pro δαίμων *Herc. Fur.* v. 698. Et hinc lapſus eſt Vir illuſtris *Anglus Henricus Spelman*, qui librum quendam ex ſuis Ἀσπιλογίαν nominavit, quum Ἀσπιδολογία erat vocandus, is liber de Armorum Inſignibus tractat. Sed hæc obitèr.

V. 1178. Ταυτὸν) *Scholiaſt.* legit ταυτὸ, utrumque ſtabit, ſed poſterius metro magis blanditur.

Καὶ

Καὶ θᾶσσον, ἢ λέγοι τις, ἐξηρτυμένας
Πώλους παρ' αὐτὸν δεσπότην ἐστήσαμεν.
Μάρπτει δὲ χερσὶν ἡνίας ἀπ' ἄντυγος,
Αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδα.
Καὶ πρῶτα μὲν θεοῖς εἶπ' ἀναπτύξας χέρας,
Ζεῦ, μηκέτ' εἴην, εἰ κακὸς πέφυκ' ἀνήρ.
Αἴσθοιτο δ', ἡμᾶς ὡς ἀτιμάζει, πατὴρ,
Ἤτοι θανόντας, ἢ φάος δεδορκότας.
Κἀν τῷδ' ἐπῆγε κέντρον εἰς χεῖρας λαβὼν
Πώλοις ὁμαρτῇ. πρόσπολοι δ' ὑφ' ἅρματος
Πέλας χαλινῶν εἱπόμεσθα δεσπότῃ,
Τὴν * εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν.
Ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν,
Ἀκτή τις ἐστὶ τοὐπέκεινα τῆσδε γῆς,
Πρὸς πόντον ἤδη κειμένη Σαρωνικόν.
Ἔνθεν τις ἠχὼ χθόνιος, ὡς φωνὴ Διὸς,
Βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν·
Ὀρθὸν τε κρᾶτ' ἔστησαν, οὖς τ' εἰς οὐρανὸν
Ἵπποι· παρ' ἡμῖν δ' ἦν φόβος νεανικὸς,
Πόθεν ποτ' εἴη φθόγγος. εἰς δ' ἁλιρρόθους
Ἀκτὰς ἀποβλέψαντες, ἱερὸν εἴδομεν
Κῦμ' οὐρανῷ στηρίζον, ὥστ' ἀφῃρέθη
Σκείρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰσορᾶν·
Ἔκρυπτε δ' Ἰσθμὸν, καὶ πέτραν Ἀσκληπιοῦ.
Κἄπειτ' ἀνοιδῆσάν τε καὶ πέριξ ἀφρὸν
Πολὺν καχλάζον ποντίῳ φυσήματι
Χωρεῖ πρὸς ἀκτὰς, οὗ τέθριππος ἦν ὄχος.
Αὐτῷ δὲ σὺν κλύδωνι, καὶ τρικυμίᾳ,
Κῦμ' ἐξέθηκε ταῦρον, ἄγριον τέρας·
Οὗ πᾶσα μὲν χθὼν φθέγματος πληρουμένη,
Φρικῶδες ἀντεφθέγγετ'. εἰσορῶσι δὲ
Κρεῖσσον θέαμα δεργμάτων ἐφαίνετο.
Εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος.
Καὶ δεσπότης μὲν ἱππικοῖς ἐν ἤθεσι
Πολὺς ξυνοικῶν, ἥρπασ' ἡνίας χεροῖν·
Ἕλκει δὲ, κώπην ὥστε ναυβάτης ἀνὴρ,

* Εὐθὺς ultimâ brevi ter *Homero*.

Et dicto citius apparatos
Equos ad dominum ipſum ſtitimus.
Apprehendit verò manibus habenas à ſede currûs,
Ipſis ocreis ornatus pedem.
Et primum quidem diis dixit paſſis manibus,
Jupiter, peream, ſi malus ſum vir!
Sentiat autem pater, quomodo nos ignominioſe tractet,
Vel mortuos, vel lucem intuentes, *i. e. vivos.*
Deinde accipiens ſtimulum in manus, admovit
Equis ſimul. Nos verò miniſtri pone currum
Prope frena ſequebamur dominum,
Illâ viâ, quæ fert rectâ ad Argos & Epidaurum.
Sed poſtquam intravimus in locum deſertum,
Eſt quoddam littus è regione hujus terræ,
Situm jam ad mare Saronicum.
Inde quidam ſonitus ex terrâ, ſicut vox Jovis,
Emiſit vehementem fremitum, horribilem auditu:
Caput autem ſtatuerunt erectum, & aures in cœlum
Equi. Erat verò in nobis metus juvenilis,
Undenam eſſet ſonitus: ſed in marinum
Littus intuentes, vidimus ingentem
Fluctum cœlo hærentem, *i. e. valde ſublimem*, ut adimeretur
Meis oculis proſpectus littoris Scironii:
Texit autem Iſthmum, & petram Æſculapii.
Deinde verò intumeſcens, & undique ſpumam
Plurimam effundens-cum-ſonitu, marino æſtu,
Venit ad littus, ubi erant quadrigæ:
Et cum ipsâ procellâ, & gravi tempeſtate,
Fluctus ille expoſuit *bovem* Taurum, ferum monſtrum.
Cujus ſonitu terra omnis plena
Horribilitèr reſonabat. Intuentibus autem
Hoc ſpectaculum apparebat majus aſpectu *noſtro*.
Statim autem equos gravis invaſit metus,
Et dominus quidem in re equeſtri
Multùm verſatus, corripuit manibus habenas,
Traxit autem (ut remum vir nauticus)

Ἐξηρτυμένας) ἀπηρτισμένας, ἀντὶ τοῦ ταχέως, ἅμα τοῖς λόγοις καὶ περὶ τοῦ πληρῶσαι αὐτὸν τὸν λόγον, παρεστήσαμεν αὐτῷ τὸ ἅρμα. Μάρπτει δὲ χερσὶν) εἰώθασιν οἱ ἁρματηλάται περιάπτειν τὰ λῶρα τῇ ἄντυγι, ὅταν δοκοῖεν οἱ ἵπποι ὑπό τινος ἄγχεσθαι, ὡς ὁ ποιητὴς, ἐξ ἄντυγος ἡνία τείνας. Ἄλλως. Λαμβάνει τοὺς χαλινοὺς ἐν ταῖς χερσὶ, καὶ κρατεῖ ἐκ τοῦ ἅρματος. Αὐταῖσιν ἀρβύλαισιν) ταῖς τοῦ ἅρματος περὶ τὴν ἄντυγα, ἔνθα τὴν στάσιν ἔχει ὁ ἡνίοχος. Καὶ πρῶτα μὲν) ἀντὶ τοῦ ηὔξατο τοῖς θεοῖς τὰς χεῖρας ἀνατείνας. Αἴσθοιτο δ' ἡμᾶς) μάθοι ὁ πατὴρ ὅπως ἀτιμάζει με, ἐνικὸν πληθυντικὸν ἐπήγαγεν, διὸ τὸ χ'. 1200. Κειμένη Σαρωνικὸν) Σαρωνικὸς κόλπος ἐστὶ πρὸς τῇ Κορίνθῳ, ἱερὸς Ἀρτέμιδος, ἐν ᾧ φασὶ τὴν Σκύλλαν ὑπὸ Μίνωος ἑλκυσθῆναι. ὄνομα οὖν ἐστι πελάγους, ὀνομασθὲν ἀπό τινος Σάρωνος κυνηγοῦ. οὗτος διώκων ἔλαφον ἐμάνη, καὶ ἡ ἔλαφος διωκομένη ἔρριψεν ἑαυτὴν εἰς τὸ πέλαγος, καὶ αὐτὸς δὲ τῇ μανίᾳ φερόμενος ἔρριψεν ἑαυτὸν εἰς τὸ πέλαγος, καὶ ἀπεπνίγη. ἄλλοι δὲ φασὶν, ὅτι διὰ τῆς Σκύλλης τῆς θυγατρὸς Νίσου τοῦ ἀδελφοῦ Αἰγέως καὶ Πάλλαντος. οὗτος γὰρ ᾤκησεν εἰς Μέγαρα, ἐάσας τοὺς ἀδελφοὺς αὐτοῦ μαχομένους περὶ βασιλείας. καὶ ἦν ὁ Νῖσος, ὃς εἶχε χρυσοῦν πλόκαμον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. ὁ οὖν Μίνως στρατοπεδεύσας κατ' αὐτοῦ, οὐκ ἠδυνήθη παραλαβεῖν, ἕως οὗ εἶχε τὸν χρυσοῦν πλόκαμον. ἡ δὲ θυγάτηρ αὐτοῦ Σκύλλα θεωρήσασα τὸν Μίνωα, ἐφίλησεν αὐτὸν, καὶ συνετάξατο αὐτῷ προδοῦναι τὴν πόλιν, εἰ λάβοι αὐτὴν γυναῖκα. ὁ δὲ συνέθετο καὶ παραφυλαξαμένη τέμνει τοῦ τεκόντος τὸν πλόκαμον, καὶ τὴν πόλιν παρέλαβε, καὶ μετὰ τὸ παραλαβεῖν ἔλαβεν αὐτὴν ἐπάνω τοῦ πλοίου, καὶ ἔδησεν αὐτὴν εἰς τὸ πλοῖον, καὶ ἔμεινε συρομένη ἐν τῇ θαλάσσῃ. καὶ διὰ τοῦτο ἐκλήθη τὸ πέλαγος Σαρωνικόν. βαπτισθεῖσα δὲ ἐν τῇ θαλάσσῃ, καὶ θηρίον γενομένη, τὴν ἰδίαν φύσιν ὅλως μετέβαλεν. 1206. Ἀκτὰς ἀποβλέψαντες) εἰς δὲ τὰς πέτρας τὰς ὑπὸ τῶν κυμάτων κλυζομένας, ἐθεωρήσαμεν τὸ κῦμα μέχρι τοῦ οὐρανοῦ ἀνερχόμενον, καὶ τοσοῦτον ὑψηλὸν, ὥστε μηκέτι καθορᾶν ἡμᾶς τὸ ὄρος τοῦ Σκείρωνος. ἐκ τοῦ ὕψους φησὶ τοῦ κύματος οὐκ ἔτι ἑώρων τὴν Σκειρωνίδα ἀκτήν. Κἄπειτ' ἀνοιδῆσάν τε) τὸ κῦμα εἰς ὕψος ἡρμένον. ἰσθμὸν δὲ, τὴν στενὴν γῆν, τὴν κυκλουμένην ὑπὸ τῶν ὑδάτων, καὶ τέθριππος ὄχος, τὸ ὄχημα τὸ ἐκ δ' ἵππων ἐζευγμένον, τοῦ Ἱππολύτου δηλονότι. 1219. Καὶ δεσπότης μὲν) ἤθεσι τῆς μελέτης καὶ τῆς ἐμπειρίας συνήθειαν πολλὴν ἔχων ἐν τῷ ἱππεύειν. Ἄλλως. Καὶ ὁ μὲν Ἱππόλυτος διὰ τὸ μὴ θορυβηθῆναι τοὺς ἵππους αὐτοῦ, ἐπέσπασεν αὐτοῖς, καὶ ἔσφιγγε τοὺς χαλινούς. 1221. Ἕλκει δὲ) τὸ ἑξῆς, ἕλκει δὲ ἱμᾶσι. κώπην δὲ τὴν μάστιγα νῦν λέγει. ἕλκει δὲ εἰς τοὔπισθεν, ἱμᾶσιν ἀρτήσας δέμας, ὡς ναύτης κώπην ἕλκει εἰς τοὔπισθεν. Ἄλλως. ὥσπερ δὲ ναύτης ζάλης οὔσης κρατεῖ τὸ πηδάλιον, καὶ σώζει τὴν ναῦν, οὕτω καὶ ὁ Ἱππόλυτος τὰ λῶρα ἐκράτει.

ANNOTATIONES.

V. 1192. Αἴσθοιτο δ' ἡμᾶς) Hunc Verſum *Scholiaſtes* dicit literâ χ notatum; διὸ τὸ χ. Ideo χ, affigitur huic Verſui, hoc eſt, improbatur à Grammaticis, quòd Numeri fiat hic mutatio. *Athenienſes* enim, quando bellum contra *Chios* gerebant, adeò illorum odio arſerunt, ut adulteri nos nummos & quicquid improbarent, literâ χ notarent, contemptûs causâ. Inde χιάζω *decuſſare*, & χιασμὸς *decuſſatio*. *Euripidis* Scholiaſtes [illegible] *Medea*. v. 1345. Ἐξ αἰσχροῦ) ὅτι δοκεῖ τὸν στίχον τοῦτον εἶναι Εὐριπίδου ἐκβεβλῆσθαι, διὸ καὶ κεχίασται. *Joſua Barnes.*

V. 1201. Ἠχὼ χθόνιος) βρόμος τις ὑπὸ χθονὸς ἀνελθὼν, ἢ μέγας καὶ δεινὸς, καὶ σὺν πολλῷ θορύβῳ σεισμός. Vid. Notas ad *Helen*. v. 1362. *Joſua Barnes.*

V. 1208. Σκείρωνος ἀκτὰς) Vid. ſupra v. 979. & de eo *Scholiaſt.*

V. 1210. Ἀφρὸν) *Iambus* in hoc loco. Vid. *Phœniſſ.* v. 19.

illius Patrona ſolatur, vindictam illi ex inimicis & Divinos honores pollicita; monſtratque illum non Patris Culpâ, ſed Veneris *machinis periiſſe. Quare* Hippolytus *jam expirans Patri dat veniam. Exitus Fabulæ luctu & miſeratione plenus.*

ΑΓΓΕΛΟΣ ΘΗΣΕΥΣ, ΑΡΤΕΜΙΣ, ΙΠΠΟΛΥΤΟΣ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Ημ. Καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ
Σπουδῇ σκυθρωπὸν πρὸς δόμους ὁρμώμενον.
Αγ. Ποῖ γῆς ἄνακτα τῆσδε Θησέα μολὼν
Εὕροιμ' ἄν, ὦ γυναῖκες; εἴπερ ἴστε, μοι
Σημήνατ'. ἆρα τῶνδε δωμάτων ἔσω;
Ημ. Ὅδ' αὐτὸς ἔξω δωμάτων πορεύεται.
Αγ. Θησεῦ, μερίμνης ἄξιον φέρω λόγον
Σοί, καὶ πολίταις, οἵτ' Ἀθηναίων πόλιν
Ναίουσι, καὶ γῆς τέρμονας Τροιζηνίας.
Θη. Τί δ' ἐστί; μή τις συμφορὰ νεωτέρα
Διοσσὰς κατείληφ' ἀστυγείτονας πόλεις;
Αγ. Ἱππόλυτος οὐκ ἔτ' ἐστὶν, ὡς εἰπεῖν ἔπος·
Δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.
Θη. Πρὸς τοῦ; δι' ἔχθρας μῶν τις ἦν ἀφιγμένος,
Ὅτου κατῄσχυν' ἄλοχον, ὡς πατρός, βίᾳ;
Αγ. Οἰκεῖος αὐτὸν ὤλεσ' ἁρμάτων ὄχος,
Ἀραί τε τοῦ σοῦ στόματος, ἃς σὺ σῷ πατρὶ
Πόντου κρέοντι παιδὸς ἠράσω πέρι.
Θη. Ὦ θεοί, Πόσειδον, ὡς ἄρ' ἦσθ' ἐμὸς πατὴρ,
Ὀρθῶς ἀκούσας τῶν ἐμῶν κατευγμάτων.
Πῶς καὶ διώλετ', εἰπέ. τῷ τρόπῳ Δίκης
Ἔπαισεν αὐτὸν ῥόπτρον αἰσχύναντά με;
Αγ. Ἡμεῖς μὲν ἀκτῆς κυμοδέγμονος πέλας
Ψήκτραισιν ἵππων ἐκτενίζομεν τρίχας,
Κλαίοντες. ἦλθε γάρ τις ἄγγελος λέγων,
Ὡς οὐκ ἔτ' ἐν γῇ τῇδ' ἀναστρέφοι πόδα
Ἱππόλυτος, ἐκ σοῦ τλήμονας φυγὰς ἔχων.
Ὁ δ' ἦλθε ταὐτὸν δακρύων φέρων μέλος
Ἡμῖν ἐπ' ἀκτάς, μυρία δ' ὀπισθόπους
Φίλων ἅμ' ἔστειχ' ἡλίκων ὁμήγυρις.
Χρόνῳ δὲ δή ποτ' εἶπ', ἀπαλλαχθεὶς γόων,
Τί ταῦτ' ἀλύω; πειστέον πατρὸς λόγοις.
Ἐντύνεθ' ἵππους ἅρμασι ζυγηφόρους,
Δμῶες, πόλις γὰρ οὐκ ἔτ' ἔστιν ἥδε μοι.
Τοὐνθένδε μέντοι πᾶς ἀνὴρ ἠπείγετο·

Semichorus.

Atqui miniſtrum hunc Hippolyti video,
Celeriter triſtem tendentem ad domum.
Nun. Quò vadens dominum hujus terræ Theſeum
Inveniam, ô mulieres? ſi noviſtis, mihi
Significate. Nunquid intra hanc domum?
Sem. Ille ipſe egreditur ex ædibus.
Nun. Theſeu, affero rem dignam conſideratione *utraque*,
Tibi, & civibus, qui urbem Athenienſium
Habitant, & fines terræ Trœzeniæ.
The. Quidnam eſt? an nova aliqua calamitas
Duas vicinas urbes invaſit?
Nun. Hippolytus non ampliùs *eſt*, *obiit*, ut ſummatim dicam.
Exiguo tamen temporis momento videt hanc lucem *adhuc*.
The. A quo *caſus obiit*? Num aliquis invaſit eum hoſtiliter,
Cujus conjugem per vim, ut patris, fœdè ſtupràrit?
Nun. Jugum proprii currûs perdidit eum,
Et imprecationes oris tui, quas tu patri tuo
Domino maris voviſti de tuo filio.
The. O dii, ô Neptune, quàm verè es pater meus,
Quia rectè audiviſti meas imprecationes.
Quomodo etiam perierit, dic: quo modo Juſtitiæ
Clava percuſſit eum, qui me dedecore affecit?
Nun. Nos quidem juxta littus, quod alluitur fluctibus,
Strigilibus equorum pectebamus crines,
Plorantes. Nam venit nuncius quidam, dicens
Quòd non amplius in hâc terrâ verſurus eſſet pedem
Hippolytus, habens à te mandatum miſeri exilii.
Ipſe autem venit ferens idem carmen lacrymarum
Nobis ad littus: maximus autem à tergo ſequens
Cœtus amicorum æqualium ſimul ibat.
Tandem verò dixit, ſedatis luctibus.
Quid iſta deploro? obtemperandum eſt verbis patris.
Jungite equos ferentes juga curribus
Servi; non enim ampliùs eſt mihi hæc civitas.
Inde tamen omnes feſtinabant,

Θησεῦ, μερίμνης) οἱ ἀρχαῖοι καὶ ἐξ ὀνόματος τοὺς δεσπότας ἐκάλουν. πολίταις δέ φησι τοῖς Θησέως τοὺς Ἀθηναίους καὶ Τροιζηνίους. τούτων γὰρ ἀμφοτέρων πολίτης ἐστὶν, ἐκ μὲν πατρὸς Ἀθηναίων, ἐκ δὲ μητρὸς Τροιζηνίων. Καὶ γῆς τέρμονας) περὶ τὰ τέλη τῆς Τροιζῆνος, τοὺς ὅρους φησί. ἀστυγείτονας δὲ πόλεις τὰς δύο φησί, Τροιζῆνα καὶ Ἀθήνας. Πρὸς τοῦ) αὐτῷ διηλογίσατο μὴ ἄρα γυναικός τινος ἐρασθεὶς, ὡς τὴν ἐμὴν ᾔσχυνεν, φονεύει αὐτόν. 1168. Ἠράσω περὶ) ἀντὶ τοῦ κατ', κατὰ τοῦ σοῦ παιδός. Ὦ Πόσειδον) ὄντως ἔμαθον, ὅτι ἐμὸς εἶ πατήρ. Ῥόπτρον) ἡ ῥομφαία, ὅ ἐστιν εἶδος ξίφους. καὶ ἡ πληγή, καὶ τὸ [illegible]. Ἄλλως. Πλῆγμα, κυρίως δὲ ῥόπτρον τὸ τῆς δίκης ῥόπαλον, ἀπὸ τοῦ ῥαπίζω. Κυμοδέγμονος) ἡμεῖς μὲν ἐν αἰγιαλῷ τῷ δεχομένῳ τὰ κύματα ἐφιλοκαλοῦμεν τοὺς ἵππους, κλαίοντες ἐπὶ τῇ φήμῃ τῆς ἐξορίας τοῦ Ἱππολύτου. Ψήκτραισιν) ἀπὸ τοῦ καταψήχειν ὀνομάζεται ψήκτρα. Ὡς οὐκ ἔτ' ἐν γῇ) ὅτι ὁ Ἱππόλυτος φεύγει τὴν ἰδίαν γῆν καὶ πόλιν. 1178. Ταὐτὸ δακρύων) τὸν αὐτὸν στεναγμόν. Μυρία δ' ὀπισθόπους) ἀντὶ τοῦ πολλὴ προπομπὴ, πολλὴ ἄθροισις, ὄπισθεν ἀκολουθοῦσα τοῦ Ἱππολύτου. Τί ταῦτ' ἀλύω) διατί δυσφορῶ, διατί ἀδημονῶ καὶ θρηνῶ; οὐκ ἐγχωρεῖ μὴ πεισθῆναί με τοῖς λόγοις τοῦ πατρός μου, καὶ ἀναχωρῆσαι ἐκ ταύτης τῆς γῆς;

ANNOTATIONES.

V. 1153. Θησέα) Idem de hoc dicimus, quòd de Ὀρφέα ſuprà ad v. 953. Vel τὸ α producendum ante μολὼν.

V. 1159. Καὶ γῆς τέρμονας) τέρμων pro τέρμα haud rarò *Euripidi* uſurpatur. Vide ad *Phœniſſ.* v. 1361.

V. 1162. Ἱππόλυτος οὐκ ἔτ' ἐστὶν) Vide ſuprà ad hujus Fabulæ v. 357.

V. 1167. Ἀραί τε τοῦ σοῦ στόματος) Hoc refer illud *Philoſtrati* [illegible] l. 2 titulo *Hippolytus*, Τὸ μὲν θηρίον, ἀρὰ Θησέως [illegible] τοῖς Ἱππολύτου ἵπποις, ἐν εἴδει ταύρου [illegible] &c. ubi graphice depingitur hæc Fabula. *Joſua Barnes.*

V. 1172. Δίκης ῥόπτρον) Hæc Phraſis eſt *Euripidæa*, de quâ *Euſtath.* fol. 381. lin. 22. fol. 501. lin. 19.

V. 1173. Κυμοδέγμονος) Hoc verbum non regulariter componitur; ratio enim compoſitionis veræ fit ex Genitivo creſcentium, & rectiùs ſcriberetur κυματοδέγμονος. Sed hæc Regula non Religiosè ſatis à *Scenicis* Poetis obſervatur, nam & [illegible] pro [illegible] ab *Euripide* uſurpatur *Alceſt.* v. 92. & [illegible] pro [illegible] legitur apud *Heſychium*; & [illegible] *Euripid.* in *Theſeo* pro [illegible]. & pauca alia ejuſmodi; quæ tamen ſunt vitanda, ut minus authentica. Sic [illegible] & [illegible] & [illegible] pro [illegible] *Herc. Fur.* v. 698. Et hinc lapſus eſt Vir illuſtris *Anglus Henricus Spelman*, qui librum quendam ex ſuis Ἀσπιλογίας nominavit, quum Ἀσπιδολογία erat vocandus, is liber de Armorum Inſignibus tractat. Sed hæc obiter.

V. 1178. Ταὐτὸν) *Scholiaſt.* legit ταυτὸ, utrumque ſtabit, ſed poſterius metro magis blanditur.

Καὶ

Καὶ θᾶσσον, ἢ λέγοι τις, ἐξηρτυμένας
Πώλους πρὸς αὐτὸν δεσπότην ἐστήσαμεν.
Μάρπτει δὲ χερσὶν ἡνίας ἀπ' ἄντυγος,
Αὐταῖσιν ἀρβύλησιν ἁρμόσας πόδα.
Καὶ πρῶτα μὲν θεοῖς εἶπ' ἀναπτύξας χέρας,
Ζεῦ, μηκέτ' εἴην, εἰ κακὸς πέφυκ' ἀνήρ.
Αἴσθοιτο δ', ἡμᾶς ὡς ἀτιμάζει, πατὴρ,
Ἤτοι θανόντας, ἢ φάος δεδορκότας.
Κἀν τῷδ' ἐπῆγε κέντρον εἰς χεῖρας λαβὼν
Πώλοις ὁμαρτῇ. πρόσπολοι δ' ὑφ' ἅρματος
Πέλας χαλινῶν εἱπόμεσθα δεσπότῃ,
Τὴν * εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν.
Ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν,
Ἀκτή τις ἐστὶ τοὐπέκεινα τῆσδε γῆς,
Πρὸς Πόντον ἤδη κειμένη Σαρωνικόν.
Ἔνθεν τις ἠχὼ χθόνιος, ὡς φωνὴ Διός,
Βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν·
Ὀρθὸν δὲ κρᾶτ' ἔστησαν, οὖς τ' εἰς οὐρανὸν
Ἵπποι· παρ' ἡμῖν δ' ἦν φόβος νεανικὸς,
Πόθεν ποτ' εἴη φθόγγος. εἰς δ' ἁλιρρόθους
Ἀκτὰς ἀποβλέψαντες, ἱερὸν εἴδομεν
Κῦμ' οὐρανῷ στηρίζον, ὥστ' ἀφῃρέθη
Σκείρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰσορᾶν·
Ἔκρυπτε δ' Ἰσθμὸν, καὶ πέτραν Ἀσκληπιοῦ.
Κἄπειτ' ἀνοιδῆσάν τε καὶ πέριξ ἀφρὸν
Πολὺν καχλάζον ποντίῳ φυσήματι
Χωρεῖ πρὸς ἀκτάς, οὗ τέθριππος ἦν ὄχος.
Αὐτῷ δὲ σὺν κλύδωνι, καὶ τρικυμίᾳ,
Κῦμ' ἐξέθηκε ταῦρον, ἄγριον τέρας·
Οὗ πᾶσα μὲν χθὼν φθέγματος πληρουμένη,
Φρικῶδες ἀντεφθέγγετ'. εἰσορῶσι δὲ
Κρεῖσσον θέαμα δεργμάτων ἐφαίνετο.
Εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος.
Καὶ δεσπότης μὲν ἱππικοῖς ἐν ἤθεσι
Πολὺς ξυνοικῶν, ἥρπασ' ἡνίας χεροῖν·
Ἕλκει δὲ, κώπην ὥστε ναυβάτης ἀνήρ,

* Εὐθὺς ultimâ brevi ter Homero.

Et dicto citiùs apparatos
Equos ad dominum ipſum ſtitimus.
Apprehendit verò manibus habenas à ſede currûs,
Ipſis ocreis ornatus pedem.
Et primum quidem diis dixit paſſis manibus,
Jupiter, peream, ſi malus ſum vir!
Sentiat autem pater, quomodo nos ignominioſe tractet,
Vel mortuos, vel lucem intuentes, *i. e. vivos*.
Deinde accipiens ſtimulum in manus, admovit
Equis ſimul. Nos verò miniſtri pone currum
Prope frena ſequebamur dominum,
Illâ viâ, quæ fert rectâ ad Argos & Epidaurum.
Sed poſtquam intravimus in locum deſertum,
Eſt quoddam littus è regione hujus terræ,
Situm jam ad mare Saronicum.
Inde quidam ſonitus ex terra, ſicut vox Jovis,
Emiſit vehementem tremitum horribilem auditu:
Caput autem ſtatuerunt erectum, & aurem in cœlum
Equi. Erat verò, in nobis metus juvenilis,
Undenam eſſet ſonitus: ſed in marinum
Littus intuentes, vidimus ingentem
Fluctum cœlo hærentem, *i. e. valde ſublimem*, ut adimeretur
Meis oculis proſpectus littoris Scironis:
Texit autem Iſthmum, & petram Æſculapii.
Deinde verò intumeſcens, & undique ſpumam
Plurimam effundens-cum-ſonitu, marino æſtu,
Venit ad littus, ubi erant quadrigæ:
Et cum ipſâ procellâ, & gravi tempeſtate,
Fluctus ille expoſuit *bovem* Taurum, ferum monſtrum,
Cujus ſonitu terra omnis plena
Horribiliter reſonabat. Intuentibus autem
Hoc ſpectaculum apparebat majus aſpectu *noſtro*.
Statim autem equos gravis invaſit metus.
Et dominus quidem in re equeſtri
Multùm verſatus, corripuit manibus habenas,
Traxit autem (ut remum vir nauticus)

Ἐξηρτυμένας) ὡπλισμένας, ἀντὶ τοῦ ταχέως, ἅμα τοῖς λόγοις καὶ πρὸ τοῦ πληρῶσαι αὐτὸν τὸν λόγον, παρεστήσαμεν αὐτῷ τὸ ἅρμα. Μάρπτει δὲ χερσίν) ὑποδήσειν ὡς ἁρματηλάτης ὑποδήματα τὰ λῶρα τῇ ἄντυγι, ὅπως δοκοῖεν οἱ ἵπποι ὑπό τινος ἄγχεσθαι. ὡς ὁ ποιητής, ἐξ ἄντυγος ἡνία τείνας. Ἄλλως. Λαμβάνει τοὺς χαλινοὺς ἐν ταῖς χερσὶ, καὶ κρατεῖ ἐκ τοῦ ἅρματος. Αὐταῖσιν ἀρβύλησιν) ταῖς τοῦ ἅρματος περὶ τὴν ἄντυγα, ἔνθα τὴν στάσιν ἔχει ὁ ἡνίοχος. Καὶ πρῶτα μέν) ἀντὶ τοῦ ηὔξατο τοῖς θεοῖς τὰς χεῖρας ἀνατείνας. Αἴσθοιτο δ' ἡμᾶς) μάθοι ὁ πατὴρ ὅτι ἀτιμάζει με, ἐνικῷ πληθυντικὸν ἐπήγαγεν, διὸ τὸ χ'. 1200. Κειμένη Σαρωνικόν) Σαρωνικὸς κόλπος ἐστὶ πρὸς τῇ Κορίνθῳ, ἱερὸς Ἀρτέμιδος, ἐν ᾧ φασὶ τὴν Σκύλλαν ὑπὸ Μίνωος ἐλκυσθῆναι. ὄνομα οὖν ἐστὶ πελάγους, ὀνομασθὲν ἀπό τινος Σάρωνος κυνηγοῦ. οὗτος διώκων ἔλαφον ἐμάνη, καὶ ὁ ἔλαφος διωκομένη ἔρριψεν ἑαυτὴν εἰς τὸ πέλαγος, καὶ αὐτὸς δὲ τῇ μανίᾳ φερόμενος ἔρριψεν ἑαυτὸν εἰς τὸ πέλαγος, καὶ ἀπεπνίγη. ἄλλοι δὲ φασὶν, ὅτι ἐκ τῆς Σκύλλης τῆς θυγατρὸς Νίσου τοῦ ἀδελφοῦ Αἰγέως καὶ Πάλλαντος. οὗτος γὰρ ᾤκησεν εἰς Μέγαρα, ἐάσας τοὺς ἀδελφοὺς αὐτοῦ μαχομένους περὶ βασιλείας. καὶ ἦν ὁ Νῖσος, ὃς εἶχε χρυσοῦν πλόκαμον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. ὁ οὖν Μίνως στρατευσάμενος κατ' αὐτοῦ, οὐκ ἠδυνήθη παραλαβεῖν, ἕως οὗ εἶχε τὸν χρυσοῦν πλόκαμον. ἡ δὲ θυγάτηρ αὐτοῦ Σκύλλα θεασαμένη τὸν Μίνωα, ἐφίλησεν αὐτὸν, καὶ συνετάξατο αὐτῷ προδοῦναι τὴν πόλιν, εἰ λάβοι αὐτὴν γυναῖκα. ὁ δὲ συνέθετο καὶ παραγινομένη τέμνει τοῦ τεκόντος τὸν πλόκαμον, καὶ τὴν πόλιν παρέλαβε, καὶ μετὰ τὸ παραλαβεῖν ἔλαβεν αὐτὴν ἐπάνω τοῦ πλοίου, καὶ ἔδησεν αὐτὴν εἰς τὸ πλοῖον, καὶ ἔμεινε συρομένη ἐν τῇ θαλάσσῃ. καὶ διὰ τοῦτο ἐκλήθη τὸ πέλαγος Σαρωνικόν. ἐκπεσοῦσα δὲ ἐν τῇ θαλάσσῃ, καὶ θεῖον γενομένη, τὴν ἰδίαν φύσιν οὐδαμῶς μετέβαλεν. 1206. Ἀκτὰς ἀποβλέψαντες) εἰς δὲ τὰς πέτρας τὰς ὑπὸ τῶν κυμάτων κλυζομένας, ἐθεωρήσαμεν τὸ κῦμα μέχρι τοῦ οὐρανοῦ ἀνερχόμενον, καὶ τοσοῦτον ὑψηλὸν, ὥστε μηκέτι καθορᾶν ἡμᾶς τὸ ὄρος τοῦ Σκείρωνος. ὑπὸ τοῦ ὕψους φησὶ τοῦ κύματος οὐκ ἔτι ἑώρων τὴν Σκειρωνίδα ἀκτήν. Κἄπειτ' ἀνοιδῆσάν τε) τὸ κῦμα εἰς ὕψος ἠρμένον. ἰσθμὸν δὲ, τὴν στενὴν γῆν, τὴν κυκλουμένην ὑπὸ τῶν ὑδάτων, καὶ τέθριππος ὄχος, τὸ ὄχημα τὸ ἐκ δ' ἵππων ἐζευγμένον, τοῦ Ἱππολύτου δηλονότι. 1219. Καὶ δεσπότης μέν) ἤθεσι τῆς μελέτης καὶ τῆς ἐμπειρίας συνήθειαν πολλὴν ἔχων ἐν τῷ ἱππεύειν. Ἄλλως. Καὶ ὁ μὲν Ἱππόλυτος διὰ τὸ μὴ θορυβηθῆναι τοὺς ἵππους αὐτοῦ, ἐπέπεσεν αὐτοῖς, καὶ ἔσφιγγε τοὺς χαλινούς. 1221. Ἕλκει δέ) τὸ ἑξῆς, ἕλκει δὲ ἱμᾶσι. κώπην δὲ τὴν μάστιγα νῦν λέγει. ἕλκει δὲ εἰς τοὔπισθεν, ἱμᾶσιν ἀρτήσας δέμας, ὡς ναύτης κώπην ἕλκει εἰς τοὔπισθεν. Ἄλλως. ὥσπερ δὲ ναύτης ζάλης οὔσης κρατεῖ τὸ πηδάλιον, καὶ σώζει τὴν ναῦν, οὕτω καὶ ὁ Ἱππόλυτος τὰ λῶρα ἐκράτει.

ANNOTATIONES.

V. 1192. Αἴσθοιτο δ' ἡμᾶς) Hunc Verſum *Scholiaſtes* dicit literâ χ notatum; διὸ τὸ χ. Ideo χ, affigitur huic Verſui, hoc eſt, improbatur à Grammaticis, quòd Numeri fiat hic mutatio. *Athenienſes* enim, quando bellum contra *Chios* gerebant, adeò illorum odio arſerunt, ut adulteri nos nummos & quicquid improbarent, literâ χ notarent, contemptûs causâ. Inde χιάζω *decuſſare*, & χιασμὸς *decuſſatio*. *Euripidis* Scholiaſtes ad *Medea*. v. 1345. Ἐπὶ αἰσχρουργίᾳ) ἐπεὶ δοκεῖ τὸν στίχον τοῦτο εἶναι Εὐριπίδης ἐκβεβλῆσθαι, διὸ καὶ κεχίασται. *Joſua Barnes*.

V. 1201. Ἠχὼ χθόνιος) Βρόμος τις ὑπὸ χθονὸς ἀναδὺς, ἐ μέγας καὶ δεινὸς, καὶ σὺν πολλῷ θορύβῳ σεισμός. Vid. Notas ad *Helen*. v. 1362. *Joſua Barnes*.

V. 1208. Σκείρωνος ἀκτὰς) Vid. ſupra v. 979. & de eo *Scholiaſt*.

V. 1210. Ἀφρὸν) *Iambus* in hoc loco. Vid. *Phœniſſ*. v. 19.

Αἱ δ' ἐνδακοῦσαι) αἱ δὲ πῶλοι δακοῦσαι καὶ ἐγκρατήσασαι τοὺς χαλινούς. χαλινοὺς, τοὺς ἐκ πυρὸς γενομένους ἐν ταῖς σιαγόσι, καὶ διάπυροι γενόμεναι ἔτρεχον. Οὔθ' ἱπποδέσμων) μήτε τοῦ ἡνιόχου φροντίδα ποιούμεναι, μήτε τῶν χαλινῶν. Κεἰ μὲν εἰς τὰ μαλθακὰ) καὶ εἰ μὲν εἰς τὰ ἁπαλὰ καὶ ἰσόπεδα τὸν δρόμον ἐποίει, ἐφαίνετο ὁ ταῦρος ἔμπροσθεν τῶν ἵππων, καὶ ἔτρεψεν αὐτούς. εἰ δὲ εἰς τὰ ὄρη ἀπέφερον αὐτὸν οἱ ἵπποι, ὄπισθεν συνείπετο ὁ ταῦρος, καὶ προσπελάζων τῇ περιφερείᾳ συνεκολούθει. Ἐνήλατα) οἱ πασσαλίσκοι, οἱ πρὸς τῷ ἄξονι τὰ κυκλώματα ἀμαξηλατούμενα ἔχει, ἢ τὰ ἐμβαλλόμενα πρὸς τῷ ἄξονι, ὥστε μὴ ἐξιέναι τὸν τροχόν. Θραύων δὲ σάρκας) ἀντὶ τοῦ θραυόμενος. ἤτοι συντριβόμενος, καταπλαιόμενος τὴν κεφαλὴν, ἐν ταῖς πέτραις. Ἵπποι δ' ἔκρυφθεν) ὅτι αἱ δὲ ἵπποι καὶ τὸ σημεῖον τοῦ ταύρου οὐδαμῶς ἐφάνησαν, ἀλλ' ἀφανεῖς ἐγένοντο ἀφ' ἡμῶν. Λεπαίας δὲ) ἤτοι τὸ ἐξέχον καὶ ὑψηλὸν μέρος τῆς ὀρείας γῆς, ἤτοι τῆς ὀρεινῆς, παρὰ τὸ λελεπίσθαι. Οὐδ' εἰ γυναικῶν) οὐ δυνήσομαι ποτὲ πεισθῆναι, ὅτι κακὸς ἐφάνη ὁ ἐμὸς δεσπότης, οὐδ' ἐὰν τὸ γένος ὅλον τῶν γυναικῶν ἀποθάνῃ. Καὶ τὴν ἐν Ἴδῃ) ἄδηλον ποίαν Ἴδην. οὐδ' ἐὰν πληρώσειε γραμμάτων πάντα τὰ ξύλα τῆς Ἴδης, ὅ ἐστιν ὄρος σύνδενδρον ἐν τῇ Τροίᾳ, καὶ ἐν τῇ Κρήτῃ. Οὐδ' ἔστι μοίρας) τοῦ δέοντος καὶ μεμοιραμένου καὶ ἀναγκαίου. τὸ δὲ χρεὼν μετοχή ἐστιν, ἐπιρρηματικὴν σύνταξιν ἔχουσα. 1257. Μίσει μὲν ἀνδρὸς) τραγῳδεῖ Θησεύς, ἐπειδή φησι μισεῖν αὐτὸν ἐχρῆν. ἀλλὰ πάλιν τοὺς θεοὺς αἰσχυνόμενος λυποῦμαι, διότι ὑπάρχει ἐξ ἐμοῦ γεννηθείς.

Ἱμᾶσιν εἰς τοὔπισθεν ἀρτήσας δέμας.
Αἱ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γνάθοις,
Βίᾳ φέρουσιν, οὔτε ναυκλήρου χερὸς,
Οὔθ' ἱπποδέσμων, οὔτε κολλητῶν ὄχων
Μεταστρέφουσαι. κεἰ μὲν εἰς τὰ μαλθακὰ
Γαίας ἔχων οἴακας ἰθύνοι δρόμον,
Προὐφαίνετ' εἰς τοὔμπροσθεν, ὥστ' ἀναστρέφειν,
Ταῦρος, φόβῳ τέτρωρον ἐκμαίνων ὄχον.
Εἰ δ' εἰς πέτρας φέροιντο, μαργῶσαι φρένας,
Σιγῇ πελάζων, ἄντυγι ξυνείπετο,
Εἰς τοῦθ', ἕως ἔσφηλε, κἀνεχαίτισεν,
Ἀψῖδα πέτρῳ προσβαλὼν ὀχήματος.
Σύμφυρτα δ' ἦν ἅπαντα· σύριγγές τ' ἄνω
Τροχῶν ἐπήδων, ἀξόνων τ' ἐνήλατα.
Αὐτὸς δ' ὁ τλήμων ἡνίαισιν ἐμπλακεὶς,
Δεσμὸν δυσεξέλικτον ἕλκεται δεθεὶς,
Σποδούμενος μὲν πρὸς πέτρας φίλον κάρα,
Θραύων δὲ σάρκας, δεινὰ δ' ἐξαυδῶν κλύειν,
Στῆτ', ὦ φάτναισι ταῖς ἐμαῖς τεθραμμέναι,
Μή μ' ἐξαλείψητ'. ὦ πατρὸς τάλαιν' ἀρά.
Τίς ἄνδρ' ἄριστον βούλεται σῶσαι παρών;
Πολλοὶ δὲ βουληθέντες, ὑστέρῳ ποδὶ
Ἐλειπόμεσθα. χ' ὁ μὲν ἐκ δεσμῶν λυθεὶς
Τμητῶν ἱμάντων, οὐ κάτοιδ' ὅτῳ τρόπῳ,
Πίπτει, βραχὺν ἂν βίοτον ἐμπνέων ἔτι.
Ἵπποι δ' ἔκρυφθεν, καὶ τὸ δύστηνον κάρα
Ταύρου, * λεπαίας οὐ κάτοιδ' ὅπου χθονός.
Δοῦλος μὲν οὖν ἔγωγε σῶν δόμων, ἄναξ,
Ἀτὰρ τοσοῦτον οὐ δυνήσομαί ποτε
Τὸν σὸν πιθέσθαι παῖδ' ὅπως ἐστὶν κακὸς,
Οὐδ' εἰ γυναικῶν πᾶν κρεμασθείη γένος,
Καὶ τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις
Πεύκην, ἐπεί μιν ἐσθλὸν ὄντ' ἐπίσταμαι.
Χο. Αἶ, αἶ. κέκρανται συμφοραὶ νέων κακῶν.
" Οὐδ' ἔστι μοίρας τοῦ χρεών τ' ἀπαλλαγή.
Θη. Μίσει μὲν ἀνδρὸς τοῦ πεπονθότος τάδε,
Λόγοισιν ἥσθην τοῖσδε. νῦν δ' αἰδούμενος
Θεούς τ', ἐκεῖνόν θ', οὕνεκ' ἐστὶν ἐξ ἐμοῦ,
Οὔθ' ἥδομαι τοῖσδ', οὔτ' ἀνιῶμαι κακοῖς.

* Vide ad *Heraclid.* v. 395.

Equos loris retrò flectens corpus.
Sed equi mordentes frænos, in igni factos, ſuis mandibulis,
Violentèr ferunt, neque manum rectoris,
Neque lora, neque benè compactos currus
Curantes. Et ſi quidem in planâ
Terrâ habens gubernacula flectebat curſum,
Apparebat anteriùs, ut *currum Hippolyti* retrò converteret,
Taurus, perterrefaciens inſano metu quadrijugum currum.
Quòd ſi ferebantur versùs petras, animo furentes,
Tacitè appropinquans, ſimul comitabatur currum,
Donec impegit, & excuſſit,
Impellens circulum rotæ ſaxo.
Omnia autem erant confuſa: fiſtulæque ſurſum
Rotarum ſaliebant axiúmque clavi.
Ipſe verò miſer loris implicitus,
Trahitur vinctus vinculo inexplicabili,
Alliſus quidem charum caput ad petras,
Comminuens verò corpus, & clamans horribilia auditu:
State, ô equi nutriti in meis præſepibus,
Ne me perdatis. O miſera patris imprecatio.
Quis præſens vult ſervare virum optimum?
Multi autem volentes, tardo pede
Eminus ſequebamur. Ille verò ſolutus e vinculis
Fractorum lororum, neſcio quomodo
Cadit, ſpirans adhuc exiguam vitam:
Sed equi occultati ſunt, & infelix caput
Tauri, haud ſcio ubinam terræ montoſæ.
Ego verò, ô rex, ſum quidem famulus tuarum ædium,
Sed *tamen* eò nunquam adduci potero,
Ut credam tuum filium eſſe improbum;
Neque ſi totum genus mulierum ſuſpendatur,
Et aliquis literis impleat omnem in Idâ monte
Sylvam. quandoquidem ſcio eum eſſe probum.
Cho Heu, heu! perfectæ ſunt calamitates novorum malorum.
" Nec eſt fati neceſſitatiſq; effugium. *nec fatalis neceſſitas vit. pot.*
Thc. Odio quidem viri, qui paſſus eſt hæc,
Delectatus ſum iſtis verbis. Nunc autem reveritus
Et deos & illum, propterea quòd eſt ex me natus,
Neque delector, neque indignor his malis.

ANNOTATIONES.

V. 1252. Οὐδ' εἰ γυναικῶν πᾶν κρεμασθείη γένος, Καὶ τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις Πεύκην, &c.) Vid. *Pet. Victorii* Variar. Lection. l. 16. c. v. Et *Euſtathium* in *Homer.* Iliad. ζ. v. 169. ubi hunc locum expendit, licet memoriâ lapſus putet hæc de eo libello dici, quem moriens *Phædrâ* in manu tenuit. Πεύκη autem piceam ſive laricem denotat, in quâ ante Chartæ cognitum uſum pugillares fiebant. Et *Plutarchus* in *Solone*, Καὶ οἱ νόμοι κατεγράφησαν εἰς ξυλίνους ἄξονας, ἐν πλαισίοις περιέχουσι στρεφομένους. Vid. *Job. Brodæi* Miſcell. l. 4. c. 12. & c. 15. Et *Porphyrio* in *Horatium*, leges in ligno inciſas refert, *Æreis*, inquit, *tabulis antiqui non ſunt uſi, ſed roboreis, his incidebant Leges: Unde adhuc* Athenis *Legum tabulæ* Axones *vocantur.* Unde & Tabulæ Genealogicæ aliæque ejuſmodi eodem nomine vocatæ: Hinc Verbum ἐπαξονεῖν apud τοὺς Ἑβδομήκοντα, pro γενεαλογίας ἀπὸ τῶν ἀξόνων ἀναδιδάσκειν. *Numer.* c. 1. v. 8. Καὶ ἐπηξονοῦσαν κατὰ γενέσεις αὐτῶν. Bœoticè pro ἐπηξόνουν. Dicunt nonnulli hos ἄξονας idem eſſe ac κύρβεις, hoc eſt, σανίδας τετραγώνους. *Apollonii* autem Scholiaſtes diſtinguit hoc modo, Οἱ δὲ ἀκριβέστεροι Ἄξονας μὲν τετραγώνους λέγουσι, κύρβεις δὲ τριγώνους. Alii dicunt Ἄξονας de privatis rebus agere & in *Prytanæo* recondi, Κύρβεις in *Stoâ* publicè ſtare. Vide *Harpocrationis* Lexicon in Voce cum Interpretibus illius. Item *Johannis Meurſii* Atticar. Lection. l. 1. c. 22. Vide *Joh. Hartungi* Decur. 1. c. 7. in Emendatione *Eraſmi* Adagii, *Cyrbes Malorum.* Præterea de Voce Ἄξονες, vid. *Heſychium*, *Phavorinum*, *Suidam*, Etymologicum M. & *A. Gellii* Noct. Attic. l. 2. c. 12. ubi de Axibus ligneis *Solonis.* *Joſua Barnes.*

V. 1260. Οὔθ' ἥδομαι τοῖσδ', οὔτ' ἀνιῶμαι κακοῖς) Ita *Proteus Ægypti* Rex ſanctiſſimus, cum audiret filios ſuos *Tmolum* & *Telegonum*, impios & crudeles homines, ab *Hercule* occiſos, nec gaviſus eſt eorum obitu, quia filii; nec tamen doluit, quoniam improbi fuerant. Vide quæ Nos ad *Supplic.* v. 1199. *Joſua Barnes.*

Αγ. Πῶς οὖν κομίζειν, ἢ τί χρὴ τὸν ἄθλιον
Δράσαντας ἡμᾶς, σῇ χαρίζεσθαι φρενί;
Φρόντιζ'· ἐμοῖς δὲ χρώμενος βουλεύμασιν,
Οὐκ ὠμὸς εἰς σὸν παῖδα δυστυχοῦντ' ἔσῃ.
Θη. Κομίζετ' αὐτὸν, ὡς ἰδὼν ἐν ὄμμασι
Τὸν τἄμ' ἀπαρνηθέντα μὴ χρᾶναι λέχη,
Λόγοις ἐλέγξω, δαιμόνων τε συμφοραῖς.

MONOΣTPOΦIKA.

Χο. Σὺ * τὰν θεῶν ἄκαμπτον φρένα, * al. σύ.
" Καὶ βροτῶν ἄγεις, Κύπρι· σὺν
Δ' ὁ ποικιλόπτερος ἀμφιβαλὼν
Ὠκυτάτῳ πτερῷ.
Ποτᾶται δ' ἐπὶ γαῖαν, εὐάχητόν
Θ' ἁλμυρὸν ἐπὶ πόντον.
Θέλγει δ' Ἔρως, ᾧ μαινομένᾳ κραδίᾳ
Πτανὸς ἐφορμάσῃ,
Χρυσοφαὴς, φύσιν
Ὀρεσκόων σκυλάκων,
Πελαγίων θ', ὅσα τε γᾶ τρέφει,
Τὰν ἅλιος αἰθόμενος δέρκεται,
Ἄνδρας τε. Συμπάντων δὲ
Βασιληΐδα τιμὰν, Κύπρι,
Τῶνδε μόνα κρατύνεις.

Ἀνάπαιστοι.

Αρ. Σὲ τὸν εὐπατρίδην Αἰγέως κέλομαι
Παῖδ' ἐπακοῦσαι·
Λητοῦς δὲ κόρη σ' Ἄρτεμις αὐδῶ.
Θησεῦ, τί τάλας τοῖσδε συνήδῃ;
Παῖδ' οὐχ ὁσίως σὸν ἀποκτείνας,
Ψευδέσι μύθοις πεισθεὶς ἀλόχου,
Ἀφανῆ· φανερὰν δ' ἔσχες ἄταν.
Πῶς οὐχ ὑπὸ γῆς τάρταρα κρύπτεις
Δέμας αἰσχυνθεὶς;
Ἢ πτηνὸς ἄνω μεταβὰς βίοτον,
Πήματος ἔξω πόδα τόνδ' ἀνέχεις;
Ὡς τοῖς ἀγαθοῖς ἀνδράσιν, οὔ σοι
Κτητὸν βιότου μέρος ἐστίν.

Ἴαμβοι.

Ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν·
Καίτοι προκόψω γ' οὐδὲν, ἀλγυνῶ δέ σε.
Ἀλλ' εἰς τόδ' ἦλθον, παιδὸς ἐκδεῖξαι φρένα,

Nun. Quomodo igitur ferre, aut quid oportet miſero
Nos facere, ut gratificemur animo tuo?
Cogita: ſed meo conſilio uſus,
Non eris crudelis in tuum filium infelicem.
The. Adferte ipſum, ut videns coram
Eum, qui negavit ſe polluiſſe meos lectos,
Verbis convincam, deorúmq; calamitatibus, *i. e. pœnis divin. irrogatis.*

MONOSTROPHICA.

Cho. Tu deorum inflexibilem animum,
" Et hominum ducis, ô Venus: ſimulque
Puer variâ decorus plumâ circumfuſus
Celerrimis alis.
Volitat enim ſuper terram, & valde-reſonans
Salſum ſuper mare.
Mulcétque Cupido, quem furenti corde
Invaſerit alatus,
Auro fulgens, naturam
Catulorum in montibus degentiû,
Et marinorum, & quæcunque terra alit,
Quam ſol ardens videt,
Et viros. Univerſorum enim
Regium honorem, Venus,
Horum ſola obtines.

Diana.

Jubeo te nobilem Ægei
Filium audire;
Diana verò filia Latonæ compellat te.
O Theſeu, cur miſer iſtis delectaris?
Cùm injuſtè interfeceris tuum filium,
Falſis verbis adductus uxoris,
Obſcurè; manifeſtam verò nactus es cladem.
Cur non ſub terræ tartara occultas
Corpus, erubeſcens?
Aut alatus ſurſum *in aerem* transferens vitam
Pedem hunc extra noxam ſuſtines? *ſiſtis*?
Quia cum bonis viris, tibi non
Poſſidenda eſt pars vitæ.

Audi, Theſeu, ſtatum tuorum malorum:
Etſi nihil proficiam, tamen dolore afficiam te.
Sed in hunc *locum, i. e. huc*, veni, ut oſtendam animum filii

Πῶς οὖν) ἀπὸ κοινοῦ τὸ χρή. ὁ δὲ νοῦς πῶς οὖν κομίζειν χρὴ τὸν ἄθλιον, ἢ τί χρὴ δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί; 1263. Ἐμοῖς δὲ) χρώμενος δὲ τοῖς ἐμοῖς βουλεύμασιν οὐδέποτε σκληρὸς φανήσῃ εἰς τὸν σὸν υἱόν. Σὺ τὰν θεῶν) σὺ φησὶ τὴν ἀνυπότακτον, ἤτοι ἀμετάβλητον, καὶ ἀκαταγώνιστον, καὶ μὴ καμπτομένην τῶν θεῶν φρένα καὶ τῶν ἀνθρώπων, πείθεις καὶ ὑποτάσσεις, ὦ Ἀφροδίτη, σὺν τῷ ἔρωτι. Ἀμφιβαλὼν δὲ) ἀντὶ τοῦ περισκεπάσας. σκέπει γὰρ τῶν ἐρώντων τὴν θέαν, ἵνα καὶ τὰ ἄμορφα, ἐράσμια ὁρώμενα. Χρυσοφαὴς) ὁ ἔρως ὁ χρυσοφαὴς, τουτέστιν ὁ λαμπρὸς ὤν. Ἄλλως. Οὐ περσονὴς ὁ χρυσὸς, ἀλλὰ τὸ εἶδος χρυσοφαής. Φύσιν ὀρεσκόων) φύσιν ἔχων θηρίων, ἀντὶ τοῦ ἄγριος ἐν τοῖς πόθοις, καὶ τῶν ἐν θαλάσσῃ θηρίων φύσιν ἔχων, καὶ τῶν ἐν τῇ γῇ. ὁ νοῦς δὲ πτηνός, ᾧ ἂν ἐφορμήσῃ ἢ τῶν ὀρείων, ἢ τῶν πελαγίων, ἢ τῶν ἐν τῇ γᾷ, ἣν ὁ ἥλιος καταλάμπει. Ἄνδρας τε) ἀντὶ τοῦ ἀνδρῶν, ἄνδρας κατ' ἐξοχὴν εἶπεν. Ἀφανῆ) σιγάσω ἀφανῶς καὶ ἀνεξελέγκτως, πεισθεὶς τοῖς ψευδέσι λόγοις τῆς σῆς γυναικὸς, καὶ τοῦτο ποιήσας φανερὰν ἔχεις βλάβην. Πῶς οὐχ ὑπὸ γῆς) τὸ πῶς οὐκ ἀπὸ κοινοῦ, ἵν' ᾖ οὕτως, πῶς οὐ πτηνὸς ἄνω μετελθὼν τὸν βίον πήματος ἔξω πόδα τόνδ' ἀνέχεις. Μεταβὰς δὲ, μεταβεβάσας. Μεταβαλὼν) μεταλλάξας ζωὴν, καὶ ἀλλοιωθεὶς εἰς ὄρνεον. Ὡς ἐν ἀγαθοῖς ἀνδράσι) τοῦτό φησιν, εἰς ἀγαθοὺς ἄνδρας οὐκ ἔτι καταριθμήσονται σὺ ὁ βίος. 1298. Ἀλλ' εἰς τόδ' ἦλθον) ὁ ἀλλὰ ἀντὶ τοῦ γὰρ, ἀντὶ τοῦ φανερώσω τὴν σωφροσύνην τοῦ σοῦ παιδὸς, καὶ τῆς σῆς γυναικὸς τὸ οἶστρον. οὐ πάνυ οὐκ οἶστρον, ἀλλὰ τρόπον τινὰ τὴν ἐγκράτειαν καὶ τὴν σωφροσύνην ἐμφαίνοντα γὰρ λέγει τὸ σπεῦσαι κρύψαι τὸν ἔρωτα.

ANNOTATIONES.

V. 1289. Ἀφανῆ) Vid. *Æmil. Portum* de hoc verbo ad hunc locum & ad *Ion.* v. 1154. Verus verò ἀφανῆ omnino rejiciendum pronuntio; cùm nullus talis ſit caſus & *Dativus* ἀφανῇ pro ἀφανεῖ, locum hic vix habeat. Ἀφανῆ autem vel *accuſandi* caſûs eſſe poteſt, & vel ad τὸ παῖδα, vel ad ἄταν referri, vel *Nominandi* pluralis Neutri & ταῦτα ſubaudi, vel pro Adverbio ἀφανῶς *Atticè* ponitur. Ut ſit παῖδα ἀποκτείνας ἀφανῆ· Καὶ ταῦτα μὲν ἀφανῆ, ἡ δὲ ἄτη καὶ βλάβη σου φανερά. Vel Ἄταν ἀφανῆ μὲν δι' ἀγνοίας σου, ὅμως δὲ φανερὰν διὰ συμφορᾶς μου. Vel demum ταῦτα σὺ εἰργάσω ἀφανῶς, ἀδοκιμάστως δηλονότι, καὶ ἀβασανίστως. *Joſua Barnes.*

V. 1293. Πήματος ἔξω πόδα τόνδ' ἀνέχεις) Ita *Æſchyl.* Prometh. vinct. v. 263. Ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα Ἔχει, παραινεῖν, νουθετεῖν τε τὸν κακῶς πράσσοντας. De hoc Proverbio vide ad *Heraclid.* v. 110. *Joſua Barnes.*

V. 1298. Ἀλλ' εἰς τόδ' ἦλθον) *Scholiaſt.* legit, Ἀλλ' ὡς τόδ' ἦλθον magis quidem Poeticè. Ὡς enim ſæpiſſimè & eleganter pro εἰς utuntur Poetæ. Et *Homer. Odyſſ.* ρ. v. 218. Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον. Et *Ariſtophanes* in *Pluto* circa Principium, Ἐπυθόμεσθ' ἂν ἐχόμενοι ὡς τὸν θεόν. & aliàs ibidem, Ἐγὼ γὰρ ἂν μοναχὸς ἐλθὼν ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ σώφρονας μόνους βαδίσομαι. Item Εὐριπίδης ἡμᾶς ὡς Βασιλέα τὸν μέγαν. Et eſt *Atticum.* Sic *Euripid.* Hecub. v. 993. Καὶ δεῦρο γ' ὡς σε κοινὸν ἐξέτασαι μαθεῖν. Vid. *Phœniſſ.* v. 1409. & *Bacch.* v. 1287. *Joſua Barnes.*

Τοῦ

Τοῦ σοῦ δικαίαν, ὡς ὑπ' εὐκλείας θάνοι,
Καὶ τῆς γυναικὸς οἶστρον, ἢ τρόπον τινὰ
Γενναιότητα. τῆς γὰρ ἐχθίστης θεῶν
Ἡμῖν, ὅσαισι παρθένειος ἡδονὴ,
Δηχθεῖσα κέντροις, παιδὸς ἠράσθη σέθεν.
Γνώμῃ δὲ νικᾶν τὴν Κύπριν πειρωμένη,
Τροφοῦ διώλετ' οὐχ ἑκοῦσα μηχαναῖς,
Ἣ σῷ δι' ὅρκων παιδὶ σημαίνει νόσον.
Ὁ δ' ὥσπερ ἦν δίκαιον, οὐκ ἐφέσπετο
Λόγοισιν. Οὐδ' αὖ πρὸς σέθεν κακούμενος,
Ὅρκων ἀφεῖλε πίστιν, εὐσεβὴς γεγώς.
Ἡ δ' εἰς ἔλεγχον μὴ πέσῃ φοβουμένη,
Ψευδεῖς γραφὰς ἔγραψε, καὶ διώλεσε
Δόλοισι σὸν παῖδ', ἀλλ' ὅμως ἔπεισέ σε.
Θη. Οἴμοι. Α. δάκνει σε, Θησεῦ, μῦθος; ἀλλ' ἔχ' ἥσυχος,
Τοὐνθένδ' ἀκούσας, ὡς ἂν οἰμώξῃς πλέον.
Ἆρ' οἶσθα πατρὸς τρεῖς * ἀρὰς σαφεῖς ἔχων;
Ὧν τὴν μίαν παρείλες, ὦ κάκιστε, σὺ
Εἰς παῖδα τὸν σὸν, ἐξὸν εἰς ἐχθρόν τινα.
Πατὴρ μὲν οὖν σοι πόντιος, φρονῶν καλῶς,
Ἔδωχ', ὅσονπερ χρῆν, ἐπείπερ ᾔνεσεν.
Σὺ δ' ἔν τ' ἐκείνῳ, κἀν ἐμοὶ φαίνῃ κακὸς,
Ὃς οὔτε πίστιν, οὔτε μάντεων ὄπα
Ἔμεινας, οὐδ' ἤλεγξας, οὐ χρόνῳ μακρῷ
Σκέψιν γ' ἔνειμας· ἀλλὰ θᾶσσον ἢ σ' ἐχρῆν,
Ἀρὰς ἀφῆκας παιδὶ, καὶ κατέκτανες.
Θη. Δέσποιν', ὀλοίμην. Α. δείν' ἔπραξας, ἀλλ' ὅμως
Ἔτ' ἔστι καὶ σοὶ τῶνδε συγγνώμης τυχεῖν.
Κύπρις γὰρ ἤθελ', ὥστε γίγνεσθαι τάδε,
" Πληροῦσα θυμόν. θεοῖσι δ' ὧδ' ἔχει νόμος·
" Οὐδεὶς ἀπαντᾶν βούλεται προθυμίᾳ
" Τῇ τοῦ θέλοντος, ἀλλ' ἀφιστάμεσθ' ἀεί.
Ἐπεὶ σάφ' ἴσθι, Ζῆνα μὴ φοβουμένη,
Οὐκ ἄν ποτ' ἦλθον εἰς τόδ' αἰσχύνης ἐγὼ,
Ὥστ' ἄνδρα πάντων φίλτατόν γ' ἐμοὶ βροτῶν,
Θανεῖν ἐᾶσαι· τὴν δὲ σὴν ἁμαρτίαν,
Τὸ μὴ εἰδέναι μὲν, πρῶτον ἐκλύει κάκης.
Ἔπειτα γ' ἡ θανοῦσ' ἀνάλωσεν γυνὴ
Λόγων ἐλέγχους, ὥστε σὴν πεῖσαι φρένα.
" Μάλιστα νῦν σοὶ ταῦτ' ἔρρωγεν κακά·
" Λύπη δὲ κἀμοί. Τοὺς γὰρ εὐσεβεῖς θεοὶ
" Θνήσκοντας οὐ χαίρουσι· τούς γε μὴν κακοὺς
" Αὐτοῖς τέκνοισι καὶ δόμοις ἐξόλλυμεν.

* ἀρὰς primâ brevi vid. ad Phœn. v. 1435.

Tui juſtum; quòd bonâ famâ ſit mortuus,
Et uxoris tuæ furorem, aut aliquo modo
Generoſitatem. A Dea enim inviſiſſimâ
Nobis, quotquot virginitas voluptati eſt,
Morſa ſtimulis, amavit tuum filium.
Ratione autem ſuperare Venerem conans,
Nutricis periit non volens machinis;
Quæ tuo filio jurejur. interpoſito, acceptâq; fide indicat morbū Ph.
Hic autem, ut juſtum erat, non obtemperabat
Verbis: neque rurſum malè tractatus à te,
Irritam fecit fidem jurisjurandi, cum eſſet pius.
Illa verò timens ne proderetur,
Scripſit falſas literas, & perdidit
Dolo tuum filium; ſed tamen rem perſuaſit tibi.
The. Heu, heu! *Dia.* Mordet te, Theſeu, hæc oratio? ſed expecta,
Audiens quæ ſequuntur, ut plus plores.
An non ſcis te tres imprecationes ratas habuiſſe à patre?
Quarum unam tu ô peſſime, tranſtuliſti
In filium tuum, cùm poſſes in inimicum aliquem *convertere*.
Pater quidem marinus, *i.e. Neptunus*, tibi benevolens
Dedit, ſicut oportuit, quemadmodum promiſit.
Tu verò & in illum, & in me malus videris,
Qui neque fidem, neque vocem vatum
Expectâſti, neque explorâſti, neque tempori longo
Conſultationem tribuiſti: ſed citius quàm te oportebat,
Imprecationes emiſiſti in filium, cùmque occidiſti.
The. Domina, peream. *Dia.* Feciſti atrocia; ſed tamen
Adhuc potes horum veniam conſequi.
Nam Venus voluit, ut fierent iſta,
" Implens iram *ſuam*. Diis enim hæc eſt lex;
" Nemo vult occurrere, *i.e. adverſari*, ſtudio
" Volentis, ſed cedimus ſemper *alii aliis*:
Alioqui certò ſcito, ſi non timuiſſem Jovem,
Nunquam veniſſem ego eò dedecoris;
Ut virum omnium mihi chariſſimum mortalium,
Mori ſinerem. Tuum verò peccatum,
Primum Ignorantia liberat à malitiâ:
Deinde verò uxor *tua* defuncta *magnas* conſumpſit
Verborū probationes *in epiſt. ſcriptas*, ut tuū perſuaderet animū.
Nunc maximè tibi hæc mala confluxerunt:
" Sed & mihi dolor *adeſt*. Pios enim Dii
" Mori non gaudent: ſed malos
" Cum ipſis liberis, & domibus perdimus.

1303. Δηχθεῖσα) σωχεθεῖσα τοῖς πόνοις τῆς Ἀφροδίτης, τῆς ἐχθίστης ἡμῖν τῶν θεῶν, ὁπόσαι εἰσὶν ἐν τῇ παρθενίᾳ, ἠράσθη τοῦ σοῦ υἱοῦ. τὸ δὲ Γνώμῃ νικᾶν τὴν Κύπριν, πειρωμένη) ἀντὶ τοῦ τῷ λογισμῷ, τοῦ μὴ θέλειν συγκαθεύδειν τῷ Ἱππολύτῳ. διὰ τὸ μὴ προδοῦναι τὴν εὐνὴν τοῦ ἀνδρός. Ἣ σῷ δι' ὅρκων) ἡ τῆς τροφὸς τῷ σῷ υἱῷ τὸν ἔρωτα ἐσήμανεν.

Ἀλλ' ἔχ' ἥσυχος) ἀλλ' ἡσύχαζε, ὡς ἂν οἰμώξῃς πλέον τὰ μετὰ ταῦτα ἀκούσας. οἰμώξῃς παθητικόν. ἀντὶ οἰμώξῃς ἐνεργητικὸν, Ἀττικῶς. Ὧν τὴν μίαν παρεῖλες) παρέπεμψας, ἀπώλεσας. ἀφεῖλες, ὧν ὀφείλες τὴν μίαν εὐχὴν ὑπὸ τῶν τριῶν, ὧν ἔλαβες ὑπὸ τοῦ πατρὸς, καὶ ἀπώλεσας τὸν υἱόν.

1331. Ἐπεὶ σάφ' ἴσθι) ἐπεὶ προσῆπτον παρὰ θεοῖς νόμον μὴ ἀντιπράττειν ἀλλήλοις, ὅτι εἰ μὴ νόμος ἐκώλυεν, ἔσωσα ἂν αὐτὸν εὐσεβῆ τυγχάνοντα, μὴ εὐλαβουμένη τὸν Δία. ὃν τίνα γὰρ ἔμελλεν αὐτὸν εὐλαβεῖσθαι, μηδὲ νόμον λύουσα, ἀλλὰ καὶ εὐσεβῆ ἄνδρα σώζουσα. καὶ γὰρ ἀγαθὸς ἔννομα διαπραττόμενος ἐξουσίαν οὐ δέδοικεν. καὶ γὰρ εἰ μὴ νόμος με εἶργε, κωλυομένη ὑπό τινος, λοιπὸν ἂν ἄλλως ἐβοήθουν αὐτῷ.

1338. Ἔρρωγε δὲ) ἀντὶ τοῦ συνερράγησαν, συνέπεσον, συμβεβήκασι.

ANNOTATIONES.

V. 1313. Οἴ μοι) Extra verſum & hæc ponuntur. Vid. ſupra v. 1078.

V. 1315. Πατρὸς τρεῖς ἀρὰς &c.) *Neptunus* dicitur *Theſeo* conceſſiſſe, ut quæcunque vellet, tria ab illo peteret, quæ omnia ſe rata facturum promiſit: ille autem primò petebat *Reditum ab Inferis*, tum *ex Labyrintho egreſſum*, *Filii* demum ſui *interitum*.

V. 1321. Ὃς οὔτε πίστιν, οὔτε μάντεων ὄπα) Vid. ſupra v. 1055.

V. 1323. Ἀλλὰ θᾶσσον) Huc refer illud, *Nulla unquam de Morte Hominis cunctatio longa*. Vid. Ἀιθιοπικῶν..., ſive *Eſtheram* noſtram v. 590. *Joſua Barnes.*

V. 1333. Φίλτατόν γ' ἐμοὶ βροτῶν) Prius erat ſcriptum φίλτατον ἐμοὶ βροτῶν, apertâ verſûs jacturâ; quam nunc reſarcivi. Cum *Scaligero Portus* legit φίλτατον βροτῶν ἐμοί.

1335. Τὸ μὴ εἰδέναι &c.) Hic μὴ contrahitur ante εἰ. Vid. ſupra v. 49.

Ibidem. Κάκης) De hoc vocabulo ſupra egimus *Medea*, v. 1051. & *Andromach.* v. 967. Hic malitiam ſonat.

V. 1339. Τοὺς γὰρ εὐσεβεῖς θεοὶ θνήσκοντας οὐ χαίρουσι) *Henricus Stephanus* in libello de *Sophoclea* Imitatione *Homeri*, dicit referri ad Elleipſin præpoſitionis; ut & hoc *Sophoclis*, Ἥδομαί γε πατέρα τὸν ἐμὸν θανόντα σε. & ἀπέχθομαι, οὓς ἔλεγον ἐγώ. & *Homer.* Il. ι. v. 77. Τίς ἂν τάδε γηθήσειε; Quod ad hujus loci ſenſum attinet, ſimile eſt illud, *Heraclid.* v. 628. Εἰ δὲ σέβεις σύ γε θανόντας ἀγαθῶν, μέλλω σοι. *Pſalm.* 116. v. 15. Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Vide *Euſebium* in *Evangel.* Præparat. l. 13. totum caput, cujus hæc Materia, Ὅπως δεῖ τιμᾶν τοὺς θανόντας τῶν δικαίων μεταλλαξάντων τὸν βίον. *Joſua Barnes.*

Ἀνάπαιστοι.

Ἀνάπαιστοι.

Χο. Καὶ μὴν ὁ τάλας ὅδε δὴ στείχει,
Σάρκας νεαρὰς
Ξανθόν τε κάρα διαλυμανθείς.
Ὦ πόνος οἴκων, οἷος ἐκράνθη.
Δίδυμον μελάθροις
Πένθος θεόθεν καταληπτόν.

Ιπ. Αἶ, αἶ, αἶ, αἶ.
Δύστηνος ἐγὼ πατρὸς ἐξ ἀδίκου
Χρησμοῖς ἀδίκοις διελυμάνθην.
Ἀπόλωλα τάλας· οἴ μοι, οἴ μοι.
Διά μου κεφαλῆς * ἀΐσσουσ' ὀδύναι,
Κατά γ' ἐγκέφαλον πηδᾷ σφάκελος.
Σχές, ἀπειρηκὸς σῶμ' ἀναπαύσω.
Ἒ, ἔ. ὦ στυγνὸν ὄχημ' ἵππειον, ἐμῆς
Βόσκημα χερός,
Διά μ' ἔφθειρας, κατά τ' ἔκτεινας.
Φεῦ, φεῦ πρὸς θεῶν, δμῶες, ἀτρέμας
Χροὸς ἑλκώδους ἅπτεσθε χεροῖν.
Τίς ἐφέστηκεν δεξιὰ πλευροῖς;
Πρόσφορά μ' αἴρετε· σύντονα δ' ἕλκετε
Τὸν κακοδαίμονα, καὶ κατάρατον
Πατρὸς ἀμπλακίᾳ. Ζεῦ, Ζεῦ, τάδ' ὁρᾷς;
Ὅδ' ὁ σεμνὸς ἐγὼ, καὶ θεοσέπτωρ,
Ὅδ' ὁ σωφροσύνῃ πάντας ὑπερέχων,
Προῦπτον ἐς ᾅδην στείχω κατάκρας
Ὀλέσας βίοτον.
Μόχθους δ' ἄλλως τῆς * εὐσεβείας
Εἰς ἀνθρώπους ἐπόνησα.
Αἶ, αἶ, αἶ, αἶ·
Καὶ νῦν ὀδύνα μ', ὀδύνα βαίνει.
Μέθετε τάλανα·
Καί μοι θάνατος παιὰν ἔλθοι.
Προσαπόλλυτέ μ', ὄλλυτε τὸν δυσδαί-
μον'· ἀμφιτόμου λόγχας ἔραμαι
Διαμοιρᾶσαι,
Διά τ' εὐνᾶσαι τὸν ἐμὸν βίοτον.
Ὦ πατρὸς ἐμοῦ δύστηνος ἀρὰ,
Μιαιφόνων τε συγγόνων.
Παλαιῶν προγεννητόρων
Ἐξορίζεται κακὸν, οὐδὲ μέλλει·
Ἔμολέ τ' ἐπ' ἐμὲ, τί ποτε τὸν οὐδὲν
Ὄντ' ἐπαίτιον κακῶν;
Ἰώ μοι μοι. τί φῶ;
Πῶς δ' ἀπαλλάξω βιοτὰν
Ἐμὰν τοῦδ' ἀναλγήτου πάθους;
Εἴθε με κοιμάσειε τὸν δυσδαίμονα
Ἅιδου μέλαινα, νύκτερός τ' ἀνάγκα.

Ἴαμβοι.

Αρ. Ὦ τλῆμον, οἵᾳ συμφορᾷ συνεζύγης·
Τὸ δ' εὐγενές σε τῶν φρενῶν διώλεσεν.

* ἀΐσσουσ' in Scanſione.

* al. εὐσεβίας. In hunc ſenſum illud *Pſal.* 73.v.13.

Chorus.

Atqui miſer ille jam venit,
Corpus juvenile,
Et flavum caput fœdè tractatus.
O qualis miſeria in hâc familiâ accidit.
Geminus ædes
Luctus divinitus tanquam furor quidam immiſſus occupavit.

Hip. Heu, heu, heu, heu!
Infelix ego ob injuſti patris
Injuſtam ſententiâ dilaniatus ſum.
Perii miſer, hei mihi, hei mihi.
Dolores excitantur per meû caput
Et in cerebro ſalit ſpaſmus.
Sine, defatigatum corpus quiete recreem.
Heu, heu! ô odioſum jugum equorum, quos mea
Manu alui,
Perdidiſti me, & occidiſti.
Heu, heu! per Deos, ſervi, placidè
Contrectate manibus corpus laceratum.
Quænam aſſitit dextra lateribus? *quænam hæc attrectat?*
Aptè me attollite; celeriter autem *me domum* trahite, *i.e. portate,*
Infelicem, & execratum
Patris errore. Jupiter, Jupiter, hæc vides?
Ille ego caſtus, & cultor deorum,
Ille, qui continentiâ cunctos ſupero,
Vado ad manifeſtam mortem, prorſus
Amiſſâ vitâ.
Fruſtrà verò labores pietatis
In homines exercui.
Heu, heu, heu, heu!
Et nunc dolor me, dolor invadit.
Dimitte miſerum,
Et veniat mihi mors, quæ ſit meus Medicus:
Perditis me, perditis infe-
licem: ancipitem enſem cupio,
Ut me diſſecem,
Et ſopiam, *i.e. extinguam,* meam vitam.
O infelicem patris mei imprecationem,
Et pollutorum cæde cognatorum.
Priſcorum progenitorum
Malum terminatur in me, neque cunctatur:
Et venit in me, curnam illum, qui nullo modo
Eſt autor *horum* malorum *premit?*
Hei mihi, mihi! quid dicam?
Quomodo verò liberabo vitam
Meam ab iſto ſtupidum me reddente malo?
Utinam me miſerum conſopiat
Plutonis atra nocturnáque neceſſitas.

Diana.

O infelix, in quam calamitatem incidiſti:
Generoſus animus ille tuus te perdidit,

Δύστηνος ἐγὼ κ.λ.) ἐπειδὴ χρησμὸν ἔλαβε παρὰ τοῦ Ἀπόλλωνος, ὅτι εἰς ὃ ἂν εὔξηται τῷ Ποσειδῶνι τρίτον, τελειοῦται αὐτῷ. χρησμοῖς δὲ τοῖς αἰτήμασι, ταῖς κατάραις. εἰσὶ δὲ αἱ εὐχαὶ Θησέως πρὸς Ποσειδῶνα τρεῖς. πρῶτον ἀνελθεῖν ἐξ ᾅδου, δεύτερον ἐκ Λαβυρίνθου, τρίτον Ἱππολύτου θάνατον.

1361. Σύντονα δ' ἕλκετε) ἀντὶ τοῦ συντόνως, ἤγουν ἁρμοδίως καὶ προσηκόντως καὶ συμφώνως, μὴ ὁ μὲν ἄνω, ὁ δὲ κάτω, ἀλλ' ἐξίσου βαστάζετε. ἡ μεταφορὰ ἀπὸ τῶν μουσικῶν τόνων.

1378. Ὦ πατρὸς) τινὲς τὸ ὦ σχετλιαστικὸν προσφέρονται, στίζοντες εἰς αὐτό, ἵν' ᾖ ἡ δύστηνος ἀρὰ τοῦ ἐμοῦ πατρὸς εὐθεῖα, καὶ συναπτόμενον τῷ ἑξῆς. εἰς τὸ ἀρὰ δὲ πλείονες προσέχουσιν. ἵν' ᾖ, καθ' ἑαυτὸ τὸ κῶλον, καὶ ὁ τε σύνδεσμος ὁ ἑξῆς περιττός.

1380. Προγεννητόρων) τῶν προγόνων. τὸ κακὸν εἰς ἐμὲ ὁρίζεται, καὶ φέρεται καὶ ἐπέρχεται εἰς τιμωρίαν. Ἄλλως. ἀπὸ τοῦ ὅρου ἐκείνου εἰς ἐμὲ ἔρχεται τὸ τῶν προγόνων μῦσος, ἀναφέρει δὲ καὶ ἐπὶ τὸν τῶν Παλλαντιδῶν φόνον. εἰς δὲ τὸ τί ποτε λείπει ἡ διά. ἵν' ᾖ, διατί ἐπ' ἐμὲ τὸν οὐδὲν ὄντ' ἐπαίτιον τῶν κακῶν. ὁ δὲ τε παρέλκει.

Ιπ. Ἔα

Ιπ. Ἔα. Ὦ θεῖον ὀδμῆς πνεῦμα· καὶ γὰρ ἐν κακοῖς
Ὢν, ᾐσθόμην σου, κἀνεκουφίσθην δέμας.
" Ἔστ' ἐν δόμοισι τοῖσδε γ' Ἄρτεμις θεά;
Αρ. Ὦ τλῆμον, ἔστι σοί γε φιλτάτη θεῶν.
Ιπ. Ὁρᾷς με, δέσποιν', ὡς ἔχω, τὸν ἄθλιον;
Αρ. Ὁρῶ· κατ' ὄσσων δ' οὐ θέμις βαλεῖν δάκρυ.
Ιπ. Οὐκ ἔστι σοι κυναγὸς, οὐδ' ὑπηρέτης.
Αρ. Οὐ δῆτ'· ἀτάρ τοι δύσποτμός γ' ἀπόλλυσαι.
Ιπ. Οὐδ' ἱππονώμας, οὐδ' ἀγαλμάτων φύλαξ.
Αρ. Κύπρις γὰρ ἡ πανοῦργος ὧδ' ἐμήσατο.
Ιπ. Οἴμοι· φρονῶ δὴ δαίμον', ἥ μ' ἀπώλεσε.
Αρ. Τιμῆς ἐμέμφθη· σωφρονοῦντι δ' ἤχθετο.
Ιπ. Τρεῖς ὄντας ἡμᾶς ὤλεσ', ᾔσθημαι, Κύπρις.
Αρ. Πατέρα τε, καὶ σὲ, καὶ τρίτην ξυνάορον.
Ιπ. Ὤιμωξα τοίνυν καὶ πατρὸς δυσπραξίας.
Αρ. Ἐξηπατήθη δαίμονος βουλεύμασιν.
Ιπ. Ὦ δυστάλας σὺ τῆσδε συμφορᾶς, πάτερ.
Θη. Ὄλωλα, τέκνον, οὐδέ μοι χάρις βίου.
Ιπ. Στένω σὲ μᾶλλον, ἢ 'μὲ, τῆς ἁμαρτίας.
Θη. Εἰ γὰρ γενοίμην, τέκνον, ἀντὶ σοῦ νεκρός.
Ιπ. Ὦ δῶρα πατρὸς σοῦ Ποσειδῶνος πικρά.
Θη. Ὡς μή ποτ' ἐλθεῖν ὤφελ' εἰς τοὐμὸν στόμα.
Ιπ. Τί δ'; ἔκτανές τ' ἄν μ', ὡς τότ' ἦσθ' ὠργισμένος.
Θη. Δόξης γὰρ ἦμεν πρὸς θεῶν ἐσφαλμένοι.
Ιπ. Φεῦ· Εἴθ' ἦν ἀραῖον δαίμοσι βροτῶν γένος.
Αρ. Ἔασον· οὐ γὰρ οὐδὲ γῆς ὑπὸ ζόφον
Θεᾶς ἄτιμοι Κύπριδος ἐκ προθυμίας
Ὀργαὶ κατασκήψουσιν εἰς τὸ σὸν δέμας,
Σῆς εὐσεβείας, κἀγαθῆς φρενὸς χάριν.
Ἐγὼ γὰρ αὐτῆς ἄλλον ἐξ ἐμῆς χερὸς,
Ὃς ἂν μάλιστα φίλτατος κυρῇ βροτῶν,
Τόξοις ἀφύκτοις τοῖσδε τιμωρήσομαι.
Σοὶ δ', ὦ ταλαίπωρ', ἀντὶ τῶνδε τῶν κακῶν,
Τιμὰς μεγίστας ἐν πόλει Τροιζηνίᾳ
Δώσω· κόραι γὰρ ἄζυγες γάμων πάρος,
Κόμας κεροῦνταί σοι δι' αἰῶνος μακροῦ,
Πένθη μέγιστα δακρύων καρπουμέναι.

Hip. Sine. O divinum halitum odoris; etenim licèt in malis Sim, tamen ſenſi te, & levatus ſum corpore.
" Eſtne in his ædibus dea Diana?
Dia. O miſer, adeſt tibi chariſſima tua dea.
Hip. Videſne me, Domina, quàm ſim miſer?
Di. Video; ſed non fas eſt me lacrymas emittere ex oculis.
Hip. Non ampliùs eſt tuus venator, neque miniſter.
Di. Non profectò; ſed infelix periiſti.
Hip. Neque agitator equorum, neque *tuarum* ſtatuarum cuſtos.
Di. Venus enim veteratoria ſic machinata eſt.
Hip. Heu mihi! Agnoſco jam deam, quæ me perdidit.
Di. Queſta eſt de honore: infeſta enim tibi fuit, quòd caſtus eras.
Hip. Venus perdidit, ut ſentio, nos tres.
Di. Patrem, & te, & tertiam, uxorem patris.
Hip. Deploro igitur & patris infortunia.
Di. Deceptus eſt conſilio deæ.
Hip. O infelix tu, pater, propter hanc calamitatem.
The. Perii, fili; nec *ulla* mihi voluptas *eſt* vitæ.
H. Doleo magis tuam vicem, quàm meam, propter hoc erratum.
The. Utinam verò, fili, pro te mortuus eſſem.
Hip. O dona acerba patris tui Neptuni.
The. Utinam nunquam veniſſent mihi in meum os.
Hip. Quid verò? interfeciſſes me *nihilominus*, adeò tunc eras iratus.
The. Mente enim *tunc* eramus à diis privati.
H. Heu! utinã & mortaliũ genus Deos execr. & viciſ. devov. poſſet.
Di. Sine: non enim, non ſub caliginem terræ
Deæ Veneris tam vehementes, inultæ, *i. e. ſine ultione*
Irruunt iræ in tuum corpus,
Propter tuam pietatem, & bonam mentem.
Ego enim ipſius alium hâc meâ manu,
Qui longè chariſſimus *ipſi* fuerit mortalium,
His telis inevitabilibus ulciſcar.
Tibi verò, ô miſer, pro his malis,
Maximos honores in urbe Trœzeniâ
Dabo: nam puellæ innuptæ ante nuptias
Tibi tondebunt crines longo tempore,
Præſtantes maximum luctum lacrymis.

1401. Φρονῶ δὴ) ἐννοῶ τὴν θεὰν, ἥτις μ' ἀπώλεσεν.

1402. Τιμῆς ἐμέμφθη) ὅτι ἐμὲ ἐτίμας, ἐμέμφθη, παρὰ σοί. ἢ ὅτι οὐδ' ὅλως ἐτίμας αὐτήν. Ἄλλως. ἴσθι ὅτι ἐμίσει σωφρονοῦντα, διότι ἐμέμφθη ὑπὸ σοῦ, καὶ οὐκ ἠξιώθη τιμῆς.

Τί δ' ἔκτανες) τί μέμφῃ τὰς πατέρας, φθονήσας γὰρ ἄν με, καὶ χερσὶν αὐτοῦ, ὥσπερ ἦσθα ὠργισμένος. ἄλλως. καὶ ἀντὶ τοῦ πατέρας ἀπώλεσας ἄν με, ἐκ τῆς ὀργῆς τοῦ λογισμοῦ.

Δόξης γὰρ ἦμεν) τῆς ὀρθῆς δοκήσεως τοῦ δίκαιου, καὶ τῆς ἀληθείας ἠπατημένοι.

Φεῦ εἴθ' ἦν) εἴθε ἂν καταρᾶσθαι ἀνθρώποις θεοῖς, ἵνα ἀμύνωνται τὸν Ποσειδῶνα ὑπὸ κατάρων τοῖς θεοῖς.

1420. Ἐγὼ γὰρ) ἐγὼ ἐκ τῆς ἐμῆς χειρὸς ἐν τοῖς ἀφύκτοις βέλεσι τιμωρήσομαι ἄλλον, ὅστις ἂν τύχῃ φίλτατος αὐτῆς Ἀφροδίτης τῶν ἀνθρώπων. εἰς τὸν Ἄδωνιν δὲ αἰνίττεται, ὥς τινες. λῆρος δὲ τὸ τοιοῦτον. οὐ γὰρ τόξοις Ἀρτέμιδος ἀπώλετο Ἄδωνις, ἀλλ' ὑπ' Ἄρεως. ἄδηλον οὖν τινα φησί.

1425. Κόραι γὰρ) ἐν Τροιζῆνι ἱερὸν Ἱππολύτου, ᾧ ἀποκείρονται αἱ μελλόνυμφοι, διὰ τοῦ μέλλοντος χρόνου ἀπολαύσουσι ἐν ἤθει.

ANNOTATIONES.

V. 1391. Ἔα) Extra verſum redundat. vid. ſuprà v. 1313. Ὦ θεῖον ὀδμῆς πνεῦμα & Ἔστ' ἐν δόμοισι τοῖσδε γ' Ἄρτεμις θεά. Sanctorum & Benevolorum Spirituum Præſentia ſemper notabatur apud veteres per Gratum Odorem: Unde *Ovid.* Faſt. l. 5. *Manſit Odor: Poſſes ſcire fuiſſe Deam.* Et *Virgil.* Æn. l. 1. v. 507. *Ambroſiæque comæ Divinum vertice Odorem Spiravere.* ——— Vid. *Cardanum* de Subtilitate l. 13. p. 280. " Atque etiam ob id, Optimum Omen cenſetur *præſentiſque alicujus Divinitatis*; cùm Odor bonus abſque causâ ſentitur. *Idem.* l. 19. loquens de malis Spiritibus, dicit, Illos " --Odores teteros & ſonitus inconditos " parere atque relinquere. Vid. *Turneb.* Adverſ. l. 30. c. 39. Hinc & Nos *Franciados* noſtræ l. 6. de Bono Angelo *Edvardo* Seniori apparente,

Ergo Patrem acceſſit, dextraque ſuperſtitis Auri
Ad latus, auditus nulli, nec viſus ab ullo,
Ni ſoli Edvardo: *Caſtos tamen omnibus ignes*
Intulit, Ambroſiumque domo diffudit Odorem. *J. Barnes.*

V. 1415. Ἀραῖον δαίμοσι βροτῶν γένος) ἀραῖον hic activè ſumendum, quaſi ſcriptum eſſet ἀρώμενον δαίμοσι βροτῶν γένος.

V. 1417. Ἄτιμοι) hoc loco pro ἀτιμώρητοι.

V. 1420. Ἐγὼ γὰρ αὐτῆς ἄλλον &c.) *Scholiaſtes* deliros illos ait, qui *Adonim* hic innui putant; quum ille non *Dianæ* telis ſit occiſus, ſed à *Marte* zelotypo, qui Aprum immiſit in eum. At *Scholiaſtæ* cum bonâ veniâ, ego ad *Adonim* hæc referri debere contendo; Nam (ut *Petrus Victorius* Var. Lection. l. 4. c. 17.) " Quamvis ab Apro interfectus ſit, authore *Marte* cædis ejus, potuit tamen ſibi id factum vendicare *Diana*, quià in ipſius ſtudio venatioнéque necatus *Adonis* eſt. Quin *Gaſpar Stiblinus* hæc de *Adonide* accipi vult. Vid. *Ptolemæi Hephæſtionis* Novæ Hiſtor. l. 1. p. 2. Ubi *Apollinem Adonidi* vitam ademiſſe; & quomodo & quare, contra aliorum effata refert, ut & *Iſaac Tzetzes* in *Lycophron* p. 134. *Muſas* hoc feciſſe in *Veneris* odium memorat, & ab iis *Martis* zelotypiam excitatam. At quod rem extra dubium ponit, ipſe *Apollodorus* Biblioth. l. 3. c. 13. §. 4. teſtatur *Adonidem*, à *Dianâ* occiſum, Ἄδωνις δὲ ἔτι παῖς ὤν, Ἀρτέμιδος χόλῳ, πληγεὶς ἐν θήρᾳ ὑπὸ συὸς ἀπέθανε. *M. Antonius Muretus* hoc ante Nos obſervabat, Variar. Lect. l. 5. c. 7. *Joſua Barnes.*

V. 1424. Τιμὰς μεγίστας ἐν πόλει Τροιζηνίᾳ) Præter ea, quæ *Scholiaſtes* ad verſum ſequentem de hâc re notat, huc referantur illa *Cælii Rhodig.* Lection. Antiqu. l. 21. c. 24. *Lego igitur apud* Trœzenios *huic* (Hippolyto) *fuiſſe Lucum & in eo Templum non abſque ſimulachro & quidem vetuſto: ad* Diomedem *referri omnia hæc, qui & princeps* Hippolyto *rem divinam obierit. In* Trœzene *autem Sacerdos* Hippolyto; *cum Vitâ prorogatur Sacerdotium; & anniverſaria celebrantur ſacra. Moris eſt illud quoque ut ante Nuptias Puellæ reſectos illi offerant Crines.* Hæc ille. Quæ omnia ſumpſit ex *Pauſan.* Corinthiac. fol. 74. lin. 38. & deinceps. *Joſua Barnes.*

'Aει

Ἀεὶ δὲ μουσοποιὸς εἰς σὲ παρθένων
Ἔσται μέριμνα, κοὐκ ἀνώνυμος πεσὼν
Ἔρως ὁ Φαίδρας εἰς σὲ σιγηθήσεται.
Σὺ δ', ὦ γεραιοῦ τέκνον Αἰγέως, λαβὲ
Σὸν παῖδ' ἐν ἀγκάλαισι, καὶ προσέλκυσαι·
Ἄκων γὰρ ὤλεσάς νιν. « Ἀνθρώποισι δὲ,
« Θεῶν διδόντων, εἰκὸς ἐξαμαρτάνειν.
Καὶ σοὶ παραινῶ, πατέρα μὴ στυγεῖν σέθεν,
Ἱππόλυτ'· ἔχεις γὰρ μοῖραν, ᾗ διεφθάρης.
Καὶ χαῖρ'· ἐμοὶ γὰρ οὐ θέμις φθιτοὺς ὁρᾶν,
Οὐδ' ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς·
Ὁρῶ δέ σ' ἤδη τοῦδε πλησίον κακοῦ.
Ιπ. Χαίρουσα καὶ σὺ στεῖχε, παρθέν' ὀλβία·
Μακρὰν δὲ λείποις ῥᾳδίως ὁμιλίαν.
Λύω δὲ νεῖκος πατρὶ, χρηζούσης σέθεν·
Καὶ γὰρ πάροιθε σοῖς ἐπειθόμην λόγοις.
Αἶ, αἶ· κατ' ὄσσων κιχάνει μ' ἤδη σκότος.
Λαβοῦ, πάτερ, μου, καὶ κατόρθωσον δέμας.
Θη. Οἴμοι, τέκνον, τί δρᾷς με τὸν δυσδαίμονα;
Ιπ. Ὄλωλα, καὶ δὴ νερτέρων ὁρῶ πύλας.
Θη. Ἦ τὴν ἐμὴν ἄναγνον ἐκλιπὼν φρένα;
Ιπ. Οὐ δῆτ', ἐπεί σε τοῦδ' ἐλευθερῶ φόνου.
Θη. Τί φής; ἀφίης αἵματός μ' ἐλεύθερον;
Ιπ. Τὴν τοξόδαμνον Ἄρτεμιν μαρτύρομαι.
Θη. Ὦ φίλταθ', ὡς γενναῖος ἐκφαίνῃ πατρί.
Ιπ. Ὦ χαῖρε καὶ σὺ, χαῖρε πολλά μοι, πάτερ.
Θη. Οἴμοι φρενὸς σῆς εὐσεβοῦς τε, κἀγαθῆς.
Ιπ. Τοιῶνδε παίδων γνησίων εὔχου τυχεῖν.
Θη. Μή νυν προδῷς με, τέκνον, ἀλλὰ καρτέρει.
Ιπ. Κεκαρτέρηται τἄμ', ὄλωλα γὰρ, πάτερ·
Κρύψον δέ μου πρόσωπον, ὡς τάχος, πέπλοις.
Θη. Ὦ κλείν' Ἀθηνῶν, Παλλάδος θ' ὁρίσματα,
Οἵου στερήσεσθ' ἀνδρός· ὦ τλήμων ἐγώ.
Ὡς πολλὰ, Κύπρι, σῶν κακῶν μεμνήσομαι.

Ἀνάπαιστοι.

Χο. Κοινὸν τόδ' ἄχος πᾶσι πολίταις
Ἦλθεν ἀέλπτως.
Πολλῶν δακρύων ἔσται πίτυλος.
« Τῶν γὰρ μεγάλων ἀξιοπενθεῖς
« Φῆμαι, μᾶλλον κατέχουσιν.

Semper verò virginum de te muſicæ
Cantilenæ erunt, nec ignotus lapſus
In te amor Phædræ tacebitur.
Tu verò, ô fili ſenis Ægei, ſuſcipe
Tuum filium in ulnas, & attrahe, *i.e. complectere,*
Invitus enim eum perdidiſti: homines verò
« Conſentaneum eſt peccare, diis permittentibus.
Et te adhortor, ut non odio proſequaris tuum patrem,
Hippolyte: tenes enim fatum, quo periiſti,
Et vale: nam non fas eſt mihi intueri mortuos,
Neque polluere oculos animam efflantis, *ac morientis* anhelitu:
Video enim te jam vicinum eſſe huic malo.
Hip. Læta & tu vade, beata virgo:
Longumque relinquas leviter *noſtrum* colloquium.
Rixas verò cum patre ſuſceptas dimitto, *ſic* te volente:
Nam & ante *ſemper* tuis obtemperavi verbis.
Heu, heu! venit mihi caligo jam in oculos,
Accipe me, pater, & erige corpus.
The. Hei mihi, fili; quid mihi facis miſero?
Hip. Perii. & jam video portas inferorum.
The. An *moreris* relinquens pollutam mentem meam?
Hip. Nequaquam, quandoquidem te libero ab hâc cæde.
The. Quid ais? dimittis me liberum à culpâ necis?
Hip. Teſtor Dianam ſagittis *feras* domantem.
The. O chariſſime, quàm generoſus es erga patrem.
Hip. O pater, vale & tu; vale plurimum.
The. Heu mentem tuam piam & bonam.
Hip. Opta te conſequi tales genuinos liberos.
The. Nè utique deſeras me fili, ſed fortis ſis.
Hip. Quicquid erat mihi forte, abiit: perii enim, pater:
Tegito autem faciem meam quàm celerrimè peplis.
The. O celebres fines Athenarum, & Palladis,
Quali viro orbabimini! ô ego miſer.
Quàm ſæpe, ô Venus, recordabor tua mala.

Chorus.

Communis hic luctus omnibus civibus
Venit præter ſpem.
Multarum lacrymarum erit impetus.
« Nam præſtantium *virorum* digni luctu, *triſtéſque*
« Rumores, *hominum animos* magis occupant *ac movent.*

1437. Οὐ θέμις) καὶ ἐν τῇ Ἀλκήστιδι ὁ Ἀπόλλων, Ἐγὼ δὲ, μὴ μίασμά μ' ἐν δόμοις κίχῃ. Λείπω μελάθρων τῶνδε φιλτάτην στέγην.

Κατόρθωσον) ὀρθὸν κατάκλινον, ὃ τοῖς εἰώθασι ποιεῖν ἐπὶ τῶν ἀποθνησκόντων.

Κοινὸν) τοῦτο ὁ χορὸς ἐπιλέγει Ἱππολύτου ἀποθανόντος, κοινὸν φησὶ τοῦτο τὸ πάθος πᾶσι τοῖς πολίταις κατέλαβεν ἀπροσδοκήτως.

1465. Πίτυλος) ὁρμὴ, φορὰ, πλήμμυλημα. οἱ γὰρ ἀναξίως πάσχοντες θρῆνον ἐμποιοῦσιν. αἱ γὰρ ἀξιοπενθεῖς φῆμαι τῶν λαμπρῶν. Μᾶλλον δὲ, ἀντὶ τοῦ μάλιστα. συγκριτικὸν ἀντὶ τοῦ ὑπερθετικοῦ.

Εὐριπίδου Ἱππολύτου Στεφανηφόρου Τέλος.

Euripidis Hyppolyti *Coronati* Finis.

ANNOTATIONES.

V. 1444. Κιχάνει) De hâc voce, quod priorem *aliquandò* productam habeat & mediam *aliquandò* longam, probabimus mox ad *Alceſt.* v. 477. Ἄδμητον ἐν δόμοισιν ἄρα κιχάνω. Item ad *Helen.* v. 603. & *Ion.* v. 701. *Joſua Barnes.*

V. 1451. Τὴν τοξόδαμνον) Vox *Æſchylea*, de quâ *Gerard. Joh. Voſſius* Inſtitut. Poet. l.2. c.14. §. 15. Dicitur παρὰ τὸ τόξοις δαμᾶν.

V. 1457. Κεκαρτέρηται &c.) Vide ſuprà ad v. 73. Καρτέρει autem vox repetitur ex illo, quòd *Theſeus* dixerit, ἀλλὰ καρτέρει in præcedente; reſpondet itaque moribundus Juvenis, *Non jam illi eſſe tempus* τοῦ καρτερεῖν, utpote qui à Vitâ ipsâ jam tum deſtituebatur; nec enim Verbum unquam poſt dixeras. *Idem.*

Ornatiſ-

Ornatiſſimo Viro,

Literarum *Græcarum* & *Latinarum* Fautori

Doctiſſimo,

Bibliothecæ *COTTONIANÆ* Inſtructiſſimæ

Poſſeſſori, Cuſtodi & Patrono,

Ipſi Viventi Bibliothecæ,

ΦΙΛΟΚΑΡΟΛΩ, ΦΙΛΟΜΗΡΩ,

Domino *JOHANNI COTTON*

De *STRATTON Bedford.* Baronetto,

Hanc *ALCESTIDIS* Fabulam

Grati Animi Pignus Sacram Voluit

JOSUA BARNES.

Ὑπόθεσις ΑΛΚΗΣΤΙΔΟΣ.

Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως Ἄδμητος τελευτᾶν μέλλων, παράσχῃ τινὰ τὸν ὑπὲρ αὐτοῦ τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνῳ ζήσῃ. καὶ Ἄλκηστις ἡ γυνὴ ἐπέδωκεν ἑαυτὴν, μηδετέρου τῶν γονέων ἐθελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ, τῆς συμφορᾶς ταύτης γενομένης, Ἡρακλῆς παραγενόμενος, καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν δὲ Ἄδμητον ἠξίου, λαβόντα τηρεῖν. εἰληφέναι δὲ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, ἀποκαλύψας, ἔδειξεν ἣν ἐπένθει.

Argumentum ALCESTIDIS.

Apollo precibus-obtinuerat à *Parcis*, ut *Admetus* jam moriturus, alium præberet, qui pro ipſo moreretur, ut ipſe iterum viveret tamdiu quàm antea vixiſſet. *Alceſtis* autem conjux ſeipſam dedit illi periculo, neutro parente volente pro filio mori. Non multo poſt quàm hic caſus accidit, *Hercules* interveniens, cùm à famulo quodam didiciſſet ea, quæ acciderant, perrexit ad ſepulchrum, & cogit mortem diſcedere, Veſte autem Mulierem tegit. *Admetum* verò rogat, ut eam ad ſe recipiat & cuſtodiat, [illegible] enim dicebat cepiſſe eam præmium in pugnâ: non volente autem illo, retegens oſtendit ei, quam lugebat.

ἌΛΛΗ.

Ἄλκηστις ἡ Πελίου θυγάτηρ ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασώζεται, βιασαμένου τοὺς χθονίους θεοὺς, καὶ ἀφελομένου τὴν γυναῖκα. Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φεραῖς μιᾷ πόλει τῆς Θετταλίας. Ὁ δὲ χορὸς συνέστηκεν ἔκ τινων πρεσβυτῶν ἐντοπίων, οἳ καὶ παραγίνονται συμπαθήσοντες τῇ Ἀλκήστιδος συμφορᾷ.

ALIUD.

Alceſtis *Peliæ* filia, quæ pro ſuo Viro mori ſuſtinuerat, ab *Hercule*, tum in *Theſſaliâ* peregrè agente, ſalva eripitur; quùm Deos inferos Mulierem remittere vi coegiſſet. Scena Fabulæ eſt in *Pheris*, urbe *Theſſaliæ*. Chorus conſtat ex Senibus indigenis, qui adſunt *Alceſtidis* caſum miſerantes.

Totam hujus Fabulæ Hiſtoriam breviter tractat *Eraſmus* in Adagio, *Admeti* Nænia, dicto. *Buchananus Latino* verſo donavit hanc Fabulam: Extat inter illius Opera. Hiſtoria extat *Euſtath.* fol. 326. lin. 30. Huc refer *Apollodori* Bibl. l. 1. c. 9. §. 15. &c. *Palæphati* περὶ ἀπίστων ἱστοριῶν, ubi in Capite περὶ Ἀλκήστιδος, totius Fabulæ mentem aperit ac valdè probabiliter exponit. *Joſua Barnes.*

ΕΥΡΙΠΙΔΟΥ

ΕΥΡΙΠΙΔΟΥ ΑΛΚΗΣΤΙΣ.

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ.	PERSONÆ hujus Fabulæ ſunt hæ.
ΑΠΟΛΛΩΝ.	APOLLO.
* ΘΑΝΑΤΟΣ.	ORCUS.
ΧΟΡΟΣ, πρεσβυτῶν Φεραίων.	CHORUS Senum Pheræorum.
ΗΜΙΧΟΡΙΟΝ.	SEMICHORUS.
ΘΕΡΑΠΑΙΝΑ ΑΛΚΗΣΤΙΔΟΣ.	ANCILLA ALCESTIDIS.
ΑΛΚΗΣΤΙΣ.	ALCESTIS.
ΘΕΡΑΠΩΝ.	SERVUS.
ΑΔΜΗΤΟΣ.	ADMETUS.
ΕΥΜΗΛΟΣ, Ἀδμήτου παῖς.	EUMELUS, Admeti filius.
ΗΡΑΚΛΗΣ.	HERCULES.
ΦΕΡΗΣ, Ἀδμήτου πατήρ.	PHERES, Admeti Pater.
ΚΩΦΟΝ ΠΡΟΣΩΠΟΝ.	MUTA PERSONA, Admeti viz. & Alceſtidis filia.

Προλογίζει δὲ ὁ Ἀπόλλων. — **Prologum autem agit *Apollo*.**

* Θάνατος) In *Aldinâ* Editione, & in illâ, quam ornavit *Gaſpar Stiblinus*, Χάρων hic ponitur contra omne Decorum & Poetæ ipſius Mentem, qui *Apollinem* inducit eum Θάνατον vocantem v. 24. Ἤδη δὲ τόνδε Θάνατον εἰσορῶ πέλας. Quare autem non *Mors*, ſed *Orcus* à me vertitur, vid. infra Not. ad v. 28.

ARGUMENTUM *Actûs* Primi.

APollo *prologum agens Fabulæ occaſionem aperit*, Orcúmque *mortis miniſtrum* Alceſtidis *capiti imminentem exorare fruſtrà conatur.* Chorus *Civium* Pheræenſium, *ſparſo rumore de Periculo Reginæ, Regiis aſtans foribus, anxius eventum expectat: Deſertáque omnia videns variis conjecturis animum exercet. Compatitur demùm* Admeto *& tam bono Principe indignam Fortunam plorat. Ancilla forâs egreſſa, quid rerum intùs gereretur, exponit. Hinc Affectus Auditorum excitantur.* Eumelus *& ejus Pater* Admetus *defunctam* Alceſtin *complorant: Sequitur illius Funeris Curatio & Publica Epicedia.* Chorus *illius Mortem luctu & lamentis proſequitur; laudes interim ejus canens & immortale Nomen precans ob conjugalem Pietatem.*

ΑΠΟΛΛΩΝ, ΘΑΝΑΤΟΣ, ΧΟΡΟΣ, ΘΕΡΑΠΑΙΝΑ.

Ἴαμβοι. — *Apollo.*

Ω Δώματ' Ἀδμήτει', ἐν οἷς ἔτλην ἐγὼ
Θῆσσαν τράπεζαν αἰνέσαι, θεός περ ὤν.
Ζεὺς γὰρ κατακτὰς παῖδα τὸν ἐμὸν αἴτιος,
Ἀσκληπιόν, στέρνοισιν ἐμβαλὼν φλόγα·
Οὗ δὴ χολωθεὶς τέκτονας δίου πυρὸς

O Domus Admeti, in quâ ſuſtinui ego
Servilem menſam boni-conſulere, quamvis eſſem deus.
Jupiter enim interfecto filio meo, autor *fuit hujus meæ ſervitutis*,
Æſculapio, pectoribus immiſſo fulmine.
Cujus *rei causâ* ego iratus, fabros dialis ignis, *i.e. fulminis*,

Ὦ δώματ' Ἀδμήτει', ἐν οἷς ἔτλην ἐγὼ θῆσσαν τράπεζαν) θητικὴν δίαιταν. Θῆσσαν τράπεζαν) ἡ διὰ σώματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ, αὕτη δέ, ᾗ κέχρηται νῦν Εὐριπίδης. οὕτω δέ φησι καὶ Ἡσίοδος, καὶ Ἀσκληπιάδης ἐν τραγῳδουμένοις. Φερεκύδης δὲ οὔ φησι τοὺς Κύκλωπας ὑπὸ Ἀπόλλωνος ἀνῃρῆσθαι, ἀλλὰ τοὺς υἱοὺς αὐτῶν, γράφων οὕτω, παρ' αὐτὸν τὸν Ἄδμητον ἔρχεται Ἀπόλλων θητεύσων ἐνιαυτὸν Διὸς κελεύσαντος, ὅτι κτείνει τοῦ Βρόντεω καὶ Στερόπεω καὶ Ἄργεω παῖδας. κτείνει δὲ αὐτοὺς Ἀπόλλων Διὶ μεμφθείς, ὅτι κτείνει Ζεὺς Ἀσκληπιὸν τὸν παῖδα αὐτοῦ κεραυνῷ ἐν Πυθῶνι. ἀνίστη γὰρ ἰώμενος τοὺς τεθνεῶτας. Ἀναξανδρίδης δὲ ὁ Δελφός φησι, θητεῦσαι αὐτόν, διότι τὸν Πυθῶνα δράκοντα ἀνεῖλεν. Ῥιανὸς δὲ φησίν, ὅτι ἑκὼν ἐδούλευσεν αὐτῷ δι' ἔρωτα τοῦ Ἀδμήτου. καὶ περὶ μὲν τῆς Ἀπόλλωνος ¶ θητείας ταῦτα. Ἀπολλόδωρος δέ φησι, κεραυνωθῆναι τὸν Ἀσκληπιὸν ἐπὶ τῷ τὸν Ἱππόλυτον ἀναστῆσαι. * Ἀμελησαγόρας δέ, ὅτι Γλαῦκον. Πανύασις, ὅτι Τυνδάρεων. οἱ δὲ † Ὀρφικοί, ὅτι Ὑμέναιον. Στησίχορος δὲ ἐπὶ Καπανεῖ καὶ Λυκούργῳ. Φερεκύδης ἐν τῇ ἱστορίᾳ τοὺς ἐν Δελφοῖς φησὶ θνήσκοντας αὐτὸν ἀναβιῶσαι. Φύλαρχος δὲ διὰ τοὺς Φινείδας, Τελέσαρχος δὲ δι' Ὠρίωνα, Πολύαρχος δὲ ὁ Κυρηναῖος διὰ τὸ τὰς Κρεούσης θυγατέρας αὐτὸν ἰάσασθαι, κεραυνωθῆναι φησίν. Αἰνέσαι) εὐαρεστῆσαι, καταδέξασθαι. 5. Οὗ δὴ χολωθεὶς) ἀνθ' οὗ τοῦ Ἀσκληπιοῦ. Τέκτονας) τὸν Στερόπην τε καὶ Ἄργην, οὓς ὑπηρέτας τῶν Κυκλώπων κλεῖσι.

¶ Præter rationes Fabulæ de *Apollinis* ſervitio à Scholiaſtâ hic datas, ſciendum eſt Doctos & Pios homines, qui ψυχῶν προΰπαρξιν tenent, per *Apollinem* Animam intelligere, quæ *Jove* irato à cœlo ad *Hyperboreos* relegata, hinc in terram, h.e. in Corpus detruſa, *Admeti* greges pavit, *Trojæ* mœnia condidit &c. quæ ſunt opera humana; tandem ad *Hyperboreos* receſſit, hoc eſt ad defunctorum ſpiritus, poſtremò *Jovi* reconciliata in cælos rediit. Vid. *Scholiaſten Apollonii Rhodii* ad Argon. l. 2. v. 677. Ἤλυθ' ἐπ' ἀντιπέραια δήμου Ὑπερβορέων ἀνθρώπων. Et ad l. 4. v. 614. Λητοΐδης ἱερὸν [illegible], Οὐρανὸν αἰγλήεντα λιπὼν ἐκ πατρὸς ἐνιπῆς. Item *Herodot.* in *Melpomene*. Et *Cæl. Rhodig.* l. 16. c. 22. *Joſua Barnes.*

* Ἀμελησαγόρας) olim Ἀμελαγόρας. Vid. *Johan. Meurſii* ad *Antigon. Caryſt.* c. 12. Notas; ubi *Amelesagoram* ab *Antigono* laudatum verum nomen probat. *Joſua Barnes.*

† Ὀρφικοί) Hi Scriptores ita dicti, quòd ſingularem Hiſtoriam *Orphei*, Carmine ſunt perſecuti, ut *Phoronidis*, *Europiæ*, *Titanomachiæ*, *Gigantomachiæ*, *Alcmæonidæ*, *Heracleidæ*, *Theſeidis* & *Danaidis* Authores, Hiſtorias particulares tractaverint *Phoronei*, *Europæ*, *Titanum*, *Gigantum*, *Alcmæonis*, *Herculis*, *Theſei* & *Danai*; Vide in Notis noſtris ad *Medeæ* Argumentum. *Joſua Barnes.*

ANNOTATIONES.

V. 2. Θῆσσαν τράπεζαν) à Θὴς *ſervus*, Θῆσσα *ſerva*, & hoc in loco *Servilis*, unde Θητεύειν *ſervire Mercedis causâ*, infrà v. 6. Ita in *Electrâ* v. 205. Θῆσσαν ἑστίαν dixit, in quem locum vide quæ Not. Hunc locum in Deorum Gentilium dedecus profert *Athenagoras* in Legatione pro *Chriſtianis* ut & verſum octavum & nonum, Ἔνθαδ' ἐγὼ γαῖαν ἤνεσα &c. quem videſis. Idem facit *Clemens Alexandrinus* in Protreptico ad Gentes, ubi in hanc rem hæc ex *Panyaſi* profert, Τλῆ μὲν Δημήτηρ, τλῆ δὲ κλυτὸς Ἀμφιγυήεις· Τλῆ δὲ Ποσειδάων· τλῆ δ' ἀργυρότοξος Ἀπόλλων Ἀνδρὶ παρὰ θνητῷ θητευέμεν εἰς ἐνιαυτόν, Τλῆ δὲ καὶ ὀβριμόθυμος Ἄρης ὑπὸ πατρὸς ἀνάγκης. Qui locus ex illo *Homeri* Iliad. ε. v. 385. Τλῆ μὲν Ἄρης &c. *Joſua Barnes.*

Κτείνω Κύκλωπας· καί με θητεύειν πατὴρ
Θνητῷ παρ' ἀνδρὶ τῷδ' ἄποιν' ἠνάγκασεν.
Ἐλθὼν δὲ γαῖαν τήνδ', ἐβουφόρβουν ξένῳ,
Καὶ τόνδ' ἔσωζον οἶκον ἐς τόδ' ἡμέρας.
Ὁσίου γὰρ ἀνδρὸς, ὅσιος ὢν ἐτύγχανον,
Παιδὸς Φέρητος, ὃν θανεῖν ἐρρυσάμην,
Μοίρας δολώσας. ᾔνεσαν δέ μοι θεαὶ,
Ἄδμητον ᾅδην τὸν παραυτίκ' ἐκφυγεῖν,
Ἄλλον διαλλάξαντα τοῖς κάτω νεκρόν.
Πάντας δ' ἐλέγξας καὶ διεξελθὼν φίλους,
Πατέρα, γεραιάν θ', ἥ σφ' ἔτικτε, μητέρα,
Οὐχ εὗρε πλὴν γυναικὸς, ἥτις ἤθελε
Θανεῖν πρὸ κείνου,* μηκέτ' εἰσορᾶν φάος.
Ἣ νῦν κατ' οἴκους ἐν χεροῖν βαστάζεται
Ψυχορραγοῦσα. τῇδε γάρ σφ' ἐν ἡμέρᾳ
Θανεῖν πέπρωται καὶ μεταστῆναι βίου.
Ἐγὼ δὲ,* μὴ μίασμά μ' ἐν δόμοις κίχῃ,
Λείπω μελάθρων τῶνδε φιλτάτην στέγην·
Ἤδη δὲ τόνδε Θάνατον εἰσορῶ πέλας,
Ἱερῆ θανόντων, ὅς νιν εἰς ᾅδου δόμους
Μέλλει κατάξειν· συμμέτρως δ' ἀφίκετο
Φρουρῶν τόδ' ἦμαρ, ᾧ θανεῖν αὐτὴν χρεών.

Ἀνάπαιστοι.

Θά. Ἆ, ἆ, ἆ, ἆ, ἆ.
Τί σὺ πρὸς μελάθροις;
Τί σὺ τῇδε πολεῖς,
Φοῖβ'; ἀδικεῖς αὖ τιμὰς ἐνέρων
Ἀφοριζόμενος, καὶ καταπαύων.
Οὐκ ἤρκεσέ σοι μόρον Ἀδμήτου
Διακωλῦσαι, μοίρας δολίῳ
Σφήλαντι τέχνῃ; νῦν δ' ἐπὶ τῇδ' αὖ
Χέρα τοξήρη φρουρεῖς ὁπλίσας,
Ἣ τόδ' ὑπέστη, πόσιν ἐκλύσα-
σ' αὐτὴν προθανεῖν, Πελίου παῖς.

Ἴαμβοι.

Απ. Θάρσει· δίκην τε, καὶ λόγους κεδνοὺς ἔχω.
Θά. Τί δῆτα τόξων ἔργον, εἰ δίκην ἔχεις;
Απ. Σύνηθες αἰεὶ ταῦτα βαστάζειν ἐμοί.
Θά. Καὶ τοῖσδέ γ' οἴκοις ἐκδίκως προσωφελεῖν;
Απ. Φίλου γὰρ ἀνδρὸς συμφοραῖς βαρύνομαι.
Θά. Καὶ νοσφιεῖς με τοῦδε δευτέρου νεκροῦ;
Απ. Ἀλλ' οὐδ' ἐκεῖνον πρὸς βίαν σ' ἀφειλόμην.
Θά. Πῶς οὖν ὑπὲρ γῆς ἐστι, κοὐ κάτω χθονός;
Απ. Δάμαρτ' ἀμείψας, ἣν σὺ νῦν ἥκεις μέτα.

* an μηδ' ἔτ', vel μηδ' ἔτ'.

* Vid. [illegible] Hippolyt. v.1437.

Occidi Cyclopas: itaque me ſervire pater
Mortalem apud virum horum pro multâ coegit.
Cùm igitur veniſſem in hanc terram, boves pavi hoſpitis;
Et ſervavi hanc domum uſque in hunc diem.
Pii enim viri pia domus erat,
Admeti filii Pheretiſ, quem liberavi à morte,
Parcis deceptis. Promiſerunt enim mihi deæ,
Admetum præſentem mortem effugiturum eſſe,
Alio cadavere Inferis factâ permutatione dato.
Cùmque omnes exploraret & circumiret amicos,
Patrem, & anum matrem, quæ ipſum peperit,
Neminem tamen invenit præter conjugem, quæ vellet
Mori pro ipſo, & non ampliùs intueri hanc lucem;
Quæ nunc in ædibus manibus geſtatur,
Agens animam: eam enim in hoc die
Fatale eſt mori, & diſcedere ex vitâ.
Ego verò, ne me piaculum in domo deprehendat,
Relinquam ædium hæc chariſſima tecta:
Jam enim hunc Orcum video prope *nos eſſe*,
Sacerdotem mortuorum, qui ipſam *Admeti conjugem* ad Inferos
Eſt deducturus: convenienter autem advenit,
Hunc diem obſervans, quo fatale eſt eam mori.

Orcus.

Ehem, ehem; ah, ha!
Quid tu ad ædes has?
Quid tu verſaris hìc,
Phœbe? rurſus injuſtè facis, inferorum honores
Carpens & minuens, *vel tollens.*
Non ſatis tibi fuit fatum Admeti
Impedire, Parcas doloſâ
Decipienti technâ? nunc verò quid huic iterum
Manum arcu armatam ſervas?
Quæ hoc promiſit, maritum liberatu*r*a
[illegible] ſe pro *eo* morituram, Peliæ filia.

Apollo.

Bono ſis animo, Jus enim & rationes bonas habeo.
Orc. Quid igitur arcu opus eſt, [illegible] jure ag[illegible]?
Ap. Uſitatum eſt mihi ſemper hæc geſtare.
Orc. An ut etiam injuſtè his ædibus opituleris?
Ap. Angor enim calamitatibus amici viri.
Orc. Et defraudabis me etiam hoc altero mortuo?
Ap. At ne illum quidem per vim tibi abſtuli.
Orc. Quom. igit. ſupra terrâ eſt *ac vivit*, non autem ſub terrâ *latet*?
Ap. Quia uxorem permutavit, ad quâ abducendam tu nunc venis.

8. Ἐβουφόρβουν) ἔνεμον, ἀπὸ τοῦ διαφυλάττω ζῶα τοῦ βόσκω.

9. Ἐς τόδ' ἡμέρας) μέχρι τέλους ταύτης τῆς ἡμέρας τοῦ δεῦρο, προσυπακουστέον τὸ λέγεις, ἢ τὸ θῆς.

16. Ἥ σφ' ἔτικτε) μήτηρ Ἀδμήτου ἡ Κλυμένη, ἐγγὺς τοῦ θανάτου οὖσα.

22. Ἐγὼ δὲ μὴ μίασμα) καὶ ἐν Ἱππολύτῳ, ἐμοὶ γὰρ οὐ θέμις φθιτοὺς ὁρᾶν.

26. Συμμέτρως) συγκαίρως. μετρήσας ταύτην τὴν ἡμέραν, ἐν ᾗ ἐπέπρωτο αὐτὴν ἀποθανεῖν, τουτέστι πρὸς αὐτὸν τὸν ὅρον καὶ τὸ μέτρον ἦλθεν.

28. Ἆ ἆ) ὁ θάνατος ὁρᾷ τὸν Ἀπόλλωνα πρὸ θυρῶν, καὶ δέδοικε, μὴ αὐτὴν ῥύσηται τοῦ θανάτου, ὥσπερ τὸν Ἄδμητον.

32. Ἀφοριζόμενος) ἀποτεμνῶν, ἀφορίζων.

33. Οὐκ ἤρκεσέν σοι) τὰς μοίρας τῇ δολίῳ τέχνῃ ἀπατήσαντα τὸν μόρον Ἀδμήτου κωλῦσαι.

39. Θάρσει. δίκην) εἰ μετὰ τοῦ δικαίου φησὶ φθέγγῃ, τίς ἡ αἰτία τῶν τόξων;

ANNOTATIONES.

V. 8. Ἐλθὼν δὲ γαῖαν τήνδ') Hoc diſtichum profert *Athenagoras* in Legatione pro *Chriſtianis* fol. 22. ut ſuprà notavimus, cum levi aliquâ variatione, ibi enim legitur Ἐλθὼν δ' ἐς αἶαν.

V. 28. Θάνατος) *Latinè* verto *Orcus*, Hoc hujus Perſonæ Nomen *Latinum* appoſui, non modò quòd *Orcus* cùm Maſculini ſit generis, magis cum voce Θάνατος congruat, quàm *Mors*; ſed etiam *Macrobii* Authoritate, qui hanc Perſonam ſub hoc nomine inductam agnoſcit. *In hâc enim (inquit) fabulâ in Scenam Orcus inducitur, gladium geſtans* &c. *Saturnal.* l. 5. c. 19. Vid. de hâc re copiosè differentem *Jacob. Nicolaum Loenſem* in Miſcell. Epiphill. l.3.c.4. & infrà [illegible] v.77. ubi *Virgil.* vocatur *Orcus*. *J. Barnes.*

V. 38. Αὐτὴν) αὐτοῦ mavult *Canterus* & *Joſ. Scaliger*: ſed & αὐτὴν ſtare poteſt.

V. 41. Σύνηθες αἰεὶ ταῦτα βαστάζειν ἐμοί·) Arcus erat *Apollinis* Inſigne, ut Fulmen *Jovis*, Tridens *Neptuni*, Bidens *Plutonis*, Framea *Martis*, Clava *Herculis*, Thyrſus *Bacchi*, Haſta *Minervæ*.

Θα. Καὶ

Θά. Κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα.
Απ. Λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἄν, εἰ πείσαιμί σε.
Θά. Κτείνειν, ὃν ἂν χρή· τοῦτο γὰρ τετάγμεθα.
Απ. Οὐκ· ἀλλὰ τοῖς μέλλουσι θάνατον ἐμβαλεῖν.
Θά. Ἔχω λόγον γε, καὶ προθυμίαν σέθεν.
Απ. Ἔστ' οὖν, ὅπως Ἄλκηστις ἐς γῆρας μόλοι;
Θά. Οὐκ ἔστι· τιμαῖς κἀμὲ τέρπεσθαι δόκει.
Απ. Οὔτοι πλέον γ' ἄν, ἢ μίαν ψυχὴν λάβοις.
Θά. Νέων φθινόντων, μεῖζον ἄρνυμαι κλέος.
Απ. Κἂν γραῦς ὄληται, πλουσίως ταφήσεται.
Θά. Πρὸς τῶν ἐχόντων, Φοῖβε, τὸν νόμον τίθης.
Απ. Πῶς εἶπας; ἀλλ' ἦ καὶ σοφὸς λέληθας ὤν;
Θά. Ὠνοῖντ' ἄν, οἷς πάρεστι, γηραιοὺς θανεῖν.
Απ. Οὔκουν δοκεῖ σοι τήνδε μοι δοῦναι χάριν;
Θά. Οὐ δῆτ'· ἐπίστασαι δὲ τοὺς ἐμοὺς τρόπους.
Απ. Ἐχθρούς γε θνητοῖς, καὶ θεοῖς στυγουμένους.
Θά. Οὐκ ἂν δύναιο πάντ' ἔχειν, ἃ μή σε δεῖ.
Απ. Ἦ μὴν σὺ παύσῃ, καίπερ ὠμὸς ὢν ἄγαν,
Τοῖος Φέρητος εἶσι πρὸς δόμους ἀνήρ,
Εὐρυσθέως πέμψαντος ἵππειον μέτα
Ὄχημα, Θρῄκης ἐκ τόπων δυσχειμέρων.
Ὃς δὴ ξενωθεὶς τοῖσδ' ἐν Ἀδμήτου δόμοις,
Βίᾳ γυναῖκα τήνδε σ' ἐξαιρήσεται.
Κοὔθ' ἡ παρ' ἡμῶν σοι γενήσεται χάρις,
Δράσεις θ' ὁμοίως ταῦτ', ἀπεχθήσῃ τ' ἐμοί.
Θά. Πόλλ' ἂν σὺ λέξας, οὐδὲν ἂν πλέον λάβοις.
Ἡ δ' οὖν γυνὴ κάτεισιν εἰς ᾅδου δόμους.
Στείχω δ' ἐπ' αὐτήν, ὡς κατάρξωμαι ξίφει·
Ἱερὸς γὰρ οὗτος τῶν κατὰ χθονὸς θεῶν,
Ὅτου τόδ' ἔγχος κρατὸς ἁγνίσῃ τρίχα.

Ἀνάπαιστοι.

Ημ. Τί ποθ' ἡσυχία πρόσθε μελάθρων;
Τί σεσίγηται δόμος Ἀδμήτου;
Ημ. Ἀλλ' οὐδὲ φίλων τις πέλας οὐδείς,

Orc. Et quidem abducam ſub terram ad inferos.
Ap. Accipiens *eam* abi: neſcio enim, an tibi perſuadere poſſim.
O. Occidere videlicet illū quē oportet; ad hoc enim inſtructi ſumus.
Ap. Non: ſed cunctantes *ſenes* interficere.
Orc. Habeo rationem, & ſtudium tuum.
Ap. Licétne igitur, ut Alceſtis ad ſenectutem perveniat?
Orc. Non licet; me quoque honore delectari potes.
Ap. Certè non plus unā animā poteris auferre.
Orc. Quum juvenes obeunt, majorem conſequor gloriam.
Ap. Si verò anus moriatur, ſplendidiùs ſepelietur.
Orc. Utilem divitibus, Phœbe, legem ponis.
Ap. Quid dixiſti? an etiam per imprudentiam ſapiens es?
Orc. Redimerent, quibus facultas adeſt, ut ſenes morerentur.
Ap. An non igitur placet tibi dare mihi hoc beneficium?
Orc. Non certè: noſti enim meos mores.
Ap. Infenſos hominibus, & diis inviſos.
Orc. Non poſſes omnia obtinere, quæ non convenit te *habere*.
Ap. Certè tu miteſces, quanquam ſis valde crudelis.
Talis vir ad hanc Pheretis domum venit,
Miſſus *Hercules* ab Euryſtheo equeſtrem ad
Currum *Diomedis abducendum*, Thraciæ ex locis frigidis,
Qui in his Admeti ædibus hoſpitio exceptus,
Per vim tibi hanc mulierem eripiet.
Nec ulla tibi à nobis erit gratia,
Et tamen hæc facies, & mihi eris inviſus.
Orc. Etiamſi tu multa dicas, nihil tamen plus obtinebis.
Hæc enim mulier deſcendet in Plutonis domos.
Accedo autem ad eam, ut gladio ſacra auſpicer:
Iſte enim *eſt* ſacer diis inferis,
Cujus hic gladius luſtrārit capillum capitis.

Chorus.

Quodnam *eſt hoc* ſilentium ante atria?
Cur tacet domus Admeti?
Sem. An nullus amicorum prope eſt,

Κτείνειν ὃν ἂν χρή) εἰς τοῦτο μὲν δεῖν ἡμᾶς τὸ φονεύειν, ὃν ἂν πέπρωται. Οὐκ ἀλλὰ τοῖς μέλλουσι) οὐ τοὺς χρὴ κτείνειν, οὐ πέπρωται, ἀλλὰ μᾶλλον πρὸς ἔλαττον ῥέπειν, καὶ μόνοις γέρουσι θάνατον ἐπάγειν. καὶ ἄλλως. οὐ χρὴ τοῦτό σε θέλω ποιοῦντα, τὸ κτείνειν ὃν ἂν χρή. τοῦτο γὰρ ὁμολογεῖται. ἀλλ' εἰς τὸ τοὺς γεγηρακότας ἀπαίρειν. καὶ ἄλλως. οὐ χρὴ ἐγώ σε λέγω φονεύειν δεινόν, ὅτι πέπρωται, ἀλλὰ τοῖς γεγηρακόσι θάνατον ἐμβαλεῖν. Μέλλουσι θάνατον) τοῖς γεγηρακόσι. τοῦτο γὰρ λέγει μέλλουσι. βραδύνουσι γὰρ ἐν τῷ ζῆν οἱ μέλλοντες, καὶ ἄλλως. Οὐκ ἔστι· τιμαῖς κἀμὲ) ὅταν γὰρ τιμὰς λάβωσιν οἱ νεκροί, ὁ θάνατος ἥδεται. καὶ Ὅμηρος, † Τύμβῳ τε, στήλῃ τε, τὸ γὰρ γέρας ἐστὶ θανόντων. Οὔ τοι πλέον γ' ἂν) ἐὰν τὸ νῦν αὐτὴν λάβοις, ἐὰν τὴν γεγηρακυῖαν, ἕξεις τὸ πλέον ἢ μίαν ψυχὴν λαβεῖν. Νέων φθινόντων) ὁ Θάνατός φησιν ἐπὶ νέων τελευτώντων, καθὸ ἐν τούτοις αὐτοῖς δείκνυται ἰσχὺς καὶ δυνατὸς ἐνδείκνυται, οὐ τῆς φύσεως διὰ γῆρας τούτους καταβαλούσης, ἀλλὰ τοῦ καταπαλαίσαντος τὴν νεότητα. ἢ καθὸ δείκνυται καθαρῶς καὶ ἀδωροδοκήτως ὑπηρετῶν ταῖς μοίραις, ὑπερορῶν δωρεὰς καὶ θυσίας προσφερομένας ὑπ' αὐτῶν. * Μόνος γὰρ θεῶν θάνατος οὐ δώρων ἐρᾷ. ἢ καθὸ μέγας ὁ θρῆνος, καὶ πολλὰ τὰ δάκρυα, καὶ ἀξιοπενθὲς τὸ πάθος, καὶ μέγιστος ὁ χρόνος, μὴ μαλάσσων τὴν συμφοράν. ὁ δὲ Ἀπόλλων, καί τι νοήσας τὸ λεχθέν, ἀναλογίζεται τὸν θάνατον, φάσκων, ὅτι κἂν γραῦς θάνῃ ἡ Ἄλκηστις, ἀξίως ταφήσεται, τὸ μεῖζον γέρας λέγων ἐπὶ πολυτελεῖ ταφῇ, ὅθεν ὁ Θάνατός φησι νόμον σὺ παραβάλλῃ τοῖς πλουσίοις θάπτεσθαι τοὺς ἔχοντας. καὶ τοῦτο νομίζεις γέρας ἐμόν, ἐγὼ δὲ γέρας φημὶ τὸ ἐπὶ νέῳ νεανιεύεσθαι. Κἂν γραῦς ὄληται) ὁ μὲν Ἀπόλλων λέγει ἐπὶ τῆς Ἀλκήστιδος, ὅτι ἐὰν γενομένη γραῦς ἀποθάνῃ, πλουσίως θάπτεται. ὁ δὲ καθόλου ἔλαβε, καὶ φησὶ τὸν νόμον τίθης, ὦ Ἀπόλλων, ὑπὲρ τῶν πλουσίων λέγων. ὠνήσονται γὰρ οἱ πλούσιοι γέροντες εἰς θάνατον, διὸ Ἀπόλλων φησὶν αὐτὸν πανούργως εἰρηκέναι. Τοῖος Φέρητος) τὸ ἑξῆς τοῖος ἀνὴρ τοῦ Εὐρυσθέως μεταπέμψαντος τὸ ὄχημα ἐκ τῶν τόπων τῆς Θρῄκης. Στείχω δ' ἐπ' αὐτὴν) ἵνα ἀπαρχὴν τῶν τριχῶν λάβω, ὡς ἔθος ὄντος τὸν θάνατον τοῦ μέλλοντος ἀποθνήσκειν, τὴν κόμην τέμνειν. Ἱερὸς γὰρ οὗτος) οὗτος γὰρ ὁ ἄνθρωπος τῶν κατὰ χθονὸς θεῶν ἀνιερωμένος ἐστὶ τοῖς καταχθονίοις δαίμοσιν, οὗ ἂν τὸ ξίφος μου τὴν τρίχα τέμνει. 78. Τί ποθ' ἡσυχία) ἐκ προσώπου Φεραίων ὁ χορός. διαιρεῖται δὲ εἰς δύο ἡμιχόρια.

† Homer. Iliad. π'. v. 457. * Æſchyli verſus, Μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ. Vid. Euſtath. in Homer. fol. 744. lin. 3.

ANNOTATIONES.

V. 56. Φθινόντων) Prior ſyllaba in φθίνω Homero ſemper longa, hic corripitur, ut & infrà v. 201. Sic in τίνω ſæpè obſervavimus, præcipuè ad *Iphigen.* Taur. v. 336. In φθινάς autē corripitur ab omnibus.

V. 57. Κἂν γραῦς ὄληται, πλουσίως ταφήσεται) Quod Majores natu ſplendidiùs ſepelirentur, Vid. *Joh. Kirchmanni* de Funerib. *Roman.* l. 1. c. 4. *Joſua Barnes.*

V. 60. Ὠνοῖντ' ἄν) Vid. *Æmilii Porti* notas ad hunc verſum. Nonnulli legunt, Ὄναιντ' ἄν, *i.e.* Gaudeant & ſuo fato fruantur, quibus datum eſt ſenes mori. Sed Ὠνοῖντο præſtat, ut hactenus omnes libri habent, legere, & hæc lectio *Buchanano* placuit, qui exponit, [*Res ampla quibus eſt, Redimerent Mortis moras.*] *Idem.*

V. 77. Ὅτου τόδ' ἔγχος κρατὸς ἁγνίσῃ τρίχα) Exiſtimabant Antiqui eos, qui Morti eſſent proximi, à *Proſerpinā* primùm tonderi & his quaſi primitiis Orco initiari, nec aliter diem ſuum obire poſſe. Hinc *Virgil.* Æn. l. 4. v. 698. &c.

Nondum illi flavum Proſerpina *vertice crinem*
Abſtulerat, Stygióque caput damnaverat Orco.
Ergo Iris croceis per cœlum roſcida Pennis
Devolat & ſupra caput aſtitit: Hunc ego Diti
Sacrum juſſa fero; teque iſto corpore ſolvo.
Sic ait & dextrā crinem ſecat: Omnis & unà
Dilapſus calor.

Quin *Statius* in *Glauciæ* Epicedio v. 146.

Septima lux: Et jam frigentia lumina torpent;
Jam complexa manu crinem tenet Infera Juno.

Horatius demum *Carm.* l. 1. Od. 28.

Miſta ſenum ac juvenum denſantur Funera: Nullum
Sæva Caput Proſerpina *fugit.*

Vid. *Guliel. Canterum* in Novar. Lection. l. 4. c. 20. Ubi hos omnes locos cum hoc *Euripidis* confert. Item *Macrobii* Saturn. l. 5. c. 19. Et *Adriani Turnebi* Adverſ. l. 19. c. 17. *Joſua Barnes.*

91. Μετακύμιος) ἐνδιαστάς, μετὰ τὸ κῦμα κατέχοντα περιέχων, ἀλλ' εἴθε φησίν, ὦ παιάν, φανείης μεταξὺ τοῦ κύματος τῆς ἄτης ταύτης. καὶ ἄλλως. ὥσπερ λέγομεν μεταίχμιον τὸ μεταξὺ τῆς μάχης διάστημα δύο στρατευμάτων, οὕτω μετακύμιον τὸ μεταξὺ τῶν δύο κυμάτων. Οὔτ' ἂν φθιμένας) ἀλλ' εἰ τὴν φησὶν ἀπέθανε, οὐκ ἂν ἐσιώπων ἐν τοῖς οἴκοις. 94. Οὐ γὰρ δὴ φροῦδος) οὐ γὰρ πρὸς τὸν οἶκον ἔλαθεν ἡμᾶς συγκομισθεῖσα, πόθεν οἶδας, ὅτι οὐκ ἐξεκομίσθη· οὐ γὰρ ἐγὼ αὐχῶ καὶ θαρρῶ. Πῶς ἂν ἔρημον τάφον) οὐκ ἂν φησὶν τὸν τάφον αὐτῆς ὁ Ἄδμητος ἐποίησε καθ' ἡσυχίας, ὥστε μηδένα γνῶναι. καὶ ἄλλως. πῶς ὄχλου χωρὶς τὴν ἐκφορὰν ἐποιήσατο Ἄδμητος, ἀγαθῆς γυναικὸς ἐκφορὰν ποιούμενος.

98. Πυλῶν πάροιθε) ὡς δ' ἐν τοῖς προθύροις ἀνθρώπου τεθνηκότος τὴν τρίχα, ἢ θρὶξ περὶ τῶν θυρῶν οὐκ ἔστι τετμημένη. καὶ ἄλλως. προεξυσμένας τὴν πηγαῖον χέρνιβα, τὴν ὕδατος πηγαίου πεπληρωμένην.

Οὐ δουπεῖ νεολαία γυναικῶν) νέα κυρίως ἡ ὁ ἐκ τῶν νέων ὄχλος. νῦν δὲ τὴν ἀκμάζουσαν, καὶ εὔτονον χεῖρα σημαίνει. λέγει δέ, ὅτι οὔτε κτύπος ἐπὶ χερῶν γυναικῶν. νέων δὲ διὰ τὸ μᾶλλον αὐτῶν ἐξακούεσθαι καὶ ἰσχύειν κτύπον. Διακναιομένων) φθειρομένων χρὴ πενθεῖν. κάκωσις γὰρ ἡ μάχαιρα.

110. Ἀλλ' οὐδὲ ναυκληρίαν) οὐδ' εἰ πλεύσειας, ἔστι τινα μαντείαν οὐδέ ἐστιν, ὅποι τῆς γῆς πέμψας λύσειν παρακαλοῦσιν τῆς δυστήνου Ἀλκήστιδος τὴν ψυχὴν καὶ τῆς δυστήνου τὴν ψυχὴν σῶσαι, καὶ παύσειν τῶν κακῶν. πλεονάζει γὰρ ὁ ἀττικός, καὶ καιρὸν οὐκ ἔχομεν διακονοῦντα τῇ προθυμίᾳ.

	Ὅστις ἂν ἐνέποι, πότερον φθιμένην	Qui dicat utrum mortuam
	Τὴν βασίλειαν χρὴ πενθεῖν, ἢ	Reginam lugere oporteat, an
	Ζῶσ' ἔτι φῶς λεύσσει Πελίου παῖς,	Adhuc vivens lumen *ſolis* videat Peliæ filia
	Ἄλκηστις, ἐμοί, πᾶσί τ' ἀρίστη	Alceſtis: quæ mihi quidem, & omnibus aliis optima
	Δόξασα γυνὴ	Mulier eſt viſa
	Πόσιν εἰς αὑτῆς γεγενῆσθαι;	Erga ſuum maritum fuiſſe?
Ημ.	Κλύει τις ἢ στεναγμὸν ἢ χερῶν κτύπον,	*Sem.* Auditne aliquis vel ejulatum, vel manuum ſtrepitum
	Κατὰ στέγας, ἢ γόον, ὡς πεπραγμένων;	In ædibus, vel luctum, tanquam re confectâ?
Ημ.	Οὐ μὰν οὐδέ τις ἀμφιπόλων	*Sem.* Imò verò ne ullus quidem ſervorum
	Στατίζετ' ἀμφὶ πύλας.	Stat ad portas.
	Εἰ γὰρ μετακύμιος ἄτας,	Utinam verò medius inter fluctus hujus calamitatis,
	Ἰὼ Παιάν, φανείης.	O Pæan, *ô Apollo malorum averruncator*, appareas.
Ημ.	Οὔτ' ἂν φθιμένας γ' ἐσιώπων· οὐ	*Sem.* Non tacerent *ſatis*, ſi eſſet mortua: non
	Γὰρ δὴ φροῦδός γ' ἐξ οἴκων νέκυς.	Enim jam ex ædibus cadaver elatum evanuit.
Ημ.	Πόθεν; οὐκ αὐχῶ· τί σε θαρσύνει;	*Sem.* Unde *hoc conjicis?* non glorior: quid tibi animum addit?
Ημ.	Πῶς ἂν ἔρημον τάφον Ἄδμητος	*Sem.* Quomodo ſolitarias exequias Admetus
	Κεδνῆς ἂν ἔπραξε γυναικός;	Dilectæ conjugis peregiſſet?
Ημ.	Πυλῶν πάροιθεν δ' οὐχ ὁρῶ	*Sem.* Non enim video ante fores
	Πηγαῖον, ὡς νομίζεται,	Fontanam (ut receptum eſt moribus)
	Γε, χέρνιβ' ἐπὶ φθιτῶν πύλαις,	Aquam cadaveri lavando deſtinatam, pro defunctorum foribus,
	Χαίτα τ' οὔ τις ἐπὶ προθύροις τομαῖ-	Comáque nulla [redacted] veſtibulum ſe-
	ος, ἃ δὴ νεκύων πένθει πιτνεῖ.	cta *eſt*, quæ profectò accidunt, *fieriq; ſolent in* luctu mortuorum.
	Οὐ δουπεῖ νεολαία γυναικῶν.	Non lamentatur cœtus juvenilis mulierum.
Ημ.	Καὶ μὴν τόδε δὴ κύριον ἦμαρ,	*Sem.* Atqui hæc eſt rata dies,
	Ὧι χρή σφε μολεῖν κατὰ γαίας.	Quâ fatale erat eam ſub terram ire, *i.e. mori.*
Ημ.	Καὶ τί τόδ' αὐδᾷς;	*Sem.* Quid verò hoc dixiſti?
Ημ.	Ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν.	*Sem.* Attigiſti animum, attigiſti etiam mentem.
Χο.	Χρὴ τῶν ἀγαθῶν διακναιομένων,	*Cho.* Decet, quando boni triſtantur,
	Πενθεῖν, ὅστις χρηστὸς ἀπ' ἀρχῆς νενόμισται.	Lugere, quiſquis bonus exiſtimatur ab initio.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. — ANTISTROPHICA.

Στροφή. — *Strophe.*

1 Ἀλλ' οὐδὲ ναυκληρίαν — 1 Verùm neque claſſem,

2 Ἔσθ' ὅποι τις αἴας — 2 Quocunque terrarum aliquis

3 Στείλας, ἢ Λυκίας, — 3 Mittens, vel in Lyciam,

4 Εἴτ' ἐπὶ τὰς ἀνύδρους — 4 Vel [redacted] ſiccas

5 *Ἀμμωνιάδας ἕδρας, — 5 Hammonis ſedes,

* Vid. *Electr.* v. 734. Ζηνὸς τ' Ἀμμωνίδος ἕδρας.

ANNOTATIONES.

V. 88. Στέγας) Non hic τὸ στέγος, [redacted] τὰς στέγας. Ita infra v. 247. Γέγονε τε καὶ μελάθρων στέγας legitur & τὸ στέγος. Vid. *Herc. Fur.* v. 905.

V. 90. Στατίζω) Verbum rarò quidem occurrens, at genuinum eſt à στατός, quod ab ἵστημι & ab *Heſychio* exponitur στάσιν ἔχω. Vid. *Lexica*.

V. 95. Οὐκ αὐχῶ) Liber *Heinſio-Scaligerianus* legit οὐ καυχῶ ingenioſè quidem, ſi καυχῶ extaret; ſed id mihi non conſtat, & tamen καυχάομαι agnoſco. Αὐχῶ eſt Authenticum. *Joſua Barnes.*

V. 96. Πῶς ἂν) De Duplici ἂν vid. *Hecub.* v. 1200.

V. 99. Πηγαῖον) *Aldina* Editio habet πηγαῖά τε, unde χέρνιβα erit Neutrius generis & pluralis numeri; ſin πηγαῖον erit ſingulare à χέρνιψ, utrumque autem vocabulum apud *Homerum*, & τὰ χέρνιβα & ὁ χέρνιψ. *Scholiaſtes* autem videtur legiſſe Πηγαίας, licet *Atticè* ſtabit πηγαῖον, ut κόσμιος γυνή. De hoc vale autem purificatorio, quod Ἀρδάνιον erat dictum, foribus functorum appenſo, ut & *Crine* de eorundem capite ſecto, vid. *Joh. Kirchmanni* de Funerib. *Roman.* l. 1. c. ultimo. *Joſua Barnes.*

V. 101. Χαίτα δ' οὔτις ἐπὶ προθύροις τομαῖος) De ſectis functorum capillis ante fores appendi ſolitis Vid. in Notis ad v. 99. Et *J. Kirchmann.* de Funerib *Roman.* l. 2. c. 15. *Joſua Barnes.*

V. 112. Λυκίας) Liber *Heinſio-Scaligerianus* legit hic Λιβύας, puto quòd *Ammonis* Oraculum ſit in *Libyâ*; ſed ob hoc ipſum ego retineo Λυκίας, quia diſtinguit hoc in loco ipſe Poeta inter Oracula *Lyciæ* & *Ammonis*. Et de *Ammonio* Oraculo vid. ad *Electr.* v. 734. de Oraculis verò *Lyciæ*, Vid. Interpretes *Virgil.* in locum *Æneid.* l. 4. v. 345.

Sed nunc Italiam magnam Gryneus Apollo;
Italiam Lyciæ *juſſere capeſſere ſortes.*

Item *Statii* Interpretes ad locum *Thebaid.* l. 1.

Phœbe Parens, ſeu te Lyciæ *Pataræa nivoſis*
Exercent Dumeta jugis &c.

Eſt autem *Patara* urbs *Lyciæ*, in quâ *Apollo* ſex Hybernis menſibus Oracula reddebat. Unde iterum *Virgil.* Æn. l. 4. v. 143.

Qualis ubi hybernam Lyciam *Xanthique fluenta*
Deſerit & Delum maternam inviſit Apollo &c.

Ubi notandum, quòd *Diana adulta Dicten in Cretâ, Apollo Lyciam occupavit: Delon, in quâ nati erant, Matri Latonæ conceſſerunt.* Interpretes *Pindari* in Pyth. Hinc *Hom.* Iliad. δ'. v. 101. Εὔχεο δ' Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξῳ. In quem vide Interpretes. Licet *Heraclides Ponticus* περὶ Ὁμήρου ἀλληγοριῶν pauló aliter hoc Epitheton exponat. Vid. etiam *Turnebi* Adverſ. l. 19. c. 29. vid. quæ Nos [redacted] *Rheſ.* v. 233. *Joſua Barnes.*

6 Δυσξένου

Δυστάνου παραλῦσαι
Ψυχάν· μόρος γὰρ ἀπότομος
Πλάθει. θεῶν δ' ἐπ' ἐσχάραις
Οὐκ ἔχω 'πὶ τίνα
Μηλοθύταν πορευθῶ.

'Αντιστροφή.

Μόνος δ' ἂν εἰ φῶς τόδ' ἦν
Ὄμμασιν δεδορκὼς
Φοίβου παῖς, προλιποῦ-
σ' ἦλθεν ἕδρας σκοτίους,
Ἀΐδα τε πύλας·
Δμαθέντας γὰρ ἀνίστη,
Πρὶν αὐτὸν εἷλε διόβολον
Πλῆκτρον πυρὸς κεραυνίου.
Νῦν δὲ τίνα βίου
Ἐλπίδα προσδέχωμαι;

'Ανάπαιστοι.

Πάντα γὰρ ἤδη τετέλεσται βασιλεῦσι,
Πάντων δὲ θεῶν ἐπὶ βωμοῖς
Αἱμόῤῥαντοι θυσίαι πλήρεις·
Οὐδ' ἔστι κακῶν ἄκος οὐδέν.

'Ιαμβοί.

Ἀλλ' ἥδ' ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
Δακρυῤῥοοῦσα· τίνα τύχην ἀκούσομαι;
“ Πενθεῖν μὲν, εἴ τι δεσπόταισι τυγχάνει,
“ Συγγνωστόν· εἰ δ' ἔτ' ἐστὶν ἔμψυχος γυνὴ,
Εἴτ' οὖν ὄλωλεν, εἰδέναι βουλοίμεθ' ἄν.
Θε. Καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.
Χο. Καὶ πῶς ἂν αὐτὸς κατθάνοι τε, καὶ βλέποι;
Θε. Ἤδη προνωπής ἐστι, καὶ ψυχοῤῥαγεῖ.
Χο. Ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις.
Θε. Οὔπω τόδ' οἶδε δεσπότης, πρὶν ἂν πάθῃ.
Χο. Ἐλπὶς μὲν οὐκ ἔτ' ἐστὶ σώζεσθαι βίον;
Θε. Πεπρωμένη γὰρ ἡμέρα βιάζεται.
Χο. Οὐκοῦν ἐπ' αὐτοῖς πράσσεται τὰ πρόσφορα;
Θε. Κόσμος γ' ἕτοιμος, ᾧ σφε συνθάψει πόσις.
Χο. Ἴστω νυν εὐκλεής γε κατθανουμένη,
Γυνή τ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ.
Θε. Πῶς δ' οὐκ ἀρίστη; τίς δ' ἐναντιώσεται;
Τί χρὴ γενέσθαι τὴν ὑπερβεβλημένην
Γυναῖκα; πῶς δ' ἂν μᾶλλον ἐνδείξαιτό τις
Πόσιν προτιμῶσ', ἢ θέλουσ' ὑπερθανεῖν;
Καὶ ταῦτα μὲν δὴ πᾶσ' ἐπίσταται πόλις·
Ἃ δ' ἐν δόμοις ἔδρασε, θαυμάσῃ κλύων.
Ἐπεὶ γὰρ ᾔσθεθ' ἡμέραν τὴν κυρίαν
Ἥκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
Ἐλούσατ'· ἐκ δ' ἑλοῦσα κεδρίνων δόμων

Hujus miſeræ liberare poſſit
Animam. Fatum enim crudele
Appropinquat. Deorum verò ad aras
Nullum ampliùs habeo
Sacerdotem, ad quem accedam.

Antiſtrophe.

Solus verò ſi in hâc luce eſſet
Oculis videns, *i.e.* vivens,
Phœbi filius *Æſculapius*, relictis,
Rediret *Alceſtis*, tenebricoſis ſedibus,
Et portis Plutonis:
Mortuos enim *Æſculapius* reſuſcitabat;
Priuſquam eum interfecit à Jove vibratum
Telum ignis fulminei.
Nunc verò quam vitæ
Spem arripiam?

Omnia enim quæ tentata ſunt regibus;
Ad omnes enim aras deorum
Cruenta ſacrificia abundant:
Et tamen horum malorum nullum eſt remedium.

Sed ecce quædam famularum ex ædibus egreditur
Lacrymans: quam novam fortunam audiam?
“ Lugere quidem, ſi quid heris accidit,
“ Veniam meretur: utrum autem adhuc ſit viva mulier,
An verò perierit, ſcire vellemus.
An. Et vivam dicere, & mortuam licet tibi.
Cho. Quomodo autem idem poteſt mortuus eſſe, & vivere?
An. Jam morti eſt vicina, & agit animam.
Cho. O miſer, quali qualis exiſtens *uxore* privaris!
An. Nondum hoc ſcit dominus priuſquam acciderit.
Cho. Nulla ſpes igitur ſervandæ vitæ ſupereſt?
An. Fatalis enim dies violentèr accedit.
Cho. Num igitur fiunt convenientia, ut in tali re?
An. Ornatus eſt paratus, quo eam ſepeliet maritus.
Cho. Scito nunc *illa*, quòd glorioſè morietur,
Longè optima mulier omnium, quæ ſub ſole ſunt.
An. Quomodo verò non optima? quis enim contradicet?
Quid convenit aliud facere præſtantiſſimam
Mulierem? quomodo enim magis oſtenderet ulla *conjux alia*
Se magni facere maritum, quàm ſi velit pro *eo* mori?
Et hæc quidem univerſa civitas novit:
At quæ domi egit, miraberis audiens.
Poſtquam enim ſenſit fatalem diem
Adeſſe, fluviali aquâ candidum corpus
Lavit, & accipiens ex cedrinis arcis

Τετέλεσται βασιλεῦσι) ἃ ἔδει ποιεῖν, τετέλεσται Ἀδμήτῳ. τὸ δὲ τὸ εὔξασθαι τὸ θῦσαι τοῖς θεοῖς τὰ πρόσφορα, ἐπὶ τοῖς εἰωθόσι τὰ προσήκοντα ὁ ἀνὴρ ποιεῖ. ἢ ἐπ' αὐτῇ τῇ Ἀλκήστιδι.

Πενθεῖν μὲν) τὸ μὲν γὰρ πενθεῖν, καὶ περὶ τοῦ πάθους συγγνώμης ἄξιον. λυπεῖ γάρ.

Προνωπὴς) προπεπτωκυῖα, προνενευκυῖα εἰς θάνατον.

ANNOTATIONES.

V. 120. Εἰ φῶς) aliàs εἰς φῶς. Vid. *Æmyl. Porti* Not. in locum.
V. 132. Αἱμόῤῥαντοι) Vid. Not. ad *Hippol.* v. 1173.
V. 141. Ἤδη προνωπὴς) Eadem vox paulò poſt ſequitur v. 184. De quâ præter *Schol.* Vid. quæ Nos ad *Androm.* v. 729. *Joſua Barnes.*

V. 158. Ἐλούσατ', ἐκ δ' ἑλοῦσα κεδρίνων δόμων Ἐσθῆτα &c.) De more lavandi Mortuos, & morituros, Vide quæ Nos ad *Phœniſſ.* v. 328. De honorificis autem eorum veſtibus, Vide *Johan. Kirchman.* de Funerib. *Roman.* l. 1. c. 10. *Joſua Barnes.*

Ἐσθῆτα,

Ἐσθῆτα, κόσμον τ᾽, εὐπρεπῶς ἠσκήσατο·
Καὶ στᾶσα πρόσθεν ἑστίας, κατηύξατο,
Δέσποιν᾽, ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονός,
Πανύστατόν σε προσπίτνουσ᾽ αἰτήσομαι,
Τέκν᾽ ὀρφανεῦσαι τἀμά· καὶ τῷ μὲν, φίλην
Σύζευξον ἄλοχον, τῇ δὲ, γενναῖον πόσιν.
Μηδ᾽ ὥσπερ αὐτῶν ἡ τεκοῦσ᾽ ἀπόλλυται,
Θανεῖν ἀώρους παῖδας, ἀλλ᾽ εὐδαίμονας
Ἐν γῇ πατρῴᾳ τερπνὸν ἐκπλῆσαι βίον.
Πάντας δὲ βωμοὺς, οἳ κατ᾽ Ἀδμήτου δόμους,
Προσῆλθε, κἀξέστεψε, καὶ προσηύξατο,
Πτόρθων ἀποσχίζουσα μυρσίνης φόβην,
Ἄκλαυστος, ἀστένακτος, οὐδὲ τοὐπιὸν
Κακὸν μεθίστη χρωτὸς εὐειδῆ φύσιν.
Κἄπειτα θάλαμον εἰσπεσοῦσα, καὶ λέχος,
Ἐνταῦθα δὴ δάκρυσε, καὶ λέγει τάδε.
Ὦ λέκτρον, ἔνθα παρθένει᾽ ἔλυσ᾽ ἐγὼ
Κορεύματ᾽ ἐκ τοῦδ᾽ ἀνδρὸς, οὗ θνήσκω πέρι,
Χαῖρ᾽· οὐ γὰρ ἐχθαίρω σ᾽. ἀπώλεσας δέ με
Μόνην. προδοῦναι γάρ σ᾽ ὀκνοῦσα, καὶ πόσιν,
Θνήσκω· σὲ δ᾽ ἄλλη τις γυνὴ κεκτήσεται,
Σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ᾽ ἴσως.
Κυνεῖ δὲ προσπίτνουσα· πᾶν δὲ δέμνιον
Ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.
Ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,
Στείχει προνωπὴς, ἐκπεσοῦσα δεμνίων.
Καὶ πολλὰ θαλάμων ἐξιοῦσ᾽ ἐπεστράφη,
Κἄρριψεν αὑτὴν αὖθις ἐς κοίτην πάλιν.
Παῖδες δὲ πέπλων μητρὸς ἐξηρτημένοι,
Ἔκλαιον· ἡ δὲ λαμβάνουσ᾽ ἐν ἀγκάλαις,
Ἠσπάζετ᾽ ἄλλοτ᾽ ἄλλον, ὡς θανουμένη.
Πάντες δ᾽ ἔκλαιον οἰκέται κατὰ στέγας,
Δέσποιναν οἰκτείροντες. ἡ δὲ δεξιὰν
Προὔτειν᾽ ἑκάστῳ. κοὔτις ἦν οὕτω κακὸς,
Ὃν οὐ προσεῖπε, καὶ προσερρήθη πάλιν.
Τοιαῦτ᾽ ἐν οἴκοις ἐστὶν Ἀδμήτου κακά.
Καὶ κατθανών γ᾽ ἂν ὤλετ᾽· ἐκφυγὼν δ᾽ ἔχει
Τοσοῦτον ἄλγος, οὔ ποτ᾽ ἐκλελήσεται.
Χο. Ἦπου στενάζει τοῖσιν Ἄδμητος κακοῖς,
Ἐσθλῆς γυναικὸς εἰ στερηθῆναί σφε χρή.
Θε. Κλαίει γ᾽ ἄκοιτιν ἐν χεροῖν φίλην ἔχων,
Καὶ μὴ προδοῦναι λίσσεται, τἀμήχανα
Ζητῶν· φθίνει γὰρ, καὶ μαραίνεται νόσῳ.
Παρειμένη δὲ χειρὸς ἄθλιον βάρος,
Ὅμως δὲ, καίπερ σμικρὸν ἐμπνέουσ᾽ ἔτι,
Κλέψαι προσαυγὰς βούλεται τὰς ἡλίου,
Ὡς οὔ ποτ᾽ αὖθις, ἀλλὰ νῦν πανύστατον

Veſtem, & ornamenta, decorè ſe ornavit;
Et ſtans ante aras precabatur:
O domina, ego enī ad inferos eo,
Poſtremum te adorans, petam,
Ut Orphanos meos cures & alteri quidem *illorum*, charam
Jungas conjugem, alteri verò generoſum maritum.
Neque, quemadmodum *ipſorum* parens perit, *ſic etiam* ipſorum
Moriantur immaturâ morte liberi: ſed felices
In ſolo patrio jucundam vitam impleant.
Ad omnes porrò aras, quæ erant in ædibus Admeti,
Acceſſit, illaſque coronavit, & precata eſt,
Avellens à myrti ramis comam, *i.e. frondes myrteas decerpens,*
Sine ejulatu, ſine gemitu: neque venturum
Malum mutabat florentem colorem cutis.
Deinde verò irruens in thalamum, & in lectum,
Ibi tunc lacrymari cœpit, & dixit hæc:
O lecte, in quo virgineam ſolvi ego
Puellæ zonam cum hoc viro, pro quo *jam* morior,
Vale: non enim te odi. Perdidiſti tamen me
Solam. Verita enim te prodere, & maritum,
Morior: alia verò aliqua mulier te poſſidebit,
Non quidem caſtior, ſed fortaſſe felicior.
Oſculabatur autem eum adcubita: totus verò lectus
Ex oculis manante rigabatur proluvie,
Poſtquam autem multarū lacrymarū hab. ſatietatē, *i.e. lac. ſatiat.*
Procedit extra thalamum, deſcendens à lecto:
Et ſæpe egreſſa ex thalamo, eodem *ſæpe* rediit,
Et abjecit ſe in lectum iterum atque iterum.
Liberi verò à matris veſte pendentes
Plorabant: illa verò ſuſcipiens in ulnas,
Salutabat aliis alium, tanquam jam moritura.
Omnes autem famuli in ædibus plorabant,
Dominam miſerantes: illa verò dextram
Porrigebat ſingulis: & nullus erat tam vilis,
Quem non alloqueretur, & compellaretur ab eo viciſſim.
Hæc mala ſunt in ædibus Admeti.
Et mortuus quidem periiſſet; nunc verò cum *mortem* effugerit,
Tamen tantum dolorem habet, cujus nunquam obliviſcetur.
Cho. Certè *vexatus* his malis gemet Admetus,
Siquidem eum oportet privari bonâ conjuge.
An. Jam plorat, in manibus habens charam conjugem,
Et precatur eam, ne ſe deſerat: impoſſibilia
Quærens: conſumitur enim, & contabeſcit morbo.
Jam enim ſolutæ ſunt miſeræ vires manuum:
Tamen, quamvis paululum adhuc ſpirans,
Vult ſuffurari ſplendidum lumen ſolis,
Quod nunquam rurſus, at nunc poſtremum

160. Πρόσθεν ἑστίας) εἰς πρὸς τὴν ἑστίαν λέγουσα αὐτήν. μετέβη δὲ ἐκ τοῦ ἐξηγητικοῦ ἐπὶ τὸ μιμητικόν.

163. Ὀρφανεῦσαι) ὀρφανοτροφῆσαι, ἐπιτροπεῦσαι. καὶ Ὀρφανισταὶ τοὺς ἐπιτρόπους λέγουσι.

Μυρσίνης φόβην) ὅ ἐστι τὰ φύλλα τῆς μυρσίνης.

Παρθένεια) τὰ τῆς παρθενείας κορεῖα. ὅ ἐστιν, ἔνθα κόρη οὖσα ἔλυσα τὴν παρθενίαν. τὸ ἑξῆς, ὦ λέκτρον χαῖρε.

Σώφρων μὲν) ἐμοῦ μὲν οὐ σωφρονεστέρα, εὐτυχὴς δὲ ἴσως.

Πλημμυρίδι) πλήθει δακρύων.

184. Προνωπὴς) ἔξωθεν τοῦ προνωποῦς θαλάμου.

Καὶ κατθανών γ᾽ ἂν) καὶ εἰ μὲν συνέβη αὐτὸν ἀποθανεῖν, μία ἦν λύπη τὸ θανεῖν αὐτόν. νῦν δὲ ἐκφυγὼν τὸν θάνατον, ἀντιλαμβάνεται ἔχει τὰ κακά.

Ἄθλιον βάρος) τὸ βάρος τῆς χειρὸς παραλελυμένον.

ANNOTATIONES.

V. 162. *Πανύστατόν σε προσπίτνουσ᾽*) τὸ σε in προσπίτνουσα brevis eſt, Vid. quæ Nos in *Phœniſſ.* v. 19.

V. 178. Ὀκνοῦσα) prima ſyllaba communis in hoc loco, vid. Not. ad *Phœniſſ.* v. 19.

V. 184. *Προνωπὴς*) Vide ſupra ad v. 141.

V. 201. Φθίνει) Prior ſyllaba Communis. Vid. ſuprà ad v. 56.

V. 204. *Κλέψαι προσαυγὰς*) Annon potiùs Βλέψαι πρὸς αὐγὰς, ita quidem *Æmylius Portus*. Certè προσαυγάζω unico verbo eſt inſolens dictio. *Duportus* βλέψαι legit.

Ἀκτῖνα

Ἀκτῖνα, κύκλον θ' ἡλίου προσόψεται.
Ἀλλ' εἶμι, καὶ σὴν ἀγγελῶ παρουσίαν·
" Οὐ γάρ τι πάντες εὖ φρονοῦσι κοιράνοις,
" Ὥς τ' ἐν κακοῖσιν εὐμενεῖς παρεστάναι.
Σὺ δ' εἶ παλαιὸς δεσπόταις ἐμοῖς φίλος.

Radios, globúmque ſolis ſit viſura.
Sed abibo, & tuam nunciabo præſentiam:
" Non enim omnes famuli bene volunt dominis.
" Ut benevoli accedant in malis.
Tu verò es vetus amicus dominis meis.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ἰὼ Ζεῦ, τίς ἂν πῶς πόρος κακῶν
Γένοιτο, καὶ λύσις τύχας,
Ἃ πάρεστι κοιράνοις;
Ἔξεισί τις· ἢ τέμω τρίχα,
Καὶ μέλανα στολμὸν πέπλων
Ἀμφιβαλώμεθ' ἤδη;
Θε. Δῆλα μὲν φίλοι, δῆλά γ'. ἀλλ' ὅμως
Θεοῖσιν εὐχώμεσθα" θεῶν
" Γὰρ ἁ δύναμις μεγίστη.
Ὦ 'ναξ Παιάν,
Ἔξευρε μηχανάν τιν' Ἀδμήτῳ κακῶν.
Πόριζε δὴ πόριζε.
Καὶ πάρος γὰρ τοῦδ' ἐφεῦρες,
Καὶ νῦν λυτήριος ἐκ θανάτου γενοῦ,
Φόνιόν τ' ἀπόπαυσον Ἅιδαν.
Χο. Παῖ, παῖ. φεῦ, φεῦ. Ἰώ, ἰώ. παῖ Φέρητος,
Οἷ' ἔπραξας δάμαρτος σῆς στερηθείς.
Αἶ, αἶ, ἄξια καὶ σφαγᾶς τάδε,
Καὶ πλεῖον ἢ βρόχῳ δέρην
Οὐρανίῳ πελάσσαι.
Τὰν γὰρ οὐ φίλαν,
Ἀλλὰ φιλτάτην γυναῖκα,
Κατθανοῦσαν ἐν ἤματι τῷδέ γ' ὄψει.
Ἡ δ' ἐκ δόμων δὴ καὶ πόσις προβαίνεται.
Στέναξον, ὦ βόασον, ὦ Φεραία χθὼν,
Τὰν ἀρίσταν γυναῖκα μαραινομέναν
Νόσῳ κατὰ γᾶν, χθόνιον παρ' Ἅιδην.
Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον, ἢ λυπεῖν,
Τοῖς τε πάροιθεν τεκμαιρόμενος,
Καὶ τάσδε τύχας λεύσσων βασιλέως.
Ὅς ἀρίστης ἀμπλακὼν ἀλόχου
Τῆσδ', ἀβίωτον τὸν ἔπειτα χρόνον βιοτεύσει.

MONOSTROPHICA.

Ch. O Jupiter! quis tandem exeundi modus ex malis
Erit, & finis fortunæ,
Quæ noſtris adeſt dominis?
Egreditur aliquis: an radā comam?
An atrum cultum veſtium
Induemus jam?
An. Manifeſta quidem, manifeſta certe res eſt, ô amici: ſed tamen
Deos precabimur, " Deorum
" Enim eſt potentia maxima.
O rex Apollo,
Invenias aliquam Admeto malorum vitandorum rationem.
Largire jam, largire eam:
Nam & antè inveniſti opem adverſus mala hujus:
Nunc quoque ſias liberator ex morte,
Mortiferumque profliga Plutonem.
Cho. Fili, fili. heu, heu! Io, io. fili Pheretis,
Quomodo rem geris, quàm affligeris, uxore tuâ privatus.
Heu, heu! digna & hæc ſunt cæde, quâ te cædas,
Et plus eſt, quàm laqueo collum
Sublimi admovere,
Non tantum enim charam,
Sed etiam chariſſimam conjugem
Iſto die mortuam videbis.
Sed hæc ex ædibus jam, & maritus egreditur.
Geme, ô vociferare, ô Pheræa tellus,
Quia optima mulier contabeſcit
Morbo ſub terrâ, infernum apud Plutonem.
" Nunquā affirmabo nuptias plus habere voluptatis, quàm doloris;
Conjecturam faciens & ex iis, quæ antea vidi,
Et hanc regis Admeti fortunam videns:
Qui amiſſa optima conjuge
Hîc, vivet poſthac miſeram vitam.

Οὐ γάρ τι πάντες) πλεῖστοι μὲν γὰρ πάντες ὡς ὑπήκοοι, οὐκ εὐμενεῖς δέ.

Τίς ἂν πόρος) τίς ἂν πόρος τῶν κακῶν ἡμῶν γένοιτο; ἢ πῶς, ἢ ποῦ;

Καὶ πάρος γὰρ) καὶ πρότερον γὰρ τούτου σὺ θανάτου εὗρες μηχανὴν, δι' ἧς τὸν Ἄδμητον ἔσωσας.

Ἄξια καὶ σφαγᾶς τάδε) ἃ πέπονθας, ἄξια καὶ σφαγῆς ἐστι.
Ἢ βρόχῳ δέρην) καὶ μεῖζον τοῦ βρόχῳ ἀποθανεῖν τινά. βρόχῳ δὲ οὐρανίῳ ἀντὶ τοῦ μετεώρῳ.

Ἡ δ' ἐκ δόμων δὴ) ἐκ τοῦ. κατὰ γὰρ ὑπόθεσιν, ὡς ἔσω στρεφομένη δεῖ ταῦτα θεωρεῖσθαι.
Κατὰ γᾶν) πρὸς τὸν καταχθόνιον ᾅδην.
Τοῖς τε πάροιθεν) ἐκ τῶν παλαιῶν τεκμαιρόμενος καὶ τὰ νῦν.

ANNOTATIONES.

V. 228. Ἄξια καὶ σφαγᾶς τάδε, Καὶ πλεῖον, ἢ βρόχῳ δέρην Οὐρανίῳ πελάσσαι) Summam hæc Deſperationem indicant, ad quam redactus jam *Admetus* nil reliquum ſibi habere videtur, quam ut reſtim ſibi emat arboremque ſuſpendio deligat. Vide hunc locum explicantem *Eraſmum* in Adagio, *Suſpendio deligenda Arbor*, Chiliad. I. Cent. 10. Adag. 21. Huic affine & illud, *Mandare laqueum*, Chiliad. ii. Cent. iv. Proverb. 67. *Joſua Barnes.*

ARGUMENTUM *Actûs* Secundi.

P*athetica inter* Admetum *&* Alceſtin *morientem extremæ confabulationes: Illius demùm obteſtationes & lacrymæ; fatúmque inſuperabile, quo tamen Mariti ſervandi causâ volens optimo Viro Optima Mulier eripitur.* Chorus *defunctam celebrat.*

ΑΛΚΗΣΤΙΣ, ΑΔΜΗΤΟΣ, ΧΟΡΟΣ, ΕΥΜΗΛΟΣ,

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α′.

Αλ. 1 Ἅλιε, καὶ φάος ἡμέρας,
2 Οὐράνιαί τε δῖναι
3 Νεφέλας δρομαίαν.
Αδ. 4 Ὁρᾷ σε, κἀμὲ, δύο κακῶς πεπραγότας,
5 Οὐδὲν θεοὺς δράσαντας, ἀνθ᾽ ὅτου θανῇ.

Ἀντιστροφὴ α′.

Αλ. 1 Γαῖά τε, καὶ μελάθρων στέγαι,
2 Νυμφίδιαί τε κοῖται
3 Πατρίας Ἰωλκοῦ.
Αδ. 4 Ἔπαιρε σαυτὴν, ὦ τάλαινα, μὴ προδῷς·
5 Λίσσου δὲ τοὺς κρατοῦντας οἰκτεῖραι θεούς.

Στροφὴ β′.

Αλ. 1 Ὁρῶ δίκωπον, ὁρῶ σκάφος.
2 Νεκύων δὲ πορθμεὺς, ἔχων χέρ᾽ ἐπὶ κοντῷ,
3 Χάρων μ᾽ ἤδη καλεῖ· τί μέλλεις;
4 Ἐπείγου, σὺ κατείργεις, τάδ᾽ ἕτοιμα.
5 Σπερχόμενος ταχύνει.
Αδ. 6 Οἴμοι· πικράν γε τήνδε μοι ναυκληρίαν
7 Ἔλεξας· ὦ δύσδαιμον, οἷα πάσχομεν.

Ἀντιστροφὴ β′.

Αλ. 1 Ἄγει μ᾽, ἄγει μέ τις, οὐχ ὁρᾷς,
2 Νεκύων ἐς αὐλὰν, ὑπ᾽ ὀφρύσι κυαναυ-
3 γέσι βλέπων πτερωτὸς ᾅδας.
4 Τί ῥέξεις; ἄφες. οἵαν ὁδὸν ἁ δει-
5 λαιοτάτα προβαίνω.
Αδ. 6 Οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν, μάλιστ᾽ ἐμοὶ,
7 Καὶ παισὶν, οἷς δὴ πένθος ἐν κοινῷ τόδε.

Ἐπῳδός.

Αλ. Μέθετε, μέθετέ μ᾽ ἤδη.
Κλίνατέ μ᾽· οὐ σθένω
Ποσὶ, πλησίον ᾅδας.
Σκοτία δ᾽ ἐπ᾽ ὄσσοισι νὺξ ἐφέρπει.
Τέκνα, τέκν᾽, οὐκ ἔτι δὴ,
Οὐκ ἔτι δὴ μάτηρ σφῷν ἔστιν,
Χαίροντες, ὦ τέκνα, τόδε φάος ὁρῷτον.
Αδ. Οἴμοι· τόδ᾽ ἔπος λυπρὸν ἀκούω,
Καὶ παντὸς ἐμοὶ θανάτου μεῖζον.
Μὴ πρὸς τῶν θεῶν τλῇς με προδοῦναι,
Ἀλλ᾽ ἀνατόλμα.
Σοῦ γὰρ φθιμένης, οὐκ ἔτ᾽ ἂν εἴην.
Ἐν σοὶ δ᾽ ἐσμὲν καὶ ζῆν, καὶ μή·
Σὴν γὰρ φιλίαν σεβόμεσθα.

ANTISTROPHICA.

Strophe 1.

1. *Al.* O Sol & lumen diei,
2 Et cæleſtes turbines
3 Nubium volitantium.
4 *Ad.* Videt te & me ambos calamitoſos,
5 Nihil in deos peccantes, pro quo moriaris.

Antiſtrophe 1.

Al. 1 O terra, & atriorum tecta,
2 Nuptialéſque thalami,
3 Patriæ Iolci.
Ad. 4 Erige te ipſam, ô miſera, ne me prodas:
5 Et precare deos *rerum* dominos, ut tui miſereantur.

Strophe 2.

Al. 1 Video biremem, video ſcapham,
2 Mortuorum autem portitor habens manum ad contum,
3 Charon me jam vocat, quid, inquit, cunctaris?
4 Feſtina, tu remoraris, cætera parata ſunt.
5 *Ità feſtinans Charon me nunc* accelerat.
Ad. Heu mihi, acerbam hanc mihi navigationem
7 Dixiſti: ô miſera, quàm acerbe affligimur.

Antiſtrophe 2.

Al. 1 Abducit me, abducit me quis (non vides?)
2 In aulam mortuorum, ex cæruleis ſuperciliis
3 Torvum tuens alatus Pluto.
4 Quid agis? dimitte: qualem viam ego miſer-
5 rima ingredior.
Ad. 6 Calamitoſam amicis, poſtea verò mihi maximè,
7 Et liberis, quibus hic luctus communis *eſt*.

Epodus.

Al. Dimittite, dimittite me jam.
Inclinate me; non valeo
Pedibus, propè mors *adeſt*.
Tenebricoſa verò nox in oculos ſerpit.
O liberi, liberi, non ampliùs jam,
Non ampliùs jam veſtra mater ſupereſt,
Læti, ô filii, hoc lumen intuemini.
Ad. Heu mihi, audio hunc triſtem ſermonem,
Et qualibet morte mihi majorem, *i.e. graviorem*.
Per deos rogo, ne velis me deſerere,
Sed animum recipe:
Te enim mortuâ ego non ampliùs ero.
Penes enim te eſt, ut vivam, vel non vivam:
Tuam enim amicitiam colimus.

Οὐράνιαί τε) ἀντιστρόφως εἴρηκεν, ἀντὶ τοῦ οὐράνιαί τε νεφέλαι, διὰ δίνης δρομαίας τῆς ἀεικινήτου περιφορᾶς.

Ὁρᾷ σε κἀμὲ) τοῦτο φησὶν ἀποδεικνύων, ὡς τῶν εἰς θεοὺς ἁμαρτανόντων ἐκκοπτομένων.

Ἔχων χεῖρ᾽) εἰκῇ φησὶ δεδόσθαι τὰ περὶ τῆς ἐν τῷ Ἀχέροντι πορθμείας, ὡς μαρτυρεῖ καὶ Δοῦρις ἐν τῷ ις′ τῶν Λακεδαιμονικῶν, ὅτι ἐν Ἰωλκῷ ἐνυμφεύθη. Ἰωλκοῦ γὰρ Πελίας ἐβασίλευσεν.

Χάρων μ᾽ ἤδη καλεῖ) καλεῖ με φησὶν ὁ Χάρων ταῦτα λέγων, τί μέλλεις; ἐπείγου.

Σπερχόμενος) ταῦτα ἐπειγόμενα ἔχων ταχύνει.

Ὦ δύσδαιμον) ἐπειδὴ περὶ Πελίου ὁ λόγος. Δύσδαιμον) ὦ ἀθλία Ἄλκηστι.

Νεκύων εἰς αὐλὰν) πτερωτὸς ᾅδας. Θάνατος αἰφνίδιος, ὠκυδρόμος, περιφερής· εἶχεν γὰρ γυναῖκά με· ὅπου ἄγει βιαίως εἰς αὐλὰν τῶν Νεκρῶν, ἤγουν εἰς Νεκροδοχεῖον.

Οἰκτρὰν φίλοισιν) προβαίνεις εἰς ὁδὸν τοῖς φίλοις οἰκτρὰν. ἐκ δὲ τῶν φίλων ἐμοὶ μάλιστα οἰκτράν. παῖδες Ἀδμήτου Εὔμηλος καὶ Περιμήλη.

Οὐ σθένω ποσὶ) οὐκ ἔτι ἀντέχω. ὁ γὰρ ᾅδης πλησίον, μέθετέ με, ὡς κατεχομένη ὑπὸ τοῦ Χάρωνος λέγει.

Ὁρῷτον) ὁρᾶτε· δυϊκῶς φησὶν χαίροντας ὑμᾶς τόδε φάος ὁρᾶν.

Μὴ πρὸς θεῶν με) μὴ προδῶς με μὴ πρὸς τῶν παίδων, οὓς μέλλεις καταλιπεῖν ὀρφανοὺς, ἐὰν ἀποθάνῃς.

ANNOTATIONES.

V. 243. Ἡμέρας) Quòd aliquando *Dorica* importunè proferantur & viceversâ agnoſco: ſed hîc ἡμέρας placet ob ſonûs dulcedinem & communiter legitur. Vide autem *Æmylium Portum* de hoc loco. Nec is tamen errore caret, qui hanc Dialectorum variationem errorem putat. Vide *Andromach.* v. 270. &c.

V. 271. Οὐκ ἔτι δὴ μάτηρ σφῷν ἔστιν) Εἰμὶ pro Ζάω, *ſum* pro *ſuperſum* aut *vivo*. Vide quæ Nos ad *Hippolyt.* v. 357. *Joſua Barnes.*

Ἴαμβοι.

Ἴαμβοι.

Αλ. Ἄδμηθ', ὁρᾷς γὰρ τἀμὰ πράγμαθ' ὡς ἔχει,
Λέξαι θέλω σοι, πρὶν θανεῖν, ἃ βούλομαι.
Ἐγώ σε πρεσβεύουσα, κἀντὶ τῆς ἐμῆς
Ψυχῆς καταστήσασα φῶς τόδ' εἰσορᾶν,
Θνήσκω, παρόν μοι μὴ θανεῖν, ὑπὲρ σέθεν,
Ἀλλ' ἄνδρα τε σχεῖν Θεσσαλῶν, ὃν ἤθελον,
Καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι,
Οὐκ ἠθέλησα ζῆν ἀποσπασθεῖσά σου
Σὺν παισὶν ὀρφανοῖσιν· οὐδ' ἐφεισάμην,
Ἥβης ἔχουσα δῶρ', ἐν οἷς ἐτερπόμην.
Καίτοι σ' ὁ φύσας, χ' ἡ τεκοῦσα προὔδοσαν,
Καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,
Καλῶς δὲ σῶσαι παῖδα, κεὐκλεῶς θανεῖν.
Μόνος γὰρ αὐτοῖς ἦσθα· κοὔτις ἐλπὶς ἦν,
Σοῦ κατθανόντος, ἄλλα φυτεύσειν τέκνα.
Κἀγώ τ' ἂν ἔζων, καὶ σὺ τὸν λοιπὸν χρόνον,
Κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες,
Καὶ παῖδας * ὠρφάνευες· ἀλλὰ ταῦτα μὲν
Θεῶν τις ἐξέπραξεν, ὥσθ' οὕτως ἔχειν.
Εἶεν· σὺ δ' ἡμῖν τήνδ' ἀπομνῆσαι χάριν.
Αἰτήσομαι γάρ σ' ἀξίαν μὲν οὔποτε,
“ Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον·
Δίκαια δ', ὡς φήσεις σύ· τούσδε γὰρ φιλεῖς
Οὐχ ἧσσον, ἢ 'γὼ παῖδας, εἴπερ εὖ φρονεῖς.
Τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων,
Καὶ μὴ 'πιγήμῃς τοῖσδε μητρυιὰν τέκνοις,
Ἥτις κακίων οὖσ' ἐμοῦ γυνή, φθόνῳ
Τοῖς σοῖσι κἀμοῖς παισὶ χεῖρα προσβαλεῖ.
Μὴ δῆτα δράσῃς ταῦτά γ', αἰτοῦμαί σ' ἐγώ.
“ Ἐχθρὰ γὰρ ἡ 'πιοῦσα μητρυιὰ τέκνοις
“ Τοῖς πρόσθ', ἐχίδνης οὐδὲν ἠπιωτέρα.
Καὶ παῖς μὲν ἄρσην, πατέρ' ἔχει πύργον μέγαν,
Ὃν καὶ προσεῖπε, καὶ προσερρήθη πάλιν.
Σὺ δ', ὦ τέκνον μοι, πῶς κορευθήσῃ καλῶς;
Ποίας τυχοῦσα συζύγου τῷ σῷ πατρί,
Μή σοί τιν' αἰσχρὰν προσβαλοῦσα κληδόνα,
Ἥβης ἐν ἀκμῇ σοὺς διαφθείρῃ γάμους;
Οὐ γάρ σε μήτηρ οὔτε νυμφεύσει ποτὲ,
Οὔτ' ἐν τόκοισι σοῖσι θαρσυνεῖ, τέκνον,
“ Παροῦσ', ἵν' οὐδὲν μητρὸς εὐμενέστερον.
Δεῖ γὰρ θανεῖν με· καὶ τόδ' οὐκ εἰς αὔριον,

* Vid. infrà v. 535. & suprà v. 163.

Alcestis.

Admete (vides enim quomodo ſe res meæ habent)
Dicere cupio tibi, priuſquam moriar, quæ volo.
Ego te honore afficiens, & pro me à
Vitâ conſtituens te ut lucem hanc aſpicias, *i.e. ut vivas*,
Morior *nunc* pro te: cum liceret mihi non mori,
Sed habere virum Theſſalum, quemcunque vellem,
Et habitare domum beatam regno.
Non volui *tamen* vivere à te avulſa
Cum liberis orbis patre, nec peperci mihi,
Auroræ habens dona, quibus oblectarer.
Atqui pater tuus, & mater *te* prodiderunt,
Cum tamen deceret ipſos honeſtè mori *pro filii* vitâ,
Honeſtè etiam ſervare filium, & glorioſè mori.
Solus enim ipſis eras: nec ulla ſpes erat,
Te mortuo, ipſos genituros aliam ſobolem.
Et ego vixiſſem, & tu reliquum tempus,
Nec tu orbatus tuâ conjuge gemeres,
Neque liberos orbos educares. Verum hæc quidem
Deorum aliquis effecit ut ita ſe haberent.
Sed ſit ita. Tu v. nobis hanc *tanti beneficii* memor redde gratiam.
Nunquam enim à te dignam poſtulabo,
“ (Nam nihil eſt vitâ precioſius.)
Juſtam tamen, ut ipſe dices (hos enim amas
Non minus quàm ego, liberos, ſiquidem ſapis)
Hos patere dominos meæ domûs *eſſe*.
Et non ſuperinducas novercam his liberis;
Quæ cùm me deterior ſit mulier, ex invidiâ
Meis & tuis liberis manus injiciet.
Nè facias igitur hæc, abs te peto.
“ Noverca enim *uxori* ſuccedens, liberis *eſt* inimica
“ Prioribus, nihiloq; mitior quàm vipera.
Et filius quidē maſculus, patrē habet magnum propugnaculum,
Quem jam affatus eſt, & à *quo* compellatus eſt viciſſim.
Tu verò, ô filia mea, quomodo virginitatem-tranſiges honeſtè?
Qualem nacta conjugem tui patris,
Nè tibi aliquam turpem imponens famam,
In ipſo pubertatis flore corrumpat tuas nuptias?
Non enim mater te unquam nuptui dabit,
Nec in partu tuo te confirmabit animum addens, ô filia,
Præſens, ubi nihil *eſt* matre benevolentius.
“ Oportet enim me mori: & hoc non in craſtinum,

Ἄδμηθ' ὁρᾷς) τὸ ἑξῆς, Ἄδμητε, λέξαι σοι θέλω. Ἀντὶ τῆς ἐμῆς ψυχῆς) ἐξόν μοι, σοῦ ἀποθανόντος, ἄνδρα ἔχειν μόνον τῶν Θεσσαλῶν, οὐκ ἠθέλησα. Παρόν μοι) Ἀντὶ τοῦ παρόντος.

291. Καλῶς μὲν) ἧκον, ἢ ἧκον μετοχὴ, καὶ πηθὲν Ἀττικῶς ἀντὶ τοῦ ἥκοντος, ὃ δεῖ καλῶς αὐτοῖς ἧκον εἰς τὸ ἀποθανεῖν ὑπεργηρακόσι.

Σοῦ κατθανόντος) ἀποθανόντος σου, οὐδὲ φυτεῦσαι ἐδύναντο ἕτερα τέκνα.

Ὠρφάνευες) ἐπετρόπευσας, τὸ κατὰ τὴν ὀρφανίαν τροφῆς μετέδως.

Καὶ παῖς μὲν ἄρσην) καὶ παῖς μὲν ὁ ἄρρην οὐδὲν ἔχω πλέον λέγειν. ἱκανὸς γάρ ἐστι πῶς ἄρσην ἑαυτῷ βοηθεῖν. παρρησίαν γὰρ ἔχει πρὸς τὸν πατέρα, σὺ δὲ θύγατερ, πῶς παρθενεύσῃ ἄρα.

Οὐκ εἰς αὔριον) οὐκ εἰς τὴν αὔριον τῆς μελλούσης τύχης, οὐδὲ εἰς τὴν μετὰ τὴν αὔριον.

ANNOTATIONES.

V. 282. Ἐγώ σε πρεσβεύουσα) Vide *Hippolyt.* v. 5.

V. 294. Φυτεύσειν) τὸ ευ producitur in hoc loco, ſicut ab *Heſiodo* factum *Theog.* v. 986. Αὐτάρ τοι Κεφάλῳ φιτύσατο φαίδιμον υἱόν. Alias ſemper, quod ſcio, corripi ſolet; niſi ubi excipiendum docuimus ad hujus Fabulæ v. 1137. *Joſua Barnes.*

V. 301. Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον) Ψυχὴ pro Ζωὴ, *Anima* pro *Vita* hic ponitur. Sic *Homer.* Iliad. ι. v. 323. (ubi vid. *Euſtath.*) ——Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν. Vid. etiam *Sebaſtian. Pfochenii* Diatrib. de Græc. Linguæ N. T. Puritate §. 41. pag. 17. Hic autem locus inſigniter illud *Homericum* vel exprimit, vel imitatur, vel complectitur, *Iliad.* ι. v. 401.

Οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον· οὐδ' ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι εὖ ναιόμενον πτολίεθρον,
Τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν·
Οὐδ' ὅσα λάϊνος οὐδὸς Ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ·
Ληϊστοὶ μὲν γάρ τε βόες, καὶ ἴφια μῆλα,
Κτητοὶ δὲ τρίποδές τε, καὶ ἵππων ξανθὰ κάρηνα·
Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ,
Οὔθ' ἑλετὴ, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

Quis hæc audierit & *Homerum* non deoſculetur.

V. 309. Ἐχθρὰ γὰρ ἡ 'πιοῦσα Μητρυιὰ) De Novercali erga Privignos odio, vide quæ Nos ad *Ion.* v. 1025. & 1329. & *Phrix.* in Fragment. 2 Vol. fol. 503. v. 27. Item ad *Hippolyt.* v. 728. Vide Communes locos in titulo *Noverca.* Hinc de Diebus Triſtibus & Lætis dixit *Heſiod.* Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ. *J. Barnes.*

Οὐδ' εἰς τρίτην μοι μηνὸς ἔρχεται κακόν,
Ἀλλ' αὐτίκ' ἐν τοῖς οὐκ ἔτ' οὖσι λέξομαι.
Χαίροντες, εὐφραίνοισθε· καὶ σοὶ μὲν, πόσι,
Γυναῖκ' ἀρίστην ἔστι κομπάσαι λαβεῖν·
Ὑμῖν δὲ, παῖδες, μητρὸς ἐκπεφυκέναι.
Χο. Θάρσει· πρὸ τούτου γὰρ λέγειν οὐχ ἅζομαι.
Δράσει τάδ', ἤνπερ μὴ φρενῶν ἁμαρτάνῃ,
Αδ. Ἔσται τάδ', ἔσται, μὴ τρέσῃς· ἐπεί σ' ἐγὼ
Καὶ ζῶσαν εἶχον, καὶ θανοῦσ' ἐμὴ γυνὴ
Μόνη κεκλήσῃ, κοὔτις ἀντὶ σοῦ ποτε
Τόνδ' ἄνδρα νύμφη Θεσσαλὶς προσφθέγξεται.
Οὐκ ἔστιν οὕτως οὔτε πατρὸς εὐγενοῦς,
Οὔτ' εἶδος ἄλλως ἐκπρεπεστάτη γυνή.
Ἅλις δὲ παίδων· τῶνδ' ὄνησιν εὔχομαι
Θεοῖς γενέσθαι· σοῦ γὰρ οὐκ ὠνήμεθα.
Οἴσω δὲ πένθος οὐκ ἐτήσιον τὸ σὸν,
Ἀλλ' ἔστ' ἂν αἰὼν οὑμὸς ἀντέχῃ, γύναι,
Στυγῶν μὲν ἥ μ' ἔτικτεν, ἐχθαίρων δ' ἐμὸν
Πατέρα· λόγῳ γὰρ ἦσαν, οὐκ ἔργῳ φίλοι.
Σὺ δ' ἀντιδοῦσα τῆς ἐμῆς τὰ φίλτατα
Ψυχῆς, ἔσωσας· ἆρά μοι στένειν πάρα,
Τοιᾶσδ' ἁμαρτάνοντι συζύγου σέθεν;
Παύσω δὲ κώμους, συμποτῶν θ' ὁμιλίας,
Στεφάνους τε, μοῦσάν θ', ἣ κατεῖχ' ἐμοὺς δόμους.
Οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου θίγοιμ' ἔτι,
Οὔτ' ἂν φρέν' ἐξαίροιμι πρὸς Λίβυν λακεῖν
Αὐλόν· σὺ γάρ μου τέρψιν ἐξείλου βίου.
Σοφῇ δὲ χειρὶ τεκτόνων, δέμας τὸ σὸν
Εἰκασθὲν, ἐν λέκτροισιν ἐκταθήσεται,
Ὧι προσπεσοῦμαι, καὶ περιπτύσσων χέρας,
Ὄνομα καλῶν σὸν, τὴν φίλην ἐν ἀγκάλαις
Δόξω γυναῖκα, καίπερ οὐκ ἔχων, ἔχειν.
Ψυχρὰν μὲν, οἶμαι, τέρψιν· ἀλλ' ὅμως βάρος
Ψυχῆς ἀπαντλοίην ἄν· ἐν δ' ὀνείρασι
Φοιτῶσά μ' εὐφραίνοις ἄν. " Ἡδὺ γὰρ φίλον
" Κἂν νυκτὶ λεύσσειν, ὅν τιν' ἂν παρῇ χρόνον.
Εἰ δ' Ὀρφέως μοι γλῶσσα καὶ μέλος παρῆν,
Ὡς τὴν κόρην Δήμητρος, ἢ κείνης πόσιν
Ὕμνοισι κηλήσαντά σ' ἐξ ᾅδου λαβεῖν,

Neque in tertium menſis diem mihi differtur, malum:
Sed ſtatim dicar eſſe inter mortuos.
Valete hilares: & tibi quidem, marite,
Licet gloriari, te habuiſſe optimam conjugem:
Vobis verò, liberi, vos eſſe matre natos optimâ.
Ch. Bono ſis animo; pro hoc enim dicere non vereor:
Faciet hæc, ſi modò de ſano mentis ſtatu non deturbetur.
Ad. Fient hæc, fient, ne metuas: poſtquam *enim* ego te
Viventem habui, & mortua mea conjunx
Sola vocaberis, & nulla pro te
Sponſa Theſſala me compellabit virum ſuum.
Nulla eſt tam nobili patre nata,
Nulla *quamvis* alioqui formâ ſit decentiſſimâ mulier.
Satis enim liberorum *habeo*; horumque fruitionem precor
Deos mihi contingere: te enim non *amplius* fruimur,
Feram autem luctum non tantum hujus anni,
Sed donec vita mea duraverit, ô conjunx,
*Minus certè amans *Matrem*, quæ me peperit, odioq; proſequês meū
Patrem: nomine enim erant amici, non re.
Tu verò dans *ea quæ habuiſti* chariſſima pro mea
Vitâ, ſervâſti *me*: An non igitur mihi gemere adeſt,
Amittenti te talem conjugem?
Omittam verò convivia, & convivarum ſodalicia,
Et coronas & cantilenas, quæ *antea* occupaverunt meam domum:
Non enim unquam amplius attingam barbitum,
Neque animum impellam canere ad Libycam
Tibiam: tu enim eripuiſti mihi *omnem* oblectationem vitæ.
Solerti verò manu artificum corpus tuum
Effictum, in lecto collocabitur:
Apud quod jacebo, idque complectens manibus,
Vocans tuum nomen, charam in ulnis
Videbor habere conjugem, quamvis non habeam.
Frigidam quidem opinor oblectationem, ſed tamen onus
Animæ exhauriam, *ac levabo*: in ſomnis verò
Occurrens oblectabis me. " Gratum enim eſt amicum
" Etiam noctu videre, quocunque venerit tempore.
Si verò mihi Orphei adeſſet lingua, & carmen,
Ut filiam Cereris, aut ejus maritum
Demulcens carmine, ab inferis reducerem *te conjugem*,

Μοιρῶν ἔσται) νεκροῖς. καὶ σοὶ) οὐδὲ μία ἄλλη γυνὴ ἀρείζοι μοι, ὦ πόσι.

Γυναῖκ' ἀρίστην) ἀμὲ δηλονότι ἀρίστην. ὡς εἴ τις λέγει ἀστεῖος ὁ ἀνὴρ, καὶ ἡ γυνὴ ἀστεία δηλονότι.

Οὐ χάζομαι) οὐκ εὐλαβοῦμαι, καὶ οὐκ ἀπέχομαι. καὶ Ὅμηρος, μὴ δ' ἄζεο θοῦρον Ἄρηα. ὁ δὲ νοῦς, οὕτω θάρσει, ὅτι ποιήσει πάντα ὁ ἀνὴρ καὶ οὐ γαμήσει ἑτέραν. οὐκ εὐλαβοῦμαι γὰρ ἐγγυῆσθαι αὐτόν.

Ἅλις δὲ παίδων) διατί κἀγὼ ὁ ποτὲ παῖδας ἔχων, ἕως τῶν παίδων δεῖ σῴζειν. εἶτα ἀφ' ἑτέρας ἀρχῆς τὸ ἑξῆς. δηλοῖ δὲ, ὅτι οὐ προσδέομαι ἑτέρων παίδων.

Οἴσω δὲ π[illegible]ος) οὐ μέχρις ὅλου τοῦ ἐνιαυτοῦ πενθήσω σε, ἀλλὰ μέχρι τοῦ αἰῶνός μου.

Στυγῶν μὲν) μισῶν τὴν μητέρα, αἰωνίως καὶ αὐτὴν μισῶν, ὡς τὸ πάθος αἰώνιον ἔχω.

Σὺ δ' ἀντιδοῦσα) δοῦσα δ' ἀντὶ τῆς ἐμῆς ψυχῆς τὴν σὴν.

Παύσω δὲ κώμους) ἀντὶ τοῦ οὐκ ἔτι κωμάζω σοι.

345. Οὐ γάρ ποτ' ἂν βαρβίτου) εἶδος ὀργάνου μουσικοῦ ὁ βάρβιτος, βαρυτέρας ἔχων τὰς χορδάς. καὶ οἷον εἰπεῖν βαρύμιτός τις ἄν.

Οὔτ' ἂν φρέν' ἐξαίροιμι) οὐ πείσω με τὴν ἐμὴν φρένα λακεῖν πρὸς λίβυν αὐλόν. [illegible] γὰρ ἀρχαῖοι πρὸς αὐλὸν ᾖδον.

346. Πρὸς λίβυν λακεῖν) λίβυν τὸν αὐλὸν φησίν· ἐκ γὰρ τῶν ἐν Λιβύῃ λωτίνων λεγομένων καλάμων ὁ αὐλὸς γίνεται. ἢ ὅτι ἐν † Τρίτωνι τῷ ποταμῷ τῆς Λιβύης εὑρέθη.

357. Εἰ δ' Ὀρφέως μοι) εἰ δὲ εἶχον τὸ μέλος τοῦ Ὀρφέως πρὸς τὸ σὲ λαβεῖν κηλήσαντα τὴν κόρην ἢ τὸν Πλούτωνα, καὶ τοῦτο ἂν ἐποίησα. Εἰ δ' Ὀρφέως μοι) Ὀρφέως γυνὴ Εὐρυδίκη, ἧς ἀποθανούσης ὑπὸ ὄφεως πληγείσης, ὁ Ὀρφεὺς κατελθὼν, καὶ τῇ μουσικῇ θέλξας τὸν Πλούτωνα καὶ τὴν κόρην, αὐτὴν ἀνήγαγεν ἐξ ᾅδου.

† Τρίτωνι τῷ ποταμῷ τῆς Λιβύης) De hoc fluvio vide quæ Nos ad Ion. v. 872.

ANNOTATIONES.

V. 326. Θάρσει· πρὸ τούτου γὰρ λέγειν &c.) λέγειν πρὸ τούτου in hoc loco ponitur pro ὑπὲρ τούτου· πρὸ ἀντὶ τοῦ ὑπέρ. Sic *Hom.* Iliad. Θ. v. 57. πρό τε παίδων καὶ πρὸ γυναικῶν. quem locum Nos imitati ſumus in *Eſtherâ* noſtrâ c. 9. v. 1514. &c.

Ἤιεσαν γὰρ κρίνοντες ἀθλοφόρον ἄεθλον

Ψυχῶν πρὸ σφετέρων, πρό τε παίδων καὶ πρὸ γυναικῶν.

Πρὸ autem pro ὑπὲρ & alias uſurpat *Euripid.* ut in hac Fab. v. 467 & 648. & 690.

Ibidem. Οὐχ ἅζομαι) Miror neminem hactenus vidiſſe, quòd οὐ χάζομαι perperàm eſſet ſcriptum: Præſertim, cum *Scholiaſtes* ex *Homero* citet ipſum verbum ἅζεσθαι, *Iliad.* ε. v. 830. Μηδ' ἅζεο θοῦρον Ἄρηα. Facillimè autem ex eâdem pronuntiatione hic de diverſis Error ortum habuit: Quare & bifariàm ſcriptum agnoſcere videtur *Scholiaſtes*, dum utrumque exponit, τὸ οὐχ ἅζομαι per οὐκ εὐλαβοῦμαι, & τὸ οὐ χάζομαι per οὐκ ἀπέχομαι. *J. Barnes.*

V. 331. Τόνδ' ἄνδρα) δεικτικῶς ἀντὶ τοῦ ἐμέ. Vid. quæ Nos ad *Electr.* v. 43. *Joſua Barnes.*

V. 338. Minus amans) quare ita reddiderim τὸ στυγῶν &c. Vid. *D. Heinſii* Exer. Sacr. l. 3. c. 13. ad illud εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ, *i. e.* & ſecundo loco non habuerit &c. *J. Barnes.*

V. 341. Στένειν πάρα) i. e. τὸ στένειν πάρεστι. Τὸ στένειν verò pro ὁ στόνος.

V. 346. Ἐξάροιμι) aliàs ἐξαίροιμι. *Ibid.* Πρὸς Λίβυν λακεῖν αὐλὸν) Præter *Schol.* vide quæ Nos ad *Troad.* v. 544. Quibus adde, & *Theophraſt.* περὶ φυτῶν l. 4. ἐν Λιβύῃ δὲ ὁ λωτὸς πλεῖστος καὶ κάλλιστος.

V. 357. Εἰ δ' Ὀρφέως &c.) Hanc Fabulam inter alios narrat *Apollodorus* Bibl. l. 1. c. 3. §. 2. Vide quæ Nos ad *Iphig.* Aul. v. 1211. & ad hujus Fabulæ v. 968. Item *Schol.* in hunc locum. *J. Barnes.*

Κατὰλ-

Κατῆλθον ἄν· καί μ' οὔθ' ὁ Πλούτωνος κύων,
Οὔθ' οὑπὶ κώπῃ ψυχοπομπὸς ἂν Χάρων
Ἔσχον, πρὶν εἰς φῶς σὸν καταστῆσαι βίον.
Ἀλλ' οὖν ἐκεῖσε προσδόκα μ', ὅταν θάνω,
Καὶ δῶμ' ἑτοίμαζ', ὡς συνοικήσουσά μοι.
Ἐν ταῖσιν αὐταῖς γάρ μ' ἐπισκήψω κέδροις
Σοὶ, τἀμὰ θεῖναι πλευρὰ, συνθεῖναι πέλας
Πλευροῖσι τοῖς σοῖς· μὴ γὰρ οὐδὲ θανών ποτε
Σοῦ χωρὶς εἴην, τῆς μόνης πιστῆς ἐμοί.
Χο. Καὶ μὴν ἐγώ σοι πένθος, ὡς φίλος φίλῳ,
Λυπρὸν συνοίσω τῆσδε· καὶ γὰρ ἀξία.
Αλ. Ὦ παῖδες, αὐτοὶ δὴ τάδ' εἰσηκούσατε
Πατρὸς λέγοντος, μὴ γαμεῖν ἄλλην ποτὲ
Γυναῖκ' ἐφ' ὑμῖν, μηδ' ἀτιμάσειν ἐμέ.
Αδ. Καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.
Αλ. Ἐπὶ τοῖσδε, παῖδας χειρὸς ἐξ ἐμῆς δέχου.
Αδ. Δέχομαι, φίλον γε δῶρον ἐκ φίλης χερός.
Αλ. Σὺ νῦν γενοῦ τοῖσδ' ἀντ' ἐμοῦ μήτηρ τέκνοις.
Αδ. Πολλή γ' ἀνάγκη σοῦ γ' ἀπεστερημένοις.
Αλ. Ὦ τέκν', ὅτε ζῆν μ' ἐχρῆν, ἀπέρχομαι κάτω.
Αδ. Οἴμοι, τί δράσω δῆτα σοῦ μονούμενος;
Αλ. Χρόνος μαλάξει σ'· οὐδέν ἐσθ' ὁ κατθανών.
Αδ. Ἄγου με σὺν σοὶ πρὸς θεῶν, ἄγου κάτω.
Αλ. Ἀρκοῦμεν ἡμεῖς οἱ προθνήσκοντες σέθεν.
Αδ. Ὦ δαῖμον, οἵας συζύγου μ' ἀποστερεῖς.
Αλ. Καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται.
Αδ. Ἀπωλόμην ἄρ', εἴ με δὴ λείψεις, γύναι.
Αλ. Ὡς οὐκ ἔτ' οὖσαν οὐδὲν ἂν λέγοις ἐμέ.
Αδ. Ὄρθου πρόσωπον, μὴ λίπῃς παῖδας σέθεν.
Αλ. Οὐ δῆθ' ἑκοῦσά γ', ἀλλὰ χαιρέτω τέκνα.
Αδ. Βλέψον πρὸς αὐτοὺς, βλέψον. Αλ. οὐδέν εἰμ' ἔτι.
Αδ. Τί δρᾷς; προλείπεις; Α. χαῖρ'. Α. ἀπωλόμην τάλας.
Χο. Βέβηκεν, οὐκ ἔτ' ἔστιν Ἀδμήτου γυνή.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Ευ. 1 Ἰώ μοι τύχας· μαῖα δὴ κάτω
2 Βέβηκεν· οὐκ ἔτ' ἔστιν, ὦ
3 Πάτερ, ὑφ' ἁλίῳ.
4 Προλιποῦσα δ' ἁμὸν βίον,
5 Ὠρφάνισε τλάμων.
6 Ἴδε γὰρ ἴδε βλέφαρον, καὶ

Deſcenderem: nec me Plutonis canis,
Neque deductor animarum Charon *nauta* qui ad remum *ſedet*,
Retinerent, priuſquam te in vitam reducerem.
Verùm illic me expecta, donec moriar,
Præparáque domicilium, ut mecum habitatura.
Mandabo enim ut in iiſdem cedrinis arcis mea
Tecum hæc ponant latera, & ut *ea* componant prope
Latera tua: utinam enim né mortuus quidem unquam
A te ſejunctus ſim, quæ ſola mihi fuiſti fida.
Ch. Et ego ſané hunc luctum, ut amicus cum amico,
Triſtem propter hanc unà tecum feram: ipſa enim *eſt* digna.
Al. O liberi, vos jam audiviſtis hæc
Patrem dicentem, ſe nullam aliam ducturum unquam
Uxorem in veſtrum damnum, neque me neglecturum.
Ad. Et nunc affirmo *eadem*, & faciam hæc.
Al. Hâc conditione accipe liberos ex manibus meis.
Ad. Accipio gratum certè munus ex amicâ manu.
Al. Tu nunc ſis iſtis mater pro me liberis.
Ad. Ingens certè neceſſitas orbatis te *matrem eſſe me coget*.
Al. O liberi cùm vivere me decebat, ad inferos eo, *i. e. morior*.
Ad. Hei mihi, quid igitur faciam te orbatus?
Al. Tempus minuet tibi luctum: mortuus nihil eſt.
Ad. Duc me tecum per deos oro, duc ad inferos.
Al. Satis eſt me mori pro te.
Ad. O fatum, quali conjuge me privas?
Al. Atqui tenebricoſi mei gravantur oculi.
Ad. Perii igitur, ſi me jam reliqueris, mulier.
Al. Ut eam, quæ nihil amplius ſum, nihil me dixeris *eſſe*
Ad. Erige faciem, né relinquas tuos liberos
Al. Non quidem volens *deſero*: ſed valeant liberi
Ad. Intuere eos, intuere. *Al.* nihil amplius ſum.
Al. Quid agis? deſeris *nos*? *Al.* Vale. *Ad.* Perii miſer.
Ch. Exceſſit, non amplius eſt Admeti conjux.

ANTISTROPHICA.

Strophe.

1 *Eu.* Hei mihi propter calamitatem: mater jam ad inferos
2 Abiit: non ampliùs eſt, ô
3 Pater, ſub ſole:
4 Deſerens autem meam vitam,
5 Fecit me orphanum miſera.
6 Vide enim, vide palpebras, &

Ἐπισκήψω) ἐντελοῦμαι γὰρ, ἐν τοῖς αὐτοῖς σοροῖς σὺν σοὶ ἐμὲ θεῖναι.

Καὶ ἐμὴν ἐγώ σοι) τὸ ταύτης πένθος συνοίσω. ἀξία γὰρ αὐτὴ τοῦ πενθεῖσθαι.

Ἐπὶ τοῖσδε) πρὸς τὸ μὴ εἰσαγαγεῖν ἄλλην τινά.

Ὅτε ζῆν χρῆ) νέα οὖσα ἀπολείπω.

Ὡς οὐκ ἔτ' οὖσαν) οὕτως ἀποθανοῦμαι, ὡς τὸ μηκέτι εἶναι με νόμιζε.
Ἑκοῦσα) οὐχ ἑκοῦσα καταλείπω αὐτούς.
Ἀπωλόμην) ὡς αὐτῆς κατεπειγούσης τὸ ἀπωλόμην.

393. [* Μαῖα) κυρίως ἡ ὀμφαλοτόμος καὶ ἡ παρεστῶσα ταῖς ὠδινούσαις καὶ ἁπλῶς πᾶσα γυνὴ πρεσβυτέρα κατὰ προσφώνησιν. Καταχρηστικῶς δὲ ἡ Μάμμη, καὶ Μήτηρ μάλιστα κατὰ προσφώνησιν ὑπὸ παιδίου, ὡς ἐνταῦθα, κἂν νεωτέρα τις ᾖ.]
* Hæc ex *Euſtathio* addidi.

ANNOTATIONES.

V. 366. Σοὶ, τἀμὰ &c.) Olim legebatur Σοὶ, τούσδε θεῖναι πλευρὰ, ἐκτεῖναι &c. Quòd verò in quarto loco *Spondæus* ſic eſſet, ſequor librum *Heinſio-Scaligerianum*, qui πλευρὰ συνθεῖναι legit. *Joſua Barnes.*

V. 375. Ἐπὶ τοῖσδε) ad verbum *ſuper hâc conditione*. Ἐπὶ τούτοις λάμβανε *hâc Conditione capiso*: *Ariſtoph.* Sed *Thucydides* L. 4. οἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο. *Xenoph.* Cyropæd. l. 3. Καὶ ἐπὶ τούτοις ἔδωκαν καὶ ἔλαβον πίστεις τὰ πιστά. Vide *Heins.* v. 844. *Idem.*

V. 383. Ἀρκοῦμεν ἡμεῖς οἱ προθνήσκοντες σέθεν) Sufficiet hic Verſiculus illos ignorantiæ arguere, qui calamis ſuis Optimum Poetam denigrant, quoties fœminam legunt de ſe loquentem, ac ſi Vir eſſet: Sed hoc in omni linguâ, nedum *Græcâ*, uſitatum, quoties una Perſona de ſe loquens plurali numero utitur; tum enim & genus *Maſculinum* uſurpant. Cujus exempla non pauca apud Poetam noſtrum: *Alceſt.* v. 541. *Admetus* cùm ibi diceret Fœminam apud ſe mortuam, de eâdem ait —Τεθνᾶσιν οἱ θανόντες. Vid. *Hecub.* v. 511. & *Medæ.* v. 853. & 1241. & *Androm.* 361. & *Suppl.* v. 819. τοὺς τεκόντας pro Matribus. Sic *Iphig.* Aul. v. 823. *Clytemneſtra* loquitur —Οὐ θαῦμά σ' ἡμᾶς ἀγνοεῖν, οἷς μὴ πάρος κατεῖδες. & *Troad.* v. 1244. & v. 1245. Quinetiam *Chorus* Mulierum, ob numerum, ſe maſculum vocat non rarò, ut *Androm.* v. 421. *Chorus Phthioticarum* Mulierum ait de ſe, Ὤικτειρ' ἀκούσας, quod & alibi obſervandum aliás. Vid. *Androm.* v. 894. & quæ Nos ibi. Præſertim verò *Iphig.* Taur. v. 470. Ubi στείχοντες pro στείχουσαι. Et v. 726. Ubi μολόντες pro μολοῦσαι. Nec hoc quidem aliis Poetis ignotum; in nobili enim illo *Neophronis* Fragmento apud *Stobæum* Titulo 20. De Irâ p. 107. *Medæa* de ſe loquens ait —μεμάθηκα δ' ἤδη τοιαῦτα γιγνώσκειν ἐπαιτοῦντες κακά. *Joſua Barnes.*

7 Παρατόνους χέρας.
8 Ὑπάκουσον, ἄκουσον ὦ,
9 Μᾶτερ, ἀντιάζω,
10 Ἐγώ σ', ἐγώ, μᾶτερ, νῦν γε καλοῦμαι,
11 Ὁ σὸς ποτὶ σοῖσι προσπίτνων στόμασιν νεοσσός.
Αδ. Τὴν οὐ κλύουσαν, οὐδ' ὁρῶσαν· ὥστ' ἐγὼ,
Καὶ σφὼ βαρείᾳ συμφορᾷ πεπλήγμεθα.

Ἀντιστροφή.

Ευ. 1 Νέος ἐγὼ, πάτερ, λείπομαι φίλας
2 Μονόστολός τε ματρός· ὦ
3 Σχέτλια δὴ παθὼν
4 Ἐγὼ ἔργα, [μακρὸν φίλης
5 Ματρὸς στερηθείς·]
6 Σύ τ' ἐμοὶ, σύγκασι κόρα,
7 Συνέτλας· ὦ πάτερ,
8 Ἀνόνητ' ἀνόνητ' ἐνύμ-
9 φευσας, οὐδὲ γήρως
10 Ἔβας τέλος σὺν τᾷδ'· ἔφθιτο γὰρ πά-
11 ρος· οἰχομένας δέ σου, μᾶτερ, ὄλωλεν οἶκος.

Ἴαμβοι.

Χο. Ἄδμητ', ἀνάγκη τάσδε συμφορὰς φέρειν.
" Οὐ γάρ τι πρῶτος, οὐδὲ λοίσθιος βροτῶν,
" Γυναικὸς ἐσθλῆς ἤμπλακες· γίγνωσκε δὲ,
" Ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται.
Αδ. Ἐπίσταμαί γε, κοὐκ ἄφνω κακὸν τόδε
Προσέπτατ'· εἰδὼς δ' αὔτ' ἐτειρόμην πάλαι.
Ἀλλ', ἐκφορὰν γὰρ τοῦδε θήσομαι νεκροῦ,
Πάρεστε· καὶ μένοντες ἀντηχήσατε
Παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ.
Πᾶσιν δὲ Θεσσαλοῖσιν, ὧν ἐγὼ κρατῶ,
Πένθος γυναικὸς τῆσδε κοινοῦσθαι λέγω,
Κουρᾷ ξυρήκει, καὶ μελαμπέπλῳ στολῇ.
Τέθριππά τε ζεύγνυσθε, καὶ μονάμπυκας
Πώλους σιδήρῳ τέμνετ' αὐχένων φόβην.
Αὐλῶν δὲ μὴ κατ' ἄστυ, μὴ λύρας κτύπος
Ἔστω, σελήνας δώδεκ' ἐκπληρουμένας.
Οὐ γάρ τιν' ἄλλον φίλτερον θάψω νεκρὸν
Τοῦδ', οὐδ' ἀμείνον' εἰς ἔμ'· ἀξία δέ μοι
Τιμῆς, ἐπεὶ τέθνηκεν ἀντ' ἐμοῦ μόνη.

7 Reſolutas manus.
8 Audi, audi, ô
9 Mater, te obſecro:
10 Ego te, ego, ô mater, nunc ſaltem voco,
11 Tuus pullus, *i.e. filius*, ad os tuum cadens.
Ad. Vocas neque audientem, neque videntem: itaque ego,
Et vos gravi calamitate percuſſi ſumus.

Antiſtrophe.

Eu. 1 Ego juuvenis adhuc relinquor à charâ, ô pater,
2 Soluſque matre, ô
3 Triſtia igitur paſſus
4 Ego mala. [longum charâ
5 Matre orbatus:]
6 Tuque mecum ſoror, puella,
7 Eadem ſuſtines. O pater
8 Fruſtrà, fruſtrà, uxorem du-
9 xiſti, neque *ad* ſenectæ
10 Finem perveniſti cum iſtâ; prius enim eſt mortua:
11 Te autem moriente, ô mater, domus periit.

Chorus.

Admete, neceſſe eſt hanc calamitatem ferre.
Tu enim neque primus, neque poſtremus mortalium
" Uxore bonâ privatus es: ſcias autem
" Quòd omnibus nobis mors debetur, *i.e. moriendum eſt.*
Ad. Scio ſanè, nec ſubitò hoc malum
Advolavit: cum verò ſcirem hæc, cruciabar jampridem.
Sed (hoc enim cadaver efferam)
Adeſte, & unâ per vices canite
Lugubre carmen inferorum implacabili Deo, (i.e. *Plutoni.*)
Omnibus verò Theſſalis, quibus ego præſum,
Jubeo communem eſſe luctum hujus mulieris,
Cæſarie raſâ, & nigrâ veſte:
Quadrigaſque jungite & ſingularibus
Equis ferro ſecate cervicis jubam.
Tibiarum verò ne per urbem, neque lyræ ſtrepitus
Sit, duodecim integris menſibus.
Non enim ullum aliud charius cadaver ſepeliam,
Quàm hoc, neque quod ſit plus de me meritum: digna autem
Eſt, quæ honore à me afficiatur, ſiquidē pro me eſt mortua ſola.

404. Τὴν οὐ κλύουσαν) Ταύτην δὴ καλεῖς τὴν οὔτε κλύουσαν, οὔτε ὁρῶσαν. Ἐγὼ καὶ σφὼ) ἐγὼ καὶ ὑμεῖς πρὸς τὸν Εὔμηλον καὶ τὴν ἀδελφὴν αὐτοῦ.

406. Νέος ἐγὼ) νέος καὶ ἔρημος λείπομαι φίλης μητρός· ἀπὸ μεταφορᾶς τῶν μονοστολουμένων πλοίων. μονόστολος οὖν ἀντὶ τοῦ ἔρημος.

410. Σύ τ' ἐμοὶ) ὅσοι ἔλεγε συμβαίνει, συναδελφὲ, τοσαῦτα ἔχεις ὅσα ἐγώ.

416. Ἀνάγκη τάσδε) ἀνάγκη γὰρ ἀποθανεῖν ὡς τοῦ Ἀδμήτου ὑπὸ τοῦ πάθους τῆς γυναικὸς, καὶ τοῦ θρήνου τῶν παίδων συγχυθέντος πρὸς αὐτόν.
Κοὐκ ἄφνω κακὸν τόδε) οὐκ ἐξαίφνης μοι αὕτη ἡ συμφορὰ ἐπῆλθεν, ἀλλὰ προῄδειν.
Ἀλλ' ἐκφορὰν) ποιήσομαι ἐκφορὰν τοῦ νεκροῦ.
Πάρεστε) παραμείνατε, παραμεῖναι ὀφείλετε.
Παιᾶνα) θρῆνον, ἐφ' ᾧ οὐ σπένδουσιν, ὥσπερ ἐν τοῖς παιᾶσι.
Κουρᾷ ξυρήκει) κελεύει αὐτοὺς μετέχειν τοῦ πάθους τοῦ κείρεσθαι καὶ μελανειμονεῖν.

ANNOTATIONES.

V. 405. Καὶ σφὼ) Quare σφὼ, cum ponatur pro σφῶϊ, non circumflectatur, nec habeat ἰῶτα ſubſcriptum, Vid. *Euſtathium* in *Homer.* fol. 153. lin. 41. uſque ad 154. l. 2.

V. 408. Μακρὸν φίλης Ματρὸς στερηθείς) Hæc verba uncinis incluſa addidi ex meis, ad lacunam implendam, ratione Metri & Totæ ſenſus habitâ. In *Aldinâ* Editione nulla omninò defectûs Nota cernitur: Licet agnoſcendum, ſi recta Carminum ſit diſtributio, nonnihil deſiderari. Quare *Canterus*, qui rationes Verſuum penitiùs introſpexit, licet haud ſemel & ipſe lapſus, notavit mutilationem Quarti hujus *Antiſtrophæ* verſûs, & abſentiam Quinti. Nos Defectum ſupplevimus, non ut fraudi ſim Lectori; ſed ut locum omni dubitatione purgem. Nec mea cum *Euripideis* miſceri cupio, quare & uncinis ſeparata pono; ſed cum Codicibus non liceat, conjecturâ illum volui quoquo modo farcire. *Joſua Barnes.*

V. 410. Σύγκασι κόρα) Quia *Scapula* legit junctim συγκασικόρα ita diſtinguendum moneo; σύγκασις autem à κάσις *frater*, vel *ſoror*, hinc κασίγνητος, κασιγνήτη & κόρα addita *ſororem* deſignat. *Eumelus* autem ſororem ſuam alloquitur *Perimelen*, quæ muta eſt Perſona in hâc Fabulâ. *Joſua Barnes.*

V. 422. Ἀλλ' ἐκφορὰν &c.) De verbo ἐκφορεῖν & de Mortuorum Elatione, Vid. *Joh. Kirchmanni* de Funerib. Roman. l. 2. c. 1. *Joſua Barnes.*

V. 427. Κουρᾷ ξυρήκει &c.) De hoc more, *viz.* ut Lugentes raderentur, Vid. *Johan. Kirchmanni* de *Roman.* Funerib. l. 2. c. 13. & 14. Hinc *Accius* in *Amphitryone* apud *Nonium* —— *ſed quænam hæc eſt Mulier funeſtâ veſte, tonſu lugubri?* Hinc & Proverbium —— Κυρεῖ ἐν χρῷ —— Παροιμία ἐπὶ τῶν εἰς βάθος ἀπολομένων λεγομένη, καὶ ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων. Vide plura de his apud eundem Τυμβογραφεῖν l. 2. c. 14. p. 185. De Crinibus autem mortuo oblatis, Vid. eund. l. 2. c. 15. *Joſua Barnes.*

V. 428. Τέθριππά τε ζεύγνυσθε καὶ μονάμπυκας Πώλους σιδήρῳ τέμνετ' αὐχένων φόβην) *Herodotus* l. 9. memorat *Perſas*, auditâ *Maſiſtii* cæde, ſeipſos & *Equos* & jumenta totondiſſe; quod & alias *Mardonium* ipſum in luctu feciſſe memorat idem Author. Quin & *Alexandrum* Magnum Equos ſuos totondiſſe in *Hephæſtionis* funere; & *Thebanos*, mortuo *Pelopidâ*, *Plutarchus* memorat. Vid. *Johan. Kirchmanni* de *Roman.* Funerib. l. 2. c. 14. *J. Barnes.*

V. 430. Σελήνας) *Lunæ*, i.e. menſes. Vid. *Helen.* v. 113.

ΑΝΤΙΣΤΡΟ-

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. 1 Ὦ Πελίου θύγατερ,
2 Χαίρουσά μοι ἐν ἀΐδα δόμοισι
3 Τὸν ἀνάλιον οἶκον οἰκετεύοις.
4 Ἴστω δ᾽ ἀΐδης ὁ μελαγχαίτας
5 Θεὸς, ὅς τ᾽ ἐπὶ κώπᾳ
6 Πηδαλίῳ τε γέρων
7 Νεκροπομπὸς ἵζει,
8 Πολὺ δὴ πολὺ δὴ γυναῖκ᾽ ἀρίσταν
9 Λίμναν Ἀχεροντίαν πορεύσας
10 Ἐλάτᾳ δικώπῳ.

Ἀντιστροφὴ α΄.

1 Πολλά σε μουσοπόλοι
2 Μέλψουσι, καθ᾽ ἑπτάτονόν τ᾽ ὀρείαν
3 Χέλυν, ἔν τ᾽ ἀλύροις κλέοντες ὕμνοις,
4 Σπάρτᾳ κυκλὰς ἁνίκα Καρνείου
5 Περινίσσεται ὥρα
6 Μηνὸς, ἀειρομένας
7 Παννύχου σελάνας,
8 Λιπαραῖσί τ᾽ ἐν ὀλβίαις Ἀθάναις.
9 Τοίαν ἔλιπες θανοῦσα μολπὰν
10 Μελέων ἀοιδοῖς.

Στροφὴ β΄.

1 Εἴθ᾽ ἐπ᾽ ἐμοὶ μὲν εἴη,
2 Δυναίμαν δέ σε πέμψαι
3 Φάος ἐξ ἀΐδου τεράμνων,
4 Καὶ κωκυτοῖο ῥεέθρων,
5 Ποταμίᾳ νερτέρᾳ τε κώπᾳ.
6 Σὺ γὰρ, ὦ μόνα, ὦ φίλα γυναικῶν,
7 Σὺ γὰρ τὸν σαυτᾶς ἔτλας πόσιν ἀντὶ σᾶς ἀμεῖψαι
8 Ψυχᾶς ἐξ ἅδου· κούφα σοι
9 Χθὼν ἐπάνω πέσοι, γύναι.
10 Εἰ δέ τι καινὸν ἕλοιτο πόσις λέχος,
11 Ἦ μάλ᾽ ἔμοιγ᾽ ἂν εἴη στυγηθεὶς, τέκνοις τε τοῖς (σοῖς.

Ἀντιστροφὴ β΄.

1 Ματέρος οὐ θελούσας
2 Πρὸ παιδὸς χθονὶ κρύψαι
3 Δέμας, οὐδὲ πατρὸς γεραιοῦ,

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 O Peliæ filia,
2 Læta mihi in Plutonis ædibus
3 Tenebricoſam domum colas.
4 Sciat autem Pluto nigricomus
5 Deus, & qui ad remum,
6 Et ad gubernaculum ſenex
7 Mortuorum deductor ſedet,
8 Se jam longe optimam mulierem, longe optimam, inquam,
9 Tranſvexiſſe trans paludem Acherontiam
10 Cymbâ biremi.

Antiſtrophe 1.

1 Multum te Poetæ
2 Canent, & in montanâ habente ſeptem fides
3 Lyra, & in hymnis ſine lyrâ cantatis celebrantes,
4 Spartæ quando circulare, *i. e.* annuum Carnei
5 Redit, tempus vernum
6 Menſis, exoriente
7 Per totam noctem *plenâ* lunâ
8 Et in divitibus & beatis Athenis.
9 Talem reliquiſti moriens cantilenam
10 Carminum cantoribus, *i.e. poetis*.

Strophe 2.

1 Utinam penes me eſſet,
2 Poſſemque te emittere
3 In lucem ex Plutonis domo,
4 Et ex Cocyti fluentis,
5 Fluviatili, & infernali remo.
6 Tu enim, ô unica, & chara mulier,
7 Tu tuum ſuſtinuiſti maritû pro tuâ permutare, atq; *tuâ redim*.
8 Vitâ ex inferis: levis
9 Terra cadat ſuper te, mulier.
10 Si quê v. novû elegerit maritus, lectû *i.e. ſi novâ uxorê duxerit*,
11 Profectò valde mihi erit odioſus, liberiſque tuis.

Antiſtrophe 2.

1 Cùm *ejus* mater non voluerit
2 Pro filio terrâ tegere
3 Corpus *ſuum*, *i.e. mori*, neq; pater ſenex *voluerit*

Ἴστω δ᾽ ἀΐδας) γινωσκέτω δ᾽ ὁ Ἀΐδης καὶ ὁ Χάρων, ὃς ἐπὶ τῷ πηδαλίῳ καὶ τῇ κώπῃ ἵζει ἀρίστην γυναῖκα πορθμεύσας εἰς τὴν Ἀχερουσίαν λίμνην.

Οὐρείαν χέλυν) τὴν λύραν. ἀπὸ γὰρ χελώνης ὀρεινῆς ἡ λύρα ἐστίν. εἰσὶ δὲ καὶ ἐνύδροι. διὸ ὀρείαν εἶπεν, τουτέστι λύραν. καὶ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι Λοκρῷ, καὶ πεζαὶ καὶ θερμικταί. καὶ πεζαὶ δέ τινες ἕτεραι λέγονται, αἳ χορεῖς ὀρχοῦνται εἰς τὰ συμπόσια φοιτῶσι.

Ἑπτάτονος χέλυς) ἀντὶ τοῦ ἡ ἑπτάχορδος.

Περινίσσεται) περικυκλοῦται, κυκλοειδὴς γὰρ ὁ χρόνος. καὶ Ὅμηρος, περιτελλομένου ἐνιαυτοῦ.

Ἀειρομένας) μετεωριζομένης, πλησιφαοῦς τῆς σελήνης ἐν πανσελήνῳ τῆς ἑορτῆς. αἰρομένης. ἄλλως, εὐφυῶς τὴν πανσέληνον διὰ τῆς ἀειρομένας παννύχου ἐδήλωσεν. ὅτε γὰρ πανσέληνός ἐστι, δι᾽ ὅλης τῆς νυκτὸς φέγγει.

Κούφα σοι χθὼν) εἴη σοι ἡ ἐπικειμένη κόνις ἐλαφρά.

ANNOTATIONES.

V. 437. Οἰκετεύοις) Ità optimè legit Cl. Vir *Jacobus Duportus*, *Græcæ* olim Linguæ in Academiâ noſtrâ *Cantabrig.* Profeſſor Nobilis: Hunc autem illi meritò honorem exhibemus; quòd ſolus inter tot Doctiſſimos homines hoc vidiſſe viſus eſt, Οἰκετεύειν autem & οἰκετεύομαι ab οἰκέτης ὁ & οἰκετεύω), ſynonymà *Heſych.* & *Phavorin.* Certè ἱκετεύοις, quod prius obtinebat, nullum hic locum habere poteſt, ut facili deflexione potuit ab οἰκετεύοις corrumpi. *Joſua Barnes.*

V. 442. Ἀχεροντίαν) Aliàs Ἀχερουσίαν ut *Schol.* eòdem recidit.

V. 448. Κυκλὰς) Ità cum *Joſ. Scaligero* & *Heinſio* lego, ut cum ὥρα concordet. Nomen ſæpè κυκλὰς ὥρα & κυκλάδες [illegible] *Iſocr. Plutar.* &c. Καρνείου μηνὸς) i. e. Menſis, quo Carnea celebrabantur *Carneia* autem erant *Feſta Apollinis* apud *Spartanos*, in quibus *Terpander Lesbius* primum vicit. Unde *Callimach.* in Hymno ad *Apollinem* v. 72

Σπάρτη τοι, Καρνεῖε, τόδε πρώτιστον ἔδεθλον,
Δεύτερον αὖ Θήρη, τρίτατόν γε μὲν ἄστυ Κυρήνης.

Vid. *Meurſium* de Feriis *Græciæ* l. 4. *Euſtath.* ad *Hom. Il.* δ in ipſo fine. fol. 1376. lin. 45. Et *Athenæi* Deipnoſ. l. 4. c. 9. & l. 14. c. 9. Tempus autem Vernum, quo hæc Feſta celebrata erant, ut hic Καρνείου μηνὸς ὥρα vocatur, ita *Callimacho* Καρνειάδες ὧραι ejuſdem hymni ibid. v. 87. Τίθεμαι ἐστὶ ἔαρ Καρνειάδες ἤλυθον ὧραι. Erat autem is Menſis Μεταγειτνιὼν dictus *Athenis*, Καρνεῖος verò *Cyrenæis*, idem cum *Romanorum Aprili*: Cujus ſeptimo die hoc Feſtum incepit & per novem continuos dies celebrabatur exiſtente Plenilunio: Vide *Hoſpinianum* de Origine Feſtorum l. 2. c. 13. Titulo Καρνεῖα ἱερά. Alius autem reſpondet hic Menſis Μεταγειτνιὼν *Athenienſium*, vel *Junio*, uti *Plutarchus* in *Niciâ* Vid. *Joh. Meurſii* Miſcell. Lacon. l. 3. c. 8. *Apollo* autem Καρνεῖος cognominabatur a *Carno* nobili Vate, *Jovis* & *Europæ* filio. Id. *Lacon.* l. 4. c. 15. Vide plura de hac re *Cæl. Rhodig.* Antiqu Lect. l. 9. c. 8. Muſica autem certamina *Lacedæmone* agi ſolita, & *Athenis* notius eſt, quam ut hic probemus. De *Deliacis* Choris, & hujuſmodi Certaminibus vid. *Thucydiden* l. 3. fol. 117. Notandum autem, pium Poetam non hic minus æquum hoſtibus *Spartanis* eſſe, quam *Athenienſibus* ſuis; utroſque enim ob Poeticæ & Muſicæ ſtudium pariter laudat. *Joſua Barnes.*

V. 467. Πρὸ παιδὸς) Vid. ſupra v. 326.

Τοῦτο γὰρ ἐν βιότῳ σπάνιον) τοιαύτης δηλονότι τυχεῖν γυναικὸς συμβίου, ὅτι ἀεὶ σὺν ἐμοὶ οἰκήσαι αὕτη ἐμὲ φιλοῦσα, καὶ ὑπ' ἐμοῦ φιλουμένη. Ἄλλως, τοῦτο, τοιαύτη γαμετή.

4 [Θάνατον σφοῦ παιδὸς ἀπείργειν]
5 Ὃν ἔτικτον, οὐκ ἔτλαν ῥύσασθαι
6 Σχετλίω πολιὰν ἔχοντε χαίταν.
7 Σὺ δ' ἐν ἥβᾳ νέᾳ νέου προθανοῦσα φωτὸς οἴχῃ.
8 Τοιαύτας εἴη με κῦρσαι
9 Συνδυάδος φίλας ἀλόχου.
" 10 Τοῦτο γὰρ ἐν γε βίῳ σπάνιον μέρος.
11 Ἦ γὰρ ἐμοί γ' ἄλυπος δι' αἰῶνος ἂν ξυνείη.

[4 Mortem à ſuo filio depellere.]
5 Quem genuerunt, nec eum voluerint liberare, profectò ſunt
6 Deteſtandi, habentes canam comam.
7 Tu verò in pubertate juvenili pro viro juvene moriens abis.
8 Tali contingat mihi potiri
9 Conjuge charâ lecti ſociâ.
" 10 Hæc enim *felicitatis* pars in *hâc* vitâ *eſt* rara.
11 Certè viveret mecum per omnem vitam ſine moleſtiâ.

ANNOTATIONES.

V. 469. *Θάνατον σφοῦ παιδὸς ἀπείργειν*) Hunc Verſum, nè amplius lacunoſus eſſet *Euripides*, cùm per Codices non liceret, ex rationabili conjecturâ ſupplere conati ſumus. Ut ſuprà fecimus ad v. 408. & 409. & infra plus ſemel facturi ſumus. *Ionicus* autem *ἀπ' ἐλάσσονος* eſt pes æqualis *Moloſſo*; quare & hic Verſus ſuo in *Strophâ* pari reſpondet. Dictio autem *σφοῦ* pro *σφετέρου*, ſive *ſuo*, ſi non *Euripidæa* ſit, eſt certè *Homerica*, Iliad. *ά*. v. 534. Ἐξ ἑδέων σφοῦ πατρὸς ἐναντίον &c. ut & *ἀπείργειν*, *Iliad. ώ*. v. 238. Αἴθουσα ἀπείργειν &c. Hæc ſanè Lacuna, aliis modis ſuppleri poteſt, ut Ἥδη vel καίτοι, τύμβου μετιχεῖν, vel Ἀντιμολεῖν θανάτου. Sed prior conjectura mihi magis arridet, ſi modo ſubaudias θελήσαντος vel γεραοῦ, quod facile fieri poteſt, cùm ſupra vel ματέρος exprimatur θελήσαντος. Cancellis autem, more noſtro, ſeponendum hunc locum curavimus. *Joſua Barnes.*

ARGUMENTUM *Actûs* Tertii.

Hercules Euryſthei *juſſu miſſus contrà* Diomedem Thraciæ *Tyrannum, ut illius Equos Viriuoros abduceret, apud* Admetum *Hoſpitem ſuum veterem divertit. Cæterùm cùm Domum ipſius funeratam eſſe videret, aliò divertere parabat.* Admetus *autem nè* Herculis *hoſpitio fraudaretur, de Uxoris illum deceſſu celat, & quamvis aliam haud ſibi vel magnoperè charam vel propinquam mortuam refert: Famuliſque ut hilaritèr ac lautè tractetur, imperat.* Chorus Admeti *Hoſpitalitatem, Pietatem & Fortunam laudat, Regniq́ue illius florentiſſimum ſtatum commendat.* Admetus *ad Funus efferendum cum ſuis pergit; ad quòd honorandum cùm* Pheres *illius Pater (qui tamen pro filio mori recuſâſſet) prodire vellet cum aulæis, ſplendidòque ornatu funebri; amarâ expoſtulatione à Filio excipitur, idque præter ſpem & opinionem: Quare irritatus ſenex in filium linguam ſtringit. Poſtremò Jurgiis ſit finis.*

ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ, ΑΔΜΗΤΟΣ, ΦΕΡΗΣ.

Ἴαμβοι.

Κωμῆται) ἐπεὶ εἰς κώμας ἦσαν διῃρημένοι, τουτέστιν εἰς φυλάς. Χρεία τίς σε.) εἰπέ, τίς σε χρεία πέμπει προσβῆναι Φεραῖον ἄστυ, πόλιν Θεσσαλῶν. Πράσσω) ὑπηρετῶ. Τέτραορον) ἀντὶ τοῦ τετράορον, ὅπου ὦσι τέσσαρες ἵπποι ἐζευγμένοι. καὶ συνωρὶς δὲ ὅταν ἕτερος ἑτέρῳ συνεζευγμένος. ἢ ἀπὸ τούτου, καὶ σύνευνος ἡ γυνὴ λέγεται, ἡ συμπεπηγμένη, καὶ συνεζευγμένη. Κτανὼν ἄρ' ἥξεις) ἢ κρατήσεις, ἢ οὐ κρατήσεις. οὐ γὰρ χωρὶς αἵματος προβήσεται ὁ ἀγών. τί δ' ἂν κρατήσαις, εἰ συμβῇ σοι κρατῆσαι τοῦ δεσπότου τῶν ἵππων, τί πλέον πράξεις, καὶ ὠφελήσεις, ὅτι γε οἱ ἵπποι ἀδάμαστοι εἰσι;

Ηρ. Ξένοι, Φεραίας τῆσδε κωμῆται χθονὸς,
Ἄδμητον ἐν δόμοισιν ἆρα κιχάνω;
Χο. Ἔστ' ἐν δόμοισι παῖς Φέρητος, Ἡράκλεις.
Ἀλλ' εἰπὲ, χρεία τίς σε Θεσσαλῶν πόλιν
Πέμπει, Φεραῖον ἄστυ προσβῆναι τόδε;
Ηρ. Τιρυνθίῳ πράσσω τιν' Εὐρυσθεῖ πόνον.
Χο. Καὶ ποῖ πορεύῃ; τῷ συνέζευξαι πλάνῳ;
Ηρ. Θρῃκὸς τέτρωρον ἅρμα Διομήδους μέτα.
Χο. Πῶς οὖν δυνήσῃ; μῶν ἄπειρος εἶ ξένου;
Ηρ. Ἄπειρος· οὔπω Βιστόνων ἦλθον χθόνα.
Χο. Οὐκ ἔστιν ἵππων δεσπόσαι σ' ἄνευ μάχης.
Ηρ. Ἀλλ' οὐδ' ἀπειπεῖν μ' ἦν πόνους οἷόν τέ μοι.
Χο. Κτανὼν ἄρ' ἥξεις, ἢ θανὼν αὐτοῦ μενεῖς.
Ηρ. Οὐ τόνδ' ἀγῶνα πρῶτον ἂν δράμοιμ' ἐγώ.
Χο. Τί δ' ἂν κρατήσας δεσπότην, πλέον λάβοις;
Ηρ. Πώλους ἀπάξω κοιράνῳ Τιρυνθίῳ.

Her. O Hoſpites, hujus Pheræa terræ incolæ, Admetum in ædibus an inveniam?
Ch. Eſt domi filius Pheretis, ô Hercules.
Verum dicito, quæ cauſa te *in hanc* Theſſalorum urbem
Mittit, ut *ad* hanc Pheræorum civitatem accedas?
Her. Tirynthio Euryſtheo quendam conficio laborem.
Ch. Et quo vadis? cui aſtrictus es errationi?
Her. Vado ad quadrijugum currum Diomedis Thracis.
Ch. Quomodo igitur *hoc* poteris? an es imperitus hoſpitis?
Her. *Sum* imperitus; nondum *enim* veni *in* Biſtonum agrum.
Ch. Non poteris fieri dominus equorum ſine pugnâ.
Her. Sed non erat mihi poſſibile labores *iſtos* deprecari.
Ch. Interfecto ig. eo redibis, aut *ab eo interfectus* ibi manebis.
Her. Non hoc certamen primum curram ego.
Ch. Quid verò lucri facies victo domino?
Her. Equos adducam Tirynthio regi, *i. e. Euryſtheo.*

ANNOTATIONES.

477. *Κιχάνω*) τὸ κι in κιχάνω ſemper apud *Homerum* breve eſt, ſed hic præter morem producitur ob aſpiratum χ ſequens, idem *Helen.* v. 603. Μενέλαε, μακρῶν σε κιχάνω μόλις. Vid. hujus Fab. v. 1137. *Joſua Barnes.*

482. *Τῷ συνέζευξαι πλάνῳ;*) ὁ πλάνος in hoc loco idem quod ὁ πλάνης· Quomodo etiam *Sophocl.* in *Oedipo* Tyranno uſurpat. Aliàs idem eſt quod πλάνη, quomodo & *Horatius* utitur. Vid. *Bacch.* v. 716. *Joſua Barnes.*

V. 483. *Θρῃκὸς τέτρωρον ἅρμα Διομήδους μέτα*) De his Hominivoris Equis & Domino eorundem ab *Hercule* victo, alias ita *Euripides*, nempe *Hercul.* Fur. v. 380. Τέθριππα τ' ἔζευξε καὶ ψαλίοις ἐδάμασε πώλους Διομήδους, αἳ φονίαισι φάτναις Ἄχαλιν' ἐθόαζον κάθαιμα σῖτα γένυσι χαρμοναῖσιν ἀνδροβρῶσι δυσφρονέστατοι. Vide quæ Nos ad eum locum v. 381. Huc autem refer *Palephatum* περὶ ἀπίστων, Capite περὶ Ἀλκήστιδος. *Joſua Barnes.*

Χο. Οὐκ

Χο. Οὐκ εὐμαρὲς χαλινὸν ἐμβαλεῖν γνάθοις.
Ηρ. Εἰ μή γε πῦρ πνέουσι μυκτήρων ἄπο.
Χο. Ἀλλ' ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις.
Ηρ. Θηρῶν ὀρείων χόρτον, οὐχ ἵππων λέγεις.
Χο. Φάτνας ἴδοις ἂν αἵμασιν πεφυρμένας.
Ηρ. Τίνος δ' ὁ θρέψας παῖς πατρὸς κομπάζεται;
Χο. Ἄρεος, ζαχρύσου Θρακίας πέλτης ἄναξ.
Ηρ. Καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις;
Σκληρὸς γὰρ αἰεί, καὶ πρὸς αἶπος ἔρχεται.
Ἢ χρή με παισίν, οὓς Ἄρης ἐγείνατο,
Μάχην συνάψαι, πρῶτα μὲν Λυκάονι,
Αὖθις δὲ Κύκνῳ· τόνδε δ' ἔρχομαι τρίτον
Ἀγῶνα πώλοις, δεσπότῃ τε συμβαλῶν.
Ἀλλ' οὔτις ἐστὶν ὃς τὸν Ἀλκμήνης γόνον
Τρέσαντα χεῖρα πολεμίων ποτ' ὄψεται.
Χο. Καὶ μὴν ὅδ' αὐτὸς τῆσδε κοίρανος χθονός,
Ἄδμητος, ἔξω δωμάτων πορεύεται.
Αδ. Χαῖρ', ὦ Διὸς παῖ, Περσέως τ' ἀφ' αἵματος.
Ηρ. Ἄδμητε, καὶ σὺ χαῖρε, Θεσσαλῶν ἄναξ.
Αδ. Θέλοιμ' ἄν· εὔνουν ὄντα σ' ἐξεπίσταμαι.
Ηρ. Τί χρῆμα κουρᾷ τῇδε πενθίμῳ πρέπεις;
Αδ. Θάπτειν τιν' ἐν τῇδ' ἡμέρᾳ μέλλω νεκρόν.
Ηρ. Ἀπ' οὖν τέκνων σῶν πημονὴν εἴργοι θεός.
Αδ. Ζῶσιν κατ' οἴκους παῖδες, οὓς ἔφυσ' ἐγώ.
Ηρ. Πατήρ γε μὴν ὡραῖος, εἴπερ οἴχεται.
Αδ. Κἀκεῖνος ἔστι, χ' ἡ τεκοῦσά μ', Ἡράκλεις.
Ηρ. Οὐ μὴν γυνή γ' ὄλωλεν Ἄλκηστις σέθεν;
Αδ. Διπλοῦς ἐπ' αὐτῇ μῦθος ἔστι μοι λέγειν.
Ηρ. Πότερα θανούσης εἶπας, ἢ ζώσης πέρι;
Αδ. Ἔστιν τε, κοὐκ ἔτ' ἔστιν, ἀλγύνει τ' ἐμέ.
Ηρ. Οὐδέν τι μᾶλλον οἶδ'· ἄσημα γὰρ λέγεις.
Αδ. Οὐκ οἶσθα, μοίρας ἧς τυχεῖν αὐτὴν χρεών;
Ηρ. Οἶδ'· ἀντὶ σοῦ γε κατθανεῖν ὑφειμένην.
Αδ. Πῶς οὖν ἔτ' ἐστίν, εἴπερ ᾔνεσεν τάδε.
Ηρ. Ἆ, μὴ πρόκλαι' ἄκοιτιν, ἐς τόδ' ἀναβαλοῦ.
Αδ. Τέθνηχ' ὁ μέλλων, χ' ὁ θανὼν, οὐκ ἔστ' ἔτι.
Ηρ. Χωρὶς τό, τ' εἶναι, καὶ τὸ μή, * νομίζεται. * al. νόμιζέ τι.
Αδ. Σὺ τῇδε κρίνεις, Ἡράκλεις, κείνῃ δ' ἐγώ.
Ηρ. Τί δῆτα κλαίεις; τίς φίλων ὁ κατθανών;
Αδ. Γυνή· γυναικὸς ἀρτίως μεμνήμεθα.
Ηρ. Ὀθνεῖος, ἢ σοι συγγενὴς γεγῶσά τις;
Αδ. Ὀθνεῖος, ἄλλως δ' ἦν ἀναγκαία δόμοις.
Ηρ. Πῶς οὖν ἐν οἴκοις σοῖσιν ὤλεσεν βίον;
Αδ. Πατρὸς θανόντος, ἐνθάδ' ὠρφανεύετο.
Ηρ. Φεῦ. Εἴθ' εὕρομέν σ', Ἄδμητε, μὴ λυπούμενον.

Ch. Non facile *eſt* frænum injicere genis.
Her. Niſi ſpirent ignem è naribus.
Ch. Quin homines lacerant rapidis genis.
Her. Pabulum dicis montanarum ferarum, non equorum.
Ch. Videbis præſepia ſanguine conſperſa.
Her. Ipſe verò, qui aluit *hos equos*, cujus patris filiū ſe jactat?
Ch. Martis, *Thracicæ* peltæ, *i. e.* peltatæ auro-abundantis Rex.
Her. Et hunc mei fati laborem refers?
Durum enim ſemper *eſt meum fatum*, & in arduum tendit.
Certe oportet me cum filiis, quos Mars genuit,
Pugnam committere; primum quidem cum Lycaone.
Deinde verò Cygno: hoc verò tertium venio
Certamen commiſſurus cum equis, & domino.
Sed nemo eſt, qui *Herculem* Alcmenæ filium
Unquam viſurus ſit metuentem hoſtilem manum.
Ch. Atqui ecce dominus hujus terræ
Admetus, egreditur ex ædibus.
Ad. Salve, fili Jovis, Perſeique è ſanguine *orte*.
Her. Et tu ſalve, rex Theſſalorum, Admete.
Ad. Optârim quidem: ſcio *autem* te mihi eſſe benevolum.
Her. Quam *ob* rem tonſurâ hâc lugubri inſignis es?
Ad. Sepulturus ſum hodie quoddam cadaver.
Her. Deus igitur arceat malum à tuis liberis.
Ad. Vivunt in ædibus liberi, quos ego genui.
Her. Pater verò fortaſſe ævo maturus *obiit*, ſi modò obiit.
Ad. Vivit & ille, & mater mea, ò Hercules.
Her. Num verò Alceſtis tua uxor obiit?
Ad. Dupliciter de eâ poſſum reſpondere.
Her. Utrum de mortuâ, an de vivâ dicis?
Ad. Eſt & non eſt, & dolore afficit me.
Her. Nihilo plus ſcio; obſcura enim dicis.
Ad. Non ſcis fatum; quod ſubire eam oportet?
Her. Scio, eam aſſenſiſſe pro te velle mori.
Ad. Quomodo igitur adhuc eſt, ſiquidem hæc promiſit?
Her. Ah! ne ante *mortis tempus* uxorem luge, in hoc differ.
Ad Obiit *illa*, qui *m.* mox eſt mor. & qui *jam* mor. eſt, n. ampl. eſt
Her. Aliquid *tamen* intereſſe exiſtima inter eſſe, & non eſſe.
Ad. Tu ſic ſentis, Hercules, ego verò aliter.
Her. Cur ergo ploras? quis amicorum mortuus eſt?
Ad. Mulier; mulieris modo meminimus.
Her. Utrum alienigena, an, quæ tibi cognata fuerit?
Ad. Alienigena; ſed tamen erat neceſſaria *meis* ædibus.
Her. Quomodo igitur in tuis ædibus vitam amiſit?
Ad. Hic educata eſt pupilla, patre mortuo.
Her. Heu. Utinam inveniſſemus te, Admete, non dolentem,

Ἀρταμοῦσιν) μαγειρεύουσιν. ἀρταμὸς γὰρ λέγεται ὁ μάγειρος.

Χόρτον) βορὰν λέγοντων οὐχ ἵππων λέγεις.

Τίνος δὲ θρέψας) ὁ θρέψας τοὺς ἵππους, ἐστὶ τίνος πατρὸς παῖς.

Ἄρεος ζαχρύσου) ἀπὸ τῆς ὅπλου τοὺς πελτάς φησίν.

Πέλτη) ἀσπίς ἐστίν, ἴτυν μὴ ἔχουσα.

Σκληρὸς γὰρ αἰεὶ ὁ δαίμων) οὐδέ ποτέ μοι εὐοδεῖ, ἀλλὰ πρὸς τὸ ἄναντες καὶ δύσκολον ὁδοιπορεῖ. τὰ γὰρ ὑψηλὰ δυσχερῆ ἐστιν.

509. Διὸς παῖ, Περσέως τε) Ζεὺς ἐκ Δανάης Περσέα ἐγείνατο· οὗτος Ἀλκαῖον· ἐξ οὗ Ἀμφιτρύων ὁ ἀνὴρ τῆς Ἀλκμήνης, καὶ Ἠλεκτρύων ὁ πατὴρ αὐτῆς· ἐξ ἧς καὶ αὐτοῦ Διὸς ὁ Ἡρακλῆς. Ἰησοῦς ὁ Βαρνέσιος.

Θέλοιμ' ἄν) θέλω μὲν χαίρειν, ἀλλὰ τὸ συμβὰν οὐ δυνάμεθα χαίρειν.

Εὔνουν) φίλον, βουλόμενόν με χαίρειν.

Ἔστι τε κοὐκ ἔστι) ζῇ μὲν γάρ φασι, τὴν δὲ προσδοκᾶν ἀποθανεῖν οὐκ ἔστι.

Εἰς τόδ' ἀναβαλοῦ) ἕως οὗ συμβῇ θανεῖν ταῦτα ὑπέρθου τὰ δάκρυα. Τέθνηχ') ὃ σὺ λέγεις, τὸ μήπω γενόμενον οὐκ ὁρίζειν, ὡς ὂν λογίσασθαι, ἐγὼ δὲ τὸ ἐσόμενον ὡς ὂν λογίζομαι. 528. Χωρὶς τό τ' εἶναι) κεχώρισται, φησίν τὸ εἶναι τοῦ μηκέτι εἶναι, καὶ τοῦ ζῆν τὸ τεθνάναι. τί κλαίεις; ἐπειδὴ ἀσαφῶς εἶπεν ὁ Ἄδμητος θάπτειν τινὰ, ταύτῃ δ' ἡμέρᾳ νεκρόν. εἶτα ὑπολαμβάνει ὁ Ἡρακλῆς, μή τι ἡ Ἄλκηστις ἀπέθανε. φησὶν γὰρ ὁ Ἄδμητος, ἔτι λυπούμεθα καὶ δι' ἐκείνην μέλλουσαν τελευτᾶν. εἶτα ὁ Ἡρακλῆς, μὴ πρόκλαιε τὴν γυναῖκα· τὶς δ' ὁ μὲν ἀποθανών. εἶτα ὁ Ἄδμητος φησί, γυνή τις τεθνηκυῖα, ἀεὶ τις ἔλεγον θάπτειν τινὰ μέλλω νεκρόν.

ANNOTATIONES.

V. 498. Ἄρεος, ζαχρύσου) In hoc verſu neceſſe eſt, ut τὸ ζα ſit breve, ſicut in ζάθεος, ζάχολος, ζαμενής; nihil enim impedit τὸ χρ, quod ſequitur, ut oſtendimus, *Phœniſſ.* v. 19. & *Æſchyl.* in *Agamemnone* v. 1039. Ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις. Idem *Iphig. Taur.* v. 1111. Vid. *Androm.* 1282. & *Rheſ.* v. 370. *Joſua Barnes.*

V. 502. Λυκάονι) De *Lycaone Arcade* ſatis nota hiſtoria vel ex *Ovidio*. Vid. Schol. *Oreſt.* v. 1646. De *Lycaone* hoc *Martis* filio ab *Hercule* occiſo nihil legitur. *Lycaon* certè *Nelei* filius, *Neſtoris* frater, dum *Hercules Pylum* expugnaret, ab eo occiſus memoratur. De *Cygno Martis* filio, *Heſiodus* in *Scuto*.

V. 504. Συμβαλῶν) Alii legunt συμβαλεῖν de futuro enim dicitur. Vid. *Emyl. Port.*

V. 532. & 533. Ὀθνεῖος pro ὀθνεία. Maſculinum *Atticè* pro Fœminino. Vide *Hecub.* v. 150. & *Androm.* v. 711.

V. 535. Ὠρφανεύετο) Hæc vox occurrit ſuprà v. 163. & v. 297.

V. 536. Φεῦ) Extra Carmen hic habendum Vid. *Hecub.* 55. & v. 864. & 1116. &c.

Αδ. Ὡς

Αδ. Ὡς δὴ τί δράσων τόνδ' ὑποῤῥάπτεις λόγον;
Ηρ. Ξένου πρὸς ἄλλου ἑστίαν πορεύσομαι.
Αδ. Οὐκ ἔστιν, ὦ 'ναξ· μὴ τοσόνδ' ἔλθοι κακόν.
Ηρ. Λυπουμένοις ὀχληρὸς, εἰ μόλοι, ξένος.
Αδ. Τεθνᾶσιν οἱ θανόντες· ἀλλ' ἴθ' ἐς δόμους.
Ηρ. Αἰσχρὸν παρὰ κλαίουσι θοινᾶσθαι ξένους.
Αδ. Χωρὶς ξενῶνές εἰσιν, οἷς σ' εἰσάξομεν.
Ηρ. Μέθες με, καί σοι μυρίαν ἕξω χάριν.
Αδ. Οὐκ ἔστιν ἄλλου σ' ἀνδρὸς ἑστίαν μολεῖν.
Ἡγοῦ σὺ τῷδε δωμάτων ἐξωπίους
Ξενῶνας οἴξας· τοῖς τ' ἐφεστῶσι φράσον,
Σίτων παρεῖναι πλῆθος· ἐν δὲ κλῄσατε
Θύρας μεσαύλους· οὐ πρέπει θοινωμένους
Κλύειν στεναγμῶν, οὐδὲ λυπεῖσθαι ξένους.
Χο. Τί δρᾷς, τοιαύτης συμφορᾶς προκειμένης,
Ἄδμητε; τολμᾷς ξενοδοχεῖν; τί μῶρος εἶ;
Αδ. Ἀλλ' εἰ δόμων σφε καὶ πόλεως ἀπήλασα
Ξένον μολόντα, μᾶλλον ἄν μ' ἐπῄνεσας;
Οὐ δῆτ', ἐπεί μοι συμφορὰ μὲν οὐδὲν ἂν
Μείων ἐγίνετ', ἀξενώτερος δ' ἐγώ.
Καὶ πρὸς κακοῖσιν, ἄλλο τοῦτ' ἂν ἦν κακὸν,
Δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
Αὐτὸς δ' ἀρίστου τοῦδε τυγχάνω ξένου,
Ὅταν περ Ἄργους διψίαν ἔλθω χθόνα.
Χο. Πῶς οὖν ἔκρυπτες τὸν παρόντα δαίμονα,
Φίλου μολόντος ἀνδρὸς, ὡς αὐτὸς λέγεις;
Αδ. Οὐκ ἄν ποτ' ἠθέλησεν εἰσελθεῖν δόμους,
Εἰ τῶν ἐμῶν τι πημάτων ἐγνώρισε.
Καὶ τῷ μὲν, οἶμαι, δρῶν τάδ', οὐ φρονεῖν δοκῶ,
Οὐδ' αἰνέσει με· τἀμὰ δ' οὐκ ἐπίσταται
Μέλαθρ' ἀπωθεῖν, οὐδ' ἀτιμάζειν ξένους.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ὦ πολύξεινος, καὶ ἐλεύθερος
2 Ἀνδρὸς ἀεί ποτ' οἶκος.
3 Σέ τοι καὶ ὁ Πύθιος
4 Εὐλύρας Ἀπόλλων
5 Ἠξίωσε ναίειν.
6 Ἔτλη δὲ σοῖσι μηλονόμας
7 Ἐν δόμοις γενέσθαι,
8 Δοχμιᾶν διὰ κλιτύων
9 Βοσκήμασι σοῖσι συρίζων
10 Ποιμνίτας ὑμεναίους.

Οἷς σ' εἰσάξομεν) εἰς οὓς εἰσάγειν σε δεῖ.

V. 546. Ἡγοῦ σύ) Ταῦτα πρός τινα τῶν θεραπόντων λέγει. Τὸ δὲ ἑξῆς, ἐν δὲ κλῄσατε, πρὸς τοὺς ἄλλους τῶν θεραπόντων. Ἴσως δὲ βαρβαρίζει.

Διψίαν) τὴν ἄνυδρον, ἢ πολυπόθητον. ἢ γὰρ δίψα εἶδος ἐπιθυμίας.

Τἀμὰ δ' οὐκ ἐπίσταται) θαυμάζων τοῦ ἀνδρὸς τὸ φιλοξενώτατον, λέγει ταῦτα.

Κλιτύων) τῶν ἀνακεκλιμένων καὶ πλαγίων ὀρεινῶν.

Ad. Ut verò quid facturus hunc sub suis sermonem?
Her. Hoſpitis ad aliam domum ibo.
Ad. Non licet ô rex: ne tantum *mihi* veniat malum.
Her. Si hoſpes ad lugentes veniat, moleſtus *eſt illis*
Ad. Mortui ſunt mortui: ſed tu veni in ædes.
Her. Turpe eſt apud lugentes epulari hoſpites.
Ad. Seorſim hoſpitum cœnacula ſunt, in quæ te introducemus.
Her. Dimitte me, & tibi maximam habebo gratiam.
Ad. Non licet tibi ire in alterius viri domum
Præcede tu harum ædium externis *i.e. poſticis*,
Hoſpitiis apertis, & *horum* præfectis dic,
Ciborum ut adſit copia: intus verò claudite
Fores intermedias aularum; non decet *enim* epulantes
Audire *noſtros* luctus, neque hoſpites dolore affici.
Ch. Quid agis? propoſitâ tantâ calamitate,
Audes, Admete, excipere hoſpites? quid inſanis?
Ad. An ſi ex ædibus ipſum, & urbe expuliſſem
Hoſpitem *ad me* profectum, magis me laudares?
Non certè, nihilo enim mea calamitas
Minor fieret, & ego eſſem inhoſpitalior:
Et ad *domeſtica* mala, aliud hoc accederet malum,
Quòd mea domus vocaretur inhoſpitalis.
Ego enim optimum hunc habeo hoſpitem,
Quum *in* Argorum ſiticuloſum eo ſolum.
Ch. Quomodo igitur celâſti præſentem calamitatem,
Cùm vir amicus venerit, ſicut tu dicis?
Ad. Nunquam voluiſſet intrare *meam* domum,
Si quod meorum reſciviſſet malorum.
Atq; huic quidem (opinor) hæc faciens, ſapere non videor.
Neque laudabit me: mea enim non ſciunt
Atria repellere, neque contemnere hoſpites.

ANTISTROPHICA.

Strophe 1.

C. 1 O multorū hoſpita, & liberalis
2 Viri ſemper domus!
3 Te quoque Pythius
4 Bonus lyræ magiſter Apollo
5 Dignatus eſt habitare,
6 Et ſuſtinuit opilio tuis
7 In ædibus fieri,
8 Per obliquas valles,
9 Canens tuis pecudibus
10 Paſtorales hymenæos.

ANNOTATIONES.

V. 541. Τεθνᾶσιν οἱ θανόντες.) De Fœminâ loquens in plurali *Maſculinum* ponit. Vid. ſuprà ad hujus Fabulæ v. 383.

V. 546. Ἐξωπίους) Vid. *Schol.* ad *Medea*. v. 624.

V. 553. Σφε) pro μιν, & hoc quidem hic loci pro αὐτὸν, aliquando etiam αὐτήν. Quod & aliis Poetis uſurpatum & *Euripidi* in his locis *Oreſt.* v. 29. *Phœniſſ.* v. 1651. *Medea* v. 33. & v. 806. & 944. & v. 1296. *Hippolyt.* v. 893. *Alceſt.* v. 16. & 20. & 105. & 147. & 198. &c. *Duportus* igitur malè in ſuo codice ſcribit *Cl.* Liber item *Heinſio-Scaligerianus* pejus in hâc re legit σφὼ, quum de *Hercule* dicitur, & σφώ Duale ſit, σφὲ autem pro αὐτὸν ſcribitur, ut plus centies à Poetis uſurpari facile probarem; niſi loci ſuprà citati ſufficerent. Sed *Ovidius* hujus Carminis mentem ita exprimit, *Triſt.* l. 5.

Turpiùs ejicitur, quàm non admittitur Hoſpes. *Joſ. Barnes.*

Ἀντιστρ-

Ἀντιστροφὴ α'.

Σὺν δ' ἐποιμαίνοντο χαρᾷ μελέ-
ων, βαλιαί τε λύγκες·
Ἔβα δὲ λιποῦσ' Ὄθρυ-
ος νάπαν λεόντων
Ἁ δαφοινὸς ἴλα·
Ἐχόρευσε δ' ἀμφὶ σὰν κιθάραν,
Φοῖβε, ποικιλόθριξ
Νεβρὸς, ὑψικόμων πέραν
Βαίνουσ' ἐλατᾶν σφυρῷ κούφῳ,
Χαίρουσ' εὔφρονι μολπᾷ.

Στροφὴ β'.

Τοιγὰρ πολυμηλοτάταν
Ἑστίαν οἰκεῖς, παρὰ καλλίναον
Βοιβίαν λίμναν· ἀρότοις δὲ * γυᾶν
Καὶ πεδίων δαπέδοις ὅρον,
Ἀμφὶ μὲν ἀελίου κνεφαίαν
Ἱππόστασιν, αἰθέρα,
Τὰν Μολοσσῶν τίθεται,
Πόντιον τ' Αἰγαῖον ἐπ' Ἀκτὰν
Ἀλίμενον Πηλίου κρατύνει.

* olim γύαν malè.

Ἀντιστροφὴ β'.

Καὶ νῦν δόμον ἀμπετάσας,
Δέξεται ξεῖνον νοτερῷ βλεφάρῳ,
Τᾶς φίλας κλαίων ἀλόχου νέκυν ἐν
Δώμασιν ἀρτιθανῆ. " Τὸ γὰρ
" Εὐγενὲς ἐκφέρεται πρὸς αἰδῶ.
" Ἐν τοῖς ἀγαθοῖσι δὲ
" Πάντ' ἔνεστιν σοφίας.
" Πρὸς δ' ἐμᾷ ψυχᾷ θράσος ἧσται,
" Θεοσεβῆ φῶτα κεδνὰ πράξειν.

Ἴαμβοι.

Ἀδ. Ἀνδρῶν Φεραίων εὐμενὴς παρουσία,
Νέκυν μὲν ἤδη πάντ' ἔχοντα πρόσπολοι
Φέρουσιν ἄρδην πρὸς τάφον τε, καὶ πυράν·
Ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,

Antiſtrophe 1.

Et ſimul paſcebantur oblectatione carminum
Maculoſæ lynces.
Ivit autem linquens Othryum
Saltum, leonum:
Fulva cohors.
Saltavit autem circa tuã citharã,
O Phœbe, vario-villo-præditus
Hinnulus, ultra alticomas
Abietes tranſiens levi pede,
Gaudens læto carmine.

Strophe 2.

Undè etiam Tu, ô *Admete*, copioſiſſimam
Domum habitas, circa pulcherrimam
Bœbiam paludem, agrorumque jugera,
Et camporum in ſolo fines, *i. e. patentes camporum fines,*
Circa ſolis occiduam
Stationem, Cœlum
Moloſſorum habet,
Et maris Ægei ad littus
Importuoſum Pelii, tenet imperium.

Antiſtrophe 2.

Et nunc aperiens domum,
Accipiet hoſpitem, humidis palpebris,
Plorans charæ conjugis cadaver in
Ædibus recens-mortuum. " Nã
" Generoſa natura effertur ad pudorem;
" In bonis enim
" Omnia inſunt ſapientiæ dona.
" In meâ verò animâ fiducia ſedet,
" Pium virum piè acturum eſſe.

Admetus.

Virorum Pheræorum ô benevola præſentia:
Mei quidem miniſtri cadaver jam omni cultu ornatum
Ferunt ſublime ad ſepulturam, & rogum:
Vos verò mortuam, ut fert conſuetudo,

578. Σὺν δ' ἐποιμαίνοντο) καὶ αἱ λύγκες καὶ αἱ λεόντων ἀγέλαι κηλούμεναι ὑπὸ κιθάρας Ἀπόλλωνος, καὶ διὰ χαρὰν τὴν ἐκ τῶν μελῶν καὶ μουσικῆς θεοῦ τιθασσευόμεναι συνεβόσκοντο βοῶν δίκην. Ἰησοῦς ὁ Βαρνήσιος.

588. Τοιγὰρ) Σὺ, Ἄδμητε, διὰ τὸν Ἀπόλλωνα ἔχεις ἑστίαν πολυθρέμμονα. Θεσσαλίας δὲ λίμνη πλησίον Φερῶν ἡ Βοιβία λέγεται, καὶ Μολοσσίς. κνεφαίαν, τὴν ἑξῆς κνεφαῖον αἰθέρα, καὶ ἄλλως. κνεφαίαν δὲ δύσιν, ὅτι ὁ ἥλιος κατὰ χώρας ἵστησι τὰς ἵππους, καὶ καταλύει.

590. Ἀρότοις δὲ γυᾶν) καὶ τὸ ἀρόσιμον καὶ πεδινὸν αὐτοῦ ὅρον τίθησιν ὁ Ἄδμητος αἰθέρα τὸν Μολοσσῶν, τῇ μὲν ἀμφὶ δύσιν, τῇ δὲ, δηλονότι κατ' ἀνατολὴν, κρατεῖ ἔχων ἐπὶ ἀκτὴν δύσορμον καὶ ἀλίμενον Αἰγαίου πόντου. Ἔστι δὲ μετάβασις προσώπου ἀπὸ δευτέρου εἰς τρίτον, οἷον παρ' Ὁμήρῳ, † Ὦ φίλοι, οἱ παρ' Ἀτρείδης δήμια πίνουσιν.

Πηλίου κρατύνει) κρατεῖ δὲ καὶ ἐπὶ τὴν αἰγαῖον ἀκτὴν, τὴν πόντιον καὶ ἀλίμενον.

Νοτερῷ) διύγρῳ διὰ τὰ δάκρυα.

Ἀρτιθανῆ) τὸν νεωστὶ ἐν τοῖς δόμοις γενόμενον, νεκρὸν τῆς φίλης ἀλόχου, τὴν ἀρτιθανῆ.

Πάντ' ἔνεστιν σοφίας) πᾶν τὸ τῆς σοφίας ἔργον ἐν τοῖς ἀγαθοῖς ἐστί.

Ἄρδην) καλῶς κεῖται τὸ ἄρδην· γίνεται γὰρ ἀπὸ τοῦ αἴρειν, δηλοῖ δὲ τὸ φανερῶς.

† *Iliad.* ρ'. v. 248.

ANNOTATIONES.

V. 578. Χαρᾷ μελέων) Miror quid *Cantero* hic in mentem venerit, qui mavult χάροπ τε λέων, quid χάροπ ſit neſcio; de Leonibus autem Poeta paulò poſteà: Quare inepta emendatio valeat, cum ſenſus ſit commodus ſatis. Nec tamen neſcio, alibi apud *Euſtathium*, ubi χαροποί τε λέοντες explicat, τὸ χάροπ dici eſſe epithetum *Leonis*, ex *Rhetorico* (neſcio quo, nec enim *Harpocrationem* appellat) *Lexico*, unde *Heſych.* χάροψ, ὁ λέων ἀπὸ τῆς χαροπότητος. Sed id dictionis *Euripidi* & ejus ævi poetis haud Notum. Quòd ſi *Æmylius Portus* —λεόντων ἁ δαφοινὸς ἴλα tribus abhinc Verſibus vidiſſet, non tam avidè in *Canteri* ſententiam abiiſſet & neſcio quid monſtrum dictionis *Euripidi* temerè affixiſſet. Nec magis placet χάροψ libro *Heinſio-Scaligeriano* notatus. Senſum Nos in Scholiis apertum dedimus. *Joſua Barnes.*

V. 580. Ὄθρυος) *Othrys* Mons *Theſſaliæ* apud Poetas notiſſimus. Hanc verò *Antiſtrophen* ex *Buchanani* verſione ornatam adjicere volupe eſt,

Quin & verſiculorum
Lyncum turba, ſuavibus
Emollita modis, Gregi
Junxit intrepido latus.
Armentimque *Leonum*
Venit fulvicomantûm
Ex *Othrî* nemoroſâ.
Ad tuæ ſtrepitum Lyræ
Applauſit maculoſus
Pictorum *Hinnuleûm* Chorus,
Pernici pede deſerens
Abjetum alticomum nemus,
Docto Carmine concitus.

V. 590. Βοιβίαν λίμναν) *Bœbe Theſſaliæ* Civitas, & *Bœbeis* lacus *Theſſaliæ* juxta *Oſſam* montem. *Lucan.* l. 7.

Ire per *Oſſæam* rapidus *Bœbeida* ſanguis.

Item *Heſiodus* —Νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής. *Homerus* autem expreſſius *Pheras* & *Bœben* & *Bœbeam* paludem memorat, quod ibi *Admetus* regnaret, *Iliad.* B. v. 710.

Οἱ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην,
Βοίβην καὶ Γλαφύρας, καὶ ἐϋκτιμένην Ἰαωλκόν,
Τῶν ἦρχ' Ἀδμήτοιο φίλος παῖς, ἕνδεκα νηῶν
Εὔμηλος· τὸν ὑπ' Ἀδμήτῳ τέκε, δῖα γυναικῶν,
Ἄλκηστις Πελίαο θυγατρῶν εἶδος ἀρίστη.

Videſis de hâc re *Strabonem* l. 9. & *Plin.* l. 4. c. 8. & 9. Ubi ſitus *Theſſaliæ*. De commodo autem ſenſu hujus Strophæ Videſis *Gaſpar. Stabini* in Notis ad v. 589. Item *Scholia* noſtra. *Joſua Barnes.*

V. 594. Αἰθέρα) *Guil. Canterus* legit, neſcio quare [illegible].

V. 604. Θράσος) ita lego metri cauſâ, rejecto, quod olim obtinuerat, θάρσος nec enim apud *Tragicos* τὸ θράσος ſemper in ſequiori ſenſu uſurpatur; Nec τὸ θάρσος in laudato. Ita enim *Medea*. v. 469. Οὔτοι θράσος τόδ' ἐστὶν, οὐδ' εὐτολμία. Quare malè ibi *Schol. Euripidem* ſugillat, cùm ea Diſtinctio (quam tamen idem ibidem bene obſervat inter θάρσος & θράσος) non ſit Poëtis nimis Religioſè notata. *Idem:*

Προσείπατ' ἐξιοῦσαν ὑστάτην ὁδόν.
Χο. Καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ
Στείχοντ', ὀπαδούς τ' ἐν χεροῖν δάμαρτι σῇ
Κόσμον φέροντας, νερτέρων ἀγάλματα.
Φε. Ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον·
Ἐσθλῆς γὰρ, οὐδεὶς ἀντερεῖ, καὶ σώφρονος
Γυναικὸς ἡμάρτηκας· ἀλλὰ ταῦτα μὲν
Φέρειν ἀνάγκη, καίπερ ὄντα δύσφορα.
Δέχου δὲ κόσμον τόνδε, καὶ κατὰ χθονὸς
Ἴτω· τὸ ταύτης σῶμα τιμᾶσθαι χρεών,
Ἥτις γε τῆς σῆς προὔθανε ψυχῆς, τέκνον,
Καί μ' οὐκ ἄπαιδ' ἔθηκεν, οὐδ' εἴασε σοῦ
Στερέντα, γήρᾳ πενθίμῳ καταφθίνειν,
Πάσαις δ' ἔθηκεν εὐκλεέστατον βίον
Γυναιξὶν, ἔργον τλᾶσα γενναῖον τόδε.
Ὦ τόνδ' ἐμὸν σώσασ', ἀναστήσασα δὲ
Ἡμᾶς πιτνοῦντας, χαῖρε, κἀν ᾅδου δόμοις
Εὖ σοι γένοιτο. “ Φημὶ τοιούτους γάμους
“ Λύειν βροτοῖσιν, ἢ γαμεῖν οὐκ ἄξιον.
Αδ. Οὔτ' ἦλθες εἰς τόνδ' ἐξ ἐμοῦ κληθεὶς τάφον,
Οὔτ' ἐν φίλοισι σὴν παρουσίαν λέγω.
Κόσμον δὲ τὸν σὸν οὔποθ' ἥδ' ἐνδύσεται.
Οὐ γάρ τι τῶν σῶν ἐνδεὴς ταφήσεται·
Τότε ξυναλγεῖν χρῆν σ', ὅτ' ὠλλύμην ἐγώ.
Σὺ δ' ἐκποδὼν στὰς, καὶ παρεὶς ἄλλῳ θανεῖν
Νέῳ, γέρων ὢν, τόνδ' ἀποιμώξεις νεκρόν;
Οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατὴρ,
Οὐδ' ἡ τεκεῖν φάσκουσα, καὶ κεκλημένη
Μήτηρ μ' ἔτικτε· δουλίου δ' ἀφ' αἵματος
Μαστῷ γυναικὸς σῆς ὑπεβλήθην λάθρα.
Ἔδειξας εἰς ἔλεγχον ἐξελθὼν, ὃς εἶ.
Καί μ' οὐ νομίζω παῖδα σὸν πεφυκέναι.
Ἦ τἄρα πάντων διαπρέπεις ἀψυχίᾳ,
Ὃς ἥλικος τ' ὢν, κἀπὶ τέρμ' ἥκων βίου
Οὐκ ἠθέλησας οὐδ' ἐτόλμησας θανεῖν
Τοῦ σοῦ πρὸ παιδὸς· ἀλλὰ τήνδ' εἰάσατε
Γυναῖκ' ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα,
Πατέρα τε γ' ἐνδίκως ἂν ἡγοίμην μόνην.
Καί τοι καλόν γ' ἂν τόνδ' ἀγῶν' ἠγωνίσω,
Τοῦ σοῦ πρὸ παιδὸς κατθανών· βραχὺς δέ σοι
Πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος·
Κἀγώ τ' ἂν ἔζων, χ' ἥδε, τὸν λοιπὸν χρόνον,
Κοὐκ ἂν μονωθεὶς ἔστενον κακοῖς ἐμοῖς.
Καὶ μὴν ὅσ' ἄνδρα χρὴ παθεῖν εὐδαίμονα,
Πέπονθας· ἥβησας μὲν ἐν τυραννίδι,

Salutate egredientem poſtremam viam.
Ch. Atqui video tuum patrem ſenili pede
Venientem, & comites in manibus tuæ conjugi
Ferentes ornatum, mortuorum grata munera.
Phe. Venio malis tuis tecum laborans, fili:
Bonam enim, & pudicam (nemo contradicet)
Conjugem amiſiſti: verùm hæc quidem
Ferre neceſſe eſt, quanquam ſint latu gravia.
Accipe verò hunc ornatum, & ſub terram
Eat: hujus corpus honore affici decet,
Quæ mortua eſt pro tuâ vitâ, fili.
Et fecit, ne orbarer liberis, neque permiſit
Me privatum contabeſcere lugubri ſenectâ.
Omnibus verò fecit laudatiſſimam vitam
Mulieribus, auſa hoc generoſum facinus.
O quæ ſervâſti hunc meum filium, & rurſus erexiſti
Nos cadentes, vale, & in Plutonis ædibus
Benè ſit tibi: dico tales nuptias
“ Utiles eſſe mortalibus, aut uxorem ducere non expedit.
Ad. Non veniſti vocatus à me ad hoc funus,
Neque tuam præſentiam mihi gratam eſſe dico.
Et tuum ornatum hæc nunquam induet:
Non enim tuarum rerum indigens ſepelietur.
Tunc te dolere oportuit, quando ego peribam:
Tu verò ſtans eminùs, & relinquens alium mori
Juniorem, cùm tu ſis ſenex, jam deflebis hunc mortuum?
Non fuiſti igitur verè mei corporis pater,
Neque illa, quæ dicitur me peperiſſe, & vocatur
Mater, me peperit: ſed à ſervili ſanguine
Suppoſitus ſum clanculùm uberibus tuæ conjugis.
Oſtendiſti manifeſtè reipsâ, quis ſis;
Neque exiſtimo me eſſe filium tuum:
Profectò adeò omnes excellis timiditate,
Quòd tā grādis natu cùm ſis, cùmq; ad vitæ metā *extremam* veneris,
Non voluiſti, neque auſus es mori
Pro tuo filio: ſed hanc ſiviſtis
Mulierem alienigenam, quam ego & matrem,
Et patrem meum juſtè ſolam exiſtimârim *eſſe*.
Atqui decertâſſes hoc egregium certamen,
Si mortuus eſſes pro tuo filio: breve enim tibi
Omnino reliquum erat tempus vitæ conceſſum;
Et ego vixiſſem, & iſta reliquam ætatem,
Nec orbus uxore gemerem mea mala.
Atqui omnia, quæ viro beato contingere poſſunt,
Accepiſti: juvenis enim floruiſti in regno,

629. Οὔτ' ἦλθες) οὐκ ἐκάλεσά σε ἐλθεῖν ἐνταῦθα· οὔτε τὴν σὴν παρουσίαν, ὡς φίλου ἀποδέχομαι, ἀλλ' ἀρνοῦμαι.

635. Τόνδ' ἀποιμώξεις νεκρόν;) ἑαυτὸν λέγει· ἄλλως, τοῦτον τὸν νεκρὸν τῆς γυναικός μου.

Ὃς εἶ) ὁποῖος εἶ, ἔδειξας, ἐλεγχθείς.

641. Καί μ' οὐ νομίζω) ἐμαυτὸν ἀρνοῦμαι, σὸς παῖς εἶναι.

642. Πάντων) ἀντὶ τοῦ διὰ πάντας. ὡς τὸ, ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων.

Κἀπὶ τέρμ' ἥκων) γέρων ὤν.

648. Τόνδ' ἀγῶν') τὸ ἀποθανεῖν ὑπὲρ ἐμοῦ.

ANNOTATIONES.

V. 626. Ἡμᾶς πιτνοῦντας) τὸ πι communis eſt ſyllaba, ut v. 614. & 620. τὸ τε in τέκνον. Vid. *Phœniſſ.* v. 19. *Ibidem.* Χαῖρε, κἀν ᾅδου δόμοις) Hic *Euripides* Animæ Immortalitatem agnoſcit; Ità enim *Iſidor.* Peluſiot. l. 4. Epiſt. 125. Πῶς δὲ Εὐριπίδης, ὃ ἐν σκηνῇ ἐξ[...], Κἀν ᾅδου δόμοισιν εὖ σοι γένοιτο. *J. Barnes.*

V. 628. Λύειν) i. e. λυσιτελεῖν. Vid. quæ Nos ſupra ad *Medæ.* v. 566.

V. 629. Οὔτ' ἦλθες) Huc refer illud *Admeti* dictum ſcolium, quod extat apud *Euſtathium* in *Homer.* fol. 326. lin. 39. Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν Τοὺς ἀγαθοὺς φίλει· τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγα χάρις. Quæ *Admetus* contra hanc patris *Pheretis* ſordiam dixiſſe creditur. *Joſua Barnes.*

V. 636. Τοῦδε σώματος πατήρ) Dicitur τόδε σῶμα ἀντὶ τοῦ pro ἐγὼ, ut ſæpe aliàs, & *Heraclid.* v. 91. Οὐ γὰρ σῶμ' ἀκήρυκτον τόδε, i. e. ἐγὼ, *Iolaus* de ſe loquitur. Item ejuſdem Fabulæ v. 529. Ἡγεῖσθ', ὅπου δεῖ σῶμα κατθανεῖν τόδε. *Macaria* de ſe loquitur, *Ducite me, ubi hoc meum corpus mori oportet*, quia ſacrificio erat deſtinata. Vid. ſuprà ad v. 331. & infra ad v. 690. *J. Barnes.*

V. 643. Ὃς ἥλικος) *Duportus* legit ὁ τηλίκος δ', non ineptè, niſi ἥλικος idem valeret. Mallem tamen Ὃς τηλίκος &c.

V. 645. Τοῦ σοῦ πρὸ παιδός) πρὸ in hoc loco pro ὑπὲρ, Vid. ſupra ad hujus Fab. v. 326. & 467.

Παῖς

Παῖς δ' ἦν ἐγώ σοι τῶνδε διάδοχος δόμων.
Ὥστ' οὐκ ἄτεκνος κατθανὼν, ἄλλοις δόμον
Λείψειν ἔμελλες ὀρφανὸν διαρπάσαι.
Οὐ μὴν ἐρεῖς γέ μ', ὡς ἀτιμάζοντα σὸν
Γῆρας, θανεῖν προὔδωκας· ὅστις αἰδόφρων
Πρὸς σ' ἦν μάλιστα· κἀντὶ τῶνδέ μοι χάριν
Τοιάνδε καὶ σὺ χ' ἡ τεκοῦσ' ἠλλαξάτην.
Τοιγὰρ φυτεύων παῖδας οὐκ ἔτ' ἂν φθάνοις,
Οἳ γηροβοσκήσουσι, καὶ θανόντα σε
Περιστελοῦσι, καὶ προθήσονται νεκρόν;
Οὐ γάρ σ' ἔγωγε τῇδ' ἐμῇ θάψω χερί.
Τέθνηκα γὰρ δὴ * τοὐπὶ σ'· εἰ δ' ἄλλου τυχὼν
Σωτῆρος, αὐγὰς εἰσορῶ, κείνου λέγω
Καὶ παῖδά μ' εἶναι, καὶ φίλον γηροτρόφον.
" Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
" Γῆρας ψέγοντες, καὶ μακρὸν χρόνον βίου.
" Ἢν δ' ἐγγὺς ἔλθῃ Θάνατος, οὐδεὶς βούλεται
" Θνήσκειν· τὸ γῆρας δ' οὐκ ἔτ' ἐστ' αὐτοῖς βαρύ.
Χο. Παύσασθ'· ἅλις γὰρ ἡ παροῦσα συμφορὰ,
Ὦ παῖ· πατρὸς δὲ μὴ παροξύνῃς φρένα.
Φε. Ὦ παῖ, τίν' αὐχεῖς πότερα Λυδὸν, ἢ Φρύγα
Κακοῖς ἐλαύνειν ἀργυρώνητον σέθεν;
Οὐκ οἶσθα Θεσσαλόν με, κἀπὸ Θεσσαλοῦ
Πατρὸς γεγῶτα γνησίως ἐλεύθερον;
Ἄγαν μ' ὑβρίζεις, καὶ νεανίας λόγους
Ῥίπτων ἐς ἡμᾶς, οὐ βαλὼν οὕτως ἄπει.
Ἐγὼ δέ σ' οἴκων δεσπότην ἐγεινάμην,
Κἄθρεψ' ὀφείλων, οὐχ ὑπερθνήσκειν σέθεν.
Οὐ γὰρ πατρῷον τόνδ' ἐδεξάμην νόμον,
Παίδων προθνήσκειν πατέρας, οὐδ' Ἑλληνικόν.
" Σαυτῷ γὰρ, εἴτε δυστυχὴς, εἴτ' εὐτυχὴς,
" Ἔφυς· ἃ δ' ἡμῶν χρῆν σε τυγχάνειν, ἔχεις.
Πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γύας
Λείψω· πατρὸς γὰρ ταὔτ' ἐδεξάμην πάρα.
Τί δῆτά σ' ἠδίκηκα; τοῦ σ' ἀποστερῶ;
Μὴ θνῆσχ' ὑπὲρ τοῦδ' ἀνδρὸς, οὐδ' ἐγὼ πρὸ σοῦ.
Χαίρεις ὁρῶν φῶς; πατέρα δ' οὐ χαίρειν δοκεῖς;
" Ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι
" Χρόνον· τὸ δὲ ζῆν σμικρὸν, ἀλλ' ὅμως γλυκύ.
Σύ γ' οὖν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν.
Καὶ ζῇς παρελθὼν τὴν πεπρωμένην τύχην,
Ταύτην κατακτάς· εἶτ' ἐμὴν ἀψυχίαν
Ψέγεις, γυναικὸς, ὦ κάκισθ', ἡσσημένος,
Ἣ τοῦ καλοῦ σοῦ προὔθανεν νεανίου.
Σοφῶς δ' ἐφεῦρες· ὥστε μὴ θανεῖν ποτε,

* pro τοὐπὶ σὲ, ſub. audi μέρος.

Et ego eram tibi filius, hæres hujus regni,
Itaque moriens non ſine liberis, aliis hanc domum
Relicturus eras orbam diripiendam:
Haud tamen dicere poteris, quòd me velut contemptorem tuæ
Senectæ, Morti prodideris; qui nempè obſervantiſſimus
Tui ſemper fuerim, & pro his mihi gratiam
Talem, & tu, & mater mihi retuliſtis.
Non igitur *alios* liberos poſthac ociùs procreabis,
Qui te ſenem alant, & mortuum te
Ornent, & *tuum* procurent funus?
Non enim ego te hâc meâ manu ſepeliam.
Mortuus enim ſum, quantum in te *eſt*: ſi verò nactus alium
Servatorem, lucem aſpicio, *i.e. vivo*: hujus dico
Et filium me eſſe, & charum ſenectutis alumnum.
" Fruſtra igitur ſenes optant mori,
" Vituperantes ſenectam, & longum vitæ tempus.
" Si enim propè veniat Mors, nemo vult
" Mori: ſenectus verò non ampliùs eſt ipſis gravis.
Ch. Deſinite: ſatis enim eſt præſens calamitas,
O fili; patris verò ne exaſperes mentem.
Phe. O fili, quem tu gloriaris, utrum *Lydum*, an Phrygẽ *aliquem*
Pecuniâ-comparatum *ſervum* tuum *te* malis exagitare?
An neſcis me *eſſe* Theſſalum, & ex Theſſalo
Patre natum, verè liberum?
Nimis me contumelioſè tractas, & juveniles ſermones
Jaciens in nos: *ſed* non ita abibis, *me maledictis* proſecutus.
Ego enim te *meæ* domûs dominum *futurum* genui,
Et educavi, ut debui, non ut pro te morerer:
Non enim hanc patriam legem accepi,
Ut parentes morerentur pro liberis, neq; Græcis hoc receptum.
" Tibi enim ipſi, ſive ſis infortunatus, ſive fortunatus,
" Natus es: quæ verò à nobis oportebat te habere, hæc habes.
Imperas enim multis, & multorum jugerum arva tibi
Relinquam: nam & hæc accepi à patre *meo*.
Quâ igitur injuriâ te affeci? quâ re te privo?
Nè moriaris pro hoc viro, *i.e. pro me*, neque ego pro te.
" Gaudes videns lumen? & putas patrem non delectari vitâ?
" Certè reputo longum apud inferos
" Tempus: brevis enim *eſt* vita, ſed tamen dulcis.
Impudentèr autem tu digladiatus es, ne morereris.
Et vivis *nunc* prætergreſſus fatalem diem,
Hâc occiſâ. Deinde verò meam timiditatem
Accuſas, ô timidiſſimè, à muliere victe,
Quæ pro te pulchro adoleſcentulo mortua eſt.
Aſtutè autem hoc excogitâſti, ut nunquam moriaris,

Διάδοχος) οἱ γὰρ διάδοχοι μὴ καταλιπόντες λείπουσι μάλιστα. οὐ μὴν ἐρεῖς γέ με ὡς θανεῖν με προὔδωκας ἀτιμάζοντα τὸ σὸν γῆρας. τὸ γὰρ ἀτιμάζον, ἀντὶ τοῦ ἀτιμάζοντα.

Οὐκ ἔτ' ἂν φθάνοις) ἀντὶ τοῦ οὐ φυτεύσεις, γέρων γὰρ εἶ. ὡς τις εἰ ἀπέθανον ἐγὼ, ἄπαις σὺ ἔμελλες εἶναι. καὶ ἄλλως. οὐκ ἂν ἀναβάλλοιο σπείρων παῖδας, ἀντὶ τοῦ σπουδάζειν ὀφείλεις, ταχέως σπεῖραι παῖδας γηροβοσκοὺς, ἐγὼ γὰρ οὐκ ἔτ' εἰμὶ ὁ σὸς, ὃ καὶ ἄμεινον.

666. Τέθνηκα γὰρ δὴ τοὐπὶ σ') ὅσον τὸ κατὰ σὲ τέθνηκα.

Ὦ παῖ) τίνα αὐχεῖς κακοῖς ἐλαύνειν; πότερον Λυδὸν, ἢ Φρύγα ἀργυρώνητον σέθεν;

Οὕτως ἄπει, οὐκ ἄπει βαλὼν ἡμῖν τὰς ὕβρεις, ἀλλὰ καὶ ἀκούεις.

Οὐ γὰρ πατρῷον) οὐ παρείληφα νόμον παρὰ τοῦ πατρὸς, ὥστε ἀντὶ τῶν παίδων ἀποθνήσκειν.

693. Τὸ δὲ ζῆν σμικρὸν) πρὸς τὸ εἰρημένον ὑπὸ Ἀδμήτου ἀντίθεσις, † βραχὺς δέ σοι πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος.

† Suprà v. 649.

ANNOTATIONES.

V. 658. Ἀτιμάζοντα) aliàs ἀτιμάζων τὸ σὸν, Schol.

V. 659. Αἰδόφρων) ab αἰδὼς & φρὴν, & eſt Vox *Euripidi* ferè propria, nec inelegans tamen.

V. 669. Μάτην ἄρ' οἱ γέροντες) Hic locus optimè adumbratur ex illo *Æſopi* Apologo, quo Mors ad miſerum quendam & ærumnoſum ſenem vocata, cum præſtò adeſſet, rogatur, ut illi ſublevare dignetur in humeros grandem lignorum ſtruem. *Joſua Barnes.*

V. 690. Τοῦδ' ἀνδρὸς) δεικτικῶς, ἀντὶ ἐμοῦ. Vide ſuprà v. 331. Πρὸ σοῦ) i. e. ὑπὲρ σοῦ. Vide ſupra ad hujus Fab. v. 326. & 646.

V. 691. Χαίρεις ὁρῶν φῶς &c.) Huc refer *Arrian.* Epictetæorum l. 2. c. 22. Ἐρεῖς τὰς φωνὰς τὰς τοῦ Ἀδμήτου πατρὸς, Χαίρεις ὁρῶν φῶς; πατέρα δ' οὐ χαίρειν δοκεῖς; Θέλεις βλέπειν φῶς; πατέρα δ' οὐ θέλειν δοκεῖς; Quorum ultimum Verſum puto ab *Arriano* per luſum additum, nec enim in *Euripidis* exemplaribus occurrit, & eſt Ταυτολογία hoc Authore non digna. *Joſua Barnes.*

V. 695. Καὶ ζῇς) Vel ζῆς ſcribe pro ζῇς, quod pro ζάεις, vel ζῆς à ζῆμι, unde & ζῆ & ζῆθι in *Imperativo.*

700. Εἰ τὴν παροῦσαν) εἰ μὴ ἄς λάβῃς γυναῖκας, πείσεις ἂν ὑπὲρ σοῦ ἀποθνήσκειν.

Ὡς ἐμοῦ λέξαντος) ὡς ἐμοῦ κακῶς εἰρηκότος, διὸ ὅτι οὐκ ἠθέλησας ὑπ' ἐμοῦ ἀποθανεῖν.

Σοῦ δ' ἂν) καὶ ἡ σύνταξις σοῦ δ' ἄν, σὺ πρέσβυς, ἐγὼ νέος. καὶ σὺ μίαν ἔχων ψυχὴν οὐκ ὠφείλεις ὑπὲρ β' ζῆν, ἤτοι περὶ ἡμῶν, οὐ δύνασαι τοῦτο λέγειν, ὅτι ὑπὲρ ἡμῶν ἐπέθανεν. κακὸν τὸ λῆμα, οὐκ ἀπέθανεν μοι ὑπὲρ σοῦ, ἵνα σύ με νεκρὸν νομίζων γελάσῃς θανόντι μοι, κἂν κακῶς με εἴπῃς ἀποθανόντα, οὐ φροντίζω τεθνηκώς, ἀναιδὴς ὤν.

732. Ἄκαστος) Οὗτος ἦν παῖς Πελίου, ἀδελφὸς δὲ τῶν Πελιάδων, ὧν μία Ἄλκηστις.

Χ' ἡ ξυνοικήσασά σοι) ἡ γαμετή σου, ἡ μήτηρ Ἀδμήτου. ἐγὼ γὰρ οὐκ ἔτι εἰμὶ παῖς ὑμῶν.

Εἰ δ' ἀπειπεῖν) εἰ δὲ δεῖ καὶ διὰ κηρύκων τὸν σὸν οἶκον ἀποκηρύξαι, καὶ τοῦτο ποιήσω.

Εἰ τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ
Γυναῖχ' ὑπὲρ σοῦ, κᾆτ' ὀνειδίζεις φίλοις
Τοῖς μὴ θέλουσι δρᾷν τάδ', αὐτὸς ὢν κακός.
Σίγα· νόμιζε δ', εἰ σὺ τὴν σαυτοῦ φιλεῖς
" Ψυχὴν, φιλεῖν ἅπαντας· εἰ δ' ἡμᾶς κακῶς
" Ἐρεῖς, ἀκούσῃ πολλὰ, κοὐ ψευδῆ κακά.
Χο. Πλείω λέλεκται νῦν τε καὶ τὰ πρὶν, κακά·
Παῦσαι δὲ, πρέσβυ, παῖδα σὸν κακορροθῶν.
Αδ. Λέγ', ὡς ἐμοῦ λέξαντος· εἰ δ' ἀλγεῖς κλύων
Τἀληθὲς, οὐ χρῆν σ' εἰς ἔμ' ἐξαμαρτάνειν.
Φε. Σοῦ δ' ἂν προθνήσκων, μᾶλλον ἐξημάρτανον.
Αδ. Ταυτὸν γὰρ ἡβῶντ' ἄνδρα, καὶ πρέσβυν θανεῖν;
Φε. Ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν ὀφείλομεν.
Αδ. Καὶ μὴν Διός γε μείζον' ἂν ζώοις χρόνον.
Φε. Ἀρᾷ γονεῦσιν, οὐδὲν ἔκδικον παθών;
Αδ. Μακροῦ βίου γὰρ ᾐσθόμην ἐρῶντά σε.
Φε. Ἀλλ' οὐ σὺ νεκρὸν ἀντὶ σοῦ τόνδ' ἐκφέρεις;
Αδ. Σημεῖά γ', ὦ κάκιστε, ταῦτ' ἀψυχίας.
Φε. Οὔτι πρὸς ἡμῶν γ' ὤλετ'· οὐκ ἐρεῖς τόδε.
Αδ. Φεῦ· Εἴθ' ἀνδρὸς ἔλθοις τοῦδέ γ' εἰς χρείαν ποτέ.
Φε. Μνήστευε πολλὰς, ὡς θάνωσι πλείονες.
Αδ. Σοὶ τοῦτ' ὄνειδος· οὐ γὰρ ἤθελες θανεῖν.
Φε. Φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον.
Αδ. Κακὸν τὸ λῆμα, κοὐκ ἐν ἀνδράσιν, τὸ σόν.
Φε. Οὐκ ἐγγελᾷς γέροντα βαστάζων νεκρόν;
Αδ. Θανῇ γε μέντοι δυσκλεὴς, ὅταν θάνῃς.
Φε. Κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι.
Αδ. Φεῦ, φεῦ· τὸ γῆρας ὡς ἀναιδείας πλέον.
Φε. Ἥδ' οὐκ ἀναιδής· τήνδ' ἐφηῦρες ἄφρονα.
Αδ. Ἄπελθε, κἀμὲ τόνδ' ἔα θάψαι νεκρόν.
Φε. Ἄπειμι· θάψεις δ' αὐτὸς ὢν αὐτῆς φονεύς,
" Δίκας δὲ δώσεις σοῖσι κηδεσταῖς ἔτι.
Ἦ τἄρ' Ἄκαστος οὐκ ἔτ' ἔστ' ἐν ἀνδράσιν,
Εἰ μή σ' ἀδελφῆς αἷμα τιμωρήσεται.
Αδ. Ἔρρων νυν αὐτὸς, χ' ἡ ξυνοικήσασά σοι,
Ἄπαιδε, παιδὸς ὄντος, ὥσπερ ἄξιοι,
Γηράσκετ'· οὐ γὰρ τῷδ' ἔτ', εἰς ταὐτὸν στέγος
Νεῖσθ'· εἰ δ' ἀπειπεῖν χρῆν με κηρύκων ὕπο
Τὴν σὴν πατρῴαν ἑστίαν, ἀπεῖπον ἄν.
Ἡμεῖς δὲ (τοὐν ποσὶν γὰρ οἰστέον κακόν)
Στείχωμεν, ὡς ἂν ἐν πυρᾷ θῶμεν νεκρόν.

Ἀνάπαιστοι.

Χο. Ὦ σχετλία, τόλμης γενναία,
Καὶ μέγ' ἀρίστα,
Χαῖρε· πρόφρων σε χθόνιός θ' Ἑρμῆς,
Ἅιδης τε δέχοιτ'· εἰ δέ τι κἀκεῖ

Quòd perſuaſeris mori præſentem
Mulierem pro te: deinde verò *timiditatem* exprobras amicis,
Qui hæc noluerunt facere, cùm tu ipſe ſis timidus.
" Tace: & exiſtima, ſi tu tuam amas
" Vitam, & omnes *ſuam* amare: ſi verò nobis male
Dixeris, audies multa, & non falſa mala:
Cho. Plura dicta ſunt & nunc, & antè, mala.
Deſine verò ſenex filium tuum maledictis inſectari.
Ad. Dic *quæ minaris*, quia ego jam dixi *quæ volebam*. Si v. dol. audies
Verum, non oportebat te in me delinquere.
Phe. Magis utique peccâſſem, ſi fuiſſem mortuus pro te
Ad. Idemnè verò eſt juvenem mori, & ſenem?
Phe. Debemus unâ animâ vivere, non duabus.
Ad. Atqui Jove longius vivas in tempus.
Phe. An imprecaris parentibus, nullâ injuriâ affectus?
Ad. Sentio enim te amare longam vitam.
Phe. At nonne tu hoc cadaver pro te effers?
Ad. Hæc ſunt ſigna, ô ignaviſſime, *tuæ* timiditatis.
Phe. Nequaquam à nobis *neſa* periit: non dices hoc.
Ad. Heu! Utinam hoc viro *i. e. me*, indigeas aliquando.
Phe. Duc *uxores* multas, ut plures pro te moriantur.
Ad. Tibi hoc *eſt* probroſum, tu enim non voluiſti mori.
Phe. Dulcis *eſt* lux iſta Dei, dulcis *eſt*.
Ad. Malum *eſt* hoc tuum ingenium, nec in viris *eſſe decet*.
Phe. Nonne rideres vetulum efferens cadaver?
Ad. Morieris tamen inglorius quum morieris.
Phe. Male audire mortuus non curo.
Ad. Heu, heu! ſenectus quàm plena *eſt* impudentiæ.
Ph. Hæc v. *Alc.* nô *fuit quidem* impudēs: ſed eā nactus es dementē.
Ad. Abi tu, & ſine me ſepelire hoc meum cadaver.
Phe. Abeo: tu ipſe verò, qui es ipſius interfector, *ipſam* ſepelies.
" Et inſupèr pœnam dabis tuis affinibus:
" Vel certè Acaſtus non ampliùs erit inter viros *habendus*,
Niſi pœnas de te ſumpſerit pro ſanguine ſororis.
Ad. Pereas nunc ipſe, & tua conjunx,
Liberis-orbi, vivo filio, ſicut digni *eſtis*,
Seneſcite: nunquam enim mecum venietis ſub idem tectum.
Abite. Si enim deceret me per præcones interdicere *tibi*
Tuâ paternâ domo, interdicerem.
Nos verò (præſens enim malum *eſt* ferendum)
Eamus, ut in rogo ponamus cadaver.

Chorus.

O miſera, ô propter audaciam generoſa,
Et longè præſtantiſſima,
Vale: benevolus verò te ſubterraneus Mercurius,
Et Pluto, excipiat: ſi verò & illic

ANNOTATIONES.

V. 718. Οὔτι) *Schol.* legit οὔτοι meliùs.

V. 719. Φεῦ) τὸ φεῦ hic extra carmen eſt, vel in ſcanſione ante τὸ εἴθ' coaleſcit μονοσυλλάβως Vid. *Hecub.* v. 55. & 864. & 1110. *Ibidem.* Ἀνδρὸς τοῦ δε) δεικτικῶς pro ἐμοῦ, ut ſupra v. 690.

V. 736. Τῷδ') δεικτικῶς pro ἐμοί, ut ſuprà v. 719.

V. 741. Ὦ σχετλία, τόλμης γενναία) Ludit hic G. *Canterus* Var. Lect. l. 8. c. 5. qui dicit τόλμης ſcribi debere τολμῶς & poni pro τολμηρά, eodem modo ac ἡμᾶς pro ἡμῶν *Homero*: At id is non dicet, qui ſciat τολμᾶν ad mulierem non pertinere; & quòd ἕνεκα ſubaudiatur, ut ſit *Alceſtis* γενναία ἕνεκα τόλμης, ἣ ἐτόλμησε θανεῖν ὑπὲρ Ἀδμήτου. *Joſua Barnes.*

Πλέον

Πλέον ἐστ' ἀγαθοῖς, τούτων μετέχουσ'
Ἅδου νύμφῃ παρεδρεύοις.

Plus bonorum contingit bonis, horum particeps
Plutonis conjugi aſſideas.

ARGUMENTUM *Actûs Quarti*.

HErculem *liberiùs Genio litantem, ac jam ſertis cæteróque Convivarum luxu hilariùs paulò utentem, Aulicorum quidam (à Poculis Regi* Admeto*) moleſtè id ferens, reprehendit; ut intempeſtivum nempè & nimis importunum propter Funus recens-defunctæ Dominæ.* Hercules *rerum ignarus tam ſeverum Miniſtri ſupercilium & moroſitatem inceſſit, illúmque ad vitam hilarem moreſque feſtiviores provocat. Hinc de Morte* Alceſtidis *edoctus,* Admeti *vices graviter dolet & obitum Optimæ Mulieris præmaturum. Statimque ut aliquo modo Communicati Hoſpitii beneficium rependat, ad* Alceſtidis *tumulum contrà* Orcum *pugnaturus pergit.* Admetus *à Funere redit, luctu & gemitu omnia complet; cui* Chorus *compatitur; Hortatus inſuper eum ad Malorum tolerantiam, rationibus ex rei neceſſitate & aliunde ductis: Præſertim cùm ipſa* Alceſtis *immortali memoriâ ſit perennanda.*

ΘΕΡΑΠΩΝ, ΗΡΑΚΛΗΣ, ΑΔΜΗΤΟΣ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Θε. Πολλοὺς μὲν ἤδη, κἀπὸ παντοίας χθονὸς
Ξένους μολόντας οἶδ' ἐς Ἀδμήτου δόμους,
Οἷς δεῖπνα προὔθηκ'· ἀλλὰ τοῦδ' οὔπω ξένου
Κακίον' ἐς τήνδ' ἑστίαν ἐδεξάμην.
Ὃς πρῶτα μὲν πενθοῦντα δεσπότην ὁρῶν,
Εἰσῆλθε, κἀτόλμησ' ἀμείψασθαι πύλας.
Ἔπειτα δ' οὔτι σωφρόνως ἐδέξατο
Τὰ προστυχόντα ξένια, συμφορὰν μαθών·
Ἀλλ' εἴ τι μὴ φέροιμεν, ὤτρυνεν φέρειν.
Ποτῆρα δ' ἐν χείρεσσι κίσσινον λαβὼν,
Πίνει μελαίνης μητρὸς εὔζωρον μέθυ,
Ἕως ἐθέρμην' αὐτὸν ἀμφιβᾶσα φλὸξ
Οἴνου· στέφει δὲ κρᾶτα μυρσίνης κλάδοις,
Ἄμουσ' ὑλακτῶν· δισσὰ δ' ἦν μέλη κλύειν.
Ὁ μὲν γὰρ ᾖδε, τῶν ἐν Ἀδμήτου κακῶν
Οὐδὲν προτιμῶν· οἰκέται δ' ἐκλαίομεν
Δέσποιναν· ὄμμα δ' οὐκ ἐδείκνυμεν ξένῳ
Τέγγοντες· Ἄδμητος γὰρ ὧδ' ἐφίετο.
Καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ
Ξένον, πανοῦργον κλῶπα, καὶ λῃστήν τινα.
Ἡ δ' ἐκ δόμων βέβηκεν, οὐδ' ἐφεσπόμην,
Οὐδ' ἐξέτεινα χεῖρ', ἀποιμώζων ἐμὴν
Δέσποιναν, ἣ 'μοὶ πᾶσί τ' οἰκέταισιν ἦν
Μήτηρ· κακῶν γὰρ μυρίων ἐρρύετο,
Ὀργὰς μαλάσσουσ' ἀνδρός· ἆρα τὸν ξένον
Στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;
Ηρ. Οὗτος· τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;
« Οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον

Serv. MUltos quidem jam, & ex variis locis
Hoſpites in Admeti ædes profectos ſcio,
Quibus adpoſui cibos: verùm nondum hoc hoſpite
Deteriorem in hanc domum recepi.
Qui primum quidem lugentem herum videns,
Intravit *ædes*, & auſus eſt tranſire fores.
Deinde verò non temperanter accepit
Caſu oblata xenia, cognitâ calamitate *domûs*:
Sed ſiquid nō afferremus, cōpellebat *nos* ad ferendū, *quod petebat*.
Arripiens autem hederaceum poculum in manus,
Bibit merum vinum nigræ matris, vel *Vitis*,
Donec calefecit ipſum circumdans flamma
Vini: & coronat caput myrti ramis,
Abſurda latrans: erat autem audire geminum melos:
Hic enim cantabat, mala, in quæ Admeti *domo erant*,
Nihil curans: nos verò ſervi plorabamus
Heram: oculum tamen non oſtendebamus hoſpiti
Madefacientes: ſic enim mandaverat Admetus.
Et nunc ego quidem in ædibus convivio excipio
Hoſpitem, verſutum furem, & prædonem quendam.
Hæc verò *domina* ex ædibus abiit, nec *eam* ſum proſecutus,
Neque extendi manum, lugens meam
Dominam, quæ mihi & omnibus ſervis erat
Mater: liberavit enim *nos* ex innumeris malis,
Molliens viri iram: nonne igitur hunc hoſpitem
Juſte odi, qui incommodo tempore advenit?
Her. Heus tu: quid ita tueris torvum, & ſubtriſte?
« Non oportet triſtem miniſtrum hoſpitibus

747. Πολλοὺς μὲν) θεράπων ὁ πρὸς ὑπηρεσίαν τοῦ Ἡρακλέους ἐλθὼν, λέγει, ἐφ' ᾧ ὁ Ἡρακλῆς πένθους ἐγκειμένου, καὶ οὐκ ᾐσχύνετο ὑπὸ ἀναιδοῦς ἰδίων, καὶ στεφάνῳ τὴν κεφαλὴν πυκάσας τὰς πύλας [illegible]. οὐ σωφρόνως, οὐκ εὐτάκτως συμφορὰν μαθών. ᾤετο γὰρ ὁ θεράπων ἐγνωκέναι τὸν θάνατον τῆς Ἀλκήστιδος.

755. Ὤτρυνεν φέρειν) οὕτω ἡμῖν ἐκέλευσε φέρειν τὰ ὄψα. τοῦτο δὲ ἀναιδοῦς ξένου.

756. Ποτῆρα δὲ ἐν χερσὶν) τὸν ποτῆρα, ὃ λέγεται καὶ ποτήριον ὑποκοριστικῶς. ἐξηγήσατο δὲ τί ἐστι κισσύβιον, εἰπὼν ποτῆρα κίσσινον.

Μελαίνης μητρὸς) τῆς ἀμπέλου. ὁ γὰρ μέλας οἶνος ἰσχυρότερός ἐστι.

773. Σεμνὸν) ἀλαζονείας μεστόν.

ANNOTATIONES.

V. 756. Ποτῆρα κίσσινον) Præter Scholia vide quæ Nos [illegible] *Cyclop.* v. 389.

V. 757. Πίνει μελαίνης μητρὸς εὔζωρον μέθυ) *Vinum nigræ Matris, Latina* Verſio ante addidit, *i. e. terræ*; ſed Nos Poetæ mentem aſſecuti ſcripſimus *i. e. Vitis*; nam & *Anacreon* dixit —Γόνον ἀμπέλου τὸν οἶνον. *Scholiaſtes* μητρὸς exponit, τῆς ἀμπέλου; ſimile quod *Plautus* de vino meraco dixit, *ut Matre fuerat natum*. Vid. *Jacobi Nicolai Loenſis* Miſcell. Epiphill. l. 1. c. 15. *J. Barnes.*

V. 765. Ἑστιῶ ξένον) De Voracitate *Herculis* hæc olim *Epicharmus* in *Buſiride*,

Πρῶτον μὲν αἴ κ' ἔσθοντ' ἴδοις νιν, ἀποθάνοις·
Βρέμει μὲν ὁ φάρυγξ ἔνδοθ', ἀραβεῖ δ' ἁ γνάθος,
Ψοφεῖ δ' ὁ γομφίος, τέτριγε δ' ὁ κυνόδων,
Σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ' οὔατα.
Οὐδὲν παραλείπει τῶν ὅπλων. Vid. *Athen. Deipnoſ.* l. 10. ſub Principio. *Joſua Barnes.*

« Εἶναι,

778. Θυραίου πήματος) σπουδὴν εἰς ἀλλότριον πένθος· ἐνόμιζε γὰρ ἔτι, ὅτι ξένη ἦν ἡ ἀποθανοῦσα.

780. Τὰ θνητὰ) ἐκ εὐλόγως τὸν Ἡρακλέα εἰσάγει φιλοσοφοῦντα ἐν μέθῃ, ὃν ἔδει καὶ ἄλλως φιλοσοφοῦντος διαπαίζειν.

795. Τυχὰς) γράφεται πύλας, ἵν' ᾖ ὑπερβὰς τὰς πύλας. αἱ δὲ τύχαι, καταφρονήσας.

798. Πίτυλος) μεταστήσει σε τοῦ κλαίειν. πίτυλος δὲ ἡ συνεχὴς φορὰ τοῦ ποτηρίου.

801. Ὥς γ' ἐμοὶ) ὡς ἐμοὶ καταφαίνεται κρίνοντι. ἐπιστάμεθα ταῦτα, προσωπικοῦ στίου τὰ τοιαῦτα. οὐ νῦν δὲ πράσσομεν τοιαῦτα.

Δεσπότης ἐψεύσατο) οὐδεὶς τέθνηκεν, εἰ μὴ ὁ σός με δεσπότης ἐψεύσατο. Ὀθνείου) συμπαθεῖν ἔοικεν, ὑπὲρ ξένου νεκροῦ.

Ἦ κάρτα μέν τι) οὐκ ἦν ξένη, ἀλλὰ πανοικεία.

" Εἶναι, δέχεσθαι δ' εὐπροσηγόρῳ φρενί.
Σὺ δ' ἄνδρ' ἑταῖρον δεσπότου παρόνθ' ὁρῶν,
Στυγνῷ προσώπῳ, καὶ συνωφρυωμένῳ
Δέχῃ, θυραίου πήματος σπουδὴν ἔχων.
Δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένῃ.
Τὰ θνητὰ πράγματ' οἶδας, ἣν ἔχει φύσιν;
Οἶμαι μὲν οὔ· πόθεν γάρ; ἀλλ' ἄκουέ μου.
" Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
" Κοὐκ ἔστι θνητῶν, ὅστις ἐξεπίσταται,
" Τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.
" Τὸ τῆς τύχης γὰρ ἀφανὲς, οἷ προβήσεται,
" Κἄστ' οὐ διδακτὸν, οὐδ' ἁλίσκεται τέχνῃ.
" Ταῦτ' οὖν ἀκούσας, καὶ μαθὼν ἐμοῦ πάρα,
" Εὔφραινε σαυτὸν, πῖνε· τὸν καθ' ἡμέραν
" Βίον, λογίζου σόν· τὰ δ' ἄλλα, τῆς τύχης.
" Τίμα δὲ καὶ τὴν πλεῖστον ἡδίστην θεῶν
" Κύπριν βροτοῖσιν, εὐμενὴς γὰρ ἡ θεός.
" Τὰ δ' ἄλλ' ἔασον ταῦτα, καὶ πείθου λόγοις
" Ἐμοῖσιν, εἴπερ ὀρθά σοι δοκῶ λέγειν.
Οἶμαι μέν· οὔκουν τὴν ἄγαν λύπην ἀφεὶς,
Πίῃ μεθ' ἡμῶν, τάσδ' ὑπερβαλὼν τύχας,
Στεφάνοις πυκασθείς· καὶ σάφ' οἶδ', ὅθ' οὕνεκα
Τοῦ νῦν σκυθρωποῦ καὶ ξυνεστῶτος φρενῶν
Μεθορμιεῖ σε πίτυλος ἐμπεσὼν σκύφου.
" Ὄντας δὲ θνητοὺς, θνητὰ καὶ φρονεῖν χρεών,
" Ὡς τοῖς γε σεμνοῖς καὶ συνωφρυωμένοις
" Ἅπασιν ἐστὶν, ὥς γ' ἐμοὶ χρῆσθαι κριτῇ,
" Ὁ βίος ἀληθῶς οὐ βίος, ἀλλὰ συμφορά.
Θε. Ἐπιστάμεσθα ταῦτα· νῦν δὲ πράσσομεν
Οὐχ οἷα κώμου καὶ γέλωτος ἄξια.
Ηρ. Γυνὴ θυραῖος ἡ θανοῦσα· μὴ λίαν
Πένθει, δόμων γὰρ ζῶσι τῶνδε δεσπόται.
Θε. Τί ζῶσιν; οὐ κάτοισθα τἀν δόμοις κακά.
Ηρ. Εἰ μή τι σός με δεσπότης ἐψεύσατο.
Θε. Ἄγαν γ' ἐκεῖνός ἐστ' ἄγαν φιλόξενος.
Ηρ. Οὔκουν· ὀθνείου γὰρ ἕνεκ' ἦν πάσχει νεκροῦ.
Θε. Ἦ κάρτα μέν τι καὶ λίαν γ' οἰκεῖος ἦν.
Ηρ. Μῶν ξυμφοράν τιν' οὖσαν οὐκ ἔφραζέ μοι;
Θε. Χαίρων ἴθ'· ἡμῖν δεσποτῶν μέλει κακά.

" Adeſſe, verùm excipere *nos* *decet* animo comi.
Tu verò amicum virum heri *tui* præſentem cernens,
Triſti vultu, & contractis ſuperciliis
Excipis, externi mali curam gerens.
Huc accede, *tradam præcepta*, ut ſias ſapientior.
Scis, quam naturam res mortalium habeant?
Puto te adhuc neſcire: unde enim didiciſſes? itaque ex me audi.
" Omnes homines debent mori:
" Et nemo mortalium eſt, qui ſciat,
" An ſit victurus in craſtinum diem futurum.
" Curſus enim fortunæ incertus *eſt*, quò evadat,
" Neque diſci poteſt, neque arte ullâ deprehenditur.
" Hæc igitur cum audiveris & didiceris ex me,
" Exhilara teipſum, bibe, quotidianam
" Vitam, tuam ducas *eſſe*, reliqua verò fortunæ.
" Cole etiam plurimum ſuaviſſimam dearum
" Venerem mortalibus, comis enim *eſt* hæc dea.
" Reliqua verò hæc omitte, & obtempera verbis
" Meis, ſi modò videor tibi rectè præcipere:
Id quod certe puto. Itaque magnam mœſtitiam omittens,
Bibe nobiſcum, ſuperans *contemnendo* præſentem calamitatem,
Coronis ornatus: & certò ſcio, quòd pro
Illâ nunc triſti & contractâ mente,
Ad aliū portū deducet te ſtrepitus poc. incidēs, *i.e.* libera cōpotatio.
" Cum ſimus autem mortales, decet nos mortalia ſapere:
" Triſtibus enim & auſteris
" Omnibus eſt (ſi me utantur judice)
" Vita, non revera vita, ſed calamitas.
Ser. Scimus hæc: nunc autem rem gerimus,
Quæ comeſſatione & riſu nōn *eſt* digna.
Her. Mulier mortua, *eſt* alienigena, nè *igitur* nimium
Lugeas, domini enim hujus domûs vivunt.
Ser. Quid vivunt? nondum ſcis mala, quæ *ſunt* in ædibus.
Her. Niſi tuus dominus fefellit me.
Ser. Nimium ille, nimium eſt amans hoſpitum.
Her. Nequaquā: propter peregrinū enim cadaver benè rem gerit.
Ser. Imò verò profectò *cadaver* hoc valdè & nimis domeſt. erat.
Her. An igitur calamitatem aliquā domeſticam ille non dixit mihi?
Ser. Tu lætus abi: nobis curæ ſunt mala dominorum.

ANNOTATIONES.

V. 783. Κοὐκ ἔστι θνητῶν) Hæc ita expreſſit *Horatius* Carm. l. 4. Od. 7.

Quis ſcit, an adjiciant hodiernæ craſtina ſummæ
Tempora Dii Superi?

V. 785. Τὸ τῆς τύχης) Idem *Horatius* hæc expreſſit Carm. l. 3. Od. 29.

Prudens futuri Temporis exitum
Caliginosâ Nocte premit Deus, &c.

Item, *Quid ſit futurum Cras, fuge quærere*; &
Quem ſors dierum cunque dabit, lucro
Appone, nec dulces Amores
Sperne, &c.

V. 795. Τύχας) alias πύλας. Vid. *Schol.* mihi non omnino placet; licet in Codice *Heinſio-Scaligeriano* quoque ita notetur & v. 829. digito notetur, quaſi conferendi gratiâ: Verſu enim prædicto apertè de limine ſuperegrediendo loquitur Poeta. Hic vero in eodem nunc erat, Conclavi, ubi *Hercules* diſcubuit: quanquā forte è longè ſtaret ad fores; ut legenti facile apparebit. *J. Barnes.*

V. 796. Ὅθ' οὕνεκα) De hoc *Attico* Pleonaſmo Vid. ad Fragment. in *Danae* v. 20.

V. 798. Πίτυλος σκύφου) quid ſit πίτυλος Vide quæ Nos *Iphig.* Taur. v. 307. μεθορμιεῖ autem pro ἐπὶ λιμένα ἄξει, Metaphora à Navibus in Portum deductis, ubi quieſcunt. *Joſua Barnes.*

V. 802. Ὁ βίος ἀληθῶς οὐ βίος, ἀλλὰ ξυμφορά.) Huc refer illud *Martialis* l. 6. Epigr. 70.

At noſtri bene computentur anni;
Et quantum tetricæ tulère Febres,
Aut Languor gravis, aut mali Dolores,
A vitâ meliore ſeparentur:
Infantes ſumus & Senes videmur.
Ætatem Priamique Neſtoriſque
Longam qui putat eſſe, Martiane,
Multum decipiturque falliturque.
Non eſt Vivere, ſed Valere, Vita.

Item *Seneca* Epiſt. 99. *Ex hoc tam exiguo temporis ſpacio, quod ætatem vocamus humanam, quantum Lacrymæ, quantum ſollicitudines occupant, quantum Mors, antequam veniat, optata; quantum Valetudo, quantum Timor, quantum Teneri, aut Rudes, aut Inutiles Anni? Dimidium ex hoc edormitur. Adjice Labores, Luctus, Pericula; & intelliges, etiam in longiſſimâ Vitâ minimum eſſe quod Vivitur.* *Joſua Barnes.*

Ηρ. Ὅδ'

Ηρ. Ὅδ᾽ οὐ θυραίων πημάτων ἄρχει λόγος.
Θε. Οὐ γάρ σε κωμάζοντ᾽ ἂν ἠχθόμην ὁρῶν.
Ηρ. Ἀλλ᾽ ἦ πέπονθα δείν᾽ ὑπὸ ξένων ἐμῶν.
Θε. Οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμοις·
Πένθος γὰρ ἡμῖν ἐστὶ, καὶ κουρὰν βλέπεις,
Μελαμπέπλους στολμούς τε. Η. Τίς δ᾽ ὁ κατθανών;
Μῶν ἢ τέκνων τις φροῦδος, ἢ γέρων πατήρ;
Θε. Γυνὴ μὲν οὖν ὄλωλεν Ἀδμήτου, ξένε.
Ηρ. Τί φῄς; ἔπειτα δῆτά μ᾽ * ἐξενίζετε; * al. ἐξενίζετον.
Θε. Ἠιδεῖτο γάρ σε τῶνδ᾽ ἀπώσασθαι δόμων.
Ηρ. Ὦ σχέτλι᾽, οἵας ἤμπλακες ξυναόρου.
Θε. Ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.
Ηρ. Ἀλλ᾽ ᾐσθόμην μὲν, ὄμμ᾽ ἰδὼν δακρυρροοῦν,
Κουράν τε, καὶ πρόσωπον· ἀλλ᾽ ἔπεισέ με
Λέγων θυραῖον κῆδος ἐς τάφον φέρειν.
Βίᾳ δὲ θυμοῦ τάσδ᾽ ὑπερβαλὼν πύλας,
Ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις,
Πράσσοντος οὕτω, κἀπεκώμαζον, κάρα
Στεφάνοις πυκασθείς· ἀλλὰ σοῦ, τὸ μὴ φράσαι,
Κακοῦ τοσούτου δώμασι προσκειμένου.
Ποῦ καί σφε θάπτει; ποῦ νιν εὑρήσω μολών;
Θε. Ὀρθὴν παρ᾽ οἶμον, ἣ ᾽πὶ Λάρισσαν φέρει,
Τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.
Ηρ. Ὦ πολλὰ τλᾶσα καρδία, ψυχή τ᾽ ἐμὴ,
Νῦν δεῖξον, οἷον παῖδά σ᾽ ἡ Τιρυνθία
Ἠλεκτρύωνος γείνατ᾽ Ἀλκμήνη Διΐ.
Δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως
Γυναῖκα, κεἰς τόνδ᾽ αὖθις ἱδρῦσαι δόμον
Ἄλκηστιν, Ἀδμήτῳ δ᾽ ὑπουργῆσαι χάριν.
Ἐλθὼν δ᾽ ἄνακτα τὸν μελάμπεπλον νεκρῶν,
Θάνατον φυλάξω, καί νιν εὑρήσειν δοκῶ,
Πίνοντα τύμβου πλησίον προσφαγμάτων.
Κἄνπερ λοχήσας αὐτὸν ἐξ ἕδρας συθεὶς
Μάρψω, κύκλον δὲ περιβαλῶ χεροῖν ἐμαῖν,
Οὐκ ἔστιν ὅστις αὐτὸν ἐξαιρήσεται
Μογοῦντα πλευρὰ, πρὶν γυναῖκ᾽ ἐμοὶ μεθῇ.
Ἢν δ᾽ οὖν ἁμάρτω τῆσδ᾽ ἄγρας, καὶ μὴ μόλῃ
Πρὸς αἱματηρὸν πέλανον, εἶμι τὴν κάτω,
Κόρης, ἄνακτός τ᾽ εἰς ἀνηλίους δόμους,
Αἰτήσομαί τε· καὶ πέποιθ᾽ ἄξειν ἄνω
Ἄλκηστιν, ὥστε χερσὶν ἐνθεῖναι ξένου,
Ὅς μ᾽ εἰς δόμους ἐδέξατ᾽, οὐδ᾽ ἀπήλασε,
Καίπερ βαρείᾳ συμφορᾷ * πεπληγμένος·
Ἔκρυπτε δ᾽ ὢν γενναῖος, αἰδεσθεὶς ἐμέ. * al. πεπλεγμένος.
Τίς τοῦδε μᾶλλον Θεσσαλῶν φιλόξενος;

Her. Hic ſermo non externorum malorum eſt initium.
Ser. Haud enim tunc triſtarer videns te convivantem.
Her. At profectò gravem injuriam accepi ab hoſpitibus meis.
Ser. Non eni *in has* ædes opportuné veniſti, ut *te nunc* exciperem*;
Nos enim ſumus in luctu, & raſuram vides,
Et nigras veſtes. *Her.* Quis ergo eſt mortuus?
Num aliquis liberorum, an ſenex pater mortuus eſt?
Ser. Imò verò conjunx Admeti periit, ô hoſpes.
Her. Quid ais? & nihilominus tamen me hoſpitio excepiſtis?
Ser. Verebatur enim te repellere ab hac domo.
Her. O miſer, qualem amiſiſti conjugem?
Ser. Periimus omnes, non illa tantum.
Her. At ſenſi quidem, videns oculos lacrymantes,
Et raſuram, & faciem: ſed perſuaſit mihi
Dicens ſe peregrinum funus ad ſepulturam proſequi.
Invito autem animo his ſuperatis foribus, *i. e. ædes ingreſſus*,
Bibi in domo viri hoſpitalis,
In hâc fortunâ verſantis, & commeſſatus ſum, caput
Coronis redimitus. Sed tua culpa eſt, quod non dixiſti
Propoſito tanto malo *veſtræ* domui.
Ubi eam ſepeliit? ubi inveniam eam vadens?
Ser. Rectâ viâ, quæ ducit Lariſſam,
Videbis tumulum politum extra ſuburbium.
Her. O cor, quod multa ſuſtinuiſti, & ô mea anima,
Nunc oſtende, qualem te filium Tirynthia
Alcmena Electryonis filia Jovi genuerit.
Oportet enim me nunc ſervare recens mortuam
Mulierem, & reſtituere in hanc domum
Alceſtin, Admetóque gratiam referre.
Profectus igitur mortuorum regem atris indutum peplis,
Orcum obſervabo, & ſpero me inventurum ipſum,
Bibentem apud tumulū de victimarum mactatarum ſanguine.
Et ſi inſidiis illi ſtructis ex meâ ſede properans
Eum corripiam, & undique complexus premam meis manibus,
Nullus eſt, qui mihi ipſum eripiat
Certantem lateribus, priuſquam mulierem mihi dimiſerit.
Si verò hâc prædâ fruſtratus fuero, & *Orcus* non venerit
Ad cruentam molam, deſcendam ad inferos,
In obſcuram domum Proſerpinæ & Plutonis,
Et poſtulabo: & confido me reducturum eſſe ſurſum
Alceſtin, ut tradam eam in manus mei hoſpitis,
Qui me excepit hoſpitio, nec abegit,
Quamvis eſſet gravi calamitate percuſſus *vel* implicitus:
Sed occultavit *ſuum luctum* excelſo animo, venerans me.
Quis ex omnibus Theſſalis magis eſt iſto hoſpitalis?

817. Οὐκ ἦλθες ἐν δέοντι) οὐκ ἐν δέοντι ἦλθες χρόνῳ.

Σχέτλιε) ἄθλιε Ἄδμητε. Δακρυρροοῦν) σοῦ Ἀδμήτου ἰδὼν τὸ ὄμμα δάκρυον βρέχον.

Βίᾳ δὲ θυμοῦ) βιασθεὶς δὲ καὶ ἀναγκασθεὶς ὑπ᾽ ἐκείνου πράσσοντος οὕτως ἀτυχοῦντος. Ἀλλὰ σοῦ τὸ μὴ φράσαι) ἀλλὰ τοῦτο σὸν ἁμάρτημα τὸ μὴ εἰπεῖν ἀληθὲς ἐπὶ τοῦ θανόντος τοῦ Ἀδμήτου.
Ποῦ νιν) ὀρθὴν βαδίζων τὴν ὁδόν.

843. Μελάμπεπλον) εἰδωλοποιεῖται μελαίνας πτέρυγας ἔχων ὁ θάνατος.
Πίνοντα τύμβου) προσδοκῶ αὐτὸν εὑρεῖν πλησίον τοῦ τύμβου πίνοντα τῶν προσφαγμάτων.
Περιβαλών) καὶ περιβαλὼν αὐτῷ κύκλον.
Μογοῦντα πλευρὰ) κατὰ πλευρὰν μογοῦντα. ἐὰν δὲ μὴ εὕρω αὐτὸν πλησίον τοῦ τάφου πίνοντα τὸ αἷμα, εἰς τοὺς δόμους τῆς Κόρης, καὶ τοῦ βασιλέως κάτω τοῦ Πλούτωνος εἶμι.
Πέλανον) τὴν ῥύσιν τοῦ αἵματος. τὸν πέλανον δὲ, ἀπὸ τῆς θυσίας φησί.
Ἔκρυπτε δ᾽ ὢν) τὸ πένθος ἔκρυπτε.

ANNOTATIONES.

V. 817. Οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμοις, Πένθος γὰρ ἡμῖν] Videtur Poeta ſibi contradicere, quum *Medeæ.* v. 190. Dixit Lyram & Carmina luctui magis accommodè, quàm conviviis, hæc enim etiam ſine illis læta ſatis & feſtiva; Dolores autem magis egere tali ſolamine. Sed utraque res ſuos habet defenſores, nec ſibi contradicit; ſed aliud fieri fatetur, aliud [illegible] velle ait, & ipſe aliàs eleganter affirmat, quòd de rebus ſingulis diverſos ſermones facilè poteſt ingenioſus Homo inſtituere;

Ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
Ἀγῶνα θεῖτ᾽ ἄν, εἰ λέγειν εἴη σοφός.

Quare *Joachimus Camerarius* fruſtrà ſe exercet, at doctè tamen; dum harum diverſarum opinionum cauſam ſubtiliter quærit. Vid. quæ Nos ad locum *Medeæ* ſuprà citatum. *Joſua Barnes.*

V. 835. Ὀρθὴν παρ᾽ οἶμον — τύμβον κατόψει) Ità *Varro Romanorum* doctiſſimus, de Ling. Latin. l. 4. *Monimenta, quæ in ſepulchris; & ideò ſecundùm Viam: quo prætereuntes admoneant & ſe fuiſſe & illos eſſe Mortales.* Vide quæ Nos [illegible] *Helen.* v. 1181. *Joſua Barnes.*

Tis

Τίς Ἑλλάδ' οἰκῶν; τοιγὰρ οὐκ ἐρεῖ, κακὸν
Εὐεργετῆσαι φῶτα, γενναῖος γεγώς.

Ἀνάπαιστοι.

Αδ. Ἰὼ, ἰώ. Στυγναὶ πρόσοδοι, στυγναὶ δ' ὄψεις
Χήρων μελάθρων. ἰώ μοι· αἶ, αἶ.
Ποῖ βῶ; πῆ στῶ; τί λέγω; τί δὲ μή;
Πῶς ἂν ὀλοίμην;
Ἦ βαρυδαίμονα μήτηρ μ' ἔτεκεν.
Ζηλῶ φθιμένους, κείνων ἔραμαι,
Κεῖν' ἐπιθυμῶ δώματα ναίειν.
Οὔτε γὰρ αὐγὰς χαίρω προσορῶν,
Οὔτ' ἐπὶ γαίας πόδα πεζεύων.
Τοῖον ὅμηρόν μ' ἀποσυλήσας
Ἅιδῃ Θάνατος παρέδωκεν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Πρόβα, πρόβα· βᾶθι κεῦθος οἴκων. Α. Αἶ, αἶ.
Χο. 2 Πέπονθας ἄξι' αἰαγμάτων. Αδ. Ἒ, ἔ.
Χο. 3 Δι' ὀδύνας ἔβας, σάφ' οἶδα. Αδ. φεῦ, φεῦ.
Χο. 4 Τὰν νέρθεν οὐδὲν ὠφελεῖς. Α. Ἰώ μοι, μοι.
Χο. 5 Τὸ μήποτ' εἰσιδεῖν φιλίας ἀλόχου
6 Πρόσωπόν σ' ἄντα, λυπρόν.

Ἀνάπαιστοι.

Αδ. Ἔμνησας, ὅ μου φρένας ἥλκωσεν.
" Τί γὰρ ἀνδρὶ κακὸν μεῖζον, ἁμαρτεῖν
" Πιστῆς ἀλόχου; μή ποτε γήμας
Ὤφελον οἰκεῖν μετὰ τῆσδε δόμους.
" Ζηλῶ δ' ἀγάμους, ἀτέκνους τε βροτῶν.
Ψυχὴ δὲ μία τῆσδ' ὑπεραλγεῖν
Μέτριον ἄχθος.
Παίδων δὲ νόσους, καὶ νυμφιδίους
Εὐνὰς θανάτοις κεραϊζομένας,
Οὐ τλητὸν ὁρᾶν, ἐξὸν ἀτέκνοις,
Ἀγάμοις τ' εἶναι διὰ παντός.

Ἀντιστροφὴ α'.

Χο. 1 Τύχα, τύχα δυσπάλαιστος ἥκει. Αδ. αἶ, αἶ.
Χο. 2 Πέρας δ' οὐδὲν τιθεῖς ἀλγέων. Αδ. ἔ, ἔ.
Χο. 3 Βαρέα μὲν φέρειν· ὅμως δὲ—— Αδ. φεῦ, φεῦ.
Χο. 4 Τλᾶθ'· οὐ σὺ πρῶτος ὤλεσας—— Α. ἰώ μοι μοι.
Χο. 5 Γυναῖκα. " Συμφορὰ δ' ἑτέρους ἑτέρα
" 6 Πιέζει φανεῖσα θνατῶν.

Ἀνάπαιστοι.

Αδ. Ὦ μακρὰ πένθη, λῦπαί τε φίλων
Τῶν ὑπὸ γαίαν· Τί μ' ἐκώλυσας
Ῥῖψαι τύμβου τάφρον ἐς κοίλην,
Καὶ μετ' ἐκείνης τῆς μέγ' ἀρίστης
Κεῖσθαι φθίμενον;

Quis etiam ex Græciæ incolis? Quamobrem non dicet ſe ingrato
Benefeciſſe viro, cum ipſe ſit animo excelſo.

Admetus.

Io, io! triſtis acceſſus, triſtiſque aſpectus
Viduarum ædium: hei mihi, heu mihi! æ, æ!
Quo vadam? ubi conſiſtam? quid dicu? quid verò non?
Quomodo queam perire?
Profectò valdè infelicem mater me peperit.
Beatos duco mortuos, illos amo.
Illam domum habitare expeto.
Non enim lætor *hanc ſolis* lucem intuens,
Nec in terrâ pedem eundo figens.
Talem obſidem mihi ereptum
Plutoni mors tradidit.

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 Procede, procede. Abi in latebras ædium. *Ad.* æ, æ.
Ch. 2 Paſſus es digna lamentis. *Ad.* heu, heu!
Ch. 3 Es in dolore, bene ſcio. *Ad.* heu, heu!
Ch. 4 Nihil tamen juvas mortuam. *Ad.* hei mihi, mihi!
Ch. 5 Non amplius intueri charæ conjugis
6 Vultum coràm, triſte *eſt*.

Admetus.

Meminiſti *illius rei*, quæ ſauciavit meum animum.
" Quod eni homini majus malum accidere poteſt, quàm amittere
" Charam conjugem? utinam nunquam uxore ductâ,
Habitaſſem cum hâc *iſtas* ædes.
" Felices duco cælibes & ſine liberis mortales.
Pro unâ verò animâ hâc dolere,
Mediocre *eſt* onus.
Liberorum autem morbos & nuptiales
Lectos morte vaſtatos,
Intolerabile *eſt* aſpicere; cùm licuiſſet ſine liberis
Et ſine conjuge ſemper vivere.

Antiſtrophe 1.

Ch. 1 Fatum, fatum ineluctabile venit. *Ad.* Heu, heu!
Ch. 2 Nullum verò finem facis dolorum. *Ad.* heu, heu!
Ch. 3 Triſtia quidem *ſunt hæc* latu: ſed tamen— *Ad.* Heu, heu!
Ch. 4 Perfer non *enim* tu primus amiſiſti— *Ad.* Hei mihi, mihi!
Ch. 5 Conjugem: " alios enim alia calamitas
" 6 Premit apparens, mortales.

Admetus.

O longi luctus & ô dolores propter amicos,
Qui ſunt ſub terrâ! Cur prohibuiſti, *ô Chore*,
Nè me projicerem in cavam ſepulcri foſſam,
Et cum illâ longè præſtantiſſimâ *feminâ*
Jacerem mortuus?

859. Τοιγὰρ οὐκ ἐρεῖ) καὶ οὐκ ἂν εἴποι με ἀγνώμονα ξένον, ἢ ἀχάριστον, καὶ ἀνωφελῆ.

Ἰὼ στυγναὶ πρόσοδοι) ἀντὶ τοῦ εἴσοδοι. ἔρχεται ὁ Ἄδμητος ἀπὸ τοῦ τύμβου, καὶ οὐ τολμᾷ εἰσιέναι.

Ζηλῶ) μακαρίζω.

Ὅμηρον) ἐνέχυρον. τὸ δὲ ζῆν φασὶν ὅμηρον αὐτοῦ γεγονέναι τὴν Ἄλκηστιν. ἀντὶ γὰρ αὐτοῦ δίδοται πρὸς ᾅδην.

878. Ἔμνησας ὅ μου φρένας) τοῦτό με ὑπέμνησας, ὅ μου τὰς φρένας ἐλύπησεν.

Ἁμαρτεῖν) ἀποτυχεῖν. ἡ μεταφορὰ ἀπὸ τοῦ ἁμαρτάνειν τοῦ σκοποῦ.

Ὤφελον) εὐχῆς σημαντικόν.

Ἐξὸν ἀτέκνοις) ἐξὸν εἶναι καὶ ἀγάμους καὶ ἀτέκνους.

Δυσπάλαιστος) δυσκαταγώνιστός σοι, ὦ Ἄδμητε, ἡ ἀτυχία.
Ἥκει) ἦλθεν.

891. Βαρέα μὲν) ἃ μὲν πέπονθας. βαρέα ἐστὶν, ὅμως φέρε αὐτά.

Ὅμως δὲ) προσϛάζει τλᾶθι· καὶ φεῦ, φεῦ διὰ μέσου. ὡσαύτως

Οὐ σὺ πρῶτος ὤλεσας) τὴν ἄλοχον λέγει. Οὐ σὺ πρῶτος ὤλεσας γυναῖκας καὶ ἰὼ μοι μοι διὰ μέσου.

ANNOTATIONES.

V. 872. Πρόβα &c.) Hæc omnia lamenta ſunt, ut ego notavi, *Admeti*; cætera Chori: Et ita ſuâ manu *Duportus* rectè notavit; & ante illum Liber *Heinſio-Scaligerianus*.

V. 878. Ἔμνησας) Referuntur hæc ad v. 875. τὰν νέρθεν οὐδὲν ὠφελεῖς, & ad v. 876. τὸ μήποτ' εἰσιδεῖν φιλίας ἀλόχου λυπρόν. Ita Solonem locutum aiunt, πρὸς τὸν εἰπόντα, Ἀλλ' οὐδὲν ἀνύσεις (δακρύων τὸν παῖδα τελευτήσαντα) δι' αὐτὸ δὲ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύτω. *Diogenes Laert.* in *Solone.* *Joſua Barnes.*

V. 887. Ἐξὸν ἀτέκνοις) aliàs ἀτέκνους & ἀγάμους Scholiaſt. De voce ἐξὸν abſolute ſumptâ. Vide quæ Nos ad *Mede.* v. 448.

Δύο δ' ἀντὶ μιᾶς ᾅδης ψυχὰς
Τὰς πιστοτάτας γε συνέσχεν ὁμοῦ,
Χθονίαν λίμνην διαβάντε.

Στροφὴ β'.

Χο. 1 Ἐμοί τις ἦν ἐν γένει,
2 Ὧι κόρος ἀξιόθρηνος
3 Ὤιχετ' ἐν δόμοισι
4 Μονόπαις· ἀλλ' ἔμπας
5 Ἔφερε κακὸν
6 Ἅλις, ἄτεκνος ὤν,
7 Πολιὰς ἐπὶ χαίτας,
8 Ἤδη προπετὴς ὤν,
9 Βιότου τε πόρσω.

Ἀνάπαιστοι.

Αδ. Ὦ σχῆμα δόμων, πῶς εἰσέλθω;
Πῶς δ' οἰκήσω μεταπίπτοντος
Δαίμονος; οἴμοι, πολὺ γὰρ τὸ μέσον.
Τότε μὲν πεύκαις σὺν Πηλιάσιν,
Σύν θ' ὑμεναίοις ἔστειχον ἔσω,
Φιλίας ἀλόχου χέρα βαστάζων,
Πολυάχητος δ' εἵπετο κῶμος,
Τήν τε θανοῦσαν, κἄμ' ὀλβίζων,
Ὡς εὐπατρίδαι, κἀπ' ἀμφοτέρων
Ὄντες ἀρίστων, σύζυγες εἶμεν.
Νῦν δ' ὑμεναίων γόος ἀντίπαλος,
Λευκῶν τε πέπλων μέλανες στολμοὶ,
Πέμπουσί μ' ἔσω,
Λέκτρων κοίτας ἐς ἐρήμους.

Ἀντιστροφὴ β'.

Χο. 1 Παρ' εὐτυχῆ σοι πότμον
2 Ἦλθεν ἀπειροκάκῳ τό-
3 δ' ἄλγος· ἀλλ' ἔσωσας
4 Βίοτον, καὶ ψυχάν.
5 Ἔθανε δάμαρ,
6 Ἔλιπε φιλίαν·
7 Τί νέον τόδε; πολλοὺς
8 Ἤδη παρέλυσε
9 Θάνατος δάμαρτος.

Ἴαμβοι.

Αδ. Φίλοι, γυναικὸς δαίμον' εὐτυχέστερον
Τοὐμοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ' ὅμως.
Τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
Πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.
Ἐγὼ δ', ὃν οὐ χρὴ ζῆν, παρεὶς τὸ μόρσιμον,
Λυπρὸν διάξω βίοτον, ἄρτι μανθάνων.
Πῶς γὰρ δόμων τῶνδ' εἰσόδους ἀνέξομαι;
Τίν' ἂν προσειπὼν; τοῦ δὲ προσρηθεὶς ὕπο,
Τερπνῆς τύχοιμ' ἂν εἰσόδου; ποῖ τρέψομαι;
Ἡ μὲν γὰρ ἔνδον ἐξελᾷ μ' ἐρημία,
Γυναικὸς εὐνὰς εὖτ' ἂν εἰσίδω κενὰς,

Duas enim animas pro unâ Pluto
Conjunxiſſet ſimul fideliſſimas,
Transgreſſas paludem infernam.

Strophe 2.

Ch. 1 Mihi quidem erat cognatus,
2 Cui filius lamentatione dignus
3 Periit in ædibus
4 Unicus: ſed tamen
5 Ferebat hoc malum
6 Moderatè, quamvis eſſet ſine liberis,
7 Canus ad comas
8 Jam præceps exiſtens,
9 Et ætate provecti.

Admetus.

O facies ædium, quomodo ingrediar?
Quomodo verò habitabo mutatâ
Fortunâ? Hei mihi: magnum enim *eſt* diſcrimen.
Tunc enim cum tædis ex monte Pelio lectis,
Et cum cantu intrò ibam,
Charæ conjugis manum tenens:
Perſtrepenſque carmine ſequebatur ſodalium cœtus,
Illam, quæ jam eſt mortua, & me, beatos eſſe prædicans;
Quòd nobiles, & utrinque
Ex nobiliſſimo genere conjuges eſſemus:
Nunc autem lamentatio hymenæo contraria,
Et pro candidis veſtibus atræ veſtes
Me deducunt intrò
In deſertum thalami cubile.

Antiſtrophe 2.

Ch. 1 Ad proſperam tibi ſortem
2 Venit nondum experto mali
3 Hic dolor: ſed ſervâſti
4 Vitam *tuam* & animam.
5 Obiit uxor,
6 Reliquit amorem;
7 Quid novi hoc *eſt*? Multos enim *alios*
8 Jam ſpoliavit
9 Mors uxore.

Admetus.

O amici, conjugis fortunam beatiorem
Meâ eſſe duco: quamvis *contrà* hoc non videatur, tamen *ſic eſt*.
Hanc enim nullus dolor attinget poſthàc,
Et cum magnâ gloriâ liberata eſt à multis doloribus.
Ego verò, quem non oportebat vivere prætergreſſus fatum,
Nunc primùm diſcens, triſtem degam vitam.
Quomodo enim ſuſtinebo ingreſſum hujus domûs?
Quem compellaturus? & à quo compellatus,
Jucundum habebo ingreſſum? quò me vertam?
Solitudo enim quæ intus *eſt*, perdet me,
Uxore vacuos quum aſpiciam lectos,

902. [Χθονίαν λίμναν) τὴν Στύγα δηλονότι. καὶ Σοφοκλῆς, πάγκοινον λίμναν καλεῖ. Χθονίαν δὲ, ἀντὶ τοῦ, ὑποχθονίαν. Διαβάντε) διαβάσας. ἔδει εἰπεῖν· Πρὸς τὸ σημαινόμενον. Καὶ Ὅμηρος περὶ Ἥρας καὶ Παλλάδος † τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.]

† *Iliad.* ε. v. 778.

905. Μονόπαις) ἐνταῦθα ὁ Χορὸς ἀπαντῶν Ἀδμήτῳ θρηνοῦντι τὴν γυναῖκα καὶ χαλεπαίνοντι, εἰπεῖν, ὅτι οἶδέ τινα τῶν αὑτοῦ ἐπιτηδείων, ὃς μονογενῆ υἱὸν ὀλέσας, πράως ἔφερεν, καὶ ταῦτα πρεσβύτερος ὢν καὶ παντελῶς ἄτεκνος ὤν. Ἀλλ' ἰδίως τὸ ἅλις τέτακται ἐπὶ τοῦ μετρίως· ἔφερε τὸ κακὸν μετρίως, καίπερ ἄτεκνος ὤν.

911. Βιότου τε πόρσω) ἤδη προπετὴς ἐπὶ τὰς πολιὰς χαίτας, καὶ πόρσω τοῦ βίου ὤν, ὅ ἐστιν ἤδη προβεβηκὼς τῇ ἡλικίᾳ.

914. Τὸ μέσον) τὸ διάφορον τῆς νῦν τύχης καὶ τῆς παλαιᾶς.

918. Πολυάχητος) ὁ Χορὸς τῶν Ἐπιθαλαμίων ὕμνον ᾄδοντες, οἱ ὑμέναιον λέγοντες. Εὐπατρίδαι ὄντες) ἀπ' ἀμφοτέρων τῶν γονέων εὐπατρίδαι.

926. Παρ' εὐτυχῆ σοι) παρὰ τὸν εὐτυχῆ σοι πότμον τοῦτο τὸ ἄλγος ἦλθεν. ἀντὶ τοῦ εὐτυχοῦντί σοι τοῦτο συμβέβηκεν.

958. Στυγεῖ δὲ τοὺς τεκόντας) δι' ὧν ὕβρισεν. αὐτοῦ τὸν πατέρα.

962. Ἐγὼ καὶ διὰ μούσας) ὁ ποιητὴς διὰ τοῦ προσώπου τοῦ χοροῦ, βούλεται δεῖξαι, ὅσον μετέχει τῆς παιδεύσεως· καὶ ἀεὶ μετεώρων ἐφρόντισα, οἷς ἐπελογησα, καὶ ἐμὴν ἐπὶ τούτῳ ἔχων, κρεῖσσον οὐδὲν ἀνάγκης ἐπικρατέστερον, δυνατώτερον. † καὶ Ὅμηρος, κρείσσων γὰρ βασιλεύς.

† Iliad. α'. v. 80.

Θρόνους τ' ἐν οἷσιν ἷζε, καὶ κατὰ στέγας
Αὐχμηρὸν οὖδας· τέκνα δ' ἀμφὶ γόνασι
Πίπτοντα, κλαίει μητέρ'· οἱ δὲ δεσπότιν
Στένουσιν, οἵαν ἐκ δόμων ἀπώλεσαν.
Τὰ μὲν κατ' οἴκους, τοιάδ'· ἔξωθεν δέ με
Γάμοι γ' ἐλῶσι Θεσσαλῶν καὶ ξύλλογοι
Γυναικοπληθεῖς· οὐ γὰρ ἐξανέξομαι
Λεύσσων δάμαρτος τῆς ἐμῆς ὁμήλικας.
Ἐρεῖ δέ μ' ὅστις ἐχθρὸς ὢν κυρεῖ, τάδε.
Ἰδοῦ τὸν αἰσχρῶς ζῶνθ', ὃς οὐκ ἔτλη θανεῖν,
Ἀλλ' ἣν ἔγημεν ἀντιδοὺς ἀψυχίᾳ,
Πέφευγεν ᾅδην· κᾆτ' ἀνὴρ εἶναι δοκεῖ,
Στυγεῖ δὲ τοὺς τεκόντας, αὐτὸς οὐ θέλων
Θανεῖν· τοιάνδε πρὸς κακοῖσι κληδόνα
Ἕξω· " τί μοι ζῆν δῆτα κύδιον φίλοι,
" Κακῶς κλύοντι, καὶ κακῶς πεπραγότι;

Sellásque in quibus ſedebat, & in ædibus
Squalidum ſolum: quum liberi verò genubus
Accidentes, plorabunt matrem: alii verò dominam
Gement, qualem amiſerint ex domo.
Res quidem domeſticæ ſunt tales: foris verò me
Nuptialia convivia Theſſalorum agitabunt, & cœtus
Frequentes mulierum: non enim ſuſtinebo
Aſpicere conjugis meæ coætaneas.
Quiſquis verò mihi inimicus eſt, dicet hæc:
Vide illum turpiter viventem, qui non ſuſtinuit mori,
Sed ſuam conjugem pro ſe abjiciens præ ignavia,
Effugit mortem: deinde tamen ſe virum eſſe putat, & haberi cupit,
Et odit parentes, cùm ipſe non velit
Mori: talem famam præter reliqua mala
Habebo: quid igitur mihi vita diuturnior optanda eſt, amici,
Male audienti: & male rem geſcenti?

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ἐγὼ καὶ διὰ μούσας
" 2 Καὶ μετάρσιος ᾖξα, καὶ
" 3 Πλείστων ἁψάμενος λόγων,
" 4 Κρεῖσσον οὐδὲν Ἀνάγκας
" 5 Εὗρον· οὐδέ τι φάρμακον
" 6 Θρῄσσαις ἐν σανίσιν, τὰς
" 7 Ὀρφεία κατέγραψε
" 8 Γῆρυς· οὐδ' ὅσα Φοῖβος
" 9 Ἀσκληπιάδαισιν ἔδωκε
" 10 Φάρμακα, πολυπόνοις
" 11 Ἀντιτεμὼν βροτοῖσι.

Ἀντιστροφὴ α'.

1 *Μόνας δ' οὔτ' ἐπὶ βωμοὺς
2 Ἐλθεῖν, οὔτε βρέτας θεᾶς
3 Ἔστιν, οὐ σφαγίων κλύει.
4 Μή μοι, πότνια, μείζων
5 Ἔλθοις, ἢ τὸ πρὶν ἐν βίῳ.
6 Καὶ γὰρ Ζεὺς ὅ, τι νεύσῃ,
7 Σὺν σοὶ τοῦτο τελευτᾷ.
8 Καὶ τὸν ἐν Χαλύβεσσι
9 Δαμάζει σὺ βίᾳ σίδηρον.

* Ἀνάγκας καὶ Βίας ἱερὸν memorat, Pauſan. Corinth. fol. 48. lin. 17.

ANTISTROPHICA.

Strophe 1.

Cho. 1 Ego & per Muſas,
" 2 Ex ſublimis, *i. e. per res ſublimes*, cucurri, &
" 3 Plurimis volutatis libris,
" 4 Nihil Neceſſitate potentius
" 5 Inveni: nec ullum pharmacum *adverſus hanc reperitur*
" 6 Thraciis in tabulis, quas, *i. e. in Thr. libris, quos*
" 7 Orphei conſcripſit
" 8 Vox. Neq quæcunque Phœbus
" 9 Æſculapii poſteris tradidit
" 10 Pharmaca, ærumnoſis
" 11 Adverſus *ærumnas* præbens mortalibus.

Antiſtrophe 1.

1 Solius verò *Neceſſitatis* nec ad aras
2 Venire, *nec ad* ſimulachrum *hujus* Deæ
3 Licet *accedere*: non *enim* exaudit victimas, *nec iis flectitur*.
4 Nè mihi, veneranda, major
5 Venias, quàm prius in vitâ.
6 Etenim quicquid Jupiter annuerit *atque decreverit*,
7 Tecum hoc perficit.
8 Et quod apud Chalybes
9 Ferrum *naſcitur*, domat tua vis,

968. Ὀρφεία κατέγραψε) πρῶτος Ὀρφεὺς μυστήρια θεῶν παραδέδωκεν, ὅθεν καὶ θρησκεία τὸ μυστήριον καλεῖται, ἀπὸ τοῦ Θρᾳκὸς Ὀρφέως. καὶ ἄλλως, καὶ ποιητὴς καὶ μάντις ἦν ὁ Ὀρφεύς. Φιλόχορος ἐν α' περὶ Μαντικῆς, ἐκτίθησιν αὐτοῦ ποιήματα ἔχοντα ὑπερέχει ἀσεβεῖς εἶναι θεοσεβείας, ἃς παρὰ κατέγραψε σανίδας. Ἀντιτεμὼν) μεταφορικῶς ἀπὸ τῶν τὰς ῥίζας τεμνόντων, καὶ ἐνειπόντων.

Καὶ γὰρ Ζεὺς ὅ, τι) τοῦτο ἀναγκαστικώτατα πρόσθει. καὶ γὰρ Ζεὺς ὑπόκειται τῷ τῆς ἀνάγκης ζυγῷ, ἀφ' οὗ ἐπινεύσει τινί. καὶ Ὅμηρος, † οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν, οὐδ' ἀτελεύτητον. ὅ, τι κεν κεφαλῇ κατανεύσω.

980. Καὶ τὸν ἐν Χαλύβεσσι) Χάλυβες ἔθνος τοῦ Πόντου, ἔνθα σιδηρᾶ μέταλλα εἰσί.

† Iliad. α'. v. 526.

ANNOTATIONES.

V. 948. Κλαίει) *Æmyl. Portus* mavult κλαίει, quia ἴσιδε & στένουσι ſunt ejus modi. Sed non mutationis ideo opus eſt. Hic enim eſt ſenſus, quum aſpiciam &c. liberi autem intereà plorant, quamque famuli Dominam lugeant. Nonnulli tamen legunt στένει quoque, & ita Liber *Heinſio-Scaligerianus*.

V. 962. Ἐγὼ καὶ διὰ Μούσας) Hic locus totus, *viz.* Prior *Strophe* & Antiſtrophe citatur à *Stobæo* in Excerpt. De Rerum Naturâ tit. viii. Non poſſum *Hugonis Grotii* elegantem hujus loci Verſionem hìc non adjicere,

Muſarum ſacra dum juga
Sublimi pede pervolo,
Diſcendique cupidine
Sermones varios ſequor;
Nil viſum Mihi fortius,
Quàm flectanda trabalibus
Clavis dura Neceſſitas.
Nil contra Medicamina
Proſunt, quæ Rhodopeïis
Inſcripſit Tabulis ſagax
Facundi manus Orphei:
Nil contra auxilii ferunt
Herbæ, quos docuit ſuum
Phœbi cura Machaonem,
Germanumque Machaonis,
Humanum miſerans Genus.
Nullus tam rigidæ Deæ
Delubris aditus datur:
Non Altaria viſere eſt:
Unam non prece ſupplice,
Non eſt vincere Victimis.
Ah! Tu ne gravior Mihi
Poſthàc advenias, Precor,
Quàm Te ſenſimus haſtenus.
Tu perducis ad exitum
Quicquid Jupiter annuit:
** Tu ferrum ſine vi domas,*
Montes quod Chalybum creant:
Stat ſententia: Nullus eſt
Decretis rigidis Pudor.

Vid. *Stobæi* Excerpta p. 126. Tit. 8. * *Vid. infra ad v.* 981.

V. 965. Ἀνάγκας) Ἀναγκαίας τῆς γνώμης καὶ τῆς φύσεως ὅλης ἀπαραίτητον ὅπλον ὁ στρατηγὸς νομίζει. Vide Dr. *Jacobi Windet* de Vitâ Functorum Statu c. 2. *J. Barnes.*

V. 968. Ὀρφεία κατέγραψε γῆρυς) Videtur *Orpheus* Incantationum libros ſcripſiſſe primus & Morborum Remedia & Amuleta docuiſſe. Vid. *Scholiaſten* ad *Hecub.* v. 1267. ubi hic locus laudatur. De *Orphei* quidem *Oraculo*, Vide *Julii Cæſaris Bulengeri* de Oraculis & Vatibus l. 1. c. 118. & c. 128. De *Orphei* autem Cantilenâ vid. quæ Nos ſuprà ad v. 357. Item in *Iphig. Aul.* v. 1211. & *Cyclop.* v. 642. Ἀλλ' οἶδ' ἐπῳδὴν Ὀρφέως ἀγαθὴν πάνυ. *J. Barnes.*

V. 981. Δαμάζει σὺ βίᾳ) ita liber *Heinſio-Scaligerianus* & *Canterus* Novar. Lection. l. 4. c. 19. rectè, pro δαμάζεις ἐν βίᾳ. Tum verò Carmen illud *Grotii*, quod huic loco reſpondet, viz. *Tu ferrum ſine vi domas*, quod priùs obtinebat, hoc modo licet proferre, *Ferrum vis tua perdomat. Joſua Barnes.*

10 Οὐδέ

10 Οὐδέ τις ἀποτόμου
11 Λήματός ἐστιν αἰδώς.

Στροφὴ β'.

1 Καί σ' ἐν ἀφύκτοισι χερῶν
2 Εἷλε θεὰ δεσμοῖς.
" 3 Τόλμα δ'· οὐ γὰρ ἀνά-
" 4 ξεις ποτ' ἔνερθεν
" 5 Κλαίων τοὺς φθιμένους ἄνω.
6 Καὶ θεῶν σκότιοι φθίνουσι
7 Παῖδες ἐν θανάτῳ.
8 Φίλα μὲν, ὅτ' ἦν γε μεθ' ἡμῶν,
9 Φίλα δ' ἔτι καὶ θανοῦσα.
10 Γενναιοτάτην δὲ πασῶν
11 Ἐζεύξω κλισίαις ἄκοιτιν.

Ἀντιστροφὴ β'.

1 Μηδὲ νεκρῶν ὡς φθιμένων
2 Χῶμα νομιζέσθω
3 Τύμβος σᾶς ἀλόχου·
4 Θεοῖσι δ' ὁμοίως
5 Τιμάσθω σέβας ἐμπόρων·
6 Καί τις δοχμίαν κέλευθον
7 Ἐκβαίνων, τόδ' ἐρεῖ,
8 Αὕτα ποτὲ προὔθανεν ἀνδρός,
9 Νῦν δ' ἐστὶ μάκαιρα δαίμων,
10 Χαῖρ', ὦ πότνι', εὖ δὲ δοίης.
11 Τοῖαί νιν προσεροῦσι φῆμαι.

10 Nec ullus præfractæ
11 Menti ineſt pudor.

Strophe 2.

1 Et te, *Admete*, inevitabilibus manuum
2 Cepit hæc Dea vinculis.
" 3 Perdura tamen: non enim redu-
" 4 ces unquam ab Inferis
" 5 Flendo, defunctos, ad ſuperos.
6 Et Deorum nothi pereunt
7 Liberi morte.
8 Erat tunc nobis chara, quando nobiſcum erat,
9 Etiam adhuc mortua nobis chara eſt.
10 Generoſiſſimam verò omnium
11 Adjunxiſti *tibi* ſociam tori in ædibus.

Antiſtrophe 2.

1 Nè verò mortuorum ut vitâ defunctorum
2 *Merus* agger exiſtimetur
3 Sepulcrum tuæ conjugis:
4 Diis at ſimiliter, *i. e. ut dii coli ſolent,*
5 Colatur numen viatorum, *quod viatores adorent.*
6 Et aliquis obliquam viam
7 Vadens, hoc dicet:
8 Hæc quondam obiit pro viro;
9 Nunc verò eſt beata Dea.
10 Salve, ô veneranda, & bona des *nobis.*
11 Tales ipſam ſalutabunt voces.

Ἀποτόμου λήματος) τοῦ σκληροῦ σου φρονήματος.

Καί σ' ἐν ἀφύκτοις) καὶ σὲ ἐν ἀφύκτοις χερσὶν ἡ ἀνάγκη, ὦ Ἄδμητε, ἐν ἀφύκτοις δεσμοῖς.

989. Καὶ θεῶν σκότιοι) οἱ λαθραῖοι παῖδες ἐξ ἀδαφουχίτων γάμων γινόμενοι. Ὅμηρος, † σκότιον δέ ἑ γείνατο μήτηρ. τούτους καὶ Ῥόδιοι ματρυξένους καλοῦσιν. Κρῆτες δὲ τοὺς αὐτοὺς σκοτίους λέγουσι.

996. Χῶμα νομιζέσθω) τὸ ἐπιχωννύμενον τοῖς νεκροῖς. ἀπὸ δὲ τούτου τὸν τάφον φησίν, ὡς οὐ κληθήσεται τύμβος, ἀλλὰ καὶ θεοῦ τινὸς ναός.

Δοχμίαν κέλευθον) ἐν πλαγίῳ τοῦ τάφου πορευόμενος.

† *Iliad.* ζ. v. 24.

ANNOTATIONES.

V. 989. Φθίνουσι) Priorem habet brevè. De quâ re Vid. ſuprà ad v. 56. V. 997. Τύμβος) ita quidem *rectiſſimè* habet toties laudata *Aldi* editio; quod ſi *Canterus* & *Æmylius* probè conſideraſſent, aut deſpectui non habuiſſent, non tot illi nugas de νομιζέσθω & τύμβα & τύμβον (ſi diis placet) neutrius generis & de τὸ ſubaudito fruſtra protuliſſent. *Heinſii* liber toties à me laudatus τύμβος legit. Item *Duportus*. Hîc autem *Subjectum*, & χῶμα *prædicatum*; vel etiam per *Appoſitionem* fit. *Joſua Barnes.*

ARGUMENTUM *Actûs* Quinti.

HErcules, Alceſtide ab Orco *per vim ereptâ, & in Vitam reſtitutâ, ad Conjugem Regem ducit, Velo Faciei obducto: Ibi primò leviter cum* Admeto *expoſtulat, quòd illum de fato Uxoris celaverit: Deinde fictis precibus & commento de Muliere, quæ illi in certaminis præmium ceſſerat, ejus ſidem egregiè explorat; dum diù pro illâ hoſpitium illius impetrare conatur fruſtrà. Ipſam tandem Uxorem illi in manus dat, rémque, ut erat, narrat; ac proindè inſperato illum gaudio perfundit.*

ΧΟΡΟΣ, ΗΡΑΚΛΗΣ, ΑΔΜΗΤΟΣ.

Ἴαμβοι.

Χο. ΚΑΙ' μὴν ὅδ', ὡς ἔοικεν, Ἀλκμήνης γόνος,
Ἄδμητε, πρὸς σὴν ἑστίαν πορεύεται.
Ηρ. " Φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως,
" Ἄδμητε, μομφὰς δ' οὐχ ὑπὸ σπλάγχνοις ἔχειν
" Σιγῶντ'· ἐγὼ δὲ σοῖς κακοῖσιν ἠξίουν
Ἐγγὺς παρεστὼς, ἐξετάζεσθαι φίλος.
Σὺ δ' οὐκ ἔφραζες σῆς προκείμενον νέκυν
Γυναικός· ἀλλά μ' ἐξένιζες ἐν δόμοις,
Ὡς δὴ θυραίου πήματος σπουδὴν ἔχων.

Ch. ATqui, ut videtur, hic Alcmenæ filius,
Admete, ad tuam domum venit.
Her. " Ad virum amicum liberè dicendum eſt,
" Admete, & non retinendæ reprehenſiones in pectore
" Tacitè: ego enim in tuis malis volebam
Huc accedens explorari amicus.
Tu verò non dixiſti propoſitum cadaver
Tuæ conjugis; ſed me excepiſti hoſpitio,
Tanquam curam habens alieni mali.

Μομφὰς δ' οὐχ ὑπὸ) οὐ χρὴ τὸν φίλον τοῦ φίλου ἀποκρύπτειν τὰς μέμψεις.

Ἐγγὺς παρεστὼς) ἐγγὺς παρεστὼς σοὶ συναλγῶν, ἄξιον ἐμαυτὸν ἐνόμιζον δειχθῆναι ὡς φίλον.

Κἄστεψα

Κἄστεψα κρᾶτα, καὶ θεοῖς ἐπεσπείσμην
Σπονδὰς, ἐν οἴκοις δυστυχοῦσι τοῖσι σοῖς.
Καὶ μέμφομαι δὴ, μέμφομαι παθὼν τάδε·
Οὐ μήν σε λυπεῖν ἐν κακοῖσι βούλομαι.
Ὧν δ' οὕνεχ' ἥκω, δεῦρ' ὑποστρέψας πάλιν,
Λέξω. γυναῖκα τήνδε μοι σῶσον λαβὼν,
Ἕως ἂν ἵππους δεῦρο Θρηκίους ἄγων
Ἔλθω, τύραννον Βιστόνων κατακτανών.
Πράξας δ', ὃ μὴ τύχοιμι, νοστήσαιμι γὰρ,
Δίδωμι τήνδε σοῖσι πρόσπολον δόμοις.
Πολλῶν δὲ μόχθων ἦλθε χεῖρας εἰς ἐμάς.
Ἀγῶνα γὰρ πάνδημον εὑρίσκω τινὰς
Τιθέντας ἀθληταῖσιν, ἄξιον πόνου,
Ὅθεν κομίζω τήνδε, νικητήρια
Λαβών· τὰ μὲν γὰρ κοῦφα τοῖς νικῶσιν, ἦν
Ἵππους ἄγεσθαι. τοῖσι δ' αὖ τὰ μείζονα
Νικῶσι, πυγμὴν, καὶ πάλην, βουφόρβια·
Γυνὴ δ' ἐπ' αὐτοῖς εἵπετ'· ἐντυχόντι δὲ,
Αἰσχρὸν παρεῖναι κέρδος ἦν τόδ' εὐκλεές.
Ἀλλ', ὥσπερ εἶπον, σοὶ μέλειν γυναῖκα χρή.
Οὐ γὰρ κλοπαίαν, ἀλλὰ σὺν πόνῳ λαβὼν
Ἥκω· χρόνῳ δὲ καὶ σύ μ' αἰνέσεις ἴσως.
Αδ. Οὔτοι σ' ἀτίζων, οὐδ' ἐν αἰσχροῖσιν τιθεὶς,
Ἔκρυψ' ἐμῆς γυναικὸς ἀθλίου τύχας·
Ἀλλ' ἄλγος ἄλγει τοῦτ' ἂν ἦν προσκείμενον,
Εἴπερ πρὸς ἄλλου δώμαθ' ὡρμήθης ξένου·
Ἅλις δὲ κλαίειν τοὐμὸν ἦν ἐμοὶ κακόν.
Γυναῖκα δ', εἴ πως ἔστιν, αἰτοῦμαί σ', ἄναξ,
Ἄλλον τιν', ὅστις μὴ πέπονθεν, οἷ' ἐγὼ,
Σώζειν ἄνωχθι Θεσσαλῶν· πολλοὶ δέ σοι
Ξένοι Φεραίων· μή μ' ἀναμνήσῃς κακῶν.
Οὐκ ἂν δυναίμην τήνδ' ὁρῶν ἐν δώμασιν,
Ἄδακρυς εἶναι· μὴ νοσοῦντί μοι νόσον
Προσθῇς· ἅλις γὰρ συμφορᾷ βαρύνομαι.
Ποῦ καὶ τρέφοιτ' ἂν δωμάτων νέα γυνή;
Νέα γὰρ ὡς, ἐσθῆτι καὶ κόσμῳ πρέπει.
Πότερα κατ' ἀνδρῶν δῆτ' ἐνοικήσει στέγην;
Καὶ πῶς ἀκραιφνὴς, ἐν νέοις στρωφωμένη,
Ἔσται; "τὸν ἡβῶνθ', Ἡράκλεις, οὐ ῥᾴδιον
"Εἴργειν· ἐγὼ δέ σου προμηθίαν ἔχω.
Ἢ τῆς θανούσης εἰς θάλαμον βύσας τρέφω;
Καὶ πῶς ἐπεισφρῶ τήνδε τῷ κείνης λέχει;
Διπλῆν φοβοῦμαι μέμψιν, ἔκ τε δημοτῶν

Et coronavi caput, & libavi diis.
Libationes in tuis ædibus adversâ fortunâ preſſis, *i.e. funeſtis*.
Quamobrem *de te* jam conqueror hæc *abs te* paſſus:
Non tamen te volo contriſtare in malis.
Cujus verò rei causâ venio huc, reverſus denuo
Dicam. Hanc mulierem ſerves mihi à me acceptam,
Donec adducens Thracios equos huc
Rediero, interfecto tyranno Biſtonum.
Si v. *malè rem* geſſeri (q. avertant Dii: utinam enim redeam)
Do hanc ancillam tuæ familiæ.
Venit autem in meas manus cum multis laboribus.
Invenio enim aliquos publicum certamen
Ponentes athletis, dignum labore:
Unde abduco hanc, præmium victoriæ
Accipiens. Illis eni. qui *in* levioirib. *certaminib.* vincebant, licebat
Equos abducere. Illis verò, qui *in* gravioribus
Vincebant, *ſcilicet* in pugilatu & luctâ, arménta, *i.e. boves accipieb.*
Mulier verò præterea ſequebatur: *mihi* verò caſu *hanc* adepto,
Turpe fuiſſet glorioſum hoc lucrū negligere.
Verùm, ut dixi, tibi, oportet curæ eſſe hanc mulierem.
Non enim furto partam, ſed cum *honeſto* labore acceptam,
Venio *adducens*: tandē v. & tu pro *hoc dono* me laudabis fortaſſe.
Ad. Neq; te contemnens, neq; inter *homines* turpes *ac infames* ponés,
Celavi meæ conjugis miſeræ calamitates:
Sed fuiſſet mihi dolor hic additus dolori,
Si iviſſes ad alius hoſpitis ædes:
Satis enim mihi fuit hoc meum deplorare malum.
Mulierem verò, ſi quo modo licet, oro te, rex,
Alium aliquem, qui non ſit paſſus qualia ego,
Servare jube, Theſſalorum: multi verò tibi *ſunt*
Hoſpites inter Pheræos: nè redigas mihi in memoriam *mea* mala.
Non poſſem, videns hanc in domo,
Sine lacrymis eſſe: nè dolenti mihi dolorem
Addas: ſatis enim *meâ* calamitate gravor.
In quâ parte ædium educabitur juvencula?
(Nam ut juvencula, veſte & ornatu nitet)
Utrum igitur in virorum habitabit tectis?
Et quomodo pura, verſans inter juvenes,
Erit? "non eſt facilè juvenes, ô Hercules,
"Coërcere: ego verò tui providam curam gero.
An alam *eam*, abdens in thalamum mortuæ?
Et quomodo admittam hanc in lectum illius?
Duplicem metuo reprehenſionem, & ex civibus

1023. Πράξας δ' ὃ μὴ τύχοιμι) παθὼν, ὃ μὴ γένοιτο τυχεῖν, ἐὰν δή μοι συμβῇ ἀποθανεῖν, ὅπερ μὴ γένοιτο, δίδωμί σοι ταύτην δούλην.

Πολλῶν δὲ μόχθων) ἐμοὶ πολλῇ ταλαιπωρίᾳ. Ἀγῶνα γὰρ) αἰνίττεται εἰς τὸν τοῦ θανάτου ἀγῶνα, ὃν νικήσας ἀνήγαγε τὴν Ἄλκηστιν.

[Εὑρίσκω) ἀντὶ τοῦ εὕρηκα, ἐνεστὼς ἀντὶ παρῳχημένου.] Ἰησοῦς ὁ Βαρνέσιος.

Ἐντυχόντι μὲν) ἐπειδὴ ἔτυχον ἐκείνοις, τὸ μὲν κερδαίνειν αὐτὴν, εὐκλεὲς ἡγησάμην. τὸ δὲ ἐᾶσαι, αἰσχρόν.

1037. [* Οὔτοι σ' ἀτίζων) ἀτιμάζων· Καὶ Ὅμηρος † Ὁ δὲ πρῶτον μὲν ἀτίζων Ἔρχεται. καὶ Ἀπολλώνιος Ἀργοναυτικῶν δευτέρῳ, Ἀλλὰ Διὸς δείδοικα δίκην ἰδαῖαν ἀτίσσαι. Ὁ δὲ νοῦς] οὐ διὰ τοῦτο σε ἔκρυψα τὸ πάθος τῆς γυναικὸς, ἀτιμάσαι σε βουλόμενος. Ἅλις δὲ) ἀρκεῖ τὸ ἐμὲ κλαίειν τὸ ἐμὸν κακόν· τίς χρεία καὶ σὲ παρόντα; εἴ πως ἔστι δὲ δυνατὸν παρακαλῶ σε, ταύτην τὴν γυναῖκα, ἄλλον κέλευε λαβεῖν Θεσσαλῶν, ὅς τις οὐ πέπονθεν οἷα ἐγώ. Καὶ πῶς ἀκραιφνὴς) καὶ πῶς ἄφθορος ἀνδρῶν εἴη, ἐν νέοις στρεφομένη;

1055. Ἢ τῆς θανούσης) ἀλλ' ἐρεῖς, εἰς τὸν τῆς τεθνηκυίας θάλαμον εἴσφερε ταύτην. καὶ πῶς οὐκ ἄτοπον τοῦτο; Ἔκ τε δημοτῶν) καὶ τοῦ δήμου, καὶ τῆς γυναικός. ὑπέχειν διπλῆν μέμψιν.

* Hæc inter Scholia inſerui, ad aſtruendam lectionem τῦ ἀτίζων, quia malè priùs aderat ἀτιμάζων tam in Texto, quàm in Scholiis. Nec à *Cantero* notabatur; *Scaliger* tamen legit ἀτίζων. *Joſua Barnes.* † *Iliad.* υ. v. 666.

ANNOTATIONES.

V. 1021. Θρηκίους) Lego Θρηκίας metri causâ, cum olim Θρηκίους legebatur. Liber *Heinſio-Scaligerianus* Θρηΐκας legit.

V. 1025. Πολλῶν δὲ μόχθων) ſubaudi μέτα, vel lege cum *Schol.* πολλῷ δὲ μόχθῳ, addito γ'. ad hiatum vitandum.

V. 1028. Ὅθεν κομίζω τήνδε νικητήρια, λαβὼν &c.) Inter Præmia fortibus viris deſtinata, memorantur Veteribus *Tripodes*, *Boves*, *Equi*, *Fœminæ*, *Lebetes*, *Arma*, *Æs*, *Ferrum*, *Aurum* & *Argentum*, dein *Coronæ*; ut ex *Homeri* Iliad. 21. ex *Virgilio* & aliis conſtat. Horum autem præcipua erant *Boves* ad Sacrificia & Epulas, & Mulieres Formoſæ, ad Miniſteria & Contubernium: Equi erant in ſecundo loco habiti, ut vel ex hoc ipſo patet loco, τὰ γὰρ κοῦφα τοῖς νικῶσιν ἦν ἵππους ἄγεσθαι. & τοῖσι δ' αὖ τὰ μείζονα νικῶσι, βουφόρβια, Γυνὴ τε &c. *J. Barnes.*

V. 1055. Βύσας) *Duportus*, *Cantero* præeunte, legit κρύψας non malè; ſed βύσας ſatis aptè legi poteſt: Quare nihil hic mutamus. Βύσας, πλήσας, φράξας, *Heſych.* idem & *Phavorinus.* De *Virginum* autem Cuſtodiâ diximus ad *Danaë* v. 22. *Joſua Barnes.*

V. 1056. Καὶ πῶς ἐπεισφρῶ) Vid. ad *Herc. Fur.* v. 1267.

Μὴ

Μή τίς μ' ἐλέγξῃ, τὴν ἐμὴν εὐεργέτιν
Προδόντ', ἐν ἄλλης δεμνίοις πιτνεῖν νέας.
Καὶ τῆς θανούσης, ἀξία δέ μοι σέβειν,
Πολλὴν πρόνοιαν δεῖ μ' ἔχειν. σὺ δ', ὦ γύναι,
Ἥτις ποτ' εἶ σύ, ταὔτ' ἔχουσ' Ἀλκήστιδι
Μορφῆς μέτρ' ἴσθι, καὶ προσῄξαι δέμας.
Οἴμοι. κόμιζε πρὸς θεῶν ἀπ' ὀμμάτων
Γυναῖκα τήνδε, μή μ' ἕλῃς ᾑρημένον.
Δοκῶ γάρ, αὐτὴν εἰσορῶν, γυναῖκ' ὁρᾶν
Ἐμήν. θολοῖ δὲ καρδίαν. ἐκ δ' ὀμμάτων
Πηγαὶ κατερρώγασιν. ὦ τλήμων ἐγώ,
Ὡς ἄρτι πένθους τοῦδε γεύομαι πικροῦ.
Χο. Ἐγὼ μὲν οὐκ ἔχοιμ' ἂν εὖ λέγειν τύχην.
Χρὴ δ', ὅστις εἶ σύ, καρτερεῖν θεοῦ δόσιν.
Ηρ. Εἰ γὰρ τοσαύτην δύναμιν εἶχον ἐκ Διός,
Εἰς φῶς πορεῦσαι νερτέρων ἐκ δωμάτων
Γυναῖκα, καὶ σοὶ τήνδε πορσῦναι χάριν.
Αδ. Σάφ' οἶδα βούλεσθαί σ' ἄν. ἀλλὰ ποῦ τόδε;
" Οὐκ ἔστι τοὺς θανόντας ἐς φάος μολεῖν.
Ηρ. Μὴ νῦν ὑπέρβαιν', ἀλλ' ἐναισίμως φέρε.
Αδ. " Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.
Ηρ. Τί δ' ἂν προκόπτοις, εἰ θέλοις ἀεὶ στένειν;
Αδ. Ἔγνωκα καὐτός, ἀλλ' ἔρως τις μ' ἐξάγει.
Ηρ. Τὸ γὰρ φιλῆσαι τὸν θανόντ', ἄγει δάκρυ.
Αδ. Ἀπώλεσέν με, κἄτι μᾶλλον, ἢ λέγω.
Ηρ. Γυναικὸς ἐσθλῆς ἤμπλακες. τίς ἀντερεῖ;
Αδ. Ὥστ' * ἄνδρα τόνδε μηκέθ' ἥδεσθαι βίῳ. * Vid. ad v. 690.
Ηρ. Χρόνος μαλάξει. νῦν δ' ἔθ' ἡβᾷ σοι κακόν.
Αδ. Χρόνον λέγοις ἄν, εἰ χρόνος τὸ κατθανεῖν.
Ηρ. Γυνή σε παύσει, καὶ νέου γάμου πόθος.
Αδ. Σίγησον. οἷον εἶπας; οὐκ ἂν ᾠόμην.
Ηρ. Τί δ'; οὐ γαμεῖς γάρ, ἀλλὰ χηρεύσεις μόνος;
Αδ. Οὐκ ἔστιν ἥτις τῷδε συγκλιθήσεται.
Ηρ. Μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προσδοκᾷς;
Αδ. Κείνην, ὅπου περ ἔστι, τιμᾶσθαι χρεών.
Ηρ. Αἰνῶ μέν, αἰνῶ. μωρίαν δ' ὀφλισκάνεις.
Αδ. Ὡς μήποτ' * ἄνδρα τόνδε νυμφίον καλῶν. * Vid. ad v. 684.
Ηρ. Ἐπῄνεσ', ἀλόχῳ πιστὸς οὕνεκ' εἶ φίλος.
Αδ. Θάνοιμ', ἐκείνην, καίπερ οὐκ οὖσαν, προδούς.
Ηρ. Δέχου νυν εἴσω τήνδε γενναίαν δόμων.
Αδ. Μὴ πρός σε τοῦ σπείραντος ἄντομαι Διός.
Ηρ. Καὶ μὴν ἁμαρτήσῃ γε μὴ δράσας τάδε.
Αδ. Καὶ δρῶν γε, λύπῃ καρδίαν δηχθήσομαι.

Nè quis me reprehendat, quòd uxorem de me benè-meritam
Prodens, in alterius juvenculæ lectis jaceam:
Et hujus mortuæ (digna enim eſt quæ à me colatur)
Oportet me habere rationem. Tu autem ô mulier,
Quæcunque tandem tu ſis, ſimilem habere te Alceſtidi
Formæ modum ſcito, & es ſimilis corpore.
Heu mihi! aufer per deos à meis oculis
Iſtam mulierem, nè me occidas perditum.
Videor enim ipſam intuens, conjugem intueri
Meã: turbat autẽ *hic aſpectus* meum cor, & ex oculis *lacrymarum*
Fontes erumpunt: ô me miſerum,
Quàm acerbum luctum hunc jam guſto.
Ch. Ego quidem non poſſem laudare *præſentem* fortunam.
Oportet autem *te*, quiſquis es tu, ſuſtinere quod deus dat.
Her. Utinam verò tantam vim haberem à Jove,
Ut in lucem reducerem ex inferorum ædibus
Tuam conjugem, & tibi hoc præſtarem officium!
Ad. Satis ſcio tuam voluntatem: ſed ubi hoc fieri poteſt?
" Impoſſibile eſt mortuos redire in vitam.
H. Nè nunc tranſgrediaris modũ, ſed *tuum malum* feras moderatè.
Ad. " Facilius eſt conſolari, quàm miſeriam ſuſtinere.
Her. Quid verò proficies, ſi ſemper gemere velis?
Ad. Scio & ipſe: ſed amor quidam *ad hoc* me rapit.
Her. Amare enim mortuam, elicit lacrymas.
Ad. Perdidit me, & multo magis quàm dicere poſſim.
Her. Amiſiſti bonam conjugem: quis contradicet?
Ad. Ita ut hic vir non amplius delectetur *hâc vitâ*.
H. Tempus *dolorem* molliet: nunc verò malũ tuũ adhuc recens eſt.
Ad. Tempus dixeris, ſi tempus eſt mori.
Her. Mulier abducet te à luctu, & deſiderium novarum nuptiarũ.
Ad. Tace: quid dixiſti? nunquam hoc putâſſem.
Her. Quid? non duces igitur uxorem, ſed manebis viduus?
Ad. Nulla *mulier* eſt, quæ cum hoc, *i.e. mecum*, ſit cubitura.
Her. Num ſperas aliquid te prodeſſe mortuæ?
Ad. Illam decet honore affici ubicunque eſt.
Her. Laudo quidem hoc laudo: ſed ſtultitiæ obnoxius es.
Ad. Ut nunquam virũ hunc ſpon? ſum vocaturus *lauda vel vitupera*.
Her. Laudo, quia conjugi fidus es amicus.
Ad. Moriar, ſi illam prodidero, quamvis nõ ſit amplius *in vivis*.
Her. Recipias ſodes in domum iſtam generoſam.
Ad. *Ne jubeas me hoc facere*, oro te per Jovem patrem tuum.
Her. Atqui peccabis, non faciens hoc
Ad. Faciens autem, mordebor dolore *in* corde.

Ἀξία δέ μοι) παρ' ἐμοῦ τιμᾶσθαι ἡ Ἄλκηστις ἀξία ἐστί.

1063. Μορφῆς μέτρ' ἴσθι) παραπλήσιον γὰρ ἔχεις τὸ εἶδος ἐκείνης τῆς μορφῆς. 1077. Θολοῖ δὲ) ταράττει, ἀπὸ τοῦ θολοῦ τῆς σηπίας, ὃ μέλλουσα ἀγρεύεσθαι, τοῦτο προΐεται, ἐπὶ τὸ σκοτίσαι τὸν ἀγρεύοντα.

1075. Σάφ' οἶδα) καλῶς οἶδα, ὅτι θέλεις μοι συνεργεῖν. 1077. Ἀλλ' ἐναισίμως) ἀλλὰ καθηκόντως φέρε. 1078. Ἢ παθόντα) ὡς νῦν ῥᾳδίως παραινεῖς. Ἔρως) τοῦ θρηνεῖν. Καὶ ἔτι μᾶλλον) ὑπερπόλλως. 1084. Ἄνδρα τόνδε) ἑαυτὸν λέγει δεικτικῶς. Χρόνον λέγοις) τὸν μέχρι θανάτου. μέχρι γὰρ θανάτου λυπηθήσομαι.

1090. Τῷδε) δεικτικῶς ἐμοί.

1094. Ὡς μήποτ') ἴσθι, μὴ καλέσειν με νυμφίον.

1096. Θάνοιμ' ἐκείνην) ἐὰν γαμήσω προδοὺς ἐκείνην, καίπερ ἀποθανοῦσαν, προδοὺς ἀποθάνοιμι.

Καὶ δρῶν γε) διὰ τὴν Ἄλκηστιν ἀνιᾶται.

ANNOTATIONES.

V. 1063. Προσῄξαι δέμας) *Æmyl. Portus* hic videtur dubitare de hoc verbo, quanquam agnoſcat thema προσείκω, unde προσῄξαι cum ſuo autem augmento, quod ille per figuram ſolvit, προσεικέναι. Cum hæc vox ſit familiaris & nota & *Homero* uſurpata, *Odyſſ.* Λ. v. 796. &c. ——δέμας δ' ἤϊκτο γυναικί. Sine augmento verò pluries, ut ἔικτο δέ οἱ περὶ λεπτοτάτοισιν ἐλαίων. Hæc ego præteriiſſem, (minuta enim ſunt) niſi ille, quaſi animi dubius προσεικέναι addidiſſet. *Joſua Barnes.*

V. 1068. Κατερρώγασιν) à ῥήσσω, ἔῤῥωγα *Atticè*; elegantèr de *Lacrymis* uſurpatur & de *Fontibus*. *Idem.*

V. 1069. Ὡς ἄρτι πένθους τοῦδε γεύομαι πικροῦ) Γεύομαι pro πειρῶμαι. Ita *Hecub.* v. 375. Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν, Φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ. Sic *Æſchylus* in Τοξότισι, Νῦν γυναικὸς ὦ μὴ λάθῃ ἐλέγχων Ὀδυσσεύς, ὅτι αἰσχρὰ γεγεύμεθα. Sic & Noſtræ Literæ loquuntur, *Hebr.* c. 2. v. 9. Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. *Joſua Barnes.*

V. 1078. Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν) Hanc ſententiam *Dion Caſſius* mutuatur ab *Euripide*, l. 38. Ῥᾷον παραινέσαι ἑτέροις ἐστίν, ἢ αὐτὸν παθόντα καρτερῆσαι. Vid. quæ Nos ad *Herc. Fur.* v. 1246. *Thales* interrogatus, Τί χαλεπώτατον, γνῶναι ἑαυτόν, ἔφη· τί ῥᾷστον, ἄλλῳ ὑποτίθεσθαι. *Joſua Barnes.*

V. 1100. Λύπῃ καρδίαν δηχθήσομαι) Vid. *Rheſ.* v. 596. Λύπῃ καρδίαν δεδηγμένος. Ita *Medea* v. 110. ψυχὴ δηχθεῖσα κακοῖσιν.

Ηρ. Πι-

Ηρ. Πιθοῦ· τάχ' ἂν γὰρ εἰς δέον πέσοι χάρις.
Αδ. Φεῦ· Εἴθ' ἐξ ἀγῶνος τήνδε μὴ λάβοις ποτέ.
Ηρ. Νικῶντι μέντοι, καὶ σὺ συννικᾷς ἐμοί.
Αδ. Καλῶς ἔλεξας· ἡ γυνὴ δ' ἀπελθέτω.
Ηρ. Ἄπεισιν, εἰ χρή· πρῶτα δ' εἰ χρεὼν, ὅρα.
Αδ. Χρὴ, σοῦ γε μὴ μέλλοντος ὀργαίνειν ἐμοί.
Ηρ. Εἰδὼς τι κἀγὼ, τήνδ' ἔχω προθυμίαν.
Αδ. Νίκα νυν· οὐ μὴν ἁνδάνοντά μοι ποιεῖς.
Ηρ. Ἀλλ' ἔσθ' ὅθ' ἡμᾶς αἰνέσεις· πιθοῦ μόνον.
Αδ. Κομίζετ', εἰ χρὴ τήνδε δέξασθαι δόμοις.
Ηρ. Οὐκ ἂν μεθείην τὴν γυναῖκα προσπόλοις.
Αδ. Σὺ δ' αὐτὸς αὐτὴν εἴσαγ', εἰ δοκεῖ, δόμοις.
Ηρ. Εἰς σὰς μὲν οὖν ἔγωγε θήσομαι χέρας.
Αδ. Οὐκ ἂν θίγοιμι· δῶμα δ' εἰσελθεῖν πάρα.
Ηρ. Τῇ σῇ πέποιθα χειρὶ δεξιᾷ μόνῃ.
Αδ. Ἄναξ, βιάζῃ μ' οὐ θέλοντα δρᾶν τάδε.
Ηρ. Τόλμα προτεῖναι χεῖρα, καὶ θιγεῖν ξένης.
Αδ. Καὶ μὴν προτείνω, Γοργόν' ὡς καρατόμῳ.
Ηρ. Ἔχεις; Α. ἔχω ναί. Η. σῶζέ νυν, καὶ τὸν Διὸς
Φήσεις ποτ' εἶναι παῖδα γενναῖον ξένον.
Βλέψον δ' ἐς αὐτὴν, εἴ τι σοι δοκεῖ πρέπειν
Γυναικί· λύπης δ' εὐτυχῶν μεθίστασο.
Αδ. Ὦ θεοὶ, τί λέξω; θαῦμ' ἀνέλπιστον τόδε·
Γυναῖκα λεύσσω τήνδ' ἐμὴν ἐτητύμως,
Ἢ κέρτομός με θεοῦ τις ἐκπλήσσει χαρά;
Ηρ. Οὐκ ἔστιν· ἀλλὰ τήνδ' ὁρᾷς δάμαρτα σήν.
Αδ. Ὅρα γε, μή τι φάσμα νερτέρων τόδ' ᾖ.
Ηρ. Οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.
Αδ. Ἀλλ' ἣν ἔθαπτον εἰσορῶ δάμαρτ' ἐμήν;
Ηρ. Σάφ' ἴσθ'· ἀπιστεῖν δ' οὔ σε θαυμάζω τύχην.
Αδ. Θίγω· προσείπω ζῶσαν ὡς δάμαρτ' ἐμήν.
Ηρ. Πρόσειπ'· ἔχεις γὰρ πᾶν ὅσονπερ ἤθελες.
Αδ. Ὦ φιλτάτης γυναικὸς ὄμμα, καὶ δέμας,
Ἔχω σ' ἀέλπτως, οὔ ποτ' ὄψεσθαι δοκῶν.
Ηρ. Ἔχεις· φθόνος δὲ μὴ γένοιτό τις θεῶν.
Αδ. Ὦ τοῦ μεγίστου Ζηνὸς εὐγενὲς τέκνον,
Εὐδαιμονοίης· καί σ' ὁ φιτύσας πατὴρ
Σώζοι· σὺ γὰρ τἀμ' ἐξανώρθωσας μόνος.
Πῶς τήνδ' ἔπεμψας νέρθεν εἰς φάος τόδε;
Ηρ. Μάχην συνάψας δαιμόνων τῷ κοιράνῳ.
Αδ. Ποῦ τόνδε Θανάτῳ φῂς ἀγῶνα συμβαλεῖν;
Ηρ. Τύμβον παρ' αὐτὸν ἐκ λόχου μάρψας χεροῖν.
Αδ. Τί γάρ ποθ' ἥδ' ἄναυδος ἕστηκεν γυνή;
Ηρ. Οὔπω θέμις σοι τῆσδε προσφωνημάτων

1103. Νικῶντι μέν τοι) μεταλαμβάνεις τῆς νίκης.
1104. Καλῶς ἔλεξας) εὐδόκιμον διὰ τὴν φιλίαν εἰρηκέναι, καὶ μετασχεῖν τῆς νίκης.
Πρῶτα δ' εἰ χρεὼν) εἰ χρὴ ἀπιέναι με, ὦ γύναι, σκόπει.
1118. Γοργόν' ὡς καρατόμῳ) ὡς τὸ κάρας ἀποτμηθῆν. καὶ ἄλλως. καρατόμῳ, τῇ καρατομηθείσῃ, ἀπὸ τοῦ καρατόμος.
1120. Γενναῖον) ἀεὶ αὐτοῦ λέγει.
1125. Ἦ κέρτομός με) ἆρα φησὶ μὴ χλευάζοιμι ὑπὸ χαρᾶς. Ὅρα γε) ὡς τι τῶν φαντάσματα ποιῶν, καὶ μὴ ἀληθῆ.
1128. Οὐ ψυχαγωγὸν) ψυχαγωγοί τινες γόητες ἐν Θετταλίᾳ, οὕτω καλούμενοι, οἵ τινες καθαρμοῖς τισὶ καὶ γοητείαις τὰ εἴδωλα ἐπάγουσί τε καὶ ἐξάγουσιν. οὓς καὶ Λάκωνες μετεπέμψαντο, ἡνίκα τὸ Παυσανίου εἴδωλον ἐξετάραξε τοὺς προσιόντας τῷ ναῷ τῆς Χαλκιοίκου, ὡς ἱστορεῖ Πλούταρχος ἐν ταῖς Ὁμηρικαῖς μελέταις.
1130. Ἀπιστεῖν δ' οὔ σε) εἰκὸς θαῦμα, εἰ ἀπιστεῖς. παρ' ἐλπίδα γὰρ γέγονεν.
V. 1140. Δαιμόνων τῷ κοιράνῳ) Τῷ Θεῷ, ἢ τῷ τῶν νεκρῶν κυρίῳ. φασὶ γὰρ τοὺς νεκροὺς δαίμονας. ἢ τῷ ταύτης κυρίῳ, τουτέστι τῷ Θανάτῳ.

Her. Obtempera: fortaſſe enim opportuna erit gratia.
Ad. Heu! Utinam ex certamine hanc nunquam accepiſſes.
Her. Cum tamen ego vinco, tu unà mecum vincis.
Ad. Rectè dixiſti, ſed mulier hæc abeat.
Her. Abibit ſi oportet, ſed primum vide, an ſit utile.
Ad. Oportet *illam abire*; ſi modò tu mihi nolis iraſci.
Her. Sciens quiddam & ego, tantum adhibeo ſtudium.
Vince itaque: non tamen grata mihi facis.
Her. Sed erit tempus, cùm laudabis nos: obtempera ſolum.
Ad. Deducite, ſiquidem oportet hanc recipere in ædes.
Her. Non committam hanc mulierem miniſtris.
Ad. Tu igitur ipſe ipſam introducito, ſi placet, in domum.
Her. Imò verò ego in tuas manus tradam.
Ad. Non attingam *eam*: licet verò intrare domum.
Her. Commendo eam tantùm tuæ dextræ.
Ad. Cogis me, rex, non volentem hæc facere.
Her. Auſis extendere manum, & attingere hoſpitam.
Ad. Atqui extendo *eam*, ut Gorgoni caput-reſectæ.
Her. Habes? A. Etiam habeo. *H.* Serva nunc eam: ſi Jovis
Filium olim dices eſſe egregium hoſpitem.
Intuere eam, nunquid videatur eſſe ſimilis
Tuæ conjugi: & tu beatus jam recede a dolore.
Ad. O dii, quid dicam? miraculum hoc inſperatum *eſſe credo*:
Conjugémne cerno hanc meam reverà;
An aliquod Dei vanum *fallaxque* gaudium me facit attonitum?
Her. Non eſt *ità*: ſed intueris hanc tuam conjugem.
Ad. Vide tamen, ne hoc ſit aliquod inferorum ſpectrum.
Her. Non præſtigiatorem hunc hoſpitem *me* fecisti.
Ad. Sed num video conjugem, quam ſepeliebam?
Her. Certo ſcias: non miror autem te fortunæ tuæ non credere.
Ad. Contrecto: *ſed an etiam hanc* alloquar ut meam uxorē vivam?
Her. Alloquere: habes enim quod voluiſti.
Ad. O chariſſimæ conjugis facies & corpus,
Habeo te præter ſpem, exiſtimans fore ut nunquam te viderem.
Her. Habes, invidia verò nulla deorum adſit.
Ad. O maximi Jovis generoſe fili,
Beatus ſis, & pater, qui te genuit, *te*
Servet: tu enim mea reſtituiſti ſolus.
Quomodo hanc reduxiſti ex inferis in iſtam lucem?
Her. Commiſsâ pugnâ cum rege dæmonum.
Ad. Ubi hanc cum Orco te commiſiſſe dicis?
Her. Apud ipſum tumulum ex inſidiis *eam* corripiens manibus.
Ad. Cur verò mulier hæc muta ſtat?
Her. Nondum fas tibi hujus compellationes

ANNOTATIONES.

V. 1102. Φεῦ) Vid. *Hecub.* v. 55.
V. 1108. Ποιεῖς) τὸ ποι Syllaba communis eſt: De quo vid. *Hecub.* v. 1108.
V. 1123. Ὦ θεοὶ) τὸ θεοὶ μονοσυλλαβεῖ in hoc loco. Vid. *Phœniſſ.* v. 509. & hujus Fab. v. 1125.
V. 1124 Λεύσσω) aliàs λεύσω. Sed λεύσσω melius; & ita *Duportus* legit.
V. 1125. Ἦ κέρτομός με θεοῦ) Hic quoque θεοῦ eſt μονοσυλλαβεῖν, ut ſupra v. 1123.
V. 1137. Ὁ φιτύσας πατὴρ) In φιτύσας prior ſyllaba præter morem producitur, nec tamen ſine exemplo; *Heſiodus* enim *Theogon.* v. 986. Αὐτάρ τοι Κεφάλῳ φιτύσατο φαίδιμον υἱόν. Et *Sophocl.* Antig. v. 660. Ὅστις δ' ἀχρεῖα φιτύει τέκνα. Sic ſupra hujus Fabulæ v. 294. Σοῦ κατθανόντος ἄλλα φιτύσαι τέκνα. Sic *Oppian.* Κυνηγετικῶν l. 1. v. 2. Ὃν μεγάλη μεγάλῳ φιτύσατο Δόμνα Σεβήρῳ. Ubi tamen alii φυτεύσατο legunt, ut & in loco *Heſiodi* prædicto. Φιτάλιά tamen priorem habet longam. Vid. ſupra v. 477. in κεχαίρω, & v. 56. & v. 989. in φίλος, & in τίνω *Hercul.* Fur. v. 983. *Joſua Barnes.*

Κλύειν,

Κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
Ἀφαγνίσηται, καὶ τρίτον μόλῃ φάος.
Ἀλλ' εἴσαγ' εἴσω τήνδε· καὶ δίκαιος ὢν,
Τὸ λοιπὸν, Ἄδμητ', εὐσέβει περὶ ξένους.
Καὶ χαῖρ'· ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών.
Αδ. Μεῖνον παρ' ἡμῖν, καὶ ξυνέστιος γενοῦ.
Ηρ. Αὖθις τόδ' ἔσται· νῦν δ' ἐπείγεσθαί με δεῖ.
Αδ. Ἀλλ' εὐτυχοίης· νόστιμος δ' ἔλθοις δόμον.
Ἀστοῖς δὲ, πᾶσί τ' ἐννέπω τετραρχίαις,
Χοροὺς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι,
Βωμούς τε κνισσᾶν βουθύτοισι προστροπαῖς.
Νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
Τοῦ πρόσθεν· οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.

Ἀνάπαιστοι.

Πολλαὶ μορφαὶ τῶν δαιμονίων,
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ', οὐκ ἐτελέσθη.
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

Audire, priuſquam diis inferis
Fuerit purificata, & venerit tertius dies.
Introducas igitur eam, & cum ſis juſtus,
In cæterum ſis pius erga hoſpites; *ut hactenus fuerus*;
[redacted] vale: ego verò propoſitum certamen
Stheneli filio regi conficiam *hinc* diſcedens.
Ad. Maneas nobiſcum & ſis meus hoſpes.
Her. Iterum hoc *aliquando* fiet: nunc eni oportet me properare.
Ad. Ergo ſis felix, hancque redux reviſas domum.
Civibus v. omnibuſq; impero tetrarchiis *& præfecturarū princip.*
Ut choros ob felicem rerum eventum inſtituant *ac agitent*,
Araſq; profundant odoribus, & opimarū victimarū ſupplicationib.
Nunc enim in meliorem vitam traducti ſumus,
Quàm quæ fuit antea: haud enim negabo *nunc* me beatum eſſe.

Chorus.

Multæ ſunt formæ rerum divinitus evenientium,
Et multa præter ſpem dii perficiunt.
Et quæ videbantur eventura, non ſunt perfecta *ut expectabantur*.
Inopinatorum verò exitum invenit Deus.
Talis evaſit hæc res, *talem eventum eſt ſortita*.

1145. Νερτέροις) Πλούτωνα καὶ Περσεφόνην δηλοῖ.

1149. Τὸν προκείμενον) τὸν τῶν ἵππων Διομήδους.

Νόστιμον δ' ἔλθοις πόδα) γράφεται καὶ δόμον καὶ ὁδόν.

Εὐριπίδου Ἀλκήστιδος Τέλος.

Euripidis Alceſtidis Finis.

ANNOTATIONES.

V. 1150. Σθενέλου τυράννῳ παιδὶ) Εὐρυσθεῖ τυράννῳ παιδὶ Σθενέλου. Hæc autem eſt *Euryſthei* Genealogia; ex *Jove* & *Danae Perſeus*, ex *Perſeo* & *Andromedâ Sthenelus*; ex *Sthenelo* & *Archippe*, vel ut *Apollodorus* vocat, *Nicippe*, *Euryſtheus*. De quo inter alios conſulatur *Apollodorus* Biblioth. l. 2. c. 4. §. 5. Item c. 5. Et quæ Nos [redacted] *Heraclid.* v. 362. [redacted] ad *Herc. Fur.* v. 388. *J. Barnes.*

V. 1153. Νόστιμος) olim νόστιμον. Quod & ſtare poterit, ſi legeretur πόδα, vel ὁδὸν, quas Lectiones *Scholiaſtes* agnoſcit. Sin δόμον legamus, omnino νόστιμος ſcribendum, quod in Codice *Scaligeriano* notatum video. *J. Barnes.*

V. 1156. Βωμοὺς alii ἰδὼς & ἰδὼν, malè, ut mihi videtur.

V. 1159. Πολλαὶ μορφαὶ) Vid. [redacted] finem *Medeæ*, *Andromachæ*, *Baccharum* & *Helenæ*.

ΕΥΡΙΠΙΔΟΥ

ΕΥΡΙΠΙΔΟΥ ΑΝΔΡΟΜΑΧΗ.

Ὑπόθεσις ΑΝΔΡΟΜΑΧΗΣ.

Νεοπτόλεμος ἐν Τροίᾳ γέρας λαβὼν, Ἀνδρομάχην τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς τὸν Μολοττόν. ὕστερον δὲ ἐπέγημεν Ἑρμιόνην, τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρῶτον ᾐτηκὼς τῆς Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον, μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δὲ ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλὶς, ἐβουλεύσατο κατ' ταύτης θάνατον, μεταπεμψαμένη τὸν Μενέλαον. ἡ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον, καὶ τὸ παιδίον ἀνεῦρον, καὶ ἐκείνην ἀπατήσαντες ἀνήγειραν. καὶ σφάττειν μέλλοντες ἀμφοτέρους, ἐκωλύθησαν, τοῦ Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην. Ἑρμιόνη δὲ μετενόησεν, εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης, ταύτην μὲν ἀνήγαγεν εἰς Σπάρτην, Νεοπτολέμῳ δὲ ἐπεβούλευσεν. ὃν καὶ φονευθέντα, παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν, Θέτις φανεῖσα, τοῦτον μὲν ἐν Δελφοῖς ἐπέταξε θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοττοὺς ἀποστεῖλαι μετὰ τοῦ παιδὸς, αὐτὸν δ' ἀθανασίαν προσδέχεσθαι. τυχὼν δὲ ταύτης, εἰς Μακάρων νήσους ᾤκησεν.

Ἡ μὲν σκηνὴ τοῦ δράματος, ἐν Φθίᾳ κεῖται. ὁ δὲ χορὸς, συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν. προλογίζει δὲ Ἀνδρομάχη. τὸ δὲ δρᾶμα, τῶν δευτέρων. ὁ πρόλογος σαφὴς, καὶ εὐλόγως εἰρημένος. ἔτι δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης, ἐν τῷ δευτέρῳ μέρει. ῥῆσις Ἑρμιόνης, τὸ βασιλικὸν ἐμφαίνουσα. καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος, καλῶς ἔχων. εὖ δὲ καὶ ὁ Πηλεὺς, ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.

Argumentum ANDROMACHÆ.

Neoptolemus ad *Trojam* munus accipiens *Andromachen Hectoris* uxorem, filium ex eâ genuit *Moloſſum*: poſtea autem ſuperinduxit *Hermionen Menelai* filiam. Sed cùm primùm poſtulâſſet pœnam interfectionis *Achillis* ab *Apolline* in *Delphis*, rediit ad oraculum, agens pœnitentiam, ut deum placaret. Sed Regina habens ſe zelotypè erga *Andromachen*, molita eſt ei mortem, accerſens *Menelaum*. Illa autem infantem ablegavit, ac ipſa fugit ad templum *Thetidis*. Porro *Menelaus*, & puerum invenit, & illam deceptam templo eduxit; cùmque eſſet interfecturus utroſque, prohibitus eſt ab interveniente *Peleo*. *Menelaus* ergo rediit *Spartam*: *Hermione* autem egit pœnitentiam, verita præſentiam *Neoptolemi*. Adveniens autem *Oreſtes*, hanc quidem reduxit *Spartam*, *Neoptolemo* autem inſidias poſuit: iſque interfectus reportatur. *Peleo* autem volenti lugere mortuum, *Thetis* apparens, hunc quidem juſſit in *Delphis* ſepeliri, *Andromachen* autem mitti ad *Moloſſos* cum puero. Ipſum autem *Pelea* dixit immortalitatem habiturum: quâ is potitus, ſe contulit ad Inſulas Fortunatas.

Scena fabulæ eſt in *Phthiâ*. Chorus autem conſtat ex *Phthiis* mulieribus. Præfatur *Andromache*. Hæc Fabula eſt ſecundi ordinis. Prologus eſt perſpicuus, & veriſimilitèr dictus: & elegiaca carmina in querelâ *Andromaches* ſunt ſecundi gradus. Oratio *Hermiones* eſt regalis, & pulchra etiam oratio *Andromachæ* affixa. Benè & *Peleus* loquitur, liberans *Andromachen*.

Hiſtoria, quæ fundamentum hujus Fabulæ, in iſto Poemate extat, quod *Troica* dicitur: De quo Nos in Principio *Medeæ*. Hanc Fabulam inter cæteras *Ennius* Carmine *Latino* donâſſe memoratur à *Cicerone*, de Divinat. l. 1. Item *Q. Septimius Florens Chriſtianus* eandem Carmine *Latino* donavit. Edit. *Hamburg*. 1619. De tempore, quo Acta eſt hæc Fabula, vide infrà ad hujus Fabulæ v. 732. *Joſua Barnes*.

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ. PERSONÆ hujus Fabulæ *ſunt hæ*.

ΑΝΔΡΟΜΑΧΗ.	ANDROMACHE.
ΘΕΡΑΠΑΙΝΑ.	FAMULA.
ΧΟΡΟΣ ἐκ ΦΘΙΩΤΙΔΩΝ.	CHORUS ex PHTHIIS Mulieribus.
ΕΡΜΙΟΝΗ.	HERMIONE.
ΜΕΝΕΛΑΟΣ.	MENELAUS.
ΜΟΛΟΤΤΟΣ.	MOLOSSUS.
ΠΗΛΕΥΣ.	PELEUS.
ΟΡΕΣΤΗΣ.	ORESTES.
ΑΓΓΕΛΟΣ.	NUNCIUS.
ΘΕΤΙΣ.	THETIS.

Προλογίζει δὲ ἡ Ἀνδρομάχη. Prologum autem agit *Andromache*.

ARGUMENTUM *Actûs* Primi.

Andromache *in* Thetidis *Sanctuario* (*eò enim præ metu confugerat*) *Prologum agens, exponit, quomodo* Neoptolemo, *cui poſt* Trojam *captam data ſit in Conjugem, abſente*, Hermione, *Uxor illius nova ſuperinducta, unà cum Patre* Menelao, *necem illi filioque* Moloſſo *machinatur. Ancilla* Trojana *nuntiat* Andromachæ, *quid contra eam meditati eſſent* Menelaus *&* Hermione, *& ab illâ miſſa eſt ad Senem* Peleum, *illius Patrocinii obtinendi gratiâ. Intereà* Andromache *ſuas vices deplorat*; Chorus *ex* Phiotiicis *Mulieribus conſtans eam conſolatur.* Hermione *adveniens jurgium incipit, in quo hujus Inſolentia & Zelotypia, illius autem Prudentia ac Magnanimitas apparent.* Chorus *cauſas* Trojani *excidii remotiſſimas, nempe* Paridis *judicium &* Caſſandræ *Oraculum de necando illo infante neglectum, repetit.*

ΑΝΔΡΟΜΑ-

ΑΝΔΡΟΜΑΧΗ, ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΡΜΙΟΝΗ.

Ἴαμβοι.

Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις,
Ὅθεν ποθ' ἕδνων σὺν πολυχρύσῳ χλιδῇ
Πριάμου τύραννον ἑστίαν ἀφικόμην,
Δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,
Ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ·
Νῦν δ' εἴ τις ἄλλη δυστυχεστάτη γυνὴ
Ἐμοῦ πέφυκεν, ἢ γενήσεταί ποτε.
Ἥτις πόσιν μὲν Ἕκτορ' ἐξ Ἀχιλλέως
Θανόντ' ἐσεῖδον, παῖδά θ', ὃν τίκτω πόσει,
Ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων,
Ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον.
Αὐτὴ δὲ δούλη, τῶν ἐλευθερωτάτων
Οἴκων νομισθεῖσ', Ἑλλάδ' εἰσαφικόμην,
Τῷ νησιώτῃ Νεοπτολέμῳ δορὸς γέρας
Δοθεῖσα, λείας Τρωϊκῆς ἐξαίρετον.
Φθίας δὲ τῆσδε, καὶ πόλεως Φαρσαλίας,
Σύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία
Πηλεῖ ξυνῴκει χωρὶς ἀνθρώπων Θέτις
Φεύγουσ' ὅμιλον. Θεσσαλὸς δέ νιν λεὼς
Θετίδειον αὐδᾷ, θεᾶς χάριν νυμφευμάτων.
Ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,
Πηλέα δ' ἀνάσσειν γῆς ἐᾷ Φαρσαλίας,
Ζῶντος γέροντος σκῆπτρον οὐ θέλων λαβεῖν.
Κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον,
Πλαθεῖσ' Ἀχιλλέως παιδί, δεσπότῃ τ' ἐμῷ.
Καὶ πρὶν μὲν ἐν κακοῖσι κειμένην ὅμως
Ἐλπίς μ' ἀεὶ προσῆγε, σωθέντος τέκνου,
Ἀλκήν τιν' εὑρεῖν, κἀπικούρησιν κακῶν·
Ἐπεὶ δὲ τὴν Λάκαιναν Ἑρμιόνην γαμεῖ,
Τοὐμὸν παρώσας δεσπότης δοῦλον λέχος,
Κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι.
Λέγει γὰρ, ὥς νιν φαρμάκοις κεκρυμμένοις

Andromache.

Asiaticæ terræ decus, Thebana civitas,
Unde quondam dotis cum opulentis deliciis
Veni ad regiam domum Priami,
Data conjunx fœcunda Hectori,
Andromache, ſuſpicienda quidem priore tempore:
Nunc verò nulla alia calamitoſior mulier
Me eſt, neque erit unquam.
Quæ maritum quidem Hectorem ab Achille
Interfectum vidi, & filium, quem peperi marito,
Aſtyanacta projectum ab arduis turribus,
Poſtquam Græci ceperunt ſolum Trojæ.
Ipſa autem ſerva, liberrimæ
Familiæ antea habita, in Græciam veni,
Inſulari Neoptolemo munus belli
Data, electum ex prædâ Trojanâ.
Hujus verò Phthiæ & urbis Pharſaliæ
Vicinos campos habito, ubi marina
Thetis habitavit cum Peleo ſeparatim, hominum
Fugiens frequentiam. Theſſalicus verò populus hunc locum
Vocat Thetidæum, propter nuptias deæ.
Ubi domum hanc habuit filius Achillis,
Peleum verò ſinit regere terram Pharſaliam,
Vivo ſene ſceptrum non volens accipere.
Et ego in his ædibus unicum pario puerum marem
Congreſſa cum filio Achillis & meo domino:
Et prius quidem, quamvis jacerem in malis, tamen
Spes me ſemper fovebat, vivo filio
Me inventuram aliquod præſidium & auxilium in malis.
Poſtquam verò Lacænam Hermionem ducit
Meus dominus, averſatus meum ſervilem lectum,
Malis ab ipſa miſeris exagitor.
Dicit enim, quòd eam occultis pharmacis

Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις) Σχῆμα, κάλλος, εὐπρέπεια, κόσμος, ἀξίωμα, δόξα. Θηβαία πόλις) τὴν ἐν Ἀσίᾳ λέγει Ὑποπλάκιον Θήβην, ἧς Ἠετίων ἐβασίλευσεν. Χλιδῇ) πολυτελείᾳ τῶν ἐν τῇ φερνῇ δώρων. καὶ ἄλλως, χλιδῇ, τρυφῇ, ἀγροικὸς κόσμῳ· ἔστι δὲ ὅτε τὴν χαίτην, οἱονεὶ χλιδὴν πλεξάντων. 3. Ἑστίαν) οἰκίαν. Δάμαρ) νομίμη, γυνὴ παιδοποιός. οἱ γὰρ σκότιοι παῖδες ἐκβάλλονται. 5. Ζηλωτὸς) ἐπίφθονος, εὐδαίμων, μακαρία. τὸ δὲ πρὶν συναπτέον τῷ χρόνῳ, ἵν' ᾖ ἐν τῷ προτέρῳ χρόνῳ. 6. Νῦν δ' εἴ τις ἄλλη) ἀντὶ τοῦ οὐκ ἔστι μία ἄλλη δυστυχὴς γυνή. οὐ γὰρ οὕτως. ἐγὼ δὲ οὐχ ὑπολαμβάνω, εἰ ἄρα τις γυνὴ ἀθλιωτέρα μου ἐστίν. Ἀπ' ὀρθίων) ἀπὸ τῶν ὑψηλῶν καὶ τετραμμένων πύργων, τουτέστι τειχῶν. 12. Αὐτὴ δὲ) ἐγὼ δὲ αὐτὴ ἐλευθεριωτάτων γονέων οὖσα, δούλη. 13. Ἑλλάδ' εἰσαφικόμην) ἡ ἐλευθερωτάτους οἴκους φησὶ τῶν Αἰακιδῶν. 14. Τῷ νησιώτῃ) ὅτι ἐν Σκύρῳ ἐτέχθη, ἢ ἐπὶ νήσου οὔσης τὴν Θεσσαλίαν. Ὅμηρος, * Ἠὲ τὸν, ὃς Σκύρῳ μοι ἐνιτρέφεται φίλος υἱός. 17. Σύγχορτα ναίω πεδία) τὰ ὅμορα. ἐν χόρτοις διώριζον τὰς πόλεις οἱ ἄρχοντες. Ἀλέξανδρος δὲ, ἡ ἀστείοις ἢ ἀλλήροις. μεταξὺ δὲ τούτων τῶν πόλεων ἐστὶ τὸ Θετίδειον. Ἐντίκτω κόρον) ἕνα παῖδα. ἰδίως δὲ ἕνα φησὶ παῖδα γενέσθαι τῷ Νεοπτολέμῳ, ἄλλων τρεῖς λεγόντων Πύρρον, Μολοσσὸν, Αἰακίδην. Πλαθεῖσα) ἀντὶ τοῦ πλησιασθεῖσα, ὅθεν καὶ ὁ πλάξ. Ἐν κακοῖσι κειμένην) διὰ τὰ πάντα κακά. Ἐπεὶ δὲ) ἀφ' οὗ δή. Παρώσας, ἀπωσάμενος, ἀπωθήσας, ὑβρίσας, ἐκβαλών. δοῦλον δὲ, τὸ δουλικόν. Πρὸς αὐτῆς) τῆς Ἑρμιόνης διώκομαι. 32. Κεκρυμμένοις) κρυφίοις.

* *Homer.* Iliad. τ'. v. 326.

ANNOTATIONES.

V. 1. Ἀσιάτιδος γῆς σχῆμα) O *Aſia* Evanida Gloria & menti tantùm jam infixa Idea, quia ſubſtantia tua periit: Antiqua tamen tua ſpecies animo meo obverſatur. Eodem modo D. *Paulus* 1 *Corinth.* c. 7. v. 31. Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. *Euripides* autem non hic ſolùm ita locutus eſt, ſed & *Hecub.* v. 619. de ædibus jam dirutis, Ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι. Aliquando tamen in meliorem partem ſumitur, σχῆμά τινος, pro μέγας τις καὶ εὐειδής. Sic *Æſchyl.* Ἑπτὰ ἐπὶ Θήβας, v. 494. Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος. *Scholiaſtes*, Παρεσημειώθη ὁ Ἱππομέδων, καὶ μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα. *Joſua Barnes.*

V. 6. Δυστυχεστάτη) *Johannes Miltonus* (Author Nobiliſſimi Poematis *Paradiſi Amiſſi* nomine celebrati) hic, inquam, in Codice ſuâ manu notato δυστυχεστέρα legit; *Scaliger* δυστυχεστέρα δυσπότμου (Priorem verſûs partem *Scholiaſt.* videtur legiſſe — Νῦν δ' οὐ τις ἄλλη.) Aliquando tamen *Superlativus* gradus pro *Comparativo* ponitur, ut & *Comparativus* pro *Poſitivo*. Sic *Homer.* μελάντερον ἠΰτε πίσσα. *Joſua Barnes.*

V. 17. Σύγχορτα ναίω πεδία) Χόρτος propriè *Fœnum*, *Gramen*, *Herba*; ac per tranſlationem aliquando *cibus*. De hâc voce autem Σύγχορτος, præter ea, quæ *Scholiaſtes* de Urbium finibus Gramine deſignatis, habet, Vide quæ Nos ad *Hercul.* Fur. v. 371. Ita *Heſychius* in voce Χόρτος, ὁ συνιδών, καὶ ὁ περίβολος τῆς αὐλῆς, οἱ τῆς αὐλῆς ἐν χόρτῳ. Οἱ δὲ ἀποχωρήσεις. ἀπαγορεύει δὲ καὶ χόρτος, καὶ χόρτασμα, καὶ τὸν ὅρον τὸν ἐκ τῆς γαίας, ὡς ἐν τῷ — Σύγχορτα ναίω πεδία. Hunc locum ita ferè emendavit *Iſaac. Caſaubon.* in *Strab.* fol. 164. *Joſua Barnes.*

V. 24. Ἐντίκτω) *Scholiaſtes* videtur legiſſe — ἄρσεν' ἕνα τίκτω κόρον, quod mallem, aut certè ἐνέτεκον legerem; quum ἐντίκτω de liberis nondum editis dicendum; niſi diviſim legamus δόμοις ἐν τίκτω pro ἐν δόμοις τίκτω. *Idem.*

V. 25. Πλαθεῖσα) pro πλασθεῖσα. Vid. ad *Rheſ.* v. 347.

V. 27. Τίκνου) Vid. *Phœniſſ.* v. 19.

Τίθημ'

37. Ἐκλέλοιπα) καταλείφθην. 40. Συνδρᾷ) συμπράττει, συνέχεται. 43. Πάροικον) τὸ πλησιάζον τοῖς οἴκοις. ἄλλως, δόμων πάροικον. δηλαδὴ Μενελάου δόμοις νῦν παρόντα, ὃν δειματοῦται ἡ Ἀνδρομάχη. ὥστε φεύγειν εἰς τὸ ἄσυλον.

44. Θάκου) καθήμαι.

Ἤν με κωλύσῃ) ἔάν πως με τοῦ κινδύνου ἐξέληται.

46. Ἑρμήνευμα) ὑπόμνησιν, ἄγγελον, σημεῖον, μνημόσυνον, τεκμήριον. ἄλλως. τὸ ἐν τῷ Θετιδείῳ ξόανον, φησὶν ἱερὸν τῆς Θέτιδος λέγεται αὐτό. ἐποίει ἑρμήνευσιν, καὶ εἰς ὑπόμνησιν ἄγει τοὺς γάμους τῆς Θέτιδος.

52. Δίκην μανίας) δίκην, κόλασιν. τιμωρίαν δὲ λέγει τὴν ἀπολογίαν. ἣν τιμωρίαν ἀπήτησε τὸν Ἀπόλλωνα, ὅτι ἀνθ' ἧς ἀπήτησε τὸν θεὸν, ἀπολογίαν δίδωσι τῆς τόλμης, ἣν ἐτόλμησε δίκας ὑπὲρ Ἀχιλλέως αἰτῶν, ὅτι ᾐτήσατο τὸν θεὸν ὅπως ἐν Πυθοῖ τιμωρίαν δίδωσι.

57. Ἠξίουν) ἄξιον ἐνόμιζον δέσποινάν σε καλεῖν.

61. Εἴ τις) μή τις αἰσθήσεται δεσποτῶν.

65. Τῇ πρόσθ' ἀνάσσῃ) τῇ πρότερον δεσποίνῃ, δεικτικῶς. ἑαυτὴν γὰρ λέγει.

69. Ὑπεξέθου) ἐξέκλεψας παρεξέθου.

70. Ἔκθετον) ἐκτεθέντα, κρυπτόν.

Πόθεν) τὸ πόθεν πέπυσται, οὐκ οἶδα.

Φροῦδος) ἀφανής. ἔκδημος ἐκ τῶν οἴκων.

79. Οὐδ' ἀμφὶ Πηλέως) οὐδὲ περὶ τοῦ Πηλέως κεκίνηται, ὅτι ἄρα ἥξοι. οὐδὲ περὶ τοῦ Πηλέως ἀκήκοας, ὡς ἐρχομένου. 80. Γέρων) νωθής, βραδύς, καὶ τὸ γῆρας αὐτοῦ ἐμποδίζει. ὥστε ταχέως ἐλθεῖν καὶ βοηθῆσαί σοι. καὶ ἄλλως, βραδύς φησιν ἐκεῖνός ἐστιν, ἅτε ὑπὸ τοῦ γήρως ἐμποδιζόμενος, ὥστε ἐλθεῖν καὶ βοηθῆσαί σοι.

Τίθημ' ἄπαιδα, καὶ πόσει μισουμένην,
Αὐτὴ δὲ ναίειν οἶκον ἀντ' αὐτῆς θέλω
Τόνδ', ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ,
Ἁγὼ τὸ πρῶτον οὐχ ἑκοῦσ' ἐδεξάμην,
Νῦν δ' ἐκλέλοιπα. Ζεὺς τάδ' εἰδείη μέγας,
Ὡς οὐχ ἑκοῦσα τῷδ' ἐκοινώθην λέχει.
Ἀλλ' οὐ σφε πείθω· βούλεται δέ με κτανεῖν.
Πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε,
Καὶ νῦν κατ' οἴκους ἐστ' ἀπὸ Σπάρτης μολὼν
Ἐπ' αὐτὸ τοῦτο· δειματουμένη δ' ἐγὼ,
Δόμων πάροικον, Θέτιδος εἰς ἀνάκτορον
Θάσσω τόδ' ἐλθοῦσ', ἤν με κωλύσῃ θανεῖν.
Πηλεύς τε γάρ νιν, ἔκγονοί τε Πηλέως,
Σέβουσιν, ἑρμήνευμα Νηρῇδος γάμων.
Ὃς δ' ἐστὶ παῖς μοι μόνος, ὑπεκπέμπω λάθρᾳ,
Ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
Ὁ γὰρ φυτεύσας αὐτὸν, οὔτ' ἐμοὶ πάρα
Προσωφελῆσαι, παιδί τ' οὐδέν ἐστ', ἀπὼν
Δελφῶν κατ' αἶαν, ἔνθα Λοξίᾳ δίκην
Δίδωσι μανίας, ἥν ποτ', ἐς Πυθὼ μολὼν,
Ἤτησε Φοῖβον πατρὸς οὗ τίνειν δίκην·
Εἴ πως τὰ πρόσθεν σφάλματ' ἐξαιτούμενος,
Θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.
Θε. Δέσποιν', ἐγώ τοι τοὔνομ' οὐ φεύγω τόδε
Καλεῖν σ', ἐπείπερ καὶ κατ' οἶκον ἠξίουν
Τὸν σὸν, τὸ Τροίας ἡνίκ' ᾠκοῦμεν πέδον.
Εὔνους δὲ καὶ σοὶ, ζῶντί τ' ἦν τῷ σῷ πόσει.
Καὶ νῦν φέρουσά σοι νέους ἥκω λόγους,
Φόβῳ μὲν εἴ τις δεσποτῶν αἰσθήσεται,
Οἴκτῳ δὲ τῷ σῷ· δεινὰ γάρ τοι βουλεύεται
Μενέλαος εἰς σὲ, παῖς θ', ἅ σοι φυλακτέα.
Αν. Ὦ φιλτάτη σύνδουλε, σύνδουλος γὰρ εἶ
Τῇ πρόσθ' ἀνάσσῃ τῇδε, νῦν δὲ δυστυχεῖ.
Τί δρῶσι; ποίας μηχανὰς πλέκουσι νῦν,
Κτεῖναι θέλοντες τὴν παναθλίαν ἐμέ;
Θε. Τὸν παῖδά σου μέλλουσιν, ὦ δύστηνε σὺ,
Κτείνειν, ὃν ἔξω δωμάτων ὑπεξέθου.
Αν. Οἴμοι· πέπυσται τὸν ἐμὸν ἔκθετον γόνον;
Πόθεν ποτ'; ὦ δύστηνος, ὡς ἀπωλόμην.
Θε. Οὐκ οἶδ'· ἐκείνων δ' ᾐσθόμην ἐγὼ τάδε.
Φροῦδος δ' ἐπ' αὐτὸν Μενέλεως δόμων ἄπο.
Αν. Ἀπωλόμην ἄρ'· ὦ τέκνον, κτενοῦσί σε
Δισσοὶ λαβόντες γῦπες· ὁ δὲ κεκλημένος
Πατὴρ, ἔτ' ἐν Δελφοῖσι τυγχάνει μένων.
Θε. Δοκῶ γὰρ οὐκ ἂν ὧδέ σ' ἂν πράσσειν κακῶς,
Κείνου παρόντος· νῦν δ' ἔρημος εἶ φίλων.
Αν. Οὐδ' ἀμφὶ Πηλέως ἦλθεν, ὡς ἥξοι, φάτις;
Θε. Γέρων ἐκεῖνος, ὥστε σ' ὠφελεῖν παρών.

Faciam ſterilem & inviſam viro,
Et ego pro eâ velim tenere domum
Hanc, ejectis lectis ipſius per vim.
Quos ego primum non volens accepi,
Nunc verò reliqui. Magnus Jupiter hoc ſciat,
Quòd non volens huic ſum facta ſocia tori.
Sed non perſuadeo ei, vult enim me occidere:
Et pater *ejus* Menelaus in hâc re juvat filiam,
Et nunc in ædibus eſt, ex Spartâ veniens
Propter hoc ipſum. Ego verò territa
Ædibus *his* vicinum, Thetidis in ſacellum
Hoc profecta ſedeo, ſi me prohibeat mori.
Peleus enim *hoc* ipſum, poſterique Pelei
Colunt, monumentum nuptiarum Thetidis.
Meum autem unicum filium ablego clam
In alias ædes, timens nè *caſus* moriatur.
Nam pater ejus non adeſt, me
Ut juvet, & puero nihil prodeſt, abſens
In terrâ Delphicâ, ubi Apollini pœnam
Solvit furoris, per quem aliquando ad Pythonem profectus,
Poſtulavit Phœbum, ut ob patrem ſuum cæſum rependeret pœnas:
Si quo modo priora peccata deprecans, *eorumq; veniam petens*,
Efficiat ſibi deum propitium in poſterum.
Fam. Domina, ego etenim non vereor hoc nomine
Vocare te, ſiquidem *hoc ipſo te* dignabar & in domo
Tuâ, quando habitabamus ſolum Trojæ.
Eram autem benevola tibi & tuo marito viventi:
Et nunc venio afferens tibi novos ſermones,
Metu quidem, ſiquis Dominorum ſentierit.
Sed miſeratione tuî: nam atrocia molitur
Adverſus te Menelaus & filia, quæ tibi *ſunt* cavenda.
And. O chariſſima conſerva, (es enim conſerva
Huic, quæ prius regina fuit, *i.e. mihi*; nunc verò eſt infelix)
Quid faciunt? quas inſidias ſtruunt nunc,
Volentes occidere me longè miſerrimam?
Fam. O tu miſera, filium tuum volunt
Occidere, quem extra domum clam ablegaſti.
And. Heu mihi, reſcitum eſt meum filium ablegatum?
Undenam? ô miſera, ut perii!
Fam. Haud ſcio, hæc verò ego ex illis ſenſi.
Menelaus autem extra domum abiit ad tuum filium.
And. Perii igitur, ô fili, interficient te
Gemini correptum vultures: & qui vocatur
Pater, adhuc moram trahit Delphis.
Fam. Exiſtimo certè te non futuram fuiſſe adeò infelicem,
Illo præſente; nunc vero es ſine amicis.
And. Neque venit fama de Peleo, quòd ſit venturus?
Fam. Ille eſt ſenior, quàm ut poſſit te juvare præſens.

ANNOTATIONES.

V. 45. Πηλεύς τε γάρ νιν) νιν pro αὐτὸ, *i. e.* Θετίδειον, ἢ Θέτιδος ἀνάκτορον. Non, ut *Scaliger*, pro αὐτήν, *i. e.* Θέτιν. Vid. *Scholiaſten* ad v. 46.

V. 65. Τῇ πρόσθ' ἀνάσσῃ τῇδε) δεικτικῶς pro ἐμοί, vide *Alceſt.* v. 690. & *Scholiaſten* ad hunc locum.

V. 77. Δοκῶ γὰρ οὐκ ἂν ὧδέ σ' ἂν) De ἂν gemino. Vid. *Hecub.* v. 359.

Αν. Καὶ

Ἀν. Καὶ μὴν ἔπεμψ' ἐπ' αὐτὸν οὐχ ἅπαξ μόνον.
Θε. Μῶν οὖν δοκεῖς σοι φροντίσαι τιν' ἀγγέλων;
Ἀν. Πόθεν; θέλεις οὖν ἄγγελος μολεῖν σύ μοι;
Θε. Τί δῆτα φήσω, χρόνιος οὖσ' ἐκ δωμάτων;
Ἀν. Πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.
Θε. Κίνδυνος. Ἑρμιόνη γὰρ οὐ σμικρὰ φύλαξ.
Ἀν. Ὁρᾷς; ἀπαυδᾷς ἐν κακοῖς φίλοισι σοῖς;
Θε. Οὐ δῆτα, μηδὲν τοῦτ' ὀνειδίσῃς ἐμοί.
Ἀλλ' εἶμ', ἐπεί τοι κοὐ περίβλεπτος βίος
Δούλης γυναικός, ἤν τι καὶ πάθω κακόν.
Ἀν. Χώρει νυν· ἡμεῖς δ' οἷσπερ ἐγκείμεσθ' ἀεὶ
Θρήνοισι, καὶ γόοισι, καὶ δακρύμασι,
Πρὸς * αἰθέρ' ἐκτενοῦμεν. ‟ Ἐμπέφυκε γὰρ
‟ Γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν,
‟ Ἀνὰ στόμ' αἰεὶ καὶ διὰ γλώσσης ἔχειν.
Πάρεστι δ' οὐχ ἓν, ἀλλὰ πολλά μοι στένειν,
Πόλιν πατρῴαν, τὸν θανόντα θ' Ἕκτορα,
Στερρόν τε τὸν ἐμὸν δαίμον', ᾧ συνεζύγην,
Δούλειον ἦμαρ εἰσπεσοῦσ' ἀναξίως.
‟ Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
‟ Πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς,
‟ Ὅπως περάσας ἡμέραν ἥξει κάτω.

Ἔλεγοι.

Ἰλίῳ αἰπεινᾷ Πάρις οὐ γάμον, ἀλλά τιν' ἄτην
Ἠγάγετ' εὐναίαν εἰς θαλάμους Ἑλένην.
Ἧς ἕνεκ', ὦ Τροία, δορὶ καὶ πυρὶ δηϊάλωτον
Εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης,
Καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα· τὸν περὶ τείχη
Εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος.
Αὐτὰ δ' ἐκ θαλάμων ἀγόμην ἐπὶ θῖνα θαλάσσης,

* Vid. ad Med. v. 58.

And. Atqui accerſivi eum non ſemel tantùm.
Fam. Num tibi non videtur curare aliquem tuorum nunciorum?
And. Unde non? vis igitur tu mihi ire nuncia?
Fam. Quid verò dicam, ſi diu abſim extra domum?
And. Invenies multas technas? es enim mulier.
Fam. Periculum *eſt*: nam Hermione eſt non ſegnis cuſtos.
And. Vides? relinquis *exiſtentes* in malis amicos tuos?
Fam. Nequaquam, nè hoc objicias mihi:
Sed vado, quia non eſt ſuſpicienda vita
Mulieris ſervæ, etiamſi quid patiar mali.
And. Vade ergò: nos verò quibus *incubimus ac immoramur ſemper*
Fletus, & luctus, & lacrymas
Ad cœlum *uſque* extendemus.
‟ Nam innata eſt
‟ Mulieribus conſolatio præſentium malorum,
‟ Ut habeant ea ſemper in ore & linguâ.
Adeſt autem mihi non unum, ſed multa quæ gemam,
Patriam urbem, & interfectum Hectorem,
Et meam duram fortunam, cui ſum alligata,
In ſervilem diem, *i.e. in ſervitutem*, indignè prolapſa
‟ Nullum autem mortalium oportet beatum appellare,
‟ Priuſquam mortui videris extremam
‟ Diem, quomodo *ea* finitâ deſcenderit ad inferos.

Elegi.

Ad altum Ilium Paris non nuptias, ſed aliquam noxam
Adduxit tori ſociam Helenam in thalamum,
Propter quam, ô Troja, ferro & igni captam
Cepit te velox Mars Græciæ habens-mille naves;
Et meum miſeræ maritum Hectorem: quem circa murum
Aurigans, *i.e. bigis*, traxit filius marinæ Thetidis.
Ego autem ex thalamis ducta ſum ad littus maris,

Καὶ μὴν) ἀλλ' ἔπεμψα πολλάκις φησὶ καὶ ἑτέρως. Ἵνα χρονιώτερος ἔλθῃ. 87. Ἀπαυδᾷς ἐν κακοῖς) λείπει τὸ ὤν. ἀπαγορεύεις βοηθεῖν τοῖς φίλοις οὖσιν ἐν κακοῖς. Κοὐ περίβλεπτος) οὐκ ἐπίσημος. οὐκ ἔνδοξος. 93. Ἐκτενοῦμεν) ἐκπετάσομεν, διαλεγόμεθα δηλονότι. Τῶν παρεστώτων) γενικὴ ἀντὶ αἰτιατικῆς, ἀντὶ τοῦ τὰ παρεστῶτα κακά. δυνατὸν δὲ τὸ τέρψις παθητικὸν ἢ ἐνεργητικὸν ἐνικῶς. Ἵν' ᾖ οὕτως, ἔμφυτον γὰρ ταῖς γυναιξὶν ἐπὶ στόματος ἔχειν τὰς τέρψεις τῶν παρεστώτων κακῶν. 98. Στερρόν τε) χαλεπόν, σκληρόν, στερεόν. δαίμονα δὲ τὴν τύχην, ᾧ δαίμονι συνεζύγην. Δούλειον ἦμαρ) εἰς δούλειον ἦμαρ εἰσπεσοῦσα ἀναξίως, τὴν δουλείαν ἡμέραν δηλονότι. Ἰλίῳ αἰπεινᾷ) τὸ μέτρον ἐξ ἐλεγείων. τοῖς γὰρ ἐλεγείοις οὐ μόνον ἐπὶ θρήνων, ἀλλὰ ἐπὶ ἄλλων ἐχρῶντο. Εὐναίαν) σύζυγον. Χιλιόναυς) τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. εἰσὶ γὰρ αἱ νῆες χίλιαι πϛ'. Εἵλκυσεν) ἀπὸ κοινοῦ τὸ εἷλεν. καὶ ἔστι τὸ μὲν ἀντὶ τοῦ ἐπόρθησεν, τὸ δὲ δεύτερον ἀνεῖλε καὶ εἵλκυσε. 108. Διφρεύων) περὶ τοῦ δίφρου διφρεύσας. καὶ ἄλλως, παρ' ἱστορίαν. περὶ τὸ τεῖχος ἐδιώχθη ὑπὸ Ἀχιλλέως ὁ Ἕκτωρ· νεκρὸς γὰρ περὶ τὸ Πατρόκλου σῆμα τρὶς ἐσύρη.

ANNOTATIONES.

V. 81. Καὶ μὴν ἔπεμψ' ἐπ' αὐτὸν) Priùs erat ſcriptum in aliquibus, ἔπεμψ' αὐτὸν, & ſenſu & metro vacillante: *Canterus* legebat ἐς αὐτὸν, ut & *Scaliger*: ſed *Aldi* Editio omnium Antiquiſſima rectè habet ἐπ' αὐτὸν. Vid. Not. ad *Hippolyt.* v. 17.

Ibid. Οὐχ ἅπαξ μόνον) Similis forma apud *Latinos*, *Non ſemel*, pro ſæpe. *Joſua Barnes.*

V. 98. Στερρόν τε τὸν ἐμὸν δαίμονα) Malum ſuum *Genium* notat. Nam Veteres, ut ſingulis *Genium Bonum* aſſignabant, ita & *Malum* alterum, qui, ubi *Bonum* vicerit, Infortunatum ſuum Pupillum reddidit. De *Bono* Genio, Vide quæ Nos ad *Supplic.* v. 592. & *Ion.* v. 1130. Huc refer *Petri Danielis Huetii Alnet.* Quæſt. l. 2. c. 4. §. 3. *Joſua Barnes.*

V. 100. Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον) Ita *Troad.* v. 509. —Τῶν δ' εὐδαιμόνων Μηδένα νομίζετ' εὐτυχεῖν, πρὶν ἂν θάνῃ. Idem ferè *Euripides* in *Creſſis*, Τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦτε, πρὶν θανόντ' ἴδῃς, ὡς ἐν ἐφημέροις τύχαις. Vid. *Ariſtot.* Ethic. l. 1. c. 12. ubi hic locus expenditur; & initium *Sophoclis Trachiniarum*, & finem *Oedipi* Tyranni. Et illud *Theognidis*, Μηδένα μακάριζε πρὶν ἂν ἄνδρα σαφῶς, μήτ' ἀγαθὸν, Τερεβὴς ἐξετάσεις, πρὶν τέλος ἔλθῃ ἰδεῖν. Vid. *Eraſmum* in Adagio —*Finem Vitæ ſpecta*. Notum illud *Solonis* ad *Craſum* Πρὶν τελευτῆς μηδένα δεῖ μακαρίζειν. *Ovid.* ita
——Scilicet ultima ſemper
Expectanda Dies homini; dicique beatus
Ante Obitum Nemo, ſupremaque funera debet.
Quod verò εἰπεῖν οὐδέν' legimus potiùs, quàm *Canteri* εἶδεν' ἰδεῖν, eâdem *Aldini* libri authoritate legimus: Et veram lectionem & longe *Canteri* veriſimiliorem pronuntiamus. Et ab *Eraſmo*, *Scaligero*, *Hemſioque* defenſam videmus. *Joſua Barnes.*

V. 103. Ἰλίῳ αἰπεινᾷ) En! hujus loci Verſio metrica Carmine Elegiaco, malis *Stiblini* Verſibus in melius paulò mutatis,
Intulit heu! Parius Paris, *haud Connubia*, Trojæ;
Quando Helenam in thalamos duxerat ille ſuos:
Ob quam, Clara ruis celſo de vertice, Troja,
Graiorum *validi* Marte *ſubacta Ducum.*
Tuque Meus Conjux, Hector *fortiſſime, bigis,*
Victus Achilleâ *Cuſpide, tractus eras.*
Ipſa autem è Thalamis agor ad cava Littora ponti
Cultu induta novo, ſerva futura, caput.
Heu! quantum ſtillant oculi; cùm Urbemque Laremque
Et medio fuſum in pulvere linquo Virum!
Me Miſeram! Quid enim juvat hâc me in luce morari,
Hermionæ *ſervam? Cujus adacta metu,*
Hæc Thetidis *ſupplex Delubrum amplexa Marinæ,*
Liquor, ut è ſaxo ſtilla perennè cadens!

V. 106. Εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης) Numerus certus pro incerto; *Homerus* enim Mille, centum, octoginta ſex Naves *Græcorum* ſtatuit, *Plutarchus* Mille ducentas, *Scholiaſt.* 1170, alii aliter. At Poetæ fere de Millenario numero conſentiunt, ita *Euripides* aliàs, *Rheſ.* v. 262. Οἱ ἐπὶ τὰν Τροίαν χιλιόναυν ἄνδρες ἦγον στρατιάν. Vid. *Electr.* v. 2. *Lycophron.* Ὁ χιλιάρχος ὁ τῶν ναυαρχιῶν στρατῶν. *Virgil.* Æn. l. 2. *Quos neque Tydides, nec Lariſſæus Achilles;*
Non Anni domuêre decem, non Mille carinæ.
Ovid. l. 13. ——*conjurataque ſequuntur Mille rates.* *Propertius*, *Et Dauliat Euboico littore Mille rates.* Denique *Seneca* in *Agamemnone*, *Rex ille Regum, Ductor Agamemnon Ducum, Cujus ſecutæ* Mille *vexillum rates.* Unde *Æſchyl. Agamemnone*, v. 45. Στόλον Ἀργείων χιλιοναύταν. *Joſua Barnes.*

V. 107. Περὶ τείχη &c.) Circa Murum: rectè quidem hic obſervat *Scholiaſtes Euripidem* præter Hiſtoriam dicere *Hectorem* raptatum circa mœnia; nam nihil tale *Homerus* memorat, ſed è Mœnibus ad naves tractum ait (nec tamen ter circa *Patrocli* Pyram; ut *Scholiaſtes* vult:) Quare *Virgilius* etiam lapſus eſt, ubi canit Æn. l. 1. v. 488. Ter circum *Iliacos* raptaverat *Hectora* muros. Error autem hinc ortus, quòd toties *Hector* dicatur ab *Homero* vivus *Achillem* fugiſſe circum *Trojæ* mœnia. *J. Barnes.*

Δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάρᾳ.
Πολλὰ δὲ δάκρυά μοι κατέβα χροὸς, ἀνίκ' ἔλειπον
Ἄστυ τε, καὶ θαλάμους, καὶ πόσιν ἐν κονίαις.
Ὤ μοι ἐγὼ μελέα, τί μ' ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι,
Ἑρμιόνας δούλαν; ἇς ὕπο τειρομένα,
Πρὸς τόδ' ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα,
Τάκομαι ὡς πετρίνα πιδακόεσσα λιβάς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ὦ γύναι, ἃ Θέτιδος δάπεδον, καὶ ἀνάκτορα θάσσεις
2 Δαρὸν, οὐδὲ λείπεις,
3 Φθιὰς, ὅμως ἔμολον ποτὶ σὰν Ἀσιήτιδα γένναν,
4 Εἴ τι σοι δυναίμαν
5 Ἄκος τῶν δυσλύτων πόνων * εὑρεῖν, * ἀλείμαρ.
6 Οἵ σε καὶ Ἑρμιόναν ἔριδι στυγερᾷ * συνεκλήϊσαν, * αν συνέλασαν.
7 Τλᾶμον, ἀμφὶ λέκτρων
8 Διδύμων ἐπίκοινον
9 Ἐοῦσαν ἀμφὶ παῖδ' Ἀχιλλέως.

Ἀντιστροφὴ α'.

1 Γνῶθι τύχαν, λόγισαι τὸ παρὸν κακὸν, εἰς ὅπερ (ἥκεις.
2 Δεσπόταις ἁμιλλᾷ
3 Ἰλιὰς οὖσα κόρα Λακεδαιμονίοις ἐγγενέταισι.
4 Λεῖπε δεξίμηλον
5 Δόμον τᾶς ποντίας θεοῦ. τί σοι
6 Καιρὸς ἀτυζομένᾳ, δέμας αἰκέλιον καταλείβειν
7 Δεσποτῶν ἀνάγκαις;
8 Τὸ κρατοῦν δέ σ' ἔπεισι.
9 Τί μόχθον οὐδὲν οὖσα μοχθεῖς;

Στροφὴ β'.

1 Ἀλλ' ἴθι· λεῖπε θεᾶς Νηρηΐδος ἀγλαὸν ἕδραν,
2 Γνῶθι δ' οὖσ' ἐπὶ ξένας
3 Δμωῒς ἐπ' ἀλλοτρίας πόλεως·
4 Ἔνθ' οὐ φίλων τιν' εἰσορᾷς
5 Σῶν, ὦ δυστυχεστάτα,
6 Ὦ παντάλαινα νύμφα.

Ἀντιστροφὴ β'.

1 Οἰκτροτάτα γὰρ ἔμοιγ' ἔμολες, γύναι Ἰλιὰς, οἴκους.
2 Δεσποτῶν δ' ἐμῶν φόβῳ
3 Ἡσυχίαν ἄγομεν (τὸ δὲ σὸν
4 Οἴκτῳ φέρουσα τυγχάνω)
5 Μὴ παῖς τᾶς Διὸς κόρας
6 Σοί μ' εὖ φρονοῦσαν εἰδῇ.

Ἴαμβοι.

Ερ. Κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς,

Circumdans caput triſti ſervitute.
Multæ autem lacrymæ defluxerunt mihi de corpore, quando reliqui
Urbem, & thalamos, & maritum in pulvere.
Heu ego miſera, quid me oportebat amplius intueri lumen,
Hermiones ſervam? A quâ afflicta,
Ad hanc ſtatuam Deæ ſupplex circumdans manus
Colliqueſco, ſicut gutta ſcaturiens ex ſaxo.

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 O mulier, quæ ſolum Thetidis & templum inſides
2 Diu, nec deſeris;
3 Ego Phthia, tamen veni ad te Aſiaticam genere;
4 Si quod tibi poſſem
5 Remedium difficilium malorum invenire,
6 Quæ te & Hermionem in odioſam rixam incluſerunt,
7 O miſera, de lectis
8 Geminis, *te inquam lectorum* communè ſociam, *vel participem*
9 Exiſtentem apud filium Achillis.

Antiſtrophe 1.

1 Cognoſce fortunam, expende præſens malum, in quod venis.
2 Cum dominis certas
3 Exiſtens Iliaca puella, natis ex Lacedæmone.
4 Relinque recipientem oves *in ſacrificiis pinguem*
5 Domum marinæ deæ: quæ eſt tibi
6 Utilitas triſti, conſumere deformatum *indecorè* corpus
7 Propter violenta imperia dominorum?
8 Poteſtia vero dominorum *res* tibi perſuadebit.
9 Quid contendis, cum nihil poſſis?

Strophe 2.

1 Quin ito relinque ſplendidam ſedem Nereidos deæ,
2 Agnoſce verò, quòd ſis in peregrinâ *terrâ*,
3 *Et* ancilla in alienâ urbe:
4 Ubi neminem vides amicorum
5 Tuorum, ô infeliciſſima,
6 O modis omnibus miſera ſponſa.

Antiſtrophe 2.

1 Veniſti enim, Iliaca mulier, miſeranda *ad* noſtras ædes:
2 Sed metu meorum dominorum
3 Sumus quieti (tuâ verò fortunâ
4 Fero *in* miſeratione, *i. e. miſereor*)
5 Nè filia filiæ Jovis
6 Videat me tibi benevolam eſſe.

Hermione.

Ornatum aurearum deliciarum circa caput,

---

110. Ἀμφιβαλοῦσα) περιβαλοῦσα, ἑαυτῇ τὴν δουλείαν περιθεμένη.

116. Τάκομαι) ἀντὶ τοῦ κατ' ὀλίγον λείβομαι. ὡς ἐκ πέτρας ἀναπηδῶσα πηγή. ὡς λιβὰς πηγὴ ἐργαζομένη. τὸ δὲ ἑξῆς λείβομαι, ὡς λιβάς τις πιδακόεσσα. ἣν πετρίνην εἶπε, διὰ τὸ ἐκ πετρῶν ἀναβλύζειν.

119. Φθιὰς ὅμως) καίπερ Φθιὰς οὖσα φησὶν Ἑλληνὶς, ἔμολον πρὸς σὲ βάρβαρον οὖσαν, τὸ γένος.

Ἄκος) θεραπείαν, καὶ ἴαμα. Τεμεῖν) ἀπὸ τῶν ῥιζοτομούντων ἡ μεταφορά. τεμεῖν δὲ, ἀντὶ τοῦ εὑρεῖν. τῶν δυσλύτων δὲ, δυσκόλων.

122. Οἵ σε καὶ Ἑρμιόναν.) οἵ τινες πόνοι περὶ δύο λέκτρων ἔριδι συνέζευξαν, ἑρμιόνην καὶ σὲ τὴν ἐπίκοινον οὖσαν, περὶ τὸν παῖδα τοῦ Ἀχιλλέως. ἐπίκοινον οὖσαν τῶν περὶ τοῦ Ἀχιλλέως παιδὸς λέκτρων διδύμων, ὅ ἐστιν ὑπὸ Ἀχιλλέως παιδὸς λέκτρων κοινωνόν σε οὖσαν. Συνεκλήϊσαν) συνέβαλον, συνέζευξαν. οἱ πόνοι περὶ δύο λέκτρων.

127. Ἁμιλλᾷ) συγκρίνεις. οὖσα σὺ μὲν Τρῳὰς, αὐτὴ δὲ Λακεδαιμονία.

129. Δεξίμηλον) τὸ τῶν θυσιῶν δεκτικόν.

130. Τίς σοι καιρὸς) τί ὠφελεῖ ἐκτήκουσα αὐτὴν δακρύοις καὶ λύπαις, καὶ ἐπαναγκάζουσα τὴν δεσπότιν ἀδικεῖν σε. καὶ ἄλλως, τίς σοι ὠφέλεια ἀτυζομένῃ, καὶ λυπουμένῃ περὶ τὴν ἄτην ἀπρεπῶς καὶ ἐπιπόνως.

134. Τί μόχθον) δούλη οὖσα τί κάμνεις, οὐδὲν ποιοῦσα. δούλη γὰρ εἶ.

141. Οἰκτροτάτα) οἰκτροτάτη οὖσα ἦλθες εἰς τοὺς ἐμοὺς δόμους.

143. Ἡσυχίαν ἄγομεν) τὸ ἑξῆς, ἡσυχίαν ἄγομεν, μὴ παῖς τῆς Διὸς κόρης. ἀντὶ τοῦ δεδοικυῖα μὴ τὴν εἰς σέ μου εὔνοιαν αἴσθηται ἡ Ἑρμιόνη. ἔνδοθεν αἰσθῶμαι περὶ σοῦ. Εὖ φρονοῦσαν) εὐνοοῦσαν.

147. Χρυσέας χλιδῆς) πολυτελοῦς τρυφῆς.

ANNOTATIONES.

V. 121. Εὑρεῖν) aliàs εἰπεῖν vel τέμνειν (non τεμεῖν enim Verſus admittit) Vid. *Scholiaſt.*

V. 122. Συνεκλήϊσαν) Scribendum συνεκλῄσαν. Mallem autem, ſi voto aliquis Codex faveret, legere συνήλασαν. Elegans illa & planè *Homerica* locutio, ut Iliad. χ. v. 129. Βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν. Et *Scholiaſtes* quidem per συνέβαλον exponit. Sed omnino mutare locum, non me eò Audaciæ mera conjectura perſuaſit, licet quantumlibet probabilis. *Joſua Barnes.*

V. 130. Ποντίας Θεοῦ) Θηλυκῶς, ἡ Θεὸς & aliquando ἡ Θεὸς, ut hic & alibi *Suppl.* 1212 *Pauſan.* in *Atticis*, [illegible] Sic *Virgil.* de *Venere* loquens Æn. l. 2. v. 632. Deſcendo ac ducente *Deo.* Vide Interpretes. Nec enim pluribus hic locus. *Idem.*

V. 131. Ἀεικέλιον) Legerem αἰκέλιον ob verſum, quod verbum *Heſych.* agnoſcit & *Phavorinus*; quin ipſe *Euſtathius* deducit αἰκῶς ex ἀεικῶς. *Idem.*

Στολμόν τε χρωτὸς τόνδε ποικίλων πέπλων,
Οὐ τῶν Ἀχιλλέως, οὐδὲ Πηλέως ἄπο
Δόμων ἀπαρχὰς, δεῦρ' ἔχουσ' ἀφικόμην·
Ἀλλ' ἐκ Λακαίνης Σπαρτιάτιδος χθονὸς,
Μενέλαος ἡμῖν ταῦτα δωρεῖται πατὴρ,
Πολλοῖς σὺν ἕδνοις, ὥστ' ἐλευθεροστομεῖν.
Ὑμᾶς μὲν οὖν τοιοῖσδ' ἀμείβομαι λόγοις·
Σὺ δ' οὖσα δούλη, καὶ δορίκτητος γυνὴ,
Δόμους κατασχεῖν, ἐκβαλοῦσ' ἡμᾶς, θέλεις
Τούσδε· στυγοῦμαι δ' ἀνδρὶ, φαρμάκοισι σοῖς·
Νηδὺς δ' ἀκύμων διὰ σέ μοι διόλλυται.
« Δεινὴ γὰρ ἠπειρῶτις εἰς τὰ τοιάδε
« Ψυχὴ γυναικῶν, ὧν ἐπισχήσω σ' ἐγώ.
Κοὐδέν σ' ὀνήσει δῶμα Νηρῇδος τόδε,
Οὐ βωμὸς, οὐδὲ ναὸς, ἀλλὰ κατθανῇ.
Ἢν δ' οὖν θεῶν τίς σ', ἢ βροτῶν σῶσαι θέλῃ,
Δεῖ σ', ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων,
Πτῆξαι ταπεινὴν, προσπεσεῖν τ' ἐμὸν γόνυ,
Σαίρειν τε δῶμα τοὐμὸν, ἐκ χρυσηλάτων
Τευχέων χερὶ σπείρουσαν Ἀχελῴου δρόσον, * Vid. Ion. v. 1252.
Γνῶναί θ', * ἵν' εἶ γῆς· οὐ γὰρ ἔσθ' Ἕκτωρ τάδε,
Οὐ Πρίαμος, οὐδὲ Χρύση, ἀλλ' Ἑλλὰς πόλις.
Εἰς τοῦτο δ' ἥκεις ἀμαθίας, δύστηνε σὺ,
Ἣ παιδὶ πατρὸς, ὃς σὸν ὤλεσεν πόσιν,
Τολμᾷς ξυνεύδειν, καὶ τέκν' αὐθέντου πάρα
Τίκτειν. « Τοιοῦτον πᾶν τὸ βάρβαρον γένος·
« Πατήρ τε θυγατρὶ, παῖς τε μητρὶ μίγνυται,
« Κόρη τ' ἀδελφῷ· διὰ φόνου δ' οἱ φίλτατοι
« Χωροῦσι· καὶ τῶνδ' οὐδὲν ἐξείργει νόμος.
« Ἃ μὴ παρ' ἡμᾶς εἴσφερ'· οὐδὲ γὰρ καλὸν,
« Δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν.
« Ἀλλ' εἰς μίαν βλέποντες εὐναίαν Κύπριν,
« Στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.
Χο. « Ἐπίφθονόν τι χρῆμα θηλειῶν ἔφυ,
« Καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.
Αν. Φεῦ, φεῦ. Κακόν γε θνητοῖς τὸ νέον, ἔν τε τῷ νέῳ

Et veſtitum corporis horum variorum peplorum,
Non ab Achillis neque Pelei
Domo primitias munerum, habens huc veni;
Sed ex Lacænâ Spartanâ terrâ,
Menelaus pater mihi hæc donat,
Cum magnâ dote, ut liceat liberè loqui.
Vobis igitur his reſpondeo verbis
Tu autem, cùm ſis ſerva & captiva mulier,
Vis nobis ejectis ædes tenere
Iſtas: ſum autem inviſa viro propter tua pharmaca *& veneficia:*
Venter enim ſine fœtu propter te mihi perit.
" Callidum enim *eſt* Epiroticum in hujuſmodi *artibus*
" Ingenium mulierum; à quibus ego te compeſcam
Et nihil te juvabit iſta domus Nereidis,
Non ara, non templum, ſed morieris.
Si verò quis Deorum, aut hominum te ſervare velit,
Oportet te, pro priore beatâ ſuperbia,
Expaveſcere, & humilem accidere ad meum genu,
Et verrere meam domum ex aureis
Vaſis diſpergentem Acheloi rorem, (i.e. *Aquam.*)
Et cognoſcere, ubi terrarum ſis: hæc enim non ſunt Hector,
Non Priamus, non urbs *Chryſa*, ſed Græca civitas.
Eò verò venis inſaniæ, miſera tu,
Quæ cum filio patris, qui interfecit tuum maritum,
Audes dormire, & liberos ex interfectore
Parere. " Tale *eſt* omne barbaricum genus.
" Pater enim filiæ, & filius matri miſcetur,
" Sororque fratri, & per cædem chariſſimi
" Vadunt, & horum nihil prohibet lex.
" Quæ ne apud nos introducas: non enim *eſt* honeſtum,
" Unum virum habere habenas, *i.e. imperium*, duarum mulierum:
" Sed intuens in unam lecti ſociam Venerem,
" Eſt contentus, quicunque non vult malè habitare.
Ch. " Invidioſa quædam res eſt fœminarum ſexus
" Et nuptiarum ſociis infeſta maximè ſemper.
And. Heu, heu! Mala res hominibus juventus, & in juventute

Στολμὸν) στολισμόν.

154. [Ὑμᾶς) πρὸς τὸν χορὸν, ἢ τοὺς θεατάς.]

Δορίκτητος) οὐκ οἰκογενὴς δούλη, ἀλλὰ καὶ αἰχμάλωτος.

Ἀκύμων) ἄτοκος, ἢ μὴ ὑποδεχομένη σπέρμα.

159. Δεινὴ γὰρ ἠπειρῶτις) εἰς φαρμακείας γὰρ δεινὴ ἡ φύσις τῶν τῆς ἠπείρου γυναικῶν, λέγει δὲ τῆς Ἀσίας.

Ἢν δ' οὖν θεῶν τις σ' ἢ βροτῶν) εἰ δέ σε τις θεῶν ἢ ἀνθρώπων σῶσαι θελήσειε, ποιήσω σε καταπτῆξαι καὶ ὑποπτῆξαι σαυτὴν ἐμοί.

Προσπεσεῖν) ἱκετεῦσαι, ὑποπεσεῖν ταπεινωθεῖσαν, καὶ φοβηθῆναί με.

170. Παιδὶ πατρὸς) τῷ Νεοπτολέμῳ τῷ τοῦ Ἀχιλλέως παιδὶ, τῷ Ἕκτορα φονεύσαντος.

Αὐθέντου) τούτου φονέως, τοῦ δι' αὐτοῦ ἰέντος τὸ ξίφος.

177. Ἃ μὴ παρ' ἡμᾶς) ταῦτα Περσικὰ ἔθη. ἐν ἡμῖν δὲ μὴ πράττε τῶν βαρβάρων τὰ ἔργα, ὧν οὐδεὶς νόμος κωλύει, αὐτοὺς δηλονότι πράττειν ταῦτα.

Κακόν γε θνητοῖς τὸ νέον) διὰ τὴν προπέτειαν κακὸν τὸ νέον. Ἡ νεότης κ. λ.

ANNOTATIONES.

V. 150. Ἀπαρχὰς) Scaliger legit ἀπ' ἀρχῆς.
V. 153. Πολλοῖς σὺν ἕδνοις; Vid. infra ad v. 872.
V. 159. Δεινὴ γὰρ Ἠπειρῶτις) Eadem res *Andromachæ* objicitur infra v. 652.
V. 167. Ἀχελῴου δρόσον) *Achelous Ætoliæ* fluvius pro quâvis aquâ; quod Fluviorum fuerit antiquiſſimus. Vid. quæ Nos ad *Bacch.* v. 519. Item *Turneb.* Adverſar. l. 30. c. 39.
V. 169. Χρύση) Olim cum malè χρυσὸς aderat, χρύση ſcribendum vidi; illa enim urbs *Trojanæ* ditionis. De quâ vid. *Hom.* Iliad. α. v. 37. & *Stephanum* περὶ πόλεων. Docti videant: Verſus enim æquè ſic ſtabit. De hâc urbe *Ovid.* Metamor. l. 13. Fab. 1.
Quòd *Thebæ* cecidêre, meum eſt; me credite *Lesbon*,
Me *Tenedon*, *Chryſ*ênque & *Cillan*, *Apollinis* Urbes &c.
Et hæc ego jamdudum conjectavi; ſed nunc *Samuelis Petiti* authoritate fidentior, χρυσὸς rejeci & χρύση in textum admiſi. Ita enim ille *Miſcell.* l. 3. c. 16. Erat *Andromache Eetionis* Regis filia, in cujus agro erat *Chryſa* Civitas. *Strabo* l. 13. f. 605. Τοῦτο δ' Ὅμηρος μᾶλλον ἔοικε συμφωνεῖν τὰ ἐν τῇ Θήβῃ πεδίῳ, καὶ τὸ αὐτόθι Χρύσῃ ἱδρυμένη καὶ ... Et paulò poſt (*i.e.* f. 611.) ... Ἠετίων λέγει πόλιν Θήβην—Ὑποπλακίῃ ... ἐν Θήβῃ ... Vid. præterea *Homeri* Iliad. α. v. 366. &c. brevioriſque *Scholiaſtæ* notas in locum; & *Petito* & *Mihi* non aſſentire non poſſis. *Joſua Barnes.*

V. 173. Τοιοῦτον πᾶν τὸ βάρβαρον γένος &c.) Quod τοιοῦτον pro τοιοῦτο rectè dicatur, pleniùs oſtendimus in *Troad.* v. 922. De inceſtis autem moribus Barbarorum Gentium, vide *Hugon. Grotium* de Jure Belli & Pacis l. 2. c. 5. 3. §. xii. *Joſua Barnes.*
V. 174. Παῖς τε μητρὶ μίγνυται) *Scholiaſtes* rectè, ταῦτα Περσικὰ ἔθη. De his enim *Catullus*, *Naſcatur Magus ex Gelli*, *Matriſque nefando Conjugio & diſcat Perſicum Haruſpicium. Nam Magus ex Matre & Gnato gignatur oportet, Si vera eſt Perſarum impia Religio* &c. Eſt autem Malignanti *Hermionæ* congruum, ut quod *Perſis* tantùm, idque non omnibus, ſed *Magis* duntaxat competit, id *Aſiaticis* omnibus & proinde *Trojanis* indiſcriminatim tribuat. His moribus *Turcæ* etiamnū gaudent. *J. Barnes.*
V. 177. Οὐδὲ γὰρ καλὸν &c.) Hunc locum tractat *Hugo Grotius* de Jure Belli & Pacis l. 2. c. 5. §. ix. 3. ubi & *Latino* carmine donat. Contra Polygamiam, Vide infra ad 909 *Joſua Barnes.*
V. 179. Βλέποντες στέργουσιν, ὅστις &c.) Enallage Numeri, ut ſit ὅστις, pro ὅσοι, vel ὅστις αὐτῶν. *Idem.*
V. 183. Φεῦ, φεῦ.) Hæc exclamatio eſt extra Carmen numeranda. Vid. ad *Hecub.* v. 1116. *Ibid.* Κακόν γε θνητοῖς τὸ νέον, ἔν τε τῷ νέῳ τὸ μὴ δίκαιον. τὸ νέον hîc pro ἡ νεότης & τὸ μὴ δίκαιον pro ἡ ἀδικία ponitur. Sic infra v. 603. τὸ εὔλογον pro ἡ ... Sic *Iphigen.* Taur. v. 390. τὸ φαῦλον pro ἡ φαυλότης. Vid. *Ion.* v. 545. Sic τὸ ξενικὸν pro οἱ ξένοι, ſic & *Latinis* dicitur *Romanum* Nomen, pro *Romani*. *Idem.*

" Τὸ

“ Τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.
Ἐγὼ δὲ ταρβῶ, μὴ τὸ δουλεύειν μέ σοι,
Λόγων ἀπώσῃ, πόλλ' ἔχουσαν ἔνδικα.
Ἢν δ' αὖ κρατήσω, μὴ 'πὶ τῷδ' ὄφλω βλάβην·
“ Οἱ γὰρ πνέοντες μεγάλα, τοὺς κρείσσους λόγους
“ Πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο.
Ὅμως δ' ἐμαυτὴν οὐ προδοῦσ' ἁλώσομαι.
Εἴπ', ὦ νεᾶνι, τῷ σ' ἐχεγγύῳ λόγῳ
Πεισθεῖσ', ἀπωθῶ γνησίων νυμφευμάτων;
Ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις
Τύχῃ θ' ὑπερθεῖ, καί μ' ἐλευθέραν ὁρᾷς;
Ἢ τῷ νέῳ τε καὶ σφριγῶντι σώματι,
Πόλεως τε μεγέθει, καὶ φίλοις ἐπηρμένη,
Οἶκον κατασχεῖν τὸν σὸν ἀντὶ σοῦ θέλω,
Πότερον, ἵν' αὐτὴ παῖδας ἀντὶ σοῦ τέκω
Δούλους, ἐμαυτῇ τ' ἀθλίαν ἐφολκίδα;
Ἢ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται
Φθίας τυράννους ὄντας, ἢν σὺ μὴ τέκῃς.
Φιλοῦσι γάρ μ' Ἕλληνες, Ἕκτορός τ' ἄπο,
Αὐτή τ' ἀμαυρά, κοὐ τύραννος ἦν Φρυγῶν.
Οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις,
Ἀλλ' εἰ ξυνεῖναι μὴ 'πιτηδεία κυρεῖς.
“ Φίλτρον δὲ καὶ τόδ'· οὐ τὸ κάλλος, ὦ γύναι,
“ Ἀλλ' αἱ ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.
Σὺ δ' ἤν τι κνισθῇς, ἡ Λάκαινα μὲν πόλις
Μέγ' ἐστί, τὴν δὲ Σκῦρον οὐδαμοῦ τίθης,
Πλουτεῖς δ' ἐν οὐ πλουτοῦσι, Μενέλεως δέ σοι
Μείζων Ἀχιλλέως· ταῦτά τοι σ' ἔχθει πόσις.
“ Χρὴ γὰρ γυναῖκα, κἂν κακῷ πόσει δοθῇ,
“ Στέργειν, ἅμιλλάν τ' οὐκ ἔχειν φρονήματος.
Εἰ δ' ἀμφὶ Θρῄκην χιόνι τὴν καταῤῥυτον,
Τύραννον ἔσχες ἄνδρ', ἵν' ἐν μέρει λέχος
Δίδωσι πολλαῖς εἷς ἀνὴρ κοινούμενος,
Ἔκτεινας ἂν τάσδ'; εἶτ' ἀπληστίαν λέχους

“ Quiſquis mortalium injuſtitiam habet.
Ego verò metuo, ne quòd ego tibi ſerviam, *i.e. ne mea ſervitus me*
Repellat à dicendo, cum habeam multa juſta *argumenta*:
Si v. contra vicero, nè propter hoc accipiam *aliquod* detrimentum.
“ Qui enim ſpirant magna, *i.e. qui ſunt ſuperbi*, præſtatiores rationes
“ Ægrè ferunt ab inferioribus *prolatas*.
Tamen non convincar prodens meipſam.
Dic, ô juvencula, quâ te firmâ ratione
Confidens, à legitimis nuptiis repello?
Itane Lacæna civitas, *i.e. Sparta* Phrygû *urbe, Trojâ, eſt* minor,
Fortunâque *partam Troja* ſuperat, meque liberam vides?
An juventute, & vigenti corpore,
Et magnitudine urbis, & amicis elata,
Volo tenere tuam domum pro te?
Utrum, ut ego pro te pariam liberos
Servos, mihi miſerâ appendicem? *miſeram moleſtiam attraham*?
An aliquis meos liberos patietur
Phthiæ reges eſſe; ſi tu non parias?
Amant nimirùm me Græci, idque propter Hectorem:
Et *quia* ego ſum obſcura, & non fui regina Phrygum.
Maritus odit te, non propter mea pharmaca:
Sed quia non es idonea ad converſandum *cum ipſo*.
“ Nam & hoc eſt philtrum: non forma, ô mulier,
“ Sed virtutes delectant maritos;
Tu verò ſi quid pungeris, Lacæna urbs
Eſt aliquid magni, Scyrū verò nullo loco ponis, *i.e. nihili facis*,
Et oſtentas divitiâs inter inopes; Menelaus verò tibi
Major eſt Achille: propter hæc profectò odit te maritus.
“ Oportet enim mulierem, etiam ſi malo viro data ſit,
“ Boni conſulere, & non decertare *cum eo* de faſtu.
Si verò in Thraciâ circumfusâ nive
Haberes maritum regem, ubi per vices lectum
Dat multis *mulieribus* unus vir communicans,
An occideres iſtas? At *ſic* inſatiabilem cupiditatem concubitûs

* Ἡ νεότης ἀνόητος ἀεὶ θνητοῖσι τέτυκται· Εἰ δὲ δίκην βλάψῃ, πολλὰ χερειοτέρη. 188. Οἱ γὰρ πνέοντες μεγάλα) οἱ γὰρ μεγαλοφρονοῦντες βαρέως φέρουσιν ὑπὸ τῶν ἐλασσόνων δικαιοτέρους λόγους ἀκούειν καὶ ἐλέγχεσθαι.

Ἐχεγγύῳ λόγῳ) Ἀσφαλεῖ λογισμῷ ἀξιοπίστῳ, ἔχοντι ἐν ἑαυτῷ πίστιν. ὁ δὲ νοῦς, τίνι βεβαίῳ λογισμῷ πεισθεῖσα ἐγὼ ἀπωθῶ σε τοῦ γνησίου γάμου; βελτίω οὖσα, πῶς σε ἐξωθῆσαι δυνάμαι;

194. Τύχῃ θ' ὑπερθεῖ) τῇ εὐδαιμονίᾳ ὑπερβάλλει ἡ Φρυγῶν πόλις τῆς Λακαίνης, ὃ πάλιν ὑπακουστέον τὸ ἔλαττον. ἀκολούθως δὲ ἐπάγει. Καί μ' ἐλευθέραν ὁρᾷς) καὶ φησιν οἱ ἐμοὶ βασιλεύουσιν, οὐ σοὶ παῖδες. Σφριγῶντι) ἀκμάζοντι, ἀκμάζοντι. Πότερον) πρός τι χρήσιμον ἀφορῶσα, βούλομαί σ' ἐκβάλλειν, ἵνα τέκω παῖδας· καὶ τί με ὠφελήσουσι, δοῦλοι γὰρ καὶ αὐτοὶ ἔσονται. Ἐφολκίδα) προσθήκην, κακὸν βάρος. ἐκ μεταφορᾶς τοῦ πλοίου μικροῦ, τοῦ ἐφελκομένου τῷ πλοίῳ τῷ μεγάλῳ. Ἢ τοὺς ἐμοὺς) ἢ ἄρα τυράννους ὄντας τοὺς ἐμοὺς παῖδας καταδέξεταί τις; Φιλοῦσι γάρ μ' Ἕλληνες) καὶ διὰ τὸν Ἕκτορα, καὶ δι' ἐμαυτήν. Ἕκτορα μὲν, ὡς εὐεργέτην τιμῶντες. ἐμὲ δὲ, ὡς μὴ βάρβαρον, καὶ μὴ πολεμίαν πεῖραν αὐτὴν γνωριζομένην ἐλεοῦντες.

Ἀμαυρὰ) ἀφανὴς, ἄσημος, ἐν εἰρωνείᾳ ταῦτα φησί. 204. Οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις) Ἀνταποδίδωσι πρὸς τὸ † Στυγοῦμαι δ' ἀνδρὶ φαρμάκοισι σοῖς. 205. Ἀλλ' εἰ ξυνεῖναι) ἀλλ' ἐπειδὴ μὴ ἁρμοδία τυγχάνεις εἰς τὸ συνοικεῖν ἀνδρί. διὰ τοῦτό σε μισεῖ. 206. Φίλτρον δὲ καὶ τόδε) τὸ εἰδέναι πῶς δεῖ συνοικεῖν ἀνδρὶ, καὶ δι' ὧν εἰς στοργὴν καὶ εὔνοιαν αὐτὸν ἐπάγεται. οὐ γὰρ τὸ κάλλος αἴτιον τοῦ φιλεῖσθαι, ἀλλ' αἱ ἀρεταί. ἀρετὴ δὲ γυναικὸς ἡ πρὸς τὸν ἄνδρα ὁμόνοια. Σὺ δ' ἄν τι κνισθῇς) σὺ δ' ἄν τι λυπηθῇς, ἀπὸ πατρίδος, καὶ πλούτου, καὶ τύχης ὑβρίζεις τὸν ἄνδρα σου. καὶ τὴν μὲν σαυτῆς πατρίδα τὴν Λακεδαίμονα προφέρεις, ὡς εὐτύχημα μέγα. τὴν Σκῦρον δ' ἐκφαυλίζεις. 210. Πλουτεῖς δ' ἐν οὐ πλουτοῦσι) πλουτεῖν λέγεις, ἐν τῷ πλοῦτον μὴ ἔχειν. ἐπειδὴ ἔλεξεν ἀνωτέρω, τὸν κόσμον καὶ τὴν ἐσθῆτα μὴ ἐκ τοῦ Πηλέως ἔχειν, ἀλλὰ παρὰ τοῦ πατρός. τοῦτο οὖν ὀνειδίζεις εἰς πενίαν τοῦ ἀνδρός. 213. Ἅμιλλαν οὐκ ἔχειν) μὴ ἁμιλλᾶσθαι καὶ στασιάζειν πρὸς τὸν ἄνδρα. τῷ μὴ ἐθέλειν τὸ ἐν φρονήματι τοῦ ἀνδρὸς, φρονοῦσαν μέγα. καὶ διὰ τοῦτο ὑποταπεινοῦσθαι τῷ ἀνδρὶ πρὸς ἅμιλλαν. 216. Δίδωσι πολλαῖς) ὅτι πολλαῖς γυναιξὶν εἷς ἀνὴρ κατὰ διαδοχὴν δίδωσι τὸ λέχος αὐτοῦ.

* Hoc Diſtichon à *Stiblino* ſic verſum habeas, *Exigua frugis ſemper maleſana Juventus: Sed ſi Jus violet, grandius illa Malum.*

† V. 157.

ANNOTATIONES.

V. 193. Ὡς ἡ Λάκαινα) Quin ſit hic aliqua corruptio pauci dubitant. *Canterus* valdè (ut is putat) accommodatè legit — Ὡς τῆς Λακαίνης ἡ Φρυγῶν μείων πόλις &c. Quid ſi legamus μείζων? Eſt enim perpetua *Ironia*; in hunc ſenſum, Quaſi *Lacedæmone Troja* major eſſet Civitas, Et Fortunâ ſuperior, & me quoque liberam videres? Cum omnia ſint contrà: Si verò nihil mutemus, ita neceſſe eſt diſtinguamus, ὡς ἡ Λάκαινα πόλις τῆς τῶν Φρυγῶν πόλεως μείων, tum verò fatendum eſt in ſequenti, ita legi, quaſi ἡ Φρυγῶν πόλις repeteretur hoc modo, καὶ ἡ τῶν Φρυγῶν πόλις τύχῃ ὑπερθεῖ τῆς Λακαίνης. *Scaliger* legit τῆς Φρυγῶν & ὑπερθεῖ, prius ferendum, alterum rejicio. An ὡς pro Itáne. *J. Barnes.*

V. 205. Ἀλλ' εἰ ξυνεῖναι) *Scaliger* legit οἱ pro εἰ, benè quidem; ſed & εἰ non malè; imò, ut mihi videtur, melius paulò; Nam & ſic οἱ pro ἐπεὶ poteſt ſubintelligi.

V. 209. Τὴν δὲ Σκῦρον) *Neoptolemi* Patriam.

V. 214. Εἰ δ' ἀμφὶ Θρῄκην) De Moribus *Thracum* vid. *Herodotum* in Quinto, *Strabonem* in Septimo, *Pomponium Melam* in ſecundo libro. Tradunt autem hi Authores *Thracas* ducere ſolitos, ternas, quaternas, undecim, duodecim uxores, vel etiam plures, ſi pluribus alendis ſufficiant. Ex Notis *Gaſp. Stiblini*. Vide ad *Ino* a v. 18. ad v. 25.

V. 217. Ἔκτεινας ἂν τάσδ';) olim *Paulus Stephanus*, *Canterus*, aliique legebant τάδ'; ſed Nos ex *Aldinâ* editione, Senſu etiam poſtulante & Verſu permittente, τάσδε reſtituimus. Hoc *Scaligerum*, *Heinſiúmque* prius vidiſſe nunc video. Nec enim ignoro, τάδε pro αὐτὰς dici poſſe, ut etiam pro ἡμᾶς, ὑμᾶς, αὐτὸν, aliquando, *deiktikôs* nempe, cùm idem valet, ac ὧδε. Sic *Æſchylus* Perſ. v. 1. Τάδε μὲν Περσῶν τῶν οἰχομένων Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται. Ubi τάδε apertè pro ἡμεῖς. Unde Scholiaſtes τάδε δεικτικῶς, ὡς ἑαυτοὺς δεικνύει ὁ χορός, ὅτι τάδε καὶ ταῦτα. *J. Barnes.*

Πάσαις

Πάσαις γυναιξὶ προστεθεῖσ' ἂν ὑβρίδας.
Αἰσχρόν γε, καίτοι χείρον' * ἀρσένων νόσον *al. ἀνθρώπων.
Ταύτην νοσοῦμεν, ἀλλὰ προὔστημεν καλῶς.
Ὦ φίλταθ' Ἕκτορ, ἀλλ' ἐγὼ τὴν σὴν χάριν,
Σοὶ καὶ ξυνήρων, εἴ τι σε σφάλλοι Κύπρις·
Καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς
Ἐπέσχον· ἵνα σοι μηδὲν ἐνδοίην πικρόν.
Καὶ ταῦτα δρῶσα, τῇ 'ρετῇ προσηγόμην
Πόσιν· σὺ δ' οὐδὲ ῥανίδ' ὑπαιθρίας δρόσου
Τῷ σῷ προσίζειν ἀνδρὶ δειμαίνουσ' ἐᾷς.
Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρείᾳ, γύναι,
Ζήτει παρελθεῖν. "Τῶν κακῶν γὰρ μητέρων
" Φεύγειν τρόπους χρὴ τέκνα γ', οἷς ἔνεστι νοῦς.
Χο. Δέσποιν', ὅσον σοι ῥᾳδίως παρίσταται,
Τοσόνδε πείθου τῇδε συμβῆναι λόγοις.
Ερ. Τί σεμνομυθεῖς, κεἰς ἀγῶν' ἔρχῃ λόγων,
Ὡς δὴ σὺ σώφρων, τἀμὰ δ' οὐχὶ σώφρονα;
Αν. Οὔκουν ἐφ' οἷς γε νῦν καθέστηκας λόγοις.
Ερ. Ὁ νοῦς ὁ σός μοι μὴ ξυνοικοίη, γύναι.
Αν. Νέα πέφυκας, καὶ λέγεις αἰσχρῶν πέρι.
Ερ. Σὺ δ' οὐ λέγεις γε, δρᾷς δέ μ', εἰς ὅσον δύνῃ.
Αν. Οὐκ ἂν σιωπῇ Κύπριδος ἀλγήσεις πέρι;
Ερ. Τί δ'; οὐ γυναιξὶ ταῦτα πρῶτα πανταχοῦ;
Αν. Καλῶς γε χρωμέναισιν· εἰ δὲ μή, οὐ καλά.
Ερ. Οὐ βαρβάρων νόμοισιν οἰκοῦμεν πόλιν.
Αν. Κἀκεῖ τά γ' αἰσχρά, κἀνθάδ' αἰσχύνην ἔχει.
Ερ. Σοφή, σοφὴ σύ· κατθανεῖν δ' ὅμως σε δεῖ.
Αν. Ὁρᾷς ἄγαλμα Θέτιδος εἰς σ' ἀποβλέπον;
Ερ. Μισοῦν γε πατρίδα σὴν Ἀχιλλέως φόνῳ.
Αν. Ἑλένη νιν ὤλεσ', οὐκ ἐγώ, μήτηρ γε σή.
Ερ. Ἦ καὶ πρόσω γὰρ τῶν ἐμῶν ψαύσεις κακῶν;
Αν. Ἰδοὺ σιωπῶ, κἀπιλάζυμαι στόμα.
Ερ. Ἐκεῖνο λέξον, οὗπερ οὕνεκ' ἐστάλην.

Omnibus mulieribus appoſitas deprehenderetis.
Turpe certè *hoc eſſet*: quanq. gravi viris, *i. e. graviùs q. viri*, morbo
Hoc *Venereo* laboramus, ſed *tamen eum* celamus honeſte.
O chariſſime Hector, ſed ego tuâ cauſâ
Amabam tecum *eaſdem*, ſi quid te fallebat Venus:
Etiam jam ſæpe ubera tuis ſpuriis
Præbui, ut tibi nihil darem acerbi:
Et hæc faciens, virtute *mihi* conciliabam
Maritum: tu verò neque guttulam ætherei roris
Tuo viro aſſidere ſinis metuens.
Nè matrem *tuam* amore-virorum, ô mulier,
Studeas ſuperare. " Nam malarum matrum
" Mores oportet fugere liberos, quibus ineſt mens.
Ch. Domina, quantum tibi adeſt facultas,
Tātū pare *mihi*, ut cū hāc *Andromachâ* verbis cōpoſitionē faciam.
Her. Quid arroganter loqueris & venis in certamen verborum,
Quaſi tu quidem *ſis* caſta, ego verò non *ſim* Caſta?
And. Haud certè *Caſta es* ob ea falsè verba, quibus nunc es uſa.
Her. O mulier, tuus animus ne adſit mihi.
And. Es juvencula, & loqueris de turpibus.
Her. Tu verò non loqueris, ſed facis contra me, quantum potes.
And. Non tacitè perferes dolorem zelotypiæ?
Her. Quid? An non iſta ſunt ubique ſumma mulieribus?
And. Rectè quidem utentibus: ſin minus, non *ſunt* honeſta.
Her. Non regimus urbem Barbarorum legibus.
And. Et illic turpia & hic habent dedecus.
Her. Callida tu, callida *quidem es*: ſed tamen oportet te mori.
And. Vides ſtatuam Thetidis in te reſpicientem?
Her. Quæ certè odit tuam patriam propter mortem Achillis.
And. Helena mater tua eum perdidit, non ego.
Her. An verò ulteriùs etiam attinges mea mala?
And. Ecce taceo & comprimo os.
Her. Illud dic, cujus causâ *huc* veni.

Πάσαις γυναιξὶ) καὶ πῶς φησιν οὐκ ἔμελλες δόξαν λαγνείας ταῖς γυναιξὶ περιθεῖναι; τὸ δὲ προστεθεῖσ' εἶπεν, ὅτι πρὸς τὸ δόξαν ἔχειν αὐτὰς λαγνείας. ἔτι καὶ συμβεβαιώσειν ἔργῳ τὴν δόξαν. Καίτοι χεῖρον ἀνθρώπων νόσον) καίτοι φησὶν ἡμεῖς αἱ γυναῖκες καταφερέστεραι οὖσαι πρὸς τὰ ἀφροδίσια τῶν ἀνδρῶν, ὅμως καλῶς περιστέλλομεν αὐτά. καὶ οὐ φανεραὶ γινόμεθα. ἢ ὅτι ἰσχυροτέραν νόσον νοσοῦμεν τῶν πρὸς τοὺς ἄνδρας. ἀλλὰ προϊστάμεθα αὐτῆς καρτερῆσαι, καὶ ὑφ' ἓν κρύψαι. βούλεται δὲ λέγειν, ὅτι οὐκ ὀφείλει γυνὴ ἀνδρί, ἑτέρᾳ γυναικὶ συνομιλοῦντι, οὕτω φανερῶς ἀγανακτεῖν, καὶ εἰς μέσον φέρειν αὐτῆς τὸ πάθος. ἀλλὰ μᾶλλον ἰδίᾳ τῷ ἀνδρὶ ἐπιτιμᾶν, πειθοῖ τε καὶ κολακείᾳ ἀφιστᾶν αὐτὸν τῆς πρὸς τὰς ἄλλας πλησιάσεως. οὕτω γὰρ ποιήσει τὸν ἄνδρα.

221. Ὦ φίλταθ' Ἕκτορ) τοῦτο παρ' ἱστορίαν φασὶν εἰρῆσθαι. μὴ γὰρ ἱστορεῖσθαι Ἕκτορα ἐξ ἄλλης γυναικὸς γεγεννῆσθαι υἱούς. ἀπερίσκεπτοι δέ εἰσιν οἱ ταῦτα λέγοντες. Ἀναξικράτης γὰρ ἐν τῷ β' τῶν Ἀργολικῶν οὕτως λέγει, ὁ δὲ Ἀμφινέα καὶ Σκαμάνδριον τὸν Ἕκτορος υἱὸν καὶ Πηλαίπεσον. ἦσαν δὲ αὐτῷ, ἔτος μὲν νόθος, ὃς κατελήφθη ἐν Ἰλίῳ, καὶ ἀπόλλυται. ἔτοι δὲ διασώζονται. Σκαμάνδριος δὲ ἀφίκετο εἰς Ταναΐδα. Σοὶ καὶ ξυνήρων) συνεφερόμην σοι εἰς ἔρωτα τῇ περὶ τοὺς ἄνδρας σπουδῇ. Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρείᾳ γύναι) λέγει δὲ Θησέα καὶ Μενέλαον, Ἀλέξανδρον καὶ Δηΐφοβον. καὶ μετὰ θάνατον, ἢ ὡς ὄνειρον Ἀχιλλεὺς αὐτὴν ἔσχεν. [Ὁ γὰρ* Παυσανίας ἐν τοῖς Λακωνικοῖς περὶ Λεωνύμου -- Χρόνῳ δὲ ὡς ὑγιαίνας ἐπανῆλθεν ἐκ τῆς Λεύκης, ἰδεῖν μὲν ἔφασκεν Ἀχιλλέα, ἰδεῖν δὲ τὸν Οἰλέως καὶ τὸν Τελαμῶνος Αἴαντα, συνεῖναι δὲ καὶ Πάτροκλόν σφισι καὶ Ἀντίλοχον· Ἑλένην δὲ Ἀχιλλεῖ μὲν συνοικεῖν, προστάξαι δέ οἱ πλεύσαντι εἰς Ἱμέραν πρὸς Στησίχορον ἀγγέλλειν, ὡς ἡ διαφθορὰ τῶν ὀφθαλμῶν ἐξ Ἑλένης γένοιτο αὐτῷ μηνίματος.] Ὡς καὶ Λυκόφρων, τῆς πεντάλεκτρου θυάδος Πλευρωνίας. ὃ κατ' εἰρωνείαν λέγεται, ἀντὶ τοῦ μισανδρείᾳ. κἀκείνη γὰρ δοκοῦσα φιλεῖν τὸν Μενέλαον, ὕστερον αὐτὸν κατέλιπεν. ὥσπερ οὖν καὶ σύ, μὴ νῦν δοκοῦσα διὰ ταῦτα φιλεῖν ζηλοτυπεῖν τὸν ἄνδρα, ἐξαίφνης αὐτὸν καταλίπῃς. 231 Ὅσον σοι ῥᾳδίως) ὅσον σοι εὐκόλως καὶ δυνατῶς φαίνεται, καὶ παρίσταται, ὅσον ἐνδέχεται. Τί σεμνομυθεῖς) τί πιθανολογεῖς, μεγαλορρημονεῖς. ἀντὶ τοῦ σεμνὴν καὶ ἀξίαν [illegible]. καὶ ἀξιωματικὴν θέλεις ἑαυτὴν δεικνύειν. Κεἰς ἀγῶνα) καὶ εἰς φιλονεικίαν ἔρχῃ, ὡς δὴ σώφρων ὑπάρχεις ἐν οἷς λέγεις. 237. Αἰσχρῶν πέρι) λαγνείας γὰρ αἰσχρᾶς ὅτι κεκαλυμμένοις λόγοις. Δρᾷς δέ μ') δι' ὧν ἔχεις τὸν ἐμὸν ἄνδρα. Οὐκ ἂν σιωπῇ) οὐ καθέξεις καθ' ἑαυτὴν τὴν κατ' ἐμὲ ζηλοτυπίαν, καὶ σιωπῇ κρύψεις τὸ πάθος; καὶ ἄλλως. εἰ καὶ ἀλγεῖς τὴν ψυχὴν περὶ τῆς σῆς συνουσίας, σιωπᾶν ὀφείλεις, ἵνα μὴ δόξῃς διὰ λαγνείαν χαλεπαίνειν. Τί δ';) Ἑλληνικὸν γὰρ, τὸ παντὶ τρόπῳ ἀπείργειν τὸν ἄνδρα τῆς ἑτέρας κοινωνίας. Καλῶς γε χρωμέναισι) τῇ μετὰ σεμνότητος καὶ ἐπιεικείας, ὡς πρέπει γυναιξίν. οὐ μετὰ τοσαύτης ἀναισχυντίας, ὡς σύ. 246. Μισοῦν γε πατρίδα σὴν) ναί φησιν, ὁρῶ τὸ ἄγαλμα οὐκ εἰς ἐμὲ βλέπον, ὡς σὺ φῄς. ἀλλὰ πολὺ μῖσος ἐμφαῖνον κατὰ τῆς σῆς πατρίδος, ὅτι ἐκεῖ ἀνῃρέθη ὁ Ἀχιλλεύς. Ἦ καὶ πρόσω) ἀντὶ τοῦ περαιτέρω μου θέλεις ὀνειδίσαι. Κἀπιλάζυμαι) λαμβάνομαι τὸ στόμα. κλείω, κατέχω. 250. Οὕνεκ' ἐστάλην) οὗ τινος χάριν παραγέγονα.

* Hæc ego huic loco conformia addidi ex *Pauſaniâ* fol. 102. l. 30. &c.

ANNOTATIONES.

V. 228. Φιλανδρία) *Scaliger* dixit, *Ironiam* eſſe pro μισανδρία, quod nec *Scholiaſtes* præterit. Ita ſanè; ſi ſumas pro *Amore-conjugali*; ſed φιλανδρία etiam in malam partem ſumitur pro μοιχεία, *Amor-virorum* in genere. Ita *Plato* in Sympoſ. φίλανδροι γυναῖκες καὶ μοιχεύτριαι. *Joſua Barnes.*

V. 230. Τέκνα γ') Ita lego pro τέκν', quia Verſui una deerat ſyllaba.
V. 239. Οὐκ ἂν) *Scaliger* legit Οὐκ αὖ.
V. 241. Εἰ δὲ μὴ, οὐ καλά.) τὸ μὴ quaſi eliditur ante τὸ οὐ, ſicut & mox v. 253. quod non infrequens eſſe fateberis, ſi conſulas, quæ Nos ad *Oreſt.* v. 597. *Joſua Barnes.*

Αν. Λέγω

Αν. Λέγω σ' ἐγὼ νοῦν οὐκ ἔχειν, ὅσον σε δεῖ.
Ερ. Λείψεις τόδ' ἁγνὸν τέμενος ἐναλίας θεοῦ;
Αν. Εἰ μὴ θανοῦμαί γ'· εἰ δὲ μὴ,* οὐ λείψω ποτέ.
Ερ. Ὡς τοῦτ' ἄραρε, κοὐ μενῶ πόσιν μολεῖν.
Αν. Ἀλλ' οὐδ' ἐγὼ μὴν πρόσθεν ἐκδώσω μέ σοι.
Ερ. Πῦρ σοι προσοίσω, κοὐ τὸ σὸν προσκέψομαι.
Αν. Σὺ δ' οὖν κάταιθε· θεοὶ γὰρ εἴσονται τάδε.
Ερ. Καὶ χρωτὶ δεινῶν τραυμάτων ἀλγηδόνας.
Αν. Σφάζ', αἱμάτου θεᾶς βωμὸν, ἣ μέτεισί σε.
Ερ. Ὦ βάρβαρον σὺ θρέμμα, καὶ σκληρὸν θράσος.
Ἐγκαρτερεῖς δὴ θάνατον; ἀλλ' ἐγώ σ' ἕδρας
Ἐκ τῆσδ' ἑκοῦσαν ἐξαναστήσω τάχα.
Τοιόνδ' ἔχω σου δέλεαρ· ἀλλὰ γὰρ λόγους
Κρύψω· τὸ δ' ἔργον αὐτὸ σημανεῖ τάχα·
Κάθησ' ἑδραία· καὶ γὰρ εἰ πέριξ σ' ἔχει
Τηκτὸς μόλιβδος, ἐξαναστήσω σ' ἐγὼ,
Πρὶν, ὃν πέποιθας, παῖδ' Ἀχιλλέως μολεῖν.
Αν. Πέποιθα. "Δεινὸν δ', ἑρπετῶν μὲν ἀγρίων
" Ἄκη βροτοῖς θεῶν ἐγκαταστῆσαί τινα·
" Ἃ δ' ἔστ' ἐχίδνης, καὶ πυρὸς περαιτέρω,
" Οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
" Κακῆς· τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν.

* Vid. supra v. 241.

And. Dico ego te non tantum ſapere, quantum oportet.
Her. Relinques hoc purum templum marinæ deæ?
And. Si non moriar: ſin autem, nunquam relinquam.
Her. Hoc quidem fixū eſt, nec expectabo maritum donec redeat.
And. Sed ne ego quidem me prius tibi dedam.
Her. Ignem tibi admovebo, nec tui rationem habebo.
And. Accende igitur tu: dii enim hæc videbunt.
Her. Et corpori gravium plagarum *inflictarum* dolores.
And. Jugula polliue-ſanguine Deæ aram, quæ perſequetur te *vind.*
Her. O barbaram te pecudem, & duram audaciam.
Perferes igitur mortem? Sed ego te ſede
Ex hâc citò volentem excitabo;
Talem habeo eſcam ad te eliciendum: ſed enim verba
Occultabo; res verò ipſa citò hanc *eſcam* indicabit.
Sedeas firma: nam etſi undique te *munitam* teneret
Liquefactum plumbum, *hinc tamen* excitabo ego te,
Priuſquam veniat filius Achillis, quem tu venturum confidis.
A. Confido: "mirū autē *eſt*, adverſ. quide ſerp. agreſt. *ac venenatos*,
" Remedia mortalibus aliquem Deorum conſtituiſſe;
" Quæ verò eſt viperâ, & igne ſuperior *ac longè deterior*,
" Nullus remedia invenit adhuc adverſus mulierem
" Malam: tale ſumus hominibus malum.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. 1 Ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν,
2 Ὅτ' Ἰδαίαν ἐς νάπαν ἦλθ' ὁ
3 Τῆς Μαίας τε καὶ Διὸς τόκος,
4 Τρίπωλον ἅρμα δαιμόνων
5 Ἄγων, τὸ καλλίζυγες,
6 Ἔριδι στυγερᾷ
7 Κεκορυθμένον εὐμορφίας,
8 Σταθμοὺς ἐπὶ βούτα,
9 Βοτῆρά τ' ἀμφὶ μονόζωπον νεανίαν,
10 Ἔρημόν θ' ἑστιοῦχον αὐλάν.

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 Certè magnorum dolorum autor extitit,
2 Quando venit in nemus Idæum
3 Maiæ & Jovis filius, (*i.e. Mercurius*)
4 Trijugum currum *trium* Dearum,
5 Ducens, illum pulchrijugum,
6 Odioſo certamine
7 Formæ armatum,
8 Ad ſtabulum bubulci,
9 Et ad ſolitarium paſtorem adoleſcentem,
10 Et ad ſtabuli deſertos lares.

Λείψεις τόδ' ἁγνὸν) ἐγκαταλείψεις τὸ τέμενος τῆς θεοῦ, εἰ μὴ θανοῦμαι, εἰ μή ποτε ἀποθάνω, καὶ τὸ λείψανον λοιπὸν ἐντεῦθεν, ἐπεὶ οὐ θέμις ἐν ἱερῷ εἶναι νεκρὸν σῶμα.
Εἰ δὲ μὴ) ἀποθανοῦ ἀλλ' ἐν ζῶσι τύχω, οὐκ ἄν ποτε λείψω.
256. Πῦρ σοι προσοίσω) ἔθος ἦν τοῖς εἰς βωμὸν καταφεύγουσι πῦρ προστρίβειν. Κοὐ τὸ σὸν) καὶ οὐ τὸ σὸν συμφέρον προνοήσω.
259. Μέτεισι) μετέρχεται, μετεξελεύσεται. Δέλεαρ) ἄγκιστρον, ἀπὸ μεταφορᾶς τῶν ἰχθύων.
Ἑδραία) ἰσχυρῶς καθιδρυμένη. τοῖς γὰρ ἀνδρείαις μόλιβδος περιχέεται πρὸς ἀσφάλειαν.
268. Δεινὸν δ' ἑρπετῶν) δεινὸν ἐστὶ τῶν θεῶν τινὰ τῶν μὲν ἀγρίων θηρίων θεραπείας καταστῆσαι τοῖς ἀνθρώποις, τῆς δὲ γυναικὸς τῆς δεινῆς μὴ εὑρεῖν θεραπείαν. καὶ ἄλλως. δυνατὸν ἐστὶ τῶν θεῶν τινὰ τῶν μὲν ἀγρίων θηρίων θεραπείας καταστῆσαι, τῆς δὲ δεινοτέρας γυναικὸς οὐδεὶς εὑρήσει θεραπείαν. Γυναικὸς) ἀντὶ τοῦ γυναικῶν, πληθυντικῶς. ὁ δὲ νοῦς· τῶν δὲ γυναικῶν οὐδεὶς φάρμακον ἐξεύρηκέ πω. 272. [* Μεγάλων ἀχέων ὑπῆρξεν) ὁ Ἑρμῆς ἀρχὴν ἤρξατο μεγάλων παθῶν. ὅτε τρεῖς θεὰς μορφῆς ἕνεκα πρὸς Ἀλέξανδρον ἤγαγε κριτάς. Ὑπῆρξεν) Ἀρχὴ ἐγίνετο καὶ αἴτιος. Ἄλλοτε δὲ τὸ ὑπάρχω καὶ τὸ εἰμὶ ταυτοσήμαντα. Ἡρόδοτος μὲν εἶπεν, ὑπάρχω ἀδικίης, καὶ ὁ Πλούταρχος, ὑπάρχω βίας.] Σταθμοὺς ἐπὶ βούτα) ἐπὶ τὰς ἐπαύλεις τοῦ βουκόλου Πάριδος, καὶ πρὸς αὐτὸν τὸν μονόζυγον νεανίαν βουκόλον, καὶ πρὸς τὴν αὐλὴν τὴν οἰκουμένην μὲν, ἔρημον δὲ γυναικὸς καὶ παίδων, ἤτοι ἐρημίαν ἔχουσαν. Βοτῆρα) βουκόλοι κυρίως οἱ νομεῖς, ἀπὸ τοῦ ἐπιτηρεῖν ζῶα. 282. Ἑστιοῦχον) ἑστίαν ἔχουσαν, ἐνοικουμένην. διαφέρει δὲ σταθμὸς καὶ αὐλή. ὁ μὲν γὰρ σταθμὸς θρεμμάτων, ἡ δὲ αὐλὴ ἀνδρῶν οἰκητήριον.

* Hanc Notam Uncinis incluſam Nos Scholiis Veteribus aſſuimus, ὑπάρχω autem & aliàs in hoc ſenſu utitur *Euripides*, ut *Hercul. Fur.* v. 1169. Quem locum Videſis. *Joſua Barnes.*

ANNOTATIONES.

V. 253. Εἰ μὴ θανοῦμαι) *Scholiaſtes* hic hallucinatur; Senſus enim hic eſt, λείψω τόδε τέμενος, εἰ μὴ θανοῦμαι, καὶ τοῦτο σύ μοι δεῖ δοκεῖς βεβαιώσεις· εἰ δὲ μὴ βεβαιώσῃς, οὐ λείψω ποτὲ, ἰδοῦσα καὶ ζῶσα· θανοῦσα γὰρ, ἴσως οἶδ', ὅτι. *Joſua Barnes.*

V. 256. Πῦρ σοι προσοίσω) Præter Scholiaſten vid. *Turnebi* Adverſ. l. 9. c. 12. Et quæ Nos ad *Herc.* Fur. v. 243. De Igni admoto iis, qui ad aras fugiſſent &c. Ita *Plautus* in *Rudenti*, ubi Puellas, ad *Veneris* Aram ſedentes, *Labrax* leno abſtrahere nequit, ait, *Volcanum* adducam; is *Veneris* eſt adverſarius. Idem in *Moſtellaria* ubi *Theuropedes* ad ſervum *Tranium* Aram occupantem, *Jam jubebo ignem & ſarmenta*, Carnifex, circundari. *J. Barnes.*

V. 259. Σφάζ', αἱμάτου θεᾶς βωμὸν) legebatur olim, σφάζ' αἵματι, quod apertè Mendum erat: *Canterus* Novar. Lection. l. 1. c. 17. legit σφάζ' αἷμα πρὸς, at quis unquam dixit σφάζειν αἷμα πρὸς βωμόν; *Duportus* legit αἱμάτου i. e. cruenta, vel ſanguine-pollue (*Imperat.* præſ. Act. verbi αἱματόω) optiméque ſenſui conſulens & veteri Scriptioni quàm proximè accedens, idem legit *Heinſius* & Scaliger, quare & nos in textum jam recepimus. *Joſua Barnes.*

V. 266. Τηκτὸς μόλιβδος) De plumbo liquido ferreis uncis addito ædificiorum coagmentationibus ad nexûs firmitatem, vide *Turneb.* Adverſar. l. 9. c. 14. ubi hos verſus cum *Platone* & *Vitruvio* collatos protulit. *Joſua Barnes.*

V. 270. Ἃ δ' ἔστ' ἐχίδνης) Quæ monet *Æmil. Port.* de varietatis ſine causâ Dialectis, partim quidem probanda, partim verò nihili habenda; Nemo enim eſt tam *Doricus* vel *Theocritus*, vel *Pindarus*, ut ſemper eâ Dialecto gaudeat: Nimis enim rudis & hiulca eſſet, niſi vel *Ionicâ* copiâ, vel *Atticâ* aliquando ſuavitate deliniretur. Hoc verò contra *Æmylium Portum* audactèr defendendum, plurimis in locis Poetam hunc (ne alios commemorem) etiam in Scenis & extra *Chorum*, *Doricam* Dialectum & alios ornatûs causâ & ingenii Luxuriâ uſurpare; Uti facilè Diligens Lector deprehendet. Sic *Iphig.* Aul. v. 357. Ὅσα μὲν στρέφα σ' ἀρχὰς Χιλίων ναῶν ... Et v. 1381. Μυρίοι δ' ἀμφίζειν ἰὰν τὰν ὀλβίαν ἐξ Ἑλλάδος. Sic *Oreſtes* v. 545. & 556. utrobique ματέρα legitur pro communi μητέρα; quod tamen poſterius MS. retinet. Sic *Oreſt.* v. 655. Μίαν ποθοῦσας ἁμέραν ἐμῶν ὕπερ. Sic *Iphig.* Taur. v. 1475. Ἄνασσ' Ἀθάνα, τοῖσι τῶν θεῶν λόγοις. Sic *Ion.* v. 995. Ταύτης Ἀθάνα δίος ἐπὶ στέρνοις ἔχει. *Joſua Barnes.*

Ἀντιστροφὴ

Ἀντιστροφὴ α΄.

1 Ταὶ δ' ἐπεὶ ὑλόκομον νάπος ἤλυθον,
2 Ὀρειᾶν πιδάκων νίψαντο
3 Αἰγλᾶεντα σώματ' ἐν ῥοαῖς·
4 Ἔβαν τε Πριαμίδαν ὑπερ-
5 βολαῖς λόγων δυσφρόνων
6 Παραβαλλόμεναι.
7 Κύπρις εἷλε λόγοισι δολίοις,
8 Τερπνοῖς μὲν ἀκοῦσαι,
9 Πικρὰν δὲ σύγχυσιν βίου Φρυγῶν πόλει
10 Ταλαίνᾳ, περγάμοις τε Τροίας.

Στροφὴ β΄.

1 Εἴθε δ' ὑπὲρ κεφαλᾶς ἔβαλεν κακὸν
2 Ἅ τέκε ποτὲ Πάριν,
3 Πρὶν Ἰδαῖον κατοικίσαι λέπας,
4 Ὅτε νιν παρὰ θεσπεσίῳ δάφνᾳ
5 Βόασε Κασσάνδρα * κτανεῖν, * al. [illegible]
6 Μεγάλαν Πριάμου πόλεως λώβαν.
7 Τίν' οὐκ ἐπῆλθε; ποῖον οὐκ ἐλίσσετο
8 Δαμογερόντων βρέφος φονεύειν;

Ἀντιστροφὴ β΄.

1 Οὔτ' ἂν ἐπ' Ἰλιάσι ζυγὸς ἤλυθεν
2 Δούλειος, οὔτε σύ, γύναι,
3 Τυράννων ἔσχες ἂν δόμων * ἕδραν. * Schol. ἕδρας.
4 Παρέλυσε δ' ἂν Ἑλλάδος ἀλγεινοὺς
5 Πόνους, οὓς ἀμφὶ Τροίαν
6 Δεκέτεις ἀλάλλωντο νέοι λόγχαις·
7 Λέχη τ' ἔρημ' ἂν οὐκ ἂν ἐξελείπετο,
8 Καὶ τεκέων ὀρφανοὶ γέροντες.

Antistrophe 1.

1 Istæ verò tres *Deæ*, quando venerunt ad arboreum nemus
2 Montanorum fontium abluerunt
3 Nitentia corpora in aquis.
4 Venerunt & ad Priamidem, *i.e. Paridem Priami F.* excel-
5 lentiis altutorum sermonum, *eum*
6 Decipientes.
7 Venus *enim eum* cepit dolosis verbis,
8 Dulcibus quidem auditu,
9 Sed amaram vitæ confusionem *afferentibus* Phrygum urbi
10 Miseræ, & pergamis *arcibúsque* Trojæ.

Strophe 2.

1 Utinam verò abjecisset perniciem supra caput,
2 Quæ quondam peperit Parin,
3 Priusquam habitaret Idæum montem;
4 Quando eum apud laurum sacram
5 Clamavit Cassandra occidendum esse,
6 Magnam notam urbis Priami.
7 Quem non accedebat? quem non rogabat
8 Principum; ut occideret infantem?

Antistrophe 2.

1 Non *enim* super Trojanis venisset jugum
2 Servile, neque tu, mulier,
3 Haberes sedem domûs herilis:
4 Solvisset autem *mater, hoc necato,* Græciæ miseros
5 Labores, quos apud Trojam
6 Decem annis-errantes tulerunt juvenes hastis:
7 Et lecti non fuissent relicti deserti,
8 Nec senes orbati liberis.

Ἔβαν δὲ) ἦλθον δὲ πρὸς τὸν υἱὸν τοῦ Πριάμου Ἀλέξανδρον, ἐπαγγελίαις λόγων αὐτὸν θέλγουσαι· καὶ τὴν πόλιν, αὐταὶ ἐπαινοῦσαι καὶ [illegible]. Παραβαλλόμεναι) παραβάλλουσαι τὰ ἀλλήλων κάλλη, καὶ συγκρίνουσαι, ἀμφισβητοῦσαι. Ἄλλως. Ἐριζόμεναι, ὃ [illegible] παραβαλλόμεναι. τρεῖς δὲ [illegible] ταῖς ἐπαγγελίαις, καὶ ἀπατήσασαι αὐτὸν τῷ [illegible]. Πικρὰν δὲ) βίου σύγχυσιν τῇ Τροίᾳ κατεσκεύασαν. Ἀλλ' εἴθε ὑπὲρ κεφαλᾶς) εἴθε ὑπὲρ κεφαλῆς τοῦ Πάριδος ἔβαλε θάνατον ἡ τεκοῦσα τὸν Πάριν. Ἄλλως. Ἀντὶ τοῦ ἀπώλεσεν, καθ' ὅσον γὰρ διασαφηθῆν ἡ Ἑκάβη, ὅτι λαμπάδα ἐγέννησεν, ἔδωκε τῷ τοῦ [illegible] τὸν Ἀλέξανδρον ἐκθεῖναι [illegible] μέλλοντος. οἱ δὲ [illegible] τὸ τέκνον φονεῦσαι, ὁ δὲ [illegible] αὐτὸ [illegible]. καὶ οὕτω λαβὼν [illegible], ἐν τῇ [illegible] [illegible] διατηρεῖ. διὸ καὶ Πάρις ὀνομάσθη, ὁ ἐν τῇ [illegible] τραφείς. Ὅτε νιν παρὰ θεσπεσίῳ) μετέχουσα δάφνην. τοῦ γὰρ θεοῦ σὺν αὐτῇ κοιμηθέντος συνκοιμηθῆναι, ἔσχε μὲν [illegible] ἑαυτὴν [illegible]θῶσιν εἰς κοινωνίαν, εἰ μὴ λάβοι παρ' αὐτοῦ τὴν μαντικήν. τοῦ θεοῦ δὲ χαρισαμένου, ἠρνήσατο τὴν κοινωνίαν. διὸ καὶ ἀγανακτήσας ὁ Ἀπόλλων τὴν μαντικὴν ἅπαξ χαρισάμενος, οὐκέτι ἀφείλετο, ἀπιστεῖσθαι δὲ αὐτὴν πεποίηκεν, ὅθεν καὶ τότε τοῦ Πάριδος προμηνύσει. Ἕδρας) οἰκήσεις τοῦ Νεοπτολέμου, τοῦ δεσπότου. 304. Παρέλυσεν) ἔπαυσεν, ἀπήλλαξεν τοὺς μόχθους, οὓς ἐκακοπάθησαν κατὰ τὴν Τροίαν δέκα ἔτη.

* Hom. Iliad. ε. v. 6.

ANNOTATIONES.

V. 284. Ὀρειᾶν πιδάκων) Ita jam lego, sublato commate intermedio & mutato accentu in ὀρειᾶν, quòd id verbum nullum hic locum habere poterat; ὀρειᾶν autem pro ὀρειῶν, esse optimum epitheton πιδάκων, *i.e.* scaturiginum, quæ in *Idâ* monte abundabant: Unde *Homer.* πολυπιδάκου Ἴδης. In hoc autem Monte (quantumvis *Strabo* dicat *Antandrum* montem & is tamen *Ma*[illegible]) *Paris* Deas judicabat. De quâ re passim Poetæ & præsertim *Coluthus* in libro de Raptu *Helenæ* à v. 100. ad v. 189. *Johannes* [illegible] legebat, tum commate [illegible] ad [illegible] referens. *Josua Barnes.*

V. 293. Εἴθε δ' ὑπὲρ κεφαλᾶς ἔβαλεν κακόν) Veterum superstitio purgamenta & febres malorum averruncandorum causâ supra Caput procè abjicere, neque ea omninò respicere; ne ex eorum aspectu inquinarentur. Vid. *Turneb.* Advers. l. 19. c. 28. & *Virgil.* Interpretes ad illud *Ecl.* 8. v. 102.

Fer cineres, Amarylli, foràs, rivoque fluenti
Transque caput jace, nec respexeris. ——

Huc referatur illud & *Theocriti* in *Heraclisco* v. 91.

Ἦρι δὲ συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τις
Ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρουσα
Ῥωγάδας ἐς πέτρας, ὑπερούριον· ἂψ δὲ νέεσθαι
Ἄστρεπτος. *Josua Barnes.*

V. 307. Λέχη τ' ἔρημ' ἂν οὐκ ἂν ἐξελείπετο) De similibus Vid. *Hecub.* v. 359. & v. 1200.

ARGUMENTUM Actûs Secundi.

Menelaus, comprehenso Molosso & unà Matre Andromachâ adducto, necem Puerulo minatur, nisi Illa Fano Thetidis exeat; filium suâ morte redemptura. Andromache eleganti & gravi oratione, à suâ cæde & filii deterrere tyrannum conatur. Tandem, cum nihil valeret, se in manus illi tradit, ut ità saltem filium servaret: Menelaus, quâ erat inhumanitate, non Matrem tantùm sed & Infantem jam parat interficere; Andromache itaque, cùm nullum jam precibus locum restare videret, perfidiam illi & ignaviam objicit, liberrimèque justo Dolori indulgens convitia jacit. Chorus Discordiam & Inconstantiam Bigamorum execratur; adhibitis ad eam pulchris Parabolis; additisque præceptis quibusdam de re Uxoriâ: Mater & Filius ad necem ducuntur, nequicquam opem & misericordiam implorantes.

ΜΕΝΕΛΑΟΣ, ΑΝΔΡΟΜΑΧΗ, ΜΟΛΟΤΤΟΣ, ΧΟΡΟΣ.

Με. ἭΚΩ λαβὼν σὸν παῖδ᾽, ὃν εἰς ἄλλους δόμους
Λάθρα θυγατρὸς τῆς ἐμῆς ὑπεξέθου.
Σὺ μὲν γὰρ ηὔχεις, θεᾶς βρέτας σώσειν τόδε,
Τοῦτόν τε, καὶ κρύψαντες· ἀλλ᾽ ἐφηυρέθης
Ἧσσον φρονοῦσα τοῦδε Μενέλεω, γύναι.
Κεἰ μὴ τόδ᾽ ἐκλιποῦσ᾽ ἐρημώσεις πέδον,
Ὅδ᾽ ἀντὶ τοῦ σοῦ σώματος σφαγήσεται.
Ταῦτ᾽ οὖν λογίζου, πότερα κατθανεῖν θέλεις·
Ἢ τόνδ᾽ ὀλέσθαι σῆς ἁμαρτίας ὕπερ,
Ἣν εἰς ἔμ᾽, εἴς τε παῖδ᾽ ἐμὴν ἁμαρτάνεις;
Αν. Ὦ δόξα, δόξα, μυρίοισι δὴ βροτῶν
" Οὐδὲν γεγῶσι βίοτον ὤγκωσας μέγαν.
" Εὔκλεια δ᾽ οἷς μὲν ἔστ᾽ ἀληθείας ὕπο,
" Εὐδαιμονίζω· *τοὺς δ᾽ ὑπὸ ψευδῶν, ἔχειν
" Οὐκ ἀξιώσω, πλὴν τύχῃ φρονεῖν δοκεῖν.
Σὺ δὴ στρατηγῶν λογάσιν Ἑλλήνων ποτὲ,
Τροίαν ἀφείλου Πρίαμον, ὧδε φαῦλος ὤν,
Ὅστις θυγατρὸς, ἀντὶ παιδὸς, ἐκ λόγων
Τοσόνδ᾽ ἔπνευσας, καὶ γυναικὶ δυστυχεῖ
Δούλῃ κατέστης εἰς ἀγῶν᾽· οὐκ ἀξιῶ
Οὔτ᾽ οὖν σε Τροίας, οὔτε σοῦ Τροίαν ἔτι.
" Ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὖ φρονεῖν,
" Λαμπροί· τὰ δ᾽ ἔνδον, πᾶσιν ἀνθρώποις ἴσοι,
" Πλὴν εἴ τι πλούτῳ· τοῦτο δ᾽ ἰσχύει μέγα.
Μενέλαε, φέρε δὴ διαπεράνωμεν λόγους.
Τέθνηκα τῇ σῇ θυγατρὶ, καί μ᾽ ἀπώλεσε.
Μιαιφόνον μὲν οὐκ ἔτ᾽ ἂν φύγοι μύσος.
Ἐν τοῖς δὲ πολλοῖς καὶ σὺ τόνδ᾽ ἀγωνιεῖ
Φόνον· τὸ συνδρῶν γάρ σ᾽ ἀναγκάσει χρέος.
Ἢν δ᾽ οὖν ἐγὼ μὲν μὴ θανεῖν ὑπεκδράμω,
Τὸν παῖδά μου κτενεῖτε; κᾆτα πῶς πατὴρ,
Τέκνου θανόντος, ῥᾳδίως ἀνέξεται;
Οὐχ ὧδ᾽ ἄνανδρον αὐτὸν ἡ Τροία καλεῖ.
Ἀλλ᾽ εἶσιν οἷ χρή. Πηλέως γὰρ ἄξια,
Πατρός τ᾽ Ἀχιλλέως ἔργα δρῶν φανήσεται.
Ὤσει δὲ σὴν παῖδ᾽ ἐκ δόμων· σὺ δ᾽ ἐκδιδοὺς
Ἄλλῳ, τί λέξεις; πότερον, ὡς κακὸν πόσιν
Φεύγει τὸ ταύτης σῶφρον; ἀλλὰ ψεύσεται.
Γαμεῖ δὲ τίς νιν; ἢ σφ᾽ ἄνανδρον ἐν δόμοις

* Scaliger τοῖς.

Me. Venio afferens tuum filiū, quem in alium domum
Clam meâ filiâ expofuisti,
Tu enim jactabas, hoc Deæ simulacrum servaturum
Et hunc, & nos qui occultaverunt, i.e. te: sed inventa es
Mulier minùs sapere illo Menelao i.e. me:
Et nisi relinquens deseras hoc solum,
Ille interficietur pro tuo corpore.
Hoc ergo cogita, utrum mori velis,
An hunc perire pro tuo peccato,
Quod peccas contra me & meam filiam.
And. O opinio, opinio, fecisti jam mortalibus
" Qui nihil erant, vitā tumido fastûs strepitu vehementèr extulisti.
" Quibus v. nominis honesti decus est à veritate, i.e. verè partum, eos
" Beatos duco: sed illos qui falso titulo id comparant, id habere
Nequaquam dignabor, nisi quod ob fortunā insolescere videantur.
Tu enim quondam cum lectissimis Græcorum imperatoribus
Trojam abstulisti à Priamo, adeò ignavus existens
Qui filiæ juvenculæ ex verbis contra Puerum
Tantum ferociæ spirâsti, & cum miserâ muliere
Servâ venisti in certamen. Non igitur judico dignum
Neque te Trojâ, neque Trojam te amplius.
" Qui videntur rectè sentire & sapere, extrinsecùs sunt
" Splendidi: intus verò omnibus hominibus similes,
" Nisi si quid opibus præstiterint. Hoc enim multum potest.
Menelae, age jam absolvamus sermones.
Sim interfecta à tuā filiā, & me perdiderit:
Non poterit ampliùs effugere cruentum cædis piaculum.
Apud multos verò, i.e. apud populum, & tu periclitaberis ob hanc
Cædē: opera enī tua cædem hanc adjuvans te in judicio periclitari coget.
Sin ego effugero ne moriar,
An filium meum occideritis? at quomodo pater,
Filio mortuo, hoc æquo animo feret?
Non adeò ignavum eum Troja vocat.
Sed vadit quò oportet. Pelei enim digna
Et Achille patre videbitur facere.
Expellet autem tuam filiam ex ædibus: & tu nuptui dans
Alteri, quid dices? utrum quòd malum virum
Fugiat hujus modestia? sed falsum hoc erit.
Quis verò ducet eam? an ipsam sine viro domi

Ἧκω λαβὼν) τὸν Μολοττὸν ἀγηοχὼς ταῦτα λέγει. Βρέτας) ἄγαλμα, ξόανον. Ὦ δόξα, δόξα) ὦ φήμη, ὦ ὑπόνοια, ὦ δόκησις. δόξαν γὰρ νῦν τὴν ὑπόνοιαν φησί, μείζον ἡ ὑπόνοια πολλοῖς τῶν ἀνθρώπων ὄγκον ἐπέθηκε, καὶ μείζον, ἢ ὅσον ὑπολαμβάνουσι, φαντάζει ἀεὶ αὐτῶν οὐδὲν ὑπαρχόντων. Εὔκλεια δ᾽ οἷς) καλὴ ἡ δόξα μετ᾽ ἀληθείας, τοὺς μὲν δικαίως μακαρίζοντας· τοὺς δὲ ψευδῆ ἔχοντας ὑπόνοιαν, οὐκ ἀξιῶ εὐδαίμονας καλεῖσθαι, εἰ μὴ τύχῃς τινὸς χαριτώσης. ὁ μὲν γὰρ ἀληθὴς εὔκλεια, καὶ ἐκ πόνων καὶ ἀρετῆς φαίνεται. ἡ δὲ ψευδὴς, [illegible] τύχης. Εὐδαιμονίζω) μακαρίζω. αὐτὸ τοῦ ἀξίως κεῖται μακαρίζεσθαι, καὶ θαυμάζεσθαι. Τροίαν ἀφείλου) ἀντὶ τοῦ Ἀπικόν. Ὅστις θυγατρὸς) μὴ προσποιούμενος τὴν ἡλικίαν. κατηγορεῖ δὲ αὐτόν, ὅτι ὑπὲρ παιδὸς ἀντὶ θυγατρὸς ἀδίκως μονομαχεῖ. Τοσόνδ᾽ ἔπνευσας) τοσοῦτον ἐπῆρθης, ἐθρασύνθης, ἐθυμώθης. Οὔτ᾽ οὖν σε) οὔτε σοῦ τὴν Τροίαν ἀξίαν νομίζω, οὔτε σε τῆς Τροίας. καὶ ἄλλως, οὔτε ἡ Τροία σου ἄξιος, οὔτε σὺ αὐτῆς. τῇ τε γὰρ Τροίᾳ ἄδοξον, ὅτι ὑπὸ σοῦ ἀπώλετο, σύ τε οὐκ ἄξιος εἰ τὴν Τροίαν ἀπολέσαι, ὡς εἴ τις ἐκ τοῦ ἐναντίου λέγοι, τῷ Ἀχιλλεῖ ἔνδοξον ἦν τὸν Ἕκτορα ἀποκτεῖναι, καὶ τὸν Ἕκτορα ὑπὸ Ἀχιλλέως ἀναιρεθῆναι. ὡς εἴ τις λέγοι, ἔπρεπε τῷ Ἡρακλεῖ τὴν Ἴλιον πορθῆσαι, καὶ τὸ Ἴλιον ὑπὸ τοῦ Ἡρακλέους ἁλῶναι. Ἔξωθεν εἰσὶν) ὑπὸ τῶν θεωρούντων δοκοῦσι, κατὰ γὰρ τὴν φύσιν καὶ τὴν ψυχὴν ὅμοιοί εἰσι τοῖς ἄλλοις. καὶ νῦν ὁ Μενέλαος δοκῶν εἶναι φρόνιμος διὰ τὴν τῆς ἀρχῆς ὑπεροχὴν, ἐλέγχεται ὡς ἄφρων. τοὺς γὰρ φρονίμους ἀστείους ἐκάλουν οἱ παλαιοί. Μύσος) τὸ μίασμα τοῦ φόνου ἀδύνατον αὐτὴν ἐκφυγεῖν. ἐμιάνθη γὰρ ὡς παίσασα. δίκας δὲ καὶ σὺ τοῦτο παρὰ πολλοῖς τοῦ φόνου ἀγωνιεῖσθαι. ἡ γὰρ χρεία τοῦ συνδρᾶσαι τῇ θυγατρὶ ἀναγκάσει σε μὴ ἐκφυγεῖν τὸ μύσος. 346. Ἀλλὰ ψεύσεται) τὸ σὸν ῥῆμα, καὶ ὡς ψευδῆ σε νομίσει ὁ ἀκούων, καὶ οὐ πεισθήσεται. Γαμεῖ δέ τίς νιν) τίς ἐθελήσει γυναῖκα λαβεῖν διὰ ζηλοτυπίαν ἀπερριμμένην, ἀγαπᾷ γὰρ γυναικὸς μὴ [illegible] ἀνδρὶ ἔχοντα [illegible] ἄλλην κοινωνίαν. τοιαύτην γὰρ [illegible] πολλαὶ γυναῖκες [illegible] δὲ ἡ ζηλοτυπία τοιοῦτον.

ANNOTATIONES.

V. 323. ὧδε) ita rectè habet *Aldina* Editio, quo admisso non opus est, ut τοῖς δ᾽ pro τοὺς δ᾽ *Scaliger* legat.

V. 329. Τροίαν ἀφείλου Πρίαμον) Vid. *Schol.* hic & ad Hecub. v. 570. Item Indicem ad *Scholiast.* in κρύπτω & τινά.

V. 326. Θυγατρὸς ἀντὶ παιδὸς) Animus erat ἀντίπαιδος legere imprimis *Scholiaste*, tum *Canteri*, & *Scaligeri* authoritate. Sed & vetus Lectio commode erit. Vid. nostram Versionem. *J. Barnes.*

V. 336. Ἀγωνιεῖ) Futur. Med. ab ἀγωνίζομαι, ἀγωνίσομαι Dor. ἀγωνιοῦμαι.

V. 347. Σφ᾽) pro σφε, quod αὐτὴν hic denotat, ut alibi αὐτὸν, Vid. Indicem in *Schol.* titulo Σφ.

Χήραν

Χήραν καθέξεις πολιόν; ὦ τλῆμον ἀνὴρ,
Κακῶν τοσούτων οὐχ ὁρᾷς ἐπιῤῥοάς;
Πόσας δ' ἂν εὐνὰς θυγατέρ' ἠδικημένην
Βούλοι' ἂν εὑρεῖν, ἢ παθεῖν ἃ 'γὼ λέγω;
" Οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακὰ,
" Οὐδ', εἰ γυναῖκες ἐσμὲν ἀτηρὸν κακὸν,
" Ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.
Ἡμεῖς γὰρ εἰ σὴν παῖδα φαρμακεύομεν,
Καὶ νηδὺν ἐξαμβλοῦμεν, ὡς αὐτὴ λέγει,
Ἑκόντες, οὐκ ἄκοντες, οὐδὲ βώμιοι
Πίτνοντες, αὐτοὶ τὴν δίκην ὑφέξομεν
Ἐν σοῖσι γαμβροῖς, οἷσιν οὐκ ἐλάσσονα
Βλάβην ὀφείλω, προστιθεῖσ' ἀπαιδίαν.
Ἡμεῖς μὲν οὖν τοιοίδε· τῆς δὲ σῆς φρενὸς,
Ἕν σου δέδοικα· διὰ γυναικείαν ἔριν,
Καὶ τὴν τάλαιναν ὤλεσας Φρυγῶν πόλιν.
Χο. Ἄγαν γ' ἔλεξας, ὡς γυνὴ πρὸς ἄρσενας·
Καί σου τὸ σῶφρον ἐξετόξευσεν φρενός.
Με. Γύναι, τάδ' ἐστὶ σμικρὰ, καὶ μοναρχίας
Οὐκ ἄξι', ὡς φῄς, τῆς ἐμῆς, οὐδ' Ἑλλάδος.
" Εὖ δ' ἴσθ', ὅτου τις τυγχάνει χρείαν ἔχων,
" Τοῦτ' ἔσθ' ἑκάστῳ μεῖζον, ἢ Τροίαν ἑλεῖν.
Κἀγὼ θυγατρὶ, μεγάλα γὰρ κρίνω τάδε,
Λέχους στέρεσθαι, σύμμαχος καθίσταμαι.
" Τὰ μὲν γὰρ ἄλλα, δεύτερ' ἂν πάσχοι γυνή·
" Ἀνδρὸς δ' ἁμαρτάνουσ', ἁμαρτάνει βίου.
Δούλων δ' ἐκεῖνον τῶν ἐμῶν ἄρχειν χρεὼν,
Καὶ τῶν ἐκείνου τοὺς ἐμοὺς, ἡμᾶς τε πρός.
" Φίλων γὰρ οὐδὲν ἴδιον, οἵτινες φίλοι
" Ὀρθῶς πεφύκασ', ἀλλὰ κοινὰ χρήματα.
Μένων δὲ τοὺς ἀπόντας, εἰ μὴ θήσομαι
Τἄμ' ὡς ἄριστα, φαῦλός εἰμι, κοὐ σοφός.
Ἀλλ' ἐξανίστω τῶνδ' ἀνακτόρων θεᾶς·
Ὡς ἢν θάνῃς σὺ, παῖς ὅδ' ἐκφεύγει μόρον.
Σοῦ δ' οὐ θελούσης κατθανεῖν, τόνδε κτενῶ.
Δυοῖν δ' ἀνάγκη θατέρῳ λιπεῖν βίον.
Αν. Οἴμοι, πικρὰν κλήρωσιν, αἵρεσίν τέ μοι
Βίου καθίστης· καὶ λαχοῦσά γ' ἀθλία,
Καὶ μὴ λαχοῦσα, δυστυχὴς καθίσταμαι.
Ὦ μεγάλα πράσσων αἰτίας μικρᾶς πέρι,

Tenebis viduam canam? ô miſer vir,
Non vides affluxus tantorum malorum?
Quot verò Concubinis filiam tuam moleſtatam
Malles invenire, quàm pati quæ ego dico?
" Non oportet ob parvas leviſque res, magna ſibi parare mala,
" Neque ſi nos mulieres ſumus noxeum malum,
" Viros fieri ſimiles mulieribus naturâ.
Nos enim ſi veneficiis lædimus tuam filiam,
Et ventrem ejus abortire facimus, ut ipſa dicit,
Volentes, non inviti, nec ad aram quidem
Procidentes, ipſi pœnam ſuſtinebimus
Apud tuos generos, quibus non minorem
Pœnam debeo, addens orbitatem.
Nos igitur ſumus tales: ſed propter tuum animum
Unum à te metuo: nam propter contentionem ex muliere-ortam,
Et infelicem perdidiſti Phrygum urbem.
Ch. Nimis audacter ſanè es locuta, ut mulier ad viros:
Et tua modeſtia extra-mentem prorupit.
Men. Mulier, iſta ſunt parva, & imperio
Meo non digna, ut ais, neque Græciâ.
" Sed bene ſcias, quo quis opus habet,
" Hoc cuilibet pluris eſt, quàm Trojam capere.
Et ego filiæ (judico enim iſta eſſe magna)
Ne privetur connubio, ſum adjutor.
" Nam alia quidem in ſecundis malis ponens ferat mulier:
" Sed excidens viro, excidit vita.
Convenit autem illum i. e. Neoptolemum, imperare meis ſervis,
Et meos, meque præterea illius ſervos imperare decet.
" Amicorum enim nihil eſt proprium, qui amici
" Verè ſunt: ſed bona ſunt communia.
Expectans autem abſentes, i. e. Neoptolemum, ſi non conſtituam
Mea quam optimè, ignavus ſum & non ſapiens.
Sed ſurgens cede ex hoc templo deæ;
Quia ſi tu morieris, puer ille effugiet mortem;
Te verò non volente mori; hunc interficiam:
Neceſſe autem eſt ex duobus alterum relinquere vitam.
And. Heu mihi, acerbam ſortitionem & electionem mihi
Vitæ proponis: & eligens, miſera,
Et non eligens, infelix ſum.
O qui magna facinora cauſam ob parvam facis,

Βούλοι' ἂν εὑρεῖν) τί ἂν βούλοιο, ἆρα πολλοῖς ἀνδράσιν ἐκδοῦναι σὺ τὴν θυγατέρα, ἢ ὑποῖα ἀκούεις λέγειν; βέλτιον ἐστιν ἀνέχεσθαι πολλῶν γυναικῶν, ὃ δεῖ φέρειν τὸν ἄνδρα, εἰ καὶ πολλοὺς πολλάκις χρήζει, ἢ ταῦτα ὑποστῆναι ἃ ἐγὼ λέγω. Ἄλλως δὲ εἰπεῖν, μὴ ἐξομοιοῦ τῇ θυγατρί σου. ἀπαθὲς γὰρ τὸ γυναικεῖον γένος. Βώμιοι) τῷ βωμῷ καταφεύγοντες. 359. Οἷσιν οὐκ ἐλάσσονα) ἐν οἷς ἀπεχθήσομαι οὐχ ἧσσον, ἢ οἷς ὑμᾶς ἀδικήσομαι, καὶ τιμωρηθήσομαι ὑπ' ἐκείνων. Προστιθεῖσ' ἀπαιδίαν) τουτέστι κατασκευάζουσα ἀπαιδίαν. Ἕν σε δέδοικα) μὴ διὰ τὴν Ἑρμιόνην ἀπολέσῃς ἡμᾶς, ὥσπερ διὰ τὴν Ἑλένην τὴν Τροίαν. Ἄγαν) ἀπηνῶς, ὑπὲρ τὴν τύχην. Καί σου τὸ σῶφρον) καὶ τῆς φρενός σου τὸ σῶφρον ἐξέπεσε τοῦ προσήκοντος, τουτέστι παρὰ τὸ δέον τὰ χαλεπὰ λογισμὸν ἐφθέγξω. λοιδορήσασα μὲν ἄγαν θρασέως τὸν Μενέλαον, ἔξω τοῦ σκοποῦ ἔβαλες, καὶ παρεδράμες. τάχα ἢ κατὰ γυναῖκα ἐπαῤῥησιάσω. Τάδ' ἐστὶ σμικρὰ) τὰ κρατῆσαί σου φασὶν, οὐκ ἔστι τῆς ἐμῆς στρατηγίας ἄξιον, τοῦ αἰχμαλώτου, ἀλλ' ἐπειδὴ ὑπὲρ τῆς θυγατρός ἐστι, καὶ τοῦτο χρείαν ἔχω, μέγα νομίζω. Τοῦτ' ἔσθ' ἑκάστῳ) καλῶς ἐγνωμολόγησεν, ὅτι ἀνδρὶ ἑκάστῳ ἰδία πρᾶξις τιμιωτέρα νομίζεται τοῦ πορθῆσαι τὴν Τροίαν, ὥστε καὶ νῦν ἐμοὶ πολὺ μεῖζον φαίνεται τὸ βοηθῆσαι τῇ θυγατρί μου μᾶλλον, ἢ τὸ πορθῆσαι τὴν Τροίαν, ἀναγκαῖον τοῦτο ἡγοῦμαι, ἢ ἐκεῖνο. μὴ διὰ τοῦτο ἀ-

ναιρεῖν με ἀναξιοῦντι τῆς Τροίας, ὅτι συναγωνίζομαι τῇ θυγατρί. Κρίνω) ἡγοῦμαι, δοκιμάζω. 374. Δούλων δ' ἐκεῖνον) ἐπειδὴ ἔλεγε ἡ Ἀνδρομάχη ὅτι ἀνάμενον τὸν Νεοπτόλεμον, καὶ λέγει ὅτι ἐξουσίαν ἔχω τῶν αὐτοῦ δούλων, ὥς τε καὶ χρεία αὐτοῦ τιμωρεῖσθαι, κἀγὼ θυγατρὶ σύμμαχος καθίσταμαι. τὸ γὰρ λέχους στέρεσθαι μέγα κρίνω. 375. Τοὺς ἐμοὺς) τοὺς ἐμοὺς ἰδίους, τὴν θυγατέρα φησίν. 383. Δυοῖν δ' ἀναγκαῖον) ἀνάγκη δεῖ ἕτερον ἀποθανεῖν. 384. Κλήρωσιν) κλῆρον, ψῆφον. 386. Δυστυχὴς καθίσταμαι) κἂν τε γὰρ ἕλωμαι τὸ ἐμὲ τελευτῆσαι, δεινόν.

ANNOTATIONES.

V. 348. Πολιόν;) *Atticè* Maſculinum pro Fœminino. Quum verò hoc χῆμα paulò frequentiùs occurrat, accuratiùs hîc loci diſtinguendum ex Sophocl. Scholiaſt. ad *Electr.* v. 314. Θυραῖον ... [illegible] *Joſua Barnes.*

V. 350. Πόσας δ' ἂν εὐνὰς—βούλοι' ἂν) De Geminato ἂν Vid. ſuprà v. 307. Βούλομαι, προαιροῦμαι, μᾶλλον θέλω. *Homer.* Iliad. α'. v. 117. Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. *Idem.*

V. 361. Ἡμεῖς μὲν οὖν τοιοίδε) Hic vides de Fœminâ Plurale Maſculinum uſurpari, ſicut & ſuprà verſibus 357. & 358. Eadem *Andromache* de ſe loquens ait, ἑκόντες οὐκ ἄκοντες & πίτνοντες, quod & notavimus *Hecub.* v. 511. & *Alceſt.* 383. & 541. *Idem.*

V. 362. Ἕν σου) *Scaliger* legit Ἕν σε.

V. 365. Καί σου τὸ σῶφρον ἐξετόξευσεν φρενός) *Scaliger* legit καί σου τ' ἐξετόξευσεν &c. Eſt autem Metaphora à Sagittariis, qui, ſcopo aberrant, ... ut ſic ἐκτοξεύω pro ... vel potius ejaculata eſt; ſic *Ariſtophanes* dixit, ... *Vita exhauſta eſt*, ac velut emiſſa, ut ex Arco Sagitta.

V. 375. Φίλων) Huc refer *Eraſm.* Adag. 1. *Amicorum omnia communia.*

Πιθοῦ, τί κτείνεις μ'; ἀντὶ τοῦ; ποίαν πόλιν
Προὔδωκα; τίνα σῶν ἔκτανον παίδων ἐγώ;
Ποῖον δ' ἔπρησα δῶμ'; ἐκοιμήθην βίᾳ
Σὺν δεσπόταισι· κᾆτ' ἔμ', οὐ κεῖνον κτενεῖς,
Τὸν αἴτιον τῶνδ'· ἀλλὰ τὴν ἀρχὴν ἀφεὶς,
Πρὸς τὴν τελευτὴν ὑστέραν οὖσαν φέρῃ·
Οἴμοι κακῶν τῶνδ'· ὦ τάλαιν' ἐμὴ πατρίς·
Ὡς δεινὰ πάσχω· τί δέ με καὶ τεκεῖν ἐχρῆν;
Ἄχθος τ' ἐπ' ἄχθει τῷδε προσθέσθαι διπλοῦν;
Ἀτὰρ τί ταῦτ' ὀδύρομαι, τὰ δ' ἐν ποσὶν
Οὐκ * ἐξικμάζω, καὶ λογίζομαι κακά; * ἐξιχνίζω.
Ἥτις σφαγὰς μὲν Ἕκτορος τροχηλάτους
Κατεῖδον, οἰκτρῶς τ' Ἴλιον πυρούμενον;
[Καὶ παῖδ' ἀποβληθέντα πυργαμῶν ἄκρων]
Αὐτὴ δὲ δούλη ναῦς ἐπ' Ἀργείων ἔβην,
Κόμης ἀποσπασθεῖσ'· ἐπεὶ δ' ἀφικόμην
Φθίαν, φονεῦσι θ' Ἕκτορος νυμφεύομαι.
Τί δῆτ' ἐμοὶ ζῆν ἡδύ; πρὸς τί χρὴ βλέπειν;
Πρὸς τὰς παρούσας, ἢ παρελθούσας τύχας;
Εἷς παῖς ὅδ' ἦν μοι λοιπὸς, ὀφθαλμὸς βίου.
Τοῦτον κτενεῖν μέλλουσιν, οἷς δοκεῖ τάδε,
Οὐ δῆτα τοὐμοῦ γ' εἵνεκ' ἀθλίου βίου·
Ἐν τῷδε μὲν γὰρ ἐλπὶς, εἰ σωθήσεται,
Ἐμοὶ δ' ὄνειδος μὴ θανεῖν ὑπὲρ τέκνου.
Ἰδοὺ προλείπω βωμὸν, ἥδε χειρία,
Σφάζειν, φονεύειν, δεῖν, ἀπαρτῆσαι δέρην.
Ὦ τέκνον, ἡ τεκοῦσά σ', ὡς σὺ μὴ θάνῃς,
Στείχω πρὸς ᾅδην· ἢν δ' ὑπεκδράμῃς μόρον,
Μέμνησο μητρὸς, οἷα τλᾶσ' ἀπωλόμην,
Καὶ πατρὶ τῷ σῷ διὰ φιλημάτων ἰὼν,
Δάκρυα τε λείβων, καὶ περιπτύσσων χέρας,
Λέγ' οἷ' ἔπραξα. " Πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν
" Ψυχὴ τέκν'· ὅστις δ' αὔτ' ἄπειρος ὢν ψέγει,
" Ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ.
Χο. Ὤικτειρ' ἀκούσας. Οἰκτρὰ γὰρ τὰ δυστυχῆ
" Βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
Εἰς ξύμβασιν δὲ χρῆν σε καὶ τὴν παῖδ' ἄγειν,
Μενέλαε, καὶ τήνδ', ὡς ἀπαλλαχθῇ πόνων.
Με. Λάβεσθέ μοι τῆσδ' ἀμφελίξαντες χέρας,
Δμῶες· λόγους γὰρ οὐ φίλους ἀκούσεται.
Ἐγώ σ', ἵν' ἁγνὸν βωμὸν ἐκλίποις θεᾶς,
Προὔτεινα παιδὸς θάνατον, ᾧ σ' ὑπήγαγον,

Audi, quid me interficis? quare? quam urbem
Prodidi? quem tuorum liberorum interfeci ego?
Quam domum incendi? dormivi coacta
Cum domino & tamen me, non illum interficies,
Autorem horum: At principium omittens,
Ad finem, qui eſt poſterior, impetu ferris.
Heu mihi propter iſta mala! ô miſera mea patria,
Quam indigna patior! quid verò mihi opus erat parere?
Et addere duplex onus ad hoc onus?
Sed quid hæc deploro, quæ verò ſunt ante pedes,
Non defleo, neque perpendo mala?
Quæ necem Hectoris raptati curru
Vidi, & miſerè inflammatum Ilium?
[Filiumque dejectum à Turribus altis?]
Et ipſa ſerva in naves Argivorum aſcendi,
Crinibus abſtracta; poſteà autem veni
In Phthiam, & Conjux iis, à quibus Hector erat cæſus.
Quid igitur mihi poteſt eſſe ſuave vivere? ad quid opor. me reſpicere?
Utrum ad præſentem, an ad præteritam fortunam?
Unus ille filius erat mihi reliquus, oculus vitæ:
Hunc ſunt interfecturi, quibus iſta placent.
Non certè propter meam miſeram vitam eum cædent:
In hoc enim eſt ſpes, ſi ſervetur.
Mihi verò eſt turpe non mori pro filio.
Ecce relinquo arã, ego jam dominorũ ſũ in manibus ac poteſtate;
Ut me jugulent, cædãt, vinciant, collumq; laqueo ſuſpendant [illegible].
O fili, ego mater tua, ne tu moriaris,
Eo ad Plutonem: [illegible] verò vitâris mortem,
Memineris matris, qualia paſſa perierim,
Et ad patrem tuum vadens per oſcula, *i.e. patrem oſculans*,
Lachrymaſque ſtillans & amplectens manus,
Dicito qualia fecerim: " omnibus enim hominibus ſunt
" Liberi vita: Quiſq. v. ipſos *lib.* vituperat, nõ expertus *prolis volup.*
" Minùs quidẽ dolet: ſed *tamen* cùm ſit infelix, beatus eſt *ſuo judicio.*
Ch. Miſeratus ſũ *tuam vicẽ*, *hæc* audiẽs; miſerabiles enim *ſũt calam.*
" Mortalibus omnibus, quamvis *quis* externus *ac alienus* ſit.
Oportet igitur te & tuam filiam in reconciliationem ducere,
Menelae, & illam, ut liberetur à malis.
M. Cõprehẽd. mihi *iſtã* circũplicãtes *vinculiſq; conſtring. ejus* man.
Servi: ſermones enim non gratos audiet.
Ego tibi, ut puram aram deæ relinqueres,
Propoſui filii mortem; quâ ſubdolè te dolose induxi,

392. Ἀρχὴν ἀφεὶς) ἀλλὰ τὴν ἀρχὴν ἐάσας πρὸς τὴν ἀναίτιον φέρῃ. καὶ ἄλλως, ἀλλὰ τὴν ἀρχὴν τοῦ πράγματος ἀφεὶς πρὸς τὴν τελευτὴν φέρῃ. Πρὸς τὴν τελευτὴν ὑστέραν οὖσαν) τὸ γὰρ τέλος τῆς ἀρχῆς δεύτερον καὶ ὕστερον. Ἄχθος τ' ἐπ' ἄχθει) ἐπὶ τῷ ἄχθει τῆς δουλείας, τὸ καὶ παῖδα ἄλλον τεκεῖν. Τί δῆτ' ἐμοὶ ζῆν) τὰ κατὰ τὴν πατρίδα καὶ τὴν ἐν πολεμίοις παιδοποιΐαν, ὡς ὀδύρομαι λέγω, ἢ τὰς τέχνας τὸ δεύτερον αὐτοῖς ὄψεσι [illegible] σφαγὰς Ἕκτορος, Ἴλιον πυρπολούμενον, τὴν πορείαν τῆς αἰχμαλωσίας· τὰ δὲ παρόντα [illegible] κακὰ οὐ δακρύω καὶ ἐξετάζω. λέγει δὲ τὴν ἐπιβουλὴν Μενελάου. ἀρχὴν δὲ ποιεῖται τοῦ θρηνεῖν. Τί δῆτ' ἐμοὶ ζῆν. Τὰ ἐν ποσὶν οὐκ ἐξικμάζω) τὰ πλησίον, τὰ ἐν τοῖς ποσὶ [illegible] κακὰ οὐ δακρύω, παρὰ τὴν ἰκμάδα τὴν ἀπὸ τῶν [illegible]. βέλτιον γὰρ τὸ ἀποθανεῖν, ἢ ζῆν τοιαῦτα πεπονθυῖαν. Δοκεῖ) ἀρέσκει. Εἰ σωθήσεται) ὁ παῖς δηλονότι, φησὶν ἔτι ἐλπίδα ἔχει καὶ βασιλεύσει. [illegible] Ἀπαρτῆσαι) κρεμάσαι, πνῖξαι. Ἰδοὺ προλείπω βωμὸν) ἰδοὺ ἐγὼ ὑπεξέρχομαι καὶ ὑποχείρια γίνομαι πρὸς τὸ φονεύειν, κ.τ.λ. Ἢν δ' ὑπεκδράμῃς) ἐὰν δὲ τὰς χεῖρας ἐκφύγῃς τὰς τοῦ Μενελάου, καὶ ζήσῃς ἐκφυγὼν τὸν μόρον, καὶ περιβλέψῃς τὸν βίον. ὅ ἐστιν, ἐὰν ἀνδρωθῇς, μέμνησο τῆς μητρός. 419. Ὅστις δ' αὔτ' ἄπειρος) ὅστις δὲ τὰ τοιαῦτα [illegible] ἀπὸ τέκνων ψέγει, λέγων ὡς ἰσόψυχα τοῖς ἀνθρώποις οὐκ εἰσὶ τὰ τέκνα, ὁ τοιοῦτος κατὰ τὸ μὴ ἄτεκνος δυστυχεῖ, κατὰ δὲ τὸ ἀπηλλάχθαι τῆς τῶν παίδων φροντίδος, εὐδαιμονεῖ. 428. ᾯ σ' ὑπήγαγον) ᾧ λογισμῷ σε ἔπεισα, καὶ ἐδελέασα, καὶ ἐξηπάτησα, καὶ περιέτρεψα.

ANNOTATIONES.

V. 388. Πρὸς) *Joh. Miltonus* legit πρὸς ὃ [illegible], item [illegible] quum prius erat [illegible]; quod poſtremum etiam *Scaligero* placet & ita quidem *Aldi* editio; quare in textum recepimus.

V. 398. Οὐκ ἐξικμάζω) τὸ ι in [illegible] commune eſt ſyllaba; Vid. ad *Phœniſſ.* v. 19. Vox infrequens, ſi pro [illegible]; ineſt tamen *humor* pro δάκρυ *Lacryma*, ſatis *Poeticum*; ut *Ros* oculorum *Latinè*. *Joſua Barnes.*

V. 401. Καὶ παῖδ' ἀποβληθέντα πυργαμῶν ἄκρων) Tale quid deeſſe hic loci videbatur, neque enim probabile eſt, Mulierem infelicem ſui *Aſtyanactis* infortunii oblitam; quando cæteras ſuas calamitates enumeraret. Non tamen Sanctiſſimo Poetæ Carmen obtrudere auſi ſumus; ſed dabit veniam Lector, quòd intra Cancellos hæc luſimus; [illegible]. Sin hunc Lector non admittet; alium ſaltem capiat ipſius *Euripidis* telâ ſegmentatum, [illegible], quem ex Decimo hujus Fabulæ Verſu mutuavimus. *J. Barnes.*

V. 421. Ὤικτειρ' ἀκούσας) In hoc loco *Chorus* Mulierum Digniori genere laudatur. Et ſanè ſæpiſſimè apud *Græcos Maſculinum* ſingulare de Multitudine etiam *Fœminarum* uſurpatur, ut *Hippolyt.* v. 1105. [illegible], ubi *Chorus* Mulierum loquitur. Vide quæ Nos ad *Hippolyt.* v. 4. & ad *Alceſt.* v. 383. & 564. &c. *Joſua Barnes.*

Εἰς

Εἰς χεῖρας ἐλθεῖν τὰς ἐμὰς ἐπὶ σφαγήν.
Καὶ τἀμφὶ σοῦ μὲν ὧδ' ἔχοντ' ἐπίστασο·
Τὰ δ' ἀμφὶ παιδὸς τοῦδε, παῖς ἐμὴ κρινεῖ,
Ἤν τε κτάμειν νιν, ἤν τε μὴ κτανεῖν θέλῃ.
Ἀλλ' ἕρπ' ἐς οἴκους τούσδ', ἵν' εἰς ἐλευθέρους
Δούλη γεγῶσα, μήποθ' ὑβρίζειν μάθῃς.
Αν. Οἴμοι· δόλῳ μ' ὑπῆλθες· ἠπατήμεθα.
Με. Κήρυσσ' ἅπασιν· οὐ γὰρ ἐξαρνούμεθα.
Αν. Ἦ ταῦτ' ἐν ὑμῖν, τοῖς παρ' Εὐρώτᾳ, σοφά;
Με. Καὶ τοῖς γε Τροίᾳ, τοὺς παθόντας ἀντιδρᾷν.
Αν. Τὰ θεῖα δ' οὐ θεῖ', οὐδ' ἔχειν ἡγῇ δίκην;
Με. Ὅταν τάδ' ᾖ, τότ' * εἰσόμεσθα· σὲ δὲ κτενῶ.
Αν. Ἦ καὶ νεοσσὸν τόνδ' ὑποπτέρων σπάσας; * al. οἰσόμεσθα.
Με. Οὐ δῆτα· θυγατρὶ δ' ἣν θέλῃ, δώσω κτανεῖν.
Αν. Οἴμοι· τί δῆτά σ' οὐ καταστένω, τέκνον;
Με. Οὔκουν θρασεῖά γ', αὐτὸν ἐλπὶς ἀναμένει.
Αν. Ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι * βροτῶν,
Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια, * al. λεῴ.
Ψευδῶν ἄνακτες, μηχανορράφοι κακῶν,
Ἑλικτὰ, κοὐδὲν ὑγιὲς, ἀλλὰ πᾶν πέριξ
Φρονοῦντες, ἀδίκως εὐτυχεῖτ' ἀν' Ἑλλάδα,
Τί δ' οὐκ ἐν ὑμῖν ἐστιν; οὐ πλεῖστοι φόνοι;
Οὐκ αἰσχροκερδεῖς; * οὐ λέγοντες ἄλλα μὲν * al. ἐσ', ſed non rectè.
Γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί;
Ὄλοισθ'· ἐμοὶ δὲ θάνατος οὐχ οὕτω βαρὺς,
Ὡς σοὶ δέδοκται· κεῖνα γάρ μ' ἀπώλεσεν,
Ὅθ' ἡ τάλαινα πόλις ἀναλώθη Φρυγῶν,
Πόσις θ' ὁ κλεινὸς, ὅς σε πολλάκις δορὶ

Ut venires in meas manus ad necem.
Et tuas quidem res ſic ſe habere ſcias:
Sed de illo puero mea filia judicabit,
Utrum velit eum interficere, an non.
Sed vade in hanc domum, ut liberos
Diſcas non afficere contumeliâ, ſerva exiſtens.
And. Heu mihi, dolo me decepiſti: ſumus in fraudem inductæ.
Men. Prædica hæc omnibus: non enim negamus.
And. An ſunt hæc apud vos, qui ad Eurotam habitatis, recta?
M. Et iis qui in Tr. *hab. hoc videtur æqui*, ut inj. paſſi vicê rependant.
And. Deos verò non deos *eſſe*, nec vindictam habere putas?
Men. Quum hæc erunt, tunc videbimus: te verò *nunc* occidam.
And. An & pullum hunc implumem convellens occides?
Men. Non: ſed filiæ dabo, ſi velit, occidendum.
And. Heu mihi! quomodo igitur te deplorabo, ô fili?
Men. Annon, audacula tu, ſpes ipſum manebit? *Ut dixiſti modo.*
And. O omnibus hominibus inimiciſſimi mortalium,
Spartæ incolæ, doloſa concilia-bula.
Mendaciorum principes, fraudulenti ſutores malorum,
Tortuoſa & nihil ſani, ſed omnia ſubdolè
Circumſpicientes immeritò florentis in Græciâ.
Quid *ſceleris* non eſt in vobis: nonne plurimæ cædes?
Nonne turpis quæſtus cupidi *eſtis*? nonne alia quidem dicentes
Linguâ, alia verò ſentientes deprehendimini ſemper?
Pereatis! Mihi vero mors non adeò gravis *eſt*,
Ut tibi videtur: illa enim mala me perdiderunt;
Quando miſera urbs Phrygum eſt conſumpta,
Et meus inclytus Maritus, qui te ſæpe haſta

Τὰ θεῖα δ' οὐ θεῖα) τὰ θεῖα οὐ θεῖα ἡγῇ. ἤδη ἔχειν αὐτὰ δίκην, ὃ ἐστιν ἀναιρεῖν τὰ θεῖα καὶ τὸ παρ' αὐτῶν δίκαιον. Ὅταν τάδ' ᾖ τάδε) ὅταν ἂν δοκῇ τῷ θεῷ ᾖ ἐστι τὸ τιμωρηθῆναι καὶ ἡμᾶς εἰς αὐτὸν ἀσεβήσαντας, τότε ἐπὶ μὲν σοὶ τῇ [illegible] κακὰ, ἡ δὲ μία ἀναβολὴ τῆς ἀναιρέσεως. Οὔκουν θρασεῖά γ' αὐτὸν) θαρρεῖν ποιοῦσα, θρασεῖα ἔχουσα τῷ ζῆν. οἱ γὰρ ζῶντες θαρροῦσιν. ἄλλως. οὐ γὰρ ἀσφαλὴς αὐτὸν ὑπομένει ἐλπὶς ζωῆς. αἰτία γὰρ, ὅτι ἡ Ἑρμιόνη αὐτὸν ἀναιρήσει. Ἀλλ' ἄλλως. [illegible] τὸ ἄνω. Ἐν τοῖσδε μὲν γὰρ [illegible]. Ψευδῶν ἄνακτες) θεοκαλοῦντες ψευδεῖς λόγους τὴν ἀλήθειαν, καὶ μὴ κατ' εὐθεῖαν φρονοῦντες λέγοντες. Ἑλικτὰ, πανοῦργα, οὐχ ἁπλᾶ. ἡ μεταφορὰ ἀπὸ τῶν [illegible] γραμμάτων.

448. Πᾶν πέριξ φρονοῦντες) ἀμφελίξαντες, [illegible] ὄντες. ἀδίκως) [illegible]. Ὅς σε πολλάκις) ὅς ποτέ σε πολλάκις δορὶ τ' [illegible], ἀντὶ τοῦ σε ἐδίωκε καὶ πολεμῶν, ταύτην καλὴν ἐποίησεν διωκόμενον. ταύτην γὰρ μικρὸν πρὸς τοῦτο [illegible] ἐπὶ φεύγειν τῷ ἐν τῷ πεδίῳ μάχην εἰς τὰς ναῦς κατέφυγε. καὶ ἄλλως. εἰς τὰς ναῦς εἰλούμενος καὶ διωκόμενος. ἐκεῖνον δ' ἂν [illegible]. * Εἰλεῦντο δ' ἐφέροντο νεῶν, ἀεὶ δ' ἔχεσθεν ἔερσαι Νῆες, ὅσαι πρῶται εἰρύατο.

* *Iliad.* λ. v. 653.

ANNOTATIONES.

V. 438. Καὶ τοῖς γε Τροίᾳ) Vid. *Gul. Canteri* Novar. Lection. l. 1. c. 17. Ita quidem paulò pòſt ſemper v. 460. [illegible] Ἡμεῖς δὲ Τροίαν.

V. 440. Ὅταν τάδ' ᾖ, τότ' εἰσόμεσθα) legebatur olim οἰσόμεσθα, nullo quidem ſenſu; quare cum vidimus τὸ εἰσόμεσθα *Scaligero*, *Heinſio*, *Janique Rutgerſio* placuiſſe, ſine morâ in textum recepimus, quòd & nobis valdè arriſerit. *Joſua Barnes.*

V. 441. Ὑπόπτερον) Cum olim legebatur ὑπὸ πτερῶν *Duportus* legit ὑπόπτερον, benè, ut ego quidem puto; non enim *Moloſſus* jam erat *ſub curâ* & quaſi *alis Andromachæ*; ſed in *Menelai* poteſtate. Quare de tenerâ illius ætate dicitur, & ob figuræ concinnationem, quia νεοσσὸς vocatur, ὑπόπτερος additur: Unde & nos *Implumem* vertimus. *Hercul.* Fur. v. 71. Οἱ δ' Ἡρακλέους παῖδες, [illegible]. Aliàs tamen ὑπόπτερος uſurpatur in contrariâ ſignificatione pro πτερωτός, ut inter Fragmenta *Ino* v. 33. [illegible], in quem locum Vide Notas noſtras. *Joſua Barnes.*

V. 446. δόλια βουλευτήρια) ἀντὶ τοῦ δόλιοι βουλευταί, *Abſtractum* pro *Concreto*, ſic *Oreſt.* v. 590. [illegible] pro ἀνόσιον. Et hujus Fab. v. 1273. [illegible] pro [illegible], (ſi detur verbo venia) Vid. locum. Sic *Helen.* v. 247. [illegible] pro [illegible]. Antehæc ſcriptum erat βουλεύματα, quod Codex *Heinſio-Scaligerianus* correxit [illegible] non æquè felici-ter. *Hugo Grotius* ante δόλια præfixit ὦ, minùs rectè: *Jacobus Nicolaus Loenſis* Epiphyll. l. 9. c. 22. μηχανήματα legit nimis audacter. Quare *Canteri* lectionem præfero βουλευτήρια. Nec id conjecturâ aut hujus aut meâ tantùm, Ipſe enim *Scholiaſtes* ad *Oreſt.* v. 371. Ubi hos duo verſus citat, legit βουλευτήρια, & in ſuperiori ἔχθιστοι βροτοί. Quin & *Johannes Tzetzes* in *Lycophron* p. 171. ad hunc locum [illegible], [illegible] Nihil horum *Johan. Meurſius* in Miſcell. *Laconicis* vidit, ſed ut corrupta erant, citat omnia, l. 3. c. 2. Videtur Poeta reſpicere ad *Lacedæmoniorum* crudelitatem, [illegible] erga *Platæenſes*, quos ad unum omnes interfecerunt, poſtquam ſe ultrò dedidiſſent; de quâ re videſis *Thucydidem* l. 3. ad 5. ann. Belli *Peloponneſiaci*, Olympiad. 88. ann. 2. Hæc autem Fabula [illegible] Olymp. 90. an. 1. Vid. infrà v. 732. *Joſua Barnes.*

V. 448. Ἀλλὰ πᾶν πέριξ φρονοῦντες) Antehac ſcriptum erat πάντα πέριξ & hæc lectio nonnihil dedit mihi negotii cum apertè fuerit mendoſa, nec verſui accommoda. *Canterus* & *Hugo Grotius* legebant —πάντ' ἄπερ ἐξ, ſed quis unquam ita locutus eſt, πάντα πέριξ φρονεῖν? Nos itaque πᾶν πέριξ legimus ob has rationes, quia τὸ οὐδὲν & τὸ πᾶν melius inter ſe opponuntur; & *Scholiaſtes* exponit —[illegible] καὶ μὴ κατ' εὐθεῖαν φρονοῦντες, & πέριξ φρονεῖν idem ſonat, quod [illegible], *i. e. Circumſpicio*, ut *Ariſtoph.* [illegible]. Et Docti Viri non pauci ita legunt, inter quos *Duportus*, *Scaliger* & *If. Caſaubonus* ad *Athen.* l. 1. c. 4. quin & *Plutarchus*. Vid. *Th. Gatakeri* Adverſaria Miſcellanea c. 10 p. 110. Πᾶν πέριξ φρονοῦντες in *Scholiis* Nos nunc addidimus, quia ante τὸ ἀμφελίξαντες tale quid deeſſe deprehendi. Confirmatur & hæc Lectio à conſimili Locutionis formulâ, quâ uſum in *Antiopâ Euripidem* teſtatur *Longinus*, περὶ Ὕψους c. 35.—Εἰ δέ που Τύχοι πέριξ ἑλίξας, εἷλχ' ὁμοῦ λαβὼν Γυναῖκα, πέτραν, δρῦν, μεταλλάσσων ἀεί. Vide inter *Fragmenta Addenda*. *Joſua Barnes.*

V. 451. Οὐκ αἰσχροκερδεῖς) Non hoc erat *Euripidis* in *Lacedæmonios* mendax improperium; Ut enim [illegible] & alii Authores [illegible], (quod infra obſervamus ad v. 595.) Ita quidem *Avaritiam* & Αἰσχροκέρδειαν alii quoque *Lacedæmoniis* exprobrârunt haud pauci. Ita *Ariſtophanes* in Pace, [illegible]. Οἱ δ' αὖ [illegible] αἰσχροκερδεῖς, καὶ διειρωνόξενοι &c. Ita *Iſocrates* in *Buſiridis* Encomio, Εἰ μὲν γὰρ ἅπαντες μιμοίμεθα τὴν Λακεδαιμονίων ἀργίαν καὶ πλεονεξίαν, [illegible]. Et iis ſanè *Oraculum* monitum dedit, Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν. Ideo *Lycophron* [illegible] dixit, *i. e.* ψεύστας καὶ δολίους. Vide ſupra ad v. 446. & *Joh. Meurſii* Miſcell. *Lacon.* l. 3. c. 2.

V. 453. Ὄλοισθ') Execratur eos, qui aliud loquuntur, aliud in animo clauſum gerunt. Ita *Homerus* Iliad. *l.* v. 312.

Ἐχθρὸς γάρ μοι κεῖνος, ὁμῶς ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ βάζει.

& *Salluſtius* —Ambitio multos Mortales falſos fieri ſubegit; aliud clauſum in pectore, aliud linguâ promptum habere: Amicitias, inimicitiáſque non ex re, ſed ex Commodo æſtimare; magiſque Vultum, quam ingenium bonum habere. Vid. *Jacobi Nicolai Loenſis* Miſcell. Epiphyll. l. 6. c. 19. *Joſua Barnes.*

Ναῦτας

Ναύτην ἔθηκας ἀντὶ χερσαίου κακόν.
Νῦν δ' εἰς γυναῖκα γοργὸς ὁπλίτης φανεὶς,
Κτείνεις μ'· * ἀπόκτειν'· * ὡς ἀθώπευτόν γέ σοι
Γλώσσης ἀφήσω τῆς ἐμῆς, καὶ παῖδα σήν.
Ἐπεὶ σὺ μὲν πέφυκας ἐν Σπάρτῃ μέγας,
Ἡμεῖς δὲ Τροίᾳ γ'. “ Εἰ δ' ἐγὼ πράσσω κακῶς,
“ Μηδὲν τόδ' αὔχει, καὶ σὺ γὰρ πράξειας ἄν.

Fecit malum nautam pro milite terreſtri.
Nunc verò contra uxorem ejus apparens terribilis miles,
Interficis me: interfice, quia non delinitum te ſaltem
Et tuam filiam mea lingua dimittam:
Quoniam tu quidem es magnus in Spartâ,
Nos verò in Trojâ. “ Si verò ego jam ſum in adversâ fortunâ;
“ Nè propterea gloriare, quia & tu potes in eam incidere.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Οὐδέ ποτ' ἂν δίδυμα
“ 2 Λέκτρ' ἐπαινέσω βροτῶν,
“ 3 Οὐδ' ἀμφιμάτορας κόρους,
“ 4 Ἔριν τῶν οἴκων,
“ 5 Δυσμενεῖς τε λύπας.
“ 6 Τὴν μίαν μοι στεργέτω πόσις γάμοις
“ 7 Ἀκοινώνητον εὐνὰν ἀνδρός.

Ἀντιστροφὴ α'.

“ 1 Οὐδὲ γὰρ ἐν πόλεσι
“ 2 Δίπτυχοι τυραννίδες
“ 3 Μιᾶς ἀμείνονες φέρειν,
“ 4 Ἄχθος δ' ἐπ' ἄχθει,
“ 5 Καὶ στάσις πολίταις.
“ 6 Τεκτόνοιν θ' ὕμνοιν ἐργάταιν δυοῖν
“ 7 Ἔριν μοῦσαι φιλοῦσι κραίνειν.

Στροφὴ β'.

1 Πνοαὶ δ' ὅταν φέρωσι ναυτίλους θοαὶ,
2 Κατὰ πηδαλίων
3 Διδύμα πραπίδων γνώμα,
“ 4 Σοφῶν τε πλῆθος ἀθρόον, * ἀσθενέστερον
“ 5 Φαυλοτέρας φρενὸς αὐτοκρατοῦς. * Monarchia laus.
“ 6 Ἑνὸς ἁ * δύναμις ἀνά τε μέλαθρα, * al. ἄνυσις.
“ 7 Κατά τε πόλιας,
8 Ὁπόταν εὑρεῖν θέλωσι καιρόν.

Ἀντιστροφὴ β'.

1 Ἔδειξεν ἡ Λάκαινα τοῦ στρατηλάτου,
2 Μενέλεω * διὰ γὰρ * — * Vid. ſimilem Phraſin Electr. v. 1182.
3 Πυρὸς ἦλθ' ἑτέρῳ λέχει,
4 Κτείνει δὲ τὴν τάλαιναν Ἰλιάδα κόραν,
5 Παῖδά τε, δύσφρονος ἔριδος ὕπερ.
6 Ἄθεός γ', * ἄνομος, ἄχαρις ὁ φθόνος. * Invidiæ egregius Character.
7 Ἔτι σοι, πότνια,
8 Μεταίζηπτα τῶνδ' ἔπεισιν ἔργων.

Ἀνάπαιστοι.

Καὶ μὴν εἰσορῶ τόδε σύγκρατον

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 Nunquam geminos
2 Lectos laudabo mortalium,
“ 3 Neque liberos, qui habent diverſas matres,
“ 4 Litem ædium
“ 5 Et triſtes dolores.
“ 6 Maritus in nuptiis mihi ſit contentus uno
“ 7 Lecto viri non communicato cum ullis aliis.

Antiſtrophe 1.

“ 1 Neque enim in urbibus
“ 2 Duo imperia
“ 3 Facilius poſſunt ferri quam unum.
“ 4 Eſt enim onus ſupra onus,
“ 5 Et ſeditio civibus.
“ 6 Inter fabros etiam duos, hymnorum artifices,
“ 7 Litem Muſæ ſolent excitare.

Strophe 2.

1 Et quando celeres flatus ferunt nautas,
2 De gubernaculis, periculosũ eſt
3 Duplex conſilium pectorum,
“ 4 Magnaque multitudo ſapientiorum, infirmior eſt,
“ 5 Quam una mens minus ſapiens, quæ ſola rerũ poteſtatẽ ſola hab.
“ 6 Unius tantùm poteſtas eſto inque privatis ædibus,
“ 7 Et in urbibus
8 Quum homines vel bene gerendæ occaſionem nanciſci volũt.

Antiſtrophe 2.

1 Demonſtrat hoc Lacæna Ducis
2 Menelai filia: Namque per
3 Ignem i. e. cùm maximo vitæ periculo, venit in alterum lectum,
4 Et interficit miſeram puellam Iliacam
5 Et puerum, propter ſtultam diſcordiam,
6 Invidia eſt impia, injuſta, ingrata!
7 Adhuc tibi, ô veneranda, Hermione,
8 Adveniet pœnitentia horum factorum.

Atqui video hoc conjunctum

Ἀμφιμάτορας) τοὺς ἐκ διαφόρων μητέρων, ἐξ ἑνὸς δὲ πατρός. ἐπαινέσω δὲ τούτους ἐπαινέσω τοὺς κόρους, λέγει δὲ τὰς ἔριδας τῶν οἴκων. Μίαν μοι στεργέτω) καὶ αὐτὸς μίαν μοι στεργέτω πόσις εὐνὴν ἐμὴν, καὶ αὐτὴν ἀκοινώνητον ἄλλου ἀνδρός. ἀντὶ τοῦ ἄμικτον. ἀκοινώνητον, ἀντὶ τοῦ σώφρονα. καὶ μὴ ἀποκοινωνοῦσαν ἑτέρῳ ἀνδρὶ, ἢ τῷ γαμετῷ μόνῳ νομίμως. 471. Οὐδὲ γὰρ ἐν πόλει) πρὸς τὸ Ὁμηρικὸν -- Οὐκ ἀγαθὸν Πολυκοιρανίη, ἡ διπλῆ τυραννὶς δηλονότι. ἐκ γὰρ δύο τυράννων, κακὸν ἐπὶ κακῷ γίνεται, καὶ παρακολουθεῖ. 473. Φέρειν) πρὸς τὸ φέρειν οὐκ εἰσὶ βελτίονες αἱ διπλαῖ τυραννίαι τῆς μιᾶς. καὶ δύο ἐργάται τέκτονες ὕμνων (δηλονότι ποιηταὶ) ζηλοῦσιν ἀλλήλους. 478. Πνοαὶ δ' ὅταν ἄπτον) δύο κυβερνητῶν ἢ πλειόνων αὐτῇ νηὶ, τινὲς στάζουσιν εἰς τὸ κατὰ πηδαλίων, φάσκοντες λείπειν τῷ λόγῳ τὸ ἐπιβλαβεῖς εἰσί. Πνοαὶ δ' ὅταν) καὶ δύο κυβερνῶνται ἐν μιᾷ νηὶ διχοστατοῦντες, κατὰ τῶν πηδαλίων γίνονται. καὶ οὐχ ὑπὸ τῶν πηδαλίων. Σοφῶν τε πλῆθος) τὸ πλῆθος κἂν ᾖ σοφὸν, ἀβουλότερον ἐστὶ τῆς αὐτοδεσπότου μιᾶς φρενὸς ὁ δὲ νοῦς, ἐὰν φησὶ καὶ φαῦλος ᾖ αὐτοκράτωρ σύμβουλος, κρεῖσσον διοικήσει τὰ πράγματα, εἰ μόνος εἴη, ἢ οἱ ἐὰν πολλοὶ ὦσιν, ἔμπειροι καὶ σοφώτεροι. στασιάζουσι γάρ. βούλεται δὲ εἰπεῖν, ὅτι ἐν παντὶ πράγματι κρεῖσσον ἐστὶν ὑποτάσσεσθαι ἑνὶ ἢ πολλοῖς. Ἑνὸς ἁ δύναμις) λείπει ἰσχυρὰ ἐστίν. ἀπὸ ἑνικοῦ μετῆλθεν εἰς τὸ πληθυντικόν. ἀντὶ τοῦ, ὅτι ἐπιτυχίας καὶ εὐκαιρίας λαβεῖν θέλουσιν. Τοῦτο δὲ καὶ παρὰ τὸ Ὁμηρικὸν -- Εἷς Κοίρανος ἔστω, εἷς βασιλεύς. 492. Ἔτι σοι) πρὸς τὴν Ἑρμιόνην. ἔτι ἴσθι, ὅτι μετανοήσεις, ἐὰν πράξῃς. διὸ βέλτιόν σοι μηδὲν πονηρὸν ἐργάσασθαι, ἀλλὰ μᾶλλον φιλανθρώπως διατεθῆναι. Μεταίζηπτα) μεταβολὴ, μετάνοια ἔτι σε, ὦ δέσποινα, ἐγχωρεῖ κατιπεῖν.

ANNOTATIONES.

V. 464. Οὐδέ ποτ' ἂν δίδυμα) Hunc locum uſque ad v. 485. Latinâ togâ donatum habes ab Hugone Grotio de Jure Belli & Pacis l. 2. c. 5. §. ix. 3. in Notis.

V. 476. Τεκτόνοιν θ' ὕμνοιν ἐργάταιν δυοῖν) Hugo Grotius ait, quid ſi —ὕμνων τ' ἐν ἐργάταιν? Quem non hic laudo. Acutè verò Portus legit —ὕμνων συνεργάταιν, mallem ὕμνοιν: Sed poteſt Dativus caſus & ſæpè ſolet, pro Genitivo, poni; ut Pindar. Ἀρχὰ δ' ἐδέξατο παλαιμαχία κείνων θύγατρα, pro Κρέοντος θύγατρα. Vide quæ Nos ad Iphig. Aul. v. 613. Quod ad ſenſum verò hujus loci attinet: huc refer illud Heſiodi

Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων,
Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ. J. Barnes.

Ζῆλος

Ζεῦγος πρὸ δόμων
Ψήφῳ θανάτου κατακεκριμένον.
Δύστανε γύναι, τλᾶμον δὲ σὺ, παῖ,
Μητρὸς λεχέων ὃς ὑπερθνήσκεις,
Οὐδὲν μετέχων,
Οὐδ' αἴτιος ὢν βασιλεῦσιν.

ΠΕΡΙΚΟΜΜΑΤΑ.

Στροφὴ ά.

Αν. 1 Ἅδ' ἐγὼ χέρας αἱματη-
2 ρὰς βρόχοισι κεκλῃμένα
3 Πέμπομαι κατὰ γαίας.
Μο. 4 Μᾶτερ, μᾶτερ· ἐγὼ δὲ σᾷ
5 Πτέρυγι συγκαταβαίνω,
6 Καὶ θῦμα δάϊον.
7 Ὦ χθονὸς Φθίας κράντορες,
8 Ὦ πάτερ, ὦ μόλε
9 Φίλοις ἐπίκουρος.

Σύστημα ά.

Αν. 1 Κείσῃ δὴ ἤδη τέκνον, ὦ φίλος,
2 Μαστοῖς ματρὸς ἀμφὶ σοῖς,
3 Νεκρὸς ὑπὸ χθονὶ, σὺν νεκρῷ τε.

Στροφὴ β'.

Μο. 1 Ὤ μοι, μοι, τί πάθω;
2 Τάλας δῆτ' ἐγὼ, σύ τε, μᾶτερ.

Σύστημα β'.

Με. 1 Ἴθ' ὑποχθόνιοι·
2 Καὶ γὰρ ἀπ' ἐχθρῶν ἥκετε πύργων.
3 Δύο δ' ἐκ δισσαῖν θνήσκετ' ἀνάγκαιν.
4 Σὲ μὲν ἡμετέρα ψῆφος ἀναιρεῖ,
5 Παῖδα δ' ἐμὴ παῖς τόνδ' Ἑρμιόνη.
" 6 Καὶ γὰρ ἄνοια μεγάλη, λείπειν
" 7 Ἐχθροὺς ἐχθρῶν, * ἐξὸν κτείνειν,
" 8 Καὶ φόβον οἴκων ἀφελέσθαι.

Ἀντιστροφὴ ά.

Αν. 1 Ὦ πόσι, πόσι, εἴθε σὰν
2 Χεῖρα καὶ δόρυ σύμμαχον
3 Κτησαίμαν, Πριάμου παῖ.
Μο. 4 Δύστηνος, τί δ' ἐγὼ μόρου
5 Παράτροπον μέλος εὕρω;
Αν. 6 Λίσσου δὲ γούνασι
7 Δεσπότου χρίμπτων, ὦ τέκνον.
Μο. 8 Ὦ φίλος, ὦ φίλος,
9 Ἄνες θάνατόν μοι.

Ἀντισύστημα ά.

Αν. 1 Λείβομαι, δακρύοισιν κόρας
2 Στάζω, λισσάδος ὡς πέτρας
3 Λιβὰς ἀνήλιος, ἁ τάλαινα.

Par ante domum
Sententiâ capitali condemnatum.
O misera mulier, & tu infelix puer,
Qui moreris propter thalamum matris,
Nullo modo *culpæ* particeps,
Neque *ullius mali* autor existens Dominis.

PERICOMMATA.

Strophe 1.

An. 1 Ecce ego manus cruen-
2 tas laqueis colligata
3 Mittor sub terras.
Mo. 4 Mater, mater, ego verò sub tuâ
5 Alâ simul descendo,
6 Et *sum* victima peritura.
7 O terræ Phthiæ principes,
8 O pater, ô veni
9 Auxiliator amicis.

Systema 1.

An. 1 Jacebis jam, ô fili, ô chare fili,
2 Circa ubera tuæ matris,
3 Mortuus sub terrâ & cum mortuâ *matre*.

Strophe 2.

Mo. 1 Hei mihi, mihi, quid patiar?
2 Miser igitur ego *sum*, tuque, mater.

Systema 2.

Me. 1 Ite sub terram:
2 Etenim ab hostilibus venitis turribus.
3 Duo verò moriemini ob duas necessitates, *i.e. necess. caus.*
4 Te enim noster calculus interficit,
5 Puerum verò istum mea filia Hermione.
6 " Etenim *est* stultitia magna relinquere
7 " Hostes hostium, cum liceat *eos* occidere,
8 " Et auferre à domo terrorem.

Antistrophe 1.

An. 1 O marite, marite, utinam tuam
2 Manum, & hastam auxiliatricem
3 Haberem, fili Priami.
Mo. 4 Infelix, quod ego mortis
5 Deprecatoriũ carmen inveniam?
An. 6 Precare jam genibus
7 Domini appropinquans, ô fili.
Mo. 8 O chare, ô chare,
9 Remitte mihi mortem.

Antisystema 1.

An. 1 Liquesco, lacrymis pupillas
2 Rigo, tanquam ex præruptâ petrâ *cadens*
3 Gutta aquæ, misera ego!

500. [Βασιλεῦσιν) Ἑρμιόνῃ καὶ Μενελάῳ, τοῖς δεσπόταις, παρὰ τὸ, † αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο.]

† Hom. Odyss. α. v. 397.

502. Βρόχοισι) δεσμοῖς. Κεκλῃμένα) δεσμοῖς συνεχομένη, συνδεδεμένη.

505. Δάϊον) κατακαιόμενον, σφαγιον.

517. Δισσαῖν ἀνάγκαιν) ἐμὴ καὶ τῆς θυγατρός.

520. Λείπειν ἐχθρούς) λείψανον ἐᾶν τῶν ἐχθρῶν.

527. Παράτροπον) ἀποτρεπόμενον, ἀποτρεπτικόν. Παράτροπον) ἀποτρεπόμενον, παραιτητικόν.

528. Λίσσου δὲ γούνασι) ἱκέτευε, * ὡς ἀδύνατον γέ σε γλώσσης ἐφάψασθαι τῆς ἐμῆς· αὐτὴ γὰρ ἐπιλαθομένη τοῦ φρονήματος τοῦ δὲ παιδὸς τὸ ἀφελὲς [illegible] [illegible]. διὰ τοῦ παῖδα ὡς ὑπόμνησιν φιλοστοργίας ἄγει τὸν Μενέλαον, [illegible] βοῶσα καὶ σὺ παῖδων πατὴρ πέφυκας.

529. Χρίμπτων) προσεγγίζων.

Λισσάδος) ἀπὸ λείας πέτρας καταστάζομαι τοὺς ὀφθαλμοὺς τοῖς δακρύοις.

534. Ἀνήλιος) ἀνήλιος, ὡς ἡλίῳ ἄνευ. ἢ ἥλιον μὴ ὁρῶσα σκιεράν. ἢ ὁ [illegible] ὑπὸ ἡλίῳ. ἢ ἀνήλιον λιβάδα εἶπεν ὡς ἀπαλαίαν. αὕτη γὰρ ὁ καταλαμπομένη ὑπὸ ἡλίῳ.

ANNOTATIONES.

* Supra, v. 438.

V. 502. Κεκλῃμένα) idem quod κεκλεισμένα, magis Poeticum est κεκλῃσμένα & certè Scholiastes legit συγκλεισμένα, h. e. συγκλεισμένη quod contrahitur ex eodem.

V. 520. Λείπειν ἐχθρούς) Huc refer illud, Οὐ χρὴ ἄλλιθον παῖδας ἐν οἴκῳ τρέφειν &c. Vid. quæ Nos ad *Heraclid.* v. 1006.

Vid. ad Medea v. 448.

Ἀντι-

541. Μέγαν δ᾽ μέρ-ος. ψυχῆς δ᾽ ὑπο δια-τῆς ἀναλωθέντος, ἀντὶ τῦ πολλῆς ψυχῆς ἀναλώσας, ἐν τῷ Ἰλιακῷ πολέμῳ. Θέλει δ᾽ εἰπεῖν, ὅτι πολέμιός μοι ὑπάρχεις, οὐχὶ πολλὰ ἔπαθον, ἵνα πορθήσω τὴν Τροίαν. ἐκεῖ ἀεὶ φαίνεται.

'Αντιςροφὴ β'.

Antiſtrophe 2.

Μο. 1 Ὤ μοι, μοι, τί δ' ἐγὼ
2 Κακῶν μῆχος ἐξανύσαιμ' ἄν;

Mo. 1 Hei mihi, mihi! quodnam ego
2 Malorum remedium expeditum inveniam?

'Αντισύςημα β'.

Antiſyſtema 2.

Με. 1 Τί με προσπίτνεις, ἁλίαν πέτραν,
2 Ἢ κύματα λιταῖς ὡς, ἱκετεύων;
3 Τοῖς γὰρ ἐμοῖσιν γέγονεν ὠφέλεια·
4 Σοὶ δ' οὐδὲν ἔχω φίλτρον, ἐπεί τι
5 Μέγ' ἀναλώσας ψυχῆς μόριον,
6 Τροίαν εἷλον, καὶ ματέρα σήν.
7 Ἧς ἀπολαύων,
8 Ἀΐδου χθόνιον καταβήσῃ.

Men. 1 Quare ad me volveris, ut ad marinum ſaxum,
2 Aut ad fluctum, ſic precibus ſupplicans?
3 Nam meis rebus hoc eſt utile:
4 Erga te verò non ſum affectus bene, ſiquidem
5 Conſumpta magnâ parte meæ vitæ,
6 Trojam cepi, & tuam matrem?
7 Quâ fruens,
8 Ad Plutonem inferum deſcendes.

ARGUMENTUM *Actûs Tertii.*

PEleus *interventu ſuo* Andromachen *&* Moloſſum *Puerum ab inſtanti cæde liberat, quod cùm ægrè ferret* Menelaus, *acerrima inter eos oritur Contentio. In quâ tamen* Menelaus *inferior quùm eſſet, abit non ſine minis, quas* Peleus *nihili æſtimat.* Chorus Pelei *Generoſitatis admiratione excitatus Communem locum de Virtutis excellentiâ tractat, déque Juſtitiâ in omni re colendâ,* Peleúmque *honorificè laudibus proſequitur.*

ΠΗΛΕΥΣ, ΜΕΝΕΛΑΟΣ, ΑΝΔΡΟΜΑΧΗ, ΧΟΡΟΣ.

547. Τρμᾶς) πρὸς τὸν χορόν. Τί ταῦτα) ποιεῖτε. Πῶς ταῦτα) γίγνεται.

551. Ἡγῦ σὺ) πρὸς τὸν πρεσβύτην φησί.

Ἀντιβολείαν) ἀκμαιότητα, ἀναζωπύρησιν, νεότητα. καὶ ἄλλως, ἀνιβῶσαν, καὶ τὴν ἀνὰ πρὸς τὸ λαμβάνειν ἐπανελθεῖν. Ἐν δ᾽ ἀναλαμβάνειν ἀκμαστικὴν ἰσχύν, ὃ ἄμυνειν. Ἐπαυρῶ) βύλομαι, ἀσπάζομαι. τυτέστι ἀδὺς ἂν ἀνεβάλομαι, εἴ τις θεῶν καθ' Ὅμηρον μέλλοι· Γῆρας ἀποξύσας θήσειν νέον ἀκμάζοντα. Κατ' ἐχθρ) ἐν τρόπον ἀνεμ(ος) ἔσεισεν ὑπο καιρῷ. ταύτη ὁμοίως ὑπὸ ἀνέμου, καὶ πνεύματος, πρῶτον μὲν κατ' ἐχθρὸν φανήσομαι, τυτέστι σὺ σφεῖς ἔχοντος αὐτὴν χαμᾶζε ἀπήλλαξα. ὁ γὰρ ὑγρὸς ἀνεμος, ὅταν πίπτῃ, συνελαύνει καὶ συντρίβει τοῖς ναυτιλλομένοις, τοῦ πνεύματος αὐτοῦ ἀπολλύμενοι. Οὐ γάρ μιᾶς σοι φήμης) ἀντὶ τῆς, κληδόνος. Μετελθεῖν) μεταπεμψάμενη, μετεκαλεσάμην. Σέβεις) τιμᾶς. τυτέστι θαυμάζειν διατελεῖς, καὶ μεγαλύνει ἐπ' αὐτῷ ἀεὶ. 567. Οὔτε τῳ δίκῃ) ὅτι οὐ δικαστικῶς κρίναντες.

Χο. ΚΑΙ' μὴν δέδορκα τόνδε Πηλέα πέλας,
Σπουδῇ τιθέντα δεῦρο γηραιὸν πόδα.
Πη. Ὑμᾶς ἐρωτῶ, τόν τ' ἐφεστῶτα σφαγῇ,
Τί ταῦτα; πῶς ταῦτ'; ἐκ τίνος λόγου νοσεῖ
Δόμος; τί πράσσετ' ἄκριτα μηχανώμενοι;
Μενέλα', ἐπίσχες, μὴ τάχυν' ἄνευ δίκης.
Ἡγοῦ σὺ θᾶσσον, οὐ γὰρ ὡς ἔοικέ μοι,
Σχολῆς τόδ' ἔργον, ἀλλ' ἀνηβητηρίαν
Ῥώμην ἐπαυρεῖν λαμβάνειν, εἴπερ ποτέ.
Πρῶτον μὲν οὖν κατ' οὖρον, ὥσπερ ἱστίοις
Ἐμπνεύσομαι τῇδ'· εἰπέ, τίνι δίκῃ χέρας
Βρόχοισιν ἐκδήσαντες οἵδ' ἄγουσί σε,
Καὶ παῖδ'; ὕπαγκάλισμα γάρ τι σὺ ὡς ἀπόλλυσαι,
Ἡμῶν ἀπόντων, τοῦ τε κυρίου σὺ θεν.
Αν. Οἵδ', ὦ γεραιέ, σὺν τέκνῳ θανουμένην
Ἄγουσί μ' οὕτως, ὡς ὁρᾷς· τί σοι λέγω;
Οὐ γὰρ μιᾶς σε κληδόνος προθυμίᾳ
Μετῆλθον, ἀλλὰ μυρίων ὑπ' ἀγγέλων.
Ἔριν δὲ τὴν κατ' οἶκον οἶσθά που κλύων
Τῆς τοῦδε θυγατρός, ὧν τ' ἀπόλλυμαι χάριν.
Καὶ νῦν με βωμοῦ Θέτιδος, ἣ τὸν εὐγενῆ
Ἔτικτέ σοι παῖδ', ἣν σὺ θαυμαστὴν σέβεις,
Ἄγουσ' ἀποσπάσαντες, οὔτε τῳ δίκῃ

Cho. ATqui video hunc Peleum prope nos,
Seriò dirigentem huc ſenilem pedem.
Pel. Vos interrogo, & hunc incumbentem cædi,
Quid hæc ſibi volunt? quomodo hæc fiunt? quam ob cauſam laborat
Domus? quid agitis facientes hæc ſine judicio?
Menelae, expecta, ne propera ſine judicio.
Præcede tu citiùs; haud enim, ut videtur mihi,
Moram hæc res requirit: ſed juvenile
Robur cupio recipere, ſi unquam aliàs.
Primum quidem ſecundo vento, tanquam velis,
Huic aſpirabo. Dic, quo jure manus
Laqueis ligantes iſti ducunt te
Et filium? nam ut quandam ovis agnum ſub ſe fovens peris,
Nobis abſentibus, & domino tuo.
And. Iſti, ô ſenex, cum filio morituram
Me ſic ducunt, ut vides; quid tibi dicam?
Nam non unius vocationis celeritate te
Accerſivi; ſed per ſexcentos nuncios.
Sis autem fortaſſe audiens litem, quæ eſt in domo,
Cum hujus filiâ, propter quam ego tibi pereo.
Et nunc me ab arâ Thetidis, quæ generoſum
Filium tibi peperit, quam tu venerandam colis,
Ducunt avulſam, neque ullo jure

* Iliad. I. v. 446.

ANNOTATIONES.

V. 545. Πηλέα πέλας) Cur ultima ſyllaba in Πηλέα ſit longa, Audias Etymologici Magni Auctorem ità diſſerentem, in Voce Βασιλεῖς, Οἱ μὲν τοι Ἀττικοὶ, ἐκτείνεσι Πηλέα καὶ Ἀχιλλέα διὰ τὸ α μακρὸν γενέσθαι, τοῦτο χάριν καὶ τοῦτο τὸ ἀναγκαῖον ποιῶσι εἰς ε̄ τὸ ἐκεῖ ἐπίχειρον ἔχει τοῦ ἰδίου φωνῆ. Εὐριπίδης, Καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας. Ita Etymologicum. Præterea vid. Not. ad *Phœniſſ.* v. 776. & præcipuè ad v. 1258. & hanc Fabul. ad v. 1237. *Joſua Barnes.*

V. 552. Ἀντιβολείαν) Aliàs ἀνηβητηρίαν Scholiaſt.

Κρίναντες,

Κρίναντες, οὐδὲ τοὺς ἀπόντας ἐκ δόμων
Μείναντες, ἀλλὰ τὴν ἐμὴν ἐρημίαν
Γνόντες, τέκνου τε τοῦδ', ὃν, οὐδὲν αἴτιον,
Μέλλουσι σὺν ἐμοὶ τῇ ταλαιπώρῳ κτενεῖν.
Ἀλλ' ἀντιάζω σ', ὦ γέρον, τῶν σῶν πάρος
Πιτνοῦσα γονάτων, χειρὶ δ' οὐκ ἔξεστί μοι
Τῆς σῆς λαβέσθαι φιλτάτης γενειάδος,
Ῥῦσαί με πρὸς θεῶν· εἰ δὲ μὴ, θανούμεθα
Αἰσχρῶς μὲν ὑμῖν, δυστυχῶς δ' ἐμοὶ, γέρον.
Πη. Χαλᾶν κελεύω δεσμὰ, πρὶν κλαίειν τινὰ,
Καὶ τῆσδε χεῖρας διπτύχους ἀνιέναι.
Με. Ἐγὼ δ' ἀπαυδῶ γ' ἄλλος οὐχ ἥσσων σέθεν,
Καὶ τῆσδε πολλῷ κυριώτερος γεγώς.
Πη. Πῶς; ἦ τὸν ἀμὸν οἶκον οἰκήσεις μολὼν
Δεῦρ'; οὐχ ἅλις σοι τῶν κατὰ Σπάρτην κρατεῖν;
Με. Εἷλόν νιν αἰχμάλωτον ἐκ Τροίας ἐγώ.
Πη. Οὑμὸς δέ γ' αὐτὴν ἔλαβε παῖς παιδὸς γέρας.
Με. Οὔκουν ἐκείνου τἀμὰ, τἀκείνου τ' ἐμά;
Πη. Δρᾶν εὖ, κακῶς δ' οὔ· μηδ' ἀποκτείνειν βίᾳ.
Με. Ὡς τήνδ' ἀπάξεις οὔποτ' ἐξ ἐμῆς χερός.
Πη. Σκήπτρῳ δὲ τῷδε σὸν καθαιμάξω κάρα.
Με. Ψαῦσόν γ', ἵν' εἰδῇς, καὶ πέλας πρόσελθέ μου.
Πη. Σὺ γὰρ μετ' ἀνδρῶν, ὦ κάκιστε, κἀκ κακῶν;
Σοί που μέτεστιν ὡς ἐν ἀνδράσιν λόγου;
Ὅστις πρὸς ἀνδρὸς Φρυγὸς ἀπηλλάγης λέχους,
Ἄκληστ', ἄδουλα, δώμαθ' ἑστίας λιπὼν,
Ὡς δὴ γυναῖκα σώφρον' ἐν δόμοις ἔχων,
Πασῶν κακίστην; "Οὐδ' ἂν, εἰ βούλοιτό τις,
"Σώφρων γένοιτο Σπαρτιατίδων κόρη,
"Αἳ ξὺν νέοισιν ἐξερημοῦσαι δόμους,
"Γυμνοῖσι μηροῖς, καὶ πέπλοις ἀνειμένοις,
"Δρόμους παλαίστρας τ' οὐκ ἀνασχετοὺς ἐμοὶ,
"Κοινὰς ἔχουσι· κᾆτα θαυμάζειν χρεὼν,
"Εἰ μὴ γυναῖκας σώφρονας παιδεύετε;
Ἑλένην ἐρέσθαι χρῆν τάδ', ἥτις ἐκ δόμων,
Τὸ σὸν λιποῦσα φίλιον, ἐξεκώμασε
Νεανίου μετ' ἀνδρὸς εἰς ἄλλην χθόνα.
Κἄπειτ' ἐκείνης οὕνεχ', Ἑλλήνων ὄχλον
Τοσόνδ' ἀθροίσας, ἤγαγες πρὸς Ἴλιον.
Ἣν χρῆν σ' ἀποπτύσαντα, μὴ κινεῖν δόρυ,
Κακὴν ἐφευρόντ', ἀλλ' ἐᾶν αὐτοῦ μένειν,

Cognitâ causâ, neque absentes ab ædibus
Expectantes: sed meam solitudinem
Scientes & hujus pueri, quem nullius mali autorem
Volunt occidere una me miserâ.
Sed obsecro te, ô senex, ad tua
Genua cadens (manu enim non licet mihi
Attingere tuum charissimum mentum)
Libera me per Deos: alioqui, moriemur
Turpiter quidem vobis, nobis verò misere, ô senex.
Pel. Jubeo vos laxare vincula, priusquam aliquis lacrymet,
Et hujus manus geminas dimittere.
Men. Ego verò alius te non inferior *hoc fieri* veto,
Et in hanc *mulierem* longè majorè potestatem habens *quàm tu.*
Pel. Quomodo? an nostram domum reges profectus
Huc? Non est tibi satis imperare incolis Spartæ?
Men. Ego cepi ipsam captivam ex Troja.
Pel. Sed meus filius filii *i. e. nepos*, accepit eam, honorarium munus.
Men. Nonne mea sunt illius, & illius mea?
P. Ad bene faciendum, non autem male, neq; ad vi interficiendum.
Men. Nunquam abduces hanc ex meâ manu.
Pel. Cruentabo verò tuum caput hoc sceptro.
Men. Attinge, ut scias, & accede ad me.
Pel. Túne igitur *habendus es* inter viros, ô pessime, & ex malis *orte*?
Tuine ut inter viros *numerati* aliqua ratio habetur;
Qui ab homine Phryge privatus fuisti lecto, *i. e. uxore*
Linquens domum non clausam, & sine servis,
Quasi haberes castam mulierem in ædibus,
Quæ omnium est pessima. "Neque si velit aliqua
"Puella Spartana, possit esse casta:
"Quæ relinquentes domos, cum juvenibus
"Nudis femoribus, & tunicis laxatis,
"Cursus, & palæstras non tolerandas mihi
"Communes habent: deinde un mirari oportet,
"Si non educatis mulieres castas?
Helenam convenit hæc interrogare, quæ ex ædibus
Tuam relinquens amicitiam, lasciviè profugit
Cum viro juvene in aliam terram.
Deinde propter illam, Græcorum exercitum
Tantum congregans duxisti in Ilium:
Quam oportebat te conspuentem non movere hastam,
Cùm invenisses malam, sed sinere ibi manere;

572. Ἀλλ' ἀντιάζω σ', ὦ γέρον, τῶν σῶν πάρος πιτνοῦσα γονάτων) διὰ τὸ δεδέσθαι οὐ δυνατὸν ἅψασθαι. Δέδεμαι γὰρ ἐπὶ νῶτον τοῖς βραχίοσι, μὴ ἅψασθαι τοῦ γενείου τοῦ δεσπότου. [Ἄμεινον δὲ τὸ πρῶτον, ἀληθέστερον γάρ.]

586. Δεῦρ' οὐ) Τάχα εἶπε ποτὲ οὐ δεῖ, τῷ Νεοπτολέμῳ δηλονότι, ὅτι βούλει τὸ καλὸν ποιεῖν.

Ὡς τήνδ' ἀπάξεις) οὕτω γνῶθι, ὅπως δεῖ τὰ τοῦ Νεοπτολέμου ἐμὰ, ἵνα μὴ δυνάσθαι σε τήνδ' ἀγαγεῖν ἐκ τῆς ἐμῆς χειρός.

590. Σὺ γὰρ μετ' ἀνδρῶν) σὺ γὰρ ἐν ἀνδράσιν ἀριθμῇ; τὸ δὲ κάκιστε κἀκ κακῶν, μετ' ἰδίας ὑβριστικῶς ἐμφαίνει.

593. Ἄκληστ' ἄδουλα) ἀνεῳγμένα, μὴ κλειόμενα. Ἀποδημοῦντος γὰρ εἰς Κρήτην Μενελάου, δοκεῖ ἡ ἁρπαγὴ Ἑλένης γεγονέναι, διὰ τὸ εἶναι τὰ δώματα τότε ἄκλειστα καὶ ὅλως ἀφύλακτα.

599. Οὐκ ἀνασχετοὺς) οὐκ ἀρεσκούσας, οὐκ ἀρεστάς.

Κοινὰς ἔχουσι) κοινὰς τοῖς ἀνδράσιν καὶ νέοις ὀρχήσεις ἀντιποιοῦντες Λάκωνες διὰ τὰς παρθένους γυμνάζουσιν, ἵνα γενναῖα παιδία φύωσι.

603. Ἐξεκώμασεν) ἐξέδραμεν, ἐξεχώρησεν, ἐξεβακχεύθη, εἰς αἰσχρὰν μετετράπη.

ANNOTATIONES.

V. 595. Οὐδ' ἂν εἰ βούλοιτό τις Σώφρων γένοιτο Σπαρτιατίδων κόρη) De hac *Laconicarum* Puellarum immodestâ consuetudine, unde & ab *Ibyco* φαινομηρίδες dictæ erant, vide *Plutarchum* in Comparatione quam instituit inter *Numam* & *Lycurgum*. Item *Johann. Meursium* in Miscellan. *Laconicis* l. 1. c. 19. *Ovid.* in *Paridis ad Helenam* Epistolâ,

More tuæ gentis, nitidâ dum nuda Palæstrâ
Ludis & es nudis Fœmina mixta Viris.

Vid. *Propertii* l. 3. Eleg. 13. Ὁ δὲ χιτὼν [illegible] Σπαρτιάτιδες. αἳ διὰ τοῦτο φαινομηρίδας ὀνομάζονται. Huc referatur illud *Pythagorei* cujusdam, cujus Nomen *Mimas* probatur ab Editore *Joh. North*, titulo περὶ καλοῦ καὶ αἰσχροῦ· Λακεδαιμονίοις τὰς κόρας γυμνάζεσθαι ἀχειριδώτως καὶ ἀχίτωνας παρέρπεν, καλόν. Ἴωσι δ' αἰσχρόν. Unde *Cicero Tuscul.* Quæst. 2. *Nihil horum simile apud Lacænas Virgines: Quis magis Palæstra, Eurota, Sol, Pulvis, Labor, Militia in studio est, quam fertilitas Barbara.* Ita nempe *Jos. Scaliger* hunc locum legendum monet. Vid. suprà ad v. 431. *Josua Barnes.*

V. 603. Τὸ σὸν λιποῦσα φίλιον) ita lego, rejecto, quod prius obtinuit, σόν· τὸ enim φίλιον idem est, quod φιλία, ut τὸ ἀναγκαῖον, & ἀνάγκη idem sonent. Sic *Iphig.* Taur. v. 390. τὸ φαῦλον pro ἡ φαυλότης. Sic suprà v. 183. & *Ion.* 545. τὸ νέον pro ἡ νεότης. Sic in *Chrysippi* Fabula v. 16. τὸ ἄτυχες & τὸ δύστυχες pro ἀτυχία & δυστυχία. *Adjectiva* autem Neutra cum articulo sunt *Substantivorum* instar. Hoc vidit *Æmyl. Portus*, nec tamen in eo acquievit & per aliud explicavit. Codex autem *Heinsio-Scaligerianus* mecum facit. *Josua Barnes.*

Μισθόν τε δόντα, μή ποτ' εἰς οἴκους λαβεῖν.
Ἀλλ' οὔτι ταύτῃ σὸν φρόνημ' ἐπέρεισας,
Ψυχὰς δὲ πολλὰς κἀγαθὰς ἀπώλεσας,
Παίδων τ' ἄπαιδας γραῦς ἔθηκας ἐν δόμοις,
Πολιούς τ' ἀφείλου πατέρας εὐγενῆ τέκνα.
Ὧν εἷς ἐγὼ δύστηνος· αὐθέντην δέ σε,
Μιάστορ' ὥς τιν', εἰσδέδορκ' Ἀχιλλέως.
Ὃς οὐδὲ τρωθεὶς ἦλθες ἐκ Τροίας μόνος,
Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασιν
Ὅμοι' ἐκεῖσε, δεῦρό τ' ἤγαγες πάλιν.
Κἀγὼ μὲν ηὔδων τῷ γαμοῦντι, μήτε σοὶ
Κῆδος συνάψαι, μήτε δώμασιν λαβεῖν
Κακῆς γυναικὸς πῶλον· “ἐκφέρουσι γὰρ
“ Μητρῷ' ὀνείδη. Τοῦτο καὶ σκοπεῖτέ μοι
“ Μνηστῆρες, ἐσθλῆς θυγατέρ' ἐκ μητρὸς λαβεῖν.
Πρὸς τοῖσδε δ' εἰς ἀδελφὸν οἷ' ἐφύβρισας,
Σφάξαι κελεύσας θυγατέρ' εὐηθέστατα.
Οὕτως ἔδεισας, μὴ οὐ κακὴν δάμαρτ' ἔχῃς.
Ἑλὼν δὲ Τροίαν, εἶμι γὰρ κἀνταῦθά σοι,
Οὐκ ἔκτεινες γυναῖκα χειρίαν λαβών.
Ἀλλ' ὡς ἐσεῖδες μαστόν, ἐκβαλὼν ξίφος,
Φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα,
Ἥσσων πεφυκὼς Κύπριδος, ὦ κάκιστε σύ.
Κἄπειτ' ἐς οἴκους τῶν ἐμῶν ἐλθὼν τέκνων,
Πορθεῖς ἀπόντων, καὶ γυναῖκα δυστυχῆ
Κτείνεις ἀτίμως, παῖδά θ', ὃς κλαίοντά σε,
Καὶ τὴν ἐν οἴκοις σὴν καταστήσει κόρην,
Κεἰ τις νόθος πέφυκε. “Πολλάκις δέ τοι
“ Ξηρὰ βαθεῖαν γῆν ἐνίκησε σπορᾷ.
“ Νόθοι τε πολλοὶ γνησίων ἀμείνονες.
“ Ἀλλ' ἐκκόμιζε παῖδα. Κύδιον βροτοῖς
“ Πένητα χρηστόν, ἢ κακὸν καὶ πλούσιον
“ Γαμβρὸν πεπᾶσθαι, καὶ φίλον· σὺ δ' οὐδὲν εἶ.
Χο. Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
“ Γλῶσσ' ἐκπορίζει· τοῦτο δ' οἱ σοφοὶ βροτῶν
“ Ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν.
Με. Τί δῆτ' ἂν εἴποις τοὺς γέροντας ὡς σοφοί,
Καὶ τοὺς φρονεῖν δοκοῦντας Ἕλλησιν ποτέ;
Ὅτ' ὢν σὺ Πηλεύς, καὶ πατρὸς κλεινοῦ γεγώς,
Κῆδος συνάψας, αἰσχρὰ μὲν σαυτῷ λέγεις,
Ἡμῖν δ' ὀνείδη διὰ γυναῖκα βάρβαρον·
Ἣν χρῆν σ' ἐλαύνειν *τήνδ' ὑπὲρ Νείλου ῥοάς,
Ὑπέρ τε Φᾶσιν, κἀμὲ παρακαλεῖν ἀεί,
Οὖσαν μὲν ἠπειρῶτιν· οὗ πεσήματα

* Vid. infra v. 710. al. τήνδ'.

Mercedemque, dare præterea, ne unquam in ædes eam reciperes.
Sed neque hoc feliciter appuliſti tuum animum,
Sed perdidiſti multos, & præſtantes viros,
Et feciſti multas anus orbatas liberis in ædibus,
Caniſque parentibus abſtuliſti generoſos liberos.
Quorum ego infelix unus: percuſſorem autem te,
Tanquam aliquem Genium malum, Achillis intueor.
Qui ſolus ne vulneratus quidem veniſti ex Trojâ:
Et pulchra arma in pulchris thecis
Similia, *i. e. eadem, immutata,* illuc & huc portaſti rurſus,
Ipſe quidem *Neoptol.* ſuaſi ducturo uxorem, ut neque tecum
Affinitatem contraheret, neque in ædes reciperet
Pullum malæ mulieris. “ Efferunt enim & *exprimunt Uxores*
“ Materna vitia. Quamobrem etiam conſiderate
“ Proci, ut ex bonâ matre natam filiam ducatis.
Præterea verò in fratrem quàm contumelioſus fuiſti?
Jubens interficere filiam ſtultiſſimè.
Adeò timuiſti, nè non haberes malam conjugem.
Capta autem Troja, (nam & huc tuâ cauſâ veniam)
Non interfeciſti uxorem redactam in tuam poteſtatem.
Sed poſtquam vidiſti ubera, abjecto gladio,
Oſculum accepiſti, adulans canem proditricem,
Factus inferior Venere, ô ignaviſſime tu.
Deinde profectus in ædes meorum liberorum,
Diripis *eas ipſis* abſentibus, & mulierem miſeram
Interficis turpitèr: & puerum, qui plorantem te
Et tuam filiam in ædibus faciet,
Quanquam ſpurius eſt: “ ſæpe verò
“ Aridum ſolum melius evadit, quàm quæ pinguis erat terra.
“ Et multi nothi *ſunt* præſtantiores legitimis.
“ Sed abduc filiam. Melius *eſt* hominibus
“ Pauperem bonum, quàm malum & divitem
“ Generum acquirere. & amicum: tu verò es nihili homo.
Cho. Ex parvo initio hominibus magnam contentionem
“ Lingua excitat: ſed hoc prudentes homines
“ Cavent, ne litigent cum amicis.
Me. Quid igitur dicas ſenes eſſe ſapientes,
Et illos eſſe, qui viſi ſunt aliquando Græcis ſapere?
Quando tu exiſtens Peleus, & natus ex inclyto patre,
Affinitate *mecum* junctus, tibi quidem ipſi turpia dicis,
Et nobis probra propter mulierem barbaram *objicis*:
Quam oportebat te expellere *hoc modo* ultra flumen Nili,
Et ultra Phaſim (& me ſemper *ad hoc* hortari:)
Cum ſit epirotica, *Aſiæ continentem incolens*, ubi cadavera

610. Ἐπέρεισας) ἐξώσας, ἐφώρμησας, ἐπεῖξας ἀπὸ τῶν ὅρων.

616. Τρωθεὶς) τρωθεὶς εἶπεν, οὐ βληθείς· καὶ γὰρ ἐβλήθη ὑπὸ Πανδάρου. διαφέρει δὲ τὸ βληθῆναι τοῦ τρωθῆναι. Ὅμηρος, † βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης. οὔτασται δ' Ὀδυσσεύς.

617 Σάγμασι) θήκαις τῶν ἀσπίδων.

618. Ὅμοια) οἷα γὰρ χρήματά ποτε, τοιαῦτα τείβουσι. οὐ γὰρ μὴ χρησάμενος τὰ ὅπλα, ὁποῖα ἔλαβες αὐτά, τοιαῦτα καὶ ἐνταῦθα κεκόμικας.

621. Ἐκφέρουσι) μιμοῦνται. τὰ γὰρ ἐκ κακῶν μητρῶν τέκνα ἀπομάττονταί τι τῶν μητρῴων ὕβρεων, καὶ κομίζουσι τὰ μητρῷα βουλεύματα εἰς τοὺς γάμους.

626. Μὴ οὐ κακὴν) οὕτω φησὶν εὐλαβηθεὶς, μὴ στερηθῇς τῆς κακῆς γυναικός. τὸ γὰρ μὴ οὐκ ἔχῃς, ἀντὶ τοῦ μὴ οὐκ ἔχειν σε ταύτην τὴν λεχοῦ σύμβιον.

637. [*Σπορᾷ) γῆ σπόριμος. Πολλάκις ἡ γῆ ἄγονος πέφυκε καὶ τραχεῖα, ἐὰν τις διεργάζηται αὐτήν, εὔφορος ἐγένετο καὶ πολύκαρπος ὑπὸ τῆς βαθείας καὶ πίονος γῆς, ἐὰν λείπηται ἀγεώργητος.]

639. Ἀλλ' ἐκκόμιζε παῖδα) φυγάδευσον, ἐκκόμιζε, ἄπαγε, λάμβανε ταύτην τὴν θυγατέρα.

642. Σμικρᾶς ἀπ' ἀρχῆς) ἐκ μικρᾶς ἀφορμῆς εἰς ἔχθραν μεγάλην προελθεῖν.

650. Ἐλαύνειν) ἀπορρίψαι ταύτης τῆς γῆς.

† *Iliad* λ. v. 659.   * Hæc Uncinis inclusa Nos inſeruimus. *Joſua Barnes.*

ANNOTATIONES.

V. 611. Ψυχὰς δὲ πολλὰς &c.) Reſpexit Poeta ad *Homericum* illud Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν Ἡρώων.

612. Παίδων ἄπαιδας) *Pleonaſmus* Poeticus, ſufficiebat enim ἄπαιδας dixiſſe; Sic *Helen.* v. 531. ἄφιλος φίλων. Sic hujus Fabulæ infra v. 714 ἄπαιδας τέκνων. Ita ſæpiſſimè loquuntur Poetæ, ut *Homer. Odyſſ.* δ'. v. 788. Κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος, ἐδητύος ἠδὲ ποτῆτος. Et *Antholog.* p. 301. [illegible]. Sic Ἄμμορος εἴην, & id genus plura, vid. quæ Nos in *Eſtherâ* noſtrâ *Not.* ad v. 637. Ἄμμορος εἴην, [illegible] *J. Barnes.*

V. 613. Πολιούς τ' ἀφείλου πατέρας εὐγενῆ τέκνα) De ἀφαιρεῖν cum duplici Accuſativo gaudente. Vid. ſuprà v. 125.

V. 626. Μὴ οὐ) Colliduntur ſimul & μονοσυλλάβως coeunt. Vid. quæ Nos ad *Oreſt.* v. 397.

V. 629. Ἀλλ' ὡς ἐσεῖδες μαστὸν &c.) Hunc locum *Clemens Alexandrin.* Strom. l. 2. fol. 297. de *Menelao* molli & effœminato profert, conferens cum ſimili *Oreſt.* v. 1289. Ἆρ' εἰς τὸ κάλλος ἐκκεκώφωται ξίφη. Priorem autem locum ſic *Latinè* verſum reperio, *At tu Papillam contuens Gladium abjicis; Et Proditrici figis oſculum Cani. Joſua Barnes.*

V. 652. Οὖσαν μὲν Ἠπειρῶτιν) Idem habes ſuprà v. 159.

Πλεῖσθ'

Πλῆθ' Ἑλλάδος πέπτωκε δυσπετῆ νεκρῶν,
Τοῦ σοῦ τε παιδὸς αἵματος κοινούμενον.
Πάρις γὰρ, ὃς σὸν παῖδ' ἔπεφν' Ἀχιλλέα,
Ἕκτορος ἀδελφὸς ἦν, δάμαρ δ' ἥδ' Ἕκτορος.
Καὶ τῇδέ γ' εἰσέρχῃ σὺ ταυτὸν εἰς στέγος,
Καὶ ξυντράπεζον ἀξιοῖς ἔχειν βίον,
Τίκτειν δ' ἐν οἴκοις παῖδας ἐχθίστους ἐᾷς.
Ἃ 'γὼ προνοίᾳ τῇ τε σῇ, κἀμῇ, γέρον,
Κτανεῖν θέλων, τὴν δ' ἐκ χερῶν ἁρπάζομαι.
Καί τοι φέρ', ἅψασθαι γὰρ οὐκ αἰσχρὸν λόγου,
Ἢν παῖς μὲν ἡ 'μὴ μὴ τέκῃ, ταύτης δ' ἄπο
Βλαστῶσι παῖδες, τῆσδε γῆς Φθιώτιδος
Στήσεις τυράννους; βάρβαροι δ' ὄντες γένος
Ἕλλησιν ἄρξουσ'; εἶτ' ἐγὼ μὲν οὐ φρονῶ,
Μισῶν τὰ μὴ δίκαια, σοὶ δ' ἔνεστι νοῦς;
Κἀκεῖνο νῦν ἄθρησον· εἰ σὺ παῖδα σὴν
Δούς τῳ πολιτῶν, εἶτ' ἔπαθε τοιάδε,
Σιγῇ καθῆσ' ἄν; οὐ δοκῶ· ξένης δ' ὕπερ,
Τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους;
Καὶ μὴν ἴσον γ' ἀνήρ τε καὶ γυνὴ σθένει
Ἀδικουμένη πρὸς ἀνδρός· ὡς δ' αὔτως ἀνὴρ
Γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
Καὶ τῷ μὲν ἔστιν ἐν χεροῖν μέγα σθένος,
Τῇ δ' ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
Οὔκουν δίκαιον τοῖς γ' ἐμοῖς ἐπωφελεῖν;
Γέρων, γέρων εἶ· τὴν δ' ἐμὴν στρατηγίαν
Λέγων, ἔμ' ὠφελοῖς ἄν, ἢ σιγῶν, πλέον.
Ἑλένη δ' ἐμόχθησ' οὐχ ἑκοῦσ', ἀλλ' ἐκ θεῶν.
Καὶ τοῦτο πλεῖστον ὠφέλησεν Ἑλλάδα.
Ὅπλων γὰρ ὄντες καὶ μάχης ἀΐστορες,
Ἔβησαν εἰς τἀνδρεῖον. " Ἡ δ' ὁμιλία,
" Πάντων βροτοῖσι γίγνεται διδάσκαλος.
Εἰ δ' εἰς πρόσοψιν τῆς ἐμῆς ἐλθὼν ἐγὼ
Γυναικὸς, ἔσχον μὴ κτανεῖν, ἐσωφρόνουν.
Οὐδ' ἄν σε Φῶκον ἤθελον κατακτανεῖν.
Ταῦτ' εὖ φρονῶν σ' ἐπῆλθον, οὐκ ὀργῆς χάριν.
Ἢν δ' ὀξυθυμῇς, σοὶ μὲν ἡ γλωσσαλγία
Μείζων, ἐμοὶ δὲ κέρδος ἡ προμηθία.
Χο. Παύσασθον ἤδη, λῷστα γὰρ μακρῷ τάδε,
Λόγων ματαίων, μὴ δύο σφαλῆθ' ἅμα.
Πη. Οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται;
" Ὅταν τροπαῖα πολεμίων στήσῃ στρατὸς,
" Οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,

Multa Græciæ jacent armis cæſa mortuorum,
Et cùm ſit ex parte tua ſanguinis tui filii.
Nam Paris, qui filium tuum Achillem interfecit,
Erat frater Hectoris, hæc verò erat conjux Hectoris,
Et tamen tu cum hac idem ſubis tectum,
Et ejuſdem menſæ participem vitam cum eâ vis habere,
Et ſinis parere domi inviſos liberos.
Quæ ego mihi & tibi proſpiciens, ſenex,
Interficere volens, hanc è manibus eripio.
Sed age (non eſt enim turpe colloqui)
Si mea quidem filia non pariat ex iſtâ verò
Naſcantur liberi, eos hujus terræ Phthiotica
Conſtitues dominos? & cùm ſint genere barbari
Græcis imperabunt? Deinde verò ego quidem non ſapio,
Qui odi injuſta, tibi verò ineſt mens, & ſapis?
Illud etiam nunc aſpice conſidera: ſi tu filiam tuam
Dediſſes alicui civium, & accidiſſent hæc ei,
An ſederes tacitus? non opinor: pro peregrina vero
Talia dicis adverſus neceſſarios amicos?
Idem tamen jus habet vir, & mulier
Injuriâ-affecta à marito: ſic etiam vir
Cùm habet in ædibus mulierem impudicam.
Et huic quidem viro magnum robur eſt in manibus:
Huic verò mulieri in parentibus & amicis res ſunt poſitæ.
Ergo juſtum eſt me opem ferre meis.
Senex, ſenex es: de meâ verò præturâ militari
Dicens, plus juvas me, quàm tacens.
Helena verò venit in ærumnas non volens, ſed divinitus,
Et hoc plurimum profuit Græciæ:
Nam cùm eſſent imperiti armorum & pugnæ,
Profecerunt ad fortitudinem.
" Nam converſatio
" Omnium rerum eſt hominibus magiſtra.
Quòd autem ego veniens in conſpectum meæ
Conjugis, cohibui me, ne interficerem eam, ſapienter feci.
Vellem nec te interfeciſſe Phocum fratrem.
Hæc bene volens tibi pluribus ſum perſecutus, non iræ gratiâ.
Si verò excandeſcas, tibi quidem linguæ morbus & garrulitas
Major eſt, mihi vero lucro eſt providentia.
Cho. Ceſſate jam (hoc enim eſt multo melius)
Verbis ab inanibus, ne ambo ſimul offendatis.
Pel. Hei mihi, quàm malus mos eſt in Græciâ!
" Quum exercitus ſtatuit trophæa de hoſtibus,
" Non putant hoc opus eſſe laborantium militum:

653. Δυσπετῆ) δυσπετῆ, δύσχρηστα [illegible].
654. Κοινούμενον) μετέχουσα τοῦ φόνου.
660. Ἃ) ἅπερ, τέκνα· ἤγουν πρὸς τὸ σημαινόμενον.
Προνοίᾳ) προνοούμενος σοῦ καὶ ἐμαυτοῦ.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

671. Λάσκεις) λοιδορεῖς.
674. Μωραίνουσαν) ἀκολασταίνουσαν, ἀσελγαίνουσαν, πορνεύουσαν. ταυτὸ δύναται ἀνήρ τε καὶ γυνὴ πρὸς τὸ ἐγκαλεῖν, γυνὴ ἀδικουμένη πρὸς ἀνδρὸς, εἰ καὶ ἀνὴρ γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχει. πρὸς δὲ τὸ [illegible] ἀπίστευτον. εἰπὼν γὰρ ἀνήρ τε καὶ γυνὴ ἀδικουμένη. αἱ ζεύξεις τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας διὰ ἰσότητα γίνονται, οὐχ ἵνα ὁ μὲν ἀνὴρ ἀδικῇ, ἡ δὲ γυνὴ ἀδικῆται, ἀλλ' ἴσον τὸ γυναῖκα ἀδικεῖσθαι ὑπὸ ἀνδρὸς, καὶ ἄνδρα ὑπὸ γυναικός.
675. Καὶ τῷ μὲν ἔστιν ἐν χεροῖν μέγα σθένος) ἕτερος μὲν οἷός τ' ἐστὶν ἀμύνασθαι τὴν γυναῖκα, ἡ δὲ γυνὴ διὰ τὴν ἀσθένειαν τοῦ σώματος πρὸς ἄμυναν τοῦ ἀνδρὸς τῇ τῶν γονέων χρῆται προστασίᾳ.
683. Ὁμιλία) τριβὴ, συνήθεια, μελέτη.
687. Οὐδ' ἄν σε Φῶκον) ὥσπερ ἐγὼ ἐσωφρόνησα τὴν Ἑλένην, ἐὰν οὕτως οὐδὲ σὺ ὤφελες τὸν Φῶκον ἀνελεῖν, καὶ τὸν Ἀλκμαιωνίδην.
691. Παύσασθε) παύσασθε ματαιολογοῦντες ἐν μακρῷ, τουτέστιν ἐπιπολὺ ἀλλήλους ὑβρίζοντες. τοῦτο γὰρ βέλτιον, καὶ λῷστον, τὸ παύσασθαι.

ANNOTATIONES.

V. 653. Δυσπετῆ) alliàs δυσπετῆ; utrumque ſtabit.

V. 671. Τοιαῦτα λάσκεις) λάσκω à λακέω dico. De quâ Voce vide quæ Nos ad *Rheſ.* v. 724. Τί λάσκεις; & *Electr.* v. 1213. [illegible] *Joſua Barnes.*

V. 680. Ἐμόχθησ') lego ἐμοίχευσ', Poeticè autem dicitur pro ἐμοιχεύθη.

V. 687. Οὐδ' ἄν σε Φῶκον) Quomodò *Peleus Phocum* fratrem ſuum occiderit, vid. *Euſtathium* in *Hom.* fol. 321. lin. 1. *Pauſaniam* in *Corinthiacis* p. 72. lin. 6. & in *Phocicis* p. 147. lin. 4. Item *Scholiaſten Pindari* ad *Olymp.* Od. 8. Antiſtr. β'. Et *Bened.* in *Pind.* p. 152. & 547. Denique & *Apollodor.* Biblioth. L. 3. c. 12. & *Antonini Liberalis* Metamorph. c. 38. De *Alcmæonidâ* autem, quem & *Scholiaſtes* ait ab eodem interfectum, nihil proferre poſſum. *Joſua Barnes.*

V. 693. Οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται. Ὅταν τροπαῖα πολεμίων στήσῃ στρατὸς, Οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε, Ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται) Hos Verſus dicitur *Clytus* in *Alexandri* M. Convivio ad illius Geſta elevanda uſurpaſſe; unde *Alexandrum* ad ſuam cædem irritavit, ut docet *Q. Curtius* L. 8. & *Plutarchus* in *Alexandr.* *Joſua Barnes.*

696. Ἄρνυται) κομίζεται. κομίζεται τὴν νίκης δόξαν. 707. Πηλέως ἐχθρόν ποτε) ἕνεκα τῶν ἐν τῇ Τροίᾳ γενομένων, ἐγώ σε ποιήσω ἐξ αὐτῶν τῶν ἔργων γνῶναι μὴ τὸν Ἰδαῖον Πάριν ἥσσονα νομίζειν ἐχθρὸν τοῦ Πηλέως. τὸ δὲ μὴ ἥσσονα, ἀντὶ τοῦ μὴ ἧσσον, καὶ ἐκεῖνον συλλαβῆς. συλλαβηθῆσῃ κἀμοί. ἐχθρὸς γάρ σοι εἰμὶ, τοῦ Πάριδος ἐχθρός.

708. Φθερεῖ) ἀλλαγμένον τοῦ προσώπου λόγος, εἰ μὴ ὁ Μενέλαος φθερεῖ· Ἄλλως· ἀντὶ φθερῶ, ἀντὶ τοῦ φθερῶμαι· ἢ γράφε φθερεῖς σὺ, ὦ Μενέλαε.

711. Ἡ στεῖρος οὖσα) ἀντὶ τοῦ στεῖρα.

713. Τὸ κείνης) ἀντὶ τοῦ Ἐκείνη. Δυστυχεῖ παίδων πέρι) ἡ Ἑρμιόνη δυστυχεῖ περὶ παιδοποιΐαν, καὶ ἡμᾶς δεῖ ἀπαίδας εἶναι, καὶ μὴ ἐξ ἄλλων γυναικῶν ἔχειν τέκνα.

715. Φθείρεσθε) πρὸς τοὺς οἰκέτας τοὺς κατέχοντας τὴν Ἀνδρομάχην.

717. Ἔπαιρε) κούφισον σεαυτήν· πρὸς Ἀνδρομάχην.

718. Ἐξανήσομαι) λύσω, ἐκκομιοῦμαι.

719. Ἐλυμήνω) [illegible], ὕβρισας.

727. Ἀνειμένον) προπετές. ἄλλως, ἀνειμένον, πρᾶον, ὡς ἡσυχεῖον, δυσφύλακτον, ἀντὶ τοῦ ἀχαλίνωτον, τῆς ὀργῆς κρατεῖν ἀδυνάμενον. ὁ δὲ νοῦς. χαλεπὸν τὸ τῶν γερόντων γένος, ὑφ' ὕβρεως μὴ παρατεινόμενον καὶ φερόμενον. πρὸς ὀργὴν δὲ ἑαυτοῦ κρατεῖν οὐ δύναται.

729. Προνωπὴς) εὐκατάφορος, ἕτοιμος, πρόχειρος, εὐχερὴς, προπετὴς, καὶ ὁ εἰς τὸ ἔμπροσθεν φερόμενος ἀναιδής.

“ Ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται.
“ Ὃς εἷς μετ' ἄλλων μυρίων πάλλων δόρυ,
“ Οὐδὲν πλέον δρῶν ἑνὸς, ἔχει πλείω λόγον.
“ Σεμνοὶ δ' ἐν ἀρχαῖς ἥμενοι κατὰ πόλιν,
“ Φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες.
“ Οἱ δ' εἰσὶν αὐτῶν μυρίοι σοφώτεροι,
“ Εἰ τόλμα προσγένοιτο, βούλησίς θ' ἅμα.
Ὡς καὶ σὺ, σός τ' ἀδελφὸς, ἐξωγκωμένοι
Τροίᾳ κάθησθε, τῇ τ' ἐκεῖ στρατηγίᾳ,
Μόχθοισιν ἄλλων καὶ πόνοις ἐπηρμένοι.
Δείξω δ' ἐγώ σοι, μὴ τὸν Ἰδαῖον Πάριν
Μείζω νομίζειν Πηλέως ἐχθρόν ποτε,
Εἰ μὴ φθερεῖ τῆσδ' ὡς τάχιστ' ἀπὸ στέγης,
Καὶ παῖς ἄτεκνος, ἣν ὅδ' ἐξ ἡμῶν γεγὼς,
Ἐλᾷ δι' οἴκων τῆσδ' ἐπισπάσας κόμης.
Ἡ στεῖρος οὖσα μόσχος, οὐκ ἀνέξεται
Τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα.
Ἀλλ' εἰ τὸ κείνης δυστυχεῖ παίδων πέρι,
Ἄπαιδας ἡμᾶς δεῖ καταστῆναι τέκνων;
Φθείρεσθε τῆσδε, δμῶες, ὡς ἂν ἐκμάθω,
Εἴ τίς με λύειν τῆσδε κωλύσει χέρας.
Ἔπαιρε σαυτὴν, ὡς ἐγὼ, καίπερ τρέμων,
Πλεκτὰς ἱμάντων στροφίδας ἐξανήσομαι.
Ὧδ', ὦ κάκιστε, τῆσδ' ἐλυμήνω χέρας;
Βοῦν ἢ λέοντ' ἤλπιζες ἐντείνειν βρόχοις;
Ἢ, μὴ ξίφος λαβοῦσ' ἀμυνάθοιτό σε,
Ἔδεισας; ἕρπε δεῦρ' ὑπ' ἀγκάλας βρέφος,
Ξύλλυε μητρὸς δεσμά· ἐν Φθίᾳ σ' ἐγὼ
Θρέψω, μέγαν τοῖσδ' ἐχθρόν· εἰ δ' ἀπῆν δορὸς
Τοῖς Σπαρτιάταις δόξα, καὶ μάχης ἀγὼν,
Τἄλλ' ὄντες ἴστε μηδενὸς βελτίονες.
Χο. Ἀνειμένον τι χρῆμα πρεσβυτῶν γένος,
Καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.
Με. Ἄγαν προνωπὴς εἰς τὸ λοιδορεῖν φέρῃ.
Ἐγὼ δὲ πρὸς βίαν μὲν εἰς Φθίαν μολὼν,
Οὔτ' οὖν τι δράσω φλαῦρον, οὔτε πείσομαι.
Καὶ νῦν μὲν, οὐ γὰρ ἄφθονον σχολὴν ἔχω,
Ἄπειμ' ἐς οἴκους· ἔστι γάρ τις οὐ πρόσω
Σπάρτης, πόλις τις, ἣ πρὸ τοῦ μὲν ἦν φίλη,
Νῦν δ' ἐχθρὰ ποιεῖ· τήνδ' ἐπεξελθεῖν θέλω,

“ Sed imperator *victoriæ* gloriam reportat,
“ Qui unus vibrans haſtam cum aliis innumeris,
“ Nihil plus uno faciens, habet majorem famam.
“ Graves autem *viri* in magiſtratibus ſedentes in urbibus,
“ Sunt ſuperbiores plebe, cum *tamen* ſint homines nihili.
“ Plurimi autem *eorum* ſunt illis ſapientiores
“ Si *modo* accedat audacia & voluntas ſimul.
Sicut tu & tuus frater tumefacti
Propter Trojam ſedetis, & ob militarem præturam illic *geſtam*,
Ærumnis aliorum & laboribus elati.
Oſtendam autem ego tibi, ne Idæum Paridem
Putes majorem hoſtem Pelei poſthac,
Niſi in malam rem abieris quàm celerrime ex iſtâ domo,
Et filia ſterilis, quam iſte ex nobis natus
Raptabit per ædes iſtâ correptâ comâ.
Quæ exiſtens ſterilis vitula, non fert
Alias parientes, ipſa non habens liberos.
Sed ſi illa, quod attinet ad liberos, eſt infelix,
An oportet nos *propterea* orbare liberis?
Diſcedite ab iſtâ, ſervi; ut videam
Si quis prohibebit me ſolvere hujus manus.
Erige te, ut ego, quanquam tremens,
Remittam confertos laqueos vinculorum.
Sic, ô peſſime, læſiſti hujus manus?
Putabáſne te bovem aut leonem vincire laqueis?
An, ne correpto gladio propulſaret *ac ulciſceretur* te,
Metuiſti? Veni huc ſub ulnas, ô puer,
Solve matris vincula. Ego te in Phthiâ
Alam, magnum illis hoſtem. Si verò deeſſet belli
Gloria Spartanis, & pugnæ certamen,
Scitote, quòd *in* cæteris *rebus* nullo eſtis meliores.
Cho. Soluta quædam *ac libera res eſt* ſenum genus,
Et ægrè poteſt cohiberi propter iracundiam.
Men. Valde pronus ad conviciandum ferris.
Ego verò per vim profectus in Phthiam,
Nihil mali faciam, neque patiar.
Et nunc quidem (nam non multum habeo otii)
Redeo domum. Nam eſt quædam non procul
A Spartâ urbs, quæ antea quidem erat amica,
Nunc verò hoſtilia *facinora* facit, hanc perſequi volo,

ANNOTATIONES.

V. 701. Μυρίοι) Ita ſcribimus pro μωρίοι, *Scaligero* & ſenſu poſtulante: De Multitudine enim jam loquitur, quòd præſtent Ducibus ſuis ſapientiâ, ſi modò *audacia* adfuerit & *voluntas*. Οἱ μυρίοι autem ſicut οἱ πολλοί. Ridicule verò vetus verſio legebat *Conſilium*, quum eſſet *Voluntas*. *Joſua Barnes.*

707. Μείζω) *Scholiaſt.* videtur legiſſe Ἥσσω vel ἧσσον.

V. 710. Τῆσδ' ἐπισπάσας κόμης) *Scaliger* legit τῇδ', *i. e.* hoc modo & refert ad v. 650.

V. 711. Στεῖρος) *Atticè* pro στεῖρα. Sic Θῆλυς ἐέρση *Hom.* & κλυτὸς Ἱπποδάμεια id. Vid *Hecub.* v. 150.

V. 712. Τίκτοντας ἄλλους) Certò certius hic vides *Maſculinum* genus, cùm pluralis numerus pro ſingulari ponitur, de *Fœminâ* uſurpari; uti notavimus ad *Hecubam* v. 511. *Alceſt.* v. 383. & 541. & *Androm.* v. 361.

V. 714. Ἄπαιδας τέκνων) De hoc *Pleonaſmo* vid. ſupra ad *Androm.* v. 612. Item occurrit *Suppl.* v. 12.

V. 719. Ἐλυμήνω) *Schol.* vetus [illegible] legebat & explicabat per ἐλυμήνω, ὕβρισας.

V. 729. Προνωπὴς) *Scholiaſtes* ad hunc locum hoc verbum rectiſſimè explicat. Hinc autem corrigendus *Heſychius*, Προνωπος, [illegible] &c. Lege Προνωπὴς, προπετὴς, [illegible] οἱ δὲ προπετεῖς, ἕτοιμος, πρόχειρος. *Æſchyl.* Agamem. v. 241. [illegible] Aliud προνώπιος, de quo *Scholiaſt.* Medeæ. v. 624. & Nos ad *Hippolyt.* v. 374. Bis autem hæc Vox occurrit in *Alceſtide* v. 141. Ἤδη προνωπής ἐστι, καὶ ψυχοῤῥαγεῖ & v. 184. Στείχει προνωπὴς, ἐκπεσοῦσα δεμνίων. In quos locos vide *Scholiaſten*.

V. 732. Καὶ νῦν μὲν) Vid. *Sam. Petiti* Miſcell. l. 3. c. 16. Ubi acutè ſatis probat ex his Verbis Fabulam hanc actam Anno 2do Olympiadis 90mæ. Prætore Athenis *Archiâ*, quando ſcilicet [illegible]. Ad quod bellum Ingenioſus ille Vir Poetam alluſiſſe probabiliter ſatis affirmat. *Joſua Barnes.*

Στρατη-

Στρατηλατήσας, ὥσθ' ὑποχείριον λαβεῖν.
Ὅταν δὲ τἀκεῖ θῶ κατὰ γνώμην ἐμήν,
Ἥξω· παρὼν δὲ πρὸς παρόντας ἐμφανῶς
Γαμβροὺς διδάξω, καὶ διδάξομαι λόγους.
Κἂν μὲν κολάζῃ τήνδε, καὶ τὸ λοιπὸν ᾖ
Σώφρων καθ' ἡμᾶς, σώφρον' ἀντιλήψεται,
“ Θυμούμενος δέ, τεύξεται θυμουμένων.
“ Ἔργοισι δ' ἔργα διάδοχ' ἀντιλήψεται.
Τοὺς σοὺς δὲ μύθους ῥᾳδίως ἐγὼ φέρω.
* Σκιᾷ γὰρ ἀντίστοιχος ὢν, φωνὴν ἔχεις, *al. σκιά.
Ἀδύνατος οὐδὲν ἄλλο, πλὴν λέγειν μόνον.
Πη. Ἡγοῦ, τέκνον, μοι, δεῦρ' ὑπ' ἀγκάλαις σταθείς,
Σύ τ', ὦ τάλαινα· χείμερον γὰρ ἀγρίαν
Τυχοῦσα, λιμένας ἦλθες εἰς εὐηνέμους.
Αν. Ὦ πρέσβυ, θεοί σοι δοῖεν εὖ, καὶ τοῖσι σοῖς,
Σώσαντι παῖδα, κἀμὲ τὴν δυσδαίμονα.
Ὅρα δέ, μὴ νῷν εἰς ἐρημίαν ὁδοῦ
Πτήξαντες οἵδε, πρὸς βίαν ἄγωσί με,
Γέροντα μὲν σ' ὁρῶντες, ἀσθενῆ δ' ἐμέ,
Καὶ παῖδα τόνδε νήπιον· σκόπει τάδε.
Μὴ νῦν φυγόντες, εἶθ' ἁλῶμεν γ' ὕστερον.
Πη. Οὐ μὴ γυναικῶν δειλὸν εἰσοίσεις λόγον.
Χώρει, τίς ὑμῶν ἅψεται; κλαίων ἄρα
Ψαύσει· θεῶν γὰρ οὕνεχ', ἱππικοῦ τ' ὄχλου,
Πολλῶν θ' ὁπλιτῶν ἄρχομεν Φθίαν κάτα.
Ἡμεῖς δ' ἔτ' ὀρθοί, κοὐ γέροντες, ὡς δοκεῖς.
Ἀλλ' εἴς γε τοιόνδ' ἄνδρ' ἀποβλέψας μόνον,
Τροπαῖον αὐτοῦ στήσομαι, πρέσβυς περ ὤν.
“ Πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ,
“ Κρείσσων· τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν;

ΕΠΩΙΔΙΚΑ.

Στροφή.

Χο. Ἢ μὴ γενοίμαν, ἢ
“ Πατέρων ἀγαθῶν
“ Εἴην, πολυκτήτων
“ τε δόμων μέτοχος.
“ Εἴ τι γὰρ ἂν πάσχοι τις ἀμήχανον,
“ Ἀλκᾶς οὐ σπάνις εὐγενέταις.
“ Κηρυσσομένων δ' ἀπ' ἐσθλῶν δωμάτων,
“ Τιμὰ, καὶ κλέος.
“ Οὔ τοι λείψανα τῶν ἀγαθῶν
“ Ἀνδρῶν ἀφαιρεῖται
“ Χρόνος· ἁ δ' ἀρετὰ
“ Καὶ θανοῦσι λάμπει.

Copiis *adverſus eam* ductis, ut in poteſtatem meam redigam
Ubi verò res, quæ *ſunt* ibi, ex animi mei ſententiâ compoſuero,
Redibo. Præſens autem apud præſentes apertè
Generos docebo *meos*, & diſcam *eorum* rationes.
Et ſi puniat hanc *gener Neoptolemus*, & in poſterum ſit
Modeſtus erga nos, modeſtiam *noſtram* viciſſim experietur.
“ Iratus verò, ſentiet iratos,
“ Factiſque facta reſpondentia viciſſim accipiet.
Tua verò verba facilè ego fero,
Nam ſimilis umbræ, Vocem habes
Virium expers; nihil aliud *exiſtens*, niſi Vox tantum.
Pel. Præcede me huc, fili, ſtans ſub ulnis,
Et tu, ô miſera: nam ſævam tempeſtatem
Nacta, veniſti in tranquillos portus.
And. O ſenex, dii dent bona tibi & tuis,
Qui ſervaſti filium & me miſeram.
Sed vide, ne nunc in ſolitudinem viæ
Fugientes iſti, per vim abducant me,
Videntes te quidem eſſe ſenem, me verò imbecillem
Et iſtum puerum infantem: conſidera *jam* iſta,
Ne nunc effugientes, capiamur poſtea.
Pel. Ne afferas ſermonem mulierum timidarum.
Vade: quis vos attinget? Plorans igitur
Attinget, nam beneficio Dei, & equeſtribus copiis,
Et multis peditibus imperamus in Phthiâ.
Et nos ſumus integro robore, & non ſenes, ut tu putas.
Sed in talem virum intuens tantùm,
Statuam trophæum de ipſo, quamvis ſenex ſim.
“ Multis enim juvenibus etiam ſenex, ſi ſit animoſus,
“ Præſtatior eſt. Quid enî oportet ignavû hom. eſſe bono corp. hab.

EPODICA.

Strophe.

Cho. Aut nè naſcar, aut
“ Ex bonis parentibus
“ Naſcar, potentiſſimque
“ Domorum *ſim* particeps.
“ Si quam enim *rem* patiatur aliquis difficilem,
“ Non eſt defectus defenſionis nobilibus.
“ ex præclaris verò & celebratis domibus,
“ Honor & gloria *paratur*.
“ Nunquam reliquias bonorum
“ Virorum aufert
“ Tempus: virtus enim
“ Etiam mortuis lucet.

745. Ἀντίστοιχος) ἀνακαμπόμενος τοῖς σώμασιν, ἢ ἀντὶ τοῦ ἴσος. Ἄλλως. Ἀντίστοιχος, ἰσόστοιχος· ὡς ἐάν ἡ σκιὰ δυνάται τι, ἔδει σε.

747. Ἡγοῦ τέκνον μοι) ἡγοῦ ἐπὶ τοὺς ἡμετέρους οἴκους τέκνον δεῦρο πρὸς τὸν Μολοσσόν. ἀλλὰ καὶ πρὸς τὴν Ἀνδρομάχην.

749. Εὐηνέμους) εὐδίους.

753. Πτήξαντες) λοχήσαντες, ἐνεδρεύσαντες.

763. Τροπαῖον) Νικητήριον.

771. Σπάνις) ἔνδεια, ἀπορία, ἡ δὲ χρεία. Κηρυσσομένων) φημιζομένων, λεγομένων.

ANNOTATIONES.

V. 745. Ἀντίστοιχος) De hac voce Vid. *Scholiaſten*. Malè autem hic *Scaliger* legit ἀντίστοιχον.

V. 764. Κἂν γέρων &c) *Scaliger* legit ἂν vel ἐάν. Non autem jam illum laudo; eſt enim emphaſis hic quædam, καὶ γέρων, ἂν εὔψυχος ᾖ, πολλῶν νέων κρείσσων ἐστί. His duobus Verſibus *Johannes Stobæus* Tit. 51. ὑπὲρ ψόγου τόλμης, alios Duos Verſus ſubjungit, ejuſdem Mentis & Materiæ, adeò ut ſuſpicetur aliquis, illius tempore extitiſſe [illegible] huc locum pertinentes, Κρεῖσσον τ' ἀσθενοῦς· καλῶς γὰρ ἄμαχος, Ἡ ζῆν θέλοιμ' ἄν, δυσκλεῶς τεθνηκότος. *Quia ſatius eſt cum laude nec inultum mori; Quàm vivere, ut ſine laude moriaris tamen.* Ut benè ſuo more *Grotius* vertit. *Joſua Barnes.*

V. 771. Εὐγενέταις) Retinenda eſt hæc lectio, licèt Codex *Scaligerianus* notet ad marginem εὐγενέσιν & referat Nos ad v. 12, ubi [illegible] legitur.

V. 772. Ἐσθλῶν δωμάτων) Ita ex *Aldinâ* omnium, quot ſcio, Editione primâ, reſtitui, rejecto, quod per multa male obtinuit, ἐσθλῶν λαμπρῶν; quia ita Senſus & Carminis Antiſtrophæ ſequentis huic reſpondentis ratio poſtulant. Nec ἐσθλῶν eſt authenticum. *Joſua Barnes.*

Ἀντιστροφή

Κρεῖσσον δὲ) βέλτιον δηλαδὴ ὑπάρχει ὑποθαρρῆναι βασκανίᾳ καὶ δυνάμει παραβάλλειν τὸ δίκαιον.

783. Ἐν δὲ χρόνῳ) ἐν τῷ χρόνῳ τὸ νικᾶν εἰωθότι τρόπῳ, καὶ τῷ μὲν χρόνῳ αὐτὸ μαραίνεται, τουτέστιν ἡ ἐπ' αὐτῷ ἡδονή.

Ἀντιστροφή.

“ 1 Κρεῖσσον δὲ νίκαν μὴ
“ 2 Κακόδοξον ἔχειν,
“ 3 Ἢ ξὺν φθόνῳ σφάλλειν
“ 4 Δυνάμει τε δίκαν.
“ 5 Ἡδὺ μὲν αὐτίκα τοῦτο βροτοῖσιν,
“ 6 Ἐν δὲ χρόνῳ τελέθει ξηρόν·
7 Καὶ μὴν καὶ ὄνειδος ἔγκειται δόμων.
8 Ταύταν ᾔνεσα,
“ 9 Ταύταν καὶ φέρομαι βιοτάν,
“ 10 Μηδὲν δίκας ἔξω
11 Κράτος, ἐν θαλάμοις,
12 Καὶ πόλει δύνασθαι.

Antistrophe.

“ 1 Melius autem est victoriam non
“ 2 Malâ famâ contaminatam habere,
“ 3 Quàm cum invidiâ subvertere,
“ 4 Et opum vi justitiam.
“ 5 Hoc est quidem dulce in præsentiâ hominibus,
“ 6 Cum tempore verò fit aridum *&* *amarum*:
7 Quin etiam infamia accedit Familiæ.
8 Hanc laudo,
“ 9 Hanc etiam sequor amplectorque vitam,
“ 10 Si nihil extra jus
11 Imperium, in thalamis rebusque privatis,
12 Et urbe *rebusq; publicis* possit.

792. Ὁμιλῆσαι) πολεμῆσαι, συγκοινωνῆσαι, ἐπὶ τῷ Κενταύρων στρατεύματι καὶ τῷ τῆς Ἀργοῦς ἀγῶνι.
Καὶ ἐπ' Ἀργῴου) ἀπὸ κοινοῦ τὸ πείθομαί σε.
796. Κλεινὰν) ἔνδοξον. τὰς πέτρας τὰς συμπληγάδας φησίν.
797. Ἰλιάδα τε πόλιν) δεύτερον γὰρ ἀντὶ ἀθανάτων ἵππων λαβὼν παρὰ Λαομέδοντος, ἐπόρθησε τὴν Τροίαν.

Ἐπῳδός.

1 Ὦ γέρον Αἰακίδα,
2 Πείθομαι καὶ σὺν Λαπίθαισί σε, καὶ Κεν-
3 ταύρων ὁμιλῆσαι δορὶ κλεινοτάτῳ.
4 Καὶ γὰρ ἐπ' Ἀργῴου δορὸς
5 Ἄξενον ὑγρὰν ἐκπερᾶσαι
6 Ποντίαν Ξυμπληγάδα,
7 Κλεινὰν ἐπὶ ναυστολίαν,
8 Ἰλιάδα τε πόλιν ὅτε πάρος
9 Εὐδόκιμος ὁ Διὸς
10 Ἶνις ἀμφέβαλεν φόνῳ,
11 Κοινὰν τὰν εὔκλειαν
12 Ἔχοντ', Εὐρώταν ἀφικέσθαι.

Epodus.

“ 1 O senex Æacida,
2 Credo te & cũ Lapithis, & Centaurorum hastâ laudatissimâ rem habuisse;
4 Et Argoâ navi, *i.e.* *Argo navi*,
5 Inhospitales *&* humidas trajecisse
6 Marinas Symplegadas
7 Inclytam ad navigationem,
8 Iliacámque *ad* urbem, *quando* primum
9 Clarus Jovis
10 Filius *eam* implicuit strage,
11 Communem *&* gloriam
12 Habentem, *illinc ad* Eurotam rediisse.

ANNOTATIONES.

V. 784. Καὶ μὴν καὶ ὄνειδος) *Canterus* monuit ὄνειδος legendum, cum prius ὀνείδεσιν obtineret: & sic sanè septimo versui hujus Strophæ, ut Nos jam ex *Aldinâ* Editione restituimus, hic versus respondet,

Κηρυκεύμεθα δ' ἂν ἐσθλῶν δωμάτων·
Καὶ μὴν καὶ ὄνειδος ἔγκειται δόμων. *J. Barnes.*

V. 801. Εὐρώταν ἀφικέσθαι) Quòm hæc dicta sint de *Peleo*, qui in *Phthiotide* habitabat, *Eurotas* autem fluvius sit famosus *Laconiæ*, Clarissimus Vir *Duportus* noster haud est veritus Εὐρώπαν margini ascribere, sicut & *Scaliger* aliique. Sed maneat per me Εὐρώταν, est enim *Thessaliæ* quoque fluvius ejusdem nominis, uti testatur *Pausanias*, *Strabo*, *Pliniusque*; sicut videri est apud *Fredericum Sylburghum* in Notis ad *Pausan.* p. 507. ad finem. Huc adde *Joh. Brodæi* Miscell. l. 5. c. 28. Et tamen, quod obiter notandum, *Blondellus* & *le Sueur* argumentum hinc contrà *Sibyllarum* authoritatem ceperunt, quod alicubi dicant illæ *Eurotam* ex *Dodonâ* ortum habere, his versibus,

Τὸ τρίτον αὖ Πλείστου Ῥίν τις, [illegible]
[illegible]
Εὐρώτα ποταμοῖο, καὶ εἰς ἅλα [illegible] ὕδωρ
Ἄμμιγα Πηνειῷ· καί μιν Στύγιον καλέουσι.

Sed huic & aliis illorum Argumentis Nos in nostrâ *Sibyllarum Defensione Ecclesiasticæ* Historiæ nostræ capitibus Quarto & Quinto, Libro primo, abundè satisfecimus. *J. Barnes.*

ARGUMENTUM *Actûs* Quarti.

HErmione *à Patre derelicta, quùm Mariti reditum timeret, præ malè à se actorum conscientiâ manus sibi vult injicere; vix à Famulis & Choro à proposito retenta.* Orestes *Oraculum* Dodonæum *quærens, ad* Phthiam *diversatus, rebus* Hermionæ, *quæ illi priùs erat desponsata, intellectis, se illam in Conjugem habiturum & vindictam ex* Neoptolemo *capturum spondet.* Chorus *innumera Mala ex* Trojani *belli occasione orta queritur.* Hermione *ab* Oreste *abducitur.*

ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΡΜΙΟΝΗ, ΟΡΕΣΤΗΣ.

Ἴαμβοι.

Πορσυνεῖται) παρασκευάζεται. 805. Συννοίᾳ) μετανοίᾳ, συνειδήσει, φροντίδι λογιζομένη, ὁποῖον ἔδρασε τοῦτο ἔργον, τὴν Ἀνδρομάχην κτείνειν.

Θε. Ὦ φίλταται γυναῖκες, ὡς κακὸν κακοῖς
Διάδοχον ἐν τῇδ' ἡμέρᾳ πορσύνεται.
Δέσποινα γὰρ κατ' οἴκους, Ἑρμιόνην λέγω,
Πατρός τ' ἐρημωθεῖσα, συννοίᾳ θ' ἅμα,

Fam. O Charissimæ mulieres, quàm malũ malè *malo* Succedens vicissim in hoc die paratur.
Nam domina in ædibus, Hermionem dico,
A patre deserta, & conscientiâ simul *illius*

ANNOTATIONES.

V. 802. Ὡς κακὸν κακοῖς Διάδοχον) Laudo *Canter.* qui mavult legere κακὸν κακῷ: Nec minùs felix *Scaliger*, qui legit κακὸν κακῶν. *J. Barnes.*

Οἷον

Οἷον δέδρακεν ἔργον, Ἀνδρομάχην κτανεῖν,
Καὶ παῖδα βουλεύσασα, κατθανεῖν θέλει,
Πόσιν τρέμουσα,* μὴ ἀντὶ τῶν δεδραμένων
Ἐκ τῶνδ' ἀτίμως δωμάτων ἀποσταλῇ,
Ἢ κατθάνῃ κτείνουσα τοὺς οὐ χρὴ θανεῖν.
Μόλις δέ νιν, θέλουσαν ἀρτῆσαι δέρην,
Εἴργουσι φύλακες δμῶες, ἔκ τε δεξιᾶς
Ξίφη καθαρπάζουσιν ἐξαιρούμενοι.
Οὕτω μέγ' ἀλγεῖ· καὶ τὰ πρὶν δεδραμένα
Ἔγνωκε πράξασ' οὐ καλῶς· ἐγὼ μὲν οὖν
Δέσποιναν εἴργουσ' ἀγχόνης, κάμνω, φίλαι.
Ὑμεῖς δὲ βᾶσαι τῶνδε δωμάτων ἔσω,
Θανάτου νιν ἐκλύσασθε. "Τῶν γὰρ ἠθάδων
" Φίλων νέοι μολόντες, εὐπιθέστεροι.
Χο. Καὶ μὴν ἐν οἴκοις προσπόλων ἀκούομεν
Βοὴν, ἐφ' οἷσιν ἦλθες ἀγγέλλουσα σύ.
Δείξειν δ' ἔοικεν ἡ τάλαιν', ὅσον * στένει,
Πράξασα δεινά· δωμάτων γὰρ ἐκπερᾷ
Φεύγουσα χεῖρας προσπόλων, πόθῳ θανεῖν.

* Vid. ſupra ad v. 628.

* Scaliger στένει.

Facinoris, quod patravit, quod Andromacham occidere
Et filium ejus, ſtatuiſſet, mori vult,
Metuens maritum, ne pro factis
Ex iſtis ædibus ignominiosè ablegetur,
Aut moriatur, quòd voluerit occidere, quos non oportebat mori.
Vix autem ipſam, volentem ſuſpendere collum,
Prohibent famuli cuſtodes & ex dexterâ
Gladios rapiunt auferentes,
Tam valdè dolet: & prius facta
Agnovit à ſe non benè facta. Ego quidem
Dominam prohibens à laqueo, defeſſa ſum, amicæ,
Vos verò ingredientes in iſtas ædes,
Liberate eam à morte: " nam conſuetis ac veteribus
" Amicis novi venientes, ad aliquid nobis perſuadendū ſunt aptiores.
Ch. Atqui in ædibus miniſtrorum audimus
Clamorem de rebus quas tu venis nuncians:
Videtur autem demonſtratura miſera, quantum poſſit,
Quæ patrârit atrocia: nam excurrit ex ædibus,
Fugiens manus miniſtrorum, cupiditate mortis.

(816. Ἀγχόνης κάμνω) [illegible] ἀγχόνη [illegible] τὸ σχοινίον. [illegible] ὀξυτόνως αὐτὸ τὸ πρᾶγμα.

818. Τῶν γὰρ ἠθάδων) Ἀρχαίων, συνήθων. Εὐπιθέστεροι) Εὐπειθέστεροι, μᾶλλον πεῖσαι δυνάμενοι.

820. Καὶ μὴν ἐν οἴκοις) Ἔοικεν, φησὶν, ἀληθῆ λέγειν· ἐμοὶ γὰρ βοῆς ἀκούομεν ἔνδον γινομένης, ἐφ' ἧς ἡμῖν ἀπήγγειλας.

824. Πόθῳ) ἐπιθυμίᾳ, ἔρωτι.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ANTISTROPHICA.

Στροφὴ α'.

Strophe 1.

Ερ. 1 Ἰώ μοί μοι,
2 Σπάραγμα κόμας, ὀνύχων τε δάι-
3 ι' ἀμύγματα θήσομαι.
Χο. 4 Ὦ παῖ, τί δράσεις; σῶμα σὸν καταικιῇ;

Her. Hei mihi, mihi,
Lacerationem comæ, unguiumque hoſti-
les laniationes faciam.
Ch. O filia quid facies? corpuſne tuum damno fœdabis?

826. Δάϊα) Πολεμικά, πολέμια, [illegible]. Ἀμύγματα) σπαράγματα, ξύσματα.

828. Καταικιῇ) ὑβρίζεις, ἀφανίζεις.

Ἀντιστροφὴ α'.

Antiſtrophe 1.

Ερ. 1 Αἶ, αἶ, αἶ, αἶ,
2 Ἔρρ' αἰθέριον πλοκάμων ἐμῶν
3 Ἄπο, λεπτόμιτον φάρος.
Θε. 4 Τέκνον, κάλυπτε στέρνα, σύνδησον πέπλους.

Her. Heu, heu, heu, heu!
Vade in ætherum à capillis meis
Tenue velum.
Fa. Filia, tege pectus, collige peplis.

831. Φάρος) τὸ κράδεμνον λέγει.

Στροφὴ β'.

Strophe 2.

Ερ. 1 Τί δέ με δεῖ καλύπτειν πέπλοις στέρνα;
2 Δῆλα, καὶ ἀμφιφανῆ, καὶ
3 Ἄκρυπτα δεδράκαμεν πόσιν.
Θε. 4 Ἀλγεῖς, φόνον ῥάψασα συγγάμῳ σέθεν;

Her. Quid verò oportet me tegere pectus peplis?
Manifeſta, undique conſpicua &
Non occulta fecimus contra maritum.
Fam. Doles quòd ſtruxeris necem tuæ pellici?

846. Μὴ φρονοῦσαν) μὴ νήφουσαν.

Ἀντιστροφὴ β'.

Antiſtrophe 2.

Ερ. 1 Κατὰ μὲν οὖν στένω δαΐας τόλμας,
2 Ἂν ἔρεξ', ὦ κατάρατος.
4 Ἐγὼ, κατάρατος ἀνδράσιν.
Θε. Συγγνώσεταί σοι τήνδ' ἁμαρτίαν πόσις.

Her. Gemo profectò propter hoſtilem audaciam,
Quam feci, ô execrabilis
Ego, execrabilis viris.
Fam. Condonabit tibi hoc peccatum maritus.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

ANOMOEOSTROPHA.

Στροφὴ α'.

Strophe 1.

Ερ. Τί μοι ξίφος ἐκ χερὸς ἠγρεύσω;
Ἀπόδος, ὦ φίλα,
Ἀπόδος, ἵν' ἀνταίαν
Ἐρείσω πλαγάν.
Τί με βρόχων εἴργεις;
Θε. Ἀλλ' ἤ σ' ἀφείην μὴ φρονοῦσαν, ὡς θάνοις;

Her. Quare rapuiſti mihi gladium ex manu?
Redde, ô chara,
Redde, ut adverſam
Inſignem plagam:
Quare arces me à laqueis?
Fam. An verò dimitterem te furentem, ut moriaris?

ANNOTATIONES.

V. 810. [illegible]) i. e. [illegible]. Voluntas enim cum manifeſto conatu conjuncta pro ipſo facto ſumitur, ut inquit Æmylius Portus, cujus Notas in hunc locum adeas; plures enim hujus Formulæ inſtantias profert.

V. 825. Ἰώ, μοί, μοι·) Canterus malè hæc Ἀντιστροφα dixit. Sunt enim Ἀντιστροφικά, ad v. 840, ut Nos nunc correximus. J. B.

V. 832. Θε.) Malè Θε. hic pro Θεράπαινα ponitur; eſſet potiùs Τρ. pro Τροφὸς, quia τέκνον vocat Hermionen frequenter, & hanc Perſonam agnoſcit mox Scholiaſtes ad v. 851. Sed hoc non vidi, quùm Perſonas ad initium Fabulæ ordinarem. Tu ergo addas ΤΡΟΦΟΣ, NUTRIX. Joſua Barnes.

Στροφὴ

Στροφὴ β'.

Ερ. Οἴμοι πότμου, ποῦ μοι πυρὸς φίλα φλόξ;
Ποῦ δ' εἰς πέτρας ἀερθῶ;
Κατὰ πόντον, ἢ καθ' ὕλαν ὀρέων,
Ἵνα θανοῦσα νερτέροισι μέλω;
Χο. Τί ταῦτα μοχθεῖς; "συμφοραὶ θεήλατοι
" Πᾶσι βροτοῖσιν ἢ τότ' ἦλθον, ἢ τότε.

Στροφὴ γ'.

Ερ. Ἔλιπες, ἔλιπες, ὦ πάτερ, ἐπακτίαν
Ὡσεὶ μονάδ' ἔρημον οὖσαν
Ἐναλίου κώπας.
Ὀλεῖ μ' ὀλεῖ με.
Οὐκέτι τᾷδ' ἐνοικήσω
Νυμφιδίῳ στέγᾳ.
Τίνος ἀγαλμάτων ἱκέτις ὁρμάθω;
Ἢ δούλα δούλοις γόνασι προσπέσω
Φθιάδος ἐκ γᾶς;
Κυανόπτερος ὄρνις εἴθ' εἴην,
Ἢ πευκᾶεν σκάφος, ᾗ
Διὰ Κυανέας ἐπέρασ' ἀκτὰς
Πρωτόπλους πλάτα.

Ἴαμβοι.

Θε. Ὦ παῖ, τὸ, τι λίαν οὔτ' ἐκεῖν' ἐπῄνεσα,
Ὅτ' εἰς γυναῖκα Τρῳάδ' ἐξημάρτανες,
Οὔτ' αὖ τὸ νῦν σου δεῖμ', ὃ δειμαίνεις ἄγαν.
Οὐχ ὧδε κῆδος σὸν διώσεται πόσις,
Φαύλοις γυναικὸς βαρβάρου πεισθεὶς λόγοις.
Οὐ γάρ τι σ' αἰχμάλωτον ἐκ Τροίας ἔχει,
Ἀλλ' ἀνδρὸς ἐσθλοῦ παῖδα σὺν πολλοῖς λαβὼν
Ἕδνοισι, πόλεώς τ' οὐ μέσως εὐδαίμονος.
Πατὴρ δέ σ' οὐχ ὧδ', ὡς σὺ δειμαίνεις, τέκνον,
Προδοὺς ἐάσει δωμάτων τῶνδ' ἐκπεσεῖν.
Ἀλλ' εἴσιθ' εἴσω· μηδὲ φαντάζου δόμων
Πάροιθε τῶνδε, μή τιν' αἰσχύνην λάβῃς
Πρόσθεν μελάθρων τῶνδ' ὁρωμένη, τέκνον.
Χο. Καὶ μὴν ὅδ' ἀλλόχρως τις ἔκδημος ξένος
Σπουδῇ πρὸς ἡμᾶς δωμάτων πορεύεται.
Ορ. Ξέναι γυναῖκες, ἦ τάδ' ἔστ' Ἀχιλλέως
Παιδὸς μέλαθρα, καὶ τυραννικαὶ στέγαι;
Χο. Ἔγνως· ἀτὰρ δὴ τίς σὺ πυνθάνῃ τάδε;
Ορ. Ἀγαμέμνονός τε καὶ Κλυταιμνήστρας τόκος,
Ὄνομα δ' Ὀρέστης· ἔρχομαι δὲ πρὸς Διὸς
Μαντεῖα Δωδωναῖ'· ἐπεὶ δ' ἀφικόμην
Φθίαν, δοκεῖ μοι ξυγγενοῦς μαθεῖν πέρι
Γυναικὸς, εἰ ζῇ, κεὐτυχοῦσα τυγχάνει,

Strophe 2.

Her. Heu exitium, ubi eſt mihi chara flamma ignis?
Ubi verò ad *saxa* ſurſum ſublimis ferar?
Utrum in mare, an in ſylvam montium *me conferam*,
Ut mortua ſim curæ inferis?
Ch. Quid iſta laborioſè paras? " calamitates divinitus
" Omnibus hominibus veniunt, aut tunc, aut tunc.

Strophe 3.

Her. Reliquiſti, reliquiſti me, ô pater, in littore ſtantem
Ut *navem*, ſolam, deſtitutam exiſtentem
Marino remo:
Perdes me, perdes me.
Non ampliùs in hâc habitabo
Maritali domo.
Cujus ſtatuas ſupplex petam?
An ſerva accidâ ad ſervilia genua
Phthiæ ex terrâ *cùm fugero*?
Utinam eſſem cæruleis alis prædita avis,
Aut pinea navis, quæ
Per Cyaneas penetravit inſulas,
Prima navigans remo.

Iambi.

O filia, neque exceſſum illum tuum laudavi,
Quando peccâſti in mulierem Trojanam:
Neque nunc tuum hunc metum, quo nimium times.
Non ſic repellet tuum connubium maritus,
Perſuaſus malâ oratione barbaræ mulieris.
Non enim habet te captivam ex Trojâ,
Sed viri præſtantis filiam accipiens cum magnâ
Dote, & ex urbe non mediocriter beatâ.
Et pater te non ſicut tu metuis, filia,
Deſerens ſinet ejici ex hâc domo.
Sed vade intrò, neque appareas ædes
Ante has, nè quod dedecus accipias, *tibi conſtes*,
Conſpecta ante hanc aulam, ô filia.
Ch. Atqui hic alio corp. colore præditus quiſpiâ peregrinus hoſpes
Celeriter ad nos *ex* *iſtâ* domo venit.
Or. Mulieres hoſpitæ, an hæc eſt Achillis
Filii domus, & regiæ ædes?
Ch. *Eas* cognoviſti: *ſed* quis tu interrogas hæc?
Or. Agamemnonis & Clytæmneſtræ filius,
Nomine Oreſtes: venio autem ad Jovis
Oraculum Dodonæum: poſtquam autem veni
In Phthiam, placuit mihi percontari de cognatâ
Muliere, an vivat & benè valeat,

851. Τί ταῦτα) ἀ-θλίως ἢ τροπῇ ᾧ τὰ μοχθεῖς.

Θεήλατοι) θεό-πεμπτοι.
852. Ἢ τότ' ἦλ-θον, ἢ τότε) ἀντὶ τῶ ἢ ταχὺ, ἢ βραδύ.

854. Ὡσεὶ μονάδ' ἔρημον) ὡς τὴν ναῦν ἐν τῷ αἰγιαλῷ ἐστερημένην πηδαλίου.

[* 859. Ὁρμάθω) οὐχ ἁπλῶς, ἀλλὰ δὶς, ἢ τρὶς, εἰρημένον· ἀντὶ τῶ ὁρμῶ. ὡς τελέω διὰ ἐπενθέσεως τῶ θ', τελέθω. ὡσαύτως ἐργάθω, ἀμυνάθω, φθινύθω, βαρύθω, διωκάθω, εἰκάθω, μινύθω. καὶ τοιαῦτα. σχῆμα Ἀττικόν.]
860. Ἢ δούλα δού-λας) ἄρα φησὶν, ὡς δούλη προσπέσω τοῖς γόνασι τῆς δούλης. λέγει δὲ τὴν Ἀνδρομάχην.
863. Πευκᾶεν) πεύκινον πλοῖον, τὴν Ἀργὼ δηλονότι.

873. Οὐ μέσως) οὐ μετρίως καὶ μέσως, ἀλλὰ μεγάλως. [* Τὴν Σπάρτην δηλοῖ τῆς Ἀθήνας ἀνθάμιλλον ἕως χρόνου τῶ νῦν τῶ Πελοποννησιακῶ πολέμου.]

879. Ἀλλόχρως) ἀλλόμορφος.
885. Ὄνομα δ' Ὀρέστης) ἀναβληθεὶς τῶ Ἄργους Ὀρέστης ἀπῆρε εἰς τὸ ἱερὸν τῶ Διὸς, τὸ ἐν τῇ Δωδώνῃ, μαντευσόμενος, ποίαν οἰκήσει πόλιν. ἀπιὼν οὖν ἔρχεται εἰς τὴν Φθίαν. Δίδυμος δὲ ταῦτα φησὶν εἶναι ψευδῆ, καὶ ἄπιστα.

* Ὁρμάθω) Hæc Uncinis incluſa Nos aſſuimus Veteri Scholiaſtæ, Vid. Med. v. 189. *Joſua Barnes.* * Τὴν Σπάρτην) Item hæc. *Idem.*

ANNOTATIONES.

V. 853. Χαλ... ἢ) ἢ refertur ad πλάτα quare non eſt, ut *Æmyl. Portus* tantas turbas excitet.

V. 864. Κυανέας) Literâ majoſculâ ſcribo, *Symplegades* enim & *Argo* navim Poeta notat; quare & in *Latinâ* Verſione, *Cyaneas Inſulas* ſcribo, rejecto inſulſo illo, quod prius obtinebat, *cæruleas littora*. *Joſua Barnes.*

V. 866. Ὦ παῖ, τὸ, τι λίαν) Ita pro τότε.

V. 872. Σὺν πολλοῖς λαβὼν ἕδνοισι) Vid. ſupra 153.

V. 883. Τίς σὺ πυνθάνῃ τάδε;) Olim ſcriptum erat τίς δὲ ſenſu nihilò pejori, at Verſu egregiè luxato; tum enim *tertium* locum *trocheus* occupabat, qui per in hoc verſu ſtare nullo modo poteſt, deinde in *quarto* loco *ſpondæus* erat, quod poſſibile non eſt: Præterea *Canterus* huic lectioni favet, licet ejus neceſſitatem non æquè vidiſſe viſus eſt; hoc tantùm enim ait, ſe malle τίς σὺ quàm δὲ. *Joſua Barnes.*

Ἡ Σπαρ-

Ἡ Σπαρτιᾶτις Ἑρμιόνη· τηλουρὰ γὰρ
Ναίει ἀφ' ἡμῶν πεδί', ὅμως ἐστὶν φίλη.
Ερ. Ὦ ναυτίλοισι χείματος λιμὴν φανεὶς,
Ἀγαμέμνονος παῖ, πρός σε τῶνδε γουνάτων,
Οἴκτειρον ἡμᾶς, ὧν ἐπισκοπεῖς τύχας,
Πράσσοντας οὐκ εὖ· στεμμάτων δ' οὐχ ἧσσονας
Σοῖς προστίθημι γόνασιν ὠλένας ἐμάς.
Ορ. Ἔα. Τί χρῆμα; μῶν ἐσφάλμεθ', ἢ σαφῶς ὁρῶ
Δόμων ἄνασσαν τήνδε Μενέλεω κόρην;
Ερ. Ἥνπερ μόνην γε Τυνδαρὶς τίκτει γυνὴ,
Ἑλένη, κατ' οἴκους πατρὶ, μηδὲν ἀγνόει.
Ορ. Ὦ Φοῖβ' ἀκέστωρ, πημάτων δοίης λύσιν.
Τί χρῆμα; πρὸς θεῶν, ἢ βροτῶν πάσχεις κακά;
Ερ. Τὰ μὲν πρὸς ἡμῶν, τὰ δὲ πρὸς ἀνδρὸς, ὅς μ' ἔχει,
Τὰ δ' ἐκ θεῶν του· πανταχῇ δ' ὀλώλαμεν.
Ορ. Τίς οὖν ἂν εἴη, μὴ πεφυκότων γέ πω
Παίδων, γυναικὶ συμφορὰ, πλὴν εἰς λέχος;
Ερ. Τοῦτ' αὐτὸ καὶ νοσοῦμεν· εὖ μ' ὑπηγάγου.
Ορ. Ἄλλην τιν' εὐνὴν ἀντὶ σοῦ στέργει πόσις;
Ερ. Τὴν αἰχμάλωτον Ἕκτορος ξυνευνέτιν.
Ορ. Κακόν γ' ἔλεξας, ἕν' ἄνδρα δισσ' ἔχειν λέχη.
Ερ. Τοιαῦτα ταῦτα· κᾆτ' ἔγωγ' ἠμυνάμην.
Ορ. Μῶν εἰς γυναῖκ' ἔρραψας, οἷα δὴ γυνή;
Ερ. Φόνον γ' ἐκείνῃ καὶ τέκνῳ νοθαγενεῖ.
Ορ. Κἄκτεινας; ἤ τις συμφορᾶς ἀφείλετο;
Ερ. Γέρων γε Πηλεὺς τοὺς κακίονας σέβων.
Ορ. Σοὶ δ' ἦν τις ὅστις τοῦδ' ἐκοινώνει φόνου;
Ερ. Πατήρ γ', ἐπ' αὐτὸ τοῦτ' ἀπὸ Σπάρτης μολών.
Ορ. Κἄπειτα τοῦ γέροντος ἡττήθη χερί;
Ερ. Αἰδοῖ γε· καί μ' ἔρημον οἴχεται λιπών.
Ορ. Συνῆκα· ταρβεῖς τοῖς δεδραμένοις πόσιν.
Ερ. Ἔγνως· ὀλεῖ γάρ μ' ἐνδίκως· τί δεῖ λέγειν;
Ἀλλ' ἀντομαί σε, Δία καλοῦσ' ὁμόγνιον,
Πέμψον με χώρας τῆσδ' ὅποι προσωτάτω,
Ἢ πρὸς πατρῷον μέλαθρον· ὡς δοκοῦσί μοι
Δόμοι γ' ἐλαύνειν φθέγμ' ἔχοντες οἵδε με,
Μισεῖ τε γαῖα Φθιάς· εἰ δ' ἥξει πάρος
Φοίβου λιπὼν μαντεῖον εἰς δόμους πόσις,
Κτενεῖ μ' ἐπ' αἰσχίστοισιν· ἢ δουλεύσομεν
Νόθοισι λέκτροις, ὧν ἐδέσποζον πρὸ τοῦ.
Ορ. Πῶς οὖν τάδ', ὡς εἴποι τις, ἐξημάρτανες;

Spartana Hermione: remotos enim
Quamvis habitet procul à nobis campos, tamen eſt chara.
Her. O nautis portus tempeſtatis apparens,
Agamemnonis fili, *oro* te per iſta genua,
Miſerere noſtri (quorum fortunam inſpicis)
Infelicium: non minus autem valentes, quàm rami ſupplicum,
Tuis appono genibus ulnas meas.
Or. Age, quænam eſt res? num erramus? an clarè video
Filiam Menelai reginam harum ædium?
Her. Quam ſolam Tyndaris mulier peperit
Helena patri in ædibus, nè ignores.
Or. O Phœbe medice, des ſolutionem malorum:
Quænam res eſt? à diis, an hominibus pateris mala?
Her. Partim quidem à nobis, partim verò à viro, qui me habet,
Partim etiam à Deo aliquo: undique verò periimus.
Or. Quæ verò poteſt eſſe, nondum natis
Liberis, mulieri calamitas, præterquam de connubio?
Her. Hâc ipsâ re languemus, rectè meo ſermoni ſubſervis.
Or. Aliud connubium pro te amat maritus?
Her. Captivam uxorem Hectoris.
Or. Malum dixiſti, unum virum habere duas conjuges.
Her. Talia *ſunt* hæc: deinde ego ulta ſum.
Or. Num adverſus mulierem ſtruxiſti, qualia ſolet mulier?
Her. Necem ipſi & filio notho.
Or. Et occidiſti? an aliquis liberavit à calamitate?
Item *Iliad.* ά. v. 280. Εἰ δὲ σὺ καρτερός ἐσσι, Θεὰ δέ σε γείνατο μήτηρ. Vide *Oriſt.* v. 25. μητρὸς, ἥ σφ' ἐγείνατο. Sic utique Parentes aliquando τοκεῖς & τεκόντες aliquando γονεῖς, φυτύτορες & οἱ γεννήσαντες dicuntur. Vide *Euſtathium* in *Hom.* fol. 1568. l. 1. in τὸ Γεννᾷν, item fol. 1682. lin. 32. in τοκεῦς. *Joſua Barnes.*

Ιφ. Ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ.
Αγ. Καὶ γὰρ πατὴρ σέ· τόδ' ἴσον ὑπὲρ ἀμφοῖν λέγεις.
Ιφ. Χαῖρ'· εὖ δέ μ' ἀγαγὼν πρός σ' ἐποίησας, πάτερ.
Αγ. Οὐκ οἶδ', ὅπως φῶ τοῦτο, καὶ μὴ φῶ, τέκνον.
Ιφ. Ἔα, ὡς οὐ βλέπεις μ' εὔκηλον, ἄσμενός μ' ἰδών.
Αγ. " Πόλλ' ἀνδρὶ βασιλεῖ καὶ στρατηλάτῃ μέλει.
Ιφ. Πρὸς ἐμοῦ γενοῦ νῦν, μὴ 'πὶ φροντίδας τρέπου.
Αγ. Ἀλλ' εἰμὶ παρὰ σοὶ νῦν ἅπας, κοὐκ ἄλλοθι.
Ιφ. Μέθες νυν ὀφρύν, ὄμμα τ' ἔκτεινον φίλον.
Αγ. Ἰδού· Γέγηθ', ὡς γέγηθά, σ' εἰσορῶν, τέκνον.
Ιφ. Κᾆπειτα λείβεις δάκρυ' ἀπ' ὀμμάτων σέθεν;
Αγ. Μακρὰ γὰρ ἡμῖν ἡ 'πιοῦσ' ἀπουσία.
Ιφ. Οὐκ οἶδ', ὅ, τι φῄς, οὐκ οἶδα, φίλτατ' ἐμοὶ πάτερ.
Αγ. Συνετὰ λέγουσα, μᾶλλον εἰς οἶκτόν μ' ἄγεις.
Ιφ. Ἀσύνετά νυν γ' ἐροῦμεν, εἰ σέ γ' εὐφρανῶ.
Αγ. Παπαί. τὸ σιγᾶν οὐ σθένω. σὲ δ' ᾔνεσα.
Ιφ. Μέν', ὦ πάτερ, κατ' οἶκον ἐπὶ τέκνοις σέθεν.
Αγ. Θέλω γε. τὸ θέλειν δ' οὐκ ἔχων ἀλγύνομαι.
Ιφ. Ὄλοιντο λόγχαι, καὶ τὰ Μενέλεω κακά.
Αγ. Ἄλλους ὀλεῖ πρόσθεν, ἅ με διολέσαντ' ἔχει.
Ιφ. Ὡς πολὺν ἀπῆσθα χρόνον ἐν Αὐλίδος μυχοῖς.
Αγ. Καὶ νῦν γέ μ' ἴσχει δή τι, μὴ στέλλειν στρατόν.
Ιφ. Ποῦ τοὺς Φρύγας λέγουσιν ᾠκῆσθαι, πάτερ;
Αγ. Οὗ μή ποτ' οἰκεῖν ὤφελ' ὁ Πριάμου Πάρις.
Ιφ. Μακρὰν ἀπαίρεις, ὦ πάτερ, λιπὼν ἐμέ;
Αγ. Εἰς ταυτόν, ὦ θύγατερ, σὺ δ' ἥκεις τῷ πατρί.
Ιφ. Φεῦ. εἴθ' ἦν καλόν μοι, σοί τ' ἄγειν σύμπλουν ἐμέ.
Αγ. Αἰτεῖς τι; καί σοι πλοῦς, ἵνα μνήσῃ πατρός.
Ιφ. Σὺν μητρὶ πλεύσασ', ἢ μόνη, πορεύσομαι;
Αγ. Μόνη μονωθεῖσ' ἀπὸ πατρός, καὶ μητέρος.
Ιφ. Ἦ πού μ' ἐς ἄλλα δώματ' οἰκίζεις, πάτερ;
Αγ. Ἔα γε τ'. οὐ χρὴ τοιάδ' εἰδέναι κόρας.
Ιφ. Σπεῦδ' ἐκ Φρυγῶν μοι, θέμενος εὖ τἀκεῖ, πάτερ.
Αγ. Θῦσαί με θυσίαν πρῶτα δεῖ τιν' ἐνθάδε.
Ιφ. Ἀλλὰ ξὺν ἱεροῖς χρὴ τόδ' εὐσεβὲς σκοπεῖν.
Αγ. Εἴσῃ σύ. χερνίβων γὰρ ἑστήξῃ πέλας.
Ιφ. Στήσομεν ἆρ' ἀμφὶ βωμόν, ὦ πάτερ, χορούς;
Αγ. Ζηλῶ σε μᾶλλον, ἢ με, τοῦ μηδὲν φρονεῖν.
Χώρει δὲ μελάθρων ἐντός, ὀφθῆναι κόραις.
Πικρὸν φίλημα δοῦσα, δεξιάν τ' ἐμοί,
Μέλλουσα δαρὸν πατρὸς ἀποικήσειν χρόνον.
Ὦ στέρνα, καὶ παρῇδες, ὦ ξανθαὶ κόμαι,
Ὡς ἄχθος ἡμῖν ἐγένεθ' ἡ Φρυγῶν πόλις,

Iph. O pater, intueor te lubens poſt longum tempus.
Ag. Et ego te, ex æquo utriſque convenit quod dicis.
Iph. Salve, bene autem feciſti pater, quòd me ad te adduci curaſti.
Ag. Equidem, ô mea filia, neſcio quid vel affirmem, vel negem.
Iph. Hei mihi, quam me tranquillè intueris, cum me libens videris.
Aga. " Multa regi & duci curanda ſunt.
Iph. Da te mihi nunc, nec ad alias curas converſaris.
Aga. Atqui ſum tecum totus, non alibi.
Iph. Remitte nunc ſupercilium, oculóſque lætos exporrige.
Aga. Ecce jam lætor, ſed tantiſper dum te video, filia.
Iph. Et tamen lachrymas ex oculis tuis profundis?
Ag. Longa enim *erit* nobis ſequens *&* *in poſterum futura* abſentia.
Iph. Neſcio, mi chariſſime pater, neſcio quid dicas.
Ag. Quòd prudenter loqueris, eò magis me ad miſerationem moves.
Iph. Dicemus igitur ſtulta, ſi modo te exhilarabo.
Aga. Papæ! non poſſum tacere: te verò laudo.
Iph. Mane, o pater, domi cum tuis liberis.
Aga. Volo quidem, & cum non poſſim quod velim, doleo.
Iph. Valeant haſtæ, & mala Menelai.
Ag. Priùs alios perdent, quæ me perdiderunt.
Iph. Quàm longum abfuiſti tempus in Aulidis receſſibus!
Aga. Prohibet me nunc etiam aliquid, non trajicere exercitum.
Iph. Pater, ubi dicunt Phryges habitare?
Ag. Ubi utinam nunquam habitaſſet Paris Priami filius.
Iph. Procul navigas, ô pater, deſerens me?
Aga. Eodem, ô mea filia, tu quoque venis cum patre.
Iph. Oh. Utinam eſſet honeſtum mihi, tibiq; me tecum navigare.
Ag. Quid poſtulas? & tibi *erit* navigatio, ut ſis memor patris.
Iph. An cum matre navigans, an ſola, proficiſcar?
Aga. Sola ſegregata à patre & matre.
Iph. An igitur in alias ædes me collocabis, pater?
Aga. Mitte hæc, non enim oportet puellas hæc ſcire.
Iph. Pater propera, ut redeas de Phrygib. rebus illic rectè curatis.
Ag. Oportet me priùs hic quoddam ſacrificium facere.
Iph. Atqui cum ſacerdotibus oportet deliberare hanc ſacram rē.
Aga. Tu ſcies: aſtabis enim prope lavacrum.
Iph. O pater, faciemúſne chorum circa aram?
Ag. Duco te hoc eſſe beatiorem, quàm me, quòd nihil *boni* ſcias:
Sed in atrium eas, ut videant te puellæ.
Dediſti mihi acerbum oſculum & dextram,
Cùm ſis longo tempore abfutura patre.
O pectora, & genæ, ô flavos capillos,
Quantum dolorem nobis attulit Troja,

V. 644. Ἔα, ὡς οὐ βλέπεις, &c.) τὸ Ἔα extra Verſum redundat. Vide Not. ad *Hecub.* v. 1116. V. 646. Πρὸς ἐμοῦ γενοῦ νῦν, μὴ 'πὶ φροντίδας τρέπου.) Delevi καὶ ab inter νῦν & μὴ, ut Verſus ſibi conſtaret. Nullo enim modo *Amphimacer* in quarto loco, admitti poteſt. *Joſua Barnes.* V. 649. Ἰδού· Γέγηθ', ὡς γέγηθά, σ' εἰσορῶν, τέκνον.) Hic verſus olim ſic legebatur Ἰδοὺ γέγηθ' ὡς γέγηθά σ' ὁρῶν τέκνον, metro miſerè luxato; quare τὸ Ἰδοὺ extra verſum ſcripſimus, ut ſupra v. 644. & *Hecub.* v. 1116. & εἰσορῶν pro ὁρῶν legimus, licet ut verum fateamur, nec exemplar ullum, nec expoſitor, pro nobis facit: ſcio tamen poſſe & aliter metro conſuli; ſed hæc lectio ſanior fortè emunctioribus videbitur. *Joſ. Barnes.* V. 657. Θέλω γε· τὸ θέλειν) *Daportus* legit θέλω· τὸ δ' ἐθέλειν, Non æquè benè; nec ulla ſuberat cauſa, cur vetus lectio diſpliceret. *Joſua Barnes* V. 665. Εἰς ταυτὸν, ὦ θύγατερ, σὺ δ' ἥκεις τῷ πατρί.) Eandem fere mentem præ ſe ferunt Verba ſupra v. 641. V. 666. Φεῦ) Et hoc quoque extra Carmen. Vide v. 644. V. 669. Μόνη μονωθεῖσ' ἀπὸ πατρὸς, &c.) Hic τὸ ἀπὸ vel præponendum eſt τῷ μονωθεῖσα in conſtructione, vel certè pro τοῦ ὑπὸ ponitur, ut D. *Lucæ* c. 9. v. 28. ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων. Vide *Matth.* 11. 19. & 16. v. 21. *Marc.* c. 8. v. 31. *Theod. Beza* ad *Matth.* 11. 19. notat in Veteribus Synodis *Græcè* ſcriptis paſſim hanc reperiri formulam Ἀπὸ πάσης Συνόδου ἐλέγχθη. Vide *Sebaſtiani Pfochenii* de *Græca* Linguæ N. T. Puritate. *Joſua Barnes.* V. 677. Ζηλῶ σε τοῦ μηδὲν φρονεῖν) Ita *Sophocl.* ζηλῶ σε τοῦ νοῦ. Et *Iſocrat.* Ζηλῶ σε τῆς ἀρχῆς. ſubaudi ἕνεκα. V. 678. Ὀφθῆναι κόραις) Non ut hìc à Viris, atque exercitu. *Joh. Brodæus.* De Cuſtodia Mulierum & præcipuè Virginum apud Veteres, Vide *Eſtheram* noſtram & Notas ad ejuſdem v. 165. & 177. ---Idem *Euripides* Electr. v. 342. ---------Γυναικί τοι Αἰσχρὸν μετ' ἀνδρῶν ἑστάναι νεανιῶν. Hinc Καταχήνωτοι dicebantur. Vide *Sam. Petiti* Miſcell. l. 2. c. 1. p. 65. *Joſua Barnes.* V. 681. Παρῇδες) Ita ſcribo pro παρηίδες, ut Νηρῇδος pro Νηρηίδος, ſupra v. 626. Vide *Phæniſſ.* v. 1388. *Joſua Barnes.*

Ἑλένη

Ἑλένη τε, παύω τοὺς λόγους. ταχεῖα γὰρ
Νοτὶς διώκει μ᾽ ὀμμάτων, ψαύσαντά σου.
Ἴθ᾽ εἰς μέλαθρα. σὲ δὲ παραιτοῦμαι τάδε,
Λήδας γένεθλον, εἰ κατῳκτίσθην ἄγαν,
Μέλλων Ἀχιλλεῖ θυγατέρ᾽ ἐκδώσειν ἐμήν.
“ Ἀποστολαὶ γὰρ μακάριαι μὲν, ἀλλ᾽ ὅμως
“ Δάκνουσι τοὺς τεκόντας, ὅταν ἄλλοις δόμοις
“ Παῖδας παραδιδῷ πολλὰ μοχθήσας πατήρ.
Κλυ. Οὐχ ὧδ᾽ ἀσύνετός εἰμι. πείσεσθαι δέ με
Καὐτὴν δόκει τάδ᾽, ὥστε μή σε νουθετεῖν,
Ὅταν σὺν ὑμεναίοισιν ἐξάγω κόρην.
Ἀλλ᾽ ὁ νόμος αὐτὰ τῷ χρόνῳ συνισχανεῖ.
Τοὔνομα μὲν οὖν παιδ᾽ οἶδ᾽ ὅτῳ κατήνεσας·
Γένους δὲ ποίου, χ᾽ ὁπόθεν, μαθεῖν θέλω.
Αγ. Αἴγινα θυγάτηρ ἐγένετ᾽, Ἀσωποῦ πατρός.
Κλυ. Ταύτην δὲ θνητῶν, ἢ θεῶν ἔζευξέ τις;
Αγ. Ζεύς. Αἰακὸν δ᾽ ἔφυσεν, Οἰνώνης πρόμον.
Κλυ. Τοῦ δ᾽ Αἰακοῦ παῖς τίς κατέσχε δώματα;
Αγ. Πηλεύς. ὁ Πηλεὺς δ᾽ ἔσχε Νηρέως κόρην.
Κλυ. Θεοῦ διδόντος, ἢ βίᾳ θεῶν λαβών;
Αγ. Ζεὺς ἠγγύησε, καὶ δίδωσ᾽ ὁ κύριος.
Κλυ. Γαμεῖ δὲ ποῦ νιν; ἢ κατ᾽ οἶδμα πόντιον;
Αγ. Χείρων ἵν᾽ οἰκεῖ σεμνὰ Πηλίου βάθρα.
Κλυ. Οὗ φασι Κενταύρειον οἰκεῖσθαι γένος;
Αγ. Ἐνταῦθ᾽ ἔδαισαν Πηλέως γάμους θεοί.
Κλυ, Θέτις δ᾽ ἔθρεψεν, ἢ πατὴρ Ἀχιλλέα;
Αγ. Χείρων, ἵν᾽ ἤθη μὴ μάθοι κακῶν βροτῶν.
Κλυ. Φεῦ. σοφός γ᾽ ὁ θρέψας, χ᾽ ὡ διδοὺς σοφώτερος.
Αγ. Τοιόσδε παιδὸς σῆς ἀνὴρ ἔσται πόσις.
Κλυ. Οὐ μεμπτός. οἰκεῖ δ᾽ ἄστυ ποῖον Ἑλλάδος;
Αγ. Ἀπιδανὸν ἀμφὶ ποταμὸν ἐν Φθίας ὅροις.
Κλυ. Ἐκεῖσ᾽ ἀπάξει σὴν ἐμήν τε παρθένον;
Αγ. Κείνῳ μελήσει ταῦτα, τῷ κεκτημένῳ.
Κλυ. Ἀλλ᾽ εὐτυχοίτην. τίνι δ᾽ ἐν ἡμέρᾳ γαμεῖ;
Αγ. Ὅταν σελήνης εὐτυχὴς ἔλθῃ κύκλος.
Κλυ. Προτέλεια δ᾽ ἤδη παιδὸς ἔσφαξας θεᾷ;
Αγ. Μέλλω γ᾽. ἐπὶ ταύτῃ καὶ καθέσταμεν τύχῃ.
Κλυ. Κἄπειτα δαίσεις τοὺς γάμους ἐσύστερον;
Αγ. Θύσας γε θύμαθ᾽, ἅ με χρὴ θῦσαι θεοῖς.
Κλυ. Ἡμεῖς δὲ θοίνην ποῦ γυναιξὶ θήσομεν;
Αγ. Ἐνθάδε παρ᾽ εὐπρύμνοισιν Ἀργείων πλάταις.
Κλυ. Καλῶς δ᾽, ἀναγκαίως τε, συνενέγκοι δ᾽ ὅμως.
Αγ. Οἶσθ᾽ οὖν ὃ δρᾶσον, ὦ γύναι; πιθοῦ δέ μοι.

Et Helena: deſino loqui. ſubitus enim
Humor oculorum urget me, cùm te tango.
Abi in aulam. Te verò deprecor hæc,
O filia Ledæ, quòd valde miſericordia afficiar,
Quòd ſim Achilli filiam elocaturus meam.
“ Eſt quidem felix ablegatio, ſed tamen
“ Mordet parentes, quando alienis ædibus
“ Tradit liberos pater, quos multo labore educavit.
Cly. Non ita ſtulta ſum: paſſuram verò me
Et ipſam eadem exiſtimes (ut nihil opus ſit te monere)
Quando puellam educam cum Hymenæo,
Sed & lex & ætas idem poſtulant, ut elocetur:
Nomen igitur ſcio *ejus* cui deſpondiſti filiam:
Cupio autem ſcire ex quo genere ſit, & unde
Aga. Ægina filia nata eſt ex Aſopo patre.
Cly. Hanc verò mortaliumne, an Deorū aliquis *uxorem ſibi* junxit?
Aga. Jupiter. Æacum vero genuit, Oenones principem,
Cly. Sed quiſnam filius Æaci obtinuit domum?
Aga. Peleus. Peleus autem habebat filiam Nerei.
Cly. Deone conced. nte, an invitis Diis *eam* accipiens?
Aga. Jupiter deſponſavit, & pater locavit.
Cly. Ubinam ducit illam? an in fluctibus marinis?
Aga. *Ibi* ubi Chiron habitabat auguſtam ſedem Pelii.
Cly. Ubi aiunt habitare genus Centaurorum?
Aga. Ibi dii celebrârunt nuptias Pelei.
Cly. Sed utrum *mater* Thetis educavit Achillem, an pater?
Aga. Chiron, ne diſceret mores malorum hominum.
Cly. Hem. Sapiens educator, at ſapientior qui tradidit educandū.
Aga. Talis vir maritus erit tuæ filiæ.
Cly. Non contemnendus. Sed in qua urbe Græciæ habitat?
Aga. Ad flumen Apidanum in finibus Phthiæ.
Cly. Eone abducet tuam, meámque virginem?
Aga. Hæc erunt curæ illi, qui poſſidebit *ipſam*.
Cly. Sint igitur beati. Quo verò die ducet *eam*?
Ag. Quum lunæ felix venerit orbis, *i. e. quum erit plenilunium.*
Cly. Jamne mactâſti Deæ initiales victimas nuptiarum filiæ?
Aga. Mactabo, nam in hoc negotio jam ſumus occupati.
Cly. An verò deinde celebrabis convivium nuptiale?
Aga. Cum mactavero victimas, quas me diis immolare oportet.
Cly. Nos verò ubinam faciemus convivium mulieribus?
Aga. Hic ad naves Græcorum bene-puppibus-ornatas.
Cly. Probè, & neceſſe eſt ita fieri, attamen confer aliquid.
Aga. O uxor, ſcisne quid facturus ſis? pare autem mihi.

V. 695. Τοὔνομα μὲν οὖν) Incogitanter & memoriâ lapſus Poeta noſter fingit *Clytemneſtram* ignorare Genus Viri, cui deſponderetur filia; cùm & illam neceſſariò id priùs ſciviſſe putandum, & ipſe ſuprà illam ipſam hoc fatentem inducit v. 625. & 626. ubi dicit filiam deſponſatam Viro bono, *Nereidis* filio. De longa autem illius Proſapiâ & Genealogiâ probabiliter ignaram finxit Poeta, ut eo artificio *Achillis* familiam introducat. *Joſ. Barnes.* V. 697. Ἐγένετο) olim ſcriptum erat ἐγείνατ᾽, ſed verſui nocebat; *Duportus* ergò legebat γείνατ᾽ ut verſum ſanaret; ſed adhuc ſenſus laborabat; ἐγείνατο ſemper enim *active* ſignificat, lego itaque ἐγένετ᾽, cum *Cantero* & *Scaligero*, *Senſui*, *Verſui* & *Veteri Lectioni* propiùs accedens. *Joſ. Barnes.* V. 699. Ζεὺς Αἰακὸν δ᾽ ἔφυσεν Οἰνώνης πρόμον) *Stephanus* περὶ πόλεων, Οἰνώνη, νῆσος μία τῶν Αἰακιδῶν. Πρόμος, πρόμαχος, πρωταγωνιστὴς, προστάτης, προηγούμενος, βασιλεύς. Vide *Pauli Leopardi* Emendat. l. 3. c. 8. Hæc Inſula dicta erat *Oenopia* & *Oenone*, poſteà ex *Æaci* matre, *Ægina*, *Hom.* Iliad. β. v. 562. Οἵ τ᾽ ἔχον Αἴγιναν) Νῆσον περὶ τῆς Ἀττικῆς· Ἐκαλεῖτο δὲ πρότερον Οἰνώνη· ὕστερον δὲ Αἴγινα, ἀπὸ Αἰγίνης, τῆς Ἀσωποῦ μὲν θυγατρὸς, Αἰακοῦ δὲ μητρός. Vide *Ovid.* Met. l. 7. fab. 22.

Oenopiam *Minos petit Æacideia regna:*
Oenopiam *veteres appellavere; ſed ipſe Æacus* Æginam *genetricis nomine dixit.*

V. 707. Ἐνταῦθ᾽ ἔδαισαν γάμους) Vide de hâc Phraſi ſuprà v. 123. De hâc autem Deorum in Nuptiis *Pelei* præſentiâ vide quæ Nos ad *Phœniſſ.* v. 829. *Joſ. Barnes.* V. 718. Προτέλεια) Vide *Euſtath.* in *Hom.* fol. 881. lin. 25. Δῆλον δὲ ὅτι πολυσήμαντον τὸ τέλος ἐστί· Τέλος γάρ φασιν, Ἀνάλωμα καὶ Τάξις, καὶ Ἀρχὴ, καὶ Γάμος, &c. quum trium reliquorum ſpecimina dederit, hæc addit, ἐκ δὲ τοῦ λοιποῦ τέλους, ὃ σημαίνει τὸν γάμον, τὰ Προτέλεια·---*Id eſt*, ἡ πρὸ τοῦ γάμου θυσία. *Heſychius* meliùs in hunc locum collimat Προτέλεια, ἡ πρὸ τοῖς γάμοις (legerem τοῦ γάμου) Θυσία καὶ ἑορτή. Τέλος γὰρ ὁ γάμος ἀπὸ τοῦ εἰς τελειότητα ἄγειν. Πρωτόλεια à λεία *præda* derivatur & ſonat *Primitiæ-prædæ*; & ſimpliciter Primitias; & longè diverſum eſt à Priori. Θεᾷ) *Clytemneſtra* intelligit *Junonem*, quæ Ζυγία dicebatur; de quâ *Apollonius* Argon. l. 4. v. 96. Ἥρη τε Ζυγίη, Διὸς εὐνέτις. Idem apud *Nonnum* & *Dionyſium Halicarnaſſ.* Unde teſte *P. Leopardo* & *Falkenburgio* in *Nonni Dionyſ.* p. 82. lin. 5. *Muſæus* corrigendus v. 275. Οὐ ζυγίην ἱερήν τις ἐπευφήμησεν ἀοιδός. Leg. Οὐ Ζυγίην Ἥρην. *Joſ. Barnes.* V. 720. Κἄπειτα δαίσεις τοὺς γάμους) Vide ſuprà v. 707. V. 725. Οἶσθ᾽ οὖν ὃ δρᾶσον) Vid. Not. ad *Hecub.* v. 225. & *Scholiaſten* præcipuè, & *M. Anton. Muret.* in Var. Lect. l. 3. c. 12. Eſt autē *Atticum*.

Κλυ. Τί χρῆμα; πείθεσθαι γὰρ εἴθισμαι σέθεν.
Αγα. Ἡμεῖς μὲν ἐνθάδ', οὗπέρ ἐσθ' ὁ νυμφίος.
Κλυ. Μητρὸς τί χωρὶς δράσεθ', ἅ 'ν με δρᾶν χρεών;
Αγα. Ἐκδώσομεν σὴν παῖδα Δαναϊδῶν μέτα.
Κλυ. Ἡμᾶς δὲ ποῦ χρὴ τηνικαῦτα τυγχάνειν;
Αγα. Χώρει πρὸς Ἄργος, παρθένους τε τημέλει.
Κλυ. Λιποῦσα παῖδα; τίς δ' ἀνασχήσει φλόγα;
Αγα. Ἐγὼ παρέξω φῶς, ὃ νυμφίοις πρέπει.
Κλυ. Οὐχ ὁ νόμος οὗτος, καὶ σὺ δὲ φαῦλ' ἡγῇ τάδε.
Αγα. Οὐ καλὸν ἐν ὄχλῳ σ' ἐξομιλεῖσθαι στρατοῦ.
Κλυ. Καλὸν τεκοῦσάν μ' ἐκδοῦναί γ' ἐμὰ τέκνα.
Αγα. Καὶ τάς γ' ἐν οἴκῳ μὴ μόνας εἶναι κόρας.
Κλυ. Ὀχυροῖσι παρθενῶσι φρουροῦνται καλῶς.
Αγα. Πιθοῦ. Κλυ. Μὰ τὴν ἄνασσαν Ἀργείαν θεάν.
Ἐλθὼν δὲ, τἄξω πρᾶσσε, τὰ 'ν δόμοις δ' ἐγώ,
Ἃ χρὴ παρεῖναι νυμφίοισι παρθένοις.
Αγα. Οἴμοι· μάτην ᾖξ', ἐλπίδος δ' ἀπεσφάλην,
Ἐξ ὀμμάτων δάμαρτ' ἀποστεῖλαι θέλων.
Σοφίζομαι δὲ, κἀπὶ τοῖσι φιλτάτοις
Τέχνας πορίζω, πανταχῇ νικώμενος.
Ὅμως δὲ σὺν Κάλχαντι τῷ θυηπόλῳ,
Τὸ τῆς θεοῦ φίλον γ', ἐμοὶ δ' οὐκ εὐτυχὲς,
Ἐξιστορήσων εἶμι, μόχθον Ἑλλάδος.
" Χρὴ δ' ἐν δόμοισιν ἄνδρα τὸν σοφὸν τρέφειν
" Γυναῖκα χρηστὴν, κἀγαθὴν, ἢ μὴ τρέφειν.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Ἥξει δὴ Σιμόεντα, καὶ
2 Δίνας ἀργυροειδεῖς,
3 Ἄγυρις Ἑλλάνων στρατιᾶς,
4 Ἀνά τε ναυσὶν, καὶ σὺν ὅπλοις
5 Ἴλιον, ἐς τὸ Τροίας
6 Φοιβήϊον δάπεδον,
7 Τὰν Κασσάνδραν ἵν' ἀκούω
8 Ῥίπτειν ξανθοὺς πλοκάμους,
9 Χλωροκόμῳ στεφάνῳ δάφνας
10 Κοσμηθεῖσαν, ὅταν θεοῦ
11 Παντόσυνοι πνεύσωσ' ἀνάγκαι.

Ἀντιστροφή.

1 Στάσονται δ' ἐπὶ Περγάμων
2 Τροίας, ἀμφί τε τείχη
3 Τρῶες, ὅταν χάλκασπις Ἄρης
4 Πόντιος εὐπρώροισι πλάταις
5 Εἰρεσίᾳ πελάζῃ
6 Σιμουντίοις ὀχετοῖς,
7 Τὰν τῶν ἐν αἰθέρι δισσῶν
8 Διοσκούρων Ἑλέναν
9 Ἐκ Πριάμου κομίσαι θέλων
10 Εἰς γᾶν Ἑλλάδα, δοριπόνοις
11 Ἀσπίσι καὶ λόγχαις Ἀχαιῶν.

Cly. Quam rem *faciam*? nam ſoleo tibi obtemperare.
Aga. Nos quidem illic, ubi eſt ſponſus.
Cly. An ſine matre facietis aliquid *eorum*, quæ me facere oportet?
Aga. Elocabimus tuam filiam inter Græcos.
Cly. Sed ubi nos interim oportet eſſe?
Aga. Proficiſcere Argos, & cura virgines.
Cly. Relictâ filiâ? quis verò præferet ſublatam facem?
Aga. Ego exhibebo facem, quæ convenit ſponſis.
Cly. Non hoc moris *eſt*, & tu ipſe judicas hæc indecora.
Aga. Non te decet verſari in exercitûs turbâ.
Cly. Atqui honeſtum *eſt* me matrē meos ſaltem elocare liberos.
Aga. *Honeſtum eſt*, etiam puellas non ſolas eſſe domi.
Cly. Bene cuſtodiuntur firmis gynæceis.
Aga. Pare. *Cly.* Non per deam reginam Argivorum.
Profectus igitur, quæ foris ſūt agere; res verò domeſticas ego *curabo*,
Quas oportet habere puellas nubentes.
Aga. Hei mihi! Fraſtra veni, fruſtratuſque ſum ſpe,
Volens conjugem dimittere è conſpectu.
Utor autem fallaciis, & adverſus chariſſimos
Excogito technas, & tamen undique vincor.
Attamen cum Calchante vate,
Quid Deæ i. e. *Dianæ* gratum, mihi verò non felix *ſit*,
Percontaturus eo, onus Græciæ.
" Oportet autem virum ſapientem in ædibus alere
" Uxorem commodam, & bonam, aut *omnino* nullam alere.

EPODICA.

Strophe.

Ch. 1 Veniet igitur ad Simoënta, &
2 Argenteos, *limpidiſque* vortices
3 Cœtus exercitûs Græcorum,
4 In navibus, & cum armis
5 *Ad* Ilium, in Trojæ
6 Phœbeum ſolum.
7 Ubi audio Caſſandram
8 Diffundere flavos crines,
9 Viridi coronâ lauri
10 Ornatam, quando Dei
11 Varii impulſus aſpirant.

Antiſtrophe.

1 Stabunt autem in Pergamis, & *arcibus*
2 Trojæ, & circa muros
3 Trojani, cum Mars æreis ſcutis armatus,
4 Marinus *i.e. per mare vectus* velocibus navibus,
5 Remigatione appropinquabit,
6 Ad Simoëntis alveos,
7 Geminorum in cœlo
8 Dioſcurorū, *Caſtoris, & Poll. Jovis filiorum*, *ſororem* Helenam
9 Referre volens à Priamo
10 In terram Græcam, militaribus, *trucibuſque*
11 Clypeis, & haſtis Græcorum,

V. 732. Τίς δ' ἀνασχήσει φλόγα;) Vide *Phœniſſ.* v. 346. Ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς Νόμιμον ἐν γάμοις· Ὡς πρέπει ματρὶ μακαρίᾳ. In quem locum *Scholiaſtes* Ἔθος ἦν τὴν Νύμφην ὑπὸ τῆς μητρὸς τοῦ γαμοῦντος μετὰ λαμπάδος εἰσάγεσθαι. Et *Apollonii* l. 4. v. 1145. Ἠλάσας δὲ πυρὸς ὣς ἀμάρυσσεν αἴγλην. *Schol.* Τὸ παλαιὸν τὰς μητέρας τῶν γαμούντων ἐν τοῖς γάμοις δᾳδουχεῖν ἔθος ἦν. Hæc *Brodæus* nobis obſervavit, ſed locos noluit deſignare. *Joſua Barnes.*

V. 739. Μὰ τὴν ἄνασσαν Ἀργείαν θεάν.) *Junonem* deſignat, *Argis* præcipuè cultam & Deorum Reginam; Hinc illud *Virgil. Æn.* l. 1. v. 27. Id metuens, veteriſque memor *Saturnia* belli, *Prima quod ad* Trojam *pro charis geſſerat* Argis. Et v. 50. Aſt ego, quæ Divûm incedo *Regina*, Joviſque, &c. De *Diis* autē & *Deabus* indifferētèr *Regibus* dictis & *Reginis*, vid. quæ Nos infra ad v. 1482. *Joſua Barnes.*

V. 742. Μάτην ᾖξα) pro ηῖξα, ab ἀΐσσω impetum-facio, conor, aggredior.

V. 744. Τοῖσι φιλτάτοις) *Clytæmneſtram* & *Iphigeniam* notat. *Brodæus.* V. 745. Τέχνας πορίζω) eundē τῷ πορίζω ſenſū *Plato* habet, μηχανὴν πορίζω· Viam invenio.

V. 753. Ἄγυρις) Cœtus, Collectio hominum unde & παναγυρις eſt verbum *Homericum* Odyſſ. γ'. v. 31. Ἶξον δ' ἐς Πυλίων ἀνδρῶν ἄγυρίν τε καὶ ἕδρας.

V. 754. Ἀνά τε) i.e. σύν τε.

V. 755. Φοιβήϊον) Nam *Apollo* & *Neptunus Ilium* ſimul condiderunt.

V. 761. Ἀνάγκαι θεοῦ) violenti *Apollinis* impulſus, quibus neceſſariò obſequendum. V. 762. Ἐπὶ Περγάμων Τροίας) Vide infra ad v. 773.

V. 770. Ἐκ Πριάμου) vel οἴκου, vel γῆς, vel χειρῶν ſubaudi.

Ἐπῳ-

V. 773. Πέργαμον δὲ, Φρυγῶν πόλιν) Ita quidem Euripides hoc in loco, cùm Homero & Veteribus loquitur, qui Πέργαμον in ſingulari ſpecialiter pro Trojâ & etiam aliquando pro urbe uſurpârunt; ipſe autem noſter Poeta ſæpè aliàs (ut alii quoque Neoterici) Πέργαμα in plurali, pro quâvis urbe vel Arce profert. De hâc re ità Euſtath. in Iliad. Δ. fol. 503. lin. 4. Ὅμηρος μὲν, μόνην τὴν τῆς Ἰλίου ἀκρόπολιν Πέργαμον ὀνομάζει θηλυκῶς· οἱ δὲ νεώτεροι πᾶσας τὰς Ἀκροπόλεις οὕτω καλοῦσιν. Οἱ καὶ οὐδετέρως τὰ Πέργαμά φασιν. ὡς καὶ Αἰσχύλος Προμηθεῖ. δῆλον δὲ ὡς ἡ Πέργαμος καὶ πόλις λέγεται, διὸ εἰπὼν ὁ Ποιητὴς, ὡς νεμέσησεν Ἀπόλλων Περγάμου ἐκκατιδὼν. ἐπάγει μετ' ὀλίγα, —ὡς φάτ' ἀπὸ πτόλιος δεινὸς θεός· Ἡ δ' αὐτὴ καὶ ἀκρόπολις καὶ ἄκρη πόλις κατὰ διάλυσιν· ἔθος δὲ τοῖς παλαιοῖς κτίζειν τὰς πόλεων Ἀκροπόλεις ἱστᾶν ἐν τοῖς ὑψηλοῖς τῶν τόπων, ἄλλης τε ἀσφαλείας χάριν, καὶ φόβου κατακλυσμοῦ. Idem ferè dicunt breviores Notæ, vulgò Didymi dictæ, in locum viz. v. 508. Iliadis Δ. Vide etiam Euſtath. in Iliad. ζ. v. 512. fol. 659. lin. 25. Joſua Barnes. V. 775. Κυκλώσας ἄρει φοινίῳ) Ità Gregor. Nazian. στηλιτ. β. ςρατοπέδῳ κυκλώσαντος τὴν Ἱερουσαλὴμ, λόγους τε ἀσεβεῖς καὶ βλασφήμους κατά τε σῆς βασιλείας καὶ αὐτοῦ τοῦ Θεοῦ ἀπορρίψαντος. Hinc Nos in Franciade noſtrâ l. 6. —Martiſque coronâ Cinge locum. Et l. 7.

Eventúque Urbis tantæ, quam dura Gradivi Cinxerat Angliaci *bello-diſſolla Corona.* Joſua Barnes.

V. 778. Πόλιν) Neceſſe eſt, ut vel πόλισμα in Verſu ſuperiori vel πόλιν in hoc per errorem hic locum obtineret; utrumque enim ſimul ſtare non poteſt; Certè Codex Scaligerianus pro πόλιν legit παλαιὸν, quod cum πόλισμα optimè concordat. Mallem ego πάλιν pro πόλιν, ut ſit rurſus; quia Hercules priùs Trojam everterat; nunc iterum Græci everſuri erant. Joſua Barnes. V. 792. Ἔρυμα) Neceſſe eſt, ut hic ſit error; vel enim legendum ἐρύματα quod præcipuè vellem & ità Miltonus legit, vel δακρυόεν certè ſine τ legendum quoque. Duportus legit ἔρημα, vel dicit, ſi ἔρυμα retineas εὐπλοκάμου legendum; de δακρυόεντ' autem nè γρῦ. Scaliger quoque ἔρημα legit, ſed ſe haud explicat. Bredæus ἔρυμα exponit arcem Trojanam; ſed ubi loquendum eſt, ſuo more ſilet. Ἔρημα quid hic ſignificet, neſcio; ità verò locum lego & expono—Τίς ἄρα μοι εὐπλοκάμους κόμας ἀπολωτιεῖ, ἀκούσας δηλονότι τὰ ἐρύματα δακρυόεντα τῆς πατρίδος ὀυλομένας. Ἀπολωτιεῖ autem Atticè pro ἀπολωτίσει; & de verbo ἀπολωτίζω Vide quæ nos ad Suppl. v. 449. Joſua Barnes. V. 794. Τὸν κύκνου γόνον) i. e. Helenam Jovis in Olorem converſi ex Ledâ filiam. Videſis hanc Fabulam eleganti Carmine Græco expreſſam in Poemate dicto Arion, ad librum continentem Argonautica, Thebaica, Troica & Iliadem Parvam addito, in Hymno viz. Arionis de Dioſcoris. Joſua Barnes.

Ἐπῳδός.

1 Πέργαμον δὲ, Φρυγῶν πόλιν,
2 Λαΐνους περὶ πύργους
3 Κυκλώσας Ἄρει φοινίῳ,
4 Λαιμοτόμους κεφαλὰς
5 Σπάσας, πόλισμα Τροίας
6 Πέρσας κατάκρας πόλιν,
7 Θήσει κόρας πολυκλαύτους,
8 Δάμαρτά τε Πριάμου.
9 Ἁ δὲ Διὸς Ἑλένα
10 Κόρα πολύκλαυτος ἔσεται,
11 Πόσιν προλιποῦσα.
12 Μήτ' ἐμοὶ,
13 Μήτ' ἐμοῖσι τέκνων τέκνοις
14 Ἐλπὶς ἅδε ποτ' ἔλθοι,
15 Οἵαν αἱ πολύχρυσοι Λυ-
16 δαὶ καὶ Φρυγῶν ἄλοχοι
17 Στήσουσι παρ' ἱστοῖς μυ-
18 θεῦσαι τάδ' ἐς ἀλλήλας.
19 Τίς ἄρα μ' εὐπλοκάμους κόμας,
20 Ἔρυμα δακρυόεντ' ἀκούσας
21 Πατρίδος ὀλομένας, ἀπολωτιεῖ;
22 Διά σε τὰν κύκνου δολιχαύχενος γόνον,
23 Εἰ δὴ φάτις ἔτυμος,
24 Ὡς ἔτυχε Λήδ' ὄρνιθ' ἱπταμένῳ
25 Διὸς ὅτ' ἠλλάχθη δέμας
26 Εἴτ' ἐν δέλτοις Πιερίσι
27 Μῦθοι τάδ' ἐς ἀνθρώπους
28 Ἤνεγκον παρὰ καιρὸν, ἄλλως.

Epodus.

1 Pergamum verò, urbem Phrygum
2 Lapideas circum circa turres
3 Cingens bello cruento,
4 A cervicibus reſecta *civium* capita
5 Avellens *in* urbe Trojæ,
6 Evertens funditùs urbem,
7 Faciet puellas multùm lachrymari,
8 Et conjugem Priami.
9 Helena vero Jovis
10 Filia multùm plorans erit, *i.e. multum lugebit,*
11 Relicto marito.
12 Neque mihi,
13 Neque meis liberorum liberis, *i.e. nepotibus poſteriſque,*
14 Hæc ſpes unquam veniat,
15 Qualem divites Ly-
16 dæ, & uxores Phrygum
17 Statuent, ad telam collo-
18 quentes hæc inter ſeſe:
19 Quis bene comptos capillos,
20 Propugnaculum lachrymoſum audiens *noſtræ*
21 Patriæ pereuntis, *ac everſæ,* reſcindet?
22 Propter te filiam cygni ſuperbientis longo collo,
23 Si modò vera *eſt* fama,
24 Quòd Leda rem habuerit cum volanti ave,
25 Jovis quando *in cygnum* permutatum eſt corpus:
26 Sive *illæ, quæ ſunt* in tabulis Pieridum,
27 Fabulæ hæc ad homines
28 Tulerunt intempeſtivè, & temerè.

ARGU-

ARGUMENTUM *Actûs* Quarti.

ACHILLES *ignarus ſimulatarum ſecum Nuptiarum, dum* Agamemnonem *quærit, cum eo de prolixâ in* Aulide *morâ expoſtulaturus, caſu in* Clytæmneſtram *incidit. Ab illâ quaſi Gener futurus ſalutatur; cujus rei ille prorſus ignarus, in doli ſuſpicionem illam trahit; quam mox* Famulus *certiorem reddit de deſtinatâ* Iphigeniæ *cæde. His dolis excepta Mulier implorat fidem opémque* Achillis, *adverſus crudelitatem* Agamemnonis. *Hoc ille in ſe recipit &* *quâ ſit ſibi viâ ingrediendum præfert.* Chorus Pelei & Thetidis *Nuptias celebrat, pérque Antitheſin miſerum ac longè diſpar fatum* Iphigeniæ *deflet; colligítque nullum Æquitati, aut Honeſto locum eſſe, ubi Violentia, Impietas & Licentia dominentur.*

ΑΧΙΛΛΕΥΣ, ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΘΕΡΑΠΩΝ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Αχ. ΠΟΥ τῶν Ἀχαιῶν ἐνθάδ' ὁ στρατηλάτης;
Τίς ἂν φράσειε προσπόλων, τὸν Πηλέως
Ζητοῦντά νιν παῖδ' ἐν πύλαις Ἀχιλλέα;
Οὐκ ἐξ ἴσου γὰρ μένομεν Εὐρίπου* πύλας.
Οἱ μὲν γὰρ ἡμῶν ὄντες ἄζυγες γάμων, *al. πύλαισι. al. πύλας.
Οἴκους ἐρήμους ἐκλιπόντες, ἐνθάδε
Θάσσουσ' ἐπ' ἀκταῖς· οἱ δ' ἔχοντες εὐνίδας,
Ἄπαιδες· οὕτω δεινὸς ἐμπέπτωκ' ἔρως
Τῆσδε στρατείας Ἑλλάδι γ', οὐκ ἄνευ θεῶν.
Τοὐμὸν μὲν οὖν δίκαιον, ἐμὲ λέγειν χρεών·
Ἄλλος δ' ὁ χρῄζων, αὐτὸς ὑπὲρ αὑτοῦ φράσει.
Γῆν γὰρ λιπὼν Φάρσαλον, ἠδὲ Πηλέα,
Μένω 'πὶ λεπταῖς ταῖσδέ γ' Εὐρίπου πνοαῖς,
Μυρμιδόνας ἴσχων, οἵ μ' ἀεὶ προσκείμενοι
Λέγουσ', Ἀχιλλεῦ, τί μένομεν; ποῖον χρόνον
Ἔτ' ἐκμετρῆσαι χρὴ πρὸς Ἴλιον στόλον;
" Δρᾶ γ', εἴ τι δράσεις, ἢ ἄπαγ' οἴκαδε στρατὸν,
" Τὰ τῶν Ἀτρειδῶν μὴ μένων μελλήματα.
Κλυ. Ὦ παῖ θεᾶς Νηρῇδος, ἔνδοθεν λόγων
Τῶν σῶν ἀκούσασ', ἐξέβην πρὸ δωμάτων.
Αχ. Ὦ πότνι' αἰδὼς, τήνδε τίνα λεύσσω ποτὲ
Γυναῖκα, μορφὴν εὐπρεπῆ κεκτημένην;
Κλυ. Οὐ θαῦμά σ' ἡμᾶς ἀγνοεῖν, οὓς μὴ πάρος
Κατεῖδες· αἰνῶ δ' ὅτι σέβεις τὸ σωφρονεῖν.
Αχ. Τίς δ' εἶ; τί δ' ἦλθες Δαναϊδῶν εἰς σύλλογον,
Γυνὴ πρὸς ἄνδρας ἀσπίσιν πεφραγμένους;
Κλυ. Λήδας μέν εἰμι παῖς, Κλυταιμνήστρα δέ μοι
Ὄνομα· πόσις δέ μοι 'στὶν Ἀγαμέμνων ἄναξ.
Αχ. Καλῶς ἔλεξας ἐν βραχεῖ τὰ καίρια.
Αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.
Κλυ. Δεινόν· τί φεύγεις; δεξιάν γ' ἐμῇ χερὶ
Σύναψον, ἀρχὴν μακαρίαν νυμφευμάτων.
Αχ. Τί φής; ἐγώ σοι δεξιάν; αἰδοίμεθ' ἂν
Ἀγαμέμνον', εἰ ψαύοιμεν, ὧν μή μοι θέμις.
Κλυ. Θέμις μάλιστα, τὴν ἐμὴν ἐπεὶ γαμεῖς
Παῖδ', ὦ θεᾶς παῖ ποντίας Νηρηΐδος.
Αχ. Ποίους γάμους φής; ἀφασία μ' ἔχει, γύναι.
Εἰ μή τι παρανοοῦσα, καινουργεῖς λόγον.

Ach. UBinam hic eſt dux Græcorum? Quis miniſtrorum dicet, Pelei Filium Achillem quærere eum in portis? Non enim æqualitér manemus *ad* Euripi oſtia. Nam alii quidem noſtrûm expertes nuptiarum, Relictis ædibus deſertis, hic Sedent in littore: alii veró habentes uxores, *ſunt* Sine liberis. Tam vehemens amor incidit Non ſine diis, in Græciam, hujus expeditionis. Quod igitur jus ad me pertinet, id oportet me dicere: Alius veró cui opus eſt, ipſe pro ſe dicat. Relictis enim terrâ Pharſalo, & Peleo, Moror ad flatus iſtos tenues Euripi, Continens Myrmidones, qui mihi ſemper inſtantes Dicunt: Achilles, quid expectamus? quàm longo tempore Adhuc oportet emetiri navigationem ad Troiam? " Fac ſi quid es facturus, aut abduc exercitum domum, " Iſtas Atridarum non expectans cunctationes.

Cly. O fili Deæ Nereidis *Achilles*, intùs ſermonem Tuum audiens exivi ex ædibus.

Ach. O veneranda verecundia, quamnam video Fœminam, formâ *tam* decente præditam?

Cly. Non eſt mirum te nos non noviſſe, quas ante non Vidiſti; laudo veró te quòd colis verecundiam.

Ach. Quæ veró es? cur veniſti ad exercitum Græcorum, Mulier, ad viros munitos ſcutis?

Cly. Sum quidem filia Ledæ, Clytæmneſtra veró mihi Nomen, maritus veró eſt mihi rex Agamemnon.

Ach. Aptè dixiſti breviter opportuna. Non decet autem me loqui cum mulieribus.

Cly. Hem, quid fugis? Dextram manui meæ Adjunge, felix principium deſponſationis.

Ach. Quid ais? Egóne tibi dextram? veremur Agamemnonem, ▮ tangamus quæ me non oportet tangere.

Cly. Maximè fas eſt, quoniam duces meam Filiam, ô fili Deæ marinæ *Thetidis* Nereidis.

Ach. Quas mihi nuptias tu dicis? equidē ſtupor me habet, ô mul. Niſi quid errans dicis novum ſermonem.

V. 807. Εὐνίδας) Vide ſupra ad *v.* 397. V. 809. Ἑλλάδι γ'.) *Scaliger* legit Ἑλλάδ', magis ex normâ; ſed nonnunquam in Quarto loco *Anapeſtus* reperitur. *Joſua Barnes.* V. 812. Γῆν γὰρ λιπὼν Φάρσαλον, ἠδὲ Πηλέα) Ut Verſus hic ſibi conſtaret, *Johannes Miltonus* dicit, τὸ μὲν *aut quid ejuſmodi interſerendum*, deceptus, ut puto, quòd crederet τὸ Φάρσαλον penultimam corripere: ſed quùm illa ſyllaba ſit longa, non eſt opus, ut aliquid tale addatur, imò nocebit Verſui; quòd veró producitur En! *Catullus* pro nobis ſtat— *Pharſalon* coëunt, *Pharſalia* tecta frequētant. Et Lucan. l. 6. Æmathis æquorei Regnum *Pharſalos* Achillis. *Joſua Barnes.* V. 813. Μένω 'πὶ λεπταῖς ταῖσδέ γ' Εὐρίπου πνοαῖς) *Joh. Brodæus* putat hæc referri, ad frequentem *Euripi* reciprocationē, quam his flatibus agitatam vult ſepties per ſingulos dies: Ut toties *Euripum* fluere haud negem, contendo tamen *Achillem* nunc reſpicere ad illam *Ventorum-iniquam quieſcentiâ*, quâ *Græci* detinebantur à Navigatione, & ἄπλοιαν hanc, ſive νηνεμίαν per λεπτὰς πνοὰς deſignare. *Joſ. Barnes.* V. 818. Μελλήματα) aliàs μαλήματα ſed ▮ic Verbum præſtat, quod *Mora* ſonat, quàm quod *Curas.* Eſt veró dictio *Æſchylæa.* Joſua Barnes. V. 837. Φὴς) Vide ſuprà ad v. 833. Τί φής; ἐγώ σοι δεξιάν; Reject itaque ἔρωδε, qui Verſui nocebat. Miror autem nemini id priùs diſplicuiſſe. *Joſ. Barnes.*

V. 848. Ὡς εἴξασιν) εἴξασιν pro ἐοίκασιν, ab εἴκω ſimilis ſum, εἴξω, fut. ἤϊξα aor. α. & ἤϊκτο legitur apud *Hom.* Odyſſ. δ'. v. 796. Εἴδωλον ποίησε, δέμας δ' ἤϊκτο γυναικί. Ἔϊξα autem pro ἔοικα *Atticè* vel etiam pro ἤϊξα *Ionicè*. Nec hoc *Euripidi* ſingulare: *Ariſtophanes* enim plus ſemel eodem verbo in eodem tempore & ſenſu utitur, ut in *Nubibus* fol. 80. v. 8. Edit. *Baſil. Froben.* Εἰσὶν Νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἴξασι γυναιξίν. Et in *Avibus* fol. 372. v. 4. ---Οἱ δ' ἄνω θεοὶ Εἴξασιν ἀποτείσαι σοι. Eſt & εἴκω cedo. *Joſua Barnes.*

Κλυ. Πᾶσιν τόδ' ἐμπέφυκεν, αἰδεῖσθαι φίλους
" Καινοὺς ὁρῶσι, καὶ γάμου μεμνημένους.
Αχ. Οὐ πώποτ' ἐμνήστευσα παῖδα σὴν, γύναι,
Οὐδ' ἐξ Ἀτρειδῶν ἦλθέ μοι λόγος γάμων.
Κλυ. Τί δῆτ' ἂν εἴη; σὺ πάλιν αὖ λόγους ἐμοὺς
Θαύμαζ'· ἐμοὶ γὰρ θαύματ' ἐστὶ, τὰ παρὰ σοῦ.
Αχ. Εἴκαζε. κοινόν ἐστιν εἰκάζειν τάδε.
Ἀμφὼ γὰρ οὐ ψευδόμεθα τοῖς λόγοις ἴσως.
Κλυ. Ἀλλ' ἦ πέπονθα δεινά. μνηστεύω γάμους
Οὐκ ὄντας, ὡς εἴξασιν· αἰδοῦμαι τάδε.
Αχ. Ἴσως ἐκερτόμησε κἀμὲ, καὶ σέ τις.
Ἀλλ' ἀμελίᾳ δὸς αὐτὰ, καὶ φαύλως φέρε.
Κλυ. Χαῖρ'· οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ' ἔτ' εἰσορῶ,
Ψευδὴς γενομένη, καὶ παθοῦσ' ἀνάξια.
Αχ. Καὶ σοὶ τόδ' ἐστὶν ἐξ ἐμοῦ. πόσιν δὲ σὸν
Στείχω ματεύσων τῶνδε δωμάτων ἔσω.

Cly. Omnibus hoc inſitum eſt naturâ, ut vereantur amicos
" Novos quum vident, & nuptiarum mentionem facientes.
Ach. Nunquam, mulier, ambivit tuam filiam,
Neque mihi interceſſit ſermo cum Atridis de nuptiis.
Cly. Quid hoc tandem fuerit? tu iterum meum ſermonem
Mirare: nam mihi mirus eſt tuus.
Ach. Conjice, commune *enim* eſt *utrique* noſtrûm hæc conjectare;
Nam fortaſſis non mentimur ambo verbis, *quæ facimus.*
Cly. Male certe mecum agitur: *nam* concilio nuptias,
Quæ non ſunt, ut videtur. Horum me pudet.
Ach. Fortaſſe illuſit aliquis mihi & tibi:
Sed ne cures iſta, feráſque leviter.
Cly. Vale: non enim rectis amplius te oculis intueor,
Cùm ſim mendax facta, & indigna mihi acciderint.
Ach. Et tibi hoc *ipſum* à me ſit *reſponſum*: maritum verò tuum
Vado quæſiturus iſtis in ædibus.

ΘΕΡΑΠΩΝ, ΑΧΙΛΛΕΥΣ, ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΧΟΡΟΣ.

Τροχαῖοι.

V. 862. Ἦ μόνω παρόντε) ſine ν ſcribo, non modò ob Carminis gratiam; ſed quia æquè ità ſcribitur, ac πάροιθεν. Sic ὄπισθεν & πάλαι & πάντοθεν & ἄχρις & μέχρις & τετράκις apud *Pindarum* & πολλάκις & πλειστάκις, &c. Sine ultimâ literâ pro lubitu ſcribuntur, modò conſona ſequatur--Πάντοθε pro πάντοθεν *Theocr.* Idyll. 17. v. 97. De cæteris nemo dubitat. Ἕνεκα & Οὕνεκα ante conſonam, εἵνεκεν & ἕνεκεν ante vocalem. V. 862. Ταῖσδ' ἐφέστατον πύλαις) pro ταῖσδ' *Aldina* Editio habet παῖδ', i. e. παῖδε, ſic Homo Grandævus vocat *Achillem* & *Clytæmneſtram.* Et ità *Joh. Brodæus* legit. *Joſua Barnes.*

V. 862. * Aliàs παῖδ'. Vide Notationem præcedentem.

V. 865. * Aliàs ὤσει.

Θερ. Ὦ ξέν' Αἰακοῦ γένεθλον, μεῖνον, ὥς σέ τοι λέγω,
Τὸν θεᾶς γεγῶτα παῖδα καὶ σὲ τὴν Λήδας κόρην.
Αχ. Τίς ὁ καλῶν πύλας παροίξας; ὡς τεταρβηκὼς καλεῖ.
Θερ. Δοῦλος, οὐχ ἁβρύνομαι τῷδ'. ἡ τύχη γάρ μ' οὐκ ἐᾷ.
Αχ. Τίνος; ἐμὸς μὲν οὐχί. χωρὶς τἀμὰ κἀγαμέμνονος.
Θ. Τῶνδε τῶν πάροιθεν οἴκων, Τυνδάρεω δόντος πατρός.
Αχ. Ἕσταμεν· φράζ' εἴ τι χρήζεις, ὧν μ' ἐπέσχες οὕνεκα.
Θερ. Ἦ μόνω πάροιθε δῆτα * ταῖσδ' ἐφέστατον πύλαις;
Κλ. Ὡς μόνοις λέγοις ἂν, ἔξω δ' ἐλθὲ βασιλείων δόμων.
Θερ. Ὦ τύχη, πρόνοιά θ' ἡ 'μὴ, σῶσον οὓς ἐγὼ θέλω.
Α. Ὁ λόγος εἰς μέλλοντ' ἂν * ὤσῃ χρόνον· ἔχει δ' ὄγκον τινά.
Κλυ. Δεξιᾶς ἕκατι μὴ μέλλ', εἴ τι μοι χρήζεις λέγειν.
Θερ. Οἶσθα δῆτά γ', ὅστις ὢν, σοὶ καὶ τέκνοις εὔνους ἔφυν;
Κλυ. Οἶδά σ' ὄντ' ἐγὼ παλαιὸν δωμάτων ἐμῶν λάτριν.
Θ. Χ' ὥτι δή με ταῖς σαῖς φερναῖς ἔλαβεν Ἀγαμέμνων ἄναξ;
Κλυ. Ἦλθες εἰς Ἄργος μεθ' ἡμῶν, κἀμὸς ἦσθ' ἀεί ποτε.
Θερ. Ὧδ' ἔχει· καὶ σοὶ μὲν εὔνους εἰμὶ, σῷ δ' ἧσσον πόσει.
Κλ. Ἐκκάλυπτε νῦν ποθ' ἡμῖν, οὕς τινας λέγεις λόγους.
Θερ. Παῖδα σὴν πατὴρ ὁ φύσας αὐτόχειρ μέλλει κτανεῖν.
Κλ. Πῶς; ἀπέπτυσ', ὦ γεραιὲ, μῦθον· οὐ γὰρ εὖ φρονεῖς.
Θ. Φασγάνῳ λευκὴν φονεύων τῆς ταλαιπώρου δέρην.
Κλ. Ὦ τάλαιν' ἐγὼ, μεμηνὼς ἆρα τυγχάνει πόσις;
Θ. Ἀρτίφρων, πλὴν εἰς σὲ καὶ σὴν παῖδα· τοῦτο δ' οὐ φρονεῖ.
Κλ. Ἐκ τίνος λόγου; τίς αὐτὸν οὑπάγων ἀλαστόρων;
Θ. Θέσφαθ', ὥς γε φησὶ Κάλχας, ἵνα πορεύηται στρατός.
Κ. Ποῖ; τάλαιν' ἐγὼ, τάλαινα δ' ἣν πατὴρ μέλλει κτανεῖν.
Θ. Δαρδάνου πρὸς δώμαθ', Ἑλένην Μενέλεως ὅπως λάβῃ.
Κλ. Εἰς ἄρ' Ἰφιγένειαν Ἑλένης νόστος ἦν πεπρωμένος;
Θ. Πάντ' ἔχεις· Ἀρτέμιδι θύσειν παῖδα σὴν μέλλει πατήρ.

Fam. O hoſpes nepos Æaci, mane, quia te appello
Filium Deæ *Thetidis* & te filiam Ledæ.
Ach. Quis *me* vocat apertis portis ut ore perturbato *me* vocat.
F. Servus; nõ inſoleſco hoc *nomine*: nõ eñi me *inſoleſcere* ſinit Sors.
Ach. Cujus? non *enim* meus: mea & Agamemnonis ſunt ſejuncta.
Fam. Harum ædium, ante quas ſto, dãte patre Tyndareo, *ſum ſervus.*
Ach. Stamus; dic ſi quid vis, propter quæ me ſiſtis.
Fam. An igitur ſoli vos duo ſtatis hic ante *ædes* ad iſtas fores?
Cly. Potes loqui tanquam *ſolis*: egredere verò ex ædibus regiis.
Fam. O fortuna & mea providentia, ſerva eos, quos volo.
Ac. Hæc oratio in longũ tẽpus producetur; habet eñi quid põderis.
Cly. Per dextram te oro, ne cunctare, ſi quid mihi vis dicere.
F. Sciſne igitur, qualis ſim, & quàm tibi & tuis liberis ſuerim fidus?
Cly. Scio ego te veterem mearum ædium eſſe miniſtrum.
F. *Sciſne* etiã quod olĩ me tuæ dotis in parte accepit rex Agamẽ.
Cly. Veniſti Argos nobiſcum, & meus ſemper fuiſti.
F. Sic habet *res*: & tibi quidẽ ſum benevolus minùs v. tuo marito.
Cly. Aperito nunc tandem nobis, quod vis dicere.
Fam. Pater vult filiam tuam, quam genuit, ſuâ manu occidere.
Cly. Quomodo? abominor ô ſenex, hũc ſerm. nõ eñi es compos mẽtis.
Fam. Cædens gladio candidam cervicem miſeræ puellæ.
Cly. O me miſeram, an igitur maritus meus inſanit?
F. Mẽt. cõp. *is quidẽ eſt* ſed nõ erga te, & tuã fil. hãc e. *in par.* nõ ſapit.
Cly. Quâ de causâ? quis malus Genius illum inſtigat?
Fam. Oracula, ut inquit Calchas, ut exercitus proficiſcatur.
Cly. Quò? me miſeram, infelicẽ etiã illã, quã pater eſt interfecturus.
F. Dardani ad ſedes *i.* Troiã, ut Helenam *uxorem* Menelai recipiat.
Cly. In Iphigeniæ igitur perniciem reditus Helenæ erat fatalis?
F. Rem tenes omnem. Pater filiam tuam immolaturus eſt Dianæ.

Κλυ. Ὦ

Κλ. Ὁ δὲ γάμος τίν᾽ εἶχε τὴν πρόφασιν, ἥ μ᾽ ἐκόμισ᾽ ἐκ δόμων;
Θ. Ἵν᾽ ἀγάγοις χαίρουσ᾽ Ἀχιλλεῖ παῖδα νυμφεύσουσα σήν.
Κλ. Ὦ θύγατερ, ἥκεις ἐπ᾽ ὀλέθρῳ καὶ σὺ, καὶ μήτηρ σέθεν.
Θ. Οἰκτρὰ πάσχετον δύ᾽ οὖσαι· δεινὰ δ᾽ Ἀγαμέμνων ἔτλη.
Κλ. Οἴχομαι τάλαινα * δάκρυόν τ᾽ ὄμματ᾽ οὐκέτι στέγει.
Θ. Εἴπερ ἀλγεινὸν, τὸ τέκνων στερομένην δακρυρροεῖν.
Κλ. Σὺ δὲ τάδ᾽, ὦ γέρον, πόθεν φῂς εἰδέναι πεπυσμένος;
Θ. Δέλτον ᾠχόμην φέρων σοὶ πρὸς τὰ πρὶν γεγραμμένα.
Κλ. Οὐκ ἐῶν, ἢ ξυγκελεύων παῖδ᾽ ἄγειν θανουμένην;
Θ. Μὴ μὲν οὖν ἄγειν. φρονῶν γὰρ ἔτυχε σὸς πόσις τότ᾽ εὖ.
Κλ. Κᾆτα πῶς φέρων γε δέλτον οὐκ ἐμοὶ δίδως λαβεῖν;
Θ. Μενέλεως ἀφείλεθ᾽ ἡμᾶς, ὃς κακῶν τῶνδ᾽ αἴτιος.
Κλ. Ὦ τέκνον Νηρῇδος, ὦ παῖ Πηλέως, κλύεις τάδε;
Αχ. Ἔκλυον οὖσαν ἀθλίαν σε, τὸ δ᾽ ἐμὸν οὐ φαύλως φέρω.
Κλ. Παῖδά μου κατακτενοῦσι σοῖς δολώσαντες γάμοις.
Αχ. Μέμφομαι κἀγὼ πόσει σῷ, κοὐχ ἁπλῶς οὕτω φέρω.
Κλ. Οὐκ ἐπαιδεσθήσομαί γε προσπεσεῖν τὸ σὸν γόνυ,
Θνητὸς ἐκ θεᾶς γεγῶτα· τί γὰρ ἐγὼ σεμνύνομαι;
" Ἐπὶ τίνος σπουδαστέον μοι μᾶλλον, ἢ τέκνου πέρι;
Ἀλλ᾽ ἄμυνον, ὦ θεᾶς παῖ, τῇ τ᾽ ἐμῇ δυσπραξίᾳ,
Τῇ τε λεχθείσῃ δάμαρτι σῇ μάτην μὲν, ἀλλ᾽ ὅμως
Σοὶ καταστέψασ᾽ ἐγώ νιν ἦγον, ὡς γαμουμένην.
Νῦν δ᾽ ἐπὶ σφαγὰς κομίζω· σοὶ δ᾽ ὄνειδος ἵξεται,
Ὅστις οὐκ ἤμυνας. εἰ γὰρ μὴ γάμοισιν ἐζύγης,
Ἀλλ᾽ ἐκλήθης γοῦν ταλαίνης παρθένου φίλος πόσις.
Πρὸς γενειάδος, πρὸς δεξιᾶς σῆς, πρός τε μητρός,
Ὄνομα γὰρ τὸ σόν μ᾽ ἀπώλεσ᾽, ᾧ σ᾽ ἀμυνάθειν χρεών.
Οὐκ ἔχω βωμὸν καταφυγεῖν ἄλλον, ἢ τὸ σὸν γόνυ,
Οὐδὲ φίλος οὐδεὶς γελᾷ μοι. τὰ δ᾽ Ἀγαμέμνονος κλύεις
" Ὠμὰ, καὶ πάντολμ᾽· ἀφῖγμαι δ᾽, ὥσπερ εἰσορᾷς, γυνὴ
" Ναυτικὸν στράτευμ᾽ ἄναρχον, κἀπὶ τοῖς κακοῖς θρασὺ,
" Χρήσιμον δ᾽, ὅταν θέλωσιν. ἢν δὲ τολμήσῃς σύ μου
Χεῖρ᾽ ὑπερτεῖναι, σεσώσμεθ᾽. εἰ δὲ μὴ, οὐ σεσώσμεθα.

Ἴαμβοι.

Χο. Δεινὸν τὸ τίκτειν, καὶ φέρει φίλτρον μέγα,
" Πᾶσίν τε κοινὸν, ὥσθ᾽ ὑπερκάμνειν τέκνων.
Αχ. Ὑψηλόφρων μοι θυμὸς αἴρεται πρόσω,
Ἐπίσταται δὲ τοῖς κακοῖσί τ᾽ ἀσχαλᾶν,
Μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις.
Χο. Λελογισμένοι γὰρ οἱ τοιοίδ᾽ εἰσὶ βροτῶν,
Ὀρθῶς διαζῆν τὸν βίον γνώμης μέτα.
Αχ. Ἔστιν μὲν οὖν, ἵν᾽ ἡδὺ, μὴ λίαν φρονεῖν,
Ἔστιν δὲ κἄπου χρήσιμον, γνώμην ἔχειν.
Ἐγὼ δ᾽ ἐν ἀνδρὸς εὐσεβεστάτου τραφεὶς
Χείρωνος, ἔμαθον τοὺς τρόπους ἁπλοῦς ἔχειν.
Καὶ τοῖς Ἀτρείδαις, ἢν μὲν ἡγῶνται καλῶς,
Πεισόμεθ᾽. ὅταν δὲ μὴ καλῶς, οὐ πείσομαι.
Ἀλλ᾽ ἐνθάδ᾽ ἐν Τροίᾳ τ᾽ ἐλευθέραν φύσιν
Παρέχων, Ἄρει τὸ κατ᾽ ἐμὲ κοσμήσω δορί.
Σὲ δ᾽, ὦ παθοῦσα σχέτλια πρὸς τῶν φιλτάτων,

Cly. Nuptiæ v. quem prætextū habebant qui me ex ædibus adduxit?
Fa. Ut hilaris, *&* *lubens* adduceres tuā filiā ut eā Ach. datura nuptui.
Cly. O filia, venis ad necem & tu, & mater tua.
Fam. Misera vos ambæ patimini; & dira auſus eſt Agamemnon.
Cly. Perii miſera, oculique non amplius retinent lachrymas.
Fam. Siquidem acerbum eſt lachrymari orbatam liberis.
Cly. Sed tu, ô ſenex, unde dicis te hæc ſcire, atque audiviſſe?
F. Ibam adferens literas tibi præter illas quæ antè erant ſcriptæ.
Cly. Utrum prohibens, an cohortans adducere filiam ad necem?
Fam. Ut non adduceres: tunc enim reſipuerat tuus maritus.
Cly. Quomodo verò cùm ferres literas, mihi non tradebas eas?
Fam. Menelaus mihi eripuit, qui autor eſt horum malorum.
Cly. O fili Nereidis, ô fili Pelei, *Achilles*, audis hæc?
Ach. Audio te eſſe miſerā, quòd v. ad me attinet, non leviter fero.
Cly. Interficiēt filiā meā circumvenientes nos prætextu nupt. tuarū.
Ach. Et ego indignor marito tuo, neque ita leviter fero.
Cly. Non verebor accidere ad genua tua.
Ego mortalis tibi nato ex deā. quid enim ego ſuperbe jam agam?
" Pro quonam mihi magis laborandum, quàm pro filiā?
Quamobrem opem feras, ô Deæ fili, & meo infortunio,
Et ei, quæ eſt dicta tua uxor fruſtrà quidem; attamen
Coronans eam adduxi tanquam nupturam tibi.
Nunc verò ad mactationem adduco: tibi verò erit probro,
Si non adjuveris *eam*. Etſi enim nuptiis non fueris junctus,
Tamen nominatus es charus maritus miſeræ puellæ.
Per mentum, per tuam dextram, perque matrem *oro*:
Nam nomen tuum me perdidit, quare te oportet opem ferre
Non poſſum ad aliam aram confugere, quàm tua genua,
Neque amicus ullus mihi arridet, *adeſt*. Audis Agamemnonis
" Crudele & audax conſilium: veni autem, ut vides, mulier
" Ad navalē exercitū ſeditioſum, & feroce ad mala perpetranda,
" Utilem tamen, quum vult. Si igitur tu auſus fueris me
Manu porrectā protegere, ſalvi ſumus: ſin minus, periimus.

Chorus.

" Res eſt vehemens parere, & adfert ingens deſiderium:
" Communéque omnibus eſt, ut laborent pro liberis.
Ach. Animus meus excelſus attollitur ulteriùs, *i.e.* *vehementer*:
Novit enim & malis dolere,
Et moderatè lætari ſecundis *rebus*.
Cho. Tales enim homines ſunt prudentes,
Qui ſciunt rectè vitam regere conſilio.
Ach. Eſt quidem ubi dulce ſit, non nimium ſapere:
Eſt etiam tempus, in quo utile ſit eſſe ſapientem.
Ego autem enutritus in *ædibus* pientiſſimi viri
Chironis, didici habere ſimplices mores.
Et Atridis, ſi rectè præfuerint,
Parebimus: quando autem non rectè, non parebo.
Sed hic, & in Troiā liberum animum
Præbens Martem (quantum in me eſt) ornabo pugnando.
Te verò, ô paſſa miſeranda à chariſſimis,

V. 885. *Νυμφεύσουσα*) Videtur legendum *νυμφεύσουσα*. *Joſua Barnes*.

V. 888. * Aliàs *δάκρυον τ᾽*. Aliàs *δάκρυά τ᾽*.

V. 895. *Μενέλεως ἀφείλεθ᾽ ἡμᾶς*) ſubaudi *τὴν δέλτον*. *Ἀφαιρεῖν* enim regit duplicem accuſativum. vide *Scholiaſt.* ad *Hecub.* v. 570. Item *Androm.* v. 325. & 613. *Joſua Barnes*.

V. 901. *Θνητὸς*) *ἡ ἐγὼ θνητὸς*, *Atticè* pro *θνητή*.

V. 911. *Ἀμυνάθειν*) Eſt *Atticum σχῆμα* pro *ἀμύνειν*, *ἀμυνάθω*. Ejuſdem generis ſunt *βαρύθω*, *εἰργάθω*, *διωκάθω*, *μινύθω*, *φθινύθω*. Vide *Androm.* Schol. ad v. 859. *Joſua Barnes*.

V. 922. *Λελογισμένοι*) Vide ſupra ad v. 386.

V. 929. *Πεισόμεθ᾽. ὅταν δὲ μὴ καλῶς, οὐ πείσομαι*) Ità in fine lego cum *Scaligero*, nec enim ibi *πεισόμεθα* ſtabit, niſi ultimam ſyllabam in ſequentem verſum rejeceris. *Joſua Barnes*.

V. 931. *Ἄρει*) Aſſentio *Brodæo*, qui legit *Ἄρει*; atque ideò *Martem* verto. Ratio eſt obvia. *Joſua Barnes*.

Ἃ δὴ

Ἃ δὴ κατ' ἄνδρα γίγνεται νεανίαν,
Τοσοῦτον οἶκτον περιβαλὼν καταστελῶ,
Κοὔποτε κόρη σὴ πρὸς πατρὸς σφαγήσεται,
Ἐμὴ φατισθεῖσ'. οὐ γὰρ ἐμπλέκειν πλοκὰς
Ἐγὼ παρέξω σῷ πόσει τοὐμὸν δέμας.
Τοὔνομα γὰρ εἰ καὶ μὴ σίδηρον ἤρατο
Τοὐμὸν, φονεύσει παῖδα σήν. τὸ δ' αἴτιον
Πόσις σός· ἁγνὸν δ' οὐκέτ' ἐστὶ σῶμ' ἐμὸν,
Εἰ δι' ἔμ' ὀλεῖται, διά τε τοὺς ἐμοὺς γάμους,
Ἡ δεινὰ τλᾶσα, κοὐκ ἀνεκτὰ παρθένος,
Θαυμαστὰ δ' ὡς ἀνάξι' ἠτιμασμένη.
Ἐγὼ κάκιστος ἦν ἄρ' Ἀργείων ἀνὴρ,
Ἐγὼ τὸ μηδὲν, Μενέλεως δ' ἐν ἀνδράσιν,
Ὡς οὐχὶ Πηλέως, ἀλλ' ἀλάστορος γεγὼς,
Εἴπερ φονεύει τοὐμὸν ὄνομα σῷ πόσει.
“ Μὰ τὸν δι' ὑγρῶν κυμάτων τεθραμμένον
“ Νηρέα, φυτουργὸν Θέτιδος, ἥ μ' ἐγείνατο,
“ Οὐχ ἅψεται σῆς θυγατρὸς Ἀγαμέμνων ἄναξ,
“ Οὐδ' εἰς ἄκραν χεῖρ', ὥστε προσβαλεῖν πέπλοις·
Ἢ Σίπυλος ἔσται πόλις ὅρισμα βαρβάρων,
Ὅθεν πεφύκασ' οἱ στρατηλάται γένος,
Φθία δὲ τοὐμὸν, οὐδαμοῦ κεκλήσεται.
Πικροὺς δὲ προχύτας, χέρνιβάς τ' ἀνάξεται
“ Κάλχας ὁ μάντις. τίς δὲ μάντις ἐστ' ἀνήρ;
“ Ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει
“ Τυχών. ὅταν δὲ μὴ τύχῃ, διοίχεται.
Ἢ τῶν γάμων ἕκατι μυρίαι κόραι
Θηρῶσι λέκτρον τοὐμόν. εἴρηται τόδε.
Ἀλλ' ὕβριν ἐς ἡμᾶς ὕβρισ' Ἀγαμέμνων ἄναξ.
Χρῆν δ' αὐτὸν αἰτεῖν τοὐμὸν ὄνομ' ἐμοῦ πάρα,
Θήραμα παιδός. ἡ Κλυταιμνήστρα δέ μοι
Μάλιστ' ἐπείσθη, θυγατέρ' ἐκδοῦναι πόσει.
Ἔδωκά τ' ἂν γ' Ἕλλησιν, εἰ πρὸς Ἴλιον
Ἐν τῷδ' ἔκαμνε νόστος· οὐκ ἠρνούμεθ' ἂν
Τὸ κοινὸν αὔξειν, ὧν μετ' ἐστρατευόμην.
Νῦν δ' οὐδέν εἰμι παρά γε τοῖς στρατηλάταις,
Ἐν εὐμαρεῖ τε δρᾷν τε, καὶ μὴ δρᾷν καλῶς.
Τάχ' εἴσεται σίδηρος, ὃν πρὶν εἰς Φρύγας
Ἐλθεῖν, φόνου κηλῖσιν αἱμάξω χερῶν,
Εἴ τις με τὴν σὴν θυγατέρ' ἐξαιρήσεται.
Ἀλλ' ἡσύχαζε· θεὸς ἐγὼ πέφηνά σοι
Μέγιστος, οὐκ ὤν· ἀλλ' ὅμως γενήσομαι.
Χο. Ἔλεξας, ὦ παῖ Πηλέως, σοῦ τ' ἄξια,
Καὶ τῆς ἐναλίας δαίμονος σεμνῆς θεοῦ.
Κλυ. Φεῦ. πῶς ἄν σ' ἐπαινέσαιμι μὴ λίαν λόγοις,
Μήτ' ἐνδεῶς, μήτ' ἀπολέσαιμι τὴν χάριν;
“ Αἰνούμενοι γὰρ οἱ 'γαθοὶ, τρόπον τινὰ
“ Μισοῦσι τοὺς αἰνοῦντας, ἐὰν αἰνῶσ' ἄγαν.
Αἰσχύνομαι δὲ παραφέρουσ' οἰκτροὺς λόγους,
Ἰδίᾳ νοσοῦσα. σὺ δ' ἄνοσος κακῶν ἐμῶν.

Quæ quidem à viro juveni præſtari poſſunt *faciam*, *&*
Tantam induens *tui* commiſerationem, *te* protegam,
Et nunquam mactabitur à patre tua filia,
Quæ mea dicta eſt: non enim abuti ad ſuas fraudes
Concedam ego tuo marito meam perſonam.
Nomen enim meum, etiam ſi non ſuſtulit ferrum,
Interficiet tuam filiam: cauſa autem *hujus cædis eſt*
Maritus tuus. Meum verò corpus non ampliùs eſt purum,
Si propter me, & propter meas nuptias pereat
Virgo, quæ atrocia, & non ferenda tulit,
Miris & indignis modis contumeliâ affecta.
Ego igitur Græcorum *omnium* vir eſſem peſſimus,
Ego *homo* nulliuſpretii (Menel. verò in virorũ numero haberetur)
Non tanquam Peleo natus, ſed ex malo genio,
Siquidem meum nomen cædem adminiſtraret tuo marito.
“ Per educatum in humidis fluctibus
“ Nereum, patrem Thetidis, quæ me peperit,
“ Non tanget tuam filiam rex Agamemnon,
“ Ne ſummâ quidem manu, *digitum* ut admoveret *ejus* peplis:
Sin minùs; Sipulus erit Urbs *illa*, Limes Barbarorum,
Unde trahunt Præclari illi Duces genus ſuum, *Agam.* & *Menel.*
Phthia autem, mea *patria*, nullibi nomen habebit.
Amaras autem molas ſalſas, & lotarum manuũ aquas reportabit
“ Calchas vates: quis enim vir eſt vates?
“ Is qui pauca vera, multa verò falſa dicit,
“ Si forte ſic ceciderit: ſin minùs, illi *res* excidit.
An matrimonii causâ ſexcentæ puellæ
Petunt meas nuptias? dictum eſt hoc:
Sed rex Agamemnon affecit nos contumeliâ.
Oportebat enim ipſum à me petere nomen meum ad
Venationem filiæ. *Clytæmneſtra* enim mihi
Facillimè perſuaſa fuiſſet, filiam ut elocaret marito.
Ac dediſſem eam Græcis, ſi ad Ilium
In hoc, *i.e. hâc de causâ*, laboráſſet trajectus: non recuſâſſemus
Augere publicum bonum, *eorum*, quibuscum milito.
Nunc verò nihili ſum apud *hos* Duces; *Agam.* & *Menel.*
Nulliusque momenti ad rem benè gerendam vel non gerendam.
Enſis hic fortaſſe noverit, quem, priuſquam ad Troiam
Perveniamus, polluam ſanguine maculiſque cædis,
Si quis mihi tuam filiam volet eripere.
Sed ſis quieta: ego tibi apparui Deus
Maximus, quamvis *Deus* non ſum: ſed tamen ero *fortaſſis*.
Cho. O Achilles, dixiſti quæ te digna ſunt,
Et matre tuâ deâ marinâ venerandâ.
Cly. Vah! Quomodo te laudavero verbis neque nimis prolixis,
Neque nimis parcè, ne *tuam* amittam gratiam?
“ Boni enim cum laudantur, aliquo modo
“ Oderunt eos qui laudant, ſi nimium *eos* laudent.
Erubeſco autem afferens *querimoniarum* miſeranda verba,
Privatim laborans: te enim *es* expers meorum malorum.

V. 952. Ἢ Σίπυλος ἔσται πόλις ὅρισμα βαρβάρων, Ὅθεν πεφύκασ' οἱ στρατηλάται γένος) *Sipulus* eſt oppidum *Lydiæ* in *Magneſiâ*, ubi habitabat *Tantalus Niobæ* Pater, à quo oriundi ſunt *Agamemnon* & *Menelaus*, quos Duces *Græci* exercitûs reſpicit hic *Achilles*. Senſus autem, ſi ego hanc Puellam in hoc periculo conſtitutam ignavè deſeram, tum *Sipulus*, undè *Agamemnon* ortus eſt, gloriam præripiat omnem *Phthiæ*, quæ mihi vitam dedit. *Joſua Barnes.*

V. 955. Πικροὺς δὲ προχύτας) οἱ προχύται dicebantur *fruges*, ſeu mola ſalſa, quâ conſpergebatur Victima mactanda. *Homero*, οὐλοχύται dicuntur, hoc eſt, ut *Euſtathius*, προθύματά τινα παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν ἐξ οὐλῶν, ἤγουν κριθῶν ἁλσὶ μεμιγμένων, ἅπερ οὐχ ἀλεσθέντες, ἢ ἐμπειρίας εἰσενεχθέντος [illegible], οἱονεί τινας ἀπαρχὰς ἐπέχεον τοῖς βωμοῖς. Vide *Euſtathium* in Οὐλαὶ & Οὐλοχύται. *Joſ. Barnes.*

V. 959. Γάμων) Ita *Canterus* legit pro veteri γαμούντων, ita *Heinſius* & *Scaliger* & *Rutgerſius*; quarè in textum admiſimus. Itâ *Medeæ*: v. 1235. Οὐχ ἡ γάμων ἕκατι τῶν Ἰάσονος. Et *Hercul. Fur.* v. 277. Ἠρέμα [?] δ' ἕκατι δεσπότας θυμούμενοι. Vide *Æmylii Porti* Notas in locum. *Joſua Barnes.*

V. 970. Εἴσεται σίδηρος) Poeta eleganter *Gladium* προσωποποιεῖ· Sic *Homerus* de Haſtâ dicit, λιλαιομένη χροὸς ἆσαι. Hinc & Nos *Franciados* noſtræ l. 2. De *Nigri* Principis Gladio,

Latum habuit multis fatalem millibus Enſem
Balteus, & lateri invitũ conſtrinxit honoro:
Aptiùs ille globos hominum nudatus obiret.

Vide *Plutarch.* Sympoſ. l. 9. § 15. *Joſua Barnes.*

V. 979. Αἰνούμενοι γὰρ οἱ 'γαθοὶ, &c.) Vide *Oreſt.* v. 1163.

“ Ἀλλ'

" Ἀλλ' οὖν ἔχει τι σχῆμα, κἂν ἄπωθεν ᾖ,
" Ἀνὴρ ὁ χρηστὸς δυστυχοῦντας ὠφελεῖν.
Οἴκτειρε δ' ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν.
Ἣ πρῶτα μέν σε γαμβρὸν οἰηθεῖσ' ἔχειν,
Κενὴν κατέσχον ἐλπίδ'· εἶτά σοι τάχα
Ὄρνις γένοιτ' ἂν τοῖσι μέλλουσιν γάμοις,
Θανοῦσ' ἐμὴ παῖς, ὅ σε φυλάξασθαι χρεών.
Ἀλλ' εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη·
Σοῦ γὰρ θέλοντος, παῖς ἐμὴ σωθήσεται.
Βούλει νιν ἱκέτιν σὸν περιπτύξαι γόνυ;
Ἀπαρθένευτα μὲν τάδ'· εἰ δέ σοι δοκεῖ,
Ἥξει δι' αἰδοῦς, ὄμμ' ἔχουσ' ἐλεύθερον·
Ἢ μὴ παρούσης, ταὐτὰ τεύξομαι σέθεν.
Αχ. Μενέτω κατ' οἴκους· σεμνὰ γὰρ σεμνύνεται.
Κλυ. Ὅμως δ' ὅσον γε δυνατὸν, αἰδεῖσθαι χρεών.
Αχ. Σὺ μήτε σὴν παῖδ' ἔξαγ' ὄψιν εἰς ἐμὴν,
Μήτ' εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν, γύναι.
" Στρατὸς γὰρ ἀθρόος, ἀργὸς ὢν τῶν οἴκοθεν,
" Λέσχας πονηρὰς καὶ κακοστόμους φιλεῖ.
Πάντως δέ μ' ἱκετεύοντες ἥξετ' εἰς ἴσον,
Εἴτ' ἀνικέτευτος ἦς. ἐμοὶ γὰρ εἷς ἀγὼν
Μέγιστος, ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
Ὡς ἕν γ' ἀκούσασ', ἴσθι μὴ ψευδῶς μ' ἐρεῖν.
Ψευδῆ λέγων δὲ καὶ μάτην ἐγκερτομῶν,
Θάνοιμι· μὴ θάνοιμι δ', ἢν σώσω κόρην.
Κλυ. Ὄναιο, συνεχῶς δυστυχοῦντας ὠφελῶν.
Αχ. Ἄκουε δή νυν, ἵνα τὸ πρᾶγμ' ἔχῃ καλῶς.
Κλυ. Τί τοῦτ' ἔλεξας; ὡς ἀκουστέον γέ σου.
Αχ. Πειθώμεθ' αὖτις πατέρα, βέλτιον φρονεῖν.
Κλυ. Κακός τίς ἐστι, καὶ λίαν ταρβεῖ στρατόν.
Αχ. Ἀλλ' οἱ λόγοι γε καταπαλαίουσιν λόγους.
Κλυ. Ψυχρὰ μὲν ἐλπίς· τί δὲ χρή με δρᾶν, φράσον.
Αχ. Ἱκέτευ' ἐκεῖνον πρῶτα μὴ κτείνειν τέκνα·
Ἂν δ' ἀντιβαίνῃ, πρὸς ἐμέ σοι πορευτέον.
Εἰ γὰρ τὸ χρῇζον * ἐπίθετ', οὐ τοὐμὸν χρεὼν * Lectio Scal.
" Χωρεῖν· ἔχει γὰρ τοῦτο τὴν σωτηρίαν.
" Κἀγώ τ' ἀμείνων πρὸς φίλον γενήσομαι·
Στρατός τ' ἂν οὐ μέμψαιτό μ', εἰ τὰ πράγματα
Λελογισμένως πράσσοιμι μᾶλλον, ἢ σθένει.
Καλῶς δὲ κρανθέντων, πρὸς ἡδονὴν φίλοις,
Σοί τ' ἂν γένοιτο, κἂν ἐμοῦ χωρὶς τάδε.
Κλυ. Ὡς σώφρον' εἶπας· δραστέον δ' ἅ σοι δοκεῖ.
Ἢν δ' αὖ τι μὴ πράσσωμεν, ἃ 'γὼ θέλω,
Ποῦ σ' αὖθις ὀψόμεσθα; ποῦ χρή μ' ἀθλίαν
Ἐλθοῦσαν εὑρεῖν σὴν χέρ' ἐπίκουρον κακῶν;
Αχ. Ἡμεῖς σε φύλακες, οὗ χρεὼν, φυλάξομεν,
Μή τίς σ' ἴδῃ στείχουσαν ἐπτοημένην
Δαναῶν δι' ὄχλου, μηδὲ πατρῷον δόμον
Αἴσχυν'. ὁ γάρ τοι Τυνδάρεως, οὐκ ἄξιος
" Κακῶς ἀκούειν· ἐν γὰρ Ἕλλησιν μέγας.

" Sed tamen habet aliquam ſpeciem, ut, etiamſi ſit alienus,
" Vir bonus, afflictos juvet.
Miſerere igitur noſtri; miſeranda enim patimur:
Quæ primum quidem exiſtimans me habituram te generum:
Habui vanam ſpem: deinde tibi fortaſſis
Omen fuerit nuptiis futuris,
Moriens mea filia, quod te cavere oportet:
Sed bene quidem initio dixiſti, bene etiam in fine:
Si enim volueris, ſervabitur mea filia.
Viſne eam ſupplicem amplecti tuum genu?
Hoc quidem virgini parum *eſt* decorum: ſi tamen *ita* tibi videtur,
Veniet *ad te cum* pudore, oculos habens liberos, *ac ingenuos*:
Aut abſente *eâ*, conſequar hæc abs te.
Ach. Maneat domi: laudabiliter enim pudicitiam agit.
Cly. Attamen quantum fieri poteſt, oportet *eam* pudere.
Ach. Tu neque filiam tuam adducito in meum conſpectum,
Neque veniamus in probrum, ô mulier, inconſideratum.
" Exercitus enim copioſus, qui *rerum* domeſticarum curis eſt vacuus,
" Amat malas & maledicas fabulas.
Idem plane conſequemini, ſive ſupplices ad me veneritis,
Sive non ſupplex fueris: nam mihi *propoſitum* eſt certamen
Maximum, ut vos à malis *iſtis* liberem.
Itaque hoc uno audito, ſcias me non falſa dicturum.
Quòd ſi falſa dicens, & fruſtrà vos ludam,
Moriar: quòd ſi puellam ſervavero, non moriar.
Cly. Sis felix, ſemper juvans afflictos.
Ach. Audi igitur nunc, ut res rectè geratur.
Cly. Quid hoc dixiſti? te quidem audiam volens.
Ach. Perſuadeamus iterum patri, ut meliùs ſapiat.
Cly. Eſt quidam ignavus, & nimis timet exercitum.
Ach. Sed rationes ſuperant rationes.
Cly. Frigida quidē *eſt* ſpes: ſed dic, quidnam oporteat me facere.
Ach. Supplicem te primùm illi præbeas, ne occidat filiam:
Τίκτει (τὸ καλλιστεῖον εἰς ἔμ' ἀναφέρων)
Ἣν χρή σε θῦσαι. καί μ' Ὀδυσσέως τέχναις
Μητρὸς παρείλοντ' ἐπὶ γάμοις Ἀχιλλέως.
Ἐλθοῦσα δ' Αὐλίδ' ἡ τάλαιν', ὑπὲρ πυρᾶς
Μεταρσία ληφθεῖσ', ἐκαινόμην ξίφει.
Ἀλλ' ἐξέκλεψεν, ἔλαφον ἀντιδοῦσά μου,
Ἄρτεμις Ἀχαιοῖς. διὰ δὲ λαμπρὸν αἰθέρα
Πέμψασά μ', εἰς τήνδ' ᾤκισεν Ταύρων χθόνα,
Οὗ γῆς ἀνάσσει βαρβάροισι βάρβαρος
Θόας, ὃς ὠκὺν πόδα τιθεὶς, ἴσον πτεροῖς,
Εἰς τοὔνομ' ἦλθε τόδε ποδωκείας χάριν.
Ναοῖσι δ' ἐν τοῖσδ' ἱερίαν τίθησί με,
Ὅθ' ἐννόμοισι τοῖσιδ' ἥδεται θεὰ
Ἄρτεμις ἑορτῆς, τοὔνομ' ἧς καλὸν μόνον·
Τὰ δ' ἄλλα σιγῶ, τὴν θεὸν φοβουμένη.
Θύω γὰρ, ὄντος τοῦ νόμου καὶ πρὶν πόλει,
Ὃς ἂν κατέλθῃ τήνδε γῆν Ἕλλην ἀνήρ.
Κατάρχομαι μὲν, σφάγια δ' ἄλλοισιν μέλει

Iphigenia filia Tyndaridis Clytæmneſtræ,
Quam circa vortices, quos crebrò Euripus denſis
Auris agitans, vertit cæruleum mare,
Mactavit propter Helenam, ut putabat, pater,
Dianæ, in claro ſinu Aulidis.
Hic enim mille navium claſſem
Græcorum contraxit Agamemnon rex:
Ex præclarâ victoriâ partam coronam Ilii volens
Capere Græcos, & contumeliâ affectum connubium
Helenæ *volens* perſequi, Menelao gratificans.
Gravē autē navigādi difficultatem *habens*, ventoſque nō *ſecundos*,
Ad igniſpicium ivit, *vat. ſy. conſultus*, & Calchas hæc ei dicit
O hujus Græcā exercitûs imperator,
Agamemnon, ex hujus terræ portu naves non deduces,
Priuſquam filiam tuam Iphigeniam Diana
Acceperit mactatam: quod enim annus pareret ille
Pulcherrimum, voviſti Luciferæ te ſacrificaturum deæ.
Filiam itaque in domo tuâ conjux Clytæmneſtra
Peperit (ad me *prima* pulchritudinis præmia referens)
Quam oportet te immolare. Et me Ulyſſis artibus
A matre abduxerunt quaſi ad nuptias Achillis.
Cumque in Aulidem veniſſem miſera ſuper rogum
Sublimis collocata, *jam* occidebar gladio.
Verum *me* ſubduxit, cervam pro me ſubjiciens
Diana Græcis, & per lucidum aërem
Miſſam me collocavit in hâc terrâ Taurorum,
In qua terra imperat barbaris barbarus
Thoas, qui celerem pedem ponit velut ales,
Unde hoc nomen habet propter pedum celeritatem.
Templis autem in illis ſacerdotem me conſtituit,
Ubi legibus talibus delectatur dea
Diana feſti, *ſacrique*, cujus nomen tantum *eſt* honeſtum:
Cætera verò taceo, deam reverita.
Immolo enim (cum mos ille & ante civitati fuerit)
Quicunque huc appulerit vir Græcus.
Auſpicor quidem *ſacra*: cædes verò *ultimarum*, aliis ſunt curæ.

V. 21. Φωσφόρῳ θεᾷ) i. e. Dianæ, Lucinæ, Lunæ. Ἡ ὅτι λαμπαδοῦχος, ἡ αὐτὴ γὰρ τῇ Ἑκάτῃ, ἢ ὅτι τοὺς γεννωμένους προάγει εἰς φῶς. Hinc *Callim.* Οὔτι ἀνασσοῦσα, φαεσφόρε. Aliam autem rationem alii adducunt, quare *Agamemnoni* iraſcebatur *Diana*, nempe quia *Cervam* illi ſacram interfecerit; vel, ut nonnulli, quòd *Dianam* de jaculandi peritiâ provocârit; ut *Callim. Hym. Dian.* v. 262. Μηδ' ἐλαφηβολίην μηδ' εὐστοχίην ἐριδαίνειν, Οὐδὲ γὰρ Ἀτρείδης ὀλίγῳ ἐπεκόμπασε μισθῷ. *Joſua Barnes.* V. 29. Διὰ δὲ λαμπρὸν αἰθέρα) Ex hoc loco corrigendus eſt *Ovidius* de Ponto. l. 3. Eleg. 2. Quam levibus ventis ſub nube per *æquora* vectam Creditur his Phœbe diſpoſuiſſe locis. Pro *æquora* lege *æthera* vel certè *aera*; & ſic *Gregor. Berſmannus* fatetur legi in MS. & libro uno. Is enim locus *Ovidii* ex hoc *Euripidis* deſumitur totus. *Joſua Barnes.* V. 30. Ταύρων χθόνα) *Euſtath.* in *Hom. Iliad.* B. fol. 259. lin. 6. Ἔθνος Βόρειον οἱ Ταῦροι· καὶ Ταυροπόλος ἡ Ἄρτεμις. *Taurica* gens *Scythiæ*, una ex famoſis *Cherſoneſis* (vid. Not. ad *Hecubæ* v. 8.) ubi *Diana* Humanis victimis colebatur. Vid. *Ovid.* Triſt. l. 4. Eleg. 4. & de Ponto l. 3. Eleg. 2. *Q. Curtii* l. 4. *Herodot.* l. 4. *Auguſtin.* de Civit. Dei l. 7. cap. 19. & 26. *Antonini Liberalis* Metamorphoſ. c. 27. *Vadianus Pomponii Melæ* Interpres in *Melæ* l. 2. ſic ſcribit, citante *Gaſpar. Stiblino*, quod ad *Tauros* attinet, ſcribit *Herodotus Tauros* omnes Naufragos *Iphigeniæ* immolare ſolere, & precibus peractis, hominis caput clavâ ferire, corpus truncum è ripa deturbare, caput cruci ſuffigere. Captis verò bello caput amputant, referúntque domum & ſuffixum fuſte, in tecti ſublimia ſtatuunt, plerunque autem ſupra furnarium erigunt, ideò id agentes; quòd hos totius domûs cuſtodes eſſe perſuadeantur. *Joſ. Barnes.* V. 32. Θόας) De hoc vide *Ovidium* locis ſupra citatis, à Θοὸς autem dici videtur, quod *celer* ſonat. V. 34. Ἱερίαν) pro ἱέρειαν Ironicè, vid. *Scholiaſten* & Notas noſtras ad *Oreſt.* v. 261. *Joſua Barnes.* V. 35. Ὅθ' ἐννόμοισι τοῖσιδ' ἥδεται θεὰ) Olim erat Ὅθεν νόμοισι τοῖσιν &c.) ſed cùm ὅθεν nihil hic haberet, *Canteri* lectionem approbavi, præſertim quia leges & jura Divini Cultûs ἔννομα dicuntur etiam in *Aureis* Carm. *Pythagoræ* dictis, Τούς τε καταχθονίους σέβε δαίμονας ἔννομα ῥέζων. *J. Barnes.* V. 40. Κατάρχομαι μὲν, σφάγια δ' ἄλλοισιν μέλει) κατάρχομαι, ἀλοχύτῳ, τούτεστι προθύματά τινα, ὡς ἔθος ἀρχαίοις Ἕλλησιν, ἐξ ὀλῶν, ἤγουν κριθῶν, ἁλοὶ μεμιγμένων, οἰωνοί τινας ἀπαρχὰς ἐπιχέω τοῖς βωμοῖς. Hinc *Budæus* κατάρχομαι, προκατάργματα καὶ προθύματα ποιῶ. Et *Lucianus* de *Oreſte* & *Pylade* in Tauricâ — Ἤδη δὲ Ἰφιγένεια κατήρχετο τούτων. Vid. *Guliel. Budæi* Comment. *Græc.* Linguæ, *J. Barnes.*

Ἄρρητ'

Ἄρρητ᾽ ἔσωθεν τῶνδ᾽ ἀνακτόρων θεᾶς.
Ἃ καινὰ δ᾽ ἥκει νὺξ φέρουσα φάσματα,
Λέξω πρὸς αἰθέρ᾽· εἴ τι δὴ τόδ᾽ ἔστ᾽ ἄκος.
Ἔδοξ᾽ ἐν ὕπνῳ τῆσδ᾽ ἀπαλλαχθεῖσα γῆς,
Οἰκεῖν ἐν Ἄργει, παρθένοισι δ᾽ ἐν μέσαις
Εὕδειν, χθονὸς δὲ νῶτα σεισθῆναι σάλῳ.
Φεύγειν δὲ, κἄξω στᾶσα, θριγκὸν εἰσιδεῖν
Δόμων πίτνοντα· πᾶν δ᾽ ἐρείψιμον στέγος
Βεβλημένον πρὸς οὖδας ἐξ ἄκρων σταθμῶν.
Μόνος δ᾽ ἐλείφθη στῦλος, ὡς ἔδοξέ μοι,
Δόμων πατρῴων· ἐκ δ᾽ ἐπικράνων κόμας
Ξανθὰς καθεῖναι, φθέγμα δ᾽ ἀνθρώπου λαβεῖν.
Κἀγὼ τέχνην τήνδ᾽, ἣν ἔχω ξενοκτόνον,
Τιμῶσ᾽, ὑδραίνειν αὐτὸν, ὡς θανούμενον,
Κλαίουσα. τοὔναρ δ᾽ ὧδε συμβάλλω τόδε·
Τέθνηκ᾽ Ὀρέστης, οὗ κατηρξάμην ἐγώ·
« Στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες·
Θνήσκουσι δ᾽, οὓς ἂν χέρνιβες βάλωσ᾽ ἐμαί·
Οὐδ᾽ αὖ συνάψαι τοὔναρ εἰς φίλους ἔχω·
Στροφίῳ γὰρ οὐκ ἦν παῖς, ὅτ᾽ ὠλλύμην ἐγώ.
Νῦν οὖν ἀδελφῷ βούλομαι δοῦναι χοὰς,
Παροῦσ᾽ ἀπόντι· ταῦτα γὰρ δυναίμεθ᾽ ἂν
Σὺν προσπόλοισιν, ἃς ἔδωχ᾽ ἡμῖν ἄναξ
Ἑλληνίδας γυναῖκας. ἀλλ᾽ ἐξ αἰτίας
Οὔπω τινὸς πάρεισιν εἰς ἔμ᾽ ἔσω δόμων,
Ἐν οἷσι ναίω, τῶνδ᾽ ἀνακτόρων θεᾶς.
Ορε. Ὅρα, φυλάσσου, μή τις ἐν στίβῳ βροτῶν.
Πυλ. Ὁρῶ, σκοποῦμαι δ᾽ ὄμμα πανταχοῦ στρέφων.
Ορε. Πυλάδη, δοκεῖ σοι μέλαθρα ταῦτ᾽ εἶναι θεᾶς,
Ἔνθ᾽ Ἀργόθεν ναῦν ποντίαν ἐστείλαμεν;
Πυλ. Ἔμοιγ᾽ Ὀρέστα· σοὶ δὲ συνδοκεῖν χρεών.
Ορε. Καὶ βωμὸς, Ἕλλην οὗ καταστάζει φόνος;
Πυλ. Ἐξ αἱμάτων γοῦν ξάνθ᾽ ἔχει τριχώματα.
Ορε. Θριγκοῖς δ᾽ ὑπ᾽ αὐτοῖς σκῦλ᾽ ὁρᾷς ἠρτημένα;
Πυλ. Τῶν κατθανόντων ἀκροθίνια ξένων.
Ορε. Ἀλλ᾽ ἐγκυκλοῦντ᾽ ὀφθαλμὸν εὖ σκοπεῖν χρεών.
Ὦ Φοῖβε, ποῖ μ᾽ αὖ τήνδ᾽ ἐς ἄρκυν ἤγαγες
Χρήσας; ἐπειδὴ πατρὸς αἷμ᾽ ἐτισάμην,
Μητέρα κατακτάς, διαδοχαῖς δ᾽ Ἐρινύων

Nefanda, in his templis Deæ.
Jam verò quæ nox præſens attulit recentia viſa,
Dicam ad aerem, ſi quod hoc eſt remedium.
Videbar in ſomno, relictâ hâc terrâ,
Habitare Argis, & inter virgines medias
Dormire: terræ autem tergum motu concuti videbatur.
Videbar autem fugere, & foris ſtans faſtigium intueri
Ædium cadere, & totam ruere contignationem
Dejectam humi ex ſummis poſtibus.
Unica verò relicta eſt columna, ut mihi videbatur,
Paternæ domûs: ex ſummo autem capitis vertice comâ *videbatur*
Flavam demittere, vocémque hominis accipere.
Ego vero artem, quam hic exerceo, occidentem hoſpites,
Honorans, aquâ lavabam ipſam *columnam*, ut morti deſtinatam,
Lamentans. Sic autem ſomnium interpretor hoc:
Mortuus eſt Oreſtes, quem initiavi ego *morti*;
« Columnæ enim familiarum ſunt liberi maſculi:
Moriuntur autem, quos lavacra mea conſperſerint.
Haud tamen accommodare ſomnium hoc ad amicos poſſum:
Strophio enim non erat filius, quando ego perii.
Nunc igitur fratri volo dare inferias,
Præſens abſenti (hæc enim poterimus *præſtare*
Cum ancillis, quas nobis dedit Rex *Thoas*
Græcas mulieres) ſed ob cauſam aliquam
Nondum accedunt ad me intra domum
In quâ habito, hoc *viz.* Templum Deæ *Dianæ*. * *Exit.*
Ore. Vide, obſerva, nè quis homo ſit in viâ.
Pyl. Video, ſpeculorque, convertens oculos in omnes partes.
Ore. Pylade, videtúrne tibi hoc eſſe templum Deæ,
Ad quod ex Argis appulimus navem marinam?
Pyl. Mihi quidem *videtur*, Oreſte: tibi verò idem videri decet.
Ore. Et ara, ex quâ Græcus ſtillat ſanguis?
Pyl. Ex ſanguine quidem rubras habet comas.
Ore. Tholis verò ſub ipſis templi ſpolia vidéſne ſuſpenſa?
Pyl. Interfectorum primitias, & exuvias hoſpitum.
Ore. Ergo oportet oculis in orbem circumactis bene ſpeculari.
O Phœbe, quò me rurſus in hæc retia duxiſti,
Edito oraculo? poſtquam paternam cædem ſum ultus,
Matre cæſâ, tunc perpetuis vicibus Furiarum

V. 41. Ἀνακτόρων θεᾶς) ἀνάκτορον τὸ & τὰ ἀνάκτορα *Palatium* Regum; ſed & *Templum* quoque Deorum notat, quia Dii ἄνακτες & ἀνάκτορες, ut diximus *Iphig. Aul.* v. 1482. *Joſua Barnes.* V. 50. Στῦλος) Ita hic loci accentum ponimus, ob verſum; στῦλος verò quoad accentum διφορεῖται, ſcribitur enim & στύλος, & tum brevis eſt prior ſyllaba; eodem modo ἴσος & ἶσος ſcribitur pro ratione quantitatis mutato accentu. *Scaliger* autem neceſſitatem circumflexûs hic vidit. *Joſua Barnes.* V. 56. Κατηρξάμην) i. e. ὕδραινον, ut ſupra v. 54. vide autem de hoc vocabulo ad v. 40. V. 57. Στῦλοι γὰρ οἴκων, &c.) *Aſtrampſychi* Onirocrit. & *Suidas* ex eo, Στῦλον κρατῶν ἔλπιζε τὴν θείαν χάριν. Eſt enim *Columna* emblema *ſecuritatis*, & ſolidæ manſionis. Et Nos de *Columnis* Philologicè nuper exercebamur, ſex mihi ab *Ignoto* quodam *Ingratiſſimo* propoſitis quæſtionibus, quibus ego gnavitèr reſpondebam Sex totis capitibus, operâ, quod ad illum Inquinatiſſimum homuncionem ſpectat, planè irritâ; at Candido Literatorum Choro aliquando forſan haud uſquequaque ingratâ futurâ. Nè verò iſte perfidus tenebrio noſtris laboribus inſtructus in publicum prodire auſit; illius Operis rationem hanc prælibandam duximus. Operosè itaque de his rebus agitur, viz. *Cap.* 1. De *Columnarum* materiâ, quam variam probo, nempe ex *Auro*, *Argento*, *Ære*, *Oricalcho*, *Smaragdo*, *Onyche*, *Adamante*, *Marmore*, *Pyrrhopœcilo*, *Lapide* & *Lateribus*, *Ligno* omnis generis &c. *Cap.* 2. De *Columnarum* Altitudine & Formâ, ubi de *Obeliſcis*, *Pyramidibus*, *Cippis* &c. *Cap.* 3. Ubi præcipuè ſtabant, ad *Altaria*, in *Templis*, in *Arcibus*, in *Foris*, in *Portubus* &c. *Cap.* 4. Qui præcipuè Authores de Columnis locuti ſunt. *Cap.* 5. Quas ob cauſas erigi ſolebant & quis earum uſus ordinarius: *viz.* *Inſtruendi* causâ; ut *Hiſtoricæ*, *Aſtronomicæ* & *Hieroglyphicæ*, *Columnæ* &c. *Durationis* & *Publicationis*, *Commemorationis*, *Honoris*, *Vituperiíque* causâ, *Uſûs* & *Ornatûs*: item *Religionis* &c. *Cap.* 6. Utrum ſingulares, an plures ſimul erigi ſolebant. Et hoc à Nobis Σπλιτάμα illius Ingratitudo poſcebat, qui tot tantiſque noſtris ſtudiis laboribúſque, ejus (licet nè facie nec nomine mihi noti) causâ exantlatis, & more noſtro, nullâ ſtipulatione factâ, liberè exhauſtis, Plagiarii tenebrionis inſtar tacitè in rem ſuam uſus eſt, nè gratiis quidem mihi vel ore tenùs exhibitis, nec nomine agnito. *Joſua Barnes.* V. 58. Θνήσκουσι, &c.) Pro ὧς & βάλωσί μοι, οὓς & βάλωσ᾽ ἐμαὶ ſcribo; ſenſu, *Cantero*, *Scaligeróque* ſimul poſtulantibus. *Joſua Barnes.* V. 60. Στροφίῳ) *Strophius* Rex *Phocidis*, Pater *Pyladis*, filius *Criſi*, qui erat *Phoci*, qui erat *Æaci*, qui erat *Jovis*. *Joſua Barnes.* V. 62. Ἀπόντι) Ita cum *Cantero* lego pro παντὶ, *Brodæus* πάντῃ nullo bono. *Joſua Barnes.* V. 75. Ἀκροθίνια) τὰ ἀκροθίνια, τὰ ἄκρα θινός, ὅ ἐστι σωρῷ· ἢ τὰ λάφυρα καὶ αἱ ἀπαρχαί Vid. *Euſtath.* in *Hom.* fol. 1862. lin. 29. *Joſua Barnes.* V. 79. Διαδοχαῖς δ᾽ Ἐρινύων ἠλαυνόμεσθα) Vid. *Oreſt.* Fabul. & præcipuè à v. 1645. & deinceps. Ubi de exilio ejus & erroribus.

Ἠλαυνό-

Ἠλαυνόμεσθα, φυγάδες, ἔξεδροι χθονός,
Δρόμους τε πολλοὺς ἐξέπλησα καμπίμους.
Ἐλθὼν δέ σ' ἠρώτησα, πῶς τροχηλάτου
Μανίας ἂν ἔλθοιμ' εἰς τέλος, πόνων τ' ἐμῶν,
Οὓς ἐξεμόχθουν περιπολῶν καθ' Ἑλλάδα.
Σὺ δ' εἶπας ἐλθεῖν Ταυρικῆς μ' ὅρους χθονός,
Ἔνθ' Ἄρτεμις σὴ σύγγονος βωμοὺς ἔχει,
Λαβεῖν τ' ἄγαλμα θεᾶς, ὅ φασιν ἐνθάδε
Εἰς τούσδε ναοὺς οὐρανοῦ πεσεῖν ἄπο.
Λαβόντα δ' ἢ τέχναισιν, ἢ τύχῃ τινί,
Κίνδυνον ἐκπλήσαντ', Ἀθηναίων χθονὶ
Δοῦναι τόδ'· ἔνθεν δ' οὐδὲν ἐρρήθη * πέρας. * τέρμα Brodæus.
Καὶ ταῦτα δράσαντ' ἀμπνοὰς ἕξειν πόνων.
Ἥκω δέ, πεισθεὶς σοῖς λόγοισιν, ἐνθάδε
Ἄγνωστον εἰς γῆν, ἄξενον. σὲ δ' ἱστορῶ
Πυλάδη· σὺ γάρ μοι τοῦδε συλλήπτωρ πόνου·
Τί δρῶμεν; ἀμφίβληστρα γὰρ τοίχων ὁρᾷς
Ὑψηλά. πότερα δωμάτων προσαμβάσεις
Ἐκβησόμεσθα; πῶς ἂν οὖν μάθοιμεν ἄν;
Ἢ χαλκότευκτα κλῇθρα λύσαντες μοχλοῖς;
Ὧν οὐδὲν ἴσμεν. ἢν δ' ἀνοίγοντες πύλας
Ληφθῶμεν, εἰς βάσεις τε μηχανώμενοι,
Θανούμεθ'. ἀλλὰ πρὶν θανεῖν, νεὼς ἔπι
Φύγωμεν, ᾗπερ δεῦρ' ἐναυστολήσαμεν.
Πυλ. Φεύγειν μὲν οὐκ ἀνεκτόν, οὐδ' εἰώθαμεν.
Τὸν τοῦ θεοῦ δὲ χρησμὸν οὐ κακιστέον.
Ναοῦ δ' ἀπαλλαχθέντε κρύψωμεν δέμας
Κατ' ἄντρ', ἃ πόντος νοτίδι διακλύζει μέλας
Νεὼς ἄπωθεν, μή τις εἰσιδὼν σκάφος,
Βασιλεῦσιν εἴπῃ, κᾆτα ληφθῶμεν βίᾳ.
Ὅταν δὲ νυκτὸς ὄμμα λυγαίας μόλῃ,
Τολμητέον τοι, ξεστὸν ἐκ ναοῦ λαβεῖν
Ἄγαλμα, πάσας προσφέροντα μηχανάς.
Ὅρα δέ γ' εἴσω τριγλύφων, ὅποι κενόν,
«« Δέμας καθεῖναι. Τοὺς πόνους γὰρ οἱ 'γαθοὶ
«« Τολμῶσι· δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ.
Ορε. Οὔτοι μακρὸν μὲν ἤλθομεν κώπῃ πόρον,
Ἐκ τερμάτων δὲ νόστον ἀροῦμεν πάλιν;
Ἀλλ', εὖ γὰρ εἶπας, πειστέον. χωρεῖν χρεών,
Ὅποι χθονὸς κρύψαντε λήσομεν δέμας.
Οὐ γὰρ τὸ τοῦ θεοῦ γ' αἴτιον γενήσεται,
Πεσεῖν ἄχρηστον θέσφατον· τολμητέον·
Μόχθος γὰρ οὐδεὶς τοῖς νέοις σκῆψιν φέρει.

Agitabamur, exules, extra ſedes patriæ,
Curſuſque multos, & itinera flexuoſa confeci.
Et veniens interrogavi te, quomodo agitantis *me*
Furoris tandem ad finem venirem, & meorum laborum,
Quos pertuli vagabundus per Græciam.
Tu verò me juſſiſti venire in Tauricæ terræ fines,
Ubi Diana ſoror tua aram habet,
Et rapere ſtatuam Deæ, quam dicunt hic
In hoc templum de cœlo deciſſe:
Captam verò ſive dolo, ſive caſu aliquo,
Periculo ſuperato, Athenienſium terræ,
Dare hanc (præterea v. nullus *alius à te mihi* dictus eſt finis)
Et his peractis *me* reſpirationem laborum habiturum *dixiſti*.
Venio igitur, tuis obtemperans verbis, huc
In terram ignotam, *&* inhoſpitalem. Te autem interrogo
Pylade (tu enim adjutor mihi *es* hujus laboris)
Quid faciemus? munitiones enim murorum vides
Altas, utrum domûs ſcalas *hinc*
Egreſſi ſcandemus? quomodo enim *hoc* ſciemus?
An ærea clauſtra ſolventes vectibus, *ingrediemur?*
Quorum nihil ſcimus: quòd ſi aperientes portas
Capti fuerimus, ingreſſumque machinantes,
Moriemur. Verùm priuſquam moriamur, ad navem
Fugiamus, quâ huc navigavimus.
Pyl. Fugere quidem non *eſt* tolerabile, neq; *fugere* conſuevimus.
Dei verò oraculum non *eſt* contemnendum.
Sed à templo recedentes, occultemus corpus
In antris, quæ Pontus alluit aquis niger
Procul à navi, nè quis *noſtram* conſpicatus navem,
Regibus dicat, & deinde per vim corripiamur.
Quando verò venerit oculus noctis obſcuræ,
Audendum *erit*, ex templo rapere politam
Statuam, omnes admovendo machinas.
Conſidera autem quomodò in intercolumnia, ubi Vacuitas eſt,
Corpus demittas. Labores *enim viri* fortes
«« Audent *ſubire*: Ignavi verò nihil uſquam ſunt, *nihil audent*.
Or. Nequaquã longã quidē iter remo venimus, *navi confecimus*.
Ex *iſtis* v. finibus reditū ſuſcipiemus iterū *ſive fruſtra redibimus*?
Quamobrem (rectè enim dixiſti) parendum *eſt*: oportet ire,
Ubi corpus occultantes lateamus:
Haud enim Dei *numen* culpandum erit,
Si ceciderit irritum oraculum. Audendum *eſt*:
Labor enim nullus juvenibus tergiverſationem parit.

V. 85. Σὺ δ' εἶπας) ἐκέλευσας. Εἶπον pro ἐκέλευον. Ita *Hecub.* v. 553. &c. Ἀγαμέμνων δ' ἄναξ Εἶπεν μεθεῖναι παρθένον νεανίαις. Idem notabis *Iphig. Aul.* v. 95. Vid. de hâc re *Pfochenii* Diatrib. de Ling. *Græc.* N. T. Puritate c. 79. § 49. p. 55. *J. Barnes.* V. 88. Ἄγαλμα θεᾶς, ὅ φασιν οὐρανοῦ πεσεῖν ἄπο) Simile quid in Apoſtolorum Actis narratur de *Dianâ Epheſinâ Act.* c. 19. v. 35. Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; τὸ Διοπετὲς ab *Euripide* circumlocutione exprimitur, ἄγαλμα, ὅ φασιν ἀπ' οὐρανοῦ πεσεῖν. Eſt idem Διιπετές, & res eadem narratur de *Palladio Minervæ* & de *Ancili* Romano. De *Palladio* inter alios vide *Cononis* Διηγήσεων λά. De *Ancili* autem *Dionyſ.* Halicarn. l. 2. & *Lactant.* l. 1. c. 21. *Livium* quoque &c. *Ovid.* Faſt. l. 2. *Ecce levi ſcutum verſatu leniter aurâ Decidit: à populo clamor ad aſtra venit.* Et paulò poſt. *Idque Ancile vocant, quòd ab omni parte reciſum eſt, Quemque notes oculis, Angulus omnis abeſt.* Vide plura ad Amici mei nuper defuncti Domini *Nicolai Lloydii* Lexicon Poeticum in vocabulo *Ancile*. Hoc autem *Dianæ* ſignum, poſtquam ab *Iphigeniâ* & *Oreſte* deportabatur in *Græciam*, magnâ à *Græcis* veneratione colebatur. Vid. *Pauſan.* in *Atticis* fol. 21. lin. 33. & in *Laconicis* fol. 98. lin. 24. &c. *Joſua Barnes.* V. 96. Ἀμφίβληστρα) propriè ἀμφίβληστρον *Rete* ſonat, per Metaphoram autem *Tunicam*, ut apud *Sophoclem*; at hic loci Munitiones, ἀμφίβλημα vel περίβολον. V. 97. Πρὸς ἀμβάσεις) Puto & hic legi debere conjunctim προσαμβάσεις, ut *Phœniſ.* v. 492. & v. 751. V. 98. Πῶς ἂν οὖν μάθοιμεν ἄν;) De duplici ἂν vid. infra ad v. 245. V. 110. Νυκτὸς ὄμμα) Tenebræ, *Brodæus.* λυγαίας) λυγαῖος παρὰ τὴν λύγην· Ἡ δὲ λύγη καὶ ἠλύγη, σκιά. *Apollon.* Arg. l. 2. Νύχθ' ὑπὸ λυγαίην. *Joſua Barnes.* V. 112. Πάσας προσφέροντα μηχανάς) *Eraſmus* in Proverbio, *Omnes adhibere machinas. Joh. Brodæus.* V. 113. Τριγλύφων) De *Triglyphis* vid. *Vitruvium* l. 1. c. 2. & l. 4. c. 1. Item quæ Nos ad *Oreſt.* v. 1374. Hoc autem in loco *Intercolumnia* reddidi, quia ibi *Oreſtem* latitare poſſe ſperat *Pylades*. *Scaliger* autem poſt κενόν comma facit, ut Nos; & τὸ καθεῖναι ab ὅρα regi videtur optimè; dicimus enim ὅρα τοῦτο ποιεῖν pro ὅρα, ὅπως τοῦτο ποιῇς. *Conſidera*, ut hoc facias. *Joſua Barnes.* V. 117. Ἐκ τερμάτων δὲ νόστον ἀροῦμεν πάλιν) De verbo ἀροῦμεν notandum, eſſe *Aoriſti primi* temporis, atque ideò primam producere, ut *Oreſt.* v. 3. Ἧς οὐκ ἄραιτ' ἂν ἄχθος ἀνθρώπου φύσις; cùm prior ſyllaba in *Aoriſto ſecundo* ſit brevis. Jam verò, quod ad *ſenſum* hujus loci attinet, cave ut nè legas ſine interrogatione, nec enim alitèr ſenſus aperitur. Ita igitur *Scaliger* periodum emendat caudámque ſubjicit,

jiciat. *Euripides* autem his verbis illum *Homericum* locum reſpicit —Αἰσχρὸν γὰρ δηρόν τε μένειν, κενεόν τε νέεσθαι. *Joſua Barnes*. V. 118. Χωρεῖν χρεὼν) Ita cum *Scaligero* reſtituimus, rejecto quod nihil huc attinere poterat, corrupto illo —Χώρει νεκρῶν, nihil enim cum hoc Antro & Mortuis commune. Licet *Brodæus* legebat etiam Χώρει νεκρὸν & exponebat νεκρὸν δέμας morti & periculis objectum; *Duportus* varias has lectiones profert præter χώρει νεκρῶν, χώρει νεκρὸν *Brod.* χώρει μετρῶν probabilitèr, χωρεῖς νεκρῶν ineptè, χωρεῖν χρεὼν rectiſſimè; & ita, uti diximus, *Scaliger*, quare in textum admiſimus. Hunc autem Verſum *Duportus* malè *Pyladi* attribuit, *Oreſtes* enim hìc laudat *Pyladis* orationem, quâ ad latitandum alicubi hortabatur; nempe ſuprà v. 106.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ιφι. Εὐφαμεῖτ', ὦ Πόντου
Διωσὰς συγχωρούσας πέτρας
Εὐξείνου ναίοντες.
Ὦ παῖ τᾶς Λατοῦς,
Δίκτυνν' οὐρεία,
Πρὸς σὰν αὐλὰν, εὐστύλων
Ναῶν χρυσήρεις θριγκοὺς,
Πόδα παρθένιον,
Ὅσιον, ὁσίας
Κληδούχου δούλα πέμπω,
Ἑλλάδος εὐίππου πύργους,
Καὶ τείχη, χόρτων τ' εὐδένδρων
Ἐξαλλάξασ' Εὐρώταν,
Πατρῴων οἴκων ἕδρας.
Χο. Ἔμολον· τί νέον; τίνα φροντίδ' ἔχεις;
Τί με πρὸς ναοὺς ἄγαγες, ἄγαγες;
Ὦ παῖ τοῦ τᾶς Τροίας πύργους
Ἐλθόντος κλεινᾷ σὺν κώπᾳ
Χιλιοναύτᾳ * μυριοτεύχοις
Τῶν Ἀτρειδᾶν τῶν κλεινῶν.
Ιφι. Ὦ δμωαὶ δυσθρηνήτοις
Ὡς θρήνοις ἔγκειμαι,
Τᾶς οὐκ εὐμούσου μολπᾶς βοᾶν
Ἀλύροις ἐλέγοις.
Ἒ, ἔ. ἐν κηδείοις οἴκτοισιν,
Αἵ μοι συμβαίνουσ' ἆται,
Σύγγονον ἁμὸν κατα-
κλαιομένᾳ ζωᾶς,
Οἵαν ἰδόμαν ὄψιν ὀνείρων
Νυκτὸς, τᾶς ἐξῆλθ' ὄρφνα.
Ὠλόμαν, ὠλόμαν.
Οὐκ εἴσ' οἶκοι πατρῷοι,
Οἴμοι φροῦδος γέννα.
Φεῦ, φεῦ. τῶν Ἄργει μόχθων.
Ἰὼ δαῖμον, ὃς τὸν
Μόνον με κασίγνητον συλᾷς,
Ἀΐδᾳ πέμψας, ᾧ τάσδε
Χοὰς μέλλω, κρατῆρά τε
Τὸν φθιμένων
Ὑδραίνειν γαίας ἐν νώτοις,
Πηγάς τ' οὐρείων ἐκ μόσχων,

* an μυριοτευχεῖ?

MONOSTROPHICA.

Iph. Favete linguis, ò Ponti
Gemina concurrentia ſaxa, *i.e. ſymplegadas*,
Euxini incolentes *homines*.
O filia Latonæ
Dictynna montana, *vel montivaga*,
Ad tuam aulam, & pulchris columnis-ornatorum
Templorum *ad* aureas loricas,
Pedem virgineum,
Sanctum, ſanctæ
Clavigeræ *Dianæ* ſerva immitto,
Græciæ bellicoſæ turres,
Et muros, agriſque nemoroſis inſignem
Relinquens Eurotam,
Paternæ domus ſedem.
Cho. Adſum. Quid novi? quid es ſollicita?
Cur me ad templum duxiſti, duxiſti?
O filia illius *Agamemnonis*, qui *ad* Trojæ turres
Venit cum inclytâ claſſe
Mille navium, & cum innumeris armatis militibus
Atridarum inclytorum.
Iph. O famulæ flebilibus
Ut lamentatis immoror,
Non-jucundi cantûs edendo-clarâ-voce
Inſuaves elegos,
Heu, heu! in domeſtico luctu
Quæ mihi accidunt mala,
Fratrem meum
Lugenti *ob amiſſam* vitam.
Qualem vidi faciem ſomniorum
Hâc nocte, cujus abiit caligo.
Perii, Perii,
Non eſt domus paterna.
Hei mihi, interiit *meum* genus.
Heu, heu, *propter toleratos* Argis labores.
Heu fatum, quod
Fratre, quem habui unicum, me ſpolias,
Quem ad inferos miſiſti: cui has
Inferias paro poculúmque
Mortuorum
Ut in terræ dorſum, i.e. ſuperficiem, effundam aquam,
Et fontes *ſanguineos* ex montanis vitulis i.e. ſanguinem,

V. 124. Διωσὰς συγχωρούσας πέτρας) phraſi æquipollenti Συμπληγάδας notat; de quibus *Scholiaſtes* ad *Medæ* v. 2. Τὰς περὶ τὸ ςόμα τοῦ Πόντου λέγει, αἳ δι' ἀπάτην τῆς ὄψεως δοκοῦσιν ἐνταῦθα κἀκεῖ φέρεσθαι. Vid. *Nicolai Lloydii* Amici olim mei Lexicon Poeticum in *Symplegedes* & *Cyaneæ* & quæ Nos etiam ad *Medæ*: v. 2. notavimus. *Joſua Barnes*. V. 127. Δίκτυννα) Quare *Diana* ſit ita dicta vid. *Callim.* hym. *Dian.* v. 198. V. 128. Εὐστύλων) εὐκιόνων. V. quæ nos ſuprà ad v. 57. ubi de *Columnis*. V. 132. Κληδούχου δούλα πέμπω) Non ego hìc per Κληδοῦχον *ſacerdotem* intelligo; nec enim *Iphigenia* erat *ſacerdotis* ſerva, ſed ipſius Deæ *Dianæ*; neſcio autem, ut verum planè fateor, quare *Diana* dicatur κληδοῦχος, niſi ob munus obſtetricatorium, unde *Horat.* Carm. Secul. dixit illam —*Ritè maturos aperire partus*; nec tamen uſpiam ita dictam apud Veteres reperio. Si faverent exemplaria mallem legere λαμπαδοῦχον, id enim Nominis *Dianæ* maximopere convenit. Vid. *Callim.* Hym. *Dian.* v. 11. *Joſua Barnes*. V. 135. Εὐρώταν) Ita repono & Εὐρώπαν rejicio, meliori ut puto, jure, quàm quo *Duportus* aliique in alio loco hujus Poetæ Εὐρώταν rejecto, Εὐρώπαν poſuerunt; ut notavimus ad *Androm.* v. 801. *Eurotas* autem eſt Famoſus *Laconiæ* fluvius, & *Laconia* provincia *Peloponneſi*, ubi dominabatur *Agamemnon Iphigeniæ* Pater. *Joſua Barnes*. V. 140. Κώπᾳ) κώπη propriè *Remus*. Synechdochicè autem *Remus* pro *Navi* ponitur & *Navis* pro *Claſſe*; ſicut verò χιλιοναύτᾳ ἐπιθετικῶς ponatur ad κώπᾳ, ita ſuſpicor μυριοτεύχοις, debere & legi velim μυριοτευχεῖ, nullo enim modo μυριοτεύχοις, ut vocabulum id genitivum demus, hìc loci ſtare poſſe videtur. *Joſua Barnes*. V. 145. Βοᾶν) ἀντὶ βοᾶν· βοῶσα. *Æmyl. Portus*. V. 150. Ζωᾶς) Subaudi ἕνεκα *id.* V. 160. Κρατῆρά τε τὸν φθιμένων &c.) Ex hoc loco mixturam hujus poculi licet agnoſcere, ut in *Latinâ* verſione appoſui; nempe fieri ex *Aquâ*, *Sanguine*, *Lacte*, *Vino* & *Melle*; ἃ νεκροῖς θελκτήρια χεῖται. Vide infrà ad v. 633. *Joſua Barnes*.

Βακχυ

Βάκχου τ' οἰνηρὰς λοιβάς,
Ξουθᾶν τε πόνημα μελισσᾶν,
Ἃ νεκροῖς θελκτήρια κεῖ-
τ'. ἀλλ' ἔνδος μοι πάγχρυσον
Τεῦχος, καὶ λοιβὰν ᾄδα.
Ὦ κατὰ γαίας
Ἀγαμεμνόνειος θάλος,
Ὡς φθιμένῳ τάδε σοι
Πέμπω· δέξαι δ', οὐ γὰρ πρὸς
Τύμβον σοι ξανθὰν χαίταν,
Οὐ * δάκρυ' οἴσω. * al. δάκρυ.
Τηλόσε γὰρ δὴ σᾶς ἀπενάσθην
Πατρίδος, κεμὰς ἔνθα δοκήμασι
Κεῖμαι, σφαγεῖσα τλάμων,
Χο. Ἀντιψάλμους ᾠδάς,
Ὕμνον τ' Ἀσιήταν σοι
Βάρβαρον ἰαχάν,
Δέσποιν', ἐξαυδάσω,
Τὰν ἐν θρήνοισι μοῦσαν,
Νέκυσιν μέλεον·
Τὰν ἐν μολπαῖς Ἀΐδας
Ὑμνεῖ, δίχα Παιάνων.
Ιφ. Οἴμοι τῶν Ἀτρειδᾶν οἴκων·
Ἔῤῥει φῶς σκήπτρων.
Οἴμοι πατρῴων οἴκων·
Τίν' ἐκ τῶν εὐόλβων
Ἄρξει βασιλέων,
Ἀρχά; μόχθος δ' ἐκ μόχθων
Ἀΐσσει δινευούσαις ἵπποισιν
Πταμένοις· ἀλλάξας
Δ' ἐξ ἕδρας ἱερὸν ὄμμ' αὐγᾶς ἅλιος.
Ἄλλοις δ' ἄλλα προσέβα
Χρυσέας ἀρνὸς μελάθροις ὀδύνα,
Φόνος ἐπὶ φόνῳ,
Ἄχεα τ' ἄχεσιν.
Ἔνθεν τῶν πρόσθεν δμαθέν-
των Ταντaλιδᾶν ἐκβαίνει
Ποινά γ' ἐς οἴκους· σπεύδει
Δ' ἀσπούδαστ' ἐπὶ σοὶ δαίμων,
Ἐξ ἀρχᾶς μοι δυσδαίμων,

Et Bacchi vinoſam libationem, i.e. Vinum
Et flavarum labores apum, i.e. Mel)
Quæ ſunt ſacrificia pro mortuis, *manes placantia.*
Verùm da mihi aureum
Vas, & libationem inferis *libandam.*
O infra terram
Agamemnonium germen,
Tanquam mortuo hæc tibi
Mitto. Tu verò ſuſcipe, non enim ante
Tuum ſepulchrum tibi flavam comam,
Neque lachrymas adferam.
Procul enim abſum à tuâ
Patriâ, *ego* Hinnula ubi exiſtimor
Jacere, miſera, mactata.
Cho. Reſpondentes cantilenas,
Et hymnum Aſiaticum tibi
Barbaricâ voce,
O domina ſonabo,
Muſam lugubrem,
Pro mortuis miſeram:
Quam in carminibus Pluto
Sonat ſine Pæane.
Iph. Heu mihi Atridarum familia,
Periit lumen ſceptrorum.
Heu paternam domum.
Cui ex beatis
Argivorum regibus
Principatus *cedet?* Labor autem ex laboribus
Exoritur etiam agentibus equis
Volucribus. Mutans autem
Sacrum oculum ſui ſplendoris aufugit ſol.
Ad alios verò alius acceſſit
Dolor *in* Familiâ *propter* aureum agnum,
Cædes ad cædem,
Dolor ad dolorem.
Inde à prius mortuis
Tantalidis erumpit *ex Orco*
Furia in familiam; accelerat enim *res*
Indignas præterea *malus* dæmon,
Initio mihi infelix

V. 176. Κεμὰς) Ita reſtituo pro κέμας, quòd priùs obtinebat, *Cantero, Scaligero, Brodæo,* authoribus. Κεμὰς autem eſt ἐλάφου παῖς, Hinnula &c. ſcribitur etiam & κεμμὰς Carminis gratiâ. Grammatici autem dictam volunt, κεμὰς, quaſi κοιμὰς, ὡς κοιμωμένη ἔτι ἐν τῷ σπηλαίῳ, ob teneram nempe ætatem. Vel ut *Euſtathius,* quaſi μικκὸς per metatheſin κημὰς & per Syſtolen κεμάς. Quòd verò tanta vocis ſimilitudo occurrat in κεμὰς, δοκήμασι, κεῖμαι, id multam ἠδυφωνίαν redolet; ita quoque *Ovidius O utinam poſſem populos reparare paternis Artibus, atque animas formatæ infundere terræ.* Et Nos etiam in *Franciados* noſtr. l. 5. v. 368. *Tum vocat Althemium in pugnam, volat ille vocatus Ad vocem: ter lapſus equus, térque omine ſpreto Letus ad infenſæ feſtinat Virginis ora.* Nec verò hæc verborum condimenta neglexit ipſe *Homerus,* ut *Odyſſ.* τ'. v. 205. Ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσιν, Ἥν τ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύῃ· Τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες· Ὡς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης. Quē locum ipſe *Scaliger* miratur. Sed in vocibus parùm variatis gratior ſuavitas, ut λοιμόν τε λιμόν τε & *Iliad.* ξ. v. 377. Χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω. *Joſua Barnes.* V. 185. Δίχα Παιάνων) *Pæan* lætior cantilena ob victoriam & rem benè geſtam. Eſt *Pæan* Ἐνυάλιος dictus, quia Marti canitur: ſed de hoc & alio *Pæane* poſt *Euſtathium* (fol. 137. lin. 40. uſque ad lin. 46. & fol. 138. lin. 44. & fol. 1109. lin. 27. & fol. 1275. lin. 38.) Vid. *Cæl. Rodigin.* Antiq. Lect. l. 9. c. 8. Item *Natal. Comit.* in *Apollo,* ubi de hoc & altero poſt Victoriam *Apollini* facto. Vide quoque *Macrob.* Satur. l. 3. c. 2. p. 319. Et *Andr. Schott.* in *Procli* Χρηστομάθειαν. *J. Barnes.* V. 189. Τίν') *Æmyl. Portus* dicit pro τίνι poni; ſed quem ille ſenſum exhinc commodè elicere poteſt, non video. Ἀρχὰ βασιλέων τίνι. *Dupertus* annotatum habet ἄρξει, longè ſi mihi credas, commodiùs. Τίνα βασιλέων ἐξ εὐόλβων ἄρξει; μόχθος δ' ἐκ μόχθων. Sin ἀρχὰ legatur, τίς ille vult legi. *Joſ. Barnes.* V. 194. Ἐξ ἕδρας ἱερὸν ὄμμ' αὐγᾶς ἅλιος) De ſolis regreſſu & *Thyeſteis* Dapibus vid *Senecæ Thyeſtem* v. 790. Nota Hiſtoria. V. 196. Χρυσέας ἀρνὸς) De Aureâ Agnâ ſive Agno, ſive Ariete, cujus Cuſtodia fatum habuit *Regni Atrei,* Vid. *Euſtathium* περὶ Ἀτρέως χρυσῆς ἀρνὸς & Poeticos & Mythologicos ſcriptores: *Senecam* imprimis Tragœdum *Thyeſt.* v. 225. &c. Eſt Pelopis *altis nobile in ſtabulis Pecus Arcanus Aries, ductor opulenti gregis, Hujus per omne corpus infuſo Coma Dependet auro; cujus è tergo novi Aurata Reges ſceptra* Tantalici *gerunt: Poſſeſſor hujus Regnat,* &c. Joſua Barnes. V. 199. Ἔνθεν τῶν πρόσθεν δμαθέντων Ταντaλιδᾶν ἐκβαίνει Ποινά γ' ἐς οἴκους) Reſpicit Poeta ad Furias & Scelerum Pœnas, quæ *Tantali* & *Thyeſtæ* olim-defunctorum poſteros perſecutæ ſunt; & ad hunc locum illuſtrandum egregiè faciunt, Duo *Senecæ* Prologi, ad *Agamemnona* nempe & *Thyeſten,* ubi hic *Tantali,* illic *Thyeſtæ* Umbra huic Familiæ turbas & infortunia ſtruunt; Δμαθεὶς pro δμηθεὶς, idem quod δαμεὶς *Homerico* More pro θανὼν ſimpliciter; *Domitus* pro *Mortuus.* Idem infra v. 229. Ἄρχει δμαθέντα κλαίω σύγγονον. *Joſua Barnes.*

Δαίμων τᾶς ματέρος ζώνας.
Καὶ νυκτὸς κείνας, ἐξ ἀρχᾶς
* Λοχείαν, στεῤῥὰν παιδείαν, *al. λοχιᾶν. *Scalig.*
Μοῖραι συντείνουσι θεαί,
** Ἁ μναστευθεῖσ' ἐξ Ἑλλάνων,
Ἃν πρωτόγονον θάλος ἐν θαλάμῳ,
Λήδας ἁ τλάμων κόρα
Σφάγιον πατρῴα λώβα,
Καὶ θῦμ' οὐκ εὐγάθητον
Ἔτικεν, ἔτρεφεν· εὐκταίαν
Ἱππείοισιν ἐν δίφροισι
Ψαμάθων Αὐλίδος * ἐπέβασε *al. ἐπέβασαν.
Νύμφαιον, οἴμοι δύσνυμφον,
Τῷ τᾶς Νηρέως κόρας.
Αἲ, αἲ. νῦν δ' ἀξείνου πόντου ξείνα
Δυσχόρτους οἴκους ναίω,
Ἄγαμος, ἄτεκνος, ἄπολις, ἄφιλος·
** Οὐ τὰν Ἄργει μέλπουσ' Ἥραν, οὐδ' ἱστοῖς ἐν καλλι-
Κερκίδι Παλλάδος Ἀτθίδος εἰκὼ (φθόγγοις
Τιτάνων ποικίλλουσα,
Ἀλλ' αἱμοῤῥάντων δυσφόρμιγ-
γα ξείνων αἱμάσσουσ' ἄταν,
Βωμοὺς οἰκτράν τ' αἰαζόντων,
Οὐδ' ἄνοικτρόν τ' ἐκβαλλόντων δάκρυον.
Καὶ νῦν κείνων μὲν μοι
Λάθα· τὸν δ' Ἄργει δμαθέντα
Κλαίω σύγγονον,
Ὃν ἔλιπον ἐπιμαστίδιον
Ἔτι βρέφος, ἔτι νέον,
Ἔτι θάλος ἐν χερσὶ
Ματρὸς, πρὸς στέρνοισί
τ' Ἄργει σκηπτοῦχον Ὀρέσταν.

Dæmon. *inquam*, conjugii materni.
Et illius noctis, ab initio
Partum, & difficilem educationem,
Fatales Deæ *mihi* portenderunt,
Quæ petita ſum in connubium à Græcis,
Quam primogenitum germen in thalamo
Ledæ infelix filia *Clytæmneſtra, mater mea.*
Victimam propter patris errorem,
Et ſacrificium non jucundum
Peperit, & educavit; olim optandam
Equeſtribus in curribus
In Arenas Aulidis *quam Græci* detulerunt
Sponſam, heu *me* infelicem ſponſam,
Filiæ Nerei filio, *i.e. Achilli Thetidis Nereïæ filio.*
Heu, heu. nunc inhoſpitalis Ponti hoſpes
Inamœnas domos habito,
Sine nuptiis, ſine liberis, ſine civitate, ſine amicis:
Non canens Junonem Argivam, nec telis in argutis
Radio Palladis Atticæ imagines
Titanum varians.
Sed *ſum ſacerdos* ſanguinem manantium hoſpitum,
Luctuoſam cruentans Aten,
Aráſque, miſerabiliter clamantium,
Emittentiúmque miſerabiliter lachrymas.
Nunc verò illorum quidem *me ſubit*
Oblivio; hunc verò Argis mortuum
Deploro *meum* fratrem,
Quem reliqui ſubrumum, *i.e. lactantem,*
Adhuc infantulum, adhuc tenellum,
Adhuc germen in manibus
Matris, ad pectoráque *prudentem,*
Argis ſceptrigerum Oreſtem.

V. 208. Ἁ μναστευθεῖσ' ἐξ Ἑλλάνων) Videtur hic verſus extra ordinem hæc vagatus & Codex *Heinſio-Scaligerianus* eum ordinat poſt v. 220, ex hoc loco penitùs ſublatum; ut Aſteriſcorum notulis innuendum curavi. *Joſua Barnes.* V. 212. Ἐπὶ τοῖς) Olim ἐπ' σοὶ, ſed quùm nulla eſſet Proſopopœia & hæc ad Chorum nihil pertinerent, nec ſeipſam *Iphigenia* alloqueretur, *Duportum* ſequor, qui ſcribit ἐπὶ τοῖς. *Joſua Barnes.* V. 215. Ἐπέβασε) ἐπέβησαν αὐτὴ τοῦ ἐπιβῆσαι. Vox *Homerica. Scaliger* & *Duportus* legunt ἐπέβασαν, ſed nulla ſubeſt neceſſitas. V. 216. Νύμφαιον) *Scaliger* mavult νύμφαν, vel νυμφαίαν, quaſi νύμφαιον *Atticè* non valeret idem ac νυμφαίαν. V. 217. Τῷ τᾶς Νηρέως κόρας) *Achilli Thetidis* filio: finxerat enim *Agamemnon* ſe velle *Iphigeniam* ei nuptum dare, ut ſuperiore Tragœdiâ docuit *Euripides. J. Brodæus.* V. 221. Ἱστοῖς ἐν καλλιφθόγγοις) Siquidem emiſſus ſtridet Radius. *Joh. Brodæus.* V. 222. Παλλάδος Ἀτθίδος εἰκὼ Τιτάνων ποικίλλουσα) Titanum ac Gigantum imagine, quos ἐν τῇ Γιγαντομαχίᾳ profligavit Minerva: Hìc ad hujus Deæ πέπλον alludit Poeta. Hucuſque *Joh. Brodæus.* De hoc autem Minervæ Πέπλῳ, qui in Panathenaicis ſolennitèr *Athenis* gerebatur, elegantèr in Honorem Deæ Gigantomachiâ depictâ præter *Euripidis* Scholiaſten in *Hecub.* v. 466. & v. 469. audiendus eſt præcipuè *Virgilius* in *Ceiri* v, 21 &c.

> *Sed magno intexens (ſi fas eſt dicere)* Peplo.
> *Qualis Erichthæis olim portatur Athenis;*
> *Debita cùm Caſtæ ſolvuntur Vota Minervæ,*
> Tardive confecto redeunt Quinquennia Luſtro &c.

Et paulò poſt

> *Ergò Palladiæ texuntur in ordine Pugnæ;*
> *Magna Gigantæis ornantur* Pepla *trophæis;*

Et paulò poſt

> *Horrida ſanguineo pinguntur prælia cocco.*&c.

Et paulò poſt

> *Tale Deæ Velum ſolenni in tempore portant. Joſua Barnes.*

V. 224. Ἀλλ' αἱμοῤῥάντων δυσφόρμιγγα &c.) Hunc locum miſerè quoque turbatum par eſt credere; & puto ſanè cum Magno *Scaligero, Heinſióque* ita clauſam ordinandam ἀλλ' αἱμοῤῥάντων ξείνων αἱμάσσουσα βωμοὺς, δυσφόρμιγγά τ' οἰκτράν τ' αἰαζόντων ἄταν. *Joſua Barnes.* V. 229. Δμαθέντα) Θανόντα. Vid. ſuprà ad v. 199. V. 233. Ἔτι θάλος) *Duportus* in margine aſcribit, *vel* ἀταλόν. Luxuriè ingenii; nulla enim ſubeſt cauſa, ut locum mutemus elegantiſſimum. *Joſua Barnes.* V. 235. Ἄργει σκηπτοῦχον Ὀρέσταν.) *Oreſtem,* natum ut *Argis* imperitaret; aliquando Regem futurum.

ARGUMENTUM *Actûs* Secundi.

P*Aſtor quidem* Scythicus *nunciat* Iphigeniæ, *duos* Græcos *Juvenes ad mare captos & ad Regem* Thoantem *perductos eſſe; qui illos* Dianæ *immolari ex more præceperit; quare illi opus eſſe, quæ miniſterio ſuo conveniant, parare.* Iphigenia, *Paſtore jam digreſſo, perſuaſa* Oreſtem *periiſſe, infeſto jam in* Græcos *animo, optat ſibi* Helenam *aut* Menelaum *dari, ut iis cæſis ſuam vindicaret imaginariam cædem. Queritur etiam, quàm indignè à Patre, ſub falſo Nuptiarum titulo, domo excita, mox ad necem rapta ſit. Prætereà damnat barbarum morem* Taurorum *mactandi hoſpites, dicitque impiè hæc* Dianæ *imputari, ut & alia plura de Diis impiè conficta pro veris vulgaverit Mortalium impietas.* Chorus *ſecum diſputat, quinam ſint hi Juvenes, quomodóque tot tantáque pericula* Euxini *maris ſuperaverint, aut quæ vel* Res *vel* Spes *eos ad ſuſcipiendam tam periculoſam navigationem impulerit. Deinde* Helenam, *peſtem illam univerſæ Græciæ, ad* Tauros *venire optat, ut nempe ſuâ nece tot tantóſque motus & mala, quæ illius cauſâ* Græcis *obtigerint, lueret. Finem denique malorum ſuorum & reditum in* Græciam *precatur.*

ΧΟΡΟΣ, ΒΟΥΚΟΛΟΣ, ΙΦΙΓΕΝΕΙΑ,

Ἴαμβοι.

Χο. ΚΑΙ' μὴν ὅδ' ἀκτὰς ἐκλιπὼν θαλασσίους
Βουφορβὸς ἥκει, σημανῶν τί σοι νέον.
Βυ. Ἀγαμέμνονός τε παῖ, καὶ Κλυταιμνήστρας τέκνον,
Ἄκουε καινῶν ἐξ ἐμοῦ κηρυγμάτων.
Ιφ. Τί δ' ἔστι τοῦ παρόντος ἐκπλῆσσον λόγου;
Βυ. Ἥκουσιν εἰς γῆν Κυανεᾶν συμπληγάδων
Πλάτῃ φυγόντες δίπτυχοι νεανίαι,
Θεᾷ φίλον πρόσφαγμα, καὶ θυτήριον
Ἀρτέμιδι. χέρνιβας δὲ, καὶ κατάργματα
Οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη;
Ιφ. Ποδαποί; τίνος γῆς ὄνομ' ἔχουσιν οἱ ξένοι;
Βυ. Ἕλληνες, ἓν τοῦτ' οἶδα, κοὐ περαιτέρω.
Ιφ. Οὐδ' ὄνομ' ἀκούσας οἶσθα τῶν ξένων φράσαι;
Βυ. Πυλάδης ἐκλῄζεθ' ἅτερος πρὸς θατέρου.
Ιφ. Τοῦ συζύγου δὲ τοῦ ξένου τί τοὔνομ' ἦν;
Βυ. Οὐδεὶς τόδ' οἶδεν. οὐ γὰρ εἰσηκούσαμεν.
Ιφ. Πῶς δ' εἴδετ' αὐτοὺς, καὶ τυχόντες εἵλετε;
Βυ. Ἀκταῖσιν ἐπὶ ῥηγμῖσιν ἀξένου πόρου.
Ιφ. Καὶ τίς θαλάσσης βουκόλοις κοινωνία;
Βυ. Βοῦς ἤλθομεν νίψοντες ἐναλίᾳ δρόσῳ.
Ιφ. Ἐκεῖσε δὴ 'πάνελθε, πῶς νιν εἵλετε;
Τρόπῳ θ' ὁποίῳ; τοῦτο γὰρ μαθεῖν θέλω·
Χρόνιοι γὰρ * ἥκουσιν· οὐδέπω βωμὸς θεᾶς * al. ἥκουσ'.
Ἑλληνικαῖσιν ἐξεφοινίχθη ῥοαῖς.
Βυ. Ἐπεὶ τὸν εἰσρέοντα διὰ συμπληγάδων
Βοῦς ὑλοφορβοὶ πόντον εἰσεβάλλομεν,
Ἦν τις διαρρὼξ κυμάτων πολλῷ σάλῳ
Κοιλωπὸς ἁρμὸς, πορφυρευτικαὶ στέγαι.
Ἐνταῦθα δισσοὺς εἶδέ τις νεανίας
Βουφορβὸς ἡμῶν, κἀπεχώρησεν πάλιν,
Ἄκροισι δακτύλοισι πορθμεύων ἴχνος.
Ἔλεξε δ', οὐχ ὁρᾶτε, δαίμονές τινες
Θάσσουσιν οἵδε· θεοσεβὴς δ' ἡμῶν τις ὢν,
Ἀνέσχε χεῖρα, καὶ προσεύξατ' εἰσιδών·
Ὦ ποντίας παῖ Λευκοθέας, νεῶν φύλαξ,

Cho. ATqui hic relinquens littus marinum
Paſtor venit tibi significaturus aliquid novi.
Pa. O filia Agamemnonis, & Clytæmneſtræ proles,
Audi novum ex me præconium.
Iph. Quid verò terroris eſt in præſenti nuncio?
Pa. Venerunt in terram concurrentium *Cyanearum*
Navi fugientes *hic* duo adoleſcentes,
Deæ grata victima, & ſacrificium
Dianæ: lavacra igitur, & initiationes
Non maturabis paratas faciens?
Iph. Cujates *ſunt?* cujus terræ nomen habent hoſpites illi?
Pa. Græci: hoc unum tantùm ſcio, & nil ulteriùs.
Iph. Ne nomen quidem hoſpitum, quod audiêris, dicere potes?
Pa. Pylades alter ab altero appellabatur.
Iph. Socii verò hoſpitis quodnam erat nomen?
Pa. Nullus hoc novit; non enim audivimus.
Iph. Quomodo igitur eos vidiſtis, & cepiſtis?
Pa. In littore ad cavam rupem inhoſpitalis Ponti.
Iph. Et quod cum mari paſtoribus *eſt* commercium?
Pa. Boves venimus lavaturi marino rore.
Iph. Huc igitur redi, quomodo eos nacti cepiſtis?
Et quali modo? hoc enim ſcire cupio.
Seri enim huc veniunt, nondum ara Deæ
Madefacta eſt Græco ſanguine.
Pa. Poſtquam ad influentem per Symplegades
Pontum nos paſtores boves deduximus;
Eſt quædam abrupta fluctuum frequenti agitatione
Concava *rupis* compages, purpuras captantium tecta.
Hic geminos juvenes vidit quidam
Paſtor noſtrûm, & ceſſit retrò,
Summis pedum digitis relegens veſtigium,
Et dixit: non videtis? dæmones quidam
Hic ſedent iſti: quidam verò de nobis religioſior
Suſtulit manus & adoravit intuens:
O marinæ Leucotheæ fili, navium cuſtos,

V.241. Κυανεᾶν συμπληγάδων) Proprium nomen ſymplegadum *Cyaneæ*: Vid. quæ Nos *Medeâ*: v. 2. Καὶ διὰ πλέγας κυανέας ἔπειτα λάλος τέρας· *Orph.* Argon. Κυανέας ὅτι μῦθος ἀυτὰς εἶναι πέτρας Πλαγκτάς. *Dionyſ.* Afer. *Arriani* quoque locum & *Plinii* ex l. 4. c. 14. & *Apollon.* Argon. l. 2. *Joh. Brodæus* profert. *Joſua Barnes.* V.245. Οὐκ ἂν φθάνοις ἂν) De duplici ἂν Vid. *Suppl.* v. 855. Εὐτρεπῆ autem cùm antehàc in multis exemplaribus legebatur, εὐτρεπῆ audactèr nunc repoſui, non *Canteri* tantùm authoritate & *Scaligeri*, ſed etiam *Aldini* Editionis pervictus. *Joſua Barnes.* V. 253. Ἀξένου πόρου) *Axenus* hic *Pontus* olim vocabatur, ob hanc immanitatem in Hoſpites, Εὔξεινος poſtea per ſcomma dicitur; unde *Ovidius* ---Quem tenet *Euxini* mendax cognomine Pontus. Ex Notis *Gaſparis Stiblini*. V.255. Βοῦς ἤλθομεν νίψοντες) Nè ſcabie tentarentur. Ut purgaretur lana, *Virgilius* oves fluvio mergendas conſuluit. *Joh. Brodæus.* V.262. Διαρρὼξ) Adjectivè; concordátque cum ἀγμὸς· ſignificat verò *hians* quid & agitatione fluctuû *exeſum.* V.263. Ἀρμὸς) Plerique legunt ἀγμὸς, inquit *Brodæus*, ſed nemo eorum vel exemplarium vel ſcriptorum, quæ ego vidi: Ille ἀγμὸς legendum cenſet, ut & *Scapula* in διαρρὼξ legit. Ego nihil muto. *Joſ. Barnes.* V.270. Ὦ ποντίας παῖ Λευκοθέας &c.) De hâc Fabulâ videſis *Apollodorum* Biblioth. l. 3. c. 4. p. 158. & *Ovid.* Metamor. l. 4. Fab. 13. *Joſ. Barnes.*

Δέσποτα

Δέσποτα Παλαῖμον, ἵλεως ἡμῖν γενοῦ.
Εἴτ' οὖν ἐπ' ἀκταῖς θάσσετον, Διοσκόρω,
Ἢ Νηρέως ἀγάλμαθ', ὃς τὸν εὐγενῆ
Ἔτικτε πεντήκοντα Νηρῄδων χορόν.
Ἄλλος δέ τις μάταιος, ἀνομίᾳ θρασὺς,
Ἐγέλασεν εὐχαῖς, ναυτίλους δ' ἐφθαρμένους
Θάσσειν φάραγγ' ἔφασκε, τοῦ νόμου φόβῳ
Κλύοντας, ὡς θύοιμεν ἐνθάδε ξένους.
Ἔδοξε δ' ἡμῶν εὖ λέγειν τοῖς πλείοσιν,
Θηρᾶν τε τῇ θεῷ σφάγια τἀπιχώρια.
Κἂν τῷδε πέτρας ἅτερος λιπὼν ξένοιν
Ἔστη, κάρα τε διετίναξ' ἄνω κάτω,
Κἀπεστέναξεν ὠλένας τρέμων ἄκρας,
Μανίαις ἀλαίνων, καὶ βοᾷ κυναγὸς ὥς,
Πυλάδη, δέδορκας τήνδε; τήνδε δ' οὐχ ὁρᾷς
Ἅιδου δράκαιναν, ὥς με βούλεται κτανεῖν,
Δειναῖς ἐχίδναις εἰς ἔμ' ἐστομωμένη;
Ἡ δ' ἐκ χιτώνων πῦρ πνέουσα, καὶ φόνον,
Πτεροῖς ἐρέσσει, μητέρ' ἀγκάλαις ἐμὴν
Ἔχουσα, πέτρινον ὄχθον ὡς ἐπεμβάλῃ·
Οἴμοι, κτενεῖ με. ποῖ φύγω; παρῆν δ' ὁρᾶν
Οὐ ταυτὰ μορφῆς σχήματ', ἀλλ' ἠλλάσσετο
Φθογγάς τε μόσχων, καὶ κυνῶν ὑλάγματα·
Ἃ φᾶσ' Ἐρινῦς ἱέναι μιμήματα.
Ἡμεῖς δὲ συσταλέντες, ὡς θανούμενοι,
Σιγῇ καθήμεθ'. ὁ δὲ χερὶ σπάσας ξίφος,
Μόσχους ὀρούσας εἰς μέσας λέων ὅπως,
Παίει σιδήρῳ λαγόνας εἰς πλευρὰς ἱεὶς,
Δοκῶν Ἐρινῦς θεὰς ἀμύνεσθαι τάδε,
Ὡς αἱματηρὸν πέλανον ἐξανθεῖν ἁλός.
Κἂν τῷδε πᾶς τις, ὡς ὁρᾷ βουφόρβια
Πίπτοντα, καὶ πορθούμεν', ἐξωπλίζετο,
Κόχλους τε φυσῶν, συλλέγων τ' ἐγχωρίους·
Πρὸς εὐτραφεῖς γὰρ, καὶ νεανίας ξένους,
Φαύλους μάχεσθαι βουκόλους ἡγούμεθα.
Πολλοὶ δ' ἐπληρώθημεν ἐν μικρῷ χρόνῳ.
Πίπτει δὲ μανίας πίτυλον ὁ ξένος μεθεὶς,
Στάζων ἀφρῷ γένειον· ὡς δ' ἐσείδομεν
Προὔργου πεσόντα, πᾶς ἀνὴρ ἔσχεν πόνον,
Βάλλων, ἀράσσων· ἅτερος δὲ τοῖν ξένοιν,
Ἀφρόν τ' ἀπέψα, σώματός τ' ἐπεμέλει,
Πέπλων τε προὐκάλυπτεν εὐπήκτοις ὑφαῖς,
Καραδοκῶν μὲν τἀπιόντα τραύματα,
Φίλον δὲ θεραπείαισιν ἄνδρ' εὐεργετῶν.

O domine Palæmon, ſis nobis propitius:
Sive in littore ſedetis vos, Gemini,
Sive Nerei chara propago, qui generoſum,
Genuit quinquaginta Nereidum chorum.
Alius verò quidam vanior, & impietate ferox,
Riſit has preces, nautáſque naufragos
Sedere in ſpecu metu noſtri moris dixit,
Qui audiverint quòd hic mactemus hoſpites,
Viſus autem hic eſt rectè dixiſſe pleriſque noſtrûm,
Et venari conſtituimus Deæ victimas uſitatas.
Intereà verò rupes alter peregrinorum relinquens
Stetit, caputque quaſſavit ſurſum, & deorſum,
Et ingemuit tremens ſummis ulnis, manibus,
Inſaniâ furens, & clamabat ſicut venator:
Pylade, vides hanc? hanc verò non vides
Inferorum dracænam, quomodo me velit interficere,
Horrendis viperis in me ruens armata?
Altera verò ſpirans ignem ex veſtibus & necem
Remigat alis, matrem meam in ulnis
Tenens, ut in me ſaxeum tumulum injiciat.
Hei mihi, interficiet me: quò fugiam? licebat autem videre
Non eoſdem formæ geſtus: ſed ſæpe variabat
Sonoſque vitulorum, & canum latratus;
Imitationes vocum, quas aiunt emittere Furias.
Nos verò metu contracti, tanquam morituri,
Tacitè ſedebamus. Ille verò diſtricto gladio,
Vitulos ruens in medios ſeu leo
Verberat ferro ilia, gladium in latera mittens,
Exiſtimans hæc Furias Deas propulſare,
Adeò ut cruenta ſpuma emergeret ex mari.
Poſtquam verò univerſus paſtorum conventus videt
Cadentes & vaſtatos boum greges, armabatur,
Et conchas inflans, & congregans indigenas:
Nam adverſus generoſos, & robuſtos hoſpites,
Invalidos pugnâ fore paſtores putabamus:
Plures igitur convenimus exiguo tempore.
Cadit autem remiſſo ſtimulo furoris hoſpes,
Stillans ſpumâ mentum: ut verò vidimus rem
Commodè nobis cecidiſſe, tunc omnis vir ſuſtinebat laborem,
Jaciendo, & pulſando: alter verò hoſpitum,
Spumámque detergebat, corporiſque curam gerebat,
Veſtiúmque bene-compacto-textu ipſum protegebat,
Obſervans quidem cautè venientia vulnera,
Amicum verò virum officiis bene curans.

V. 274. Ἔτικτε πεντήκοντα Νηρῄδων χορόν.) Vid quæ No. ad *Iphig. Aul.* v. 1056. Ubi de 50. *Nerei* filiabus. Quòd πέντε autem de Maribus dicatur Vid. *Iphig.* Aul. v. 474. & v. 639. *Joſ. Barnes.* V. 281. Κἂν τῷδε πέτρας ἅτερος λιπὼν ξένοιν) Olim erat πέτροις & ξένων ſed *Johannes Brodæus* πέτρας & ξένοιν corrigebat, *Canterus* ξένοιν in textum ſuum admiſit, ego quoque πέτρας haud leviorem ob cauſam. *Joſua Barnes.* V. 289. Πτεροῖς ἐρέσσει) *Remigat* alis. Metaphora à *Navigatione* ad *Volatum* & è contra frequens eſt apud Poetas, ut *Remigium alarum*, Virgil. ſic *Vela* dicuntur Navium *Alæ*; &c. *Joſua Barnes.* V. 290. Πέτρινον ὄχθον ὡς ἐπεμβάλῃ) Priùs *Latina Verſio* erat, *ut in hunc ſaxeum tumulum abjiciat*, nullo ſenſu, non enim *Poeta* de *tumulo* aut *ſepulchro* loquitur; ſed dicit *Oreſtæ* Matrem & Furias illi lapidationem portendere & minitari, ἐπεμβάλλειν ὄχθον πέτρινον autem pro *lapidare* dixit ad imitationem *Homerici* illius Iliad. γ'. v. 57. Λάϊνον ἕσσο χιτῶνα. In quem locum *Euſtathius* – Ἰστέον δὲ, ὅτι συμβολικῶς καὶ ὡς ἐν αἰνίγματι εἶπε τὸ – Λάϊνον ἕσσο χιτῶνα· Τὸν γὰρ λιθασθέντα, ὥσπερ τι ἱμάτιον ἀμπέχει ὁ τῶν λίθων σωρός. fol. 379. lin. 18. *Joſua Barnes.* V. 303. Κόχλους τε φυσῶν) Et conchas inflans, rectè Poeta de *Conchis* loquitur, cùm apud Græcos tubæ nondum ſint Notæ; uti teſtatur *Didymi* nomine vocatus, quiſquis is fuerit, ad *Iliad.* σ. v. 219. Ἀπὸ τῶν ἰδίων χρόνων ὁ ποιητὴς ὀνόμασε τὴν σάλπιγγα, ἐπεὶ οὐδέπω ηὕρητο παρὰ τοῖς παλαιοῖς· κόχλῳ γὰρ θαλασσίῳ ἐσάλπιζον. Vid. etiam *Euripidis* Scholiaſten ad *Phœniſ.* v. 1386. Et quæ in eundem locum Nos adjecimus. *Joſua Barnes.* V. 307. Πίτυλον) ὁ πίτυλος ſignificat propriè quemlibet *motum*, *continuum* præſertim *ac intenſum*, ſpecialitèr συστροφὴν χειρῶν *micationem manuum*, ψόφον ὑδάτων & καταφορὰν ὑδάτων, *ſtrepitum* & *defluxum* aquarum; item apud *Pugiles*, τὰς ἐν περιόδῳ καταβολὰς τῶν πληγῶν, *vulnerum per vices inflictiones*; apud *Nauticos* verò, τὸ πρὸς κέλευσμα ἐλαύνειν, *Remos ad Celeuſma movere*; uti nos docet *Heſychius.* Figuratè autem hic Poeta μανίας πίτυλον vocat *Furioſum* illum, quo, *Oreſtes* ſtimulabatur, motum. *Scholiaſtes* autem in locum ait πίτυλος ὁ συνεχὴς φορὰ τῆς ποτηρίας, frequens poculi circumlatio. Ità *Alceſt.* v. 798. πίτυλον σκύφου vocat *liberam compotationem*; quod tamen alii ad κότταβον referunt. *Joſua Barnes.* V. 311. Ἀφρόν τ' ἀπέψα) ἀπεμόργνυ, ab ἀποψάω.

Ἔμφρων

Ἔμφρων δ' ἀναΐξας ὁ ξένος πεσήματος,
Ἔγνω κλύδωνα πολεμίων προσκείμενον,
Καὶ τὴν παροῦσαν συμφορὰν αὐτοῖν πέλας,
Ὤιμωξέ θ'· ἡμεῖς δ' οὐκ ἀνίεμεν πέτρους
Βάλλοντες, ἄλλος ἄλλοθεν προσκείμενοι.
Οὗ δὴ τὸ δεινὸν παρακέλευσμ' ἠκούσαμεν·
Πυλάδη, θανούμεθ'. ἀλλ' ὅπως θανούμεθα
Κάλλισθ', ἕπου μοι, φάσγανον σπάσας χερί.
Ὡς δ' εἴδομεν δίπαλτα πολεμίων ξίφη,
Φυγῇ λεπαίας ἐξεπίμπλαμεν νάπας.
Ἀλλ' εἰ φύγοι τις, ἅτεροι προσκείμενοι,
Ἔβαλλον αὐτούς· εἰ δὲ τούσδ' ὠσαίατο,
Οὔπι· τὸ νῦν ὑπεῖκον ἤρασσον πέτροις·
Ἀλλ' ἦν ἄπιστον. μυρίων γὰρ ἐκ χερῶν
Οὐδεὶς τὰ τῆς θεοῦ θύματ' εὐτυχῇ λαβών.
Μόλις δέ νιν τόλμῃ μὲν οὐ χειρούμεθα,
Κύκλῳ δὲ περιβάλλοντες, ἐξεκλέψαμεν
Πέτροισι χειρῶν φάσγαν', εἰς δὲ γῆν γόνυ
Καμάτῳ καθεῖσαν· πρὸς δ' ἄνακτα τῆσδε γῆς
Κομίζομέν νιν. ὁ δ' ἐσιδὼν, ὅσον τάχος
Ὡς χέρνιβάς τε, καὶ σφαγεῖ' ἐξέπεμπέ σοι.
Εὔχου δὲ τοιάδ', ὦ νεᾶνι, σοὶ ξένων
Σφάγια παρεῖναι· κἂν ἀναλίσκῃς ξένους
Τοιούσδε, τὸν σὸν Ἑλλὰς ἀποτίσει φόνον,
Δίκας τίνουσα τῆς ἐν Αὐλίδι σφαγῆς.
Χο. Θαυμαστ' ἔλεξας, τὸν φανένθ', ὅστις ποτὲ
* Ἕλλην, ὃς ἐκ γῆς πόντον ἦλθεν ἄξενον. * al. Ἕλληνος.
Ιφ. Εἶεν· σὺ μὲν κόμιζε τοὺς ξένους, μολών.
Τὰ δ' ἐνθάδ' ἡμεῖς οἷα φροντιούμεθα.
Ὦ καρδία τάλαινα, πρὶν μὲν εἰς ξένους
Γαληνὸς ἦσθα, καὶ φιλοικτίρμων ἀεί,
Εἰς θὐμόφυλον ἀναμετρουμένη δάκρυ,
Ἕλληνας ἄνδρας ἡνίκ' εἰς χέρας λάβοις.
Νῦν δ' ἐξ ὀνείρων, οἷσιν ἠγριώμεθα,
Δοκοῦσ' Ὀρέστην μηκέθ' ἥλιον βλέπειν,
Δύσνουν με λήψεσθ', οἵτινές ποθ' ἥκετε.
Καὶ τοῦτ' ἄρ' ἦν ἀληθές, ᾐσθόμην, φίλαι.
" Οἱ δυστυχεῖς γὰρ, τοῖσιν εὐτυχεστέροις,

Mentis verò compos factus hoſpes ex lapſu citò ſurgens.
Animadvertit procellam hoſtium imminentem *ſibi*,
Et præſentem calamitatem *eſſe* prope ſe,
Ingemuitque. Nos verò non intermiſimus ſaxa
Jacere, alius aliunde inſtans.
Tum verò atrocem adhortationem audivimus:
Pylade moriemur: verùm ut moriamur
Honeſtiſſimè, ſequere me, diſtrictum enſem tenens manu.
Poſtquam autem conſpeximus geminos hoſtium vibratos enſes,
Fugâ promontoriales implevimus ſylvas.
Sed cum fugeret aliquis, alii inſtantes
Percutiebant eos; cum autem hos pepuliſſent,
Nullus tunc *hoſtem* cedentem pulſabat ſaxis.
Sed *res* erat incredibilis. Innumeris enim ex manibus
Nullus has Deæ victimas tutò capere poterat.
Vix enim *nunc*, non audendo quidem eas cepimus:
Sed globo facto circundantes extorſimus
Saxis ex manibus enſes, ad terram verò genua
Præ fatigatione demiſerunt. Ad regem autem hujus agri
Adduximus ipſos. Ille intuitus *eos*, quàm celerrimè
Ad lavacra & ad mactationem miſit tibi.
Opta verò tales, ô virgo, tibi hoſpitum
Victimas adeſſe, & ſi mactes hoſpites
Tales, Græcia compenſabit tuam cædem,
Pendens pœnam cædis in Aulide *tantum non* factæ.
Cho. Mira dixiſti de illo, qui conſpectus eſt, quicunque tandem ſit
Græcus, qui venit ad Pontum inhoſpitalem.
Iph. Bene eſt: tu igitur vade, & adduc hoſpites.
Quæ verò hic facienda ſunt, nos curabimus, ut ſolet.
O miſerum cor, prius quidem erga hoſpites
Tranquillum fuiſti, & ſemper miſericors,
Ad contribules impertire ſolitum lachrymam,
Quoties Græcos viros in manus acciperes.
Nunc verò ex ſomniis, quibus efferatæ ſumus,
Exiſtimans Oreſtem non amplius ſolem intueri,
Malevolam *vobis* me nanciſcemini, quicunque tandem *huc* veneritis.
Et hoc verum eſt. Diſcrucior, amicæ:
" Infelices enim beatioribus,

V. 682. Γραφῇ δ' ἰδοῦσα) Ita rectè *H. Stephanus*, pro εἰδοῦσα. *Senſus, Ipſa quidem, neque Navem unquam aſcendi, neque quæ ad mare ſpectant novi, audivi autem & adeò evidentèr fando accepi; ut etiam quaſi in picturâ oculis coràm cernere videor.* Joſua Barnes. V. 686. Ὁ δ' ἄντλον εἴργων) τὴν ῥύσιν τοῦ ὕδατος. *Æſchyl.* Ἑπτὰ ἐπὶ Θήβας. v. 802. Κλυδώνιον πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο. *Scholiaſt.* Ἄντλον) ναυάγιον, πλημμύραν κύματος, τὸ ὕδωρ· ἄντλον δὲ λέγεται τὸ ἀπὸ τοῦ κλύδωνος εἰσερχόμενον ὕδωρ. Ἐπειδὰν οὖν οἱ ναῦται ἐξαντλοῦσι καὶ ἔξω τὸ τῆς θαλάσσης ὕδωρ ἐκφέρουσιν· ἐξ οὗ καὶ τὸ καλούμενον ἀντλητήριον. *Hecub.* v. 1025. ---ἀλίμενον τις ὡς ἐς ἄντλον ἐμπεσών. *Schol.* Ἄντλον δὲ λέγει, τὸ πέλαγος. *Virgil. Æn.* l. 1. v. 126. --*laxis laterum compagibus omnes Accipiunt inimicum imbrem, rimiſque fatiſcunt.* Joſua Barnes. V. 699. Ἐξ οὗ) *Scaliger & Henricus Stephanus* legunt ἐκ σοῦ & hic quidem Dictatorio more ita ſententiam ſuam aſſeruit, *Reponendum eſſe* ἐκ σοῦ (*ut habet Vetus*) *apertum* eſſe videtur. Nam ex οὗ, pro ἐξ αὐτοῦ ſive ἐκ τούτου *exemplo carere, puto.* Ita ille Vir Magnus. Miror equidem & hæc ab eo dici & etiam *Veterem* Codicem prætendi; quùm nihil magis certum eſt, quam ὅς pro αὐτὸς dici ſæpiſſimè apud *Homerum* & etiam ὁ pro αὐτὸς, & ὃν pro αὐτὸν & οἱ pro αὐτῷ. Eodem autem modo, quo ὃ pro αὐτὸν & οἱ pro αὐτῷ, etiam & οὗ ponitur pro αὐτοῦ. Primò de ὅς pro αὐτὸς *Hom.* Iliad. α. v. 72. Ἣν διὰ μαντοσύνην, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων. Jam de ὃ pro αὐτὸν, ibid. v. 236. Οὐδ' ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε. Denique de οὗ pro αὐτοῦ, nullibi aliàs, quanquam eadem & ejus ratio, at certe hic ita poſitum cum quovis qualibet mercede contendam. Non enim Cura erat *Hecubæ*, ut ex *Andromachâ* ſemen progagetur, ſed ex *Aſtyanacte*, Filii ſui *Hectoris* filio: Quare nec *Stephanus*, nec *Stephani* Codex, nec *Scaliger*, à me hoc extorquebunt, quod ἐκ σοῦ hîc ſit legendum. In hac ego parte *Æmylii Porti* probo ingenuam fidem, qui agnoſcit ἐξ οὗ pro ἐξ αὐτοῦ poni, quod rariſſimum ait. *J. Barnes.* V. 706. Πελοπιδῶν) *Agamemnonis & Menelai*, V. 711. Λιπεῖν) ἔδοξε. V. 714. Κτείνουσι) Interficiendum ſtatuunt. *Dupertus* κτενοῦσι legit, ſed κτείνουσι rectè ſtabit, pro κτείνειν νομίζουσι. *Joſua Barnes.* V. 715. Γάμων τόδ' ὡς κλύω μεῖζον κακόν·) Malum hoc pejus illo Matrimonio, quod cum *Pyrrho Hectoris* Occiſoris filio contractura erat.

Μήτ'

Μήτ' ἀντέχου τοῦ γ', εὐγενῶς δ' ἄλγει κακοῖς.
Μήτι, σθένουσα μηδὲν, ἰσχύειν δόκει.
Ἔχεις γὰρ ἀλκὴν οὐδαμῇ, σκοπεῖν δὲ χρή.
Πόλις τ' ὄλωλε, καὶ πόσις· κρατῇ δὲ σύ.
Ἡμεῖς τε πρὸς γυναῖκα μάρνασθαι μίαν
Οἷοί τε· τούτων οὕνεκ' οὐ μάχης ἐρᾶν,
Οὐδ' αἰσχρὸν οὐδὲν, οὐδ' ἐπίφθονόν σε χρή.
Οὔτ' αὖ σ' Ἀχαιοῖς βούλομαι ῥιπτεῖν ἀράς.
Εἰ γάρ τι λέξῃς, ὧν χολώσεται στρατὸς,
Οὔτ' ἂν ταφείη παῖς ὅδ', οὔτ' οἴκτου τύχοι.
Σιγῶσα δ', εὖ τε τὰς τύχας κεκτημένη,
Τὸν τοῦδε νεκρὸν οὐκ ἄθαπτον ἂν λίποις,
Αὐτή τ' Ἀχαιῶν πρευμενεστέρων τύχοις.
Αν. Ὦ φίλτατ', ὦ περισσὰ τιμηθεὶς τέκνον,
Θανῇ πρὸς ἐχθρῶν, μητέρ' ἀθλίαν λιπών.
Ἡ τοῦ πατρὸς δέ σ' εὐγένει' ἀποκτενεῖ,
Ἣ τοῖσιν ἄλλοις γίνεται σωτηρία.
Τὸ δ' ἐσθλὸν οὐκ εἰς καιρὸν ἦλθέ σοι πατρός.
Ὦ λέκτρα τἀμὰ δυστυχῆ τε, καὶ γάμοι,
Οἷς ἦλθον εἰς μέλαθρον Ἕκτορός ποτε,
Οὐχ ὡς σφαγεῖον Δαναΐδαις τέξουσ' ἐμὸν,
Ἀλλ' ὡς τύραννον Ἀσιάδος πολυσπόρου.
Ὦ παῖ, δακρύεις; αἰσθάνῃ κακῶν σέθεν;
Τί μου δέδραξαι χερσὶ, κἀντέχῃ πέπλων,
Νεοσσὸς ὡσεὶ πτέρυγας εἰσπιτνῶν ἐμάς;
Οὐκ εἶσιν Ἕκτωρ κλεινὸν ἁρπάσας δόρυ,
Γῆς ἐξανελθὼν, σοὶ φέρων σωτηρίαν·
Οὐ συγγένεια πατρὸς, οὐκ ἰσχὺς Φρυγῶν·
Λυγρὸν δὲ πήδημ' εἰς τράχηλον ὑψόθεν
Πεσὼν ἀνοίκτως, πνεῦμ' ἀπορρήξεις σέθεν.
Ὦ νέον ὑπαγκάλισμα μητρὶ φίλτατον.
Ὦ χρωτὸς ἡδὺ πνεῦμα· διὰ κενῆς ἄρα
Ἐν σπαργάνοις σε μαστὸς ἐξέθρεψ' ὅδε.
Μάτην δ' ἐμόχθουν, καὶ κατεξάνθην πόνοις.
Νῦν, εἴ ποτ' αὖθις, μητέρ' ἀσπάζου σέθεν,
Πρόσπιτνε τὴν τεκοῦσαν· ἀμφὶ δ' ὠλένας
Ἕλισσ' ἐμοῖς νώτοισι, καὶ στόμ' ἅρμοσον.
Ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακὰ,
Τί τόνδε παῖδα κτείνετ' οὐδὲν αἴτιον;
« Ὦ Τυνδάρειον ἔρνος, οὔποτ' εἶ Διὸς,
« Πολλῶν δὲ πατέρων φημί σ' ἐκπεφυκέναι.
« Ἀλάστορος μὲν πρῶτον, εἶτα δὲ Φθόνου,
« Φόνου τε, Θανάτου θ', ὅσα γῆ τρέφει κακά.
« Οὐ γάρ ποτ' αὐχῶ Ζῆνά γ' ἐκφῦσαί σ' ἐγὼ,
« Πολλοῖσι κῆρα Βαρβάροις, Ἕλλησί τε.
« Ὄλοιο· καλλίστων γὰρ ὀμμάτων ἄπο

Neque pertinaciùs hunc retinè, fort. v. dolor. perfer *in tuis* malis.
Neque cum nihil poſſis, ſtatuas te aliquid poſſe.
Nuſquam enim habes auxilium: conſiderare igitur oportet *hæc*.
Civitas periit & maritus, & tu es in ſervitute,
Et nos contra unam mulierem pugnare
Sumus ſatis valentes: propter hæc nec pugnam expetere,
Nec turpe quicquam, neque odioſum te decet:
Neque etiam volo te conjicere in Græcos imprecationes.
Si enim quid dixeris, propter quod iraſcatur tibi exercitus,
Neque ſepelietur ille puer, neque planctum conſequetur:
Tacens verò, commodeque perferens hos caſus,
Hujus non inſepultum relinques cadaver,
Et tu ipſa uteris Græcis æquioribus.
An. O chariſſime, ô fili mihi cultiſſime,
Moriere ab hoſtibus, matrem miſeram relinquens,
Nobilitas autem patris tui te interficiet,
Quæ aliis ſaluti fuit:
Hæc patris gloria tibi non opportunè venit.
O lectos meos infelices, & nuptias,
Quibus veni quondam in domum Hectoris,
Non ut paritura meum *filium*, victimam Græcis,
Sed ut dominum fertilis Aſiæ.
O fili, lacrymas? ſentis tua mala?
Quid me corripis manibus, & prehendis veſtem,
Ut pullus involvens te ſub meas alas?
Non venit Hector, inclytam arripiens haſtam,
Ex terrâ reverſus, tibi ferens ſalutem:
Neque cognatio patris, neque robur Phrygum.
Sed miſerabili ſaltu in cervicem è ſublimi
Cadens ſine commiſeratione, abrumpes tuam vitam.
O tenerum ulnarum geſtamen, matri chariſſimum,
O dulcis halitus corporis. Fruſtra igitur
In faſciis aluit te hæc mamma.
Fruſtra etiam laboravi, & confecta ſum laboribus.
Nunc, ſi alias unquam, matrem complectere tuam,
Accide ad matrem tuam, & brachia
Circunda meis humeris, & applica os.
O barbarica excogitantes Græci mala,
Cur interficitis hunc puerum innocentem?
« O Tyndarea planta, i. e. *Helena*, nunquam eras Jovis *filia*.
« Dico enim te natam eſſe ex multis patribus.
« Primùm quidem ex *patre* malo Genio, deinde verò ex Invidiâ,
« Et Cæde, & Morte, & *ex aliis* quæcunque tellus alit Mala.
« Non enim unquam ego auſim dicere Jovem te produxiſſe,
« Peſtem multis Barbaris & Græcis.
« Pereas: propter enim pulcherrimos oculos,

V. 727, Οἷοί τε) Subaudi ἐσμέν· Οἷός τε εἰμὶ *Nota phraſis*, pro δύναμαι, & οἷόν τε pro δυνατόν· Exempla paſſim occurrunt, apud *Æſchylum*, *Sophoclem*, *Euripidem*, *Ariſtophanem*, aliósq; præſertim *Atticos* Scriptores. *Joſua Barnes*. V. 729. Ῥιπτεῖν) ῥιπτεῖν eſt *Atticum* pro ῥίπτειν, eſt & ῥιπτάζω Homerica Dictio. V. 735. Ὦ φίλτατ', ὦ περισσὰ) Huc refer *Senecam* in *Troad.* Act. 3. v. 764. *O Dulce Pignus, ô Decus lapſæ Domûs!* &c. *Ibid.* Τιμηθεὶς τέκνον) [illegible] πρὸς τὸ σημαινόμενον, τέκνον enim de *Maſculo* cum dicatur, poſtulat participium ejuſdem generis. Sic *mea Glycerium, quid agis?* Terentius. *J. Barnes*. V. 739. Τὸ δ' ἐσθλὸν Πατρὸς) Patris Virtus & Nominis Terror. V. 742. Οὐχ ὡς σφαγεῖον) Olim cùm eſſet σφάγιον, *Henricus Stephanus* dixit, « ſcribendum eſſe « σφαγεῖον ipſa etiam « Verſûs menſura probat. *Scaliger* prætereà σφαγεῖον ſcripſit, & *Electr.* v. 800. Οἱ μὲν σφάγι' ἀνέφερον correctiùs emendavit Οἱ μὲν σφαγεῖον ἔφερον. V. 746. Νεοσσὸς ὡσεὶ πτέρυγας εἰσπιτνῶν ἐμάς) Frequens eſt hæc figura & à Clementiſſimo Domino noſtro uſurpata D. *Matth.* c. 23. v. 37. Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις [illegible] Ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Quod ferè ad verbum noſter Poeta exprimit *Hercul. Fur.* v. 72. Οἱ δ' Ἡράκλειοι παῖδες, οὓς ὑπὸ πτέρυξ Σώζω νεοσσοὺς, Ὄρνις ὣς ὑφειμένη. Vid. quæ Nos ad *Androm.* v. 441. *Joſua Barnes*. V. 756. Νῦν, εἴ ποτ' αὖθις, μητέρ' ἀσπάζου σέθεν) *Henricus Stephanus* hic οὐ vult legendum pro εἰ· ſcio tamen, inquit, eſſe, qui retinentes εἰ, interpretentur, *ſi unquam aliàs*; ſed viderint iſti, quomodo hanc Adverbii αὖθις interpretationem tueri poſſint. Hæc ille. *Imò viderit is Vir Magnus, quomodo τὸ ἀσπάζου cum οὐ retineri poſſit ſimul. Αὖθις itaque non hic de futuro, ſed præterito ſumendum; & εἰ omnibus modis, etiam* Henrico Stephano *invito, retinendum.* Joſua Barnes. V. 761. Ὦ Τυνδάρειον ἔρνος) *Lacedæmon F. Jovis Amyclam*, qui *Argalum*, qui *Orbalum*, qui *Tyndarum* genuit. V. 767. Καλλίστων γὰρ ὀμμάτων ἄπο) διά. Sic *Hecub.* v. 442. διὰ καλῶν γὰρ ὀμμάτων. *Schol.* διὰ γὰρ τῆς Ἑλένης [illegible]. *Joh. Brodæus.*

“ Αἰσχρῶς τὰ κλεινὰ πεδί’ ἀπώλεσας Φρυγῶν.
Ἄγετε, φέρετε, ῥίπτετέ νιν, εἰ ῥίπτειν δοκεῖ.
Δαίνυσθε τοῦδε σάρκας. ἐκ * γὰρ θεῶν * Scal. ἐκ.
Διολλύμεσθα, παιδί τ’ οὐ δυναίμεθα
Θάνατον ἀρῆξαι· κρύπτετ’ ἄθλιον δέμας,
Καὶ ῥίπτετ’ εἰς ναῦς. ἐπὶ καλὸν γὰρ ἔρχομαι
Ὑμέναιον, ἀπολέσασα τοὐμαυτῆς τέκνον.
Χο. Τάλαινα Τροία, μυρίους ἀπώλεσας
Μιᾶς γυναικὸς, καὶ λέχους στυγνοῦ χάριν.
Ἀνάπαιστοι.
Αν. Ἄγε παῖ, φίλιον πρόσφθεγμα μεθεὶς
Μητρὸς μογερᾶς, βαῖνε πατρῴων
Πύργων ἐπ’ ἄκρας στεφάνας, ὅθι σοι
Πνεῦμα μεθεῖναι ψῆφος ἐκράνθη,
Λαμβάνετ’ αὐτόν. τὰ δὲ τοιαῦτα χρὴ
Κηρυκεύειν, ὅστις ἄνοικτος,
Καὶ ἀναιδείας, τῆς ὑμετέρας
Γνώμης μᾶλλον φίλος ἐστιν.
Εκά. Ὦ τέκνον, ὦ παῖ παιδὸς μογεροῦ,
Συλώμεθα σὴν ψυχὴν * ἀδίκως, * an ἀδίκως.
Μήτηρ, κἀγώ. τί πάθω; τί σ’ ἐγὼ
Δύσμορε δράσω; τάδε σοι δίδομεν
Πλήγματα κρατὸς, στέρνων τε κτύπους.
Τῶνδε γὰρ ἄρχομεν. Οἲ ἐγὼ πόλεως,
Οἲ μοι δὲ σέθεν. τί γὰρ οὐκ ἔχομεν;
Τίνος ἐνδέομεν, μὴ οὐ πανσυδίᾳ
Χωρεῖν ὀλέθρου διὰ παντός;

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ ά.

Χο. 1 Μελισσοτρόφου Σαλαμῖνος
2 Ὦ βασιλεῦ Τελαμὼν, νάσου
3 Περικύμονος οἰκήσας ἕδραν,
4 Ἤ τῆς ἐπικεκλιμένας
5 Ὄχθοις ἱεροῖσιν ἐλαίας
6 Πρῶτον ἔδειξε κλάδον, γλαυκᾶς Ἀθάνας
7 Οὐράνιον στέφανον,
8 Λιπαραῖσι κόσμον Ἀθήναις,
9 Ἔβας ἔβας τοξοφόρῳ
10 Συναριστεύσων ἅμ’ Ἀλκμήνης γόνῳ,
11 Ἴλιον Ἴλιον ἐκπέρσων,
12 Πόλιν ἁμετέραν,
13 Τοπάροιθ’, ὅτ’ ἔβας ἀφ’ Ἑλλάδος.

Ἀντιστροφὴ ά.

1 Ὅθ’ Ἑλλάδος ἄγαγε πρῶτον

“ Turpiter inclytos Phrygum campos perdidiſti.
Agite, ferte, præcipitate eum, ſi præcipitare placet,
Epulamini hujus carnes: à diis enim
Perimus, & à filio non poſſumus
Mortem depellere: occultate miſerum corpus,
Et conjicite in navem: ad pulchras enim proficiſcor
Nuptias, amiſſo meo filio.
Ch. Miſera Troja, innumerabiles amiſiſti viros
Propter unicam mulierem, & odioſum conjugium.
Andr. Age, ô fili, gratam compellationem omittens
Miſeræ matris, aſcende paternarum
Turrium ad ſummas pinnas, ubi tibi
Animam exhalare ſuffragia Græcorum decreverunt.
Tollite eum: talia autem convenit
Promulgare, quicunque eſt immiſericors,
Et quicunque propter impudentiam, veſtræ
Sententiæ magis eſt approbator, ac fautor.
Hec. O fili, ô fili mei ærumnoſi filii,
Privamur tuâ vitâ præter opinionem,
Mater, & ego. Quid agam? quid tibi ego
Infelix faciam? has tibi damus
Plagas capitis, & planctus noſtrorum pectorum.
Hæc enim ſunt in noſtrâ poteſtate. Hei mihi propter urbem,
Hei mihi etiam tuâ causâ. Quid enim mali non habemus?
Quid nobis deeſt, quid abeſt, quin funditus
Eamus per omnem perniciem?

ANTISTROPHICA.

Strophe 1.

Ch. 1 Salaminis alentis apes
2 O rex Telamon, inſulæ
3 Circumfluæ habitans ſedem.
4 Quæ plantatæ in
5 Collibus ſacris olivæ
6 Primum oſtendit ramum, cæſiæ Minervæ
7 Cæleſtem coronam,
8 Splendidis decus Athenis.
9 Veniſti, veniſti arcitenente
10 Cum Alcmenes filio Hercule ſimul rem fortiter geſturus &
11 Ilium, Ilium everſurus,
12 Urbem noſtram,
13 Antea, quando veniſti ex Græciâ.

Antiſtrophe 1.

1 Quando adduxit primum Græciæ

V. 769. Ἄγετε, φέρετε, ῥίπτετέ νιν, εἰ ῥίπτειν δοκεῖ) Hunc Verſum prius in multis exemplaribus mutilum, ſic reſtituo, non Æmilii Porti modò authoritate, ſed & Aldinæ Editionis, è quâ νιν tantum exciderat; cùm in aliis ῥίπτετε quoque deerat. Joſua Barnes. V. 774. Ὑμέναιον) γάμον. Hymenæus Nuptiarum Deus quem fingunt Liberi & Veneris, vel, ut alii, Uraniæ Filium; hunc Veteres Romani, teſte Servio, Talaſſionem vocârunt, idque ab Eventu quodam in Raptu Sabinarum Virginum. De quo vide Livium Decadis primæ l. 1. Unam longè ante alias ſpecie ac Pulchritudine inſignem à globo Talaſſii cujuſdam raptam ferunt, multiſque ſciſcitantibus cuinam eam ferrent, identidem nequis violaret, Talaſſio ferri clamitatum: inde Nuptialem hanc Vocem factam. Joſua Barnes. V. 789. Πλήγματα κρατὸς, στέρνων τε κτύπους) De capillorum lacerationibus in luctu, déque planctu & στερνοτυπίᾳ Vid. Johannis Kirchmanni de Funerib. Romanor. l. 2. c. xi. & xii. & quæ Nos ſuprà ad v. 623. Joſua Barnes. V. 790. Τῶνδε γὰρ ἄρχομεν) Δῆλοι γὰρ ἐσμεν μόνον τούτων κύριοι ἐσμὲν, οὐδὲν ἄλλο ἔχοντες. V. 795. Τελαμὼν) Telamon Æaci filius, frater Pelei, Unus ex Argonautis, ſociúſque Herculis in Expugnatione Trojæ. Hic, quòd omnium primus murum conſcendiſſet, Virtutis Mercedem tulit Heſionen, Laomedontis filiam Priamique ſororem, ex quâ Teucrum ſuſcepit, cùm jam Ajacem ex aliâ Uxore genuiſſet, qui Patris ſui nomine Telamonius ab Homero appellatur. Hic erat Rex Inſulæ Salaminis, de quâ Vide Hiſtoricos Græcos, Juſtinum quoque, Pauſaniam & Euſtathium fol. 285. lin. 36. Hujus autem Belli hanc cauſam refert Dictys Cretenſis, Ut & Poeta Τρωϊκῶν dictum, quòd Argonautas ad Trojana littora fortè, dum Aureum Vellus peterent, appulſos, inhumaniùs exceperit Laomedon. Quare Colchicâ Expeditione finitâ, hanc injuriam Hercules & Telamon Trojæ excidio vindicârunt. Aliam cauſam vid. Apollodori Bibliothec. l. 2. c. 4. §. 9. & infrà ad v. 808. & v. 817. Joſua Barnes. V. 796. Περικύμονος) περίῤῥυτος, νήσου χάρ. V. 799. Γλαυκᾶς Ἀθάνας) Ita cum Scaligero reſtituo, non quòd Γλαυκᾶς ad ἐλαίας pertinere non poſſit, ſed quòd ad Minervam etiam referri optimo jure debeat; quæ toties apud Homerum audit Γλαυκῶπις Ἀθήνη. Priùs erat Ἀθάνας, in aliis Editionibus, at Ἀθάνα in Aldinâ. V. 807. Ὅθ’ Ἑλλάδος ἄγαγε πρῶτον ἄνθος) ἄνθος ἡρώων, non ut ridiculè quidam πόλιν ἄνθος. πόλιν enim ſubintellecto ἐς regitur ab ἀπεζεύξατο. Sic Pindarus dixit ἡρώων ἄωτον. Sic Plautus in Caſina ... Eâ tempeſtate Flos Poetarum fuit.

2 Ἄνθος,

2 Ἄνθος, ἀτυζόμενος πώλων.
3 Σιμόεντι δ' ἐπ' εὐρείτᾳ πλάταν
4 Ἔρασε ποντοπόρον,
5 Καὶ ναύδετ' ἀνήψατο πρυμνᾶν,
6 Καὶ χερὸς εὐστοχίαν ἐξεῖλε ναῶν,
7 Λαομέδοντι φόνον.
8 Κανόνων τυκίσματα Φοίβου
9 Πυρὸς δὲ φοίνικι πνοᾷ
10 Καθελὼν, Τροίας ἐπόρθησε χθόνα.
11 Δὶς δὲ δυοῖν πιτύλοιν τείχη
12 Περὶ Δαρδανίας
13 Φονία κατέλυσεν αἰχμά.

Στροφὴ β'.

1 Μάταν ἄρ', ὦ χρυσέαις
2 Ἐν οἰνοχόαις ἁβρὰ βαίνων
3 Λαομεδόντιε παῖ,
4 Ζηνὸς ἔχεις κυλίκων
5 Πλήρωμα, καλλίσταν λατρείαν.
6 Ἁ δὲ σὲ γειναμένα Τροία
7 Πυρὶ δαίεται.
8 Ἠιόνες ἅλιαι
9 Ἴαχον, οἷον οἰων-
10 ὸς ὑπὲρ τεκέων βοᾷ.
11 Αἱ μὲν εὐνάτορας,
12 Αἱ δὲ παῖδας, αἱ δὲ
13 Ματέρας γεραιάς.
14 Τὰ δὲ σὰ δροσόεντα λουτρὰ,
15 Γυμνασίων τε δρόμοι βεβᾶ-
16 σιν. σὺ δὲ πρόσωπα νεαρὰ
17 Χάρισι παρὰ Διὸς θρόνοις
18 Καλλιγάλανα τρέφεις.
19 Πριάμοιο δὲ γαῖαν
20 Ἑλλὰς ὤλεσ' αἰχμά.

Ἀντιστροφὴ β'.

1 Ἔρως Ἔρως, ὃς τὰ
2 Δαρδάνια μέλαθρά ποτ' ἦλθες,
3 Οὐρανίδαισι μέλων·
4 Ὡς τότε μὲν μεγάλως

2 Florem, dolens equorum cauſâ, quib. à Laomedonte fraud. fuer.
3 Et ad latè fluentem Simoentem navem
4 Statuit pontigradam,
5 Et rudentes puppibus alligatos ſuſpendit,
6 Et exemit ex navibus ſagittas, quas manu peritè jaculabatur,
7 Laomedonti cædem illaturas.
8 Armis autem Trojæ muros ad regulam à Phœbo factos
9 Ignisque puniceâ flammâ
10 Demolitus, Trojæ diripuit agrum.
11 Bis autem gemino ſtrepitu muros
12 Circa Dardaniæ urbem, i.e. circa Trojam,
13 Cruenta evertit haſta.

Strophe 2.

1 Fruſtra igitur, ô aureos
2 Inter cyathos molliter incedens
3 Laomedontie i.e. Trojane Puer, Ganymedes,
4 Jovis habes poculorum
5 Implendorum munus, pulcherrimum miniſterium.
6 Nam quæ te genuit Troja,
7 Igne jam deflagrat.
8 Littora marina
9 Exclamant, qualitèr
10 Avis ob pullitiem ſuam lamentatur.
11 Hæ quidem maritos lugent,
12 Aliæ verò liberos, aliæ autem
13 Matres annoſas.
14 Tua verò roſcida lavacra,
15 Et gymnaſiorum curſus periêrunt.
16 Tu verò juvenilem faciem
17 Gratiis & venuſtate decoram apud Jovis thronum
18 Pulchrâ-tranquillitate auctam & ornatam alis.
19 Priami verò terram
20 Græca perdidit haſta.

Antiſtrophe 2.

1 O Amor, Amor, qui ad
2 Dardanias ædes olim veniſti,
3 Diis curæ exiſtens;
4 Quàm tunc quidem magnificè

V. 808. Ἀτυζόμενος πώλων) Διὰ τοὺς πώλους, ὅτι διὰ τοὺς ἵππους ὀργιζόμενος, iratus ob Equos, quos cùm Herculi primùm Laomedon promiſerat, poſt interfectum marinum monſtrum & Heſionem liberatam, rurſus Rex perfidus denegavit. Hâc cauſam Dirutæ ab Hercule Trojæ Homerus ponit, ut videndum infra ad v. 817. Et Ovid. Metamorph. l. xi. Fab. 6. —Regis quoque Filia Monſtro Poſcitur æquoreo; quam dura ad ſaxa revinctam Vindicat Alcides, promiſſaque munera dictos Poſcit Equos, tantique operis Mercede negatâ Bis perjura capit perjuræ mœnia Trojæ. Vid. etiam ſuprà ad v. 795. Joſ. Barnes. V. 809. Εὐρείτᾳ) Εὐρείτης & Hom. ἐϋρρείτης, idem quod εὔρεος, εὔρροος. Πλάταν) Remum, pro Navem, hanc autem pro Claſſem, Metalepſis. V. 811. Ναύδετ') Ναύδετα, τοὺς πρυμνησίους, κάλους, πρυμνήσια. V. 814. Κανόνων τυκίσματα Φοίβου) Quod H. Stephanus obſervat de δὲ poſt κανόνων, non autem poſt πυρὸς, id Verſuum ratio non ferret. Τυκίσματα, Regulâ Apollineâ conſtructa mœnia. Lycophron —Ἐν περιδινάτῳ λάτρις τυκίσμασι. Tzetzes in locum, τυκίσμασι) κατασκευάσμασι· Τύκος γὰρ σιδηροῦν ἐργαλεῖον τεκτονικὸν, ᾧ τοὺς λίθους πλεκοῦσι καὶ ἀποξέουσι. J. Brodæus. V. 817. Δὶς δὲ δυοῖν πιτύλοιν) Innuere videtur hic locus Triremes quatuor, quarum auxilio uſus Hercules cum Telamone Colchis reverſus Trojam cepit, Joh. Miltonus. An verò Τρὶς non ſit legendum pro Δὶς videant Docti. Sex enim navibus uſum in hâc Expeditione Herculem teſtatur Homerus Iliad. ε. v. 638. &c. Ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην Εἶναι ἐμὸν πατέρα, Θρασυμέμνονα, Θυμολέοντα, Ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος, Ἒξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν, Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς. De voce πίτυλος vid. ad Iphig. Taur. v. 307. Apollodorus verò in libro 2. Bibliothecæ c. 6. Octodecim Navibus remorum ordine quinquaginta inſtructis uſum Herculem ait. Joſua Barnes. V. 818. Περὶ Δαρδανίας) Ita pro Δαρδάνας repono, Scaligero, Porto, Verſu & Ratione poſtulante; ita Troja dicta à Dardano, Jovis & Electræ filio, illius Conditore. Hinc Virgilio toties vocatur Author viz. Trojanæ gentis —Nam Dardanus Iliacæ primus Pater Urbis & Author. Joſua Barnes. V. 821. Ἁβρὰ βαίνων) Plutarchus dixit διακεχλιδότως βαδίζειν. Vid. quæ Noſtri Eſtherâ, ſive Αὐλικοκατοπτρῳ noſtro, ad v. 754. Σαυλὰ μάλα προβιβῶσι. Joſua Barnes. V. 822. Λαομεδόντιε παῖ) Ita pro Λαομεδόντειε lego ob Verſum, ut meliùs ſuo pari reſpondeat in Antiſtrophâ ſequenti, & hoc Verbum Virgilii autoritate nititur, Æn. l. 8. v. 18. Talia per Latium; quæ Laomedontius Heros Cuncta videns, magno curarum fluctuat æſtu. Unde obitèr caſtigandus eſt Vir Magnus Joh. Brodæus, quòd Euripidi, longè meherculè Majori Viro, hanc dicam impegit, " Ganymedes, inquit, Jovis Pincerna; quem contra omnium Opinionem Laomedontis filium vocat Euripides: " Natus eſt enim Troe Patre. Reſpondeo, Euripidem non magis hoc in loco Ganymedem vocare Laomedontis filium, quàm Virgil. Æneam vocat, qui & illi Laomedontius, hoc eſt, ſimplicitèr Trojanus: ſic Λαομεδόντιε παῖ, Trojane Puer. Sic Virgil. Æn. l. 7. v. 105. Laomedontia pubes, i.e. Trojana. Et Laomedontiadæ Troes. Audaciùs certè Lucianus in Charidemo filium vocat Dardani, Γανυμήδης ὁ Δαρδάνου. Niſi generalitèr ſumatur; ut ſæpe Authores facere videmus. Jupiter, Dardanus, Erichthonius, Tros, Ganymedes, cum Ilo & Aſſaraco. Ganymedes itaque immortalis factus, quia ut Hom. Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν. Ab Ilo Laomedon, Priami Pater, ab Aſſaraco, Capys Anchiſæ pater, qui Æneam genuit, oriundi. J. Barnes. V. 837. Καλλιγά-

Καλλιγάλανα) *Doricè* pro καλλιγάληνα, οἱονεὶ κάλλει γαλήνην ἔχουσα. Phraſis ſuaviſſima, παρὰ θρόνοις καλλιγάληνα χέοντι τρίφει, quam *Brodæus* non vidit, nunquam enim aliàs vertiſſet τρίφεις per ἔχεις. *Joſua Barnes*

V. 847. Οὐκέτ' ἐρῶ) *Aldi* Editio ἐρῶ, tum hic ſenſus τὸ μὲν οὖν Διὸς ὄνειδος οὐκέτ' ἐρῶ, ἤγουν ἀχαριστίαν αὐτῷ οὐκ ἐγκαλῶ εἰς τὴν Γανυμήδους συγγένειαν. *Joſua Barnes.* V. 849. Ἁμέρας φίλιον βροτοῖς) Ita *Stephanus* ex Vet. Cod. pro φίλας reſtituit. Ἁμέρας autem non per *Diei*, ut ante, ſed per *Auroræ* reddidi; Eam enim & illos Amores cum *Tithono* tangit *Chorus* poſt *Ganymedem*. Adeò verò non eſt novum Ἡμέρα dici pro Ἠὼς, ut etiam Proſæ Scriptores ita loquantur, Nam in illud *Homeri* Iliad. λ. v. 1. Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο Ὤρνυτο, ita *Didymus*, ſive potiùs *Heraclea* Grammaticus, ut Doctis viſum eſt, Μυθεύεται, ὅτι Τιθωνὸν τὸν Λαομέδοντος (ſuppleas ἀδελφὸν) εὐπρεπέστατον ὄντα καθ' αὐτὸν ἐν Ἰλίῳ γενόμενον, ἐρασθεῖσα ἀνήρπασεν ἡ Ἡμέρα. καὶ τῆς τούτου μετέλαβε κοίτης. *Joſua Barnes.* V. 850. φέγγος ὀλοὸν) *Canterus* conjectabat legi debere ἀλλυμένου, quod *Senſus* facilè admitteret, *Verſus* non item; ut enim reſpondeat pari ſuo in præcedenti ſtrophâ, non oportebat vel *Choriambum* vel primum *Pæona* ſubſtituere, ſed *Epitritum* tertium, qualis eſt ἀνάπτορας, ponitur enim pro εὐνάτορας. *Joſua Barnes.* V. 853. Τεκνοποιὸν ἔχουσα τᾶσδε γᾶς πόσιν) *Ex hâc terrâ oriundum maritum* Tithonum, ut Nos Latinam Verſionem emendavimus; τεκνοποιὸν autem vocat Tithonum, ob *Memnona* Regem *Æthiopum* ex eo ſuſceptum ab Aurorâ. Ἔχουσα autem poſt φέγγος ἁμέρας, ut nè fiat ἀνακόλουθον, ἡμέρα in conſtructione eſt addenda. Figura πρὸς τὸ σημαινόμενον. *Joſua Barnes.* V. 855. Ἀστέρων τέθριππος ἔλαβε Κρόκεος ὄχος ἀναρπάσας) Nonnulli Unicum Equum *Auroræ* tribuunt, viz. *Pegaſum* (credo nempe quia *Aurora Muſis Amica*) ut *Euſtathius* & *Lycophron* Ἠὼς μὲν αἰπεινὸν ὄρος ὠκεῖα πτερύγεσσιν ἐπέπτατο Πηγάσου πτεροῖς. Alii albos Equos, ut *Theocritus* in Hylâ v. 11. Οὐδ' ὅκχ' ἁ λεύκιππος ἀνατρέχῃ ἐς Διὸς Ἀώς. Alii *Bigas*, ut *Virgilius* Æn. l. 7. v. 26. *Aurora in roſeis fulgebat lutea Bigis*; Idem tamen aliàs *Quadrigas* Auroræ aſſignat, ut hic *Euripides*, viz. Æn. l. 6. v. 535. *Hac vice ſermonum roſeis Aurora Quadrigis Jam medium æthereo curſu trajecerat Axem.* Quòd vero Ego Κρόκεος lego & χρύσεος deleo prorſus ex textu, hæc eſt Ratio, Nemo unquam *Auroræ* Currum *Aureum* dixit, (licet *Homero* dicitur ipſa Dea Χρυσόθρονος Ἠὼς) *Croceum* Multi; præterea χρύσεος Verſui obſtabat, qui reſpondet 17mo præcedentis *Strophæ*, Χάρισι τᾶσδε Διὸς θρόνοις, Κρόκεος autem exactè reſpondet, & eſt *Euripideum* verbum, *Hecub.* v 468 ἐν κροκέῳ πέπλῳ. Hinc *Virgilius Tithoni* & *Auroræ* Cubile Croceum facit Æn. l. 4. v. 586. *Tithoni croceum linquens Aurora Cubile.* Et alius Poetarum de *Aurorâ*, Hæc croceis invecta Rotis. *J. Barnes.* V. 858. Τὰ θεῶν δὲ φίλτρα, φροῦδα Τροίᾳ) *Jovis* verò erga *Ganymeden* & *Auroræ* in *Tithonum*, ne dicam quod Poeta omiſit, *Veneris* erga *Anchiſen*, Amor, nullum *Trojæ* pereunti auxilium adfert. De his tribus *Ovid.* Epiſt. *Paris Helenæ* --*Phryx* erat & noſtro genitus de ſanguine, qui nunc Cum Diis potando Nectare miſcet aquas: *Phryx* erat Auroræ Conjux; tamen abſtulit illum Extremum noctis quæ Dea finit iter. *Phryx* erat *Anchiſes*: Volucrum cui Mater Amorum Gaudet in Idæis concubuiſſe jugis. *Joſua Barnes.*

Τροίαν ἐπύργωσας, θεοῖσιν
Κῆδος ἀναψάμενος.
Τὸ μὲν οὖν Διὸς
Ὄνειδος, οὐκέτ' ἐρῶ.
Τὸ τᾶσδε λευκοπτέρου
Ἁμέρας φίλιον βροτοῖς
Φέγγος ὀλοὸν
Εἶδε γαῖαν, εἶδε
Περγάμων ὄλεθρον,
Τεκνοποιὸν ἔχουσα τᾶσδε
Γᾶς πόσιν ἐν θαλάμοισιν, ὃν
Ἀστέρων τέθριππος ἔλαβε
Κρόκεος ὄχος ἀναρπάσας.
Ἐλπίδα γᾷ πατρίᾳ
Μεγάλαν. Τὰ θεῶν δὲ
Φίλτρα, φροῦδα Τροίᾳ.

Trojam exaltâſti, cum diis
Affinitatem jungens!
Jovis igitur nunc es
Probrum, non ampliùs amor.
Hæc hujus candidas alas habentis
Auroræ, grata cæteris mortalibus
Lux *Trojanis* funeſta,
Vidit pereuntem noſtram terram: vidit
Pergamorum exitium;
Quamvis habens liberorum procreatorem ex hâc
Terrâ oriundum maritum Tithonum in thalamis, quem
Aſtrorum quadrijugus vexit
Croceus currus abreptum,
Spem patriæ terræ
Magnam. Deorum verò
Amores fuerunt inutiles Trojæ.

ARGUMENTUM *Actûs* Quarti.

Menelaus *in Scenam progreſſus, ut Famuli* Helenam *ad naves deducant, imperat, quam ſupplicio ſe affecturum pollicetur.* Hecuba *confirmat in propoſito* Helenæ *interficiendæ* Menelaum; Helena *è contrà pro vitâ ſupplicat, ſeque purgare conatur; undè* Menelai *juſſu* Hecuba *&* Helena *inter ſe duabus elegantiſſimis Orationibus certant;* Menelaus *tamen in propoſito perſeverat,* Helenam *non antequam* Argos *pervenerit, interficiendi.* Chorus *Threnum orditur ad* Jovem, *conquerens omnia Ornamenta tam Divina, quàm Humana* Trojæ *Direptione ſublata eſſe.* Hecuba *Navim conſcenſura, ſeque & ſuos miſeratur, ac Morte præſentibus malis eripi cupit, Diraque* Helenæ *harum cladium Authori imprecatur.*

ΜΕΝΕΛΑΟΣ, ΕΚΑΒΗ, ΕΛΕΝΗ, ΧΟΡΟΣ,

Ἴαμβοι.

V. 860. Ὦ καλλιφεγγὲς &c.) Sic *Hom.* Odyſſ. v. 513. Τίς νυ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι; V. 861. Χειρώσομαι) ὑποχείριον ποιήσω. *Joſua Barnes.*

Με. Ὦ Καλλιφεγγὲς ἡλίου σέλας τόδε,
Ἐν ᾧ δάμαρτα τὴν ἐμὴν χειρώσομαι
Ἑλένην· ὁ γὰρ δὴ πολλὰ μοχθήσας ἐγὼ
Μενέλαός εἰμι, καὶ στράτευμ' Ἀχαιϊκόν.
Ἦλθον δὲ Τροίαν, οὐχ ὅσον δοκοῦσί με

Me. O Pulchram lucem ſpargens ſolis jubar iſtud,
In quâ uxorem meam capiam
Helenam: hic enim qui multùm laboravi, ego
Menelaus ſum, & hic eſt exercitus Achivorum.
Veni autem ad Trojam, non (ut multi putant me veniſſe)

Γυναικὸς

Γυναικὸς οὕνεκ', ἀλλ' ἐπ' ἄνδρ', ὃς ἐξ ἐμῶν
Δόμων δάμαρτα ξεναπάτης ἐλῄσατο.
Κεῖνος μὲν οὖν δέδωκε σὺν θεοῖς δίκην,
Αὐτός τε, καὶ γῆ δορὶ πεσοῦσ' Ἑλληνικῷ.
Ἥκω δὲ τὴν Λάκαιναν, οὐ γὰρ ἡδέως
Ὄνομα δάμαρτος, ἥ ποτ' ἦν ἐμή, λέγω,
Ἄξων· δόμοις γὰρ τοῖσδ' ἐν αἰχμαλωτικοῖς
Κατηρίθμηται Τρῳάδων ἄλλων μέτα.
Οἵπερ γὰρ αὐτὴν ἐξεμόχθησαν δορί,
Κτανεῖν ἐμοί νιν ἔδοσαν, εἴτε μὴ κτανὼν
Θέλοιμ' ἄγεσθαι πάλιν ἐς Ἀργείαν χθόνα.
Ἐμοὶ δ' ἔδοξε τὸν μὲν ἐν Τροίᾳ μόρον
Ἑλένης ἐᾶσαι, ναυπόρῳ δ' ἄγειν πλάτῃ
Ἑλληνίδ' εἰς γῆν, κᾆτ' ἐκεῖ δοῦναι κτανεῖν
Ποινάς, ὅσοις τεθνᾶσιν ἐν Ἰλίῳ φίλοι.
Ἀλλ' εἶα, χωρεῖτ' εἰς δόμους, ὀπάονες,
Κομίζετ' αὐτήν, τῆς μιαιφονωτάτης
Κόμης ἐπισπάσαντες· οὔριοι δ' ὅταν
Πνοαὶ μόλωσι, πέμψομέν νιν Ἑλλάδα.
Εκ. Ὦ γῆς ὄχημα, κἀπὶ γῆς ἔχων ἕδραν,
“ Ὅστις ποτ' εἶ σύ, δυστόπαστος εἰδέναι,
“ Ζεύς, εἴτ' ἀνάγκη φύσεος, εἴτε νοῦς βροτῶν,
“ Προσηυξάμην σε· πάντα γὰρ δι' ἀψόφου
“ Βαίνων κελεύθου, κατὰ δίκην τὰ θνήτ' ἄγεις.
Με. Τί δ' ἔστιν; εὐχὰς ὡς ἐκαίνισας θεῶν;
Εκ. Αἰνῶ σε, Μενέλα', εἰ κτενεῖς δάμαρτα σήν.
Ὁρῶν δὲ τήνδε, φεῦγε, μή σ' ἕλῃ πόθῳ.
Αἱρεῖ γὰρ ἀνδρῶν ὄμματ', ἐξαιρεῖ πόλεις,
Πίμπρησι δ' οἴκους, ὧδ' ἔχει κηλήματα.
Ἐγώ νιν οἶδα, καὶ σύ, χοἱ πεπονθότες.
Ελ. Μενέλαε, φροίμιον μὲν ἄξιον φόβου
Τόδ' ἐστί· πρὸς γὰρ χερσὶ προσπόλων σέθεν
Βίᾳ πρὸ τῶνδε δωμάτων ἐκπέμπομαι.
Ἀτὰρ σχεδὸν μὲν οἶδά σοι μισουμένη,
Ὅμως δ' ἐρέσθαι βούλομαι. γνῶμαι τίνες
Ἕλλησι, καὶ σοὶ τῆς ἐμῆς ψυχῆς πέρι;
Με. Οὐκ εἰς ἀκριβὲς ἦλθες, ἀλλ' ἅπας στρατὸς
* Κτανεῖν ἐμοί σ' ἔδωκεν, ὅνπερ ἠδίκεις. Κτανεῖν. H. Steph.

Mulieris cauſâ: ſed propter virum viz. *Paridem*, qui ex meis
Ædibus conjugem deceptor-hoſpitum rapuit.
Sed ille quidem Diis faventibus jam mihi pœnas dedit,
Et ipſe, & patria Marte collapſa Græcanico.
Venio verò nunc iſtam Lacænam (non enim libenter
Nomen uxoris, quæ quondam mea fuit, appello)
Abducturus: in hâc enim domo cum captivis
Annumeratur aliis Trojanis mulieribus.
Qui enim eam laborantes recuperaverunt bello
Dederunt mihi eam interficiendam: ſive non occidens
Velim eam abducere iterum in Argivam terram.
Mihi verò decretum eſt in Trojâ quidem mortem
Helenæ omittere, nautico verò eam abducere remo
In Græciam, & ibi eam dare interficiendam
(Pro pœna) iis, quibus mortui ſunt apud Ilium amici.
Sed eia, ite in domum, miniſtri,
Adducite eam cædibus pollutiſſima
Comâ trahentes: proſperi verò quando
Flatus venerint, mittemus eam in Græciam.
Hec. O terræ vehiculum, & in terrâ habens ſedem,
“ Quicunque tandem es, inperveſtigabilis animis noſtris
“ Jupiter, ſive es neceſſitas naturæ, ſive mens mortalium,
“ Te invoco: omnia enim per arcanatu
“ Vadens viam moderaris mortalia juſtè.
Men. Quid rei eſt, quòd preces renovas deorum?
Hec. Laudo te, Menelae, ſi occideris tuam conjugem.
Sed videns hanc fuge, ne te capiat amore.
Capit enim oculos virorum, & evertit civitates,
Et incendit domos, tales habet illecebras.
Ego ipſam novi, & tu, & reliqui, qui *propter eam mala* paſſi ſunt.
Hel. O Menelae, prooemium quidem pavore dignum
Hoc eſt: manibus enim à famulis tuis
Per vim ex hâc domo rapior.
Sed quamvis quidem ferè ſciam me tibi inviſam eſſe,
Tamen interrogare volo, quænam ſententiæ *ſint*
A Græcis, & à te de meâ vitâ.
M. In juris rigorē nō veiſti, *nec ſūmo jure tecū actū eſt*: ſed totus exerc.
Quem læſiſti, te mihi dedit ut interficiam.

V. 866. Ἐλῄσατο) ἐλῄσατο, ἀπὸ τὸ ληΐζομαι, λείαν ἄγω. V. 871. Αἰχμαλωτικοῖς) Rectè & ἀναλογικῶς hoc Verbum formatur ab αἰχμάλωτος, ut ἀνθρωπικὸς ab ἀνάλωτος, quare non erat, ut *Scaliger* ſubſtitueret αἰχμαλωτίσιν, quanquam, ut verum fatear, hæc Dictio magis eſt Poetica. *J. Barnes.* V. 878. Κᾆτ' ἐκεῖ δοῦναι κτανεῖν Ποινὰς &c.) Καὶ εἶτα δοῦναι αὐτὴν τούτοις κτανεῖν, ὅσοις, ἤγουν οἷς οἱ φίλοι τεθνᾶσιν ἐν Ἰλίῳ, ὡς ποινὴ καὶ ἀνταπόδοσις γένωνται· Ποινὰς δὲ διὰ Παρενθέσεως. *Joſua Barnes.* V. 884. Ὦ Γῆς ὄχημα, κἀπὶ Γῆς ἔχων ἕδραν) Ex hoc loco conjectare licet, quàm dignè Deo quámque Philoſophicè de Dei Naturâ ſenſerit *Euripides*; Dicit enim Deum & extra hunc Mundum eſſe, vel ut Poeta, *extra flammantia mœnia Mundi*, ut qui illum in ſe contineat, moveátque & gubernet, item in Mundo eſſe, ſedemque ſuam ponere; neque tamen ab eo comprehendi. Totus enim Naturæ Orbis intelligitur per Γῆν in hoc loco, omnia nempe Elementa, Aureâ illâ *Homericâ* Catenâ ſimul connexa & Terræ alligata. Hinc *Hebræi* ſapientèr Deum dixerunt הַמָּקוֹם, *Locum*, non, ut *Buxtorfius*, per *Antiphraſin*, quaſi *locum-non-habentem*, utpote infinitum, ſed quia Ipſe eſt Plenitudo, quæ omnia implet continétque. Unde *Hermes Triſmegiſtus*, “ *Deus* eſt *Circulus*, cujus *Centrum* ubique eſt & *Circumferentia* nullibi. *Hieremias* c. 23. v. 24. Μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; Huc referatur illa de *Auguſtino* bella & picturis etiam nobilitata Hiſtoria, quæ narrat illum ad maris littus ambulantem meditatione, quomodò Deum comprehenderet, occupatum, à Puerulo ad bonam mentem revocatum, qui ludens operam; omnem *Oceanum* in breviſſimæ Caveæ ſpatium concludere conabatur. *Joſua Barnes.* V. 885. Δυστόπαστος εἰδέναι) *Simonides* interrogatus ab *Hierone* Tyranno, *quid eſſet* DEUS, dixit ſe cras reſponſurum; craſtino mane interrogatus alium diem poſcebat, ac perinde alium atque alium, donec miratus *Hiero* cauſam hujus Moræ quæſivit, cui *Simonides*, “ *quo penitiùs Dei Naturam introſpexeris, eò magis imperveſtigabilem agnoſces, quoq; magis Deum cognoveris, eò minùs aut illum animo comprehendere, aut linguâ explicare valeas.* Vid. *Ciceron.* de Naturâ Deorum l. 1. *Drexelii* Eter. c. 1. p. 1. Ita Divus *Paulus* Ep. *Rom.* c. 11. v. 33. Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. *Pſellus* ad illud *Zoroaſtris*, inter alia multa inquit, Μάθε τὸ Νοητόν, ἐπεὶ ἔξω νόου ὑπάρχει· Κρεῖττον γὰρ (τὸ Θεῖον) παντὸς ῥήματος, καὶ νοήματος, ὡς πάντη ἀνεννόητον καὶ ἀνέκφραστον, καὶ σιγῇ μᾶλλον τιμώμενον, ἢ θαυμασίαις φωναῖς σημαινόμενον. Ἔστι γὰρ καὶ τοῦ σημαινομένου ὑψηλότερον, καὶ τοῦ ἐμφανοῦς, καὶ τοῦ ἐννοουμένου. Hinc *Homerus* Iliad. χ. v. 8. Τίπτε με, Πηλέος υἱέ, ποσὶν ταχέεσσι διώκεις Αὐτὸς θνητὸς ἐὼν Θεὸν ἄμβροτον; Quem locum ita *Clemens Alexandrinus* Strom. l. 5. exponit; Οὐχ ἁλωτὸν γὰρ τῷ θνητῷ, οὐδὲ καταληπτὸν τὸ Θεῖον. οὔτε ποσίν, οὔτε χερσίν, οὔτε ὀφθαλμοῖς, οὐδ' ὅλως τῷ σώματι δεδήλωκε. Δυστόπαστος εἰδέναι, Cognitu-per-conjecturam & humanam rationem valdè difficilis, niſi ſe per Revelationem *Deus* velit aperire. Idem verbum habes *Supplic.* v. 138. *Joſua Barnes.* V. 887. Πάντα γὰρ δι' ἀψόφου Βαίνων κελεύθου, κατὰ δίκην τὰ θνήτ' ἄγεις) Hoc ſanè pientiſſimum Divinæ Juſtitiæ teſtimonium exhibet Poeta Sanctiſſimus. Ἄψοφον autem vocat viam Providentiæ Divinæ, quia nec veſtigium, nec vo-

lam

lam relinquit, nec ſtrepitum facit; quo vel aures, vel oculi hominum ad illam inveſtigandam dirigantur. Κἀμὲ pro καὶ non Canteri ſolius authoritate reſtituo, ita enim & Aldi legit Editio. *Joſua Barnes.*

Ἑλ. Ἔξεστιν οὖν πρὸς ταῦτ' ἀμείψασθαι λόγῳ,
Ὡς οὐ δικαίως, ἢν θάνω, θανούμεθα;
Με. Οὐκ εἰς λόγους ἐλήλυθ', ἀλλά σε * κτενῶν.
Εκ. Ἄκουσον αὐτῆς, μὴ θάνῃ τοῦδ' ἐνδεής,
Μενέλαε, καὶ δὸς τοὺς ἐναντίους λόγους
Ἡμῖν κατ' αὐτῆς· τῶν γὰρ ἐν Τροίᾳ κακῶν
Οὐδὲν κάτοισθα. συντεθεὶς δ' ὁ πᾶς λόγος
Κτενεῖ νιν οὕτως, ὥστε μηδαμοῦ φυγεῖν.
Με. Σχολῆς τὸ δῶρον· εἰ δὲ βούλεται λέγειν,
Ἔξεστι. τῶν σῶν δ' οὕνεχ', ὡς μάθῃ, λόγων
Δώσω τόδ' αὐτῇ· τῆσδε δ' οὐ δώσω χάριν.
Ἑλ. Ἴσως με, κἂν εὖ, κἂν κακῶς δόξω λέγειν,
Οὐκ ἀνταμείψῃ πολεμίαν ἡγούμενος.
Ἐγὼ δ', ἅ σ' οἶμαι διὰ λόγων ἰόντ' ἐμοῦ
Κατηγορήσειν, ἀντιθεῖσ' ἀμείψομαι
Τοῖς σοῖσι τἀμὰ, καὶ τὰ σ' αἰτιάματα.
Πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν,
Πάριν τεκοῦσα. δεύτερον δ' ἀπώλεσεν
Τροίαν τε, κἀμὲ πρέσβυς, οὐ κτανὼν βρέφος,
Δαλοῦ πικρὸν μίμημ' Ἀλέξανδρόν ποτε.
Ἔνθεν δὲ τἀπίλοιπ' ἄκουσον, ὡς ἔχει.
Ἔκρινε τρισσὸν ζεῦγος ὅδε τρισσῶν θεῶν.
Καὶ Παλλάδος μὲν ἦν Ἀλεξάνδρῳ δόσις,
Φρυξὶ στρατηγοῦνθ' Ἑλλάδ' ἐξανιστάναι.
Ἥρα θ' ὑπέσχετ' Ἀσιάδ', Εὐρώπης θ' ὅρους,
Τυραννίδ' ἕξειν, εἴ σφε κρίνειεν Πάρις.
Κύπρις δὲ τοὐμὸν εἶδος ἐκπαγλουμένη
Δώσειν ὑπέσχετ', εἰ θεὰς ὑπερδράμοι
Κάλλει. τὸν ἐνθένδ' ὡς ἔχει σκέψαι λόγον.
Νικᾷ Κύπρις θεάς· καὶ τοσόνδ' οὑμὸς γάμος
Ὤνησεν Ἑλλάδ', οὐ κρατεῖσθ' ἐκ βαρβάρων,
Οὔτ' εἰς δόρυ σταθέντες, οὐ τυραννίδι.
Ἃ δ' εὐτύχησεν Ἑλλάς, ὠλόμην ἐγὼ,
Εὐμορφίᾳ πραθεῖσα, κὠνειδίζομαι,
Ἐξ ὧν ἐχρῆν με στέφανον ἐπὶ κάρᾳ λαβεῖν.
Οὔπω με φήσεις αὐτὰ τἀν ποσὶν λέγειν,
Ὅπως ἀφώρμησ' ἐκ δόμων τῶν σῶν λάθρᾳ.
Ἦλθ' οὐχὶ μικρὰν θεὸν ἔχων αὑτοῦ μέτα,
Ὁ τῆσδ' ἀλάστωρ, εἴτ' Ἀλέξανδρον θέλεις
Ὀνόματι προσφωνεῖν νιν, εἴτε καὶ Πάριν,
Ὅν, ὦ κάκιστε, σοῖσιν ἐν δόμοις λιπὼν,
Σπάρτης ἀπῇρας νηὶ, Κρησίαν χθόνα.
Εἶεν. οὐ σ', ἀλλ' ἐμαυτὴν τοὐπὶ τῷδ' ἐρήσομαι.
Τί δὴ φρονοῦσά γ' ἐκ δόμων ἅμ' ἑσπόμην
Ξένῳ, προδοῦσα πατρίδα, καὶ δόμους ἐμούς;
Τὴν θεὸν κόλαζε, καὶ Διὸς κρείσσων γενοῦ,
Ὃς τῶν μὲν ἄλλων δαιμόνων ἔχει κράτος,

* an κτανῶν.

Hel. Licetne igitur ad hæc reſpondere verbis,
Quòd non juſtè, ſi moriar, interficiar?
Men. Non ad diſputandum veni, ſed ad te occidendum.
Hec. Audi eam, ne moriatur indiga hujus rei,
Menelae, & da contrarios ſermones
Nobis contra eam: malorum enim, quæ Trojæ evenerunt,
Nullum nôſti. In unum enim collata tota oratio
Interficiet eam, ita ut non poſſit elabi.
Men. Munus autem *eſt* otii: ſi tamen vult dicere,
Licet: propter tuam autem (*ut ſciat*) interceſſionem,
Concedâ hoc ipſi, ipſius verò cauſâ beneficium *hoc ei* non dabo.
Hel. Fortaſſe ſive bene, ſive malè dixero, mihi
Non reſpondebis, ducens me eſſe hoſtem.
Ego verò *ad ea*, quæ ſcio te certantem mecum *verbis*,
Mihi objecturum eſſe, reſpondebo, opponens
Tuis meas, & tuas *meis*, criminationes.
Primum quidem hæc peperit initia horum malorum,
Paridem pariens: deinde verò *perdidit*
Trojam, & me ille ſenex *Priamus*, non interficiens infantem,
Facis triſtem effigiem, Alexandrum olim.
Audi verò jam cætera, ut ſe habent.
Hic *Paris* fuit judex triplicis jugi trium dearum.
Et Palladis quidem Alexandro donum *promiſſum* erat,
Fore ut belli dux creatus Græciam Phrygibus evertam ſubigeret.
Juno verò promiſit Aſiam, Europæque fines *illum*
Regnum habiturum, ſi *ſe cæteris* judicans anteferret Paris.
Venus verò mirificè prædicans meam formam, *hanc*
Se daturam *ipſi* promiſit, ſi Deas *latâ ſententiâ* ſuperâſſet
Pulchritudine: nunc vero, quod ſecutû eſt, ut ſe habeat, perpende:
Vincit Venus deas, & tantùm meæ nuptiæ
Juverunt Græciam, *ut* barbarorum imperio non eſtis ſubjecti,
Nec in bello *perpetuo* conſtituti, nec tyrannide *vexati*.
Quas verò *ob res* felix evaſit Græcia, *ob eas* ego perii,
Propter meam formâ vendita, & *tamen ob ea* probroſè accuſor.
Ob quæ oportuit me coronam in caput accipere.
Nondum dices me ad propoſitum dicere.
Quo d diſceſſerim clàm ex tuis ædibus.
Venit, non exiguam deam habens ſecum,
Hujus *Hecubæ* malus dæmon, ſive Alexandrum velis
Eum appellare, ſive Parim:
Quem tu, ô ignaviſſime, in tuâ domo relinquens,
Solviſti nave ex Spartâ in Cretam *tendens*.
Sit ita: non te, ſed meipſam interrogabo de eo quod ſequitur.
Quid igitur cogitans ex domo ſecuta ſum
Hoſpitem, prodens patriam, & meam domum?
Ipſam deam *Venerem* objurga, & Jove potentior fias,
Qui quidem in alios deos habet imperium,

V. 906. Τοῦδ') τοῦ ἀπολογεῖσθαι. V. 911. Σχολῆς τὸ δῶρον) Simile in *Androm.* Σχολῆς τόδ' ἔργον. V. 921. Κἀμὲ πρέσβυς) Mirè hic hallucinatus eſt Vir Cl. *J. Brodæus*, qui πρέσβυς exponit, *hæc Anus Hecuba*. Quùm de illâ *primò* dixit, jam *ſecundò* illius maritum *Priamum* cauſat, qui cùm *Somnii* Interpretationem audiverit, non ſtatim infantem neci dederit, qui futurus erat Fax Patriæ. *Joſua Barnes.* V. 927. Ἀσιάδ') Pudendo errore Idem *Brodæus* hic corrigit Ἀσίας δ', cùm eo modo, *Spondæus* eſſet in Quarto loco; & Ἀσιάδα, γαῖαν intellige, Ἀσίας σημαίνει. vid. ſuprà v. 743. *J. Barnes.* V. 930. Εἰ θεὰς ὑπερδράμοι) Ita *Canterus* & *Scaliger* & *Æmilius Portus* pro ὑπερδράμοιμι, quorum hic exemplum profert ex *Ione* v. 973. Καὶ πῶς τὰ κρείσσω, θνητὸς ὢν, ὑπερδράμω; *J. Barnes.* V. 936. Πραθεῖσα) Vendita à *Venere*; illa enim *Paridi* promiſit *Helenam*, ſi aureum illi Pomum daret, Pulchritudinis ſymbolum & præmium. Κὠνειδίζομαι) καὶ ὀνειδίζομαι. V. 937. Ἐπὶ κάρᾳ) ἐπὶ τῆς κεφαλῆς. V. 943. Ὅν, ὦ κάκιστε, σοῖσιν ἐν δόμοις λιπὼν Σπάρτης ἀπῇρας νηὶ, Κρησίαν χθόνα) Cùm *Paris Lacedæmona* appuliſſet, à *Menelao* eſt honorificentiſſimè receptus: ſed quia per id tempus *Menelaum* oportebat, ad dividendas *Atrei* opes *Cretam* adire, ille *Paridem* domi relinquens, *Helenæ* mandavit, ut non minorem hoſpitis, quàm ſui ipſius curam gereret. Hinc meritò ridetur à *Paride* in Epiſtolâ ad *Helenam* — *Non habuit tempus, quo Creſſia Regna videret Aptius. O mirâ calliditate virum!* Joſua Barnes. V. 945. Εἶεν) Extra carmen ſumendum vid. quæ Nos ad *Hecub.* v. 1116.

Κείνης

Κείνης δὲ δοῦλός ἐστι· συγγνώμη δ' ἐμοί.
Ἔνθεν δ' ἔχοις ἂν εἰς ἔμ' εὐπρεπῆ λόγον.
Ἐπεὶ θανὼν γῆς ἦλθ' Ἀλέξανδρος μυχοὺς,
Χρῆν μ', ἡνίκ' οὐκ ἦν θεοπόνητά μου λέχη,
Λιποῦσαν οἴκους, ναῦς ἐπ' Ἀργείων μολεῖν.
Ἔσπευδον αὐτὸ τοῦτο· μάρτυρες δέ μοι
Πύργων πυλωροὶ, κἀπὸ τειχέων σκοποὶ,
Οἳ πολλάκις μ' ἐφηῦρον ἐξ ἐπάλξεων
Πλεκταῖσιν εἰς γῆν σῶμα κλέπτουσαν τόδε.
Βίᾳ δ' ὁ καινός μ' οὗτος ἁρπάσας πόσις
Δηΐφοβος, ἄλοχον εἶχεν ἀκόντων Φρυγῶν.
Πῶς οὖν ἔτ' ἂν θνήσκοιμ' ἂν ἐνδίκως, πόσι,
Πρὸς σοῦ δικαίως, ἣν ὁ μὲν βίᾳ γαμεῖ,
Τὰ δ' οἴκοθεν κεῖν', ἀντὶ νικητηρίων,
Πικρῶς ἐδούλωσ'. εἰ δὲ τῶν θεῶν κρατεῖν
Βούλει, τὸ χρῄζειν ἀμαθές ἐστι καὶ τόδε.
Χο. Βασίλει', ἄμυνον σοῖς τέκνοισι, καὶ πάτρᾳ,
Πειθὼ διαφθείρουσα τῆσδ', ἐπεὶ λέγει
Καλῶς, κακοῦργος οὖσα· δεινὸν οὖν τόδε.
Εκ. Ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι,
Καὶ τήνδε δείξω μὴ λέγουσαν ἔνδικα.
Ἐγὼ γὰρ Ἥραν, παρθένον τε Παλλάδα,
Οὐκ εἰς τοσοῦτον ἀμαθίας ἐλθεῖν δοκῶ,
Ὥσθ' ἡ μὲν Ἄργος βαρβάροις ἀπημπόλα,
Παλλὰς δ' Ἀθήνας Φρυξὶ δουλεύειν ποτὲ,
Αἳ παιδιαῖσι, καὶ χλιδῇ μορφῆς πέρι
Ἦλθον πρὸς Ἴδην. Τοῦ γὰρ οὕνεκ' ἂν θεὰ
Ἥρα, τοσοῦτον ἔσχ' ἔρωτα καλλονῆς;
Πότερον ἀμείνον' ὡς λάβῃ Διὸς πόσιν;
Ἢ γάμον Ἀθηνᾶ θεῶν τινος θηρωμένη,
Ἣ παρθενείαν πατρὸς ἐξῃτήσατο,
Φεύγουσα λέκτρα; μὴ ἀμαθεῖς ποίει θεὰς,
Τὸ σὸν κακὸν κοσμοῦσα· μὴ πείσῃς σοφούς.
Κύπριν δ' ἔλεξας, ταῦτα γὰρ γέλως πολὺς,
Ἐλθεῖν ἐμῷ ξὺν παιδὶ Μενέλεω δόμους.
Οὐκ ἂν μένουσ' ἂν ἥσυχός γ' ἐν οὐρανῷ,
Αὐταῖς Ἀμύκλαις ἤγαγεν πρὸς Ἴλιον;
Ἦν οὑμὸς υἱὸς κάλλος ἐκπρεπέστατος,
Ὁ σὸς δ' ἰδών νιν νοῦς, ἐποιήθη Κύπρις.

Hujus verò ſervus eſt. Ideo & mihi eſt ignoſcendum.
Hinc verò poſſes habere ſpecioſam accuſationem adverſus me:
Poſtquam Alexander mortuus ivit in cavos terræ receſſus,
Tunc oportuit me, quum mea connubia nõ eſſet ab aliq. Deo coact.
Relictis ædibus, ad Argivorum naves venire.
Studebam hoc ipſum facere: teſtes autem ſunt mihi
Turrium cuſtodes, & e muris ſpeculatores,
Qui me ſæpe deprehenderunt ex propugnaculis,
Funibus ad terram clàm demittentem hoc corpus.
Per vim autem hic novus maritus me rapiens
Deiphobus uxorem habuit invitis Phrygibus.
Quomodo igitur jure moriar, ô marite, quomodo
A te juſte cadam ego quam hic ultimus ſaltem per vim duxit?
Ob illa verò domeſtica mea facinora, pro victoriæ præmiis
Ego acerbè ſervivi. Si verò deos vincere
Vis, hoc quidem etiam velle ſtultum eſt.
Cho. O regina, defende tuos liberos, & patriam,
Hujus orationem pervertens: dicit enim
Præclare, cùm malefica ſit. Hoc autem eſt pernicioſum.
Hec. Deabus primum ſocia ſiam, earum cauſam defendam,
Et oſtendam hanc non dicere juſta, i.e. vera.
Ego enim Junonem, & Palladem virginem,
Non eò dementiæ veniſſe puto,
Ut hæc quidem Argos barbaris vendiderit,
Pallas verò Athenas Phrygibus ſervire voluerit unquam,
Quæ per ludum, & per delitias de formæ certamine,
Venerint ad Idam: Cujus enim rei gratiâ Dea
Juno tantum habuiſſet deſiderium formæ?
An ut præſtantiorem Jove acciperet maritum?
Aut ut Pallas nuptias alicujus deorum tentaret,
Quæ virginitatem à patre poſtulavit
Fugiens conjugium? ne fac deas ſtultas,
Tuum peccatum ornans: ne ſapientibus hoc perſuadere coneris.
Venerem porrò dixiſti (hoc autem valde ridiculum eſt)
Veniſſe meo cum filio ad Menelai domos.
Nonne manens tranquillè in cœlo
Potuiſſet eam abducere unà cum ipſis Amyclis ad Ilium?
Sed meus filius fuit formâ præſtantiſſimus;
Tua verò mens facta eſt Venus, ipſum conſpicata.

V. 950. Κείνης δὲ δοῦλός ἐστι) Jupiter cæteris Dîis major, Veneri cedit ſoli; cujus Potentiæ ſuccumbens, Europen, Danaen, Semelen, Alcmenam, Maiam, Latonam, Cererem, Ledam, Iô, Calliſtô, aliaſque innumeras Mortales & Deas compreſſit. De quibus Amoribus Vid. Homer. Iliad. Ξ. Nonni Dionyſ. l. 7. Ovid. Metamorph. aliiſque. Joſua Barnes. V. 960. Δηΐφοβος) Poſt occiſum à Philoctete Paridem, frater Deiphobus Helenam uxorem ſuam fecit. De hoc autem Deiphobi Heleneq; Conjugio hæc Homeri Scholiaſtes, Ἀλεξάνδρου τοξευθέντος ὑπὸ Φιλοκτήτου, Πρίαμος τὸν Ἑλένης γάμον [illegible] τῷ ἀριστεύοντι κατὰ τὴν μάχην. Δηΐφοβος δὲ γενναίως ἀγωνισάμενος, ἔγημεν αὐτήν. Tzetzes in Lycophronem hos Verſus citat & prolixiùs illuſtrat. De hac re vide Virgilium Æn. l. 6. v. 524. Et Scholiaſtes ad Eurip. Androm. 228. Helenæ maritos enumerat, Θησέα, καὶ Μενέλαον, Ἀλέξανδρον καὶ Δηΐφοβον. J. Barnes. V. 961. Πῶς ἂν ἔτ' ἂν θνήσκοιμ' ἂν) De duplici ἂν in eadem Clauſulâ vid. Hecub. v. 1200. V. 965. Τὸ χρῄζειν ἀμαθές ἐστι καὶ τόδε) Audactèr καὶ reſtitui, & γὰρ quod nihil hic juris habuit, removi. Judicent Docti. Joſua Barnes. V. 967. Πειθὼ διαφθείρουσα τῆσδ') Πειθὼ, Suada, Suadela, Dea Flexanima illa Dicendi Præſes, quam Ennius Suadam, Quintilianus Perſuadendi Deam, Horatius Suadelam, Cicero Leporem vocat. Hæc Dea Veneris Comes fingitur, quòd qui amantur, Gratiâ & Oratione capiantur. Colebatur & Diana cognomine Πειθὼ Corinthi. Hermeſianax autem ſtatuebat τὴν Πειθὼ καὶ αὐτὴν Χαρίτων μίαν, ut Pauſanias fol. 309. lin. 39. Erat autem Pitho [illegible] dicta, Statuâ honorata à Praxitele, Id. fol. 41. lin. 40. & quod magis eſt, Templo, ab Ægialenſibus. Id. fol. 51. lin. 4. Joſua Barnes. V. 972. Οὐκ εἰς τοσοῦτον ἀμαθίας) [illegible] ἀμαθίαν. Quòd verò τοσοῦτος facit τοσοῦτον in Neutro genere, æquè ac τοσοῦτο ſemel hic eſt obſervandum, ut & τοιοῦτον pro τοιοῦτο & τηλικοῦτον pro τηλικοῦτο. Sic Lucian. in Hermotimo p. 284. Οὐδὲν τοιοῦτο, nil tale, ſed ante Vocalem utrinque & ibid. p. 292. μακρὸν γὰρ [illegible] τὸ τοιοῦτον, ἔχεις ἂν [illegible]. Sic p. 305. [illegible] τοιοῦτον [illegible]. Sed & aliquando ante Conſonam, ut id. p. 297. Οὐκοῦν [illegible] λέγειν, εἰ [illegible] τι, ἀλλὰ μὴ τοιοῦτον φάσκειν, & p. 307. [illegible] τὸ τοιοῦτον, καὶ οὐ πολλῆς [illegible] δεόμενον. Sic Socrates Schol. p. 193. in Epiſt. Conſtantini Jun. Καὶ τὸ τηλικοῦτον [illegible] ῥῆμα. Item Lucian. p. 343. Τηλικοῦτον [illegible] τὸ κατὰ τὸν [illegible] τύπον. Sic τοιοῦτον [illegible] id. p. 395. [illegible] τοιοῦτον p. 414. Sic τὸ τηλικοῦτον [illegible] κάλλος Origen. &c. Quod notâſſe me non pudet; quoniam Vulgaris Gramm. id non vidit. J. Barnes. V. 973. Ὥσθ' ἡ μὲν Ἄργος βαρβάροις ἀπημπόλα) ἀλλ' οὐ γὰρ δοκῶ τὴν Ἥραν εἰς τοσοῦτον ἀμαθίας ἐληλυθέναι, ὡς τὸ Ἄργος τοσοῦτον αὐτῇ κεχαρισμένον τοῖς Βαρβάροις καὶ Φρυξὶν ἀπεμπολᾶν. De Argis autem Junonis deliciis, Vide quæ Nos ad Rheſ. v. 376. Æquè autem Pallas putatur amâſſe ſuas Athenas; nec ideò probabile eſt, illam ob Pulchritudinis nomen Urbem tam charam Phrygibus ſubjicere. Vide piam Poetæ ſagacitatem, quâ omnem arripit occaſionem Patriam ſuam decorandi. Joſua Barnes. V. 976. Τοῦ) Τίνος; & eſt Interrogativum. V. 985. Οὐκ ἂν μένουσ' ἂν) De Duplici ἂν Vide ſuprà v. 961. V. 986. Αὐταῖς Ἀμύκλαις) Amyclæ Urbs Laconiæ, in quâ

Nati *Castor* & *Pollux*, Regia autem *Tyndari*, *Helenæ* Patris. *Dionysius* Perieg. Ἀμυκλαίων γένος ἀνδρῶν. *Scholiastes*: Ἀμυκλαίων, ἤτοι Λακώνων, ὡς ἀπὸ μέρους· μοῖρα γὰρ Λακώνων αἱ Ἀμύκλαι.

" Τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς,
" Καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς.
Ὃν εἰσιδοῦσα βαρβάροις ἐσθήμασι,
Χρυσῷ τε λαμπρὸν, ἐξεμαργώθης φρένας.
Ἐν μὲν γὰρ Ἄργει μίκρ' ἔχουσ' ἀνεστρέφου,
Σπάρτης δ' ἀπαλλαχθεῖσα, τὴν Φρυγῶν πόλιν
Χρυσῷ ῥέουσαν ἤλπισας κατακλύσειν
Δαπάναισιν· οὐδ' ἦν ἱκανά σοι τὰ Μενέλεω
Μέλαθρα, ταῖς σαῖς ἐγκαθυβρίζειν τρυφαῖς.
Εἶεν· βίᾳ γὰρ παῖδα φῂς ἄγειν ἐμόν·
Τίς Σπαρτιατῶν ᾔσθετ', ἢ ποίαν βοὴν
Ἀνωλόλυξας Κάστορος νεανίου,
Τοῦ συζύγου τ' ἔτ' ὄντος, οὐ κατ' ἄστρα πω.
Ἐπεὶ δὲ Τροίαν ἦλθες, Ἀργεῖοί τέ σου
Κατ' ἴχνος, ἦν δὲ δοριπετὴς ἀγωνία,
Εἰ μὲν τὰ τοῦδε κρείσσον' ἀγγέλλοιτό σοι,
Μενέλαον ᾔνεις, παῖς ὅπως λυποῖτ' ἐμὸς,
Ἔχων ἔρωτος ἀνταγωνιστὴν μέγαν·
Εἰ δ' εὐτυχοῖεν Τρῶες, οὐδὲν ἦν ὅδε.
Εἰς τὴν τύχην δ' ὁρῶσα, τοῦτ' ἤσκεις, ὅπως
Ἕποι' ἅμ' αὐτῇ, τῇ ἀρετῇ δ' οὐκ ἤθελες.
Κἄπειτα πλεκταῖς σῶμα σὸν κλέπτειν λέγεις,
Πύργων καθιεῖσ', ὡς μένουσ' ἀκουσίως.
Ποῦ δῆτ' ἐλήφθης, ἢ βρόχους ἀρτωμένη,
Ἢ φάσγανον θήγουσ'; ἃ γενναία γυνὴ
Δράσειεν ἂν, ποθοῦσα τὸν πάρος πόσιν.
Καίτοι γ' ἐνουθέτουν σε πολλὰ πολλάκις·
Ὦ θύγατερ, ἔξελθ'· οἱ δ' ἐμοὶ παῖδες γάμους
Ἄλλους γαμοῦσι. σὲ δ' ἐπὶ ναῦς Ἀχαιικὰς
Πέμψω συνεκκλέψασα· καὶ παῦσον μάχης
Ἕλληνας, ἡμᾶς τ'· ἀλλά σοι τόδ' ἦν πικρόν.
Ἐν τοῖς Ἀλεξάνδρου γὰρ ὕβριζες δόμοις,
Καὶ προσκυνεῖσθαι βαρβάρων ὕπ' ἤθελες.
Μεγάλα γὰρ ἦν σοι· κἀπὶ τοῖσδε σὸν δέμας
Ἐξῆλθες ἀσκήσασα, κἄβλεψας πόσει
Τὸν αὐτὸν αἰθέρ'· ὦ κατάπτυστον κάρα.

" Omnia enim stulta sunt Venus mortalibus,
" Et nomen Deæ rectè à stultitiâ incipit.
Quam tu intuens barbaricis vestitu,
Et auro splendentem, furiosè incensa es animo:
Argis enim exiguas habens opes versabaris.
Discedens verò ex Spartâ, Phrygum civitatem
Fluentem auro, sperâsti abundè suffecturam tuis
Sumptibus: non enim tibi satis erat Menelai
Domus, ad luxuriandum tuis deliciis.
Age, dicis meum filium vi te abduxisse?
Quis Spartanorum sensit? aut quâ vociferatione
Invocâsti Castorem adolescentem,
Fratremque Pollucem gemel. adhuc in *ter.* existente, nec dū in astra *sublat.*
Postquam verò Trojam venisti, Argivi verò tuum
Vestigium secuti sunt, erat autem bellicum certamen,
Quoties quidem res hujus *Menelai* meliores nunciabantur tibi,
Menelaum laudabas, filius ut doleret meus,
Habens magnum rivalem amoris:
Quando verò vincebant *Trojani*, nihil erat ille.
In Fortunam enim intuens hoc studebas, ut
Consectareris eam, Virtutem verò *sequi* nolebas.
Et deinde funibus corpus tuum te clam subducere voluisse dicis,
De turribus demittentem quasi maneres invita.
Ubi ergo deprehensa es, aut suspendens laqueos,
Aut gladium acuens? quæ generosa mulier
Fecisset, priorem desiderans maritum.
Atqui monebam te sæpe multis:
O filia, egredere: mei enim filii conjuges
Alias ducant, te verò ad naves Græcas
Mittā, furtivè adjuvans furtivum discessū: fac autē finē belli
Inter Græcos, & nos. Verùm hoc erat tibi molestum.
In *Alexandri* enim domo contumeliosè regnabas,
Et adorari à barbaris *Phrygio* more volebas.
Illa enim erant tibi magna: & præter hæc tuo corpore
Exibas ornato, & aspiciebas cum marito
Eundem æthera: ô execrandum caput!

V. 990. Καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς) Verſum hunc citat *Ariſtoteles* Rhetor. l. 2. Et *Phurnutus* ad hunc locum reſpiciens, ἢ ὡς Εὐριπίδης ὑπονοεῖ διὰ τὸ τοὺς ἐπιμανεῖς αὐτῆς ἄφρονας εἶναι. Sic *Cicero*, Mentum Mentémque in gremiis mimarum depoſuit. Hujus Verſûs Tranſlatio Latina Poetæ mentem aſſequi non poteſt, quia *Stultitiâ* nihil ſimile ſonat cum *Venere*, ſicut Ἀφροσύνη & Ἀφροδίτη ſimiliter incipiunt: Quare tali modo poteſt adumbrari in Verſione, *Et Nomen Deæ Veneris re verâ Vanitatis aliquid habet*. J. Barnes. V. 992. Χρυσῷ τε λαμπρὸν &c.) Et rebus & verbis aſſurgit Oratio. Obſerva Magnificas Metaphoras. Et *Euripides* ſanè Magnus Dicendi Artifex, & in orationibus omnis Generis Verſatiſſimus; adeò ut hunc ſibi præcipuum *Demoſthenes* præ oculis habuerit Eloquentiæ Magiſtrum inſignem: & ſi octies *Thucydidem*, ut *Lucianus* narrat, deſcripſerit, non infrequentior erat in *Euripide* evolvendo, verſando, lectitando, ut & illius vim & acumen, & copiam, & ſolertiam extergeret & in ſuccum ſanguinémque converteret; ut & alter *Romanorum Demoſthenes*, *Cicero*, eundem admiratus dicitur: de quâ re vide in *Euripidis* Vitâ à nobis conſcriptâ. *Joſua Barnes*. V. 1001. Οὐ κατ' ἄστρα πω) Nondum erant tunc donati *Caſtor* & *Pollux*, nec in Aſtra relati, & in ſigno Geminorum poſiti. Dicuntur autem hi *Juvenes* Fratres, qui & ob φιλαδελφίαν erant inſignes, ut olim ſororem *Helenam* à *Theſeo* raptam, vaſtatis *Aphidnis* Atticis, reportârant, ſic nunc *Paridem* Navigio perſecuti, mari obiiſſe Tempeſtate obruti; & hinc tamen in Cœlum relati Nautis Tempeſtate periclitantibus opem ferre; nempe, cujus & ipſi olim tantopere eguerunt. Alii *Caſtorem* in certamine cum *Lynceo* & *Ida* occubuiſſe; *Pollucem* illius gratiâ ſemimortuum & per vices tantùm mortem cum illo mutâſſe. De quâ re vide *Homeri* Scholiaſten, ſive *Didymum*, ſive *Heracleonem*, ad *Iliad.* γ'. v. 243. & *Scholiaſten Theocriti* in Idyll. κβ'. Διοσκούροις dicto; item Ovid. Faſtorum l. v. in fine; item *Propert.* l. 1. Eleg. 2. *Joſua Barnes.* V. 1021. Καὶ προσκυνεῖσθαι Βαρβάρων ὕπ' ἤθελες) Ità disjungo, quod prius erat junctum, ὑπήθελες. *Adoratio* autem *Perſarum* & Barbarorum Gentium nota eſt, & *Euripid.* Oreſt. v. 1509. Προσκυνῶ σ', ἄναξ, νόμοισι βαρβάροισι προσπίτνων. *Lucian.* Πλοῖον ἢ Εὐχαί, p. 941. Ἀλλὰ τῆς μὲν τιμῆς, ὦ βασιλεῦ, χάριν οἶδά σοι, καὶ ὑποκύψας ἐς τὸ Περσικὸν προσκυνῶ σε, ἀγαγὼν ἐς τοὐπίσω τὼ χεῖρε. πλὴν τὴν τιάραν ὀρθὴν ἔχειν καὶ τὸ διάδημα. Hæc autem *Adoratio* erat è longè facta, ut colligendum eſt ex ejuſdem *Nigrino* p. 20. Quamvis hæc *Adoratio* malè audiebat apud *Græcos*, quibus Reges erant contemptui; haud tamen levi ratione nititur, quùm βασιλεὺς ſit ἔμψυχος εἰκὼν Θεοῦ. Et hanc rationem apud *Plutarchum* in Θεμιστοκλεῖ *Artabanus* & ipſe *Perſa* refert. Ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν ὄντων, κάλλιστος οὗτός ἐστι, τιμᾶν τὸν Βασιλέα καὶ προσκυνεῖν Εἰκόνα Θεοῦ πάντα σώζοντος. Vid. *Briſſonium* de Reg. *Perſic.* Principatu, & Αὐλικοκάτοπτρον Noſtrum, ſive *Eſtheram*, adv. 1261. [illegible] Quare illud *quodammodò*, quod prius in Latinâ Verſione aderat, ejeci; quia reverà *Adorabant* Phryges. *Joſua Barnes.*

Ἣν χρῆν ταπεινὴν ἐν πέπλων ἐρειπίοις
Φρίκῃ τρέμουσαν, κρᾶτ᾽ ἀπεσκυθισμένην
Ἐλθεῖν, τὸ σῶφρον τῆς ἀναιδείας πλέον
Ἔχουσαν ἐπὶ τοῖς πρόσθεν ἡμαρτημένοις.
Μενέλα᾽, ἵν᾽ εἰδῇς οἷ τελευτήσω λόγον,
Στεφάνωσον Ἑλλάδ᾽ ἀξίως τήνδε κτανών.
Σαυτοῦ νόμον δὲ τόνδε ταῖς ἄλλαισι θὲς
Γυναιξὶ, θνήσκειν, ἥτις ἂν προδῷ πόσιν.
Χο. Μενέλαε, προγόνων ἀξίως, δόμων τε σῶν,
Τῖσαι δάμαρτα, κἀφελοῦ πρὸς Ἑλλάδος,
Τὸ θῆλυ τοῦτό τ᾽, εὐγενὴς ἐχθροῖς φανείς.
Με. Ἐμοὶ σὺ συμπέπτωκας εἰς ταυτὸν λόγου,
Ἑκουσίως τήνδ᾽ ἐκ δόμων ἐλθεῖν ἐμῶν,
Ξένας εἰς εὐνάς· χἡ Κύπρις κόμπου χάριν
Λόγοις ἀνεῖται· βαῖνε λευστήρων πέλας,
Πόνους τ᾽ Ἀχαιῶν ἀπόδος ἐν μικρῷ μακροὺς
Θανοῦσ᾽, ἵν᾽ εἰδῇς μὴ καταισχύνειν ἐμέ.
Ελ. Μὴ, πρὸς σὲ γονάτων, τὴν νόσον τὴν τῶν θεῶν
Προσθεὶς ἐμοὶ, κτείνῃς με· συγγίνωσκε δέ.
Εκ. Μηδ᾽ οὓς ἀπέκτειν᾽ ἥδε συμμάχους προδῷς·
Ἐγὼ πρὸ κείνων, καὶ τέκνων σε λίσσομαι.
Με. Παῦσαι, γεραιά· τῆσδε δ᾽ οὐκ ἐφρόντισα.
Λέγω δὲ προσπόλοισι, πρὸς πρύμνας νεῶν
Τήνδ᾽ ἐκκομίζειν, ἔνθα ναυστολήσεται.
Εκ. Μή νυν νεὼς σοὶ ταυτὸν εἰσβήτω σκάφος.
Με. Τί δ᾽ ἔστι; μεῖζον βρῖθος, ἢ πάρος γ᾽ ἔχει;
Εκ. Οὐκ ἔστ᾽ ἐραστὴς, ὅστις οὐκ ἀεὶ φιλεῖ.
Με. Ὅπως ἂν ἐκβῇ τῶν ἐρωμένων ὁ νοῦς,
Ἔσται δ᾽ ἃ βούλει· ναῦν γὰρ οὐκ εἰσβήσεται,
Εἰς ἥνπερ ἡμεῖς· καὶ γὰρ οὐ κακῶς λέγεις,
Ἐλθοῦσα δ᾽ Ἄργος, ὥσπερ ἀξία, κακὰ
Κακὴ θανεῖται. « Καὶ γυναιξὶ σωφρονεῖν
« Πάσαισι θήσει· ῥᾴδιον μὲν οὐ τόδε.
Ὅμως δ᾽ ὁ τῆσδ᾽ ὄλεθρος εἰς φόβον βαλεῖ
Τὸ μῶρον αὐτῶν, κἂν ἔτ᾽ ὦσ᾽ ἐχθίονες.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. 1 Οὕτω δὴ τὸν ἐν Ἰλίῳ
2 Ναὸν, καὶ θυόεντα βωμὸν
3 Προὔδωκας Ἀχαιοῖς,
4 Ὦ Ζεῦ, καὶ πελάνων φλόγα,
5 Σμύρνης αἰθερίας τε καπνὸν,
6 Καὶ Πέργαμον ἱερὰν
7 Ἰδαῖά τ᾽ Ἰδαῖα κισσοφόρα νάπη,
8 Χιόνι κατάρρυτα ποταμίᾳ,

Quàm oportuit humilem in laceris pannis,
Frigore trementem, & raſo capite Scytharum more
Incedere, plus modeſtiæ quàm impudentiæ
Habentem propter priora peccata:
Menelae, ut ſcias quorſum finiam ſermonem,
Orna Græciam dignè interfectâ hâc:
Et hanc tuam legem pone aliis
Mulieribus, ut moriatur quæcunque virum prodiderit.
Cho. Menelae, pro dignitate majorum *tuorum*, & tuæ domus,
Punias conjugem, & auferas *eam* ex Græciâ
Etiam mollitiem hanc, inimicis apparens animoſus.
Men. Tu in eandem ſententiam mecum veniſti, *quia putas*
Hanc volentem abiiſſe ex meâ domo
Ad peregrina cubilia; & Venus propter ſpeciem tantum
Verbis extollitur: vade ad lapidatores,
Et perſolve longas miſerias Græcorum brevi *tempore*
Moriens, ut diſcas me non dedecorare.
Hel. Ne, per genua te *oro*, morbum à diis *immiſſum*
Mihi imputans, interficias me: ignoſce verò *mihi*.
Hec. Ne prodas ſocios, quos hæc interfecit:
Ego pro illis, & pro liberis te precor.
Men. Deſine anus: hanc enim nihil curo.
Dico verò famulis, ad puppes navium
Hanc ut deferant, unde trajiciet *in Græciam*.
Hec. Ne nunc ingrediatur tecum in eandem navim.
Me. Quid verò eſt? Nũ habet majus pondus *nunc*, quam ante habuit?
Hec. Non eſt amator, qui non ſemper amat.
Men. Ut obliviſcatur mens rerum amatarum,
Fient jam quæ petis; navem enim *hæc* non ingredietur,
In quam nos: haud enim male mones.
Ubi verò Argos venerit, ut digna eſt, male
Mala morietur, « & mulieribus, ut pudicæ ſint,
« Omnibus *exemplum* proponet. facile quidem hoc non *eſt*:
Sed tamen hujus mors in metum conjiciet
Stultitiam ipſarum, licet *hic mulieres* longè ſint pejores.

ANTISTROPHICA.

Strophe 1.

1 Sic igitur in Ilio *conditum*
2 Templum, & odoriferam aram
3 Prodidiſti Græcis,
4 O Jupiter, & ſacrificiorum flammam,
5 Et myrrhæ ætheream fumum
6 Et Pergamon, *Trojámque* ſacram,
7 Et Idæos, Idæos hederam-ferentes ſaltus,
8 Rigatos nive fluviali,

V. 1026. Κρᾶτ᾽ ἀπεσκυθισμένην) ἀποξυρήσασαν κουρὰν, τὸ ἀποτεμεῖν τὸ ἐπὶ κεφαλῆς δέρμα σὺν θριξί· κατὰ χρῆσιν δὲ τὸ ἀποκεῖραι. *Phavorinus.* Hinc *Cœlius Rhodiginus* Lectio. Antiqu. l. 18. c. 24. "Ab "hiſce (i. e. *Scythis*) "porro Ἀποσκυθισμὸν "dicimus, *viz.* Cutis "in Capite cum capil"lis abſciſſionem, lu"dibrii causâ; Quod "illis quandoque Ca"lamitatum magnitu"dine contigiſſe, ani"madvertimus. De raſis autem Capitibus in Luctu vid. *Johann. Kirchmanni* de Funer. *Roman.* l. 2. c. 14. *J. Barnes.* V. 1035. Τὸ θῆλυ τοῦτό τ᾽, εὐγενὴς ἐχθροῖς φανείς) Cùm priùs legeretur Τὸ θῆλύ τ᾽ εὐγενὲς, magno erat hic Verſus in periculo; quod *Canterus* tamen neglexit. *Brodæus* legebat καὶ πρὸς τὸ θῆλύ τ᾽, nihili autem hæc lectio erat; *Scaliger* nequaquam ſolitâ felicitate uſus τὸ θηλυτότες. At *Hen. Stephanus* Τὸ θῆλυ τοῦτό τ᾽, quam & Nos lectionem probamus, & in textum admiſimus, vel enim *Emphaticè* pro *Helenâ* ponitur, quæ prodigioſo quodam fato ad Mortalium animos emolliendos & faſcinandos nata videbatur; vel pro *Effœminato Menelai* animo, quod potiùs credo, ſumitur. De quâ re videſis *H. Stephanum* prædictum. *Joſua Barnes.* V. 1039. Λόγοις ἀνεῖται) Ἀνέται, κατὰ μετάθεσιν, καὶ ζυναίρεσιν, ἀνεῖται. Ita *Æmil. Portus.* Nos autem *Perfecti* Temporis Paſſivi ſtatuimus, εἷμαι, εἷσαι, εἷται. *J. Barnes.* V. 1052. Ὅπως ἂν ἐκβῇ) Rectè hinc *Menelai* Perſona incipit, licet aliis aliter viſum. *Hecuba* enim dicit, *Nullum eſſe Amatorem, qui non ſemper Amet*, vel *in Amorem labi denuò ſit proclivis*: Menelaus igitur, ſubolfaciens rem dicit, Igitur tu hortaris, ne eandem mecum ſcandat Navem, Nimirum, *ut rei amatæ Mens* obliviſcatur. Multò minùs ego *Cantero* aſſentio, qui utramque hic Perſonam tolli vult. *Joſua Barnes.* V. 1063. Πελάνων) Grammaticis Κυρίως πέλανος τὸ λεπτὸν πέμμα, ὃ χέουσι πρὸς τὰς θυσίας. Ἔνιοι δέ φασι, καὶ πᾶν ἐξ ὑγροῦ πεπηγμένον, οἷον τὸ παλάθιον. *Pauſan.* in *Arcad.* fol. 237. lin. 17. Πέμματα δὲ ἐπιχώρια ἐπὶ τοῦ βωμοῦ καθήγισεν, ἃ πελάνους καλοῦσιν ἔτι καὶ ἐς ἡμᾶς Ἀθηναῖοι. *Johannes Brodæus.* V. 1065. Πέργαμον ἱερὰν) Arcem in quâ conſtructa erant *Jovis* & *Minervæ* Templa. *Idem.* Vid. quæ Nos ad *Iphig. Aul.* v. 773. *Joſua Barnes.*

9 Τέρμονά τε πρωτόβολον ἁλίῳ,	9 Et verticem, qui primùm feritur à sole;
10 Τὰν καταλαμπομέναν	10 Et celitùs illuminatam
11 Ζαθέαν θεράπναν.	11 Divinum sacerdotem?
Ἀντιστροφὴ α'.	Antistrophe 1.
1 Φροῦδαί σοι θυσίαι, χορῶν	1 Abierunt tibi sacrificia, & chororum
2 Τ' εὔφημοι κέλαδοι κατ' ὄρφναν,	2 Strepitus concinni per noctem,
3 [Σεμναί τ' ὀλολυγαί·]	3 [Et venerandæ ululationes;]
4 Χρυσέων τε ξοάνων τύποι,	4 Et aureorum ſimulachrorum figuræ,
5 Φρυγῶν τε ζάθεοι σελᾶναι,	5 Et Phrygum divinæ lunæ,
6 Συνδώδεκα πλήθει.	6 Duodecim-omnino numero.
7 Μέλει, μέλει μοι, τάδ' εἰ φρονεῖς ἄναξ,	7 Curæ eſt, curæ eſt mihi hoc, an hæc animadvertas, ô Rex,
8 Οὐράνιον ἕδρανον ἐπιβεβώς,	8 Cæleſtem ſedem perambulans,
9 Αἰθέρα τε, πόλεως ὀλομένας,	9 Ætheremque, Trojanâ urbe pereunte,
10 Ἂν πυρὸς αἰθομένα	10 Quam conflagrantem flammæ
11 Κατέλυσε τις ὁρμά.	11 Ingens impetus abſumpſit.
Στροφὴ β'.	Strophe 2.
1 Ὦ φίλος, ὦ πόσι μοι,	1 O chare, ô marite mi,
2 Σὺ μὲν φθίμενος, ἀλαίνεις	2 Tu quidem mortuus erras
3 Ἄθαπτος, ἄνυδρος.	3 Inſepultus, ſine aquâ luſtrali:
4 Ἐμὲ δὲ πόντιον σκάφος	4 Me verò marina navis
5 * Ἀΐσσον πτεροῖσι πορεύσει (* al. ἀΐσσων)	5 Ruens remis trajiciet
6 Ἱππόβοτον Ἄργος, ἵνα τείχεα	6 Equis alendis aptum Argos ubi muri
7 Λάϊνα, Κυκλώπει', οὐράνια νέμονται.	7 Lapidei, Cyclopei, altiſſimi incoluntur.
8 Τέκνων δὲ πλῆθος ἐν πύλαις	8 Liberorum verò multitudo ad portas
9 Δάκρυσι κατάορα στένει.	9 Lacrymans ætate-immatura gemit.
10 Βοᾷ, βοᾷ, μᾶτερ. ὤ μοι.	10 Clamat, clamat, mater. Hei mihi
11 Μόναν δή μ' Ἀχαιοὶ	11 Solam jam me Achivi
12 Κομίζουσι σέθεν ἀπ' ὀμμάτων,	12 Avehunt à tuis oculis
13 Κυανέαν ἐπὶ ναῦν	13 Cæruleâ in navi,
14 Εἰναλίαισι πλάταις	14 Marinis remis;
15 Ἢ Σαλαμῖν' ἱεράν,	15 Aut in Salaminem ſacram,
16 Ἢ δίπορον κορυφὰν,	16 Aut in bimarem verticem
17 Ἴσθμιον, ἔνθα πύλας	17 Iſthmi, ubi in portis
18 Πέλοπος ἔχουσιν ἕδρας.	18 Pelopis ſunt ſedes.

V. 1068. Τέρμονα) De hoc Verbo *Euripidi* ferè proprio, vide quæ Nos ad *Phœniſſ.* v. 1361. V. 1070. Ζαθέαν θεράπναν) Ita *Aldi* Editio & ita Verſûs ratio poſtulat, qui reſpondet huic ultimo *Antiſtrophæ* Κατέλυσέ τις ὁρμά. Quare quanquam non diffiteamur θέραπναν aliquando poni pro θεράπαιναν & Veterum Codicum fidei plurimum tribuo; nihil hic video, cur contra Editionis optimæ fidem θέραπναν legamus, cùm per Verſum ea Lectio ſtare nequeat. De *Therapnâ* loci nomine, vid. quæ Nos ſupra v. 211. *Joſua Barnes.* V. 1073. Σεμναί τ' ὀλολυγαί) Hunc Verſum, cùm nihil aliud ſubſidii adeſſet, ex conjecturâ addidi, nec, ut puto, infelici. Imprimis autem exactè reſpondet pari ſuo *Strophæ* 3tio προὔδωκας Ἀχαιοῖς. Tum ſane de Verbo ſacro ὀλολυγαὶ nemo unquam poteſt dubitare, qui *Heſychium* adierit ---Ὀλολυγὴ, φωνὴ γυναικῶν. ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι, quæque nos ſupra retulimus ad *Iphig.* Taur. v. 1337. Epitheton autem σεμναὶ reſtringit uſum & ſenſum verbi ad res ſacras. Non tamen quantumvis felix ſit conjectura, in textum ſine Uncinorum notis admittere ſuſtinui; at certè ſi lacunam quoquomodo explere conatus ſum, condonabit Candidus Lector, illius ſtudioſo animo hanc audaciam. *Joſua Barnes.* V. 1075. Ζάθεοι σελᾶναι) Neomeniarum Feſta, quæ primo quoque Menſis die celebravit Antiquitas *Pindari* Schol. Αἱ τῶν μηνῶν ἀρχαὶ, ἱεραί εἰσι τοῦ Ἀπόλλωνος. *Johannes Brodæus.* V. 1076. Συνδώδεκα) Sic ξυνεείκοσι, ζυνδύο, ζυνεξεις &c. *Hom.* Nam ſi disjunctim legas, nihil facis. *J. Barnes.* V. 1082. Ὦ πόσι μοι) pro μου. Vid. quæ Nos ad *Iphig.* Tauric. v. 870. Sic *Hom.* Odyſſ. β. v. 50. Μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ. V. 1083. Ἀλαίνεις) Secus inferorum ripas Animæ vagantur, quorum Corpora ſepultura carebant. De quâ re vid. *Virgilii* Interpretes ad Æn. l. 4. v. 620. *Sed cadat ante Diem mediâque inhumatus arenâ.* Et Æn. l. 6. v. 881. *Nudus in ignota Palinure jacebis arenâ.* Idem, Æn. l. 6. ad v. 370. &c. *Joſua Barnes* V. 1084. Ἄθαπτος, ἄνυδρος) Sepulturâ carens, & aquâ luſtrali, quâ lota corpora componebantur. Vid. *Johannis Kirchmanni* de Funerib. *Roman.* l. 1. c. 7. *Joſua Barnes.* V. 1086. Ἀΐσσον πτεροῖσι πορεύσει) πτεροῖς, *Remis.* Homer. Odyſſ. λ. v. 124. Οὐδ' εὐήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται. *Euſtath.* Πτερὰ δὲ νηὸς τὰς κώπας λέγει, κρεῖττον ἤπερ ὁ Λυκόφρων τὰ ἱστία. εἰσὶ γὰρ καὶ τάχους αἴτια τῇ νηῒ καὶ τὰ ἱστία, μηδὲ καὶ αἱ κῶπαι· ἀλλὰ τὸ σχῆμα τῶν πτερῶν μᾶλλον αἱ κῶπαι σώζουσιν, ἤπερ τὰ λαίφεα. *Johannes Brodæus* notavit. Vid. quæ Nos ad *Iphig.* Tauric. v. 289. & v. 1346. *Joſua Barnes.* V. 1088 Κυκλώπεια) Vid. de hâc re *Iphig.* Aul. v. 152. & v. 1501. & *Iphig.* Taur. v. 844. V. 1096. Ἢ Σαλαμῖν' ἱεράν) Inſulæ ferè omnes Sacræ Veteribus ſunt habitæ. Hinc *Hom.* Iliad. β. v. 626. Ἐχινάων θ' ἱεράων Νήσων. Et *Q. Calaber* l. 1. Καὶ οἳ Δῖον ἔχοντο θεουδέα νῆσον ἀπόλοντο. Sic *Pindar.* Pyth. *Od. IV. Stroph.* 1. Ἱερὰν νᾶσον ὡς ἤδη λιπών, in quem locum vid. *Scholiaſten.* *Salamis* autem *Dianæ* Templo Veneranda erat, ut *Pauſanias* Attic. fol. 34. lin. 30. Vid. *Cœl. Rhodig.* Lection. Antiq. l. 12. c. 12. *Joſua Barnes.* V. 1097. Ἢ δίπορον κορυφὰν Ἴσθμιον) Aut *Bimarem Verticem*, nempe *Acrocorinthum*; ubi ſedes *Pelopis*, id eſt, *Peloponneſus* in Anguſtiis ſuis (πύλας vocat) habet Certamen *Iſthmicum.* Vid. *Plinium* l. 4. c. 4. Et Reverendiſſimi Archiepiſcopi *Cantuarienſis*, Domini *Gulielmi Sandcroft*, Summi Collegii noſtri *Emmanuelis* Ornamenti, *Concionem ad Clerum* in hunc locum D. *Pauli* ad *Corinthios* 2 Epiſt. c. 2. v. 16. Καὶ πρὸς ταῦτα τίς ἱκανός; In principio. Quam Doctiſſimam & Eloquentiſſimam Concionem M. S. penes nos habemus. Δίπορον) Διθάλασσος, *Horat.* l. 1. Od. 7. & *Ovid.* Faſtor. l. 4. *bimarem Corinthum vocant.* Ἴσθμιον) Vide Lexicographos & *Fungerum* in *Iſthmus.* *Joſua Barnes.*

Ἀντι-

Ἀντιστροφὴ β΄.

Εἴθ' ἀκάτου μελέας
Μέσον πέλαγος ἰούσας,
Δίπαλτον ἱερὸν
Ἀνὰ μέσον πλάταν πέσοι
Αἰγαίου κεραυνοφαὲς πῦρ,
Ἰλιόθεν ὅτι με πολύδακρυν
Ἑλλάδι λάτρευμα γᾶθεν ἐξορίζει.
Χρύσεα δ' ἔνοπτρα παρθένων
Χάριτας ἔχουσα τυγχάνει
Διὸς κόρα· μηδὲ γαῖαν
Ποτ' ἔλθοι Λάκαιναν,
Πατρῷόν τε θάλαμον ἑστίας,
Μηδὲ πόλιν Πιτάνας,
Χαλκόπυλόν τε θεᾶς,
Δύσγαμον αἶσχος * ἑλὼν
Ἑλλάδι τᾷ μεγάλᾳ,
Ταῖς Σιμοεντίσι τ' αὖ
Μέλεα πάθεα Τρωῆσιν.

* an ἑλῶν.

Ἀνάπαιστοι.

Ἰὼ, ἰώ· καιναὶ καινῶν μεταβάλλουσαι
Χθονὶ συντυχίαι. λεύσσετε Τρώων
Τόνδ' Ἀστυάνακτ' ἄλοχοι μέλεαι
Νεκρὸν, ὃν πύργων δίσκημα πικρὸν
Δαναοὶ κτείναντες ἔχουσιν.

Antiſtrophe 2.

Utinam miſeræ navi
Per medium pelagus euntis,
Bifidum, & ſacer
In mediam carinam incidat;
Ægæo *in mari*, fulmine micanti vibratus ignis,
Ex Ilio quia me multum lacrymantem
Ancillam Græciæ ex patriâ effert.
Aurea verò ſpecula, virginum
Delicias habet
Jovis filia *Helena*: Utinam verò nunquam *in* terram
Perveniat Lacænam,
Nec *in* patrium thalamum Laris,
Nec *in* urbem Pitanes,
Nec *ad* æreis portis munitam Deæ *Palladis urbem*,
Dedecus ex infauſtis nuptiis manans quia conflavit
Græciæ magnæ:
Simoentiis verò, *i.e. ad Simoentem olim habitantibus*,
Miſeras clades Trojanis *mulieribus attulit*.

Io, io! novi cùm novis commutati
Patriæ caſus. Videte Trojanorum
Miſeræ conjuges, hunc Aſtyanacta
Mortuum, quem jactu triſti de turribus
Interfecerunt Græci.

V. 1102. Δίπαλτον ἱερὸν κεραυνοφαὲς πῦρ) Κεραυνὸς, πῦρ δίπαλτον dicitur, quod duabus manibus excuſſum ſit, vel quod vi maximâ, vel ob coruſcationem in Fulgetris. Vid. quæ Nos ad *Iphig.* Taur. v. 323. ἱερὸν dicitur vel quod à *Jove* fiat, vel ob Eminentiam, ut ἱερὸς ἰχθὺς *Hom.* vid. *Cæl. Rhodigin.* l. 12. c. 12. V. 1104. Αἰγαίου) Alii *Ægeum* mare hic intelligunt, *Syntaxi* certè impeditâ. Quid ſi Αἰγαίου hic pro Αἰγιόχου accipiamus, tum omnis difficultas tollitur, *Jovem* enim ſonat; & ad Αἰγίδας procellas referri poteſt. Certe μέσον ego ad πλάταν referendum puto, non ad Αἰγαίου: ſed nec diffitendum, nullibi *Jovem* Αἰγαῖον me vocatum offendiſſe, ſed *Neptunum*: Quare nihil ſtatuo. *Joſua Barnes.* V. 1112. Μηδὲ πόλιν Πιτάνας) Ita rectè *Aldi* Editio; quum aliæ Editiones Πιτάνης legunt. Et hæc *Pitane* eſt oppidum *Laconiæ* Mediter. ad *Eurotam* fluvium. De quâ *Pauſanias* fol. 98. lin. 37. Eſt & alia *Pitane* Urbs *Æolidis*, de quâ *Stephanus* περὶ πόλεων. Eſt & Tertia ejuſdem Nominis Urbs *Macedoniæ* maritima: in orâ Orientali. *J. Barnes.* V. 1113. Χαλκόπυλόν τε θεᾶς) Neque in Templum *Minervæ*, quæ χαλκίοικος à *Lacedæmoniis* nuncupatur: De quâ re infra. *Joh. Brodæus.*

ARGUMENTUM *Actûs* Quinti.

Talthybius *extinctum* Aſtyanacta *ad* Hecubam *ſepeliendam portat*; Andromachâ *jamjam à* Pyrrho *aſportatâ.* Hecuba *acerbiſſimo luctu exanimem Nepotem, ſpem* Trojæ *acciſam, plorat.* Talthybius Agamemnonis *juſſu Manipulorum Ductoribus dat in Mandatis, ut Urbem* Trojam *incendio ſimul impleant. Hinc extremis lamentis, veluti parentatione quâdam ruentis* Trojæ, Hecuba *&* Chorus *Captivarum* Trojanarumq; *jam Navibus abducendæ, defunctæ à* Talthybio *ad Portum deducuntur.*

ΤΑΛΘΥΒΙΟΣ, ΕΚΑΒΗ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Ταλ. Ἑκάβη, νεὼς μὲν πίτυλος εἷς λελειμμένος,
Λάφυρα τἀπίλοιπ' Ἀχιλλείου τάφου
Μέλλει πρὸς ἀκτὰς ναυστολεῖν Φθιώτιδας.
Αὐτὸς δ' ἀνῆκται Νεοπτόλεμος, καινάς τινας
Πηλέως ἀκούσας συμφορὰς, ὥς νιν χθονὸς
Ἄκαστος ἐκβέβληκεν ὁ Πελίου γόνος.
Οὗ θᾶσσον οὕνεκ', ἢ χάριν μονῆς ἔχων,
Φροῦδος, μετ' αὐτοῦ τ' Ἀνδρομάχη πολλῶν ἐμοὶ

Tal. O Hecuba, navis quidem curſus unus *adhuc* reliq.
Reliqua ſpolia Achillei ſepulchri;
Eſt delaturus ad littora Phthiotica.
Ipſe verò Neoptolemus deceſſit, novas quaſdam
Calamitates Pelei cùm audiviſſet, quòd ipſum ex patriâ
Ejecerit Acaſtus Peliæ filius.
Cujus causâ citius, quàm ut moræ diutius indulgeret,
Diſceſſit: & cum ipſo Andromache, quæ multarum mihi

V. 1123. Πίτυλος εἷς) *Unica pars Claſſis*, in hoc loco. Vid. de voce πίτυλος *Iphig.* Taur. v. 307. V. 1128. Ἄκαστος ἐκβέβληκεν ὁ Πελίου γόνος) *Acaſtus Peliæ* f. is *Neptuni* vel *Salmonei*, qui *Dori*, qui *Deucalionis*. De hâc Hiſtoriâ alii aliter, quùm enim Poeta noſter hic aſſerat *Peleum* ſenio oppreſſum ab *Acaſto Peliæ* filio regno exutum; *Apollodorus* aliique affirmant longè antehac ipſum *Acaſtum* cum Uxore quæ *Peleum* falsò adulterii accuſaſſet, à *Peleo* obtruncatum. Vid. *Apollodori* Biblioth. l. 3. c. 12. & *Troica* Poemata &c. *Joſua Barnes.*

Δακρύων

Δακρύων ἀγωγός, ἡνίκ' ἐξώρμα χθονός,
Πάτραν ἀναστένουσα, καὶ τὸν Ἕκτορος
Τύμβον προσεννέπουσα· καί σφ' ᾐτήσατο
Θάψαι νεκρὸν τόνδ', ὃς πεσὼν ἐκ τειχέων
Ψυχὴν ἀφῆκεν, Ἕκτορος τοῦ σοῦ γόνος,
Φόβον τ' Ἀχαιῶν χαλκόνωτον ἀσπίδα
Τήνδ', ἣν πατὴρ τοῦδ' ἀμφὶ πλευρ' ἐβάλλετο,
Μή νιν πορεῦσαι Πηλέως ἐφ' ἑστίαν,
Μηδ' εἰς τὸν αὐτὸν θάλαμον, οὗ νυμφεύσεται
Μήτηρ νεκροῦ τοῦδ' Ἀνδρομάχη λύπας ὁρᾶν,
Ἀλλ' ἀντὶ κέδρου, περιβόλων τε λαΐνων,
Ἐν τῇδε θάψαι παῖδα· σὰς δ' ἐς ὠλένας
Δοῦναι, πέπλοισιν ὡς περιστείλῃς νεκρὸν,
Στεφάνοις θ', ὅση σοι δύναμις, ὡς ἔχει τὰ σά·
Ἐπεὶ βέβηκε· καὶ τὸ δεσπότου τάχος
Ἀφείλετ' αὐτὴν παῖδα μὴ δοῦναι τάφῳ.
Ἡμεῖς μὲν οὖν, ὅταν σὺ κοσμήσῃς νέκυν,
Γῆν τῷδ' ἐπαμπίσχοντες, ἀροῦμεν δόρυ.
Σὺ δ' ὡς τάχιστα πρᾶσσε τἀπεσταλμένα.
Ἑνὸς μὲν οὖν μόχθου σ' ἀπαλλάξας ἔχω·
Σκαμανδρίους γὰρ τάσδε διαπερῶν ῥοὰς,
Ἔλουσα νεκρὸν, κἀπένιψα τραύματα.
Ἀλλ' εἶμ' ὀρυκτὸν τῷδ' ἀναρρήξων τάφον,
Ὡς σύντομ' ἡμῖν τἀπ' ἐμοῦ τε, κἀπὸ σοῦ
Εἰς ἓν ξυνελθόντ', οἴκαδ' ὁρμίσῃ πλάτην.
Εκ. Θέσθ' ἀμφίτορνον ἀσπίδ' Ἕκτορος πέδῳ,
Λυπρὸν θέαμα, κοὐ φίλον λεύσσειν ἐμοί.
Ὦ μείζον' ὄγκον δορὸς ἔχοντες, ἢ φρενῶν,
Τί τόνδ', Ἀχαιοί, παῖδα δείσαντες, φόνον
Καινὸν διειργάσασθε; μὴ Τροίαν ποτὲ
Πεσοῦσαν ὀρθώσειεν; οὐδὲν ἦτ' ἄρα,
Ὅθ' Ἕκτορος μὲν εὐτυχοῦντος εἰς δόρυ
Διωλλύμεσθα, μυρίας τ' ἄλλης χερός.
Πόλεως δ' ἁλούσης, καὶ Φρυγῶν ἐφθαρμένων,
Βρέφος τοσόνδ' ἐδείσατ'; οὐκ αἰνῶ φόβον,
Ὅστις φοβεῖται, μὴ διεξελθὼν λόγῳ.
Ὦ φίλταθ', ὥς σοι θάνατος ἦλθε δυστυχής.
Εἰ μὲν γὰρ ἔθανες πρὸ πόλεως ἥβης τυχὼν,
Γάμων τε καὶ τῆς ἰσοθέου τυραννίδος,
Μακάριος ἦσθ' ἄν, εἴ τι τῶνδε μακάριον.
Νῦν αὖ τ' ἰδὼν μὲν, γνούς τε σῇ ψυχῇ, τέκνον,
Οὐκ οἶσθ'· ἐχρήσω δ' οὐδὲν ἐν δόμοις ἔχων.
Δύστηνε κρατὸς, ὥς σ' ἔκειρεν ἀθλίως
Τείχη πατρῷα Λοξίου πυργώματα.
Ὃν πόλλ' ἐκήπευσ' ἡ τεκοῦσα βόστρυχον,
Φιλήμασίν τ' ἔδωκεν, ἔνθεν ἐκγελᾷ,
Ὀστέων ῥαγέντων, φόνος, ἵν' αἰσχρὰ μὴ λέγω.
Ὦ χεῖρες, ὡς εἰκοὺς μὲν ἡδείας πατρὸς

Lacrymarum cauſa *fuit*, quandò diſcedebat ex terrâ,
Patriam lugens, & Hectoris
Tumulum alloquens. Et *hæc te* rogavit,
Ut ſepelias hunc mortuum, qui lapſus ex muris
Amiſit animam, filius cui Hectoris:
Et *ſimul ſepelias* clypeum æneum, qui fuit terror Achivorum,
Hunc, quem pater hujus circa latera jacere ſolebat,
Ne hunc ferat in Pelei domum,
Nec in eundem thalamum, ubi nuptias celebrabit
Mater huj. mortui Andrõ. *ut ſpect. clypeũ* dolores videre cogatur;
Sed pro cedrino feretro, & pro ſaxeo monumento
Sepelias puerum in *hoc clypeo*, & in tua brachia
Juſſit me dare, ut adornes cadaver peplis,
Et ornes coronis, quantum potes, ut tua tunc fert fortuna:
Nam ipſa *mater* abiit: feſtinatio enim domini
Eripuit ipſi poteſtatem filii ſepulchro mandandi.
Nos igitur, dum tu adornas cadaver,
Terram huic interea circumſcribentes, eruemus haſtâ.
Tu igitur quàm celerrimè fac mandata.
Ab uno tamen labore te liberavi:
Scamandri enim hæc tranſiens fluenta,
Lavi cadaver, & ablui vulnera.
Sed vado cavum huic facturus ſepulchrum,
Ut confeſtim nobis meáque tuáque *opera*
In unum concurr. *i.e. ut operæ noſtræ conjunctæ*, dom. appell. nav.
Hec. Deponite undique tornatum Hectoris clypeum *in* ſolo,
Triſte ſpectaculum, & non gratum aſpectu mihi.
O qui majorem armorum, quàm mentis faſtum habetis,
Quid hunc Achivi puerum metuentes, cædem
Novam patrâſtis? ne videlicet Trojam aliquando
Collapſam erigeret? nihil igitur eratis,
Cùm Hectore florente armis
Periimus, & cum adeſſent innumeri alii *ſocii*.
Nunc verò captâ urbe, & deletis Phrygibus,
Tantillum puerum timuiſtis? Non laudo metum,
Quiſquis metuitur, nõ penetrans *animum* ratione *i.e. temere*.
O chariſſime, ut tibi miſeranda mors ſupervenit!
Si enim jam adultus obiiſſes pro urbe, *patriâque tuâ*,
Nuptiáſque, & divinum imperium *adeptus*,
Beatus fuiſſes, ſi quid horum *dici poteſt* beatum.
Nunc *autem* hæc quidem licet videns; & ſciens animo tuo, fili,
Non expertus es: nihil autem verè potitus es, licet in ædib. habẽs.
Infelix caput, ut te afflixêrunt miſerè
Mœnia Patria, Apollinis ædificationes:
Quàm plurimùm excoluit mater cæſariem,
Et deoſculata eſt; inde erumpit
Cruor oſſibus confractis: ut turpia nè dicam.
O manus, ut imaginem quidem jucundam patris

V. 1133. Καί σφ' ᾐτήσατο) Poteſt legi καί σ' ᾐτήσατο, nec ullis objectionibus petetur hæc lectio, niſi fortè quod nullo exemplo nititur. Si ergo σφε legendum ut omnes Libri præ ſe apertè ferunt, tum ſanè, ut *Æmil. Portus* ait, σφὲ pro σὲ ponitur, quod minùs frequens eſt. Plerumque enim αὐτὸν vel αὐτὴν ſonat, ut *Nos plus Centies in hoc Opere obſervavimus.* An verò pro ὑμᾶς hic loci ſumendum, quia quanquam *Hecubam* alloquitur, etiam *Chorum* reſpicit, ſine quarum ope hæc non erant agenda? Quòd verò tertio ab hinc Verſu *Hecuban* in ſingulari alloquitur, id fit particulariori applicatione; ut in Congreſſibus hujuſmodi fieri ſolet. Sic σφὸς, σφέτερος & σφωΐτερος cum verbis Primæ & Secundæ Perſonæ, ſonant *Meus*, & *Tuus* & in Plurali *Veſter.* Joſua Barnes. V. 1141. Ἀλλ' ἀντὶ κέδρου, περιβόλων τε λαΐνων) De *Cedro* in Funeribus Vid. *Joh. Kirchmanni* de Funerib. *Roman.* l. 1. c. 8. De *Sepulchrorum* autem *Sepimentis*, ſive περιβόλων, ejuſdem l. 3. c. 17. *Joſua Barnes.* V. 1152. Ἔλουσα νεκρὸν) De Mortuorũ lotione vid. *Phœniſ.* v. 1661. V. 1172. Οὐκ οἶσθ') Ita *Aldi* Editio; de ſenſu adeas Verſionem à nobis emẽdatã. Cùm antehàc ἐχρήσω pro *interfectus es* cupiebatur, & νῦς aderat νῦν οὐκ ἔχων. *Joſ. Barnes.* V. 1174. Τείχη πατρῷα) Forſan τὰ Τρῷα· Τρῷος enim pro Τρωϊκὸς, *Hom.* Iliad. Ψ. v. 291. Ἵππους δὲ Τρῷας ὕπαγε ζυγόν. Poſſunt etiam dici πατρῷα, quòd *Paterna*, ſive potiùs *Patria*, erant, à Patribus illius regnata. Quin *Athenæus* retinet πατρῷα l. 2. c. 25. Quare nihil muto. *Joſua Barnes.* V. 1175. Ἐκήπευσ') ἐκήπευσε, more horti excoluit. V. 1176. Ἔνθεν ἐκγελᾷ ὀστέων ῥαγέντων φόνος, ἵν' αἰσχρὰ μὴ λέγω) *Athenæus* Δειπνοσοφιστῶν β. loquens de Capite & Cerebro, quod Sacra eſſent, ut ſenſuum & Mentis Domicilium, dicit à Veteribus id cautum eſſe ὀνομαστὶ χρῆσθαι, ut de *Sparſo cerebro* non apertè loquerentur; quare & *Sophocles* vocabat *Cerebrum* λευκὸν μυελὸν & *Euripides* hoc in loco dicit εὐφημοτέρως, φόνον ἐκγελᾷν, non ἐγκέφαλον

κέφαλον ὀστέων. Ideoque addidit, ἵν᾽ αἰσχρὰ μὴ λέγω. Quem locum Brodæus non capiens, putat hos Poetam ita loqui ab Apollodoro æſtimatos, quod vox ἐγκέφαλον iis haud ſit nota, cùm & Euripidi & ipſi Homero ſit uſurpata. Nec tamen Virgilius id effari ſueverit. Æn. l. 8. v. 793. Collapſos Artus atque arma cruenta cerebro ſternit humi morientem.

Κέκτησθ᾽ ἐν ἄρθροις, ἔκλυτοι πρόκεισθέ μοι.
Ὦ πολλὰ κόμπους ἐκβαλὸν φίλον στόμα,
Ὄλωλας, ἐψεύσω μ᾽, ὅτ᾽ εἰσπίτνων πέπλους,
Ὦ μῆτερ, ηὔδας, ἦ πολύν σοι βοστρύχων
Πλόκαμον κεροῦμαι, πρὸς τάφον θ᾽ ὁμηλίκων
Κώμους ἀπάξω, φίλα διδοὺς προσφθέγματα.
Σὺ δ᾽ οὐκ ἔμ᾽, ἀλλ᾽ ἐγώ σε τὸν νεώτερον,
Γραῦς, ἄπολις, ἄτεκνος, ἄθλιον θάπτω νεκρόν.
Οἴμοι· τὰ πόλλ᾽ ἀσπάσμαθ᾽, αἵ τ᾽ ἐμαὶ τροφαί,
Ὕπνοι τ᾽ ἐκεῖνοι, φροῦδά μοι. τί καί ποτε
Γράψειεν ἄν σε μουσοποιὸς ἐν τάφῳ;
Τὸν παῖδα τόνδ᾽ ἔκτειναν Ἀργεῖοί ποτε
Δείσαντες; αἰσχρὸν τοὐπίγραμμα *ἐν Ἑλλάδι.
Ἀλλ᾽, ὦ πατρῴων οὐ λαχὼν, ἕξεις ὅμως
Ἐν ᾗ ταφήσῃ χαλκόνωτον ἰτέαν.
Ὦ καλλίπηχυν Ἕκτορος βραχίονα
Σώζουσ᾽, ἄριστον φύλακ᾽ ἀπώλεσας σέθεν.
Ὡς ἡδὺς ἐν πόρπακι *σὸς κεῖται τύπος,
Ἴτυός τ᾽ ἐν εὐτόρνοισι περιδρόμοις ἱδρὼς,
Ὃν ἐκ μετώπου πολλάκις, πόνους ἔχων,
Ἔσταζεν Ἕκτωρ, προστιθεὶς γενειάδι.
Φέρετε, κομίζετ᾽ ἀθλίῳ κόσμον νεκρῷ
Ἐκ τῶν παρόντων· οὐ γὰρ εἰς κάλλος τύχας
Δαίμων δίδωσιν· ὧν δ᾽ ἔχω, λήψῃ τάδε.
“ Θνητῶν δὲ μῶρος, ὅστις εὖ πράσσειν δοκῶν,
“ Ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ᾽ ἄλλοσε
“ Βέβαια χαίρει· τοῖς τρόποις γὰρ αἱ τύχαι
“ Πηδῶσι, κοὐδεὶς αὐτὸς εὐτυχεῖ ποτε.
Χο. Καὶ μὴν πρὸ χειρῶν *αἵδε σοι σκυλευμάτων
Φρυγίων φέρουσι κόσμον ἐξάπτειν νεκρῷ.
Εκ. Ὦ τέκνον, οὐχ ἵπποισι νικήσαντά σε,
Οὐδ᾽ ἥλικας τόξοισιν, οὓς Φρύγες νόμους
Τιμῶσιν, οὐκ εἰς πλησμονὰς θηρώμενον,
Μήτηρ πατρός σοι προστίθησ᾽ ἀγάλματα,
Τῶν σῶν ποτ᾽ ὄντων, νῦν δέ σ᾽ ἡ θεοστυγὴς

* Ισ. ἄτ.

* an σῶς, vel σῷ.

Habetis in articulis, jacetis jam diſſolutæ ante me.
O gratum os, ſæpe multa jactare ſolitum,
Periiſti. feſelliſti me, quando irruens in meas veſtes,
O mater, dicebas. Certè multam tibi cincinnorum
Cæſariem abſcindam, & ad ſepulturam tuam æqualium
Cœtus adducam, dans tibi grata alloquia.
Tu verò non me, ſed ego te multò minorem,
Anus, exul, liberis orbata, ſepelio, miſerum cadaver.
Hei mihi, illa multa oſcula, & meæ nutricationes,
Et ſomni illi interrupti periêre mihi. Quid enim
Scribet de te Poeta in ſepulchro?
“ Hunc puerum interfecerunt Argivi olim,
“ Metuentes eum? turpe ſuerit epigramma hoc in Græciâ.
Sed, ô qui paternorum nihil nactus es hæreditate, habebis tamen
Æneum ſcutum; in quo ſepelieris.
O ſcutum, pulcherrimum Hectoris brachium
Quod olim ſervabas, optimum tui cuſtodem nunc amiſiſti.
Quàm dulcis in manubrio tuo jacet figura,
Umboniſque in bene tornato ambitu quàm dulcis ineſt ſudor,
Quem ex fronte ſæpe labores ſuſtinens,
Stillabat Hector, admovens genis.
Ferte, portate miſero cadaveri ſuum ornatum
Pro præſentium rerum ſtatu: Non enim ad decus fortunam
Dat Deus: ex iis verò quæ habeo, hæc accipe.
“ Stultus autem eſt inter homines, qui putat ſe eſſe beatum,
“ Furens veluti homo, huc & illuc
“ Firmiter indulget gaudio: Variationibus enim Fortuna
“ Saltat multis; nec ullus ſemper eſt felix.
Cho. Atqui præ manibus ſunt: iſtæ enim tibi ex ſpoliis
Phrygum adferunt ornatum, ut appendant cadaveri.
Hec. O fili, non equis vincentem te,
Neque æquales vincentem æquales arcu, quem Phryges morem
Colunt, non ad ſatietatem venantem,
Mater patris tui in te, inquam, accumulat ornamenta,
Ex tuis quondam facultatibus: quæ nunc te diis inviſa

V. 1180. Ἐκβαλὸν φίλον στόμα) Henricus Stephanus ait, ἐκβαλὸν ſcribendum eſſe manifeſtum, quàm occaſio notare debeam, potiùs ego mutationem perſonæ & generis ad mittendum, licet tamen dicat Poeta aliquitur, & illi eſſe πρὸς τὸ σημαινόμενον alioquin & ἐκβαλὼν legendum & Hecubæ eſſet Oris Mater, non Pueri; quod ineptum eſt. Joſua Barnes. V. 1188. Τί καί ποτε Γράψειεν ἄν σε μουσοποιὸς ἐν τάφῳ) Hic ipſe Euripides, dum quærentem introducit Hecubam, quali ſit Epitaphio ornandus infelix Puer, anſam mihi præbuit illud egregium moberculè Auſonii Epigramma adſcribendi, Aſtyanactis Epitaphium: Hos Aſtyanactis tantùm Gente ſuperſtes, Parvulus, Argivis ſed jam de parte timendus, Hic jaceo, Aſtyanax, Scæis dejectus ab altis. Proh Dolor! Iliaci, Neptunia mœnia, muri Viderunt aliquid crudelius Hectore tracto. J. Barnes. V. 1193. Χαλκόνωτον ἰτέαν) Quòd ἰτέα pro Haſta poni diximus ad Supplic. v. 695. id rectè diximus, quòd verò tum pro Clypeo quoque poni negavimus, & in hâc opinione deceptos Brodæum & Canterum ferebamus, id indictum volo. Euſtathius enim Hom. fol. 1239. lin. 60. ἐκ τῆς ἰτέας, ἣ εἶδός τι ἀσπίδος χαλκεύεται, conſtatur; & hic locus, ſi nullus alius (rarò enim ita ponitur) apertè de Hectoris Clypeo loquitur. Ἴτυς autem, ut ibidem diximus, ſæpiſſimè pro Clypeo ſumitur, cùm propriè Ambitus-alicujus-Rotundi-corporis-exponitur. Occurrit verò paulò infra viz. v. 1197. Joſua Barnes. V. 1196. Σὸς) Canterus σῶς, cui Portus aſſentit; [illegible] verò ego nequaquam poſſum. Hecuba enim [illegible] Hectoris βραχίονα, agnoſcit illius impreſſam quandam imaginem ſub Annulo Clypei, [illegible] enim πόρπαξ ſignificat, Euſtathio teſte, πόρπαξ, τὸ καὶ ὄχανον, ὃ δὴ τὸ ἐντὸς τῆς ἀσπίδος περίδεσμα, δι᾽ οὗ τὴν χεῖρα διείρει. J. Barnes. V. 1197. Ἴτυός τ᾽ εὐτόρνοισι &c.) Ἴτυς pro Clypeo vid. ad v. 1193. εὐτόρνοισι) vid. ſuprà v. 1156. Præterea eſt Ἴτυς proprium Nomen Philomelæ filii, ut Ariſtoph. Aves, Τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν. Joſ. Barnes. V. 1207. Καὶ μὴν πρὸ χειρῶν) Joſephus Scaliger legit, unico verbo, προχείρων, quod in textum admittendum ducerem, niſi punctum poſt χειρῶν ponentes, aliàs æquè commodum Senſum poſſemus elicere. Joſ. Barnes. V. 1209. Ὦ τέκνον &c.) Ex hoc Threno Curioſus Lector videbit, ſpecimen Antiquæ Neniæ, ſive Deplorationis Mortuorum. De quâ re, videſis Johan. Kirchmanni de Funerib. Romanor. l. 2. c. vi. Οὐχ ἵπποισι νικήσαντά σε, οὐδ᾽ ἥλικας τόξοισιν, οὓς Φρύγες νόμους τιμῶσιν) Hìc lubet obſervare, quòd Perſarum, ut & Medorum & Phrygum, mores magnam quandam inter ſe convenientiam habebant; quare ut Nos ſuprà ad v. 1081. De Adoratione Perſarum, quæ & Phrygibus erat communis; ita hìc notare debemus, quòd quos duos mores Phrygibus Poeta aſſignat, iiſdem Perſæ inſignes ſint habiti, nempe ἵπποις & τόξοις præ aliis excellere. Ut graphicè nos depinximus in Eſtherâ noſtrâ, & quidem illorum Artem-Equeſtrem attigimus ad v. 20. Περσῶν δ᾽ ἱππομάχων βασιλεὺς μέγας Ἀρταξέρξης. Præcipuè autem à v. 39. ad v. 61. Item jaculandi peritiam v. 29. Περσέων τε κρατερῶν καὶ Μήδων ἀγλαοτόξων. Unde, quod etiam obſervo in Præfatione iſtius Libri ad finem, Propertius l. 2. Eleg. 11. Non tot Achæmeniis armantur Suſa ſagittis, Spicula quot noſtro pectore fixit Amor. J. Barnes. V. 1211. Οὐκ εἰς πλησμονὰς θηρώμενον) Ita Scaliger pro θηρώμενος. In his enim Juvenes Principes ſe ferè

exercere

exercere ſolebant, in Haſtiludiis Equeſtribus, in Jaculando & Venationibus, quæ Cyro tantoperè placuerunt, ut Xenophon in Κυροπαιδείᾳ teſtatur; ſin ultima ſyllaba per οι ſcribatur, legendum admonerem [illegible]. Quanquam iſta Lectio nec æquè commoda eſt, & Syntaxi, quæ adhuc aliquantò impeditior videtur, magis incommoda. Hæc autem eſt Verborum Diſpoſitio, Ὦ τέκνον, οὐδὲ γὰρ ἵπποις σε νικήσαντα τῇ ἡλικίᾳ, οὐδὲ τόξοις, οὐδὲ θηρῶντα ἐγὼ ἡ Πάλαι σου μήτηρ προσ (ἤγουν σοι) τίθημι ἀγάλματα. De mutatâ aut impeditâ Syntaxi vid. Iphig. Taur. v. 695. Joſ. Barnes.

Ἀφείλεθ' Ἑλένη· πρὸς δὲ καὶ ψυχὴν σέθεν
Ἔκτεινε, καὶ πάντ' οἶκον ἐξαπώλεσεν.
Χο. Ἒ, ἒ· φρενῶν ἔθιγες, ἔθιγες,
Ὦ μέγας ἐμοί ποτ' ὢν ἀνάκτωρ πόλεως.
Εκ. Ἃ δ' ἐν γάμοις ἐχρῆν σε προσθέσθαι χροῒ,
Ἀσιατίδων γήμαντα τὴν ὑπερτάτην,
Φρύγια πέπλων ἀγάλματ' ἐξάπτω χροός.
Σύ τ', ὦ ποτ' οὖσα καλλίνικε μυρίων
Μῆτερ τροπαίων, Ἕκτορος φίλον σάκος,
Στεφανοῦ· θανῇ γὰρ, οὐ θανοῦσα, σὺν νεκρῷ.
Ἐπεί σε πολλῷ μᾶλλον, ἢ τὰ τοῦ σοφοῦ
Κακοῦ τ' Ὀδυσσέως ἄξιον τιμᾶν ὅπλα.
Χο. Αἶ, αἶ, αἶ, αἶ.
Πικρὸν ὄδυρμα γαῖά σ', ὦ τέκνον,
Δέξεται· στέναζε, μῆτερ.
Εκ. Αἶ, αἶ. Χο. νεκρῶν ἴακχον.
Εκ. Ἰώ μοι, μοι.
Χο. Οἴ μοι δῆτα σῶν ἀλάστων κακῶν.
Εκ. Τελαμῶσιν ἕλκη τὰ μὲν ἐγώ σ' ἰάσομαι,
Τλήμων ἰατρὸς ὄνομ' ἔχουσα, τἄργα δ' οὔ.
Τὰ δ' ἐν νεκροῖσι φροντιεῖ πατὴρ σέθεν.
Χο. Ἄρασσ' ἄρασσε χειρὶ κρᾶτα, πιτύλους
Διδοῦσα χειρός. ἰώ μοι, μοι.
Εκ. Ὦ φίλταται γυναῖκες.
Χο. Ἑκάβη σὰς ἔννεπε.
Τίνα θροεῖς αὐδάν;
Εκ. Οὐκ ἦν ἄρ' ἐν θεοῖσι, πλὴν οὑμοὶ πόνοι,
Τροία τε, πόλεων ἔκκριτον μισουμένη.
Μάτην δ' ἐβουθυτοῦμεν. εἰ δὲ μὴ θεὸς
Ἔστρεψ' ἄνωθεν περιβαλὼν κάτω χθονὸς,
Ἀφανεῖς ἂν ὄντες, οὐκ ἂν ὑμνηθεῖμεν ἂν
Μούσαις, ἀοιδὰς δόντες ὑστέροις βροτῶν.
Χωρεῖτε, θάπτετ' ἀθλίῳ τύμβον νεκρῷ.
Ἔχει γὰρ, οἷα δεῖ γε, νερτέρων στέφη.
" Δοκῶ δὲ τοῖς θανοῦσι διαφέρειν βραχὺ,
" Εἰ πλουσίων τις τεύξεται κτερισμάτων.
" Κενὸν δὲ γαύρωμ' ἐστὶ τῶν ζώντων τόδε.

Privavit Helena: præterea verò etiam tuam animam
Interfecit, & univerſam domum perdidit.
Cho. Heu, heu! tetigiſti, tetigiſti ipſas fibras animi,
O magnus olim mihi exiſtens *deſignatione* rex civitatis.
Hec. Quæ verò oportuit te induere corpori in nuptiis,
Ducentem nobiliſſimam Aſiaticarum,
Hæc ornamenta veſtium tuo nunc applico corpori.
Tu verò, quæ quondam fuiſti victorioſa plurimorum
Mater tropæorum (Hectoris charum ſcutum)
Coronator: morieris enim, non mortua, cū *hoc nepotis* cadavere.
Quia te multò magis *hoc filii ſcutum*, quàm aſtuti
Improbique Ulyſſis, æquum *eſt, ut decet*, honorare arma.
Cho. Heu, heu! æ, æ!
O fili, quàm triſti lamentatione terra
Excipiet te: lamentare, ô mater.
Hec. Heu, heu. *Cho.* Mortuorum lamentationem.
Hec. Heu mihi, mihi.
Cho. Heu igitur *ob* tua intolerabilia mala.
Hec. Ego quidem hæc tua vulnera faſciolis ligans curabo,
Infelix, medici nomē habens, ipſam verò rem ſucceſſumq; nō habens.
Cætera verò apud mortuos curabit pater tuus.
Cho. Tunde, tunde manu caput, planctum
Edens manu! hei mihi, mihi!
Hec. O chariſſimæ mulieres.
Cho. Hecuba tuas alloquere.
Quam vocem edis?
Hec. Non eſt igitur apud deos aliud niſi meæ miſeriæ,
Et Troja præ omnibus urbibus eſt inviſa.
Fruſtra igitur ſacrificavimus. ſi verò Deus non
Evertiſſet *nos* ſupernè demittens ſub terram,
Obſcuri exiſtentes non celebraremur
A Muſis, dantes carmina poſteris mortalium.
Diſcedite, facite tumulum miſero cadaveri.
Habet enim coronas, quemadmodum inferis convenit.
" Exiſtimo autem non multum intereſſe mortuorum,
" Si quis ſortiatur locupletes inferias:
" Hoc enim tantùm eſt inanis pompa viventium.

V. 1217. Ἐμοί ποτ' ὢν) ἐν τῇ προσδοκίᾳ Βασιλεύειν σε ἀνάκτορα μέγαν ὑπάρχων. *Joſua Barnes.* V. 1221. Σύ τ', ὦ ποτ' οὖσα &c.) Dormitabat, ut puto, *Joh. Brodæus*, quando ad hunc locum notabat, ſemet alloquitur *Hecuba*; ſicut & ſupra ad v. 1217. Ὦ μέγας notabat ὦ Ἕκτορ. Quùm ad ὦ μέγας, ὦ Ἀστυάναξ erat ſubaudiendum; hic verò *Hecuba* alloquitur ſcutum *Hectoris*, Ἕκτορος φίλον σάκος, καλλίνικον μυρίων μῆτερ τροπαίων. Sic v. 1223. θανῇ γὰρ, quod ille exponit de *Hecubâ*, *vel eo*, inquit, *nomine, quod adhuc vivat*, dicitur de *Clypeo*, θανῇ γὰρ, οὐ θανοῦσα, σὺν νεκρῷ, *morière enim*, hoc eſt ſepelieris, *licet non mortua*, quia nunquam vixiſti, *unà cum Mortuo* nepote. Τὸ θανοῦσα autem non ad σάκος, ſed ad μῆτερ, eſt referendum. Hoc in loco *Latinæ* Verſioni Medicas manus ut afferremus, neceſſe erat. *Joſ. Barnes.* V. 1223. Στεφανοῦ) Σὺ οὖν, ὦ Ἕκτορος σάκος, ὦ καλλίνικε μῆτερ τροπαίων, στεφανοῦ, καὶ ἀγάλλου, καὶ χαῖρε· ἰσότιμος γὰρ ἔσῃ τῷ Ἕκτορος παιδὶ, καὶ θανῇ, ἤγουν συνταφήσῃ αὐτῷ· ἀληθῶς γὰρ οὐκ ἔθανες, ὃ καὶ οὐδέποτ' ἔζης· ἀναίσθητος γὰρ ἀεὶ ἐτύγχανες. *Joſua Barnes.* V. 1224. Ἐπεί σε πολλῷ μᾶλλον, &c.) Τοιαύτην ἐγὼ σοι τιμὴν, ὦ φιλτάτη τῶν ἀσπίδων, ἀφθόνως ἤνεγκον, ὅπλον γὰρ πέφυκας τοῦ φιλαληθοῦς καὶ εὐγενεστάτου ἀνθρώπου Ἕκτορος· τοσοῦτον πολλῷ μᾶλλον ἐμοὶ τιμητέον φαίνῃ, ἢ τὰ ὅπλα τοῦ σοφοῦ καὶ κακοῦ, τοῦ ἀπατεῶνος καὶ πανούργου, Ὀδυσσέως. *J. Barnes.* V. 1232. Τελαμῶσιν ἕλκη τὰ μὲν ἐγώ σ' ἰάσομαι) Mos erat Veteribus Mortuorum corpora decentèr ad funus componere, & vulnera ſiqua erant lavare & faſciis ligare, etiam adhibitis medicamentis; adeò ut poſt effoſſis corporibus aliquando cicatrices obductæ fuerint. Dolet autem *Hecuba*, quòd quùm hoc εὐπρεπείας & amoris cauſâ Lacerato cadaveri medicorum more faciat, non tamen illorum ſucceſſum ſperare vel expectare poteſt, quis ἀπὸ τοῦ νεκρὸν ἰατρεύειν ſucceſſus? *J. Barnes.* V. 1242. Μάτην δ' ἐβουθυτοῦμεν) τοὺς βόας ἐπεθύομεν. Huc pertinet illud Pſal. 73. v. 13. Καὶ εἶπα, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου. *J. Barnes.* V. 1244. Ὄντες) Pro ὄντας, vid. *Alceſt.* v. 385. V. 1246. Θάπτετ' ἀθλίῳ τύμβον νεκρῷ) Si vera ſit Lectio, eſt *Enallage* Caſûs, pro θάπτετ' ἄθλιον τύμβῳ νεκρόν. *J. Barnes.* V. 1248. Δοκῶ δὲ τοῖς θανοῦσι διαφέρειν βραχὺ) *Hecuba* paupertatis ſuæ conſcia, quòd pro more pretioſis Veſtibus cadaver Nepotis ornare nequiret, hoc ſibi ſolatium invenit, nempe nihil id Mortuis prodeſſe, at vivis tantùm eſſe Gloriæ; cujus inanitatis Regina mulier, calamitatibus docta, erat jam ſatur & pertæſa. *Lucianus* in *Navigio*, ſeu *Votis*, hæc Donaria [illegible] καὶ ἀπαίδευτα φιλοτιμήματα vocat [illegible] *intempeſtivus*, vel *nimis-ſerus*, qui prodeſſe vivis poteſt, mortuis non item. Unde *Anacreon*, Τί σε δεῖ λίθον μυρίζειν; Τί δὲ γῇ χέειν μάταια; Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ, Μύρισον &c. *Cowleius* noſter hæc luſit ſuavitèr; quos ludos omnes præ manibus habent. Item *Theognis* ſuaviſſimè Οὐκ

ἔραμαι

Ἑρμείας κλισμῷ βασιλῆϊ ἐγκατακεῖσθαι Τεθνεὼς, ἀλλά τί μοι ζῶντι χρόος ἀγαθόν. Ἀσπάλαθοί γε τάχιστα ἀμφὶ σε σῶμα θανόντι· Τὸ ξύλον ἢ σκληρὸν γίγνεται, ἢ μαλακόν. At & nos etiam *Græcè*, quæ cùm nondum oditâ fecerim, licet huc Epigrammatium attexere, Παῦροι νῦν φιλέουσι ζωάγρεσι ἄνδρας ἀοιδοὺς, Καὶ βίοτον παρέχουσι· φιλοφρονέει δέ γε φήμη Μᾶλλον ποιηταῖς καὶ κάλλιον ἄπασι δῶρον. Τῷ μὲν γὰρ ζωὴν, πότμου μετὰ πικρὰ βέλεμνα, Λιθαῖον τ' Ἀχέροντα, λελόγχασιν ἶσα θεοῖσιν· Ἀλλά με μή τι θανόντα βαιοῖς ἄνθεσι γαίης Μηδὲ κωφὸν ξεστοῖσι λίθοις ἐπικόσμεε τύμβον· Στέργε δέ με ζώοντα, καὶ ὅτε χρειά με πιέζοι, Καὶ ὅτε εἰδῶ δύναμαι χάειν, οἷον τεύχεις. Hæc Honoratiſſimorum Dominorum, Amicorum meorum, causâ huc attexui, *viz.* Domini *Eduardi Turner* de *Hollingbury* in Agro *Hertfordienſi*, & Domini *Matthæi Dudley*, de *Clapton* in Agro *Northamptonienſi*, Baronettorum, & Domini *Caroli Cox* de *Battlebridge* in *Southwark*, Generoſi; nec non Nobilis Viri *Johannis Griffith* Fil. natu-Maximi Domini *Griffith* de *Dingly* in Agro *Leiceſtrienſi*: Item Domini *Richardi Chandler*, Domini *Gulielmi Woollaſton*, Dominique *Johannis Perne*, in *Artibus Magiſtrorum*, Generoſorum: Qui ſoli ſtudiis meis Favere ſolent & ſpem mihi non levem addiderunt, de Heroico Poemate noſtro *Franciados* dicto liberalitèr promovendo. *Joſua Barnes.*

Ἀνάπαιστοι.

Χο. Ἰὼ, ἰώ· μελέα μᾶτερ γ', ἣ τὰς μεγάλας
Ἐλπίδας ἐπὶ σοὶ κατέγναψε βίου.
Μέγα δ' ὀλβισθεὶς, ὡς ἐκ πατέρων
Ἀγαθῶν ἐγένου,
Δεινῷ θανάτῳ διόλωλας.
Εκ. Ἔα, ἔα. Τίνας Ἰλιάσιν ταῖσδ' ἐν κορυφαῖς
Λεύσσω, φλογέας δαλοῖσι χέρας
Διερέσσοντας; μέλλει Τροίᾳ
Καινόν τι κακὸν προσέσεσθαι.

Ἴαμβοι.

Ταλ. Αὐδῶ λοχαγοῖς, οἳ τέταχθε ἐμπιπράναι
Πριάμου τόδ' ἄστυ, μηκέτ' ἀργοῦσαν φλόγα
Ἐν χειρὶ σώζειν, ἀλλὰ πῦρ ἐνιέναι,
Ὡς ἂν κατασκάψαντες Ἰλίου πόλιν,
Στελλώμεθ' οἴκαδ' ἄσμενοι Τροίας ἄπο.
Ὑμεῖς δ', ἵν' αὐτὸς λόγος ἔχῃ μορφὰς δύο,
Χωρεῖτε, Τρώων παῖδες, ὀρθίαν ὅταν
Σάλπιγγος ἠχὼ δῶσιν ἀρχηγοὶ στρατοῦ,
Πρὸς ναῦς Ἀχαιῶν, ὡς ἀποστέλλησθε γῆς.
Σύ τ', ὦ γεραιὰ δυστυχεστάτη γύναι,
Ἕπου. μεθήκουσίν σ' Ὀδυσσέως πάρα
Οἵδ', ᾧ σε δούλην κλῆρος ἐκπέμπει πάτρας.
Εκ. Οἲ 'γὼ τάλαινα. τοῦτο δὴ τὸ λοίσθιον,
Καὶ τέρμα πάντων ἐστὶ τῶν ἐμῶν κακῶν.
Ἔξειμι πατρίδος· πόλις ὑφάπτεται πυρί.
Ἀλλ', ὦ γεραιὲ ποὺς, ἐπίσπευσον μόλις,
Ὡς ἀσπάσωμαι τὴν ταλαίπωρον πόλιν,
Ὦ μεγάλα δή ποτ' ἀμπνέουσ' ἐν βαρβάροις
Τροία, τὸ κλεινὸν ὄνομ' ἀφαιρήσῃ τάχα.
Πιμπρᾶσί σ', ἡμᾶς δ' ἐξάγουσ' ἤδη χθονὸς
Δούλας· ἰὼ θεοί τι· τοὺς θεοὺς καλῶ;
Καὶ πρὶν γὰρ οὐκ ἤκουσαν ἀνακαλούμενοι,
Φέρ' εἰς πυρὰν δράμωμεν, ὡς κάλλιστά μοι
Σὺν τῇδε πατρίδι κατθανεῖν πυρουμένῃ.
Ταλ. Ἐνθουσιᾷς, δύστηνε, τοῖς σαυτῆς κακοῖς·
Ἀλλ' ἄγετε, μὴ φείδεσθ'. Ὀδυσσέως δὲ χρὴ
Εἰς χεῖρα δοῦναι τήνδε, καὶ πέμπειν γέρας.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Εκ. Ὀτοτοτοτοτοτοῖ.
Κρόνιε πρύτανι, Φρύγιε γενέτα
Πάτερ, ἀνάξια τῆς Δαρδανίου
Γονᾶς τάδ', οἷα πάσχομεν, δέδορκας.

Chorus.

Io, io! miſera mater, quæ magnas
Spes de tuâ conceperat vitâ:
Et cum valde beatus exiſtimareris, quòd ex parentibus
Nobilibus ſis procreatus, *tamen*
Crudeli morte periiſti.
Hec. Ehem, quóſnam Iliacis in his verticibus
Video flammeas manus torribus
Agitantes? Trojæ
Novum aliquod malum aderit.

Talthybius.

Illico manipulorũ ductoribus, qui conſtituti eſtis ad incendendam
Priami hanc urbem, ne amplius ocioſam flammam
In manibus ſervetis: ſed ignem injiciatis,
Ut funditùs eversâ Ilii urbe,
Navigemus domum alacres à Trojâ.
Vos autem (ut idem ſermo habeat duas formas)
Ite, Trojanorum proles, clarum quando
Clangorem tubæ dederint duces exercitûs,
Ad naves Græcorum, ut navigetis *ex hâc* terrâ.
Tu verò, ô anus, miſerrima mulier,
Sequere: veniunt *enim* ad te ab Ulyſſe *miſſi*
Iſti, cui te ſervam ſors emittit ex patriâ.
Hec. Me miſeram! hoc igitur poſtremum,
Et finis omnium meorum malorum jam *eſt*.
Egredior ex patriâ; civitas igne ſuccenditur,
Sed ô ſenilis pes accelera, quamvis ægre,
Ut ſalutem miſeram urbem,
O magnum aliquando ſpirans inter barbaros
Troja, inclytum tuum nomen mox amittes.
Incenderis tu, & nos educunt jam extra patriam
Servas. ô dii! *ſed* quid deos voco?
Nam & antè non audiverunt *nos* invocati.
Age curramus in incendium; nam honeſtiſſimum mihi
Cum hâc incensâ patriâ mori.
Tal. Inſanis, miſera, propter tua mala.
Quamobrem abducite *eam*, ne parcite. Ulyſſis enim oportet
In manum dare, & *ei* hoc munus mittere.

MONOSTROPHICA.

Hec. Væ, heu, hei, oh, ha, hæ ah!
O Saturnie rex, genitor Phrygum
Pater, indigna Dardani
Poſteritate vides hæc, quæ patimur?

V. 1251. Μεγάλας ἐλπίδας ἐπὶ σοὶ κατέγναψε βίου.) Κατεγνάπτω, vel γνάφω, & κνάπτω & κνάφω (omnibus enim his modis ſcribitur) propriè ſignificat *lanam-carminatam & politam-reponere*; hic figuratè pro *ſingularitèr, ut-excellens quid, repono.* J. Barnes.

V. 1260. Οἳ τέταχθε) *Duportus* in margine notat vel οἷς τέταχθαι, miſerando errore; niſi τέτακται forte voluerit. Τέταχθε autem pro τετάχθητε, ut ἄνωχθε pro ἀνώχθητε. Vid. *Rheſ.* v. 987. *Joſua Barnes.* V. 1261. Ἀργοῦσαν φλόγα) ἀργοῦς ab ἀργέω, ἀεργέω, ab ἀεργὸς, ἀ & ἔργον.

V. 1288. Κρόνιε Πρύτανι) Sic *Æſchylus* alibi *Regem*, quod legibus non ſit obnoxius, ἄκριτον πρύτανιν vocat. Sic *Prometh.* v. 169. De *Jove* loquens, χρείαν ἕξει μάκαρων Πρύτανις. *Scholiaſt.* Ὁ Θεῶν Δεσπότης καὶ Ἄρχων Ζεύς. *J. Barnes.* Ibid. Φρύγιε γενέτα) Δαρδάνου πάτερ, vid. ſuprà ad v. 818. & v. 822.

Χο. Δέ-

Χο. Δέδορκεν, ἁ δὲ μεγαλόπολις,
Ἄπολις, ὄλωλεν,
Οὐδ' ἔτ' ἔςι Τροία.
Εκ. Ὀτοτοτοτοτοτοῖ.
Λέλαμπεν Ἴλιος. Περ-
γάμων πυρὶ καταίθεται
Τέρεμνα καὶ πόλις, ἄκρα τε τειχέων.
Χο. Πτέρυγι δὲ καπνὸς ὥς τις, οὐ-
ρανία πεσοῦσα δορὶ καταφθίνει γᾶ.
Μαλερὰ μέλαθρα, πυρὶ κατάδρομα,
Δαΐα τε λόγχα.
Εκ. Ἰὼ γᾶ τρόφιμε τῶν ἐμῶν τέκνων. Χο. ἒ, ἔ.
Εκ. Ὦ τέκνα, κλύετε, μάθετε ματρὸς αὐδάν.
Χο. Ἰαλέμῳ τοὺς θανόντας ἀπύεις,
Γεραιά τ' εἰς πέδον τιθεῖσα μέλεα,
Καὶ χερσὶ γαῖαν κτυποῦσα δισσαῖς.
Διάδοχάν σοι γόνυ τίθημι
Γαίᾳ, τοὺς ἐμοὺς
Καλοῦσα νέρθεν ἀθλίους ἀκοίτας.
Εκ. Ἀγόμεθα, φερόμεθα. Χο. ἄλγος, ἄλγος βοᾷς.
Εκ. Δούλειον ὑπὸ μέλαθρον. Χο. ἐκ πάτρας γ' ἐμᾶς.
Εκ. Ἰὼ Πρίαμε, Πρίαμε, σὺ μὲν γὰρ ὀλόμενος,
Ἄταφος, ἄφιλος, ἄτας ἐμᾶς ἄϊστος εἶ.
Μέλας γάρ σ' ὄσσε κατεκάλυψε
Θάνατος, ὅσιον ἀνοσίαις σφαγαῖς.
Ἰὼ θεῶν μέλαθρα, καὶ πόλις φίλα.
Χο. Ἒ, ἔ. τὰν φόνιον ἔχετε
Φλόγα, δορός τε λόγχαν.
Τάχ' εἰς φίλαν γᾶν ἐμπεσεῖσθ' ἀνώνυμοι.
Κόνις δ' ἴσα καπνῷ πτέρυγι πρὸς αἰθέρα,
Ἄϊστον οἴκων ἐμῶν με θήσει.
Ὄνομα δὲ γᾶς ἀφανὲς εἶσιν
Ἄλλᾳ δ' ἄλλο φροῦδον.
Οὐδ' ἔτ' ἔστιν ἁ τάλαινα Τροία.
Εκ. Ἐμάθετ', ἐκλύετε
Περγάμων κτύπον.
Ἔνοσις ἅπασαν, ἔνοσις
Ἐπικλύσει πόλιν.
Ἰὼ τρομερὰ, τρομερὰ μέλεα,
Φέρετ' ἐμὸν ἴχνος.
Ταλ. Ἴτ' ἐπὶ τάλαιναν
Δούλειον ἁμέραν βίου.
Ἰὼ τάλαινα πόλις. ὅμως δὲ
Πρόφερε πόδα σὸν
Ἐπὶ πλάτας Ἀχαιῶν.

Τέλος τῶν Τρῳάδων τοῦ Εὐριπίδου.

Ch. Videt. Hæc verò magna civitas
Non amplius civitas, periit,
Nil amplius eſt Troia.
Hec. Væ, heu, hei, oh, ah!
Splendet Ilium. Pergamorum igne flagrant
Culmina, & civitas, & ſummitates murorum.
Cho. Veluti autem Fumus flabello,
Sic à-Diis-honorata ferro ruit Terra:
Ulla *ſunt* palatia, vaſtata igne,
Et hoſtili haſtâ.
Hec. O patria altrix meorum liberorum. *Cho.* Heu, heu!
Hec. O liberi, audite, agnoſcite matris vocem.
Cho. Vocas mortuos lugubri voce,
Seniliáque ponens membra in ſolo, *humi*,
Et manibus terram ſcalpens ambabus.
Succedens tibi genu pono
In terrâ tibi ſuccedens, humi flecto genua, meos
Vocans ſub terrâ *degentes* miſeros maritos.
Hec. Agimur, ferimur. *Ch.* Dolorem, dolorem clamas.
Hec. Ad ſervilia atria. *Ch.* ex meâ patriâ.
Hec. O Priame, Priame, tu quidem mortuus
Inſepultus, & abſque amicis, es ignarus meæ miſeriæ.
Atra enim oculos tuos tegit
Mors, pium impiâ cæde *ſublatum*.
Heu deorum templa, & chara civitas.
Cho. Heu, heu, cohibete letalem
Flammam, haſtæque cuſpidem.
Mox in *veſtram* patriam charam venietis inglorii.
Pulvis verò, *qui* ſicut fumus alâ *fertur* in aërem,
Deletam domum meam relinquet.
Nomen verò terræ vadit ignotum,
Alio verò modo alia *res* evanida *periit*.
Nec ampliùs eſt infelix Troja.
Hec. Cognoviſtis, audiviſtis
Pergamorum *ruentium* fragorem!
Concuſſio totam, concuſſio
Obruet urbem.
Hei tremula, tremula membra,
Ferte meum veſtigium!
Tal. Ite ad miſeram
Servilem diem vitæ.
Heu miſera civitas! Sed tamen *nihilominùs*
Promove pedem tuum
Ad naves Græcorum.

Finis *Troadum Euripidis*.

V. 1291. Ἁ δὲ μεγαλόπολις Τροία) Eâdem voce *Pindarus* utebatur priùs in illâ *Athenarum* laudatione, quâ ſibi illius populi animos devinxit, μεγαλοπόλιες Ἀθᾶναι, licet alii hoc fuiſſe encomium afferant, Αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα Ἀθᾶναι. De qua re Nos fuſiùs in *Pindari* Vitâ à nobis olim ſcriptâ, at nondū editâ. *J. Barnes.* V. 1298. Πτέρυγι δὲ καπνὸς ὥς τις) Ita pungo, Verſionémque *Latinam* ad punctationem mutatam corrigo, quam videſis. Πτέρυξ, ἐνταῦθα ῥιπίδιον, ὑπὸ ὁμοίας ἀέρα ῥιπίζειν, καθὰ καὶ πτέρυξ. *Oreſt.* 1431. dicitur Flabellum εὐπτερὺξ κύκλος πτέρινος, *Anglice* a Fan. *Scaliger* ita hunc locum (ex infrà ſequente ad v. 1320) legi voluit, Πτέρυγι δὲ καπνὸς ὥς τις, κόνις οὐρανία πεσοῦσα καταφθίνει γᾶν. Sed Magnum Virum haud ſubiit, καταφθίνειν *Activam* ſignificationem non habere. Impoſuit nempe illi locus prædictus, ubi legitur, Κόνις δ' ἴσα καπνῷ πτέρυγι πρὸς αἰθέρα &c. *J. Barnes.* V. 1304. Ἰαλέμῳ) De hâc voce, vid. quid Nos ſuprà ad v. 600. V. 1310. Ἀγόμεθα, φερόμεθα) Eſt *Græca* Phraſis ἄγειν καὶ φέρειν, pro funditùs evertere, *Iſocrat.* in *Archid.* ἄγειν καὶ φέρειν τοὺς πολεμίους, item pro hoſtili more vexare. Dicitur etiam ἄγειν καὶ καίειν, ut *Xenoph.* Hellen. l. 3. ἦγον καὶ ἔκαιον τὴν Βιθυνίδα. Hinc *Virgil.* Æn. l. 2. v. 374. —*Alii rapiunt incenſa feruntque.* Ἀγόμεθα, φερόμεθα) *Funditùs periimus.* Joſua Barnes. V. 1314. Μέλας γάρ σ' ὄσσε κατεκάλυψε) *Synecdoche* pro κατ' ὄσσε. De Duplici autem Accuſativo poſt hujuſmodi verba, ut πόθος σε ἔχει ... &c. & Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας. & Τρῶας δ' ἄχος ἔλλαβε θυμὸν &c. Vid. (ſi hæc exempla minùs ſufficerint) apud *H. Stephanum* longè plura. *J. Barnes.* V. 1320. Κόνις δ' ἴσα καπνῷ) Vid. ſuprà v. 1298. V. 1321. Ἄϊστον ἐμῶν οἴκων με θήσει) *Canterus* & *Miltonus* ἐμῶν οἴκων μεθήσει legunt, ſed *Scaliger* melius, diſtinguendo tantùm με θήσει locum explicat. θήσει με τῶν ἐμῶν οἴκων ἄϊστον, ut ſuprà v. 1313. ἄτας ἐμᾶς ἄϊστος εἶ. Ἄϊστος, ἄπυστος, ut *Hom.* Οἴχετ' ἄϊστος, ἄπυστος. &c. Sic *Æſchyl.* Ὤλεσ' ἄκλαυστος, ἄϊστος, hinc ἀϊστόω, *Sophocl.* οὐ γάρ μοι ... ἀϊστώσας δοκεῖ. *Joſua Barnes.* V. 1324. Ἐκλύετε) à κλύω.

ΥΠΟ-

ΕΥΡΙΠΙΔΟΥ ΒΑΚΧΑΙ.

ΥΠΟΘΕΣΙΣ ΒΑΚΧΩΝ.

Διόνυσος ἀποθεωθεὶς, μὴ βουλομένου Πενθέως τὰ Ὄργια αὐτοῦ ἀναλαμβάνειν, εἰς μανίαν ἀγαγὼν τὰς τῆς Μητρὸς ἀδελφὰς, Σεμέλης λέγω, ἠνάγκασεν αὐτὰς τὸν Πενθέα διασπαράξαι. Ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Πενθεῖ. Τὸ ὄνομα μόνον μεταπεποίηται Εὐριπίδῃ. Ὁ χορὸς μὲν συνέστηκεν ἐκ γυναικῶν Βακχῶν. Ἡ δὲ σκηνὴ τοῦ Δράματος ἐν τῇ Θηβαΐδι.

ARGUMENTUM BACCHARUM.

Bacchus *inter Deos receptus, quùm noluit* Pentheus *Sacra ejus accipere, Matris ſuæ* Semelæ *ſorores ad inſaniam adigens, coegit eas* Pentheum *dilacerare. Hæc Fabula tractatur etiam ab* Æſchylo *in* Pentheo, *Tragœdiâ ita dictâ; Nomen tantùm ab* Euripide *mutatur.* Chorus *ex Mulieribus* Bacchis *conſtat: Scena autem Fabulæ eſt in* Thebanâ *Regione.*

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ.	PERSONÆ hujus Fabulæ *ſunt hæ.*
ΔΙΟΝΥΣΟΣ.	BACCHUS.
ΠΕΝΘΕΥΣ.	PENTHEUS.
ΧΟΡΟΣ Βακχῶν.	CHORUS ex Bacchis.
ΘΕΡΑΠΩΝ.	FAMULUS.
ΤΕΙΡΕΣΙΑΣ.	TIRESIAS.
ΑΓΓΕΛΟΣ.	NUNCIUS.
ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.	ALTER NUNCIUS.
ΚΑΔΜΟΣ.	CADMUS.
ΓΥΝΗ.	MULIER.
Προλογίζει δὲ ὁ Διόνυσος.	Prologum autem agit Bacchus.

ARGUMENTUM *Actûs* Primi.

Bacchus *Prologum agens, Fabulæ aditum aperit, exponendo, quomodò venerit Divinitatem ſuam probaturus in os* Penthei *Regis* Thebarum, *qui illius, cognati & patrii Dei, Orgiis impiè adverſabatur. Tum* Bacchas *hortatur ad ſolennia Carmina, quæ in Bacchanalibus cani ſolebant. Quare* Chorus Bacchum *hymno celebrat, illius genus, ſacra & eorundem ornatum, ut Thyrſos, Hederas, Faces, Cymbala, Tympana, Nebridas, Cantus, prædicat.* Tireſiâ *cum* Cadmo *colloquente de novis his Orgiis celebrandis,* Pentheus *ſuperveniens, in eα invehitur & pœnas Bacchantibus minatur. Quem uterque Senex ad ſanam mentem fruſtrà reducere conatur. Is autem &* Tireſiæ *&* Baccho *ipſi minatus abit; illis ad Orgia properantibus.* Chorus Bacchi *laudes, Vinique Virtutes commemorat.*

Hanc etiam materiam attigerunt *Theocritus* in Idyllio 26. *Ovidius* Metam. l. 3. Fab. 7. *Nonnus* Dionyſ. l. 44. &c. *Apollodorus* Biblioth. l. 3. c. 5. §. 2. *Philoſtratus* Iconum l. 1. in *Pentheo*. Memoratur etiam in Didaſcalicis Fabula *Æſchyli* ejuſdem Materiæ ſub nomine Πενθεὺς, at illa quidem non jam extat. *Joſua Barnes.*

ΔΙΟΝΥΣΟΣ, ΧΟΡΟΣ, ΤΕΙΡΕΣΙΑΣ, ΚΑΔΜΟΣ, ΠΕΝΘΕΥΣ.

Ἴαμβοι.

ΗΚΩ Διὸς παῖς τήνδε Θηβαίων χθόνα
Διόνυσος, ὃν τίκτει ποθ' ἡ Κάδμου κόρη
Σεμέλη λοχευθεῖσ' ἀστραπηφόρῳ πυρί.
Μορφὴν δ' ἀμείψας ἐκ θεοῦ βροτησίαν,

Bac. Venio in hanc Thebanorũ terram filius Jovis
Bacchus, quem peperit olim Cadmi filia
Semele, enixa fulgurante igne.
Formam verò permutans ex Deo humanam

V. 2. Διόνυσος) De hoc nomine & illius derivatione apud Authores diſceptatur; qui *Græcum* ſtatuunt, à Δὸς *Jove*, deducunt, cujus filius habebatur, & à νῦσος, quod *Syracuſanum* eſt, pro χωλὸς, quòd *Jovis-femori* inſutus cùm eſſet, claudicabat *Jupiter*. Ità *Nonnus* Dionyſ. l. 9. v. 18. ----Λοχευθέντα δὲ Λυαῖον Πατρῴην ἐπέθηκαν ἐπωνυμίην τοκετοῖο, Κικλήσκειν Διόνυσον, ἐπεὶ ποδὶ φόρτον ἀείρων Ἤιε χωλαίνων Κρονίδης βεβριθότι μηρῷ· Νῦσος ἐπεὶ γλώσσῃ Συρηκοσίδι χωλὸς ἀκούει. Qui ab *Indis* nomen trahunt, dicunt *Dionyſum* ſignificare *Dominum-Nyſæ*. Et *Nyſa* putatur Mons *Indiæ*, *Di* autem vel *Dy* ſonat Dominum. Δεῦνος certè apud *Indos* Regem ſignificat, Δεῦνον δὲ τὸν βασιλέα λέγουσιν οἱ Ἰνδοὶ, inquit *Julius* apud Etymologum. Et *Tzetzes* Κατὰ Ἰνδοὺς δὲ Διόνυσος, Δεῦνος καὶ ἄναξ Νύσσης. Nonnulli autem Νύσαν per Metatheſin pro *Sina* ponunt, ut quidem *Judæorum Moſen* per Gentilium *Bacchum* figurari putant Docti homines haud Pauci; nec id malè ex *Nonni* Dionyſiacis colligi poteſt. Præcipuè verò, ſi benè nomen memini, *Theophilus Gale* in *Gentilium Atrio* l. 2. c. 3. id fecit. Nobis hiſce non eſt immorandum. *Joſua Barnes.* V. 3. Σεμέλη) *Cadmi Thebarum* Regis

Regis & *Harmoniæ* filia, de quâ vid. *Ovid.* Metamorph. l. 3. Fab. 3. & *Nonni* Panopol. *Dionyſ.* l. 7. Sorores habuit *Ino*, *Autonoen* & *Agaven*. V. 4. Μορφὴν δ' ἀμείψας ἐκ Θεοῦ βροτησίαν Πάρειμι) De *Bacchi* adventu ad *Thebas* vid. *Ovid.* Metamorph. l. 3. Fab. 7. *Liber adeſt, feſtiſque fremunt ululatibus agri* &c. Item *Nonni* Dionyſ. l. 44, 45, 46. *J. Barnes.*

Πάρειμι Δίρκης νάματ', Ἰσμηνοῦ θ' ὕδωρ.
Ὁρῶ δὲ μητρὸς μνῆμα τῆς κεραυνίας
Τόδ', ἐγγὺς οἴκων, καὶ δόμων ἐρείπια
Τυφόμενα, δίου πυρὸς ἔτι ζῶσαν φλόγα,
Ἀθάνατον Ἥρας μητέρ' εἰς ἐμὴν ὕβριν.
Αἰνῶ δὲ Κάδμον, ἄβατον ὃς πέδον τόδε
Τίθησι, θυγατρὸς σηκόν· ἀμπέλου δέ νιν
Πέριξ ἐγὼ κάλυψα βοτρυώδει χλόῃ.
Λιπὼν δὲ Λυδῶν τὰς πολυχρύσους γύας,
Φρυγῶν τε, Περσῶν θ' ἡλιοβλήτους πλάκας,
Βάκτριά τε τείχη, τήν τε δύσχειμον χθόνα
Μήδων ἐπελθὼν, Ἀραβίαν τ' εὐδαίμονα,
Ἀσίαν τε πᾶσαν, ἣ παρ' ἁλμυρὰν ἅλα
Κεῖται, μιγάσιν Ἕλλησι βαρβάροις θ' ὁμοῦ,
Πλήρεις ἔχουσα καλλιπυργώτους πόλεις,
Εἰς τήνδε πρῶτον ἦλθον Ἑλλήνων πόλιν.
Κἀκεῖ χορεύσας, καὶ καταστήσας ἐμὰς
Τελετὰς, ἵν' εἴην ἐμφανὴς δαίμων βροτοῖς.
Πρώτας δὲ Θήβας τῆσδε γῆς Ἑλληνίδος
Ἀνωλόλυξα, νεβρίδ' ἐξάψας χροὸς,
Θύρσον τε δοὺς εἰς χεῖρα κίσσινον βέλος.
Ἐπεί μ' ἀδελφαὶ μητρὸς, ἃς ἥκιστ' ἐχρῆν,
Διόνυσον οὐκ ἔφασκον ἐκφῦναι Διός.
Σεμέλην δὲ νυμφευθεῖσαν ἐκ θνητοῦ τινος,
Εἰς Ζῆν' ἀναφέρειν τὴν ἁμαρτίαν λέχους,
Κάδμου σοφίσμαθ', ὧν νιν οὕνεκα κτανεῖν
Ζῆν' ἐξεκαυχῶνθ', ὅτι γάμους ἐψεύσατο.
Τοιγάρ νιν αὐτὰς ἐκ δόμων οἴστρησ' ἐγὼ
Μανίαις, ὄρος δ' οἰκοῦσι παράκοποι φρενῶν,
Σκευήν τ' ἔχειν ἠνάγκασ' ὀργίων ἐμῶν.
Καὶ πᾶν τὸ θῆλυ σπέρμα Καδμείων, ὅσαι
Γυναῖκες ἦσαν, ἐξέμηνα δωμάτων.
Ὁμοῦ δὲ Κάδμου παισὶν ἀναμεμιγμέναι,
Χλωραῖς ὑπ' ἐλάταις ἀνορόφοις εἴνται πέτραις.
Δεῖ γὰρ πόλιν τήνδ' ἐκμαθεῖν, κεἰ μὴ θέλει,

Adſum *ad* fontes Dircæ, & Iſmeni *fluminis* aquam.
Et video ſepulchrum matris ictæ-fulmine
Hoc, juxta domum, & ædium ruinas
Fumantes, & adhuc viventem flammam divini ignis,
Perpetuam contumeliam Junonis in meam matrem.
Laudo autem Cadmum, qui hoc ſolum inacceſſum *&* *ſacrum*
Facit ſacellum, ſive *Baſilicam*, filiæ: vitis verò ipſum
Undique ego ſepivi racemiferis frondibus.
Relinquens autem Lydorum auro abundantes agros,
Et Phrygum, Perſarumque apricos campos,
Et orbes Bactrianorum, & hyemalem terram
Medorum accedens, & Arabiam felicem,
Et Aſiam univerſam, quæ ad ſalſum mare
Jacet, mixtis Græcis & barbaris ſimul,
Populoſas habens turribus benemunitas urbes,
Ad hanc primùm veni civitatem Græcorum,
Illicque *verſatus*, agens choros & conſtituens mea
Sacra, ut ſim manifeſtus deus hominibus.
Primas verò Thebas hujus terræ Græcanicæ
Ululatu-complevi, induens cervinam pellem corpori,
Et thyrſum dans in manus, hederaceum, *i.e. hederâ-tectum* telum.
Quia me ſorores matris, quas minime oportuit,
Dionyſum negabant ex Jove natum:
Sed Semelen compreſſam ab aliquo mortali *dixerunt*,
In Jovem contuliſſe culpam ſtupri,
Atque Cadmi commentis; quorum cauſâ ipſam interfeciſſe
Jovem gloriantur; quòd finxiſſet hunc concubitum.
Quamobrem ipſas ex ædibus ut æſtro-perciṫas expuli ego
Furoribus (montem verò *nunc* habitant deliræ mentibus)
Coegique *eas* habere ornatum meorum ſacrorum,
Et totum ſexum fœmineum Cadmeorum, quotquot
Mulieres erant, furore-correptas expuli ex ædibus.
Simul verò cum filiis Cadmi *i.e. Thebanis* mixtæ,
Viridibus ſub abietibus ſedent *in* excelſis ſaxis.
Oportet enim civitatem hanc ſcire, *&* *ſi* nolit,

V. 9. Ἀθάνατον Ἥρας μητέρ' εἰς ἐμὴν ὕβριν) Quomodo *Juno* Zelotypa *Semelæ* ſuaſerit, ut *Jovem* ſibi talem optaret ad concubium venire; qualem ſe *Junoni* exhibere ſolebat; unde illa Deum ferre non valens flammis fuerit conſumpta &c. Vid. *Ovid.* Metamor. l. 3. Fab. 3. *Surgit ab hic ſolio, fulvâque recondita nube Limen adit Semeles: Nec nubes ante removit, Quàm ſimulavit anum.* &c. Hanc ergo *Junonis* injuriam in matrem ſuam *Bacchus* vocat Ἀθάνατον, i. e. nunquam-obliviſcendam. *Joh. Brodæus* mirè ſui oblitus erat, exponendo, quaſi φλὸξ hic diceretur Ἥρας μήτηρ, quo nihil magis ridiculum. *Joſua Barnes.* V. 10. Ἄβατον ὃς πέδον τόδε Τίθησι θυγατρὸς σηκόν) De Sanctitate Sepulchrorum vid. *Joh. Kirchmanni* de Funerib. *Roman.* l. 3. c. 21. De Templorum Origine ex Sepulchris, *ibid.* l. 2. c. 27. Item quomodo *Templa* & *Baſilicæ* Conſecratis Mortuis erigebantur, Ibid. l. 4. c. 14. ἄβατον πέδον autem vocat, quod *Sacrum* erat, ob Sepulchri Religionem & quia Fulgurita periit *Semele*; de quâ re Nos ſupra ad *Suppl.* v. 934. Ubi κεραυνοπλῆγος πυρὰ ἱερά. Denique ob Templum ibi extructum. *Joſua Barnes.* V. 11. Ἀμπέλου δέ νιν πέριξ ἐγὼ κάλυψα βοτρυώδει χλόῃ) Hic alludit Poeta ad Sepulchrorum ſepimenta, de quibus vid. *Joh. Kirchmanni* ibid. l. 3. c. 17. *Joſua Barnes.* V. 13. Λιπὼν δὲ Λυδῶν &c.) Hos quatuor Verſus *Strabo* Γεωγραφικῶν l. 1. citat, nullúmque Locorum Ordinem ex Geographiæ regulis hic à Poeta obſervatum rectè memorat. De *Bacchi* autem expeditione in Orientem vid. *Nonni Panopolitani* Διονυσιακῶν Opus libris 48. abſolutum. *Apollodori* Bibliothec. l. 3. c. 5. *Diodor. Sicul.* l. 4. Dominus *Gualterus Raleigh* in quodam Tractatu. *Joſua Barnes.* V. 15. Τήν τε δύσχειμον χθόνα Μήδων) *Mediam* rectè Poeta vocat δύσχειμον, i. e. frigidam; nam *Ecbatana* erat *Metropolis Mediæ*, ubi *Perſarum* Reges & *Parthorum* poſteà Æſtiva habebant, frigida enim eſt *Media*, teſtante *Strabone* l. xi. Ἡ δὲ μητρόπολις τὰ Ἐκβάτανα, μεγάλη πόλις καὶ τὸ βασίλειον ἔχουσα τῆς Μήδων ἀρχῆς. διατελοῦσι δὲ καὶ νῦν οἱ Παρθυαῖοι τούτῳ χρώμενοι βασιλείῳ, καὶ θερίζουσί γε ἐνταῦθα οἱ βασιλεῖς· ψυχρὰ γὰρ ἡ Μηδία. Et paulò pòſt --- Ἡ [Μηδία] πολλὴ μὲν οὖν καὶ ὑψηλή ἐστι καὶ ψυχρά· τοιαῦτα δὲ, καὶ τὰ ὑπὲρ Ἐκβατάνων ὄρη &c. *Joſua Barnes.* V. 18. Μιγάσιν Ἕλλησι, βαρβάροις θ' ὁμοῦ) *Ionas* taxat Poeta, qui *Græci* exiſtentes inter Barbaros in *Aſiâ* minore habitabant. *Joſua Barnes.* V. 20. Ἑλλήνων) i. e. γνησίων Ἑλλήνων, Cæteri enim *Græci Ionas* μιξοβαρβάρους æſtimabant. V. 25. Κίσσινον βέλος) Ita *Ovid.* Epiſt. *Ut quem Pampineâ tetigiſſe Bicorniger haſtâ Creditur.* Sic *Virgil.* Eclog. 5. v. 31. *Et foliis lentas intexere mollibus haſtas.* Sic *Seneca* Herc. Fur. *Tectam virente Cuſpidem Thyrſo gerens.* *Juſtinus* Mart. ὥσπερ αἱ Βάκχαι διὰ κισσοῦ ἐγκρύπτουσι τὰς λόγχας ἐν τοῖς Θύρσοις ὑπεκφέρουσι. Denique *Plinius* l. 16. c. 24. *Hedera Liberi Patris adornat Thyrſos.* Sed de his rebus ſingulatim Nos infra, ut res poſtulaverit. *Jo.* *Barnes.* V. 34. Σκευήν τ' ἔχειν ἠνάγκασ' ὀργίων ἐμῶν) Hunc *Baccharum* apparatum fuiſſe apparet, *Nebridas*, *Sindones*, *Mitras*, *Ferulas*, *Pampinos*, *Hederam*, *Thyrſos*, *Tibias*, *Fiſtulas*, *Tintinnabula*, *Tympana*, de quibus *Lilius Gyraldus*, *Natalis Comes*, & *Dempſterus* ad *Roſin.* l. 2. c. xi. *Joſua Barnes.* V. 39. Ἐκμαθεῖν ἀτέλεστον οὖσαν) Sic *Rheſ.* v. 442. ποῦ τοῦδ' ἄυπνος οἶδε τλὰς πορπάματα. Eſt utitata Phraſis & elegans, *Atticiſmum* redolens. *Idem.*

Ἀπέλε-

Ἀτέλεστον οὖσαν τῶν ἐμῶν βακχευμάτων,
Σεμέλης τε μητρὸς ἀπολογήσασθαί μ' ὕπερ,
Φανέντα θνητοῖς δαίμον', ὃν τίκτει Διΐ.
Κάδμος μὲν οὖν γέρας τε, καὶ τυραννίδα
Πενθεῖ δίδωσι, θυγατρὸς ἐκπεφυκότι.
Ὃς θεομαχεῖ τὰ κατ' ἐμὲ, καὶ σπονδῶν ἄπο
Ὠθεῖ μ', ἐν εὐχαῖς τ' οὐδαμοῦ μνείαν ἔχει.
Ὧν οὕνεκ' αὐτῷ θεὸς γεγὼς ἐνδείξομαι,
Πᾶσίν τε Θηβαίοισιν. εἰς δ' ἄλλην χθόνα,
Τἀνθένδε θέμενος εὖ, μεταστήσω πόδα,
Δεικνὺς ἐμαυτόν. ἢν δὲ Θηβαίων πόλις
Ὀργῇ σὺν ὅπλοις ἐξ ὄρους Βάκχας ἄγειν
Ζητῇ, συνάψω Μαινάσι στρατηλατῶν.
Ὧν οὕνεκ' εἶδος θνητὸν ἀλλάξας ἔχω,
Μορφήν τ' ἐμὴν μετέβαλον εἰς ἀνδρὸς φύσιν.
Ἀλλ', ὦ λιποῦσαι Τμῶλον, ἔρυμα Λυδίας,
Θίασος ἐμὸς, γυναῖκες, ἃς ἐκ βαρβάρων
Ἐκόμισα παρέδρους, καὶ ξυνεμπόρους ἐμοὶ,
Αἴρεσθε τἀπιχώρι' ἐν πόλει Φρυγῶν
Τύμπανα, Ῥέας τε μητρὸς, ἐμά θ' εὑρήματα.
Βασίλειά τ' ἀμφὶ δώματ' ἐλθοῦσαι τάδε
Κτυπεῖτε Πενθέως, ὡς ὁρᾷ Κάδμου πόλις.
Ἐγὼ δὲ Βάκχαις, εἰς Κιθαιρῶνος πτύχας
Ἐλθὼν, ἵν' εἰσὶ, συμμετασχήσω χορῶν.

Ἀνάπαιστοι.

Χο. Ἀσίας ἀπὸ γαίας ἱερὸν Τμῶλον
Ἀμείψασα, θοάζω Βρομίῳ
Πόνον ἡδὺν, κάματόν τ' εὐκάματον,
Τὸν βάκχιον εὐαζομένα θεόν.
Τίς ὁδῷ; τίς ὁδῷ;
Τίς δὲ μελάθροις; ἔκτοπος ἔστω.
Στόμα τ' εὔφημον ἅπας ὁσιούσθω.
Τὰ νομισθέντα γὰρ,
Αἰεὶ Διόνυσον ὑμνήσω.

Se non initiatam eſſe meis ſacris,
Meque pro Semele matre cauſam agere, *eámque defendere*,
Qui mortalibus apparui Deus, quem *ipſa* peperit Jovi.
Cadmus quidem & dignitatem & imperium
Pentheo tradidit, nato ex *ſuâ* filiâ,
Qui gerit bellum mecum, & à libationibus
Repellit me, nec ullam facit mentionem *mei* in precibus.
Quamobrem ipſi me Deum eſſe demonſtrabo,
Et cunctis Thebanis: in aliam verò regionem
Rebus hîc benè compoſitis, transferam pedem,
Ubi oſtendero me ipſum. Si verò Thebanorum civitas
Per iram cum armis Bacchas in exilium pellere
Conetur, exercitûs-ducem me Mænadibus addam.
Quamobrem ſpeciem mortalem *ex divinâ* mutatam habeo,
Et meam formam mutavi in virilem naturam.
Sed, & relinquentes Tmolum, propugnaculum Lydiæ,
Sodalitium meum mulieres, quas ex barbaris
Adduxi ſocias, & comites mihi,
Tollite conſueta urbi Phrygum
Tympana, Rheæque matris, & mea inventa.
Regiaſque circa domos illas profectæ
Penthei pulſate, ut *hæc* videat Cadmi civitas.
Ego verò cum Bacchis ad Citharonis juga
Profectus, ubi ſunt, particeps ero chori, *choreáſq*, *ſimul celebrabo*.

Chorus.

Aſiatico ex agro *profecta*, ſacro Tmolo
Relicto, ſaltans-conficio Bromio *Baccho*
Laborem jucundum, fatigationémque facilem, *levémque*,
Bacchicum celebrans deum.
Quis *in viâ*? quis *in viâ*?
Quis *in atriis*? cedat loco.
Oſque ad pia verba dicendum unuſquiſque ſanctè præparet.
Nam juxta ſacros ritus
Semper Dionyſum celebrabo.

V. 41. Σεμέλης τε μητρὸς ἀπολογήσασθαί μ' ὕπερ &c.) Ut eam me ex *Jove*, non autem ex homine quopiam, peperiſſe agnoſcant. *Joh. Brodæus.* V. 44. Πενθεῖ δίδωσι, θυγατρὸς ἐκπεφυκότι) *Pentheus* erat Filius *Agave Cadmi* filiæ ex *Echione* ſpartâ. Videtur autem nomen ei inditum futuri caſûs προσημαντικόν, ut obſervavimus ad *Phœniſſ.* v. 640. Luctuoſo enim fato periit; unde *Theocr.* in Idyll. Λῆναι, v. 26. Ἐξ ὄρεος πένθημα καὶ οὐ Πενθῆα φέροισαι. *Joſua Barnes.* V. 45. Καὶ σπονδῶν ἄπο) Ut cum cæteris Diis libet ac ſacrificet, nullam mei mentionem faciat. *Idem.* V. 51. Ἐξόρους Βάκχας ἄγειν) *Johan. Brodæus* exponit *nunc-abſentes*, infeliciter certè; quatuor enim poſt verſibus ipſas *Bacchas* alloquitur: Quare ἐξόρους eſt efferendum per *exterres*, ab ἐξ & ὅρος limes. *Joſ. Barnes.* V. 55. Ἀλλ', ὦ λιποῦσαι Τμῶλον, ἔρυμα Λυδίας) *Tmolum Lydiæ* montem, in quo *Liberum* Patrem genitum ferunt nonnulli. *Johan. Brodæus.* V. 56. Θίασος ἐμὸς γυναῖκες) *Thiaſus* Multitudinem rei Divinæ cauſâ collectam, Pompam quoque, quæ *Dionyſium* comitabatur, ſignificat, *Athenæ*: Deipnoſoph. l. 8. Καλεῖται δὲ καὶ ὁ τῷ Διονύσῳ παρεπόμενος ὄχλος θίασος, ὡς Εὐριπίδης φησὶν, Ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν. Τοὺς μὲν οὖν θιάσους ἀπὸ τοῦ Θεοῦ προσηγόρευον. Καὶ γὰρ αὐτοὺς τοὺς Θεοὺς οἱ Λάκωνες σιοὺς φασι. Iſ. Καὶ εἰς τοὺς θιάσους, τοῦ Ἡρακλέους ἐκεῖνον ἐσήγαγον. *Janus Parrhaſius* & plerique alii per ῦ enuntiant, ac παρὰ τοῦ θύειν derivant. Nos per ἰῶτα ſcribendum judicamus. Sic igitur apud *Virgil.* Eclog. 5. v. 30. legendum eſt ---*Daphnis Thiaſos inducere Baccho.* Hæc *Johan. Brodæus.* Plura de voce Θίασος Nos ad *Phœniſſ.* v. 802. Quòd autem *Athenæus* dixit Θεοὺς *Laconicè* σιοὺς proferri, id certiſſimum eſt vel ex hoc illorum Juramento per *Caſtorem* & *Pollucem*, Patrios Deos, & Emphaticè *Geminos* dictos, Μὰ τὼ σιὼ, ἤγουν μὰ τὼ Θεώ. Hinc & Σίβυλλα dicitur, quaſi σιοῦ βουλή, ut Grammatici volunt. *Joſua Barnes.* V. 58. Αἴρεσθε τἀπιχώρι' ἐν πόλει Φρυγῶν Τύμπανα) *Peſſinuntem* urbem *Phrygiæ* notat, de quâ *Livius* l. 29. Item *Herodianus* l. 1. Αὐτὸ μὲν τὸ ἄγαλμα διοπετὲς, ὡς λέγουσιν· ἔτι γὰρ τὴν ὕλην, ἔτι τεχνιτῶν ὅστις ἐποίησεν ἠγνοημένον, οὐδὲ ψαυστὸν χειρὸς ἀνθρωπίνης. Τοῦτο δὲ πάλαι οὐξ οὐρανοῦ κατενεχθῆναι λόγος εἰς τινα τῆς Φρυγίας χωρίον. Πεσσινοῦς δὲ ὄνομα αὐτῷ. τὴν δὲ προσηγορίαν λαβεῖν τὸν τόπον, ἐκ τοῦ πεσόντος ἀγάλματος οὐξ οὐρανοῦ πρῶτον ἐκεῖσε ὀφθῆναι (lego ὀφθέντος.) Vel certè *Berecynthum Phrygiæ* montem intelligit hic Poeta, in quâ etiam Mater *Idæa*, ſive *Cybele*, Deûm Mater colebatur. Hinc *Virgil. Æn.* l. 6. v. 784. ----*Qualis Berecynthia Mater Invehitur curru Phrygias turrita per urbes* &c. Vid. *Stephanum* περὶ πόλεων in Βερέκυντος. Hinc Βερεκυνθιακὴ Ὄρχησις de Lymphatica ſaltatione; Hinc *Horat.* Carm. l. 1. Od. 18. *Sæva tene cum Berecynthio Cornu Tympana.* Erat autem magna quædam ſimilitudo inter *Cybelæ* & *Bacchi* Orgia, ut rectè dicat Poeta ---Ῥέας τε μητρὸς, ἐμά θ' εὑρήματα. De *Tympanis* autem *Rheæ* & *Bacchi*, in Orgiis ſuis, de eorum formâ &c. Vid. fuſiùs differentem *Hofmannum* in voce *Tympanum*. Dicitur verè *Græcè* τύμπανον & etiam τύπανον, ἀ τύπτω. *Joſua Barnes.* V. 68. Τίς ὁδῷ;) Ita ferè in ſacris ſolebant altâ voce denuntiare, nequis Profanus adeſſe audeat. ἑκὰς ἑκὰς ἔστε βέβηλοι, & ἑκὰς, ἑκὰς, ὅστις ἀλιτρός *Callim.* Θύρας δ' ἐπίθεσθε βεβήλοις *Orph.* Sic v. 69. ἔκτοπος ἔστω. *Joſua Barnes.* V. 70. Στόμα τ' εὔφημον ἅπας ὁσιούσθω) Huc pulchrè ab *Horatio* alluſum, *Odi profanum Vulgus & arceo: Favete linguis: Carmina non priùs Audita Muſarum Sacerdos Virginibus Puerisque canto.* Nolo autem in re notiſſimâ diutiùs immorari. *Joſua Barnes.* V. 71. Τὰ νομισθέντα δὲ) Ita *Aldus* rectè, ut mihi videtur, nec erat, ut quis τὸ δὲ in γὰρ converteret, poteſt enim elegantiùs ſubaudiri; vel per *Appoſitionem* refertur ad Διόνυσον ὑμνήσω. Carmina Pythagorica, νόμῳ ὡς διάκειται. *Joſua Barnes.*

ΕΠΩ-

ΕΠΩΔΙΚΑ.

Στροφὴ ά.

Ὦ μάκαρ, ὅστις εὐδαίμων τελετὰς θεῶν
Εἰδὼς, βιοτὰν ἁγιστεύει,
Καὶ θιασεύεται ψυχὰν
Ἐν ὄρεσι βακχεύων
Ὁσίοισι καθαρμοῖς.
Τά τε ματρὸς μεγάλας
Ὄργια Κυβέλας θεμιστεύων
Ἀνὰ θύρσον τε τινάσσων,
Κισσῷ τε στεφανωθεὶς,
Διόνυσον θεραπεύει.
Ἴτε βάκχαι, ἴτε βάκχαι,
Βρόμιον παῖδα θεὸν θεοῦ
Διόνυσον κατάγουσαι
Φρυγίων ἐξ ὀρέων
Ἑλλάδος εἰς εὐρυχόρους ἀγυιάς,
Τὸν Βρόμιον.

Ἀντιστροφὴ ά.

Ὅν ποτ' ἔχουσ' ἐν ὠδίνων λοχίαις ἀνάγ-
καισι, πταμένας Διὸς βροντᾶς,
Νηδύος ἔκβολον μάτηρ
Ἔτικε, λιποῦσ' αἰῶ-
να κεραυνίῳ πλαγᾷ.
Λοχίοις δ' αὐτίκα νιν
Δέξατο θαλάμοις Κρονίδα Ζεύς·
Κατὰ μηρῷ δὲ καλύψας,
Χρυσέαισιν συνερείδει
Περόναις κρυπτὸν ἀφ' Ἥρας.
Ἔτικεν δ' ἀνίκα μοῖραι
Τέλεσαν ταυρόκερων θεὸν,
Στεφάνωσέν τε δρακόντων
Στεφάνοις, ἔνθεν ἄγραν
Θηροτρόφοι Μαινάδες ἀμφιβάλλον-
ται πλοκάμοις.

Στροφὴ β΄.

Ὦ Σεμέλας τροφοὶ Θῆβαι,
Στεφανοῦσθε κισσῷ.
Βρύετε, βρύετε χλοηρᾷ
Σμίλακι καλλικάρπῳ.
Καὶ καταβακχιοῦσθε δρυὸς
Ἢ ἐλάτας κλάδοισι.
Στικτῶν τ' ἐνδυτὸν νεβρίδων
Στέφετε λευκοτρίχων πλοκάμων
Μαλλοῖς. ἀμφὶ δὲ νάρθηκας ὑβριστὰς

EPODICA.

Strophe 1.

O felix quicunque beatus ſacra deorum
Sciens, purificat vitam:
Et conſecrat animam,
In montibus bacchans,
Sacris purgationibus:
Et matris magnæ
Orgia Cybeles colens,
Thyrſumque quatiens,
Et hederâ coronatus
Dionyſum colit.
Ite Bacchæ, ite Bacchæ,
Bromium deum dei *Jovis* filium
Dionyſum deducentes
Ex Phrygiis montibus
In vicos latos Græciæ,
Hunc Bromium.

Antiſtrophe 1.

Quem olim habens in partûs puerperis neceſſi-
tatibus, advolante Jovis tonitru, *&* *fulmine*,
Utero ejectum, *ac abortivum* mater
Edidit, relinquens vitam
Fulmineâ plagâ.
Puerperis autem confeſtim ipſum
Excepit thalamis Saturnius Jupiter:
Et occultans *in* femore,
Aureis concluſit
Fibulis abditum, *à* Junone *ut periret inventum.*
Peperit verò, quando Parcæ
Perfecerunt cornigerum deum,
Et coronavit draconum
Coronis; unde prædam
Ferarum-altrices Mænades *captam* injiciunt undique
Suis crinibus, *hanc iis innectentes.*

Strophe 2.

O Thebæ nutrices Semeles,
Coronamini hederâ:
Florete, florete viridi
Smilace pulchros-habente-corymbos,
Et bacchamini quercûs
Aut abietis frondibus *ornatæ*:
Et veſtem maculoſarum pellium-cervinarum
Velate, candidorum capillorum
Velleribus: circum autem ferulas protervas

V. 73. Ὦ μάκαρ, ὅστις εὐδαίμων) Hunc locum *Strabo* l. 10. citat ad viginti ſex Verſus à v. 55. Alii legunt εὐδαίμονα· Tum referatur ad βιοτὰν in ſequenti Verſu. *Joſua Barnes.* V. 75. Θιασεύεται) Θιασεύομαι, *Initior in Thyaſos*, vel *Conſecror*, ſi *Paſſivè* ſumas ſubaudi κατὰ ad ψυχὰν, ſin mediæ vocis eſt & *Activam* habet ſignificationem, ψυχὰν ſequitur verbum. Aliud quid apud *Gregorium Nazianzenum* ſonat. De Thiaſis Vid. ſupra ad v. 56. V. 79. Ὄργια Κυβέλας) Κυβέλη & Κυβήλη, Mediâ ſyllabâ etiam apud *Latinos* ancipiti, Mater Deorum, quam Magnam dicebant; cujus alia Nomina erant *Ops*, *Rhea*, *Veſta*, *Dindymene*, *Berecynthia*, &c. Dicitur autem *Cybele* à *Cybelo* monte *Phrygiæ*, ubi ſacra ejus primò creduntur inſtituta. *Heſych.* Κύβελα, ὄρη Φρυγίας καὶ ἄντρα. καὶ θάλαμοι. Κυβέλη, μήτηρ θεῶν. *Joſua Barnes.* V. 80. Θύρσον τε τινάσσων) ὁ Θύρσος καὶ τὸ Θύρσον, ut in Epigrammate ſubjectu *Euripidis* Picturæ in Frontiſpicio hujus libri ---Οἶδά τε τοι θυμέλησιν ἐν Ἀτθίσι Θύρσα τινάσσων. De *Thyrſo* autem quòd ſit Haſta *Baccharum* propria Hederâ revincta, vide *Phœniſſ.* v. 798. & præcipuè ſuprà v. 25. *J. Barnes.* V. 87. Εὐρυχόρους ἀγυιάς) Ita pro εὐρυχώρους ſcribo, ita enim Verſus poſtulat, & hæc vox magis authentica. *Joſ. Barnes.* V. 92. Αἰῶνα) Αἰὼν ὁ *Ætas*, αἰὼν ἡ *Vita*; ſic *Hom.* Iliad. χ. v. 58. --- αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς. *Joſua Barnes.* V. 95. Κρονίδα Ζεύς) *Vocativus* pro *Nominativo*, ut Νεφεληγερέτα Ζεὺς *Hom.* &c. V. 103. Μαινάδες) *Baccharum* varia Nomina, ab Authore *Bacchæ*, à Furore *Mænades*, Th. μαίνομαι· *Baſſarides*, à *Veſte* vèl à *Vulpe* ſi placet, ſic dictæ. *Mimallones*, *Lenæ* & *Thyades*; Non eſt hic locus ab *Oriente* hæc Nomina deducendi. *Joſua Barnes.* V. 108. Σμίλακι καλλικάρπῳ) Vid. *Plinium* l. 16. c. 34. *Johannes Brodæus.* V. 111. Στικτῶν τ' ἐνδυτὸν) Ita pro ἐνδυτὰν ſcribo, vid. v. 138. Ἱερὸν ἐνδυτὸν νεβρίδος, & v. 745. Θάλλουσι δὲ διεφορεῦντο ζαμενὲς ἐνδυτά. Quin *Brodæus* & *Scaliger* ἐνδυτὸν legunt. Νεβρίδων) ἡ νεβρὶς τὸ τῆς νεβροῦ δέρμα, de hâc re vid. *Pauli Leopardi* Emendat. l. 5. c. 12. *Cælii Rhodigin.* Antiq. Lection. l. 7. c. 15. *Natal. Com.* aliòſque, præſertim *Eurip.* Schol. ad *Phœniſſ.* v. 798. *J. Barnes.* V. 113. Ἀμφὶ δὲ νάρθηκας ὑβριστὰς) Νάρθηξ *Baccho* & Illius miniſtris proprius, unde illud --- Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε Βάκχοι. Vid. *Cæl. Rhodigin.* l. 7. c. 13. & 20. ὑβριστὰς autem dicit Poeta, quòd iis *Myſtæ* obvios quoſvis per jocum cæderent. *Joſua Barnes.*

10 Ὁσ-

Ὁσίου· αὐτίκα γᾶ πᾶσα χορεύσει.
Βρόμιος ὅστις ἄγῃ θιάσους
Εἰς ὄρος, εἰς ὄρος, ἔνθα μένει
Θηλυγενὴς ὄχλος
Ἀφ' ἱστῶν, παρὰ κερκίδων
Τ' οἰστρηθεὶς Διονύσῳ.

Ἀντιστροφὴ β'.

Ὦ θαλάμευμα Κουρήτων,
Ζάθεοί τε Κρήτης,
Διογενέτορες ἔναυλοι,
Τρικόρυθές τ' ἐν ἄντροις
Βυρσότονον κύκλωμα τόδε
Μοι Κορύβαντες εὗρον.
Ἀνὰ δὲ βακχεία συντόνῳ
Κέρασαν ἡδυβόα Φρυγίων
Αὐλῶν πνεύματι, ματρός τε Ῥέας εἰς
Χέρα θῆκαν, κτύπον ἐνάσμασι Βακχᾶν.
Παρὰ δὲ μαινόμενοι Σάτυροι,
Ματρὸς ἐξανύσαντο θεᾶς.
Εἰς δὲ χορεύματα
* Συνῆψαν Τριετηρίδων, * al. προσῆψαν. H. Steph.
Αἷς χαίρει Διόνυσος.

Ἐπῳδός.

Ἡδὺς ἐν ὄρεσιν, ὅταν
Ἐκ θιάσων δρομαίων
Πέσῃ πεδόσε, νεβρίδος ἔχων
Ἱερὸν ἐνδυτὸν, ἀγρεύων
Αἷμα τραγοκτόνον, ὠμοφάγον χάριν,
Ἱέμενος εἰς ὄρεα Φρύγια, Λύδια·
Ὁ δ' ἔξαρχος Βρόμιος, εὐοῖ.
Ῥεῖ δὲ γάλακτι πέδον,
Ῥεῖ δ' οἴνῳ, ῥεῖ δὲ μελισσᾶν
Νέκταρι, Συρίας δ' ὡς λιβάνου καπνός.
Ὁ Βακχεὺς δ' ἔχων
Πυρσώδη φλόγα πεύκας,
Ἐκ νάρθηκος ἀΐσσει,

Sanctificetini *ſanctiſq; ritibus eos ſitatus:* mox omnis terra ſaltabit.
Bromius *enim eſt ille*, qui choros ducit
In montem, in montem, ubi manet
Muliebris turba, *quæ receſſit*
A telis, & à radiis,
Furore acta à Baccho.

Antiſtrophe 2.

O contubernium Curetum,
Et divini Cretenſes,
Jove geniti incolæ,
Triplicemque galeam geſtantes in antris,
Hunc *tympani* rotundum orbem, intentum corio
Invenerunt mihi Corybantes.
Simulque cum Bacchicâ acutâ voce
Miſcuerunt dulciſonos Phrygiarum
Tibiarum flatus matriſq; Rheæ in
Manus poſuerunt, & ſonum in cantibus Baccharum.
Juxta verò *Corybantes*, furentes Satyri,
Deæ, matris *Deorum ſacra* peregerunt.
Ad choros verò
Convenerunt Trieteridum,
Quibus delectatur Dionyſus,

Epodus.

Lætus in montibus, quando
Ex choris pernicibus
Cadit, *i. e. ruit* in ſolum, hinnuli geſtans
Sacram veſtem, captans
Sanguinem hircorum cæſorum, crudis-veſcentium delicias
Tendens in montes Phrygios, & Lydios,
Bromius autem chori dux *eſt præſultor, vociferans* euoe.
Fluit verò lacte terra,
Fluit etiam vino, fluit & apum
Nectare, Syriaci verò tanquam thuris fumus *inde ſpirat.*
Ipſe verò Bacchus geſtans
Ignitam facem piceæ,
Ex ferulâ emicare-*facit*, quaſſando,

V. 122. Διογενέτορες ἔναυλοι) Nos hic Varias *Henrici Stephani* Lectiones nil moramur, pro ἔναυλοι, ἔνθ' αὐλοὶ & ἔνθα τρικόρυθες αὔθεσι, quia nec ſenſui, nec metro commodæ videantur. In antro quodam in *Cretâ Jupiter* adhuc infans latuiſſe dicitur, Corybantibus interea Tympana pulſantibus, ut Pueri vagitus à *Saturno* patre audiri non poſſent, quem ille ſemel agnitum devoraturus erat. *Joſua Barnes.* V. 123. Τρικόρυθες Κορύβαντες) *Eurip.* Oreſt. v. 1482. Οἷος, οἷος Ἕκτωρ ὁ Φρύγιος ἢ τρικόρυθος Αἴας. *Schol.* Ὁ τρικόρυθος, ὁ μεγάλην ἔχων περικεφαλαίαν· ἢ ὅτι ἔνιοι τῶν ἡρώων τριλόφοις ἐχρῶντο. *Euſtathius* fol. 803. lin. 57. φάλος γάρ ... μικρὸς ὀμφαλὸς, ᾧ ἐνδεῖται ὁ λόφος· οἱ δὲ οἱ Ἀττικοὶ καὶ Ἡρόδωρον οὕτω φασὶ, Φάλοι, ὀμφαλοὶ ἀσπίσι μικροῖς παραπλήσιοι· καὶ κεῖνται κατὰ τὸ μέτωπον, ὑπερέχοντες τῶν ὀφρύων, ἀποσκιάζοντες τὴν τοῦ ἡλίου αὐγὴν, οἷαι τῶν Παλλαδίων καὶ τῶν Κορυβάντων αἱ κόρυθες. Et *Heſiod.* Scut. v. 199. Ἔγχος ἔχουσ' ἐν χερσὶ, χρυσείην τε τρυφάλειαν. *Schol.* Τρυφάλεια κόρυς, ἡ ἔχουσα τρεῖς φάλους, ἤγουν ἐπισείσματα. *Johan. Brodæus.* V. 124. Βυρσότονον κύκλωμα) *Periphraſis* Tympani. V. 129. Κτύπον ἐνάσμασι Βακχᾶν) *Henricus Stephanus*, Καλλίκτυπον ἔνασμα Βακχᾶν) ex *Strabone* reſtituit, pro κτύπον ἐν τ' ἄσματι Βακχᾶν. *Canterus* vidit errorem Veteris Lectionis & legebat κτύπον ἐνάσμασι. Quæ ſola Lectio Pari ſuo reſpondere facit hunc verſum. *Joſua Barnes.* V. 131. Ἐξανύσαντο) *Henricus Stephanus* ex veteri *Strabonis* exemplari dicit annotatum ἐξαύσαντο, & noſtram Lectionem non eſſe ſine manifeſto errore. Certè noſtra Lectio Verſui magis accommoda, cujus in Choris rationes *Stephanus* haud inierat, & accuſativus ſi intelligatur ἔργα, nihil Senſui nocetur: nec neceſſe erit cum *Brodæo* θεᾶς, *Deæ*, in θέας *Spectacula* mutare. *Joſua Barnes.* V. 133. Τριετηρίδων) De *Bacchi* Trietericis, hæc tantùm in hoc loco notanda, quòd Tertio quovis anno hæc ſacra vigebant, quo tempore intercalabatur. Totis autem noctibus debacchabantur in ſuis Orgiis, unde *Statius Theb.* l. 2. v. 661. --- *Non hæc Trieterica vobis Nox patrio de more venit.* Et *Virgil. Æn.* l. 4. v. 301. *Bacchatur, qualis commotis excita Sacris Thyas, ubi audito ſtimulant Trieterica Baccho Orgia, nocturnúſque vocat clamore Cithæron.* *Suidas* autem eos continuis perpotationibus ac (ῳ)ωνυσίαις ἀφ' ὁμέρας εἰς ἡμέραν, in Diem ac Noctem bacchatos eſſe &c. *Joſua Barnes.* V. 138. Ἱερὸν ἐνδυτὸν) Vid. ſuprà v. 111. V. 139. Ὠμοφάγον χάριν) *Bacchæ* crudis carnibus veſci ſunt ſolitæ. V. 141. Ὁ δ' ἔξαρχος Βρόμιος, Εὐοῖ) Ἔξαρχος χοροῦ καὶ ἱερῶν. Βρόμιος) ὄνομα Βάκχου, παρὰ τὸ βρέμω, καὶ βρόμος. βροντῆς ἦχος, ὅθεν ὁ Ζεὺς ὑψιβρεμέτης, ἐριβρεμέτης, καὶ ἐρίβρομος, ἀπὸ δὲ βρέμω καὶ βροντῆς καὶ ἀστραπῆς ὁ Βάκχος ἐγεννήθη. Εὐοῖ) Vox *Bacchantium*, unde *Eva* Mons *Meſſeniorum.* Hinc *Evan* Nomen *Bacchi* & Εὐάζω *Orgia celebro*, ut βρομιάζω etiam à βρόμιος. Putatur ad *Evam* Πρωτοπλάστην alludere; item æmulâ *Satanæ* nequitiâ ex Tetragrammato Dei originem traxiſſe: Vid. *Sam. Bocharti* Hierozoic. Par. 1. l. 2. c. 36. Et *Hofmann.* in voce *Jehovah.* V. 142. Ῥεῖ δὲ γάλακτι πέδον) Hic locus terræ *Canaan* Benedictiones cùm ferè graphicè depingat, ita Nos olim in *Heroico* Opere *Joſephi*, ψονθομφανὴχ dicto, ſumus eundem imitati (addito tantum verſûs aliquâ parte) de terrâ *Canaan* loquentes, v. 45. Ῥεῖ δὲ γάλακτι πέδον, ῥεῖ δ' οἴνῳ, ῥεῖ δὲ μελισσῶν Νέκταρι, μυελόεντα κατ' ἄνθεα κηρυδόμευσιν. *Joſua Barnes.* V. 144. Καπνὸς) ὀδμή. V. 147. Ἐκ νάρθηκος) ὁ νάρθηξ. Ferula oblonga, cava, & recipiendo igni & conſervando commoda, unde *Æſchyl.* Prometh. v. 109. Ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς πηγὴν, *Heſych.* Παρόσον τῷ Νάρθηκι ἐχρῶντο πρὸς τὰς ἀναζωπυρώσεις τοῦ πυρὸς, ὅθεν καὶ τῷ Διονύσῳ οἰκειοῦται

ωσαν αὐτὸν, διά τι τὰς ἐν ταῖς θοίναις ἐπὶ δαφνῶν ἀράς, καὶ διότι θερμὸς ἐστι φύσει ὁ οἶνος. Vid. *Hofmann.* in Voce Νάρθηξ & in voce *Ferula.* Ἀΐσσει) *Hebræorum* more, *Emicat*, pro *Emicare-facit.* Vid. quæ Nos ad *Rhef.* v. 446. & *Hecub.* v. 528. *Joſua Barnes.*

14 Δρόμῳ καὶ χοροῖς ἐρεθίζων πλανάτας,
15 Ἰαχαῖς τ' ἀναπάλλων,
16 Τρυφερὸν πλόκαμον εἰς αἰθέρα ῥίπτων.
17 Ἅμα δ' ἐπ' εὐάσμασιν ἐπιβρέμει
18 Τοιάδ', ὦ ἴτε Βάκχαι,
19 Ὦ ἴτε Βάκχαι,
20 Τμώλου χρυσορόου χλιδᾷ
21 Μέλπετε τὸν Διόνυσον
22 Βαρυβρόμων ὑπὸ τυμπάνων
23 Εὔια, τὸν εὔιον
24 Ἀγαλλόμεναι θεὸν,
25 Ἐν Φρυγίαισι βοαῖς, ἐνοπαῖσί τε,
26 Λωτὸς ὅταν εὐκέλαδος
27 Ἱερὸς ἱερὰ
28 Παίγματα βρέμῃ
29 Σύνοχα φοιτάσιν
30 Εἰς ὄρος, εἰς ὄρος.
31 Ἡδομένα δ' ἄρα
32 Πῶλος ὅπως ἅμα
33 Ματέρι φορβάδι
34 Κῶλον ἄγει ταχύπουν,
35 Σκιρτήμασι Βάκχου.

Ἴαμβοι.

Τει. Τίς ἐν πύλαισι Κάδμον ἐκκαλεῖ δόμων,
Ἀγήνορος παῖδ', ὃς πόλιν Σιδωνίαν
Λιπὼν, ἐπύργωσ' ἄστυ Θηβαίων τόδε;
Ἴτω τις, εἰσάγγελλε, Τειρεσίας ὅτι
Ζητεῖ νιν. οἶδε δ' αὐτὸς, ὧν ἥκω πέρι,
Ἅ, τε ξυνεθέμην πρέσβυς ὢν γεραιτέρῳ,
Θύρσους ἀνάπτειν, καὶ νεβρῶν δορὰς ἔχειν,
Στεφανοῦν τε κρᾶτα κισσίνοις βλαστήμασιν.
Καδ. Ὦ φίλταθ', ὡς σὴν γῆρυν ἠσθόμην κλύων
Σοφὴν σοφοῦ παρ' ἀνδρὸς, ἐν δόμοισιν ὤν·
Ἥκω δ' ἕτοιμος, τήνδ' ἔχων σκευὴν θεοῦ.
Δεῖ γάρ νιν ὄντα παῖδα θυγατρὸς ἐξ ἐμῆς
Διόνυσον, ὃς πέφηνεν ἀνθρώποις θεὸς,
Ὅσον καθ' ἡμᾶς δυνατὸν, αὔξεσθαι μέγαν.
Ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα,
Καὶ κρᾶτα σεῖσαι πολιόν; ἐξηγοῦ σύ μοι,

14 Curſu & choris irritans vagantes,
15 Et clamoribus excitans,
16 Delicatas comas in aerem ſpargens:
17 Simul verò cum cantu infremit
18 Talia, O ite Bacchæ,
19 O ite Bacchæ *ad juga*
20 Tmoli auro-fluentis, deliciis,
21 Canite Dionyſum.
22 Cum tympanis grandiſonis,
23 Euœ Euium
24 Celebrantes deum,
25 Phrygio clamore, & vociferatione:
26 Quando dulciſonus fiſtula
27 Sacra ſacros
28 Ludos ſonat
29 Congruos euntibus
30 In montem, in montem.
31 Exultans ſanè
32 Ut *equinus* pullus, qui ſimul cum
33 Matre Equâ paſcente
34 Pedem agitat celerem;
35 Saltationibus Bacchi, *& furore correptus, montem aſcendit.*

Tireſias.

Quis in portis Cadmum evocat ex domo,
Agenoris filium, qui urbe Sidoniâ
Relictâ, ædificavit hanc urbem Thebanorum?
Eat aliquis, nuncia quòd Tireſias
Ipſum quærat: ſcit verò ipſe, cujus rei cauſa venio,
Et quæ pactus ſim ſenex cum illo ſeniore,
Geſtare *viz.* thyrſos, & hinnulorum pelles habere,
Et coronare capita hederaceis germinibus.
Cad. O chariſſ. ut lætatus ſum, audiens tuam vocem,
Sapientem ex viro ſapiente, cum intùs eſſem.
Venio autem paratus, hunc habens ornatum dei.
Oportet enim ipſum, qui eſt filius meæ filiæ,
Dionyſum, qui hominibus apparuit Deus,
Quantum pro virili poſſumus, *honoribus* augere maximè.
Ubi oportet choros agere? ubi firmare pedem?
Et concutere canum caput? dux viæ ſis tu mihi,

V. 148. Πλανάτας) πλανήτας, δρομάδας, θιασώτας Βάκχας. Δωρικῶς δὲ ἄλλως ἔχειν, πλανάτας ὁ, ἀντὶ τοῦ πλανήτης. *Joſua Barnes.* V. 150. Τρυφερὸν πλόκαμον εἰς Αἰθέρα ῥίπτων) *Bacchus* ſemper bene-comatus fingitur, (ut & Mater illius *Semele*) & delicatulus in crinibus nutriendis; unde Ἀβροκόμης Διόνυσος, & εὐχαίτης in *Epigram.* & ὀρσιχαίτης à *Pindaro* dicitur. Quin omnis Bacchantiû Chorus illius *Choragi* exemplo Comas nutriebant & orgia celebrantes Cervicibus ultrò citróque jactatis in aera diffuſas flabellari ſinebant. unde *Bacchæ Nonno* λυσίθριξες & *Pindaro* ῥιψαύχενες dicuntur. Hinc *Eurip.* paulò pòſt v. 185. κρᾶτα σεῖσαι & v. 494. ἱερὸς ὁ πλόκαμος· τῷ Θεῷ δ' αὐτὸν τρέφω. Hinc *Catullus, Thyades effuſis Evantes crinibus egit.* Joſua Barnes. V. 151. Ἐπιβρέμει) v. 156. Βαρυβρόμων ὑπὸ τυμπάνων, v. 162. Παίγματα βρέμῃ, vid. de Voce Βρόμιος ſupra v. 141. V. 154. Τμώλου χρυσορόου) Nam è monte *Tmolo* profluit *Pactolus*, auriferum flumen. *Joh. Brodæus.* V. 156. Βαρυβρόμων ὑπὸ τυμπάνων) De *Tympanis* vid. quæ Nos ſuprà ad v. 58. V. 157. Εὔια τὸν Εὔιον) Referantur hæc ad Εὐοῖ, de quâ voce Nos ſupra ad v. 141. V. 159. Φρυγίαισι βοαῖς) *Phrygius* modus, qui & *Porphyrio* Barbarus, à *Luciano* ἔνθεος dicitur, ut *Lydius* Βακχικὸς. *Lydio* autem & *Phrygio* erat quiddam commune. Præter ea, quæ Nos ad *Iphig. Aul.* v. 576. Vid. *Cel. Rhodogin.* Antiq. Lection. l. 8. c. 3. Ubi de *Phrygio, Lydio, Dorico, Æolico & Ionico,* modis. *J. Barnes.* V. 163. Σύνοχα φοιτάσιν) Ita *Aldi* Editio habet & ita *Scaliger Canteri* ζυνωχα emendavit; ſin σύνοχα ſcribitur cum ω, velim accentum in ultimâ poni, ut ſic συνωχὰ pro συνωχαδὸν ponatur. Φοιτάσιν) φοιτάδες & φοιταλίαι *Bacchæ* dicuntur eodem modo, ut δρομάδες & πλανῆται vid. ſuprà v. 148. *J. Barnes.* V. 169. Σκιρτήμασι Βάκχου) Sic *Thyades Bacchico* motu exultantes, in montem *Citheronem* tranſiliunt. *Joh. Brodæus.* V. 170. Τίς ἐν Πύλαισι Κάδμον) *Tireſias* Propheta *Thebanus Bacchi* numen veneraturus, ad *Cadmum* ſenem evocandum introducitur; ut eò magis *Penthei* Impietas ex illius Pietate & ſapientiâ declaretur. V. 171. Σιδωνίαν) πόλιν Σιδωνίαν, ἀντὶ τὴν Σιδῶνα. *Sidon* autem & *Tyrus Phœniciæ* erant Urbes, unde *Cadmus, Thebarum* Fundator, oriundus. De quâ re vid. *Euripid.* Scholiaſt. ad *Phœniſ.* v. 641. *Jo. Barnes.* V. 175. Πρέσβυς ὢν) Mirum, ſi *Tireſiam* ſenem facit jam *Cadmi* temporibus Poeta, quomodo cum omnes Poetæ fingunt ad *Polynicis & Eteoclis* tempora duraſſe, quatuor ad minimum pòſt generationibus. Ita enim ipſe *Euripides* Genealogiam exhibet *Phœniſ.* v. 7. & deinceps, *Cadmus Polydorum* genuit, *Polydorus Labdacum, Labdacus Laium, Laius Oedipum,* ex quo *Polynices & Eteocles.* Valdè omninò erat neceſſe illum Longævum fuiſſe; ſi qua hujuſmodi Hiſtoriis fides habenda. *J. Barnes.* V. 178. Κλύων Ἠσθόμην) ab αἰσθάνομαι, ſin ἥσθην, ab ἥδομαι. al. ἠδόμην.

Γέρων

Γέρων γέροντι, Τειρεσία· σὺ γὰρ σοφός.
Ὡς οὐ κάμοιμ' ἂν οὔτε νύκτ', οὔθ' ἡμέραν
Θύρσῳ κροτῶν γῆν. ἐπιλελήσμεθ' ἡδέων,
Γέροντες ὄντες. Τει. Ταυτά μοι πάσχεις ἄρα.
Κἀγὼ γὰρ ἡβῶ, κἀπιχειρήσω χοροῖς.
Κάδ. Οὐκοῦν ὄχοισιν εἰς ὄρος περάσομεν.
Τει. Ἀλλ' οὐχ ὁμοίως ἂν ὁ Θεὸς τιμὴν ἔχοι.
Κάδ. Γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ.
Τει. Ὁ θεὸς ἀμοχθεὶ κεῖσε νῷν ἡγήσεται.
Κάδ. Μόνοι δὲ πόλεως Βακχίῳ χορεύσομεν;
Τει. Μόνοι γὰρ εὖ φρονοῦμεν, οἱ δ' ἄλλοι, κακῶς.
Κάδ. Μακρὸν τὸ μέλλειν· ἀλλ' ἐμῆς ἔχου χερός.
Τει. Ἰδού, ξύναπτε, καὶ ξυνωρίζου χέρα.
Κάδ. Οὐ καταφρονῶ γὼ τῶν θεῶν, θνητὸς γεγώς.
Οὐδὲν σοφιζόμεσθα τοῖσι δαίμοσιν.
Πατρὸς παραδοχάς, ἃς θ' ὁμήλικας χρόνῳ
Κεκτήμεθ', οὐδεὶς αὐτὰ καταβαλεῖ λόγος,
Οὐδ' εἰ δι' ἄκρων τὸ σοφὸν εὕρηται φρενῶν.
Ἐρεῖ τις, ὡς τὸ γῆρας οὐκ αἰσχύνομαι,
Μέλλων χορεύειν κρᾶτα κισσώσας ἐμόν.
" Οὐ γὰρ διῄρηχ' ὁ θεός, εἴ τε τὸν νέον
" Ἐχρῆν χορεύειν, εἴτε τὸν γεραίτερον,
" Ἀλλ' ἐξ ἁπάντων βούλεται τιμὰς ἔχειν
Κοινάς. δι' *ἀριθμῶν δ' οὐδὲν αὔξεσθαι θέλει. *al. ἀριθμεῖ.
Ἐπεὶ σὺ φέγγος, Τειρεσία, τόδ' οὐχ ὁρᾷς,
Ἐγὼ προφήτης σοι λόγων γενήσομαι.
Πενθεὺς πρὸς οἴκους ὅδε διὰ σπουδῆς περᾷ,
Ἐχίονος παῖς, ᾧ κράτος δίδωμι γῆς.
Ὡς ἐπτόηται· τί ποτ' ἐρεῖ νεώτερον;
Πεν. Ἔκδημος ὢν μὲν τῆσδ' ἐτύγχανον χθονός,
Κλύω δὲ νεοχμὰ τήνδ' ἀνὰ πτόλιν κακά,
Γυναῖκας ἡμῖν δώματ' ἐκλελοιπέναι,
Πλασταῖσι βακχείαισιν. ἐν δὲ δασκίοις
Ὄρεσι θοάζειν τὸν νεωστὶ δαίμονα
Διόνυσον, ὅστις ἐστί, τιμώσας χοροῖς.
Πλήρεις δὲ θιάσοις ἐν μέσοισιν ἑστάναι
Κρατῆρας· ἄλλην δ' ἄλλοσ' εἰς ἐρημίαν
Πτώσσουσαν εὐναῖς ἀρσένων ὑπηρετεῖν,
Πρόφασιν μὲν ὡς δὴ Μαινάδας θυοσκόους,
Τὴν δ' Ἀφροδίτην πρόσθ' ἄγειν τοῦ Βακχίου.
Ὅσας μὲν οὖν εἴληφα δεσμίοις χέρας,

Senex ſeni, Tireſia: tu enim ſapiens es.
Quia non defatigabor nec noctu, nec interdiu
Thyrſo pulſans terram: licet priùs obliti ſumus ſuavium *verùm*,
Ambo exiſtentes ſenes. *Tir.* Eadem igitur pateris quæ ego:
Etenim & ego pubeſco, & aggrediar mala.
Cad. Ergo vehiculis in montem tranſibimus.
Tir. Verùm non æque deus honoraretur.
Cad. Senex ſenem, ut puerum, doceam te ego *ob cæcitatem.*
Tir. Ipſe deus ſine labore illuc nos deducet.
Cad. Soline nos Baccho choreas inſtituemus?
Tir. Soli enim *nos* ſapimus, cæteri verò deſipiunt.
Cad. Iter eſt longum: ſed tu prehende meam manum.
Tir. Ecce, conjunge & copula manum *tuam cum meâ.*
Cad. Non contemno ego deos cum ſim mortalis,
Nihil argutè comminiſcimur in Deos.
Patris traditiones, quas coætaneas diu
Servamus, eas nulla labefactabit ratio,
Neque ſi à ſummis ſapiēs *aliquod commentum* excogitetur ingeniis.
Dicet *fortaſſe* quis, quod ſenectutem non reverear.
Qui ſaltare ſtatuerim capite meo hederâ coronato.
" Non enim diſtinctè dixit Deus, utrum juvenem
" Oporteat choreas ducere, an ſeniorem:
" Sed ab omnibus vult honores habere *pariter*
Communes. Numeris verò nihil augeri vult.
Quia verò tu, Tireſia, lumen hoc *ſolis* non vides,
Ego tibi ſermonum ero vates.
Pentheus hic ad ædes cum feſtinatione vadit,
Echionis filius, cui regnum hujus terræ tradidi *ego*:
Ut eſt attonitus! quid nam dicet novi?
Pen. Abſens quidem eram ex hâc terrâ,
Nunc autem audio nova per hanc civitatem mala:
Mulieres nobis domos reliquiſſe,
Fictis bacchationibus *indulgentes.* In umbroſis verò
Montibus celebrare novum hunc deum
Dionyſum, quicunque ille ſit, honorantes *eum* choreis:
Plenos autem thiaſis in mediis ſtare
Crateras: aliam verò aliò in ſolitudinem, *& deſerta loca,*
Fugientem inſervire complexui marium,
Prætextu quidem quaſi *ſint* Mænades ſacra peragentes *Bacchi*,
Sed ipſam Venerem pluris facere quàm Bacchum,
Quotquot igitur cepi vinctas manibus,

V. 186. Σὺ γὰρ σοφός) Ab *Homero* hoc traxit *Euripides*, qui de *Tireſiâ* dixit, *Odyſſ.* κ. v. 494. Τῷ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια Οἴῳ πεπνῦσθαι· τοὶ δὲ, σκιαὶ ἀΐσσουσι. *Joſua Barnes.* V. 188. Ἐπιλελήσμεθ' ἡδέων Γέροντες ὄντες) Puto equidem legi debere ἡδέως pro ἡδέων, & tum ſenſus longè commodior erit, *ſuaviter ſumus obliti, quod ſenes ſimus.* Mendam hic nemo antè eſt ſuſpicatus. *Joſua Barnes.* V. 197. Μακρὸν τὸ μέλλειν) an τὸ μέλλον, pro ἡ μέλλουσα διατελεῖσθαι ὁδός. *Joſua Barnes.* V. 198. Ξυνωρίζου) Elegantiſſima vox, Metaphoricè à jugo-equorum ducta, ζυνωρὶς, bini equi ſimul trahentes. Hinc junctis manibus ituri ſenes ξυνωρίζεσθαι χέρας dicuntur. *Joſua Barnes.* V. 199. Οὐ καταφρονῶ γὼ τῶν θεῶν, θνητὸς γεγώς) Sapientiſſimus Poeta morem hic Veterum laudatiſſimum obſervat, præcipuè *Perſarum* Regum; de quibus *Stobæus* ex *Selino*, Οἱ Περσῶν βασιλεῖς περὶ μὲν τῶν θυσιῶν περὶ Εὐσεβείας διαλέγονται· περὶ τοῦ πίνειν περὶ Σωφροσύνης· πολεμεῖν δὲ μέλλοντες περὶ Ἀνδρείας. Quem dudum Nos quoque in *Eſtherâ* noſtrâ, ſive Αὐλικοκατάσκοπος, attigimus v. 815. Ἀρταξέρξαι γὰρ ἄνακτες, ὅταν μέλλωσι μάχεσθαι, Ἀμφὶ μὲν Ἠνορίης τὰ ἐπίφρονα μῦθον ἔχουσι· Μέλλοντες δὲ Θύσειν ἀγαυ κλειτὰς Ἑκατόμβας Θυμὸν ἀτιμάζουσιν ἀεὶ θεοειδέα μύθῳ. Quare hæc omnis Oratio ad *Cadmum* pertinere viſa eſt, donec ad *Pentheum* perveneriмus. *Joſus Barnes.* V. 200. Οὐδὲν σοφιζόμεσθα τοῖσι Δαίμοσιν) *Nihil nos nimis argutè de Diis exploramus.* Hoc eſt, non convenit, ut Curioſè in illorum Placita inquiramus; Obedientia Nobis ſufficit: Nec eſt, ut illorum Abſcondita Myſteria infideliter atque impiè rimemur, aut in Diſputationem trahamus; Nam ut *Tacitus*: *Sanctius eſt ac Reverentius de Actis Deorum Credere, quàm Scire.* Et mihi quidem videtur verè *Aurea* hæc eſſe ſententia, *Brevis eſt Inſtitutio Vitæ Honeſtæ Beatæque, ſi Credas.* Fides enim in rebus Dei multò Homini utilior Deóque gratior, quam vana & infidelis Curioſitas. Vide de hâc re egregiè diſſerentem *Michaelem* Dominum de *Montaigne* l. 2. c. 12. *Joſua Barnes.* V. 210. Ἐπεὶ σὺ φέγγος, Τειρεσία) *Pentheum* in ſcenam ingredientem videns *Cadmus* hæc loquitur, dicens ſe *Vatem* in hâc re futurum illi, ut & ille in aliis rebus aliis. V. 216. Κλύω δὲ) Non hic δὲ ut *Brodæus* vult expungendum; ſed νεοχ- per *Synalæphen* μονοσυλλάβως legendum vel etiam Tribrachus fiat. V. 217. Γυναῖκας ἡμῖν) *Brodæus* vult τὸ ἡμῖν ſupervacuum. Hoc nos negamus, non modò *Henrici Stephani* rationibus ducti, qui ſimile hoc profert, *Quò mihi Mater, ghis?* Et ſexcenta alia. Sed etiam quod hæ mulieres erant ex Domo & Sanguine ipſius *Penthei*. Quod ſi eſſet ſupervacuum, elegantèr tamen adeſt, licet aliàs clauſa ſibi ſufficiat, ſaltem Ornatûs causâ, ut μοι ſæpe, vid. *Iphig.* Taur. v. 922. V. 224. Θυοσκόους) Vid. *Heſych.* Hic verò non ego δὲ cum *H. Stephano* lego, ſed δὲ vetus ſuo loco ſtare debere contendo. *Joſ. Barnes.*

V. 235. Ξανθοῖσι βοςρύχοισιν) Vid. quæ Nos ſuprà ad v. 150. V. 236. Οἰνωπὸς) Ita lego pro οἰνωπὰς, *Scaliger* levi variatione οἰνῶπας legebat, ſed & Nominativus mihi videbatur deſiderari; & puncto ab ὄσσοις ſeparari debere. Οἰνωπὸς autem *ſubrubicundus ſonat* & eſt *Vini* & *Amethyſti* Epithetum. *Joſua Barnes.* V. 261. Ὅπου βότρυος ἐν δαιτὶ γίγνεται) γάνος) Ita audacter γάνος pro γάμος reſtituo, eadem enim Phraſis extat infrà v. 381. & in Anthologiâ & *Virgil. Æn.* l. 1. v. 738. eodem modo dixit ---*Adſit Lætitiæ Bacchus Dator!* Nec illa *Brodæi* Interpretatio valet --βότρυος ἐν δαιτὶ in *vinolento convivio*, γάμος *res Venereæ.* Nimis frigidum enim eſt & *Euripide* longè indignum --*res Venereas* tantùm inter vinum improbare, quæ ſemper ſunt improbandæ; Ille igitur dicit, ipſum in his conventiculis Vinum tantùm ab illo improbari, quia per illud Mulieres in Venerem procliviores fieri neceſſe eſt. *Scaliger* mecum legit, & *Duportus* γάνος in margine ſuo ſemel ſcripſerat, ſed poſteà à *Brodæo*, ut puto deceptus, bonam conjecturam malè improbans virgulâ notavit. *Joſua Barnes.* V. 263. Τῆς εὐσεβείας) Exclamatio Chori, Proh, Pietas! ut nos *Latinè* vertimus. Non erat hic ἕνεκα ſubaudiendum; ut *Brodæus* iterum haud rectè. *J. Barnes.* V. 275. Δημήτηρ θεά, Γῆ δ' ἐςὶν) Huc referatur illud Grammaticorum, Δημήτηρ, οἱονεὶ γῆ μήτηρ· καὶ ὁ ἀςὴρ Δημήτηρ λέγεται μετωνυμικῶς. Nec poſt *Brodæum* & *Stephanum* pigebit huc attexere illud *Lucretii* l. 2. Hic ſiquis Mare *Neptunum*, *Cereremq;* vocare Conſtituet Fruges, & *Bacchi* numine abuti Mavult, quàm Laticis proprium proferre vocamen &c. *J. Barnes.* V. 276. Ὄνομα δ' ὁπότερον βούλει, κάλει) Seu Potum, ſive *Bacchū*, ſeu Terrā ſive Cererē. *J. Br.*

Σώζουσι πανδήμοισι πρόσπολοι στέγαις.
Ὅσαι δ' ἄπεισιν, ἐξ ὄρους θηράσομαι,
Ἰνώ τ', Ἀγαυήν θ', ἥ μ' ἔτικτ' Ἐχίονι,
Ἀκταίονός τε μητέρ', Αὐτονόην λέγω.
Καὶ σφᾶς σιδηραῖς ἁρμόσας ἐν ἄρκυσι,
Παύσω κακούργου τῆσδε βακχείας τάχα.
Λέγουσι δ', ὥς τις εἰσελήλυθε ξένος,
Γόης, ἐπῳδὸς, Λυδίας ἀπὸ χθονὸς,
Ξανθοῖσι βοστρύχοισιν εὐοσμῶν κόμην,
Οἰνωπὸς, ὄσσοις χάριτας Ἀφροδίτης ἔχων,
Ὃς ἡμέρας τε κ' εὐφρόνας συγγίγνεται,
Τελετὰς προτείνων εὐίους νεάνισιν.
Εἰ δ' αὐτὸν εἴσω τῆσδε λήψομαι στέγης,
Παύσω κτυποῦντα θύρσον, ἀνασείοντά τε
Κόμας, τράχηλον σώματος χωρὶς τεμών.
Ἐκεῖνος εἶναί φησι Διόνυσον θεόν·
Ἐκεῖνος ἐν μηρῷ ποτ' ἐῤῥάφθαι Διός.
Ὃς ἐκπυροῦται λαμπάσιν κεραυνίαις
Σὺν μητρὶ, δίους ὅτι γάμους ἐψεύσατο.
Ταῦτ' οὐχὶ δεινῆς ἀγχόνης ἔστ' ἄξια,
Ὕβρεις ὑβρίζειν, ὅστις ἔστιν ὁ ξένος;
Ἀτὰρ τόδ' ἄλλο θαῦμα, τὸν τερασκόπον
Ἐν ποικίλαισι νεβρίσι Τειρεσίαν ὁρῶ,
Πατέρα τε μητρὸς τῆς ἐμῆς, πολὺν γέλων,
Νάρθηκι βακχεύοντ'. ἀναίνομαι, πάτερ,
Τὸ γῆρας ὑμῶν εἰσορῶν, νοῦν οὐκ ἔχον.
Οὐκ ἀποτινάξεις κισσόν; οὐκ ἐλευθέραν
Θύρσου μεθήσεις χεῖρ', ἐμῆς μητρὸς πάτερ;
Σὺ ταῦτ' ἔπεισας, Τειρεσία; τόνδ' αὖ θέλεις
Τὸν δαίμον' ἀνθρώποισιν εἰσφέρων νέον,
Σκοπεῖν πτερωτοὺς, κἀμπύρων μισθοὺς φέρειν;
Εἰ μή σε γῆρας πολιὸν ἐξεῤῥύετο,
Καθῆσ' ἂν ἐν βάκχαισι δέσμιος μέσαις,
Τελετὰς πονηρὰς εἰσάγων· γυναιξὶ γὰρ
Ὅπου βότρυος ἐν δαιτὶ γίγνεται γάνος,
Οὐχ ὑγιὲς οὐδὲν ἔτι λέγω τῶν ὀργίων.
Χο. Τῆς εὐσεβείας· ὦ ξέν', οὐκ αἰδῇ θεοὺς,
Κάδμον τε τὸν σπείραντα γηγενῆ στάχυν,
Ἐχίονος δ' ὢν παῖς, καταισχύνεις γένος;
Τει. " Ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
" Καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν.
Σὺ δ' εὔτροχον μὲν γλῶσσαν, ὡς φρονῶν, ἔχεις,
Ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.
" Θρασὺς δὲ, δυνατὸς, καὶ λέγειν οἷός τ' ἀνὴρ,
" Κακὸς πολίτης γίγνεται, νοῦν οὐκ ἔχων.
Οὗτος δ' ὁ δαίμων ὁ νέος, ὃν σὺ διαγελᾷς,
Οὐκ ἂν δυναίμην μέγεθος ἐξειπεῖν, ὅσος
Καθ' Ἑλλάδ' ἔσται. δύο γὰρ, ὦ νεανία,
Τὰ πρῶτ' ἐν ἀνθρώποισι, Δημήτηρ θεὰ,
Γῆ δ' ἐστὶν, ὄνομα δ', ὁπότερον βούλει, κάλει·

Servant eas publicis miniſtri in tectis, *i. e. Carceribus.*
Quotquot verò abſunt, *eas* ex monte captas *huc* deducam,
Ino, Agauenque, quæ me Echioni peperit,
Et Actæonis matrem, Autonoën dico:
Et ipſas ferreis conſtringens in vinculis,
Coercebo ſtatim ab hâc improbâ bacchatione.
Dicunt verò, quòd quidam venerit hoſpes
Impoſtor, præſtigiator, ex Lydiâ terrâ,
Flavis cincinnis; benecomptus comam,
Habens nigras Veneris gratias in oculis,
Qui dies noctéſque converſatur cum illis,
Sacra prætendens Bacchica puellis.
Quòd ſi eum intra hanc domum cepero,
Ceſſare faciam à quatiendo thyrſo, & concutiendâ
Comâ, cervicem à corpore ſecans,
Iſte ſe dicit eſſe Dionyſum deum:
Iſte quondam (*ſi Diis placet*) in Jovis femore fuit inſutus,
Qui crematus eſt flammis fulmineis
Unà cum matre, quia cum Jove celebratas nuptias *mētita fuerat.*
Hæc nonne digna ſunt crudeli laqueo,
Hoſpitē, quiſquis ille ſit, adeo petulanter, *ac inſol. in nos* ſe gerere?
Sed ecce aliud miraculum, ipſum vatem
Tireſiam in variis pellibus hinnulorum video,
Et patrem meæ matris, (ô rem valde ridiculam)
Ferulâ bacchantem. Improbo pater,
Senectutem veſtram intuens delirantem:
Non abjicies hederam? non liberam
Manum dimittes à thyrſo, pater meæ matris?
Tu hoc *ei* perſuaſiſti, Tireſia? hunc iterum tu vis
Novum deum inferens hominibus,
Spectare alatas *aves*, *auguria captare*, & ignispiciorū mercedē *ſuſ.*
Quòd niſi te cana ſenectus liberaret,
Vinctus ſederes inter medias Bacchas,
Introducens ſacra pernicioſa: mulieribus enim
Quando Vini in convivio adſit lætitia,
In ejuſmodi ſacris nihil ſani eſſe dico.
Cho. Proh, Pietas! O hoſpes non vereris deos,
Et Cadmum, qui ſeminavit terrigenam ſegetem,
Cumque ſis Echionis filius, dedecoras *tuum* genus?
Tir. " Cùm ſapiens aliquis nactus eſt ſermonis
" Bonas occaſiones, non eſt *ei* arduum præclare dicere.
Tu quidem habes linguam volubilem, ut *vir* ſapiens:
In verbis verò tuis non ineſt mens, *neque ſapientia.*
" Confidens autem, ac potens, & facundiâ pollens vir,
" Pernicioſus civis eſt, niſi mentem habeat *ſanam.*
Hic verò novus deus, quem tu derides,
Non queam dicere magnitudinem, quantus
Per Græciam ſit futurus. Duo enim, ô adoleſcens,
Præcipua *ſunt* inter homines, Ceres dea,
(Terra autem eſt *Ceres*, nomine verò utro vis *hanc* appella)

Αὕτη

Αὕτη μὲν ἐν ξηροῖσιν ἐκτρέφει βροτούς·
Ὁ δ᾽ ἦλθεν ἐπὶ τἀντίπαλον, ὁ Σεμέλης γόνος,
Βότρυος ὑγρὸν πόμ᾽ εὗρε, κεἰσηνέγκατο
Θνητοῖς, " ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
" Λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς.
" Ὕπνον τε λήθην τῶν καθημέραν κακῶν
" Δίδωσιν, οὐδ᾽ ἔστ᾽ ἄλλο φάρμακον πόνων.
Οὗτος θεοῖσι σπένδεται θεὸς γεγώς,
Ὥστε διὰ τοῦτον τἀγάθ᾽ ἀνθρώπους ἔχειν.
Καὶ καταγελᾷς νιν, ὡς ἐνερράφη Διὸς
Μηρῷ; διδάξω σ᾽ ὡς καλῶς ἔχει τόδε.
Ἐπεί νιν ἥρπασ᾽ ἐκ πυρὸς κεραυνίου
Ζεὺς εἰς τ᾽ Ὄλυμπον βρέφος ἀνήγαγεν νέον,
Ἥρα νιν ἤθελ᾽ ἐκβαλεῖν ἀπ᾽ οὐρανοῦ.
Ζεὺς δ᾽ ἀντεμηχανήσαθ᾽, οἷα δὴ θεός·
Ῥήξας μέρος τι τοῦ χθόν᾽ ἐγκυκλουμένου
Αἰθέρος, ἔθηκε, τόνδ᾽ ὅμηρον ἐκδιδοὺς
Διόνυσον Ἥρας νεικέων. χρόνῳ δέ νιν
Βροτοὶ τραφῆναί φασιν ἐν μηρῷ Διός,
Ὄνομα μεταστήσαντες, ὅτι θεᾷ θεὸς
Ἥρᾳ ποθ᾽ ὡμήρευσε, συνθέντες λόγον.
Μάντις δ᾽ ὁ δαίμων ὅδε. Τὸ γὰρ βακχεύσιμον,
Καὶ τὸ μανιῶδες, μαντικὴν πολλὴν ἔχει.
Ὅταν γὰρ ὁ θεὸς εἰς τὸ σῶμ᾽ ἔλθῃ πολύς,
Λέγειν τὸ μέλλον τοὺς μεμηνότας ποιεῖ.
Ἄρεώς τε μοῖραν μεταλαβὼν ἔχει τινά·
Στρατὸν γὰρ ἐν ὅπλοις ὄντα, κἀπὶ τάξεσιν,
Φόβος διεπτόησε, πρὶν λόγχης θιγεῖν·
Μανία δὲ καὶ τοῦτ᾽ ἐστὶ Διονύσου πάρα.
Ἔτ᾽ αὐτὸν ὄψει κἀπὶ Δελφίσιν πέτραις
Πηδῶντα σὺν πεύκαισι δικόρυφον πλάκα,
Βάλλοντα, καὶ σείοντα βάκχειον κλάδον,
Μέγαν τ᾽ ἀν᾽ Ἑλλάδ᾽· ἀλλ᾽ ἐμοί, Πενθεῦ, πιθοῦ,
Μὴ τὸ κράτος αὔχει δύναμιν ἀνθρώποις ἔχειν,
Μηδ᾽ ἢν δοκῇς μὲν, ἡ δὲ δόξα σου νοσῇ,
Φρονεῖν δόκει τι, τὸν θεὸν δ᾽ εἰς γῆν δέχου,
Καὶ σπένδε, καὶ βάκχευε, καὶ στέφου κάρα.
Οὐχ ὁ Διόνυσος μὴ σωφρονεῖν ἀναγκάσει

Hæc quidem *ſiccis alimentis* alit mortales.
Quod autem venit in Certamen *cum Cerere, eſt* hic Semeles filius,
Uvæ *enim* humidam potionem invenit, & intulit
Hominibus: " quæ liberat miſeros mortales
" Dolore *curarum*, quoties repleti fuerint vitis liquore.
" Somniumque oblivionem malorum, quæ quotidie accidunt,
" Dat, nec eſt aliud pharmacum curarum *efficacius*.
Hic, qui Deus eſt, diis libat,
Ut homines habeant bona propter ipſum.
Et *tamen* derides eum, quòd inſutus fuerit Jovis
Femori: docebo te quàm hoc ſe pulchrè habeat.
Poſtquam ipſum rapuit ex igne fulmineo
Jupiter, *&* in Olympum duxit infantem recentem,
Juno voluit eum ejicere de cœlo.
Jupiter autem adverſus *hæc doli hunc* eſt molitus, ut pote Deus:
Ruptâ parte quâdam terram ambientis
Ætheris, *hic iſtum* poſuit, hunc obſidem tradens
Dionyſum, propter iras Junonis: poſtea verò ipſum
Homines dixerunt enutritum in femore Jovis,
Nomine mutato, quòd deæ deus *Bacchus*
Junoni quondam obſes fuerit, *hanc inde* componentes fabulā.
Vates verò deus hic *eſt*: etenim ipſa bacchatio
Et ipſa inſania magnam vaticinandi vim habet:
Quando enim hic deus in corpus venerit multus,
Dicere futura inſanientes facit.
Martis quoque partem quandam aſſumptam habet.
Exercitum enim in armis, & in acie ſtantem,
Metu perterrefecit, priuſquam haſtam tangeret, *ac dimicaret*:
Furor enim, & hoc a Dionyſo venit.
Præterea videbis eum in Delphicis ſaxis
Salientem, cum facibus, & bicipitem rupem
Percutientem, & quatientem bacchicum ramum,
Et magnum *exiſtentē* per Græciā. Quare mihi, Pentheu, pare,
Ne imperium gloriare, poteſtatem in hominibus habere:
Neq; quāvis exiſtimes quidē *te ſapere*, tua verò opinio ſit vana,
Sapere quidquam te puta. Deum igitur in *tuam* ditionem recipe,
Et liba, & bacchare, & coronato caput.
Non enim ipſe Dionyſus coget impudicè ferri

V. 633. Ἡμεῖς δὲ χωλοί γ' ἐσμὲν) *Proverbiale* eſt, cùm quis minùs negotio cuivis obeundo ſit promptus, χωλὸν γίνεσθαι. Sic *Theocr.* in *Adoniis* uſus eſt, ut ait *Q. Septimius Florens*: ego autem ſaltem id loci nihil proverbiale agnoſco, ut cuivis apparebit ſatis attento; minatur enim ibi Mulier *Praxinoe* ſe filium ſuum ad Ingens Publicum ſpectaculum non geſtaturam; potiùs enim illum lacrymantem ſe audituram, quàm claudicantem viſuram, quia forte frangendum Crus illi aut aliam mutilationem ex concurſu hominum formidabat, verſ. 41. Δάκρυε, ὅσσα θέλεις· χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι. Neque, ut mihi videtur, illud *Nicarchi*, ἐκ χωλόν με ποιεῖς, ad hoc proverbium pertinet, ut idem dicit; quod mecum fatebitur, qui totum Epigramma perpendit, Extat autem *Antholog.* l. 7. fol. 481. Edit. *Henr. Stephani.* Joſ. Barnes. V. 634. Ταυτὸν) i. e. τὸ αὐτό, ταυτὸν autem pro ταυτό, ut τοιοῦτον pro τοιοῦτο, Vid. quæ Nos ad *Troad.* v. 972. V. 635. Ἐξότου) pro ἐξ ὅτου, ὅτου autem pro ὅτινος quod pro οὗτινος. Vid. quæ Nos ad *Bacch.* v. 468. & *Supplic.* v. 847. V. 637. Μέτεστιν ἡμῖν κόνιος ἢ τέφρας ποθέν) Neceſſe erat, ut κόνιος pro κόνεως ſcriberemus, ob *Iambum* in *Quarto*, probabile eſt ἡμῖν pro ἡμῖν ſcribi debere; ſed valdè delector *Scaligero*, qui legit, μέσ' ἔστιν, i. e. μεστὸν ἐστιν pro μέτεστι. V. 638. Ἄνδρες πονηροὶ, κοὐδὲν) Vid. ſuprà ad v. 231. *J. Barnes.* V. 639. Ὁτιὴ) *Atticè* pro ὅτι, quo verbo *Ariſtophanes* etiam utitur. V. 642. Ἀλλ' οἶδ' ἐπῳδὴν Ὀρφέως) *Orpheum* Magum fuiſſe, inquit *Joh. Brodæus*, literarum monumentis proditum eſt. *Pauſan.* Eliac. fol. 199. lin. 19. Τὸν Θρᾷκα Ὀρφέα μαγεύσαι δεινόν. Vid. quæ Nos ſuprà ad v. 582. *J. Barnes.* V. 644. Μονῶπα παῖδα γῆς) *Polyphemum* Cyclopem *Apollonius* Argon. 1. *Neptuni* & *Europæ Tityi* filiæ filium vocat, Τὸν ῥα Ποσειδάωνι ποδωκηέστατον ἄλλων Εὐρώπη Τιτυοῖο μεγασθενέος τέκε κούρη. *Andron* verò *Teius* & *Poſidonius Polyphemum*, ut & *Apollodorus* Bibliothecæ l. 1. Patre *Elato* & Matre *Stilbe* Nymphâ natum fuiſſe memorant. *Conon* in *Heracleâ Elaſi* & *Amymonæ* filium vocat. Sed dicendum, vel Authores confudiſſe *Polyphemum* Argonautam cum *Cyclope*, vel omninò *Homeri* fidem eſt præferendam, qui *Neptunum* Patrem, Matrem *Thooſam Phorcynis* filiam disertè aſſignat, *Odyſſ.* α'. v. 68. Ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰὲν Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν Ἀντίθεον Πολύφημον, ὅου κράτος ἔσκε μέγιστον Πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη, Φόρκυνος θυγάτηρ, ἁλὸς ἀτρυγέτοιο μέδοντος, Ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα. *Euripides* quoque & ipſe *Neptunum* Patrem agnoſcit, nec *Thooſam* matrem negat; at *Terram* matrem vocat, quia *Terra* peperit *Deorum* hoſtes gigantes, qualis hic erat. *Joſ. Barnes.* V. 650. Ἐν τῷ Καρὶ κινδυνεύσομεν) Vid. *Eraſmum* in Adagio, *In Care periculum*: Laudo tamen *Q. Septimium Florentem Chriſtianum*, qui legit cum notâ Interrogationis, pro Καρὶ, γὰρ τί κινδυνεύσομεν; Cujus ſenſum in *Latinâ* verſione exprimi curavi. *Joſua Barnes.* V. 655. Τυφέτω, καιέτω) Vide, num potius ſcribendum ſit τύφετε, καίετε, ſicut præceſſit ἐκκαίετε. *Henricus Stephanus.*

Κύ. Οὖτίς μ' ἀπώλεσεν. Χο. οὐκ ἄρ' οὐδείς ἠδίκει.
Κύ. Οὖτίς με τυφλοῖ βλέφαρον. Χο. οὐκ ἄρ' εἶ τυφλός.
Κύ. Ὡς δὴ σύ. Χο. καὶ πῶς σ' οὔτις ἂν θείη τυφλόν;
Κύ. Σκώπτεις· ὁ δ' Οὖτις, ποῦ 'στιν; Χο. οὐδαμοῦ, Κύκλωψ.
Κύ. Ὁ ξένος, ἵν' ὀρθῶς ἐκμάθῃς, μ' ἀπώλεσεν,
Ὁ μιαρός· ὅς μοι δοὺς τὸ πῶμα, * κατέκλυσε. *Scal. κατέκαυσε.
Δεινὸς γὰρ οἶνος, καὶ παλαίεσθαι βαρύς.
Πρὸς θεῶν πεφεύγασ', ἢ μένουσ' εἴσω δόμων;
Χο. Οὗτοι σιωπῇ τὴν πέτραν ἐπήλυγα
Λαβόντες, ἑστήκασι. Κύ. ποτέρας τῆς χερός;
Χο. Ἐν δεξιᾷ τοι. Κύ. ποῦ; Χο. πρὸς αὐτῇ τῇ πέτρᾳ.
Ἔχεις; Κύ. κακόν γε πρὸς κακῷ, τὸ κρανίον
Παίσας κατέαγα. Χο. καί σε διαφεύγουσί γε.
Κύ. Οὐ τῇδ', ἐπεὶ τῇδ' εἶπας. Χο. οὐ ταύτῃ λέγω.
Κύ. Πῇ γάρ; Χο. περιάγουσί σε πρὸς τἀριστερά.
Κύ. Οἴμοι· γελῶμαι· κερτομεῖτέ μ' ἐν κακοῖς.
Χο. Ἀλλ' οὐκ ἔτ'· ἀλλὰ πρόσθεν οὗτός ἐστι σου.
Κύ. Ὦ παγκάκιστε, ποῦ ποτ' εἶ; Οδυ. τηλοῦ σέθεν,
Φυλακαῖσι φρουρῶ σῶμ' Ὀδυσσέως τόδε.
Κύ. Πῶς εἶπας; ὄνομα μεταβαλὼν καινὸν λέγεις;
Οδυ. Ὅπερ γ' ὁ φύσας μ' ὠνόμαζ' Ὀδυσσέα.
Δώσειν ἔμελλες ἀνοσίου δαιτὸς δίκας.
Κακῶς γὰρ ἂν Τροίαν γε διεπυρωσάμην,
Εἰ μή σ' ἑταίρων φόνον ἐτιμωρησάμην.
Κύ. Αἶ, αἶ· παλαιὸς χρησμὸς ἐκπεραίνεται.
Τυφλὴν γὰρ ὄψιν ἐκ σέθεν σχήσειν μ' ἔφη,
Τροίας ἀφορμηθέντος. ἀλλὰ καὶ σέ τοι
Δίκας ὑφέξειν ἀντὶ τῶνδ' ἐθέσπισε,
Πολὺν θαλάσσῃ χρόνον ἐναιωρούμενον.
Οδυ. Κλαίειν σ' ἄνωγα· καὶ δέδορχ' ὅπως λέγω.
Ἐγὼ δ' ἐπ' ἀκτὰς εἶμι, καὶ νεὼς σκάφος
Ἥσω 'πὶ πόντον Σικελόν, ἐς τ' ἐμὴν πάτραν.
Κύ. Οὐ δῆτ', ἐπεί σε τῆσδ' ἀπορρήξας πέτρας
Αὐτοῖσι σὺν ναύτῃσι συντρίψω βαλών.
Ἄνω δ' ἐπ' ὄχθον εἶμι, καίπερ ὢν τυφλός,
Δι' ἀμφιτρῆτος τῆσδε προσβαίνων ποδί.

Cy. Nemo me perdidit. *Ch.* Nemo ergo *te* injuriâ affecit.
Cy. Nemo excæcavit mihi palpebram. *Ch.* Ergo non es cæcus.
Cy. Utinam & tu ſis talis. *Ch.* Et quomodo te nemo poſuit excæc.
Cy. Tu rides. Nemo autem ubi eſt? *Ch.* Nuſquam, Cyclops.
Cy. Hoſpes, ut recte intelligas, me perdidit,
Deteſtabilis, qui dans mihi potum, exuſſit *oculum*.
Vehemens enim *eſt* vinum, & non poteſt facile vinci.
Per deos, effugeruntne, an manent in domo?
Cho. Iſti tacitè petram opacam *ac obſcuram*
Occupantes ſtant. *Cy.* Ad utram manum?
Cho. Ad dextram. *Cy.* Ubi? *Ch.* Ad illam ipſam petram.
Habes? *Cy.* Malum certè ad malum *accedit*, cranium *enim*
Impingens fregi. *Ch.* Jam te effugiunt.
Cy. Non hâc; quandoquidem hâc dicebas. *Ch.* Non hâc dico.
Cy. Quomodo igitur? *Ch.* Circumeunt te ad ſiniſtram.
Cy. Hei mihi, irrideor: ridetis me in malis.
Cho. Sed non jam amplius: ſed eſt hic ante te.
Cy. O peſſime, ubi es: *Ulyſ.* Procul à te,
Excubiis cuſtodio corpus hoc Ulyſſis.
Cy. Quid dixiſti? an mutato priore nomine novum dicis?
Ulyſ. Quod qui genuit me, nominavit Ulyſſem.
Daturus eras impii cibi pœnas.
Malè enim Trojam inflammâſſem,
Si te propter necem ſociorum ultus non eſſem.
Cy. Heu, heu, antiquum oraculum perficitur.
Me enim à te excæcatum iri dicebat,
A Trojâ redeunte: ſed & te
Pœnas daturum pro his prædixit
Longo in mari tempore pendentem *atque jactatum*.
Ulyſ. Plorare te jubeo, & video ut dico, *i.e. ſalvis oculis dico*.
Ego enim ad littus vado, & navis ſcapham
Impellam ad mare Siculum, & in meam patriam.
Cy. Nequaquam, quia te hoc abrupto ſaxo
Tuis cum nautis conteram, *hoc in vas jaculatus*.
Surſû enim in collê *ac in altum littus* ibo, quamvis ſim cæcus,
Per cavernoſam rupem hanc ambulans pedibus.

V. 670. Καὶ πῶς σ' οὔτις ἂν θείη τυφλόν) Olim legebatur Καὶ πῶς σύ; τίς σ' ἂν θείη τυφλόν; Magno & aperto Verſûs damno. *Duportus*, licet ſenſum non ſit aſſecutus, Verſui tamen hoc modo conſulebat, Καὶ σὲ πῶς τίς ἂν θείη &c. At *Canterus*, ut nos nunc Textum corrigimus; Καὶ πῶς σ' οὔτις ἂν θείη τυφλόν; Luſus enim eſt in Vocabulo Οὖτις, quòd, ut *Cyclops* putabat, erat *Ulyſſis* nomen, *Chorus* pro οὐδεὶς, *Nemo* capit, *Odyſſ.* l. v. 408. ut apud *Homerum* Cyclopes alii, quando *Polyphemus* exclamârit, Οὖτίς με κτείνει δόλῳ, οὐδὲ βίηφιν, reſponderunt, Εἰ μὲν δὴ μήτις σε βιάζεται οἶον ἐόντα, Νοῦσόν γ' οὔπως ἔστι Διὸς μεγάλου ἀλέασθαι. *Joſ. Barnes.* V. 673. Ὁ μιαρὸς, ὅς μοι δοὺς τὸ πῶμα κατέκαυσε) Non poteſt hoc verbi conſiſtere in fine *Iambici* Verſûs, inquit *Q. Septim. Florens*, propterea emendavit *Canterus* κατέκλυσε, quod ſi rectū eſt, idem erit ac *implevit* & *inebriavit* madidúmque fecit. Sed malim aliud quid comminiſci. Ita ille. Et ſanè *Duportus* noſter ſatis dextrè verba diſpoſuit hoc modò. Ὁ μιαρὸς, ὅς κατέκαυσε, δοὺς τὸ πῶμά μοι. At multò leviori variatione *Scaliger* ὁ μῖν legit, [illegible], pro κατέκαυσε. *J. Barnes.* V. 674. Παλαιστὴς βαρύς) *Luctator doloſus eſt.* V. 676. Ἐπήλυγα) Obſcuram, Ἐπήλυξ, ἡ, τῆς ἐπήλυγος, eſt verbum *Eurip.* ferè ſingulare à Λύγη, *Tenebræ*, hinc λυγαῖος *Apollon.* Rhod. Νὺξ θ' ὑπὸ λυγαίη. Hinc ἡ λύγη *Ariſtoph.* ἐπηλυγάζω tego *Thucydid.* [illegible] Λυγάβας dicitur ἀπὸ τοῦ λυγαίως βαίνειν. *Joſua Barnes.* V. 678. Ἐν δεξιᾷ τοι.) Hanc ſyllabam τοι adjeci, *Senſui* enim commoda eſt & Verſui neceſſaria, quæ ob defectum unius Syllabæ hactenùs laborabat; nec tamen inter tot Criticos vel Unus antehac [illegible] vidit. *J. Barnes.* V. 680. Κατέαγα) *Atticè* pro κατῆγα, à κατάγνυμι *Frango.* V. 681. Οὐ τῇδ', ἐπεὶ τῇδ' εἶπας) *Scaliger* in Verſûs Principio delebat *Cyclopis* nomen; & ante Ἐπεὶ ponendum cenſuit; nos è contra, ut olim notatum erat, ratum facimus. Poſtquam enim *Cyclops* fruſtra *Ithacenſes* quærendo Cranium fregerat; & *Chorus* dixit, illos jam hinc fugiſſe, is malè mactatus reſpondet, *Non hîc erant*, quanquam hic eos eſſe affirmabant, Οὐ τῇδ' ἐπεὶ τῇδ' εἶπας. *J. Barnes.* V. 686. Φυλακαῖσι φρουρῶ σῶμ' Ὀδυσσέως τόδε) Rectè σῶμα pro δῶμα in poſterioribus Editionibus ſubſtituitur. *J. Barnes.* V. 692. Παλαιὸς χρησμὸς) Hoc oraculum *Telemus Eurymi* filius *Cyclopi* dederat, ut *Hom.* Odyſſ. l. v. 507. Ὢ πόποι· ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει· Ἔσκε τις ἐνθάδε μάντις ἀνὴρ ἠΰς τε μέγας τε, Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο. Hinc *Ovid.* Metamorph. l. 13. Fab. 8. *Telemus Eurymides, quem nulla fefellerat ales, Terribilem Polyphemon adit; Lumenque, quod unum Fronte geris mediâ, rapiet tibi, dixit, Ulyſſes.* V. 697. Δέδορχ' ὅπως) Acutè *Iſaac. Caſaubonus* δεδορκότως, *Oculis ſalvis* legit; quam lectionem *Scaliger* confirmat, & credo ego genuinam eſſe; eſt enim amarus in *Cyclopem* ſarcaſmus; qui oculo privatus, malè auguratur *Ulyſſ.* Sed quia etiam aliter Senſus ſe benè habet, Textum nolui mutare. *J. Barnes.* V. 699. Ἥσω 'πὶ πόντον Σικελὸν) *Siculus Neptuni* filius, poſt *Sicanum*, *Siciliæ* (quæ & *Trinacris*) Rex, huic inſulæ nomen dedit, Hæc Inſula Mari ſibi contermino: *Siculum* autem Mare, anguſtum atque præceps alterno curſu, modò in *Tuſcum*, modò in *Ionium* pelagus influit; vorticoſum autem eſt, & *Scyllæ* & *Charybdis* fabulatâ ſævitiâ famoſum. Hinc *Ovid.* Metamorph. ---*Raſtibúſque inimica Charybdis Nunc ſorbere Fretum, nunc reddere cinctáque ſævis Scylla rapax canibus* Siculo *latrare* profundo. Et *Ulyſſis* ſanè pericula & ſociorum amiſſionem & labores in hoc mari exantlatos *Homerus* deſcribit *Odyſſ.* l. μ'. *J. Barnes.* V. 700. Τῆς δ' ἀπορρήξας πέτρας) Subaudi ἀποκόμματι (?). V. 701. Αὐτοῖσι σὺν ναύτῃσι) *Cant.* Nov. Lect. l. 2. c. 21. συνναύτῃσι (?) verbo unico legit, ut & aliàs ſupra v. 412. & poſt v. 704. V. 703. Δι' ἀμφιτρῆ-

ἀμφιτρῆτος) Ita reſtituo ex *Aldi, Stephani, Canteri, Scaligeri*, aliorumque Doctorum hominum Authoritate, nam & ipſe locus & ſenſus & conſequentia loci probat *Cyclopem* in rupe ſtare, jam de *rupe* loqui, & de *rupe* fragmentum in *Ulyſſis* Navem tandem projeciſſe, & per mare, ſi id quidem poſſet, non jam tamen ambulâſſe; nec tale quid *Homerus* aut *Euripides* memorat; quare omninò ἀμφιτρῆτος legendum, nec quod *Brodæus* malè intulit ἀμφιτρίτης, i. e. θαλάσσης, hic loci admittendum. Præterea, ut nos agnoſcimus, non modò *Sophocli* & *Theocrito* verbum Ἀμφιτρίτη pro *mare* occurrere, ſed innumeris aliis, eſt enim Verbum valdè notum, purum & authenticum; ita pervincendum eſt, ἀμφίτρητος ὁ καὶ ἡ & ἀμφιτρὴς ὁ καὶ ἡ, τοῦ ἀμφιτρῆτος (ut ἀπόρρωξ, ἄγος) de quâ re vide fuſiùs diſputantem *Henricum Stephanum* in ſuis ad *Euripidem* Annotationibus, & in eaſdem Præfatione. Nec eſt, quòd novi verbi formâ quis offendatur, non enim hæc Dictio ab *Nonno* tantùm uſurpatur, ſed & ab ipſo *Sophocle*, *Euripidis* coætaneo, amico, & *Attico* cive; ſic enim ille *Philoctet.* v. 16. Σκοπεῖν θ' ὅπου 'ſτ' ἐνταῦθα δίστομος πέτρα τοιάδ' ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ πάρεστιν ἐνθάκησις· ἐν θέρει δ' ὕπνον δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή. In quem locum *Scholiaſt.* Δι' ἀμφιτρῆτος) τοῦ ἀμφοτέρωθεν τετρημένου. *Joſua Barnes.*

Χο. Ἡμεῖς δὲ συνναῦται γε τοῦδ' Ὀδυσσέως
Ὄντες, τὸ λοιπὸν Βακχίῳ δουλεύσομεν.

Cho. Nos verò navigationis-ſocii hujus Ulyſſis
Exiſtentes, *cum hoc Ulyſſe navigantes*, poſthàc Baccho ſerviemus.

V. 704. Ἡμεῖς δὲ συνναῦται γε τοῦδ' Ὀδυσσέως Ὄντες) *Chorus Satyrorum* unà cum *Ulyſſe* abducendus hæc loquitur, συνναῦ) non hic ponitur, ut ſupra v. 701. & v. 424. pro ſimplici ναῦται, ſed pro συνναυστολούμενοι.

Εὐριπίδου Κύκλωπος Τέλος.

Finis *Euripidis Cyclopis.*

V. 705. Τὸ λοιπὸν) Vel *disjunctim*, vel τολοιπὸν *junctim* legitur, ὡς τὸ λοιπὸν τοῦ χρόνου, ſic τὸ πρῶτον & τοπρῶτον, & innumera hujuſmodi. Βακχίῳ δουλεύσομεν) poſthàc ad *Bacchi* miniſteria vacabimus, tuâ Tyrannide liberati. *Silenus* autem & *Satyri*, cum *Mænadibus*, ſemper *Bacchi* Comites habebantur; quia Vinum plerunque Saltationes & Laſciviam provocat, & ridiculas geſticulationes & protervos jocos excitare ſoleat. De *Polyphemo* autem & illius cæcatione aliiſque rebus ad hanc Fabulam pertinentibus, præter *Nonum* librum *Homericæ* Odyſſeæ, qui totus in hâc re verſatur, videſis *Virgil.* Æn. l. 3. v. 616. ad v. 681. Item *Theocr.* Idyll. xi. *Cyclops* dictum, *Ovid.* Metamorph. l. 13. Fab. 8. *Nonni* Dionyſ. l. 14. *Heraclitus* περὶ ἀπίστων, κεφαλ. ιά. hæc ait, Τοῦτον ἄν τις ἀπολαύσοι διαιτώμενον ἐπ' ἐρημίας, νόμων ἄπειρον εἶ), πεποιθέναι δὲ τῇ βίᾳ, μίαν αἴσθησιν ἔχοντα τὴν ἀπὸ τῆς ὀργῆς, λογισμὸν δὲ μηδὲν περιβλέποντα· Ὃν ὁ σοφὸς Ὀδυσσεὺς κατεπόνησε. *Servius* contrà illum Prudentem fuiſſe ait, multi, inquit, *Polyphemum* dicunt *unum habuiſſe oculum; alii duos, alii tres, ſed totum fabuloſum eſt. Nam hic Vir Prudentiſſimus fuit & ob hoc Oculum in Capite habuiſſe dicitur*, i. e. *juxta Cerebrum; quia Prudentiâ plus videbat. Verùm Ulyſſes eum aſtu ſuperavit & ob hoc eum cæcaſſe fingitur.* Ego puto illum ſtolidi potiùs cujuſdam Emblema, Viribus valentis, & Conſilii & Pietatis expertis. Cujuſmodi *Gigantes* fuiſſe ferè omnes memorantur, ideò *Terræ* filii dicti, quòd nihil Divinum ſaperent, ſed craſſo erant ingenio & ſtolidè ſuis viribus confiſi peſſimè tandem periêre; Unde de iis rectè *Horatius* cecinit, Carm. l. 3. Od. 4. *Vis Conſili expers mole ruit ſuâ: Vim temperatam Dii quoque provehunt In majus: iidem odêre Vires Omne nefas animo moventes.* Joſua Barnes.

ΕΥΡΙΠΙ-

ΕΥΡΙΠΙΔΟΥ ΗΡΑΚΛΕΙΔΑΙ.

ΥΠΟΘΕΣΙΣ ΗΡΑΚΛΕΙΔΩΝ.

Ἰόλαος υἱὸς μὲν ἦν Ἰφικλέους, ἀδελφιδοῦς δὲ Ἡρακλέους· ἐν νεότητι δ' ἐκείνῳ συστρατευσάμενος, ἐν γήρᾳ τοῖς ἐξ ἐκείνου βοηθὸς εὔνους παρέστη. Τῶν γὰρ παίδων ἐξ ἁπάσης ἐλαυνομένων γῆς ὑπ' Εὐρυσθέως, ἔχων αὐτοὺς ἦλθεν εἰς Ἀθήνας κἀκεῖ προσφυγὼν τοῖς θεοῖς, ἔσχε τὴν ἀσφάλειαν, Δημοφῶντος τῆς πόλεως κρατοῦντος. Κοπρέως δὲ τοῦ Εὐρυσθέως κήρυκος ἀποσπᾶν θέλοντος τοὺς ἱκέτας, ἐκώλυσεν αὐτόν. ὁ δὲ ἀπῆλθε, πόλεμον ἀπειλήσας προσδέχεσθαι. Δημοφῶν δὲ, τούτου μὲν ὠλιγώρει· χρησμῶν δὲ αὐτῷ νικηφόρων γενηθέντων, ἐὰν Δήμητρι τὴν εὐγενεστάτην παρθένον σφάξῃ, τοῖς λόγοις βαρέως εἶχεν· οὔτε γὰρ ἰδίαν, οὔτε τῶν πολιτῶν τινὸς θυγατέρα χάριν τῶν ἱκετῶν ἀποκτεῖναι, δίκαιον ἡγεῖτο. Τὴν μαντείαν δὲ προγνοῦσα μία τῶν Ἡρακλέους παίδων Μακαρία, τὸν θάνατον ἑκουσίως ὑπέστη. Ταύτην μὲν οὖν εὐγενῶς ἀποθανοῦσαν, ἐτίμησαν· αὐτοὶ δὲ τοὺς πολεμίους ἐπιγνόντες παρόντας, εἰς τὴν μάχην ὥρμησαν.

ARGUMENTUM HERACLIDARUM.

IOlaus *filius quidem erat* Iphiclis, Herculis *verò ex ſorore nepos. Cùm autem in juventute ad militiam cum eo iviſſet, in ſenectute natis ex illo benevolus auxiliator præſtò fuit. Cùm enim* ejus *liberi ex universâ* Græcia *expellerentur ab* Euryſtheo, *cum ipſis* Athenas *venit. Ibique cùm ad aras Deorum confugiſſet, tutum obtinuit refugium, cùm* Demophon *ſummum Reipub. principatum haberet. Cùm autem* Copreus Euryſthei *præco Supplices* ab aris *avellere vellet*, Demophon *ipſum prohibuit. Ille verò diſceſſit bellum minatus* Athenienſibus *expectandum.* Demophon *autem hoc quidem contemnebat. Sed cùm oracula ipſi reddita fuiſſent victoriam ſignificantia, ſi* Cereri *nobiliſſimam virginem immolâſſet, his reſponſis graviter angebatur. Nec enim ſuam, nec civium cujuſquam filiam, Supplicum gratiâ mactari æquum ducebat.* Macaria *verò una ex* Herculis *filiabus oraculo priùs cognito, mortem ultrò ſubiit. Hanc igitur generosâ morte defunctam* Demophon *debitis honoribus ornavit. Ipſi verò* Athenienſes, *cùm cognoviſſent hoſtes adeſſe, ad prælium alacritèr prodiêrunt.*

Ἄλλη Ὑπόθεσις ἐξ Ἀπολλοδώρου Βιβλιοθήκης.

Μεταστάντος δὲ Ἡρακλέους εἰς θεοὺς, οἱ Παῖδες αὐτοῦ φυγόντες Εὐρυσθέα, πρὸς Κήϋκα παρεγένοντο· ὡς δὲ ἐκείνους ἐκδιδόναι λέγοντος Εὐρυσθέως καὶ πόλεμον ἀπειλοῦντος, ἐδεδοίκεσαν, Τραχῖνα καταλείποντες, διὰ τῆς Ἑλλάδος ἔφυγον· διωκόμενοι δὲ ἦλθον εἰς Ἀθήνας, καὶ καθεσθέντες ἐπὶ τὸν Ἐλέου βωμὸν, ἠξίουν βοηθεῖσθαι· Ἀθηναῖοι δὲ οὐκ ἐκδιδόντες αὐτοὺς, πρὸς τὸν Εὐρυσθέα πόλεμον ὑπέστησαν. Καὶ τοὺς μὲν παῖδας αὐτοῦ Ἀλέξανδρον, Ἰφιμέδοντα, Εὐρύβιον, Μέντορα, Περιμήδην ἀπέκτειναν, αὐτὸν δὲ Εὐρυσθέα φεύγοντα ἐφ' ἅρματος, καὶ πέτρας ἤδη παριππεύοντα Σκειρωνίδας, κτείνει διώξας Ὕλλος, καὶ τὴν μὲν κεφαλὴν ἀποτεμὼν, Ἀλκμήνῃ δίδωσιν· ἡ δὲ κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ.

Aliud ARGUMENTUM ex * *Apollodori* Bibliothecâ.

* *l.2.c.8.*

R*Elato inter Deos* Hercule, *Liberi illius* Euryſtheum *fugientes ad* Ceycem *ſe receperunt. Ubi verò, illos repetente* Euryſtheo, *& bellum minitante, ſibi metuerent, relictâ* Trachine, *per* Helladem *fugerunt. Cùm verò etiam eos perſequeretur* Euryſtheus, Athenas *tandem conceſſerunt; ſedentéſque ad* Miſericordiæ *Aram, opem implorabant.* Athenienſes *non modo non dediderunt eos, ſed etiam adverſus* Euryſtheum *bellum ſuſtinebant. Et ibi ſanè illius filios* Alexandrum, Iphimedontem, Eurybium, Mentorem *&* Perimedem *occiderunt. Ipſum verò fugientem* Euryſtheum *in Curru, Petraſque* Scironidas *jam prætervectum* Hyllus *inſecutus obtruncat. Et illius quidem Caput amputatum* Alcmenæ *donat: Hæc verò illi aciculis oculos effodit.*

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ. PERSONÆ hujus Fabulæ *ſunt hæ.*

ΙΟΛΑΟΣ.	IOLAUS.
ΚΟΠΡΕΥΣ.	COPREUS.
ΧΟΡΟΣ.	CHORUS.
ΔΗΜΟΦΩΝ.	DEMOPHOON.
ΜΑΚΑΡΙΑ Παρθένος.	MACARIA Virgo.
ΘΕΡΑΠΑΙΝΑ.	ANCILLA.
ΑΛΚΜΗΝΗ.	ALCMENA.
ΑΓΓΕΛΟΣ.	NUNCIUS.
ΕΥΡΥΣΘΕΥΣ.	EURYSTHEUS.
Προλογίζει δὲ ὁ Ἰόλαος.	Prologum autem agit Iolaus.

ARGUMENTUM *Actûs* Primi.

IOlaus Iphicli, Herculis *fratris, filius Prologum agens Fabulæ argumentum aperit; quod eſt* Herculis *defuncti Liberorum Perſecutio: Quos* Euryſtheus, Junone *eum ſtimulante, totâ extorres agebat* Græciâ; *nequid* Herculeæ *ſtirpis reliquum maneret:* Copreus, Euryſthei *præco, Vir intolerandæ ferociæ,* Iolaum *cum* Herculis *Liberis etiam* Supplices *ab Aris Deorum vi parat abſtrahere.* Chorus

ſenum

ſenem Athenienſium *huic rei interveniens ferocientem & vim parantem diſtinet, donec ipſe Rex* Demophon, *tumultu excitatus, ad cauſam inquirendam accurrat.* Coprei *hinc &* Iolai *coram* Demophonte *contendentium Oratio, illius* Herculis *Liberos ad necem poſtulantis, hujus ſtrenuè defendentis.* Iolaus *vincit ; diſcedit itaque* Copreus *præco,* Euryſthei *nomine bellum* Athenienſibus *ſuperbè comminatus.*

ΙΟΛΑΟΣ, ΚΟΠΡΕΥΣ, ΧΟΡΟΣ, ΔΗΜΟΦΩΝ.

Ἴαμβοι.

Πάλαι ποτ' ἐστὶ τοῦτ' ἐμοὶ δεδογμένον,
Ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ,
Ὁ δ' εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον,
Πόλει τ' ἄχρηστος, καὶ συναλλάσσειν βαρὺς,
Αὑτῷ δ' ἄριστος· οἶδα δ' οὐ λόγῳ μαθών.
Ἐγὼ γὰρ αἰδοῖ, καὶ τὸ συγγενὲς σέβων,
Ἐξὸν κατ' Ἄργος ἡσύχως ναίειν, πόνων
Πλείστων μετέσχον εἷς ἀνὴρ Ἡρακλέει,
Ὅτ' ἦν μεθ' ἡμῶν· νῦν δ' ἐπεὶ κατ' οὐρανὸν
Ναίει, τὰ κείνου τέκν' ἔχων ὑπὸ πτεροῖς,
Σώζω τάδ', αὐτὸς δεόμενος σωτηρίας.
Ἐπεὶ γὰρ αὐτῶν γῆς ἀπηλλάχθη πατὴρ,
Πρῶτον μὲν ἡμᾶς ἤθελ' Εὐρυσθεὺς κτανεῖν·
Ἀλλ' ἐξέδραν μιν· καὶ πόλις μὲν οἴχεται,
Ψυχὴ δ' ἐσώθη· φεύγομεν δ' ἀλώμενοι,
Ἄλλην ἀπ' ἄλλης * ἐξορίζοντες πόλιν. * al. ἐξορισθέντες.
Πρὸς τοῖς γὰρ ἄλλοις καὶ τόδ' Εὐρυσθεὺς κακοῖς
Ὕβρισμ' ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι·
Πέμπων, ὅπη γῆς πυνθάνοιθ' ἱδρυμένους,
Κήρυκας, ἐξαιτεῖ τε, κἀξείργει χθονὸς,
Πόλιν * προτιμῶν Ἄργος, οὐ σμικρὰν φίλην * al. προτείνων.
Ἐχθρὰν γενέσθαι, χ' αὑτὸν εὐτυχοῦνθ' ἅμα.
Οἱ δ' ἀσθενῆ μὲν τἀπ' ἐμοῦ δεδορκότες,
Σμικροὺς δὲ τούσδε, καὶ πατρὸς τητωμένους,
Τοὺς κρείσσονας σέβοντες, ἐξείργουσι γῆς.
Ἐγὼ δὲ, σὺν φεύγουσι συμφεύγω τέκνοις,
Καὶ σὺν κακῶς πράσσουσι, συμπράσσω κακῶς,
Ὀκνῶν προδοῦναι, μή τις ὧδ' εἴπῃ βροτῶν·
Ἴδεσθ', ἐπειδὴ παισὶν οὐκ ἔστιν πατὴρ,
Ἰόλαος οὐκ ἤμυνε συγγενὴς γεγώς.
Πάσης δὲ χώρας Ἑλλάδος τητώμενοι,
Μαραθῶνα, καὶ σύγκληρον ἐλθόντες χθόνα,
Ἱκέται καθεζόμεσθα βώμιοι θεῶν,
Προσωφελῆσαι· πεδία γὰρ τῆσδε χθονὸς
Δισσοὺς κατοικεῖν Θησέως παῖδας λόγος,
Κλήρῳ λαχόντας, ἐκ γένους Πανδίονος,

Iol. Jamptidem hoc decretum eſt apud me,
Alius quidem erga proximos juſtus eſt vir.
Qui verò animū habet propenſum in lucrum, *eiq; nimis addictū, is*
Reiq; publicæ *eſt* inutilis, & in *vitæ* commercio gravis *ac moleſt.*
Sed ſibi *eſt* optimus. ſcio autem *hoc* non verbis edoctus.
Ego enim præ pudore, & colens cognationem,
Cùm poſſem Argis tranquillè habitare, laborum
Particeps fui maximorum vir unus cum Hercule,
Quando erat nobiſcum : nunc verò poſtquam in cœlo
Habitat, ſub alis habens illius liberos,
Servo eoſdem, cum ipſe indigeam ſalute.
Poſtquam enim pater ipſorum diſceſſit ex terrâ,
Primùm quidem nos voluit Euryſtheus interficere :
Sed effugi, & periit quidem *mihi* civitas,
Sed vita ſervata eſt : fugimus autem errantes,
Relegati ab aliâ urbe in aliam.
Præter enim alia mala, hanc etiam Euryſtheus
Injuriam nobis voluit inferre.
Mittens *enim*, ubicunque terrarum audiverit *nos* conſediſſe,
Præcones, & *ad necem* depoſcit *nos*, & arcet ab agro.
Argivā urbē laudibus extollens & *dicens*, non parvū inter amicos
Odium excitatum iri, *ſi nos receperint*, & ſimul ſe florere *jactans*.
Illi verò cùm res meas infirmas viderent,
Hos verò parvos & patre orbatos *pueros*,
Colentes potentiores, ab *omni* terrâ *nos* arcent.
Ego verò fugio cum fugientibus liberis.
Simulque afflictus cum afflictis,
Metuens prodere *eos*, ne quis ita dicat mortalium :
Videte, poſtquam non eſt pater filiis,
Iolaus non fert opem, cum ſit cognatus.
Ex omni verò profligati Græciâ,
Venientes *ad* Marathonem, & terram ejuſdem ditionis,
Supplices ſedemus ad aras Deorum,
Ut juvent *nos* : quia campos hujus terræ
Habitare dicuntur duo filii Theſei,
Qui ſortitò poſſident *hunc agrum*, ex genere Pandionis *orlundi*,

Annotationes.

V. 1. Πάλαι ποτ') Orditur à graviſſimâ ſententiâ ; *Eos* videlicet Inutiles ubique eſſe & improbos, qui propter privatum commodum & proximos ſuos & Remp. neglectui habeant. Alludit autem ad illud *Platonicum* : Bonum Virum eum eſſe qui non ſibi, ſed ſuis civibus ac omnibus hominibus juvandis ſe putet natum. Ex *Gaſpar. Stiblini* notis. *Ibid.* Τοῦτ' ἐμοί) *Stobæus* titulo περὶ Ἀδικίας καὶ Φιλαργυρίας Hos quatuor Verſus cum Hemiſtichio citat ; ubi legit nonnulla paulò aliter, ut *τοῦτό μοι*, & v. 3. pro *πόλει* legit *φίλοις* & pro *συναλλάσσειν, συναλλάξαι*. Vide pleniùs de hâc re diſſerentem *Hen. Stephanum* in ſuis ad hanc Fabulam Annotationibus ; ubi & prædictus *Platonis* locus cum ſimili *Ciceronis* commiſſus indigitatur. *Joſua Barnes.* V. 10. Τὰ κείνου) Olim ſcriptum erat *τἀκείνου*, ſed illo modo prior ſyllaba producenda eſt, quod Verſus non permittet. Vid. *Henr. Stephanum* Tract. de Orthographiâ p. 1. V. 14. Ἀλλ' ἐξέδραν μιν) Olim per errorem ſcriptum erat, ἐξέδραμεν, non ſine manifeſta Verſûs jacturâ : Rectè *Scaliger* legebat ἐξέδραν μιν, *Dupertus* ἐξέδραμ μιν, non æquè felicitér. V. 33. Βώμιοι θεῶν) In *Herc. Fur.* eadem ferè Oeconomia eſt rerum ; ibi enim *Amphitryon* & *Megara* ſimili caſu ad Aras Supplices ſedent, ut ſerventur à *Lyci* manibus. In *Supplic.* quoque eodem modo *Athenienſium* auxilium imploratur ab *Argivis* Mulieribus. *Joſua Barnes.* V. 35. Δισσοὺς κατοικεῖν Θησέως παῖδας λόγος) Hæc de *Demophonte* & *Acamante* intelligenda ; licet *Pauſanias* hoc tempore ipſum *Theſeum* illorum Patrem regnare *Athenis* dicat, *Atticis* fol. 31. lin. 31. Ubi breve hujus Fabulæ Argumentum his verbis habet, Ἔστι δὲ ἐν τῷ Μαραθῶνι πηγὴ καλουμένη Μακαρία, καὶ τοιάδε ἐς αὐτὴν λέγουσιν· Ἡρακλῆς ὡς ἐκ Τίρυνθος ἔφευγεν Εὐρυσθέα, παρὰ Κήϋκα φίλον ὄντα μετῳκίζετο βασιλεύοντα Τραχῖνος· ἐπεὶ δὲ ἀπελθόντος ἐξ ἀνθρώπων Ἡρακλέους, ἐξῄτει τοὺς παῖδας Εὐρυσθεὺς, ἐς Ἀθήνας πέμπει σφᾶς ὁ Τραχίνιος, ἀσθενῆ τε λέγων τὰ αὐτοῦ καὶ Θησέα οὐκ ἀδύνατον εἶναι τιμωρεῖν. Ἀφικόμενοι δὲ οἱ παῖδες ἱκέται, πρῶτον τότε Πελοποννησίοις πόλεμον ποιοῦσι πρὸς Ἀθηναίους, Θησέως σφᾶς οὐκ ἐκδόντος αἰτοῦντι Εὐρυσθεῖ. Λέγουσι δὲ Ἀθηναίοις χρησμὸν γενέσθαι τῶν παίδων ἀποθανεῖν κελεῦσαι τῶν Ἡρακλέους τινὰ ἐθελοντὴν, ἐπεὶ ἄλλως γε οὐκ εἶναι νίκην σφίσιν. Ἐνταῦθα ἡ Μακαρία Δηϊανείρας καὶ Ἡρακλέους θυγάτηρ ἀποσφάξασα ἑαυτὴν ἔδωκεν Ἀθηναίοις τε κρατῆσαι τῷ πολέμῳ, καὶ τῇ πηγῇ ὄνομα ἀφ' ἑαυτῆς. *Joſua Barnes.*

Τοῖςδ'

Τοῖσδ᾽ δ᾽ ἐγγὺς ὄντες· ὧν ἕκατι, πήμονας
Κλεινῶν Ἀθηνῶν τήνδ᾽ ἀφικόμεσθ᾽ ὁδόν.
Δυοῖν γερόντοιν δὲ στρατηγεῖται φυγή·
Ἐγὼ μὲν ἀμφὶ τοῖσδε καλχαίνω τέκνοις·
Ἡ δ᾽ αὖ τὸ θῆλυ παιδὸς Ἀλκμήνη γένος,
Ἔσωθε ναοῦ τοῦδ᾽ ἀπηγκαλισμένη,
Σώζει· νέας γὰρ παρθένους αἰδούμεθα
Ὄχλῳ πελάζειν, κἀπιβωμιοστατεῖν.
Ὕλλος δ᾽, ἀδελφοί θ᾽, οἷσι πρεσβεύει γένος,
Ζητοῦσ᾽, ὅπου γῆς πύργον οἰκιούμεθα,
Ἢν τῆσδ᾽ ἀπωθώμεσθα πρὸς βίαν χθονός.
Ὦ τέκνα, τέκνα, δεῦρο λαμβάνεσθ᾽ ἐμῶν
Πέπλων· ὁρῶ κήρυκα τόνδ᾽ Εὐρυσθέως
Στείχοντ᾽ ἐφ᾽ ἡμᾶς, οὗ διωκόμεσθ᾽ ὕπο,
Πάσης ἀλῆται γῆς ἀπεστερημένοι.
Ὦ μῖσος, εἴθ᾽ ὄλοιο, χ᾽ ὡ πέμψας σ᾽ ἀνήρ.
Ὡς πολλὰ δὴ καὶ τῶνδε γενναίῳ πατρὶ
Ἐκ τοῦδε ταὐτοῦ στόματος ἤγγειλας κακά.
Κο. Ἦπου καθῆσθαι τήνδ᾽ ἕδραν καλὴν δοκεῖς,
Πόλιν τ᾽ ἀφῖχθαι σύμμαχον, καλῶς φρονῶν;
Οὐ γάρ τις ἐστὶν, ὃς παρ᾽ αἱρήσεται
Τὴν σὴν ἀχρείαν δύναμιν ἀντ᾽ Εὐρυσθέως·
Χώρει· τί μοχθεῖς ταῦτ᾽; ἀνίστασθαί σε χρὴ
Εἰς Ἄργος, οὗ σε λεύσιμος μένει δίκη.
Ιό. Οὐ δῆτ᾽· ἐπεί μοι βωμὸς ἀρκέσει θεοῦ,
Ἐλευθέρα τε γαῖ᾽, ἐν ᾗ βεβήκαμεν.
Κο. Βούλει πόνον μοι τῇδε προσθεῖναι χερί;
Ιό. Οὔτοι βίᾳ γέ μ᾽, οὐδὲ τούσδ᾽ ἄξεις λαβών.
Κο. Γνώσῃ σύ· μάντις δ᾽ οἶσθ᾽ ἄρ᾽ οὐ καλὸς τάδε.
Ιό. Οὐκ ἂν γένοιτο τοῦτ᾽ ἐμοῦ ζῶντός ποτε.
Κο. Ἄπαιρ᾽· ἐγὼ δὲ τούσδε, κἂν σὺ μὴ θέλῃς,
Ἄξω, νομίζων οὗπέρ εἰσ᾽ Εὐρυσθέως.
Ιό. Ὦ τὰς Ἀθήνας δαρὸν οἰκοῦντες χρόνον,
Ἀμύνετ᾽· ἱκέται δ᾽ ὄντες Ἀγοραίου Διὸς,
Βιαζόμεσθα, καὶ στέφη μιαίνεται,
Πόλει τ᾽ ὄνειδος, καὶ θεῶν ἀτιμία.
Χο. Ἔα, ἔα, τίς ἡ βοὴ βωμοῦ πέλας
Ἕστηκε; ποίαν συμφορὰν δείξει τάχα;

His Herculis filiis genere propinqui: quorum cauſâ ad fines
Inclytarum Athenarum hoc iter confecimus.
A duobus verò ſenibus hoc exilium regitur: Nam
Ego quidem in his pueris maribus curandis occupor;
Hæc verò Alcmene fœmineam filii ſui prolem
Intra hoc templum in ulnis fovens
Servat: tenellas enim virgines veremur
Adducere ad turbam, & collocare supplices-ad-aram:
Hyllus verò, & fratres, quibus provectior eſt ætas,
Quærunt ubi poſſimus habitare aliquam, arcem,
Si pellamur ex hâc terrâ per vim.
O filii, filii, huc venientes apprehendite meas
Veſtes: video enim præconem hunc Euryſthei
Venientem ad nos, à quo patimur perſecutionem
Privati errones omni terrâ.
O mortalium odium, utinam pereas, & vir ille, qui te miſit!
Adeò multa jam & horum generoſo patri,
Et hoc ipſo ore nunciâſti mala.
Cop. An igitur in hâc ſede pulchrâ, tutâque te confediſſe putas,
Et ad urbem ſociam perveniſſe, rectè ſentiens?
Nullus enim eſt, qui antepoſiturus ſit
Tuam imbecillem potentiam Euryſthei potentiæ.
Vade. quid hæc laboras? Oportet te ſurgere; ut redeas
Ad Argos, ubi te expectat ſupplicium lapidationis.
Iol. Nequaquam, quoniam mihi opitulabitur ara Dei,
Et libera terra, in quam egreſſi ſumus.
Cop. Vis addere huic meæ manui laborem?
Iol. Nunquam me, neque hos captos per vim abduces.
Cop. Cognoſces: nec bonus vates hæc noſti.
Iol. Non fiet hoc me vivente unquam.
Cop. Diſcede: ego enim hos, quamvis tu nolis,
Abducam, eos exiſtimans Euryſthei eſſe, ubiubi ſunt.
Iol. O qui Athenas longum habitatis tempus,
Opem ferte. Jovis enî Agoræi, i.e. Forenſis, cui ſimus ſupplices, tamê
Vim patimur, & ſupplicum-ramilanâ-velati polluuntur.
Urbi autem hoc affert probrum, & Deorum eſt ignominia.
Cho. Ehem, ehem. Quiſnam clamor prope aram
Excitatus auditur? quam calamitatem mox oſtendet?

V. 37. Τοῖς δ᾽ ἐγγὺς ὄντες) Quæ fuerit inter Herculis & Theſei liberos Affinitas, intrà oſtendit Euripides. Plutarchus in Theſeo de eo & Hercule loquens, ἀνέψιοι (inquit) δὲ καὶ γένους κοινωνοῦντες, ἐξ ἀνεψιῶν ὄντες. Αἴθρα μὲν γὰρ ἦν Πιτθέως θυγάτηρ, Ἀλκμήνη δὲ Λυσιδίκης· Λυσιδίκη δὲ καὶ Πιτθεὺς ἀδελφοὶ γεγονότες ἐξ Ἱπποδαμείας καὶ Πέλοπος. Probat & hoc altero modo in Helenæ Encomio Iſocrates, Ἐξ ἀδελφῶν δὲ γεγονότες, ὁ μὲν (Ἡρακλῆς) ἐκ Διὸς, ὁ δὲ (Θησεὺς) ἐκ Ποσειδῶνος, ἀδελφὰς καὶ τὰς ἐπιθυμίας ἔσχον. Joh. Brodæus. V. 39. Δυοῖν γερόντοιν) δυοῖ γέρουσιν, ἤγουν ἐμοί τε καὶ Ἀλκμήνῃ, ἐμοὶ μὲν οἱ παῖδες, ὑποτασσόμενοι, αὐτῇ δὲ αἱ θυγατέρες· φυγὴ, οἱ φυγαδευόμενοι Ἡρακλεῖδαι. Joſua Barnes. V. 40. Καλχαίνω) Curis diſtineor, ita Sophocl. Antigon. v. 20. Τί δ᾽ ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ᾽ ἔπος. Scholiaſt. Καλχαίνουσα) ἀντὶ τοῦ πορφύρουσα, καὶ τεταραγμένως φροντίζουσα. Κάλχη γάρ ἐστιν ὁ κόχλος τῆς πορφύρας, ἥτις ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἀνιοῦσα βάπτει τὴν καλλίστην πορφύραν· ἀφ᾽ οὗ καὶ Κάλχας ὁ μάντις. Ἄλλως, ἐκ βάθους τι μεριμνῶσα, ὡς τὸ βυσσοδομεύειν. Joſ. Barnes. V. 45. Ὕλλος) Hyllus Herculis filius & Macariæ frater ex Deianirâ Matre; hic illius Filiorum longè Fortiſſimus, illa omnium Herculis filiarum maximè generoſa. J. Barnes. V. 47. Πρὸς βίαν) Μετὰ βίας. Sophocl. ---μηδὲ πρὸς βίαν Ἐμοῦ κολασθῇ προστυχὼν φύσιν φρένας. Joh. Brodæus. V. 52. Ὦ μῖσος) ὦ μισητέ· O Vir mihi Odioſiſſime, utinam malè pereas! Hom. Iliad. ο. v. 639. Κοπρῆος φίλος υἱὸς, ὃς Εὐρυσθῆος ἄνακτος Ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ. Scholiaſt. Οὗτος δὲ ὁ Κοπρεὺς ἦν κῆρυξ Εὐρυσθέως τοῦ τῶν Ἀργείων βασιλέως, ὃς τὰς παρ᾽ ἐκείνου ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ, τῶν ἄθλων ἕνεκα ἔξωθεν τῆς πόλεως μένοντι· δεδοικὼς γὰρ αὐτὸν ὁ Εὐρυσθεὺς οὐκ εἴα ἔνδον εἰσελθεῖν. Joh. Brodæus. V. 55. Ἦπου καθῆσθαι &c.) Μῶν παρὰ τούτῳ τῷ βωμῷ ὀρθῶς σὺ καθίζεσθαι δοκεῖς; μῶν σὺ ταύτην σοι πόλιν, ὡς σύμμαχον προσεληλυθέναι, καλῶς φρονεῖς; Ἀλλὰ δὴ ἐμφανῶς μαίνῃ, ὃς τινα δήποτε τὴν σὴν ἀνωφελῆ καὶ ἀχρείαν καὶ ἀδύναμον δύναμιν, ἀνθαιρήσεσθαι νομίζῃ ἀντὶ τῆς φιλίας τοῦ Εὐρυσθέως τοῦ μέγα δυναμένου βασιλέως. Joſua Barnes. V. 60. Λεύσιμος μένει δίκη) Antiqua Maleficorum pœna, obrui lapidibus, non modò Adulterorum, ut Homerus de Paride, Λάϊνον ἕσσο χιτῶνα, ſed & Matricidarum, ut ſæpè in Oreſte; Λεύσιμος δίκη, eſt θάνατος λιθοβολιστικὸς, ἡ δίκη διὰ τῆς λιθοβολίας, ſic Oreſt. v. 614. Σοί, σῇ τ᾽ ἀδελφῇ λεύσιμον θανεῖν δίκην. Aliàs hanc mortem dixit λεύσιμον πέτρωμα, ut Oreſt. v. 443. Θανεῖν ὑπ᾽ ἀστῶν λευσίμῳ πετρώματι. Et πετρούμενον θανεῖν pro Lapidari, ut Oreſt. 947. Μόλις δ᾽ ἔπεισεν μὴ πετρουμένους θανεῖν. Quod Nonnus diceret ---πετρήεντι κατακρύπτεσθαι χιτῶνι. V. 61. Βωμὸς ἀρκέσει θεοῦ) Zenobius, ut teſtatur Brodæus, Herculis Liberos πρὸς τὸν τοῦ Ἐλέου βωμὸν profugiſſe commemorat; idem facit & Apollodorus ſuprà citatus in Argumento Græco huic Fabulæ præfixo. Quin Servius illos ſibi primos Aſylum, hoc eſt Templum Miſericordiæ collocâſſe. V. 69. Ἀθήνας δαρὸν οἰκοῦντες χρόνον) Athenienſes αὐτόχθονας notat, eoque nomine iis gratiſſimo ad auxilium ſuum magis illos excitandos putat. Vid. Johannis Meurſii libellum de Fortunâ Athenarum c. 1. & quæ Nos ad Ion. v. 29. J. Barnes. V. 70. Ἀγοραίου Διὸς) Jupiter ita Athenienſibus dictus, quòd in Foro Templum habuit, licet id paucis notatum: Hinc Æſchyl. Eumenid. Ἀλλ᾽ ἐκράτησε Ζεὺς Ἀγοραῖος. Ariſtoph. Equit. Fol. 212. Ἦ μή ποτ᾽ Ἀγο-

φαίνει Διὸς σπλάγχνοισι προσημαίνειν. *Schol.* Ἀγοραῖος Ζεὺς ἵδρυται ἐν τῇ Ἀγορᾷ καὶ ἐν τῇ Ἐκκλησίᾳ, ἤγουν Ἀθηνῶν. *Joſua Barnes.*

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ ά.

Ἰό. Ἴδετε τὸν γέροντα
* Μᾶλλον ἐπὶ πέδῳ
Χύμενον· ὢ τάλας.
Χο. Πρὸς τοῦ ποτ' ἐν γῇ πτῶμα δύςλυτον πιτνεῖς;
Ἰό. Ὅδ', ὦ ξένοι, με, σοὺς ἀτιμάζων θεοὺς,
Ἕλκει βιαίως Ζηνὸς ἐκ προβωμίων.

Στροφὴ β'.

Χο. Ὅδ'; ἐκ τίνος γῆς, ὦ γέρον, τετράπολιν
Ξυνοικον ἦλθες λαόν;
Ἢ πέραθεν ἁλίῳ πλάτᾳ
Κατέχετ' ἐκλιπόντες
Εὐβοΐδ' ἀκτάν;
Ἰό. Οὐ νησιώτην, ὦ ξένοι, τρίβω βίον,
Ἀλλ' ἐκ Μυκηνῶν σὴν ἀφίγμεθα χθόνα.

Στροφὴ γ'.

Χο. Ὄνομα τί σε, γέρον, Μυκηναῖος
Ὠνόμαζε λαός;
Ἰό. Τὸν Ἡράκλειον ἴστε που παραστάτην
Ἰόλαον; οὐ γὰρ σῶμ' ἀκήρυκτον τόδε.

Στροφὴ δ'.

Χο. Οἶδ' εἰσακούσας καὶ πρίν· ἀλλὰ τοῦ ποτ' οὖν
Χερὶ σῇ κομίζεις νεοτρεφεῖς κόρους, φράσον.
Ἰό. Ἡρακλέους οἵδ' εἰσὶ παῖδες, ὦ ξένοι,
Ἱκέται σέθεν τε, καὶ πόλεως ἀφιγμένοι.

Στροφὴ έ.

Χο. Τί χρέος; ἢ λόγων πόλεως, ἔννεπέ μοι,
* Μελομένῳ τυχεῖν.
Ἰό. Μήτ' ἐκδοθῆναι, μήτε πρὸς βίαν θεῶν
Τῶν σῶν ἀποσπασθέντες εἰς Ἄργος μολεῖν.
Κο. Ἀλλ' οὔτι τοῖς σοῖς δεσπόταις τάδ' ἀρκέσει,
Οἳ σοῦ κρατοῦντες, ἐνθάδ' εὑρίσκουσί σε.

Στροφὴ ς'.

Χο. Εἰκὸς θεῶν ἱκτῆρας αἰδεῖσθαι, ξένε,
Καὶ μὴ βιαίῳ χερὶ
Δαιμόνων ἀπολείπειν σ' ἕδη·
Πότνια γὰρ Δίκα τάδ' οὐ πείσεται.
Κο. Ἔκπεμπέ νυν γῆς τούσδε τοὺς Εὐρυσθέως,
Κοὐδὲν βιαίῳ τῇδε χρήσομαι χερί.

* Scaliger μάλιον.
* Cant. & Scal. Μελόμενοι.

ANOMOEOSTROPHA.

Strophe 1.

Iol. Aſpicite me ſenem
Ætate gravem, humi
Fuſum: ô me miſerum!
Cho. A quonam *proſtratus*, humi, caſu miſero jaces?
Iol. Ille, ô hoſpites, me, contemnens tuos deos,
Trahit violentèr ex veſtibulo aræ Jovis.

Strophe 2.

Ch. Hiccine? ex quâ terrâ, ô ſenex, *ad* ex-quat. civitatibus-collectum
Et ſimul habitantem populum veniſti?
An ex ulteriori loco, marino remo
Appuliſtis, relicto
Euboico littore?
Iol. Non ago, ô hoſpites, inſularem vitam:
Sed ex Mycenis *ad* tuam-terram venimus.

Strophe 3.

Cho. Quo nomine te, ô ſenex, Mycenæus
Appellat populus?
Iol. Herculeumne fortè noviſtis Armigerum
Iolaum? Nam iſta perſona non *eſt* incelebris.

Strophe 4.

Cho. Novi & antè audito *ejus nomine.* Sed cujusnam in
Manu tuâ geſtes pueros recèns-natos, i. e. *impuberes*, dic.
Iol. Herculis iſti ſunt filii, ô hoſpites,
Supplices tui & civitatis qui *huc* venerunt.

Strophe 5.

Ch. Quam ob cauſam? dic mihi, an civitatis colloquium
Expetentes conſequi?
Iol. Ne dedantur, neque per vim à Diis
Tuis avulſi Argos redeant.
Cop. Sed tuis dominis hæc non ſufficient, *nec à te propulſabiſtis eos.*
Qui imperium in te habentes, hic inveniunt te.

Strophe 6.

Cho. Convenit deorum vereri ſupplices, ô hoſpes,
Neque violentâ manu *decet*
Te Deorū ô *ſenex*, relinquere ſedes:
Veneranda enim Dice hæc non patietur.
Cop. Emitte nunc ex *hâc* terrâ hos Euryſthei *ſervos*,
Et non utar hâc violentâ manu.

V. 80. Ζηνὸς ἐκ προβωμίων) Si hæc Ara *Miſericordiæ*, quomodò hic Jovis dicitur? In *Jovis Agoræi* Templo erat *Miſericordiæ* Ara; vel *Jovis* Ara ſimul cum *Miſericordiæ* Arâ erigebatur, vel *Jovis* nomine vocatur Miſericordiæ Ara, eò quòd ut *Homerus* ait (*Odyſſ.* ζ. v. 207. & ξ. v. 58.) πρὸς γὰρ Διός εἰσιν ἅπαντες Ξεῖνοί τε πτωχοί τε. Unde Ξένιος & Ἱκέσιος dicitur, vid. quæ *Scholiaſtes* ad *Hecub.* v. 345. *Joſ. Barnes.* V. 81. Τετράπολιν ξυνοικον ἦλθες λαόν;) Ita olim *Attica* vocabatur Τετράπολις, ut teſtatur *Strabo* l. 8. Ξοῦθος δὲ τὴν Ἐρεχθέως θυγατέρα γήμας, ᾤκισε τὴν Τετράπολιν τῆς Ἀττικῆς, Οἰνόην, Μαραθῶνα, Προβάλινθον καὶ Τρικόρυθον. *Sophocl. Scholiaſt.* Διὸ Λακεδαιμόνιοι τὴν λοιπὴν γῆν δῃοῦντες, τῆς μὲν Τετραπόλεως ἀπέσχοντο διὰ τοὺς Ἡρακλείδας. *Theſeus* verò, ut *Plutarchus* refert, συνῴκισε τοὺς τὴν Ἀττικὴν κατοικοῦντας, εἰς ἓν ἄστυ, καὶ μιᾶς πόλεως ἕνα δῆμον ἀπέφηνε. *Joh. Brodæus.* V. 83. Πέραθεν) ἐκ τοῦ πέραν. Hinc ἀντιπέραν & ἀντιπέραθεν, πέρηθεν & περαιόθεν, ſcribitur & πέρας & πέρα. Vid. *Lexica.* Ibidem, Ἁλίῳ πλάτᾳ) *Atticè* pro ἁλίᾳ, ab ἅλς mare: Πλάτα, *Remus*, pro *Navis*. Synecdoche. *J. Barnes.* V. 91. Σῶμα τόδε) pro Ἐγώ, ὁ Ἰόλαος. Sic Ἡρακληείη βίη, Ἑρμείαο δέμας & *Corpus Turni*, Periphraſticè dicuntur; ut ſuprà diximus ad *Iphig.* Aul. v. 417. & *Iphig.* Taur. v. 1440. Vid. infrà v. 529. *Iolaus* autem fuit *Herculis* Armiger & belli Socius & Auriga; ut patet ex Poemate, *Herculis Scuti* nomine inſignito, *Heſiodo* attributo, v. 77. &c. Ὅς ῥά τοθ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον &c. *Pauſanias* quoque in *Atticis* fol. 17. lin. 17. Ἀλκμήνης τε βωμὸς καὶ Ἰολάου πεποίηται, ὃς τὰ πολλὰ Ἡρακλεῖ συνεπόνησε τῶν ἔργων. *Plutarchus* in *Pelopidâ*, Λέγεται δὲ καὶ τὸν Ἰόλαον τοῦ Ἡρακλέους ἐρώμενον ὄντα, κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. Quare rectè illum *Euripides* hic vocat Ἡράκλειον παραστάτην, ἤγουν παρασπίζοντα, καὶ παρὰ πλευρὰ ἱστάμενον ἐν τῷ πολέμῳ. *Joſua Barnes.* V. 92. Τοῦ πετ') Ità legimus pro τοῦ ποτ' *Aldino*, vid. *Henricum Stephanum*; quam lectionem Reſponſum confirmat, Τίνος εἰσὶν οἱ παῖδες; Ἡρακλέους. *Joſua Barnes.* V. 97. Μελομένῳ) *Canterus* & *Scaliger* μελόμενοι legunt & certè multò ſatiùs ad ἱκέται referetur hæc vocula, quàm ad μοι, ut cuivis conferenti videbitur; quum autem *Atticè* μελομένῳ pro μελόμενοι ſcribi poteſt, nihil muto. *Joſua Barnes.* V. 104. Δαιμόνων ἀπολείπειν σ' ἕδη) *Chorus* nuper *Copreum* allocutus, nunc ad *Iolaum* convertit orationem; neque te, fas eſt Divûm Altaria remittere. Non enim Juſtitia id patietur, ut quæ *Homicidæ* aliquandiù poſſunt Altaria defendere, ea *Hoſpitibus* & Afflictis Aſylum non præbeant. *Joſua Barnes.*

Χο. Ἀθι-

Στροφὴ ζ.

Χο. Ἄθεον, ἱκεσίαν μεθεῖναι πόλει
Ξένων * πρὸς τὸ πᾶν. * Canter. προςτροπάν.

Ἴαμβοι.

Κο. " Καλὸν δέ γ' ἔξω πραγμάτων ἔχειν πόδα,
" Εὐβουλίας τυχόντα τῆς ἀμείνονος.
Χο. Οὔκουν τυράννῳ τῆσδε γῆς φράσαντά σε
Χρῆν ταῦτα τολμᾶν, ἀλλὰ μὴ βίᾳ ξένους
Θεῶν ἀφέλκειν, γῆν * σέβοντ' ἐλευθέραν. * Hen. Steph. ex MS. σέβοντ'.
Κο. Τίς δ' ἐστὶ χώρας τῆσδε, ϗ πόλεως ἄναξ;
Χο. Ἐσθλοῦ πατρὸς παῖς Δημοφῶν ὁ Θησέως.
Κο. Πρὸς τόνδ' ἀγών τις ἄρα τοῦδε τοῦ λόγου
Μάλιστ' ἂν εἴη· τἄλλα δ' εἴρηται μάτην.
Χο. Καὶ μὴν ὅδ' αὐτὸς ἔρχεται σπουδὴν ἔχων,
Ἀκάμας τ' ἀδελφὸς, τῶνδ' ἐπήκοοι λόγων.
Δη. Ἐπείπερ ἔφθης, πρέσβυς ὢν, νεωτέρους,
Βοηδρομήσας τήνδ' ἐπ' ἐσχάραν Διὸς,
Λέξον, τίς ὄχλον τόνδ' ἀθροίζεται τύχη.
Χο. Ἱκέται κάθηνται παῖδες οἵδ' Ἡρακλέους,
Βωμὸν καταστέψαντες, ὡς ὁρᾷς, ἄναξ,
Πατρός τε πιστὸς Ἰόλεως παραστάτης.
Δη. Τί δῆτ' ἰυγμῶν ἥδ' ἐδεῖτο συμφορά;
Χο. Βίᾳ νιν οὗτος τῆσδ' ἀπ' ἐσχάρας ἄγειν
Ζητῶν, βοὴν ἔστησε, κἄσφηλεν γόνυ
Γέροντος, ὥστε μοι βαλεῖν οἴκτῳ δάκρυ.
Δη. Καὶ μὴν στολήν γ' Ἕλληνα, ϗ ῥυθμὸν πέπλων
Ἔχει· τὰ δ' ἄλλα, βαρβάρου χερὸς τάδε.
Σὸν δὴ τὸ φράζειν ἐστὶ, μὴ μέλλειν τ' ἐμοὶ,
Ποίας ἀφῖξαι δεῦρο γῆς ὅρους λιπών.
Κο. Ἀργεῖός εἰμι· τοῦτο γὰρ θέλεις μαθεῖν.
Ἐφ' οἷσι δ' ἥκω, ϗ παρ' οὗ, λέγειν θέλω.
Πέμπει Μυκηνῶν δεῦρό μ' Εὐρυσθεὺς ἄναξ,
Ἄξοντα τούσδε· πολλὰ δ' ἦλθον, ὦ ξένε,
Δίκαι' ὁμαρτῇ δρᾶν τε, ϗ λέγειν ἔχων.
Ἀργεῖος ὢν γὰρ αὐτὸς, Ἀργείους ἄγω,
Ἐκ τῆς ἐμαυτοῦ τούσδε δραπέτας ἔχων,
Νόμοισι τοῖς ἐκεῖθεν ἐψηφισμένους * Vid. Supplic. v. 186.
Θανεῖν· * δίκαιοι δ' ἐσμὲν οἰκοῦντες πόλιν,
Αὐτοὶ καθ' αὑτῶν κυρίους κραίνειν δίκας.
Πολλῶν δὲ κἄλλων ἑστίας ἀφιγμένων,
Ἐν τοῖσίδ' αὐτοῖς τοῖσιν ἕσταμεν λόγοις,

Strophe 7.

Cho. Impium eſt civitatem negligere ſupplicem
Hoſpitum Supplicationem.

Copreus.

" Præclarum vero eſt extra negotia habere pedem,
" Nactum melius conſilium.
Cho. Ergo Regi hujus agri te declaratis
His *rebus* oportebat hæc audere, non autem per vim hoſpites
A Diis *&* à *Deorum aris* abſtrahere, terram venerantè liberã.
Cop. Quis autem eſt rex hujus regionis & urbis?
Cho. Inclyti patris filius Demophoon Theſei.
Cop. Cum hoc igitur mihi certamen aliquod hujus controverſiæ
Potiſſimum erit, reliqua verò dicta ſunt fruſtra.
Cho. Atqui hic ipſe *jam huc* venit feſtinanter,
Et Acamas frater, *qui erunt* auditores hujus cauſæ.
Dem. Poſtquam tu ſenior antevertiſti *nos* juniores,
Accurrens ad hanc aram Jovis,
Dic, qui caſus hanc turbam congreget.
Cho. Sedent ſupplices iſti filii Herculis,
Coronantes aram, ut vides, ô rex,
Et Iolaus fidus ſocius patris eorum.
Dem. Quid igitur clamoribus hæc indigebat calamitas?
Cho. Vi eos iſte conans ab hac arâ
Volens, excitavit clamorem, & evertit genu
Senis, ut prǽ miſeratione mihi excuſſerit lacrymas.
Dem. Et tamen ornatum græcanicum, & modum veſtis *græcanicæ*
Habet. *In rebus* verò cæteris, *hæc facinora ſunt* barbaræ manûs.
Tuum eſt jam dicere, & non cunctari, mihi,
Cujus terræ fines relinquens, huc veneris.
Cop. Argivus ſum: hoc enim vis ſcire.
Quare autem venerim & à quo *miſſus* dicere volo.
Mittit me huc Mycenarum rex Euryſtheus
Ducturum hos: veni autem, ô hoſpes, multa
Juſta ſimul & facere, & dicere habens.
Ipſe enim cùm ſim Argivus, duco Argivos
Fugitivos hos ex meâ *terrâ* tenens,
Legibus patriis condemnatos
Capitis. Æquum n. eſt, ut *noſtram* adminiſtrantes Rempublicam
Nos ipſi per nos ipſos rata perficiamus judicia.
Cum autem & multorum aliorum *ad aras hi transfugæ* venerint,
In his ipſis ſtetimus verbis, *iiſdem verbis ac rationibus uſi ſumus,*

V. 108. Ἄθεον, ἱκεσίαν μεθεῖναι πόλει ξένων πρὸς τὸ πᾶν) Ingenioſe, uti ſolet, *Canterus*, & *Scaligerum* iſtius Lectionis Laudatorem habet, προςτροπὰν legit; vel etiam προςτρόπων, pro προςτεταίων, ſed priùs antefero: Nì & προςτροπαίων legatur, id enim meliùs ad ἱκεσίαν referetur, quàm προςτροπήν. Nec vulgata Lectio eſt prorsùs reſpuenda, Hic enim eſt ſenſus, Ἄθεον μὲν ἐστι τῇ πόλει πρὸς τὸ πᾶν, παντελῶς ϗ ἀβασανίστως μεθεῖναι ϗ ὀλιγωρεῖν. *Joſua Barnes.* V. 110. Καλὸν δέ γ' ἔξω πραγμάτων ἔχειν πόδα) Huic ſimile Adagium à *Zenobio* profertur; Ἐκ πηλοῦ πόδας ἔχεις· ἐπὶ τῶν ἔξω κινδύνων καθεστώτων. *Æſchylus* in Agamemn. Ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα. *Idem* in Prometh. Ἐλαφρὸν ὅστις πημάτων ἔξω πόδα Ἔχει. *Johan. Brodæus.* V. 114. Γῆν σέβοντ' ἐλευθέραν) ἐχρῆν σε μὴ βίᾳ ξένους ἀφέλκειν τῶν βωμῶν, ἀλλὰ φράσαντα τῷ βασιλεῖ ταῦτα τολμᾶν τιμῶντα ϗ ὡς σεβασμοῦ ἔχοντα ἡμετέραν πόλιν ἐλευθέραν ἐς. Hunc verſum Magnus ille *Joſephus Scaliger*, à *Choro* adhuc continuari hoc modo deberi ſtatuit, *Chorus*, Οὔκουν τυράννῳ κ.λ. Χρῆν ταῦτα κ.λ. Θεῶν ἀφέλκειν, γῆν σέβοντ' ἐλευθέραν· Πρὸς τόνδ' ἀγὼν τις ἄρα τοῦδε τοῦ λόγου μάλιστ' ἂν εἴη· τἄλλα δ' εἴρηται μάτην. Κοπρεύς· Τίς δ' ἐστὶ χώρας τῆσδε ϗ πόλεως ἄναξ. Χορός. Ἐσθλοῦ πατρὸς παῖς Δημοφῶν ὁ Θησέως. Καὶ μὴν ὅδ' αὐτὸς ἔρχεται κ. λ. Sedquandoquidem ſenſus in propatulo eſt, veteri ordine ſervato, miro quid Magno Viro in mentem Venerit, ut ſine causâ tantas turbas excitare vellet. *Joſua Barnes.* V. 120. Ἀκάμας τ' ἀδελφὸς) De *Acamante* & *Demophonte* fratribus *Theſei* filiis, per vices regnantibus, Vid. ſupra v. 35. *Joſua Barnes.* V. 125. Βωμὸν καταστέψαντες) Vel ſimpliciter pro *Aram circumſedentes*, cingentes, obſidentes; vel etiam reſpectum habet ad veterum morem Altares coronandi; unde *Pindar.* Iſthm. Od. iv. Antiſtroph. 4. Καὶ πεδ' ... στεφανώματα βωμῶν. Scholiaſt. νεαρὰ στέμματα βωμῶν. Hinc *Propert.* l. 3. *Inde coronatas ubi Thure piaveris Aras. Joh. Brodæus.* V. 126. Πατρός τε πιστὸς Ἰόλεως παραστάτης) Vid. ſuprà ad v. 91. V. 128. Βίᾳ νιν οὗτος τῆσδ' ἀπ' ἐσχάρας ἄγειν) Hoc in Loco ἐσχάρα, quòd aliàs *Focum* ſonat, *Aram* ſignificat, ut rectè *Euſtathius* fol. 1564. lin. 32. Νεάνθης δέ φασιν ὁ Κυζικηνὸς λέγει, ὡς βωμοὶ μὲν Δαιμόνων· Ἐσχάραι δ' Ἡρώων. Σοφοκλῆς δὲ ϗ αὐτὴ βωμοῦ οἶδεν Ἐσχάραν· Λέγει δὲ ϗ Εὐριπίδης, Μηλοσφαγοῦντι Δαιμόνων ἐπ' ἐσχάραις. *Joſua Barnes.* V. 129. Κἄσφηλεν) Καὶ ἔσφηλεν, σφαλῆναι ἐποίησεν. *Sophoc.* Ajac. Ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπευθύνοντ' ἐμὴν Ἔσφηλεν. *Idem* in Electr. Πολλά τοι σμικροὶ λόγοι Ἔσφηλαν ἤδη. *Joh. Brodæus.* V. 144. Αὐτοὶ καθ' αὑτῶν κυρίους κραίνειν δίκας) Non erat, ut *Scaliger* alitèr legeret αὐτοὺ & κυρίας, καθ' αὑτῶν enim ſonat inter ipſos & contra ſeipſos, & ſuos; κυρίους autem pro κυρίας *Atticè. J. Barnes.* V. 146. Ἐν τοῖσί δ' αὐτοῖς τοῖσιν ἕσταμεν λόγοις) Cùm priùs in Vulgaribus legebatur, Ἐν τοῖσιν αὐτοῖς τοῖσιν ἕσταμεν λόγοις· *Scaliger*, Ἐν τοῖσι τοιούτοισιν ἕσταμεν λόγοις. *Canterus*, Ἐν τοῖσιν

αὐτοῖς

αὐτοῖς τοῖσιδ' ἴσμεν λέγεις· *Dupertus*, Ἐν τοῖσιδ' αὐτοῖς τοῖσιν ἴσμεν λέγεις. Probabilitèr omnes, ſed *Dupertus* rem attigit; ita enim Omnium Vetuſtiſſima *Aldi* Editio ad verbum; quare illam ſequor τοῖσιδε pro τοῖσδε & τούτοις. *Joſua Barnes.*

Κοὐδεὶς ἐτόλμησ' ἴδια προσθέσθαι κακά.
Ἀλλ' εἴ τιν' εἰς σὲ μωρίαν ἐσκεμμένοι,
Δεῦρ' ἦλθον ἐς κίνδυνον, ἐξ ἀμηχάνων
Ῥίψαντες, εἴτ' οὖν, εἴτε μὴ, γενήσεται.
Οὐ γὰρ φρενήρη γ' ὄντα σ' ἐλπίζουσί που
Μόνον τοσαύτης, ἣν ἐπῆλθον, Ἑλλάδος,
Τὰς τῶνδ' ἀβούλους ξυμφορὰς κατοικτιεῖν.
Φέρ', ἀντίθες γὰρ, τούσδε γ' εἰς γαῖαν παρεὶς,
Ἡμᾶς τ' ἐάσας ἐξάγειν, τί κερδανεῖς;
Τὰ μὲν παρ' ἡμῶν, τοιάδ' ἔστι σοι λαβεῖν·
Ἄργους τοσήνδε χεῖρα, τήν τ' Εὐρυσθέως
Ἰσχὺν ἅπασαν τῇδε προσθέσθαι πόλει.
Ἢν δ' εἰς λόγους τε, καὶ τὰ τῶνδ' οἰκτίσματα
Βλέψας πεπανθῇς, εἰς πάλην καθίσταται.
Δορὸς τὸ πρᾶγμα· μὴ γὰρ ὡς μεθήσομεν
Δόξης ἀγῶνα τόνδ' ἄτερ χαλυβδικοῦ.
Τί δῆτα φήσεις; ποῖα πεδί' ἀφαιρεθεὶς,
Τιρυνθίοις * θῇς, πόλεμον Ἀργείοις ἔχειν; *Scal.* λῇς.
Ποίοις δ' ἀμύνων συμμάχοις; τίνος δ' ὕπερ
Θάψεις νεκροὺς πεσόντας; ἦ κακὸν λόγον
Κτήσῃ πρὸς ἀστῶν, εἰ γέροντος οὕνεκα
Τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,
Παίδων τε τῶνδ', εἰς ἄντλον ἐμβήσῃ πόδα.
Ἐρεῖς τὸ λῷστον ἐλπίδ' εὑρήσειν μόνον.
Καὶ τοῦτο πολλῷ τοῦ παρόντος ἐνδεεῖ.
Κακῶς γὰρ Ἀργείοισιν οἵδ' ὡπλισμένοι
Μάχοιντ' ἂν ἡβήσαντες, εἴ τι τοῦτό σε
Ψυχὴν ἐπαίρει· χ' ὡ 'ν μέσῳ πολὺς χρόνος,
Ἐν ᾧ διεργασθεῖτ' ἄν· ἀλλ' ἐμοὶ πιθοῦ.
Δὸς μηδὲν, ἀλλὰ τἄμ' ἐῶν ἄγειν ἐμὲ,
Κτῆσαι Μυκήνας. μηδ', ὅπερ φιλεῖτε δρᾶν,
Πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν
Φίλους ἑλέσθαι, τοὺς κακίονας λάβῃς.
Δη. Τίς ἂν δίκην κρίνοιεν, ἢ * γνοίη λόγον, * *Stobæus* δίκ.
Πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ * σαφῆ; * *Stobæus* σαφῶς.
Ιό. Ἄναξ, ὑπάρχει μὲν τόδ' ἐν τῇ σῇ χθονί

Et nemo auſus eſt acerſere ſibi mala.
Sed ſi ſtultitiam hi aliquam in te animadvertentes,
Huc venerunt in periculum, ob deſperationem, *te*
Conjicientes, ſive *fiat id quod optant*, ſive non, id perficitur.
Non enim ſperâſſent, te exiſtentem mentis compotem,
Solum ex tantâ Græciâ, quam pererrârunt,
Horum inconſultas calamitates miseraturum.
Age (confer enim *rationes*) hos dimittens in *noſtram* terram,
Et ſinens nos abducere, quid lucri facies?
A nobis quidem hujuſmodi *commoda* licet tibi accipere:
Argi *urbis* ipſius tantos exercitus, & Euryſthei
Omnes vires addere huic Reipublicæ.
Si verò dicta & horum miſerationes
Intuens emollitus fueris, in certamen veniet
Armorum hæc res, nec enim quòd dimittemus
Putes contentionem iſtam ſine ferro.
Quid verò tum dices? quibus campis ſpoliatus,
Tirynthiis movebis bellum Argivis ſuſtinendum?
Quib. v. bel. ſoc. *ulteris nos* propulſ. cujus etiã *rei* causã, *quo prætex.*
Sepelies *tuos cives* mortuos? certè malam famam
Tibi comparabis à civibus, ſi propter ſenem,
Qui eſt ſepulchrum, nihil exiſtens, ut ita dicam,
Et propter hos pueros, in ſentinam imponas pedem.
Sed dices hoc unum, quod optimũ *eſt*, te inventurum eſſe ſpem:
At hoc longè inferius *eſt* præſenti *noſtræ civitatis robore.*
Malè enim cum Argivis iſti armati
Pugnabunt, cùm ad pubertatem pervenerint; ſi hoc tibi
Animos tollit: & in medio longum *eſt* tempus,
In quo vos poteſtis perire. Sed mihi obtempera.
Nihil des, ſed ſinens me mea abducere,
Concilia *tibi* Mycenas: neque (quod ſoletis facere)
Hoc facias tu quoque, cùm poſſis potentiores
Amicos *tibi* adjungere, ut imbecilliores adjungas.
Dem. Quis litem *rectè* judicârit, aut cauſam *benè* cognoverit,
Priuſquam ex utroque *litigatore* ſermonẽ audiverit perſpicuum?
Iol. O Rex, licet quidem hoc in tuâ terrâ

V. 148. Ἀλλ' εἴ τιν' εἰς σὲ μωρίαν ἐσκεμμένοι κ. λ.) Ἀλλ' οἱ σκεπτόμενοι εἰς σε μωρίαν τινὰ ἐσκέψαντο, καὶ οὕτως δεῦρο ἦλθον, αὐτοὶ ἐξ ἰδίας ἀμηχανίας ἅμα καὶ σε ῥίψαντες ἐς κίνδυνον, ἐὰν ἡ αὐτῶν ἐπιθυμία ἀποφαίνηται, ἐὰν μή. Nihil itaque huc ſpectat *Johan. Brodæi* importuna Notatio de proverbio κίνδυνον ῥίπτειν & κύβον ῥίπτειν. *Joſua Barnes.* V. 151. Φρενήρη) φρενήρης, ἀρτίφρων, ἀρτίας φρένας ἔχων, φρένας ἀρηρεμένος. V. 162. Δόξῃς) *Aor.* 1. *Subjunct.* Nihil enim hic δόξης, *Gloriæ*, loci habebat, ὁ δὲ νοῦς, μὴ γὰρ δόξῃς, ὡς μεθήσομεν ἀγῶνα τόνδε ἄτερ χαλυβδικοῦ. *Scaliger* qui δόξης nomen putabat, ὡς cum accentu ſcribebat, quaſi ita res ſe haberet, Μὴ γὰρ οὕτως μεθήσομεν τοῦτον τῆς δόξης ἀγῶνα &c. Μὴ autem *abſolutè* non rectè ſumitur pro οὐ, ſed ferè ſemper *indefinitè*, vel *negativè*, & *prohibitoriè*; adeò ut ſi δόξης eſſet nomen, neceſſe foret ſubaudire νομίζῃς, vel tale quid, ut aliquando fieri obſervavi. Sed hoc potiùs erat certamen *Vindictæ* & *Invidiæ*, quàm Gloriæ; nec noſtræ ſententiæ puto quenquam refragari poſſe; miror potiùs nemini antehàc eandem fuiſſe viſam. *Ibid.* Χαλυβδικοῦ) Ita audactèr ſcribo pro χαλυβικοῦ, quod priùs obtinebat; cùm ejus vocis Quantitas repugnaret; nec id tantùm, eſt enim χαλυβδικὸν vox vera & genuina.

Ita enim *Euſtathius* in *Homer.* fol. 294. lin. 4. Καὶ σιδήρεον Λακωνικόν· τριῶν γὰρ στομωμάτων φασὶ, τὸ μὲν χαλυβδικόν· τὸ δὲ Σινωπικόν· τὸ δὲ Λύδιον· τὸ δὲ Λακωνικόν. Καὶ Σινωπικὸν μὲν, καὶ χαλυβδικὸν, χρήσιμον εἰς τὰ τεκτονικά. Et *Heſychius*, Χαλυβδικὰ, τῆς Σκυθίας, ὅπου σιδήρου μέταλλα. Hinc *Æſchylus* vocat σίδηρον, Σκυθῶν ἄποικον χάλυβον. Et *Prometh.* v. 301. *Scythiam* vocat τὴν σιδηρομήτορα γαῖαν. De *Chalybum* populo vid. *Johann. Brodæum* & Lexica. *Joſua Barnes.* V. 163. Ποῖα πεδί' ἀφαιρεθεὶς Τιρυνθίοις θῇς πόλεμον Ἀργείοις ἔχειν) ποῖα πεδία ἀφαιρεθεὶς, ἤγουν τί παθὼν θέλεις ἔχειν πόλεμον Ἀργείοις τοῖς Τιρυνθίοις; Λέγεται γὰρ Τιρύνθιον Ἄργος. *Scaligeri* autem τὸ λῇς laudo, putóque θῇς ab illo corruptum. *Joſua Barnes.* V. 168. Τύμβου, τὸ μηδὲν ὄντος) Τύμβου γέροντος, i. e. τυμβογέροντος. Sic *Medeæ* v. 1209. Τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν τίθησιν; Ubi *Scholiaſt.* Τὸν γέροντα τύμβον) τὸν πλησίον θανάτου ὄντα· Τύμβους δὲ καλοῦσι τοὺς γέροντας, παρόσον πλησίον εἰσὶ τοῦ θανάτου καὶ τοῦ τάφου. Τὸ μηδὲν ὄντος, τὸ μηδὲν per ὑπέρθεσιν affigitur Verbo εἰμὶ, ut Famoſum illud Πάντα γέλως, καὶ πάντα κόνις, καὶ πάντα τὸ μηδέν. *J. Barnes.* V. 169. Εἰς ἄντλον ἐμβήσῃ πόδα.) Moleſtum negotium aggredieris. Μεταφορικῶς à nautis, qui ſæviente Tempeſtate ſentinam difficultèr exhauriunt. Hinc *Latinis* exantlare, perpeti ſignificat. *Theognis*, v. 672. Ἀντλεῖν δ' οὐκ ἐθέλουσιν· ὑπερβάλλει δὲ θάλασσα Ἀμφοτέρων τοίχων. *Joh. Brodæus.* V. 174. Χ' ὡ 'ν μέσῳ) Καὶ ὁ ἐν μέσῳ, ſic αὑτὸς pro ὁ αὐτὸς, & ὤλλος, pro ὁ ἄλλος. V. 178. Τοὺς ἀμείνονας παρὸν φίλους ἑλέσθαι) Παρὸν abſolutè pro παρόντος, ſic ſupra v. 7. ἐξὸν pro ἐπεὶ ἐξῆν, & infra v. 187. ψῆφον δοκοῦσαν, pro ἐπεὶ οὕτω δέδοκται. Vid. quæ Nos ad *Supplices* v. 129. & *Iphig.* Taur. v. 688. & v. 802. *Joſua Barnes.* V. 180. Τίς ἂν δίκην κρίνοιεν) Malè hic κρίνοιεν pro κρίνοι ſcribebatur, cùm illud ſit tertii pluralis, hoc ſingulare; nec tamen hoc vidit *Dupertus*,

nec ipſe *Canterus*, nec Magnus *Scaliger*; nec haud Minor *Stephanus*, licet is notas in hunc locum dederit, nec *Stobæi* exemplar aliàs hoc verbum profert: Solus *Æmil. Portus* hoc vidit & rectè notavit, vel κρίνειν legi debere, vel κρίνοι ἂν, etiam bis ἂν repetito; de quâ re Nos ad *Troad.* v. 985. Quod ad hujus loci ſenſum attinet, non dubium eſt, uti *Henricus Stephanus* ait, quin ad illum Proverbialem Verſum alludere voluerit *Euripides*, Μήτε δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. Vid. *Eraſmum* in Adagio, *Nè de lite pronunties.* Vide plura in hanc rem à nobis notata ad *Cyclop.* v. 252. *Joſua Barnes.*

CUM jam nullâ aliâ ratione Vis & periculum à Creusâ ampliùs depelli poterat, ſubitò Pythia propheteſſa, Ionis Nutrix, adeſt, arculam illi proferens, in quâ erat is olim cum quibuſdam Symbolis expoſitus & Delphis repertus: Nempe ut per hæc ſigna Matrem ſuam exquireret. Dum hæc Ion venerabundus ſcrutatur manibuſque verſat in omnium conſpectu, ut certiſſima ſui generis indicia; Creuſa ſtatim arculam agnoſcit & proinde Ionem filium ſuum eſſe colligit, quod & illi ipſi evidentiſſimis tandem probat argumentis. Hinc ſubitò mutua oſcula & complexus. Creuſa filio exponit quomodo & unde illum pepererit; quod cum Adoleſcens præ dubitatione ad ipſum Apollinem referre vellet, Minerva ſubitò adeſt, rem totam expoſitura, quæ & Creuſæ ſermones confirmat, Apollinique abſentiam excuſat, illius verò amicam Providentiam aperit, & in poſterùm Ionem & res Athenienſium Diis curæ fore dicit. Ion ergo & Creuſa, repentè rebus mutatis ad Gratias Benigno Numini agendas excitantur.

ΠΥΘΙΑ, ΙΩΝ, ΚΡΕΟΥΣΑ, ΑΘΗΝΑ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Πυ. Ἐπίσχες, ὦ παῖ· τρίποδα γὰρ χρηστήριον
Λιποῦσα, θριγκὸν τόνδ' ὑπερβάλλω ποδὶ
Φοίβου προφῆτις, τρίποδος ἀρχαῖον νόμον
Σώζουσα, πασῶν Δελφίδων ἐξαίρετος.
Ἴων. Χαῖρ', ὦ φίλη μοι μῆτερ, οὐ τεκοῦσά περ.
Πυ. Ἀλλ' οὖν λεγώμεσθ'· ἡ φάτις δ' οὔ μοι πικρά.
Ἴων. Ἤκουσας, ὥς μ' ἔκτεινεν ἥδε μηχαναῖς;
Πυ. Ἤκουσα· καὶ σύ γ' ὠμὸς ὢν, ἁμαρτάνεις.
Ἴων. Οὐ χρή με τοὺς κτείνοντας ἀνταπολλύναι;
Πυ. Προγόνοις δάμαρτες δυσμενεῖς ἀεί ποτε.
Ἴων. Ἡμεῖς δὲ μητρυιαῖς γε πάσχοντες κακῶς.
Πυ. Μὴ ταῦτα· λείπων ἱερὰ, καὶ στείχων πάτραν.
Ἴων. Τί δή με δρᾶσαι νουθετούμενον χρεών;
Πυ. Καθαρὸς Ἀθήνας ἐλθ' ὑπ' οἰωνῶν καλῶν.
Ἴων. " Καθαρὸς ἅπας τοι, πολεμίους ὃς ἂν κτάνῃ.
Πυ. Μὴ σύ γε· παρ' ἡμῶν δ' ἔκλαβ' οὓς ἔχω λόγους.

Py. Contine te, ô fili. Tripodem enim fatidicum
Ego relinquens, ſeptum illud ſupero pede,
Phœbi ſacerdos, antiquam obſervationem tripodis
Servâs, electa ex omnibus Delphicis *mulieribus ad hoc miniſteriū*.
Ion. Salve, ô chara mihi mater, quamvis *me* non pepereris.
Py. Sed tamen dicamur, hæc enim appellatio mihi non *eſt* ingrata.
Ion. Audiviſti, ut hæc me interfecit *ſuis* dolis?
Py. Audivi; *&* *tu* crudelitate peccas.
Ion. Nonne decet interfectores meos viciſſim à me perdi?
Py. Semper *ſunt* infeſtæ uxores, *i.e. novercæ*, privignis.
Ion. Et nos *ſumus infeſti* novercis, quũ maleficiis afficimur *ab ipſis*.
Py. Non utiq; hæc relicturus ſacra, & diſceſſurus in patriam *illius*.
Ion. Quid igitur me facere convenit *abs te* admonitum?
Py. Vade purus Athenas bonis avibus.
Ion. " Purus eſt certe, quiſquis occidit hoſtes.
Py. Ne tu *ſic facias*; à nobis, quos habeo ſermones, accipe.

V. 1326. Ὥς μ' ἔκτεινεν) Ὡς ἐμὲ κτείνειν ἤθελεν, ἐπεχείρησε. De hac loquendi formâ, variaſque inſtantias vide in *Æmil. Porti* Notis ad *Androm.* v. 810. & quæ Nos ad eundem locum. *J. Barnes.* V. 1327. Ὠμὸς) Ità rectè; cum in nonnullis ὁ μὸς olim. V. 1329. Προγόνοις δάμαρτες δυσμενεῖς ἀεί ποτε) Δάμαρτες, ἀντὶ τοῦ μητρυιαί, αἱ μὲν γὰρ εἰσὶν αὐτῶν πατράσι δάμαρτες. De Novercis autem vide quæ Nos ſuprà ad v. 1025. *Joſ. Barnes.* V. 1331. Μὴ ταῦτα) Μὴ τί ἂν ποιεῖς δυσμενὴς ὢν αὐτῇ τανῦν, ὅτι ἤδη λείπεις Δελφοὺς, καὶ πάτραν αὐτῆς, ἤγουν Ἀθήνας, ἐπανερχόμενος, τοῦ Ξοῦθος. *Scaliger* οὐ pro μὴ malè. *Idem.* V. 1335. Μὴ σύ γε) δηλονότι, οὕτω καθαρὸς ἴθι ἤ θέλεις, μὴ σὺ θέλε αὐτὴν κτείνειν. *Idem.*

Ἴων. Λέ-

Ιων. Λέγοις ἄν· εὔνους δ' οὖσ' ἐρεῖς, ὅσ' ἂν λέγῃς.
Πυ. Ὁρᾷς τόδ' ἄγγος χειρὸς ὑπ' ἀγκάλαις ἐμαῖς;
Ιων. Ὁρῶ παλαιὰν ἀντίπηγ' ἐν στέμμασιν.
Πυ. Ἐν τῇδε σ' ἔλαβον νεογόνον βρέφος ποτέ.
Ιων. Τί φής; ὁ μῦθος εἰσενήνεκται νέος.
Πυ. Σιγῇ γὰρ εἶχον αὐτά· νῦν δὲ δείκνυμεν.
Ιων. Πῶς οὖν ἔκρυπτες τόδε, λαβοῦσ' ἡμᾶς πάλαι;
Πυ. Ὁ θεός σ' ἐβούλετ' ἐν δόμοις ἔχειν λάτριν.
Ιων. Νῦν δ' οὐχὶ χρῄζει; τῷ τόδε γνῶναί με χρή;
Πυ. Πατέρα κατειπὼν τῆσδέ σ' ἐκπέμπει χθονός.
Ιων. Σὺ δ' ἐκ κελευσμῶν, ἢ πόθεν σῴζεις τάδε;
Πυ. Ἐνθύμιόν μοι τόδε τίθησι Λοξίας.
Ιων. Τί χρῆμα δρᾶσαι; λέγε, πέραινε σοὺς λόγους.
Πυ. Σῶσαι τόδ' εὕρημ' εἰς τὸν ὄντα νῦν χρόνον.
Ιων. Ἔχει δέ μοι τί κέρδος, ἢ τίνα βλάβην;
Πυ. Ἐνθάδε κέκρυψαι σπαργάνοισιν· οἶσθα σύ;
Ιων. Μητρὸς τάδ' ἡμῖν ἐκφέρεις ζητήματα.
Πυ. Ἐπεί γ' ὁ δαίμων βούλεται· πάροιθε δ' οὔ.
Ιων. Ὦ μακαρίων μοι φασμάτων ἥδ' ἡμέρα.
Πυ. Λαβὼν νυν αὐτά, τὴν τεκοῦσαν ἐκπόνει.
Πᾶσαν δ' ἐπελθὼν Ἀσιάδ', Εὐρώπης θ' ὅρους,
Γνώσῃ τάδ' αὐτός. Τοῦ θεοῦ δ' ἕκατί σε
Ἔθρεψά τ', ὦ παῖ, καὶ τάδ' ἀποδίδωμί σοι,
Ἃ κεῖνος ἀκέλευστόν μ' ἐβουλήθη λαβεῖν,
Σῶσαί θ'· ὅτου δ' ἐβούλεθ', οὐκ ἔχω λέγειν.
Ἤιδει δὲ θνητῶν οὔτις ἀνθρώπων τάδε
Ἔχοντας ἡμᾶς, οὐδ' ἵν' ἦν κεκρυμμένα.
Καὶ χαῖρ'· ἴσον γάρ σ' ὡς τεκοῦσ' ἀσπάζομαι.
Ἄρξαι δ' ὅθεν σὴν μητέρα ζητεῖν σε χρή.
Πρῶτον μὲν εἴ τις Δελφίδων τεκοῦσά σε,
Εἰς τούσδε ναοὺς ἐξέθηκε παρθένος·
Ἔπειτα δ' εἴ τις Ἑλλάς· ἐξ ἡμῶν δ' ἔχεις
Ἅπαντα, Φοίβου θ', ὃς μετέσχε τῆς τύχης.
Ιων. Φεῦ, φεῦ· κατ' ὄσσων ὡς ὑγρὸν βάλλω δάκρυ,
Ἐκεῖσε τὸν νοῦν δούς, ὅθ' ἡ τεκοῦσά με,
Κρυφαῖα νυμφευθεῖσ', ἀπημπόλα λάθρα,
Καὶ μαστὸν οὐχ ὑπέσχεν· ἀλλ' ἀνώνυμος
Ἐν θεοῦ μελάθροις εἶχον οἰκέτην βίον.
" Τὰ τοῦ θεοῦ μὲν, χρηστά· τοῦ δὲ δαίμονος,
" Βαρέα· χρόνον γὰρ, ὅν μ' ἐχρῆν ἐν ἀγκάλαις
Μητρὸς τρυφῆσαι, καί τι τερφθῆναι βίου,
Ἀπεστερήθην φιλτάτης μητρὸς τροφῆς.
Τλήμων δὲ θ' ἡ τεκοῦσά μ', ὡς ταυτὸν πάθος
Πέπονθε, παιδὸς ἀπολέσασα χαρμονάς.
Καὶ νῦν λαβὼν τήνδ' ἀντίπηγ', οἴσω θεῷ
Ἀνάθημ', ἵν' εὕρω μηδὲν, ὧν οὐ βούλομαι.

Ion. Dicas, benevola enim exiſtens dices, quæcunque dices.
Py. Vides hoc vas ſub meis manûs ulnis?
Ion. Video arculam antiquam involutam coronis.
Py. In hâc te accepi infantem olim recens-natum.
Ion. Quid ais? Hic ſermo novus affertur.
Py. Clam enim habui hæc: nunc verò oſtendimus.
Ion. Quomodo igitur occultâſti hoc, cum acceperis nos dudum?
Py. Deus te voluit in templo habere miniſtrum.
Ion. An nunc non vult? Unde hoc poſſum ſcire?
Py. Indicans patrem dimittit te ex hâc terrâ.
Ion. Tu verò an juſſu alicujus, aut unde ſervas hæc?
Py. In animo mihi hoc poſuit Apollo.
Ion. Quam rem ut ageres? Dic, perfice tuos ſermones.
Py. Ut ſervarem hoc inventum ad præſens uſque tempus.
Ion. Quid autem lucri, aut damni mihi fert illud?
Py. Hic occultatus fuiſti faſciis: ſciſne tu?
Ion. Matris hæc nobis profers inquirendæ indicia.
Py. Quando deus *hoc* vult: antea enim noluit.
Ion. O hæc dies, quæ fauſtas res mihi monſtrat.
Py. Accipe itaque hæc, & ſeduló quære matrem.
Totam verò percurrens Aſiam, Europæque fines,
Agnoſces hæc *ſigna* ipſe. Propter deum verò te
Alui, ô fili, & tibi hæc reddo,
Quæ ille voluit me accipere injuſſam,
Et ſervare: cujus verò *rei* causâ *hoc* voluerit, dicere non poſſum.
Nullus verò mortalium hominum ſciebat hæc
Nos habere, nec ubi eſſent recondita.
Sed vale: perinde enim ac mater diligo te.
Incipias verò unde oportet quærere te tuam matrem.
Primùm quidem, ſi quæ Delphica pariens te,
In hoc templum expoſuerit puella;
Deinde verò, an aliqua Græca: ex nobis verò habes
Omnia, & *ex* Phœbo, qui eſt ſocius *tuæ* fortunæ.
Ion. Heu, heu, ab oculis et humidas emitto lacrymas,
Illud animo cogitans, quòd mater mea
Clam nupta, vendidit *ac expoſuit me* clam,
Et non præbuit ubera: ſed ignotus *ego*
In Dei templo habui vitam ſervilem.
" Dei quidem *conſilia fuerunt* bona: Fortuna verò
" Mala: tempore enim, quo me oportebat in ulnis
" Matris deliciari, & aliquam voluptatem percipere vitæ, *eo*
Privatus ſum chariſſimæ matris alimento.
Miſera etiam *eſt* mater, quæ eandem miſeriam
Tulit, filii amittens gaudia.
Et nunc accipiens hanc arcam, feram deo
Donarium; ut nihil inveniam eorum, quæ non cupio.

V. 1338. Ἀντίπηγ') Ἀντίπηγα. *Heſychius*, Ἀντίπηγα, κίστη. Euripides Ἴωνι· ἤγουν ἀγγεῖον. Vid. ſuprà ad v. 19. *Joſ. Barnes.* V. 1342. Πῶς οὖν ἔκρυπτες) Primam ſyllabam ἔκρυπτες hic communem habet; de quâ re vide ſuprà ad v. 1286. Κᾆτ' ἐκτίνεις. V. 1354. Ὦ μακαρίων μοι φασμάτων ἥδ' ἡμέρα) Ἡ ἥδε ἡμέρα φασμάτων ἐμοὶ μακαρίων, ἢ ὄντως μακαρίων φασμάτων. ὑπακυσίαν συλλογητές. V. 1355. Λαβὼν νυν αὐτά) Ita *Scaliger* νυν pro νῦν veteri legit; & ita neceſſariò legi debere, ipſa Verſûs ratio oſtendit. V. 1356. Ἀσιάδ' Εὐρώπης θ' ὅρους) Cùm olim Ἀσίαν malè legebatur, magno Verſûs detrimento, idem *Scaliger* Ἀσιάδ' legebat pro Ἀσιάδα, quod vel γαῖαν adhibito, vel intellecto, idem ſignificat. Extant igitur pro Ἀσία Communi, hæc Poetica Ἀσὶς, ίδος, Ἀσιὰς, άδος, ut hic, Ἀσιῆτις, ιτιδος, *Dionyſ.* Perieg. Singulis ſubauditur γῆ. V. 1360. Σῶσαί θ'· ὅτου δ' ἐβούλεθ', οὐκ ἔχω λέγειν) Quùm olim inter ἐβούλεθ' & οὐκ, redundaret ἕνεκ', Ita rectè *Johann. Miltonus* notabat ad Marginem ſui libri, Οὕνεκ', *rejiciendum puto; nam Verſus reſpuit; & poteſt & ſolet ſubintelligi.* Et ſanè veriſſimè loquitur; & omninò neceſſe eſt, ita fieri, nî σῶσαί θ', per ſe ſtare putemus, & Verſum, quaſi ex ἐπανορθώσεως τινὸς, rurſus incipere ad ὅτου; tum enim erit ſpatium pro ἕνεκα. *J. Barnes.* V. 1362. Ἔχοντας ἡμᾶς) Hic apertiſſimè *Maſculinum Genus* Pluralis Numeri uſurpatur de ſingulari Perſonâ ſequioris Generis; *Pythia* enim Sacerdos Fœmina hìc loquitur. De quâ re vide quæ Nos ſupra ad v. 955. *Joſua Barnes.* V. 1367. Ἑλλὰς) i. e. Ἑλληνικὴ, ſubaudi γυνὴ, vid. infrà ad v. 1373. V. 1373. Οἰκέτην βίον) *Servam vitam*, pro ſervilem. Nec infrequens eſt *Appellativis & Subſtantivis propriis* pro *Poſſeſſivis* uti, ut Ἑλλὰς φωνὴ, pro Ἑλληνικὴ, & paulò ſuprà *viz.* v. 1367. Ἑλλὰς, pro Ἑλληνικὴ, ſubaudi γυνή. Θρῇξ στρατὸς *Eurip.* Rheſ. v. 429. Vide quæ Nos ad *Rheſ.* v. 430. Ex *Euſtathio* de hâc re pleniùs. Malè itaque *Scaliger* hìc vult οἰκέτου legi. *Joſua Barnes.*

Εἰ γάρ με δούλη τυγχάνει τεκοῦσά τις,
Εὑρεῖν κάκιον μητέρ', ἢ σιγῶντ' ἐᾶν.
Ὦ Φοῖβε, ναοῖς ἀνατίθημι τήνδε σοῖς.
Καίτοι τί πάσχω; " τοῦ θεοῦ προθυμίᾳ
" Πολεμῶ, τὰ μητρὸς σύμβολ' ὅς γ' ἔσωσέ μοι.
" Ἀνοικτέον τάδ' ἐστὶ, καὶ τολμητέον.
" Τὰ γὰρ πεπρωμέν' οὐδ' ὑπερβαίην ποτ' ἄν.
Ὦ στέμμαθ' ἱερὰ, τί ποτέ μοι κεκεύθατε,
Καὶ σύνδεθ', οἷσι τἄμ' ἐφρουρήθη φίλα;
Ἰδοὺ περίπτυγμ' ἀντίπηγος εὐκύκλου,
Ὡς οὐ γεγήρακ' ἔκ τινος θεηλάτου·
Εὐρώς τ' ἄπεστι πλεγμάτων· ὁ δ' ἐν μέσῳ
Χρόνος πολὺς δὴ τοῖσδε θησαυρίσμασι.
Κρ. Τί δῆτα φάσμα τῶν ἀνελπίστων ὁρῶ;
Χο. Σιγᾶν σὺ πολλὰ καὶ πάροιθεν οἶσθά μοι.
Κρ. Οὐκ ἐν σιωπῇ τἀμά· μή με νουθέτει.
Ὁρῶ γὰρ ἄγγος, ᾧ 'ξέθηκ' ἐγώ ποτε
Σέ γ', ὦ τέκνον μοι, βρέφος ἔτ' ὄντα νήπιον,
Κέκροπος ἐς ἄντρα, καὶ Μακρὰς πετρηρεφεῖς·
Λείψω δὲ βωμὸν τόνδε, κεἰ θανεῖν με χρή.
Ιων. Λάζυσθε τήνδε· θεομανὴς γὰρ ἥλατο,
Βωμοῦ λιποῦσα ξόανα· δεῖτε δ' ὠλένας.
Κρ. Σφάζοντες οὐ λήγοιτ' ἄν, ὡς ἀνθέξομαι
Καὶ τῆσδε, καὶ σοῦ, τῶν τε σῶν κεκρυμμένων.
Ιων. Τάδ' οὐχὶ δεινά; ῥυσιάζομαι λόγῳ.
Κρέ. Οὔκ· ἀλλὰ σοῖς φίλοισιν εὑρίσκῃ φίλος.
Ιων. Ἐγὼ φίλος σός; κᾆτά μ' ἔκτεινες λάθρα;
Κρέ. Παῖς γ'· εἰ τόδ' ἐστὶ τοῖς τεκοῦσι φίλτατον.
Ιων. Παῦσαι πλέκουσα· λήψομαι δ' ἐγὼ καλῶς.
Κρέ. Εἰς τοῦθ' ἱκοίμην, τοῦδε τοξεῦσαι, τέκνον.
Ιων. Κενὸν τόδ' ἄγγος, ἢ στέγει πλήρωμά τι;
Κρέ. Σά γ' ἔνδυθ', οἷσί σ' ἐξέθηκ' ἐγώ ποτε.
Ιων. Καὶ τοὔνομ' αὐτῶν ἐξερεῖς πρὶν εἰσιδεῖν;
Κρέ. Κἂν μὴ φράσω γε, κατθανεῖν ὑφίσταμαι.
Ιων. Λέγ'· ὡς ἔχει τι δεινόν ἡ τόλμα γέ σου.
Κρέ. Σκέψασθ', ὃ παῖς ποτ' οὖσ' ὕφασμ' ὕφην' ἐγώ.
Ιων. Ποῖόν τι; πολλὰ παρθένων ὑφάσματα.
Κρέ. Οὐ τέλεον· οἷον δ' ἐκδίδαγμα κερκίδος.
Ιων. Μορφὴν ἔχον τιν', ὥς με μὴ ταύτῃ λάβῃς;

Si enim ſerva me peperit aliqua,
Deterius *eſſet* inveniſſe matrem, quàm omittere tacentem.
O Phœbe, templis hanc dedico tuis.
Sed quid facio? an dei benignitati
" Repugno; qui indicia matris ſervavit mihi?
" Aperienda *ſunt* hæc, & audendum;
" Fatum enim nunquam præterire potuero.
O ſacra ornamenta, curnam mihi abſcondita fuiſtis,
Et *vos* vinculæ, in quibus ea, quæ mihi chara erant, cuſtodita ſunt?
Ecce operculum arculæ rotundæ,
Quomodo non conſenuit ob quoddam divinum *conſilium*,
Et caries abeſt à nexibus: quod verò interfuit
Tempus, longum jam *eſt* iſtis theſauris *& in ciſtâ reconditis reb.*
Cre. Quodnam inſperatarum rerum ſpectaculum video?
Ch. Tacere tu ſæpe etiam antea noviſti mihi.
Cre. Mihi non eſt ampliùs ſilendum, ne me moneas,
Video enim arcam, in quâ ego expoſui olim,
Te, ô fili, infantem adhuc tenerum exiſtentem
Ad antra Cecropis, & ad rupibus cinctas Macras:
Relinquam igitur hanc aram, etiamſi nunc mihi moriendū ſit.
Ion. Prehendite hanc: divinitùs enim in furorem acta deſiliit,
Relinquens ſimulacra aræ: vincite brachia.
Cr. Jugulare *me* nè deſinatis, quia corripiens retinebo
Et hanc *arcam*, & te, *fili*, & *res* tuas *hic* reconditas.
Ion. Annon *ſunt* hæc atrocia? vador ſermone.
Cr. Non; ſed amicis tuis inventus es amicus.
Ion. Egone amicus tuus? & tamen me clàm interfeciſti?
Cr. Imo filius *es*: ſiquidem hoc eſt parentibus chariſſimum.
Ion. Deſine *dolos* nectere. Coarguam enim ego te probè.
C. Utinā in eū *locū* venerim, ô fili, ut eū *ſcopū quo collin.* ſag. aſſeq.
Ion. Vacuane *eſt* hæc arca an tegit aliquid, quo ſit plena?
Cr. Tua induſia, quibus te expoſui ego.
Ion. Dicesne ipſorum *Induſiorum notas*, priusquam inſpicias?
Cr. Dicam; & ſi non dicam, mori lubens volo, *mortem non recuſo*.
Ion. Dic; quia iſta tua fiducia habet aliquid ſingulare.
Cr. Videte texturam, quam ego puella quondam exiſtens texui.
Ion. Qualem nam? multæ *enim ſunt* texturæ puellarum.
Cre. Non abſolutam, ſed veluti rudimentum radii.
Ion. Quàm habet figuram? ut me non hic capias.

V. 1383. Εὑρεῖν κάκιον) Media ſyllaba τοῦ κάκιον hic producitur, de quâ re vide ſupra ad v. 1121. V. 1386. Ὅς γ' ἔσωσέ μοι) Quùm olim erat Ὅς ἔσωσέ μοι, *Deperitus* legebat ὡς, nequaquam benè; *Scaliger* ὅστις rectiùs multò, ſed ὅς γ' erit rotundius, leviorique variatu opus habet. *J. Barnes.* V. 1388. Τὰ γὰρ πεπρωμέν' οὐδ' ὑπερβαίην ποτ' ἄν) Ita ſanè pro ὑπερβαίη legendum ὑπερβαίην, vel certè πεπρωμένον mutandum erit in τις, nulla erit media via. Quare priorem eligo, ob leviorem variationem. *J. Barnes.* V. 1391. Ἰδοὺ περίπτυγμ' ἀντίπηγος εὐκύκλου) Περίπτυγμα, alii *Operculum* Ciſtæ ita vocari putant, alii περίπτυγμα ἀντίπηγος, pro περιεπτυγμένην αὐτὴν ἀντίπηγα, ὑπὸ τοῦ Ἴωνος δηλονότι. De voce ἀντίπηξ vide ſuprà ad v. 1338. & v. 19. Quòd in voce εὐκύκλου, τὸ κυ ſit ſyllaba Communis notandum. De quâ re nos pleniùs ad *Phœniſſ.* v. 19. *Joſua Barnes.* V. 1392. Ἔκ τινος θεηλάτου) Subaudi τύχης vel βουλῆς. Vel τὸ θεήλατον & θεήλατόν τι, pro πεπρωμένον, idem quod εἱμαρμένη. *Idem.* V. 1398. Ὁρῶ γὰρ ἄγγος, ᾧ 'ξέθηκ' ἐγώ ποτε Σέ γ') Ita ego ſcribendum aſſero, quanquam ſolus, nec ab unico adjutus, nec ideò Doctis hoc perſuaſum facere deſpero; quomodo enim, ſi οὐ 'ξέθηκ', pro ὃ ἐξέθηκ', ut ante, legamus, τὸ σέ γ' aliquis expediat? Hic itaque Senſus, ὁρῶ γὰρ ἄγγος, ᾧ, ἤγουν ἐν ᾧ, ἐξέθηκά σε, ὦ τέκνον. Miror hoc nemini antehac in mentem veniſſe. Sed & Acutiſſimo viſui aliquando nebulæ ſunt offuſæ, & de rebus Maximis ſolliciti nequaquam ad parva ſolent attendere. Nobis quoque metuendum eſt, nè & noſtram Diligentiam nonnulla effugiant, quæ certè Lectoris Candorem exercere poſſunt. *Nos* igitur *Veniam dabimus, petimusque viciſſim.* Joſua Barnes. V. 1400. Κέκροπος ἐς ἄντρα, καὶ Μακρὰς πετρηρεφεῖς) De hoc Antro ſub Arce ſito & de Rupibus *Macris* Nos plus ſemel, ut ſupra ad v. 936. & 492. & 13. Dicitur autem *Cecropis* antrum, quia in *Cecropiâ* erat, hoc eſt ſub Acropoli. Et *Plinius*, Oppidum *Cecrops* à ſe appellavit *Cecropiam*, quæ nunc eſt *Athenis*. Hinc v. 936. Κεκροπίας πέτρας vocat. Πετρηρεφεῖς, rectè *Johannis Brodæus* vertit, *petrâ-concameratas*, ubi Caverna eſt rupem ſuſpendens. *Joſua Barnes.* V. 1406. Ῥυσιάζομαι λόγῳ) Vide ſupra v. 523. Πλαστῷ τινι λόγῳ ἀντενεχυράζομαι. Manus in me injicit Aſtuta & Mendax Mulier, illiuſque ſermone opprimor. *Metaphora* à rebus in pignus datis, quæ in jus alterius tranſeunt. *Joſua Barnes.* V. 1408. Ἔκτεινες) Ἠθέλησας κτείνειν καὶ ἐποίεις. Vide ſuprà v. 1326. V. 1409. Παῖς) Οὐ μόνον ἐμὸς φίλος εἶς, ἀλλὰ καὶ παῖς, ὃ φίλτατόν ἐστι τοῖς τοκεῦσιν ὄνομα. Refertur ad Ἐγὼ φίλος σός; quod præceſſit. *Joſ. Barnes.* V. 1410. Παῦσαι πλέκουσα) Παῦσαι τεχνωμένη, καὶ μηχανὰς πλέκουσα. Ἐγὼ γὰρ καλῶς σε λήψομαι, καὶ ῥᾳδίως ἐξελέγξω. *Joſua Barnes.* V. 1411. Εἰς τοῦθ' ἱκοίμην, τοῦδε τοξεῦσαι) Εἴθε ἐς τοῦτο ἱκοίμην, τὸ τοξεῦσαι τοῦδε, καὶ ἐξουσίαν ἔχειν ἀεὶ τῶν ἐντὸς τῆς κιβωτοῦ στοχάζεσθαι καὶ δακτυλοδεικτεῖν. Τοξεύειν τινὸς, pro κατὰ τοξεύειν τινὸς, aliàs enim τοξεύειν τι, vel potiùs τοξεύω τι, ferio aliquid jaculando, ſed τοξεύω τινὸς, volo ferire aliquid, hoc eſt, *Collimo* oculis, & rem aliquam feriendam deſigno. *Joſ. Barnes.* V. 1413. Σά γ' ἔνδυθ') σά γε ἐνδυτά, ut ſupra v. 1390. Καὶ σύνδεθ', pro σύνδετα.

Κρε. Γοϛ-

Κρέ. Γοργὼν μὲν ἐν μέσοισιν ἠτρίων πέπλων.
Ἴων. Ὦ Ζεῦ, τίς ἡμᾶς ἐκκυνηγετεῖ πότμος;
Κρέ. Κεκρασπέδωταί τ' ὄφεσιν, Αἰγίδος τρόπον.
Ἴων. Ἰδού. Τόδ' ἔσθ' ὕφασμα, θέσφαθ' ὡς εὑρίσκομεν.
Κρέ. Ὦ χρόνιον ἱστῶν παρθένευμα τῶν ἐμῶν.
Ἴων. Ἔστιν τι πρὸς τῷ γ', ἢ μόνῳ τῷδ' εὐτυχεῖς;
Κρέ. Δράκοντες ἀρχαῖόν τι παγχρύσῳ γένυι.
Ἴων. Δώρημ' Ἀθάνας, * ἣ τέκν' ἐντρέφειν λέγει; * an ῇ.
Κρέ. Ἐριχθονίου γε τοῦ πάλαι μιμήματα.
Ἴων. Τί δρᾶν, τί χρῆσθαι, φράζε μοι, χρυσώματι;
Κρέ. Δέραια παιδὶ νεογόνῳ φέρειν, τέκνον.
Ἴων. Ἔνεισιν οἵδε· τὸ δὲ τρίτον ποθῶ μαθεῖν.
Κρέ. Στέφανον ἐλαίας ἀμφέθηκά σοι τότε,
Ἣν πρῶτ' Ἀθάνας σκόπελος εἰσηνέγκατο.
Ὅς, εἴπερ ἐστὶν, οὔποτ' ἐκλείπει χλόην,
Θάλλει δ' ἐλαίας ἐξ ἀκηράτου γεγώς.
Ἴων. Ὦ φιλτάτη μοι μῆτερ, ἄσμενός σ' ἰδὼν,
Πρὸς ἀσμένας πέπτωκα σὰς παρηΐδας.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

Κρέ. Ὦ τέκνον, ὦ φῶς μητρὶ, κρεῖσσον ἡλίου,
Συγγνώσεται γὰρ ὁ θεὸς, ἐν χεροῖν σ' ἔχω,
Ἄελπτον εὕρημ', ὃν κατὰ γᾶς ἐνέρων
Χθόνιον, μετὰ Περσεφόνας τ' ἐδόκουν ναίειν.
Ἴων. Ἀλλ', ὦ φίλη μοι μῆτερ, ἐν χεροῖν σέθεν
Ὁ κατθανών τε, κοὐ θανὼν φαντάζομαι.

Στροφὴ β'.

Κρέ. Ἰὼ, ἰώ· λαμπρᾶς αἰθέρος ἀναπτυχαὶ,
Τίν' αὐδὰν αὔσω;
Βοάσω; πόθεν μοι
Συνέκυρσ' ἀδόκητος ἡδονά;
Πόθεν ἐλαβόμεθα χαράν;
Ἴων. Ἐμοὶ γενέσθαι πάντα μᾶλλον ἄν ποτε,
Μῆτερ, παρέστη τῶνδ', ὅπως σός εἰμ' ἐγώ.

Cre. Gorgon quidem *eſt* in medio ſtaminis peplorum.
Ion. O Jupiter, quod fatum nos venatur?
Cre. Et in-ora-*eſt-cincta* ſerpentibus, Ægidis in modum.
Ion. Ecce. Hæc eſt textura, ut invenimus fatalia.
Cre. O vetus virgineum opus mearum telarum.
Ion. Eſtne *ſignum* aliquod præter hoc, an hoc ſolo felix es?
Cr. Dracones *præterea ſunt*, *opus* quoddâ antiq. aureis genis *inſig.*
Ion. Donum Minervæ, quæ liberos inter *ſerpentes* ali jubet?
Cre. Ad imitationem antiqui Erichthonii.
I. Ad q. faciēdū? in qué uſū, dic *mihi*, *addita ſunt hæc* aurea ornam.
Cre. Ut ferret puer recens natus hæc monilia, ô fili.
Ion. Inſunt iſti *dracones*; tertium autem *ſignum* cupio cognoſcere.
Cre. Coronam ex *illâ ipsâ* oleâ impoſui tibi tum,
Quam primum Palladis edidit ſcopulus.
Quæ, ſi adhuc adeſt, nondum reliquit folia virentia,
Sed viret, cùm ex non marceſcente oleâ ſit facta.
Ion. O chariſſima mihi mater, ut lubens te aſpicio,
Et allabor ad tuas genas libenter.

ANOMOEOSTROPHA.

Strophe 1.

Cre. O fili, ô lumen matris, præſtantius ſole
(Ignoſcet enim *mihi* deus) in manibus te habeo
Inſperatum inventum: quem ſub terrâ mortuorum
Mortuum, & cum Proſerpinâ exiſtimabam habitare.
Ion. At, ô chara mihi mater, in manibus tuis
Mortuus, & non mortuus imaginatione videor.

Strophe 2.

Cre. Io, io; ſplendentis ætheris orbes-explicati,
Quam vocem ſonabo?
Clamabo? unde mihi
Occurrit inſperata voluptas?
Unde accepimus hoc gaudium?
Ion. Omnia citiùs mihi eventura eſſe,
O mater, in mētē venit, ut exiſtimarē, quàm hoc, q. tuus ſim ego.

V. 1421. Γοργὼν μὲν &c.) Subaudi ἔστιν, ὑφαίνεται, ἢ τοιοῦτό τι. V. 1422. Ἐκκυνηγετεῖ) διώκει, Μεταφορικῶς. V. 1423. Κεκρασπέδωταί τ' ὄφεσιν, Αἰγίδος τρόπον) Κράσπεδον, Ora, Fimbria Veſtis propriè, quaſi κρεμάμενον εἰς πέδον; hinc κρασπεδόω eleganter, pro *Fimbriâ circumdo*; hinc in hoc loco ego κεκρασπέδωται omnino legendum quâvis mercede contendam, pro corrupto illo κἀκκρασπέδῳ τ', quod prius magnâ Grammaticæ & Proſodiæ injuriâ obtinebat, *J. Barnes.* V. 1427. Δράκοντες &c. Ἐριχθονίου γε τοῦ πάλαι μιμήματα) Huc refer illud *Antigoni Caryſtii* Hiſt. Mirabil. c. 12. Ἀμελησαγόρας δ' ὁ Ἀθηναῖος, ὁ τὴν Ἀτθίδα συγγεγραφὼς, οὔ φησι Κορώνην προσπέτασθαι πρὸς τὴν Ἀκρόπολιν· οὐδ' ἔχοι ἂν εἰπεῖν ἑωρακὼς οὐδείς. Ἀποδίδωσι δὲ τὴν αἰτίαν μυθικῶς· φησὶ γὰρ Ἡφαίστῳ ἀδεῖσαν τῆς Ἀθηνᾶς, συγκατακλιθῆναι αὐτὴν ἀφανισθῆναι· τὸν δὲ Ἥφαιστον, εἰς γῆν πεσόντα, προΐεσθαι τὸ σπέρμα· τὴν δὲ γῆν ὕστερον αὐτῷ ἀναδοῦναι Ἐριχθόνιον, ὃν τρέφειν τὴν Ἀθηνᾶν καὶ εἰς κίστην καθεῖρξαι, καὶ παραθεῖναι ταῖς Κέκροπος παισὶν, Ἀγλαύρῳ, καὶ Πανδρόσῳ, καὶ Ἕρσῃ, καὶ ἐπιτάξαι μὴ ἀνοίγειν τὴν κίστην, ἕως ἂν αὐτὴ ἔλθῃ. Ἀφικομένην δὲ εἰς Πελλήνην φέρειν ὄρος, ἵνα ἔρυμα πρὸ τῆς Ἀκροπόλεως ποιήσῃ· τὰς δὲ Κέκροπος θυγατέρας τὰς δύο, Ἄγλαυρον καὶ Πάνδροσον, τὴν κίστην ἀνοῖξαι, καὶ ἰδεῖν Δράκοντας δύο περὶ τὸν Ἐριχθόνιον, &c. Vid. *Ovid.* Metamorph. l. 2. Fab. 12. Vid. *Hyginum* l. 2. & quæ Nos ſuprà ad v. 23. Notandum verò hic eſt, *Pauſaniam* cum hoc Authore non convenire, fol. 16. lin. 7. Ibi enim ille reliquas duos Ciſtam aperuiſſe ait, *Pandroſum* autem nequaquam. De Aureis verò ſerpentibus *Erechthidarum* filiis innutritis, ex veteri quàdam Religione & Conſuetudine, quæ ab hoc *Erichthonio* ortum cepit, vide quæ Nos ad v. 24. Et hunc morem Προγόνων νόμον vocat v. 20. Προγόνων νόμον σώζουσα, τοῦ τε γηγενοῦς Ἐριχθονίου, &c. *J. Barnes.* V. 1431. Ἔνεισιν οἵδε) Miſero errore *Brodæus* ἴδε vult corrigi; quod Verſus nequaquam admittet. V. 1433. Στέφανον ἐλαίας ἀμφέθηκά σοι τότε, ἣν πρῶτ' Ἀθάνας σκόπελος εἰσηνέγκατο) *Neptunus* & *Minerva* de *Cecropiâ* certabant, utri Urbs dicaretur & cujus ferret Nomen. *Neptunus* tridente *Scopulum* percuſſit, unde Mare erupit; *Minerva* cuſpide tetigit, unde nata eſt tum primùm Olea; quæ ferè Immortalis habebatur, & ſemper virens; adeò ut etiam à *Medis* exuſta, denuo refloruerit. *Ovidius* Metamorph. l. 6. Fab. 2. *Cecropiâ Pallas ſcopulum Mavortis in Arce Pingit, & Antiquam de terræ nomine litem. Bis ſex cæleſtes, medio Jove, ſedibus altis Auguſtâ gravitate ſedent: ſua quemque Deorum, Inſcribit facies:* Jovis *eſt regalis Imago. Stare Deum Pelagi, longóque ferire Tridente Aſpera ſaxa facit; medióque è vulnere ſaxi Exiliiſſe Fretum; quo pignore vendicet urbem. At ſibi dat Clypeum, dat acutæ Cuſpidis Haſtam, Dat Galeam Capiti, defenditur Ægide Pectus, Percuſſámque ſuâ ſimulat de cuſpide terram, Edere cum Bacchis fœtum canentis Olivæ.* Vide *Apollodor.* Biblioth. l. 3. c. 13. §. 1. *Joh. Meurſii Cecropia* c. 19. *Scaliger* legit ἐξηνέγκατο. Quùm σκόπελον *Aldina* Editio habuit & nonnulli Ἀθάνα legant, quid ſi ita legamus, Ἣν πρῶτ' Ἀθάνα σκόπελον εἰσηνέγκατο. Nihil ſtatuo. Similem verò locum habemus infrà v. 1479. Ἃ σκοπέλοις ἐπ' ἐμοῖς τὸν ἐλαιοφυῆ πάγον θάσσει. *J. Barnes* V. 1435. Ὃς εἴπερ ἐστὶν, οὔποτ' ἐκλείπει χλόην) Cum olim οὔπερ legeretur, ego οὔποτ' omnino reſtituendum cenſui, ob præcedens enim εἴπερ videtur corruptum in οὔπερ. De hâc autem Oleâ ſemper-virenti, præter quod Notâ præcedenti diximus, addantur & hæc, quæ *Joh. Brodæus* nobis citata dedit; *Theophr.* δ. περὶ φυτῶν, κεφ. ιδ΄. Τὴν δὲ μακροβιότητα μαρτυροῦσιν ἔνιαι γε τινῶν καὶ ἡμέρων καὶ ἀγρίων, καὶ αἱ παραδεδομέναι φῆμαι παρὰ τῶν μυθολόγων· Ἐλαίαν μὲν γὰρ λέγουσι τὴν Ἀθήνῃσι, Φοίνικα δὲ τὸν ἐν Δήλῳ, Κότινον δὲ τὸν ἐν Ὀλυμπίᾳ, ἀφ' οὗ ὁ στέφανος. &c. *Plinius* l. 16. c. 44. *Athenis quoque Olea durare traditur, in certamine edita à Minervâ.* Hæc ille. V. 1436. Ἐλαίας ἐξ ἀκηράτου) De hac Immortali Oleâ ſupra duabus Notis præcedentibus. V. 1442. Χθόνιον) Θανόντα, κατὰ χθονὸς τεθαμμένον. V. 1445. Ἀναπτυχαὶ) αἱ πύλαι αἰθέριοι, ἢ ἀκτῖνες, διὸ καὶ λαμπραὶ καλοῦνται. Vid. infra ad v. 1516.

Στροφὴ

Στροφὴ γ΄.

Κρέ. Ἔτι φόβῳ τρέμομαι. Ἰων. μή μ' οὐκ ἔχειν μ' ἔχουσα;
Κρέ. Τὰς γὰρ ἐλπίδας ἀπέβαλον πρόσω.
Ἰὼ, γύναι, πόθεν ἔλαβες ἐμὸν βρέφος ἀγκαλᾶν.
Τίν' ἀνὰ χεῖρα δόμους ἔβα Λοξίου;
Ἰων. Θεῖον τόδ'· ἀλλὰ τἀπίλοιπα τῆς τύχης
Εὐδαιμονοῖμεν, ὡς τὰ πρόσθεν, δυστυχῆ.

Στροφὴ δ΄.

Κρέ. Τέκνον, οὐκ ἀδάκρυτος ἐκλοχεύῃ,
Γόοις δὲ ματρὸς ἐκ χερῶν ὁρίζῃ.
Νῦν δὲ γενειάσι παρὰ σέθεν πνέω,
Μακαριωτάτας τυχοῦσ' ἡδονᾶς.
Ἰων. Τοὐμὸν λέγουσα, καὶ τὸ σὸν κοινῶς λέγεις.

Στροφὴ ε΄.

Κρ. Ἄπαιδες οὐκέτ' ἐσμὲν, οὐδ' ἄτεκνοι.
Δῶμα δ' ἑστιοῦται, * τάδε δ' ἔχει τυράννους. * Scalig. ἑστιᾶ.
Ἀνηβᾷ δ' Ἐρεχθεὺς, ὅ, τε γηγενέτας
Δόμος οὐκέτι νύκτας δέρκεται,
Ἀλίου δ' ἀναβλέπει λαμπάσι.
Ἰων. Μῆτερ, παρών μοι καὶ πατὴρ μεταςχέτω
Τῆς ἡδονῆς τῆσδ', ἧς ἔδωκ' ὑμῖν ἐγώ.

Στροφὴ ς΄.

Κρέ. Ὦ τέκνον, τί φής; Ἰων. οἷον οἷον ἀνελέγχομαι.
Κρέ. Πῶς εἶπας; ἄλλοθεν γέγονας γὰρ, ἄλλοθεν·
Ἰων. Ὤι μοι· νόθον με παρθένευμ' ἔτικτε σόν.

Στροφὴ ζ΄.

Κρ. Οὐχ ὑπὸ λαμπάδων,
Οὐδὲ χορευμάτων,
Ὑμέναιος ἐμὸς, τέκνον,
Ἔτικτε σὸν κάρα.
Ἰων. Αἶ, αἶ· πέφυκα δυσγενὴς, μῆτερ, πόθεν;

Στροφὴ η΄.

Κρ. Ἴστω Γοργοφόνα. Ἰων. τί τοῦτ' ἔλεξας;
Κρ. Ἃ σκοπέλοις ἐπ' ἐμοῖς
Τὸν ἐλαιοφυῆ πάγον θάσσει.
Ἰων. Λέγεις μοι δόλια, κοὐ σαφῆ τάδε.
Κρέ. Παρ' ἀηδόνιον πέτραν Φοίβῳ----
Ἰων. Τί Φοῖβον αὐδᾷς;
Κρ. Κρυπτόμενον λέχος ηὐνάσθην.
Ἰων. Λέγ'· ὡς ἐρεῖς τι κεδνὸν, εὐτυχές τί μοι.

Στροφὴ θ΄.

Κρ. Δεκάτῳ δέ σε μηνὸς ἐν κύκλῳ,
Κρύφιον ὠδῖν' ἔτεκον Φοίβῳ.
Ἰων. Ὦ φίλτατ' εἰποῦσ', εἰ λέγεις ἐτήτυμα.

Στροφὴ ι΄.

Κρ. Παρθένια δ' * ἐμᾶς ματρὸς * αἱ ἐμᾶς.
Σπάργαν' ἀμφίβολά σοι τάδε
Ἐνῆψα, κερκίδος ἐμᾶς πλάνους.
Γάλακτι δ' οὐκ ἐπέσχον, οὐδὲ μαστῷ
Τροφεῖα ματρὸς, οὐδὲ λουτρὰ χεροῖν.

Strophe 3.

Cr. Adhuc metu tremo. *Io.* An, ne non habeas me, quem habes?
Cre. Has enim ſpes procul abjeceram.
Io, mulier, unde accepiſti meorum infantem ulnarum?
Per quam manum venit *ad* domum Apollinis?
Ion. Divinum hoc *eſt*. At *in* cæteris fortunæ *rebus*
Beati ſimus, quia *res* priores *fuerunt* infelices.

Strophe 4.

Cre. Fili, non ſine lacrymis editus es,
Et *cum* lamentis ex manibus matris exterminatus es.
Nunc verò ad tuas genas ſpiro,
Beatiſſimæ compos facta voluptatis.
Ion. Meum *fatum* commemorans, tuum etiam commune dicis.

Strophe 5.

Cre. Sine liberis non ampliùs ſumus, neque orbæ.
Et mea domus colitur, & habet dominos.
Repubeſcit autem Erechtheus, & terrigena
Domus non ampliùs noctem videt,
Solis verò facibus *illuſtrata lucem* rurſus intuetur.
Ion. Mater, cum pater mihi jam adſit, eſto ſocius
Hujus voluptatis, quam præbui vobis ego.

Strophe 6.

Cr. O fili, quid ais? *I.* Qualis, qualis *filius* arguor? *qualis invenior*?
Cre. Quid dixiſti? aliunde igitur natus es, aliunde.
Ion. Hei mihi! tua virginitas peperit me nothum.

Strophe 7.

Cre. Non ſub facibus,
Non cum tripudiis
Hymenæus meus, ô fili,
Peperit tuum caput.
Ion. Heu, heu. Unde nam *igitur* ignobilis *ego*, mater, natus ſum?

Strophe 8.

Cre. Sciat Gorgonis interfectrix. *Ion.* Quid hoc dixiſti?
Cre. Quæ ſcopulis in meis
Rupem oleis-conſitam *ac oliviferam* incolit.
Ion. Dicis mihi obſcura, nec manifeſta hæc.
Cre. Ad rupem luſciniis-celebrem Phœbo ———
Ion. Quid narras Phœbum?
Cre. Furtivo lecto juncta ſum.
Ion. Perge, quia dicis aliquid glorioſum & fauſtum mihi.

Strophe 9.

Cre. In decimâ verò revolutione menſis
Occultum partum peperi Phœbo.
Ion. O gratiſſima locuta, ſi modò vera dicis.

Strophe 10.

Cre. Virginales verò mei matris
Faſcias circumjectas tibi
Indui, varium opus mei radii.
Lacte verò *tibi* non præbui neque mammâ,
Alimenta matris, neque lavacra manibus.

V. 1466. Δόμος γηγενέτας) *Erichthonii* è terrâ geniti Domus; de *Erichthonio* autem Terrigenâ vide ſupra ad v. 1000. & v. 1427. V. 1473. Οὐχ ὑπὸ λαμπάδων, οὐδὲ χορευμάτων Ὑμέναιος ἐμὸς &c.) De Nuptialibus Facibus & *Hymenæi* tedâ vide ad *Helen.* v. 645. V. 1476. Ἔτικτε σὸν κάρα) i.e. *te*. Vid. ad *Heraclid.* v. 529. & 540. V. 1478. Ἴστω Γοργοφόνα) Sciat *Gorgonum-interfectrix*, *id eſt*, Minervam teſtor. Ita *Homer.* Iliad. κ. v. 329. Ἴστω νῦν Ζεὺς αὐτὸς ἐρίγδουπος πόσις Ἥρης. *Scholiaſt.* Γινωσκέτω, μάρτυς ἔστω. *Sophocles*, Ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί. *Theocritus*, Ἴστω γὰρ κόρη τε καὶ ὤριος Δημήτηρ. Ex *Johan. Brodæi* Notis. Ponitur autem pro ἰσάτω per *Syncopen*. Γοργοφόνα autem *Pallas* dicitur, vel quia ipſa *Gorgonem* interemit, vel quia ejuſdem conſilio *Perſeus*, ut & aliàs obſervavimus, ad *Bacch.* v. 989. Duplex enim narratur Hiſtoria. *J. Barnes.* V. 1479. Ἃ σκοπέλοις ἐπ' ἐμοῖς) Vid. ſimilem locum ſuprà ad v. 1432.

V. 1480. Τὸν ἐλαιοφυῆ πάγον θάσσει) πάγον ἐλαιοφυῆ τὴν Ἀκρόπολιν καλεῖ, ὅτι πρῶτον ἐκεῖσε ἡ ἐλαία ἐφάνη. Vid. *Euſtath.* in *Homer.* fol. 1095. lin. 25. V. 1484. Κρυπτόμενον λέχος ηὐνάσθην) Quia dicitur εὐνὴν εὐνάζεσθαι, etiam λέχος εὐνάζεσθαι dicendũ, quia λέχος & εὐνὴ ſunt *Synonyma*; ſic quia *Vitam vivere*, & *ætatem vivere*, dicitur; & ſimilia licet ſexcenta obſervare. Vid. ad *Iphig. Aul.* v. 1182. & hujus Fabulæ v. 620. V. 1490. Σπάργαν' ἀμφίβολα) Ἀμφίβολα, ἤγουν ἀμφιβεβλημένα, ἐπιθετικῶς. Malè igitur *Brodæus* καὶ inſeruit, quaſi neceſſariò eſſet pro ἀμφιβλήματα, *ſubſtantivè*.

V. 1491. Κερκίδος ἐμᾶς) Ita pro ἐμὰς ſcribo, ita & *Scaliger* & Senſus poſtulat. *Joſua Barnes.*

Ἀνὰ δ' ἄντρον ἐρημίας,
Οἰωνῶν γαμφηλαῖς
Φόνευμα, θοίναμά τ' εἰς ἄϊδαν ἐκβάλλῃ.
Ἰων. Ὦ δεινὰ τλᾶσα μῆτερ.

Στροφὴ ιά.

Κρ. Ἐν φόβῳ καταδεθεῖσα, σὰν
Ψυχὰν ἀπέβαλον, τέκνον·
Ἔκτεινά σ' ἄκουσα.
Ἰων. Ἐξ ἐμοῦ τ' οὐχ ὅσι' ἔθνησκες.

Στροφὴ ιβ'.

Κρ. Ἰώ, δειναὶ μὲν τότε τύχαι,
Δεινὰ δὲ ϗ τάδε.
Ἑλισσόμεσθ' ἐκεῖθεν
Ἐνθάδε δυστυχίαισιν,
Εὐτυχίαις τε πάλιν·
Μεθίσταται δὲ πνεύματα.
Μενέτω· τὰ πάροιθεν ἅλις κακά· νῦν
Δ' ἐγένετό τις οὖρος ἐκ κακῶν, ὦ παῖ.

Ἴαμβοι.

Χο. " Μηδεὶς δοκείτω μηδὲν ἀνθρώπων ποτὲ
" Ἄελπτον εἶναι, πρὸς τὰ τυγχάνοντα νῦν.
Ἰων. " Ὦ μεταβαλοῦσα μυρίους ἤδη βροτῶν,
" Καὶ δυστυχῆσαι, καὖθις εὖ πρᾶξαι καλῶς,
" Τύχη, παρ' οἵαν ἤλθομεν στάθμην βίου,
Μητέρα φονεῦσαι, ϗ παθεῖν ἀνάξια.
Φεῦ· Ἆρ' ἐν φαειναῖς ἡλίου περιπτυχαῖς
Ἔνεστι πάντα τάδε καθ' ἡμέραν μαθεῖν.
Φίλον μὲν οὖν σ' εὕρημα, μῆτερ, εὕρομεν,
Καὶ τὸ γένος οὐδὲν μεμπτὸν ὡς ἡμῖν τόδε·
Τὰ δ' ἄλλα πρὸς σὲ βούλομαι μόνην φράσαι.
Δεῦρ' ἔλθ'· ἐς οὖς γὰρ τοὺς λόγους εἰπεῖν θέλω,
Καὶ περικαλύψαι τοῖσι πράγμασι σκότον.
Ὅρα σύ, μῆτερ, μὴ σφαλεῖσα παρθένος,
Ἐγγίνεται νοσήματ' εἰς κρυπτοὺς γάμους.
Ἔπειτα τῷ θεῷ προστιθῇς τὴν αἰτίαν.
Καὶ τοὐμὸν αἰσχρὸν ἀποφυγεῖν πειρωμένη,
Φοίβῳ τεκεῖν με φῄς, τεκοῦσ' οὐκ ἐκ θεοῦ.
Κρέ. Μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε
Νίκην Ἀθηνᾶν Ζηνὶ γηγενεῖς ἔπι,

Sed in antro deſerto
Avium roſtris
Cædes epulumq; fies i.e. laniandus, ad Plut. & mor. à me ſic ejectus es.
Ion. O dira mater auſa.

Strophe 11.

Cre. Metu conſtricta, tuam
Animam perdidi, fili:
Et occidi te invita.
Ion. Et à me non piè *caſa* mortua es.

Strophe 12.

Cr. Heu, miſera quidem tunc *fuit* fortuna, *cùm expoſitus eſſes*,
Miſera vero & hæc *erant*, *quando ego te & tu me tollere volebas.*
Volvimur illinc
Huc ærumnis, *& modò huc, modo illuc agitamur adverſis rebus*,
Secundiſq; rebus rurſus, *lætiſque mutata fortuna fruimur interdū.*
Mutantur enim *crebrò fortunæ* flatus,
Maneat *verò hæc fortuna*: ſufficiant ſuperiora mala: nunc
Verò quidam ſecundus ventus ex malis ortus eſt, ô fili.

Chorus.

" Nemo putet quicquam hominibus unquam
" Inſperatum eſſe conſiderans ea, quæ nunc accidunt.
Ion. " O quæ jam mutâſti ſexcentos mortales,
" Ut eſſent infelices, & rurſus valdè felices eſſent,
" Fortuna, ad quale momentum vitæ venimus,
Ut matrem *ferè* cæderem, & indigna ipſe paterer!
Heu! Profectò in lucidis ſolis circumvolutionibus
Licet hæc omnia quotidie diſcere.
Charum igitur inventum te, mater, invenimus,
Et genus nihil culpandum nobis quod ad hoc attinet:
Cætera verò ad te ſolam volo dicere.
Huc accede. In aurem enim hos ſermones dicere volo,
Et offundere tenebras his rebus, *hæc tenebris velare.*
Vide tu mater, ne, cùm lapſa fueris virgo,
Morbus *aliquis* fuerit in occultis nup. *& peccaris cland. congreſſu:*
Deinde *tui peccati* cauſam *culpamque* Deo tribuas.
Meam verò turpitudinem effugere conans,
Peperiſſe me dicas Phœbo, cum non pepereris ex Deo.
Cre. Non, per eam, quæ quondam curru *vecta* tulit opem,
Victoriam Minervam, Jovi adverſus terrigenas,

V. 1496. Θοίναμα) Θοίνη, δεῖπνον, ἑστίασιν. Vid. ſuprà ad v. 933. V. 1500. Ἔκτεινά σ' ἄκουσα) *Tantùm non interfeci te; quod in me enim fuit perdere volui:* licet id nollem omninò, quia filius es. De hâc voce autem κτείνω pro ἐγχειρῶ κτείνειν, vel θέλω, vide ſupra ad v. 1326. & v. 1408. V. 1501. Ἐξ ἐμοῦ τ' οὐχ ὅσι' ἔθνησκες) *Tu enim à me præter fas penè interempta es.* Οὐχ ὅσια *Atticè* pro οὐχ ὁσίως, hoc autem ὅσιον pro ὁσίως. Et ἔθνησκες pro θανεῖν ἔμελλες. Ita in Literis noſtris *Iſaacus* dicitur προσφερόμενος Immolatus, eò quòd Pater ejus reverà ipſum Immolationi deſignâſſet, *Hebr.* c. xi. v. 17. Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, ϗ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη, ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, λογισάμενος, ὅτι ϗ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν ϗ ἐν παραβολῇ ἐκομίσατο. *J. Barnes.* V. 1503. Δεινὰ δὲ ϗ τάδε) Olim δειλία malè ſcriptum erat, pro quo δειλαία nonnulli, haud multò meliùs; δειλὰ *Scaliger* paulò tutiùs; Nos ob præcedens δειναί, & hîc δεινὰ legendum ſtatuimus. *Idem.* V. 1511. Ἄελπτον εἶναι, πρὸς τὰ τυγχάνοντα νῦν) Mallem equidem, ſi per Exemplaria liceret, legere πρὸς τὰ τυγχάνονθ' ὁρῶν, ut ſic referatur ad μηδείς, ſine ὁρῶν enim expreſſo, vel intellecto; difficulter πρὸς ad Syntaxin conciliabitur; Jam verò hic ſenſus, Μηδεὶς νομιζέτω τι ἐν ἀνθρώποις ἄελπτον, πρὸς τὰ νῦν τυγχάνοντα ὁρῶν. Ταῦτα γὰρ πάντα παρὰ τὴν ἐλπίδα ϗ δόκησιν συμβεβήκασι. *Joſua Barnes.* V. 1516. Φεῦ· Ἆρ' ἐν φαειναῖς ἡλίου περιπτυχαῖς) Extra Verſum φεῦ ponitur. Περιπτυχαὶ δὲ ἡλίου λέγονται, ὡς ϗ ἄλλως ἀναπτυχαί. *Scholiaſt.* ad *Hippolyt.* ἡλίου ἀναπτυχαί) αἱ ἀκτῖνες παρὰ τὸ αὐτὸ ἀναπτύσσουσι ϗ ἡμῖν δηλοῦσι τὰ πάντα διὰ τοῦ φωτός. *Heſychius*, ἀναπτυχαί, ἀνατολαί. Περιπτυχαὶ verò hoc in loco pro δρόμος ἡλιακός, vel περιβολαί, ϗ τροπαὶ ἡμεραι. V. 1523. Μὴ σφαλεῖσα παρθένος, Ἐγγίνεται νοσήματ' εἰς κρυπτοὺς γάμους) Inſignis hic Mutatio *Syntaxeos*, ſi modò rectè ſe habent Exemplaria. De quâ re Nos ſupra ad v. 927. *Æmil. Portus* ad *Atticiſmum* refert, pro, ὅρα, μὴ σὺ παρθένος σφαλεῖσα, νοσήματα ἐν κρυπτοῖς γάμοις ἐγγίνηται, vel ἐγγένηται. *Vide, ne te lapsâ, dum adhuc eſſes Virgo, Morbus aliquis in clandeſtinis Nuptiis fuerit. Ne peccaris in clandeſtinis Nuptiis.* Ἐγγίνεται *autem Metri causâ, pro* ἐγγίνηται. *Quanquam* τὸ ἵνα & τὸ μὴ *ſæpe cum* Indicativo *apud Poetas junguntur, ut & τὸ ὅπως.* Ita ille. *Henricus Stephanus* locum ſuſpectum habet. *Joſephus Scaliger* σφαλεῖσαν παρθένον legit. *Joſua Barnes.* V. 1529. Νίκην Ἀθηνᾶν) De *Minervâ Victoriâ*, vide quæ Nos ſuprà ad v. 457. Quibus addatur illud *Euſtathii* in *Homer.* Iliad. λ. fol. 879. lin. 64. Διὸ ϗ ὁ μῦθος τὴν Νίκην οὐ μόνον χρυσοῖν πτερύγοιν ἐκόσμησε διὰ τὸ κατ' αὐτὴν ϗ πολυτίμητον, ϗ, ὡς εἰπεῖν, μετεωρόπορον, ἀλλὰ ϗ τῇ Ἀθηνᾷ εἰς ταυτὸν ἤγαγεν, ὡς δηλοῖ ϗ ὁ γράψας, Ἀθηνᾶ ἡ Νίκη· οὕτω δὲ αὐτίσμα ἐπὶ τοῦ τὴν φρόνησιν νικητικὴν εἶναι. κατὰ τό, Οἱ γὰρ φρονοῦντες εὖ, κρατοῦσι πανταχοῦ. Et *Sophocles*, Νίκη τ' Ἀθηνᾶ πολιάς, ἣ σώζει μ' ἀεί. Et *Pauſanias* fol. 40. lin. 30. Καὶ ἕτερον ἐνταῦθα ἱερόν, Ἀθηνᾶς πεποίηται, καλουμένης Νίκης. *Ibid.* Ζηνὶ παρασπίζουσαν γηγενεῖς ἔπι) κατὰ γιγάντων παρασπίζουσα τῷ Διΐ. *Phurnutus* περὶ τῆς Ἀθηνᾶς in fine, Μάλιστα δὲ ϗ τὴν

Νίκην τῇ Ἀθηνᾷ παρέδειξεν διδάσκειν, ὅ τε νικᾷν τῷ προσηνομαζομένῳ ποιεῖ. ---Καὶ ἐν τῷ πρὸς τοὺς γίγαντας μάχῃ παρεδίδοτο νενικηκυῖα ἡ Ἀθηνᾶ, καὶ κρατοφόρος ἐπονομάζεται. *Idem*, Ibidem, de eadem, ἱερεὺς γὰρ δεῖν ἐπαμύνειν καὶ προσβοηθεῖν, ὅθεν καὶ Νίκη προσαγορεύεται. *Josua Barnes.*

Οὐκ ἔστιν ὅστις σοι πατὴρ θνητῶν, τέκνον,
Ἀλλ' ὅσπερ ἐξέθρεψε Λοξίας ἄναξ.
Ιων. Πῶς οὖν τὸν αὑτοῦ παῖδ' ἔδωκ' ἄλλῳ πατρὶ,
Ξούθου τέ φησι παῖδά μ' ἐκπεφυκέναι;
Κρέ. Πεφυκέναι μὲν οὐχὶ, δωρεῖται δέ σε
Αὑτοῦ γεγῶτα· καὶ γὰρ ἂν φίλος φίλῳ
Δοίη τὸν αὑτοῦ παῖδα δεσπότην δόμων.
Ιων. Ὁ θεὸς ἀληθὴς, ἢ μάτην μαντεύεται,
Ἐμοῦ ταράσσει, μῆτερ, εἰκότως φρένα.
Κρ. Ἄκουε δὴ νῦν, ἅν μ' ἐσῆλθεν, ὦ τέκνον·
Εὐεργετῶν σε Λοξίας, εἰς εὐγενῆ
Δόμον καθίζει. τοῦ θεοῦ δὲ λεγόμενος,
Οὐκ ἔσχες ἄν ποτ' οὔτε παγκλήρους δόμους,
Οὔτ' ὄνομα πατρός. πῶς γὰρ, οὗ γ' ἐγὼ γάμους
Ἔκρυπτον αὐτὴ, καί σ' ἀπέκτεινον λάθρα;
Ὁ δ' ὠφελῶν σε, προστίθησ' ἄλλῳ πατρί.
Ιων. Οὐχ ὧδε φαύλως * αὔτ' ἐγὼ μετέρχομαι, * αι. τοῦτ'.
Ἀλλ' ἱστορήσω Φοῖβον εἰσελθὼν δόμους,
Εἴτ' εἰμὶ θνητοῦ πατρὸς, εἴτε Λοξίου.
Ἔα· τίς οἴκων θεοδόκων ὑπερτελὴς
Ἀνθήλιον πρόσωπον ἐκφαίνει θεῶν;
Φεύγωμεν, ὦ τεκοῦσα, μὴ τὰ δαιμόνων
Ὁρῶμεν, εἰ μὴ καιρός ἐσθ' ἡμᾶς ὁρᾶν.
Αθη. Μὴ φεύγετ'· οὐ γὰρ πολεμίαν με φεύγετε,
Ἀλλ' ἔν τ' Ἀθήναις, κἀνθάδ' οὖσαν εὐμενῆ.
Ἐπώνυμος δὲ σῆς ἀφικόμην χθονὸς,
Παλλὰς, δρόμῳ σπεύσασ' Ἀπόλλωνος πάρα.
Ὃς εἰς μὲν ὄψιν σφῷν μολεῖν οὐκ ἠξίου,
Μὴ τῶν πάροιθε μέμψιν εἰς μέσον μόλῃ,
Ἡμᾶς δὲ πέμπει τοὺς λόγους ὑμῖν φράσαι,
Ὡς ἥδε τίκτει σ' ἐξ Ἀπόλλωνος πατρὸς,
Δίδωσι δ' οἷς ἔδωκεν, οὐ φύσασί σε,
Ἀλλ' ὡς κομίζοις οἶκον εὐγενέστατον.
Ἐπεὶ δ' ἀνοίχθη πρᾶγμα μηνυθὲν τόδε,
Θανεῖν σε δείσας μητρὸς ἐκ βουλευμάτων,

Nullus mortalium eſt tibi pater, ô fili:
Sed qui te educavit Apollo Rex.
Ion. Quomodo igitur ſuum filium dedit alteri patri,
Et Xuthoque dicit me natum eſſe filium?
Cre. Progenitum quidem *ex eo te* non dicit eſſe, ſed *ei* donat te
Ex ſe natum. Etenim amicus amico
Dare queat ſuum filium hæredem domûs.
Ion. Deus quidem verax *eſt*, aut fruſtrà vaticinatur,
Meam meritò perturbans, mater, mentem.
Cre. Audi igitur nunc, quæ mihi in mentem venerunt, ô fili,
Cum velit tibi deus benefacere, in regiam
Domum te collocat. Dei enim *filius* ſi diceveris, *ac eſſes*,
Nunquam univerſam hæreditatem haberes.
Neq; nomẽ patris. Quom.n.*haberes hæreditatem Dei*, cujus ego nup.
Occultavi ipſa, & te interfeci clàm?
Ille igitur te juvans alteri patri attribuit.
Ion. Non ita ſegnitèr ea, *quæ dicis*, ego perſequor, *&* *conſidero*:
Sed interrogabo Phœbum, templum ingreſſus,
Utrum ſim filius hominis, an Phœbi. * *Minerva* apparet.
Ehem! quis ſupra ſacras ædes exoriens *ac emicans*,
Deorum oſtendit faciem ſolis inſtar ſplendentem?
Fugiamus, ô mater, nè deorum *numina*
Spectemus, niſi ſit opus nos ea videre.
Min. Nè fugite: non enim hoſtem me fugitis,
Sed amicam vobis, & Athenis, & hic exiſtentem.
Veni autem tuæ terræ cognominis
Pallas feſtinans curſu ab Apolline *huc miſſa*,
Qui in conſpectum quidem veſtrum venire noluit,
Nè veniat in mediam reprehenſionem præteritorum *facinorũ*.
Nos verò mittit, ut hos ſermones vobis dicamus,
Quòd hæc peperit te ex Apolline patre;
Dat autem *te* quibus dedit, qui te non genuerunt, *i.e. Xutho*;
Sed *hoc facit*, ut accipias, *habeáſque* domum nobiliſſimam.
Poſtquam verò res hæc eſt aperta, indicio declarata,
Metuens nè tu morereris ex matris inſidiis,

V. 1538. Εἰκότως) εὐπαθεῖσαν, ἀλλὰ μάτην, καὶ ψευδῶς, ἅμα πιθανότητι πολλῇ μαθόμενος· καὶ δὴ ψεύδεα λέγων, ὡς Ἡσίοδος, ἐτύμοισιν ὁμοῖα. *Scaliger* legit εἰκαίως, id eſt, εἰκῆ, συνωνύμως τῷ μάτην, quod præceſſit; quare minùs probo, cum ex εἰκότως ſatis commodum licet ſenſum elicere. *Joſua Barnes.* V. 1539. Ἄκουε δὴ νῦν, ἅν μ' ἐσῆλθεν, ὦ τέκνον) Ἄκουε τούτων, ἅ μ' ἐσῆλθεν, ἢ ἅν με μνήμη ἐσῆλθεν, quia verò dicitur ἄκουε τούτων, ideò quoque ἅν ſcribitur; frequentèr enim *Relativum & Antecedens*, in eodem caſu ponuntur, poteſt etiam ἅ μ' pro ἃ ἐμὲ per Contractum ſtare, quià ſic longum eſſet. At potiùs hic cum *Scaligero* ὧν lego; ἐσῆλθεν autem neceſſario legendum, non εἰσῆλθεν & ſic *Aldi* Editio legit. *Duportus* hunc Verſum minus rotundè vult legi. Ἄκουε δὴ τοίνυν, ἅ μ' εἰσῆλθεν, τέκνον. *Joſ. Barnes.* V. 1543. Οὐδ' ὄνομα πατρός.) Sed quaſi ſpurius nomen conditionemque Matris. V. 1545. Ὁ δ' ὠφελῶν σε) Ita rectè *Aldi* Editio. V. 1549. Ἔα· τίς οἴκων θεοδόκων) Olim θεοδότων, ſed *Scaliger* reſtituit θεοδόκων, quod certè magis congruum eſt Templi Epithetum, ὁ γὰρ ναὸς θεόν τινα δέχεται, hoc eſt, illius ſedes dicitur, ibi ejus Nomen & Cultus: quòd Deus autem reverà Incomprehenſibilis ſit, diximus, ad *Troad.* v. 884. Et hinc ναὸς *Nonno* dicitur θεοδέγμων, & θεοδόκος & θεοδόχος & θεοδόχος. Vox autem θεοδότων hic locum non habet. *Joſua Barnes.* V. 1550. Ἀνθήλιον) Ἀνθήλιος apud *Sophoclem* in *Ajace*, τὴν ἀντικρὺ τῆς ἀνατολῆς τοῦ ἡλίου ſignificat. Hoc in loco, *Solis-ad-inſtar-fulgens*; ſic *Homero* ἀντίθεος pro θεοείκελος. *Idem.* V. 1551. Μὴ τὰ Δαιμόνων ὁρῶμεν) Semper *Dei* aut *Angeli* Conſpectus putâbatur à Naturæ viribus ferri non poſſe, atque ideò Mortis prænuntius; ita enim *Deus* ipſe *Iſraelis*, Exod. c. 33. v. 20. Καὶ εἶπεν, οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται. Et *Judic.* c. 13. v. 22. Καὶ εἶπε Μανωὲ πρὸς τὴν γυναῖκα αὐτοῦ, θανάτῳ ἀποθανούμεθα, ὅτι θεὸν εἴδομεν. &c. *Joſua Barnes.* V. 1553. Μὴ φεύγετ') Hic videtur Poeta noſter Perſonarum numerum fruſtrà & ſine causâ augere; quia *Mercurius*, qui Prologum egit, potuit quoque huic Epilogo ſufficere & fortè magis decorè, quàm *Minerva*, quæ Virgo erat. Sed dicendum, magis hæc *Minervæ* convenire, cui Domus *Erichthonii* præcipuè cordi erat, & *Athenis* præcipuè ipſa colebatur & *Apollinis* erat paulò amantior. Gratior autem erat *Athenienſium* Theatro Divæ Patriæ aſpectus: & rectè *Apollo* per ſe non jam apparet, utpote quem Pudor retraheret. *Joſua Barnes.* V. 1558. Μὴ τῶν πάροιθε μέμψιν εἰς μέσον μόλῃ) Μέσον pro μέσην, *Atticè*, ut ſit μέμψιν εἰς μέσον. *Duportus* legit μέμψις. V. 1561. Οὐ φύσασί σε) Οὐ τῷ φύσαντί σε, i. e. *Xutho*. De *Plurali* numero pro *Singulari* poſito, vide ſupra ad v. 1056. Hæc *Duportus* non intelligens, ſed putans *Creuſam* quoque hic intelligi unà cum *Xutho*, legi voluit, οὐ τρέφουσί σε, quia *Creuſa* quidem illum peperit, non autem educavit. Sed *Minerva* de *Ione* ab *Apolline Xutho* dato loquitur; neque enim is *Creuſæ* datus erat, ſed reverà ipſius repertus. *Joſua Barnes.*

Καὶ

Καὶ τήνδε πρὸς σοῦ, μηχαναῖς ἐῤῥύσατο.
Ἔμελλε δ' αὐτὰ διασιωπήσας ἄναξ,
Ἐν ταῖς Ἀθήναις γνωριεῖν ταύτην τε σήν,
Σέ θ', ὡς πέφυκας τῆσδε, καὶ Φοίβου πατρός.
Ἀλλ' ὡς περαίνω πρᾶγμα, καὶ χρησμοὺς θεοῦ;
Ἐφ' οἷς ἐζεύξατ' ἅρματ', εἰσακούσατον.
Λαβοῦσα τόνδε παῖδα, Κεκροπίαν χθόνα
Χώρει, Κρέουσα, κἀς θρόνους τυραννικοὺς
Ἵδρυσον· ἐκ γὰρ τῶν Ἐρεχθέως γεγὼς,
Δίκαιος ἄρχειν τῆς γ' ἐμῆς ὅδε χθονός.
Ἔσται τ' ἀν' Ἑλλάδ' εὐκλεής· οἱ τοῦδε γὰρ
Παῖδες γενόμενοι τέσσαρες ῥίζης μιᾶς,
Ἐπώνυμοι γῆς, κἀπιφυλίου χθονὸς
Λαῶν ἔσονται, σκόπελον οἳ ναίουσ' ἐμόν.
Γελέων μὲν ἔσται πρῶτος· εἶτα δεύτερον,
Ὅπλητες, Ἀργαδῆς τ', ἐμῆς τ' ἀπ' Αἰγίδος.
Ἔμφυλον ἕξουσ' Αἰγικορῆς. οἱ τῶνδε δ' αὖ
Παῖδες γενόμενοι σὺν χρόνῳ πεπρωμένῳ
Κυκλάδας ἐποικήσουσι νησαίας πόλεις,
Χέρσους τε παράλους, ὃ σθένος τἠμῇ χθονὶ
Δίδωσιν. ἀντίπορθμα δ' ἠπείροιν δυοῖν
Πεδία κατοικήσουσιν, Ἀσιάδος τε γῆς,
Εὐρωπίας τε· τοῦδε δ' ὀνόματος χάριν,
Ἴωνες ὀνομασθέντες ἕξουσι κλέος.
Ξούθῳ δὲ καὶ σοὶ γίγνεται κοινὸν γένος.
Δῶρος μὲν, ἔνθεν Δωρὶς ὑμνηθήσεται
Πόλις· κατ' αἶαν Πελοπίαν δ' ὁ δεύτερος
Ἀχαιός, ὃς γῆς παραλίας Ῥίου πέλας
Τύραννος ἔσται, κἀπισημανθήσεται
Κείνου κεκλῆσθαι λαὸς ὄνομ' ἐπώνυμος.
Καλῶς δ' Ἀπόλλων πάντ' ἔπραξε· πρῶτα μὲν,
Ἄνοσον λοχεύει σ', ὥστε μὴ γνῶναι φίλους.

Néve hæc abs te *ſublata periret*, conſiliis liberavit.
Hæc autem Rex *Apollo* ſtatuerat reticere,
Et Athenis declarare hanc eſſe tuam *matrem*,
Et te ex hâc, & Apolline patre, natum eſſe.
Sed ut finiam rem, & dei oracula, *ea*,
Propter quæ currus junxiſtis, *ut hæc penetretis*, audite;
Accipiens hunc filium *ad* Cecropiam terram
Vade, Creuſa, & in thronis regiis *eum*
Colloca. Nam ex Erechthei *poſteris* natum
Hunc æquum *eſt* imperare meæ terræ.
Eritque per *totam* Græciam clarus. Hujus enim
Filii quatuor ex unâ radice nati,
Cognomines terræ, diſtributique in tribus agri
Populorum erunt, qui rupem meam habitant.
Geleon quidem primus erit: deinde ſecundum *Ionis* F.
Hopletes, *tertium*, Argades, & *quartum denominatum* a meâ Ægide
Ægicores habebunt tribulem, *ac ſuæ tribûs principem.* Horū autē
Liberi progeniti cum tempore fatali,
Cycladas incolent inſulares urbes, *i.e. in inſulis Cycladibus conditas*,
Oráſque maritimas, quod robur agro meo
Dabit. oppoſita verò littora duarum continentium
Inhabitabunt, & campos Aſiaticæ terræ,
Et Europææ. Ob hujus verò *Ionis* nomen
Iones nominati habebunt gloriam.
Xutho verò & tibi commune *liberorum* genus erit,
Dorus quidem, undè Dorica *quævis* celebrabitur
Civitas. In agro verò Pelopio alter *filius erit*
Achæus, qui maritimæ terræ prope Rhium
Dominus erit, & inſignitèr gloriabitur
Populus ſe de illius nomine cognominem appellari.
Rectè verò Apollo omnia fecit: primum quidem,
Sine dolore parere-te-fecit, ut non reſcirent amici.

V. 1565. Καὶ τήνδε πρὸς σοῦ μηχαναῖς ἐῤῥύσατο) καὶ ταύτην ὑπὸ τῶν χειρῶν σου μηχαναῖς καὶ βουλῇ προνοητικῇ ἐῤῥύσατο, τὴν Πυθίαν προσῆπτεν ἐφορμήσας, ὅπως τὴν κιβωτὸν Κρεούσῃ ἀναδείξειν, ὅθεν τὰ πάντα ἀναγνωρίζεσθαι. Cave itaque nè *μηχαναῖς* aliò referas, quàm ad *τὸ ἐῤῥύσατο*. *Ion* enim Machinis uſus eſt nullis, ſed aperto Jure. *Joſua Barnes.* V. 1566. *Ἄναξ*) De *Apolline* apertè hoc in loco dicitur, quare autem, vide quæ Nos ad *Iphigen.* Aul. v. 1482. Malè *Brodæus* de *Xutho* capit, qui harum omnium rerum ignarus fuiſſe putatur. *Idem.* V. 1567. *Γνωριεῖν*) *Atticè* pro *γνωρίσειν*. Vid. Grammaticas Vulgares de Polyſyllaborum Quartæ Conjugationis *Futuro* primo. V. 1569. Θεοῦ) *Scaliger* legit Θεῷ. Sed & Θεοῦ ſtabit, ſi *illius vice* exponas; ὑπὸ τοῦ Θεοῦ. V. 1570. Ἐφ' οἷς ἐζεύξατ' ἅρματ' εἰσακούσατον) Quùm *Aldina* Editio etiamnum ἅρματ' retineat, doleo corruptum illud ἅρμασ', & authenticum ἅρματ' reſtituo; cujus abſentia tot Doctos viros erroribus implicuit. *Scaliger* legebat ἐφ' οἷσιν ἔζευξ' ἅρματ', quaſi de Deo diceretur; cùm de *Xutho* & *Creuſâ* dicitur in hunc ſenſum, Περὶ δὲ τῶν παίδων καὶ τῆς τεκνογονίας, ἐφ' οἷς δεῦρο ἐλαύνοντες ἁρματηλατοῦντες, σύ τε καὶ ὁ Ξοῦθος, χρησόμενοι· λαβοῦσα τοῦτον τὸν ἀληθῶς σὸν παῖδα, ἀποχώρησον· Ἐκ δὲ τούτου τέσσαρες ἔσονται υἱοί, &c. *Joſua Barnes.* V. 1574. Δίκαιος ἄρχειν) Δίκαιος pro ἄξιος & alias reperiri obſervatur *Supplic.* v. 186. Quibus hæc addantur, Ita *Scholiaſt. Euripid.* ad *Oreſt.* v. 634. Δίκαιος τυχεῖν βοηθείας. Sic *Euripid.* Heraclid. v. 143. Δίκαιοι δ' ἐμοῦ οἰκοῦντες πόλιν, Αὐτοὶ καθ' αὑτῶν κυρίας κραίνειν δίκας. Item v. 776. Οὐ γὰρ ἐμῇ γ' ἀρετῇ Δίκαιός εἰμ' ἐκπονεῖν μαλάσσειν. *Joſua Barnes.* V. 1579. Γελέων μὲν ἔσται πρῶτος· εἶτα δεύτερον Ὅπλητες, Ἀργαδῆς τ', ἐμῆς τ' ἀπ' Αἰγίδος Ἔμφυλον ἕξουσ' Αἰγικορῆς.) Ita hunc locum reſtituo ex *Canteri*, *Scaligerique* ſententiâ. Ita enim *Herodotus* in l. 5. *Terpſichore* dicto, c. 66. Μετὰ δὲ τετραφύλους ἐόντας Ἀθηναίους δεκαφύλους ἐποίησε, τῶν Ἴωνος παίδων Γελέοντος, καὶ Αἰγικόρεος, καὶ Ἀργάδεω, καὶ Ὅπλητος &c. Huc refer illud *Stephani* περὶ πόλεων Αἰγικόρεως, Corrige, Αἰγικορεῖς· Οὐκ ἔστι δῆμος τῆς Ἀττικῆς, ὥς τινες· ἀλλὰ φυλὴ παλαιά, μία τῶν τεσσάρων τῶν ἀπὸ Ἴωνος. Τέσσαρες δ' ἐξ αὐτῶν Αἰγικορεῖς, Ἀργαδεῖς, Τελέοντες, lego Γελέοντες, Ὁπλῖται, lego Ὅπλητες. Ἡ φυλὴ τοίνυν Αἰγικορεῖς. Hæc *Canterus* primus nobis indigitavit, quem videſis *Novar.* Lection. l. 5. c. 19. *Æmilius Portus* locum *Plutarchi* in *Solone* & *Pollucis* ex eodem *Cantero* notatum habuit. Ὁ νοῦς οὗτος. Γελέων μὲν ἔσται, ἐξ οὗ Γελέοντες καλήσονται· Εἶτα δεύτερον Ὅπλητα οἱ Ὅπλητες ἔμφυλον καὶ ὀνοματοθέτην ἕξουσιν· Ἀργαδεῖς τε Ἀργάδεα τὸν τρίτον, καὶ τέταρτον οἱ Αἰγικορεῖς, δηλονότι τὸν Αἰγικόρεα, ἀπὸ τῆς ἐμῆς Αἰγίδος ὀνομασθέντα. *Joſua Barnes.* V. 1583. Κυκλάδας ἐποικήσουσι νησαίας πόλεις) Nonnulli hæc de Inſulis *Cycladibus* dictis ſumunt, alii verò referunt ad Ἰωνικὰς τὰς δώδεκα πόλεις ἐν τῇ παραλίᾳ τῆς Καρίας καὶ τῆς Λυδίας, quas ipſe Poeta mox notare videtur per Χέρσους τε παράλους. *Thucydides* l. 1. Καὶ Ἴωνας μὲν Ἀθηναῖοι καὶ Νησιωτῶν τοὺς πολλοὺς ᾤκισαν. De his vide *Strabon.* l. 8. & l. 14. & quæ Nos ad ſupra ad v. 74. *Joſua Barnes.* V. 1590. Δῶρος μὲν &c.) *Strabo* l. 8. Ὁ Δῶρος μὲν τοὺς περὶ Παρνασσὸν Δωριέας συνοικίσας, κατέλιπεν ἐπωνύμους αὑτοῦ. *Idem.* V. 1591. Αἶαν Πελοπίαν) Πελοπόννησον. V. 1592. Ἀχαιὸς) *Achæus Xuthi* alter filius Homicidio imprudentèr facto in *Laconiam* ſeceſſit, undè *Achæi* dicti, qui oram Maritimam incolunt, juxta *Rhium*, Promontorium *Peloponneſi* in *Achaiâ* ad fauces ſinûs *Corinthiaci* ad *Antirrhium* Promontorium; ut ſequitur, Ῥίου πέλας) *Strabo* l. 8. in *Peloponneſo* —— Περιπλεύσασι δὲ πλέον, πλάτος συμπίπτουσι κατὰ τὸ Ῥίον καὶ Ἀντίρριον· ἔστι δὲ τὸ μὲν Ῥίον, τῶν Ἀχαιῶν. *Theocriti* Enarrator, Τὸ δὲ Ῥίον, ἀκρωτήριόν ἐστι τῆς Πελοποννήσου, ἐναντίως τοῦ καλουμένου Ἀντιρρίου τετραμμένον. Ex *Johannis Brodæi* Notis. V. 1596. Ἄνοσον λοχεύει σ') Λοχεύω propriè *Pario*, hoc in loco, more *Hebræorum*, qui Verba in *Kal* pro Verbis in *Hiphil* utuntur, *Parere-facio*. Non hoc dico *Euripidem* ex *Hebræis* duxiſſe; ſed certè eodem modo plus ſemel verbis utitur, ut Obſervavimus ad *Hecub.* v. 528. *Rheſ.* v. 446. *Bacch.* v. 147. Sic D. *Matth.* c. 5. v. 45.

Ἥλιον ἀνατέλλει, exponitur ἀνατέλλειν ποιεῖ. Sic βασιλεύει apud τοὺς Ο'. pro βασιλεύειν ποιεῖ. 1 *Sam.* c. 8. v. 22. Βασίλευσον αὐτοῖς βασιλέα. Sic θριαμβεύω pro θριαμβεύειν ποιῶ, 2 *Corinth.* c. 2. v. 14. Τῷ δὲ Θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ. *Duportus*, qui de hac re nihil cogitabat, legebat, ἄφεγγος λοχεύεις, cui tamen Lectioni & ſuus debetur honos. *Joſua Barnes.*

'Επεὶ δ' ἔτικτες τόνδε παῖδα, κἀπέθου
'Εν σπαργάνοισιν, ἁρπάσαντ' ἐς ἀγκάλας,
'Ερμῆν κελεύει δεῦρο πορθμεῦσαι βρέφος,
Ἔθρεψέ τ', οὐδ' εἴασεν ἐκπνεῦσαι βίον.
Νῦν οὖν σιώπα, παῖς ὅδ' ὡς πέφυκε σός,
Ἵν' ἡ δόκησις Ξοῦθον ἡδέως ἔχῃ,
Σύ τ' αὖ τὰ σαυτῆς ἀγάθ' ἔχουσ' εἴης, γύναι.
Καὶ χαίρετ'· ἐκ γὰρ τῆσδ' ἀναψυχῆς πόνων,
Εὐδαίμον' ὑμῖν πότμον ἐξαγγέλλομαι.

Postquam verò peperiſti hunc puerum, & impoſuiſti
Faſciis, arreptum in ulnas
Mercurium jubet ferre infantem huc,
Illicque aluit, nec paſſus eſt animam efflare.
Nunc igitur tace, quòd hic puer ſit tuus,
Ut hæc opinio Xuthum delectet,
Et tu viciſſim tua bona habeas, ô mulier.
Et valete: ex hâc enim reſpiratione laborum
Denuncio vobis magnas felicitates.

Τετράμετροι.

Ι. Ὦ Διὸς Παλλὰς μεγίστου θύγατερ, οὐκ ἀπιστίᾳ
Σοὺς λόγους ἐνδεξόμεσθα· πείθομαι δ' εἶναι πατρὸς
Λοξίου, καὶ τῆσδε· καὶ πρὶν τοῦτο δ' οὐκ ἄπιστον ἦν.
Κρ. Τἀμὰ νῦν ἄκουσον· αἰνῶ Φοῖβον οὐκ αἰνοῦσα πρίν,
Οὕνεχ', οὗ ποτ' ἠμέλησε παιδὸς, ἀποδίδωσί μοι.
Αἵδε δ' εὐωποὶ πύλαι μοι, καὶ θεοῦ χρηστήρια,
Δυσμενῆ πάροιθεν ὄντα. νῦν δὲ καὶ ῥόπτρον χέρας
Ἡδέως ἐκκρημνάμεσθα, καὶ προσεννέπω * πύλαις. * πύλας.
Α. Ἤινεσ', οὕνεκ' εὐλογεῖς θεὸν μεταβαλοῦσ' αἰδρίας.
“ Χρόνια μὲν τὰ τῶν θεῶν πως, εἰς τέλος δ' οὐκ ἀσθενῆ.
Κ. Ὦ τέκνον, στείχωμεν οἴκους. Α. στείχεθ', ἕψομαι δ' ἐγώ.
Κρ. Ἀξία γ' ἡμῶν ὁ δ' οὐρὸς καὶ φιλοῦσά γε πόλιν,
Αθ. Εἰς θρόνους γ' ἵζου παλαιούς. Κρ. ἄξιον τὸ κτῆμά μοι.
Χ. Ὦ Διὸς Λητοῦς τ' Ἄπολλον, χαῖρ'· “ Ὅτῳ δ' ἐλαύνεται
“ Συμφοραῖς οἶκος, σέβοντα δαίμονας θαρρεῖν χρεών·
“ Εἰς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων,
“ Οἱ κακοὶ δ', ὥσπερ πεφύκασ', οὔποτ' εὖ πράξειαν ἄν.

Ion.

O Pallas maximi Jovis filia, non per incredulitatem
Tuos ſermones recipimus. Credo verò me eſſe *filium* patris
Apollinis, & hujus, & priùs hoc non erat incredibile.
Ἔρρηξε δ' ὀστᾶ· δεύτερον δὲ παῖδ' ἑλὼν,
Χωρεῖ τρίτον θῦμ' ὡς ἐπισφάξων δυοῖν.
Ἀλλὰ φθάνει νιν ἡ τάλαιν' εἴσω δόμων
Μήτηρ ὑπεκλαβοῦσα, καὶ κλείει πύλας.
Ὁ δ' ὡς ἐπ' αὐτοῖς δὴ Κυκλωπείοισιν ὢν,
Σκάπτει, μοχλεύει θύρετρα· κἀκβαλὼν σταθμὰ,
Δάμαρτα καὶ παῖδ' ἑνὶ κατέστρωσεν βέλει·
Κἀνθένδε πρὸς γέροντος ἱππεύει φόνον.
Ἀλλ' ἦλθεν εἰκὼν, ὡς ὁρᾶν ἐφαίνετο,
Παλλὰς κραδαίνουσ' ἔγχος ἐπίλογχον χερὶ,
Κἄρριψε πέτρον στέρνον εἰς Ἡρακλέους,
Ὅς νιν φόνου μαργῶντος ἔσχε, κεἰς ὕπνον
Καθῆκε· πίτνει δ' εἰς πέδον, πρὸς κίονα
Νῶτον πατάξας, ὃς πεσήμασι στέγης
Διχορραγὴς ἔκειτο κρηπίδων ἔπι,
Σὺν τῷ γέροντι δεσμὰ σειρέων βρόχῳ.
Ἡμεῖς δ' ἐλευθεροῦντες ἐκ δρασμῶν πόδα,
Ἀνήπτομεν πρὸς κίον', ὡς λήξας ὕπνου,
Μηδὲν προσεργάσαιτο τοῖς δεδραμένοις.
Εὕδει δ' ὁ τλήμων ὕπνον οὐκ εὐδαίμονα,
Παῖδας φονεύσας, καὶ δάμαρτ'. ἐγὼ μὲν οὖν
Οὐκ οἶδα, θνητῶν ὅστις ἀθλιώτερος.

Fregit autem oſſa. Cum verò ſecundum filium interfeciſſet,
vadit tanquam tertiam victimam mactaturus ſupra duos.
Sed antevertit eum intra domum miſera
Eripiens mater, & claudit portas.
Ille verò quaſi jam ad ipſos Cyclopicos *muros* eſſet,
Fodit, vectibus movet fores, & excuſſis poſtibus *&* *liminibus*,
Uxorem & filium uno telo proſtravit.
Inde properat ad necem ſenis.
Sed venit imago, ut cerni videbatur,
Pallas manu vibrans haſtam cuſpide munitam,
Et jecit ſaxum in pectus Herculis,
Quod prohibuit ipſum à furioſâ cæde, & in ſomnum
Immiſit: cecidit autem in ſolum, ad columnam
Tergum allidens, quæ propter ruinam tecti
Diſrupta jacebat ſuper crepidinem, *&* *ima fundamenta*,
Cum ſene vincula conſtringens laqueo.
Nos verò liberantes à fugâ pedem *i.e. reverſi ex fuga noſtrâ*.
Alligavimus ad columnam, ut finito ſomno, *&* *experge factus*.
Nihil præter *jam patrata facinora* patret.
Dormit autem ille miſer ſomnum non felicem,
Occiſis liberis, & uxore. Ego quidem
Haud ſcio quiſnam mortalium ſit infelicior.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ὁ φόνος ἦν, ὃν Ἀργολὶς ἔχει πέτρα,
Τότε μὲν περισαμότατος, καὶ ἄριστος
Ἑλλάδι τῶν τοῦ Δαναοῦ παίδων.
Τάδ' ὑπερέβαλε, παρέδραμε
Τὰ τότε κακὰ τάλανι
Διογενεῖ κόρῳ μονοτέκνου Πρόκνης.
Φόνον ἔχω λέξαι θυόμενον Μούσαις.
Σὺ δὲ τέκνα τρίγονα τεκόμενος, ὦ παῖ Διὸς,
Λυσσάδι συγκατειργάσω μοίρᾳ.
Ἐς τίνα στεναγμὸν, ἢ γόον,

MONOSTROPHICA.

Ch. Cædes erat, quam habuit terra Argolica,
Tunc quidem celeberrima, & optima
Græciæ, filiarum Danai.
Hæc verò *mala* ſuperârunt, *&* curſu prætererunt
Mala illa, *quæ* tunc *acciderunt* miſero *quidem, ſed tamen*
Generoſo filio Prognes unicum filium *Ityn* habentis.
Cædem à *Muſis* factam dicere poſſem.
Tu verò tres filios, quos genuiſti, ô fili Jovis,
Rabioſo conteciſti fato, *rabidus ac furioſus interfeciſti*.
Quo gemitu, aut luctu,

V. 995. Χωρεῖ τρίτον θῦμ' ὡς ἐπισφάξων δυοῖν) *Tertiam Victimam tum mactaturus ad duas vadit.* Hæc omnia ex Hiſtoriæ fide hauſta; ita enim *Apollodorus* Biblioth. l. 2. c. 4. §. xi. Λαμβάνει δὲ Ἡρακλῆς παρὰ Κρέοντος πρεσβυτάτην θυγατέρα Μεγάραν. ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο τρεῖς, Θηρίμαχος, Κρεοντιάδης, Δηικόων. Ita ſuprà ipſe Poeta v. 474. Τρεῖς δ' ὄντας ὑμᾶς τριπτύχοις τυραννίσι Πατὴρ ἐπύργου. *Joſ. Barnes.* V. 1003. Ἐπίλογχον χερί. Legebatur olim, ἐπὶ λόφῳ κέαρ, quod nihil hic omninò ſignificat, quare deleo; & uti *Canterus* rectè poſuit, ἐπίλογχον χερὶ ſubſtituo. Quod Verbum noſtro Poetæ uſitatum, ut *Hippolyt.* v. 222. ἐπίλογχον ἔχουσ' ἐν χειρὶ βέλος. In quem locum vid. quæ Nos. Vid. etiam *Canter.* Nov. Lection. l. 6. c. 13. *Joſ. Barnes.* V. 1004. Πέτρον) Σωφρονιστῆρα vocabant. Vid. quæ Nos ſuprà ad *Heraclid.* v. 920. Item *Pauſaniam* in *Bœoticis* fol. 290. lin. 14. Θηβαῖοι δὲ καὶ τάδε ἐπιλέγουσιν, ὡς Ἡρακλῆς ὑπὸ τῆς μανίας καὶ Ἀμφιτρύωνα ἔμελλεν ἀποκτιννύναι· πρότερον δὲ ἄρα ὕπνος ἐπέλαβεν αὐτὸν ὑπὸ τοῦ λίθου τῆς πληγῆς· Ἀθηνᾶν δὲ εἶναι τὴν ἐπαφεῖσάν οἱ τὸν λίθον τοῦτον, ὄντινα Σωφρονιστῆρα ὀνομάζουσιν. Idem *Cal. Rhodigin.* Antiq. Lection. l. 17. c. 4. Illud porro adjeciſſe nihil obſtiterit, *Herculem* inſaniâ vehementius agitatum, quùm vel *Amphitryonem* interfecturus videretur, Lapide à *Minervâ* impacto eſſe conſopitum, ac Lapidem Σωφρονιστῆρα nuncupatum. *J. Barnes.* V. 1009. Σειρέων) σειρὰς πλεκτῶν, οἷα λιθεὶς βρόχῳ. Vox *Euripidea.* V. 1010. Ἡμεῖς δ' ἐλευθεροῦντες ἐκ δρασμῶν πόδα Ἀνήπτομεν πρὸς κίον') Ὁ νοῦς, ἡμεῖς δὲ, οἱ πρὶν πεφευγότες, ἀνερχόμενοι νῦν καὶ ἐλευθεροῦντες πόδα ἐκ δρασμῶν καὶ φυγῆς, ἧς εἴχομεν φόβῳ τοῦ μανέντος Ἡρακλέους, ὅτι καθεύδοντα αὐτὸν βαθέως ἑωράκαμεν, ἀναστρέψαντες ἐκ τῆς φυγῆς, ἐδήσαμεν αὐτὸν ἀνήψαμεν πρὸς τὸν κίονα. Quare *Scaligeri* Lectio non hic admittenda ἐκ δεσμῶν, quia non jam ſomno correpto *Hercule*, ſe ſuga ſervi liberabant, ſed fuga priùs elapſi, nunc denuò ex fuga pedem liberârunt, hoc eſt, redierunt iterum ad *Herculem* Vinculis conſtringendum. Et in hunc ſenſum *Latinam* Verſionem priùs malè ſe habentem correximus. *J. Barnes.* V. 1016. Ὁ φόνος ἦν, ὃν Ἀργολὶς ἔχει πέτρα.) De hâc *Ægypti* Quinquaginta filiorum ex *Danai* totidem filiabus facta cæde; deque Juvenum & Puellarum ſingulis Nominibus cæteriſque ad hanc Hiſtoriam pertinentibus, Conſule *Apollodorum* in Bibliothec. l. 2. c. 1. §. 4 & 5. Vide etiam Scholiaſt. *Euripidis* ad *Oreſt.* v. 869. Ἄριστος verò dicitur φόνος hic περισαμότατος, non quod res iſta Poetæ probetur, ſed ob Immanitatem & Excellentiam quandam ſceleris illius; qui enim optimus eſt Nebulo, peſſimus eſt homo. *Scaliger* qui hanc rem minùs conſideravit, legebat αἶσχος, quæ Vox eſt planè contraria τῷ περισαμότατος. *Danaus* autem erat Rex *Argivorum*, unde lucem habet iſtud, φόνος, ὃν Ἀργολὶς ἔχει πέτρα. *Joſua Barnes.* V. 1019. Τάδ' ὑπερέβαλε, παρέδραμε &c.) Ταῦτα, δηλονότι τὰ ὑπὸ Ἡρακλέους κατὰ τριῶν παίδων αὐτοῦ δεδραμένα, καὶ ἄλλον φόνον περισαμον νικᾷ, ὑπερέβαλε, καὶ παρέδραμε, δηλονότι τῇ δεινότητι, ἤγουν τὸν φόνον τοῦ Ἴτυος ὑπὸ τῆς μητρὸς αὐτοῦ Πρόκνης δεδραμένον, καὶ τὰ τότε κακὰ πεπραγμένα τῷ τάλανι, ἀλλ' ὅμως διογενεῖ καὶ εὐγενεῖ κόρῳ τῆς μονοτέκνου Πρόκνης, ἤγουν Ἴτυι, Τηρέως καὶ Πρόκνης μονογενεῖ παιδί. De *Procne, Philomelæ, Tereoque & Ityos* Hiſtoria, vide *Apollod.* Bibl. l. 3. c. 13. §. ult. Item *Ovid.* Metam. l. vi. Fab. 8. *Scaliger* pro τὰ δ' legit ἃ δ', *Dupertus*, τὸ δ', neuter mihi placet. *J. Barnes.* V. 1022. Φόνον ἔχω λέξαι θυόμενον Μούσαις) Hanc cædem *Muſis* factam dicit Poeta, quia exindè *factæ erant Canoræ Aves*, ut *Duport.* notat, *Procne* enim *Hirundo*, *Philomela Luſcinia*, *Tereus* factus *Upupa*. *Philomela* autem præcipuè eſt *Muſis* ſacra Avis, ob dulciſſimum Cantilenam ejus; unde & Ἀηδὼν, quaſi ab ἀείδω dici videtur. Hinc *Eurip. Helen.* v. 1113. Σὲ τὰν ἐναύλοις ὑπὸ δενδροκόμοις, Μουσεῖα καὶ θάκους ἐνίζουσαν, ἀναβοάσω, Σὲ τὰν ἀοιδοτάταν ὄρνιθα μελῳδὸν Ἀηδόνα δακρυόεσσαν. *J. Barnes.* V. 1023. Σὺ δὲ τέκνα τρίγονα τεκόμενος, ὦ παῖ

ὦ παῖ δίδε) παῖ δίδε reſtituo pro δαΐς, quod priùs obtinebat; *Canterus* legebat *δαΐ*, idem *Scaliger* & *Duportus*, ſed non uſquequaque literarum veſtigiis ſervatis. *Æmilius Portus* aliam Lectionem eſſe, *viz.* ὦ Δίδε, & certè ex δαΐς & δίδε, fit παῖ δίδε. *Henricus Stephanus* ait, *pro δαΐς ſunt qui repenendum putent, ὦ δίδε παῖ. At Bredaus ὁ δαΐς legens,* exponit *ὦ filiorum Carnifex Hercules. Quid ſi verò ſcribamus, ὦ παῖ, vel ὦ παῖς, ut* Chorus *Senum* Herculem *vocet* filium, *utens compellatione ſenibus uſitatâ ad natu minores.* Joſua Barnes.

Ἢ φθιτῶν * αὐδὰν, * *Scalig.* ᾠδὰν.
Ἢ τὸν Ἀΐδα χορὸν ἰαχήσω;
Φεῦ, φεῦ,
Ἴδεσθε, διάνδιχα κλῇθρα
Κλίνεται ὑψιπύλων δόμων.
Ἰώ μοι.
Ἴδεσθε τάδε τέκνα πρὸ πατρὸς ἄθλια,
Κείμενα δυστάνω,
Εὕδοντος ὕπνον δεινὸν ἐκ παίδων φόνου.
Περίδεσμα δὲ, καὶ πολύβροχ᾽ ἁμμάτων
Ἐρείσμαθ᾽ Ἡράκλειον ἀμφὶ δέμας
Τάδε λαΐνοις ἀνημμένα
Ἀμφὶ κίοσιν οἴκων.
Ὁ δ᾽, ὥς τις ὄρνις, ἄπτερον καταστένων
Ὠδῖνα τέκνων, πρέσβυς ὑστέρῳ ποδὶ
Πικρὰν διώκων ἤλυσιν, πάρεσθ᾽ ὅδε.
Αμ. Καδμεῖοι γέροντες, οὐ σῖγα, σῖγα,
Τὸν ὕπνῳ παρειμένον,
* Ἐάσετε λαθέσθαι κακῶν; * αἰ λάσετε.
Χο. Καὶ σὲ δακρύοις στένω, πρέσβυ, καὶ
Τέκνα, καὶ τὸ καλλίνικον κάρα.
Αμ. Ἑκαστέρω πρόβατε, μὴ
Κτυπεῖτε, μὴ βοᾶτε, μὴ
Τὸν εὖ ἰαύοντα,
Ὑπνώδεά τ᾽, εὐνᾶς ἐγείρετε.
Χο. Οἴ μοι, φόνος ὅσος ὅδε. Αμ. ἆ, ἆ· διαμολεῖτε.
Κεχυμένος ἐπαντέλλει.
Οὐκ ἀτρεμαῖα θρῆνον αἰ-
άζετ᾽, ὦ γέροντες; μὴ
Δέσμ᾽ ἀνεγειρόμενος
Χαλάσας, ἀπολῇ πόλιν,
Ἀπὸ δὲ πατέρα, μέλαθρά τε καταῤῥήξῃ.
Χο. Ἀδύνατ᾽, ἀδύνατά μοι.
Αμ. Σῖγα· πνοὰς μάθω.
Φέρε, πρὸς οὖς βάλω.
Χο. Εὕδει; Αμ. ναί, εὕδει ὕπνον ὀλόμενον,
Ὃς ἔκανεν ἄλοχον,
Ἔκανε δὲ τέκνα, τοξήρει
Ψαλμῷ τοξεύσας. Χο. στέναζε νῦν.
Αμ. Στενάζω τέκνων ὄλεθρον.

Aut quæ mortalium voce *præſentia mala deflebo?*
An Plutonis chorum reſonabo?
Heu, heu.
Videte, bifariàm clauſtra
Altarum ædium inclinata, proſtrata jacent.
Heu me!
Videte miſeros iſtos liberos ante patrem
Miſerum jacentes,
Qui dormit gravem ſomnum poſt cædem.
Videte etiam vincula, & ex multis laqueis cōpacta nodoſū *funiculos*
Retinacula circa corpus Herculis
Hæc ſuſpenſa lapideas
Circa columnas ædium.
Hic verò, veluti avis, gemens implumem
Dolorem liberorum, ſenex tardo pede
Acerbum iter conficiens, adeſt ille.
Am. Senes Thebani, non tacite, tacitè
Solutum ſomno
Siníetis oblivíſci malorum?
Ch. Et te gemo lacrymis, ſenex, &
Liberos, & præclaris victoriis inſigne caput, *i.e. Herculem.*
Am. Longius procedite, nè
Strepitum faciatis, ne clametis, nè
Dormientem benè,
Et ſomniculoſum ex ſomno excitetis.
Ch. Heu me, quanta hæc *eſt* cædes! *Am.* Ah, ah, diſcedite:
Jacens reſurgit.
Non tacitam lamentationem
Lamentamini, ô ſenes? nè *ex ſomno*
Excitatus, vinculis
Ruptis, perdat civitatem,
Patrem verò, & domum dejiciat.
Ch. Impoſſibile, impoſſibile mihi *hoc videtur, ut rumpat vincula.*
Am. Tace, ſpirationem conſiderabo;
Age, aurem admovebo.
Ch. Dormit? *Am.* Sanè quidem dormit ſomnum pernicioſum,
Qui uxorem interfecit, *qui*
Interfecit etiam liberos, arcûs
Stridore *ſagittiſque* conficiens. *Ch.* Geme nunc.
Am. Gemo mortem liberorum.

V. 1030. Κλίνεται) Ita reſtituo ex *Aldinâ* optimâ Editione, pro κλίνοντα, quam Vocem *Henricus Stephanus* ex *Veteri* Codice neſcio quo, malè, ut mihi videtur, reſtituit. Idque ſatis Docto Lectori apparebit, quòd eliſio nulla ſit, ut fieri certè deberet, ſi κλίνοντα legeretur, ante vocem ὑψιπύλων. Rectè itaque *Bredaus* κλίνεται retinet, vertitque *Proſtratæ jacent*; de foribus loquens, quas cùm *Megara* unico filiolo ſecum abrepto contrà *Herculem* clauſerat, ille eo Furens ampliùs, ſuo robore adeò diffregit, ut etiam cum Cardinibus ipſis & Poſtibus humi proſtrârit. Ut ſupra apparet ad v. 996. Ἀλλὰ φθάνει νιν ἡ τάλαιν᾽ εἴσω δόμων Μήτηρ ὑπεκλαβοῦσα, καὶ κλείει πύλας· Ὁ δ᾽ ὡς ἐπ᾽ αὐτοῖς δὴ Κυκλωπείοισιν ὢν, Σκάπτει, μοχλεύει, θύρετρα· ἐκβαλὼν σταθμὰ &c. V. 1036. Ἐρείσμαθ᾽) *Duportus* legit ἐρείσμαθ᾽, ſed Vox ἐρείσμα vix ſatis authentica eſt, & περίδεσμα rectè vocantur πολύβροχα ἐρείσματα, ὅτι δι᾽ αὐτῶν Ἡρακλῆς ἐδέθη πρὸς κίον᾽ ἐρείδεται, καὶ ἐρειδόμενος τοῖς δεσμοῖς κατεδέθη). *J. Barnes.* V. 1041. Πικρὰν διώκων ἤλυσιν, πάρεσθ᾽ ὅδε) Cùm olim ſcriptum eſſet διώκων τὴν λύσιν, *Canterus* dixit, Puto *Euripidem* ſcripſiſſe διώκων ἤλυσιν, quo vocabulo in *Phœniſſis* etiam de *Tireſiâ* utitur. Locus extat, *Phœniſſ.* v. 851. Πυκνὴν δὲ βαίνων ἤλυσιν μόλις ποδοῖν. Notandum autem eſt, *Amphitryonem* non jam de ſolvendo *Hercule* cogitare; ſed tardo greſſu *Chorum* accedere: quare nihil τὴν λύσιν, ſed multum ἤλυσιν i.e. *βάσιν* valet. *Joſua Barnes.*

V. 1049. Εὖ ἰαύοντα) Ità pro ἰαύοντα repono, *Scaliger* legit ἰαύοντα, ſed mihi compoſita vox n agis placet, ob hiatum vitandum. An εὐδιδόντα pro εὖ ἰαύοντα. *Idem.* V. 1064. Ψαλμῷ τοξήρει) Supra ad *ſen.* v. 173. Ψαλμοὶ σ᾽ εἴρξουσι τόξων, Notavimus, Vocem ψάλλω propriè ſignificare, *leniter Chordas* aut *Nervum tango*, ſive Arcûs intendendi causâ, ſive ſoni Muſici excitandi, quam rem loco alio confirmavi ex *Bacchis*. Hoc in loco ψαλμὸς τοξήρης, ſignificat ſagittas ſonanti Nervo excuſſas. Quòd autem ψαλμὸς, propriè reſpiciat ſonum quendam, putà *Lyræ* aut *Arcûs* pulſu excitatum, ex authoribus abundè conſtat. *Lucianus* in Paraſito f. 770. Οὔτε γὰρ αὐλεῖν ἔνι χωρὶς αὐλῶν, οὔτε ψάλλειν ἄνευ λύρας, οὔτε ἱππεύειν χωρὶς ἵππου. *Suidas* in Voce Βυζά· Αἱ Μυσικαὶ βάρβαροι ἦσαν γυναῖκες· ὄνομα αὐταῖς ὑπῆρχεν Βυζά. Καὶ τούτων αἱ μὲν αὐλοῦσιν, αἱ δὲ ψάλλουσι πεντάχορδον, καὶ δι᾽ ἑπταχόρδου ψαλτηρίου· αἱ αὐταὶ δὲ ὀρχοῦνται τοῦ ψαλμοῦ. *J. Barnes.*

V. 1078. Ὅτε δάμαρτι σᾷ φόνον ὁμοσπόρων ἔμελλες ἐκπράξειν Ταφίων περίκλυστον ἄστυ πέρσας.) Οἱ Τάφιοι καὶ οἱ Τηλεβόαι στρατεύσαντες ἐπὶ τὰς Ἠλεκτρύωνος βόας, ἀνεῖλον τοὺς αὐτοῦ παῖδας, τῆς Ἀλκμήνης ἀδελφοὺς, τῶν θρεμμάτων ἀπαγομένων. Ὁ δὲ πατὴρ ἀχθεσθεὶς τὸν Ἀλκμήνης γάμον ἐκήρυξε γαμβρῷ τῷ θέλοντι ἐκδικῆσαι τὸν θάνατον τῶν παίδων αὐτοῦ. Ὁ οὖν Ἀμφιτρύων ἐπιστρατεύσας ἀνεῖλεν αὐτοὺς, καὶ Τάφον τὴν νῆσον εἷλεν, πρὶν τῇ Ἀλκμήνῃ συνελθεῖν. Νῆσον λέγω· Τάφος γὰρ, ἣν ᾤκουν οἱ Τάφιοι καὶ Τηλεβόαι λῃσταὶ ἄνδρες, ὡς Ὅμηρος αὐτοὺς καλεῖ, νῆσός ἐστι, μία τῶν Ἐχινάδων τῶν πρὸς τῷ Ἀχελῴῳ· ὅθεν ὀρθῶς Εὐριπίδης αὐτὴν καλεῖ Ταφίων περίκλυστον ἄστυ, οἷα δὴ νησαίαν. De hac re ita *Heſiodus* Scut. *Herc.* v. 15. De *Amphitryone* loquens, Οὐ γάρ οἱ ἦεν πρὶν λεχέων ἐπιβήμεναι εὐσφύρου Ἠλεκτρυώνης, πρίν γε φόνον τίσαιτο κασιγνήτων μεγαθύμων Ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας Ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων. Vide ſupra ad v. 60. Item *Apollonii Rhodii Scholiaſten* & *Heſiodi* Scholiaſtas ad *Herculis* Scutum, & *Apollodori* Bibliothec. l. 2. c. 4. §. 5, 6, 7. *Euſtathium* in ſchol. ad v. in *Dionyſii* Periegeſin, *Stephanum* περὶ πόλεων & Lexicographos. *Joſua Barnes.* V. 1079. Ὁμοσπόρων) *Heſiod.* Scut. *Herculis* v. 17. Κασιγνήτων μεγαθύμων.

Χο. Ἰώ μοι σέθεν τε παιδός.
Αἲ, αἲ, ὦ πρέσβυ. Αμ. σῖγα, σῖγα· παλίντροπος
Ἐξεγειρόμενος στρέφεται.
Φέρ', ἀπόκρυφον δέμας
Ὑπὸ μέλαθρον κρύψω.
Χο. Θάρσει· νὺξ ἔχει βλέφαρα παιδὶ σῷ.
Αμ. Ὁρᾶτ', ὁρᾶτε.
Τὸ μὲν φάος ἐκλιπεῖν ἐπὶ
Κακοῖσιν οὐ φεύγω τάλας,
Ἀλλ' εἴ με κτενεῖ πατέρ' ὄντα,
Πρὸς δὲ κακοῖς κακὰ μήσεται,
Πρὸς Ἐριννύσι θ' αἷμα σύγγονον ἕξει.
Χο. Τότε θανεῖν σ' ἐχρῆν, ὅτε δάμαρτι σᾷ
Φόνον ὁμοσπόρων ἔμελλες ἐκπράξειν,
Ταφίων περίκλυστον ἄστυ πέρσας.
Αμ. Φυγᾷ, φυγᾷ, γέροντες,
Ἀποπρὸ δωμάτων
Διώκετε, φεύγετε μάργον
Ἄνδρ' ἐπεγειρόμενον.
Τάχα φόνον ἕτερον ἐπὶ φόνῳ βαλὼν,
Ἀναβακχεύσει Καδμείων πόλιν.

Ἴαμβοι.

Ηρα. Ὦ Ζεῦ, τί παῖδ' ἤχθηρας ὧδ' ὑπερκότως
Τὸν σόν· κακῶν δὲ πέλαγος εἰς τόδ' ἤγαγες;
Ἔα. Ἔμπνους μέν εἰμι, καὶ δέδορχ', ἅπερ με δεῖ,
Αἰθέρα τε, καὶ γῆν, τόξα θ' ἡλίου τάδε·
Ὡς ἐν κλύδωνι, καὶ φρενῶν ταράγματι
Πέπτωκα δεινῷ, καὶ πνοὰς θερμὰς πνέω,
Μετάρσι', οὐ βέβαια, πνευμόνων ἄπο.
Ἰδοὺ, τί δεσμοῖς ναῦς ὅπως ὡρμισμένος,
Νεανίαν θώρακα καὶ βραχίονα
Πρὸς ἡμιθραύστῳ λαΐνῳ τυκίσματι;
Ἡ μὲν νεκροῖσι γείτονας θάκους ἔχω.
Πτερωτά τ' ἔγχη, τόξα τ' ἔσπαρται πέδῳ,
Ἃ πρὶν παρασπίζοντ' ἐμοῖς βραχίοσιν,
Ἔσωζε πλευρὰς, ἐξ ἐμοῦ τ' ἐσώζετο.
Ἦπου κατῆλθον αὖθις εἰς ᾅδου μολὼν,
Εὐρυσθέως δίαυλον εἰς ᾅδου πάλιν;
Ἀλλ' οὔτε Σισύφειον εἰσορῶ πέτρον,

Ch. Hei mihi ob filium tuum.
Ah, ah, ô ſenex. *Am.* Tace, tace, rurſus
Excitatus ſeſe volutat varium.
Age, corpus occultatum
Sub atrio tegam, *abſcondam.*
Ch. Confide: nox habet palpebras filii tui.
Am. Videte, videte:
Lucem quidem relinquere in
Malis non fugio miſer:
Verùm ſi me, qui ſum pater, interficiat,
Ad mala mala addet,
Et præter furias habebit cædem cognatam.
Ch. Tunc te mori oportuit, quando conjugi tuæ
Cædem fratrum ulturus eras,
Eversâ inſulari urbe Taphiorum.
Am. Fugâ, fugâ, ſenes,
Procul ab ædibus
Currite, fugite furioſum
Virum excitatum.
Mox cædem alteram ad cædem addens,
Bacchabitur per urbem Thebanorum.

Hercules.

Jupiter, quare odiſti adeò iracunde filium
Tuum, & induxiſti in mare iſtud malorum?
Hem. Spiro quidem, & video quæ me oportet,
Aerem & terram, & radios hoſce ſolis.
Ut in tempeſtatem, mentis perturbationem
Incidi gravem, & ſpiritus ferventes ſpiro, *ducens eos*
Ex alto; non æqualiter, ex pulmonibus.
Ecce, quid vinculis, ceu navis in portum ſubducta, *vinctũ habens*
Juvenilem thoracem, & brachium
Adſum ad fractam lapideam columnam?
Certè ſedes habeo vicinas mortuis,
Alatæque ſagittæ, & arcus ſparſi ſunt humi,
Quæ antea admota meis brachiis,
Servabant latera, & à me ſervabantur.
Numnam redii iterum ad inferos,
Euryſthei reciprocam viam inferos profectus?
At neque Siſypheum intueor ſaxum,

V. 1087. Ὦ Ζεῦ) Hoc Diſtichum *Scaliger* ſub Perſonâ *Amphitryonis* continuat, *Herculemque* facit loqui incipere ad Ἔα. V. 1088. Κακῶν πέλαγος) Vide *Eraſmum* in Adagio, *Mare Malorum.* Ita *Hippolyt.* v. 822. Κακῶν δ' ὦ τάλας πέλαγος εἰσορῶ. Ita *Ion* v. 927. Οἴμοι· μέγας θησαυρὸς οἴγνυται κακῶν. *J. Barnes.* V. 1089. Ἔα) Extra verſum ponitur. Vide ad *Ion.* 1312. V. 1090. Τόξα θ' ἡλίου τάδε) Τόξα, ἀκτῖνας, καλεῖ, μεταφορικῶς. Ita *Radii* Solis, *Apollinis* dicuntur *Sagittæ*; Radios enim Sol, ut Sagittas, in terras jaculatur, atque ſpargit ex inexhauſtâ ſuâ Lucis pharetra, ut Orbem colluſtret. Hinc *Apollo* Τοξίας colitur in *Sicyone.* *Heſychius,* Τοξίου βουνός· τοῦ Ἀπόλλωνος, τοῦ ἐν Σικυῶνι. Ideo & ἑκηβόλος, ἑκατηβόλος, ἑκατηβελέτης, ἑκάεργος, *Apollo* à Poetis dicitur, ut & *Diana* ἰοχέαιρα & τοξότις, & utriſque *Arcus* & *Sagittæ* tribuuntur, ob hanc nimirùm *Radiorum* jaculationem. *Joſua Barnes.* V. 1097. Ἡ μὲν Νεκροῖσι γείτονας θάκους) Hunc Verſum *Scaliger* extra ſedem putat & diſponi vult inter Verſum 1100. Ἔσωζε πλευρὰς &c. atque Verſum 1101. Ἦπου κατῆλθον &c. Sed nulla hujus diſpoſitionis mihi videtur neceſſitas; Non enim hic per νεκροῖσι, *Manes* notat, ſed *Occiſorum* cadavera, nempe Uxoris & trium liberorum; quos nondum agnoſcit *Hercules,* ſed miratur juxta Mortuos ſe poſitum & ſagittas ſuas hinc inde ſparſas &c. *Joſua Barnes.* V. 1103. Σισύφειον εἰσορῶ πέτρον) *Pindari* Scholiaſt. Σίσυφος δὲ πέτρον μέγιστον εἰς ἀνάντη τόπον κυλίων, καὶ ὁπότε εἰς ἄκρον ἔλθοι τοῦ τόπου ἀπολισθαίνοντα τὸν λίθον αὖθις ἀνάγων. *Apollodorus* Bibliothec. l. 1. c. 9. §. 3. Κολάζεται δὲ Σίσυφος ἐν ᾅδου, πέτρον ταῖς χερσὶ καὶ τῇ κεφαλῇ κυλίων, καὶ τοῦτον ὑπερβάλλειν θέλων· οὗτος δὲ ὠθούμενος ὑπ' αὐτοῦ, ὠθεῖται πάλιν εἰς τοὔπισω. Hinc *Horat.* *Optat ſupremo collocare Siſyphus in monte Saxum.* Partim ex *Brodæi* notis.

Πλούτωνα

Πλούτωνά τ', οὐδὲ σκῆπτρα Δήμητρος κόρης·
Ἔκ τοι πέπληγμαι· ποῦ ποτ' ὢν ἀμηχανῶ.
Ὠή, τίς ἐγγὺς, ἢ πρόσω φίλων ἐμῶν,
Δύσγνοιαν ὅστις τὴν ἐμὴν ἰάσεται;
Σαφῶς γὰρ οὐδὲν οἶδα τῶν εἰωθότων.
Αμ. Γέροντες, ἔλθω τῶν ἐμῶν κακῶν πέλας;
Χο. Κἀγώ γε σὺν σοὶ, μὴ προδοὺς τὰς συμφοράς.
Ηρ. Πάτερ, τί κλαίεις, καὶ συναμπίσχῃ κόρας,
Τοῦ φιλτάτου σοι τηλόθεν παιδὸς βεβώς;
Αμ. Ὦ τέκνον, εἶ γὰρ, καὶ κακῶς πράσσων, ἐμός.
Ηρ. Πράσσω δ' ἐγὼ τί λυπρὸν, οὗ δακρυρροεῖς;
Αμ. Ἃ κ' ἂν θεῶν τις, εἰ πάθοι, καταστένοι.
Ηρ. Μέγας ὁ κόμπος, τὴν τύχην δ' οὔπω λέγεις.
Αμ. Ὁρᾷς γὰρ αὐτὸς, εἰ φρονῶν ἤδη κυρεῖς.
Ηρ. Εἴπ', εἴ τι καινὸν ὑπογράφῃ τῷ 'μῷ βίῳ.
Αμ. Εἰ μὴ καθ' ᾅδου Βάκχος, ἐκφράσαιμεν ἄν.
Ηρ. Παπαῖ· τόδ', ὡς ὕποπτον ᾔνιξω πάλιν.
Αμ. Καὶ σ', εἰ βεβαίως εὖ φρονεῖς, ἤδη σκοπῶ.
Ηρ. Οὐ γάρ τι βακχεύσας γε μέμνημαι φρένας.
Αμ. Λύσω, γέροντες, δεσμὰ παιδὸς, ἢ τί δρῶ;
Ηρ. Καὶ τόν γε δήσαντ' εἴπ'· ἀναινόμεσθα γάρ.
Αμ. Τοσοῦτον ἴσθι τῶν κακῶν· τὰ δ' ἄλλ' ἔα.
Ηρ. Ἀρκεῖ· σιωπῇ γὰρ μαθεῖν οὐ βούλομαι.
Αμ. Ὦ Ζεῦ, παρ' Ἥρας ἆρ' ὁρᾷς θρόνων τάδε;
Ηρ. Ἀλλ' ἦ τι κεῖθεν πολέμιον πεπόνθαμεν;
Αμ. Τὴν θεὸν ἐάσας, τὰ σὰ περιστέλλου κακά.
Ηρ. Ἀπωλόμεσθα· συμφορὰν * ἕξεις τινά; (* λέξεις)
Αμ. Ἰδοὺ, θέασαι τάδε τέκνων πτώματα.
Ηρ. Οἴμοι· τίν' ὄψιν τήνδε δέρκομαι τάλας;
Αμ. Ἀπόλεμον, ὦ παῖ, πόλεμον ἔσπευσας τέκνοις.
Ηρ. Τί πόλεμον εἶπας; τούσδε τίς διώλεσεν;
Αμ. Σὺ, καὶ σὰ τόξα, καὶ θεῶν, ὃς αἴτιος.
Ηρ. Τί φῄς; τί δράσας; ὦ κάκ' ἀγγέλλων, πάτερ.
Αμ. Μανείς· ἐρωτᾷς δ' ἄθλι' ἑρμηνεύματα.
Ηρ. Ἦ καὶ δάμαρτός εἰμ' ἐγὼ φονεὺς ἐμῆς;
Αμ. Μιᾶς ἅπαντα χειρὸς ἔργα σῆς τάδε.
Ηρ. Αἰαῖ· στεναγμῶν γάρ με περιβάλλει νέφος.
Αμ. Τούτων ἕκατι σὰς καταστένω τύχας.
Ηρ. Ἦ γὰρ συνέρρηξ' οἶκον, ἢ βάκχευσ', ἐμόν;
Αμ. Οὐκ οἶδα, πλὴν ἓν, πάντα δυστυχῆ τὰ σά.
Ηρ. Ποῦ δ' οἶστρος ἡμᾶς ἔλαβε; ποῦ διώλεσεν;
Αμ. Ὅτ' ἀμφὶ βωμὸν χεῖρας ἡγνίζου πυρί.
Ηρ. Οἴμοι· τί δή γε φείδομαι ψυχῆς ἐμῆς,

Neque Plutonem, neque ſceptra filiæ Cereris, *i.e. Proſerpinæ.*
Obſtupui certè, & ubinam ſim ignoro.
Eheu; quis prope, vel procul eſt meorum amicorum,
Qui meæ ignorantiæ medebitur?
Nihil enim certò novi eorum, quæ conſueveram *ſcire.*
Am. Senes, num ibo prope mea mala?
Ch. Et ego tecū, non prodens calamitates, *calamitoſos non deſer*
Her. Pater, quid ploras, & tegis oculos,
A chariſſimo filio tuo longè diſcedens?
Am. O fili; es enim meus, tametſi infelix ſis.
Her. Quid vero ego mali patior, quamobrem plores?
Am. Quæ ſi quis vel Deorum pateretur gemeret.
H. Magnus *verb.* ille ſtrep. at fortunā, *& quid accid.* nondū dicis.
Am. Vides enim ipſe, ſi jam mentis es compos.
Her. Dic, ſi quid novi vitæ meæ aſcribis.
Am. Niſi apud inferos eſſes Bacchus *i.e. Bacch. furor*, dicerem.
Her. Papæ! hoc tanquam ſuſpectum obſcurè dixiſti iterum.
Am. Et te jam conſidero an conſtanter animi compos ſis.
Her. Atqui non memini me mente captum fuiſſe.
Am. Senes, ſolvámne vincula filii, aut quid agam?
Her. Dic etiam eum, qui ligavit; moleſtè enim *hoc* ferimus.
Am. Tantum ſcias malorum: cætera verò omitte.
Her. Satis eſt *mea voluntas*: non enim tacitè cognoſcere volo.
Am. O Jupiter, videſne hæc à ſede Junonis *profecta*?
Her. An aliquid ab illâ mali paſſi ſumus?
Am. Miſſâ Deâ, cura tua mala.
Her. Periimus! quam calamitatem dices?
Am. Ecce, aſpice liberorum cadavera hæc.
Her. Heu me, quale ſpectaculum video miſer?
Am. Infelix, ô fili, bellum ſtudioſè feciſti liberis.
Her. Quid bellum narras? quis perdidit hos?
Am. Tu, & arcus tuus, & deorum *ille* qui *malorū horū eſt* autor.
Her. Quid ais? quid feci? ô pater mala nuncians.
Am. Inſaniens: quæris autem miſerabilem narrationem.
Her. An & uxoris meæ ſum ego interfector?
Am. Hæc omnia *ſunt* unius manûs tuæ facinora.
Her. Heu, heu! circundat enim me nubes luctuum.
Am. Propter hæc deploro tuas calamitates.
Her. An etiam confregi meam domū, & furore percitus perturb.
Am. Haud ſcio præter unum *hoc*, omnia tua *ſunt* infelicia.
Her. Ubi verò furor nos invaſit? ubi perdidit?
Am. Quum ad aram manus expiabas igne.
Her. Heu me! quid igitur parco vitæ meæ,

V. 1115. Ἃ κ' ἂν θεῶν τις, εἰ πάθοι, καταστένοι) Ita rectiſſime hunc Verſum, diſtinguendo malè-olim-juncta, legit *Canterus* Novarum Lection. l. 5. c. 1. *Hen. Stephanus* cùm non valeret mentem loci aſſequi, falſis Codicibus iterum ſe venditabat & frivolis conjecturis impeditiorem reddebat; de quo idem *Canterus*, *Stephani quidem, hoc de loco miſerè ſe torquentis, valdè me miſeret. Scaliger* & *Æmil. Portus* hanc Lectionem laudant. *Duportus* ἅπας legit, haud adeò feliciter, cætera probat. Vetus Lectio ita ſe habebat Ἀκαρθεῶν τις εἶπεν, οἱ καταστένοι. Quâ nihil abſurdius. *Joh. Brodæus*, de ἄκαν exponendo mirè nugatur. In hâc re *Canterus* primus rectè vidit. *J. Barnes.* V. 1119. Εἰ μὴ καθ' ᾅδου Βάκχος) Βάκχος, μανία, λύσσα, ἣν ἐμάνητο ἐξ ᾅδου ἀνιὼν ἄρτι. *Canterus* legendum putat, Εἰ μηκέθ' ᾄδου. *Scaliger* legit καθᾴδου pro κατᾴδου hoc pro κατάδου ab ἀείδω cano, neſcio qua mente. Certè *Bacchus* hic pro *Furore*, qualis *Bacchantibus* adeſſe ſolebat, qualemque modò *Hercules* oſtenderat, ſumitur. *Idem.* V. 1120. Ἠνίξω) ab ἠνιξάμην, *Thema* αἰνίττομαι *tectè loquor.* Hinc *Ænigma* Αἴνιγμα, ab αἶνος Parabolica locutio. Αἰνίζομαι verò *laudo*, Homer. ἀεὶ γάρ σε βροτῶν αἰνίζομ' ἁπάντων. *Joſ. Barnes.* V. 1126. Ἀρκεῖ) οὕτω ἀρκοῦσιν σοι, πάτερ, ὅτι πάντα τὰ ἐμὰ λέγειν μοι θέλεις, καὶ οὐ βούλομαι σιωπῇ ταῦτα μαθεῖν. *Idem.* V. 1130. Ἕξεις) *Brodæus, Canterus, Scaliger*, λέξεις legunt, quæ Vera videtur Lectio. V. 1131. Πτώματα) πτώματα, *Cadavera*, quæ & πτῶσις dicuntur à τὸ πίπτω. *Phœniſ.* v. 1659. Ὦ φίλα πτώματ' ἄθλι' ἀθλίου πόλεως. *Idem.* V. 1135. Καὶ θεῶν ὃς αἴτιος) *Junonem* innuit, ſed cùm non auſit eam nominatim citare, nè ira magis inflammetur, εὐφημοτέρως ait, *quiſquis fuit ille Deorum*, θεῶν ὃς αἴτιος. *Idem.* V. 1140. Στεναγμῶν γάρ με περιβάλλει νέφος) Sic *Homerus*, νέφος εἵπετο πεζῶν. Sic *Euripides* Phœniſſ. v. 257. Ἀμφὶ δὲ πόλιν νέφος ἀσπίδων. V. 1145. Ὅτ' ἀμφὶ βωμὸν χεῖρας ἡγνίζου πυρί) Ita ſupra *Nuntius* dicit, *Herculem* tum primùm Furore correptum, quùm ad Aram torrem ex Altari flammantem tincturus eſſet in Aquâ luſtrali, v. 928. Μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν, Εἰς χέρνιβ' ὡς βάψειεν Ἀλκμήνης τόκος, Ἔστη σιωπῇ &c. V. 1146. Τί δή γε φείδομαι ψυχῆς ἐμῆς) Videbimus poſtea ad v. 1347. quòd *Hercules*, quanquam nunc de morte ſibi inferendâ malis ſuis diſtractus deliberat, voluntariam Mortem ſeu Αὐτοφονίαν timiditatis damnet. At quod etiam impium ſit de Vita, velut ex Arce nobis noſtræque fidei traditâ, Duce invito egredi, teſtatur in *Platonis* Phædone §. 5. *Socrates*, ita loquens, Ὁ μὲν ἐν ἀποῤῥήτοις

ῥήτοις ἀεὶ αὐτῶν (ἀνθρώπων) λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι· καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν. οὐδ' ἀποδιδράσκειν, μέγας τέ τις μοι φαίνεται καὶ οὐ ῥᾴδιος διϊδεῖν. Ita quoque poſt *Socratem*, *Cicero* de Somnio *Scipionis*, "Quare & tibi, *Publi*, & piis omnibus retinendus eſt Animus in Cuſtodiâ Corporis, nec injuſſu ejus, à quo "ille eſt Nobis datus, ex hominum vitâ migrandum eſt, nè munus humanum à Deo aſſignatum defugiſſe videami-"ni. *Idem* in 1mo *Tuſculan.* Quæſt. Vetat enim Dominans ille in Nobis Deus, injuſſu hinc Nos ſuo demigrare. Idem *Ciceronis* locus à *Macrobio* benè tractatur in Somnii *Scipionis* l. 1. c. xiii. *Joſua Barnes.*

Τῶν φιλτάτων μοι γενόμενος παίδων φονεὺς,
Κοὐκ εἶμι πέτρας λισσάδος πρὸς ἅλματα,
Ἢ φάσγανον πρὸς ἧπαρ ἐξακοντίσας,
Τέκνοις δικαστὴς αἵματος γενήσομαι;
Ἢ σάρκα τὴν ἐμὴν καταμπρήσας πυρὶ,
Δύσκλειαν, ἣ μένει μ', ἀπώσομαι βίου;
Ἀλλ' ἐμποδὼν μοι θανασίμων βουλευμάτων,
Θησεὺς ὅδ' ἕρπει, συγγενὴς, φίλος τ' ἐμός.
Ὀφθησόμεσθα, καὶ τεκνοκτόνον μύσος
Εἰς ὄμμαθ' ἥξει φιλτάτων ξένων ἐμῶν.
Οἴμοι· τί δράσω; ποῖ κακῶν ἐρημίαν
Εὕρω; πτερωτὸς, ἢ κατὰ χθονὸς μολών;
Φέρ' ἂν πέπλοισι κρατὶ περιβάλω σκότος.
Αἰσχύνομαι γὰρ τοῖς δεδραμένοις * κακοῖς,
Καὶ τῷδε προστρόπαιον αἷμα προσβαλὼν,
Οὐδὲν κακῶσαι τοὺς ἀναιτίους θέλω.

* al. κακῶς.

Cùm factus ſim interfector meorum chariſſimorum liberorum?
Nec ad politi ſaxi ſaltus eo? *cùr ex prærupto ſaxo præceps non feror?*
Aut gladio in hepar adacto,
Vindex fiam ſanguinis liberorum?
Aut carnem meam cremans igni,
Infamiam vitæ, quæ me manet, repellam?
Sed impedimento mihi *futurus in meis letalibus conſiliis*
Venit Theſeus ille, cognatus & amicus meus.
Conſpiciemur *ab eo*, *&* cæſorum liberorum piaculum
Veniet in conſpectum chariſſimorum meorum hoſpitum.
Hei mihi, quid faciam? ubi malorum ſolitudinem
Inveniam? alatusne, an per terram vadens?
Age, veſtibus tenebras offundam capiti:
Pudet enim me ſcelerum, quæ patravi.
Et huic piacularem ſanguinem irrogans,
Nullo malo afficere innocentes volo.

V. 1148. Κοὐκ εἶμι πέτρας λισσάδος πρὸς ἅλματα) *Androm.* Λισσάδος ὡς πέτρας. *Scholiaſt.* ἀπὸ λείας πέτρας. *Apollonius* Argon. l. 2. ---τῆς δ' ἄπο πέτρας λισσάδος ἐρρίζωντο ἁλιβρεχέες. *Theocritus*, Εὗρεν αὐτὸν κείμενον ὑπὸ λισσάδι πέτρᾳ. *Johannes Brodæus.* V. 1151. Καταμπρήσας) *Duportus* legit ἀπεμπρήσας, ſed καταμπρήσας ex Vetuſtis Codicibus eruiſſe ſe *Stephanus* dicit, & hoc jam in Lexico receptum; quare maneat per me licet. *Aldina* Editio unà ſyllabà deficiens ἐμπρήσας tantum habuit. *J. Barnes.* V. 1154. Θησεὺς ὅδ' ἕρπει, συγγενὴς, φίλος τ' ἐμός) Quomodò *Theſeus* & *Hercules* Conſanguinitate erant inter ſe juncti, ſuprà oſtendimus ad *Heraclid.* v. 210. & v. 37. Quòd autem *Theſeus* Amicus erat *Herculis*, æquè ac *Pirithoi*, utpote, ab eo magnis beneficiis conſtrictus, uti etiam illius Geſtorum æmulus, teſtatur *Plutarchus* in Vitâ *Theſei.* *J. Barnes.* V. 1159. Φέρ' ἂν πέπλοισι κρατὶ περιβάλω σκότος) *Henricus Stephanus* primus reſtituit πέπλοισι, ſed illi ἂν in hoc loco haud ſatis apta videtur, ut neque *Duporto*, qui legit ὡς ἂν, pro φέρ' ἂν & Ἔα, non enim ſatis ſibi in hâc re conſtans videtur. Quid ſi φέρ' οὖν legamus? Nec tamen ἂν omninò ineptum habeo. *J. Barnes.* V. 1161 Προσβαλὼν) Hactenus περιλαβὼν legebatur, ſed *Canterus* rectè ſenſit προσβαλὼν legi debere; facilis enim error ex tranſpoſitione literarum, ut & facilis correctio. Dicimus itaque ἀτιμίαν τινὶ προσβάλλειν, non autem περιλαμβάνειν. Περιλαμβάνουσι γὰρ ἡμᾶς ἀτιμίαι ὑπ' ἄλλων τινός. Similiter προστρόπαιον αἷμα ἑτέρῳ προσβάλλω, *alteri cædis reatum irrogo*, hic dicitur: *Scaligero* hoc quoque viſum. *Joſua Barnes.* V. 1162. Κακῶσαι) Contaminare. Priſci ſanè Parricidam impium, quique id genus facinoris deteſtandi commiſiſſet, fugiebant, ejuſdem conſortio ſe pollui exiſtimantes; inquit *Johann. Brodæus*; quaſi & Modernis id eſſet inauditum. Certè pii ac modeſti homines Sanguinarios, Blaſphemóſque Atheos, ut Peſtes Humani generis ſolent vitare. *Joſua Barnes.*

ARGUMENTUM *Actûs* Quinti.

THeſeus, *Rex* Athenarum, *Comes* Herculis *&* *Amicus*, *audito*, *quòd* Lycus *regnum* Thebarum *invaſiſſet*, *cum Exercitu* Thebas *venit*, Herculi *Amico opem*, *ſi res poſtulet*, *laturus*. *Hic jam recens-actum facinus videt*, *cædem Puerorum &* Megaræ *miſerandam*; Herculem *acerbo caſu attonitum*, *obſtupidum planè & ferè de manibus ſibi inferendis cogitantem*; *nec in os illi oculos tollere præ conſceleratâ conſcientiâ ſuſtinentem*. *Vix itaque* Theſeus *hoc tandem extorquet*, *ut aperto vultu ſe aſpici coràm patiatur*. Hercules *totius Vitæ ſuæ miſerias recolit*, *labores*, *&* *ærumnas*; *Hoc demùm infandum*, *indignum*, *abominandum facinus*, *ignominiæ ſummæ*, *ſummæ turpitudinis plenum*: *Quare nec ampliùs ſibi vivendum videri*, *ubi Hoſtibus ſit Deriſui*, *Amicis terrori & execrationi*, *nec* Junonis *iniquum odium præterit*. Theſus *jacentem & penè deſperantem Herôa oratione conſolatoriâ erigit*, *incitatque ad ſcelus expiandum*, *etiam in regni* Athenarum *conſortium*. Hercules *utcunque animum tandem recipit*, *ac deoſculatus chariſſima ſuorum cadavera*, *Patri ſepelienda commendat*; *poſt longam denique querelam*, *afflictam & parricidio funeſtatam Domum Seni* Amphitryoni *iterum committit*, *indéque cum* Theſeo *mœſtus proficiſcitur*.

ΘΗΣΕΥΣ, ΑΜΦΙΤΡΥΩΝ, ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Θη. Ἥκω σὺν ἄλλοις, οἳ παρ' Ἀσωποῦ ῥοὰς
Μένουσ' ἐνοπλοι γῆς Ἀθηναίων κόροι,
Σῷ παιδὶ, πρέσβυ, σύμμαχον φέρων δόρυ.

Thes. Venio cum aliis, qui ad fluenta Aſopi
Armati juvenes terræ Athenienſium manent,
Tuo filio, ô ſenex, haſtam auxiliatricem ferens.

V. 1163. Ἀσωποῦ ῥοὰς) De *Aſopo Bœotiæ* fluvio ſuprà diximus ad v. 785. Eſt & alius ejuſdem Nominis fluvius *Aſiæ*, *Laodiceam* præterfluens. Item Tertius *Corinthiacæ* Provinciæ, de quâ ita *Pauſanias* in *Corinthiacis* fol. 48. lin. 27. Ὁ δ' Ἀσωπὸς οὗτος ἄρχεται μὲν ἐκ τῆς Φλιασίας, ῥεῖ δὲ διὰ τῆς Σικυωνίας, καὶ ἐκδίδωσιν ἐς τὴν ταύτης θάλασσαν. *J. Barnes.*

Κληδὼν

Κληδὼν γὰρ ἦλθεν εἰς Ἐρεχθειδῶν πόλιν,
Ὡς σκῆπτρα χώρας τῆσδ' ἀναρπάσας Λύκος,
Εἰς πόλεμον ὑμῖν, καὶ μάχην καθίσταται.
Τίνων δ' ἀμοιβὰς, ὧν ὑπῆρξεν Ἡρακλῆς,
Σώσας με νέρθεν, ἦλθον, εἴ τι δεῖ, γέρον,
Ἢ χειρὸς ὑμᾶς τῆς ἐμῆς, ἢ συμμάχων.
Ἔα· τί νεκρῶν τῶνδε πληθύει πέδον;
* Οὔπω λέλειμμαι, καὶ νεωτέρων κακῶν; * [illegible]
Ὕστερος ἀφῖγμαι; τίς τάδ' ἔκτεινεν τέκνα;
Τίνος γεγῶσαν τήνδ' ὁρῶ συνάορον;
Οὐ γὰρ δορός γε παῖδες ἵστανται πέλας,
Ἀλλ' ἄλλο τοί που καινὸν εὑρίσκω κακόν.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

Αμ. Ὦ τὸν ἐλαιοφόρον ὄχθον ἔχων.
Θη. Τί χρῆμά μ' οἰκτροῖς ἐκάλεσας προοιμίοις;

Στροφὴ β'.

Αμ. Ἐπάθομεν πάθεα μέλεα πρὸς θεῶν.
Θη. Οἱ παῖδες οἵδε, τίνες, ἐφ' οἷς δακρυρροεῖς;

Στροφὴ γ'.

Αμ. Ἔτεκε μὲν οὑμὸς ἶνις τάλας·
Τεκόμενος δ', ἔκτανε,
Φόνιον αἷμα τλάς.
Θη. Εὔφημα φώνει. Αμ. Βουλομένοισιν ἐπαγγέλλῃ.
Θη. Ὦ δεινὰ λέξας. Αμ. Οἰχόμεθ', οἰχόμεθα πτανοί.
Θη. Τί φής; τί δράσας; Αμ. Μαινομένῳ πιτύλῳ
Πλαγχθεὶς, ἑκατογκεφάλου βαφαῖς ὕδρας.
Θη. Ἥρας ὅδ' ἀγών τις χολωμένης, γέρον.

Στροφὴ δ'.

Αμ. Ἐμὸς, ἐμὸς ὅδε γόνος,
Ὁ πολύπονος, ὅτι

Venit enim fama in urbem Erechthidarum, *i.e. Athenas*,
Quòd Lycus occupato imperio hujus regionis,
Bellum & pugnam contra vos excitavit.
Ut enim referrem gratiam pro beneficiis, quæ in me cōtulit Herc.
Quòd me salvū ex inferis reduxerit, veni, ſi quid opus ſit, ò ſenex,
Vobis, aut manu meâ, aut ſociis.
Hem, quare ſolum repletum eſt cadaveribus iſtis?
Num fruſtratus ſum, & malis recentibus
Poſterior veni? quis liberos hos occidit?
Cujus viri conjugem hanc exiſtentem aſpicio?
Non enim prope haſtam, *in acie* collocantur pueri,
Sed aliquod aliud novum malum invenio.

ANOMOEOSTROPHA.

Strophe 1.

Am. O qui tenes tumulum oleaſterentem, *i.e. Athenas.*
Thē. Quamobrem me vocas miſerabili iſto proœmio?

Strophe 2.

Am. Paſſi ſumus gravia mala à diis.
Thē. Quinam ſunt hi pueri, propter quos ploras?

Strophe 3.

Am. Meus quidem miſer filius genuit *eos*:
Sed poſtquam genuit, interfecit,
Funeſtam cædem facere auſus.
Thē. Bona verba quæſo. *Am.* Volentes jubes.
Thē. O quàm indigna dixiſti. *Am.* Periimus, periimus ſubitò.
Thē. Quid ais? quid faciens? *Am.* furioſo certamine,
Deceptus tincturis venenis Hydræ habentis centum capita.
Th. Hoc eſt quoddam certamen malum, quod accidit Junonis irâ.

Strophe 4.

Am. Meus, meus hic filius,
Laborioſus, [illegible]

V. 1166. Κληδὼν) ἡ Κληδὼν, κλεηδὼν, & κλῃηδὼν, *Fama, Rumor, Omen*, unde κληδονίζομαι, *Ominor*, & κληδονοῦμαι, v. 1288. ἀκλῄζω quod & κλῄζω, *Ion.* pro κλείζω, *Thema* κλείω, *Laudo* & *Claudo. Ibid.* Ἐρεχθειδῶν πόλιν) *Athenienſes* dicti *Erechthidæ* ab *Erechtheo* eorum ſexto Rege. Vide quæ Nos ad *Ion.* v. 296. *Joſua Barnes.* V. 1169. Ὑπῆρξεν Ἡρακλῆς) ὑπῆρξεν hoc in loco pro ὑπαρχὸς ἐγένετο. Sic *Rheſ.* v. 633. Οὐκοῦν ὑπάρχειν τῶνδε καθαιροῦντα χρή. Sic *Androm.* v. 273. Ἣ μηδέπω ἀρχὴν ἐφ' ὑπῆρξεν. In quem locum vide quæ Nos *Græcè* inter Scholia inſeruimus. *Herculis* autem priora beneficia, quibus ille *Theſeum* affecerat, *Apollodorus* agnoſcit, Biblioth. l. 2. c. 5. §. ult. Πλησίον δὲ τῶν Ἀδου πυλῶν γενόμενος (ὁ Ἡρακλῆς) Θησέα εὗρε καὶ Πειρίθουν τὸν Περσεφόνης μνηστευόμενον γάμον, καὶ διὰ τοῦτο δεθέντα. Θεασάμενοι δὲ Ἡρακλέα, τὰς χεῖρας ὤρεγον, ὡς ἀναστησόμενοι διὰ τῆς ἐκείνου βίας. Ὁ δὲ Θησέα μὲν λαβόμενος τῆς χειρὸς ἤγειρε. *J. Barnes.* V. 1170. Εἴ τι δεῖ, γέρον, ἢ χειρὸς ὑμᾶς τῆς ἐμῆς) δεῖ σοί τινος dicitur, δεῖ σοί τι, & δεῖ σέ τι, ut δεῖ μόνον σοι. Quæ variæ conſtructiones notandæ. *Idem.* V. 1178. Ὦ τὸν ἐλαιοφόρον ὄχθον ἔχων) Collem Oleis conſitum, *i.e.* Arcem *Athenarum*, in quâ primùm Oliva viſa eſt. *Ælian.* ἐν Ἀθήναις ὀφθῆναι λέγουσι πρῶτον τὴν ἐλαίαν. *Herodotus* in *Terpſichore*, λέγεται δὲ καὶ ὡς ἐλαῖαι οὐκ ἦσαν ἄλλοθι γῆς οὐδαμοῦ κατ' ἐκεῖνον τὸν χρόνον, ἢ Ἀθήνῃσι. *Joh. Brodæus.* Poeta itaque noſter ita cecinit, *Ion.* v. 1433. Στέφανον ἐλαίας ἀμφέθηκά σοι τότε, Ἣν πρῶτ' Ἀθάνας σκόπελος εἰσηνέγκατο, in quem locum vide quæ Nos. *Joſ. Barnes.* V. 1179. Τί χρῆμα) διὰ ſubaudi. V. 1182. Ἶνις) De hâc voce vide ſupra ad v. 354. V. 1185. Βουλομένοισιν ἐπαγγέλλῃ) σὺ μὲν ἐπαγγέλλῃ εὔφημα φωνεῖν ἡμῖν τοῖς μάλιστα βουλομένοις, ἀλλὰ μὴ δυναμένοις, οὐ γὰρ εὔφημα πάσχομεν. Benè autem ominantia verba Nos ſanè valdè optaremus proferre; ſi res pateretur; at nullo nunc modo poſſumus. *Joſua Barnes.* V. 1186. Οἰχόμεθα πτανοί) Ita *Supplic.* v. 1142. Ποτανοὶ δ' ἤδη νιν τὸν Ἀΐδαν. πτανὸς, & ποτανὸς, pro πτηνὸς & ποτηνὸς, Volucris, ἀντὶ ταχέως, διὰ τὸ ταχὺ τῶν ὑπερπετομένων οἰωνῶν. *J. Barnes.* V. 1187. Πιτύλῳ) ut in hoc loco μαινομένῳ πιτύλῳ dixit, ſic ad *Iphig. Taur.* v. 307. μανίας πίτυλον habet. In quem locum vide quæ Nos. Monendus autem eſt Lector, in eo loco ad Notæ finem malè verba locata eſſe, in hunc igitur ordinem redigi debere. *Figuratè autem hic Poeta μανίας πίτυλον vocat* Furioſum *illum, quo* Oreſtes *ſimulabatur, motum.* Ita *Alceſt.* v. 798. πίτυλον σκύφου vocat liberam compotationem: *Scholiaſtes autem in locum ait*, πίτυλος ἡ συνεχὴς φορὰ τοῦ ποτηρίου. *Quod tamen alii ad* κότταβον *referunt.* Metaphora ſumpta ab agitatione & impulſu remorum. *J. Barnes.* V. 1188. Πλαγχθεὶς) σφαλείς. Ex *Homero* autem hanc phraſin ſumpſit, qui dixit, *Odyſſ.* ϑ'. v. 346. παρέπλαγξεν δὲ νόημα. In eundem Senſum dixit idem *Odyſſ.* σ'. v. 326. Ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί. Et *Theocr.* Idyll. β. v. 19. Πᾷ τὰς φρένας ἐκπεπότασαι; Ἑκατογκεφάλου) Vel eſt *Numerus certus* pro *Incerto*, ut ſit pro πολυκεφάλου, vel quòd in eum numerum tandem per exciſionem multiplicabantur, *Novem* enim tantùm Capita primò habuit *Hydra*; vel quòd ex *Typhone* genita erat, qui & ipſe ἑκατογκέφαλος dicitur *Ariſtophani* aliiſque. *Joſua Barnes.* V. 1189. Ἥρας ὅδ' ἀγών τις χολωμένης, γέρον.) Pro χολωμένης olim legebatur δόλου νεκροῖς, nullo Senſu; nec enim δόλος hic tantum videbatur, quantum χόλος *Junonis*, & præterea νεκροῖς malè aderat. *Gul. Canterus* Novar. Lection. l. 3. c. xi. Ita totum Verſum legebat, Ἥρας ὅδ' ἀγὼν· μὴ χόλου νεκροῖς, γέρον. Sed longè magis placuit *Scaligeri* Lectio, χολωμένης, quam neque dubitavi in Textum admittere. Quòd autem prior Syllaba τοῦ Ἀγὼν aliquando producatur, vide quæ Nos ad *Phæniſ.* v. 591. *J. Barnes.* V. 1190. Ἐμὸς δὲ ὁ γόνος ὁ πολύπονος, ὃς ποτε δόρυ γιγαντοφόνον ἦλθε σὺν θεοῖς Φλεγραῖον εἰς πεδίον ἀσπιστάς) Quòd *Hercules* in Campo *Phlegræo* Diis contrà Gigantes ſuppetias tulit, Vide ſuprà ad v. 177. & 853. Nullam autem ego neceſſitatem hic video cum *Cantero* ſupplendi, ὃς ante δόρυ, nec, ut puto, ille ita putaſſet, niſi per oſcitantiam οἱ δὴ pro ὅδε, ſcriptum putâſſet. Quid enim magis Naturale, quàm hæc Lectio, ἐμὸς δὲ (i. e. ὅτε) γόνος ὁ πολύπονος ἐπὶ δόρυ γιγαντοφόνον ἦλθε &c. *Joſua Barnes.*

Δόρυ

Δόρυ γιγαντοφόνον
Ἦλθε σὺν θεοῖς Φλεγραῖον
Εἰς πέδιον ἀσπιστάς.

Θη. Φεῦ, φεῦ· τίς ἀνδρῶν ὧδε δυσδαίμων ἔφυ;

Στροφὴ έ.

Αμ. Οὐκ ἄν γ' εἰδείης ἕτερον πολυμοχθότερον,
Πολυπλαγκτότερόν τε θνατῶν.
Θη. Τί γὰρ πέπλοισιν ἄθλιον κρύπτει κάρα;

Στροφὴ ς'.

Αμ. Αἰδόμενος τὸ σὸν ὄμμα,
Καὶ φιλίαν ὁμόφυλον,
Αἷμά τε παιδοφόνον,
Θη. Ἀλλ' εἰς συναλγοῦντ' ἦλθον· ἐκκάλυπτέ νιν.

Στροφὴ ζ'.

Αμ. Ὦ τέκνον, πάρες ἀπ' ὀμμάτων
Πέπλον· ἀπόδικε· ῥέθος ἀελίῳ δεῖξον.
Βάρος ἀντίπαλον δακρύοις συναμιλλᾶται.
* Ἰκετεύω μὲν ἀμφὶ *al. ἱκετεύομεν.
Σὰν γενειάδα, καὶ γόνυ, καὶ
Χέρα, προσπίτνων,
Πολιόν τε δάκρυον * ἐμβάλλων. *Scal. ἐκβάλλων.
Ἰὼ παῖ.
Κάταχε λέοντος ἀγρίου θυμόν γ', ὅπως *
Βρόμον ἐπὶ φόνιον, ἀνόσιον ἐξάγῃ, *Scal. μὴ addit.
Κακὰ θέλων κακοῖς συνάψαι, τέκνον.

Ἴαμβοι.

Θη. Εἶεν· σὲ τὸν θάσσοντα δυστήνους ἕδρας
Αὐδῶ, φίλοισιν ὄμμα δεικνύναι τὸ σόν.
Οὐδεὶς σκότος γὰρ ὧδ' ἔχει μέλαν νέφος,
Ὅστις κακῶν σῶν συμφορὰν κρύψειεν ἄν.
Τί μοι προσείων χεῖρα σημαίνεις φόνον, *Scal. βάλῃ.
Ὡς μὴ μύσος με σῶν * βάλῃ προσφθεγμάτων;
Οὐδὲν μέλει μοι σύν γε σοὶ πράσσειν κακῶς.
Καὶ γάρ ποτ' εὐτύχησ'· ἐκεῖσ' ἀνοιστέον,
Ὅτ' ἐξέσωσάς μ' εἰς φάος, νεκρῶν πάρα.
“ Χάριν δὲ γηράσκουσαν ἐχθαίρω φίλων,
“ Καὶ τῶν καλῶν μὲν ὅστις ἀπολαύειν θέλει,
“ Συμπλεῖν δὲ τοῖς φίλοισι δυστυχοῦσιν, οὔ.
Ἀνίστασ'· ἐκκάλυψον ἄθλιον κάρα,
Βλέψον πρὸς ἡμᾶς. “ ὅστις εὐγενὴς βροτῶν,
“ Φέρει τὰ θεῶν γε πτώματ', οὐδ' ἀναίνεται.
Ηρ. Θησεῦ, δέδορκας τόνδ' ἀγῶν' ἐμῶν τέκνων;
Θη. Ἤκουσα, καὶ βλέποντι σημαίνεις κακά.
Ηρ. Τί δῆτά μου κρᾶτ' ἀνεκάλυψας ἡλίῳ.
Θη. Τί δ' οὔ; μιαίνεις θνητὸς ὢν τὰ τῶν θεῶν;

Bellum, quod Gigantes delevit,
Venit cum diis Phlegræum
In campum ſcutatus.
Thе. Heu, heu! quis vir adeò eſt infelix?

Strophe 5.

Am. Non facile cognoſces alium miſeriorem
Hominem, & magis errabundum.
The. Cur verò tegit miſerum caput veſte?

Strophe 6.

Am. Quia veretur tuum conſpectum,
Et amicitiam cognatam *ariſtamque*,
Sanguinémque ex filiorum cæde manantem.
Th. Atqui veni ut unà doleam: detege eum.

Strophe 7.

Am. O fili, demitte ab oculis
Veſtem, rejice, oſtende faciem ſoli.
Dignitas *tua* pari pondere certat cum lacrymis.
Supplico tamen ad
Mentum tuum, & genua, &
Manum advolutus
Et canas lacrymas emittens.
O fili,
Cohibe animum ſævi leonis, quando
Fremitum ad letiferum *ac* impium ſtimularis,
Mala volens malis addere, ô fili.

Theſeus.

Th. Age. Te, qui ſedes in miſerâ ſede,
Alloquor, ut oſtendas amicis vultum tuum.
Nullus Nigror enim adeò nigram nubem habet,
Qui malorum tuorum calamitatem poſſit occultare.
Quare mihi protendens manum oſtendis necem,
Nè me piaculum tuorum alloquiorum percutiat, *ac polluat*?
Nihil recuſo tecum infelix eſſe.
Etenim fui aliquando felix: illuc *mens & cogitatio eſt* referenda,
Quùm me ſalvum ex inferis in lucem eduxiſti.
“ Odi enim gratiam amicorum ſeneſcentem;
“ Et *eum*, qui præclaris quidem *bonisque rebus* frui vult,
“ Sed non vult unà navigare cum amicis calamitoſis.
Surge, detege miſerum caput,
Intuere nos. “ quicunque mortalium generoſus *eſt*,
“ Caſus deorum fert, nec recuſat.
Her. O Theſeu, vidiſtine certamen meorum liberorum?
The. Audivi, & videnti mala indicas.
Her. Cur igitur meum caput detexiſti ſoli?
The. Quid ni? polluiſne Deos, cum ſis homo?

V. 1200. Καὶ φιλίαν ὁμόφυλον) οὐ γὰρ μόνον διὰ φιλίαν ἡνώθησαν, ὅ, τε Ἡρακλῆς καὶ ὁ Θησεύς, ἀλλὰ καὶ διὰ τὴν συγγένειαν. Vid. ſuprà ad v. 1154. & *Heraclid.* v. 37. & 210. *J. Barnes.* V. 1201. Αἷμά τε παιδοφόνον) μετωνυμικῶς hoc dictum, ἀντὶ τοῦ αἷμα ἐκ τοῦ φόνου τῶν παίδων τῶν φονευθέντων ῥέον. At ſuprà v. 1192. Δόρυ γιγαντοφόνον. Αἴτιον, τὸ τοὺς γίγαντας φονεῦον. *Æmil. Portus.* V. 1204. Ἀπόδικε) ἀπόδικε & δίκω, pro ἀποβάλλω & βάλλω, Vox *Euripidea*; de quâ videſis ſuprà ad v. 498. *Ibid.* Ῥέθος ἀελίῳ δεῖξον) Quòd ῥέθος communitèr τὸ μέλος quodvis membrum ſonat, *Æolicè* autem τὸ πρόσωπον, *vultum*, ut hoc in loco, *Euſtathius* nos docet, fol. 1090. lin. 27. & fol. 1257. lin. 21. *Apollonius* Argon. l. 2. Αὐτίκ' ἀναχόμενοι ῥεθέων προτιδέρκεσθε βαρείας χεῖρας. Sic *Moſchus* Megar. v. 2. --Τὸ πρὶν δέ τοι οὐκ ἔτ' ἐρευθος σώζετ' ἐπὶ ῥεθέεσσι. Item *Sophocl.* Antigon. Νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν ῥέθος αἰσχύνει. Ubi pro *Vultu* & *Genis* τὸ ῥέθος uſurpatur. *Joſ. Barnes.* V. 1205. Βάρος ἀντίπαλον δακρύοις συναμιλλᾶται) Authoritas mea tantùm apud te ponderis habere debet, quantum ſi cum lacrymis obſequerer. *Brodæus.* V. 1206. Ἰκετεύω μὲν ἀμφὶ) Olim ἱκετεύομεν, quod ob ſequens προσπίτνων, *Scaliger* emendavit in ἱκετεύω μὲν, licet *Mutatio Numeri* non eſt prorſus nova apud Poetas. Vide quæ Nos ad *Ion.* v. 1115. V. 1216. Οὐδεὶς) Olim Ἴδ' εἰ, nullo ſenſu; quare *Canterus* & *Scaliger* οὐδεὶς legebant, *Duportus*, Ἴδ', οὐ σκότος. Eſt autem hic σκότος Maſculini generis, quod *Euripides* etiam facit primo *Hecubæ* Verſu. *J. Barnes.* V. 1218. Προσείων) à πρὸ & σείω. V. 1224. Καὶ τῶν καλῶν μὲν) Olim in aliquibus exemplaribus erat κακῶν μ', Verſu & Senſu ſic pariter laborantibus, aſt illud erat Erratum præli. *Aldina* enim Editio rectè habuit καλῶν μὲν, & ita legendum vidit *Scaliger*, *Portus* & *Duportus*. V. 1225. Συμπλεῖν) i.e. συμπονεῖν, συνδυστυχεῖν, καὶ συγκινδυνεύειν. Ita *Cicero* in Epiſtolis Familiaribus, *in eâdem eſſe Navi*, pro *in communi eſſe periculo*, uſurpavit. *Brodæus.* V. 1232. Τί δ' οὔ; μιαίνεις θνητὸς ὢν τὰ τῶν θεῶν;) Ita interpungendum ſtatuo, non, ut olim, τί δ'; οὐ μιαίνεις θνητὸς ὢν τὰ τῶν θεῶν; Vidit & hoc *Duportus*. Τὰ τῶν θεῶν, quia dixit *Hercules* non ſe audere ſoli vultum oſtendere, pudore ſuffuſus ob ſcelera commiſſa, reponit *Theſeus*, Quid non, hoc eſt, oſtenderes vultum? Num putas te Mortalem exiſtentem Deos contagio tuo attingere poſſe? Aut ſolem polluere? *Joſua Barnes.*

Ηρ. Φεῦγ', ὦ ταλαίπωρ', ἀνόσιον μίασμ' ἐμόν.
Θη. Οὐδεὶς ἀλάστωρ τοῖς φίλοις ἐκ τῶν φίλων.
Ηρ. Ἐπῄνεσ'· εὖ δράσας δέ σ', οὐκ ἀναίνομαι.
Θη. Ἐγὼ δὲ πάσχων εὖ τότ', οἰκτείρω σε νῦν.
Ηρ. Οἰκτρὸς γάρ εἰμι, τἄμ' ἀποκτείνας τέκνα.
Θη. Κλαίω χάριν σὴν ἐφ' ἑτέραισι συμφοραῖς.
Ηρ. Εὗρες δέ γ' ἄλλους ἐν κακοῖσι μείζοσιν;
Θη. Ἅπτῃ κάτωθεν οὐρανοῦ δυσπραξίᾳ.
Ηρ. Τοιγὰρ παρεσκευάσμεθ', ὥστε κατθανεῖν.
Θη. Δοκεῖς ἀπειλῶν σῶν μέλειν τι δαίμοσιν;
Ηρ. Αὔθαδες ὁ θεός· πρὸς δὲ τοὺς θεοὺς, ἐγώ.
Θη. *Ἴσχε τὸ στόμ'· ὡς μὴ μέγα λέγων, μεῖζον πάθῃς.
Ηρ. Γέμω κακῶν δὴ, κοὐκέτ' ἔσθ' ὅπη τεθῇ. *Scal. Σχές.
Θη. Δράσεις δὲ δὴ τί; ποῖ φέρῃ θυμούμενος;
Ηρ. Θανὼν, ὅθενπερ ἦλθον, εἶμι γῆς ὕπο.
Θη. Εἴρηκας ἐπιτυχόντος ἀνθρώπου λόγους.
Ηρ. Σύ γ', ἐκτὸς ὢν γε συμφορᾶς, με νουθετεῖς.
Θη. Ὁ πολλὰ δὴ τλὰς Ἡρακλῆς λέγει τάδε;
Ηρ. Οὔκουν τοσαῦτά γ', εἰ μέτρῳ μοχθητέον.
Θη. Εὐεργέτης βροτοῖσι, καὶ μέγας φίλος;
Ηρ. Οἳ δ' οὐδὲν ὠφελοῦσί μ', ἀλλ' Ἥρα κρατεῖ.
Θη. Οὐκ ἄν σ' ἀνάσχοιθ' Ἑλλὰς ἀμαθίᾳ θανεῖν.
Ηρ. Ἄκουε δή νυν, ὡς ἁμιλληθῶ λόγοις
Πρὸς νουθεσίας τὰς σάς· ἀναπτύξω δέ σοι
Ἀβίωτον ἡμῖν νῦν τι, καὶ πάροιθεν ὄν.
Πρῶτον μὲν ἐκ τοῦδ' ἐγενόμην, ὅστις κτανὼν
Μητρὸς γεραιὸν πατέρα, προστρόπαιος ὢν,
Ἔγημε τὴν τεκοῦσαν Ἀλκμήνην ἐμέ.
“ Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
“ Ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.
Ζεὺς δ', ὅστις ὁ Ζεὺς, πολέμιόν μ' ἐγείνατο
Ἥρᾳ· σὺ μέντοι μηδὲν ἀχθεσθῇς, γέρον·
Πατέρα γὰρ ἀντὶ Ζηνὸς ἡγοῦμαί σ' ἐγώ.

Her. Fuge, ô miſer, impium contagionem meam.
The. Nullum contagium amicis ab amicis *contingit*.
Her. Laudo; quod autem tibi beneſecerim, non inficior.
The. Ego verò cum beneficio ſim à te tū affectus, miſereor nūc tui.
Her. Miſerandus adſum, qui occiderim meos liberos.
The. Lamentor tuâ causâ ob alias calamitates.
Her. Inveniſtine alios in majoribus *poſitos* malis?
The. Pertingis ex terrâ cœlum ipſum infelicitate.
Her. Quamobrem parati ſumus mori.
Th. Putaſne tuas minas Diis aliquo modo curæ fore?
He. Deus *erga me eſt nimirum* arrogans & ego erga Deos.
The. Comprime os, nè ſuperba loquens, majora patiaris.
Her. Plenus ſum jam malorum, neq; eſt ampliùs locus ulli malo.
The. Quid igitur facies? quò iratus ferris?
Her. Mortuus ſub terram vadam, unde veni.
The. Dixiſti verba hominis plebeii.
Her. Tu verò cùm extra calamitatem ſis, me mones.
The. Hercules igitur iſta dicit, qui tam multa jam paſſus eſt?
Her. Nequaquam tanta, ſi certâ menſurâ laborandum *eſſet*.
The. Beneſactor hominum, & magnus amicus?
Her. Illi verò nihil juvant me, ſed vincit Juno.
The. Non patietur Græcia *te* per imperitiam *ac temeritatē* mori.
Her. Audi nunc, ut verbis contendam
Contra tuas admonitiones: explicabo autem tibi,
Non vivendum mihi neque nunc, neque antea fuiſſe.
Non primùm quidem ex eo natus ſum, qui occiſo
Sene patre matris, cùm eſſet cæde pollutus,
Duxit Alcmenam, quæ me peperit.
“ Cùm autem fundamentum generis non jactum eſt
“ Rectè, neceſſe eſt infelices eſſe liberos.
Jupiter verò, quicunque ille ſit Jupiter, genuit me inimicum
Junoni. Tu tamen nè *mea verba* moleſtè feras, ô ſenex:
Nam te judico patrem ego pro Jove.

V. 1235. Ἐπῄνεσ'· εὖ δράσας δέ σ' οὐκ ἀναίνομαι) Hic *Hen. Stephanus*, ſuo more falſa nobis obtrudens, dicit, pro δράσας *ſcriptum* eſt δράσαις *in Veteribus*. At bonâ illius Magni Viri cum veniâ, rectè dicitur *Græcè*, δράσας οὐκ ἀναίνομαι æquè ac δράσαις οὐκ ἀναίνομαι, imò longè elegantiùs & Ἀττικώτερον. Quare Valeant hac in parte illius Veteres libb. *J. Barnes*. V. 1240. Ἅπτῃ κάτωθεν οὐρανοῦ δυσπραξίᾳ). *Gulielm. Canterus* legit, ἅπτῃ κάτωθεν οὐρανῷ. Δυσπραξία, quem videſis Novar. Lection. l. 7. c. 13. Quaſi eſſet, Σὺ, ὦ Δυσπραξία, ἅπτῃ τοῦ οὐρανοῦ κάτωθεν ἐκ τῆς γῆς ἀναδραμοῦσα. Sin ad *Herculem* dicta ſint verba, ut ego quidem puto, ita ſunt exponenda, Σὺ, ὦ Ἡρακλεῖς, ἅπτῃ, δηλονότι θιγγάνεις καὶ ἐφάπτῃ δυσπραγίᾳ τῷ κάτωθεν ὡς τὸν οὐρανὸν ἀναδραμούσῃ, τῇ διὰ τῆς Ἥρας σοι ἐμβληθείσῃ. Quare non erat, quòd *Canterus* adeò faſtuosè rejiceret priorem interpretationem; *Lœderis invecta cœlitùs calamitate*; quùm minùs forte inſolens videatur ea, quâ ſit is uſus, quanquam nec ejus interpretationem prorſus reſpuo. *Joſua Barnes*. V. 1242. Δοκεῖς ἀπειλῶν σῶν μέλειν τι Δαίμοσιν) Rectè σῶν à *Cantero* interſeritur ſuo loco. Simile illud *Virgil. Æn.* l. 4. v. 34. *Id cinerem aut manes credis curare ſepultos?* Joſua Barnes. V. 1243. Αὔθαδες ὁ Θεός) ὁ Θεὸς αὔθαδές τι οἷς ἐμὲ ἐστιν· ἐγὼ δὲ ἀνδρεῖον πρὸς τοὺς θεοὺς, δηλονότι αὐθάδης εἰμί. *Joſua Barnes*. V. 1244. Ἴσχε τὸ στόμ') *Scaliger* meliùs legit Σχὲς τὸ στόμ', ſed & Vetus Lectio ſtabit, ſi modò *Dactylum* ſtatuas in primo loco. *Ibid.* Μὴ μέγα λέγων, μεῖζον πάθῃς) Vide *Eraſmum* in Adagio, *Ne grandia loquaris*, item in Adagio, *Adraſtea Nemeſis*. Denique quæ Nos ad *Rheſ.* v. 342. *Joſua Barnes*. V. 1247. Θανὼν, ὅθενπερ ἦλθον, εἶμι γῆς ὕπο) Similis locus *Geneſ.* c. 3. v. 19. Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Vide quæ Nos ad *Suppl.* v. 533. & v. 1140. Item *Heraclid.* v. 529. & *Helen.* v. 1020. *Joſua Barnes*. V. 1248. Εἴρηκας ἐπιτυχόντος ἀνθρώπου λόγους) ἐπιτυχὼν hoc in loco pro τυχὼν, ὁ τυχὼν, ὅστις ἔτυχε, i. e. *quivis*, *quilibet*, *plebeius*; ὁ ἐπιτυχὼν ἀνὴρ, aliquis ex plebe, nullâ Philoſophiâ inſtructus, nullâ animi magnanimitate ſupra vulgarem ſortem evectus. Hic Poeta Deſperationem Vulgaribus animis dignam docet, Magnis Viris tolerantiam proponit. Vide quæ Nos ad v. 1347. *Joſua Barnes*. V. 1249. Σύ γ' ἐκτὸς ὢν γε συμφορᾶς, με νουθετεῖς) Huc ſpectat, quod *Æſchylus* in *Prometheo* vincto, v. 263. Ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα Ἔχει, παραινεῖν, νουθετεῖν τε τοὺς κακῶς πράσσοντας. *Dion. Caſſ.* l. 38. Ῥᾷον παραινέσαι ἑτέρῳ ἐστὶν, ἢ αὐτὸν παθόντα καρτερῆσαι. Quod ex illo *Euripidis* mutuatus eſt, *Alceſt.* v. 1078. Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν. Huc refer *Eraſmi* Adag. Chiliad. 1. Centur. 6. Adag. 68. *Facilè, cùm valemus, recta conſilia ægrotis damus.* *Terent.* Andr. *Facilè omnes, cùm valemus, recta conſilia ægrotis damus.* *Ovid.* Eleg. Druſi. *Hei mihi! Quàm facile eſt, quamvis hoc contigit omnes, Alterius luctu fortia verba loqui?* Joſua Barnes. V. 1252. Εὐεργέτης βροτοῖσι) Vide ſuprà ad v. 877. V. 1258. Ὅστις κτανὼν μητρὸς γεραιὸν πατέρα) *Electryonem* invitus occidit *Amphitryon*. Vide ſuprà ad v. 17. V. 1260. Ἔγημε) Cùm olim in nonnullis Exemplaribus erat ἐγείνατο, miror, ſolum *Scaligerum* vidiſſe illud Errati Monſtrum, & ſcripſiſſe ἔγημε; cùm res ſit notiſſima, *Amphitryonem* non Patrem *Alcmenæ*, ſed Maritum. Quin *Aldina* Editio ἔγημε habet, quæ certiſſima eſt Lectio. *Joſua Barnes*. V. 1261. Ὅταν δὲ κρηπὶς) Hanc ſententiam *Plutarchus* uſurpat in libello, Περὶ παίδων ἀγωγῆς. Eſt autem Metaphora, κρηπὶς, baſis, fundamentum, pro *Origo*, Initium. Ex *Brodæi* Notis.

Ἔτ' ἐν γάλακτί τ' ὄντι, γοργωποὺς ὄφεις
Ἐπεισέφρησε σπαργάνοισι τοῖς ἐμοῖς
Ἡ τοῦ Διὸς σύλλεκτρος, ὡς ὀλοίμεθα.
Ἐπεὶ δὲ σαρκὸς περιβόλαι' ἐκτησάμην
Ἡβῶντα, μόχθους, οὓς ἔτλην, τί δεῖ λέγειν;
Ποίους ποτ' ἢ λέοντας, ἢ τρισωμάτους
Τυφῶνας, ἢ γίγαντας, ἢ τετρασκελῆ,
Κενταυροπληθῆ πόλεμον οὐκ ἐξήνυσα;
Τήν τ' ἀμφίκρανον, καὶ παλιμβλαστῆ κύνα
Ὕδραν φονεύσας; μυρίων τ' ἄλλων πόνων
Διῆλθον ἀγέλας, κεἰς νεκροὺς ἀφικόμην,
Ἅιδου πυλωρὸν κύνα τρίκρανον εἰς φάος
Ὅπως πορεύσαιμ', ἐντολαῖς Εὐρυσθέως.
Τὸν λοίσθιον δὲ τόνδ' ἔτλην τάλας φόνον,
Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως ἴσως
Ἔπραξας· αἰνῶ δὲ δυστυχῶν ἐγώ
Μισῶ· λογισμὸς τοὔργον οὐ νικᾷ ποτε.

Ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.

Θάρσει· τάχ' ἂν γένοιτο· πολλὰ τοῖς θεοῖς
Κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις πέλει.

Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας
Πάντες διαιρεῖν, ἢ τύχας τὰς οἴκοθεν.
Μηδέ ποτε πεῖραν τοῖς θεοῖς εὐχῇ λαβεῖν
Φαίδιμε, τοιούτου μηδενός, μηδ' εἰδέναι·
Ὡς ἔστιν ἑτέρῳ ῥᾴδιον παραινέσαι.

Nunquam tuliſſem Sthenelon ego partes ſequi
Feliciores, & tibi eſſe injurium.

Res eſt optima veritas

Juſti in Principis urbe.

Deſipere ceſſet, ſe quoque eſſe hominem memor,
Qui fretus opibus patriæ inſultat ſuæ.

Hominem beatum ſapere præcipuè decet.

Domino placendum eſt: hoc, enim ſervo expedit,
Quicquid laboris imperatur, hoc ſuæ
Efficere fidei ſpecimen atque induſtriæ.

Aſt undenam reperta tibi tæda eſt Picis?

Inſevit homini maximos ſtimulos Deus
In Prolem amoris.

Contendere Opibus clara Nobilitas nequit:
Namque infimos ad ſumma Divitiæ vehunt.

Odioſa res eſt imperita Opulentitas.

Generoſa ſunt tua forte, ſed prudentia
Carent facinora: non placet laudabilis
Miſeria; præſtat quippe res rumoribus.

Adversâ rectè ferre generoſum decet.

Fortem indue animum: ſæpe ſunt à Dis bona
Exorta hominibus unde non ſperaverant.

Aliena cuncti rectius multo ſolent
Dijudicare quam ſua ipſorum mala.
Venerare Divos, nè ſit ejus, Phædime,
Tibi periculum facere, & è re diſcere
Conſilia quanto demus aliis facilius.

V. 1. Σθένελον εἰς τὸν εὐτυχῆ χωροῦντα τοῖχον) Nota *Proverbialem* locutionem, εἰς τὸν εὐτυχῆ χωρεῖν τοῖχον. Hæc autem de *Sthenelo* dicta ſunt ob filii ejus *Euryſthei* felicitatem ſupra illam *Herculis, Alcmenæ & Jovis* filii. De quâ re hæc *Apollodorus* Biblioth. l. 2. c. 4. §. 5. Ὄντι γὰρ Ἡρακλῆς ἔμελλε γεννᾶσθαι, Ζεὺς ἐν θεοῖς ἔφη, τὸν ἀπὸ Περσέως γεννηθησόμενον τότε, βασιλεύσειν Μυκηνῶν· Ἥρα δὲ διὰ τὸν ζῆλον, Εἰλειθυίας ἔπεισε τὸν μὲν Ἀλκμήνης τόκον ἐπισχεῖν. Εὐρυσθέα δὲ τὸν Σθενέλου παρεσκεύασε γεννηθῆναι, ἑπταμηνιαῖον ὄντα. Vide quæ Nos ad *Heraclid.* v. 362. Quod verò ad Proverbialem hanc loquendi formam attinet, Similitèr *Ariſtophanes* canit in Ranis, fol. 151. lin. ultimâ, Ταῦτα μὲν πρὸς ἀνδρός ἐστι Νοῦν ἔχοντος, καὶ φρένας, καὶ Πολλὰ περιπεπλευκότος, Μετακυλινδεῖν αὑτὸν αἰεὶ Πρὸς τὸν εὖ πράττοντα τοῖχον. *Scholiaſtes*, Μετακυλινδεῖν κ. λ.) ὅμοιον τῷ ἐν Ἀλκμήνῃ Εὐριπίδου, Οὐ γάρ ποτ' εἴων Σθένελον πρὸς τὸν εὐτυχῆ Χωροῦντα τοῖχον, τῆς δίκης σ' ἀποστερεῖν. Παροιμία δέ ἐστι, Πρὸς τὸν εὖ πράττοντα τοῖχον ῥέπειν, ἀπὸ τῶν πρὸς τὸ λυσιτελὲς αὐτοῖς ἀεὶ φερομένων. Notandum eſt obitèr hic *Scholiaſten* emendari ex hoc loco, qui corruptè apud illum legebatur. Huic autem *Proverbio*, πρὸς τὸν εὖ πράττοντα τοῖχον ῥέπειν, contrarium dicitur, *In Parietem caducum inclinare.* Ita *Hadrianus* Imperator, cùm *Commodum Verum*, quem adoptaverat, minùs vitalem videret, *In caducum Parietem ſe inclinâſſe*, dixit ſæpiſſimè, teſte *Ælio Spartiano* in *Hadriani* Vitâ. *Jeſua Barnes.* V. 5. Ἴσω δ' ἄφρων ὢν) Prior ſyllaba in ἄφρων eſt Communis, de quâ re Nos ſæpe alias. Vid. ad *Phaniſſ.* v. 19. *Idem.* V. 15. Τὸν γὰρ κάκιστον &c.) In hanc rem ita *Cicero* in *Cornel. Neque me Divitiæ movent, quibus omnes* Africanos *&* Lælios *Multi Venalitii, Mercatoréſque ſuperârunt: Neque Veſtis aut cælatum Aurum & Argentum, quo noſtros Veteres Marcellos, Maximóſque Multi Eunuchi è Syriâ Ægyptóque vicerunt.* Vid. ſuprà *Æolus* v. 15. Μὴ πλοῦτον εἴπῃς, οὐχὶ θαυμάζω θεὸν &c. *J. Barnes.* V. 26. Φαίδιμε) Sic dictus unus ex filiis *Niobe*.

ΑΛΟΠΗ.

Argumentum *Alopæ* Fabulæ.

HÆc Alope, *de quâ Nomen Fabulæ datum, fuit* Cercyonis *filia, quæ à* Neptuno *compressa tulit* Hippothoonta *filium; quod cùm Nutricis indicio rescivisset* Cercyon, *in sylvis Puerum exposuit Feris devorandum, Matrem in Carcere clausit inedia necandam. Et hanc Historiam tangit* Aristophan. *Scholiast. ad illud in* Avibus, *fol.* 290. Ὥστε παρέξει μοιχεύοντας τὰς Ἀλκμήνας περιβάλλειν, Καὶ τὰς Ἀλόπας, καὶ τὰς Σεμέλας. Schol. Καὶ τὰς Ἀλόπας) Ἀλόπη Κερκυόνος θυγάτηρ· ἐξ ἧς Ποσειδῶνος υἱὸς Ἱπποθόων. *Quin de hâc ipsâ* Alope *Fabulam fecit* Chœrilus *Atheniensis, ut* Pausanias *testatur, fol.* 13. *lin.* 26. Χοιρίλῳ δὲ Ἀθηναίῳ δρᾶμα ποιήσαντι Ἀλόπην &c. *Quare notandus est* Brodæus, *qui apud* Hesychium *in voce* Ἀμφίπυλος, *corrigit* ἐν Ἀλόπῃ. *legendo* Μεναλίππῃ, *& alii æquè malè legendum putant* ἐν Ἀλκμήνῃ. Sopingius *rectissimè* Ἀλόπῃ. *Josua Barnes.*

> V. 1. Οὐ μὴ σύ γ' ἡμᾶς &c.) Ita in *Alcmæon.* v. 6. Ἐνθα τεκόντι [illegible] *Josua Barnes.*
>
> V. 3. Ὁρῶ γὰρ &c.) Vide quæ Nos ad *Medeæ.* v. 46. Et *Ammonium* περὶ διαφόρων λέξεων, titulo Τροχοί. *Idem.*

Οὐ μὴν σύ γ' ἡμᾶς τοὺς τεκόντας ᾐδέσω;

Γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως.

Ὁρῶ μὲν ἀνδρῶν τῶνδε γυμνάδα στόλον,
Στείχοντα θοῦρον ἐκ τρόχων πεπαυμένον.

Τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γάμον
Φρουροῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον
Σφάλλουσιν οἴκους τῶν παρημελημένων.

Ἐγὼ δ' ὃ μὲν μέγιστον ἄρξομαι λέγειν,
Ἐκ τοῦδε πρῶτον, πατρὶ πείθεσθαι χρεὼν
Παῖδας νομίζειν τοῦτό τ' εἶναι δίκην.

TU nos parentes reveritus nil es tuos?

Mulier mulieri ferre suppetias solet.

At cerno, magna turba ubi reversi Virûm
Scholâ curuli Visa ad hæc properè ruunt.

Quò nuptiarum tanta consultatio,
Bene educatæ cum magis fundant domos,
Levioisque peccet vita, quæ neglectui est?

Quod est in hâc re maximum, incipiam loqui.
Primum illud esto: filios patribus suis
Parère, jus est atque fas certissimum.

ΑΝΔΡΟΜΕΔΗ.

Argumentum *Andromedæ* Fabulæ.

ANdromeda Cephei Regis Æthiopiæ *&* Cassiopeæ *filia, quòd Mater cum* Nereidis *formâ contenderat, ex Oraculo poscitur in prædam dari* Ceto *ex* Neptuni *irâ misso. Alligatam illam Scopulo* Perseus, Jovis *&* Danaæ *filius, videt, & amore ejus succensus, ex pacto cum* Cepheo *defendit, liberatque,* Ceto *occiso, illamque in matrimonium sibi capit. Historiam tractat* Apollodorus *Biblioth. l.*2. *c.* 4. §. 3. *&* Ovidius *Metamorph. l.* iv. *Fab.* 18, 19. &c. Videetiam *Conon.* Narrat. 40. *J. Barnes.*

Ὦ Νὺξ ἱερά,
Ὡς μακρὸν ἵππευμα διώκεις,
Ἀστεροειδέα νῶτα διφρεύ-
ουσ' αἰθέρος ἱερᾶς,
Τοῦ σεμνοτάτου δι' Ὀλύμπου.

Περσ. Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσῃ μοι χάριν;
Ανδ. Ἄγε σύ μ', ὦ ξεῖν', εἴ τι δμωΐδ' ἤθελες,
Εἴτ' ἄλοχον.

> V. 9. Πᾶς δὲ ποιμένων &c.) Hos Versus citat *Athenæus* l. 11. & *Meurs.* p. 99. & *Macrob.* Saturn. l. 5. c. 21. Quem videsis. Vide etiam & *Petr. Victor.* Var. Lection. l. 16. c. 23. *Latino* metro nos donavimus. *J. Barnes.* V. 15. Ἐκθεῖναι &c.) Extat apud Scholiasten *Aristophanis* in Avibus.

---------- πᾶς δὲ ποιμένων ἔρρει λεώς,
Ὁ μὲν γάλακτος κίσσινον φέρων σκύφος,
Πόνων ἀναψυκτῆρ', ὁ δ' ἀμπέλων γάνος.

Ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν·
Τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς
Νόμῳ νοσοῦσιν· ὅ σε φυλάξασθαι χρεών.

Ἐκθεῖναι κήτει φορβάν.

O Nox, sacra Nox,
Quàm tu longos
Agitas cursus super astrigerum
Vectus æ therii dorsum templi,
Et per Olympi veneranda loca!

Pers. Si liberem te, Virgo, numquid gratiæ est?
And. Adduc tuam, hospes: sive tu famulam jubes,
Sive esse nuptam.

——Venit magna Pastorum manus,
Hic lactis plenum poculum ligni tulit,
Retrigerans laborem; is ac vitium decus.

Me non piget parare progeniem notham
Quæ parte nullâ sobole legitimâ minor;
Sed lege premitur: quod cavendum existimo.

Cibum illam exponere Ceto.

Τὸ Δαιμόνιον οὐχ ὁρᾷς,
Ὅπη μοίρας διεξέρχεται·
Στρέφει δ' ἄλλους
Ἄλλως εἰς ἁμέραν.

Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.

Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς·
Ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.

Νεότης μ' ἐπῆρε, καὶ θράσος τοῦ νοῦ πλέον.

Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσι βροτῶν,
Ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,
Οὐκ ἔστι ποίας λείπεται τῆσδ' ἡδονῆς.

A. Ἔρωτα δεινὸν ἔχομεν. B. ἐκ δὲ τῶν λόγων
Ἑλοῦ τὸ βέλτιστον. ὡς ἄπιστον ἐστ' Ἔρως,
Κἀν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν φιλεῖ.

Τῶν γὰρ πλείστων οὐδ' ἄριστος,
Γενναῖον λέχος εὑρεῖν.

Ὦ τλῆμον, ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς
Ἔδωχ' ὁ δαίμων· μέγα φρονοῦσι δ' οἱ λόγοι·

Χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν·
Καὶ δοῦλος ὢν γὰρ, τίμιος πλουτῶν ἀνήρ.
Ἐλεύθερος δὲ, χρεῖος ὤν, οὐδὲν σθένει.
Χρυσοῦ νόμιζε σαυτὸν οὕνεκ' εὐτυχεῖν.

--------- Χρήμασιν γὰρ εὐτυχῶ·
Ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ.

Ἤτοι τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν,
Ὡς τοῦ γε πάσχειν τοὔπιον μεῖζον κακόν.

Οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν,
Ὃν μὴ τὸ θεῖον ὡς τὸ πλέον ἀπολλύει.

Τὸ ζῆν ἀφεῖτος, τὸ κατὰ γῆν τιμῶσί σου;
Κενόν γ'· ὅταν γὰρ ζῇ τις, εὐτυχεῖ, Κρέον.

Σιγᾷς; σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.

Ὁ μὲν ὄλβιος ἦν, τὸν δ' ἀπέκρυψεν
Θεὸς ἐκεῖνον τῶν ποτὲ λαμπρῶν.
Νεῖα βίοτος, νεῖα δὲ τύχα,
Κατὰ πνεῦμ' ἀνέμων.

Συνάλγησον· ὡς ὁ κάμνων
Δακρύων μεταδοὺς ἔχει τινὰ κουφότητα μόχθων.

Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων
Οὐ πώποθ' ὕβρισ', αὐτὸς ὀρρωδῶν παθεῖν.

Nam quæ fata paret Deus;
Nunc hunc, nunc alium cito
Verſant turbine, non valet
Humani vigor ingeni
Ullis viribus aſſequi.

Non ſine Labore multo peperi Gloriam.

Nil quod neceſſe eſt ferre, mortali probro eſt.
Dulcem relinquit memoriam exactus dolor.

Suaſit Juventa, vi potens, mente impotens.

Amore quiſquis captus eſt mortalium,
Si forte Amores commodos invenerit,
Deſiderabit gaudii nullum genus.

A. Heu durum Amorem patimur. B. è dictis tibi
Quod optimum ſumatur: inſidum eſt Amor,
Animique partem peſſimam habitandam eligit.

Pars maxima Divitiarum
Generoſâ uxore potiri.

Ah, quàm premente Numine afflictæ tibi
Res ſunt, at alti ſpiritûs oratio!

Ante omnia aurum laribus exoptem meis:
Fortuna divem addit & ſervis decus:
At libero inopi nulla vis aut gratia eſt.
Hoc te beatum crede, quòd rem poſſides.

——— Sum felix opum:
Sed, ut vides, fors ſæva me miſerum facit.

Quod eſt futurum, gignit indies metum:
Id ſubſequens præſente majus eſt malum.

Adeo uſque felix nullus eſt mortalium,
Divina quem non proruat tandem manus.

Exanime terrâ quod tui poſitum, colunt?
Res vana, tum qui vivit, eſt felix, Creon.

Taceſne? at hoc interpres haud Mentis bonus.

Fuit hic felix: ſed vertit opes
Deus, & clari nominis olim
Fortuna labat: vitáque venti
Diffluit inſtar.

Junge dolorem: nam qui pariter
Lachrymant, miſeros ex parte levant.

Aliena nunquam nam mala irriſi, timens
Nequid mihi olim eveniat ipſi humanitùs.

V. 22. Ἀλλ' ἡδύ τοι &c) Huc refer illud, *Suavis laborum eſt præteritorum memoria.* *Cic.* de fin. bon. & mal. l. 2. §. 32. Sic *Virgil.* Æn. v. 207. *& hæc olim meminiſſe juvabit.* Huc refer & illud *Lucretii*, l. 2. v. 1. *Suave Mari magno turbantibus æquora Ventis, E terrâ magnum alterius ſpectare laborem.* Vide in *Dionyſii Lambini* Notis ad locum, ſimiles locos *Menandri*, *Oppiani*, *Sophoclis*, *Ciceronis*, cum hoc collatos. Nobis non eſt iis immorandum. *J. Barnes.* V. 23. Νεότης μ' ἐπῆρε) *Homer.* Ψ. v. 589. Οἶσθ', οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι· Κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις. *Idem.* V. 34. Χρυσὸν μάλιστα) Vide infrà in *Bellerophon*, ὦ Χρυσὲ &c. *Idem.*

V. 36. Χρεῖος) pro χρῄζων. Vide quæ Nos ad *Herc. Fur.* v. 1337. *Idem.*

V. 40. Ἤτοι τὸ μέλλον) Huc refer illud *Horatianum*, Carmin. l. 1. Od. ix. *Quid ſit futurum cras, fuge quærere.* J. Barnes.

V. 43. Ὡς τὸ πλέον ἀπολλύει) Malè in aliquibus, ὡς τὸ πολλὰ ζωντικά.

V. 53. Τὰς συμφορὰς &c.) *Grotius* in *Stobæi* Florilegio, fol. 466, Hæc ex *Andromachâ* citat, idem tamen aliàs, nempe Florilegii p. 37. ex *Hippolyto* ſcribit, & ita vertit, *Quas nec exprobravit infelicibus Clades, & ipſe tale quid metuens pati.*

——Εἰ δ' ἐγὼ πράσσω κακῶς,
Μηδὲν τόδ' αἴσχει· καὶ σύ τοι πράξειας ἄν.

——nè ſis inſolens,
Ego ſi miſer ſum : facile tu ſias idem.

ΑΝΤΙΓΟΝΗ.

Argumentum *Antigonæ* Fabulæ.

ANtigone Oedipi *filia & Polynicis ac Eteoclis Soror*, Creontis *filio* Hæmoni *deſponſata, in Terram viva defoditur à* Creonte, *quòd contra illius Edictum fratrem* Polynicen *ſepulturæ mandaverat.* Hæmon *ob dolorem ſibi manus infert, Patrem execratus. Idem tractat* Argumentum Sophocles *in* Antigone. *Vide* Apollodor. *Bibliothec. l.* 3. *c.* 7. §. 1.

Ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ,
Εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.

Felix initiis Oedipus, felix fuit,
Poſt idem & hominum factus eſt miſerrimus.

Ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός,
Διόνυσε, θνητοῖς τ' οὐδαμῶς ὑπόστατος.

Nate ô *Diones*, magnus ô quàm tu Deus,
Lyæe, quem nec ferre mortales queant?

V. 3. Ὦ παῖ Διώνης) Huc pertinet illud Scholiaſtæ *Pindari* ad Pyth. Od. 3. Θυώνῃ τῇ Σεμέλῃ φησί· Διωνυμίᾳ γὰρ ἐκέχρητο. εἰσὶ δὲ, οἳ καὶ τὴν αὐτὴν Διώνην λέγουσιν· ὥσπερ Εὐριπίδης ἐν Ἀντιγόνῃ. &c. *Joſua Barnes.*

Οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος,
Καὶ βωμὸς αὐτῆς ἐστιν ἀνθρώπου φύσις.

Sermo eſt, nec aliud, ſuada quo templo utitur,
Et ejus ara eſt ipſa mens mortalium.

V. 5. Οὐκ ἔστι Πειθοῦς) ἐξ Ἀντιγόνης Εὐριπίδου. *Scholiaſt. Ariſtoph.* ad Ranas fol. 183. in fine. *Idem.*

Οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ
Πόλεμος ἐν ἀστοῖς, ἂν διχοστατῇ πόλις.

Domeſtica odia civibus naſci ſolent,
Cum factiones civitatem diſtrahunt.

Δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἁνδάνειν.

Regi placere plurimis tutiſſimum.

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

Dat ſapere Regi turba ſapientûm comes.

Οὔτ' εἰκὸς ἀρχὴν οὔτ' ἐχρῆν εἶναι νόμον·
Τύραννον εἶναι μωρία [illegible] καὶ θέλειν,
Ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

Utinam nec ulla imperia nec leges forent!
Regnare velle maxima imprudentia eſt.
Nam cur habebit unus imperium in pares?

Ἀνδρὸς δ' ἐρῶντος εἰς Κύπριν νεανίου
Ἀφύλακτος ἡ τήρησις· ἂν γὰρ φαῦλος ᾖ
Τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος.
Ἣν δ' εὖ προσῆται Κύπρις, ἥδιστον λαβεῖν.

Juvenem calentem Veneris indomitâ face
Arcere vigiles non valeat cuſtodiæ.
Amor ipſe, quamvis rudibus, ingenium facit.
Dulce & ſalubre, quæ modum novit Venus.

V. [illegible] Ἣν δ' εὖ προσῆται Κύπρις) Moderata *Venus* laudatur. Vid. *Iphigen.* Aul. v. 543. & v. 554. *Idem.*

Ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.

Amabam: hominibus maximus furor eſt, Amor.

Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος,
Ἀλλ' ἕν γ' ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν
Ἐσθλῷ, δέδοικε μηδὲν ἐξαμαρτάνειν.

Haud liber ultra eſt, nuptiæ quem vinciunt:
Sed adeſt bonum illud, à malis quod actibus
Affinitatis abſtrahit reverentia.

Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση.

Natura par eſt, nomen inviſum notho.

Ἡ γὰρ δόκησις πατράσι παῖδας ἐοικέναι,
Τὰ πολλὰ φαύλη γίνεται τέκνων πέρι.

Prolem parentum quod ferunt mores ſequi,
Falſum revincit ſæpe natorum indoles.

Τὸ μωρὸν αὐτῷ τοῦ πατρὸς νόσημ' ἔνι.
Φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς.

Paternus ille morbus inſipientia eſt:
Quippe ex malis plerumque generantur mali.

Ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα
Ἄχρηστος, εἰ μὴ κἀρετὴν ἔχων τύχοι.

Opulens amicus, cui deeſt ſapientia,
Virtus niſi adſit, uſui nulli eſt bono.

——Ἐπ' ἄκραν ἥκομεν γραμμὴν κακῶν.

——Ipſas ad incitas ſumus Redacti.

Μὴ ἓν ἔθελε λυπεῖν σαυτόν· εἰδὼς πολλάκις

Laxare habenas parce triſtitiæ, memor

V. 30. Μὴ ἓν ἔθελε) Coaleſcunt μὴ & ἓν in unam Syllabam inter Scanſionem; adeò fit Senarius. Sic infrà *Antiope* v. 29. *Idem.*

Ὅτι

Ὅτι καὶ τὸ λυποῦν, ὕστερον χαρὰν ἄγει.
Καὶ τὸ κακὸν, ἀγαθοῦ γίνεται παραίτιον.

Ὅστις δὲ πρὸς τὸ πίπτον εὐλόγως φέρει
Τὸν δαίμον', οὗτος ἧσσόν ἐστ' ἀνόλβιος.

Μεταβαλλομένου δαίμονος, ἀνέχου.
Πλεῖ κατὰ πορθμὸν, πλεῖ κατὰ δαίμονα.

Θνητοὶ γὰρ ὄντ', καὶ θνητὰ πείσεσθαι δόκει.
Θεοῦ βίον ζῆν ἀξιοῖς, ἄνθρωπος ὤν;

Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος.
Ἔχει· τί γὰρ τοῦδ' ἐστὶ μεῖζον ἐν βροτοῖς;
Τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ
Ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς,
Εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων;

Sæpe ex dolore gaudium mortalibus
Et ex malorum ſegete progigni bona.

Quicunque caſus atque fortunæ vices
Ratione tolerat, hic minùs multo eſt miſer.

Per quas agitat Fortuna vices:
Sine, Dî portent, fluctúſque ratem.

Mortalis id fer omne quod mortalium eſt:
Homone poſcas cælitûm vitam tibi?

Mors Jurgiorum finis eſt mortalibus:
Nam majus aliud quid poteſt letho dari?
Molem quis autem ſaxeam haſtâ verberans
Cieat dolorem, mortuóſve injuriis
Fruſtrà laceſſens nulla ſenſuros mala?

V. 34. Οὗτος ἧσσόν ἐστ' ἀνόλβιος) Variè effertur hoc *Hemiſtichium*, præter enim hanc Lectionem, alii Codices legunt, ἧσσόν ἐστιν ἄθλιος, alii autem, μᾶλλόν ἐστιν ὄλβιος. Quæ Diverſitas facta, quod Authores, qui Poetarum locos citant, hi quidem ipſa Poetæ Verba proferre ſolent, alii autem ſatis ducunt, ſi ſenſum illius aſſequuntur. Quævis autem Lectio eodem recidit. *Joſua Barnes.* V. 35. Μεταβαλλομένου δαίμονος, ἀνέχου. Πλεῖ κατὰ πορθμὸν, πλεῖ κατὰ δαίμονα.) Hæc apud *Stobæum* Florileg. p. 449. ex *Antigonâ* citata videmus; extant verò totidem verbis, & etiam copioſiùs, in *Troad.* v. 101. in Principio *Chori* ad *Actum* primum. *J. Barnes.* V. 39. Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος) Huc refer illud *Archilochi*, Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν, i.e. *Mortuis convitiari non ſinit fas & pium.* De quâ re vide quæ Nos ad *Bacch.* v. 1037. & *Electr.* v. 900. *Idem.* V. 42. Νέκυς) Contractum pro νέκυας. V. 43. Τίς γὰρ πετραῖον &c.) *Plautinum* illud non abſimile, Curcul. 3. 1. *Noli, amabo, verberare lapidem, ne perdas manum.* Gulielm. Peirs *Emman.* Collegii Socius.

ΑΝΤΙΟΠΗ.

Argumentum *Antiopæ* Fabulæ.

ANtiope Nyctei Thebani *filia à* Jove *compreſſa*, Zethum *&* Amphionem *peperit, ad* Eleutheras Bœotiæ, *quos expoſitos Bubulcus educavit.* Zethus *Rei pecuariæ operam dedit,* Amphion *Lyrâ à* Mercurio *donatus, Citharœdicam exercuit. Hi tandem Viri facti* Lycum *avunculum, qui matrem in Vinculis habuerat, obtruncant &* Regno Thebarum *potiuntur.*

Ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
Ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός.

——Ψυχῆς ὧδε γενναίαν φύσιν
Γυναικομίμῳ διαπρέπεις μορφώματι;

Οὔτ' ἐν δίκης βουλαῖσιν ὀρθὸν ἄν ποτε
Λόγον προθεῖ', ἢ πιθανόν· οὔτ' ἐν ἀσπίδος
Κύτει ὁμιλήσαις ἂν ὀρθώσῃς στρατόν·
Οὐ τεῖχος ἂν λάβοις δή, οὔτ' ἄλλων ὕπερ
Νεανικὸν βούλευμα βουλεύσαιό τι.

——Ἀλλ' ἐμοὶ πιθοῦ·
Παῦσαι δ' ἀοιδῶν, πραγμάτων δ' εὐμουσίαν
Ἄσκει· τοιαῦτ' ἄειδε, καὶ δόξεις φρονεῖν,
Σκάπτων, ἀρῶν γῆν, ποιμνίοις ἐπιστατῶν.
Ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα,
Ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.
Ἀνὴρ γάρ, ὅστις εὖ βίον κεκτημένος,
Τὰ μὲν κατ' οἴκους ἀμελείᾳ παρείσας,
Μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται,
Ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,
Φίλοισι δ' οὐδείς· ἡ φύσις γὰρ οἴχεται,
Ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.

IN utramque partem facile de re quâlibet
Differere, ſi quis valeat eloquii artibus.

——Animi ſicne generoſi indolem
In morem & habitum fœminarum emaſculas?

Nec quicquam idonei, frater, aut recti in foro,
Dices, bonive conſules: ſed nec manu,
Clypeo vibrato rem juvabis publicam:
Non alta capias mœnia, aut pro innoxii
Salute calida capere conſilia audeas.

——Audi me igitur, hos Cantus leves
Omitte, res & ſerias operans cane,
Hoc eſto Carmen, ſapere ſi cupias, tuum,
Fodias, areſque; pecora fac paſcas tua.
Oblectet alios iſte nugarum labor;
Per quas inani tibi ſit habitandum domo.
Nam quiſquis almâ copiâ florens opum
Domûs regendæ deſerit cuſtodiam,
Soloque cantu gaudet & fidium ſono
Non Civitati, non Domui prodeſt ſuæ,
Non ille Amicis. Ipſa Natura excidit,
Ubi quis ſubactus dat Voluptati manus.

V. 10. Ἀλλ' ἐμοὶ πιθοῦ &c.) Hæc loquitur *Zethus* ad *Amphionem.* Vide *Thomæ Gatakeri* Adverſaria Miſcellanea c. 18. fol. 94. & 95. *Joſua Barnes.*

V. 20. Ἡ φύσις γὰρ οἴχεται) Alii Codices legunt, ἀλλ' ἄφαντος οἴχεται. *Joſua Barnes.*

——ὢν

——— ἐν τούτῳ γὰρ
Λαμπρός θ' ἕκαστος, κἀπὶ τοῦτ' ἐπείγεται,
Νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
Ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ * βέλτιστος ὤν,

Καὶ πῶς σοφὸν τοῦτ' ἐστιν, εἴ τις εὐφυῆ
Λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα;

Φρονῶ δ' ἃ πάσχω, καὶ τόδ' οὐ μικρὸν κακόν.
Τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ
Νοσοῦντα· κέρδος δ' ἐν κακοῖς ἀγνωσία.

Δίκα τοι δίκα χρόνιος·
Ἀλλ' ὅμως ὑποπεσοῦ-
σ' ἔλαθεν ὅταν ἔχῃ
Τιν' ἀσεβῆ βροτῶν.

Τὴν τοι δίκην λέγουσι παῖδ' εἶναι χρόνου·
Δείκνυσι δ' ἡμῶν ὅστις ἐστὶν ἂν κακός.

Οἴκτειρ' ἀκούσας· οἰκτρὰ γὰρ τὰ δυστυχῆ
Βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
——— Ἄνθρωπος ὢν
Οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν·
Οὐδεὶς δὲ μέχρι πέλους ἔμεινεν εὐτυχῶν.

Τρεῖς εἰσὶν ἀρεταί, τὰς δὲ χρή σ' ἀσκεῖν, τέκνον·
Θεούς τε τιμᾶν, τούς τε θρέψαντας γονεῖς,
Νόμους τε κοινοὺς Ἑλλάδος. καὶ ταῦτα δρῶν,
Κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

Τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος
Κακῶς ἐμέμφθης· καὶ γὰρ εἰ φρονεῖν ἔχω,
Κρεῖσσον τόδ' ἐστὶ καρτεροῦ βραχίονος.

Ἐγὼ μὲν οὖν ᾄδοιμι, καὶ λέγοιμί τι
Σοφόν, ταράσσων μηδὲν ὧν πόλις νοσεῖ.
Ἔνεστι δ' οἶκτος, ἀμαθίᾳ μὲν οὐδαμοῦ,
Σοφοῖσι δ' ἀνδρῶν, καὶ γὰρ οὐδ' ἀζήμιον
Γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφόν.

Καὶ μὴν ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν
Ἀσκοῦσι βίοτον, ἢν σφαλῶσι χρημάτων,
Κακοὶ πολῖται· δεῖ γὰρ ἄνδρ' εἰθισμένον
Ἀκόλαστον ἦθος γαστρὸς ἐν ταὐτῷ μένειν.

Εἰ δ' εὐτυχῶν τις, καὶ βίον κεκτημένος,
Μηδὲν δόμοισι τῶν καλῶν θηράσεται,
Ἐγὼ μὲν οὔποτ' αὐτὸν ὄλβιον καλῶ,
Φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.

Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ
Στάζειν· κακὸν δὲ χρημάτων ὄντων ἄλις,
Φειδοῖ τε πονηρᾷ μηδὲν εὖ ποιεῖν βροτῶν.

——— in hoc enim
Se quiſque verſat, atque in hoc ſe exercitat,
Huic plus Diei tribuit impendens vigil,
Ut ipſe ſemet melior evadat modo.

* Grotius, κρείσσων.

Sapientiæ quid in arte, quæ recta accipit
Ingenia, ſed pejora diſcendo facit?

Intelligo quæ patior, haud leve quod malum eſt:
Aliqua eſt voluptas abſtrahi à ſenſu mali,
Interque damna quæſtui ignorantia eſt.

Jus ſerò veniat licet,
Jus eſt: attamen impio
Pœnas, quas decet, irrogans,
Tanquam ex inſidiis latet.

Juſtitia proles nuncupatur Temporis,
Quæ delitentes monſtrat in nobis malos.

Hæc audiens miſerere. nam trux calamitas
Exprimere gemitus etiam ab ignotis ſolet.
——— Sine mœroribus
Homo natus ævum nullus exegit ſuum,
Nec finem adusque pertulit res proſperas.

Tria juſta, fili, te perquam eſt diſcere:
Deos vereri, deinde Genitores tuos,
Tum ſancta Graiis jura. quod ſi feceris,
Stat pulchra tibi corona rumoris boni.

Tu corpus in me molle & infirmum ſecus
Non jure culpas: ſi mihi ſapientia
Conceſſa, plus hoc quam lacertorum tori.

Cantare promptum, dicere eſt promptum mihi,
Quod juvet, & urbis neutiquam incendat mala.
Non vilis animi motus eſt, miſereſcere,
Sed mentis altæ providæ: noxa imminet,
Cum ſapere ſeſe qui putant, ſapiunt nimis.

Hi qui ſaginæ mancipârunt corpora,
Periculoſum civitatibus genus
Pecuniâ fugiente: ventri obnoxios
Manere iiſdem rebus opinandum foret.

Quicunque largis opibus & gazâ affluens
Monumenta fortis nulla molitur ſuæ,
Non hic beatus jure nuncupabitur,
Cuſtos ſed auri fortuitò munere.

Sicco miſerias ore deſpicere eſt ferum:
Sed turpe & illud, opibus ſi magnis, mala
Tenacitate, demereri neminem.

V. 22. Ἐν τούτῳ γὰρ &c.) Hunc locum *Plato* in *Gorgiâ* profert & ex illo *Agellius* l. 10. c. 22. *Latino* verſu Nos donavimus. *Joſua Barnes.*

V. 29. Τὸ μὴ εἰδέναι) Egregiè in hunc ſenſum *Arrianum* Epictetæorum lib. 4. c. 7. diſſerentem audies, τί ποιεῖ φοβερὸν &c. Quòd autem μὴ & εἰ coaleſcant in μὴ εἰδέναι, vide ſuprà ad *Antigone* v. 30.

V. 31. Δίκα τοι Δίκα χρόνιος· ἀλλ' ὅμως &c.) *Horatius* ſimilitèr canit, *Rarò antecedentem ſceleſtum Deſeruit pede Pœna claudo.*

V. 37. Οἰκτρὰ γὰρ τὰ δυστυχῆ βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ) Simile illud *Electr.* v. 290. —αἴδεσις γὰρ ἐν Κἀκ τῶν θυραίων πραγμάτων δάκνει βροτούς. Sin autem Οἴκτειρ' legimus, eſt pro ᾤκτειρα & exponi debet, *Miſertus ſum*; ſin *Miſerere* retinendum, Οἴκτειρ' legendum pro οἴκτειρε. *Joſua Barnes.*

V. 51. Ἔνεστι δ' οἶκτος &c.) Contra prorſus quàm *Stoici*, qui ſtatuunt ἔλεον εἶναι πάθος, καὶ συστολὴν ἄλογον· & τοὺς σοφοὺς ἐλεήμονας μὴ εἶναι. quorum dogma *Seneca* optimè explicat, de *Clement.* l. 2. c. 4, 5. Non incelebre, aut inſcitum, *Phocionis* illud apud *Stobæ.* Tit. 1. Οὔτε ἐξ ἱεροῦ βωμὸν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον. *Nec è templo, aram;* (ad quam miſeris & vexatis receptus ſit;) *nec ex vitâ humanâ tollendam miſericordiam. Gulielmus Peirs Emman.* Coll. Socius.

Πολλοὶ

Πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν,
Γνώμῃ φρονοῦντες, οὐ θέλουσ᾽ ὑπηρετεῖν
Ψυχῇ, τὰ πολλὰ πρὸς φίλων νικώμενοι.

Κόσμος δὲ σιγῆς στέφανος ἀνδρὸς οὐ κακοῦ.
Τὸ δ᾽ ἐκλαλοῦν, τοῦθ᾽ ἡδονῆς μὲν ἅπτεται.
Κακὸν δ᾽ ὁμίλημ᾽, ἀσθενὲς δὲ καὶ πόλει.
Ὁ δ᾽ ἥσυχος, φίλοισί τ᾽ ἀσφαλὴς φίλος,
Πόλει τ᾽ ἄριστος. μὴ τὰ κινδυνεύματα
Αἰνεῖτ᾽. ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ
Τολμῶντα λίαν, οὔτε προστάτην χθονός.

Γνώμῃ γὰρ ἀνδρὸς, εὖ μὲν οἰκοῦνται πόλεις,
Εὖ δ᾽ οἶκος· εἴς τ᾽ αὖ πόλεμον ἰσχύει μέγα.
Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
Νικᾷ· σὺν ὄχλῳ δ᾽ ἀμαθία, πλέον κακόν.

Ὅστις δὲ πράσσει πολλὰ, μὴ πράσσειν παρόν,
Μῶρος, παρὸν ζῆν ἡδέως ἀπράγμονα.

—— Τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;

Οὐ χρή ποτ᾽ ἄνδρα δοῦλον ὄντ᾽ ἐλευθέρας
Γνώμας διώκειν, οὐδ᾽ ἐς ἀργίαν βλέπειν.

Φεῦ, φεῦ, τὸ δοῦλον ὡς ἁπανταχῇ γένος,
Πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός.

Κόρος δὲ πάντων, καὶ γὰρ ἐκ καλλιόνων
Λέκτροις ἐν αἰσχροῖς εἶδον ἐκπεπληγμένους.
Δαιτὸς δὲ πλησθείς τις, ἄσμενος πάλιν
Φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα.

Κῆδος καθ᾽ αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών.

—— Πᾶσι δ᾽ ἀγγέλλω βροτοῖς
Ἐσθλῶν ἀπ᾽ ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα·
Οὐ γάρ ποτ᾽ ἂν πράξειαν ἐς τέλος κακῶς.

Εἰ νοῦς ἔνεστιν. εἰ δὲ μὴ, τί δεῖ καλῆς
Γυναικὸς, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;

Οὐ σωφρονίζειν ἔμαθον, αἰδεῖσθαι δὲ χρὴ,
Γύναι, τὸ λίαν, καὶ φυλάττεσθαι φθόνον.

Φεῦ φεῦ. βροτείων πημάτων ὅσαι τύχαι,
Ὅσαι τε μορφαὶ, τέρμα δ᾽ οὐκ εἴποι τις ἄν.

Πόλλ᾽ ἐστὶν ἀνθρώποισιν, ὦ ξένοι, κακά.

Ἔχει λόγον καὶ τοῦτο τῶν πολλῶν βροτῶν.
Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ᾽ εὐτυχεῖς.

Βροτοῖσιν εὔκρας οὐ γένοιτ᾽ ἂν ἡδέως.

Τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·
Οὔτ᾽ εὐτυχεῖ τὸ πάμπαν, οὔτε δυστυχεῖ·

Commune multis malum hoc mortalibus,
Ut mente ſapiant, obſequantur nec tamen
Animo, capitis gaudiis obnoxio.

Silentium corona cordati viri eſt:
Caret cupito gaudio loquacitas,
Suſpecta amicis, civitatibus gravis.
Amans quietis animus & amicis bonus
Et civitati. Qui volet, famam ſibi
Quærat periclis: ego nec audaces nimis
Nautas, nec urbis præſides laudaverim.

Sapiente cura civitas ſtabilitur
Domuſque regitur: eadem & ad bellum valet.
Sententia una vincit innumeras manus:
Multi imperiti plena res diſcriminis.

Vitam otioſam qui poteſt traducere,
Negotium ſi quærit, haud rectè ſapit.

—Cernis ſervitus quid ſit mali?

Tractare ſervum ſtudia liberalia
Minimè decorum eſt, otióve inſueſcere.

Eheu ut omne ubique ſervorum genus
In ſequiore cuncta tranſcripſit Deus!

Rerum ſatietas omnium eſt. Turpes toros
Vili ſequentem, pulchra cui conjux domi:
Et plenus epulis aliquis è vili cibo,
Novitate commendante, cepit gaudia.

Affinitates, qui ſapit, quæret pares.

—— Moneo nunc omnes ſemel
Ut ex honeſto genere progeniem ſerant,
Non illa quippe ſemper infelix erit.

Si bene animata eſt, perplacet. ſin, quo mihi
Formoſa vultum, pectore inteſtabili?

Ego cenſor haud ſum, mulier: at rectum interim eſt,
Vitare nimia, nec dare invidiæ locum.

Eheu malorum quot vices mortalibus
Formæque; nemo nunc parit terminum.

Permulta hominibus, hoſpites, veniunt mala.

Vera illa vulgi dictio: illum proſperè
Agere neceſſe eſt; rurſus hunc improſpere.

Hominibus haud fit gratioſum ingens caput.

Plena eſt laborum vita data Mortalibus:
Non ſemper eſt infeſta, non ſemper fauſta

V. 75. Γνώμῃ γὰρ &c.) *Apoſtolius* Centur. 6. §. 38. hæc citat. *Agatho*, γνώμῃ γὰρ κρεῖσσόν ἐστιν, ἢ ῥώμῃ χερῶν. Vide hujus loci Parodias aliquot *Tho. Gatakeri* Adverſaria Miſcell. c. 10. fol. 95.

V. 79. Ὅστις δὲ πράσσει &c.) Conſilium *M. Antonin.* Imp. l. 3. μήτε πολυῤῥήμων, μήτε πολυπράγμων ἔσο. Non abs re *Ennius* in *Iphigenia* apud *Agellium* lib. 19. c. 10. *Otio qui neſcit uti, plus negotii habet*, &c.

V. 86. Κόρος δὲ πάντων &c.) *Greg. Naz.* de Pace Orat. 3. Τερφὲς καὶ ὕπνου καὶ ᾠδῆς κόρος ἐστὶ, καὶ τῶν ἀφροδισίων, ὥς λέγουσι· καὶ ἁπλῶς ἁπάντων, οὐ τῶν ἀλγεινῶν μόνον, ἀλλ᾽ ἤδη καὶ τῶν ἡδίστων· καὶ πάντα εἰς ἄλληλα περιχωρεῖ τε καὶ μετατρέπεται. *Hom.* Il. ν. v. 641. Πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου καὶ φιλότητος, μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο. V. 90. Κῆδος καθ᾽ αὑτὸν &c.) Huc refer illud, —τὴν κατὰ σαυτὸν ἔλα, Vide *Eraſmi* Adag. Æqualem uxorem ducere. Item *Diogen.* Laert. in Vitâ *Pittaci*, item *Callimach.* Epigr. 1. Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτως &c.

V. 103. Βροτοῖσιν εὔκρας &c.) Ad illud *Photii* in Lexico MS. Εὔκρας, εὔκρατος, εὐσεβεστοῖσιν· Εὔκρας οὐ γένοιτ᾽ ἂν ἡδέως, ἐν Ἀντιόπῃ· Legit Vir Doctus *Rich. Bentley*, Εὔκρας, οἰκουρός· Εὐρ. ἐν Ἀντιόπῃ, Βροτοῖσιν &c. Hinc corrige *Heſychium*, Εὐκραξ, οἰκίδιος, οἰκουρός. Lege εὔκρας pro εὐκραξ. *J. Barnes.*

Εὐδαιμο-

Εὐδαιμονεῖ τε. καὖθις οὐκ εὐδαιμονεῖ.
Τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες,
Οὐ ζῶμεν ὡς ἥδιστα μὴ λυπούμενοι;

* Εὐθυδήμονα.

Fortuna: nunc res læta, nunc improſpera.
Quando ergo noſtra tam vaga eſt felicitas,
Quin abſque curis diſcimus vitâ frui?

De fæce vulgi.

V. 106. Τί δῆτ' ἐν Ὄλβῳ &c.) Aliàs hunc locum verti vidimus, viz. *Conſiderantes fluxa quàm res ſint opes, Quin agimus ævum dulce ſine mœroribus.* * Εὐθυδήμονα) Ἀπλῶν δημοτῶν, Εὐριπίδης Ἀντιόπῃ. *Heſych.*

ΑΡΧΕΛΑΟΣ.

Argumentum *Archelai* Fabulæ.

DE Archelao *Rege* Macedoniæ, *memorabili* Euripidis *Amico, diximus ſatis in* Euripidis *vitâ; & quòd cùm Idem* Archelaus *rogaret* Euripidem, *ut* Drama *de Illo ſcriberet, pius Poeta Omen malum deprecans, dixit, ſe Deos precari, ut nihil* Tragicum *illi contingeret, nedum Tragœdiæ materiam concederet unquam. Sed credibile eſt, poſteà Regis votis obſecundâſſe Poetam &* Fabulam *hanc illius nomine honeſtâſſe, vivo adhuc & florente Rege; in quâ de* Macedonum *Regum Virtute multa viſus eſt complexum ceciniſſe, (Nam & ** Libanius *vocat* Δρᾶμα Μακεδονικὸν) *præcipuè autem Monitus quoſdam ſalubres ubique ſparſos dediſſe, Regem hilarandi & inſtruendi pariter causâ; quod ex Fragmentis colligi poteſt; præterea nihil: Ipſi enim* Euripidi *Rex ille aliquandiù ſuperſtes erat.*

* *Liban.* in Apolog. *Demoſth.* Ἔχω λέγειν ὑποδείγματα ἐμαυτοῦ· Δρᾶμα Ἀθηναῖον· Δρᾶμα Μακεδονικόν, ὃ Ἀρχέλαον Εὐριπίδου, ἀλλὰ Φίλιππον Δημοσθένους. *J. Barnes.*

ΔΑναὸς ὁ πεντήκοντα θυγατέρων πατὴρ
Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,
Ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς
Αἰθιοπίδος γῆς, ἡνίκ' ἂν τακῇ χιών,
Τέθριππ' ὀχεύοντος ἡλίου δι' αἰθέρα,
Ἐλθὼν ἐς Ἄργος ᾤκισ' Ἰνάχου πόλιν,
Πελασγιώτας δ' ὠνομασμένους τὸ πρὶν
Δαναοὺς καλεῖσθαι νόμον ἔθηκ' ἀν' Ἑλλάδα.

A. Πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί.
B. Τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς.

Οὐ βούλομαι πλουτοῦντι δωρεὰς πένης,
Μή μ' ἄφρονα κρίνῃς, ἢ διδοὺς αἰτεῖν δοκεῖν.

Τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν', ὀρθῶς
Τοῖς πράσσουσιν κακὸν ἦλθε.

Ἓν δέ σοι μόνον προφωνῶ, μὴ 'πὶ δουλείας ποτὲ
Ζῶν ἑκὼν ἔλθῃς, παρόν σοι κατθανεῖν ἐλευθέρως.

Ὁ δ' ἡδὺς αἰών, ἥ κακή τ' ἀνανδρία,
Οὔτ' οἶκον, οὔτε πόλιν ἂν ὀρθώσειεν ἄν.

Ὀργῇ γὰρ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα.

Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί·
Οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ.
Ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

Ἁπλοῦς ὁ μῦθος· μὴ λάλει· τὸ γὰρ λέγειν
Εὖ, δεινόν, εἰ φέροι τινὰ βλάβην.

Τυραννὶς εἶναι θεῶν βίος νομίζεται,
Τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει.

QUinque ille decies virginum Danaus Pater,
Nili relinquens optimam in terris aquam,
Qui diſcolore de ſolo Æthiopum ſua
Auget fluenta, cum liqueſcit nives
Titan Quadrigis æthera incendens citis,
Ut venit Argos, condit Inachias domos;
Et queis Pelaſgûm nomen hucuſque hæſerat,
Danaos vocari Græciæ morem facit.

A. Perſæpe, fili, Di ſolent nos fallere.
B. Facile eſt, quod urges, ſemper cauſari Deos.

Donare pauper diviti minimè volo,
Ne mentis expers credar, aut dans poſcere:

Malè ſi quicquam facimus, pœnæ
Meritò facientibus adſunt.

Una res eſt, quam monebo, ſervitutem ne tibi
Vivus accerſas, perire dum licebit libero.

At Vita mollis & pavens Ignavia
Non civitatem, non domum rectè regunt.

Flagitia ſecum multa fert Ira impotens.

Audere ſemper fortitèr juvenes decet:
Nam gloriæ exſors ſemper eſt Ignavia:
Celebritatem ſanguis & ſudor ferunt.

Breviter moneri vis? tace: grande eſt malum,
Suâ nocere ſibimet eloquentiâ.

Regnum tenenti deſit ad vitam Deûm
Immunitate mortis exceptâ nihil.

V. 4. Ἡνίκ' ἂν τακῇ χιών) De hâc re vide ad *Helen.* v. 3. Et Sr *Peter Wyche's* Discourse of the Riſe of the Nile. Denique Domini *Johan. Marſhami* Chronicum Ægyptiacum Canonem, Secul. V. *Nilus.* *Joſ. Barnes.*

V. 9. Σφάλλουσιν ἀνθρώπους θεοί) Huc refer & illud *Euripideum*, Ποικίλαισι μορφαῖς οἱ θεοὶ σοφισμάτων Σφάλλουσιν ἡμᾶς κρείσσονες πεφυκότες. Vid. *Thom. Gataker.* c. 10. fol. 91.

V. 11. Οὐ βούλομαι) Vid. *Tho. Gatakeri* Adverſ. Miſcell. c. 10. fol. 91. Item *Cal. Rhodig.* in Præfatione. Quin & *Plutarch.* Περὶ τοῦ Ε τοῦ ἐν Δελφοῖς. *Joſua Barnes.*

—— Ὀλίγον ἄλκιμον δόρυ,
Κρεῖττον στρατηγῷ μυρίου στρατεύματος·
Ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν.

Ἔχει δὲ καὶ τοῦτ' οὐχὶ μικρὸν εὐγενὴς
Ἀνὴρ, στρατηγῶν, εὐκλεᾶ τ' ἔχων φάτιν.

—— Ἐμὲ δ' ἄρ' οὐ
Μοχθεῖν δίκαιον; τίς δ' ἄμοχθος εὐκλεής;
Τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο;

Νεανίας τε καὶ πένης, σοφός θ' ἅμα,
Ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.

Κρεῖσσον γὰρ οὔτε δοῦλον, οὔτ' ἐλεύθερον
Τρέφειν ἐν οἴκοις, κ' ἀσφαλὲς τοῖς σώφροσιν.

Ἔσωσα δούλην οὖσαν· οἱ γὰρ ἥσσονες
Τοῖς κρείσσοσιν φιλοῦσι δουλεύειν βροτῶν.

Πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.

Ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων;
Πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.

—— Πένης γὰρ οὐκ ἐκεῖν' ἀπώλεσεν
Τὸ τοῦ πατρὸς γενναῖον. ——
Ἐν τοῖς τέκνοις γὰρ ἡ ἀρετὴ τῶν εὐγενῶν
Ἐπίλαβε· κρεῖσσον τ' ἐστὶ πλουσίου γάμου.

Τίς δ' οὐκ ἂν εἴη χρηστὸς, ὄλβιος γεγώς;

—— [Στρατιώτην δὲ σὸν]
Μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν,
Ταπεινὸς ἔσται. κεῖνο δ' ἰσχύει μέγα,
Πλοῦτος· λαβὼν τε τοῦτον, εὐγενὴς ἀνήρ.

A. Πλουτεῖς; ὁ πλοῦτος δ' ἀμαθία δειλόν θ' ἅμα.
B. Πενία διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν.

Οὐ γὰρ ὑπερβῆναι κύματος ἄκραν
Δυνάμεθ'· ἔτι γὰρ θάλλει πενία,
Κακὸν ἔχθιστον, φεύγει δ' ὄλβος.

Οὐκ ἔστι Πενίας ἱερὸν αἰσχίστης θεοῦ.
Μισῶ γὰρ ὄντως, οἵτινες φρονοῦσι μὲν,
Φρονοῦσι δ' οὐδενὸς ἢ τε χρημάτων ὕπερ.

Ἔπαυσ' ὁδουροὺς λυμεῶνας Ἀρχέλας.

Πάλαι σκοποῦμαι τὰς τύχας τὰς τῶν βροτῶν,
Ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ,
Εἰς ὀρθὸν ἔστη, χ' ὁ πρὶν εὐτυχῶν, πίτνει.

Ἔστι καὶ παρὰ δάκρυσι κείμενον
Ἡδὺ βροτοῖς, ὅταν ἄνδρα φίλον
Στενάχῃ τις ἐν οἴκῳ.

—— Modica ſed fortis manus,
Multò Imperanti melior immenſo agmine:
Paucique præſtant pluribus Boni malis.

Pulchrum ac decorum, nobili inprimis viro,
Bene Marte geſto conſequi famam ducis.

—— Me laborem ſumere
An eſt iniquum? Quem pigrum Fama accipit?
Quis concupivit magna inerti pectore?

Ætate juvenis qui ſit, in re paupere,
Si ſapiat omnino, maximum miraculum eſt.

Non alere ſervum, ſed nec ingenuum, domi,
Homini modeſto præſtat, & tutiſſimum eſt.

Vitam dedi ut famula eſſet: æquum ſcilicet
Ut ſequiora ſerviant potioribus.

Natos neceſſe eſt patris imperium ſequi.

Effare noſtri ſiquid auxilii indiges:
Nam ſigna præbes genere prognati bono.

—— Nec illi ſpiritus celſus patris

Rapuit calamitas.

Virtus Parentum ſequitur hæredes ſuos:
Virtus maximâ magis dote valet.

Quis non bonum ſe præſtet in re proſperâ?

—— [Militem verò tuum]
Reddas caveto divitem. Mœrem gerit
Meliùs Egeſtas. Spiritus faciunt Opes:
Quas qui eſt adeptus, nobilem ſe exiſtimat.

A. Es dives? Opibus mixta timet ſtultitia.
B. Peccare Inopia ſæpe nolentes docet.

Nondum nobis vada vaſta datur
Superare: manet fera Paupertas,
Immite malum. Sors læta fugit.

Inopia templum non habet, turpis Dea.
Nam valdè ego illos ſperno, qui ſapiunt quidem,
Sed ſola ſapiunt ad lucra, ulteriùs nihil.

Rex Archelaus Furibus terror bonus.

Pridem ipſe mecum ſpecto res mortalium,
Quàm ſit caduca & fluxa: proſtratus ſolo
Surgit: beatus alter everſus cadit.

Eſt & lachrymis mixta voluptas
Cum quis amici caſus animo
Miſerante gemuit.

V. 30. Ἔχει) Scribitur & φέρει. Eſt & alia Verſio hujus Diſtichi, Pars magna belli eſt inclytis Majoribus Satus Imperator, Fama quem celebrat bona. Tertium Verſum ego addidi; quià *Grotius* minùs hic felix eſt viſus; is enim ita vertebat, *Imbelle vulgus anteeunt Pauci & Boni.* Joſua Barnes.

V. 48. Στρατιώτην δὲ σὸν Μὴ πλούσιον θῇς &c.) Ex Conjecturâ ego ſupplevi hæc verba, στρατιώτην δὲ σὸν, ideòque more noſtro intra Cancellos incluſi; quæ, vel qualia, certè Senſus poſtulare videtur. Atque ità hic locus optimè ex illo *Herodoti* lucem feret, l. 1. c. 89. Ubi *Perſæ* Milites *Cyri* urbem *Crœſi* diripiebant, Κροῖσος δὲ ἀμείβετο· Οὔτε πόλιν τὴν ἐμὴν, οὔτε χρήματα, τὰ ἐμὰ (στρατηγῶν ὅμιλος) διαρπάζει, οὐδὲν γὰρ ἐμοὶ ἔτι τούτων μέτα· ἀλλὰ φέρουσί τε καὶ ἄγουσι τὰ σά. & paulo poſt, Πέρσαι φύσιν ἐόντες ὑβρισταὶ, εἰσὶ ἀχρήματοι. ἢν ὦν σὺ τούτους περιίδῃς διαρπάσαντας καὶ κατασχόντας χρήματα μεγάλα, τάδε τοι ἐξ αὐτῶν ἐπίδοξα γενέσθαι· ὃς ἂν αὐτῶν πλεῖστα κατάσχῃ, τοῦτον προσδέχεσθαί τοι ἐπαναστησόμενον &c. *Joſ. Barnes.*

V. 60. Ἔπαυσ' ὁδουροὺς λυμεῶνας Ἀρχέλας) Hoc Fragmentum inter alios memorat *Pindari* Scholiaſtes ad *Pythionic.* Od. 2. Ἀρχέλας autem pro Ἀρχέλαος, ut Μενέλας pro Μενέλαος, Vid. ad *Rheſ.* v. 257. Ultimam autem vocem ex conjecturâ addidi; videtur enim Poeta Regem *Archelaum* laudare, ut toto hoc in Opere, ſic in hoc loco præcipuè, quòd Furibus & Latronibus erat infeſtus. *Joſua Barnes.*

Σοὶ δ' εἶπον, ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων
Θηρᾶν· ὁρᾷς γὰρ σὸν πατέρα τιμώμενον.
Οὐκ ἔστιν, ὅστις ἡδέως ζητῶν βίον
Εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν.
Τοὺς γὰρ ἀρείους, καί τι πράττοντας πλέον
Τιμώμεθα, ἄνδρας τ' ἐν πόλει νομίζομεν.

Hoc es monendus, Nate, Fortunam Labor
Venatur: Hinc eſt, quòd coli Patrem vides.
Nemo otioſam mollitèr vitam trahens
Famam paravit, quæ datur ſudoribus.
Qui plus laborant, quique præſtant cæteris,
Hos Civitas veneratur, ac dicit Viros.

ΑΤΡΕΥΣ.

Argumentum *Atrei* Fabulæ.

ATreus & Thyeſtes *filii erant* Pelopis & Hippodamiæ; *quùm verò* Atreus *Sceptro potiretur, ex Aurei Agni fato, quem poſſederat,* Thyeſtes *corruptâ per Adulterium* Aëropâ *fratris uxore, Aureum illi agnum ſurripuit, Regno inhians: At fratris iram metuens ſolum vertebat.* Atreus *illum fictâ reconciliatione revocatum convivio excipit, filiorum cæſorum Carnibus appoſitis. Ad quod ſcelus Sol fertur ex horrore retroceſſiſſe. Vide Hiſtoriam ad* Oreſt. *v.* 1001. *&* Electr. *v.* 720. &c. *Item* Hygin. *Fab.* lxxxviii. *Joſua Barnes.*

V. 1. Τὸ γὰρ πτερωτὸν ἅρμα ἀελίου &c.) Ita *Meurſius* ex *Philopono,* qui tamen nullam Fabulam *Atrei* nomine dictum citat, at Fabulam de *Atreo* ab *Euripide* ait memoratam & hæc Verba profert, quæ invenies, non in *Atreo* Fabulâ, cùm nullum *Euripidis* Drama eo nomine ſit dictum, ſed in *Oreſt.* v. 1001. ——ὅθεν ἔρις τό τε πτερωτὸν ἀελίου μετέβαλεν ἅρμα, τὰν πρὸς ἑσπέραν κέλευθον προσαρμόσασ' οὐρανοῦ μονόπωλον ἐς ἀῶ, ἑπταπόρου τε δρομήματα Πλειάδος, εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει. Quæ quidem pluribus citavimus, quia multos Doctos Viros, quod ſæpe queſti ſumus, hoc errore video deceptos; ut cùm Veteribus videant aliquos *Euripidis* Verſus ſub Perſonâ aliquâ citatos, putent illicò Fabulas illarum Perſonarum nomine dictas, cùm iſtæ tantùm Perſonæ ita loquentes inducantur in aliis Fabulis: ut hic probamus & mox ſub titulo *Capanei* probaturi ſumus. *Joſua Barnes.* V. 4. Μονόπωλον ἐς ἀῶ) *Auroræ* equus *Pegaſus*; de qua re vide quæ Nos ad *Troad.* v. 855.

ΤΟ' γὰρ πτερωτὸν ἀελίου
Μετέβαλεν ἅρμα τὰν πρὸς ἑσπέραν,
Καὶ κέλευθον οὐρανοῦ προσαρμόσας
Μονόπωλον ἐς ἀῶ,
Ἑπταπόρου τε δρόμημα
Πλειάδος εἰς ὁδὸν,
Ἀλλὰ Ζεὺς μεταβάλλοι.

ALatùmque Phœbus
Currum occiduis egit ab undis
Et mutato tramite cœli
Ad partes ſe vertit Eoas,
Et ſeptenæ ad Pleiados ora.
Aliàque coegerat illum
Jupiter ire viâ.

ΑΥΓΗ.

Argumentum *Auge* Fabulæ.

* Vide *Hyginum* Fab. XCIX. De *Auge.*

HÆC *Fabula eſt quoad Oeconomiam* Danaæ *ſimilis*: Auge* *enim cùm ab* Hercule *compreſſa eſſet* Telephum *peperit, quem unâ cum Matre Pater* Aleas, *in Ciſtâ incluſum Mari commiſit. Sed* Minervæ *Providentiâ Ciſtâ ad Oſtium* Caici *depulsâ, Rex* Myſiæ *&* Ciliciæ Teuthras *Matrem* Augen, *Uxorem duxit, Filium* Telephum, *ut ſuum educavit. Quod Argumentum ex* Euripide *ipſo, quando adhuc hæc Fabula erat integra, collegit nobis* Strabo *Geograph. l.* 13. *fol.* 615. J. Barnes.

V. 6. Ὁμολογῶ δέ σοι) Subaudi ἐμὲ, quod ex præcedenti clauſulâ continuandum; ut ſit ὁμολογῶ δέ σοι ἀδικεῖν με· Malè itaque Omnia priora Exemplaria legebant σὺ pro σοὶ, quod nec ipſum *Grotium* vidiſſe, miror. *Joſua Barnes.*

ΚΡάτιστον εἰκῇ ταῦτ' ἐᾶν ἀφειμένα.

——— Σκῦλα μὲν βροτοφθόρα
Χαίρεις ὁρῶσα, κἀπὸ νεκρῶν ἐρείπια.
Κοὐ μιαρά σοι ταῦτ' ἐστίν· εἰ δ' ἐγὼ 'τεκον,
Δεινὸν τόδ' ἡγῇ.

Νῦν δ' οἶνος ἐξέστησέ μ'· ὁμολογῶ δέ σοι,
Ἀδικεῖν· τὸ δ' ἀδίκημ' ἐγένετ' οὐχ ἑκούσιον.

Τὸ γὰρ ἐπιεικὲς ὠφελεῖ τὰς ξυμφοράς.

Οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης.

Κακῶς δ' ὄλοιντο πάντες, οἳ τυραννίδι

HÆC temerè abire ſinere ſic, rectiſſimum eſt.

—— Lacera mortuorum corpora
Spolia & cruenta dulce ſpectare eſt tibi:
Nullum hic piac'lum eſt; at ego ſi peperi, nefas
Tibi videtur.

Vino coactus nempe feci injuriam:
Pateor: ſed illud crimen haud ſpontis meæ eſt.

Lenit miſerias æquitas mentis probæ.

Miſerari oportet jura, non homines malos.

Pereat profectò quiſquis aut regnum appetit

Χαίρουσιν

Χαίρουσιν ὀλίγων τ' ἐν πόλει μοναρχίᾳ.
Τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον·
Κἂν μίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομίζεται.

Aut civitatem tradit in paucas manus.
At dulce nomen alma libertas mihi:
Nam quiſque minimum quod habet, hoc magni facit.

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν,
Καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
Ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὢν,
Οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

Qui non Amoris numen admirabile
Supraque cunctos cælites poſitum putat,
Aut ſtupidus ille aut orbus experientiâ,
Ignorat, homini maximus quis ſit Deus.

Γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα·
Τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλοιτό τις.

Sumus mulieres; ſæpe nos vincit pavor:
Eſt, quando ſuperet nemo nos audaciâ.

Τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν;

Quem non tuentem luſus infantûm juvat?

Πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον,
Ἢ καὶ παραυτίκ', ἢ χρόνῳ δαίμων βίον
Ἔσφηλε, κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.

Fortuna nobis non negat ſolis fidem;
Omnes levis feſellit aut ſerò aut citò:
Felicitatem nemo perpetuam tulit.

V. 23. Κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ) Vide ad *Andromach.* v. 100.

ΑΥΤΟΛΥΚΟΣ Πρῶτος, ἢ πρῶτος.

Argumentum *Autolyci* Fabulæ.

HIC Autolycus, Anticlææ *Matris* Ulyſſis *Pater*, *erat filius* Mercurii *à quo Artem doctus eſt furandi. Citatur paſſim & alia Fabula ſub Nomine* Autolyci *Satyrici*; *quam eandem cum hâc facit* Caſaubonus *in Animadverſ. ad* Athenæum *l.* 10. *c.* 2. *Erat & notabilis Pancratiaſtes nomine* Autolycus, *cujus Statuam in Prytaneo* Athenienſi *poſitam ſe vidiſſe ait* Pauſanias.

Κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα
Οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους·
Οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ,
Οὔτ' ἂν δύναιντο. πῶς γὰρ ὅστις ἔστ' ἀνὴρ
Γνάθου τε δοῦλος, νηδύος θ' ἡσσημένος,
Κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;
Οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις
Οἷοί τ'. ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ
Σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανα.
Λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα
Φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρὸν,
Τρίβωνες ἐκλείποντες οἴχονται κρόκας.
Ἐμεμψάμην δὲ καὶ τὸν Ἑλλήνων νόμον,
Οἳ τῶνδ' ἕκατι σύλλογον ποιούμενοι
Τιμῶσ' ἀχρείους ἡδονὰς, δαιτὸς χάριν.
Τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνὴρ,
Ἢ δίσκον ἄρας, ἢ γνάθον παίσας καλῶς,
Πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;
Πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν
Δίσκους ἔχοντες, ἢ δι' ἀσπίδων ποσὶ
Θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας;
Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας
Στάς· ἄνδρας οὖν ἐχρῆν σοφούς τε κἀγαθοὺς
Φύλλοις στέφεσθαι, ὅστις ἡγεῖται πόλει
Κάλλιστα σώφρων καὶ δίκαιος ὢν ἀνὴρ,

CUM multa mala ſint Græciæ, nulla eſt tamen
Gens pejor, his qui ludicras pugnas cient.
Primum quod eſt, vitam agere nec diſcunt benè,
Nec utique poſſunt. Quomodo vir ſerviens
Malis, & ipſe ventris appendix ſui,
Opes lucretur, undè ſit Patriæ utilis?
Nec pauper ævum ferre, nec ſe caſibus
Aptare norunt, moribus facti malis:
Sed res in inopes cum gravi ſenſu cadunt.
Pulchri, juventa dum viret, ſpectaculum
Sunt Urbis: at cùm venerit ſenii dies,
Reſtant, velut lacernæ, cui villus perit.
Ad hoc nec illum Græciæ morem probo,
Cœtus [illegible] horum quòd celebrant gratiam,
Quorum uſus haud eſt ullus, illecti dape.
Qui namque luctâ pollet, aut celeri pede,
Diſcúmve rectè tollit, aut os verberat,
Quid patriam ob hanc rem ſi coronetur juvat?
An forte, cum res prælii eſt, diſcum manus
Tenebit, aut per ſcuta curſantes pede
Infeſta pellent fine de patrio agmina?
Nemo iſta inepta cogitat, ferrum propè
Cum ſtat: [illegible] alios fronde ſapientes, probos
Ornare decuit, Publicum ſiquis bonum
Curat modeſti juris ac recti tenax:

V. 1. Κακῶν γὰρ ὄντων &c.) Vid. *Athenæi* Deipnoſoph. l. 10. c. 2. Ubi hæc Carmina conferuntur cum totidem Elegiacis *Xenophanis*.

Ὅστις γε μύθοις ἔργ' ἀπαλλάσσει κακὰ,
Μάχας τ' ἀφαιρῶν καὶ στάσεις· τοιαῦτα γὰρ
Πόλει τε πάσῃ, πᾶσί θ' Ἕλλησιν καλά.

——τοὺς ὄνους
Τοὺς λαρκαγωγούς,——
——Σχοινίας
Ἵπποισι γὰρ φλοΐνας ἡνίας πλέκει.

Mala facta verbis ſiquis avertens ſuis
Diſſidia pugnáſque arces: hæc etenim urbibus
Claros honores Græciæque omni ferunt.

—— —— ——

—— Aſinos cinereis ſportulis graves.
———— juncεas
Equis habenas corticoſas complicat.

> V. 30. Τοὺς λαρκαγωγοὺς) *Heſychius* λαρκὸς, ἀνθρακων φορμός. *Alexis* apud *Pollucem* l. x. c. 24. ubi & hoc Fragmentum, Ἀριστογείτονα τὸν ῥήτορ' εἶδον λάρκον ἀμφιεσμένον τῶν ἀνθρακικῶν. V. 31. Σχοινίας &c.) *Pollux* l. x. c. 46. Ultima autem in φλοΐνας corripitur præter morem, ut in Ζώνῃς ἐκλίσω, *Heſiod.* Et Ἁ πενία, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει, *Theocr.*

ΒΕΛΛΕΡΟΦΟΝΤΗΣ.

Argumentum *Bellerophontis* Fabulæ.

Bellerophon *erat Juvenis optimæ Indolis, Pulcher, Caſtus & Fortis, quem* Sthenobœa Prœti *Regis Uxor deperibat, ut in Fabulâ illius Nominis pleniùs oſtendemus; hunc ferunt poſteà Bellicâ gloriâ elatum,* Pegaſo *vectum in cælos auſum eſſe volare, ut Deorum Secreta inquireret, ſed à* Jove *irato deturbatum miſerè mente captum & à* Pegaſo *demùm in terram rejectum, ubi Melancholicâ oppreſſus errabat in Campis* Aleis. Euripides *illum jam Senem Auri cupiditate miſerè victum ait & Avaritiæ dirum ponit exemplum. De quâ re vide* Senecam *in Epiſtolâ Centeſimâ & quintâ ſuprà decimam, & quid Nos infrà ad v.* 63. *Item* Cælium Rhodiginum *l.* 13. *c.* 9. Euſtathium *fol.* 632. & 633. Apollodori *Bibliothec. l.* 2. *c.* 3. &c. *Joſua Barnes.*

ἩΚΩ περίκλυστον προλιποῦσ'
Ἄκρον κόρινθον,
Ἱερὸν ὄχθον, πόλιν Ἀφροδίτας.

Οἴμοι· τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.
Οἴμοι· τὸ μὲν νοσοῦντι θυμοῦσθαι κακόν.
Τὸ δ' εὖ θ' ὁρᾶν φρονοῦντα, τίς ποτ' ἂν φέροι;

Φασίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς;
Οὐκ εἰσίν, οὐκ εἴσ'· εἴ τις ἀνθρώπων λέγει,
Μὴ τῷ παλαιῷ μωρὸς ὢν χρῆσθαι λόγῳ·
Σκέψασθε δ' αὐτὰ, μὴ 'πὶ τοῖς ἐμοῖς λόγοις,
Γνώμην ἔχοντες. φήμ' ἐγὼ τυραννίδα
Κτείνειν τε πολλοὺς, κτημάτων τ' ἀποστερεῖν,
Ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις.
Καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες
Τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν·
Πόλεις τε μικρὰς οἶδα τιμώσας θεοὺς,
Αἳ μειζόνων κλύουσι δυσσεβεστέρων
Λόγχης ἀριθμῷ πλείονος κρατούμεναι·
Οἶμαι δ' ἂν ὑμᾶς, εἴ τις ἀργὸς ὢν θεοῖς
Εὔχοιτο καὶ μὴ χειρὶ συλλέγοι βίον,
Βραχεῖ γὰρ αὐτῶν πραγμάτων πεῖραν λαβεῖν,
Τὰ θεῖ' ἀπύργωσ' αἱ κακαὶ τὰς συμφοράς.

Πῶς μητέρ' ἔκτα τὴν ἐμήν; βραχὺς ὁ λόγος,
Ἑκὼν ἑκοῦσαν, ἢ θέλουσαν οὐχ ἑκών.

Ἦσθ' εἰς θεοὺς μὲν εὐσεβὴς, ὅτ' ἦσθ', ἀεὶ,
Ξένοις τ' ἐπήρκεις, οὐδ' ἔκαμνες εἰς φίλους.

Πάρες, ὦ σκιερὰ φυλλὰς,
Ὑπερβῶ κρηναῖα νάπη

Adſum fluminibus riguum relinquens
Acrocorinthum,
Altam urbem Veneri ſacram.

Heu! [illegible] quid heu? quod patimur humanum eſt malum:
Heu; fateor, huic qui ægrotat, iraſci malum eſt.
Sed ita animatum aſpicere quis tandem ferat?

Et aliquis eſſe credit in cœlo Deos?
Non ſunt profectò: ſiquis eſſe exiſtimat,
Ne ſe vetuſtæ fabulæ obtentu tegat
Stolidus, negantem credulus nec me audias:
Res ſpectet ipſas. Nonne vis Regum inſolens
Evertit illos opibus, hos tradit neci,
Et pejuratâ diruit portas fide:
Quæque iſta faciunt, multo agunt felicius,
Quam qui Deos pacémque perpetuò colunt?
Urbes minores video, ſint quamvis piæ,
Majoribus parêre, compulſas jugum
Tolerare valido Marte numeroſi agminis.
Veſtrûm quoque aliquis ſi Deos pertenderet
Orare, victum nec ſibi pareret manu,
Documentum ab ipſis rebus acciperet brevi,
Cœleſtis an vis calamitates arceat.

Matrem interemi, nempe, brevis oratio:
Volens volentem, vel volentem non volens.

Eras, tibi eſſe dum datum, in ſuperos pius,
Et hoſpitalis, proque amicis impiger.

Foliiſque denſè-ſtratum & umbroſum ſolum,
In nemora veniam fontibus ridentia!

> V. 1. Ἥκω &c.) Extant *Strabon.* l. 8. Nos *Latinis* numeris conſtrinximus. *J. Barnes.*

> V. 8. Φασὶν τις εἶναι &c.) Impiorum hominum Cogitationes à pio Poetâ hic optimè & graphicè deſcribuntur; quod & *Davides* Propheta haud ſemel facit; quare non erat, ut alioquin Sapientiſſimus Vir *Plutarchus* hoc nomine *Euripidem* reprehenderet; ut facit de Philoſophorum Placitis l. 1. c. 7. Eſt enim Poetarum officium Quorumlibet Characteres ſequi, ut Impii loquantur impiè, & è contra. Vide quæ Nos infrà ad *Siſyphi* v. 1. *Joſ. Barnes.*

> V. 20. Εἴ τις ἀργὸς ὢν θεοῖς) Confer cum illo *Electr.* v. 80. Ἀργὸς γὰρ οὐδεὶς, θεοὺς ἔχων ἀνὰ στόμα &c. *Joſua Barnes.*

> V. 28. Πάρες &c.) Hæc ex *Ariſtoph.* Scholiaſtâ collecta *Latinos* verſu donavimus. *Idem.*

Τὸν

Τὸν ὑπὲρ κεφαλῆς αἰθέρ', ἰδέσθαι
Σπεύδω· τίν' ἔχει φάσιν ὁδοδίαι.

Ἔπτηξ' ὑπείκων μᾶλλον ἢ αὐτὸς θέλοι.

Οὐδέ ποτ' εὐτυχίαν
Κακοῦ ἀνδρὸς, ὑπέρφρονά τ' ὄλβον,
Βέβαιον εἰκάσαι χρεών·
Οὐδ' ἀδίκων γενεάν.
Ὁ γὰρ οὐδενὸς ἐκφὺς Χρόνος,
Δικαίους ἐπάγων κανόνας,
Δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί.

Καὶ ξεστὸν ὄχθον Δαναϊδῶν ἑδρασμάτων

Θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει.

Δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα
Χρείας ἀνάνδρου φάρμακ' εὕρηται βροτοῖς.

Ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη·
Ὅς τις δὲ πλεῖστον μισθὸν εἰς χεῖρας λαβὼν,
Κακὸς γένηται, τῷδε * συγγνώμης μὲν οὔ·
Πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων,
Τὸν τῶν λεγόντων ῥᾷον ἂν φέροι ψόγον.

* ἂν συγγνώμη.

Φθονοῦσιν αὐτοὶ χείρονες πεφυκότες.
Εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ.

Ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει
Ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ,

Νίκη γὰρ ἀνδρῶν φόνια, καὶ μάχαις χερῶν
Δόλοισι κλέπτει· τῆς δ' ἀληθείας ὁδὸς,
Φαύλη τίς ἐστι, ψεύδεσιν δ' Ἄρης φίλος.

Πολλοὺς δὲ πλούτῳ, καὶ γένει γαυρουμένους,
Γυνὴ κατῄσχυν' ἐν δόμοισι νηπία.

Ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων
Μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν;

Οὐκ ἂν γένοιτο τραῦμά γ', εἴ τις ἐγξύσῃ
Θάμνοις ἐλείοις, οὐδ' ἂν ἐκ μητρὸς κακῆς
Ἐσθλοὶ γένοιντο παῖδες, εἰς ἀλκὴν δορός.

Ἔα με κερδαίνοντα κεκλῆσθαι κακόν.
— — — — — — —
— — — — — — —
— — — — — — —
— — — — — — —
— — — — — — —
— — — — — — —

Supra caput hoc cernere cœlum
Properoq; aperiat an ſe ſudo.

Pluſquam ipſe vellet obſequens, fecit metum.

Utcunque malis commodat auras
Fortuna ſuas, utcunque ferox,
Partas ſubito cum ſpectat opes
Raptor, ſpreto jure ſuperbit,
Nihil heic ſtabile eſt tutumque, nihil.
Negat hæredem res rapta ſequi.
Tempus nullo Genitore ſatum
Æquat Normis omnia rectis,
Tandemque malas detegit Artes.

Sedemque lævem Judices Danai premunt.

Adverſa contra, magna vis conſtantiæ eſt.

Aſtus latentes atque fallaces doli
Solertioris ſunt reperta Ignaviæ.

Innata quædam pravitas mortalibus:
At prava ſi quis ampeus ingenti patrat
Mercede, fruſtra ſperet indulgentiam:
Pretium ſed ingens ſceleris ingentis ferens
Convitiantûm verba non magni facit.

Quod ſe minores judicant ideò invident:
Illuſtriora livor infeſtus petit.

Magis timendos, qui tener magnum ſapit,
Quam roboris qui plenus ingenio vacat.

Cruenta gaudet Vulnera obvolvi dolis
Victoria, almum Numen; exſpes atque iners;
Via veritatis. Mars amat mendacia.

Multos ſuperbos opibus, ortu nobiles,
Dedecore vecors fœmina affecit domi.

O fœminarum peſſima: hoc in nomine
Nam continetur quicquid eſt opprobrii.

Nec vulnus ullum verberans inflexeris
Junco paluſtri: nec malæ matris genus
Libravit haſtæ pondus intrepidâ manu.

Sine me vocari Peſſimum, ut Dives vocer.
An Dives, omnes quærimus: nemo, an Bonus.
Non Quare, & Unde: Quid habeas, tantum rogant.
Ubique tanti Quiſque, quantum habuit, fuit.
Quid habere nobis turpe ſit, quæris? nihil.
Aut dives opto vivere, aut pauper mori.
Benè moritur, qui, dum moritur, lucrum facit.

V. 40. Καὶ ξεστὸν ὄχθον) Scholiaſt. *Euripid.* Oreſt. v. 869.

V. 44. Κάκη) Vox *Euripidæa*, de quâ vide ad *Iphigen.* Taur. v. 676.

V. 49 Φθονοῦσιν &c.) Huc refer illud *Pindari* Neme. Od. 8. Στρ. β. Ἅπτεται δ' ἐσλῶν ἀεί· χειρόνεσσι δ' οὐκ ἐρίζει. Vide Communes Locos viz. *Magiri* Polymnemon. de *Invidiâ* &c.

V. 63. Ἔα με κερδαίνοντα &c.) Sine me vocari Peſſimum &c.) Duodecim hi Verſus *Latini* ſunt, ut puto, ex *Senecæ* Philoſophi Verſione: Is enim Epiſtolâ 115. ſimul omnes citat, quorum tamen ſeptem priores *Græci*, excepto Primo, periêre; Quartus autem *Græcorum* (qui ſimul extant) qui nec in illius Verſione notari videtur, nos ex alio Codice ſupplevimus, loco per feſtinationem haud notato. Notandum autem eſt, quod ſequitur apud *Senecam* loco ſupra nominato; *Cùm hi noviſſimi Verſus in Tragœdiâ* Euripidis *pronuntiati eſſent, totum populus ad ejiciendum & Actorem & Carmen conſurrexit uno Impetu: Donec* Euripides *in medium ipſe proſiluit, petens, ut expectarent, viderentque, quem Admirator Auri exitum faceret. Dabat in illâ Fabulâ pœnas* Bellerophontes, *quas in ſuâ quiſque dat.* Hæc ille de hoc loco. *J. Barnes.*

V. 66. Tanti Quiſque, quantum habuit, fuit) Quantum quiſque ſuâ nummorum ſervat in arcâ, Tantum habet & Fidei. *Juvenal.*

Ω χρυ-

Ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς,
Ὡς οὐδὲ μήτηρ ἡδονὰς τοιάσδ' ἔχει,
Οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατὴρ,
Οἵας σὺ, χ' οἱ σὲ δώμασιν κεκτημένοι.
Εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,
Οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν.

Pecunia, ingens generis humani bonum,
Cui non voluptas matris aut blandæ poteſt,
Par eſſe prolis, non ſacer meritis parens.
Tu, compotiſque tali gaudebunt tui,
Tam dulce ſi quid Veneris in vultu micat,
Meritò illa Amores cælitum atque hominum movet.

Ἐγὼ, τὸ μὲν δὴ πάντοτε θρυλλούμενον,
Κράτιστον εἶναί φημι μὴ φῦναι βροτῷ.
Τριῶν δὲ μοιρῶν τίνι κρίνω νίκην μιᾷ;
Πλούτου τε, χ' ὅτῳ σπέρμα γενναῖον προσῇ,
Πενίας τ', ἀριθμὸν γὰρ τοσόνδε προὐθέμην.
Ὁ μὲν ζάπλουτος, εἰς γένος δ' οὐκ εὐτυχὴς,
Ἀλγεῖ μὲν, ἀλγεῖ, παγκάλως δ' ἀλγύνεται,
Ὄλβου διοίγων θάλαμον ἥδιστον χερί.
Ἔξω δὲ βαίνων τοῦδε τὸν πάρος χρόνον
Πλουτῶν, ὑπ' ἄτης ὀρθὸς ἀγάλλει πόδα.
Ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων
Βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ·
Πενίᾳ δ' ἐλάσσων ἐστίν· ἐν δ' ἀλγύνεται,
Φρονῶν ὑπ' αἰδοῦς ἔργ' ἀπωθεῖται χερῶν.
Ὁ δ' οὐδὲν οὐδεὶς, διὰ τέλους δὲ δυστυχῶν,
Τοσῷδε νικᾷ. τοῦ γὰρ εὖ τητώμενος,
Οὐκ οἶδεν αἰεὶ δυστυχῶν κακῶς τ' ἔχων.
Οὕτως ἄριστον μὴ πειρᾶσθαι καλῶν.
Ἐκεῖνο γὰρ μεμνήμεθ'· οἷος ἦν ποτὲ,
Κἀγὼ μετ' ἀνδρῶν ἡνίκ' εὐτύχουν ποτέ.

V. 77. Κράτιστον εἶναι) Huc refer illud *Poſidippi*, Ἦν ἄρα τοῖνδε δυοῖν ἑνὸς αἵρεσις· ἢ τὸ γενέσθαι Μηδέποτ'· ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον. *Cicero* in Conſolatione, *Non naſci longe optimum, nec in hos ſcopulos incidere Vitæ: Proximum autem, ſi natus ſis, quamprimùm tanquam ex incendio effugere Fortunæ.* Omnibus autem præceſſit *Solomon*, Eccleſiaſtæ c. 4. v. 3. Καὶ ἀγαθὸς ὑπὲρ τοὺς δύο τούτους, ὅστις οὔπω ἐγένετο &c. *Joſ. Barnes.*

Ego ex vetuſtâ nobili ſententiâ
Mortalibus primum eſſe, Non naſci puto.
At ſortium cui de tribus victoriam
Addico? nam ſunt divites; ſunt pauperes;
Sunt genere clari: triplicem hic claſſem vides.
Vir dives, ortu ſequiori profatus
Dolet, dolet profecto, ſed pulchrè dolet,
Opum recludens dulce Conditorium:
Verum inde provolutus, irato Deo
Tanto ruinâ triſtiore affligitur.
At quiſquis ortum ſtirpe Generoſâ trahens
Re vivit arctâ, quo ſatu eſt felicior,
Hoc gravius illum dura paupertas premit,
Victum parare dum manu prohibet pudor.
At ultimæ qui ſortis aſſiduè eſt miſer,
Hoc vincit alios, ſe quod orbatum bonis
Non ſentit, uſque aſſuetus infortunio.
Meliora nunquam ſciſſe, tanto eſt tutius.
Nam ſemper illud hæret: Ah! qualis fui,
Quantiſque fatis uſus ego ſum proſperis!

Ἐγὼ γὰρ, εἰ νῦν εἶχ' ἐμ' ὁ σπείρας πατὴρ,
Ἠπιστάμην ἂν μουσικὴν προσαρμόσαι,
Ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ.
Πρῶτον μὲν, ἐξ ὧν πάντα γίγνεται βροτοῖς,
Εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένῃ,
Στέργειν θ' ὑδρηροῖς ὥστε θὴρ ἀεὶ ποτοῖς,
Χειμῶσί τ' ἀσκεῖν σῶμα, θερμά θ' ἡλίου
Τοξεύματ' αὐτὸς μὴ σκιατραφούμενος.
Νῦν δ' οὐκ ἐθισθεὶς, ταῦτ' ἐπίσταμαι μὲν οὔ,
Φέρειν δ' ἀνάγκη· τὸν γὰρ Ὀρφέα λαβὼν
Ἄδειν τε Μουσῶν ἐννεάφθογγον μέλος,
Οὐκ ἂν πίθοιμι γαστέρ', ἀλλὰ δεῖ βίου.

V. 102. Θερμά θ' ἡλίου τοξεύματα) Ita *Herc.* Fur. v. 1090. Τόξα θ' ἡλίου τάδε. In quem locum vide quæ Nos. *J. Barnes.*
V. 105. Ὀρφέα λαβὼν) De *Orphei* Muſicâ vide quæ Nos ad *Iphigen.* Aulid. v. 1211. De ultima τοῦ Ὀρφέα producto vide ad *Phæniſſ.* v. 74. Præterea λ, eſt ectaticum. Vid. *Iphigen.* Aul. v. 382. Simile illud *Ovidii*, Ipſe licet venias Muſis comitatus, *Homere*; Si nihil attuleris, ibis, *Homere*, foràs. *Joſua Barnes.*
V. 116. Εἰ θεοί τι δρῶσιν) Sic & *Herc.* Fur. v. 1345. Δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἔστ' ὄντως θεὸς, Οὐδενός· ἀοιδῶν οἵδε δύστηνοι λόγοι. *Idem.*

Mihi, ſi pater ſapuiſſet, ingenium foret
Ita temperatum muſicis concentibus,
Læta ut valeret duráque ex æquo pati.
Primum, quod homines inter uſûs maximi eſt,
Eſſem expeditus, ventre non farto nimis:
Aquam juraret bibere, qui mos eſt feris,
Hyemem labore pellere: æſtivos pati
Solis calores, Corpore haud Umbratico.
Nunc iſta ferre inſolitus, ignarus, tamen
Ea ferre cogor. Threſſa ſi vatis fides
Carmen ſonaret & Novenſiles Deæ,
Non venter iſta audiret, eſcâ illi eſt opus.

Τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω καλῶς,
Γνῶναι τὸν ἐχθρὸν, ᾗ μάλισθ' ἁλώσιμος.

Ars imperantis prima noſſe hoſtem ſuum:
Et ſcire, quâ ſit parte facilior capi.

Πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν
Ἰδόντ' ἀκεῖσθαι, μὴ 'πιτακτὰ φάρμακα
Διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.

Mali neceſſe eſt noſcat ingenium, malo
Qui vult mederi: more nec medicamina
Adhibenda, ſed quæ tempus & res exigunt.

Νόσοι δὲ θνητῶν, αἱ μέν εἰσ' αὐθαίρετοι·
Αἱ δ' ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ
Ἰώμεθ' αὐτάς. ἀλλά σοι λέξαι θέλω,
Εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶν θεοί.

Sunt plurima, homines ſponte quæ acceríunt ſuâ;
Sunt alia rurſus miſſa de cælo mala,
Queis ars medetur. Cæterum hoc dictum volo,
Faciunt Dei ſi prava, jam non ſunt Dei.

Ποῦ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς;
Θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατ'
Βένθος ἅλιον ἰθύνουσι, τύχας δὲ θνατῶν,
Τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος
Μεθίστησι· τὸ δὲ μεῖον, αὔξει.

Quid in humanâ certum vitâ eſt?
Curſum ratibus venti celeres
Per maris alti vada valla regunt:
At fortunas ſublime ſitas
Hominum in præceps agit ipſa dies
Preſſaſque levat.——

Ὁρᾷς δ' ἀέλπτων μυρίων ἀναστροφάς.
Πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον,
Πολλοὶ δὲ λόγχαις πολεμίων ἀμφνόνων
Ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην.

Spem præter omnem mille ſunt rerum vices:
Multos remiſit ſoſpites mare naufragum:
Multos minores hoſtico in certamine
In res ſecundas rurſus eniſas vides.

Ὦ παῖ, νέων τοι δρᾶν μὲν εὔτονοι χέρες·
Γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων·
Ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.

Nate, efficaces hinc quidem juvenum manus,
Sed plus ſenes prudente conſilio valent.
Rerum Magiſtra quippe multarum dies.

Τιμή σ' ἐπαίρει τῆς πάλαι μᾶλλον φρενός,
Θνήσκοιμ' ἄν· οὐ γὰρ ἄξιον λεύσσειν φάος,
Κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους.

Fidens honore ſpiritus tumidos geris.
Ah moriar: almum cernere haud tantum eſt jubar;
Ut honore plenos tuear indigno malos.

Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδέν. ἀλλ' ὁ τυγχάνων
Τὰ πράγματ' ὀρθῶς ἂν τιθῇ, πράξει καλῶς.

Nam neutiquam hominem Rebus iraſci decet;
Nil quippe curant: vertere at in uſus ſuos
Quod caſus offert optimum ac tutiſſimum eſt.

V. 132. Τοῖς πράγμασιν &c.) Citatur hic locus à *Plutarcho* libro de Tranquill. Item in *Homeri* Vitâ. Eundem attingit & *Arrian.* l. 2. c. 5. in initio; ubi idem fere habet, in eundem certè Senſum optimè tractat, unde & lux huic loco mutuanda. *Gulielmus Piers.*

ΒΟΥΣΙΡΙΣ.

Ὑπόθεσις τοῦ Βουσίριδος Δράματος ἐξ Ἀπολλοδώρου.

ΒΟΥ'σιρις Ποσειδῶνος παῖς καὶ Λυσιανάσσης τῆς Ἐπάφου βασιλεὺς ἦν Αἰγύπτου. Οὗτος τοὺς ξένους ἔθυεν ἐπὶ βωμῷ Διὸς, κατά τι λόγιον. Ἐννέα γὰρ ἔτη ἀφορία τὴν Αἴγυπτον κατέλαβε. Θράσιος δὲ ἐλθὼν ἐκ Κύπρου, μάντις τὴν ἐπιστήμην, ἔφη τὴν ἀφορίαν παύσασθαι, ἐὰν ξένον ἄνδρα τῷ Διὶ σφάξωσι κατ' ἔτος· Βούσιρις δὲ ἐκεῖνον πρῶτον σφάξας τὸν μάντιν, τοὺς κατιόντας ξένους ἔσφαζε· Συλληφθεὶς οὖν καὶ Ἡρακλῆς τοῖς βωμοῖς προσεφέρετο· τὰ δὲ δεσμὰ διαρρήξας, τόν τε Βούσιριν, καὶ τὸν ἐκείνου παῖδα Ἀμφιδάμαντα ἀπέκτεινε, καὶ τὸν κήρυκα Χάλβην.

Argumentum *Buſiridis* Fabulæ ex *Apollodoro*.

BUſiris Neptuni *filius &* Lyſianaſſæ Epaphi *filiæ Rex erat* Ægypti. *Is Hoſpites* * *immolabat ad* Jovis *aram, ex Oraculo quodam. Annos enim novem* Ægyptus *ſterilitate laboravit.* Thraſius *autem, vaticinandi peritus, ex* Cypro *venit, qui ſterilitatem deſituram dixit, ſi virum Hoſpitem* Jovi *quotannis mactaverint. Tum* Buſiris, *Vate illo priùs immolato, advenientes deinceps hoſpites immolabat. Comprehenſus itaque* Hercules *ad Aras trahebatur; ubi diſruptis vinculis* Buſirimque *& ejus filium* Amphidamanta *&* Chalben *inſuper Caduceatorem obtruncavit.*

* Vide *Hyginum* Fab. LVI. De *Buſiride*.

Δοῦλον γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν,
Εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.

Servo profari quamlibet verum nefas,
Ubis heriles ſi verum negant.

ΓΛΑΥΚΟΣ.

Argumentum *Glauci* Fabulæ.

GLaucus *erat quidam* Siſyphi *filius* Corinthius, *Pater* Bellerophontæ, *qui genuit* Hippolochum, *qui & alium* Glaucum *genuit* Diomedis *amicum, de quo* Homerus *Iliados Sexto. Erat & alius* Glaucus Minois *Regis* Cretæ *filius à Vate* Polyido *ex morte ad vitam reſtitutus. Memorantur & alii non pauci hujus Nominis, de quibus conſulendus eſt* Hyginus; *ſed quem eorum hæc Fabula præferat, id nequaquam à nobis certò definiri poſſe videtur.*

Βαρὺ τὸ φόρημ' οἴησις ἀνθρώπου κακοῦ,
Ὅταν κακός τις ὢν πόλει πράσσῃ καλῶς

Faſtus mali hominis, res eſt intolerabilis.
Quoties ſecundis rebus exſultat nocens,

Νοσεῖν

Νοσοῦσι πᾶσαι τῶν ἀμεινόνων φρένας,
Παράδειγμ᾽ ἔχοντες τῶν κακῶν ἐξουσίαν.

Οἱ τὰς πόλεις ἔχοντες ἀξίωμά τε
Τοῖς ἀνθαμίλλοις εἰσὶ πολεμιώτατοι.

Φεῦ, φεῦ· τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους·
Γέροντι δ᾽ οὐχ οἷόν τε μηκύνειν χρόνον.

Μακρὸς γὰρ αἰὼν, συμφορὰς πολλὰς ἔχει.

Ὅστις γὰρ ἀστῶν, &c.

Victæ bonorum languidæ mente jacent,
Specimen tuentes improbæ licentiæ.

In civitate qui locum primum tenent
Odere ſemper æmulos hoſtiliter.

Heu! quàm ſenectus multa fert ſecum mala,
Nec eſt ut ævi ſpatia producat ſenex.

Non longa malis vita projecta eſt malis.

Quicunque, &c.

V. 10. Ὅστις γὰρ ἀστῶν &c.) Vide in Ixion.

ΔΕΣΜΩΤΙΣ, vide ΜΕΛΑΝΙΠΠΗ.

ΔΙΔΥΜΟΙ.

Argumentum *Geminorum* Fabulæ.

Videtur hæc Fabula de Tyndaridis *tractare, qui* Gemini *Emphaticè dicebantur, nempe* Caſtore *&* Polluce; *quanquam eadem appellatio* Amphioni *etiam &* Zetho *erat Communis, ut notavimus ad Hercul. Fur. v.* 29.

Τὸ τῆς ἀνάγκης οὐ λέγω ὅσον ζυγόν.

Neceſſitatis onus enarrabile.

ΔΙΚΤΥΣ.

Argumentum *Dictyos* Fabulæ.

Hic Dictys *erat frater* Polydectæ Seriphi *Regis, qui* Danaen *cum Infante* Perſeo *expoſitum invenit & blandè tractabat, de quâ re vas in* Græco Danaæ *Argumento.* Dictys *erat Vir Juſtus,* Polydectes *contrà* Danaæ *honori &* Perſei *Vitæ inſidiabatur. Quare* Perſeus *ex* Meduſæ *cæde reverſus, Matrem ad aras cum* Dictye *ob* Polydectæ *violentiam confugiſſe deprehendit: Ubi ille oſtenſo* Meduſæ *Capite in ſaxa convertit malos; &* Dictyn Seriphi *Regem conſtituit.*

Φίλος γὰρ ἦν μοι, καί μ᾽ ἔρως ἕλοι ποτὲ,
Οὐκ εἰς τὸ μωρὸν, οὐδέ μ᾽ εἰς Κύπριν τρέπων·
Ἀλλ᾽ ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
Ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.
Καὶ χρῆν δὲ τοῖς βροτοῖσι τόνδ᾽ εἶναι νόμον,
Τῶν εὐσεβούντων, οἵτινές γε σώφρονες,
Ἐρᾷν· Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾷν.

Θάρσει· τό τοι δίκαιον ἰσχύει μέγα.

Νέος, πόνοισι δ᾽ οὐκ ἀγύμνασος φρένας.

Τυραννικόν τι πόλλ᾽ ἐφίεσθαι λέγειν.

Εἰ δ᾽ ἦσθα μὴ κάκιστος, οὔ ποτ᾽ ἂν πόλιν
Τὴν σὴν ἀτίζων, τὴν δ᾽ ἂν εὐλόγεις πάτραν.
Ὡς * ἔν γέ μοι κρίνοιτ᾽ ἂν οὐ καλῶς φρονεῖν, * al. ἔν.

Amâſſe ego illum fateor: ille autem fuit,
Non ſtulta ſuadens, Veneris aut illex Amor.
Nam datus & alius eſt Amor mortalibus
Juſti piique ſobriique Pectoris.
Utinámque lex hæc Gentis humanæ foret,
Ut Amare ſanctis moribus ſpectabiles
Fas eſſet; omnis ſed fugaretur Venus.

Confide: robur grande Juſtitia obtinet.

Juvenis, ſed animo per laborem exercito.

Semper loqui diſcupere, nimis eſt Regium.

Ni pravus eſſes, patriæ nunquam tuæ
Contemptor, has externa laudares ſola.
Nam me quidem cenſere non rectè ſapit,

V. 1. Φίλος γὰρ ἦν &c.) Huc nonnulli referunt verſus ſuprà citatos ex *Danae* v. 66. Δοκεῖς τὸν ᾅδην &c. Et tantundem videtur aſtruere *Plutarchus* in lib. de Conſolat. ad *Apollonium*: Ὁ δὲ παραμυθούμενος τὴν Δανάην δυσπενθοῦσαν Δίκτυς φησὶ, Δοκεῖς &c. V. 2. Οὐκ εἰς τὸ μωρὸν &c.) Confer cum hoc loco illud *Plutarchi* in libello περὶ παίδων ἀγωγῆς, Ὅταν δ᾽ αὖ πάλιν ἐνθυμηθῶ τὸν Σωκράτην, τὸν Πλάτωνα, τὸν Ξενοφῶντα, τὸν Αἰσχίνην, τὸν Κέβητα, τὸν πάντα χορὸν ἐκείνων τῶν ἀνδρῶν, οἳ τοὺς ἄρρενας ἐδοκίμασαν ἔρωτας, καὶ τὰ μειράκια προήγαγον ἐπί τε παιδείαν καὶ δημαγωγίαν καὶ τὴν ἀρετὴν τῶν τρόπων, πάλιν ἕτερος γίνομαι, καὶ κάμπτομαι πρὸς τὸν ἐκείνων τῶν ἀνδρῶν ζῆλον· μαρτυρεῖ δὲ τούτοις Εὐριπίδης οὕτω λέγων, Ἀλλ᾽ ἔστι δή τις ἄλλος ἐν βροτοῖς Ἔρως Ψυχῆς δικαίας, σώφρονός τε, κἀγαθῆς. Videntur autem hæc Verba à *Dictye* juſto & pio homine dici ad *Danaen*. *Joſ. Barnes.*

Ὅστις

Ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους,
Ἄλλην ἐπαινεῖ, καὶ τρόποισιν ἥδεται.

Μὴ σύγε, ὦ γεραιὲ, κοιράνοις πίθου·
Σέβειν δὲ τοὺς κρατοῦντας, ἀρχαῖος νόμος.

Κύπρις γὰρ οὐδὲν νουθετουμένη χαλᾷ,
Ἄν τ' αὖ βιάζῃς, μᾶλλον ἐντείνειν φιλεῖ.
Κἄπειτα τίκτει πόλεμον· εἰς δ' ἀνάστασιν
Δόμων περαίνει πολλάκις τὰ τοιάδε.

Πατέρα τε παισὶν ἡδέως συνεκφέρειν
Φίλους ἐρῶντας ἐκβάλλοντ' αὐθαδίαν
Παῖδάς τε πατρί. καὶ γὰρ οὐκ αὐθαίρετοι
Βροτοῖς ἔρωτες, οὐδ' ἑκουσία νόσος.
Σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ,
Θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει.

Εἷς γάρ τις ἐστὶ κοινὸς ἀνθρώποις νόμος,
Καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω,
Θηρσίν τε πᾶσι τέκνα τίκτουσιν φιλεῖν.
Τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.

Ὄντων δὲ παίδων καὶ πεφυκότος γένους,
Καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,
Ἔχθραν μεγίστην σοῖσι συμβαλεῖν τέκνοις.

Εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά.
Ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ·
Ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς
Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ.

Φεῦ, φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει,
Οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.

A. Χρυσοῦ σε πλῆθος, τοῦδε δ' οὐ χαίρειν χρεών.
B. Σκαιόν τι πλουτεῖν, κἄλλο μηδὲν εἰδέναι.

Πολλοῖς παρέστην, κἀφθόνησα δὴ βροτῶν,
Ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ,
Λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών.
Τὸ δ' ἦν ἄρ' οὐκ ἀκουστὸν, οὐδ' ἀνασχετὸν,
Σιγᾶν κλύοντα δεινὰ πρὸς κακιόνων.

Qui patriam collaudat alienam, ſuæ
Contemptor, inque non ſuos mores abit.

Noli Tyrannis, ô ſenex, contendere.
Antiqua lex eſt iſta; majores cole.

Nihil remittit, multa ſi moneas, Venus:
Quòd ſi pares vim, tendit hoc contra magis:
Et deinde bellum parit in excidia urbium
Et vaſtitates hæc ſolent prorumpere.

Morum remotâ gerere contumaciâ
Amore captis filiis debet Pater,
Patrique nati: non enim eſt hominum in manu
Amor, nec illud ſponte eſt noſtræ malum.
Audacia eſt inſana, velle avertere
Neceſſitates numine immiſſas Deûm.

Communis hæc lex ſtirpis eſt mortalium,
Trahens & ipſos in ſui aſſenſum Deos
Ferâſque, amare quicquid eſt ex ſe ſatum:
In rebus aliis jure non uno utimur.

Cùm ſit tibi ſtirps, cùm genus vivat tuum,
Novâ parans augere progenie domum,
Hoſtilitatem mutuam proli ſeris.

Præconia à me haud magna Nobilitas feret:
Nam bonus & æquus Nobilis me judice eſt.
Contemptor æqui, quamlibet claro ſatu
Ipſum Tonantem ſuperet, eſt ignobilis.

Quàm vera vetus eſt, proh dolor! ſententia,
Malo Parente non ſeri ſobolem bonam.

A. Non hæc, ſed auri trahere vis te debuit.
B. Turpe, eſſe ditem, ſcire præterea nihil.

Jam ſæpe vidi, ſæpe & indignè tuli,
Bonos ſequentes moris exemplum mali,
Sermone cùm certamen irato ſtrepit.
At illud ingens viſu & auditu nefas
Aliquem tacentem probra pejorum pati.

V. 16. Πίθυ) *Atticè pro πείθου.*

V. 18. Κύπρις γὰρ &c.) Vide ſimilem locum in *Sthenobœa* v. 1. Vid. *Tho. Gatakeri* Adverſaria Miſcell. c. 10.

V. 36. Ὁ μὲν γὰρ ἐσθλὸς) Sententia hæc auro contra non chara; quâ Virtus dicitur præcipua Nobilitas; Quâ quicunque caret, Nobilis eſſe nequit. Huc referatur illud *Herodiani* l. 5. in *Macrini* ad Senatum Literis, Τί γὰρ ὄφελος Εὐγενείας, εἰ μὴ χρηστὸς καὶ φιλάνθρωπος συνοικεῖ τρόπος; Τὰ μὲν γὰρ τῆς τύχης δῶρα καὶ ἀναξίοις προσπίπτει· ἡ δὲ τῆς ψυχῆς ἀρετὴ ἰδίαν ἑκάστῳ δόξαν περιτίθησιν. Εὐγένεια δὲ καὶ Πλοῦτος, καὶ ὅσα τοιαῦτα, μακαρίζεται μὲν, οὐκ ἐπαινεῖται δὲ, ὡς παρ' ἄλλων δοθέντα. Unde *Ovidius* Metamor. l. 13. Fab. 1. *Nam Genus & Proavos & quæ non fecimus ipſi, Vix ea noſtra voco.* Huc referas & id quoque, modò dextrè capias, ut *Virtus* ſit ſubjectum & *Nobilitas* Prædicatum, *Nobilitas ſola eſt atque unica Virtus.* Quotuſquiſque enim eſt, qui non mallet eſſet, *Ariſtides, Phocion, Epaminondas, Socrates,* aut *Fabritius,* quàm flagitioſus & Matricida *Nero,* licet, ille de *Julio* ſanguine Nobiliſſimus extitit? *Joſua Barnes.*

ΕΛΕΝΗΣ ΑΠΑΙΤΗΣΙΣ.

Argumentum *Repetitionis Helenæ.*

Quicunque *de* Homero *vel fando audiverint, iis ſatis de* Helenâ *à* Paride *raptâ conſtat, de quâ re* Coluthus *libellum ſcripſit.* Græci *itaque, antequam bello* Trojam *aggrederentur, Legatos mittunt, inter quos* Menelaus *&* Ulyſſes *memorantur, ad* Helenam *repetendam; de quâ Legatione conſulendus* Homerus *ad Iliados tertium,* v. 204. *in* Antenoris *Oratione; item* Herodotus *libro ſecundo, capite* Cxviii. Ἐλθεῖν μὲν γὰρ μετὰ τὴν Ἑλένης ἁρπαγὴν ἐς τὴν Τευκρίδα γῆν Ἑλλήνων στρατιὴν πολλὴν βοηθέουσαν Μενέλεῳ· ἐκβᾶσαν δὲ ἐς γῆν καὶ ἱδρυνθεῖσαν τὴν στρατιὴν, πέμπειν ἐς τὸ Ἴλιον ἀγγέλους, σὺν δέ σφι ἰέναι καὶ τὸν Μενέλεων· τοὺς δ' ἐπεί τε ἐσελθεῖν ἐς τὸ τεῖχος, ἀπαιτέειν Ἑλένην τε καὶ τὰ χρήματα, τά οἱ ὑπεκκλέψας Ἀλέξανδρος. *J. Barnes.*

V. 1. Ἐγὼ δὲ προδότις &c.) Sciendum eſt, hunc Verſum non pro *Iambo* poni; ſic enim *Spondæus* eſſet in Quartâ ſede. Verſus autem Pede carens in Principio, finitur ad τέκνον, & alter incipit ad σέθεν. V. 2. Ἐλθὼν δ' ἐκ Φρυγῶν &c.) Hic locus citatur à *Cl. Alexandr.* Stromta. l. 3. c. 2.

ΕΓΩ' δὲ προδότις οὐκ ἦμην, τέκνον, σέθεν.
-----Ἐλθὼν δ' ἐκ Φρυγῶν ὁ τὰς Θεὰς
Κρίνων ὅδ', ὡς ὁ μῦθος Ἀργείων ἔχει,
Λακεδαίμον', ἀνθηρὸς μὲν εἱμάτων στολῇ,
Χρυσῷ τε λαμπρὸς βαρβάρῳ χλιδήματι·
Ἐρῶν ἐρῶσαν ᾤχετ' ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ', ἔκδημον λαβὼν
Μενέλαον·----

AT Proditrix, ô Nata, non eram tui.
Ex Phrygibus ille cùm appuliſſet, qui Deas
Dijudicabat, Orsia ut inquit Fabula,
Lacedæmona, cultu diſcolore veſtium,
Et barbarorum textu & auro ſplendidus,
Amans amantem ceſſit ex domo auferens
Helenen ad Idæ caulam, abeſſet cùm domo
Menelaus, &c.

ΕΡΕΧΘΕΥΣ.

Argumentum *Erechthei* Fabulæ.

ERechtheus Athenarum *Rex Septimus*, in Bœotiæ *bello contra* Eumolpum Thracum *Regem*, *Oraculum accepit, ſe bello ſuperiorem fore, modò Filiam natu Maximam* Proſerpinæ *immolaret. Hoc Oraculo Uxori* Praxitheæ *communicato, Mulier magni animi ultrò natam Morti concedit*, Protogeniam *nempè, undè ſibi Gloriam & Patriæ Salutem peperit. De quâ re videſis* Apollodorum *Bibliothecæ l. 3. c. 14. §. 4. Et* Demaratum *in* Τραγῳδουμένοις, *apud* Stobæum *Sermo* xxxviii, Περὶ Παλαιῶν, *quem malè* Brodæus *vocat* Democritum, *ut notavimus ad* Ion. *v. 277. Vide item quæ Nos ad* Ion. *v. 267. Item quæ mox ex* Plutarcho *adferemus ad* Praxitheæ *Orationem*. Joſua Barnes.

V. 1. Ὀρθῶς μ' ἐπήρου &c.) Patris Morituri ad Filium Pia Exhortatio.

V. 11. Ἀδίκως &c.) *Hi tres Verſus aliàs alio in loco vertuntur à* Grotio, *Iniqua ſperne lucra, manſuros diù Si vis penates ſtruere: res parta improbè, Salutis expers, prona ad exitium ruit.*

V. 21. Γεραιτέρων φίλει) Ita rectè legunt nonnulla exemplaria, alia habent γεραιτέρας θέλε, minus *Atticè* quod ad γεραιτέρας attinet; minùs accuratè quod ad θέλε; non enim æquè reſpondet τῷ Μίσει, quod ſequitur. *Joſua Barnes.*

V. 23. Μίσει βραχεῖα τέρψις ἡδονῆς κακῆς) Nonnullis Authoribus, quibus hanc Sententiam placuit citare, quia μίσει ad eam nihil pertinebat, nequid ſententiæ Venuſtatis deeſſet, ſi numeris ſuis careret, rotundiùs explebant toto *Senario*, Βραχεῖα τέρψις ἡδονῆς λύπην φέρει. *Idem.*

ΟΡθῶς μ' ἐπήρου, βούλομαι δέ σοι, τέκνον,
Φρενῶν γὰρ ἤδη, κἀποσώσαις ἂν πατρὸς
Γνώμας φράσαντος, ἂν θάνω, παραινέσαι,
Κειμήλι' ἐσθλὰ, καὶ νέοισι χρήσιμα.
Βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ·
Πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών.
Τῷ πλουσίῳ δὲ μὴ διδοὺς μεῖζον μέρος,
Ἴσον σεαυτὸν τοῦ σέβειν πᾶσιν δίδου.
Δυοῖν παρόντοιν πραγμάτων, πρὸς θάτερον
Γνώμην προσάπτειν, μηδ' ἐς αὔριον μένειν.
Ἀδίκως δὲ μὴ κτῶ χρήματ', ἢν βούλῃ πολὺν
Χρόνον μελάθροις ἐμμένειν. τὰ γὰρ ἀδίκως
Οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν.
Ἔχειν δὲ πειρῶ, τοῦτο γὰρ τό, τ' εὐγενὲς,
Καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
Ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
Κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου,
Φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
Κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
Τῇ σῇ πονηροὺς, κλεῖθρον εἰργέτω στέγης.
Ὁμιλίας δὲ τὰς γεραιτέρων φίλει,
Ἀκόλαστα δ' ἤθη, λαμπρὰ συγγελᾶν μόνον,
Μίσει. βραχεῖα τέρψις ἡδονῆς κακῆς.
Ἐξουσίᾳ δὲ μήποτ' ἐντυχὼν, τέκνον,
Αἰσχροὺς ἔρωτας δημοτῶν διώκαθε·
Ὁ γὰρ σίδηρον, ἀγχόνας τ' ἐφέλκεται,
Χρηστῶν πενήτων ἄν τις αἰσχύνῃ τέκνα.
Καὶ τοὺς πονηροὺς μήποτ' αὔξειν ἐν πόλει.
Κακοὶ γὰρ ἐμπλησθέντες, ἢ νομίσματος,
Ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα
Σκιρτῶσιν ἀδόκητ' εὐτυχησάντων δόμων.

CUM juſta poſcas, nate, quod poſcis dabo.
Nam tibi dat ætas ſapere: nec me mortuo
Sententiarum vis paternarum excidet.
Dabo ergo Gemmas, quæ juventutem juvent,
Sermone quamvis multa complectens brevi.
Benignus eſto ſemper & tractabilis;
Nec Diviti largire pluſquam pauperi.
Da te fruendum paritèr ex æquo omnibus.
Negotiorum, de duobus quæ imminent,
Statim alteri animum adverte, ne procraſtina.
* Fundare ſi vis ſolia manſura domûs,
Opes iniquas ſperne: nam quæ per nefas
Trans limen intrant, ſtare non poſſunt diu.
Fac aliquid habeas: indè Nobilitas venit,
Et Nuptiarum copia optimatium.
At Pauper, adſit quamlibet ſapientia,
Expers honoris nomen habet inglorium.
Tales Amicos quære, qui verum loqui
Conſtanter auſint: obde ferratas fores
His, qui infideles gratiæ ſe mancipant.
Seniliores quære conſuetudines:
Solis dicatam riſibus laſciviam
Contemne: brevis eſt flos voluptatis malæ.
Ad dignitatis alta vectus culmina
Ne civium corporibus illudas cave:
[illegible] enſes acuit & laqueum vocat
Quicunque honeſti pauperis ſpurcat domum.
Mandare noli non probis rempublicam:
Namque impiorum natio, gazam ſibi,
Vel Imperii vim nacta, deſultat ferox,
Creviſſe cernens ſpem ſupra ſubitò fores.

'Αλλ'

Ἀλλ', ὦ τέκνον μοι, δὸς χέρ', ὡς θίγῃ πατὴρ,
Καὶ χαῖρ', ἐπεὶ αἰδὼς οὐ λίαν ἀσπάζομαι·
Γυναικόφρων γὰρ θυμὸς, ἀνδρὸς οὐ σοφοῦ.
Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις·
Ἐρᾶτε μητρὸς, παῖδες· ὡς οὐκ ἔστ' ἔρως
Τοιοῦτος ἄλλος, οἷος οἰκεῖον ἐρᾶν.
Τὰς οὐσίας γὰρ μᾶλλον, ἢ τὰς ἁρπαγὰς,
Τιμᾶν δίκαιον. οὔτε γὰρ πλοῦτός ποτε
Βέβαιος ἄδικος. ———

Ὀλίγους ἐπαινῶ μᾶλλον ἢ πολλοὺς κακούς.

Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ
Στρατηλάτας χρὴ, τῶν θεῶν δὲ μὴ βίᾳ.

Οὐδεὶς στρατεύσας ἄδικα, σῶς ἦλθεν πάλιν.

Μισῶ δ' ὅστις τις καὶ φθονῶν στρατηλάτης
Μὴ πᾶσι πάντα προσφέρῃ μειλίγματα.
Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' ἐπὶ τυγχάνον,
Τὰ πράγματ' ὀρθοῖ ἢν τιθῇ, πράσσει καλῶς.

Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς.
Ὁ δ' ἡδὺς αἰὼν, ἡ κακή τ' ἀτολμία,
Οὔτ' οἶκον, οὔτε βίοτον οὐδὲν ὠφελεῖ.

Ἀράχνη τὸ ἐμοῦ μίτον ἀμφιπλέκη ἀράχνα,
Μετὰ δ' ἡσυχίας πολιῷ γήραϊ συνοικοίην,
Ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας,
Θρῄκιον πέλτην πρὸς Ἀθηνᾶς,
Περικίοσιν ἐγκρεμάσας θαλάμοις,
Δέλτων τ' ἀναπτύσσοιμι γῆρυν, ἂν σοφοὶ κλέονται.

———Ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας,
Ζῆν φημὶ μᾶλλον, τοῦ βλέποντος μὴ καλῶς.

Ναῦς ἡ μεγίστη κρείσσων, ἢ μικρὸν σκάφος.

Θετῶν δὲ παίδων οὐ κράτος· τὰ φύντα γὰρ
Κρεῖσσον νομίζειν τῶν δοκησάντων χρεών.

Πραξ. Τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
Ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μὲν,
Χρόνῳ δὲ πολλῷ δρῶσι, δυσγενέστεροι.
Ἐγὼ δὲ δώσω τὴν ἐμὴν παῖδα κτανεῖν.
Λογίζομαι δὲ πολλά· πρῶτα μὲν πόλιν
Οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν·
Ἧι πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
Αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις
Πεσσῶν ὁμοίως διαφορηθεῖσαι βολαῖς,
Ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι.
Ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκίζει πόλιν,
Ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγεὶς,

Et jam manum da, nate, tangendam patri,
Valeque: nam te prohibet amplecti pudor:
Cor quippe non muliebre ſapientem decet.
Nil eſt Genitrice charius natis ſuâ:
Amate matrem, liberi; nam dulcior
Nullus ſuorum quàm ſuos erga eſt Amor.
Decora res eſt arte quæ laudabili,
Non vi, paratur: Non habent ſolidam diu
Malè parta ſedem. ———

Agmen malorum ſperno præ paucis bonis.

Volentibus Dis arma ſapientem decet
Movere, non cœleſte ſi imperium vetet.

Sine jure bellans non redit ſoſpes domum.

Odi creatum patriæ & bello ducem,
Qui ferre neſcit caſibus ſolatia.
Fortuna, quæ res verſat, iratos ſibi
Secura ridet: qui ſapit, ſi quid minus
Rectè ceciderit, arte correctum dabit.

Creſcunt labore cuncta bona mortalium:
At vita mollis atque iners ignavia,
Vitam nec hominum, nec domos quicquam juvant.

Araneæ circa meam decurrat orſus haſtam,
Tranquilla dum canis mihi pingat caput ſenecta,
Et candicantem vinciam comam virente ſerto.
Dum Threſſa pelta pendeat de lectuli columnis,
Vel ſublimibus tholis Itoniæ Minervæ;
Doctiſque ego in chartis legam famæ probata verba.

——— Mihi illi morte qui pulchrâ jacent,
Quam vita quorum turpis eſt, vivunt magis.

Quærenda navis magna præ tenui ſcaphâ.

Stirpi inſitivæ nulla vis. præſtantius
Satu datum quam lege mentitum genus.

Praxithea. Qui dona confert corde generoſo libens,
Dulciſſimum hoc hominibus: at qui differunt;
Procraſtinánque, merita, generoſi minus.
En ego meam ipſa filiam in mortem dabo,
Animo revolvens multa. primum urbem meâ
Reperire quæ ſit melior haud uſquam licet:
Cui non coactus populus alieno ex ſolo,
Indigena ſed Gens: cæteræ, ſcrupi velut,
Urbes loco mutantur, ut jactus tulit,
Aliæque ab aliis ſede pelluntur ſuâ.
At quiſquis aliò migrat & patriam fugit,
Tanquam quod operi jungitur tignum malum,

V. 32. Ἀλλ', ὦ τέκνον μοι) Vid. *Apoſtolii* Centur. 19. §. 98.

V. 59. Ἐγὼ δὲ τοὺς καλῶς) *Socrates* apud *Xenophontem* in Apolog. Αἱρήσομαι τελευτᾶν μᾶλλον, ἢ ἀνελευθέρως τὸ ζῆν ἔτι προσαιτῶν, κερδᾶναι τὸν πολὺ χείρω βίον ἀντὶ θανάτου. Et *Democrates* (teſte *Porphyrio* de abſtin. à carnib. lib. 4.) dicere ſolebat, τὸ κακῶς ζῆν καὶ μὴ φρονίμως καὶ σωφρόνως καὶ ὁσίως, οὐ κακῶς ζῆν εἶναι, ἀλλὰ πολὺν χρόνον ἀποθνήσκειν. V. 60. Ζῆν φημὶ μᾶλλον τοῦ βλέποντος) Βλέπειν, ſive videre, pro vivere; & βλέποντες videntes, pro videntibus; ſæpius apud *Eurip.* reperias, & ἥλιον ὁρᾶν, φῶς ὁρᾶν, pro eodem: ſic è contrario, connivere, oculos claudere, pro mori, apud *Græc.* & *Latin.* Poet. Vid. ad *Hecub.* v. 311.

V. 64. Τὰς χάριτας &c.) Huc refer illud ex *Antholog.* Ὠκεῖαι χάριτες γλυκερώτεραι· ἢν δὲ βραδύνῃ, Πᾶσα χάρις κενεὴ, μηδὲ λέγοιτο χάρις. Hoc autem inſigne Fragmentum *Grotius* in Excerptis exhibet. *Joſua Barnes.*

V. 67. Ἐγὼ δὲ δώσω τὴν ἐμὴν παῖδα κτανεῖν) De hâc *Praxitheæ* Oratione ita *Plutarchus* in Parallelis, Ἐρεχθεὺς πρὸς Εὔμολπον πολεμῶν, ἔμαθε νικῆσαι, ἐὰν τὴν θυγατέρα προθύσῃ, καὶ συγκοινωνήσας τῇ γυναικὶ Πραξιθέᾳ, προέθυσε τὴν παῖδα· Μέμνηται Εὐριπίδης ἐν Ἐρεχθεῖ. Vide quæ Nos ad *Ion.* v. 267. & 278. *Joſua Barnes.*

V. 71. Αὐτόχθονες &c.) Quòd *Athenienſes* gloriabantur ſe Αὐτόχθονας, diximus ad *Ion.* v. 29. & v. 529.

Λόγῳ πολίτης ἐστὶ, τοῖς δ' ἔργοισιν οὔ.
Ἔπειτα τέκνα τοῦδ' ἕκατι τίκτομεν,
Ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα.
Πόλεως δ' ἁπάσης τοὔνομ' ἓν, πολλοῖς δ' ἔνι
Νόμοισι· τούτους πῶς διαφθεῖραί με δεῖ,
Ἐξὸν πρὸ πάντων μίαν ὑπερδοῦναι θανεῖν;
Εἴπερ γὰρ ἀριθμὸν οἶδα καὶ τοὐλάσσονος
Τὸ μεῖζον, εἷς μὲν οἶκος οὐ πλέον σθένει
Πταίσας ἁπάσης πόλεος, οὐδ' ἴσον φέρει.
Εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλειῶν στάχυς
Ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλὸξ,
Οὐκ ἄν μιν ἐξέπεμπον εἰς μάχην δορὸς
Θάνατον προταρβοῦσ'; ἀλλ' ἐμοί γ' εἴη τέκνα,
Αἳ καὶ μάχοιτο καὶ μετ' ἀνδράσι πρέποι,
Μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα.
Τὰ μητέρων δὲ δάκρυ', ὅταν πέμπῃ τέκνα,
Πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους.
Μισῶ γυναῖκας, αἵτινες πρὸ τοῦ καλοῦ
Ζῆν παῖδας εἵλοντ' ἢ παρῄνεσαν κακά.
Καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα,
Τύμβον τε κοινὸν ἔλαχον, εὔκλειάν τ' ἴσην.
Τῇ 'μῇ δὲ παιδὶ στέφανος, ἣ μία μόνη
Πόλεως θανοῦσα τῆσδ' ὑπερδοθήσεται,
Καὶ τὴν τεκοῦσαν, καὶ δύο γ' ὁμοσπόρους
Σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
Τὴν οὐκ ἐμήν γε, πλὴν φύσει, δώσω κόρην
Θῦσαι πρὸ γαίας· εἰ γὰρ αἱρεθήσεται
Πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;
Οὐκοῦν ἅπαντα τοὐπ' ἐμοὶ σωθήσεται,
Ἄρξουσί τ' ἄλλοι, τήνδ' ἐγὼ σώσω πόλιν.
Ἐκεῖνο δ', οὗ τὸ πλεῖστον ἐν κοινῷ μέρος,
Οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς ἄτερ.
Προγόνων παλαιὰ θέσμι' ὅστις ἐκβαλεῖ.
Οὐδ' ἀντ' ἐλαίας χρυσέας τε Γοργόνος
Τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρᾷξ ἀναστέψει λεώς·
Στεφάνοισι δ' ἐχθρὸς οὐδαμοῦ τιμήσεται.
Χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασι·
Σώζεσθε, νικᾶτ'. ἀντὶ γὰρ ψυχῆς μιᾶς
Οὐκ ἔσθ' ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν.
Ὦ πατρὶς, εἴθε πάντες, οἳ ναίουσί σε,
Οὕτω φιλοῖεν, ὡς ἐγώ· καὶ ῥᾳδίως
Οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.

Αἰδοῦς γὰρ αὐτὸς δυσκρίτως ἔχω πέρι.
Καὶ δεῖ γὰρ αὐτῆς· κἄστιν αὖ κακὸν μέγα.

Ἀσιάτιδος κρέμασμα τῆς κιθάρας ----

—— Εὕδουσ' ἐν ἀστρώτῳ πέδῳ,
Πηγαῖσι δ' οὐχ ὑγραίνουσι πόδας.

Verbo quidem ille eſt civis, at re non item.
Præterea in hanc ſpem parere nos prolem juvat,
Ut protegamus patriam atque aras Deûm.
Tum Civitatis nomen unum, in legibus
Res poſitas multis: perdere has an fas mihi,
Cum poſſit una vita pro multis dari?
Si namque numeros, quidque ſit plus aut minus,
Percipimus animo, non malo unius domûs
Commune vinci, ſed nec æquari poteſt.
Quòd ſi mihi pro ſtirpe fœmineâ mares
Eſſent, & urbem Martis impeteret furor;
Cunctarer illos mittere in pugnam, metu
Abſterrita mortis? talis at ſtirps ſit mihi,
Quæ certet armis, quæ inter emineat viros,
Non qui ſe inane præbeant ſpectaculum.
Lamenta matrum proſequentûm liberos
Effemінârunt ſæpe pugnacem impetum.
Odi ſed illas, ante quæ pulchro ferunt
Vitam ſuorum, quæ malè hortantur ſuos.
Quos pugna rapuit, hos ſolent communia
Monumenta multis, lauſque ut ex cumulo ſequi:
Mea nata verò proprium accipiet decus,
Quòd ſe una totâ pro urbe luſtralem dabit,
Matrèmque pariter atque Germanas duas
Servabit. Hic quid ergo non optabile?
Dabo immolandam filiam, non jam meam,
Solo niſi ortu, namque ſi patriam capit
Hoſtis, quid ad me pertinet proles mea?
Nunc noſtra habebunt ſe bene, hanc urbem regent
Alii, ſalutem dum ſuam mihi debeat.
Res, unde tantum publicè orietur bonum,
Animo niſi volente non fiet meo.
Sic vetera nemo jura majorum eruet:
Sacram Tridentem Gorgonis nec aureæ,
Stat urbis ipſa quæ ſuper fundamina,
Eumolpus & Threicia disjiciet manus.
Attollet hoſtis nec coronatum caput.
Cives fruimini vos puerperio meo:
Et vincite & ſupereſte, populum quo minus
Hunc anima redimat una, non poſſum pati.
O Patria, ſi te quotquot hos habitant ſolum
Pariter amarent ut ego, nos feliciter
Ageremus, & tu nulla paterêris mala:

Difficile de pudore judicium mihi eſt:
Sæpe ejus opus eſt; eſt & ubi magnum malum.

Aſiados Citharæ pulſu——

—— In ſolo haud ſtrato cubant,
Pedeſque nullis fontibus lavant ſuos.

V. 81. Ἐξὸν) Abſolutè dictum, ſic *Iphig. Taur.* 688. Ἁπλᾶς δὲ λύπας ἐξὸν, οὐκ οἴσω διπλᾶς & v. 1088. Ναίειν, παρόν σοι πόλιν ἔχειν εὐδαίμονα. In quem locum ultimò citatum, vide quæ Nos. *Joſua Barnes.*

V. 110. Τρίαιναν ὀρθὴν) De formâ Tridentis à *Neptuno* impreſſâ in ſaxo in domo *Erechtheo* dictâ in ſignum ſuæ cum *Minervâ* controverſiæ pro *Athenarum* ſolo, ita *Pauſanias* in *Atticis* fol. 24. lin. 37. Καὶ τριαίνης ἐστὶν ἐν τῇ πέτρᾳ σχῆμα· τοῦτο δὲ λέγεται Ποσειδῶνι μαρτύριον ἐς τὴν ἀμφισβήτησιν τῆς χώρας φανῆναι. *Joſ. Barnes.*

V. 119. Αἰδοῦς γὰρ αὐτὸς) *Clem. Alexandr.* Strom. 6. Quoniam igitur aliquandò Modeſtia nocet, aliquandò etiam prodeſt, aliàs dixit *Euripides*, duas eſſe Modeſtiæ ſpecies, de quâ re vide quæ Nos ad *Hippolyt.* v. 385. *Idem.*

V. 121. Ἀσιάτιδος &c.) *Etymologici* Author, Ἀσιάτιδος κρέμασμα τῆς κιθάρας· οὕτως Ἀριστοφάνης εἴρηκε, παρῳδῶν τὸ ἐξ Ἐρεχθέως Εὐριπίδου.

V. 122. Εὕδουσ' ἐν ἀστρώτῳ) *Clemens Alexandr.* Strom. 6. ex illo *Homeri* Il. π. v. 235. ἀνιπτόποδες χαμαιεῦναι.

Αἰθιοπίαν νιν ἐξίσωσαι ἐπὶ χθόνα,

------Ζεῦγος τριπάρθενον.

Æthiopicum illum ducis inquilinum in ſolum.

——Triúmque virginum jugum ſororium.

V. 125. Αἰθιοπίαν) *Stephan.* in Αἰθίοψ.
V. 126. Ζεῦγος τριπάρθενον) Ἑσπερίδες Εὐρυχθῶ, *Heſychius.*

ΕΥΡΥΣΘΕΥΣ Σατυρικός.

Argumentum *Euryſthei* Satyrici Fabulæ.

QUOD *ad Argumentum hujus Fabulæ attinet*, quis aut *Euryſthea* durum, Aut illaudati neſcit Buſiridis Aras? *Ut* Virgilius *canit. Et ſatis conſtat*, Euripidem *noſtrum, ut de* Buſiride *Drama compoſuit, ſic etiam de* Euryſtheo Argivorum *Rege*, Stheneli *filio*; *qui in* Herculem *Dominium crudele exercebat. Dubitatum autem eſt, an non Duplex aut etiam triplex Drama fuerit, aliquando enim* Εὐρυσθεὺς *ſimpliciter citatur, aliquando etiam* Εὐρυσθεὺς Σατυρικὸς, *quod verum Nomen puto, nonnunquam &* Εὐρυσθένης Σατυρικὸς, *quod puto corruptim legi pro penultimo. Rixam* Johannes Meurſius *componere non audet. Nobis Grammaticis minutiis operosè pudet incumbere. Ut autem, quod ſentio dicam, Unicam Fabulam puto & Satyricam fuiſſe &* Euryſthei *nomine ſignandam. Nihil enim* Euryſthenes Ariſtodemi *filius, à quo* Spartani *Reges* Euryſthenidæ *dicti, Poemate tali dignum feciſſe videtur.* Joſua Barnes.

------- Ἢ κύαθον ἢ
Χαλκήλατον ἠθμὸν φέρειν τοῖσδε τοῖς ἐκπωμασι.

Οὐκ ἔστιν, ὦ γεραιὲ, μὴ δείσῃς τάδε,
Τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ
Τ' ἀγάλμαθ' ὧδ' ἀνὴρ κεῖνος σοφός.

* Σκύφος τε μακρός------ * *Athenæ* l. 11. c. 14.

----- Πιστὸν εἶν χρὴ διάκονον
Τοιοῦτον εἶναι, καὶ στέγειν τὰ δεσποτῶν.

Μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ' ἄρα
Παῖδας φυτεύειν. ὃς γὰρ ἂν χρηστὸς φυῇ,
Οὐ τοὔνομ' αὐτοῦ τὴν φύσιν διαφθερεῖ.

Νῦν δ' ἄν τις οἴκοι πλουσίαν ἔχῃ φάτνην,
Πρῶτος γέγραπται τῶν κακιόνων κρατεῖ.
Τὰ δ' ἔργ' ἐλάσσω χρημάτων νομίζομεν.

Οὐκ οἶδ' ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας
Ὀρθῶς διασκεψάντ' εἰδέναι τὸ δρατέον.

------- AUT Cyathum feres
Cribrúmve doctis mecum Cantoribus.

Quæ Dædaleum fecit ingenium, ſenex,
Miratus opera, hæc ire & obtutu frui
Ne crede: non ars ejus in tantum valet.

Et Scyphus ingens ———

——Fidum qui miniſterium exhibet,
Res ille heriles celat & præſtet fidem.

Vanum eſt quod adeò ſerere progeniem notham
Plerique metuunt. Si quis eſt rectâ indole,
Non mutat hujus, vocis, ingenium, ſonus.

Nunc qui domum habitat, divite inſtructam penu,
Summis adæquat hunc malorum factio.
Habemus omnes facta poſt pecunias.

Non video quâ ſint lance res mortalium
Examinandæ, ut quid ſit è re appareat.

V. 1. Ἢ κύαθον ἢ) *Pollux* lib. 10. c. 24.

ΘΕΜΙΣΤΟΚΛΗΣ.

Argumentum *Themiſtoclis* Fabulæ.

THemiſtocles *ſatis notus* Athenienſium *Dux, qui eo Die* Perſas *ſub* Xerxe *militantes profligavit ad* Salamina, *quo* Euripides *natus eſt. Suſpicatur tamen* Meurſius *haud immeritò, utrum ex illo Fabulam nominavit* Euripides. *Semel tantùm à* Stobæo *citatur, quòd Docti putant, mendosè factum; ut notamus ad hæc Verba in* Creſphonte.

Ἐχρῆν μὲν ἡμᾶς, &c. vide in *Creſphonte.*

ΘΗΣΕΥΣ.

Argumentum *Theſei* Fabulæ.

DE Theſeo Herculis *Amico & æmulo Conſule* Plutarchum *in illius Vitâ. Videtur autem hæc Fabula tractare de* Theſei *Geſtis in* Cretâ, *nempe de* Minotauro *ſuperato, de* Labyrintho & Ariadnæ *amoribus.* Vid. *Hygin.* Fab. xxxviii.

'Αλλ'

Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
Ψυχῆς δικαίας, σώφρονός τε κἀγαθῆς.

Κρεῖσσον δὲ πλούτου, καὶ πολυχρύσου χλιδῆς,
Ἀνδρῶν δικαίων κἀγαθῶν συνουσίαι.

Ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεής,
Δρᾶσαι δὲ χειρὶ δυνατός, οὐκ ἀνέξεται,
Τὰ τῶν δ' ἐχόντων χρήμαθ' ἁρπάζειν φιλεῖ.

Ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις·
Μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια.
Θ Κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος·
Οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές.
Η Τὸ δεύτερον δέ, πρῶτα μὲν γραμμαὶ δύο·
Ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία.
Σ Τρίτον δὲ βόστρυχός τις ὡς εἱλιγμένος.
Ε Τὸ δ' αὖ τέταρτον ἦν μὲν εἰς ὀρθὸν μία·
Λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι
Υ Εἰσίν, τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι·
Γραμμαὶ γάρ εἰσιν ἐκ διεστώτων δύο·
Αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν.
Σ. Τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές.

Σύμμικτον εἶδος, κἀποφώλιον * τέρας, * al. [illegible]
Ταύρου μέμικται καὶ βροτοῦ διπλῇ φύσει.

Κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ·
Ῥανεῖ τε γῆν ἐγκέφαλον· ὀμμάτων δ' ἄπο
Αἱμοσταγεῖς πρηστῆρε ῥεύσονται κάτω.

Ἐγὼ δὲ τοῦτο παρὰ σοφοῦ τινὸς μαθών,
Εἰς φροντίδας νοῦν συμφοράς τ' ἐβαλλόμην,
Φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρης ἐμῆς,
Θανάτους ἀώρους καὶ κακῶν ἄλλας ὁδούς·
Ὡς, εἴ τι πάσχοιμ', ὧν ἐδόξαζόν ποτε,
Μή μοι νεοχμὸν προσπεσὸν μᾶλλον δάκοι.
Εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ,
Καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν,
Εἰκὸς σφαδάζειν ἦν ἄν, ὡς νεόζυγα
Πῶλον, χαλινὸν ἀρτίως δεδεγμένον.
Νῦν δ' ἀμβλύς εἰμι καὶ κατηρτυκὼς κακῶν.

Σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας.

Melior ſed alius eſt Amor mortalibus,
Mentis pudicæ, temperantis & probæ.

Præſtantis auri copiâ præſtantior
Docenda conſuetudo juſtorum virûm.

Quicunque Pauper ære, violentâ manu,
Nimium videt ſe poſſe, non ſe continet,
Quin impotentèr rapiat alienas opes.

Mihi literarum nulla notitia obtigit,
Certis figuras [illegible] notis ediſſeram.
Velut Arte torni ductus, æquali ambitu,
In parte mediâ circulus ſignum gerit.
Loco ſecundo lineæ apparent duæ,
Quas limite una media diſpeſcit ſuo.
Criſpi capilli tertia effigiem gerit.
At quarta regio lineam rectam tenet,
Quæ tres ab unâ parte tranſverſas habet.
At quinta non eſt facilis explicitû nota:
Quæ namque ſuperam lineæ fundunt duæ
Coeunt, ut una reſtet in parte infera.
Quod claudit agmen, tertio diſtat nihil.

Natura mixta, Monſtrum abominabile,
Species biformis, mixta de Tauro & Viro.

Caput ſimul comis tibi comminuam probè,
Cerebrumque terram tinget, ex oculis quoque
Scintillulantes ſanguinis guttæ cadent.

Ego mente retinens monita ſapientis viri,
Animo futuras cogitabam miſerias,
Mortes acerbas, triſtis exilii fugam,
Et alia quæ ſunt ipſe mihi fingens mala,
Ut ſi quid eveniſſet ex illis, recens
Nè me imparatum cura cruciaret magis.
Si me iſta miſerum prima ſpectaret dies,
Pernavigâſſem multa nec pridem mala,
Eſſet gemendi cauſa, juvenes equulei
Sicut recepto jam recens fræno dolent:
At jam ſubactus miſeriis occallui.

Europæ ad ipſas fimbrias ferè ſitum.

V. 1. Ἀλλ' ἔστι &c.) Hos Verſus videbis in *Dictye* v. 3. &c. Quanquam nec deſint, qui hic ponant.

V. 8. Ἐγὼ πέφυκα &c.) *Athenæus* l. X. Εὐριπίδης δὲ τὴν ἐν τῷ Θησεῖ τὴν ἐγγράμματον ὕτως ποιεῖ ῥῆσιν. Ubi hoc Fragmentum ſequitur.

V. 21. Σύμμικτον εἶδος &c.) *Plutarch.* in *Theſeo*, Μινώταυρον γεγονέναι φησὶν Εὐριπίδης, Σύμμικτον &c. Hunc *Minotaurum*, de quo conſulendus *Apollodorus* Bibliothec. l. 3. c. 1. §. 4. *Ovidius* vocat, *Semibovémque Virum, ſemiviriúmque Bovem.* V. 23. Κάρα τε γάρ σου) Extant apud *Ariſtophanis* Scholiaſt. in *Ranis* fol. 149. Excepto quod ſecundus Verſus ibi ſit corruptus, legitur enim *ῥανεῖ τε δ' ἐγκέφαλον*, cui ego Medicas manus adhibui & Verſionem ex proprio addidi. Πρηστῆρε autem pro πρηστῆρες omninò legendum, nè ſit *Spondeus* in Quarto loco. Et *Dualis* Numerus pro Plurali ponitur & ad Duos oculos Mens refertur. Αἱμοσταγεῖς autem minùs regularitèr dictum pro *αἱματοσταγὴς*, quod rectè *Ariſtophanes* habet ibidem. Vide quæ Nos ad *Hippolyt.* v. 1173. *Joſua Barnes.*

V. 31. Μή μοι νεοχμὸν) Sic *Virgil.* Æn. 6. v. 103. *Non ulla laborum, O Virgo, nova mî facies, inopináve ſurgit: Omnia præcepi atq; animo mecum ante peregi.*

V. 32. Εἰ μὲν τόδ' &c. Hi quinque Verſus à *Ciceroniano Ennio* tralati ſunt Tuſcul. Quæſt. l. 3. Sed quia *Iamborum* legibus non ſatis coercentur, *Grotianam* ego hìc Verſionem prætuli. *J. Barnes.*

ΘΥΕΣΤΗΣ.

Argumentum *Thyeſtæ* Fabulæ.

Fabulam Thyeſtem *ſcripſit etiam* Seneca, *quam ex hâc videtur ſuo more, levi variatione aliquâ tranſtuliſſe; quare illius Argumentum optimo jure locum hìc habet.* Attigimus *autem & Nos,* Thyeſtæ *Hiſtoriam ad* Electræ v. 705.

Πλούτου δ' ἀπόῤῥυτος, ἀδοξεῖ γάμος.
Τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοί,
Μᾶλλον δὲ κηδεύουσι τοῖς ὀλβίοισιν.

Haud facile pauper nuptias invenerit.
Nam celſa gentis decora qui laudant, tamen,
Opulentiores potiùs affines legunt.

——Εἰ δ' ἄτερ πόνων
Δοκεῖς ἔσεσθαι, μωρὸς εἶ, θνητὸς γεγώς.

——* Deſipis cum ſis homo,
Sine labore te uſque victurum putas.

V. 4. Εἰ δ' ἄτερ &c.) Deſipis cum ſis homo) *Homo cùm ſis, id fac ſemper intelligas.* Hæc ſententia ſemper in ore & in ſcriptis erat mihi Amiciſſimi quondam Domini *Thomæ Holbechii* S.T.P. *Emmanuelis* Collegii Magiſtri; Quem poſitum licet plus Decennio Honoris & Gratitudinis causâ nomino. Vid. ad *Ino* v.63. *J. Barnes.*

I N Ω.

Argumentum Inûs Fabulæ.

Totam Hiſtoriam Inûs *&* Athamantis Apollodorus *l.* 1. *c.* 9. *habet in hunc modum.* Athamas *poſt fugatos* Phryxum *&* Hellen *ex* Inûs *Noverca dolo, in furorem à* Junone *actus* Learchum *ſagittâ peremit, cujus metu* Ino *cum* Melicertâ *altero filio in mare ſe dejecit.*

Πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς
Ζητοῦσ' ἀμαυροῦν, κἀπικρύπτεσθαι κακά.

Βία νυν ἕλκετ', ὦ κακοί, τιμὰς βροτοί,
Καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,
Σύμμικτα, μὴ δίκαια, καὶ δίκαι' ὁμοῦ·
Ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

Τίς ἆρα μήτηρ, ἢ πατὴρ κακὸν μέγα
Βροτοῖς ἔφυσε τὸν δυσώνυμον Φθόνον;
Ποῦ καὶ ποτ' οἰκεῖ σώματος λαχὼν μέρος;
Ἐν χερσὶν, ἢ σπλάγχνοισιν, ἢ παρ' ὄμματα
Ἔσθ' ἡμῖν; ὡς ἦν μόχθος ἰατροῖς μέγας
Τομαῖς ἀφαιρεῖν, ἢ ποτοῖς, ἢ φαρμάκοις,
Πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.

Ἴστω δὲ μηδεὶς ταῦθ', ἃ σιγᾶσθαι χρεών.
Μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
Πρήσειεν ἄν τις, κἂν πρὸς ἕν' εἴποις ποτὲ,
Πύθοιντ' ἂν ἀστοὶ πάντες, ἃ κρύπτειν χρεών.

Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι.
Χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅτι πλείστας ἔχειν
Γυναῖκας, εἴπερ ἂν τροφὴ δόμοις παρῇ·
Ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων·
Τὴν δ' οὖσαν ἐσθλὴν, ἡδέως ἐσώζετο.
Νῦν δ' εἰς μίαν βλέπουσι κίνδυνον μέγαν
Ῥίπτοντες, οὐ γὰρ τῶν τρόπων πειρώμενοι
Νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί.

Φεῦ· Ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
Πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι καὶ καλοῖς
Πολλῷ λέλειπται· κἀπὶ τοῖς αἰσχροῖς πλέον.

Ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες,
Ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.

Τοιάνδε χρὴ γυναικὶ πρόσπολόν μ' ἐᾶν,
Ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται·
Τὰ δ' αἰσχρὰ μισεῖ, καὶ κατ' ὀφθαλμοὺς ἔχει.

Multi feroces ſpiritu indomabili
Sua obtenebrant damna, vel clades tegunt.

Ite improbi; tenete vi partum decus,
Et undecunque trahite congeſtas opes,
Per fas netas, profana miſcentes ſacris:
Manet metenda magna damnorum ſeges.

Quæ mater aut quis genitor infelix malum
Inauſpicatam ſevit Invidentiam?
Ubi, quas adepta corporis partes ſedet?
Tenetne media viſcera, an geminas manus,
An luminum orbes? Quanta laus medicis foret.
Ferro vel herbâ vel ſalubri poculo,
Auferre generi peſſimam humano luem.

Tacenda quæ ſunt nemo per te intelligat.
Fax parva facile montis Idæi Nemus
Totum cremârit; dixeris uni, citò
Rumor per urbem fiet arcanum tuum.

Haud ſcripta rectè jura ſunt connubiis.
Decuit beatum pluribus ſe uxoribus
Sociare, quotas alere ſufficeret domus,
Ut inaudientem pelleret penatibus,
Bonum volenti corde ſervaret ſibi,
Nunc una ſola accipitur, immenſo nimis
Vitæ Peric'lo: nam priuſquam intrat domum
Nova nupta, nulla moris exploratio eſt.

Quanto virili ſexus infelicior
Eſt fœminarum! quippe quantum linquimur:
Virtute, tantum ſcelere ſuperamus viros.

O miſera vita, pectora ô muliebria:
Truculenta quàm nos peſtis exercet Venus!

Talis profectò famula matronam decet,
Quæ jus & æquum non teget ſilentio,
Quodcunque fœdum eſt lumine infeſto intuens.

V. 12. Ἢ ποτοῖς, ἢ φαρμάκοις) Vide quæ Nos ad *Hippolyt.* v. 516. Mallem autem legi ποτοῖσι φαρμάκοις, quia *Pharmacum* eſt Genus, ποτὸν ſpecies, ut in loco ſupra laudato. *Joſua Barnes.*

V. 19. Χρῆν γὰρ &c.) Hos Verſus Polygamiæ favens dixit *Euripides*, legibus Athenienſibus conformiter, & ipſe duas uxores habuiſſe dicitur.

V. 25. Νύμφας ἐς οἴκους ἑρματίζονται) Ἑρμάζω & ἑρματίζω ab ἕρμα *Saburra, Anglicè*, the Ballaſt of a Ship. Uſurpatur etiam ab *Ariſtotele* de Avibus, ubi æquabili Volatu librant ſua corpora *Metaphora* nempè à Navibus. Hoc in loco uſurpatur de Virginibus inexploratis, utrum in malum tendant, necne, ut jam nunc appenſæ jugo.

Φειδώμεθ'

Φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα·
Κακοὺς δ' ἀποπτύωμεν ὥσπερ ἄξιοι.

—— Τό, τ' εὐγενὲς
Πολλοῖσιν δίδωσιν ἐλπίδ', ὡς ἄρξουσι γῆς.

Τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,
Τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,
Τό, τ' ἀξίωμα μᾶλλον, ἢ τὰ χρήματα.

Ἐπίσταμαι δὲ πάνθ', ὅσ' εὐγενῆ χρεών,
Σιγᾶν ὅπου δεῖ, καὶ λέγειν ἵν' ἀσφαλές.
Ὁρᾶν δ' ἃ δεῖ με, κοὐχ ὁρᾶν, ἃ μὴ χρεών.
Γαστρὸς κρατεῖν δέ. καὶ γὰρ ἐν κακοῖσιν ὢν,
Ἐλευθέροισιν ἐκπεπαίδευμαι τρόποις.

Κέκτησο δ' ὀρθῶς, ἂν ἔχῃς, ἄνευ ψόγου,
Καὶ σμικρὰ σώζων, οὕνεκ' εὐσεβεῖ πρέπει.
Μή, ὡς κακὸς ναύκληρος, εὖ πράξας ποτὲ,
Ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπωλέσῃς.

Ὁρᾷς τυράννους διὰ μακρῶν ἠσκημένους,
Ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα
Τὸν μὲν καθεῖλεν ὑψόθεν· τὸν δ' ἦρ' ἄνω,
Ὑπόπτερος δ' ὁ πλοῦτος. οἷς γὰρ ἦν ποτε,
Ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.

Ἄνασσα, πολλοῖς ἐστιν ἀνθρώπων κακά·
Τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν.
Κύκλος γὰρ ἕρπει καρπίμοις τε γῆς φυτοῖς,
Θνητῶν τε γενεᾷ· τῶν μὲν αὔξεται βίος·
Τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν.

Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.

Μήτ' εὐτυχοῦσα, πάνυ ἡνίαν χάλα,
Κακῶς τι πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.

Μηδὲ σκυθρωπὸς ἴσθ' ἄγαν πρὸς τοὺς κακῶς
Πράσσοντας ἄνθρωπος γεγώς.

Ἀμουσία τοι, μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ
Στάζειν.

Σὺν τοῖς φίλοισιν, ἡδὺ μὲν πράσσειν καλῶς.
Ὃ μὴ γένοιτο δ', εἴ τι τυγχάνοι κακὸν
Εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ.

Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς,
Ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.
Ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ,
Μόνος ταράσσει καὶ γαληνίζει φρένα,
Παραυτὰ δ' ἡσθεὶς ὕστερον στένει διπλᾶ.

Γίνωσκε τἀνθρώπεια, μηδ' ὑπὲρ μέτρον
Ἄλγει. κακοῖς γὰρ οὐ σὺ προσκέκοψαι μόνη.

Parcamus ortis inclyta ex propagine:
Et exſecremur ut merentur improbos.

—— Spem fore ut regni ſola
Olim capeſſant, alta Nobilitas facit.

Proli creandæ conjuges multi parant
Forma invenuſta, nobili propagine,
Claróſque honores ante divitias habent.

Quæ ſcire par eſt nobilem, didici omnia,
Cum res jubet tacere, cum tutum eſt loqui,
Quæ fas videre, nec videre quæ nefas:
Ventri imperare· quamlibet preſſum malis,
Cor diſciplinas liberales imbibit.

Sine labe parta fac probè cuſtodias,
Parceque rem tueris. id juſtos decet.
At nauta cupidus, antea felix ſatis,
Dum plura quærit, quod tenebat perdidit.

Vides Tyrannos longa quos fovit dies
Ut ſæpe res exigua momento brevi
Deturbet, alios rurſus in celſum levet.
Pennata res fortuna. jam multos ego
Vidi ſupinos ſpe procul volvi ſuâ.

Regina, multos homines opprimunt mala:
Ab his recedunt, rurſus aliis imminent.
Eunt in Orbem, terra quas fruges parit,
Hominúmque ſoboles. quippe pars ſurgens viret,
Pars jam metenda expectat exitii diem,

Spe ſemper aliquâ, qui ſapit, vitam fovet.

Nec tibi remittat fræna Fortunæ favor,
Adverſa nec ſpem pectori excutiant tuo.

—— Infelicibus
Nè durus eſto, te quoque eſſe hominem memor.

Agreſte, lachrymas rebus alterius malis
Negare.

